AUTHOR:
EURIPIDES

TITLE:
EURIPIDIS TRAGOEDIAE ET FRAGMENTA . . .

PLACE:
LIPSIAE

DATE:
1813-1837

Master Negative #
93-81700

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Works. 1813-

Euripides.

Euripidis tragoediae et fragmenta, recensuit interpretationem Latinam correxit scholia Graeca e codicibus manuscriptis partim supplevit, partim emendavit Augustus Matthiae. [Indices in Euripidis tragoedias et fragmenta confecit scholia Vaticana in Troadas et Rhesum emendatiora adiecit ... C. F. Kampmann.] Lipsiae, apud Ioa. Aug. Gottl. Weigel, 1813-1837.
10 v. facsims.

Contents.--t. 1-3. Greek text.--t. 4-5. Scholia.--t. 6-8. Notes.--t. 9. Fragments.--t. 10. Indices by Kampmann.

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 8/25/93 INITIALS F.C.
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

GUIDE TO CONTENTS

MASTER NEGATIVE #	AUTHOR	TITLE
93-81700	EURIPIDES	EURIPIDIS TRAGOEDIAE ET FRAGMENTA

AIIM

Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910

301/587-8202

Centimeter

Inches

MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

VOLUME 1

BIBLIOGRAPHIC IRREGULARITIES

MAIN ENTRY: Euripidis tragoediae... v.1

Bibliographic Irregularities in the Original Document

List volumes and pages affected; include name of institution if filming borrowed text.

______ Page(s) missing/not available: ______

______ Volumes(s) missing/not available: ______

______ Illegible and/or damaged page(s): ______

✓ Page(s) or volumes(s) misnumbered: 261 reads 262

______ Bound out of sequence: ______

______ Page(s) or illustration(s) filmed from copy borrowed from: ______

______ Other: ______

EURIPIDIS TRAGOEDIAE.

PROSTANT

LONDINI

APVD W. H. LVNN

LVGDVNI BATAVORVM

APVD S. ET I. LVCHTMANS

— A. ET I. HONKOOP

ROMAE

APVD MARIANVM DE ROMANIS

FLORENTIAE

APVD MOLINI LANDI ET SOC.

HAMBVRGI

APVD C. E. BOHN

VIENNAE

APVD C. SCHAVMBVRG ET SOC.

PARISIIS

APVD DE BVRE PATR. ET FIL.

— FR. SCHOELL

— A. A. RENOVARD

— TREVTTEL ET WÜRZ.

EURIPIDIS
TRAGOEDIAE
ET
FRAGMENTA.

RECENSUIT

INTERPRETATIONEM LATINAM CORREXIT

SCHOLIA GRAECA E CODICIBUS MANUSCRIPTIS

PARTIM SUPPLEVIT PARTIM EMENDAVIT

AUGUSTUS MATTHIAE.

TOMUS PRIMUS.

LIPSIAE
APUD IOA. AUG. GOTTL. WEIGEL
MDCCCXIII.

IMPRESSIT BENEDICTUS GOTTHILF TEUBNER.

PRAEFATIO.

Quum consilium edendi Euripidis primo susciperem, id tantum spectabam, ut poetae textum mendis, quae superiorum editorum solertia, vel librorun scriptorum auxilio nixa, vel suis viribus confisa, sustulisset, vel quorum medicinam certam ipse mihi invenisse viderer, liberatum et purgatum exhiberem, ita futurum sperans, ut sic tandem editio exstaret, et parvo parabilis et habilis ad usum et quae legentibus minus difficultatis et offensionis obiiceret. Quoties enim antea tragoedias illas legeram, aegre ferebam multas egregias vel Codd. lectiones vel virorum doctorum emendationes ab editoribus neglectas esse, nonnulla etiam loca emendata seu verius immutata esse, quae nulla omnino emendatione indigerent. Sed quo diutius poetam hoc edendi consilio tractabam, eo magis intelligebam, vix me operae pretium facturum esse, nisi nova subsidia lectionis, quam vocant, constituendae adhibuissem, quibus vel vulnera, his carminibus inflicta, sanarentur, vel saltem, quid ibi ab antiquis lectum esset, quamvis obscuris nonnunquam signis, indicaretur. Quod ubi significavi Weigelio, ille, ut est ad literas qua potest ope iuvandas paratissimus, statim adiit Viros doctos bibliothecarum opulentiorum praefectos, ut eorum, quae in bibliothecis suae curae commissis, ad Euripidem emendandum subsidia reperirentur, sibi mihique copiam facerent. Ita is,

nullis sumtibus parcens, Florentiae et Augustae Taurinorum Codices, qui ibi servantur, conferendos curavit et Guelpherbytanum Codicem a Langero mihi impetravit et undique, quaecunque ad hanc editionem usui essent, diligentissime conquisivit.

Atque inter Codices quidem primo loco commemorandi sunt Florentini quatuordecim, iidem, quos Beckius in edit. Lips. mai. T. III. p. X. sq. e Bandinii catalogo enumeravit. Hos in meum usum ad editionem Musgravii accuratissime contulit bibliothecae Mediceae praefectus, Vir doctissimus, Franc. de Furia. Ex his II. omnibus fere locis conspirat cum eo, cuius varietatem Scaliger enotavit, memoravit Porsonus; X. autem cum Florentino eo, cuius collationem olim instituerat Is. Vossius: (v. Valck. Praef. Phoen. p. IX. sq.) quamvis ipse Codex periisse videatur; nam in nullo Florentinorum Troades exstant. Ad hos accesserunt Codices tres, sec. XIV. exeuntis, numeris 56. 59. et 76. indicati, Abbatiae Cassinensium, e qua nuper in Mediceam illati sunt. Cum his scholia contulit doct. de Furia; nam textus ipse ubique cum Mediceis conspirat. Idem etiam contulit Cod. 6. plutei 91. superioris, chartaceum in 4 minori, seculi XV, qui sola scholia continet. v. Beck. p. XI.

Codices Academiae Taurinensis accuratissime, ita ut etiam descriptionem versuum enotaret, contulit Vir clar. Amedeus Peyron, cuius diligentiae Empedoclis et Parmenidis fragmenta ex Cod. Taurinensis bibl. restituta et illustrata debemus. Eorum Codicum alter, Orestem et Phoenissas continens, sec. XV, bombycinus, signatus est nota B. VI. 7, descriptus in

Catalogo edito T. I. p. 315. Scholia habet uberrima, quae tamen edita non superent. Ea vero tantummodo usque ad v. 1165. Phoen. Barn. pertinent. Alter Andromachen habet, hac nota insignitus C. V. 5. in Catal. T. I. p. 216. v. Beck. l. l. p. XI.

Codicem Guelpherbytanum, qui est 15. inter Graecos, ipse contuli, humanissime a Langero meis et Weigelii precibus concessum. Sunt ii duo Codd. MSS., uno volumine comprehensi, quorum alter Hecubam, Oresten et Phoenissas, alter Andromachen continet. Prior esse videtur sec. XIV, accurate litteris elegantissimis in charta bombycina scriptus. Glossas et scholia et inter versus et in margine permulta, in quibus multa inedita, adscripta habet, alia ab eadem, qua textus, manu minio picta usque ad Phoen. v. 324, deinde atramento, alia et longe plura minus eleganter, litteris minoribus. Alter Codex, qui Andromachen continet, est seculi XV, etiam bombycinus, eleganter, at saepe vitiose, scriptus. Scholia pauca sunt, eadem omnia manu scripta, pleraque inedita. *) Ceterum quod Beckius l. l. p. XIII. narrat, in bibliotheca Guelpherbytana esse Euripidis editionem cum observationibus, Salmasii manu adscriptis, id falsum esse, nec unquam talem librum in bibliotheca illa fuisse, idem Langerus me monuit.

Adieram etiam per litteras Iacobsium, petens, ut, quae subsidia emendandi Euripidis bibliotheca Monacensis haberet, ea mihi vel summitteret, vel ibidem exscribenda, excerpenda, conferenda curaret.

*) Hunc Codicem iam ante me contulit Bothius. v. *Eurip. Werke verdeutscht von Fr. H. Bothe. Fünft. B. p. 64. sqq. 343. sqq.*

Respondit precibus meis Viri egregii mihique amicissimi humanitas. Sunt in instructissima illa bibliotheca Codices MSS., tragoedias aliquot Euripidis continentes, Augusta Vindelicorum eo translati, tum annotationes in nonnullas tragoedias, P. Victorii manu scriptae, denique exemplum editionis Aldinae, cuius margini idem P. Victorius variantes *lectiones*, quas vocant, adscripserat. Et has quidem Iacobsius sua manu accurate transscriptas mihi misit; reliqua vero quum etiam mittere pararet, non dubitans, quin eius rei veniam nunquam antea negatam impetraret, subito nova lege impeditus est, ullum librum eius bibliothecae extra urbem cuiquam commodari vetante. His igitur et praesidiis et ornamentis nostra editio carere coacta est; Victorianae vero lectiones partim, imprimis eae, quae tribus punctis in trianguli formam positis .·. notatae sunt, vel quibus litterae V. C. *vetustus Codex* appositae sunt, e Codice MS. sumtae esse videntur; et conspirant eae plerumque cum Cod. Flor. 2, nisi quod ad Troades quoque spectant, quam fabulam nullus Florentinorum complectitur. Aliis praefixum est γρ. vel ἴσ. eaeque vel correctiones errorum, quos Aldi typothetae commiserant, vel emendationes Victorii esse videntur. Nonnumquam notae adscriptae sunt longiores.

Codicum Augustanorum trium collationem amicissimi Hermanni benevolentiae debeo. Hi sunt ii, quos idem Vir doctissimus in praef. ad Hecub. p. VI. descriptos litteris b c d notavit. Hecubam (d a vs. 1255.), Orestem et Phoenissas continent tres, in c Phoenissae desunt. Ex his b idem est, quem Brunckius ad Orestem eadem litera designavit, d is, quem hic A nominavit, et ex quo scholia a Tryllitschio exscripta cum Valckenaerio communicavit Reiskius. Id planum factum est indicio tum Hermanni, tum Thierschii, Viri doctissimi, qui, a me rogatus, Monachii, quo Codex e bibliotheca Augustana migravit, eum inspexit. Est nunc Codex 560 inter Monacenses. Scholia in versus centum priores Orestis exscripsit ornatissimus iuvenis, Lud. Doederlein, qui ingenii et scientiae literarum antiquarum egregium specimen dedit observationibus criticis in Sophocl. Oed. Col. in *Act. philol. Monac.* T. I. Non magni ea esse momenti, etiam Thierschius me monuit.

Codicem Dresdensem, olim Mosquensem D, denuo contulerat Hermannus, et inde excerptas variantes lectiones mecum communicavit. Nec in eo substitit Viri egregii humanitas, sed etiam annotationes suas in nonnullas Eurip. fabulas vel in complura earum loca mihi concessit, quibus imprimis melica carmina melius digesta sunt. Codices Parisienses nondum collatos nihil, quod operae pretium esset, ad textum emendandum praesidii afferre posse, ii, qui accurate eos noverant, Bastius, Hasius, Boissonadius fidem fecerunt, ut sumtibus in eos excutiendos impendendis supersedere se posse Weigelius non iniuria arbitraretur.

Horum Codd. ope omnes maculas Euripidi adspersas, vel eas certe, quae offensionis plurimum haberent, elui posse, nec ipse ab initio speravi: plerumque enim lectiones ex aliis Codd. iam enotatae vel coniecturae Virorum doctorum iis firmantur. Nonnullis tamen locis medicinam ab iis allatam esse, vel viam

certe clarius demonstratam, qua emendatio instituí posset, vel ex Hermanni prol. *de carminibus antistr.* intelligi potest. In recensendis vero his carminibus eam legem mihi dixi, ut, conquisitis, quam poteram diligentissime, omnibus vel codicum scriptorum vel antiquarum editionum omnium lectionibus, excussis etiam veterum interpretum et criticorum commentariis librisque scriptorum antiquorum, qui Euripidis loca vel nominatim laudant vel ad ea respexisse putandi sunt, ad horum auctoritatem textum praecipue constituerem, non numerandis Codd. sed lectionibus ipsis ponderandis, ubi aperte vitiosa esset vulgata lectio, iis tantum vel aliorum vel meis coniecturis locum darem, quae et sensui omni ex parte satisfacere viderentur, et a vulgatae lectionis vestigiis non nimis recederent, et, quomodo vulgata lectio ex iis fluere potuerit, facilem explicationem haberent. Ita non dubitavi recipere Hec. 692. *φάντασμα* pro *φάσμα*, quo facto tres dochmii iusti exeunt, e *φάντασμα* vero facili errore librarii *φάσμα* fieri potuit; Hippol. 549. *ζεύξασ᾽ ἄπ᾽ εἰρεσίᾳ δρ.* pro *ζ. ἀπειρεσίαν δρ.* Ph. 739. *ἄνακτας* pro *ἀνάσσειν.* Hoc vero eo confidentius facere licere editori existimavi, quod alias etiam coniecturas a Codd. postea comprobatas vidi, ut Orest. 1254. Porsoni *εἶτα πάλιν σκοπιὰν* Taurinensi et Flor. 10. (ubi melius etiam videbatur e Taurin. et Guelph. recipere *κόραις,* ut ordo verborum esset *διάφερε σκοπιὰν κόραις ὄμμ.* quam cum Seidlero *σκοπιάν* tribuere Choro) ib. 1542. Seidleri *ἔπεσ᾽ ἔπεσε* Taurin. qui *ἔπεσεν ἔπεσε* habet, ut alia leviora taceam. Sed multo saepius vulgatam lectionem, coniecturis tentatam, retinendam vel revocandam duxi, quum eam consuetudini sermonis graeci et metro respondere, vel adeo solam ab eo postulari intellectum esset. Contra, ubi laborare quidem locum in aperto esset, nulla vero adhuc coniectura, quae omnes verisimilitudinis numeros haberet, a quoquam allata esset, locum intactum relinquere malui, quam, obliterata vulgata lectione, viam veri inveniendi obscuriorem reddere, ut Hec. 1161. sq. Phoen. 322. 847. 1606. Or. 811. Med. 1099. sqq.

Difficultatis et dubitationis plurimum afferunt loca melica in tragoediis graecis; itaque haec ab editoribus vel neglecta, certe non ea, qua par erat, cura expolita, ut a Musgravio, vel temere turbata, interpolata et immutata sunt, quod imprimis a Brunckio et Porsono factum esse doleas. Hanc igitur partem praecipua cura ac diligentia mihi tractandam esse vidi; quod nunc etiam facilius est, quum Hermannus aliique, nuperrime Seidlerus, toti rei metricae Graecorum tantum lucis attulerint, ut nunc de metris quivis nostrum melius iudicare, quam ipsi Grammatici veteres, possit. Ita factum esse puto, ut hae etiam partes Euripidis aliquanto in hac editione, quam in superioribus, emendatiores legantur; neque tamen dubito, quin multa posthac melius, quam a me factum est, metrorum ratione et legibus accuratius etiam investigatis et cognitis, constituantur. Sed ex hoc ipso rei metricae apud nostros fervente studio alia difficultas exorta est, quod, quum Hermannus nullum in tragoediis graecis carmen lyricum esse, quod non esset generis antistrophici, monuisset, alii certatim ea, quae vulgo *ἀπολελυμένα*, vel *ἀνομοιόστροφα* appellata plu-

rima in Euripidis tragoediis occurrunt, ad antistrophicorum legem redigenda susceperunt. Quod ubi ex auctoritate librorum scriptorum vel e vestigiis antiquae lectionis vel ibi, ubi sensus etiam emendationem flagitat, facile efficitur, ut Tyrwhittus nonnulla in Euripide sanavit, et nunc Orest. 1338. sqq. et 1350. metrorum aequalitas, monente Hermanno *de carmm. antistr.* p. V, restituta est, laudandum est; nulla enim cura nimia existimanda est, quae antiquos scriptores pristinae integritati atque elegantiae vel in parvis restituit. Sed ubi nihil est, quod consuetudini poetae vel linguae legibus vel sensui repugnet, et non nisi resecandis, addendis, transponendis, mutandis verbis metra aequari possunt, Codices etiam in scriptura recepta consentiunt, ibi vereor, ne hoc sit scripta antiquorum ad arbitrium refingere potius, quam ex fide testium restituere. Et causam quidem, cur saepius, imprimis in iis, quae ἀπὸ σκηνῆς dicuntur, numeris inaequalibus usus sit Euripides, qui primus hoc frequentasse videtur, idoneam et ex ipsa rei natura ductam et usu scriptoris comprobatam attulit Hermannus in prol. *de carmm. antistroph.*, partes actuosiores antistrophis carere, quae vero sedatiora essent, ad antistrophicorum legem descripta esse, monens. Plura tamen idem Vir doctissimus mutavit et ad metrorum aequalitatem redigere conatus est, quam editori, fidem MSS. Codd. spectanti, licere arbitratus sum, vel ipsa illa, quam attulit, causa et rei ratio postulabat. Quibus enim in locis responsionem numerorum efficere voluit, in iis omnibus vehementiores animi motus vel doloris vel laetitiae vel irae regnant, ut hanc ipsam causam, cur

solutioribus numeris ea scripserit, quia, ut ait Aristoteles, καὶ τὰ μέλη τῇ μιμήσει ἀκολουθεῖν, ἀεὶ ἕτερα γινόμενα, volebat, satis idoneam secutus esse poëta videatur, nobis autem minus etiam in certum ordinem cogere ea liceat, praesertim si hic ordo non nisi violentioribus mutationibus effici possit. Magnopere etiam infringitur Hermanni sententia mira numerorum antistrophicorum cum ἀνομοιοστρόφοις permixtione et confusione, cuius exemplum maxime memorabile attulit ex Oreste 1363 — 1519. quae confusio augetur etiam, si reputes, proodos, mesodos, epodos nomine tantum ab ἀνομοιοστρόφοις differre. Quum vero nulla causa excogitari possit, cur eiusdem carminis alias partes sibi respondere, alias repugnare voluerit poeta sive inconstans sive laboris aequandorum numerorum impatiens, non intelligitur, quare non totum carmen liberioribus numeris scripsisse existimandus sit. Quamvis autem carmina illa melica Euripidis saepe a grammaticis ex sua rei metricae scientia in eum, quo nunc ea legimus, ordinem redacta esse, e multis scholiorum locis constet, tamen nec, quousque eorum sive libido sive ratio progressa sit, et quae loca illi mutaverint vel intacta reliquerint, nunc affirmare possumus, et, deficiente testium auctoritate, quae via in iis pristinae integritati restituendis ineunda sit, incertum est.

Levius est, nec tamen praetereundum, quod Ahlwardtius et Boeckhius monuerunt, nusquam versum finiri, nisi finito etiam vocabulo, nec unquam verbum in duos versus distribuendum esse. Qua in re pergratum mihi accidit, quod, quibus argumentis ego hanc sententiam in litteris ad Hermannum datis impugnave-

ram, ea huius viri rei metricae et scenicae Graecorum longe peritissimi assensu et suffragio comprobari, e praefatione eius, Herculi fur. praemissa p. IX. sqq. intellexi. Igitur sententiam illam iam satis ab Hermanno refutatam esse puto, quod, in tragicis certe, concessit nuper ipse Boeckhius Praef. ad Pindar. p. XXX, in Pindaro aliam rem esse contendens. Et de Pindaro quidem nunc non disputo: hoc tantum addo, non plus offensionis habere unius verbi in duos versus distributionem, quam sensus, ut ita dicam, distractionem eam, qua in priori versu articulus, praepositio vel alia particula cum sequentibus arcte copulata, in altero nomen vel verbum positum legitur, qualia multa occurrunt in Boeckhii Pindaro, ut in Olymp. II, 99. VI, 17. 53. IX, 19. 47. 70. X, 19. XI, 21. XIV, 1. 5. Nam, sive versu finito finiri etiam numerum existimes, absurdum est, verborum compagem cum numeri natura pugnare; sive, id quod verius est, numeros continuari statuas, et hanc ob causam v. c. articulus in altera numerorum parte poni, in altera nomen sine offensione potest, quid impedit, quominus etiam verba in duos versus divisa esse dicamus, quae pronuntiando non magis divellebantur?

In personarum chori distributione non plus mihi licere credidi, quam in reliquis fabularum partibus. Itaque non nisi necessitate ac sensu flagitante quidquam mutavi, ut in Alcest. 94. Nam, quae de singulis canticorum partibus ad singulas personas referendis acute nuper disputata sunt a Viris doctissimis, Hermanno et Boeckhio, ea hanc tantum vim habent, ut potuisse hoc ita fieri intelligamus; sed ubi revera factum sit, e tota loci ratione et sensu demum eruere possumus. In quo cavendum est imprimis, ne, quae male inter se cohaerere videantur, continuo diversis personis tribuenda existimemus: haec enim ipsa vis est graviorum animi motuum, ut ab aliis ad alia, cognata tamen, subito transiliat oratio. Neque tamen idcirco hanc personarum distributionem improbare velim, quia minuta haec esset poetarum diligentia; minuta enim vel adeo puerilia multa in Euripide occurrunt.

Interpunctionis notas aliter posui, quam in editionibus scriptorum et graecorum et latinorum fieri solet; quod, etsi leve, monendum tamen putavi, ne ex errore vel negligentia ortum videatur, quod ratione et consilio factum est. Sic sententias duas, particula *καὶ* iunctas, quum idem verbum commune habebant, non virgula interposita separavi; nec magis participia e verbo praegresso pendentia, ut *οἶδα τοῦτο ποιήσας, ὁρῶ σε τοῦτο ποιοῦντα*, a vocabulo primario seiunxi. Sed haec facile quivis semel monitus per se ipse perspiciet.

Restat, ut editionis huius descriptionem et partes indicem. Igitur volumen primum, tribus partibus constans, unamdeviginti tragoedias Euripidis continebit; nam Danaes fragmentum inter reliqua fragmenta suum ac proprium locum habebit. In exteriori margine numeri appositi sunt, versuum descriptionem Barnesianam et Musgravianam indicantes, qui uncis inclusi sunt, priorem, alteram nudi numeri; qui in summa pagina leguntur, eos appictum P. Porsoni editionem spectare monet. Volumen secundum novam interpretationem latinam exhibebit; tertium scholia tam ea,

quae adhuc edita sunt, diligenter recensita, quam, quae nunc primum e Codd. MSS. adieci. Volumine quarto sequentur notae, textus, quem vocant, constituti, lectionum vel receptarum vel repudiatarum, rationes potissimum reddentes. Et quia in varietate lectionis enotanda paulo negligentiores fuerunt editores, etiam Porsonus, qui saepe in *plurimis* vel *multis* vel *paucis* Codd. hoc vel illud legi narrat, ubi Codd. ipsos nominare oportebat, id agam, ut tum Codicum et eorum, qui a Kingio, Musgravio, Valckenaerio, Porsono aliisque iam collati sunt, et eorum, quos ego nunc primum adhibui, tum editionum omnium lectiones diligenter enumerem. Ad calcem notarum fragmenta reiicere visum est, quippe quae notarum luce carere nequeunt. Ad haec melius ordinanda, illustranda et emendanda egregium praesidium nactus sum notas Valckenaerii manu scriptas in margine editionis Barnesianae, quam e bibliotheca Luzaciana mihi comparavi; alia a se observata Erfurdtius benevole mecum communicavit. Totum opus absolvent indices, Graecus particularum etiam usum accurate illustrans, tum alii eorum, quae in notis monita sunt, auctorum in Scholiis memoratorum etc.

Haec editio ut a mendis typographicis, quam maxime fieri potest, libera exiret, amicissimi Schaeferi diligentia effectum est, quam grati mecum agnoscent, qui ea utentur. Ego, quocunque tandem modo provinciam susceptam administraverim, id saltem me effecisse spero, ut multis locis Euripides emendatior prodiret, in aliis et fortasse pluribus viam veri inveniendi expeditiorem redderem. Nam, ut Xenophontis verbis utar, Mem. II, 8, 5, *οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ᾽ ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι· χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντα μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν.*

ΕΥΡΙΠΙΔΟΥ

ΕΚΑΒΗ.

ΥΠΟΘΕΣΙΣ ΕΚΑΒΗΣ.

Μετὰ τὴν Τροίας ἅλωσιν ἄραντες οἱ Ἕλληνες καθωρμίσθησαν ἐν τῇ ἀντιπέραν Χεῤῥονήσῳ τῆς Θρᾴκης, ἧς Πολυμήστωρ ἦρχεν· οὗ δὴ καὶ κενοτάφιον ἔχωσαν Ἀχιλλεῖ, ἐν Τροίᾳ ταφέντι. διατρίψαντες δὲ ἐκεῖ ἡμέρας δή τινας, ἐφ᾽ ᾧ τὰ αὐτῶν εὖ διαθήσονται, ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχιλλέως εἴδωλον ἐπὶ τοῦ τάφου ἐπέσχε τοὺς Ἀχαιοὺς τῆς ἀναγωγῆς, αἰτοῦν χέρας αὐτῷ δοθῆναι τὴν παῖδα Πριάμου Πολυξένην, τὴν καὶ πρότερον κατεγγυηθεῖσαν αὐτῷ ὑπὸ τοῦ πατρὸς, δι᾽ ἣν καὶ ὑπὸ Πάριδος καὶ Δηϊφόβου τοξευθεὶς ὄλωλεν, ὅτε τὰς ἐγγύας πρὸς τοῦτον πληροῦν ἔμελλε Πρίαμος. Ἕλληνες μὲν οὖν, ὧν εὖ ἔπαθον ὑπ᾽ αὐτοῦ μεμνημένοι καὶ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἐψηφίσαντο σφάξαι τὴν Πολυξένην ἐπὶ τῷ τάφῳ τοῦ ἥρωος. ἔπεμψαν δὲ τὸν Λαέρτου Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς ἂν τήν τε παρθένον λάβῃ καὶ τῷ ποικίλῳ τῶν λόγων (τοιοῦτος γὰρ ἦν ὁ ἀνὴρ) πείσῃ Ἑκάβην, μὴ δυσχερῶς σχεῖν ἐπὶ τῇ τῆς παιδὸς ἀφαιρέσει. ἐλθὼν οὖν Ὀδυσσεὺς τήν τε κόρην συναιρομένην εὗρεν αὐτῷ τῆς σπουδῆς καὶ πείθουσαν τὴν μητέρα, ὡς τεθνήξεσθαι μᾶλλον αὐτῇ προσῆκον, ἢ τὸ ζῆν παρ᾽ ἀξίαν. σφαγείσης δὲ τῆς παρθένου, Ἑκάβη θεράπαιναν αὐτῆς ἔπεμψε παρὰ τὰς ἀκτὰς, ἐφ᾽ ᾧ ὕδωρ ἐκεῖθεν κομίσαι πρὸς λουτρὸν Πολυξένης. εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον· ἁλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμήστωρ, σφάξας αὐτὸν ἔῤῥιψεν εἰς τὴν θάλασσαν, ὡς ἂν αὐτὸς ἔχῃ τὸν χρυσὸν, ὃν πρὸς αὐτὸν μετὰ τοῦ παιδὸς Πολυδώρου πρώην Πρίαμος ἔπεμψε λάθρα, ἐπειδὴ ἑώρα

τὸ Ἴλιον πρὸς κίνδυνον ἤδη χωροῦν. ἦν δὲ ὁ χρυσὸς οὗτος πολὺς ἄγαν καὶ ἱκανὸς ὀρθῶσαι καὶ αὖθις τὸ γένος τοῦ Πριάμου. ὡς οὖν τοῦτον εὗρεν ἡ δούλη κείμενον ἐπ᾽ ἀκταῖς, ἀνελομένη καὶ τῷ πέπλῳ εἱλίξασα, κομίζει πρὸς τὴν Ἑκάβην. καὶ ἣ τὸν τῆς Πολυξένης νεκρὸν, πρὶν ἐκκεκαλύφθαι τοῦτον, εἶναι νομίσασα, ἐπειδὴ ἔγνω Πολύδωρον, ἀθλίως τε ἔσχε, καὶ ὅπως ἀμυνῆται Πολυμήστορα, μηχανᾶται τοιόνδε· κοινωσαμένη πρότερον τὴν περὶ τούτου γνώμην Ἀγαμέμνονι, πέμπει τὴν αὑτῆς δούλην ὡς Πολυμήστορα, αὐτόν τε καὶ τὰ τέκνα πρὸς ἑαυτὴν μετακαλουμένη περί τινος ἀναγκαίου πρὸς αὐτὸν κοινώσασθαι. οὗτος μὲν οὖν ἀγνοῶν, ὅτι Πολύδωρος εὕρηται παρὰ τὰς ἀκτὰς, καὶ ἅμα καί τισιν ὑποκλαπεὶς μετὰ τῶν παίδων πρὸς αὐτὴν ἀφικνεῖται. Ἑκάβη δὲ πρὸς αὐτὸν τούτου χάριν ἔφη κεκληκέναι, ἵνα χρυσοῦ θησαυροὺς κεκρυμμένους ὑπ᾽ αὐτῆς ἐν Ἰλίῳ μηνύσῃ. εἰςάγει δὲ καὶ τῆς σκηνῆς ἔνδον εἰποῦσα, ὡς ἂν καὶ ἕτερ᾽ ἄττα αὐτῷ δώσει χρήματα, μεθ᾽ ὧν ἐξῆλθε τῆς Τροίας. ἐκέκρυπτο δὲ εἴσω πλεῖστος γυναικῶν ὄχλος· σὺν αἷς τοῦτον εἰςελθόντα Ἑκάβη ὀφθαλμῶν τε στερεῖ καὶ τὰ τέκνα αὐτοῦ ἀποσφάττει. δικάσαντος δὲ αὐτοὺς τοῦ Ἀγαμέμνονος ὕστερον, καὶ τοῦ Πολυμήστορος πολλὰ περὶ τῆς σφαγῆς Πολυδώρου διαπλασαμένου, Ἑκάβη περιεγένετο ἐλέγξασα αὐτὸν, ὡς τοῦ χρυσοῦ χάριν, καὶ οὐχ ὧν προὔτεινε, τὸν παῖδα ἀνεῖλε, σύμψηφον σχοῦσα καὶ Ἀγαμέμνονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀντιπέραν τῆς Θρᾴκης Χεῤῥονήσῳ· ὁ δὲ Χορὸς συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων Τρῳάδων, συμμαχησασῶν τῇ Ἑκάβῃ.

ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ.

Μετὰ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν Τρῳάδος Χεῤῥόνησον καθωρμίσθησαν· Ἀχιλλεὺς δὲ νυκτὸς ὁραθεὶς, σφαγῆναι ἠξίου μίαν τῶν Πριάμου θυγατέρων. οἱ μὲν οὖν Ἕλληνες τιμῶντες τὸν ἥρωα Πολυξένην ἀποσπάσαντες Ἑκάβης ἐσφαγίασαν· Πολυμήστωρ δὲ, ὁ τῶν Θρᾳκῶν βασιλεὺς, ἕνα τῶν Πριαμιδῶν Πολύδωρον κατέσφαξεν. εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ εἰς παρακαταθήκην μετὰ χρημάτων. ἁλούσης δὲ τῆς πόλεως, κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον φονεύειν ὥρμησεν, καὶ φιλίας δυςτυχοῦς ὠλιγώρησεν. ἐκριφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν, τὸ κλυδώνιον πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω· κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι, Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο, κρύπτουσα τὸ γεγονὸς, ὡς θησαυροὺς ἐν Ἰλίῳ μηνύσῃ αὐτῷ· παραγενομένῳ δὲ τοὺς μὲν υἱοὺς κατέσφαξεν, αὐτὸν δὲ τῶν ὀφθαλμῶν ἐστέρησεν. ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουσα τὸν κατήγορον ἐνίκησεν. ἐκρίθη γὰρ οὐκ ἄρχειν ὠμότητος, ἀλλ᾽ ἀμύνασθαι τὸν κατάρξαντα.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.
ΕΚΑΒΗ.
ΧΟΡΟΣ αἰχμαλωτίδων γυναικῶν.
ΠΟΛΥΞΕΝΗ.
ΟΔΥΣΣΕΥΣ.
ΤΑΛΘΥΒΙΟΣ.
ΘΕΡΑΠΑΙΝΑ.
ΑΓΑΜΕΜΝΩΝ.
ΠΟΛΥΜΗΣΤΩΡ, καὶ οἱ παῖδες αὐτοῦ.

ΕΥΡΙΠΙΔΟΥ ΕΚΑΒΗ.

ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.

Ἥκω, νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
λιπὼν, ἵν᾽ Ἅιδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως,
Πριάμου τε πατρός· ὅς μ᾽, ἐπεὶ Φρυγῶν πόλιν
κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
δείσας ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς
Πολυμήστορος πρὸς δῶμα, Θρηκίου ξένου,
ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα
σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
πατὴρ, ἵν᾽, εἴ ποτ᾽ Ἰλίου τείχη πέσοι,
τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
νεώτατος δ᾽ ἦν Πριαμιδῶν· ὃ καί με γῆς
ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα,
οὔτ᾽ ἔγχος οἷός τ᾽ ἦν νέῳ βραχίονι.
ἕως μὲν οὖν γῆς ὄρθ᾽ ἔκειθ᾽ ὁρίσματα,
πύργοι τ᾽ ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονὸς,
Ἕκτωρ τ᾽ ἀδελφὸς οὑμὸς εὐτύχει δορὶ,

καλῶς παρ᾽ ἀνδρὶ Θρῃκὶ, πατρῴῳ ξένῳ,
τροφαῖσιν, ὥς τις πτόρθος, ηὐξόμην τάλας.
ἐπεὶ δὲ Τροία θ᾽ Ἕκτορός τ᾽ ἀπόλλυται
ψυχὴ, πατρῴα θ᾽ ἑστία κατεσκάφη,
αὐτός τε βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ,
σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,
κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
ξένος πατρῷος, καὶ κτανὼν ἐς οἶδμ᾽ ἁλὸς
μεθῆχ᾽, ἵν᾽ αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
κεῖμαι δ᾽ ἐπ᾽ ἀκταῖς, ἄλλοτ᾽ ἐν πόντου σάλῳ,
πολλοῖς διαύλοις κυμάτων φορούμενος,
ἄκλαυστος, ἄταφος· νῦν δ᾽ ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀΐσσω, σῶμ᾽ ἐρημώσας ἐμὸν,
τριταῖον ἤδη φέγγος αἰωρούμενος,
ὅσονπερ ἐν γῇ τῇδε Χερσονησίᾳ
μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
πάντες δ᾽ Ἀχαιοὶ ναῦς ἔχοντες ἥσυχοι
θάσσουσ᾽ ἐπ᾽ ἀκταῖς τῆςδε Θρῃκίας χθονός·
ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς
κατέσχ᾽ Ἀχιλλεὺς πᾶν στράτευμ᾽ Ἑλληνικὸν,
πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην·
αἰτεῖ δ᾽ ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν.
καὶ τεύξεται τοῦδ᾽, οὐδ᾽ ἀδώρητος φίλων
ἔσται πρὸς ἀνδρῶν· ἡ πεπρωμένη δ᾽ ἄγει
θανεῖν ἀδελφὴν τῷδ᾽ ἐμὴν ἐν ἤματι.
δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
μήτηρ, ἐμοῦ τε, τῆς τε δυστήνου κόρης.
φανήσομαι γὰρ, ὡς τάφου τλήμων τύχω,

23. αὐτὸς δέ.

δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.
τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
τύμβου κυρῆσαι, κεἰς χέρας μητρὸς πεσεῖν.
τοὐμὸν μὲν οὖν, ὅσονπερ ἤθελον τυχεῖν,
ἔσται· γεραιᾷ δ᾽ ἐκποδὼν χωρήσομαι
Ἑκάβῃ· περᾷ γὰρ ἥδ᾽ ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ᾽ ἐμόν.
(φεῦ) ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
δούλειον ἦμαρ εἶδες, ὡς πράσσεις κακῶς,
ὅσονπερ εὖ ποτ᾽! ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ᾽ εὐπραξίας.

ΕΚΑΒΗ.

Ἄγετ᾽, ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
ἄγετ᾽ ὀρθοῦσαι τὴν ὁμόδουλον,
Τρῳάδες, ὑμῖν, πρόςθε δ᾽ ἄνασσαν.
λάβετε, φέρετε, πέμπετ᾽, ἀείρετέ μου
γεραιᾶς χειρὸς προςλαζύμεναι·
κἀγὼ σκολιῷ σκίπωνι χερὸς
διερειδομένα, σπεύσω βραδύπουν
ἤλυσιν ἄρθρων προτιθεῖσα.
ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ,
τί ποτ᾽ αἴρομαι ἔννυχος οὕτω
δείμασι, φάσμασιν; ὦ πότνια χθὼν,
μελανοπτερύγων μᾶτερ ὀνείρων,
ἀποπέμπομαι ἔννυχον ὄψιν,
ἃν περὶ παιδὸς ἐμοῦ τοῦ σωζομένου κατὰ Θρῄκην,
ἀμφὶ Πολυξείνης τε φίλης θυγατρὸς δι᾽ ὀνείρων
φοβερὰν ὄψιν ἔμαθον, ἐδάην.

60. νῦν ὁμόδ. 62. δέμας add. post μου. 74. εἶδον φοβ.

ὦ χθόνιοι θεοὶ, σώσατε παῖδ' ἐμὸν,
ὃς μόνος, οἴκων ἄγκυρά τ' ἐμῶν,
τὴν χιονώδη Θρῄκην κατέχει,
ξείνου πατρῴου φυλακαῖσιν.
ἔσται τι νέον·
ἥξει τι μέλος γοερὸν γοεραῖς.
οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
φρίσσει, ταρβεῖ.
ποῦ ποτε θείαν Ἑλένου ψυχὰν,
ἢ Κασάνδρας ἐςίδω, Τρῳάδες,
ὥς μοι κρίνωσιν ὀνείρους;
εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾷ
σφαζομέναν, ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν
ἀνάγκᾳ
οἰκτρῶς. καὶ τόδε δεῖμά μοι·
ἦλθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
φάντασμ' Ἀχιλέως·
ᾔτει δὲ γέρας τῶν πολυμόχθων
τινὰ Τρωϊάδων.
ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς
πέμψατε, δαίμονες, ἱκετεύω.

ΧΟΡΟΣ.

Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην,
τὰς δεσποσύνους σκηνὰς προλιποῦσ',
ἵν' ἐκληρώθην καὶ προςετάχθην
δούλη, πόλεως ἀπελαυνομένη
τῆς Ἰλιάδος, λόγχης αἰχμῇ
δοριθήρατος πρὸς Ἀχαιῶν,
οὐδὲν παθέων ἀποκουφίζουσ',
ἀλλ' ἀγγελίας βάρος ἀραμένη

μέγα, σοί τε, γύναι, κῆρυξ ἀχέων.
ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
λέγεται δόξαι, σὴν παῖδ' Ἀχιλεῖ
σφάγιον θέσθαι· τύμβου δ' ἐπιβὰς
οἶσθ' ὅτε χρυσέοις ἐφάνη ξὺν ὅπλοις,
τὰς ποντοπόρους δ' ἔσχε σχεδίας,
λαίφη προτόνοις ἐπερειδομένας,
τάδε θωΰσσων·
Ποῖ δὴ, Δαναοὶ, τὸν ἐμὸν τύμβον
στέλλεσθ' ἀγέραστον ἀφέντες;
πολλῆς δ' ἔριδος ξυνέπαισε κλύδων,
δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
στρατὸν αἰχμητὴν, τοῖς μὲν διδόναι
τύμβῳ σφάγιον, τοῖς δ' οὐχὶ δοκοῦν.
ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν
τῆς μαντιπόλου Βάκχης ἀνέχων
λέκτρ' Ἀγαμέμνων·
τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν,
δισσῶν μύθων ῥήτορες ἦσαν·
γνώμῃ δὲ μιᾷ ξυνεχωρείτην,
τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
αἵματι χλωρῷ· τὰ δὲ Κασάνδρας
λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλείας
πρόςθεν θήσειν ποτὲ λόγχης.
σπουδαὶ δὲ λόγων κατατεινομένων
ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων,
κόπις, ἡδυλόγος, δημοχαριστὴς
Λαερτιάδης πείθει στρατιὰν,
μὴ τὸν ἄριστον Δαναῶν πάντων
δούλων σφαγίων οὕνεκ' ἀπωθεῖν,

μηδέ τιν' εἰπεῖν παρὰ Περσεφόνῃ
στάντα φθιμένων,
ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς,
τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων,
Τροίας πεδίων ἀπέβησαν.
ἥξει δ' Ὀδυσεὺς ὅσον οὐκ ἤδη,
πῶλον ἀφέλξων σῶν ἀπὸ μαστῶν,
ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων.
ἀλλ' ἴθι ναοὺς, ἴθι πρὸς βωμοὺς,
ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων·
κήρυσσε θεοὺς, τούς τ' Οὐρανίδας,
τούς θ' ὑπὸ γαῖαν.
ἢ γάρ σε λιταὶ διακωλύσουσ'
ὀρφανὸν εἶναι παιδὸς μελέας,
ἢ δεῖ σ' ἐπιδεῖν τύμβου προπετῆ,
φοινισσομένην αἵματι παρθένον
ἐκ χρυσοφόρου
δειρῆς νασμῷ μελαναυγεῖ.

ΕΚΑΒΗ.

οἳ ἐγὼ μελέα, τί ποτ' ἀπύσω;
ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
δειλαία δειλαίου γήρως,
δουλείας τᾶς οὐ τλατᾶς,
τᾶς οὐ φερτᾶς· ὤ μοί μοι.
τίς ἀμύνει μοι; ποία γέννα,
ποία δὲ πόλις;
φροῦδος πρέσβυς, φροῦδοι παῖδες.
ποίαν, ἢ ταύταν, ἢ κείναν,
στείχω; ποῖ δ' ἥσω; ποῦ τις θεῶν,

160. ποῖ δ' ἥσω.

ἢ δαίμων ἔστ' ἐπαρωγός;
ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες, ὦ
κάκ' ἐνεγκοῦσαι πήματ', ἀπωλέσατ',
ὠλέσατ'· οὐκέτι μοι βίος
ἀγαστὸς ἐν φάει.
ὦ τλάμων, ἄγησαί μοι, πούς,
ἄγησαι τᾷ γραίᾳ
πρὸς τάνδ' αὐλάν· ὦ τέκνον, ὦ παῖ
δυστανοτάτας ματέρος, ἔξελθ',
ἔξελθ' οἴκων· ἄϊε ματέρος
αὐδὰν, ὦ τέκνον, ὡς εἰδῇς,
οἵαν, οἵαν
ἀΐω φάμαν περὶ σᾶς ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

(ἰὼ) μᾶτερ, μᾶτερ, τί βοᾷς; τί νέον
καρύξασ' οἴκων μ', ὥστ' ὄρνιν,
θάμβει τῷδ' ἐξέπταξας;

ΕΚΑΒΗ.

ἰώ μοι, τέκνον.

ΠΟΛΥΞΕΝΗ.

τί με δυσφημεῖς; φροίμιά μοι κακά.

ΕΚΑΒΗ.

αἶ, αἶ, σᾶς ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

ἐξαύδα, μὴ κρύψῃς δαρόν.
δειμαίνω, δειμαίνω, μᾶτερ,
τί ποτ' ἀναστένεις;

ΕΚΑΒΗ.

[ὦ] τέκνον, τέκνον μελέας ματρός.

177. ὤ μοι τ.

ΠΟΛΥΞΕΝΗ.

τί τόδ᾽ ἀγγέλλεις;

ΕΚΑΒΗ.

σφάξαι σ᾽ Ἀργείων κοινὰ
ξυντείνει πρὸς τύμβον γνώμα
Πηλείδα γέννᾳ.

ΠΟΛΥΞΕΝΗ.

οἴ μοι, μᾶτερ, πῶς φθέγγει
ἀμέγαρτα κακῶν; μάνυσόν μοι
μάνυσον, μᾶτερ.

ΕΚΑΒΗ.

αὐδῶ, παῖ, δυςφήμους φάμας·
ἀγγέλλουσ᾽ Ἀργείων δόξαι
ψήφῳ τᾶς σᾶς περί μοι ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

ὦ δεινὰ παθοῦσ᾽, ὦ παντλάμων,
ὦ δυστάνου, μᾶτερ, βιοτᾶς,
οἵαν, οἵαν αὖ σοι λώβαν
ἐχθίσταν, ἀῤῥήταν τ᾽
ὦρσέν τις δαίμων;
οὐκέτι σοι παῖς ἅδ᾽· οὐκέτι δὴ
γήρᾳ δειλαία δειλαίῳ
ξυνδουλεύσω.
σκύμνον γάρ μ᾽ ὥςτ᾽ οὐρειθρέπταν,
μόσχον δειλαία δειλαίαν
εἰςόψει χειρὸς ἀναρπαστὰν
σᾶς ἄπο, λαιμότομόν τ᾽ Ἀΐδᾳ
γᾶς ὑποπεμπομέναν σκότον, ἔνθα νεκρῶν μέτα
ἁ τάλαινα κείσομαι.

190. μάνυσόν μοι.

καὶ σὲ μὲν, ὦ μᾶτερ δύστανε,
κλάω πανοδύρτοις θρήνοις·
τὸν ἐμὸν δὲ βίον, λώβαν λύμαν τ᾽,
οὐ μετακλαίομαι. ἀλλὰ θανεῖν μοι
ξυντυχία κρείσσων ἐκύρησεν.

ΧΟΡΟΣ.

καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδὸς,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.

ΟΔΥΣΣΕΥΣ.

Γύναι, δοκῶ μέν σ᾽ εἰδέναι γνώμην στρατοῦ
ψῆφόν τε τὴν κρανθεῖσαν· ἀλλ᾽ ὅμως φράσω.
ἔδοξ᾽ Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
σφάξαι πρὸς ὀρθὸν χῶμ᾽ Ἀχιλλείου τάφου.
ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
τάσσουσιν εἶναι· θύματος δ᾽ ἐπιστάτης
ἱερεύς τ᾽ ἐπέστη τοῦδε παῖς Ἀχιλλέως.
οἶσθ᾽ οὖν ὃ δρᾶσον; μήτ᾽ ἀποσπασθῇς βίᾳ,
μήτ᾽ ἐς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί·
γίγνωσκε δ᾽ ἀλκὴν καὶ παρουσίαν κακῶν
τῶν σῶν. σοφόν τοι κἀν κακοῖς, ἃ δεῖ,
φρονεῖν.

ΕΚΑΒΗ.

αἶ, αἶ. παρέστηχ᾽, ὡς ἔοικ᾽, ἀγὼν μέγας,
πλήρης στεναγμῶν οὐδὲ δακρύων κενός.
κἀγὼ γὰρ οὐκ ἔθνησκον, οὗ μ᾽ ἐχρῆν
θανεῖν,
οὐδ᾽ ὤλεσέν με Ζεὺς, τρέφει δ᾽, ὅπως ὁρῶ
κακῶν κάκ᾽ ἄλλα μείζον᾽ ἡ τάλαιν᾽ ἐγώ.
εἰ δ᾽ ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους

208. σὲ μὲν, ὦ μᾶτερ, δύστανε βίον.

μὴ λυπρὰ μηδὲ καρδίας δηκτήρια
ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν,
ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.

ΟΔΥΣΣΕΥΣ.

ἔξεστ', ἐρώτα· τοῦ χρόνου γὰρ οὐ φθονῶ.

ΕΚΑΒΗ.

οἶσθ' ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;

ΟΔΥΣΣΕΥΣ.

οἶδ'· οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.

ΕΚΑΒΗ.

ἔγνω δέ σ' Ἑλένη, καὶ μόνῃ κατεῖπ' ἐμοί;

ΟΔΥΣΣΕΥΣ.

μεμνήμεθ' ἐς κίνδυνον ἐλθόντες μέγαν.

ΕΚΑΒΗ.

ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;

ΟΔΥΣΣΕΥΣ.

ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.

ΕΚΑΒΗ.

τί δῆτ' ἔλεξας, δοῦλος ὢν ἐμὸς τότε;

ΟΔΥΣΣΕΥΣ.

πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.

ΕΚΑΒΗ.

ἔσωσα δῆτά σ', ἐξέπεμψά τε χθονός;

ΟΔΥΣΣΕΥΣ.

ὥστ' εἰσορᾶν γε φέγγος ἡλίου τόδε.

ΕΚΑΒΗ.

οὔκουν κακύνει τοῖσδε τοῖς βουλεύμασιν,
ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες, οἷα φὴς παθεῖν,

δρᾷς

δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ', ὅσον δύνῃ;
ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
ζηλοῦτε τιμάς· μηδὲ γιγνώσκοισθέ μοι,
οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι
ἐς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποσφαγεῖν
πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων
ἐς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρῆν τάφῳ προσφάγματα·
κείνη γὰρ ὤλεσέν νιν ἐς Τροίαν τ' ἄγει.
εἰ δ' αἰχμάλωτον χρή τιν' ἔκκριτον θανεῖν
κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε·
ἡ Τυνδαρὶς γὰρ εἶδος εὐπρεπεστάτη,
ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧσσον εὑρέθη.
τῷ μὲν δικαίῳ τόνδ' ἁμιλλῶμαι λόγον·
ἃ δ' ἀντιδοῦναι δεῖ σ', ἀπαιτούσης ἐμοῦ,
ἄκουσον. ἥψω τῆς ἐμῆς, ὡς φὴς, χερὸς
καὶ τῆς γεραιᾶς προσπιτνῶν παρηΐδος·
ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
χάριν τ' ἀπαιτῶ τὴν τόθ', ἱκετεύω τέ σε,
μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
μηδὲ κτάνητε. τῶν τεθνηκότων ἅλις·
ταύτῃ γέγηθα κἀπιλήθομαι κακῶν·

252. γιγνώσκοισθ' ἐμοί. 262. χρή. 271. καὶ τῆσδε γραίας.

ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχὴ,
πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεὼν,
οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί.
κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι,
τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.
ἀλλ', ὦ φίλον γένειον, αἰδέσθητί με,
οἴκτειρον· ἐλθὼν δ' εἰς Ἀχαϊκὸν στρατὸν,
παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος
γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε
βωμῶν ἀποσπάσαντες, ἀλλ' ᾠκτείρατε.
νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος
καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃς, τὸ σὸν
πείσει· λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν
κἀκ τῶν δοκούντων αὐτὸς, οὐ ταυτὸν σθένει.

ΧΟΡΟΣ.

οὐκ ἔστιν οὕτω στεῤῥὸς ἀνθρώπου φύσις,
ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
κλύουσα θρήνους οὐκ ἂν ἐκβάλοι δάκρυ.

ΟΔΥΣΣΕΥΣ.

Ἑκάβη, διδάσκου, μηδὲ τῷ θυμουμένῳ
τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
ἐγὼ τὸ μὲν σὸν σῶμ', ὑφ' οὗπερ εὐτύχουν,
σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω·
ἃ δ' εἶπον εἰς ἅπαντας, οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης, ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.
ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,

293. τίς ἔστιν. 298. ηὐτύχουν.

ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
μηδὲν φέρηται τῶν κακιόνων πλέον.
ἡμῖν δ' Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ' ἀνήρ.
οὔκουν τόδ' αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
χρώμεσθ', ἐπεὶ δ' ἄπεστι, μὴ χρώμεσθ' ἔτι;
εἶεν. τί δῆτ' ἐρεῖ τις, ἤν τις αὖ φανῇ
στρατοῦ τ' ἄθροισις πολεμίων τ' ἀγωνία;
πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν,
κεἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι·
τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις.
εἰ δ' οἰκτρὰ πάσχειν φὴς, τάδ' ἀντάκουέ μου·
εἰσὶν παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
γραῖαι γυναῖκες ἠδὲ πρεσβῦται σέθεν,
νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,
ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
τόλμα τάδ'· ἡμεῖς δ', εἰ κακῶς νομίζομεν
τιμᾷν τὸν ἐσθλὸν, ἀμαθίαν ὀφλήσομεν·
οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.

ΧΟΡΟΣ.

αἶ, αἶ· τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ,
τολμᾷ θ' ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμενον.

309. ἐπεὶ δ' ὄλωλε. 329. πεφυκέναι. 330. τολμᾷν.

ΕΚΑΒΗ.

ὦ θύγατερ, οἱ 'μοὶ μὲν λόγοι πρὸς αἰθέρα
φροῦδοι, μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου·
σὺ δ', εἴ τι μείζω δύναμιν, ἢ μήτηρ, ἔχεις,
σπούδαζε, πάσας, ὥστ' ἀηδόνος στόμα,
φθογγὰς ἀφεῖσα, μὴ στερηθῆναι βίου.
πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,
καὶ πεῖθ'. ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
καὶ τῷδε, τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.

ΠΟΛΥΞΕΝΗ.

ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος
κρύπτοντα χεῖρα, καὶ πρόσωπον ἔμπαλιν
στρέφοντα, μή σου προσθίγω γενειάδος.
θάρσει· πέφευγας τὸν ἐμὸν Ἱκέσιον Δία·
ὡς ἕψομαί γε, τοῦ τ' ἀναγκαίου χάριν,
θανεῖν τε χρῄζουσ'· εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
τί γάρ με δεῖ ζῆν; ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων· — τοῦτό μοι πρῶτον βίου· —
ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
γυναιξὶ, παρθένοις ἀπόβλεπτος μέτα,
ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον·
νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
θανεῖν ἐρᾶν τίθησιν, οὐκ εἰωθὸς ὄν·
ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας

332. ῥιφέντες. 335. φθ. ἱεῖσα. 352. παρθένοις τ'.

τύχοιμ' ἂν, ὅστις ἀργύρου μ' ὠνήσεται,
τὴν Ἕκτορός τε χἀτέρων πολλῶν κάσιν,
προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
σαίρειν τε δῶμα κερκίσιν τ' ἐφεστάναι
λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει·
λέχη δὲ τἀμὰ δοῦλος ὠνητὸς ποθὲν
χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλεύθερον
φέγγος τόδ', Ἅιδῃ προστιθεῖσ' ἐμὸν δέμας.
ἄγ' οὖν μ', Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων·
οὔτ' ἐλπίδος γὰρ, οὔτε του δόξης ὁρῶ
θάρσος παρ' ἡμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ
λέγουσα, μηδὲ δρῶσα· συμβούλου δέ μοι
θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μὲν, ἀλγεῖ δ', αὐχέν' ἐντιθεὶς ζυγῷ·
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

ΧΟΡΟΣ.

δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς,
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις.

ΕΚΑΒΗ.

καλῶς μὲν εἶπας, θύγατερ· ἀλλὰ τῷ καλῷ
λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Πηλέως
χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν
ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε,
ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως

366. ἄγ' οὖν, 'Οδ. 370. μήτε δρ.

κεντεῖτε, μὴ φείδεσθ᾽· ἐγὼ ᾽τεκον Πάριν,
ὃς παῖδα Θέτιδος ὤλεσεν τόξοις βαλών.

ΟΔΥΣΣΕΥΣ.

οὐ σ᾽, ὦ γεραιὰ, κατθανεῖν Ἀχιλλέως
φάντασμ᾽ Ἀχαιοὺς, ἀλλὰ τήνδ᾽, ᾐτήσατο.

ΕΚΑΒΗ.

ὑμεῖς δέ μ᾽ ἀλλὰ θυγατρὶ συμφονεύσατε,
καὶ δὶς τόσον πῶμ᾽ αἵματος γενήσεται
γαίᾳ νεκρῷ τε τῷ τάδ᾽ ἐξαιτουμένῳ.

ΟΔΥΣΣΕΥΣ.

ἅλις κόρης σῆς θάνατος· οὐ προςοιστέος
ἄλλος πρὸς ἄλλῳ· μηδὲ τόνδ᾽ ὠφείλομεν.

ΕΚΑΒΗ.

πολλή γ᾽ ἀνάγκη θυγατρὶ συνθανεῖν ἐμέ.

ΟΔΥΣΣΕΥΣ.

πῶς; οὐ γὰρ οἶδα δεσπότας κεκτημένος.

ΕΚΑΒΗ.

ὁποῖα κισσὸς δρυὸς ὅπως, τῆςδ᾽ ἕξομαι.

ΟΔΥΣΣΕΥΣ.

οὔκ· ἤν γε πείθῃ τοῖσι σοῦ σοφωτέροις.

ΕΚΑΒΗ.

ὡς τῆςδ᾽ ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.

ΟΔΥΣΣΕΥΣ.

ἀλλ᾽ οὐδ᾽ ἐγὼ μὴν τήνδ᾽ ἄπειμ᾽ αὐτοῦ λιπών.

ΠΟΛΥΞΕΝΗ.

μῆτερ, πιθοῦ μοι· καὶ σὺ, παῖ Λαερτίου,
χάλα τοκεῦσιν εἰκότως θυμουμένοις,
σύ τ᾽, ὦ τάλαινα, τοῖς κρατοῦσι μὴ μάχου.
βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν

401. σὺ δ᾽, ὦ τ.

γέροντα χρῶτα πρὸς βίαν ὠθουμένη,
ἀσχημονῆσαί τ᾽ ἐκ νέου βραχίονος
σπασθεῖσ᾽; ἃ πείσει· μὴ σύ γ᾽· οὐ γὰρ ἄξιον.
ἀλλ᾽, ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
δὸς καὶ παρειὰν προςβαλεῖν παρηΐδι·
ὡς οὔ ποτ᾽ αὖθις, ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ᾽ ἡλίου προςόψομαι.
τέλος δέχου δὴ τῶν ἐμῶν προςφθεγμάτων.
ὦ μῆτερ, ὦ τεκοῦσ᾽, ἄπειμι δὴ κάτω —

ΕΚΑΒΗ.

ὦ θύγατερ, ἡμεῖς δ᾽ ἐν φάει δουλεύσομεν.

ΠΟΛΥΞΕΝΗ.

ἄνυμφος, ἀνυμέναιος, ὧν μ᾽ ἐχρῆν τυχεῖν.

ΕΚΑΒΗ.

οἰκτρὰ σὺ, τέκνον, ἀθλία δ᾽ ἐγὼ γυνή.

ΠΟΛΥΞΕΝΗ.

ἐκεῖ δ᾽ ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.

ΕΚΑΒΗ.

οἴ μοι τί δράσω; ποῖ τελευτήσω βίον;

ΠΟΛΥΞΕΝΗ.

δούλη θανοῦμαι, πατρὸς οὖσ᾽ ἐλευθέρου.

ΕΚΑΒΗ.

ἡμεῖς δὲ πεντήκοντά γ᾽ ἄμμοροι τέκνων.

ΠΟΛΥΞΕΝΗ.

τί σοι πρὸς Ἕκτορ᾽, ἢ γέροντ᾽ εἴπω πόσιν;

ΕΚΑΒΗ.

ἄγγελλε πασῶν ἀθλιωτάτην ἐμέ.

ΠΟΛΥΞΕΝΗ.

ὦ στέρνα, μαστοί θ᾽, οἵ μ᾽ ἐθρέψαθ᾽ ἡδέως.

410. δέχει.

ΕΚΑΒΗ.

ὦ τῆς ἀώρου θύγατερ ἀθλίας τύχης.

ΠΟΛΥΞΕΝΗ.

χαῖρ᾽, ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τέ μοι —

ΕΚΑΒΗ.

χαίρουσιν ἄλλοι, μητρὶ δ᾽ οὐκ ἔστιν τόδε.

ΠΟΛΥΞΕΝΗ.

ὅ τ᾽ ἐν φιλίπποις Θρῃξὶ Πολύδωρος κάσις.

ΕΚΑΒΗ.

εἰ ζῇ γ᾽· ἀπιστῶ δ᾽· ὧδε πάντα δυστυχῶ.

ΠΟΛΥΞΕΝΗ.

ζῇ, καὶ θανούσης ὄμμα συγκλείσει τὸ σόν.

ΕΚΑΒΗ.

τέθνηκ᾽ ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.

ΠΟΛΥΞΕΝΗ.

κόμιζ᾽, Ὀδυσσεῦ, μ᾽ ἀμφιθεὶς κάρα πέπλοις·
ὡς, πρὶν σφαγῆναί γ᾽, ἐκτέτηκα καρδίαν
θρήνοισι μητρὸς, τήνδε τ᾽ ἐκτήκω γόοις.
ὦ φῶς· — προσειπεῖν γὰρ σὸν ὄνομ᾽ ἔξεστί μοι,
μέτεστι δ᾽ οὐδὲν, πλὴν ὅσον χρόνον ξίφους
βαίνω μεταξὺ καὶ πυρᾶς Ἀχιλλέως.

ΕΚΑΒΗ.

οἳ ᾽γώ· προλείπω· λύεται δέ μου μέλη.
ὦ θύγατερ, ἅψαι μητρὸς, ἔκτεινον χέρα,
δός· μὴ λίπῃς μ᾽ ἄπαιδ᾽. ἀπωλόμην, φίλαι.
ὣς τὴν Λάκαιναν ξύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων
αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.

422. ἀθλία τ. 423. Κ. τ᾽ ἐμή. 425. Θρᾳξὶ.

ΧΟΡΟΣ.

Αὖρα, ποντιὰς αὖρα, (στροφὴ ά.)
ἅτε ποντοπόρους κομίζεις
θοὰς ἀκάτους ἐπ᾽ οἶδμα λίμνας,
ποῖ με τὰν μελέαν πορεύσεις;
τῷ δουλόσυνος πρὸς οἶκον
κτηθεῖσ᾽ ἀφίξομαι;
ἢ Δωρίδος ὅρμον αἴας,
ἢ Φθιάδος, ἔνθα τὸν καλλί-
στων ὑδάτων πατέρα
φασὶν Ἀπιδανὸν γύας λιπαίνειν;
ἢ νάσων, ἁλιήρει (ἀντιστρ. ά.)
κώπᾳ πεμπομέναν τάλαιναν,
οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
ἔνθα πρωτόγονός τε φοίνιξ
δάφνα θ᾽ ἱεροὺς ἀνέσχε
πτόρθους Λατοῖ φίλᾳ
ὠδῖνος ἄγαλμα δίας;
σὺν Δηλιάσιν τε κούραισιν,
Ἀρτέμιδος τε θεᾶς
χρυσέαν ἄμπυκα τόξα τ᾽ εὐλογήσω;
ἢ Παλλάδος ἐν πόλει (στροφὴ β΄.)
τᾶς καλλιδίφρου Ἀθα-
ναίας ἐν κροκέῳ πέπλῳ
ζεύξομαι ἅρματι πώλους,
ἐν δαιδαλέαισι ποι-
κίλλουσ᾽ ἀνθοκρόκοισι πήναις,
ἢ Τιτάνων γενεὰν,

448. ἔνθα καλλ. 450. πεδία λιπ. 458. κούραις.
462. καλλιδίφροι᾽ Ἀ.

τὰν Ζεὺς ἀμφιπύρῳ
κοιμίζει φλογμῷ Κρονίδας;
ᾤ μοι τεκέων ἐμῶν, (ἀντιστρ. β'.)
ᾤ μοι πατέρων, χθονός θ',
ἃ καπνῷ κατερείπεται
τυφομένα, δορίληπτος
ὑπ' Ἀργείων· ἐγὼ δ'
ἐν ξείνᾳ χθονὶ δὴ κέκλημαι
δούλα, λιποῦσ' Ἀσίαν
Εὐρώπας θεράπναν,
ἀλλάξασ' ᾅδα θαλάμους.

ΤΑΛΘΥΒΙΟΣ.

ποῦ τὴν ἄνασσαν δή ποτ' οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι, Τρῳάδες κόραι;

ΧΟΡΟΣ.

αὕτη πέλας σου, νῶτ' ἔχουσ' ἐπὶ χθονὶ,
Ταλθύβιε, κεῖται, ξυγκεκλεισμένη πέπλοις.

ΤΑΛΘΥΒΙΟΣ.

ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾷν;
ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην
ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος,
τύχην δὲ πάντα τἀν βροτοῖς ἐπισκοπεῖν;
οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν;
οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκεν δορὶ,
αὐτὴ δὲ δούλη, γραῦς, ἄπαις, ἐπὶ χθονὶ
κεῖται, κόνει φύρουσα δύστηνον κάρα.
φεῦ, φεῦ. γέρων μέν εἰμ'· ὅμως δέ μοι θανεῖν

474. πρὸς Ἀργ. 490. αὕτη δὲ.

εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.
ἀνίστασ', ὦ δύστηνε, καὶ μετάρσιον
πλευρὰν ἔπαιρε καὶ τὸ πάλλευκον κάρα.

ΕΚΑΒΗ.

ἔα· τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷς
κεῖσθαι; τί κινεῖς μ', ὅστις εἶ, λυπουμένην;

ΤΑΛΘΥΒΙΟΣ.

Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι, μέτα.

ΕΚΑΒΗ.

ὦ φίλτατ', ἆρα κἄμ' ἐπισφάξαι τάφῳ
δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
σπεύδωμεν, ἐγκονῶμεν, ἡγοῦ μοι, γέρον.

ΤΑΛΘΥΒΙΟΣ.

σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς, γύναι,
ἥκω μεταστείχων σε· πέμπουσιν δέ με
δισσοί τ' Ἀτρεῖδαι καὶ λεὼς Ἀχαϊκός.

ΕΚΑΒΗ.

οἴμοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους
μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
ὄλωλας, ὦ παῖ, μητρὸς ἁρπασθεῖσ' ἄπο·
ἡμεῖς δ' ἄτεκνοι τοὐπί σ'· ὦ τάλαιν' ἐγώ.
πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι;
ἢ πρὸς τὸ δεινὸν ἤλθεθ', ὡς ἐχθρὰν, γέρον,
κτείνοντες; εἰπὲ, καίπερ οὐ λέξων φίλα.

ΤΑΛΘΥΒΙΟΣ.

διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ

τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς·
λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς
ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ·
λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
ἕσποντο· πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυσον, ἔῤῥει χειρὶ παῖς Ἀχιλλέως
χοὰς θανόντι πατρί· σημαίνει δέ μοι
σιγὴν Ἀχαιῶν παντὶ κηρύξαι στρατῷ.
κἀγὼ παραστὰς εἶπον ἐν μέσοις τάδε·
Σιγᾶτ', Ἀχαιοὶ, σῖγα πᾶς ἔστω λεώς·
σίγα, σιώπα· νήνεμον δ' ἔστησ' ὄχλον.
ὁ δ' εἶπεν· Ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
δέξαι χοάς μοι τάσδε κηλητηρίους,
νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ,
λῦσαί τε πρύμνας καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν, πρευμενοῦς τ' ἀπ' Ἰλίου
νόστου τυχόντας πάντας ἐς πάτραν μολεῖν.
τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπεύξατο στρατός.
εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν
ἐξεῖλκε κολεοῦ, λογάσι δ' Ἀργείων στρατοῦ
νεανίαις ἔνευσε παρθένον λαβεῖν.
ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
ἑκοῦσα θνήσκω· μή τις ἅψηται χροὸς

537. ἐπηύξατο.

τοῦ 'μοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες κτείνατ'· ἐν νεκροῖσι γὰρ
δούλη κεκλῆσθαι, βασιλὶς οὖσ', αἰσχύνομαι.
λαοὶ δ' ἐπεῤῥόθησαν, Ἀγαμέμνων τ' ἄναξ
εἶπεν μεθεῖναι παρθένον νεανίαις.
[οἱ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.]
κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
ἔῤῥηξε λαγόνος ἐς μέσον παρ' ὀμφαλὸν,
μαστούς τ' ἔδειξε στέρνα θ', ὡς ἀγάλματος,
κάλλιστα· καὶ καθεῖσα πρὸς γαῖαν γόνυ,
ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδοὺ, τόδ' εἰ μὲν στέρνον, ὦ νεανία,
παίειν προθυμεῖ, παῖσον· εἰ δ' ὑπ' αὐχένα
χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.
ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,
τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς·
κρουνοὶ δ' ἐχώρουν. ἡ δὲ καὶ θνήσκουσ' ὅμως
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
κρύπτουσ', ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον·
ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
φύλλοις ἔβαλλον, οἱ δὲ πληροῦσιν πυρὰν,
κορμοὺς φέροντες πευκίνους, ὁ δ' οὐ φέρων
πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά·
Ἕστηκας, ὦ κάκιστε, τῇ νεάνιδι

550. r. sine uncis.

οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ
ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς λέγω
παιδὸς θανούσης· εὐτεκνωτάτην δέ σε
πασῶν γυναικῶν δυστυχεστάτην θ' ὁρῶ.

ΧΟΡΟΣ.

δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσεν
πόλει τε τῇ 'μῇ· θεῶν ἀναγκαῖον τόδε.

ΕΚΑΒΗ.

ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ τι βλέψω κακῶν,
πολλῶν παρόντων· ἢν γὰρ ἅψωμαι τινὸς,
τόδ' οὐκ ἐᾷ με, παρακαλεῖ δ' ἐκεῖθεν αὖ
λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
καὶ νῦν τὸ μὲν σὸν, ὥστε μὴ στένειν, πάθος
οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός·
τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
γενναῖος. οὔκουν δεινὸν, εἰ γῆ μὲν κακὴ,
τυχοῦσα καιροῦ θεόθεν, εὖ στάχυν φέρει,
χρηστὴ δ', ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὴν τυχεῖν,
κακὸν δίδωσι καρπόν; ἀνθρώποις δ' ἀεὶ
ὁ μὲν πονηρὸς οὐδὲν ἄλλο πλὴν κακὸς,
ὁ δ' ἐσθλὸς ἐσθλὸς, οὐδὲ συμφορᾶς ὕπο
φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί.
ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς
δίδαξιν ἐσθλοῦ· τοῦτο δ' ἤν τις εὖ μάθῃ,
οἶδεν τό γ' αἰσχρὸν, κανόνι τοῦ καλοῦ
μαθών.
καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην·
σὺ δ' ἐλθὲ καὶ σήμηνον 'Αργείοις τάδε,

μὴ θιγγάνειν μοι μηδέν', ἀλλ' εἴργειν ὄχλον
τῆς παιδός. ἔν τοι μυρίῳ στρατεύματι
ἀκόλαστος ὄχλος ναυτική τ' ἀναρχία
κρείσσων πυρὸς, κακὸς δ' ὁ μή τι δρῶν κακόν.
σὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι,
βάψασ' ἔνεγκε δεῦρο ποντίας ἁλὸς,
ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν,
νύμφην τ' ἄνυμφον παρθένον τ' ἀπάρθενον,
λούσω προθῶμαί θ'· — ὡς μὲν ἀξία, πόθεν;
οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω· τί γὰρ πάθω; —
κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
ναίουσιν, εἴ τις τοὺς νεωστὶ δεσπότας
λαθοῦσ' ἔχει τι κλέμμα τῶν αὑτῆς δόμων.
ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
ὦ πλεῖστ' ἔχων κάλλιστά τ', εὐτεκνώτατε
Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων,
ὡς ἐς τὸ μηδὲν ἥκομεν, φρονήματος
τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα,
ὁ μέν τις ἡμῶν πλουσίοις ἐν δώμασιν,
ὁ δ' ἐν πολίταις τίμιος κεκλημένος.
τάδ' οὐδέν· ἄλλως φροντίδων βουλεύματα,
γλώσσης τε κόμποι. κεῖνος ὀλβιώτατος,
ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.

ΧΟΡΟΣ.

'Εμοὶ χρῆν συμφορὰν, (στροφή.)
ἐμοὶ χρῆν πημονὰν γενέσθαι,
'Ιδαίαν ὅτε πρῶτον ὕλαν
'Αλέξανδρος εἰλατίναν

600. μου. 604. λαβοῦσ' ἀγγεῖον. 615. ἔχων, κάλλιστά τ' εὐτ.

ἐτάμεθ᾽, ἅλιον ἐπ᾽ οἶδμα ναυστολήσων
Ἑλένας ἐπὶ λέκτρα, τὰν
καλλίσταν ὁ χρυσοφαὴς
Ἅλιος αὐγάζει.
πόνοι γὰρ καὶ πόνων (ἀντιστροφή.)
ἀνάγκαι κρείσσονες κυκλοῦνται.
κοινὸν δ᾽ ἐξ ἰδίας ἀνοίας
κακὸν τᾷ Σιμουντίδι γᾷ
ὀλέθριον ἔμολε, συμφορά τ᾽ ἀπ᾽ ἄλλων.
ἐκρίθη δ᾽ ἔρις, ἃν ἐν Ἴ-
δᾳ κρίνει τρισσὰς μακάρων
παῖδας ἀνὴρ βούτας,
ἐπὶ δορὶ καὶ φόνῳ καὶ ἐμῶν μελά- (ἐπῳδός.)
θρων λώβᾳ·
στένει δέ καί τις ἀμφὶ τὸν εὔρουν Εὐρώταν
Λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα,
πολιόν τ᾽ ἐπὶ κρᾶτα μάτηρ,
τέκνων θανόντων, τίθεται χέρα,
δρύπτεταί τε παρειὰν,
δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς.

ΘΕΡΑΠΑΙΝΑ.

Γυναῖκες, Ἑκάβη ποῦ ποθ᾽ ἡ παναθλία,
ἡ πάντα νικῶσ᾽ ἄνδρα καὶ θῆλυν σπορὰν
κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.

ΧΟΡΟΣ.

τί δ᾽, ὦ τάλαινα σῆς κακογλώσσου βοῆς;
ὡς οὔ ποθ᾽ εὕδει λυπρά σου κηρύγματα.

ΘΕΡΑΠΑΙΝΑ.

Ἑκάβῃ φέρω τόδ᾽ ἄλγος· ἐν κακοῖσι δὲ
οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.

641. εὔροον.

ΧΟΡΟΣ.

καὶ μὴν περῶσα τυγχάνει δόμων ἄπο
ἥδ᾽, ἐς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,
δέσποιν᾽, ὄλωλας, οὐκέτ᾽ εἶ βλέπουσα φῶς,
ἄπαις, ἄνανδρος, ἄπολις, ἐξεφθαρμένη.

ΕΚΑΒΗ.

οὐ καινὸν εἶπας, εἰδόσιν δ᾽ ὠνείδισας.
ἀτὰρ τί νεκρὸν τόνδε μοι Πολυξένης
ἥκεις κομίζουσ᾽, ἧς ἀπηγγέλθη τάφος
πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;

ΘΕΡΑΠΑΙΝΑ.

ἥδ᾽ οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.

ΕΚΑΒΗ.

οἲ ᾽γὼ τάλαινα, μῶν τὸ βακχεῖον κάρα
τῆς θεσπιῳδοῦ δεῦρο Κασάνδρας φέρεις;

ΘΕΡΑΠΑΙΝΑ.

ζῶσαν λέλακας, τὸν θανόντα δ᾽ οὐ στένεις
τόνδ᾽. ἀλλ᾽ ἄθρησον σῶμα γυμνωθὲν νε-
κροῦ,
εἴ σοι φανεῖται θαῦμα καὶ παρ᾽ ἐλπίδας.

ΕΚΑΒΗ.

οἴμοι, βλέπω δὴ παῖδ᾽ ἐμὸν τεθνηκότα
Πολύδωρον, ὅν μοι Θρῂξ ἔσωζ᾽ οἴκοις ἀνήρ.
ἀπωλόμην δύστηνος, οὐκέτ᾽ εἰμὶ δή.
ὦ τέκνον, τέκνον,
αἶ, αἶ, κατάρχομαι νόμον

654. δόμων ὕπερ. 657. ὄλωλας· κοὐκέτ᾽.

βακχεῖον, ἐξ ἀλάστορος
ἀρτιμαθὴς κακῶν.

ΘΕΡΑΠΑΙΝΑ.

ἔγνως γὰρ ἄτην παιδὸς, ὦ δύστηνε σύ;

ΕΚΑΒΗ.

ἄπιστ᾽, ἄπιστα, καινὰ, καινὰ δέρκομαι.
ἕτερα δ᾽ ἀφ᾽ ἑτέρων κακὰ κακῶν κυρεῖ·
οὐδέποτ᾽ ἀδάκρυτον, ἀστένακτον ἁ-
μαρ ἔμ᾽ ἐπισχήσει.

ΧΟΡΟΣ.

δείν᾽, ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.

ΕΚΑΒΗ.

ὦ τέκνον, τέκνον ταλαίνας ματρὸς,
τίνι μόρῳ θνήσκεις, τίνι πότμῳ κεῖσαι;
πρὸς τίνος ἀνθρώπων;

ΘΕΡΑΠΑΙΝΑ.

οὐκ οἶδ᾽· ἐπ᾽ ἀκταῖς νιν κυρῶ θαλασσίαις.

ΕΚΑΒΗ.

ἔκβλητον, ἢ πέσημα φοινίου δορός;

ΘΕΡΑΠΑΙΝΑ.

ἐν ψαμάθῳ λευρᾷ
πόντου νιν ἐξήνεγκε πελάγιος κλύδων.

ΕΚΑΒΗ.

ὤ μοι, αἶ αἶ,
ἔμαθον ἐνύπνιον, ὀμμάτων
ἐμῶν ὄψιν — οὔ με παρέβα φάντα-
σμα μελανόπτερον —

680. 1. ἀδάκρυτος, ἀστένακτος | ἁμέρα μ᾽ ἐπ. 690. ὤ μοι. 692. 3. φάσμα μελ.

ἃν ἐσεῖδον ἀμφί σ᾽,
ὦ τέκνον, οὐκέτ᾽ ὄντα Διὸς ἐν φάει.

ΘΕΡΑΠΑΙΝΑ.

τίς γάρ νιν ἔκταν᾽; οἶσθ᾽, ὀνειρόφρον, φράσαι;

ΕΚΑΒΗ.

ἐμὸς, ἐμὸς ξένος, Θρήκιος ἱππότας,
ἵν᾽ ὁ γέρων πατὴρ ἔθετό νιν κρύψας.

ΘΕΡΑΠΑΙΝΑ.

ὤ μοι, τί λέξεις; χρυσὸν ὡς ἔχῃ κτανών;

ΕΚΑΒΗ.

ἄῤῥητ᾽, ἀνωνόμαστα, θαυμάτων πέρα,
οὐχ ὅσι᾽, οὐδ᾽ ἀνεκτά. ποῦ δίκα ξένων;
ὦ κατάρατ᾽ ἀνδρῶν, ὡς διεμοιράσω
χρόα, σιδαρέῳ τεμὼν φασγάνῳ
μέλεα τοῦδε παιδὸς, οὐδ᾽ ᾤκτισας.

ΧΟΡΟΣ.

ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
δαίμων ἔθηκεν, ὅστις ἐστί σοι βαρύς.
ἀλλ᾽ — εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας
Ἀγαμέμνονος — τοὐνθένδε σιγῶμεν, φίλαι.

ΑΓΑΜΕΜΝΩΝ.

Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ
ἐλθοῦσ᾽, ἐφ᾽ οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι,
μὴ θιγγάνειν σῆς μηδέν᾽ Ἀργείων κόρης;
ἡμεῖς μὲν οὖν ἐῶμεν, οὐδὲ ψαύομεν·
σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
ἥκω δ᾽ ἀποστελῶν σε· τἀκεῖθεν γὰρ εὖ

696. 699. Praef. Χορός. 699. ἔχοι. 701. οὐχ ὅσιά τ᾽, οὐδ᾽.

πεπραγμέν' ἐστὶν, εἴ τι τῶνδ' ἐστὶν καλῶς.
ἔα, τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
θανόντα Τρώων; οὐ γὰρ Ἀργείων, πέπλοι
δέμας περιπτύσσοντες ἀγγέλλουσί μοι.

ΕΚΑΒΗ.

δύστην', — ἐμαυτὴν γὰρ λέγω, λέγουσά σε, —
Ἑκάβη, τί δράσω; πότερα προςπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;

ΑΓΑΜΕΜΝΩΝ.

τί μοι προςώπῳ νῶτον ἐγκλίνασα σὸν
δύρει, τὸ πραχθὲν δ' οὐ λέγεις; τίς ἔσθ' ὅδε;

ΕΚΑΒΗ.

ἀλλ' εἴ με δούλην πολεμίαν θ' ἡγούμενος
γονάτων ἀπώσαιτ', ἄλγος ἂν προςθείμεθ' ἄν.

ΑΓΑΜΕΜΝΩΝ.

οὔ τοι πέφυκα μάντις, ὥςτε μὴ κλύων
ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.

ΕΚΑΒΗ.

ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυςμενὲς
μᾶλλον φρένας τοῦδ', ὄντος οὐχὶ δυςμενοῦς;

ΑΓΑΜΕΜΝΩΝ.

εἴ τοι με βούλει τῶνδε μηδὲν εἰδέναι,
ἐς ταυτὸν ἥκεις· καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.

ΕΚΑΒΗ.

οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
τέκνοισι τοῖς ἐμοῖσι. τί στρέφω τάδε;
τολμᾶν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων
καὶ σοῦ γενείου δεξιᾶς τ' εὐδαίμονος.

ΑΓΑΜΕΜΝΩΝ.

τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
αἰῶνα θέσθαι; ῥάδιον γάρ ἐστί σοι.

ΕΚΑΒΗ.

οὐ δῆτα· τοὺς κακοὺς δὲ τιμωρουμένη,
αἰῶνα τὸν ξύμπαντα δουλεῦσαι θέλω.

ΑΓΑΜΕΜΝΩΝ.

καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;

ΕΚΑΒΗ.

οὐδέν τι τούτων, ὧν σὺ δοξάζεις, ἄναξ.
ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;

ΑΓΑΜΕΜΝΩΝ.

ὁρῶ· τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.

ΕΚΑΒΗ.

τοῦτόν ποτ' ἔτεκον κἄφερον ζώνης ὕπο.

ΑΓΑΜΕΜΝΩΝ.

ἔστιν δὲ τίς σῶν οὗτος, ὦ τλῆμον, τέκνων;

ΕΚΑΒΗ.

οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.

ΑΓΑΜΕΜΝΩΝ.

ἦ γάρ τιν' ἄλλον ἔτεκες, ἢ κείνους, γύναι;

ΕΚΑΒΗ.

ἀνόνητά γ', ὡς ἔοικε, τόνδ', ὃν εἰςορᾷς.

ΑΓΑΜΕΜΝΩΝ.

ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πτόλις;

ΕΚΑΒΗ.

πατήρ νιν ἐξέπεμψεν, ὀῤῥωδῶν θανεῖν.

ΑΓΑΜΕΜΝΩΝ.

ποῖ τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;

746. δέ τις.

ΕΚΑΒΗ.

ἐς τήνδε χώραν, οὗπερ εὑρέθη θανών.

ΑΓΑΜΕΜΝΩΝ.

πρὸς ἄνδρ᾽, ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;

ΕΚΑΒΗ.

ἐνταῦθ᾽ ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.

ΑΓΑΜΕΜΝΩΝ.

θνήσκει δὲ πρὸς τοῦ, καὶ τίνος πότμου τυχών;

ΕΚΑΒΗ.

τίνος γ᾽ ὑπ᾽ ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.

ΑΓΑΜΕΜΝΩΝ.

ὦ τλῆμον, ἦπου χρυσὸν ἠράσθη λαβεῖν;

ΕΚΑΒΗ.

τοιαῦτ᾽, ἐπειδὴ ξυμφορὰν ἔγνω Φρυγῶν.

ΑΓΑΜΕΜΝΩΝ.

εὗρες δὲ ποῦ νιν, ἢ τίς ἤνεγκεν νεκρόν;

ΕΚΑΒΗ.

ἥδ᾽, ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.

ΑΓΑΜΕΜΝΩΝ.

τοῦτον ματεύουσ᾽, ἢ πονοῦσ᾽ ἄλλον πόνον;

ΕΚΑΒΗ.

λοῦτρ᾽ ᾤχετ᾽ οἴσουσ᾽ ἐξ ἁλὸς Πολυξένῃ.

ΑΓΑΜΕΜΝΩΝ.

κτανών νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.

ΕΚΑΒΗ.

θαλασσόπλαγκτόν γ᾽, ὧδε διατεμὼν χρόα.

ΑΓΑΜΕΜΝΩΝ.

ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων!

757. τίνος πρὸς ἄ.

ΕΚΑΒΗ.

ὄλωλα, κοὐδὲν λοιπὸν, Ἀγάμεμνον, κακῶν.

ΑΓΑΜΕΜΝΩΝ.

φεῦ, φεῦ· τίς οὕτω δυστυχὴς ἔφυ γυνή;

ΕΚΑΒΗ.

οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
ἀλλ᾽ ὧνπερ οὕνεκ᾽ ἀμφὶ σὸν πίπτω γόνυ,
ἄκουσον. εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
στέργοιμ᾽ ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
τιμωρὸς ἀνδρὸς, ἀνοσιωτάτου ξένου,
ὃς οὔτε τοὺς γῆς νέρθεν, οὔτε τοὺς ἄνω
δείσας δέδρακεν ἔργον ἀνοσιώτατον,
κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοὶ,
ξενίας τ᾽ ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων·
τυχὼν δ᾽ ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν,
ἔκτεινε, τύμβου δ᾽, εἰ κτανεῖν ἐβούλετο,
οὐκ ἠξίωσεν, ἀλλ᾽ ἀφῆκε πόντιον.
ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως·
ἀλλ᾽ οἱ θεοὶ σθένουσι χὠ κείνων κρατῶν
νόμος· νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
καὶ ζῶμεν ἄδικα καὶ δίκαι᾽ ὡρισμένοι·
ὃς ἐς σ᾽ ἀνελθὼν εἰ διαφθαρήσεται,
καὶ μὴ δίκην δώσουσιν, οἵτινες ξένους
κτείνουσιν ἢ θεῶν ἱερὰ τολμῶσιν φέρειν,
οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
ταῦτ᾽ οὖν ἐν αἰσχρῷ θέμενος, αἰδέσθητί με,
οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ᾽ ἀποσταθεὶς
ἰδοῦ με κἀνάθρησον οἷ᾽ ἔχω κακά.
τύραννος ἦν ποτ᾽, ἀλλὰ νῦν δούλη σέθεν,

777. πρῶτος ὢν ἐμ. φ.

εὔπαις ποτ᾽ οὖσα, νῦν δὲ γραῦς ἄπαις θ᾽ ἅμα,
ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν.
οἴμοι τάλαινα, ποῖ μ᾽ ὑπεξάγεις πόδα;
ἔοικα πράξειν οὐδέν· ὦ τάλαιν᾽ ἐγώ!
τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
μοχθοῦμεν, ὡς χρὴ, πάντα, καὶ μαστεύομεν,
πειθὼ δὲ, τὴν τύραννον ἀνθρώποις μόνην,
οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν
μισθοὺς διδόντες μανθάνειν, ἵν᾽ ᾖ ποτὲ
πείθειν, ἅ τις βούλοιτο, τυγχάνειν θ᾽ ἅμα;
πῶς οὖν ἔτ᾽ ἄν τις ἐλπίσαι πράξειν καλῶς;
οἱ μὲν τοσοῦτοι παῖδες οὐκέτ᾽ εἰσί μοι,
αὐτὴ δ᾽ ἐπ᾽ αἰσχροῖς αἰχμάλωτος οἴχομαι·
καπνὸν δὲ πόλεως τόνδ᾽ ὑπερθρώσκονθ᾽ ὁρῶ.
καὶ μὴν — ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν· ἀλλ᾽ ὅμως εἰρήσεται· —
πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται
ἡ φοιβὰς, ἣν καλοῦσι Κασάνδραν Φρύγες.
ποῦ τὰς φίλας δῆτ᾽ εὐφρόνας δείξεις, ἄναξ,
ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
χάριν τιν᾽ ἕξει παῖς ἐμὴ, κείνης δ᾽ ἐγώ;
ἐκ τοῦ σκότου γὰρ τῶν τε νυκτέρων πάνυ
φίλτρων μεγίστη γίγνεται βροτοῖς χάρις.
ἄκουε δή νυν· τὸν θανόντα τόνδ᾽ ὁρᾷς;
τοῦτον καλῶς δρῶν ὄντα κηδεστὴν σέθεν
δράσεις. ἑνός μοι μῦθος ἐνδεὴς ἔτι.
εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι
καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει,
ἢ Δαιδάλου τέχναισιν, ἢ θεῶν τινὸς,

816. δὴ νῦν.

ὡς πάνθ᾽ ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων
κλάοντ᾽, ἐπισκήπτοντα παντοίους λόγους.
ὦ δέσποτ᾽, ὦ μέγιστον Ἕλλησιν φάος,
πιθοῦ, πάρασχε χεῖρα τῇ πρεσβύτιδι
τιμωρὸν, εἰ καὶ μηδέν ἐστιν, ἀλλ᾽ ὅμως.
ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ᾽ ὑπηρετεῖν,
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.

ΧΟΡΟΣ.

δεινόν γε, θνητοῖς ὡς ἅπαντα συμπιτνεῖ,
καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
φίλους τιθέντες τούς γε πολεμιωτάτους,
ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.

ΑΓΑΜΕΜΝΩΝ.

ἔγωγε καὶ σὸν παῖδα καὶ τύχας σέθεν,
Ἑκάβη, δι᾽ οἴκτου χεῖρά θ᾽ ἱκεσίαν ἔχω,
καὶ βούλομαι θεῶν θ᾽ οὕνεκ᾽ ἀνόσιον ξένον
καὶ τοῦ δικαίου τήνδε σοι δοῦναι δίκην,
εἴ πως φανείη γ᾽, ὥστε σοί τ᾽ ἔχειν καλῶς,
στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
ἔστιν γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι·
τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατὸς,
τὸν κατθανόντα δ᾽ ἐχθρόν· εἰ δέ σοι φίλος
ὅδ᾽ ἐστι, χωρὶς τοῦτο κοὐ κοινὸν στρατῷ.
πρὸς ταῦτα φρόντιζ᾽· ὡς θέλοντα μέν μ᾽ ἔχεις
σοὶ ξυμπονῆσαι καὶ ταχὺν προσαρκέσαι,
βραδὺν δ᾽, Ἀχαιοῖς εἰ διαβληθήσομαι.

ΕΚΑΒΗ.

(φεῦ) οὐκ ἔστι θνητῶν, ὅστις ἔστ᾽ ἐλεύθερος·

825. παράσχες. 833. ἐγὼ σέ.

ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης,
ἢ πλῆθος αὐτὸν πόλεος, ἢ νόμων γραφαὶ
εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
ἐπεὶ δὲ ταρβεῖς τῷ τ' ὄχλῳ πλέον νέμεις,
ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
ξύνισθι μὲν γάρ, ἤν τι βουλεύσω κακὸν
τῷ τόνδ' ἀποκτείναντι, συνδράσῃς δὲ μή.
ἢν δ' ἐξ Ἀχαιῶν θόρυβος, ἢ 'πικουρία,
πάσχοντος ἀνδρὸς Θρῃκὸς οἷα πείσεται,
φανῇ τις, εἶργε, μὴ δοκῶν, ἐμὴν χάριν.
τὰ δ' ἄλλα θάρσει· πάντ' ἐγὼ θήσω καλῶς.

ΑΓΑΜΕΜΝΩΝ.

πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
λαβοῦσα γραίᾳ φῶτα βάρβαρον κτενεῖς,
ἢ φαρμάκοισιν, ἢ 'πικουρίᾳ τίνι;
τίς σοι ξυνέσται χείρ; πόθεν κτήσει φίλους;

ΕΚΑΒΗ.

στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον.

ΑΓΑΜΕΜΝΩΝ.

τὰς αἰχμαλώτους εἶπας, Ἑλλήνων ἄγραν;

ΕΚΑΒΗ.

ξὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.

ΑΓΑΜΕΜΝΩΝ.

καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;

ΕΚΑΒΗ.

δεινὸν τὸ πλῆθος, ξὺν δόλῳ τε δύσμαχον.

ΑΓΑΜΕΜΝΩΝ.

δεινόν· τὸ μέντοι θῆλυ μέμφομαι γένος.

ΕΚΑΒΗ.

τί δ'; οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα,

καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
ἀλλ' ὧς γενέσθαι· τόνδε μὲν μέθες λόγον·
πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
γυναῖκα. καὶ σὺ, Θρῃκὶ πλαθεῖσα ξένῳ,
λέξον· Καλεῖ σ' ἄνασσα δή ποτ' Ἰλίου
Ἑκάβη, σὸν οὐκ ἔλασσον ἢ κείνης χρέος,
καὶ παῖδας· ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
τοὺς ἐξ ἐκείνης. τὸν δὲ τῆς νεοσφαγοῦς
Πολυξένης ἐπίσχες, Ἀγάμεμνον, τάφον,
ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογὶ,
δισσὴ μεριμνα μητρὶ, κρυφθῆτον χθονί.

ΑΓΑΜΕΜΝΩΝ.

ἔσται τάδ' οὕτω· καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν·
νῦν δ', — οὐ γὰρ ἵησ' οὐρίους πνοὰς θεὸς, —
μένειν ἀνάγκη, πλοῦν ὁρῶντας ἥσυχον.
γένοιτο δ' εὖ πως· πᾶσι γὰρ κοινὸν τόδε,
ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν
κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν.

ΧΟΡΟΣ.

Σὺ μὲν, ὦ πατρὶς Ἰλιὰς, (στροφὴ ά.)
τῶν ἀπορθήτων πόλις οὐκέτι λέξει·
τοῖον Ἑλλάνων νέφος ἀμφί σε κρύπτει
δορὶ δὴ, δορὶ πέρσαν.
ἀπὸ δὲ στεφάναν κέκαρσαι
πύργων, κατὰ δ' αἰθάλου
κηλῖδ' οἰκτροτάταν κέχρωσαι,
τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.
μεσονύκτιος ὠλλύμαν, (ἀντιστρ. ά.)

871. γενέσθω.

ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς ἐπ' ὄσσοις
κίδναται, μολπᾶν δ' ἄπο καὶ χοροποιῶν
θυσιᾶν καταπαύσας
πόσις ἐν θαλάμοις ἔκειτο,
ξυστὸν δ' ἐπὶ πασσάλῳ,
ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
Τροίαν Ἰλιάδ' ἐμβεβῶτα.
Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις (στροφὴ β'.)
μίτραισιν ἐῤῥυθμιζόμαν
χρυσέων ἐνόπτρων
λεύσσουσ' ἀτέρμονας εἰς αὐγὰς,
ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν·
κέλευσμα δ' ἦν κατ' ἄστυ Τροί-
ας τόδ'· Ὦ παῖδες Ἑλλάνων, πότε δὴ,
πότε τὰν Ἰλιάδα σκοπιὰν
πέρσαντες ἥξετ' οἴκους;
λέχη δὲ φίλια μονόπεπλος (ἀντιστρ. β'.)
λιποῦσα, Δωρὶς ὡς κόρα,
σεμνὰν προσίζουσ'
οὐκ ἤνυσ' Ἄρτεμιν ἁ τλάμων.
ἄγομαι δὲ θανόντ' ἰδὼν ἀκοίταν
τὸν ἐμὸν, ἅλιον ἐπὶ πέλαγος
πόλιν τ' ἀποσκοποῦσ', ἐπεὶ
νόστιμον ναῦς ἐκίνησεν πόδα καί μ'
ἀπὸ γᾶς ὥρισεν Ἰλιάδος·
τάλαιν', ἀπεῖπον ἄλγει.
τὰν τοῖν Διοσκόροιν Ἑλέναν κάσιν, Ἰ- (ἐπῳδός.)
δαῖόν τε βούταν αἰνόπαριν κατάρᾳ

908. ἐπιδέμνιον. 924. Διοσκούροιν.

διδοῦσ', ἐπεί με γᾶς
ἐκ πατρῴας ἀπώλεσεν
ἐξῴκισέ τ' οἴκων γάμος, οὐ γάμος, ἀλλ'
ἀλάστορός τις οἰζύς·
ἃν μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν,
μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον.

ΠΟΛΥΜΗΣΤΩΡ.

Ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σὺ,
Ἑκάβη, δακρύω σ' εἰσορῶν πόλιν τε σὴν,
τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
(φεῦ) οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ' εὐδοξία,
οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.
φύρουσι δ' αὔθ' οἱ θεοὶ πάλιν τε καὶ πρόσω,
ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ
θρηνεῖν, προκόπτοντ' οὐδὲν ἐς πρόσθεν κακῶν;
σὺ δ' εἴ τι μέμφει τῆς ἐμῆς ἀπουσίας,
σχές· τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις
ἀπὼν, ὅτ' ἦλθες δεῦρ'· ἐπεὶ δ' ἀφικόμην,
ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι
ἐς ταυτὸν ἥδε συμπιτνεῖ δμωῒς σέθεν,
λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.

ΕΚΑΒΗ.

αἰσχύνομαί σε προσβλέπειν ἐναντίον,
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει,
ἐν τῷδε πότμῳ τυγχάνουσ', ἵν' εἰμὶ νῦν,
κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις.
ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν,

928. ἐξῴκισεν τ'. 937. αὐτὰ θεοί.

Πολυμῆστορ· ἄλλως δ᾽ αἴτιόν τι καὶ νόμος,
γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὶ θαῦμά γ᾽ οὐδέν. ἀλλὰ τίς χρεία σ᾽ ἐμοῦ;
τί χρῆμ᾽ ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;

ΕΚΑΒΗ.

ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι
καὶ παῖδας εἰπεῖν σούς· ὀπάονας δέ μοι
χωρὶς κέλευσον τῶνδ᾽ ἀποστῆναι δόμων.

ΠΟΛΥΜΗΣΤΩΡ.

χωρεῖτ᾽· ἐν ἀσφαλεῖ γὰρ ἥδ᾽ ἐρημία.
φίλη μὲν ἡμῖν εἶ σὺ, προςφιλὲς δέ μοι
στράτευμ᾽ Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρὴ,
τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
φίλοις ἐπαρκεῖν· ὡς ἕτοιμός εἰμ᾽ ἐγώ.

ΕΚΑΒΗ.

πρῶτον μὲν εἰπὲ παῖδ᾽ ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον ἔκ τε πατρὸς ἐν δόμοις ἔχεις,
εἰ ζῇ· τὰ δ᾽ ἄλλα δεύτερόν σ᾽ ἐρήσομαι.

ΠΟΛΥΜΗΣΤΩΡ.

μάλιστα· τοὐκείνου μὲν εὐτυχεῖς μέρος.

ΕΚΑΒΗ.

ὦ φίλταθ᾽, ὡς εὖ κἀξίως σέθεν λέγεις.

ΠΟΛΥΜΗΣΤΩΡ.

τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;

ΕΚΑΒΗ.

εἰ τῆς τεκούσης τῆςδε μέμνηταί τί μου.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὶ δεῦρό γ᾽ ὥς σε κρύφιος ἐζήτει μολεῖν.

961. φίλη μὲν εἶ σὺ, πρ. δέ μοι τόδε.

ΕΚΑΒΗ.

χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;

ΠΟΛΥΜΗΣΤΩΡ.

σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.

ΕΚΑΒΗ.

σῶσόν νυν αὐτὸν, μηδ᾽ ἔρα τῶν πλησίον.

ΠΟΛΥΜΗΣΤΩΡ.

ἥκιστ᾽· ὀναίμην τοῦ παρόντος, ὦ γύναι.

ΕΚΑΒΗ.

οἶσθ᾽ οὖν ἃ λέξαι σοί τε καὶ παισὶν θέλω;

ΠΟΛΥΜΗΣΤΩΡ.

οὐκ οἶδα· τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.

ΕΚΑΒΗ.

ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλεῖ.

ΠΟΛΥΜΗΣΤΩΡ.

τί χρῆμ᾽, ὃ κἀμὲ καὶ τέκν᾽ εἰδέναι χρεών;

ΕΚΑΒΗ.

χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.

ΠΟΛΥΜΗΣΤΩΡ.

ταῦτ᾽ ἔσθ᾽, ἃ βούλει παιδὶ σημῆναι σέθεν;

ΕΚΑΒΗ.

μάλιστα, διὰ σοῦ γ᾽· εἶ γὰρ εὐσεβὴς ἀνήρ.

ΠΟΛΥΜΗΣΤΩΡ.

τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;

ΕΚΑΒΗ.

ἄμεινον, ἢν σὺ κατθάνῃς, τούςδ᾽ εἰδέναι.

ΠΟΛΥΜΗΣΤΩΡ.

καλῶς ἔλεξας τῇδε καὶ σοφώτερον.

ΕΚΑΒΗ.

οἶσθ᾽ οὖν Ἀθάνας Ἰλίας ἵνα στέγαι.

ΠΟΛΥΜΗΣΤΩΡ.
ἐνταῦθ᾽ ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
ΕΚΑΒΗ.
μέλαινα πέτρα γῆς ὑπερτέλλουσ᾽ ἄνω.
ΠΟΛΥΜΗΣΤΩΡ.
ἔτ᾽ οὖν τι βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
ΕΚΑΒΗ.
σῶσαί σε χρήμαθ᾽, οἷς ξυνεξῆλθον, θέλω.
ΠΟΛΥΜΗΣΤΩΡ.
ποῦ δῆτα; πέπλων ἐντὸς ἢ κρύψασ᾽ ἔχεις;
ΕΚΑΒΗ.
σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
ΠΟΛΥΜΗΣΤΩΡ.
ποῦ δ᾽; αἵδ᾽ Ἀχαιῶν ναύλοχοι περιπτυχαί.
ΕΚΑΒΗ.
ἴδιαι γυναικῶν αἰχμαλωτίδων στέγαι.
ΠΟΛΥΜΗΣΤΩΡ.
τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;
ΕΚΑΒΗ.
οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ᾽ ἡμεῖς μόναι.
ἀλλ᾽ ἕρπ᾽ ἐς οἴκους· καὶ γὰρ Ἀργεῖοι νεῶν
λῦσαι ποθοῦσιν οἴκαδ᾽ ἐκ Τροίας πόδα·
ὡς πάντα πράξας, ὧν σε δεῖ, στείχῃς πάλιν
ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.
ΧΟΡΟΣ.
οὔπω δέδωκας, ἀλλ᾽ ἴσως δώσεις δίκην·
ἀλίμενον τις ὡς ἐς ἄντλον ἐμπεσὼν
λέχριος ἐκπέσῃ φίλας καρδίας,
ἀμέρσας βίον. τὸ γὰρ ὑπέγγυον

1003. πεσών.

δίκᾳ

δίκᾳ καὶ θεοῖσιν οὐ ξυμπιτνεῖ
ὀλέθριον, ὀλέθριον κακόν.
ψεύσει σ᾽ ὁδοῦ τῆσδ᾽ ἐλπὶς, ἥ σ᾽ ἐπήγαγε
θανάσιμον πρὸς Ἀΐδαν, ὦ τάλας·
ἀπολέμῳ δὲ χειρὶ λείψεις βίον.
ΠΟΛΥΜΗΣΤΩΡ.
ᾤ μοι, τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
ΗΜΙΧΟΡΙΟΝ.
ἠκούσατ᾽ ἀνδρὸς Θρῃκὸς οἰμωγὴν, φίλαι;
ΠΟΛΥΜΗΣΤΩΡ.
ᾤ μοι μάλ᾽ αὖθις, τέκνα, δυστήνου σφαγῆς!
ΗΜΙΧΟΡΙΟΝ.
φίλαι, πέπρακται καίν᾽ ἔσω δόμων κακά.
ΠΟΛΥΜΗΣΤΩΡ.
ἀλλ᾽ οὔτι μὴ φύγητε λαιψηρῷ ποδί·
βάλλων γὰρ οἴκων τῶνδ᾽ ἀναῤῥήξω μυχούς.
ΗΜΙΧΟΡΙΟΝ.
ἰδοὺ, βαρείας χειρὸς ὁρμᾶται βέλος.
βούλεσθ᾽ ἐπεσπέσωμεν; ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι Τρῳάσιν τε συμμάχους.
ΕΚΑΒΗ.
ἄρασσε, φείδου μηδὲν, ἐκβάλλων πύλας·
οὐ γάρ ποτ᾽ ὄμμα λαμπρὸν ἐνθήσεις κόραις,
οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν᾽ ἐγώ.
ΧΟΡΟΣ.
ἦ γὰρ καθεῖλες Θρῆκα, καὶ κρατεῖς ξένου,
δέσποινα, καὶ δέδρακας, οἷά περ λέγεις;
ΕΚΑΒΗ.
ὄψει νιν αὐτίκ᾽ ὄντα δωμάτων πάρος

1006. θεοῖσιν οὔ. 1023. Praef. Ἡμιχ.

τυφλὸν, τυφλῷ στείχοντα παραφόρῳ ποδὶ,
παίδων τε δισσῶν σώμαθ᾽, οὓς ἔκτειν᾽ ἐγὼ
ξὺν ταῖς ἀρίσταις Τρῳάσιν· δίκην δέ μοι
δέδωκε· χωρεῖ δ᾽, ὡς ὁρᾷς, ὅδ᾽ ἐκ δόμων.
ἀλλ᾽ ἐκποδὼν ἄπειμι κἀποστήσομαι
θυμῷ ζέοντι Θρῃκὶ δυσμαχωτάτῳ.

ΠΟΛΥΜΗΣΤΩΡ.

ᾤ μοι ἐγώ,
πᾶ βῶ, πᾶ στῶ, πᾶ κέλσω;
τετράποδος βάσιν θηρὸς ὀρεστέρου
τιθέμενος ἐπὶ χεῖρα κατ᾽ ἴχνος;
ποίαν, ἢ ταύταν, ἢ τάνδ᾽
ἐξαλλάξω,
τὰς ἀνδροφόνους μάρψαι χρῄζων
['Ιλιάδας] αἵ με διώλεσαν;
τάλαιναι, τάλαιναι κόραι Φρυγῶν,
ὦ κατάρατοι, ποῖ καί με φυγᾷ
πτώσσουσι μυχῶν;
εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
ἀκέσαι᾽, ἀκέσαιο τυφλὸν, Ἅλιε,
φέγγος ἀπαλλάξας!
ἆ ἆ. σίγα, σίγα, κρυπτὰν
βάσιν αἰσθάνομαι τᾶνδε γυναικῶν.
πᾶ πόδ᾽ ἐπᾴξας σαρκῶν ὀ-
στέων τ᾽ ἐμπλησθῶ,
θοίναν ἀγρίων θηρῶν τιθέμενος
ἀρνύμενος λώβαν,
λύμας ἀντίποιν᾽ ἐμᾶς; ὦ τάλας!
ποῖ, πᾶ φέρομαι τέκν᾽ ἔρημα λιπὼν

1039. 'Ιλιάδας sine uncis. 1046. σίγα semel. 1052. ἰὼ τάλας.

Βάκχαις Ἅιδου διαμοιρᾶσαι,
σφακτάν κυσί τε φοινίαν δαῖτ᾽, ἀνή-
μερόν τ᾽ οὐρείαν ἐκβολάν;
πᾶ στῶ, πᾶ κάμψω, πᾶ βῶ,
ναῦς ὅπως ποντίοις πείσμασι λινόκροκον
φάρος στέλλων,
ἐπὶ τάνδε συθεὶς τέκνων ἐμῶν φύλαξ
ὀλέθριον κοίταν;

ΧΟΡΟΣ.

ὦ τλῆμον, ὥς σοι δύσφορ᾽ εἴργασται κακά·
δράσαντι δ᾽ αἰσχρὰ, δεινὰ τἀπιτίμια
δαίμων ἔδωκεν, ὅστις ἐστί σοι βαρύς.

ΠΟΛΥΜΗΣΤΩΡ.

αἶ αἶ, ἰὼ Θρῄκης
λογχοφόρον, ἔνοπλον, εὔϊππον, Ἄρε-
ϊ κάτοχον γένος!
ἰὼ Ἀχαιοί, ἰὼ Ἀτρεῖδαι!
βοάν, βοὰν ἀϋτῶ, βοάν·
ὦ ἴτε, μόλετε πρὸς θεῶν.
κλύει τις, ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;
γυναῖκες ὤλεσάν με,
γυναῖκες αἰχμαλώτιδες.
δεινά, δεινὰ πεπόνθαμεν.
ὤ μοι ἐμᾶς λώβας!
ποῖ τράπωμαι; ποῖ πορευθῶ;
αἰθέρ᾽ ἀμπτάμενος οὐράνιον ὑ-
ψιπετὲς ἐς μέλαθρον,

1055. κυσίν. 1056. – μερον ὀρείαν τ᾽ ἐκβ. 1058. πεί-σμασιν. 1066. εὔοπλον. 1070. ἴτ᾽ ἴτε.

Ὠρίων ἢ Σείριος ἔνθα πυρὸς φλογέας ἀφίη-
σιν ὄσσων αὐγάς;
ἢ τὸν ἐς ἀΐδα μελανοχρῶτα πορ-
θμὸν ᾄξω τάλας.

ΧΟΡΟΣ.

ξύγγνωσθ', ὅταν τις κρείσσον' ἢ φέρειν κακὰ
πάθῃ, ταλαίνης ἐξαπαλλάξαι ζοῆς.

ΑΓΑΜΕΜΝΩΝ.

κραυγῆς ἀκούσας ἦλθον· οὐ γὰρ ἥσυχος
πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἠχὼ, διδοῦσα θόρυβον. εἰ δὲ μὴ Φρυγῶν
πύργους πεσόντας ᾔσμεν Ἑλλήνων δορὶ,
φόβον παρέσχ' ἂν οὐ μέσως ὅδε κτύπος.

ΠΟΛΥΜΗΣΤΩΡ.

ὦ φίλτατ', — ᾐσθόμην γὰρ, Ἀγάμεμνον, σέθεν
φωνῆς ἀκούσας, — εἰσορᾷς ἃ πάσχομεν;

ΑΓΑΜΕΜΝΩΝ.

(ἔα) Πολυμῆστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσεν;
τίς ὄμμ' ἔθηκε τυφλὸν, αἱμάξας κόρας,
παῖδάς τε τούσδ' ἔκτεινεν; ἦ μέγαν χόλον
σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.

ΠΟΛΥΜΗΣΤΩΡ.

Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
ἀπώλεσ', οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.

ΑΓΑΜΕΜΝΩΝ.

τί φῄς; σὺ τοὔργον εἴργασαι τόδ', ὡς λέγει;
σὺ τόλμαν, Ἑκάβη, τήνδ' ἔτλης ἀμήχανον;

1082. ἀΐξω.

ΠΟΛΥΜΗΣΤΩΡ.

ᾤ μοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;
σήμηνον, εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν
διασπάσωμαι καὶ καθαιμάξω χρόα.

ΑΓΑΜΕΜΝΩΝ.

οὗτος, τί πάσχεις;

ΠΟΛΥΜΗΣΤΩΡ.

πρὸς θεῶν σε λίσσομαι,
μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα.

ΑΓΑΜΕΜΝΩΝ.

ἴσχ'· ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον,
λέγ', ὡς ἀκούσας σοῦ τε τῆσδέ τ' ἐν μέρει
κρίνω δικαίως, ἀνθ' ὅτου πάσχεις τάδε.

ΠΟΛΥΜΗΣΤΩΡ.

λέγοιμ' ἄν. ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
ὕποπτος ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
τοῦτον κατέκτειν'· ἀνθ' ὅτου δ' ἔκτεινά νιν,
ἄκουσον, ὡς εὖ καὶ σοφῇ προμηθίᾳ.
ἔδεισα, μή σοι πολέμιος λειφθεὶς ὁ παῖς
Τροίαν ἀθροίσῃ καὶ ξυνοικίσῃ πάλιν,
γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινὰ
Φρυγῶν ἐς αἶαν αὖθις αἴροιεν στόλον,
κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε
λεηλατοῦντες, γείτοσιν δ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νῦν, ἄναξ, ἐκάμνομεν.
Ἑκάβη δὲ, παιδὸς γνοῦσα θανάσιμον μόρον,
λόγῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
θήκας φράσουσα Πριαμιδῶν ἐν Ἰλίῳ

χρυσοῦ· μόνον δὲ σὺν τέκνοισί μ᾽ εἰσάγει
δόμους, ἵν᾽ ἄλλος μή τις εἰδείη τάδε.
ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ·
πολλαὶ δὲ, χειρὸς αἱ μὲν ἐξ ἀριστερᾶς,
αἱ δ᾽ ἔνθεν, ὡς δὴ παρὰ φίλῳ, Τρώων κόραι
θάκουν, ἔχουσαι κερκίδ᾽ Ἠδωνῆς χερὸς,
ᾔνουν θ᾽, ὑπ᾽ αὐγὰς τούσδε λεύσσουσαι πέπλους·
ἄλλαι δὲ, κάμακα Θρῃκίαν θεώμεναι,
γυμνόν μ᾽ ἔθηκαν διπτύχου στολίσματος.
ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι
τέκν᾽ ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
γένοιντο, διαδοχαῖς ἀμείβουσαι χεροῖν.
κᾆτ᾽ ἐκ γαληνῶν, πῶς δοκεῖς, προσφθεγμάτων
εὐθὺς λαβοῦσαι φάσγαν᾽ ἐκ πέπλων ποθὲν
κεντοῦσι παῖδας, αἱ δὲ πολεμίων δίκην
ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας
καὶ κῶλα· παισὶ δ᾽ ἀρκέσαι χρῄζων ἐμοῖς,
εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν,
κόμης κατεῖχον, εἰ δὲ κινοίην χέρας,
πλήθει γυναικῶν οὐδὲν ἤνυτον τάλας.
τὸ λοίσθιον δὲ, πῆμα πήματος πλέον,
ἐξειργάσαντο δείν᾽· ἐμῶν γὰρ ὀμμάτων,
πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
κεντοῦσιν, αἱμάσσουσιν· εἶτ᾽ ἀνὰ στέγας
φυγάδες ἔβησαν· ἐκ δὲ πηδήσας ἐγὼ,
θὴρ ὣς, διώκω τὰς μιαιφόνους κύνας,
ἅπαντ᾽ ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν

1135. γένοιτο.

πέπονθα τὴν σὴν πολέμιόν τε σὸν κτανὼν,
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς,
ἢ νῦν λέγων τις ἔστιν, ἢ μέλλει λέγειν,
ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
τοιόνδ᾽· ὁ δ᾽ ἀεὶ ξυντυχὼν ἐπίσταται.

ΧΟΡΟΣ.

μηδὲν θρασύνου, μηδὲ τοῖς σαυτοῦ κακοῖς
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος.
πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἰσ᾽ ἐπίφθονοι,
αἱ δ᾽ εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.

ΕΚΑΒΗ.

Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτὲ
τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.
ἀλλ᾽ εἴτε χρήστ᾽ ἔδρασε, χρήστ᾽ ἔδει λέγειν,
εἴτ᾽ αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθροὺς,
καὶ μὴ δύνασθαι τἄδικ᾽ εὖ λέγειν ποτέ.
σοφοὶ μὲν οὖν εἰσ᾽ οἱ τάδ᾽ ἠκριβωκότες,
ἀλλ᾽ οὐ δύναιντ᾽ ἂν διὰ τέλους εἶναι σοφοὶ,
κακῶς δ᾽ ἀπώλοντ᾽· οὔτις ἐξήλυξέ πω.
καί μοι τὸ μὲν σὸν ὧδε φροιμίοις ἔχει·
πρὸς τόνδε δ᾽ εἶμι, καὶ λόγοις ἀμείψομαι,
ὃς φὴς Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν
Ἀγαμέμνονός θ᾽ ἕκατι παῖδ᾽ ἐμὸν κτανεῖν.
ἀλλ᾽, ὦ κάκιστε, πρῶτον οὔ ποτ᾽ ἂν φίλον
τὸ βάρβαρον γένοιτ᾽ ἂν Ἕλλησιν γένος,
οὔτ᾽ ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν,
πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ,

1155. ἢ νῦν λέγει τις, ἢ πάλιν μέλλει λέγειν.

ἢ ξυγγενὴς ὤν; ἢ τίν᾽ αἰτίαν ἔχων;
ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα,
πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
ὁ χρυσὸς, εἰ βούλοιο τἀληθῆ λέγειν,
ἔκτεινε τὸν ἐμὸν παῖδα καὶ κέρδη τὰ σά.
ἐπεὶ δίδαξον τοῦτο· πῶς, ὅτ᾽ εὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ᾽ ἔτι πτόλιν,
ἔζη τε Πρίαμος, Ἕκτορός τ᾽ ἤνθει δόρυ,
τί δ᾽ οὐ τότ᾽, εἴπερ τῷδ᾽ ἐβουλήθης χάριν
θέσθαι, τρέφων τὸν παῖδα κἀν δόμοις ἔχων
ἔκτεινας, ἢ ζῶντ᾽ ἦλθες Ἀργείοις ἄγων;
ἀλλ᾽ ἡνίχ᾽ ἡμεῖς οὐκέτ᾽ ἦμεν ἐν φάει,
καπνῷ δ᾽ ἐσήμην᾽ ἄστυ πολεμίων ὕπο,
ξένον κατέκτας σὴν μολόντ᾽ ἐφ᾽ ἑστίαν.
πρὸς τοῖσδε νῦν ἄκουσον, ὡς φανεῖ κακός.
χρῆν σ᾽, εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσιν φίλος,
τὸν χρυσὸν, ὃν φῂς οὐ σὸν, ἀλλὰ τοῦδ᾽, ἔχειν,
δοῦναι φέροντα πενομένοις τε καὶ χρόνον
πολὺν πατρῴας γῆς ἀπεξενωμένοις·
σὺ δ᾽ οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ᾽ ἐν δόμοις.
καὶ μὴν τρέφων μὲν, ὥς σε παῖδ᾽ ἐχρῆν τρέφειν,
σώσας τε τὸν ἐμὸν, εἶχες ἂν καλὸν κλέος·
ἐν τοῖς κακοῖς γὰρ οἱ ᾽γαθοὶ σαφέστατοι
φίλοι· τὰ χρηστὰ δ᾽ αὔθ᾽ ἕκαστ᾽ ἔχει φίλους.
εἰ δ᾽ ἐσπάνιζες χρημάτων, ὁ δ᾽ εὐτύχει,
θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ᾽ οὑμὸς μέγας·
νῦν δ᾽ οὔτ᾽ ἐκεῖνον ἄνδρ᾽ ἔχεις σαυτῷ φίλον,
χρυσοῦ τ᾽ ὄνησις οἴχεται παῖδές τε σοὶ,

1184. ηὐτύχει. 1190. ἐσήμαιν᾽. 1204. ηὐτύχει.

αὐτός τε πράσσεις ὧδε. σοὶ δ᾽ ἐγὼ λέγω,
Ἀγάμεμνον, εἰ τῷδ᾽ ἀρκέσεις, κακὸς φανεῖ·
οὔτ᾽ εὐσεβῆ γὰρ, οὔτε πιστὸν οἷς ἐχρῆν,
οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον·
αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σὲ φήσομεν
τοιοῦτον ὄντα· δεσπότας δ᾽ οὐ λοιδορῶ.

ΧΟΡΟΣ.

φεῦ, φεῦ· βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
χρηστῶν ἀφορμὰς ἐνδίδωσ᾽ ἀεὶ λόγων.

ΑΓΑΜΕΜΝΩΝ.

ἀχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά·
ὅμως δ᾽ ἀνάγκη· καὶ γὰρ αἰσχύνην φέρει,
πρᾶγμ᾽ ἐς χέρας λαβόντ᾽ ἀπώσασθαι τόδε.
ἐμοὶ δ᾽, ἵν᾽ εἰδῇς, οὔτ᾽ ἐμὴν δοκεῖς χάριν,
οὔτ᾽ οὖν Ἀχαιῶν, ἄνδρ᾽ ἀποκτεῖναι ξένον,
ἀλλ᾽ ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς.
λέγεις δὲ σαυτῷ πρόσφορ᾽, ἐν κακοῖσιν ὤν.
τάχ᾽ οὖν παρ᾽ ὑμῖν ῥᾴδιον ξενοκτονεῖν·
ἡμῖν δέ γ᾽ αἰσχρὸν τοῖσιν Ἕλλησιν τόδε.
πῶς οὖν σε κρίνας μὴ ᾽δικεῖν, φύγω ψόγον;
οὐκ ἂν δυναίμην. ἀλλ᾽ ἐπεὶ τὰ μὴ καλὰ
πράσσειν ἐτόλμας, τλῆθι καὶ τὰ μὴ φίλα.

ΠΟΛΥΜΗΣΤΩΡ.

οἴμοι, γυναικὸς, ὡς ἔοιχ᾽, ἡσσώμενος
δούλης, ὑφέξω τοῖς κακίοσιν δίκην.

ΑΓΑΜΕΜΝΩΝ.

οὔκουν δικαίως, εἴπερ εἰργάσω κακά;

ΠΟΛΥΜΗΣΤΩΡ.

οἴμοι τέκνων τῶνδ᾽ ὀμμάτων τ᾽ ἐμῶν, τάλας!

1225. μὴ ἀδικεῖν.

ΕΚΑΒΗ.

ἀλγεῖς· τί δ' ἡμᾶς; παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;

ΠΟΛΥΜΗΣΤΩΡ.

χαίρεις ὑβρίζουσ' εἰς ἔμ', ὦ πανοῦργε σύ.

ΕΚΑΒΗ.

οὐ γάρ με χαίρειν χρή, σε τιμωρουμένην;

ΠΟΛΥΜΗΣΤΩΡ.

ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτὶς —

ΕΚΑΒΗ.

μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλληνίδος;

ΠΟΛΥΜΗΣΤΩΡ.

κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.

ΕΚΑΒΗ.

πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων;

ΠΟΛΥΜΗΣΤΩΡ.

αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσει ποδί.

ΕΚΑΒΗ.

ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;

ΠΟΛΥΜΗΣΤΩΡ.

κύων γενήσει πύρσ' ἔχουσα δέργματα.

ΕΚΑΒΗ.

πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;

ΠΟΛΥΜΗΣΤΩΡ.

ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.

ΕΚΑΒΗ.

σοὶ δ' οὐκ ἔχρησεν οὐδέν, ὧν ἔχεις, κακῶν;

ΠΟΛΥΜΗΣΤΩΡ.

οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.

ΕΚΑΒΗ.

θανοῦσα δ', ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;

ΠΟΛΥΜΗΣΤΩΡ.

θανοῦσα· τύμβῳ δ' ὄνομα σῷ κεκλήσεται —

ΕΚΑΒΗ.

μορφῆς ἐπῳδὸν ἢ τι τῆς ἐμῆς ἐρεῖς;

ΠΟΛΥΜΗΣΤΩΡ.

κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.

ΕΚΑΒΗ.

οὐδέν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.

ΕΚΑΒΗ.

ἀπέπτυσ'· αὐτῷ ταῦτα σοὶ δίδωμ' ἔχειν.

ΠΟΛΥΜΗΣΤΩΡ.

κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.

ΕΚΑΒΗ.

μή πω μανείη Τυνδαρὶς τοσόνδε παῖς.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὐτὸν σὲ τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.

ΑΓΑΜΕΜΝΩΝ.

οὗτος σὺ, μαίνει, καὶ κακῶν ἐρᾷς τυχεῖν.

ΠΟΛΥΜΗΣΤΩΡ.

κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.

ΑΓΑΜΕΜΝΩΝ.

οὐχ ἕλξετ' αὐτὸν, δμῶες, ἐκποδὼν βίᾳ;

ΠΟΛΥΜΗΣΤΩΡ.

ἀλγεῖς ἀκούων;

ΑΓΑΜΕΜΝΩΝ.

οὐκ ἐφέξετε στόμα;

1252. ταῦτά σοι. 1255. καὐτόν γε τ.

ΠΟΛΥΜΗΣΤΩΡ.

ἐγκλείετ᾽· εἴρηται γάρ.

ΑΓΑΜΕΜΝΩΝ.

οὐχ ὅσον τάχος
νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη, σὺ δ᾽, ὦ τάλαινα, διπτύχους νεκροὺς
στείχουσα θάπτε· δεσποτῶν δ᾽ ὑμᾶς χρεὼν
σκηναῖς πελάζειν, Τρῳάδες· καὶ γὰρ πνοὰς
πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
εὖ δ᾽ ἐς πάτραν πλεύσαιμεν, εὖ δὲ τὰν δόμοις
ἔχοντ᾽ ἴδοιμεν, τῶνδ᾽ ἀφειμένοι πόνων.

ΧΟΡΟΣ.

ἴτε πρὸς λιμένας σκηνάς τε, φίλαι,
τῶν δεσποσύνων πειρασόμεναι
μόχθων· στεῤῥὰ γὰρ ἀνάγκα.

ΤΕΛΟΣ ΕΚΑΒΗΣ.

ΕΥΡΙΠΙΔΟΥ

ΟΡΕΣΤΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Ὀρέστης, τὸν φόνον τοῦ πατρὸς μεταπορευόμενος, ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν· μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν, ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ, τοῦ πατρὸς τῆς ἀνῃρημένης, κατηγορήσαντος κατ᾽ αὐτοῦ, ἔμελλον Ἀργεῖοι κοινὴν ψῆφον ἐκφέρεσθαι περὶ τοῦ, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα· κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ἑλένην εἰςαπέστειλε, μεθ᾽ ἡμέραν δὲ αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπ᾽ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη· λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. *** συνὼν δὲ τούτοις ὁ Πυλάδης, ὁ φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων· Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν εἰς χεῖρας αὐτοῖς· οἱ δὲ ταύτην φονεύειν ἔμελλον· ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπ᾽ αὐτῶν, ἐπεβάλετο τὰ βασίλεια πορθεῖν· οἱ δὲ φθάσαντες, ὑφάψειν ἠπείλησαν. ἐπιφανεὶς δὲ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τοῦ φόνου, Ἄργους ἄρχειν.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων Ἠλέκτρας, αἳ καὶ παραγίνονται, ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. προλογίζει δὲ Ἠλέκτρα· τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν· ἡ δὲ διασκευὴ τοῦ δράματός ἐστι τοιαύτη· πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προςκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ, τί δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται· οὕτω δὲ μᾶλλον ἐδόκει τὸν ἀδελφὸν τημελεῖν, πλησιαίτερον προςκαθεζομένη. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι· διηγέρθη γὰρ ἂν ὁ Ὀρέστης, ἄρτι καὶ μόγις καταδραθεὶς, πλησιαίτερον αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησὶν Ἠλέκτρα τῷ χορῷ· Σίγα, σίγα, λεπτὸν ἴχνος ἀρβύλης· πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως. τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων· χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἦσαν.

ALIUD ARGUMENTUM E COD. GUELPHERBYTANO.

Ὅτε κατὰ τῶν Τρώων ἡ Ἑλλὰς ὥρμησεν, Ἀγαμέμνων στρατηγὸς ᾑρέθη παντὸς τοῦ στόλου, ἅτε τῶν ἄλλων προέχειν δοκῶν ἀρχῆς τε μεγέθει καὶ πλήθει νεῶν· ἑκατὸν γὰρ ναῦς εἰς τὴν τοῦ στόλου συντέλειαν εἰςέφερε. καὶ ὃς μέλλων ἀνάγεσθαι

καταλείπει

καταλείπει τῶν οἴκοι πραγμάτων αὐτοῦ ἐπιμελητὴν καὶ προστάτην Αἴγισθον. ἐπεὶ δὲ πολὺς ἠνύετο χρόνος καὶ Ἀγαμέμνων οὐκ ἔτ᾽ ἐπανῄει, οἷα δὴ πολλὰ γίνεται, συνῆλθεν ἀθέσμως Αἴγισθος Κλυταιμνήστρᾳ, τῇ τοῦ Ἀγαμέμνονος γυναικί. μαθόντες δὲ Κλυταιμνήστρα καὶ Αἴγισθος τήν τε Τροίαν ἁλοῦσαν καὶ Ἀγαμέμνονα μετὰ τῶν ἄλλων οἴκαδε πλέοντα, βουλεύονται τοῦτον τῆς οἰκίας ἐπειλημμένον ἀποκτενεῖν, ἵνα μὴ τούτῳ, γνωσθέντος τοῦ σφῶν πονηρεύματος, αὐτοὶ παραδοθεῖεν θανάτῳ· ὃ δὴ καὶ ἤνυσαν. καὶ ἐπανελθόντα τὸν Ἀγαμέμνονα ἀποκτείνουσι· χιτῶνα γὰρ μὴ διεξόδους κεφαλῆς καὶ χειρῶν ἔχοντα μετὰ τὸ λουτρὸν ἐνδιδύσκουσι καὶ ἐν τῷ πελέκει τοῦτον φονεύουσι. μεταξὺ γοῦν τοῦ Ἀγαμεμνονείου φόνου Ἠλέκτρα τὸν ἀδελφὸν Ὀρέστην, ἵνα μὴ καὶ οὗτος ἀναιρεθείη, κλέψασα καί τινι δοῦσα παιδαγωγῷ εἰς Φωκίδα παρὰ Στρόφιον πέμπει, φίλον καὶ συγγενῆ τοῦ πατρὸς αὐτῆς τυγχάνοντα. Ὀρέστης δὲ εἰς ἄνδρας ἥκων, παραλαβὼν Πυλάδην τὸν παῖδα Στροφίου, ἐφ᾽ ᾧ μετ᾽ αὐτοῦ Αἴγισθον καὶ Κλυταιμνήστραν τιμωρήσαιτο, καταλαμβάνει λάθρα τὸ Ἄργος. καὶ χρησμὸν παρὰ τοῦ Πυθίου δεξάμενος τοῦτο ποιεῖν, πρῶτον μὲν ἔρχεται πρὸς τὸν τοῦ πατρὸς τάφον καὶ θύει, εἶτά τι μηχανᾶται τοιόνδε· τὸν γὰρ παιδαγωγὸν, ᾧ παρὰ τῆς Ἠλέκτρας πάλαι πιστευθεὶς ἧκεν, ὡς ἔφημεν, εἰς τὴν Φωκίδα, τοῦτον προπέμπει εἰς Αἴγισθον καὶ Κλυταιμνήστραν λέγοντα, ὡς Ὀρέστης ἐν Πυθικοῖς ἄθλοις ἀνῃρέθη καὶ νῦν ἄνδρες τὰ τούτου ὀστᾶ ἐν κιβωτίῳ κομίζουσιν, ἵνα πατρῴων γοῦν τάφων τύχῃ. ὑπαχθέντες δὲ τῇ τοιαύτῃ ἀπάτῃ Κλυταιμνήστρα καὶ Αἴγισθος, ἵνα μὴ μακρολογῶ, ἀναιροῦνται ὑπὸ Ὀρέστου καὶ Πυλάδου, πρώτη μὲν Κλυταιμνήστρα, ὕστερος δὲ Αἴγισθος. μητροκτονήσας τοίνυν Ὀρέστης Ἐριννύσι παραχρῆμα τὴν δίκην ἔδωκε μανείς. Μενέλαος δὲ ἐκ Τροίας ἐλθὼν — ὕστερος γὰρ

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ
χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων Ἠλέ-
κτρας, αἳ καὶ παραγίνονται, ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθα-
νόμεναι συμφορᾶς. προλογίζει δὲ Ἠλέκτρα· τὸ δὲ δρᾶμα κω-
μικωτέραν ἔχει τὴν καταστροφήν· ἡ δὲ διασκευὴ τοῦ δράματός
ἐστι τοιαύτη· πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται
Ὀρέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ
προςκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ, τί
δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται· οὕτω δὲ μᾶλλον ἐδό-
κει τὸν ἀδελφὸν τημελεῖν, πλησιαίτερον προςκαθεζομένη. ἔοι-
κεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι· διηγέρθη γὰρ
ἂν ὁ Ὀρέστης, ἄρτι καὶ μόγις καταδραθεὶς, πλησιαίτερον
αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ
ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησὶν Ἠλέκτρα τῷ χορῷ· Σίγα, σίγα,
λεπτὸν ἴχνος ἀρβύλης· πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφα-
σιν τῆς τοιαύτης διαθέσεως. τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδο-
κιμούντων· χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου, πάν-
τες φαῦλοι ἦσαν.

ALIUD ARGUMENTUM E COD. GUELPHERBYTANO.

Ὅτε κατὰ τῶν Τρώων ἡ Ἑλλὰς ὥρμησεν, Ἀγαμέμνων στρα-
τηγὸς ᾑρέθη παντὸς τοῦ στόλου, ἅτε τῶν ἄλλων προέχειν δο-
κῶν ἀρχῆς τε μεγέθει καὶ πλήθει νεῶν· ἑκατὸν γὰρ ναῦς εἰς
τὴν τοῦ στόλου συντέλειαν εἰςέφερε. καὶ ὃς μέλλων ἀνάγεσθαι

καταλείπει

καταλείπει τῶν οἴκοι πραγμάτων αὐτοῦ ἐπιμελητὴν καὶ προ-
στάτην Αἴγισθον. ἐπεὶ δὲ πολὺς ἠνύετο χρόνος καὶ Ἀγαμέ-
μνων οὐκ ἔτ᾽ ἐπανῄει, οἷα δὴ πολλὰ γίνεται, συνῆλθεν ἀθέ-
σμως Αἴγισθος Κλυταιμνήστρᾳ, τῇ τοῦ Ἀγαμέμνονος γυναικί.
μαθόντες δὲ Κλυταιμνήστρα καὶ Αἴγισθος τήν τε Τροίαν ἁλοῦ-
σαν καὶ Ἀγαμέμνονα μετὰ τῶν ἄλλων οἴκαδε πλέοντα, βου-
λεύονται τοῦτον τῆς οἰκίας ἐπειλημμένον ἀποκτενεῖν, ἵνα μὴ
τούτῳ, γνωσθέντος τοῦ σφῶν πονηρεύματος, αὐτοὶ παραδο-
θεῖεν θανάτῳ· ὃ δὴ καὶ ἤνυσαν. καὶ ἐπανελθόντα τὸν Ἀγα-
μέμνονα ἀποκτείνουσι· χιτῶνα γὰρ μὴ διεξόδους κεφαλῆς καὶ
χειρῶν ἔχοντα μετὰ τὸ λουτρὸν ἐνδιδύσκουσι καὶ ἐν τῷ πελέ-
κει τοῦτον φονεύουσι. μεταξὺ γοῦν τοῦ Ἀγαμεμνονείου φόνου
Ἠλέκτρα τὸν ἀδελφὸν Ὀρέστην, ἵνα μὴ καὶ οὗτος ἀναιρεθείη,
κλέψασα καί τινι δοῦσα παιδαγωγῷ εἰς Φωκίδα παρὰ Στρό-
φιον πέμπει, φίλον καὶ συγγενῆ τοῦ πατρὸς αὐτῆς τυγχάνον-
τα. Ὀρέστης δὲ εἰς ἄνδρας ἥκων, παραλαβὼν Πυλάδην τὸν
παῖδα Στροφίου, ἐφ᾽ ᾧ μετ᾽ αὐτοῦ Αἴγισθον καὶ Κλυταιμνή-
στραν τιμωρήσαιτο, καταλαμβάνει λάθρα τὸ Ἄργος. καὶ χρη-
σμὸν παρὰ τοῦ Πυθίου δεξάμενος τοῦτο ποιεῖν, πρῶτον μὲν
ἔρχεται πρὸς τὸν τοῦ πατρὸς τάφον καὶ θύει, εἶτά τι μηχα-
νᾶται τοιόνδε· τὸν γὰρ παιδαγωγὸν, ᾧ παρὰ τῆς Ἠλέκτρας
πάλαι πιστευθεὶς ἧκεν, ὡς ἔφημεν, εἰς τὴν Φωκίδα, τοῦτον
προπέμπει εἰς Αἴγισθον καὶ Κλυταιμνήστραν λέγοντα, ὡς Ὀρέ-
στης ἐν Πυθικοῖς ἄθλοις ἀνῃρέθη καὶ νῦν ἄνδρες τὰ τούτου
ὀστᾶ ἐν κιβωτίῳ κομίζουσιν, ἵνα πατρῴων γοῦν τάφων τύχῃ.
ὑπαχθέντες δὲ τῇ τοιαύτῃ ἀπάτῃ Κλυταιμνήστρα καὶ Αἴγι-
σθος, ἵνα μὴ μακρολογῶ, ἀναιροῦνται ὑπὸ Ὀρέστου καὶ Πυ-
λάδου, πρώτη μὲν Κλυταιμνήστρα, ὕστερος δὲ Αἴγισθος. μη-
τροκτονήσας τοίνυν Ὀρέστης Ἐριννύσι παραχρῆμα τὴν δίκην
ἔδωκε μανείς. Μενέλαος δὲ ἐκ Τροίας ἐλθὼν — ὕστερος γὰρ

᾿Αγαμέμνονος ἐπανῆκε — καὶ τῷ Ναυπλίῳ λιμένι προςσχὼν, νυκτὸς μὲν Ἑλένην εἰςπέμπει πρὸς Μυκήνας, μεθ᾿ ἡμέραν δὲ αὐτὸς εἰςῄει, καὶ τὸν ᾿Ορέστην μεμηνότα εὑρὼν, παρακαλεῖται μὲν ὑπὸ ᾿Ορέστου καὶ ᾿Ηλέκτρας σῶσαι αὐτούς. ὁ γὰρ τῆς Κλυταιμνήστρας πατὴρ Τυνδάρεως πάντας ᾿Αργείους κατ᾿ αὐτῶν ἐκίνησεν, ἵνα τούτους ὡς μητροκτόνους ἀνέλοιεν. ὡς δὲ τὸν Τυνδάρεω ἀντιλέγοντα εὗρε, καὶ ἅμα καὶ αὐτὸς ὑπολογιζόμενος, ὡς, εἰ ᾿Ορέστης ἀναιρεθείη, βασιλεὺς αὐτὸς ἔσται τοῦ ῎Αργους, οὐκ ἤθελεν ᾿Ορέστῃ τε καὶ τῇ ἀδελφῇ συμμαχεῖν, ἀλλὰ τὸ τῶν ᾿Αργείων πλῆθος ἔλεγεν εὐλαβεῖσθαι. πρῶτον μὲν οὖν ᾿Ορέστης καὶ Τυνδάρεως διελέχθησαν πρὸς ἀλλήλους, ὁ μὲν ὡς οὐ δικαίως ἀνείλετο Κλυταιμνήστραν δεικνὺς, ᾿Ορέστης δὲ, ὡς καὶ μάλα δικαίως, εἰ καὶ μυριάκις αὐτὴν ἔδει τεθνάναι. ῎Επειτα ἐκκλησίας ἐν ἀκροπόλει Μυκηνῶν γενομένης καὶ συνιόντων τῶν προὐχόντων ἐν ῎Αργει, ᾿Ορέστης ὑπὸ Πυλάδου φοράδην ἐκεῖσε κομίζεται. λόγων δὲ πολλῶν γινομένων, καὶ τῶν μὲν βοηθούντων ᾿Ορέστῃ, τῶν δὲ ἐναντιουμένων, τέλος ἐνίκησαν οἱ κακοί. καὶ κατακρίνεται ᾿Ορέστης αὐτός τε καὶ ἡ ἀδελφὴ λίθοις βληθέντες ἀποθανεῖν. ᾿Ορέστης δὲ ἐπηγγείλατο πρὸς τὸ πλῆθος, αὐτοχειρίᾳ ἑαυτὸν καὶ τὴν ἀδελφὴν ἀποσφάξαι. καὶ ὁ φίλος Πυλάδης καὶ παρὰ τὴν συμφορὰν φίλος ἔμεινε καὶ κοινωνεῖν αὐτῷ τῆς τελευτῆς ἠξίωσε προθυμότατα. ἐπεὶ δὲ σφίσι τοῦτο παθεῖν προὔκειτο, συμβουλεύει Πυλάδης, Μενέλεω πρῶτον τιμωρίαν λαβεῖν, λέγων, ὡς οὐ δεῖ τοῦτον τρυφᾷν ἡμῶν ἀπιόντων. ὅθεν εἰςελθόντες εἴσω τῶν βασιλείων Ἑλένης δῆθεν δεησόμενοι, ἵνα μὴ περιΐδῃ σφᾶς ὀλλυμένους, ἀλλὰ χεῖρα ὀρέξῃ καὶ Μενέλεων καὶ ἄκοντα πρὸς σωτηρίαν κινήσῃ, ἐπεὶ ταύτην φονεύειν ἔμελλον, ταύτης μὲν ἥμαρτον, ὑπὸ ᾿Απόλλωνος ἁρπασθείσης κελεύσει Διὸς, Ἑρμιόνην δὲ συλλαμβάνουσιν, ἐκ τοῦ τῆς Κλυταιμνήστρας τάφου ἐπανήκουσαν· πρώην γὰρ αὐτὴν Ἑλένη πεπόμφει, τῇ ἀδελφῇ θύσουσαν. λαβόντες δὲ Ἑρμιόνην καὶ ἔνδοθεν τὰς τῶν βασιλείων ἀσφαλίσαντες πύλας, ἀνῆλθον ἐν μετεώρῳ τῶν βασιλείων, ἔχοντές τε τὴν Ἑρμιόνην καὶ ξίφος πρὸς τῇ δέρῃ αὐτῆς, καὶ μέλλοντες μετὰ τὴν ταύτης διαχείρισιν, ἂν μὴ σφᾶς Μενέλεως σώσῃ, καὶ τοὺς δόμους ὑφάψειν πυρί. Μενέλεως μὲν ὑπὸ τούτων Ἑλένην τεθνάναι μαθὼν, ἵνα κἂν σώσῃ τὴν παῖδα ἐλθὼν, ἤρξατο πορθεῖν τὰ βασίλεια, ἐπιφανεὶς δὲ ᾿Απόλλων, διήλλαξε τούτους, Ἑλένην μὲν εἰς οὐρανοὺς φήσας διακομίσαι, Μενέλεων δὲ ἑτέραν λαβεῖν κελεύσας γυναῖκα, ᾿Ορέστῃ δὲ Ἑρμιόνην συνάψαι μετὰ τὴν τοῦ φόνου κάθαρσιν· ἧς ᾿Αθήνῃσιν ἔτυχε, μετὰ ᾿Εριννύων εἰς ῎Αρειον πάγον κριθεὶς, ὅτε καὶ καταδικασθῆναι μέλλοντα ὑπὸ πάντων θεῶν ᾿Αθηνᾶ ψῆφον βαλοῦσα νικῆσαι τοῦτον ἐποίησε. καὶ οὕτως ᾿Ορέστης ὕστερον Ἑρμιόνην γυναῖκα λαμβάνει κατὰ τὸ τοῦ ᾿Απόλλωνος θέσπισμα, καὶ ῎Αργους κρατεῖ, Πυλάδῃ δὲ ᾿Ηλέκτραν δίδωσι, τὴν καὶ πρότερον ὑπ᾿ αὐτοῦ κατεγγυηθεῖσαν τούτῳ. ᾿Ιστέον δὲ, ὅτι πᾶσα τραγῳδία σύμφωνον ἔχει καὶ τὸ τέλος· ἐκ λύπης γὰρ ἄρχεται καὶ εἰς λύπην τελευτᾷ· τὸ παρὸν δὲ δρᾶμα ἔστιν ἐκ τραγικοῦ κωμικόν· λήγει γὰρ εἰς τὰς παρ᾿ ᾿Απόλλωνος διαλλαγὰς ἐκ συμφορῶν εἰς εὐθυμίαν κατηντηκός· ἡ δὲ κωμῳδία γέλωσι καὶ εὐφροσύναις ἐνύφανται.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΗΛΕΚΤΡΑ.
ΕΛΕΝΗ.
ΕΡΜΙΟΝΗ.
ΧΟΡΟΣ.
ΟΡΕΣΤΗΣ.
ΜΕΝΕΛΑΟΣ.
ΤΥΝΔΑΡΕΩΣ.
ΠΥΛΑΔΗΣ.
ΑΓΓΕΛΟΣ.
ΦΡΥΞ.
ΑΠΟΛΛΩΝ.

ΕΥΡΙΠΙΔΟΥ ΟΡΕΣΤΗΣ.

ΗΛΕΚΤΡΑ.

Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος,
οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ᾽ ἄχθος ἀνθρώπου φύσις.
ὁ γὰρ μακάριος, — κοὐκ ὀνειδίζω τύχας, —
Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος,
κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον,
ἀέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην,
ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν
κοινῆς τραπέζης ἀξίωμ᾽ ἔχων ἴσον,
ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
οὗτος φυτεύει Πέλοπα· τοῦ δ᾽ Ἀτρεὺς ἔφυ,
ᾧ στέμματα ξήνασ᾽ ἐπέκλωσεν θεὰ
ἔριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
θέσθαι. τί τἄῤῥητ᾽ ἀναμετρήσασθαί με δεῖ;
ἔδαισε δ᾽ οὖν νιν τέκν᾽ ἀποκτείνας Ἀτρεύς·
Ἀτρέως δὲ, — τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας, —
ὁ κλεινὸς, εἰ δὴ κλεινὸς, Ἀγαμέμνων ἔφυ
Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.
γαμεῖ δ᾽ ὁ μὲν δὴ τὴν θεοῖς στυγουμένην

Μενέλαος Ἑλένην, ὁ δὲ Κλυταιμνήστρας λέχος
ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·
ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις Ἰφιγένειά τ' Ἠλέκτρα τ' ἐγὼ,
ἄρσην τ' Ὀρέστης, μητρὸς ἀνοσιωτάτης,
ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι
ἔκτεινεν· ὧν δ' ἕκατι, παρθένῳ λέγειν
οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;
πείθει δ' Ὀρέστην μητέρ', ἥ σφ' ἐγείνατο,
κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.
ὅμως δ' ἀπέκτειν', οὐκ ἀπειθήσας θεῷ·
κἀγὼ μετέσχον, οἷα δὴ γυνὴ, φόνου,
Πυλάδης θ', ὃς ἡμῖν ξυγκατείργασται τάδε.
ἐντεῦθεν ἀγρίᾳ ξυντακεὶς νόσῳ νοσεῖ
τλήμων Ὀρέστης· ὁ δὲ πεσὼν ἐν δεμνίοις
κεῖται, τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ
μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
ἕκτον δὲ δὴ τόδ' ἦμαρ, ἐξότου σφαγαῖς
θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας·
ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,
οὐ λούτρ' ἔδωκε χρωτί· χλανιδίων δ' ἔσω
κρυφθεὶς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,
ἔμφρων δακρύει, ποτὲ δὲ δεμνίων ἄπο
πηδᾷ δρομαῖος, πῶλος ὣς ἀπὸ ζυγοῦ.
ἔδοξε δ' Ἄργει τῷδε, μήθ' ἡμᾶς στέγαις,
μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινὰ
μητροκτονοῦντας· κυρία δ' ἥδ' ἡμέρα,
ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,

εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι,
ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν.
ἐλπίδα δὲ δή τιν' ἔχομεν, ὥστε μὴ θανεῖν·
ἥκει γὰρ ἐς γῆν Μενέλεως Τροίας ἄπο,
λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτῃ
ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
ἄλαισι πλαγχθείς· τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
παῖδες τεθνᾶσιν, ἐς πέτρων ἔλθῃ βολὰς,
προὔπεμψεν ἐς δῶμ' ἡμέτερον· ἔστιν δ' ἔσω
κλαίουσ' ἀδελφὴν ξυμφοράς τε δωμάτων.
ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν·
ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
παρθένον ἐμῇ τε μητρὶ παρέδωκεν τρέφειν
Μενέλαος, ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
ταύτῃ γέγηθε κἀπιλήθεται κακῶν.
βλέπω δὲ πᾶσαν εἰς ὁδὸν, πότ' ὄψομαι
Μενέλαον ἥκονθ'· ὡς τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς
ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνου πάρα
σωθῶμεν. ἄπορον χρῆμα δυστυχῶν δόμος.

ΕΛΕΝΗ.

ὦ παῖ Κλυταιμνήστρας τε κἀγαμέμνονος,
παρθένε μακρὸν δὴ μῆκος, Ἠλέκτρα, χρόνου,
πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σὸς
τλήμων Ὀρέστης, μητρὸς ὅδε φονεὺς ἔφυ;
προσφθέγμασιν γὰρ οὐ μιαίνομαι σέθεν,
ἐς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
καίτοι στένω γε τὸν Κλυταιμνήστρας μόρον,

61. ξυμφοράν.

ἐμῆς ἀδελφῆς, ἣν, ἐπεὶ πρὸς Ἴλιον
ἔπλευσ', ὅπως ἔπλευσα, θεομανεῖ πότμῳ,
οὐκ εἶδον, ἀπολειφθεῖσα δ' αἰάζω τύχας.

ΗΛΕΚΤΡΑ.

Ἑλένη, τί σοι λέγοιμ' ἄν, ἅ γε παροῦσ' ὁρᾷς,
ἐν ξυμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον;
ἐγὼ μὲν ἄϋπνος, πάρεδρος ἀθλίῳ νεκρῷ, —
νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς, —
θάσσω· τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά·
σὺ δ' ἡ μακαρία μακάριός θ' ὁ σὸς πόσις
ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας.

ΕΛΕΝΗ.

πόσον χρόνον δὲ δεμνίοις πέπτωχ' ὅδε;

ΗΛΕΚΤΡΑ.

ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.

ΕΛΕΝΗ.

ὢ μέλεος, ἡ τεκοῦσά θ', ὡς διώλετο.

ΗΛΕΚΤΡΑ.

οὕτως ἔχει τάδ', ὥστ' ἀπείρηκ' ἐν κακοῖς.

ΕΛΕΝΗ.

πρὸς θεῶν, πίθοι' ἂν δῆτά μοί τι, παρθένε;

ΗΛΕΚΤΡΑ.

ὡς ἄσχολός γε συγγόνου προσεδρίᾳ.

ΕΛΕΝΗ.

βούλει τάφον μοι πρὸς κασιγνήτης μολεῖν;

ΗΛΕΚΤΡΑ.

μητρὸς κελεύεις τῆς ἐμῆς; τίνος χάριν;

ΕΛΕΝΗ.

κόμης ἀπαρχὰς καὶ χοὰς φέρουσ' ἐμάς.

91. ἀπείρηκεν κ.

ΗΛΕΚΤΡΑ.

σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλων στείχειν τάφον;

ΕΛΕΝΗ.

δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.

ΗΛΕΚΤΡΑ.

ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.

ΕΛΕΝΗ.

ὀρθῶς ἔλεξας, οὐ φίλως δέ μοι λέγεις.

ΗΛΕΚΤΡΑ.

αἰδὼς δὲ δή τίς σ' ἐς Μυκηναίους ἔχει;

ΕΛΕΝΗ.

δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.

ΗΛΕΚΤΡΑ.

δεινὸν γάρ· Ἄργει τ' ἀναβοᾷ διὰ στόμα.

ΕΛΕΝΗ.

σύ νυν χάριν μοι, τὸν φόβον λύσασα, δός.

ΗΛΕΚΤΡΑ.

οὐκ ἂν δυναίμην μητρὸς ἐσβλέψαι τάφον.

ΕΛΕΝΗ.

αἰσχρόν γε μέντοι προσπόλους φέρειν τάδε.

ΗΛΕΚΤΡΑ.

τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;

ΕΛΕΝΗ.

ἐς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.

ΗΛΕΚΤΡΑ.

καὶ μὴν τίνοι γ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.

ΕΛΕΝΗ.

καλῶς ἔλεξας, πείθομαί τέ σοι, κόρη,
[καὶ πέμψομαί γε θυγατέρ'· εὖ γάρ τοι λέγεις.]

ὦ τέκνον, ἔξελθ', Ἑρμιόνη, δόμων πάρος,
καὶ λαβὲ χοὰς τάσδ' ἐν χεροῖν κόμας τ' ἐμάς·
ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον
μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην,
καὶ στᾶσά γ' ἐπ' ἄκρου χώματος λέξον τάδε·
Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
φόβῳ προσελθεῖν μνῆμα σὸν, ταρβοῦσά τε
Ἀργεῖον ὄχλον. εὐμενῆ δ' ἄνωγέ νιν
ἐμοί τε καὶ σοὶ καὶ πόσει γνώμην ἔχειν
τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσεν θεός.
ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμὲ,
ἅπανθ' ὑπισχνοῦ νερτέρων δωρήματα.
ἴθ', ὦ τέκνον, μοι σπεῦδε, καὶ χοὰς τάφῳ
δοῦσ' ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.

ΗΛΕΚΤΡΑ.

ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακὸν,
σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
ἴδετε παρ' ἄκρας ὡς ἀπέθρισεν τρίχας,
σώζουσα κάλλος· ἔστι δ' ἡ πάλαι γυνή.
θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας,
καὶ τόνδε πᾶσάν θ' Ἑλλάδ'. — ὢ τάλαιν' ἐγώ!
αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
φίλαι ξυνῳδοί· τάχα μεταστήσουσ' ὕπνου
τόνδ' ἡσυχάζοντ', ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
χωρεῖτε, μὴ ψοφεῖτε, μηδ' ἔστω κτύπος.

116. καὶ στᾶσ' ἐπ' ἄ. 128. ἴδετε γὰρ ἄ.

φιλία γὰρ ἡ σὴ πρευμενὴς μὲν, ἀλλ' ἐμοὶ
τόνδ' ἐξεγεῖραι ξυμφορὰ γενήσεται.

ΧΟΡΟΣ.

Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης (στροφὴ ά.)
τίθετε, μὴ ψοφεῖτε, μήδ' ἔστω κτύπος.

ΗΛΕΚΤΡΑ.

ἀποπρὸ βᾶτ' ἐκεῖσ', ἀποπρό μοι κοίτας.

ΧΟΡΟΣ.

ἰδού, πείθομαι.

ΗΛΕΚΤΡΑ.

ἆ ἆ σύριγγος ὅπως πνοὰ
λεπτοῦ δόνακος, ὦ φίλα, φώνει μοι.

ΧΟΡΟΣ.

ἴδ', ἀτρεμαίαν ὡς ὑπόροφον φέρω
βοάν.

ΗΛΕΚΤΡΑ.

ναὶ οὕτω.
κάταγε, κάταγε, πρόσιθ' ἀτρέμας, ἀτρέμας ἴθι·
λόγον ἀπόδος, ἐφ' ὅ τι χρέος ἐμόλετέ ποτε.
χρόνια γὰρ πεσὼν ὅδ' εὐνάζεται.

ΧΟΡΟΣ.

πῶς ἔχει; λόγου μετάδος, ὦ φίλα. (ἀντιστρ. ά.)

ΗΛΕΚΤΡΑ.

τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
ἔτι μὲν ἐμπνέει, βραχὺ δ' ἀναστένει.

ΧΟΡΟΣ.

τί φής; ὦ τάλας.

142. ἄπο προβᾶτ' — ἄπο πρό. 144. πνοιά. 152. τίνας δὲ συμφοράς.

ΗΛΕΚΤΡΑ.

ὀλεῖς, εἰ βλέφαρα κινήσεις
ὕπνου γλυκυτάταν φερομένῳ χαράν.

ΧΟΡΟΣ.

μέλεος ἐχθίστων θεόθεν ἐργμάτων!
τάλας, φεῦ μόχθων!

ΗΛΕΚΤΡΑ.

ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν ἔλακεν, ἀπό-
φονον ὅτ' ἐπὶ τρίποδι Θέμιδος ἆρ' ἐδίκασε
φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.

ΧΟΡΟΣ.

ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας. (στροφὴ β'.)

ΗΛΕΚΤΡΑ.

σὺ γάρ νιν, ὦ τάλαινα,
θωΰξασ' ἔβαλες ἐξ ὕπνου.

ΧΟΡΟΣ.

εὕδειν μὲν οὖν ἔδοξα.

ΗΛΕΚΤΡΑ.

οὐκ ἀφ' ἡμῶν; οὐκ ἀπ' οἴκων
πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις,
μεθεμένα κτύπου;

ΧΟΡΟΣ.

ὑπνώσσει.

ΗΛΕΚΤΡΑ.

λέγεις εὖ.

ΧΟΡΟΣ.

Πότνια, πότνια νύξ, (στροφὴ γ'.)
ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,

156. χάριν. 159. ἆ ἆ ἄδ. 163. σύ νιν τάλαινα. 167. πάλιν ἀνά, μεθεμ. κτύπου, πόδα σὸν εἱλ.

ἐρεβόθεν ἴθι, μόλε, μόλε κατάπτερος
τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.
ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
διοιχόμεθ', οἰχόμεθα.

ΗΛΕΚΤΡΑ.

κτύπον ἠγάγετ'. οὐχὶ σῖγα
σῖγα φυλασσομένα
στόματος ἀνακέλαδον ἀπὸ λέχεος ἥ-
συχον ὕπνου χαρὰν παρέξεις, φίλα;

ΧΟΡΟΣ.

θρόει, τίς κακῶν τελευτὰ μένει; (ἀντιστρ. β'.)

ΗΛΕΚΤΡΑ.

θανεῖν· τί δ' ἄλλο γ' εἴπω;
οὐδὲν γὰρ πόθον ἔχει βορᾶς.

ΧΟΡΟΣ.

πρόδηλος ἄρ' ὁ πότμος.

ΗΛΕΚΤΡΑ.

ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς
μέλεον ἀπόφονον αἷμα δοὺς
πατροφόνου ματρός.

ΧΟΡΟΣ.

δίκᾳ μέν, καλῶς δ' οὔ.

ΗΛΕΚΤΡΑ.

Ἔκανες, ἔθανες, ὦ (ἀντιστρ. γ'.)
τεκομένα με μᾶτερ, ἀπὸ δ' ὤλεσας
πατέρα τέκνα τε τάδε σέθεν ἀφ' αἵματος·
ὀλόμεθ' ἰσονέκυες, ὀλόμεθα.
σύ τε γὰρ ἐν νεκροῖς, τό τ' ἐμὸν οἴχεται

173. deest τόν. 176. ἠγάγετ'. ΧΟ. οὐχί. ΗΛ. σῖγα. 181. deest εἴπω. 182. οὐδέ. 188. ἔθανες bis. 191. ὀλόμεθ' ὀλόμεθ' ἰσονέκυες.

βίου τὸ πλέον μέρος ἐν
στοναχαῖσί τε καὶ γόοισι
δάκρυσί τ' ἐννυχίοις·
ἄγαμος, ἔπιδ', ἄτεκνος ἅτε βίοτον ἁ
μέλεος εἰς τὸν αἰὲν ἕλκω χρόνον.

ΧΟΡΟΣ.

ὅρα παροῦσα, παρθέν' Ἠλέκτρα, πελας,
μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε·
οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ.

ΟΡΕΣΤΗΣ.

ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προςῆλθες, ἐν δέοντί τε!
ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
καὶ τοῖσι δυςτυχοῦσιν εὐκταία θεός!
πόθεν πότ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
ἀμνημονῶ γὰρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.

ΗΛΕΚΤΡΑ.

ὦ φίλταθ', ὥς μ' εὔφρανας εἰς ὕπνον πεσών!
βούλει θίγω σοῦ κἀνακουφίσω δέμας;

ΟΡΕΣΤΗΣ.

λαβοῦ, λαβοῦ δῆτ', ἐκ δ' ὄμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον ὀμμάτων τ' ἐμῶν.

ΗΛΕΚΤΡΑ.

ἰδοὺ τὸ δούλευμ' ἡδὺ, κοὐκ ἀναίνομαι
ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.

ΟΡΕΣΤΗΣ.

ὑπόβαλε πλευροῖς πλευρὰ, κ' αὐχμώδη κόμην
ἄφελε προςώπου· λεπτὰ γὰρ λεύσσω κόραις.

193. πλέον βιότου μέρος ἐν. 194. στοναχῇσι. 202. ἐν δέοντί γε. 206. πρὶν, ἀπολ. 207. ηὔφρανας.

ΗΛΕΚΤΡΑ.

ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.

ΟΡΕΣΤΗΣ.

κλῖνόν μ' ἐς εὐνὴν αὖθις· ὅταν μ' ἀνῇ νόσος
μανίας, ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.

ΗΛΕΚΤΡΑ.

ἰδοὺ, φίλον τοι τῷ νοσοῦντι δέμνιον,
ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.

ΟΡΕΣΤΗΣ.

αὖθίς μ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας·
δυςάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.

ΗΛΕΚΤΡΑ.

ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.

ΟΡΕΣΤΗΣ.

μάλιστα. δόξαν γὰρ τόδ' ὑγιείας ἔχει·
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.

ΗΛΕΚΤΡΑ.

ἄκουε δὴ νῦν, ὦ κασίγνητον κάρα,
ἕως ἐῶσί σ' εὖ φρονεῖν Ἐριννύες.

ΟΡΕΣΤΗΣ.

λέξεις τι καινόν; κεἰ μὲν εὖ, χάριν φέρεις·
εἰ δ' ἐς βλάβην τιν', ἅλις ἔχω τοῦ δυς-
τυχεῖν.

ΗΛΕΚΤΡΑ.

Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός·
ἐν Ναυπλίᾳ δὲ σέλμαθ' ὥρμισται νεῶν.

217. ὅταν ἀνῇ. 218. μανίας μ'. 222. Praef. ΧΟ. 227. δή νυν.

ΟΡΕΣΤΗΣ.

πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς,
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;

ΗΛΕΚΤΡΑ.

ἥκει, — τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου, —
Ἑλένην ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων.

ΟΡΕΣΤΗΣ.

εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
εἰ δ᾽ ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.

ΗΛΕΚΤΡΑ.

ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον
γένος θυγατέρων δυσκλεές τ᾽ ἀν᾽ Ἑλλάδα.

ΟΡΕΣΤΗΣ.

σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
καὶ μὴ μόνον λέγ᾽, ἀλλὰ καὶ φρόνει τάδε.

ΗΛΕΚΤΡΑ.

οἴμοι, κασίγνητ᾽, ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.

ΟΡΕΣΤΗΣ.

ὦ μῆτερ, ἱκετεύω σε, μὴ ᾽πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.

ΗΛΕΚΤΡΑ.

μέν᾽, ὦ ταλαίπωρ᾽, ἀτρέμα σοῖς ἐν δεμνίοις.
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ᾽ εἰδέναι.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβ᾽, ἀποκτενοῦσί μ᾽ αἱ κυνώπιδες
γοργῶπες, ἐνέρων ἱέριαι, δειναὶ θεαί.

244. ἀρτίως φρονῶν.

ΗΛΕΚΤΡΑ.

ΗΛΕΚΤΡΑ.

οὔτοι μεθήσω· χεῖρα δ᾽ ἐμπλέξασ᾽ ἐμὴν
σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.

ΟΡΕΣΤΗΣ.

μέθες· μί᾽ οὖσα τῶν ἐμῶν Ἐριννύων,
μέσον μ᾽ ὀχμάζεις, ὡς βάλῃς ἐς Τάρταρον.

ΗΛΕΚΤΡΑ.

οἳ ᾽γὼ τάλαινα, τίν᾽ ἐπικουρίαν λάβω,
ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;

ΟΡΕΣΤΗΣ.

δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου,
οἷς μ᾽ εἶπ᾽ Ἀπόλλων ἐξαμύνασθαι θεάς,
εἴ μ᾽ ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν.

ΗΛΕΚΤΡΑ.

βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί;

ΟΡΕΣΤΗΣ.

εἰ μὴ ᾽ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰσακούετ᾽; οὐχ ὁρᾶθ᾽ ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
(ἆ, ἆ.) τί δῆτα μέλλετ᾽; ἐξακρίζετ᾽ αἰθέρα
πτεροῖς· τὰ Φοίβου δ᾽ αἰτιᾶσθε θέσφατα. —
(ἔα.) τί χρῆμ᾽ ἀλύω, πνεῦμ᾽ ἀνεὶς ἐκ πνευμόνων;
ποῖ, ποῖ ποθ᾽ ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν᾽ ὁρῶ.
ξύγγονε, τί κλάεις κρᾶτα θεῖσ᾽ ἔσω πέπλων;
αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ᾽, εἴργασται δ᾽ ἐμοὶ

256. οἳ ἐγώ. 259. ἐξαμύνεσθαι. 270. ὄμμα θεῖσ᾽ εἴσω.

ΟΡΕΣΤΗΣ.

πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς,
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;

ΗΛΕΚΤΡΑ.

ἥκει, — τὸ πιστὸν τόδε λόγων ἐμῶν δέ-
χου, —
Ἑλένην ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων.

ΟΡΕΣΤΗΣ.

εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.

ΗΛΕΚΤΡΑ.

ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον
γένος θυγατέρων δυςκλεές τ' ἀν' Ἑλλάδα.

ΟΡΕΣΤΗΣ.

σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε.

ΗΛΕΚΤΡΑ.

οἴμοι, κασίγνητ', ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.

ΟΡΕΣΤΗΣ.

ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γὰρ, αὗται πλησίον θρώσκουσί μου.

ΗΛΕΚΤΡΑ.

μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν δεμνίοις.
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβ', ἀποκτενοῦσί μ' αἱ κυνώπιδες
γοργῶπες, ἐνέρων ἱέριαι, δειναὶ θεαί.

244. ἀρτίως φρονῶν.

ΗΛΕΚΤΡΑ.

ΗΛΕΚΤΡΑ.

οὔτοι μεθήσω· χεῖρα δ' ἐμπλέξασ' ἐμὴν
σχήσω σε πηδᾷν δυςτυχῆ πηδήματα.

ΟΡΕΣΤΗΣ.

μέθες· μί' οὖσα τῶν ἐμῶν Ἐριννύων,
μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς Τάρταρον.

ΗΛΕΚΤΡΑ.

οἳ 'γὼ τάλαινα, τίν' ἐπικουρίαν λάβω,
ἐπεὶ τὸ θεῖον δυςμενὲς κεκτήμεθα;

ΟΡΕΣΤΗΣ.

δὸς τόξα μοι κερουλκὰ, δῶρα Λοξίου,
οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεὰς,
εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν.

ΗΛΕΚΤΡΑ.

βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί;

ΟΡΕΣΤΗΣ.

εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰςακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
(ἆ, ἆ.) τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰθέρα
πτεροῖς· τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφατα. —
(ἔα.) τί χρῆμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμόνων;
ποῖ, ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.
ξύγγονε, τί κλάεις κρᾶτα θεῖσ' ἔσω πέπλων;
αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοὶ

256. οἳ ἐγώ. 259. ἐξαμύνεσθαι. 270. ὄμμα θεῖσ' εἴσω.

μητρῷον αἷμα· Λοξίᾳ δὲ μέμφομαι,
ὅςτις μ' ἐπάρας ἔργον ἀνοσιώτατον,
τοῖς μὲν λόγοις εὔφρανε, τοῖς δ' ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμὸν, εἰ κατ' ὄμματα
ἐξιστόρουν νιν, μητέρ' εἰ κτεῖναί με χρὴ,
πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτὰς,
μὴ τῆς τεκούσης ἐς σφαγὰς ὦσαι ξίφος,
εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἤμελλε φῶς,
ἐγὼ δ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά.
καὶ νῦν ἀνακάλυπτ', ὦ κασίγνητον κάρα,
ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
ἔχομεν· ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
σύ μου τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
ἴσχναινε, παραμυθοῦ θ'· ὅταν δὲ σὺ στένῃς,
ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα·
ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
ἀλλ', ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
ὕπνῳ τ' ἄϋπνον βλέφαρον ἐκταθεῖσα δὸς,
σῖτόν τ' ὄρεξαι, λουτρά τ' ἐπὶ χροὸς βάλε.
εἰ γὰρ προλείψεις μ', ἢ προςεδρίᾳ νόσον
κτήσει τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.

ΗΛΕΚΤΡΑ.

οὐκ ἔστι· σὺν σοὶ καὶ θανεῖν αἱρήσομαι
καὶ ζῆν· ἔχει γὰρ ταυτόν· ἢν σὺ κατθάνῃς,
γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι,
ἀνάδελφος, ἀπάτωρ, ἄφιλος; εἰ δὲ σοὶ δοκεῖ,
δρᾶν χρὴ τάδ'. ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων

277. ηὔφρανε. 283. ἐγώ θ' ὁ τλ. 288. ἴσχαινε.

ἄγαν ἀποδέχου, μένε δ' ἐπὶ στρωτοῦ λέχους.
κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
κάματος βροτοῖσιν ἀπορία τε γίγνεται.

ΧΟΡΟΣ.

αἶ, αἶ, αἶ, (στροφή.)
δρομάδες ὦ πτεροφόροι
Ποτνιάδες θεαὶ,
ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
δάκρυσι καὶ γόοις,
μελαγχρῶτες Εὐμενίδες, αἵ τε τὸν
ταναὸν αἰθέρ' ἀμπάλλεσθ', αἵματος
τινύμεναι δίκαν, τινύμεναι φόνον,
καθικετεύομαι, καθικετεύομαι,
τὸν Ἀγαμέμνονος γόνον ἐάσατ' ἐκ-
λαθέσθαι λύσσας μανιάδος φοιτα-
λέου. φεῦ μόχθων,
οἵων, ὦ τάλας, ὀρεχθεὶς ἔῤῥεις
τρίποδος ἄπο φάτιν, ἃν ὁ Φοῖβος
ἔλακεν, ἔλακε, δεξάμενος ἀνὰ δάπεδον,
ἵνα μεσόμφαλοι λέγονται μυχοί.
ἰὼ Ζεῦ, (ἀντιστροφή.)
τίς ἔλεος, τίς ὅδ' ἀγὼν
φόνιος ἔρχεται,
θοάζων σε τὸν μέλεον, ᾧ δάκρυα
δάκρυσι συμβάλλει
πορεύων τις εἰς δόμον ἀλαστόρων
ματέρος αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει;

318. ὁ τάλας. 320. deest ἔλακεν ibid. ἀνὰ τὸ δάπ. 326. συμβαλεῖ. 328. ματρὸς — ἀναβακχιοῖ.

κατολοφύρομαι, κατολοφύρομαι.
ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς·
ἀνὰ δὲ λαῖφος ὥς τις ἀκάτου θοᾶς
τινάξας δαίμων κατέκλυσεν δεινῶν
πόνων, ὡς πόντου
λάβροις ὀλεθρίοισιν ἐν κύμασιν.
τίνα γὰρ ἔτι πάρος οἶκον ἄλλον,
ἕτερον ἢ τὸν ἀπὸ θεογόνων γάμων
τὸν ἀπὸ Ταντάλου, σέβεσθαί με χρή;
Καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει,
Μενέλαος ἄναξ, πολὺ δ' ἁβροσύνῃ
δῆλος ὁρᾶσθαι
τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν.
ὦ χιλιόναυν στρατὸν ὁρμήσας
εἰς γῆν Ἀσίαν,
χαῖρ', εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς,
θεόθεν πράξας ἅπερ εὔχου.

ΜΕΝΕΛΑΟΣ.

Ὦ δῶμα, τῇ μέν σ' ἡδέως προσδέρκομαι,
Τροίαθεν ἐλθών, τῇ δ' ἰδὼν καταστένω·
κύκλῳ γὰρ εἱλιχθεῖσαν ἀθλίοις κακοῖς
οὔ πώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην
καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο,
Μαλέᾳ προσίσχων πρῷραν· ἐκ δὲ κυμάτων
ὁ ναυτίλοισι μάντις ἐξήγγειλέ μοι,
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεός,
ὅς μοι τάδ' εἶπεν ἐμφανῶς παρασταθείς·
Μενέλαε, κεῖται σὸς κασίγνητος θανών,

345. ηὔχου.

λουτροῖσιν ἀλόχου περιπεσὼν πανυστάτοις·
δακρύων δ' ἔπλησεν ἐμέ τε καὶ ναύτας ἐμοὺς
πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονός,
ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης,
δοκῶν Ὀρέστην, παῖδα τὸν Ἀγαμέμνονος,
φίλαισι χερσὶ περιβαλεῖν καὶ μητέρα,
ὡς εὐτυχοῦντας, ἔκλυον ἁλιτύπων τινὸς
τῆς Τυνδαρείας παιδὸς ἀνόσιον φόνον.
καὶ νῦν ὅπου 'στιν, εἴπατ', ὦ νεάνιδες,
Ἀγαμέμνονος παῖς, ὃς τὰ δείν' ἔτλη κακά.
βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμνήστρας χε-
ροῖν,
ὅτ' ἐξέλειπον μέλαθρον ἐς Τροίαν ἰών,
ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών.

ΟΡΕΣΤΗΣ.

ὅδ' εἴμ' Ὀρέστης, Μενέλεως, ὃν ἱστορεῖς.
ἑκὼν ἐγώ σοι τἀμὰ μηνύσω κακά.
τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω
ἱκέτης, ἀφύλλου στόματος ἐξάπτων λιτάς·
σῶσόν μ'· ἀφῖξαι δ' αὐτὸς ἐς καιρὸν κακῶν.

ΜΕΝΕΛΑΟΣ.

ὦ θεοί, τί λεύσσω; τίνα δέδορκα νερτέρων;

ΟΡΕΣΤΗΣ.

εὖ γ' εἶπας· οὐ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.

ΜΕΝΕΛΑΟΣ.

ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρόν, τάλας!

ΟΡΕΣΤΗΣ.

οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.

ΜΕΝΕΛΑΟΣ.

δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.

ΟΡΕΣΤΗΣ.
τὸ σῶμα φροῦδον· τὸ δ' ὄνομ' οὐ λέλοιπέ με.
ΜΕΝΕΛΑΟΣ.
ὦ παράλογόν μοι σὴ φανεῖσ' ἀμορφία!
ΟΡΕΣΤΗΣ.
ὅδ' εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
ΜΕΝΕΛΑΟΣ.
ἤκουσα· φείδου δ' ὀλιγάκις λέγειν κακά.
ΟΡΕΣΤΗΣ.
φειδόμεθ'· ὁ δαίμων δ' ἐς ἐμὲ πλούσιος κακῶν.
ΜΕΝΕΛΑΟΣ.
τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος;
ΟΡΕΣΤΗΣ.
ἡ ξύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος.
ΜΕΝΕΛΑΟΣ.
πῶς φής; σοφόν τοι τὸ σαφές, οὐ τὸ μὴ σαφές.
ΟΡΕΣΤΗΣ.
λύπη μάλιστά γ' ἡ διαφθείρουσά με·
ΜΕΝΕΛΑΟΣ.
δεινὴ γὰρ ἡ θεός, ἀλλ' ὅμως ἰάσιμος.
ΟΡΕΣΤΗΣ.
μανίαι τε, μητρὸς αἵματος τιμωρίαι.
ΜΕΝΕΛΑΟΣ.
ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ' ἦν;
ΟΡΕΣΤΗΣ.
ἐν ᾗ τάλαιναν μητέρ' ἐξώγκουν τάφῳ.
ΜΕΝΕΛΑΟΣ.
πότερα κατ' οἴκους, ἢ προσεδρεύων πυρᾷ;
ΟΡΕΣΤΗΣ.
νυκτὸς φυλάσσων ὀστέων ἀναίρεσιν.

ΜΕΝΕΛΑΟΣ.
παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
ΟΡΕΣΤΗΣ.
Πυλάδης, ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
ΜΕΝΕΛΑΟΣ.
φαντασμάτων δὲ τάδε νοσεῖς ποίων ὕπο;
ΟΡΕΣΤΗΣ.
ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
ΜΕΝΕΛΑΟΣ.
οἶδ' ἃς ἔλεξας, ὀνομάσαι δ' οὐ βούλομαι.
ΟΡΕΣΤΗΣ.
σεμναὶ γάρ· εὐπαίδευτα δ' ἀποτρέπει λέγειν.
ΜΕΝΕΛΑΟΣ.
αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
ΟΡΕΣΤΗΣ.
οἴμοι διωγμῶν, οἷς ἐλαύνομαι τάλας!
ΜΕΝΕΛΑΟΣ.
οὐ δεινὰ, πάσχειν δεινὰ τοὺς εἰργασμένους.
ΟΡΕΣΤΗΣ.
ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς ξυμφορᾶς —
ΜΕΝΕΛΑΟΣ.
μὴ θάνατον εἴπῃς· τοῦτο μὲν γὰρ οὐ σοφόν.
ΟΡΕΣΤΗΣ.
Φοῖβος, κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
ΜΕΝΕΛΑΟΣ.
ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.
ΟΡΕΣΤΗΣ.
δουλεύομεν θεοῖς, ὅ τι ποτ' εἰσὶν οἱ θεοί.
ΜΕΝΕΛΑΟΣ.
κᾆτ' οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;

ΟΡΕΣΤΗΣ.
μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
ΜΕΝΕΛΑΟΣ.
πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;
ΟΡΕΣΤΗΣ.
ἕκτον τόδ' ἦμαρ· ἔτι πυρᾷ θερμὴ τάφου.
ΜΕΝΕΛΑΟΣ.
ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητέρος θεαί!
ΟΡΕΣΤΗΣ.
οὐ σοφὸς, ἀληθὴς δ' ἐς φίλους ἔφυν φίλος.
ΜΕΝΕΛΑΟΣ.
πατρὸς δὲ δὴ τί σ' ὠφελεῖ τιμωρία;
ΟΡΕΣΤΗΣ.
οὔπω· τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.
ΜΕΝΕΛΑΟΣ.
τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις, δράσας τάδε;
ΟΡΕΣΤΗΣ.
μισούμεθ' οὕτως, ὥστε μὴ προσεννέπειν.
ΜΕΝΕΛΑΟΣ.
οὐδ' ἥγνισαι σὸν αἷμα κατὰ νόμους χεροῖν;
ΟΡΕΣΤΗΣ.
ἐκκλείομαι γὰρ δωμάτων, ὅπη μόλω.
ΜΕΝΕΛΑΟΣ.
τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;
ΟΡΕΣΤΗΣ.
Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.
ΜΕΝΕΛΑΟΣ.
ξυνῆκα· Παλαμήδους σε τιμωρεῖ φόνος.

420. ὅποι.

ΟΡΕΣΤΗΣ.
οὗ γ' οὐ μετῆν μοι· διὰ τριῶν δ' ἀπόλλυμαι.
ΜΕΝΕΛΑΟΣ.
τίς δ' ἄλλος; ἦπου τῶν ἀπ' Αἰγίσθου φίλων;
ΟΡΕΣΤΗΣ.
οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τανῦν κλύει.
ΜΕΝΕΛΑΟΣ.
Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
ΟΡΕΣΤΗΣ.
πῶς, οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
ΜΕΝΕΛΑΟΣ.
τί δρῶντες, ὅ τι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
ΟΡΕΣΤΗΣ.
ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
ΜΕΝΕΛΑΟΣ.
φεύγειν πόλιν τήνδ', ἢ θανεῖν, ἢ μὴ θανεῖν;
ΟΡΕΣΤΗΣ.
θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι.
ΜΕΝΕΛΑΟΣ.
κᾆτ' οὐχὶ φεύγεις, γῆς ὑπερβαλὼν ὅρους;
ΟΡΕΣΤΗΣ.
κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
ΜΕΝΕΛΑΟΣ.
ἰδίᾳ πρὸς ἐχθρῶν, ἢ πρὸς Ἀργείας χερός;
ΟΡΕΣΤΗΣ.
πάντων πρὸς ἀστῶν, ὡς θάνω· βραχὺς λόγος.
ΜΕΝΕΛΑΟΣ.
ὦ μέλεος, ἥκεις ξυμφορᾶς πρὸς τοὔσχατον.

437. εἰς τοὔσχ.

ΟΡΕΣΤΗΣ.

ἐς σ' ἐλπὶς ἣ 'μὴ καταφυγὰς ἔχει κακῶν.
ἀλλ' ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν
μετάδος φίλοισι σοῖσι σῆς εὐπραξίας,
καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
χάριτας πατρῴας ἐκτίνων ἐς οὓς σε δεῖ.
ὄνομα γάρ, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι,
οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.

ΧΟΡΟΣ.

καὶ μὴν γέροντι δεῦρ' ἁμιλλᾶται ποδὶ
ὁ Σπαρτιάτης Τυνδάρεως, μελάμπεπλος
κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.

ΟΡΕΣΤΗΣ.

ἀπωλόμην, Μενέλαε· Τυνδάρεως ὅδε
στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ' αἰδώς μ' ἔχει
ἐς ὄμματ' ἐλθεῖν τοῖσιν ἐξειργασμένοις.
καὶ γάρ μ' ἔθρεψε μικρὸν ὄντα, πολλὰ δὲ
φιλήματ' ἐξέπλησε, τὸν 'Αγαμέμνονος
παῖδ' ἀγκάλαισι περιφέρων, Λήδα θ' ἅμα,
τιμῶντέ μ' οὐδὲν ἧσσον ἢ Διοσκόρω·
οἷς, ὦ τάλαινα καρδία ψυχή τ' ἐμή,
ἀπέδωκ' ἀμοιβὰς οὐ καλάς· τίνα σκότον
λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας;

ΤΥΝΔΑΡΕΩΣ.

ποῦ, ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλαον; ἐπὶ γὰρ τῷ Κλυταιμνήστρας τάφῳ
χοὰς χεόμενος ἔκλυον, ὡς ἐς Ναυπλίαν
ἥκοι ξὺν ἀλόχῳ πολυετὴς σεσωσμένος.

ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
στὰς ἀσπάσασθαι, χρόνιον εἰσιδὼν φίλον.

ΜΕΝΕΛΑΟΣ.

ὦ πρέσβυ, χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.

ΤΥΝΔΑΡΕΩΣ.

ὦ χαῖρε καὶ σύ, Μενέλεως, κήδευμ' ἐμόν. —
ἔα· τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.
ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
στίλβει νοσώδεις ἀστραπάς, στύγημ' ἐμόν.
Μενέλαε, προσφθέγγει νιν, ἀνόσιον κάρα;

ΜΕΝΕΛΑΟΣ.

τί γάρ; φίλου μοι πατρός ἐστιν ἔκγονος.

ΤΥΝΔΑΡΕΩΣ.

κείνου γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;

ΜΕΝΕΛΑΟΣ.

πέφυκεν· εἰ δὲ δυστυχεῖ, τιμητέος.

ΤΥΝΔΑΡΕΟΣ.

βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.

ΜΕΝΕΛΑΩΣ.

Ἑλληνικόν τοι τὸν ὁμόθεν τιμᾶν ἀεί.

ΤΥΝΔΑΡΕΩΣ.

καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.

ΜΕΝΕΛΑΟΣ.

πᾶν τοὐξ ἀνάγκης δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς.

ΤΥΝΔΑΡΕΩΣ.

κέκτησό νυν σὺ τοῦτ', ἐγὼ δ' οὐ κτήσομαι.

ΜΕΝΕΛΑΟΣ.

ὀργὴ γὰρ ἅμα σου καὶ τὸ γῆρας οὐ σοφόν.

ΤΥΝΔΑΡΕΩΣ.

πρὸς τόνδε σοφίας τις ἂν ἀγὼν ἥκοι πέρι;

εἰ τὰ καλὰ πᾶσι φανερὰ καὶ τὰ μὴ καλὰ,
τούτου τίς ἀνδρῶν ἐγένετ᾽ ἀσυνετώτερος,
ὅςτις τὸ μὲν δίκαιον οὐκ ἐσκέψατο,
οὐδ᾽ ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον;
ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον,
πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὲρ κάρα, —
αἴσχιστον ἔργον! οὐ γὰρ αἰνέσω ποτέ· —
χρῆν αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
ὁσίαν διώκοντ᾽, ἐκβαλεῖν τε δωμάτων
μητέρα· τὸ σῶφρόν τ᾽ ἔλαβεν ἂν τῆς ξυμφορᾶς,
καὶ τοῦ νόμου τ᾽ ἂν εἴχετ᾽, εὐσεβής τ᾽ ἂν ἦν.
νῦν δ᾽ ἐς τὸν αὐτὸν δαίμον᾽ ἦλθε μητέρι.
κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
αὐτὸς κακίων μητέρ᾽ ἐγένετο κτανών.
ἐρήσομαι δὲ, Μενέλεως, τοσόνδε σε·
εἰ τόνδ᾽ ἀποκτείνειεν ὁμόλεκτρος γυνὴ,
χὠ τοῦδε παῖς αὖ μητέρ᾽ ἀνταποκτενεῖ,
κἄπειθ᾽ ὁ κείνου γενόμενος φόνῳ φόνον
λύσει, πέρας δὴ ποῖ κακῶν προβήσεται;
καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι·
ἐς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾶν,
οὐδ᾽ εἰς ἀπάντημ᾽, ὅςτις αἷμ᾽ ἔχων κυροῖ,
φυγαῖσι δ᾽ ὁσιοῦν, ἀνταποκτείνειν δὲ μή.
ἀεὶ γὰρ εἷς ἔμελλ᾽ ἐνέξεσθαι φόνῳ,
τὸ λοίσθιον μίασμα λαμβάνων χεροῖν.
ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους,
πρώτην δὲ θυγατέρ᾽, ἣ πόσιν κατέκτανεν·
Ἑλένην τε τὴν σὴν ἄλοχον οὔποτ᾽ αἰνέσω,
οὐδ᾽ ἂν προσείποιμ᾽· οὐδὲ σὲ ζηλῶ, κακῆς

503. κυρεῖ.

γυναικὸς ἐλθόνθ᾽ οὕνεκ᾽ ἐς Τροίας πέδον.
ἀμυνῶ δ᾽, ὅσονπερ δυνατός εἰμι, τῷ νόμῳ,
τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον
παύων, ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ᾽ ἀεί.
ἐπεὶ τίν᾽ εἶχες, ὦ τάλας, ψυχὴν τότε,
ὅτ᾽ ἐξέβαλλε μαστὸν ἱκετεύουσά σε
μήτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακὰ,
δακρύοις γέροντ᾽ ὀφθαλμὸν ἐκτήκω τάλας.
ἓν οὖν λόγοισι τοῖς ἐμοῖς ὁμοῤῥοθεῖ·
μισεῖ γε πρὸς θεῶν καὶ τίνεις μητρὸς δίκας,
μανίαις ἀλαίνων καὶ φόβοις. τί μαρτύρων
ἄλλων ἀκούειν δεῖ μ᾽, ἅ γ᾽ εἰςορᾶν πάρα;
ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσιν θεοῖς
μὴ πρᾶσσ᾽ ἐναντί᾽, ὠφελεῖν τοῦτον θέλων·
ἔα δ᾽ ὑπ᾽ ἀστῶν καταφονευθῆναι πέτροις,
ἢ μὴ ᾽πίβαινε Σπαρτιάτιδος χθονός.
θυγάτηρ δ᾽ ἐμὴ θανοῦσ᾽ ἔπραξεν ἔνδικα·
ἀλλ᾽ οὐχὶ πρὸς τοῦδ᾽ εἰκὸς ἦν αὐτὴν θανεῖν.
ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ᾽ ἀνὴρ,
πλὴν ἐς θυγατέρας· τοῦτο δ᾽ οὐκ εὐδαιμονῶ.

ΧΟΡΟΣ.

ζηλωτὸς, ὅςτις εὐτύχησεν ἐς τέκνα,
καὶ μὴ ᾽πισήμους ξυμφορὰς ἐκτήσατο.

ΟΡΕΣΤΗΣ.

ὦ γέρον, ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν,
ὅπου σε μέλλω σήν τε λυπήσειν φρένα.
ἐγὼ δ᾽ ἀνόσιός εἰμι, μητέρα κτανὼν,
ὅσιος δέ γ᾽ ἕτερον ὄνομα, τιμωρῶν πατρί.
ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν

531. ηὐτύχ.

τὸ γῆρας ἡμῖν τὸ σὸν, ὅ μ᾽ ἐκπλήσσει λέγειν,
καὶ καθ᾽ ὁδὸν εἶμι· νῦν δὲ σὴν ταρβῶ τρίχα.
τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες δυοῖν·
πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ᾽ ἔτικτε παῖς,
τὸ σπέρμ᾽ ἄρουρα παραλαβοῦσ᾽ ἄλλου πάρα·
ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ᾽ ἄν.
ἐλογισάμην οὖν τῷ γένους ἀρχηγέτῃ
μᾶλλόν μ᾽ ἀμῦναι τῆς ὑποστάσης τροφάς·
ἡ σὴ δὲ θυγάτηρ, — μητέρ᾽ αἰδοῦμαι λέγειν, —
ἰδίοισιν ὑμεναίοισι κοὐχὶ σώφροσιν
ἐς ἀνδρὸς ᾔει λέκτρ᾽. ἐμαυτὸν, ἢν λέγω
κακῶς ἐκείνην, ἐξερῶ· λέξω δ᾽ ὅμως.
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις.
τοῦτον κατέκτειν᾽, ἐπὶ δ᾽ ἔθυσα μητέρα,
ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.
ἐφ᾽ οἷς δ᾽ ἀπειλεῖς, ὡς πετρωθῆναί με δεῖ,
ἄκουσον, ὡς ἅπασαν Ἑλλάδ᾽ ὠφελῶ·
εἰ γὰρ γυναῖκες ἐς τόδ᾽ ἥξουσιν θράσους,
ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
ἐς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι,
παρ᾽ οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις,
ἐπίκλημ᾽ ἐχούσαις ὅ τι τύχοι. δράσας δ᾽ ἐγὼ
δείν᾽, ὡς σὺ κομπεῖς, τόνδ᾽ ἔπαυσα τὸν νόμον.
μισῶν δὲ μητέρ᾽ ἐνδίκως ἀπώλεσα,
ἥτις μεθ᾽ ὅπλων ἄνδρ᾽ ἀπόντ᾽ ἐκ δωμάτων,
πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην,
προὔδωκε, κοὐκ ἔσωσ᾽ ἀκήρατον λέχος.
ἐπεὶ δ᾽ ἁμαρτοῦσ᾽ ᾔσθετ᾽, οὐχ αὑτῇ δίκην
ἐπέθηκεν, ἀλλ᾽, ὡς μὴ δίκην δοίη πόσει,

538. ἐκπλ. λόγον.

ἐζημίωσε πατερα κἀπέκτειν᾽ ἐμόν.
πρὸς θεῶν — ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
φόνον δικάζων· εἰ δὲ δὴ τὰ μητέρος
σιγῶν ἐπῄνουν, τί μ᾽ ἂν ἔδρασ᾽ ὁ κατθανών;
οὐκ ἄν με μισῶν ἀνεχόρευ᾽ Ἐριννύσιν;
ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαὶ,
τῷ δ᾽ οὐ πάρεισι μᾶλλον ἠδικημένῳ;
σύ τοι φυτεύσας θυγατέρ᾽, ὦ γέρον, κακὴν,
ἀπώλεσάς με· διὰ τὸ γὰρ κείνης θράσος,
πατρὸς στερηθεὶς, ἐγενόμην μητροκτόνος.
ὁρᾷς, Ὀδυσσέως ἄλοχον οὐ κατέκτανεν
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,
μένει δ᾽ ἐν οἴκοις ὑγιὲς εὐναστήριον.
ὁρᾷς, Ἀπόλλων ὃς μεσομφάλους ἕδρας
ναίων βροτοῖσι στόμα νέμει σαφέστατον,
ᾧ πειθόμεσθα πάνθ᾽, ὅσ᾽ ἂν κεῖνος λέγῃ,
τούτῳ πιθόμενος τὴν τεκοῦσαν ἔκτανον.
ἐκεῖνον ἡγεῖσθ᾽ ἀνόσιον καὶ κτείνετε·
ἐκεῖνος ἥμαρτ᾽, οὐκ ἐγώ. τί χρῆν με δρᾶν;
ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ᾽ ἂν φύγοι,
εἰ μὴ κελεύσας ῥύσεταί με μὴ θανεῖν;
ἀλλ᾽ ὡς μὲν οὐκ εὖ, μὴ λέγ᾽, εἴργασται τάδε,
ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.
γάμοι δ᾽ ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,
μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
τά τ᾽ ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.

ΧΟΡΟΣ.

ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς ξυμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.

ΤΥΝΔΑΡΕΩΣ.

ἐπεὶ θρασύνει κοὐχ ὑποστέλλει λόγῳ,
οὕτω δ' ἀμείβει μ', ὥςτε μ' ἀλγῆσαι φρένας,
μᾶλλόν μ' ἀνάψεις ἐπὶ σὸν ἐξελθεῖν φόνον·
καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων,
ὧν οὕνεκ' ἦλθον, θυγατρὶ κοσμήσων τάφον.
μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον,
ἑκοῦσαν, οὐκ ἄκουσαν, ἐπισείσω πόλιν,
σοὶ σῇ τ' ἀδελφῇ λεύσιμον δοῦναι δίκην.
μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐστ' ἀξία,
ἣ τῇ τεκούσῃ σ' ἠγρίωσ', ἐς οὓς ἀεὶ
πέμπουσα μύθους ἐπὶ τὸ δυςμενέστερον,
ὀνείρατ' ἀγγέλλουσα τἀγαμέμνονος,
καὶ τοῦθ' ὃ μισήσειαν Αἰγίσθου λέχος
οἱ νέρτεροι θεοί· — καὶ γὰρ ἐνθάδ' ἦν πι-
κρόν· —
ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.
Μενέλαε, σοὶ δὲ τάδε λέγω, δράσω τε πρός·
εἰ τοὐμὸν ἔχθος ἐναριθμεῖ κῆδός τ' ἐμὸν,
μὴ τῷδ' ἀμύνειν φόνον ἐναντίον θεοῖς·
ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
τοσαῦτ' ἀκούσας ἴσθι, μηδὲ δυςσεβεῖς
ἕλῃ, παρώσας εὐσεβεστέρους, φίλους·
ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, πρόςπολοι.

ΟΡΕΣΤΗΣ.

στεῖχ', ὡς ἀθορύβως οὑπιὼν ἡμῖν λόγος
πρὸς τόνδ' ἵκηται, γῆρας ἀποφυγὼν τὸ σόν.
Μενέλαε, ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς,
διπλῆς μερίμνης διπτύχους ἰὼν ὁδούς;

ΜΕΝΕΛΑΟΣ.

ΜΕΝΕΛΑΟΣ.

ἔασον· ἐν ἐμαυτῷ τι συννοούμενος,
ὅπῃ τράπωμαι τῆς τύχης, ἀμηχανῶ.

ΟΡΕΣΤΗΣ.

μὴ νῦν πέραινε τὴν δόκησιν, ἀλλ' ἐμοὺς
λόγους ἀκούσας πρόςθε, βουλεύου τότε.

ΜΕΝΕΛΑΟΣ.

λέγ'· εὖ γὰρ εἶπας. ἔστι δ' οὗ σιγὴ λόγου
κρείσσων γένοιτ' ἂν, ἔστι δ' οὗ σιγῆς λόγος.

ΟΡΕΣΤΗΣ.

λέγοιμ' ἂν ἤδη. τὰ μακρὰ τῶν σμικρῶν λόγων
ἐπίπροςθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν.
ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου,
ἃ δ' ἔλαβες ἀπόδος, πατρὸς ἐμοῦ λαβὼν πάρα.
οὐ χρήματ' εἶπον· χρήματ', ἢν ψυχὴν ἐμὴν
σώσῃς, ἅπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.
ἀδικῶ; λαβεῖν χρή μ' ἀντὶ τοῦδε τοῦ κακοῦ
ἄδικόν τι παρὰ σοῦ· καὶ γὰρ Ἀγαμέμνων πατὴρ
ἀδίκως ἀθροίσας Ἑλλάδ' ἦλθ' ἐς Ἴλιον,
οὐκ ἐξαμαρτὼν αὐτὸς, ἀλλ' ἁμαρτίαν
τῆς σῆς γυναικὸς ἀδικίαν τ' ἰώμενος.
ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή.
ἀπέδοτο δ', ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
τὸ σῶμ' ἀληθῶς σοι, παρ' ἀσπίδ' ἐκπονῶν,
ὅπως σὺ τὴν σὴν ἀπολάβοις ξυνάορον.
ἀπότισον οὖν μοι ταὐτὸ τοῦτ' ἐκεῖ λαβὼν,
μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ
σωτήριος στὰς, μὴ δέκ' ἐκπλήσας ἔτη.
ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,
ἐῶ σ' ἔχειν ταῦθ'· Ἑρμιόνην μὴ κτεῖνε σύ.

δεῖ γάρ σ', ἐμοῦ πράσσοντος, ὡς πράσσω τανῦν,
πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
ψυχὴν δ' ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρὶ
κἀμῆς ἀδελφῆς, παρθένου μακρὸν χρόνον·
θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός.
ἐρεῖς, ἀδύνατον; αὐτὸ τοῦτο· τοὺς φίλους
ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν·
ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων.
φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς·
κοὐχ ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω·
ταύτης ἱκνοῦμαί σ'. ὦ μέλεος ἐμῶν κακῶν!
ἐς οἷον ἥκω; τί δὲ ταλαιπωρεῖν με δεῖ;
ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.
ὦ πατρὸς ὅμαιμε, θεῖε, τὸν κατὰ χθονὸς
θανόντ' ἀκούειν τάδε δόκει, ποτωμένην
ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἃ 'γὼ λέγω.
ταῦτ' ἔς τε δάκρυα καὶ γόους καὶ ξυμφορὰς
εἴρηκα, κἀπῄτηκα τὴν σωτηρίαν
θηρῶν, ὃ πάντες, κοὐκ ἐγὼ ζητῶ μόνος.

ΧΟΡΟΣ.

κἀγώ σ' ἱκνοῦμαι καὶ γυνή περ οὖσ' ὅμως
τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ' εἶ.

ΜΕΝΕΛΑΟΣ.

Ὀρέστ', ἐγώ τοι σὸν καταιδοῦμαι κάρα,
καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι·
καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
ξυνεκκομίζειν, δύναμιν ἣν διδῷ θεός,
θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους.

673 Ante hunc v. legitur 676.

τὸ δ' αὖ δύνασθαι πρὸς θεῶν χρῄζω τυχεῖν·
ἥκω γὰρ ἀνδρῶν ξυμμάχων κενὸν δόρυ
ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
σμικρᾷ ξὺν ἀλκῇ τῶν λελειμμένων φίλων.
μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος· εἰ δὲ μαλθακοῖς λόγοις
δυναίμεθ', ἐνταῦθ' ἐλπίδος προσήκομεν.
σμικροῖσι μὲν γὰρ μεγάλα πῶς ἕλοι τις ἂν
πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.
ὅταν γὰρ ἡβᾷ δῆμος, εἰς ὀργὴν πεσών,
ὅμοιον, ὥστε πῦρ κατασβέσαι λάβρον·
εἰ δ' ἡσύχως αὐτῷ τις ἐντείνοντι μὲν
χαλῶν ὑπείκοι, καιρὸν εὐλαβούμενος,
ἴσως ἂν ἐκπνεύσει'· ὅταν δ' ἀνῇ πνοάς,
τύχοις ἂν αὐτοῦ ῥᾳδίως, ὅσον θέλεις.
ἔνεστι δ' οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
καραδοκοῦντι κτῆμα τιμιώτατον.
ἐλθὼν δὲ Τυνδάρεών τέ σοι πειράσομαι
πόλιν τε πεῖσαι τῷ λίαν χρῆσθαι καλῶς.
καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ
ἔβαψεν, ἔστη δ' αὖθις, ἢν χαλᾷ πόδα.
μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας,
μισοῦσι δ' ἀστοί· δεῖ δέ μ', οὐκ ἄλλως λέγω,
σώζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
ἀλκῇ δέ σ' οὐκ ἄν, ᾗ σὺ δοξάζεις ἴσως,
σώσαιμ' ἄν· οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
στῆσαι τρόπαια τῶν κακῶν, ἅ σοι πάρα.
οὐ γάρ ποτ' Ἄργους γαῖαν ἐς τὸ μαλθακὸν

676. παρὰ θ. 684. deest. 690. θέλῃς.

προσηγόμεσθα· νῦν δ' ἀναγκαίως ἔχει
δούλοισιν εἶναι τοῖς σοφοῖσι τῆς τύχης.

ΟΡΕΣΤΗΣ.

ὦ πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,
τἄλλ' οὐδὲν, ὦ κάκιστε τιμωρεῖν φίλοις,
φεύγεις ἀποστραφείς με; τὰ δ' Ἀγαμέμνονος
φροῦδ'. ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, πράσσων κακῶς.
οἴμοι, προδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες,
ὅπη τραπόμενος θάνατον Ἀργείων φύγω·
οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.
ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν,
Πυλάδην, δρόμῳ στείχοντα Φωκέων ἄπο,
ἡδεῖαν ὄψιν· πιστὸς ἐν κακοῖς ἀνὴρ
κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

ΠΥΛΑΔΗΣ.

θᾶσσον ἢ μ' ἐχρῆν προβαίνων ἱκόμην δι' ἄστεος,
ξύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς,
ἐπὶ σὲ σύγγονόν τε τὴν σὴν, ὡς κτενοῦντας αὐτίκα.
τί τάδε; πῶς ἔχεις; τί πράσσεις, φίλταθ' ἡλίκων ἐμοὶ
καὶ φίλων καὶ ξυγγενείας; πάντα γὰρ τάδ' εἶ σύ μοι.

ΟΡΕΣΤΗΣ.

οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.

ΠΥΛΑΔΗΣ.

ξυγκατασκάπτοις ἂν ἡμᾶς· κοινὰ γὰρ τὰ τῶν φίλων.

ΟΡΕΣΤΗΣ.

Μενέλεως κάκιστος ἐς ἐμὲ καὶ κασιγνήτην ἐμήν.

ΠΥΛΑΔΗΣ.

εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίγνεσθαι κακόν.

ΟΡΕΣΤΗΣ.

ὥσπερ οὐκ ἐλθὼν, ἔμοιγε ταυτὸν ἀπέδωκεν μολών.

ΠΥΛΑΔΗΣ.

ἦ γάρ ἐστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;

ΟΡΕΣΤΗΣ.

χρόνιος· ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.

ΠΥΛΑΔΗΣ.

καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;

ΟΡΕΣΤΗΣ.

οὐκ ἐκεῖνος· ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.

ΠΥΛΑΔΗΣ.

ποῦ 'στιν ἣ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία;

ΟΡΕΣΤΗΣ.

ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.

ΠΥΛΑΔΗΣ.

σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;

ΟΡΕΣΤΗΣ.

μή μ' ἰδεῖν θανόνθ' ὑπ' ἀστῶν καὶ κασιγνήτην ἐμήν.

ΠΥΛΑΔΗΣ.

πρὸς θεῶν, τί πρὸς τάδ' εἶπε; τοῦτό γ' εἰδέναι θέλω.

ΟΡΕΣΤΗΣ.

εὐλαβεῖθ᾽, ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.

ΠΥΛΑΔΗΣ.

σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ᾽ ἔχω μαθών.

ΟΡΕΣΤΗΣ.

οὗτος ἦλθ᾽ ὁ τὰς ἀρίστας θυγατέρας σπείρων πατήρ.

ΠΥΛΑΔΗΣ.

Τυνδάρεων λέγεις· ἴσως σοι θυγατέρος θυμούμενος.

ΟΡΕΣΤΗΣ.

αἰσθάνει. τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ᾽ ἢ πατρός.

ΠΥΛΑΔΗΣ.

κοὐκ ἐτόλμησεν πόνων σῶν ἀντιλάζυσθαι παρών;

ΟΡΕΣΤΗΣ.

οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ᾽ ἄλκιμος.

ΠΥΛΑΔΗΣ.

ἐν κακοῖς ἄρ᾽ εἶ μεγίστοις, καί σ᾽ ἀναγκαῖον θανεῖν.

ΟΡΕΣΤΗΣ.

ψῆφον ἀμφ᾽ ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.

ΠΥΛΑΔΗΣ.

ἣ κρινεῖ τί χρῆμα; λέξον· διὰ φόβου γὰρ ἔρχομαι.

736. ηὐλαβεῖθ᾽. 738. σπείρας.

ΟΡΕΣΤΗΣ.

ἢ θανεῖν, ἢ ζῆν. ὁ μῦθος οὐ μακρὸς μακρῶν πέρι.

ΠΥΛΑΔΗΣ.

φεῦγέ νυν λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.

ΟΡΕΣΤΗΣ.

οὐχ ὁρᾷς; φυλασσόμεσθα φρουρίοισι πανταχῇ.

ΠΥΛΑΔΗΣ.

εἶδον ἄστεως ἀγυιὰς τεύχεσιν πεφραγμένας.

ΟΡΕΣΤΗΣ.

ὡςπερεὶ πόλις πρὸς ἐχθρῶν, σῶμα πυργηρούμεθα.

ΠΥΛΑΔΗΣ.

κἀμὲ νῦν ἔρου τί πάσχω· καὶ γὰρ αὐτὸς οἴχομαι.

ΟΡΕΣΤΗΣ.

πρὸς τίνος; τοῦτ᾽ ἂν προςείη τοῖς ἐμοῖς κακοῖς κακόν.

ΠΥΛΑΔΗΣ.

Στρόφιος ἤλασέν μ᾽ ἀπ᾽ οἴκων φυγάδα θυμωθεὶς πατήρ.

ΟΡΕΣΤΗΣ.

ἴδιον, ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι;

ΠΥΛΑΔΗΣ.

ὅτι συνηράμην φόνον σοι μητρὸς, ἀνόσιον λέγων.

ΟΡΕΣΤΗΣ.

ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.

ΠΥΛΑΔΗΣ.

οὐχὶ Μενέλεω τρόποισι χρώμεθ᾽· οἰστέον τάδε.

ΟΡΕΣΤΗΣ.

οὐ φοβεῖ, μή σ' Ἄργος, ὥςπερ κἄμ', ἀποκτεῖναι θέλῃ;

ΠΥΛΑΔΗΣ.

οὐ προςήκομεν κολάζειν τοῖςδε, Φωκέων δὲ γῆ.

ΟΡΕΣΤΗΣ.

δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.

ΠΥΛΑΔΗΣ.

ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.

ΟΡΕΣΤΗΣ.

εἶεν. ἐς κοινὸν λέγειν χρή.

ΠΥΛΑΔΗΣ.

τίνος ἀναγκαίου πέρι;

ΟΡΕΣΤΗΣ.

εἰ λέγοιμ' ἀστοῖσιν ἐλθὼν —

ΠΥΛΑΔΗΣ.

ὡς ἔδρασας ἔνδικα;

ΟΡΕΣΤΗΣ.

πατρὶ τιμωρῶν ἐμαυτοῦ;

ΠΥΛΑΔΗΣ.

μὴ λάβωσί σ' ἄσμενοι.

ΟΡΕΣΤΗΣ.

ἀλλ' ὑποπτήξας σιωπῇ κατθάνω;

ΠΥΛΑΔΗΣ.

δειλὸν τόδε.

ΟΡΕΣΤΗΣ.

πῶς ἂν οὖν δρῴην;

764. μὴ οὐ λάβ.

ΠΥΛΑΔΗΣ.

ἔχεις τιν', ἣν μένῃς, σωτηρίαν;

ΟΡΕΣΤΗΣ.

οὐκ ἔχω.

ΠΥΛΑΔΗΣ.

μολόντι δ' ἐλπίς ἐστι σωθῆναι κακῶν;

ΟΡΕΣΤΗΣ.

εἰ τύχοι, γένοιτ' ἄν.

ΠΥΛΑΔΗΣ.

οὐκοῦν τοῦτο κρεῖσσον, ἢ μένειν.

ΟΡΕΣΤΗΣ.

ἀλλὰ δῆτ' ἔλθω;

ΠΥΛΑΔΗΣ.

θανὼν γοῦν ὧδε κάλλιον θανεῖ.

ΟΡΕΣΤΗΣ.

καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι.

ΠΥΛΑΔΗΣ.

τῷ δοκεῖν εὔχου μόνον.

ΟΡΕΣΤΗΣ.

εὖ λέγεις· φεύγω τὸ δειλὸν τῇδε.

ΠΥΛΑΔΗΣ.

μᾶλλον ἢ μένων.

ΟΡΕΣΤΗΣ.

καί τις ἄν γέ μ' οἰκτίσειε —

ΠΥΛΑΔΗΣ.

μέγα γὰρ ηὑγένειά σου.

ΟΡΕΣΤΗΣ.

θάνατον ἀσχάλλων πατρῷον.

ΠΥΛΑΔΗΣ.

πάντα ταῦτ' ἐν ὄμμασιν.

ΟΡΕΣΤΗΣ.
ἴτεον, ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν.
ΠΥΛΑΔΗΣ.
αἰνῶ τάδε.
ΟΡΕΣΤΗΣ.
ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ᾽ ἐμῇ;
ΠΥΛΑΔΗΣ.
μὴ πρὸς θεῶν.
ΟΡΕΣΤΗΣ.
δάκρυα γοῦν γένοιτ᾽ ἄν.
ΠΥΛΑΔΗΣ.
οὐκοῦν οὗτος οἰωνὸς μέγας.
ΟΡΕΣΤΗΣ.
δηλαδὴ σιγᾷν ἄμεινον.
ΠΥΛΑΔΗΣ.
τῷ χρόνῳ δὲ κερδανεῖς.
ΟΡΕΣΤΗΣ.
κεῖνό μοι μόνον πρόσαντες.
ΠΥΛΑΔΗΣ.
τί τόδε καινὸν αὖ λέγεις;
ΟΡΕΣΤΗΣ.
μὴ θεαί μ᾽ οἴστρῳ κατάσχωσ᾽.
ΠΥΛΑΔΗΣ.
ἀλλὰ κηδεύσω σ᾽ ἐγώ.
ΟΡΕΣΤΗΣ.
δυςχερὲς ψαύειν νοσοῦντος ἀνδρός.
ΠΥΛΑΔΗΣ.
οὐκ ἔμοιγέ σου.
ΟΡΕΣΤΗΣ.
εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς.

ΠΥΛΑΔΗΣ.
τόδ᾽ οὖν ἴτω.
ΟΡΕΣΤΗΣ.
οὐκ ἄρ᾽ ὀκνήσεις;
ΠΥΛΑΔΗΣ.
ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
ΟΡΕΣΤΗΣ.
ἕρπε νῦν, οἴαξ ποδός μοι.
ΠΥΛΑΔΗΣ.
φίλα γ᾽ ἔχων κηδεύματα.
ΟΡΕΣΤΗΣ.
καί με πρὸς τύμβον πόρευσον πατρός.
ΠΥΛΑΔΗΣ.
ὡς τί δὴ τόδε;
ΟΡΕΣΤΗΣ.
ὥς νιν ἱκετεύσω με σῶσαι.
ΠΥΛΑΔΗΣ.
τό γε δίκαιον ὧδ᾽ ἔχει.
ΟΡΕΣΤΗΣ.
μητέρος δὲ μηδ᾽ ἴδοιμι μνῆμα.
ΠΥΛΑΔΗΣ.
πολεμία γὰρ ἦν.
ἀλλ᾽ ἔπειγ᾽, ὡς μή σε πρόσθε ψῆφος Ἀργείων
ἕλῃ,
περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ,
ὡς ἐγὼ δι᾽ ἄστεός σε, σμικρὰ φροντίζων ὄχλου,
οὐδὲν αἰσχυνθεὶς ὀχήσω. ποῦ γὰρ ὢν δείξω
φίλος,
εἴ σε μὴ ᾽ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρ-
κέσω;

ΟΡΕΣΤΗΣ.

τοῦτ᾽ ἐκεῖνο, κτᾶσθ᾽ ἑταίρους, μὴ τὸ συγγενὲς μόνον·
ὡς ἀνὴρ, ὅςτις τρόποισι συντακῇ, θυραῖος ὤν,
μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

ΧΟΡΟΣ.

Ὁ μέγας ὄλβος ἅ τ᾽ ἀρετὰ (στροφή.)·
μέγα φρονοῦσ᾽ ἀν᾽ Ἑλλάδα καὶ
παρὰ Σιμουντίοις ὀχετοῖς
πάλιν ἀνῆλθ᾽ ἐξ εὐτυχίας Ἀτρείδαις
πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
ὁπότε χρυσέας ἔρις ἀρνὸς
ἤλυθε Ταντιλίδαις,
οἰκτρότατα θοινάματα καὶ
σφάγια γενναίων τεκέων·
ὅθεν φόνῳ φόνος ἐξαμείβων
δι᾽ αἵματος οὐ προλείπει
δισσοῖσιν Ἀτρείδαις.
Τὸ καλὸν οὐ καλὸν, τοκέων (ἀντιστρ.)
πυριγενεῖ τέμνειν παλάμᾳ
χρόα, μελάνδετον δὲ φόνῳ
ξίφος ἐς αὐγὰς ἀελίοιο δεῖξαι·
τὸ δ᾽ αὖ κακουργεῖν ἀσέβεια μεγάλη
κακοφρόνων τ᾽ ἀνδρῶν παράνοια.
θανάτου δ᾽ ἀμφὶ φόβῳ
Τυνδαρὶς ἰάκχησε τάλαι-
να· τέκνον, οὐ τολμᾷς ὅσια

800. χρυσείας. 808. τεμεῖν.

κτείνων γε ματέρα· μὴ πατρῴαν
τιμῶν χάριν ἐξανάψῃ
δύςκλειαν ἐςαεί.
Τίς νόσος, ἢ τίνα δάκρυ᾽ ἢ τίς ἔλεος (ἐπῳδ.)
μείζων κατὰ γᾶν,
ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
οἷον ἔργον τελέσας
βεβάκχευται μανίαις,
Εὐμενίσι θήραμα φόνῳ
δρομάσι δινεύων βλεφάροις
Ἀγαμεμνόνειος παῖς.
ὦ μέλεος, ματρὸς ὅτε
μαστὸν ὑπερτέλλοντ᾽ ἐςιδὼν
χρυσεοπηνήτων φαρέων
σφάγιον ἔθετο ματέρα,
πατρῴων παθέων ἀμοιβάν.

ΗΛΕΚΤΡΑ.

Γυναῖκες, ἦπου τῶνδ᾽ ἀφώρμηται δόμων
τλήμων Ὀρέστης, θεομανεῖ λύσσῃ δαμείς;

ΧΟΡΟΣ.

ἥκιστα· πρὸς δ᾽ Ἀργεῖον οἴχεται λεὼν,
ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.

ΗΛΕΚΤΡΑ.

οἴμοι· τί χρῆμ᾽ ἔδρασε; τίς δ᾽ ἔπεισέ νιν;

ΧΟΡΟΣ.

Πυλάδης· ἔοικε δ᾽ οὐ μακρὰν ὅδ᾽ ἄγγελος
λέξειν τὰ κεῖθεν σοῦ κασιγνήτου πέρι.

822. οἷον bis. 827. ὦ μέλεος ματρὸς, ὅτε.

ΑΓΓΕΛΟΣ.

ὦ τλῆμον, ὦ δύστηνε τοῦ στρατηλάτου
Ἀγαμέμνονος παῖ, πότνι' Ἠλέκτρα, λόγους
ἄκουσον, οὕς σοι δυστυχεῖς ἥκω φέρων.

ΗΛΕΚΤΡΑ.

αἶ αἶ· διοιχόμεσθα· δῆλος εἶ λόγῳ.
κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.

ΑΓΓΕΛΟΣ.

ψήφῳ Πελασγῶν σὸν κασίγνητον θανεῖν
καὶ σ', ὦ τάλαιν', ἔδοξε τῇδ' ἐν ἡμέρᾳ.

ΗΛΕΚΤΡΑ.

οἴμοι· προσῆλθεν ἐλπὶς, ἣν φοβουμένη
πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις.
ἀτὰρ τίς ἁγών; τίνες ἐν Ἀργείοις λόγοι
καθεῖλον ἡμᾶς κἀπεκύρωσαν θανεῖν;
λέγ', ὦ γεραιὲ, πότερα λευσίμῳ χερὶ,
ἢ διὰ σιδήρου πνεῦμ' ἀποῤῥῆξαί με δεῖ,
κοινὰς ἀδελφῷ ξυμφορὰς κεκτημένην.

ΑΓΓΕΛΟΣ.

ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
βαίνων, πυθέσθαι δεόμενος τά τ' ἀμφὶ σοῦ
τά τ' ἀμφ' Ὀρέστου· σῷ γὰρ εὔνοιαν πατρὶ
ἀεί ποτ' εἶχον, καί μ' ἔφερβε σὸς δόμος
πένητα μὲν, χρῆσθαι δὲ γενναῖον φίλοις.
ὁρῶ δ' ὄχλον στείχοντα καὶ θάσσοντ' ἄκραν,
οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
διδόντ' ἀθροῖσαι λαὸν ἐς κοινὰς ἕδρας.
ἀστῶν δὲ δή τιν' ἠρόμην, ἄθροισμ' ἰδὼν,
τί καινὸν Ἄργει; μῶν τι πολεμίων πάρα
ἄγγελμ' ἀνεπτέρωκε Δαναϊδῶν πόλιν;

ὁ δ' εἶπ'· Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μήποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν ξύγγονον στείχονθ' ὁμοῦ,
τὸν μὲν κατηφῆ καὶ παρειμένον νόσῳ,
τὸν δ' ὥστ' ἀδελφὸν ἴσα φίλῳ λυπούμενον,
νόσημα κηδεύοντα παιδαγωγίᾳ.
ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος,
κήρυξ ἀναστὰς εἶπε· Τίς χρῄζει λέγειν,
πότερον Ὀρέστην κατθανεῖν, ἢ μὴ, χρεὼν,
μητροκτονοῦντα; κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
ἔλεξε δ', ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεὶ,
διχόμυθα, πατέρα μὲν σὸν ἐκπαγλούμενος,
σὸν δ' οὐκ ἐπαινῶν ξύγγονον, καλοῖς κακοὺς
λόγους ἑλίσσων, ὅτι καθισταίη νόμους
ἐς τοὺς τεκόντας οὐ καλούς· τὸ δ' ὄμμ' ἀεὶ
φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
τὸ γὰρ γένος τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ
πηδῶσ' ἀεὶ κήρυκες· ὅδε δ' αὐτοῖς φίλος,
ὃς ἂν δύνηται, πόλεος ἔν τ' ἀρχαῖσιν ᾖ.
ἐπὶ τῷδε δ' ἠγόρευε Διομήδης ἄναξ.
οὗτος κτανεῖν μὲν οὔτε σ', οὔτε σύγγονον
εἴα, φυγῇ δὲ ζημιοῦντας εὐσεβεῖν.
ἐπεῤῥόθησαν δ' οἱ μὲν, ὡς καλῶς λέγοι·
οἱ δ' οὐκ ἐπῄνουν. κἀπὶ τῷδ' ἀνίσταται
ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος οὐκ Ἀργεῖος, ἠναγκασμένος,
θορύβῳ τε πίσυνος κἀμαθεῖ παῤῥησίᾳ,

879. καλῶς. 885. πόλεος, ἵν τ'.

πιθανὸς ἔτ' αὐτοὺς περιβαλεῖν κακῷ τινι. —
ὅταν γὰρ ἡδὺς τοῖς λόγοις, φρονῶν κακῶς,
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα·
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεὶ,
κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι
πόλει. θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην
ἰδόνθ'· ὅμοιον γὰρ τὸ χρῆμα γίγνεται
τῷ τοὺς λόγους λέγοντι καὶ τιμωμένῳ. —
ὃς εἶπ', Ὀρέστην καὶ σ' ἀποκτεῖναι πέτροις
βάλλοντας· ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
τῷ σφὼ κατακτείνοντι τοιούτους λέγειν.
ἄλλος δ' ἀναστὰς ἔλεγε τῷδ' ἐναντία,
μορφῇ μὲν οὐκ εὐωπὸς, ἀνδρεῖος δ' ἀνὴρ,
ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον,
αὐτουργὸς, οἵπερ καὶ μόνοι σώζουσι γῆν,
ξυνετὸς δὲ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων
ἀκέραιος, ἀνεπίληπτον ἠσκηκὼς βίον·
ὃς εἶπ', Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
στεφανοῦν, ὃς ἠθέλησε τιμωρεῖν πατρὶ,
κακὴν γυναῖκα κἄθεον κατακτανὼν,
ἣ 'κεῖν' ἀφῄρει, μήθ' ὁπλίζεσθαι χέρα,
μήτε στρατεύειν ἐκλιπόντα δώματα,
εἰ τἄνδον οἰκουρήμαθ' οἱ λελειμμένοι
φθείρουσιν, ἀνδρῶν εὐνίδας λωβώμενοι.
καὶ τοῖς γε χρηστοῖς εὖ λέγειν ἐφαίνετο,
κοὐδεὶς ἔτ' εἶπε. σὸς δ' ἐπῆλθε σύγγονος,
ἔλεξε δ'· Ὦ γῆν Ἰνάχου κεκτημένοι,
[πάλαι Πελασγοὶ, Δαναΐδαι δὲ δεύτερον]
ὑμῖν ἀμύνων οὐδὲν ἧσσον ἢ πατρὶ,

894. ἔτ' ἀστούς. 921. deest.

ἔκτεινα

ἔκτεινα μητέρ'. εἰ γὰρ ἀρσένων φόνος
ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν
θνήσκοντες, ἢ γυναιξὶ δουλεύειν χρεών·
τοὐναντίον δὲ δράσετ', ἢ δρᾶσαι χρεών.
νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρὸς
τέθνηκεν· εἰ δὲ δὴ κατακτενεῖτ' ἐμέ,
ὁ νόμος ἀνεῖται, κοὐ φθάνοι θνήσκων τις ἂν,
ὡς τῆς γε τόλμης οὐ σπάνις γενήσεται.
ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει λέγων,
ὃς ἠγόρευε, σύγγονον σέ τε κτανεῖν.
μόλις δ' ἔπεισε μὴ πετρουμένους θανεῖν
τλήμων Ὀρέστης· αὐτόχειρι δὲ σφαγῇ
ὑπέσχετ' ἐν τῇδ' ἡμέρᾳ λείψειν βίον
ξὺν σοί. πορεύει δ' αὐτὸν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων· ξὺν δ' ὁμαρτοῦσιν φίλοι
κλάοντες, οἰκτείροντες· ἔρχεται δέ σοι
πικρὸν θέαμα καὶ πρόσοψις ἀθλία.
ἀλλ' εὐτρέπιζε φάσγαν' ἢ βρόχον δέρῃ,
ὡς δεῖ λιπεῖν σε φέγγος· ηὐγένεια δὲ
οὐδέν σ' ἐπωφέλησεν, οὐδ' ὁ Πύθιος
τρίποδα καθίζων Φοῖβος, ἀλλ' ἀπώλεσεν.

ΧΟΡΟΣ.

ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
πρόσωπον ἐς γῆν σὸν βαλοῦσ' ἄφθογγος εἶ,
ὡς ἐς στεναγμοὺς καὶ γόους δραμουμένη!

ΗΛΕΚΤΡΑ.

κατάρχομαι στεναγμὸν, ὦ Πελασγία, (στροφή.)
τιθεῖσα λευκὸν ὄνυχα διὰ παρηΐδων,

αἱματηρὸν ἄταν,
κτύπον τε κρατὸς, ὃν ἔλαχ᾽ ἁ κατὰ χθονὸς
νερτέρων καλλίπαις θεά.
ἰακχείτω δὲ γᾶ Κυκλωπία,
σίδαρον ἐπὶ κάρᾳ τιθεῖσα κούριμον,
πήματ᾽ οἴκων.
ἔλεος, ἔλεος ὅδ᾽ ἔρχεται
τῶν θανουμένων ὕπερ
στρατηλατῶν Ἑλλάδος ποτ᾽ ὄντων.
βέβακε γὰρ βέβακεν, οἴχεται τέκνων (ἀντιστρ.)
πρόπασα γέννα Πέλοπος, ὅ τ᾽ ἐπὶ μακαρίοις
ζῆλος ὤν ποτ᾽ οἴκοις·
φθόνος νιν εἷλε θεόθεν, ἅ τε δυςμενὴς
φοινία ψῆφος ἐν πόλει.
ἰὼ, ἰὼ, πανδάκρυτ᾽ ἐφαμέρων
ἔθνη πολύπονα, λεύσσεθ᾽, ὡς παρ᾽ ἐλπίδας
μοῖρα βαίνει.
ἕτερα δ᾽ ἑτέροις ἀμείβεται
πήματ᾽ ἐν χρόνῳ μακρῷ·
βροτῶν δ᾽ ὁ πᾶς ἀστάθμητος αἰών.

Μόλοιμι τὰν οὐρανοῦ
μέσον χθονός τε τεταμέναν
αἰωρήμασι πέτραν
ἁλύσεσι χρυσέαισι φερομέναν
δίναισι βῶλον ἐξ Ὀλύμπου,
ἵν᾽ ἐν θρήνοισιν ἀναβοάσω
πατρὶ γέροντι Ταντάλῳ

970. οὐρανοῦ καί. 971. deest τε. 975. ἀναβοάσομαι. 976. γέροντι πατρί.

ὃς ἔτεκεν, ἔτεκε γενέτορας ἐμέθεν δόμων,
οἳ κατεῖδον ἄτας,
τὸ πτανὸν μὲν δίωγμα πώλων
τεθριπποβάμονι στόλῳ
Πέλοψ ὁπότε πελάγεσι διεδίφρευσε,
Μυρτίλου φόνον
δικὼν ἐς οἶδμα πόντου,
λευκοκύμοσι πρὸς Γεραιστίαις ποντίων σάλων
ᾐόσιν ἁρματεύσας.
ὅθεν δόμοισι τοῖς ἐμοῖς
ἦλθ᾽ ἀρὰ πολύστονος,
λόχευμα ποιμνίοισι Μαιάδος τόκου,
τὸ χρυσόμαλλον ἀρνὸς ὁπότ᾽
ἐγένετο τέρας ὀλοὸν, ὀλοὸν
Ἀτρέως ἱπποβότα·
ὅθεν Ἔρις τό τε πτερωτὸν
ἀελίου μετέβαλεν ἅρμα, τὰν ἑσπερον
κέλευθον προςαρμόσασ᾽ οὐρανοῦ
μονόπωλον ἐς Ἀῶ,
ἑπταπόρου τε δρόμημα Πελειάδος
εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει·
τῶνδέ τ᾽ ἀμείβει θανάτους θανάτων,
τά τ᾽ ἐπώνυμα δεῖπνα Θυέστου
λέκτρα τε Κρήσσας
Ἀερόπας δολίας δολίοισι γάμοις.
τὰ πανύστατα δ᾽ εἰς ἐμὲ καὶ γενέταν

979. ποτανὸν μὲν. 981. Π. ὅτε. 988. deest λόχευμα ποιμνίοισι. 991. Ante h. v. legitur alius λόχευμα ποιμνίοισιν. 991. Ἀτρέος. 993. ἁλίου. 994. κελ. οὐρανοῦ προςαρμόσασα.

ἐμὸν ἦλθε δόμων
πολυπόνοις ἀνάγκαις.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδε σὸς ξύγγονος ἕρπει
ψήφῳ θανάτου κατακυρωθεὶς,
ὅ τε πιστότατος πάντων Πυλάδης
ἰσάδελφος ἀνὴρ,
ἰθύνων νοσερὸν κῶλον [Ὀρέστου]
ποδὶ κηδοσύνῳ παράσειρος.

ΗΛΕΚΤΡΑ.

οἴ 'γώ! πρὸ τύμβου γάρ σ' ὁρῶσ' ἀναστένω,
ἀδελφὲ, καὶ πάροιθε νερτέρων πυρᾶς.
οἴ 'γὼ μάλ' αὖθις! ὥς σ' ἰδοῦσ' ἐν ὄμμασι
πανυστάτην πρόσοψιν ἐξέστην φρενῶν.

ΟΡΕΣΤΗΣ.

οὐ σῖγ', ἀφεῖσα τοὺς γυναικείους γόους,
στέρξεις τὰ κρανθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας.

ΗΛΕΚΤΡΑ.

καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾶν θεοῦ
τόδ' οὐκέθ' ἡμῖν τοῖς ταλαιπώροις μέτα.

ΟΡΕΣΤΗΣ.

σὺ μή μ' ἀπόκτειν'· ἅλις ὑπ' Ἀργείας χερὸς
τέθνηχ' ὁ τλήμων· τὰ δὲ παρόντ' ἔα κακά.

ΗΛΕΚΤΡΑ.

μῶ ἔλεος ἥβης σῆς, Ὀρέστα, καὶ πότμου
θανάτου τ' ἀώρου! ζῆν ἐχρῆν σ', ὅτ' οὐκ-έτ' εἶ.

1009. ὀρθῶν νοσ. et Ὀρέστου sine uncis. 1011. οἴ ἐγώ.

ΟΡΕΣΤΗΣ.

μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν,
ἐς δάκρυα πορθμεύουσ' ὑπόμνησιν κακῶν.

ΗΛΕΚΤΡΑ.

θανούμεθ'· οὐχ οἷόν τε μὴ στένειν κακά.
πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.

ΟΡΕΣΤΗΣ.

τόδ' ἦμαρ ἡμῖν κύριον· δεῖ δ' ἢ βρόχους
ἅπτειν κρεμαστοὺς, ἢ ξίφος θήγειν χερί.

ΗΛΕΚΤΡΑ.

σύ νύν μ', ἀδελφέ, μή τις Ἀργείων κτάνῃ,
ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.

ΟΡΕΣΤΗΣ.

ἅλις τὸ μητρὸς αἷμ'· ἐγὼ δέ σ' οὐ κτενῶ.
ἀλλ' αὐτόχειρι θνῆσχ', ὅτῳ βούλει, τρόπῳ.

ΗΛΕΚΤΡΑ.

ἔσται τάδ'· οὐδὲν σοῦ ξίφους λελείψομαι·
ἀλλ' ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.

ΟΡΕΣΤΗΣ.

τέρπου κενὴν ὄνησιν, εἰ τερπνὸν τόδε,
θανάτου πέλας βεβῶσι περιβαλεῖν χέρας.

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατ', ὦ ποθεινὸν ἥδιστόν τ' ἔχων
τῆς σῆς ἀδελφῆς ὄνομα καὶ ψυχὴν μίαν.

ΟΡΕΣΤΗΣ.

ἔκ τοι με τήξεις· καί σ' ἀμείψασθαι θέλω
φιλότητι χειρῶν. τί γὰρ ἔτ' αἰδοῦμαι τάλας;
ὦ στέρν' ἀδελφῆς, ὦ φίλον πρόσπτυγμ' ἐμὸν,

1032. αἷμ' ἔχω· σὲ δ' οὐ κτενῶ.

τάδ᾽ ἀντὶ παίδων καὶ γαμηλίου λέχους
προσφθέγματ᾽ ἀμφοῖν τοῖς ταλαιπώροις πάρα.

ΗΛΕΚΤΡΑ.

(φεῦ) πῶς ἂν ξίφος νῷ ταὐτὸν, εἰ θέμις, κτάνοι,
καὶ μνῆμα δέξαιθ᾽ ἓν, κέδρου τεχνάσματα!

ΟΡΕΣΤΗΣ.

ἥδιστ᾽ ἂν εἴη ταῦθ᾽· ὁρᾷς δὲ δὴ φίλων
ὡς ἐσπανίσμεθ᾽, ὥστε κοινωνεῖν τάφου.

ΗΛΕΚΤΡΑ.

οὐδ᾽ εἶφ᾽ ὑπέρ σου, μὴ θανεῖν σπουδὴν ἔχων,
Μενέλαος ὁ κακὸς, ὁ προδότης τοὐμοῦ πατρός;

ΟΡΕΣΤΗΣ.

οὐδ᾽ ὄμμ᾽ ἔδειξεν, ἀλλ᾽ ἐπὶ σκήπτροις ἔχων
τὴν ἐλπίδ᾽, εὐλαβεῖτο μὴ σώζειν φίλους.
ἀλλ᾽ εἶ᾽, ὅπως γενναῖα κἀγαμέμνονος
δράσαντε κατθανούμεθ᾽ ἀξιώτατα.
κἀγὼ μὲν εὐγένειαν ἀποδείξω πόλει,
παίσας πρὸς ἧπαρ φασγάνῳ· σὲ δ᾽ αὖ χρεὼν
ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασιν.
Πυλάδη, σὺ δ᾽ ἡμῖν τοῦ φόνου γενοῦ βραβεὺς,
καὶ κατθανόντοιν εὖ περίστειλον δέμας,
θάψον τε κοινῇ πρὸς πατρὸς τύμβον φέρων.
καὶ χαῖρ᾽· ἐπ᾽ ἔργον δ᾽, ὡς ὁρᾷς, πορεύομαι.

ΠΥΛΑΔΗΣ.

ἐπίσχες. ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
εἰ ζῆν με χρῄζειν σοῦ θανόντος ἤλπισας.

ΟΡΕΣΤΗΣ.

τί γὰρ προσήκει κατθανεῖν σ᾽ ἐμοῦ μέτα;

1044. προσφθ. ἡμῖν. 1052. ηὐλαβ.

ΠΥΛΑΔΗΣ.

ἤρου; τί δὲ ζῆν σῆς ἑταιρείας ἄτερ;

ΟΡΕΣΤΗΣ.

οὐκ ἔκτανες σὴν μητέρ᾽, ὡς ἐγὼ τάλας.

ΠΥΛΑΔΗΣ.

ξὺν σοί γε κοινῇ· ταὐτὰ καὶ πάσχειν με δεῖ.

ΟΡΕΣΤΗΣ.

ἀπόδος τὸ σῶμα πατρὶ, μὴ ξύνθνησκ᾽ ἐμοί.
σοὶ μὲν γάρ ἐστ᾽ πόλις, ἐμοὶ δ᾽ οὐκ ἔστι δὴ,
καὶ δῶμα πατρὸς καὶ μέγας πλούτου λιμήν.
γάμων δὲ τῆς μὲν δυσπότμου τῆσδ᾽ ἐσφάλης,
ἥν σοι κατηγγύησ᾽, ἑταιρείαν σέβων·
σὺ δ᾽ ἄλλο λέκτρον παιδοποίησαι λαβὼν,
κῆδος δὲ τοὐμὸν καὶ σὸν οὐκέτ᾽ ἐστὶ δή.
ἀλλ᾽ ὦ ποθεινὸν ὄνομ᾽ ὁμιλίας ἐμῆς,
χαῖρ᾽· οὐ γὰρ ἡμῖν ἐστι τοῦτο, σοί γε μήν·
οἱ γὰρ θανόντες χαρμάτων τητώμεθα.

ΠΥΛΑΔΗΣ.

ἦ πολὺ λέλειψαι τῶν ἐμῶν βουλευμάτων.
μήθ᾽ αἷμά μου δέξαιτο κάρπιμον πέδον,
μὴ λαμπρὸς αἰθὴρ, εἴ σ᾽ ἐγὼ προδούς ποτε,
ἐλευθερώσας τοὐμὸν, ἀπολίποιμί σε.
καὶ ξυγκατέκτανον γὰρ, οὐκ ἀρνήσομαι,
καὶ πάντ᾽ ἐβούλευσ᾽, ὧν σὺ νῦν τίνεις δίκας·
καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ καὶ τῇδ᾽ ὁμοῦ.
ἐμὴν γὰρ αὐτὴν, ἧς λέχος γ᾽ ἐπῄνεσα,
κρίνω δάμαρτα· τί γὰρ ἐρῶ καλόν ποτε
γῆν Δελφίδ᾽ ἐλθὼν, Φωκέων ἀκρόπτολιν,
ὃς, πρὶν μὲν ὑμᾶς δυστυχεῖν, φίλος παρῆν,

1068. ξὺν σοί γε· κοινῇ ταῦτα. 1085. ἧς γε λέχος ἐπ.

νῦν δ᾽ οὐκέτ᾽ εἰμὶ δυστυχοῦντί σοι φίλος;
οὐκ ἔστιν, ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
ἐπεὶ δὲ κατθανούμεθ᾽, ἐς κοινοὺς λόγους
ἔλθωμεν, ὡς ἂν Μενέλεως ξυνδυστυχῇ.

ΟΡΕΣΤΗΣ.

ὦ φίλτατ᾽, εἰ γὰρ τοῦτο κατθάνοιμ᾽ ἰδών!

ΠΥΛΑΔΗΣ.

πιθοῦ νυν, ἀνάμεινον δὲ φασγάνου τομάς.

ΟΡΕΣΤΗΣ.

μενῶ, τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι.

ΠΥΛΑΔΗΣ.

σίγα νυν· ὡς γυναιξὶ πιστεύω βραχύ.

ΟΡΕΣΤΗΣ.

μηδὲν τρέσῃς τάσδ᾽· ὡς πάρεισ᾽ ἡμῖν φίλαι.

ΠΥΛΑΔΗΣ.

Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.

ΟΡΕΣΤΗΣ.

πῶς; τὸ γὰρ ἕτοιμόν ἐστιν, εἴ γ᾽ ἔσται καλῶς.

ΠΥΛΑΔΗΣ.

σφάξαντες. ἐν δόμοισι κρύπτεται σέθεν.

ΟΡΕΣΤΗΣ.

μάλιστα· καὶ δὴ πάντ᾽ ἀποσφραγίζεται.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ οὐκέθ᾽, Ἅιδην νυμφίον κεκτημένη.

ΟΡΕΣΤΗΣ.

καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.

ΠΥΛΑΔΗΣ.

τίνας; Φρυγῶν γὰρ οὐδέν᾽ ἂν τρέσαιμ᾽ ἐγώ.

ΟΡΕΣΤΗΣ.

οἵους ἐνόπτρων καὶ μύρων ἐπιστάτας.

ΠΥΛΑΔΗΣ.

τρυφὰς γὰρ ἥκει δεῦρ᾽ ἔχουσα Τρωϊκάς;

ΟΡΕΣΤΗΣ.

ὥσθ᾽ Ἑλλὰς αὐτῇ σμικρὸν οἰκητήριον.

ΠΥΛΑΔΗΣ.

οὐδὲν τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος.

ΟΡΕΣΤΗΣ.

καὶ μὴν τόδ᾽ ἔρξας, δὶς θανεῖν οὐ χάζομαι.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ οὐδ᾽ ἐγὼ μὴν, σοί γε τιμωρούμενος.

ΟΡΕΣΤΗΣ.

τὸ πρᾶγμα δήλου καὶ πέραιν᾽, ὅπως λέγεις.

ΠΥΛΑΔΗΣ.

εἴσιμεν ἐς οἴκους δῆθεν, ὡς θανούμενοι.

ΟΡΕΣΤΗΣ.

ἔχω τοσοῦτον, τἀπίλοιπα δ᾽ οὐκ ἔχω.

ΠΥΛΑΔΗΣ.

γόους πρὸς αὐτὴν θησόμεσθ᾽, ἃ πάσχομεν.

ΟΡΕΣΤΗΣ.

ὥστ᾽ ἐκδακρῦσαί γ᾽ ἔνδοθεν κεχαρμένην.

ΠΥΛΑΔΗΣ.

καὶ νῷν παρέσται ταῦθ᾽, ἅπερ κείνῃ τότε.

ΟΡΕΣΤΗΣ.

ἔπειτ᾽ ἀγῶνα πῶς ἀγωνιούμεθα;

ΠΥΛΑΔΗΣ.

κρύπτ᾽ ἐν πέπλοισι τοῖσιδ᾽ ἕξομεν ξίφη.

ΟΡΕΣΤΗΣ.

πρόσθεν δ᾽ ὀπαδῶν τις ὄλεθρος γενήσεται;

ΠΥΛΑΔΗΣ.

ἐκκλῄσομεν σφᾶς ἄλλον ἄλλοσε στέγης.

ΟΡΕΣΤΗΣ.

καὶ τόν γε μὴ σιγῶντ' ἀποκτείνειν χρεών.

ΠΥΛΑΔΗΣ.

εἶτ' αὐτὸ δηλοῖ τοὔργον, ᾗ τείνειν χρεών.

ΟΡΕΣΤΗΣ.

Ἑλένην φονεύειν· μανθάνω τὸ σύμβολον.

ΠΥΛΑΔΗΣ.

ἔγνως· ἄκουσον δ', ὡς καλῶς βουλεύομαι.
εἰ μὲν γὰρ ἐς γυναῖκα σωφρονεστέραν
ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος·
νῦν δ' ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην,
ὧν πατέρας ἔκτειν', ὧν τ' ἀπώλεσεν τέκνα,
νύμφας τ' ἔθηκεν ὀρφανὰς ξυναόρων.
ὀλολυγμὸς ἔσται, πῦρ τ' ἀνάψουσιν θεοῖς,
σοὶ πολλὰ κἀμοὶ κέδν' ἀρώμενοι τυχεῖν,
κακῆς γυναικὸς οὕνεχ' αἷμ' ἐπράξαμεν.
ὁ μητροφόντης δ' οὐ καλεῖ, ταύτην κτανὼν,
ἀλλ' ἀπολιπὼν τοῦτ', ἐπὶ τὸ βελτίον πεσεῖ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
οὐ δεῖ ποτ', οὐ δεῖ, Μενέλεων μὲν εὐτυχεῖν,
τὸν σὸν δὲ πατέρα καὶ σὲ κἀδελφὴν θανεῖν
μητέρα τ'· — ἐῶ τοῦτ'· οὐ γὰρ εὐπρεπὲς
λέγειν —
δόμους τ' ἔχειν σοὺς, δι' Ἀγαμέμνονος δόρυ
λαβόντα νύμφην· μὴ γὰρ οὖν ζῴην ἔτι,
εἰ μὴ 'π' ἐκείνῃ φάσγανον σπάσω μέλαν.
ἢν δ' οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
πρήσαντες οἴκους τούσδε κατθανούμεθα.
ἑνὸς γὰρ οὐ σφαλέντες ἕξομεν κλέος,
καλῶς θανόντες, ἢ καλῶς σεσωσμένοι.

ΧΟΡΟΣ.

πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνεν γένος.

ΟΡΕΣΤΗΣ.

(φεῦ) οὐκ ἔστιν οὐδὲν κρεῖσσον, ἢ φίλος σαφὴς,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.
σὺ γὰρ τά τ' εἰς Αἴγισθον ἐξεῦρες κακὰ,
καὶ πλησίον παρῆσθα κινδύνων ἐμοὶ,
νῦν τ' αὖ δίδως μοι πολεμίων τιμωρίαν,
κοὐκ ἐκποδὼν εἶ. παύσομαί σ' αἰνῶν, ἐπεὶ
βάρος τι κἀν τῷδ' ἐστὶν, αἰνεῖσθαι λίαν.
ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμὴν
δράσας τι χρῄζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
ἵν' ἀνταναλώσωμεν, οἵ με προὔδοσαν,
στένωσι δ', οἵπερ κἄμ' ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυχ', ὃς Ἑλλάδος
ἦρξ' ἀξιωθεὶς, οὐ τύραννος, ἀλλ' ὅμως
ῥώμην θεοῦ τιν' ἔσχ'· ὃν οὐ καταισχυνῶ
δοῦλον παρασχὼν θάνατον, ἀλλ' ἐλευθέρως
ψυχὴν ἀφήσω, Μενέλεων δὲ τίσομαι.
ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἄν,
εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
κτανοῦσι, μὴ θανοῦσιν· εὔχομαι τάδε.
ὃ βούλομαι γὰρ ἡδὺ καὶ διὰ στόμα
πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένα.

ΗΛΕΚΤΡΑ.

ἐγὼ, κασίγνητ', αὐτὸ τοῦτ' ἔχειν δοκῶ,
σωτηρίαν σοὶ τῷδέ τ' ἐκ τρίτων τ' ἐμοί.

1158. ἀνταναλώσω μέν.

ΟΡΕΣΤΗΣ.

θεοῦ λέγεις πρόνοιαν. ἀλλὰ ποῦ τόδε;
ἐπεὶ τὸ συνετόν γ' οἶδα σῇ ψυχῇ παρόν.

ΗΛΕΚΤΡΑ.

ἄκουε δή νυν· καὶ σὺ δεῦρο νοῦν ἔχε.

ΟΡΕΣΤΗΣ.

λέγ'· ὡς τὸ μέλλειν ἀγάθ' ἔχει τίν' ἡδονήν.

ΗΛΕΚΤΡΑ.

Ἑλένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμην.

ΟΡΕΣΤΗΣ.

οἶδ' ἣν ἔθρεψεν Ἑρμιόνην μήτηρ ἐμή.

ΗΛΕΚΤΡΑ.

αὕτη βέβηκε πρὸς Κλυταιμνήστρας τάφον.

ΟΡΕΣΤΗΣ.

τί χρῆμα δράσουσ'; ὑποτίθης τίν' ἐλπίδα;

ΗΛΕΚΤΡΑ.

χοὰς κατασπείσουσ' ὑπὲρ μητρὸς τάφῳ.

ΟΡΕΣΤΗΣ.

καὶ δὴ τί μοι τοῦτ' εἶπας ἐς σωτηρίαν;

ΗΛΕΚΤΡΑ.

ξυλλάβεθ' ὅμηρον τήνδ', ὅταν στείχῃ πάλιν.

ΟΡΕΣΤΗΣ.

τίνος τόδ' εἶπας φάρμακον τρισσοῖς φίλοις;

ΗΛΕΚΤΡΑ.

Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ,
ἢ τόνδε κἀμέ, — πᾶν γὰρ ἓν φίλον τόδε, —
λέγ', ὡς φονεύσεις Ἑρμιόνην· ξίφος δὲ χρὴ
δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ' ἔχειν.
κἂν μέν σε σώζῃ, μὴ θανεῖν χρῄζων κόρην,
Μενέλαος, Ἑλένης πτῶμ' ἰδὼν ἐν αἵματι,

μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας·
ἢν δ', ὀξυθύμου μὴ κρατῶν φρονήματος,
κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
καί νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
χρόνῳ μαλάξειν σπλάγχνον. οὔτε γὰρ θρασὺς,
οὔτ' ἄλκιμος πέφυκε. τήνδ' ἡμῖν ἔχω
σωτηρίας ἔπαλξιν. εἴρηται λόγος.

ΟΡΕΣΤΗΣ.

ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
ὡς ἀξία ζῆν μᾶλλον ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ' ἁμαρτήσει τάλας
γυναικὸς, ἧς ζῶν μακάριον κτήσει λέχος;

ΠΥΛΑΔΗΣ.

εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν,
καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη!

ΟΡΕΣΤΗΣ.

ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;
ὡς τἄλλα γ' εἶπας, εἴπερ εὐτυχήσομεν,
κάλλισθ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.

ΗΛΕΚΤΡΑ.

καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ·
τοῦ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.

ΟΡΕΣΤΗΣ.

καλῶς· σὺ μέν νυν, ξύγγον' Ἠλέκτρα, δόμων
πάρος μένουσα, παρθένου δέχου πόδα·
φύλασσε δ', ἤν τις, πρὶν τελευτηθῇ φόνος,
ἢ ξύμμαχός τις, ἢ κασίγνητος πατρὸς
ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνέ τ' ἐς δόμους,

1201. ἢ ζῶν.

ἢ σανίδα παίσασ', ἢ λόγους πέμψασ' ἔσω.
ἡμεῖς δ' ἔσω στείχοντες ἐπὶ τὸν ἔσχατον
ἀγῶν' ὁπλιζώμεσθα φασγάνῳ χέρας,
Πυλάδη· σὺ γὰρ δὴ ξυμπονεῖς ἐμοὶ πόνους.
ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
καλεῖ σ' Ὀρέστης παῖς σὸς ἐπίκουρον μολεῖν
τοῖς δεομένοισι. διὰ σὲ γὰρ πάσχω τάλας
ἀδίκως· προδέδομαι δ' ὑπὸ κασιγνήτου σέθεν,
δίκαια πράξας· οὗ θέλω δάμαρθ' ἑλὼν
κτεῖναι· σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενοῦ.

ΗΛΕΚΤΡΑ.

ὦ πάτερ, ἵκου δῆτ', εἰ κλύεις ἔσω χθονὸς
τέκνων καλούντων, οἳ σέθεν θνήσκουσ' ὕπερ.

ΠΥΛΑΔΗΣ.

ὦ ξυγγένεια πατρὸς ἐμοῦ, κἀμὰς λιτὰς,
Ἀγάμεμνον, εἰςάκουσον, ἔκσωσον τέκνα.

ΟΡΕΣΤΗΣ.

ἔκτεινα μητέρ' —

ΠΥΛΑΔΗΣ.

ἡψάμην δ' ἐγὼ ξίφους.

ΗΛΕΚΤΡΑ.

ἐγὼ δέ γ' ἐπεκέλευσα κἀπέλυσ' ὄκνου.

ΟΡΕΣΤΗΣ.

σοὶ, πάτερ, ἀρήγων.

ΗΛΕΚΤΡΑ.

οὐδ' ἐγὼ προὔδωκά σε.

ΠΥΛΑΔΗΣ.

οὐκοῦν ὀνείδη τάδε κλύων ῥῦσαι τέκνα.

1231. οὔκουν — ῥύσει τέκνα;

ΟΡΕΣΤΗΣ.

δακρύοις κατασπένδω σ'.

ΗΛΕΚΤΡΑ.

ἐγὼ δ' οἴκτοισί γε.

ΠΥΛΑΔΗΣ.

παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραὶ,
κλύει. σὺ δ', ὦ Ζεῦ πρόγονε, καὶ Δίκης σέβας,
δότ' εὐτυχῆσαι τῷδ' ἐμοί τε τῇδέ τε·
τρισσοῖς φίλοις γὰρ εἷς ἀγὼν, δίκη μία,
ἢ ζῆν ἅπασιν, ἢ θανεῖν ὀφείλεται.

ΗΛΕΚΤΡΑ.

Μυκηνίδες ὦ φίλαι, τὰ πρῶτα κατὰ Πελα- (στρ. α'.)
σγὸν ἕδος Ἀργείων.

ΧΟΡΟΣ.

τίνα θροεῖς αὐδάν, πότνια; παραμένει
γὰρ ἔτι σοι τόδ' ἐν Δαναϊδῶν πόλει.

ΗΛΕΚΤΡΑ.

στῆθ' αἱ μὲν ὑμῶν τόνδ' ἁμαξήρη τρίβον,
αἱ δ' ἐνθάδ' ἄλλον οἶμον ἐς φρουρὰν δόμων.

ΧΟΡΟΣ.

τί δέ με τόδε χρέος ἀπύεις; (στρ. β'.)
ἔνεπέ μοι, φίλα.

ΗΛΕΚΤΡΑ.

φόβος ἔχει με, μή τις ἐπὶ δώμασι
σταθεὶς ἐπὶ φόνιον αἷμα πήματα
πήμασιν ἐξεύρῃ.

1241. αὐτὰν, ὦ π. 1243. τήνδ' ἁμ. 1248. φοίνιον.

ΗΜΙΧΟΡΙΟΝ ά.

χωρεῖτ᾽, ἐπειγώμεσθ᾽· ἐγὼ μὲν οὖν τρίβον
τόνδ᾽ ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.

ΗΜΙΧΟΡΙΟΝ β'.

καὶ μὴν ἐγὼ τόνδ᾽, ὃς πρὸς ἑσπέραν φέρει.

ΗΛΕΚΤΡΑ.

δόχμια νῦν κόραις διάφερ᾽ ὀμμάτων (στ. γ'.)
ἐκεῖθεν ἐνθάδ᾽, εἶτα πάλιν σκοπιάν.

ΧΟΡΟΣ.

ἔχομεν, ὡς θροεῖς.

ΗΛΕΚΤΡΑ.

ἑλίσσετε νῦν βλέφαρα, κόραισι δίδοτε πάν- (ἀντ. ά.)
τα διὰ βοστρύχων.

ΗΜΙΧΟΡΙΟΝ.

ὅδε τίς ἐν τρίβῳ * * *; τίς ὅδ᾽ ἆρ᾽ ἀμ-
φὶ μέλαθρον πολεῖ σὸν ἀγρότας ἀνήρ;

ΗΛΕΚΤΡΑ.

ἀπωλόμεσθ᾽ ἆρ᾽, ὦ φίλαι, κεκρυμμένους
θῆρας ξιφήρεις αὐτίκ᾽ ἐχθροῖς εἰ φανεῖ.

ΗΜΙΧΟΡΙΟΝ.

ἄφοβος ἔχε· κενός, ὦ φίλα, (ἀντ. β'.)
στίβος, ὃν οὐ δοκεῖς.

ΗΛΕΚΤΡΑ.

τί δέ; τὸ σὸν βέβαιον ἔτι μοι μένει;
δὸς ἀγγελίαν ἀγαθάν τιν᾽, εἰ τάδ᾽ ἔ-
ρημα τὰ πρόσθ᾽ αὐλᾶς.

1251. τήνδ᾽ ἐκφ. τὴν πρ. 1252. τήνδ᾽, ἥ. 1253. κόρας. 1254. εἶτ᾽ ἐπ᾽ ἄλλην σκ. 1256. 7. δίδοτε διὰ βοστρύχων πάντῃ. 1258. ὅδε τις. Pro lacuna φαντάζεται. 1261. ἐχθροῖσιν φανεῖ.

ΗΜΙΧΟΡΙΟΝ.

ΗΜΙΧΟΡΙΟΝ ά.

καλῶς τά γ᾽ ἐνθένδ᾽· ἀλλὰ τἀπὶ σοῦ σκόπει·
ὡς οὔτις ἡμῖν Δαναϊδῶν πελάζεται.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἐς ταυτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῇδ᾽ ὄχλος.

ΗΛΕΚΤΡΑ.

φέρε νυν ἐν πύλαισιν ἀχοὰν βάλω· (ἀντ. γ'.)
τί μέλλεθ᾽ οἱ κατ᾽ οἶκον ἐν ἡσυχίᾳ
σφάγια *φοινίσσειν;
οὐκ εἰσακούουσ᾽· ὦ τάλαιν᾽ ἐγὼ κακῶν!
ἆρ᾽ ἐς τὸ κάλλος ἐκκεκώφηται ξίφη;
τάχα τις Ἀργείων ἔνοπλος ὁρμήσας
ποδὶ βοηδρόμῳ μέλαθρα προσμίξει.
σκέψασθε νῦν ἄμεινον· οὐχ ἕδρας ἀγών·
ἀλλ᾽ αἱ μὲν ἐνθάδ᾽, αἱ δ᾽ ἐκεῖσ᾽ ἑλίσσετε.

ΧΟΡΟΣ.

ἀμείβω κέλευθον
σκοποῦσα πάντα.

ΕΛΕΝΗ.

ἰὼ Πελασγὸν Ἄργος, ὄλλυμαι κακῶς.

ΗΛΕΚΤΡΑ.

ἠκούσαθ᾽; ἄνδρες χεῖρ᾽ ἔχουσιν ἐν φόνῳ·
Ἑλένης τὸ κώκυμ᾽ ἐστίν, ὡς ἀπεικάσαι.

ΧΟΡΟΣ.

ὦ Διός, ὦ Διὸς ἀέναον κράτος,
ἔλθ᾽ ἐπίκουρον ἐμοῖς φίλοισι πάντως.

ΕΛΕΝΗ.

Μενέλαε, θνήσκω· σὺ δὲ παρὼν μ᾽ οὐκ
ὠφελεῖς.

1274. ἐκκεκώφωται.

ΗΛΕΚΤΡΑ.

φονεύετε, καίνετε, θείνετ', ὄλλυτε,
δίπτυχα, δίστομα φάσγανα πέμπετε
ἐκ χερὸς ἱέμενοι
τὰν λιποπάτορα λιπόγαμόν θ', ἃ πλείστους
ἔκανεν Ἑλλάνων
δορὶ παρὰ ποταμὸν ὀλομένους,
ὅθι δάκρυα δάκρυσι
συνέπεσεν σιδαρέοισι
βέλεσιν ἀμφὶ τὰς Σκαμάνδρου δίνας.

ΧΟΡΟΣ.

σιγᾶτε, σιγᾶτ'· ᾐσθόμην κτύπου τινὸς
κέλευθον ἐσπεσόντος ἀμφὶ δώματα.

ΗΛΕΚΤΡΑ.

ὦ φίλταται γυναῖκες, ἐς μέσον φόνον
ἥδ' Ἑρμιόνη πάρεστι· παύσωμεν βοήν.
στείχει γὰρ ἐσπεσοῦσα δικτύων βρόχους.
καλὸν τὸ θήραμ', ἢν ἁλῷ, γενήσεται.
πάλιν κατάστηθ' ἡσύχῳ μὲν ὄμματι,
χρόᾳ δ' ἀδήλῳ τῶν δεδραμένων πέρι·
κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα. —
ὦ παρθέν', ἥκεις τὸν Κλυταιμνήστρας τάφον
στέψασα, καὶ σπείσασα νερτέρων χοάς;

ΕΡΜΙΟΝΗ.

ἥκω, λαβοῦσα πρευμένειαν. ἀλλά μοι

1287. καίνετ', ὄλλυτε, sine θείνετε. 1288. deest πέμπετε. 1290. λειποπάτορα, λειπόγαμον, ἅ. 1294. συνέπεσεν, ἔπεσε σιδ. 1296. κτύπον. 1307. νερτέροις. 1308. ἀλλά με.

φόβος τις εἰσελήλυθ', ἥντιν' ἐν δόμοις
τηλουρὸς οὖσα δωμάτων κλύω βοήν.

ΗΛΕΚΤΡΑ.

τί δ'; ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων.

ΕΡΜΙΟΝΗ.

εὔφημος ἴσθι· τί δὲ νεώτερον λέγεις;

ΗΛΕΚΤΡΑ.

θανεῖν Ὀρέστην κἄμ' ἔδοξε τῇδε γῇ.

ΕΡΜΙΟΝΗ.

μὴ δῆτ', ἐμούς γε συγγενεῖς πεφυκότας.

ΗΛΕΚΤΡΑ.

ἄραρ'· ἀνάγκης δ' ἐς ζυγὸν καθέσταμεν.

ΕΡΜΙΟΝΗ.

ἦ τοῦδ' ἕκατι καὶ βοὴ κατὰ στέγας;

ΗΛΕΚΤΡΑ.

ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ.

ΕΡΜΙΟΝΗ.

τίς; οὐδὲν οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.

ΗΛΕΚΤΡΑ.

τλήμων Ὀρέστης, μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.

ΕΡΜΙΟΝΗ.

ἐπ' ἀξίοισι τἄρ' ἀνευφημεῖ δόμος.

ΗΛΕΚΤΡΑ.

περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
ἀλλ' ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις,
σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ' ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
ἀλλ' ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,

1320. ἀξίοισί γ' ἆρ'.

οἴκτειρον ἡμᾶς κἀποκούφισον κακῶν.
ἴθ' εἰς ἀγῶνα δεῦρ', ἐγὼ δ' ἡγήσομαι·
σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.

ΕΡΜΙΟΝΗ.

ἰδοῦ, διώκω τὸν ἐμὸν ἐς δόμους πόδα.
σώθηθ', ὅσον γε τοὐπ' ἔμ'.

ΗΛΕΚΤΡΑ.

ὦ κατὰ στέγας
φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;

ΕΡΜΙΟΝΗ.

οἲ 'γώ· τίνας τούσδ' εἰσορῶ;

ΟΡΕΣΤΗΣ.

σιγᾶν χρεών·
ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοί, σωτηρία.

ΗΛΕΚΤΡΑ.

ἔχεσθ', ἔχεσθε· φάσγανον δὲ πρὸς δέρῃ
βαλόντες, ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακούς,
εὑρὼν ἔπραξεν, οἷα χρὴ πράσσειν κακούς.
ἰώ, ἰὼ φίλαι, κτύπον ἐγείρετε, (στροφή.)
κτύπον καὶ βοὰν
πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
πρὶν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
καθαιμακτὸν ἐν δόμοις κείμενον,
ἢ καὶ λόγον του προσπόλων πυθώμεθα·
τὰς μὲν γὰρ οἶδα συμφοράς, τὰς δ' οὐ σαφῶς.

ΧΟΡΟΣ.

διὰ δίκας ἔβα

θεῶν νέμεσις ἐς Ἑλέναν.
δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
διὰ τὸν ὀλόμενον, ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.
ἀλλά, — κτυπεῖ γὰρ κλῇθρα βασιλείων
δόμων, —
σιγήσατ'· ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
οὗ πευσόμεσθα τἀν δόμοις ὅπως ἔχει.

ΦΡΥΞ.

Ἀργεῖον ξίφος ἐκ θανάτου πέφευγα
βαρβάροις ἐν εὐμαρίσιν,
κεδρωτὰ παστάδων ὑπὲρ τέρεμνα
Δωρικάς τε τριγλύφους,
φροῦδα, φροῦδα, γᾶ, γᾶ,
βαρβάροισι δρασμοῖς.
αἶ, αἶ· πᾷ φύγω, ξέναι, πολιὸν αἰ-
θέρ' ἀμπτάμενος ἢ πόντον, Ὠκεανὸς ὃν
ταυρόκρανος ἀγκάλαις
ἑλίσσων κυκλοῖ χθόνα;

ΧΟΡΟΣ.

τί δ' ἔστιν, Ἑλένης πρόσπολ', Ἰδαῖον κάρα;

ΦΡΥΞ.

Ἴλιον, Ἴλιον, ὤ μοί μοι,
Φρύγιον ἄστυ καλλίβωλον, Ἴ-
δας ὄρος ἱερόν, ὥς σ' ὀλόμενον στένω,
ἁρμάτειον, ἁρμάτειον
μέλος βαρβάρῳ βοᾷ,
διὰ [τὸ τᾶς] ὀρνιθόγονον ὄμμα κυκνοπτέρου

1356. deest ἐν. 1359. φρ. φροῦδ', ὦ γᾶ, γᾶ. 1364. κυκλεῖ. 1366. οἴμοι μοι. 1371. τὸ τᾶς sine uncis.

καλλοσύνας Λήδας σκύμνου, δυσελένας,
ξεστῶν περγάμων Ἀπολλωνίων
ἐριννύν· ὀτοτοί·
ἰαλέμων, ἰαλέμων,
Δαρδανία τλάμων, Γανυμήδεος
ἱπποσύνα, Διὸς εὐνέτα.

ΧΟΡΟΣ.

σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις·
τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ' ἔχω.

ΦΡΥΞ.

αἴλινον, αἴλινον ἀρχὰν θανάτου
βάρβαροι λέγουσιν, αἶ αἶ,
Ἀσιάδι φωνᾷ, βασιλέων
ὅταν αἷμα χυθῇ κατὰ γᾶν ξίφεσιν
σιδαρέοισιν Ἀΐδα.
ἦλθον ἐς δόμους, ἵν' αὔθ' ἕκαστά σοι λέγω,
λέοντες Ἕλλανες δύο διδύμω.
τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκλῄζετο·
ὁ δὲ παῖς Στροφίου, κακομήτας,
οἷος Ὀδυσσεὺς, σιγᾷ δόλιος,
πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκὰν,
ξυνετὸς πολέμου, φόνιός τε δράκων.
ἔῤῥοι τᾶς ἡσύχου προνοίας,
κακοῦργος ὤν!
οἱ δὲ πρὸς θρόνους ἔσω μολόντες
ἃς ἔγημ' ὁ τοξότας Πάρις γυναικὸς,
ὄμμα δακρύοις πεφυρμένοι, ταπεινοὶ
ἕζονθ', ὁ μὲν τὸ κεῖθεν, ὁ δὲ τὸ κεῖθεν, ἄλ-
λος ἄλλοθεν πεφραγμένοι.

1372. δυσελένας bis. 1388. κακόμητις ἀνήρ.

περὶ δὲ γόνυ χέρας ἱκεσίους
ἔβαλον, ἔβαλον Ἑλένας ἄμφω.
ἀνὰ δὲ δρομάδες ἔθορον, ἔθορον
ἀμφίπολοι Φρύγες·
προςεῖπε δ' ἄλλος ἄλλον πεσὼν ἐν φόβῳ,
μή τις εἴη δόλος. κἀδόκει τοῖς μὲν οὔ·
τοῖς δ' ἐς ἀρκυστάταν μηχανὰν ἐμπλέκειν
παῖδα τὴν Τυνδαρίδ' ὁ μητροφόντας δράκων.

ΧΟΡΟΣ.

σὺ δ' ἦσθα ποῦ τότ', ἢ πάλαι φεύγεις φόβῳ;

ΦΡΥΞ.

Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
παρὰ βόστρυχον αὔραν, αὔραν
Ἑλένας Ἑλένας εὐπαγεῖ κύκλῳ
πτερίνῳ πρὸ παρηΐδος αΐσσων
βαρβάροις νόμοισιν.
ἁ δὲ λίνον ἠλακάτᾳ
δακτύλοις ἕλισσε,
νήματά θ' ἵετο πέδῳ,
σκύλων Φρυγίων ἐπὶ τύμβον ἀγάλ-
ματα συστολίσαι χρῄζουσα λίνῳ,
φάρεα πορφύρεα, δῶρα Κλυταιμνήστρᾳ.
προςεῖπεν δ' Ὀρέστας Λάκαιναν κόραν·
ὦ Διὸς παῖ, θὲς ἴχνος πέδῳ δεῦρ' ἀπο-
στᾶσα κλισμοῦ, Πέλοπος
ἐπὶ προπάτορος ἕδραν παλαιᾶς ἑστίας,
ἵν' εἰδῇς λόγους ἐμούς.
ἄγει δ', ἄγει νιν· ἁ δ' ἐφεί-
πετ', οὐ πρόμαντις ὧν ἔμελ-

1419. προςεῖπε. 1425. 6. ἔμελλ'· ὁ δὲ ξυνεργός.

λεν· ὁ δὲ συνεργὸς ἄλλ᾽ ἔπρασσ᾽
ἰὼν κακὸς Φωκεύς.
Οὐκ ἐκποδὼν ἴτ᾽, ἀλλ᾽ ἀεὶ κακοὶ Φρύγες;
ἔκλῄσε δ᾽ ἄλλον ἄλλοσε στέγης·
τοὺς μὲν ἐν σταθμοῖσιν ἱππικοῖσι,
τοὺς δ᾽ ἐν ἐξέδραισι, τοὺς δ᾽ ἐκεῖσ᾽ ἐκεῖθεν,
ἄλλον ἄλ-
λοσε διαρμόσας ἀπόπρο δεσποίνας.

ΧΟΡΟΣ.

τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίγνετο;

ΦΡΥΞ.

Ἰδαία μᾶτερ, μᾶτερ
ὀβρίμα, ὀβρίμα, αἶ, αἶ,
φονίων παθέων, ἀνόμων τε κακῶν,
ἅπερ ἔδρακον, ἔδρακον
ἐν δόμοις τυράννων.
ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
ξίφη σπάσαντες ἐν χεροῖν,
ἄλλος ἄλλοσε
δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
ὡς κάπροι δ᾽ ὀρέστεροι
γυναικὸς ἀντίοι σταθέντες
ἐννέπουσι· Κατθανεῖ,
κατθανεῖ, κακός σ᾽ ἀποκτείνει πόσις,
τοῦ κασιγνήτου προδοὺς
ἐν Ἄργει θανεῖν γόνον.
ἁ δ᾽ ἴαχεν, ἴαχεν, ᾤ μοί μοι·
λευκὸν δ᾽ ἐμβαλοῦσα πῆχυν στέρνοις,
κτύπησε κρᾶτα μέλεον πλαγάν·

1430. ἱππικοῖς. 1449. ἁ δ᾽ ἀνίαχεν.

φυγάδι δὲ ποδὶ τὸ χρυσεοσάνδαλον ἴ-
χνος ἔφερεν, ἔφερεν·
ἐς κόμας δὲ δακτύλους δικὼν Ὀρέστας,
Μυκηνίδ᾽ ἀρβύλαν προβὰς,
ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,
παίειν λαιμῶν ἔμελλεν
ἔσω μέλαν ξίφος.

ΧΟΡΟΣ.

ποῦ δῆτ᾽ ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;

ΦΡΥΞ.

ἰακχᾷ δόμων θύρετρα καὶ σταθμοὺς
μοχλοῖσιν ἐκβαλόντες, ἔνθ᾽ ἐμίμνομεν,
βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης,
ὁ μὲν πέτρους, ὁ δ᾽ ἀγκύλας,
ὁ δὲ ξίφος πρόκωπον ἐν χεροῖν ἔχων.
ἔναντα δ᾽ ἦλθεν
Πυλάδης ἀλίαστος, οἷος, οἷος
Ἕκτωρ ὁ Φρύγιος, ἢ τρικόρυθος Αἴας,
ὃν εἶδον, εἶδον ἐν πύλαισι Πριαμίσιν·
φασγάνων δ᾽ ἀκμὰς ξυνήψαμεν.
τότε δὴ, τότε διαπρεπεῖς
ἐγένοντο Φρύγες, ὅσον Ἄρεος ἀλκὰν
ἥσσονες Ἑλλάδος ἐγενόμεθ᾽ αἰχμᾶς.
ὁ μὲν οἰχόμενος φυγὰς, ὁ δὲ νέκυς ὤν,
ὁ δὲ τραῦμα φέρων, ὁ δὲ λισσόμενος,
θανάτου προβολάν·
ὑπὸ σκότον δ᾽ ἐφεύγομεν·
νεκροὶ δ᾽ ἔπιπτον, οἱ δ᾽ ἔμελλον, οἱ δ᾽ ἔκειντ᾽.
ἔμολε δ᾽ ἁ τάλαιν᾽ Ἑρμιόνα δόμους

1452. φυγᾷ δὲ π. 1457. λαιμόν. 1460. ἰαχᾷ.

ἐπὶ φόνῳ χαμαιπετεῖ ματρὸς, ἅ
νιν ἔτεκεν τλάμων.
ἄθυρσοι δ' οἷά νιν δραμόντε Βάκχαι
σκύμνον ἐν χεροῖν ὀρείαν
ξυνήρπασαν· πάλιν δὲ τὰν Διὸς κόραν
ἐπὶ σφαγὰν ἔτεινον·
ἁ δ' ἐκ θαλάμων ἐγένετο
διαπρὸ δωμάτων ἄφαντος,
ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νὺξ,
ἤτοι φαρμάκοισιν,
ἢ μάγων τέχναισιν, ἢ θεῶν κλοπαῖς.
τὰ δ' ὕστερ' οὐκέτ' οἶδα·
δραπέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.
πολύπονα δὲ, πολύπονα πάθεα
Μενέλαος ἀνασχόμενος
ἀνόνητον ἀπὸ Τροίας
ἔλαβε τὸν Ἑλένας γάμον.

ΧΟΡΟΣ.

καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε·
ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων
βαίνοντ' Ὀρέστην ἐπτοημένῳ ποδί.

ΟΡΕΣΤΗΣ.

ποῦ 'στὶν οὗτος, ὃς πέφευγε τοὐμὸν ἐκ δόμων
ξίφος;

ΦΡΥΞ.

προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσ-
πιτνῶν.

ΟΡΕΣΤΗΣ.

οὐκ ἐν Ἰλίῳ τάδ' ἐστὶν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.

1480. ἔτεκε.

ΦΡΥΞ.

πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς
σώφροσιν.

ΟΡΕΣΤΗΣ.

οὔ τι που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρο-
μεῖν;

ΦΡΥΞ.

σοὶ μὲν οὖν ἔγωγ' ἀμύνειν· ἀξιώτερος γὰρ εἶ.

ΟΡΕΣΤΗΣ.

ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;

ΦΡΥΞ.

ἐνδικώτατ', εἴ γε λαιμοὺς εἶχε τριπτύχους
θανεῖν.

ΟΡΕΣΤΗΣ.

δειλίᾳ γλώσσῃ χαρίζει, τἄνδον οὐχ οὕτω
φρονῶν.

ΦΡΥΞ.

οὐ γὰρ, ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμή-
νατο;

ΟΡΕΣΤΗΣ.

ὄμοσον, — εἰ δὲ μὴ, κτενῶ σε, — μὴ λέγειν
ἐμὴν χάριν.

ΦΡΥΞ.

τὴν ἐμὴν ψυχὴν κατώμοσ', ἣν ἂν εὐορκοῖμ' ἐγώ.

ΟΡΕΣΤΗΣ.

ὧδε κἀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν
φόβος;

ΦΡΥΞ.

ἄπεχε φάσγανον· πέλας γὰρ δεινὸν ἀνταυγεῖ
φόνον.

ΟΡΕΣΤΗΣ.

μὴ πέτρος γένῃ δέδοικας, ὥςτε Γοργόν' εἰςιδών;

ΦΡΥΞ.

μὴ μὲν οὖν νεκρός· τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.

ΟΡΕΣΤΗΣ.

δοῦλος ὢν φοβεῖ τὸν Ἅιδην, ὅς σ' ἀπαλλάξει κακῶν;

ΦΡΥΞ.

πᾶς ἀνὴρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.

ΟΡΕΣΤΗΣ.

εὖ λέγεις· σώζει σε σύνεσις. ἀλλὰ βαῖν' εἴσω δόμων.

ΦΡΥΞ.

οὐκ ἄρα κτενεῖς μ';

ΟΡΕΣΤΗΣ.

ἀφεῖσαι.

ΦΡΥΞ.

καλὸν ἔπος λέγεις τόδε.

ΟΡΕΣΤΗΣ.

ἀλλὰ μεταβουλευσόμεσθα.

ΦΡΥΞ.

τοῦτο δ' οὐ καλῶς λέγεις.

ΟΡΕΣΤΗΣ.

μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην·
οὔτε γὰρ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ.

τοῦ δὲ μὴ στῆσαί σε κραυγὴν οὕνεκ' ἐξῆλθον δόμων·
ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ τάρβος ἡμῖν ἀναλαβεῖν εἴσω ξίφους·
ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμων βοστρύχοις γαυρούμενος·
εἰ γὰρ Ἀργείους ἐπάξει τοῖςδε δώμασιν λαβὼν,
τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σώζειν θέλει
ξύγγονόν τ' ἐμὴν Πυλάδην τε τὸν τάδε ξυνδρῶντά μοι,
παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται.

ΧΟΡΟΣ.

ἰὼ ἰὼ τύχα, ἕτερον εἰς ἀγῶν' (ἀντιστρ.)
ἕτερον αὖ δόμος
φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πιτνεῖ.

ΗΜΙΧΟΡΙΟΝ.

τί δρῶμεν; ἀγγέλλωμεν ἐς πόλιν τάδε;
ἢ σῖγ' ἔχωμεν;

ΗΜΙΧΟΡΙΟΝ.

ἀσφαλέστερον, φίλαι.

ΗΜΙΧΟΡΙΟΝ.

ἴδε πρὸ δωμάτων, ἴδε προκηρύσσει
θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.

ΗΜΙΧΟΡΙΟΝ.

ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
τοὺς Ταντα λείους, οὐδ' ἀφίστανται φόνου.

ΗΜΙΧΟΡΙΟΝ.

τέλος ἔχει δαίμων

βροτοῖς, τέλος ὅπα θέλει.
μεγάλα δέ τις ἁ δύναμις· δι᾽ ἀλάστορ᾽
ἔπεσ᾽ ἔπεσε μέλαθρα τάδε δι᾽ αἱμάτων
διὰ τὸ Μυρτίλου πέσημ᾽ ἐκ δίφρου.

ΧΟΡΟΣ.

ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας
ὀξύπουν, ᾐσθημένον που τὴν τύχην, ἣ νῦν πάρα.
οὐκέτ᾽ ἂν φθάνοιτε κλῇθρα συμπεραίνοντες μοχλοῖς,
ὦ κατὰ στέγας Ἀτρεῖδαι; δεινὸν εὐτυχῶν ἀνὴρ
πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν, Ὀρέστα, δυστυχεῖς.

ΜΕΝΕΛΑΟΣ.

ἥκω κλύων τὰ δεινὰ καὶ δραστήρια
δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ᾽ αὐτὼ καλῶ.
ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον,
ὡς οὐ τέθνηκεν, ἀλλ᾽ ἄφαντος οἴχεται,
κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
ἤγγειλέ μοί τις. ἀλλὰ τοῦ μητροκτόνου
τεχνάσματ᾽ ἐστὶ ταῦτα καὶ πολὺς γέλως.
ἀνοιγέτω τις δῶμα· προσπόλοις λέγω
ὠθεῖν πύλας τάσδ᾽, ὡς ἂν ἀλλὰ παῖδ᾽ ἐμὴν
ῥυσώμεθ᾽ ἀνδρῶν ἐκ χερῶν μιαιφόνων,
καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ᾽ ἐμὴν
λάβωμεν, ᾗ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.

1540. βροτοῖσι. 1541. τις δύναμις — ἀλαστόρων. 1542. ἔπαισ᾽ ἔπαισε.

ΟΡΕΣΤΗΣ.

οὗτος σὺ, κλῄθρων τῶνδε μὴ ψαύσῃς χερὶ,
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει·
ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν,
ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
μοχλοῖς δ᾽ ἄραρε κλῇθρα, σῆς βοηδρόμου
σπουδῆς ἅ σ᾽ εἴρξει, μὴ δόμων ἔσω περᾷν.

ΜΕΝΕΛΑΟΣ.

ἔα, τί χρῆμα; λαμπάδων ὁρῶ σέλας,
δόμων δ᾽ ἐπ᾽ ἄκρων τούσδε πυργηρουμένους,
ξίφος δ᾽ ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ.

ΟΡΕΣΤΗΣ.

πότερον ἐρωτᾷν, ἢ κλύειν ἐμοῦ θέλεις;

ΜΕΝΕΛΑΟΣ.

οὐδέτερ᾽· ἀνάγκη δ᾽, ὡς ἔοικέ, σου κλύειν.

ΟΡΕΣΤΗΣ.

μέλλω κτανεῖν σου θυγατέρ᾽, εἰ βούλει μαθεῖν.

ΜΕΝΕΛΑΟΣ.

Ἑλένην φονεύσας ἐπὶ φόνῳ πράσσεις φόνον;

ΟΡΕΣΤΗΣ.

εἰ γὰρ κατέσχον, μὴ θεῶν κλεφθεὶς ὕπο!

ΜΕΝΕΛΑΟΣ.

ἀρνεῖ κατακτὰς, κἀφ᾽ ὕβρει λέγεις τάδε;

ΟΡΕΣΤΗΣ.

λυπράν γε τὴν ἄρνησιν· εἰ γὰρ ὤφελον —

ΜΕΝΕΛΑΟΣ.

τί χρῆμα δρᾶσαι; παρακαλεῖς γὰρ ἐς φόβον.

ΟΡΕΣΤΗΣ.

τὴν Ἑλλάδος μιάστορ᾽ εἰς ᾅδου βαλεῖν!

1562. χεροῖν.

ΜΕΝΕΛΑΟΣ.

ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.

ΟΡΕΣΤΗΣ.

θεοὺς ἀπαίτει· παῖδα δὲ κτενῶ σέθεν.

ΜΕΝΕΛΑΟΣ.

ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον.

ΟΡΕΣΤΗΣ.

ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ προὔδωκας θανεῖν.

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἤρκεσέν σοι τὸ παρὸν αἷμα μητέρος;

ΟΡΕΣΤΗΣ.

οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.

ΜΕΝΕΛΑΟΣ.

ἦ καὶ σὺ, Πυλάδη, τοῦδε κοινωνεῖς φόνου;

ΟΡΕΣΤΗΣ.

φησὶν σιωπῶν· ἀρκέσω δ' ἐγὼ λέγων.

ΜΕΝΕΛΑΟΣ.

ἀλλ' οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.

ΟΡΕΣΤΗΣ.

οὐ φευξόμεσθα· πυρὶ δ' ἀνάψομεν δόμους.

ΜΕΝΕΛΑΟΣ.

ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;

ΟΡΕΣΤΗΣ.

ὡς μή γ' ἔχῃς σὺ, τήνδ' ἐπισφάξας πυρί.

ΜΕΝΕΛΑΟΣ.

κτεῖν'· ὡς κτανών γε τῶνδέ μοι δώσεις δίκην.

ΟΡΕΣΤΗΣ.

ἔσται τάδ'.

ΜΕΝΕΛΑΟΣ.

ἆ, ἆ, μηδαμῶς δράσῃς τάδε.

1584. τὸ πάρος αἷμα.

ΟΡΕΣΤΗΣ.

σίγα νυν· ἀνέχου δ' ἐνδίκως πράσσων κακῶς.

ΜΕΝΕΛΑΟΣ.

ἦ γὰρ δίκαιον ζῆν σε;

ΟΡΕΣΤΗΣ.

καὶ κρατεῖν γε γῆς.

ΜΕΝΕΛΑΟΣ.

ποίας;

ΟΡΕΣΤΗΣ.

ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.

ΜΕΝΕΛΑΟΣ.

εὖ γ' οὖν θίγοις ἂν χερνίβων. —

ΟΡΕΣΤΗΣ.

τί δὴ γὰρ οὔ;

ΜΕΝΕΛΑΟΣ.

καὶ σφάγια πρὸ δορὸς καταβάλοις.

ΟΡΕΣΤΗΣ.

σὺ δ' ἂν καλῶς;

ΜΕΝΕΛΑΟΣ.

ἁγνὸς γάρ εἰμι χεῖρας.

ΟΡΕΣΤΗΣ.

ἀλλ' οὐ τὰς φρένας.

ΜΕΝΕΛΑΟΣ.

τίς δ' ἂν προσείποι σ';

ΟΡΕΣΤΗΣ.

ὅστις ἐστὶ φιλοπάτωρ.

ΜΕΝΕΛΑΟΣ.

ὅστις δὲ τιμᾷ μητέρ';

ΟΡΕΣΤΗΣ.

εὐδαίμων ἔφυ.

ΜΕΝΕΛΑΟΣ.
οὔκουν σύ γ'.
ΟΡΕΣΤΗΣ.
οὐ γὰρ ἀνδάνουσιν αἱ κακαί.
ΜΕΝΕΛΑΟΣ.
ἄπαιρε θυγατρὸς φάσγανον.
ΟΡΕΣΤΗΣ.
ψευδὴς ἔφυς.
ΜΕΝΕΛΑΟΣ.
ἀλλὰ κτενεῖς μου θυγατέρ';
ΟΡΕΣΤΗΣ.
οὐ ψευδὴς ἔτ' εἶ.
ΜΕΝΕΛΑΟΣ.
οἴ μοι, τί δράσω;
ΟΡΕΣΤΗΣ.
πεῖθ' ἐς Ἀργείους μολὼν —
ΜΕΝΕΛΑΟΣ.
πειθὼ τίν';
ΟΡΕΣΤΗΣ.
ἡμᾶς μὴ κτανεῖν αἰτοῦ πόλιν.
ΜΕΝΕΛΑΟΣ.
ἢ παῖδά μου φονεύσεθ';
ΟΡΕΣΤΗΣ.
ὧδ' ἔχει τάδε.
ΜΕΝΕΛΑΟΣ.
ὦ τλῆμον Ἑλένη —
ΟΡΕΣΤΗΣ.
τἀμὰ δ' οὐχὶ τλήμονα;

1606. μὴ θανεῖν.

ΜΕΝΕΛΑΟΣ.
σὲ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν —
ΟΡΕΣΤΗΣ.
εἰ γὰρ τόδ' ἦν!
ΜΕΝΕΛΑΟΣ.
πόνους πονήσας μυρίους.
ΟΡΕΣΤΗΣ.
πλήν γ' εἰς ἐμέ.
ΜΕΝΕΛΑΟΣ.
πέπονθα δεινά.
ΟΡΕΣΤΗΣ.
τότε γὰρ ἦσθ' ἀνωφελής.
ΜΕΝΕΛΑΟΣ.
ἔχεις με.
ΟΡΕΣΤΗΣ.
σαυτὸν σύ γ' ἔλαβες κακὸς γεγώς.
ἀλλ' εἶ', ὕφαπτε δώματ', Ἠλέκτρα, τάδε·
σύ τ', ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε,
Πυλάδη, κάταιθε γεῖσα τειχέων τάδε.
ΜΕΝΕΛΑΟΣ.
ὦ γαῖα Δαναῶν ἱππίου τ' Ἄργους κτίται,
οὐκ εἶ' ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
πᾶσαν γὰρ ὑμῶν ὅδε βιάζεται πόλιν
ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.
ΑΠΟΛΛΩΝ.
Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον,
Φοῖβός σ' ὁ Λητοῦς παῖς ὅδ' ἐγγὺς ὢν καλῶ,
σύ θ', ὃς ξιφήρης τῇδ' ἐφεδρεύεις κόρῃ,
Ὀρέσθ', ἵν' εἰδῇς οὓς φέρων ἥκω λόγους·

Ἑλένην μὲν ἣν σὺ διολέσαι πρόθυμος ὢν
ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,
ἥδ' ἐστὶν, ἣν ὁρᾶτ' ἐν αἰθέρος πτυχαῖς,
σεσωσμένη τε κοὐ θανοῦσα πρὸς σέθεν.
ἐγώ νιν ἐξέσωσα κἀπὸ φασγάνου
τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν ζῆν νιν ἄφθιτον χρεὼν,
Κάστορί τε Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς
ξύνθακος ἔσται, ναυτίλοις σωτήριος.
ἄλλην δὲ νύμφην ἐς δόμους κτῆσαι λαβὼν,
ἐπεὶ θεοὶ τῷ τῆςδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας ξυνήγαγον,
θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
ὕβρισμα θνητῶν, ἀφθόνου πληρώματος.
τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει· σὲ δ' αὖ χρεὼν,
Ὀρέστα, γαίας τῆςδ' ὑπερβαλόνθ' ὅρους,
Παῤῥάσιον οἰκεῖν δάπεδον ἐνιαυτοῦ κύκλον.
κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον
Ἀζᾶσιν Ἀρκάσιν τ' Ὀρέστειον καλεῖν.
ἐνθένδε τ' ἐλθὼν τὴν Ἀθηναίων πόλιν,
δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς· θεοὶ δέ σοι δίκης βραβεῖς
πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην
ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
ἐφ' ἧς δ' ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
γῆμαι πέπρωταί σ' Ἑρμιόνην· ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτέ.
θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,
δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντί με.

Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ᾧ ποτ' ᾔνεσας,
δός· ὁ δ' ἐπιὼν νιν βίοτος εὐδαίμων μένει.
Ἄργους δ' Ὀρέστην, Μενέλεως, ἔα κρατεῖν,
ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονὸς,
φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
πόνοις διδοῦσα δεῦρ' ἀεὶ διήνυσεν.
τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,
ὅς νιν φονεῦσαι μητέρ' ἐξηνάγκασα.

ΟΡΕΣΤΗΣ.

ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων
οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
καίτοι μ' ἐσῄει δεῖμα, μή τινος κλύων
ἀλαστόρων δόξαιμι σὴν κλύειν ὄπα.
ἀλλ' εὖ τελεῖται, πείσομαι δὲ σοῖς λόγοις.
ἰδοὺ μεθίημ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
καὶ λέκτρ' ἐπῄνεσ', ἡνίκ' ἂν διδῷ πατήρ.

ΜΕΝΕΛΑΟΣ.

ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ· ζηλῶ δέ σε
θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος· εὐγενὴς δ' ἀπ' εὐγενοῦς
γήμας ὄναιο καὶ σὺ χὠ διδοὺς ἐγώ.

ΑΠΟΛΛΩΝ.

χωρεῖτε νῦν ἕκαστος, οἷ προστάσσομεν,
νείκους τε διαλύεσθε.

ΜΕΝΕΛΑΟΣ.

πείθεσθαι χρεών.

ΟΡΕΣΤΗΣ.

κἀγὼ τοιοῦτος· σπένδομαι δὲ συμφοραῖς,
Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν.

1653. ὥς ποτ'

ΑΠΟΛΛΩΝ.

ἴτε νῦν καθ᾽ ὁδὸν, τὴν καλλίστην
θεὸν Εἰρήνην τιμῶντες· ἐγὼ δ᾽
Ἑλένην Ζηνὸς μελάθροις πελάσω,
λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
ἔνθα παρ᾽ Ἥρᾳ τῇ θ᾽ Ἡρακλέους
Ἥβῃ πάρεδρος θεὸς ἀνθρώποις
ἔσται, σπονδαῖς ἔντιμος ἀεὶ,
ξὺν Τυνδαρίδαις, τοῖς Διὸς υἱοῖς,
ναύταις μεδέουσα θαλάσσης.

ΧΟΡΟΣ.

ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
βίοτον κατέχοις,
καὶ μὴ λήγοις στεφανοῦσα.

ΤΕΛΟΣ ΟΡΕΣΤΟΥ.

ΕΥΡΙΠΙΔΟΥ

ΦΟΙΝΙΣΣΑΙ.

ΥΠΟΘΕΣΙΣ.

Ἐτεοκλῆς, παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην· φυγὰς δ' ἐκεῖνος εἰς Ἄργος παραγενόμενος, ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου. κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόχρεων στρατὸν [κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν]. ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη ἔπεισεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη τὰ τέκνα εἰς φιλίαν συναγαγεῖν οὐκ ἠδύνατο· Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας, νικήσειν τοὺς ἐκ τῆς πόλεως, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα· ὁ δὲ νεανίσκος ἐβούλετο, καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλή-

λους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, κατέσφαξεν ἑαυτήν· ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν δυναστείαν· οἱ δὲ Ἀργεῖοι ἡττηθέντες τῇ μάχῃ, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφὴν, Πολυνείκην δὲ ἀκήδευτον ἔῤῥιψεν, Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ᾽ ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ᾽ ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας.

ALIUD ARGUMENTUM E COD. GUELPHERBYTANO.

Ἁρπασθείσης Εὐρώπης ὑπὸ Διὸς, γενομένου ταύρου, καὶ μετακομισθείσης ἀπὸ Φοινίκης διὰ θαλάττης εἰς Κρήτην, ὁ μὲν πατὴρ αὐτῆς Ἀγήνωρ ἔπεμψε τὸν υἱὸν Κάδμον ἐπὶ ζήτησιν τῆς κόρης, εἰπὼν, εἰ μὴ ταύτην εὕρῶν ἄξοι, μήδ᾽ ἂν αὐτὸν ἐπανελθεῖν οἴκαδε. Κάδμος δὲ οὐκ ἔχων, ὅ τι δράσειε, μόνην ἔγνω τῆς ἀπορίας λύσιν καταφυγεῖν εἰς Ἀπόλλω κἀκ τούτου γνῶναι, τί δεῖ ποιεῖν. καὶ ὃς χρᾷ μὲν οὐδὲν αὐτῷ περὶ τῆς Εὐρώπης, λέγει δὲ ὡς ἐξελθόντα ἐκεῖθεν, ἀκολουθήσαντα βοῒ, οἷ ἂν αὕτη γε πέσῃ, κἀκεῖ κτίζειν πόλιν. ὁ δὲ πεισθεὶς τῷ χρησμῷ τὴν μὲν πρὸς τὴν πατρίδα ἐπάνοδον εἴασε, βοῦν δὲ κατὰ τύχην εὑρὼν ἡγεμόνα τῆς ὁδοῦ ἐποιήσατο. ἐλθούσης δὲ αὐτῆς ἐν ᾧ νῦν ἑστήκασι τόπῳ αἱ Θῆβαι, κἀκεῖ παραχρῆμα πεσούσης, ἔγνω τε οὗτος τὸν χρησμὸν τελεσφόρον, καὶ πόλιν ἑπτάπυλον κτίζει τὰς Θήβας ὁμωνύμους τῶν ἑκατονταπύλων Αἰγυπτίων Θηβῶν, χρησάμενος ἐπιστήμονι τῆς οἰκοδομῆς καὶ ἐργάτῃ Ἀμφίονι τῷ μουσικῷ· τοῦτον γὰρ φασὶν ἀνακρουόμενον μέλος θέλγειν τε τῷ μέλει τοὺς λίθους, καὶ ἀλλεπαλλήλως αὐτῶν τιθεμένων ἀποδεῖξαι τὰ τείχη· πύλας δὲ ἔχειν τὴν πόλιν ἑπτὰ, ἐπειδὴ καὶ οἱ τῆς λύρας τόνοι ἑπτά εἰσι. καὶ τὸ μὲν μυθῶδες τοιοῦτον· πέπλασται δὲ διὰ τὸ ἄκρως ἡρμόσθαι τὰ τείχη προςάλληλα. ἡ γὰρ ἁρμονία μουσικῆς ἴδιον.

Κάδμος οὖν γήμας τῆς Ἀφροδίτης καὶ Ἄρεως παῖδα Ἁρμονίαν ἐγέννησε Πολύδωρον· ὁ δὲ Λάβδακον· ὁ δὲ Λάϊον. οὗτος ἀφικόμενος ποτὲ εἰς Ἦλιν καὶ τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον ἰδὼν, ὃς ἦν ἐξ ἄλλης αὐτῷ γυναικὸς καὶ οὐκ ἐκ τῆς θυγατρὸς Οἰνομάου Ἱπποδαμείας, καὶ ἁλοὺς τούτου κατάκρας τῷ ἔρωτι, ἁρπάσας εἰς Θήβας ἤνεγκε. καὶ συνῆν αὐτῷ τὰ ἐρωτικὰ, πρῶτος ἐν ἀνθρώποις τὴν ἀῤῥενοφθορίαν εὑρὼν, καθὼς δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς τὸν Γανυμήδην ἁρπάσας. ὁ δὲ Πέλοψ μαθὼν τοῦτο κατηράσατο Λαΐῳ, μηδέποτε μὲν παῖδα τεκεῖν, εἰ δ᾽ ἄρα καὶ συμβαίη, ὑπ᾽ αὐτοῦ τοῦτον ἀναιρεθήσεσθαι. διὰ ταῦτα πολὺν ἤδη χρόνον ὁ Λάϊος ἄπαις ὢν παραγίνεται εἰς Πυθίαν καὶ παίδων αἰτεῖ γονήν. καὶ ἀκούει τοιόνδε χρησμόν·

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
τέξεις μὲν φίλον υἱὸν, ἀτὰρ τόδε σοι μόρος ἔσται,
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν φάος· ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ᾽ ηὔξατό σοι τάδε πάντα.

ὧντινῶν θεσπισμάτων τῇ τῆς γυναικὸς Ἰοκάστης ἐπιθυμίᾳ καὶ ἡδονῇ ὥςπερ ἐκλαθόμενος Λάϊος, ἢ, ὥς τινές φασι, μιᾷ τῶν ἡμερῶν βαρυνθεὶς τῷ οἴνῳ καὶ συνελθὼν τῇ αὐτοῦ γυ-

ναικὶ Οἰδίποδα σπείρει. καὶ μετὰ τὸ τεχθῆναι αὐτὸν, ἀναπεμπάσας τοὺς χρησμοὺς καὶ φόβον λαβὼν, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσοῦς κρίκους διαπερονησάμενος ῥίπτει διὰ τῶν οἰκείων βουκόλων εἰς τὸ ὄρος τὸν Κιθαιρῶνα, ὡς ὑπὸ θηρίων ἐνταῦθα ἀναιρεθησόμενον. ἔτυχε δὲ κατ᾽ ἐκεῖνο καιροῦ καὶ τοὺς Πολύβου νομέας, βασιλέως Κορίνθου, βόσκειν ἐκεῖ· οἳ καὶ τὸ βρέφος εὑρόντες καὶ ἀνελόμενοι φέρουσι πρὸς τὴν Πολύβου γυναῖκα Μερόπην. ἦν γὰρ ἀπαιδίᾳ δυςτυχοῦσα· καί πως πείθει τὸν ἄνδρα Πόλυβον αὐτὴ τοῦτο τεκεῖν. ἀνδρωθεὶς δὲ ὁ παῖς καί τινι τῶν ἐκεῖ συνελθὼν εἰς ἔριν, οἷα δὴ γίνεται, ὡς οὐκ εἴη Πολύβου παῖς, ὄνειδος ἔσχε παρ᾽ αὐτοῦ. ὅθεν ἀναστὰς ἀφικνεῖται πρὸς τὸν Ἀπόλλω πευσόμενος περὶ τούτου. καὶ, ὡς ἔσται φονεὺς τοῦ πατρὸς, μανθάνει, καὶ ὡς τῇ τεκούσῃ συνέσοιτο, ταυτὶ μόνα· τίνες δὲ εἶεν αὐτῷ οἱ γονεῖς, σαφῶς οὐ μανθάνει. ἐπανιὼν δὲ ἐκεῖθεν ὑπήντησε Λαΐῳ, ἀφικνουμένῳ καὶ αὐτῷ πρὸς Ἀπόλλω, ἐφ᾽ ᾧ περὶ τοῦ ἐκτεθέντος παιδὸς γνῶναι, εἰ τέθνηκε. καὶ ὁ τοῦ Λαΐου θεράπων αὐτῷ κελεύει μικρὸν ὑποχωρῆσαι τῷ βασιλεῖ. Οἰδίπους δὲ ὑπεροψίᾳ κρατούμενος καὶ τοῦτο μηδὲν ἐνεγκὼν κτείνει τε τὸν θεράποντα καὶ σὺν αὐτῷ τὸν δεσπότην, οὐκ εἰδὼς ὡς πατροκτόνος γέγονεν, ἑνὸς μόνου τῶν συνεπομένων Λαΐῳ διαφυγόντος, ὃς δὴ καὶ τὸν φόνον ὕστερον διεσάφησεν, ὥς φησι Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ. τότε οὖν Οἰδίπους τοὺς τοῦ Λαΐου ἵππους λαβὼν καὶ πάντα τὰ αὐτοῦ, καταλαμβάνει τὴν Κόρινθον, καὶ διδοὺς ταῦτα πάντα Πολύβῳ τροφὰς ἐκεῖθεν ἀναχωρεῖ, τὸν περὶ τῆς πατροκτονίας καὶ τῆς τῇ μητρὶ συνελεύσεως χρησμὸν δεδιώς· ᾤετο γὰρ πατέρας αὐτοῦ τῷ ὄντι Πόλυβον καὶ τὴν ἐκείνου γυναῖκα εἶναι. καὶ ἀφικνεῖται πρὸς Θήβας, αἳ δὴ καὶ ὑπὸ τῆς Σφιγγὸς ἐχειμάζοντο τότε, χρησμούς τε ῥαψῳδούσης καὶ ὄντινα βούλοιτο τῶν πολιτῶν ἁρπαζούσης καὶ διαφθειρούσης, διὰ τὸ μὴ συνιέναι σφᾶς τῶν ὑπ᾽ αὐτῆς λεγομένων χρησμῶν. ἐπήγαγε δὲ ταύτην ὁ Ἄρης Θηβαίοις, ἀμυνόμενος αὐτοὺς διὰ τὸν τοῦ παιδὸς δράκοντος φόνον, ὃν ὁ Κάδμος ἀνεῖλε καὶ τοὺς ὀδόντας αὐτοῦ ἔσπειρεν, ἐξ ὧν ἀνεφάνησαν οἱ Γίγαντες. ἦν δὲ τέρας ἡ Σφὶγξ, πρόςωπον μὲν ἔχουσα παρθένου, στῆθος δὲ καὶ χεῖρας καὶ πόδας καὶ ὄνυχας λέοντος, οὐραίαν δὲ δράκοντος, πτερὰ δὲ ὄρνιθος, δι᾽ ὧν ἵπτατο. ἔτυχε δὲ τοῦτο εἰποῦσα καὶ τοιοῦτό τι τοῖς Θηβαίοις τότε αἴνιγμα, ὡς Ἀσκληπιάδης ἀναγράφει·

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ᾽ ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ᾽ αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ᾽ ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα μένος γυίοισιν ἀφαυρότερον πέλει αὐτοῦ·

οὗπερ ἀγνοουμένου ἐκήρυξε Κρέων ὁ ἀδελφὸς Ἰοκάστης τῆς βασιλίσσης, ὡς, ὅςτις εὕροι τὸ αἴνιγμα, τούτῳ συνάψειν τὴν ἀδελφήν. Οἰδίπους δὲ, ὡς ἔφημεν, διάγων ἐκεῖ τότε, ἀκούσας τὰ κηρύγματα λύει τε τὸ αἴνιγμα τῆς Σφιγγὸς, καὶ τὴν μητέρα οὐκ εἰδὼς εἰς γυναῖκα λαμβάνει. ἔλυσε δὲ οὕτως, ὥς φασι·

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

Ἀκούσασα δὲ τὴν λύσιν ἡ Σφὶγξ ἑαυτὴν ἀναιρεῖ παραχρῆμα ῥίψασα τοῦ ἀέρος. Οἰδίπους δὲ συνὼν τῇ μητρὶ καὶ παῖδας ἐξ αὐτῆς φύσας τέσσαρας, ἄῤῥενας μὲν Ἐτεοκλέα καὶ Πολυ-

νείκην, θηλείας δὲ Ἀντιγόνην καὶ Ἰσμήνην, ὡς ἔγνω τὸ μία-
σμα ὕστερον, ἐτύφλωσεν ἑαυτόν. Ἐτεοκλῆς δὲ καὶ Πολυνεί-
κης, θέλοντές πως ἀφανίσαι τὸ ὄνειδος, κατακλείουσιν αὐτὸν
ἐν οἰκίσκῳ, ἵν' ὑπὸ μηδενὸς θεωρούμενος εἰς λήθην ἥξοι τὸ
κατ' ἐκείνου. καὶ ὃς τοῦτο ὑπεραλγήσας ἀρᾶται τούτοις τὴν
βασιλείαν σιδήρῳ μερίσαι. οἱ δὲ τὰς τοῦ πατρὸς ἀρὰς δεδιότες
μηχανῶνται τοιόνδε· ἔχεσθαι τῆς ἀρχῆς ἕνα παρ' ἕνα καὶ ταύ-
της παραχωρεῖν θατέρῳ θάτερον. ὁ τοίνυν Ἐτεοκλῆς, ἅτε
πρῶτος ὢν τοῦ ἀδελφοῦ, καὶ πρῶτος τῆς ἀρχῆς ἥψατο, Πο-
λυνείκης δὲ ὑπεχώρησε, καὶ τελεσθέντος ἐνιαυτοῦ ἀφίκετο
πρὸς τὸν ἀδελφὸν, αἰτῶν καὶ αὐτὸς ἄρξειν ἐνιαυτόν. Ἐτεο-
κλῆς δὲ οὔτε ἐξέστη τῆς ἀρχῆς καὶ ἄτιμον τὸν ἀδελφὸν ἀπέ-
πεμψεν. ὃς καὶ πλανώμενες ἦλθεν εἰς Ἄργος, καὶ τὴν τοῦ
βασιλέως Ἀδράστου λαβὼν θυγατέρα πείθει τὸν κηδεστὴν
συνάρασθαι τούτῳ πρὸς τὴν τῆς βασιλείας ἀνάληψιν. καὶ
πλείστην ὅσην παραλαβὼν στρατιὰν ἐπιστρατεύει τῷ ἀδελφῷ.
ὅπως δὲ ἡ μήτηρ ἐθέλουσα πρὸ τῆς συμπλοκῆς διαλλάξαι τοὺς
παῖδας οὐδὲν ἴσχυσε, καὶ ὡς ἔχρησε Τειρεσίας, εἰ ὁ Κρέον-
τος υἱὸς Μενοικεὺς ἀνέλοι ἑαυτὸν ἐπὶ τὸν τοῦ δράκοντος
φωλεὸν, κρατήσειν Ἀργείων Θηβαίους, καὶ ὡς γέγονε ταῦτα,
καὶ οἱ τῶν Ἀργείων ἡγεμόνες πεπτώκασι πάντες πλὴν Ἀδρά-
στου, καὶ ὡς μονομαχήσαντες πρὸς ἀλλήλους Ἐτεοκλῆς καὶ
Πολυνείκης ὑπ' ἀλλήλων ἑκάτεροι ἀνῃρέθησαν, καὶ ὡς ἐλ-
θοῦσα πρὸς αὐτοὺς Ἰοκάστη καὶ τεθνηκότας εὑροῦσα συνα-
πέσφαξεν ἑαυτὴν, καὶ ὡς Κρέων ἁψάμενος τῆς ἀρχῆς Ἐτε-
οκλῆν μὲν θάπτει, Πολυνείκην δὲ ἄταφον εἴασε, καὶ Οἰδί-
πουν τῆς πόλεως ἐξήλασε, πάντα ταῦτα Εὐριπίδης ἔνδον κατὰ
λεπτὸν διηγεῖται. Ἔστι δὲ τὸ παρὸν δρᾶμα τῶν ἄγαν ἐξαιρέ-
των, διανοίαις καὶ γνώμαις πολλαῖς καὶ καλαῖς καὶ ποικίλαις
ἀνθοῦν καὶ μεταχειρίσει ἀρίστῃ, καὶ διὰ πάντων ἀκμάζον, εἰ

καὶ ἀπίθανον ἔχει τὴν εἰς Θήβας Πολυνείκους εἴσοδον. ἐπι-
γέγραπται δὲ ἀπὸ τοῦ χοροῦ Εὐριπίδου Φοίνισσαι παρ' ἀν-
τιδιαστολὴν τῶν ἑπτὰ ἐπὶ Θήβας Αἰσχύλου. ταύτῃ γὰρ τῇ
ὑποθέσει κἀκεῖνος χρῆται ἐν τῷ δευτέρῳ. αὐτὰς δὲ τὰς παρ-
θένους ἐκ Φοινίκης Ἀγηνορίδαι θυσίαν τῷ Ἀπόλλωνι ἔπεμ-
ψαν, αἵτινες καὶ πρὸς Δελφοὺς ἐρχόμεναι παρέβαλον ταῖς
Θήβαις διὰ τὸ καὶ τὸν Κάδμον, ὡς ἔφημεν, ἐκ Φοινίκης εἶναι.
καὶ καταλαβόντος τοῦ πολέμου ἠναγκάσθησαν μένειν αὐτόθι,
μέχρις ἂν ἡ μάχη λωφήσῃ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΟΚΑΣΤΗ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ΑΝΤΙΓΟΝΗ.
ΧΟΡΟΣ Φοινισσῶν γυναικῶν.
ΠΟΛΥΝΕΙΚΗΣ.
ΕΤΕΟΚΛΗΣ.
ΚΡΕΩΝ.
ΜΕΝΟΙΚΕΥΣ.
ΤΕΙΡΕΣΙΑΣ.
ΑΓΓΕΛΟΣ.
Ἕτερος ΑΓΓΕΛΟΣ.
ΟΙΔΙΠΟΥΣ.

ΕΥΡΙΠΙΔΟΥ

ΕΥΡΙΠΙΔΟΥ ΦΟΙΝΙΣΣΑΙ.

ΙΟΚΑΣΤΗ.

Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν
καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις,
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,
ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν
τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα·
ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ
Πολύδωρον ἐξέφυσε, τοῦ δὲ Λάβδακον
φῦναι λέγουσιν, ἐκ δὲ τοῦδε Λάϊον.
ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς γαστρὸς ἐκ μιᾶς ἔφυ.
καλοῦσι δ' Ἰοκάστην με — τοῦτο γὰρ πατὴρ
ἔθετο — γαμεῖ δὲ Λάϊός μ'· ἐπεὶ δ' ἄπαις
ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
ἐλθὼν ἐρωτᾷ Φοῖβον, ἐξαιτεῖ θ' ἅμα
παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
ὁ δ' εἶπεν· Ὦ Θήβαισιν εὐίπποις ἄναξ,
μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.

11. μητρὸς.

εἰ γὰρ τεκνώσεις παῖδ᾽, ἀποκτενεῖ σ᾽ ὁ φύς,
καὶ πᾶς σὸς οἶκος βήσεται δι᾽ αἵματος.
ὁ δ᾽ ἡδονῇ δοὺς ἔς τε βακχεῖον πεσὼν
ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος,
γνοὺς τἀμπλάκημα τοῦ θεοῦ τε τὴν φάτιν,
λειμῶν᾽ ἐς Ἥρας καὶ Κιθαιρῶνος λέπας
δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον,
ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι
φέρουσ᾽ ἐς οἴκους ἔς τε δεσποίνης χέρας
ἔθηκαν. ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον
μαστοῖς ὑφεῖτο καὶ πόσιν πείθει τεκεῖν.
ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος
παῖς οὑμὸς, ἢ γνοὺς, ἤ τινος μαθὼν πάρα,
ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
πρὸς δῶμα Φοίβου, Λάϊός θ᾽ οὑμὸς πόσις,
τὸν ἐκτεθέντα παῖδα μάστεύων μαθεῖν,
εἰ μηκέτ᾽ εἴη. καὶ ξυνάπτετον πόδα
ἐς ταυτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
καί νιν κελεύει Λαΐου τροχηλάτης,
ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
ὁ δ᾽ εἷρπ᾽ ἄναυδος, μέγα φρονῶν. πῶλοι δέ νιν
χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
ὅθεν — τί τἀ᾽κτὸς τῶν κακῶν με δεῖ λέγειν; —
παῖς πατέρα καίνει, καὶ λαβὼν ὀχήματα
Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ᾽ ἐπεζάρει
Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ᾽ οὐκ ἦν πόσις,
Κρέων ἀδελφὸς τἀμὰ κηρύσσει λέχη,
ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,

τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως
αἴνιγμ᾽ ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθὼν,
[ὅθεν τύραννος τῆσδε γῆς καθίσταται,]
καὶ σκῆπτρ᾽ ἔπαθλα τῆσδε λαμβάνει χθονός.
γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας,
οὐδ᾽ ἡ τεκοῦσα παιδὶ συγκοιμωμένη.
τίκτω δὲ παῖδας παιδὶ, δύο μὲν ἄρσενας,
Ἐτεοκλέα κλεινήν τε Πολυνείκους βίαν,
κόρας τε δισσάς· τὴν μὲν Ἰσμήνην πατὴρ
ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων
[ὁ πάντ᾽ ἀνατλὰς Οἰδίπους παθήματα,]
ἐς ὄμμαθ᾽ αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
κλῄθροις ἔκρυψαν πατέρ᾽, ἵν᾽ ἀμνήμων τύχη
γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
ζῶν δ᾽ ἔστ᾽ ἐν οἴκοις, πρὸς δὲ τῆς τύχης νοσῶν
ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
τὼ δ᾽ ἐς φόβον πεσόντε, μὴ τελεσφόρους
εὐχὰς θεοὶ κραίνωσιν, οἰκούντων ὁμοῦ,
ξυμβάντ᾽ ἔταξαν, τὸν νεώτερον πάρος
φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα,
Ἐτεοκλέα δὲ σκῆπτρ᾽ ἔχειν μένοντα γῆς
ἐνιαυτὸν ἀλλάσσοντ᾽. ἐπεὶ δ᾽ ἐπὶ ζυγοῖς
καθέζετ᾽ ἀρχῆς, οὐ μεθίσταται θρόνων,
φυγάδα δ᾽ ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός.

64. κλείθροις.

ὁ δ᾽ Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβὼν,
πολλὴν ἀθροίσας ἀσπίδ᾽ Ἀργείων ἄγει·
ἐπ᾽ αὐτὰ δ᾽ ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
πατρῷ᾽ ἀπαιτεῖ σκῆπτρα καὶ μέρη χθονός.
ἐγὼ δ᾽ ἔριν λύουσ᾽ ὑπόσπονδον μολεῖν
ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
ἥξειν δ᾽ ὁ πεμφθεὶς φησὶν αὐτὸν ἄγγελος.
ἀλλ᾽ ὦ φαεννὰς οὐρανοῦ ναίων πτύχας
Ζεῦ, σῶσον ἡμᾶς, δὸς δὲ σύμβασιν τέκνοις.
χρὴ δ᾽, εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτῶν
τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρὶ,
ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
μεθῆκε μελάθρων ἐς διῆρες ἔσχατον,
στράτευμ᾽ ἰδεῖν Ἀργεῖον, ἱκεσίαισι σαῖς,
ἐπίσχες, ὡς ἂν προυξερευνήσω στίβον,
μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
κἀμοὶ μὲν ἔλθῃ φαῦλος, ὡς δούλῳ, ψόγος,
σοὶ δ᾽ ὡς ἀνάσσῃ· πάντα δ᾽ ἐξειδὼς φράσω,
ἅ τ᾽ εἶδον εἰσήκουσά τ᾽ Ἀργείων πάρα,
σπονδὰς ὅτ᾽ ἦλθον σῷ κασιγνήτῳ φέρων
ἐνθένδ᾽ ἐκεῖσε δεῦρό τ᾽ αὖ κείνου πάρα.
ἀλλ᾽ — οὔτις ἀστῶν τοῖςδε χρίμπτεται δόμοις· —
κέδρου παλαιὰν κλίμακ᾽ ἐκπέρα ποδί·
σκόπει δὲ πεδία καὶ παρ᾽ Ἰσμηνοῦ ῥοὰς
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ᾽ ὅσον.

ΑΝΤΙΓΟΝΗ.

ὄρεγε νῦν, ὄρεγε γεραιὰν νέᾳ
χεῖρ᾽ ἀπὸ κλιμάκων, ποδὸς ἴχνος ἐπαντέλλων.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἰδοὺ, ξύναψον, παρθέν᾽· ἐς καιρὸν δ᾽ ἔβης·
κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
στράτευμα, χωρίζουσι δ᾽ ἀλλήλων λόχους.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ πότνια παῖ Λατοῦς
Ἑκάτα, κατάχαλκον ἅπαν
πεδίον ἀστράπτει.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
πολλοῖς μὲν ἵπποις, μυρίοις δ᾽ ὅπλοις βρέμων.

ΑΝΤΙΓΟΝΗ.

ἆρα πύλαι κλῄθροις
χαλκόδετά τ᾽ ἔμβολα
λαϊνέοισιν Ἀμφίονος ὀργάνοις
τείχεος ἥρμοσται;

ΠΑΙΔΑΓΩΓΟΣ.

θάρσει· τά γ᾽ ἔνδον ἀσφαλῶς ἔχει πόλις.
ἀλλ᾽ εἰςόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

ΑΝΤΙΓΟΝΗ.

τίς οὗτος ὁ λευκολόφας,
πρόπαρ ὃς ἀγεῖται στρατοῦ
πάγχαλκον ἀσπίδ᾽ ἀμφὶ βρα-
χίονα κουφίζων;

ΠΑΙΔΑΓΩΓΟΣ.

λοχαγός, ὦ δέσποινα.

ΑΝΤΙΓΟΝΗ.

τίς, πόθεν γεγώς;
αὔδασον, ὦ γεραιέ, τίς ὀνομάζεται;

113. κλείθροις. 115. λαϊνέοις.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ' οἰκεῖ νάμαθ' Ἱππομέδων ἄναξ.

ΑΝΤΙΓΟΝΗ.

ἒ ἔ ὡς γαῦρος, ὡς φοβερὸς εἰςιδεῖν,
γίγαντι γηγενέτᾳ προςόμοιος,
ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ πρόςφορος
ἁμερίῳ γέννᾳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

τόνδ' ἐξαμείβοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ
λοχαγόν;

ΑΝΤΙΓΟΝΗ.

ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
τίς δ' ἔστιν οὗτος;

ΠΑΙΔΑΓΩΓΟΣ.

παῖς μὲν Οἰνέως ἔφυ
Τυδεύς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.

ΑΝΤΙΓΟΝΗ.

οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
αὐτοκασιγνήτας νύμφας
ὁμόγαμος κυρεῖ;
ὡς ἀλλόχρως ὅπλοισι, μιξοβάρβαρος.

ΠΑΙΔΑΓΩΓΟΣ.

σακεςφόροι γὰρ πάντες Αἰτωλοί, τέκνον,
λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.

ΑΝΤΙΓΟΝΗ.

σὺ δ', ὦ γέρον, πῶς αἰσθάνει σαφῶς τάδε;

ΠΑΙΔΑΓΩΓΟΣ.

σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων·
ἃ προςδεδορκὼς οἶδα τοὺς ὡπλισμένους.

ΑΝΤΙΓΟΝΗ.

τίς δ' οὗτος ἀμφὶ μνῆμα τὸ Ζήθου περᾷ
καταβόστρυχος, ὄμμασι γοργὸς, εἰς-
ιδεῖν νεανίας;

ΠΑΙΔΑΓΩΓΟΣ.

λοχαγός.

ΑΝΤΙΓΟΝΗ.

ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
πάνοπλος ἀμφέπει.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὅδ' ἐστι Παρθενοπαῖος, Ἀταλάντης γόνος.

ΑΝΤΙΓΟΝΗ.

ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος
Ἄρτεμις ἱεμένα τόξοις δαμάσασ' ὀλέσειεν,
ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.

ΠΑΙΔΑΓΩΓΟΣ.

εἴη τάδ', ὦ παῖ· σὺν δίκῃ δ' ἥκουσι γῆν·
ὃ καὶ δέδοικα, μὴ σκοπῶσ' ὀρθῶς θεοί.

ΑΝΤΙΓΟΝΗ.

ποῦ δ' ὃς ἐμοὶ μιᾶς ἐγένετ' ἐκ ματρὸς
πολυπόνῳ μοίρᾳ;
ὦ φίλτατ', εἰπέ, ποῦ 'στι Πολυνείκης, γέρον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης Ἀδράστῳ πλησίον παραστατεῖ.
ὁρᾷς;

ΑΝΤΙΓΟΝΗ.

ὁρῶ δῆτ' οὐ σαφῶς, ὁρῶ δέ πως
μορφῆς τύπωμα στέρνα τ' ἐξῃκασμένα.
ἀνεμώκεος εἴθε δρόμον νεφέλας

153. ὅς γ'. 156. ποῦ ποῦ δ' ὃς ἐμοί. Ib. ἐκ ματέρος.

ποσὶν ἐξανύσαιμι δι᾽ αἰθέρος
πρὸς ἐμὸν ὁμογενέτορα, περὶ δ᾽ ὠλένας
δέρᾳ φιλτάτᾳ βάλοιμι χρόνῳ
φυγάδα μέλεον! ὡς
ὅπλοισι χρυσέοισιν ἐκπρεπὴς, γέρον,
ἑῴοις ὅμοια φλεγέθων βολαῖς ἀελίου.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἥξει δόμους τούσδ᾽, ὥστε σ᾽ ἐμπλῆσαι χαρᾶς
ἔνσπονδος.

ΑΝΤΙΓΟΝΗ.

οὗτος δ᾽, ὦ γεραιέ, τίς κυρεῖ,
ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;

ΠΑΙΔΑΓΩΓΟΣ.

ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν᾽, ὅδε·
σφάγια δ᾽ ἅμ᾽ αὐτῷ, γῆς φιλαιμάτου ῥοαί.

ΑΝΤΙΓΟΝΗ.

ὦ λιπαροζώνου θύγατερ Ἀελίου
Σελαναία, χρυσεόκυκλον φέγγος,
ὡς ἀτρεμαῖα κέντρα καὶ
σώφρονα πώλοις
μεταφέρων ἰθύνει!
ποῦ δ᾽ ὃς τὰ δεινὰ τῇδ᾽ ἐφυβρίζει πόλει
Καπανεύς;

ΠΑΙΔΑΓΩΓΟΣ.

ἐκεῖνος προσβάσεις τεκμαίρεται
πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ Νέμεσι καὶ Διὸς βαρύβρομοι βρονταὶ,
κεραύνιόν τε πῦρ αἰθαλόεν, σύ τοι

169. βολαῖσιν.

μεγαλαγορίαν ὑπεράνορα κοιμίζοις·
ὅδ᾽ ἐστίν, αἰχμαλωτίδας ὃς δορὶ
Θηβαίας Μυκήναισιν Λερναίᾳ
τε δώσει τριαίνᾳ, Ποσειδανίοις
Ἀμυμωνίοις ὕδασι δουλείαν περιβαλών.
μήποτε, μήποτε τάνδ᾽, ὦ πότνια
χρυσεοβόστρυχε,
ὦ Διὸς ἔρνος Ἄρτεμι, δουλοσύναν τλαίην.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ τέκνον, εἴσβα δῶμα, καὶ κατὰ στέγας
ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
ἐς τέρψιν ἦλθες, ὧν ἔχρῃζες εἰσιδεῖν.
ὄχλος γὰρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,
χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ,
σμικράς τ᾽ ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
πλείους ἐπεισφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

ΧΟΡΟΣ.

Τύριον οἶδμα λιποῦσ᾽ ἔβαν (στροφὴ ά.)
ἀκροθίνια Λοξίᾳ
Φοινίσσας ἀπὸ νάσου
Φοίβῳ δούλα μελάθρων
ἵν᾽ ὑπὸ δειράσι νιφοβόλοις
Παρνασοῦ κατενάσθην,
Ἰόνιον κατὰ πόντον ἐλά-
τᾳ πλεύσασα, περιῤῥύτων
ὑπὲρ ἀκαρπίστων πεδίων
Σικελίας Ζεφύρου πνοαῖς

187. Μυκήναισι. 191. χρυσεοβόστρυχον.

ἱππεύσαντος, ἐν οὐρανῷ
κάλλιστον κελάδημα,
πόλεος ἐκπροκριθεῖσ' ἐμᾶς (ἀντιστ. ά.)
καλλιστεύματα Λοξίᾳ·
Καδμείων δ' ἔμολον γᾶν,
κλεινῶν Ἀγηνοριδᾶν,
ὁμογενεῖς ἐπὶ Λαΐου
πεμφθεῖσ' ἐνθάδε πύργους.
ἶσα δ' ἀγάλμασι χρυσοτεύ-
κτοις Φοίβῳ λάτρις ἐγενόμαν.
ἔτι δὲ Κασταλίας ὕδωρ
ἐπιμένει με κόμας ἐμὰς
δεῦσαι, παρθένιον χλιδὰν,
Φοιβείαισι λατρείαις.
ὦ λάμπουσα πέτρα πυρὸς (ἐπῳδός.)
δικόρυφον σέλας ὑπὲρ ἄκρων
Βακχείων, Διονύσου
οἴνα θ', ἃ καθαμέριον
στάζεις τὸν πολύκαρπον οἰ-
νάνθας ἱεῖσα βότρυν,
ζάθεά τ' ἄντρα δράκοντος, οὐ-
ρειαί τε σκοπιαὶ θεῶν,
νιφόβολόν τ' ὄρος ἱερὸν, εἱ-
λίσσων ἀθανάτας θεοῦ
χορὸς γενοίμαν ἄφοβος.
παρὰ μεσόμφαλα γύαλα Φοί-
βου Δίρκαν προλιποῦσα.
νῦν δέ μοι πρὸ τειχέων (στροφὴ β'.)
θούριος μολὼν Ἄρης

223. κ. ἐμᾶς δεῦσαι παρθ. χλ. 235. ἀθανάτου θ. 239. νῦν δ' ἐμοί.

αἷμα δάϊον φλέγει
τᾷδ', ὃ μὴ τύχοι, πόλει·
κοινὰ γὰρ φίλων ἄχη·
κοινὰ δ', εἴ τι πείσεται
ἑπτάπυργος ἅδε γᾶ
Φοινίσσᾳ χώρᾳ. φεῦ, φεῦ!
κοινὸν αἷμα, κοινὰ τέκεα
τᾶς κερασφόρου πέφυκεν Ἰοῦς·
ὧν μέτεστί μοι πόνων.
ἀμφὶ δὲ πτόλιν νέφος (ἀντιστρ. β'.)
ἀσπίδων πυκνὸν φλέγει,
σχῆμα φοινίου μάχης,
ἃν Ἄρης τάχ' εἴσεται
παισὶν Οἰδίπου φέρων
πημονὰν Ἐριννύων.
Ἄργος ὦ Πελασγικὸν,
δειμαίνω τὰν σὰν ἀλκὰν
καὶ τὸ θεόθεν· οὐ γὰρ ἄδικον
εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ,
ὃς μετέρχεται δόμους.

ΠΟΛΥΝΕΙΚΗΣ.

Τὰ μὲν πυλωρῶν κλῇθρά μ' εἰσεδέξατο
δι' εὐπετείας, τειχέων ἔσω μολεῖν.
ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
λαβόντες οὐ μεθῶσ' ἀναίμακτον χρόα.
ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον,
κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ,
τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
ὠὴ, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;

ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
ὅταν δι᾽ ἐχθρᾶς ποὺς ἀμείβηται χθονός.
πέποιθα μέντοι μητρὶ κοὐ πέποιθ᾽ ἅμα,
ἥτις μ᾽ ἔπεισε δεῦρ᾽ ὑπόσπονδον μολεῖν.
ἀλλ᾽ ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
φέρ᾽ ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
καὶ τάσδ᾽ ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
ξέναι γυναῖκες, εἴπατ᾽, ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;

ΧΟΡΟΣ.

Φοίνισσα μὲν γῆ πατρὶς ἡ θρέψασά με,
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ᾽ ἔπεμψαν ἐνθάδ᾽ ἀκροθίνιον.
μέλλων δὲ πέμπειν μ᾽ Οἰδίπου κλεινὸς γόνος
μαντεῖα σεμνὰ Λοξίου τ᾽ ἐπ᾽ ἐσχάρας,
ἐν τῷδ᾽ ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
σὺ δ᾽ ἀντάμειψαί μ᾽, ὅστις ὢν ἐλήλυθας
ἑπτάστομον πύργωμα Θηβαίας χθονός.

ΠΟΛΥΝΕΙΚΗΣ.

πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου·
ἔτικτε δ᾽ Ἰοκάστη με, παῖς Μενοικέως·
καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς.

ΧΟΡΟΣ.

ὦ ξυγγένεια τῶν Ἀγήνορος τέκνων,
ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
γονυπετεῖς ἕδρας προσπιτνῶ σ᾽, ἄναξ,
τὸν οἴκοθεν νόμον σέβουσα.
ἔβας ὦ χρόνῳ γαῖαν πατρῴαν

270. ἅπ. καί.

ἰὼ πότνια, μόλε πρόδρομος, ἀ-
ναπέτασον πύλας.
κλύεις, ὦ τεκοῦσα τόνδε μᾶτερ,
τί μέλλεις ὑπώροφα μέλαθρα περᾶν,
θίγειν τ᾽ ὠλέναις τέκνου;

ΙΟΚΑΣΤΗ.

Φοίνισσαν, ὦ νεάνιδες, βοὰν ἔσω
δόμων κλύουσα τῶνδε γή-
ρᾳ τρομερὰν ἕλκω παιδὶ ποδὸς βάσιν.
ἰὼ τέκνον,
χρόνῳ σὸν ὄμμα μυρίαις ἐν ἁμέραις
προσεῖδον· ἀμφίβαλλε μα-
στὸν ὠλέναισι ματέρος,
παρηΐδων τ᾽ ὄρεγμα βοστρύχων τε
κυανόχρωτα χαίτας πλόκαμον, σκιάζων δέ-
ραν [ἐμάν].
ἰώ, μόλις φανεὶς
ἄελπτα κἀδόκητα ματρὸς ὠλέναις!
τί φῶ σε; πῶς ἅπαντα
καὶ χερσὶ καὶ λόγοισι
πολυέλικτον ἁδονὰν
ἐκεῖσε καὶ τὸ δεῦρο περι-
χορεύουσα τέρψιν παλαιᾶν λάβω χαρμονᾶν;
ἰὼ τέκος, ἐμὸν τέκος,
ἔρημον πατρῷον ἔλιπες δόμον
φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ,
ἦ ποθεινὸς φίλοις,
ἦ ποθεινὸς Θήβαις.

303. γήρᾳ τρ. ἕλκω ποδὸς β. 310. ἰὼ ἰὼ μ. 317. ἐμὸν τέκος desunt.

ὅθεν ἐμάν τε λευκόχροα κείρομαι
δακρυόεσσαν ἱεῖσα πενθήρη κόμαν,
ἄπεπλος φαρέων λευκῶν, τέκνον·
δυσόρφναια δ' ἀμφὶ τρύχη τάδε
σκότι' ἀμείβομαι.
ὁ δ' ἐν δόμοισι πρέσβυς ὀμματοστερὴς
ἀπήνας ὁμοπτέρου, τᾶς ἀπο-
ζυγείσας δόμων,
πόθον ἀμφιδάκρυτον ἀεὶ κατέχων
ἀνῇξε μὲν ξίφους
ἐπ' αὐτόχειρά τε σφαγὰν,
ὑπὲρ τέρεμνά τ' ἀγχόνας
στενάζων ἀρὰς τέκνοις.
σὺν ἀλαλαῖσι δ' αἰὲν αἰαγμάτων
σκότια κρύπτεται.
σὲ δ', ὦ τέκνον, καὶ γάμοισι δὴ κλύω
ζυγέντα παιδοποιὸν ἁδονὰν
ξένοισιν ἐν δόμοις ἔχειν,
ξένον τε κῆδος ἀμφέπειν,
ἄλαστα ματρὶ τᾷδε Λα-
ΐῳ τε τῷ παλαιγενεῖ,
γάμων ἐπακτὰν ἄταν.
ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς
νόμιμον ἐν γάμοις,
ὡς πρέπει ματέρι μακαρίᾳ·
ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
λουτροφόρου χλιδᾶς· ἀνὰ δὲ Θηβαίαν
πόλιν ἐσιγάθη σᾶς ἔςοδος νύμφας.

335. αἰὲν deest. 336. αἰὲν σκοτίᾳ κρ. 343. ἐπακτὸν.
346. ματρί. 349. εἴςοδος.

ὄλοιτο τάδ' εἴτε σίδαρος,
εἴτ' ἔρις, εἴτε πατὴρ ὁ σὸς αἴτιος,
εἴτε τὸ δαιμόνιον κατεκώμασε
δώμασιν Οἰδιπόδα·
πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.

ΧΟΡΟΣ.

δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναὶ,
καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.

ΠΟΛΥΝΕΙΚΗΣ.

μῆτερ, φρονῶν εὖ κοὐ φρονῶν ἀφικόμην
ἐχθροὺς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
οὕτω δὲ τάρβους ἐς φόβον τ' ἀφικόμην,
μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
ὥςτε ξιφήρη χεῖρ' ἔχων δι' ἄστεος
κυκλῶν πρόςωπον ἦλθον. ἓν δέ μ' ὠφελεῖ,
σπονδαί τε καὶ σὴ πίστις, ἥ μ' εἰςήγαγε
τείχη πατρῷα· πολύδακρυς δ' ἀφικόμην,
χρόνιος ἰδὼν μέλαθρα καὶ βωμοὺς θεῶν
γυμνάσιά θ', οἷσιν ἐνετράφην, Δίρκης θ' ὕδωρ·
ὧν οὐ δικαίως ἀπελαθεὶς ξένην πόλιν
ναίω, δι' ὄσσων νᾶμ' ἔχων δακρυῤῥοοῦν.
ἀλλ' — ἐκ γὰρ ἄλγους ἄλγος αὖ — σε δέρκομαι
κάρα ξυρηκὲς καὶ πέπλους μελαγχίμους
ἔχουσαν. οἴ μοι τῶν ἐμῶν ἐγὼ κακῶν!
ὡς δεινὸν ἔχθρα, μῆτερ, οἰκείων φίλων,
καὶ δυςλύτους ἔχουσα τὰς διαλλαγάς.
τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,

365. εἰςήγαγες.

σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;
ἦ που στένουσι τλήμονος φυγὰς ἐμάς;

ΙΟΚΑΣΤΗ.

κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
οὕτω γὰρ ἦρξατ᾽, ἄνομα μὲν τεκεῖν ἐμέ,
κακῶς δὲ γῆμαι πατέρα σὸν φῦναί τε σέ.
ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
ὅπως δ᾽ ἔρωμαι, μή τι σὴν δάκω φρένα,
δέδοιχ᾽, ἃ χρῄζω. διὰ πόθου δ᾽ ἐλήλυθα.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀλλ᾽ ἐξερώτα, μηδὲν ἐνδεὲς λίπῃς·
ἃ γὰρ σὺ βούλει, ταῦτ᾽ ἐμοὶ, μῆτερ, φίλα.

ΙΟΚΑΣΤΗ.

καὶ δή σ᾽ ἐρωτῶ πρῶτον, ὧν χρῄζω τυχεῖν.
τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα;

ΠΟΛΥΝΕΙΚΗΣ.

μέγιστον· ἔργῳ δ᾽ ἐστὶ μεῖζον, ἢ λόγῳ.

ΙΟΚΑΣΤΗ.

τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυςχερές;

ΠΟΛΥΝΕΙΚΗΣ.

ἓν μὲν μέγιστον, οὐκ ἔχει παῤῥησίαν.

ΙΟΚΑΣΤΗ.

δούλου τόδ᾽ εἶπας, μὴ λέγειν, ἅ τις φρονεῖ.

ΠΟΛΥΝΕΙΚΗΣ.

τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.

ΙΟΚΑΣΤΗ.

καὶ τοῦτο λυπρὸν, ξυνασοφεῖν τοῖς μὴ σοφοῖς.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀλλ᾽ ἐς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.

378. τλήμονας. 391. οὐκ ἔχειν.

ΙΟΚΑΣΤΗ.

ΙΟΚΑΣΤΗ.

αἱ δ᾽ ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.

ΠΟΛΥΝΕΙΚΗΣ.

καλοῖς βλέπουσί γ᾽ ὄμμασιν, μέλλουσι δέ.

ΙΟΚΑΣΤΗ.

οὐδ᾽ ὁ χρόνος αὐτὰς διεσάφησ᾽ οὔσας κενάς;

ΠΟΛΥΝΕΙΚΗΣ.

ἔχουσιν Ἀφροδίτην τίν᾽ ἡδεῖαν κακῶν.

ΙΟΚΑΣΤΗ.

πόθεν δ᾽ ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;

ΠΟΛΥΝΕΙΚΗΣ.

ποτὲ μὲν ἐπ᾽ ἦμαρ εἶχον, εἶτ᾽ οὐκ εἶχον ἄν.

ΙΟΚΑΣΤΗ.

φίλοι δὲ πατρὸς καὶ ξένοι σ᾽ οὐκ ὠφέλουν;

ΠΟΛΥΝΕΙΚΗΣ.

εὖ πρᾶσσε· τὰ φίλων δ᾽ οὐδὲν, ἤν τις δυςτυχῇ.

ΙΟΚΑΣΤΗ.

οὐδ᾽ ἡ ᾽υγένειά σ᾽ ἦρεν εἰς ὕψος μέγα;

ΠΟΛΥΝΕΙΚΗΣ.

κακὸν τὸ μὴ ῎χειν· τὸ γένος οὐκ ἔβοσκέ με.

ΙΟΚΑΣΤΗ.

ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς.

ΠΟΛΥΝΕΙΚΗΣ.

οὐδ᾽ ὀνομάσαι δύναι᾽ ἂν, ὡς ἐστὶν φίλον.

ΙΟΚΑΣΤΗ.

πῶς δ᾽ ἦλθες Ἄργος; τίν᾽ ἐπίνοιαν ἔσχεθες;

ΠΟΛΥΝΕΙΚΗΣ.

ἔχρησ᾽ Ἀδράστῳ Λοξίας χρησμόν τινα.

ΙΟΚΑΣΤΗ.

ποῖον; τί τοῦτ᾽ ἔλεξας; οὐκ ἔχω μαθεῖν.

ΠΟΛΥΝΕΙΚΗΣ.

κάπρῳ λέοντί θ᾽ ἁρμόσαι παίδων γάμους.

ΙΟΚΑΣΤΗ.

καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;

ΠΟΛΥΝΕΙΚΗΣ.

οὐκ οἶδ᾽· ὁ δαίμων μ᾽ ἐκάλεσεν πρὸς τὴν τύχην.

ΙΟΚΑΣΤΗ.

σοφὸς γὰρ ὁ θεός· τίνι τρόπῳ δ᾽ ἔσχες λέχος;

ΠΟΛΥΝΕΙΚΗΣ.

νὺξ ἦν, Ἀδράστου δ᾽ ἦλθον ἐς παραστάδας.

ΙΟΚΑΣΤΗ.

κοίτας ματεύων, ἢ φυγὰς πλανώμενος;

ΠΟΛΥΝΕΙΚΗΣ.

ἦν ταῦτα· κᾆτά γ᾽ ἦλθεν ἄλλος αὖ φυγάς.

ΙΟΚΑΣΤΗ.

τίς οὗτος; ὡς ἄρ᾽ ἄθλιος κἀκεῖνος ἦν.

ΠΟΛΥΝΕΙΚΗΣ.

Τυδεύς, ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.

ΙΟΚΑΣΤΗ.

τί θηρσὶν ὑμᾶς δῆτ᾽ Ἄδραστος ᾔκασεν;

ΠΟΛΥΝΕΙΚΗΣ.

στρωμνῆς ἐς ἀλκὴν οὕνεκ᾽ ἤλθομεν πέρι.

ΙΟΚΑΣΤΗ.

ἐνταῦθα Ταλαοῦ παῖς ξυνῆκε θέσφατα;

ΠΟΛΥΝΕΙΚΗΣ.

κᾆδωκεν ἡμῖν δύο δυοῖν νεάνιδας.

410. ποῖόν τι τοῦτ᾽ ἔλ. 420. εἴκασε.

ΙΟΚΑΣΤΗ.

ἆρ᾽ εὐτυχεῖς οὖν τοῖς γάμοις, ἢ δυστυχεῖς;

ΠΟΛΥΝΕΙΚΗΣ.

οὐ μεμπτὸς ἡμῖν ὁ γάμος ἐς τόδ᾽ ἡμέρας.

ΙΟΚΑΣΤΗ.

πῶς δ᾽ ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;

ΠΟΛΥΝΕΙΚΗΣ.

διssοῖς Ἄδραστος ὤμοσεν γαμβροῖς τάδε,
[Τυδεῖ τε κἀμοί· σύγγαμος γάρ ἐστ᾽ ἐμός,]
ἄμφω κατάξειν ἐς πάτραν, πρόσθεν δ᾽ ἐμέ.
πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ᾽, ἐμοὶ
διδόντες· ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
πόλιν. θεοὺς δ᾽ ἐπώμοσ᾽, ὡς ἀκουσίως
τοῖς φιλτάτοις τοκεῦσιν ᾐράμην δόρυ.
ἀλλ᾽ ἐς σὲ τείνει τῶνδε διάλυσις κακῶν,
μῆτερ, διαλλάξασαν ὁμογενεῖς φίλους
παῦσαι πόνων με καὶ σὲ καὶ πᾶσαν πόλιν.
πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ᾽ ὅμως ἐρῶ·
τὰ χρήματ᾽ ἀνθρώποισι τιμιώτατα,
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
ἃ ᾽γὼ μεθήκω, δεῦρο μυρίαν ἄγων
λόγχην· πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.

ΧΟΡΟΣ.

καὶ μὴν Ἐτεοκλῆς ἐς διαλλαγὰς ὅδε
χωρεῖ· σὸν ἔργον, μῆτερ Ἰοκάστη, λέγειν
τοιούσδε μύθους, οἷς διαλλάξεις τέκνα.

ΕΤΕΟΚΛΗΣ.

μῆτερ, πάρειμι· τὴν χάριν δὲ σοὶ διδοὺς

ἦλθον. τί χρὴ δρᾶν; ἀρχέτω δή τις λόγου·
ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
τάσσων ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
τόνδ᾽ εἰσεδέξω τειχέων, πείσασά με.

ΙΟΚΑΣΤΗ.

ἐπίσχες· οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει·
βραδεῖς δὲ μῦθοι πλεῖστον ἀνύτουσιν σοφόν.
σχάσον δὲ δεινὸν ὄμμα καὶ θυμοῦ πνοάς·
οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ᾽ εἰσορᾷς ἥκοντα σόν.
σύ τ᾽ αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· ἐς γὰρ ταυτὸν ὄμμασι βλέπων
λέξεις τ᾽ ἄμεινον, τοῦδέ τ᾽ ἐνδέξει λόγους.
παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ,
ἐς ἓν ξυνελθὼν, ὄμματ᾽ ὄμμασιν διδῷ,
ἐφ᾽ οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν,
κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν.
λόγος μὲν οὖν σὸς πρόσθε, Πολύνεικες τέκνον·
σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
ἄδικα πεπονθὼς, ὡς σὺ φής· κριτὴς δέ τις
θεῶν γένοιτο καὶ διαλλακτὴς κακῶν.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
κοὐ ποικίλων δεῖ τἄνδιχ᾽ ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ᾽ ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.
ἐγὼ δὲ πατρὸς δωμάτων προὐσκεψάμην

447. δί. 456. Γοργοῦς.

τοὐμόν τε καὶ τοῦδ᾽, ἐκφυγεῖν χρῄζων δ᾽ ἀρὰς,
ἃς Οἰδίπους ἐφθέγξατ᾽ εἰς ἡμᾶς ποτε,
ἐξῆλθον ἔξω τῆσδ᾽ ἑκὼν αὐτὸς χθονὸς,
δοὺς τῷδ᾽ ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
ὥςτ᾽ αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβὼν,
καὶ μὴ, δι᾽ ἔχθρας τῷδε καὶ φόνου μολὼν,
κακόν τι δρᾶσαι καὶ παθεῖν, ἃ γίγνεται.
ὁ δ᾽ αἰνέσας ταῦθ᾽ ὁρκίους τε δοὺς θεοὺς,
ἔδρασεν οὐδὲν, ὧν ὑπέσχετ᾽, ἀλλ᾽ ἔχει
τυραννίδ᾽ αὐτὸς καὶ δόμων ἐμὸν μέρος.
καὶ νῦν ἕτοιμός εἰμι, τἀμαυτοῦ λαβὼν,
στρατὸν μὲν ἔξω τῆσδ᾽ ἀποστεῖλαι χθονὸς,
οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβὼν,
καὶ τῷδ᾽ ἀφεῖναι τὸν ἴσον αὖθις αὖ χρόνον,
καὶ μήτε πορθεῖν πατρίδα, μήτε προςφέρειν
πύργοισι πηκτῶν κλιμάκων προςαμβάσεις·
ἃ, μὴ κυρήσας τῆς δίκης, πειράσομαι
δρᾶν. μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
ὡς, πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
ταῦτ᾽ αὔθ᾽ ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς
λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς
καὶ τοῖσι φαύλοις ἔνδιχ᾽, ὡς ἐμοὶ δοκεῖ.

ΧΟΡΟΣ.

ἐμοὶ μὲν, εἰ καὶ μὴ καθ᾽ Ἑλλήνων χθόνα
τεθράμμεθ᾽, ἀλλ᾽ οὖν ξυνετά μοι δοκεῖς λέγειν.

ΕΤΕΟΚΛΗΣ.

εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ σοφόν θ᾽ ἅμα,
οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις·

474. deest δ᾽.

νῦν δ' οὔθ' ὅμοιον οὐδὲν, οὔτ' ἴσον βροτοῖς,
πλὴν ὀνομάσαι, τὸ δ' ἔργον οὐκ ἔστιν τόδε.
ἐγὼ γὰρ οὐδὲν, μῆτερ, ἀποκρύψας ἐρῶ·
ἄστρων ἂν ἔλθοιμ' αἰθέρος πρὸς ἀντολὰς
καὶ γῆς ἔνερθε, δυνατὸς ὢν δρᾶσαι τάδε,
τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα.
τοῦτ' οὖν τὸ χρηστὸν, μῆτερ, οὐχὶ βούλομαι
ἄλλῳ παρεῖναι μᾶλλον, ἢ σώζειν ἐμοί·
ἀνανδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας
τοὔλασσον ἔλαβε. πρὸς δὲ τοῖσδ' αἰσχύνομαι,
ἐλθόντα σὺν ὅπλοις τόνδε καὶ πορθοῦντα γῆν
τυχεῖν, ἃ χρήζει· ταῖς γὰρ ἂν Θήβαις τόδε
γένοιτ' ὄνειδος, εἰ Μυκηναίου δορὸς
φόβῳ παρείην σκῆπτρα τἀμὰ τῷδ' ἔχειν.
χρῆν δ' αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγὰς,
μῆτερ, ποιεῖσθαι· πᾶν γὰρ ἐξαιρεῖ λόγος,
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
ἀλλ' εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
ἔξεστ'· ἐκείνου δ' οὐχ ἑκὼν μεθήσομαι.
ἄρχειν παρόν μοι, τῷδε δουλεῦσαι ποτέ;
πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα,
ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων,
ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα.
εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.

ΧΟΡΟΣ.

οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς,
οὐ γὰρ καλὸν τόδ', ἀλλὰ τῇ δίκῃ πικρόν.

502. ὀνόμασιν. 516. ἐξαίρει.

ΙΟΚΑΣΤΗ.

ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ' ἡ 'μπειρία
ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον.
τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
φιλοτιμίας, παῖ; μὴ σύγ'· ἄδικος ἡ θεός·
πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
ἐσῆλθε κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων·
ἐφ' ᾗ σὺ μαίνει. κεῖνο κάλλιον, τέκνον,
ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις
ξυνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ,
τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται
τοὔλασσον, ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.
καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
ἰσότης ἔταξε κἀριθμὸν διώρισε,
νυκτός τ' ἀφεγγὲς βλέφαρον ἡλίου τε φῶς
ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον,
κοὐδέτερον αὐτοῖν φθόνον ἔχει νικώμενον.
εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
σὺ δ' οὐκ ἀνέξει δωμάτων ἔχων ἴσον,
καὶ τῷδ' ἀπονεμεῖς; κᾆτα ποῦ 'στὶν ἡ δίκη;
τί τὴν τυραννίδ', ἀδικίαν εὐδαίμονα,
τιμᾷς ὑπέρφευ, καὶ μέγ' ἥγησαι τόδε;
περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
ἢ πολλὰ μοχθεῖν, πόλλ' ἔχων ἐν δώμασι,
βούλει; τί δ' ἔστι τὸ πλέον; ὄνομ' ἔχει μόνον·
ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσιν.
οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοὶ,

550. ἥγησαι; τὸ δὲ II.

τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα·
ὅταν δὲ χρῄζωσ', αὔτ' ἀφαιροῦνται πάλιν.
[ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.]
ἄγ', ἤν σ' ἔρωμαι, δύο λόγω προθεῖσ' ἅμα,
πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις;
ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε,
Ἀργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,
ὄψει δαμασθὲν ἄστυ Θηβαίων τόδε,
ὄψει δὲ πολλὰς αἰχμαλωτίδας κόρας
βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
ὀδυνηρὸς ἄρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
γενήσεται Θήβαισι, φιλότιμος δὲ σύ.
σοὶ μὲν τάδ' αὐδῶ· σοὶ δέ, Πολύνεικες, λέγω·
ἀμαθεῖς Ἄδραστος χάριτας ἐς σ' ἀνήψατο·
ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.
φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτέ,
πρὸς θεῶν, τρόπαια πῶς ἄρα στήσεις δορός;
πῶς δ' αὖ κατάρξει θυμάτων, ἑλὼν πάτραν,
κεὶς σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς,
„Θήβας πυρώσας, τάσδε Πολυνείκης θεοῖς
ἀσπίδας ἔθηκε·" μή ποτ', ὦ τέκνον, κλέος
τοιόνδε σοὶ γένοιθ' ὑφ' Ἑλλήνων λαβεῖν.
ἢν δ' αὖ κρατηθῇς καὶ τὰ τοῦδ' ὑπερδράμῃ,
πῶς Ἄργος ἥξεις, μυρίους λιπὼν νεκρούς;
ἐρεῖ δὲ δή τις, ὦ κακὰ μνηστεύματα,
Ἄδραστε, προςθείς, διὰ μιᾶς νύμφης γάμον
ἀπωλόμεσθα. δύο κακὼ σπεύδεις, τέκνον,
κείνων στέρεσθαι, τῶνδέ τ' ἐν μέσῳ πεσεῖν.
μέθετον τὸ λίαν, μέθετον· ἀμαθίαι δυοῖν,
ἐς ταὔθ' ὅταν μόλητον, αἴσχιστον κακόν.

ΧΟΡΟΣ.

ὦ θεοί, γένοισθε τῶνδ' ἀπότροποι κακῶν,
καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.

ΕΤΕΟΚΛΗΣ.

μῆτερ, οὐ λόγων ἀγών ἐστ', ἀλλ' ἀνάλωται χρόνος
οὑν μέσῳ μάτην, περαίνει δ' οὐδὲν ἡ προθυμία·
οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως, ἢ 'πὶ τοῖς εἰρημένοις,
ὥστ' ἐμὲ σκῆπτρα κρατοῦντα τῆςδ' ἄνακτ' εἶναι χθονός·
τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων μ' ἔα.
καὶ σὺ τῶνδ' ἔξω κομίζου τειχέων, ἢ κατθανεῖ.

ΠΟΛΥΝΕΙΚΗΣ.

πρὸς τίνος; τίς ὧδ' ἄτρωτος, ὅςτις εἰς ἡμᾶς ξίφος
φόνιον ἐμβαλὼν τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;

ΕΤΕΟΚΛΗΣ.

ἐγγύς· οὐ πρόσω βέβηκας; ἐς χέρας λεύσσεις ἐμάς;

ΠΟΛΥΝΕΙΚΗΣ.

εἰςορῶ· δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

ΕΤΕΟΚΛΗΣ.

κᾆτα σὺν πολλοῖσιν ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;

591. σκήπτρων. 596. βεβηκώς.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀσφαλὴς γὰρ ἐστ᾽ ἀμείνων, ἢ θρασὺς στρατηλάτης.

ΕΤΕΟΚΛΗΣ.

κομπὸς εἶ, σπονδαῖς πεποιθὼς, αἵ σε σώζουσιν θανεῖν.

ΠΟΛΥΝΕΙΚΗΣ.

καὶ σὲ δεύτερόν γ᾽ ἀπαιτῶ σκῆπτρα καὶ μέρη χθονός.

ΕΤΕΟΚΛΗΣ.

οὐκ ἀπαιτούμεσθ᾽· ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.

ΠΟΛΥΝΕΙΚΗΣ.

τοῦ μέρους ἔχων τὸ πλεῖον;

ΕΤΕΟΚΛΗΣ.

φήμ᾽. ἀπαλλάσσου δὲ γῆς.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὦ θεῶν βωμοὶ πατρῴων —

ΕΤΕΟΚΛΗΣ.

οὓς σὺ πορθήσων πάρει.

ΠΟΛΥΝΕΙΚΗΣ.

κλύετέ μου.

ΕΤΕΟΚΛΗΣ.

τίς δ᾽ ἂν κλύοι σου πατρίδ᾽ ἐπεστρατευμένου.

ΠΟΛΥΝΕΙΚΗΣ.

καὶ θεῶν τῶν λευκοπώλων δώμαθ᾽ —

ΕΤΕΟΚΛΗΣ.

οἳ στυγοῦσί σε.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἐξελαυνόμεσθα πατρίδος —

ΕΤΕΟΚΛΗΣ.

καὶ γὰρ ἦλθες ἐξελῶν.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀδικίᾳ γ᾽, ὦ θεοί.

ΕΤΕΟΚΛΗΣ.

Μυκήναις, μὴ ᾽νθάδ᾽ ἀνακάλει θεούς.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀνόσιος πέφυκας —

ΕΤΕΟΚΛΗΣ.

ἀλλ᾽ οὐ πατρίδος, ὡς σὺ, πολέμιος.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὅς μ᾽ ἄμοιρον ἐξελαύνεις.

ΕΤΕΟΚΛΗΣ.

καὶ κατακτενῶ γε πρός.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὦ πάτερ, κλύεις, ἃ πάσχω;

ΕΤΕΟΚΛΗΣ.

καὶ γὰρ, οἷα δρᾷς, κλύει.

ΠΟΛΥΝΕΙΚΗΣ.

καὶ σύ, μῆτερ;

ΕΤΕΟΚΛΗΣ.

οὔ σε θεμιτὸν μητρὸς ὀνομάζειν κάρα.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὦ πόλις.

ΕΤΕΟΚΛΗΣ.

μολὼν ἐς Ἄργος, ἀνακάλει Λέρνης ὕδωρ.

612. οὐ θέμις σοι.

ΠΟΛΥΝΕΙΚΗΣ.

εἶμι, μὴ πόνει· σὲ δ' αἰνῶ, μῆτερ.

ΕΤΕΟΚΛΗΣ.

ἔξιθι χθονός.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἔξιμεν· πατέρα δέ γέ μοι δὸς εἰςιδεῖν.

ΕΤΕΟΚΛΗΣ.

οὐκ ἂν τύχοις.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀλλὰ παρθένους ἀδελφάς.

ΕΤΕΟΚΛΗΣ.

οὐδὲ τάςδ' ὄψει ποτέ.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὦ κασίγνηται.

ΕΤΕΟΚΛΗΣ.

τί ταύτας ἀνακαλεῖς, ἔχθιστος ὤν;

ΠΟΛΥΝΕΙΚΗΣ.

μῆτερ, ἀλλά μοι σὺ χαῖρε.

ΙΟΚΑΣΤΗ.

χαρτὰ γοῦν πάσχω, τέκνον.

ΠΟΛΥΝΕΙΚΗΣ.

οὐκέτ' εἰμὶ παῖς σός.

ΙΟΚΑΣΤΗ.

ἐς πόλλ' ἀθλία πέφυκ' ἐγώ.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει.

ΕΤΕΟΚΛΗΣ.

καὶ γὰρ ἀνθυβρίζομαι.

619. ἄθλια.

ΠΟΛΥΝΕΙΚΗΣ.

ποῦ ποτε στήσει πρὸ πύργων;

ΕΤΕΟΚΛΗΣ.

ὡς τί μ' ἱστορεῖς τόδε;

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀντιτάξομαι κτενῶν σε.

ΕΤΕΟΚΛΗΣ.

κἀμὲ τοῦδ' ἔρως ἔχει.

ΙΟΚΑΣΤΗ.

ὦ τάλαιν' ἐγώ! τί δράσετ', ὦ τέκν';

ΠΟΛΥΝΕΙΚΗΣ.

αὐτὸ σημανεῖ.

ΙΟΚΑΣΤΗ.

πατρὸς οὐ φεύξεσθ' Ἐριννῦς;

ΕΤΕΟΚΛΗΣ.

ἐῤῥέτω πρόπας δόμος.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
τὴν δὲ θρέψασάν με γαῖαν καὶ θεοὺς μαρτύρομαι,
ὡς ἄτιμος, οἰκτρὰ πάσχων, ἐξελαύνομαι χθονὸς,
δοῦλος ὣς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς.
κἂν τί σοι, πόλις, γένηται, μὴ 'με, τόνδε δ' αἰτιῶ·
οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
καὶ σὺ, Φοῖβ' ἄναξ Ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,

ἥλικές θ' οἱ 'μοὶ θεῶν τε δεξίμηλ' ἀγάλματα.
οὐ γὰρ οἶδ', εἴ μοι προςειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε·
ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς,
τόνδ' ἀποκτείνας, κρατήσειν τῆςδε Θηβαίας χθονός.

ΕΤΕΟΚΛΗΣ.

ἔξιθ' ἐκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυνείκην πατὴρ
ἔθετό σοι θείᾳ προνοίᾳ νεικέων ἐπώνυμον.

ΧΟΡΟΣ.

Κάδμος ἔμολε τάνδε γᾶν (στροφή.)
Τύριος, ᾧ τετρασκελὴς
μόσχος ἀδάμαστον πέσημα
δίκε τελεςφόρον διδοῦσα
χρησμόν, οὗ κατοικίσαι
πεδία μὲν τὸ θέςφατον
χρῆσε πυροφόρ' Ἀόνων,
καλλιπόταμος ὕδατος ἵνα τε
νοτὶς ἐπέρχεται γύας
Δίρκας χλοηφόρους
καὶ βαθυσπόρους·
Βρόμιον ἔνθα τέκετο μάτηρ
* * * Διὸς γάμοις,
κισσὸς ὃν περιστεφὴς
ἑλικτὸς εὐθὺς ἔτι βρέφος
χλοηφόροισιν ἔρνεσιν
κατασκίοισιν ὀλβίσας ἐνώτισεν·

643. πεδία μιν. 645. ἵνα γε. 650. desunt notae lacunae.

Βάκχιον χόρευμα παρθένοισι Θηβαί-
αισι καὶ γυναιξὶν Εὐΐοις.
ἔνθα φόνιος ἦν δράκων (ἀντιστρ.)
Ἄρεος, ὠμόφρων φύλαξ,
νάματ' ἔνυδρα καὶ ῥέεθρα
χλοερὰ δεργμάτων κόραισι
πολυπλάνοις ἐπισκοπῶν·
ὃν ἐπὶ χέρνιβας μολὼν
Κάδμος ὤλεσε μαρμάρῳ,
κρᾶτα φόνιον ὀλεσίθηρος
ὠλένας δικὼν βολαῖς,
δίας ἀμάτορος
Παλλάδος φραδαῖς
γαπετεῖς δικὼν ὀδόντας
ἐς βαθυσπόρους γύας·
ἔνθεν ἐξανῆκε γᾶ
πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
ὅρων χθονός· σιδαρόφρων
δέ νιν φόνος πάλιν ξυνῆψε γᾷ φίλᾳ.
αἵματος δ' ἔδευσε γαῖαν, ἅ νιν εὐεί-
λοισι δεῖξεν αἰθέρος πνοαῖς.
Καὶ σέ, τὸν προμάτορος (ἐπῳδ.)
Ἰοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
ἐκάλεσ' ἐκάλεσα βαρβάρῳ βοᾷ,
ἰώ, βαρβάροις λιταῖς,
βᾶθι βᾶθι τάνδε γᾶν·
σοί νιν ἔκγονοι κτίσαν,

672. sq. χθονός· φόνος δέ νιν Σιδαρόφρων ξυνῆψε γᾷ φίλᾳ πάλιν.

ᾆ διώνυμοι θεαί,
Περσέφασσα καὶ φίλα
Δαμάτηρ θεά,
πάντων ἄνασσα, πάντων δὲ Γᾶ τροφὸς
ἐκτήσαντο· πέμπε πυρφόρους
θεὰς ἀμῦναι τᾷδε γᾷ·
πάντα δ᾽ εὐπετῆ θεοῖς.

ΕΤΕΟΚΛΗΣ.

χώρει σὺ καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ᾽, ἀδελφὸν μητρὸς Ἰοκάστης ἐμῆς,
λέγων τάδ᾽, ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
πρὶν ἐς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.
καί τοι ποδῶν σῶν μόχθον ἐκλύει παρών·
ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ᾽ ἐμούς.

ΚΡΕΩΝ.

ἦ πόλλ᾽ ἐπῆλθον, εἰσιδεῖν χρῄζων σ᾽, ἄναξ
Ἐτεόκλεες, πέριξ δὲ Καδμείων πύλας
φύλακάς τ᾽ ἐπῆλθον, σὸν δέμας θηρώμενος.

ΕΤΕΟΚΛΗΣ.

καὶ μὴν ἐγώ σ᾽ ἔχρῃζον εἰσιδεῖν, Κρέον·
πολλῷ γὰρ εὗρον ἐνδεεῖς διαλλαγὰς,
ὡς ἐς λόγους ξυνῆψα Πολυνείκει μολών.

ΚΡΕΩΝ.

ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
κήδει τ᾽ Ἀδράστου καὶ στρατῷ πεποιθότα.
ἀλλ᾽ ἐς θεοὺς χρὴ ταῦτ᾽ ἀναρτήσαντ᾽ ἔχειν·
ἃ δ᾽ ἐμποδὼν μάλιστα, ταῦθ᾽ ἥκω φράσων.

ΕΤΕΟΚΛΗΣ.

τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.

ΚΡΕΩΝ.

687. ἐκτίσαντο.

ΚΡΕΩΝ.

ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.

ΕΤΕΟΚΛΗΣ.

λέγει δὲ δὴ τί τῶν ἐκεῖ νεώτερον;

ΚΡΕΩΝ.

μέλλειν πέριξ πύργοισι Καδμείων πόλιν
ὅπλοις ἑλίξειν αὐτίκ᾽ Ἀργείων στρατόν.

ΕΤΕΟΚΛΗΣ.

ἐξοιστέον τἄρ᾽ ὅπλα Καδμείων πόλει.

ΚΡΕΩΝ.

ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς, ἃ χρή σ᾽ ὁρᾷν;

ΕΤΕΟΚΛΗΣ.

ἐκτὸς τάφρων τῶνδ᾽, ὡς μαχουμένους τάχα.

ΚΡΕΩΝ.

σμικρὸν τὸ πλῆθος τῆσδε γῆς, οἱ δ᾽ ἄφθονοι.

ΕΤΕΟΚΛΗΣ.

ἐγῷδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.

ΚΡΕΩΝ.

ἔχει τίν᾽ ὄγκον Ἄργος Ἑλλήνων πάρα.

ΕΤΕΟΚΛΗΣ.

θάρσει· τάχ᾽ αὐτῶν πεδίον ἐμπλήσω φόνου.

ΚΡΕΩΝ.

θέλοιμ᾽ ἄν· ἀλλὰ τοῦθ᾽ ὁρῶ πολλοῦ πόνου.

ΕΤΕΟΚΛΗΣ.

ὡς οὐ καθέξω τειχέων ἔσω στρατόν.

ΚΡΕΩΝ.

καὶ μὴν τὸ νικᾷν ἐστὶ πᾶν εὐβουλία.

ΕΤΕΟΚΛΗΣ.

βούλει, τράπωμαι δῆθ᾽ ὁδοὺς ἄλλας τινάς;

710. πυκνοῖσι. 712. γ᾽ ἄρ᾽. 717. ὄγκον τ᾽ Ἄργος.

ΚΡΕΩΝ.
πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
ΕΤΕΟΚΛΗΣ.
ἢ νυκτὸς αὐτοῖς προσβάλοιμ᾽ ἂν ἐκ λόχου;
ΚΡΕΩΝ.
εἴπερ σφαλείς γε δεῦρο σωθήσει πάλιν.
ΕΤΕΟΚΛΗΣ.
ἴσον φέρει νὺξ, τοῖς δὲ τολμῶσιν πλέον.
ΚΡΕΩΝ.
ἐνδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.
ΕΤΕΟΚΛΗΣ.
ἀλλ᾽ ἀμφὶ δεῖπνον οὖσι προσβάλω δόρυ;
ΚΡΕΩΝ.
ἔκπληξις ἂν γένοιτο· νικῆσαι δὲ δεῖ.
ΕΤΕΟΚΛΗΣ.
βαθύς γέ τοι Διρκαῖος ἀναχωρεῖν πόρος.
ΚΡΕΩΝ.
ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
ΕΤΕΟΚΛΗΣ.
τί δ᾽, εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν;
ΚΡΕΩΝ.
κἀκεῖ πέφρακται λαὸς ἅρμασιν πέριξ.
ΕΤΕΟΚΛΗΣ.
τί δῆτα δράσω; πολεμίοισι δῶ πόλιν;
ΚΡΕΩΝ.
μὴ δῆτα· βουλεύου δ᾽, ἐπείπερ εἶ σοφός.
ΕΤΕΟΚΛΗΣ.
τίς οὖν πρόνοια γίγνεται σοφωτέρα;

724. εἰ - προσβάλοιμεν.

ΚΡΕΩΝ.
ἑπτ᾽ ἄνδρας αὐτοῖς φασὶν, ὡς ἤκουσ᾽ ἐγώ —
ΕΤΕΟΚΛΗΣ.
τί προστετάχθαι δρᾶν; τὸ γὰρ σθένος βραχύ.
ΚΡΕΩΝ.
λόχων ἄνακτας, ἑπτὰ προσκεῖσθαι πύλαις.
ΕΤΕΟΚΛΗΣ.
τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ.
ΚΡΕΩΝ.
ἑπτ᾽ ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
ΕΤΕΟΚΛΗΣ.
λόχων ἀνάσσειν, ἢ μονοστόλου δορός;
ΚΡΕΩΝ.
λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
ΕΤΕΟΚΛΗΣ.
ξυνῆκ᾽, ἀμύνειν τειχέων προσαμβάσεις.
ΚΡΕΩΝ.
καὶ ξυστρατήγους· εἷς δ᾽ ἀνὴρ οὐ πάνθ᾽ ὁρᾷ.
ΕΤΕΟΚΛΗΣ.
θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ;
ΚΡΕΩΝ.
ἀμφότερον· ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
ΕΤΕΟΚΛΗΣ.
ἔσται τάδ᾽, ἑπτάπυργον ἐς πόλιν μολὼν
τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,
ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
ὄνομα δ᾽ ἑκάστου διατριβὴ πολλὴ λέγειν,

739. ἀνάσσειν. 741. αὐτός. 748. ἑπτάπυργον ἐς κύκλον μ.

ἐχθρῶν ὑπ᾽ αὐτοῖς τείχεσιν καθημένων.
ἀλλ᾽ εἶμ᾽, ὅπως ἂν μὴ καταργῶμεν χέρα.
καί μοι γένοιτ᾽ ἀδελφὸν ἀντήρη λαβεῖν,
καὶ ξυσταθέντα διὰ μάχης ἑλεῖν δορὶ,
[κτανεῖν θ᾽, ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.]
γάμους δ᾽ ἀδελφῆς Ἀντιγόνης παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
σοὶ χρὴ μέλεσθαι· τὴν δόσιν δ᾽ ἐχέγγυον
τὴν πρόσθε ποιῶ νῦν ἐπ᾽ ἐξόδοις ἐμαῖς.
μητρὸς δ᾽ ἀδελφὸς εἶ· τί δεῖ μακρηγορεῖν;
τρέφ᾽ ἀξίως νιν σοῦ τε τήν τ᾽ ἐμὴν χάριν.
πατὴρ δ᾽ ἐς αὑτὸν ἀμαθίαν ὀφλισκάνει,
ὄψιν τυφλώσας· οὐκ ἄγαν σφ᾽ ἐπῄνεσα·
ἡμᾶς τ᾽ ἀραῖσιν, ἢν τύχῃ, κατακτενεῖ.
ἓν δ᾽ ἐστὶν ἡμῖν ἀργὸν, εἴ τι θέσφατον
οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
τοῦδ᾽ ἐκπυθέσθαι ταῦτ᾽· ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς αὐτεπώνυμον,
ἄξοντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον·
σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται·
ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
ἤδη πρὸς αὐτὸν, ὥστ᾽ ἐμοὶ μομφὰς ἔχειν.
πόλει δὲ καὶ σοὶ ταῦτ᾽ ἐπισκήπτω, Κρέον·
ἤνπερ κρατήσῃ τἀμὰ, Πολυνείκους νέκυν
μή ποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί·
θνήσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
σοὶ μὲν τάδ᾽ εἶπον· προσπόλοις δ᾽ ἐμοῖς λέγω,
ἐκφέρετε τεύχη πάνοπλά τ᾽ ἀμφιβλήματα,
ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
ὁρμῶμεν ἤδη ξὺν δίκῃ νικηφόρῳ.

τῇ δ᾽ εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
προσευξόμεσθα τήνδε διασῶσαι πόλιν.

ΧΟΡΟΣ.

Ὦ πολύμοχθος Ἄρης, τί ποθ᾽ αἵματι (στρ.)
καὶ θανάτῳ κατέχει, Βρομίου παράμουσος ἑορταῖς;
οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ὥρας
βόστρυχον ἀμπετάσας, λωτοῦ κατὰ πνεύματα μέλπει
μοῦσαν, ἐν ᾇ χάριτες χοροποιοί.
ἀλλὰ σὺν ὁπλοφόροις, στρατὸν Ἀργείων ἐπιπνεύσας
αἵματι Θήβας κῶμον ἀναυλότατον προχορεύεις.
οὐδ᾽ ὑπὸ θυρσομανεῖ νεβρίδων μετὰ δινεύεις, ἀλλ᾽
ἅρμασι καὶ ψαλίοις τετραβάμοσι μώνυχα πῶλον,
Ἰσμηνοῦ τ᾽ ἐπὶ χεύμασι βαίνων
ἱππείαισι θοάζεις, Ἀργείους ἐπιπνεύσας
Σπαρτῶν γέννᾳ,
ἀσπιδοφέρμονα θίασον, ἔνοπλον,
ἀντίπαλον κατὰ λάϊνα τείχεα.
ἦ δεινά τις Ἔρις θεὸς, ἃ τάδε
μήσατο πήματα γᾶς βασιλεῦσιν,
Λαβδακίδαισιν πολυμόχθοις.
ὦ ζαθέων πετάλων πολυθηρότα- (ἀντιστρ.)
τον νάπος, Ἀρτέμιδος χιονοτρόφον ὄμμα Κιθαιρὼν,

796. εὔοπλον.

μήποτε τὸν θανάτῳ προτεθέντα, λόχευμ᾽ Ἰοκάστας,
ὤφελες Οἰδιπόδαν θρέψαι βρέφος ἔκβολον οἴκων,
χρυσοδέτοις περόναις ἐπίσαμον·
μηδὲ τὸ παρθένιον πτερὸν, οὔρειον τέρας, ἐλθεῖν
πένθεα γαίας, Σφιγγὸς, ἀμουσοτάταισι σὺν ᾠδαῖς,
ἅ ποτε Καδμογενῆ τετραβάμοσιν ἐν χαλαῖσι,
τείχεσι χριμπτομένα, φέρεν αἰθέρος εἰς ἄβατον φῶς
γένναν, τὰν ὁ κατὰ χθονὸς Ἅιδας
Καδμείοις ἐπιπέμπει· δυςδαίμων δ᾽ ἔρις ἄλλα θάλλει παίδων
Οἰδιπόδα κατὰ δώματα καὶ πόλιν.
οὐ γὰρ, ὃ μὴ καλὸν, οὔ ποτ᾽ ἔφυ καλὸν,
οὐδ᾽ οἱ μὴ νόμιμοί τοι παῖδες,
ματρὶ λόχευμα, μίασμά τε πατρός·
ἡ δὲ σύναιμον λέχος ἦλθεν.
ἔτεκες, ὦ γᾶ, ἔτεκές ποτε, (ἐπῳδός.)
βάρβαρον ὡς ἀκοὰν ἐδάην, ἐδάην ποτ᾽ ἐν οἴκοις,
τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος
γένναν ὀδοντοφυῆ, Θήβαις κάλλιστον ὄνειδος·
Ἁρμονίας δέ ποτ᾽ εἰς ὑμεναίους
ἤλυθον Οὐρανίδαι, φόρμιγγί τε τείχεα Θήβας
τᾶς Ἀμφιονίας τε λύρας ὕπο πύργοι ἀνέσταν
διδύμων ποταμῶν πόρον ἀμφὶ μέσον
Δίρκας, χλοεροτρόφον ἃ πεδίον

815. νόμιμόν τοι. 824. πύργος ἀνέστα.

πρόπαρ Ἰσμηνοῦ καταδεύει·
Ἰώ θ᾽, ἁ κερόεσσα προμάτωρ,
Καδμείων βασιλῆας ἐγείνατο·
μυριάδας δ᾽ ἀγαθῶν
ἑτέρας ἑτέραις μεταμειβομένα
πόλις ἅδ᾽ ἐπ᾽ ἄκροις
ἕστακ᾽ Ἄρεος στεφάνοισιν.

ΤΕΙΡΕΣΙΑΣ.

ἡγοῦ πάροιθε, θύγατερ· ὡς τυφλῷ ποδὶ
ὀφθαλμὸς εἶ σὺ, ναυτίλοισιν ἄστρον ὥς·
δεῦρ᾽ ἐς τὸ λευρὸν πέδον ἴχνος τιθεῖσ᾽ ἐμὸν,
πρόβαινε, μὴ σφαλῶμεν· ἀσθενὴς πατήρ·
κλήρους τέ μοι φύλασσε παρθένῳ χερὶ,
οὓς ἔλαβον, οἰωνίσματ᾽ ὀρνίθων μαθὼν
θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι,
πόση τις ἡ ᾽πίλοιπος ἄστεως ὁδὸς
πρὸς πατέρα τὸν σόν; ὡς ἐμὸν κάμνει γόνυ,
πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις περῶ.

ΚΡΕΩΝ.

θάρσει· πέλας γὰρ, Τειρεσία, φίλοισι σοῖς
ἐξώρμισαι σὸν πόδα· λαβοῦ δ᾽ αὐτοῦ, τέκνον·
ὡς πᾶσ᾽ ἀπήνη πούς τε πρεσβύτου φιλεῖ
χειρὸς θυραίας ἀναμένειν κουφίσματα.

ΤΕΙΡΕΣΙΑΣ.

εἶεν, πάρεσμεν· τί με καλεῖς σπουδῇ, Κρέον;

ΚΡΕΩΝ.

οὔπω λελήσμεθ᾽· ἀλλὰ σύλλεξαι σθένος
καὶ πνεῦμ᾽ ἄθροισον, ἆπος ἐκβαλὼν ὁδοῦ.

838. τ᾽ ἐμοί. 849. τί μ᾽ ἐκάλεις.

ΤΕΙΡΕΣΙΑΣ.

κόπῳ παρεῖμαι, γῆς Ἐρεχθειδῶν ἄπο
δεῦρ᾽ ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας·
κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορὸς,
οὗ καλλινίκους Κεκροπίδας ἔθηκ᾽ ἐγώ·
καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω,
λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.

ΚΡΕΩΝ.

οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη·
ἐν γὰρ κλύδωνι κείμεθ᾽, ὥςπερ οἶσθα σὺ,
δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.
βασιλεὺς μὲν οὖν βέβηκε κοσμηθεὶς ὅπλοις
ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς Μυκηνίδα·
ἐμοὶ δ᾽ ἐπέσταλκ᾽ ἐκμαθεῖν σέθεν πάρα,
τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.

ΤΕΙΡΕΣΙΑΣ.

Ἐτεοκλέους μὲν οὕνεκ᾽ ἂν κλῄσας στόμα
χρησμοὺς ἐπέσχον, σοὶ δ᾽, ἐπεὶ χρῄζεις μαθεῖν,
λέξω· νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,
ἐξ οὗ ᾽τεκνώθη Λάϊος βίᾳ θεῶν,
πόσιν τ᾽ ἔφυσε μητρὶ μέλεον Οἰδίπουν·
αἵ θ᾽ αἱματωποὶ δεργμάτων διαφθοραὶ
θεῶν σόφισμα κἀπίδειξις Ἑλλάδι.
ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
χρῄζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
ἥμαρτον ἀμαθῶς· οὔτε γὰρ γέρα πατρὶ,
οὔτ᾽ ἔξοδον διδόντες, ἄνδρα δυστυχῆ
ἐξηγρίωσαν· ἐκ δ᾽ ἔπνευσ᾽ αὐτοῖς ἀρὰς
δεινὰς νοσῶν τε καὶ πρὸς ἠτιμασμένος.

852. παρεῖμαι γοῦν, Ἐρ.

ἁγὼ τί οὐ δρῶν, ποῖα δ᾽ οὐ λέγων ἔπη,
ἐς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου;
ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον·
πολλοὶ δὲ νεκροὶ περὶ νεκροῖς πεπτωκότες,
Ἀργεῖα καὶ Καδμεῖα μίξαντες βέλη,
πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
σύ τ᾽ ὦ τάλαινα συγκατασκάπτει πόλις,
εἰ μὴ λόγοισι τοῖς ἐμοῖς τις πείσεται.
ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
μηδένα πολίτην, μήδ᾽ ἄνακτ᾽ εἶναι χθονὸς,
ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
μί᾽ ἔστιν ἄλλη μηχανὴ σωτηρίας.
ἀλλ᾽ — οὐ γὰρ εἰπεῖν οὐδ᾽ ἐμοὶ τόδ᾽ ἀσφαλὲς,
πικρὸν τε τοῖσι τὴν τύχην κεκτημένοις,
πόλει παρασχεῖν φάρμακον σωτηρίας —
ἄπειμι, χαίρεθ᾽· εἷς γὰρ ὢν πολλῶν μέτα
τὸ μέλλον, εἰ χρὴ, πείσομαι· τί γὰρ
πάθω;

ΚΡΕΩΝ.

ἐπίσχες αὐτοῦ, πρέσβυ.

ΤΕΙΡΕΣΙΑΣ.

μὴ ᾽πιλαμβάνου.

ΚΡΕΩΝ.

μεῖνον, τί φεύγεις μ᾽;

ΤΕΙΡΕΣΙΑΣ.

ἡ τύχη σ᾽, ἀλλ᾽ οὐκ ἐγώ.

ΚΡΕΩΝ.

φράσον πολίταις καὶ πόλει σωτηρίαν.

878. κἀγὼ τίν᾽ οὐ. 885. εἰ μὴ λόγοις τις τοῖς ἐμοῖσι π.

ΤΕΙΡΕΣΙΑΣ.
βούλει σὺ μέντοι, κοὐχὶ βουλήσει τάχα.
ΚΡΕΩΝ.
καὶ πῶς πατρῴαν γαῖαν οὐ σῶσαι θέλω;
ΤΕΙΡΕΣΙΑΣ.
θέλεις ἀκοῦσαι δῆτα, καὶ σπουδὴν ἔχεις;
ΚΡΕΩΝ.
ἐς γὰρ τί μ᾽ ἄλλο δεῖ προθυμίαν ἔχειν;
ΤΕΙΡΕΣΙΑΣ.
κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
πρῶτον δ᾽ ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
ποῦ ᾽στὶν Μενοικεὺς, ὅς με δεῦρ᾽ ἐπήγαγεν;
ΚΡΕΩΝ.
ὅδ᾽ οὐ μακρὰν ἄπεστι, πλησίον δέ σου.
ΤΕΙΡΕΣΙΑΣ.
ἀπελθέτω νυν θεσφάτων ἐμῶν ἑκάς.
ΚΡΕΩΝ.
ἐμὸς πεφυκὼς παῖς, ἃ δεῖ, σιγήσεται.
ΤΕΙΡΕΣΙΑΣ.
βούλει παρόντος δῆτά σοι τούτου φράσω;
ΚΡΕΩΝ.
κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
ΤΕΙΡΕΣΙΑΣ.
ἄκουε δή νυν θεσφάτων ἐμῶν ὁδὸν,
ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν.
σφάξαι Μενοικέα τόνδε δεῖ σ᾽ ὑπὲρ πάτρας
σὸν παῖδ᾽, ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
ΚΡΕΩΝ.
τί φῄς; τίν᾽ εἶπας τόνδε μῦθον, ὦ γέρον;

902. τί μᾶλλον.

ΤΕΙΡΕΣΙΑΣ.
ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.
ΚΡΕΩΝ.
ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
ΤΕΙΡΕΣΙΑΣ.
σοί γ᾽, ἀλλὰ πατρίδι μεγάλα καὶ σωτήρια.
ΚΡΕΩΝ.
οὐκ ἔκλυον, οὐκ ἤκουσα· χαιρέτω πόλις.
ΤΕΙΡΕΣΙΑΣ.
ἀνὴρ ὅδ᾽ οὐκ ἔθ᾽ αὑτὸς, ἐκνεύει πάλιν.
ΚΡΕΩΝ.
χαίρων ἴθ᾽· οὐ γὰρ σῶν με δεῖ μαντευμάτων.
ΤΕΙΡΕΣΙΑΣ.
ἀπόλωλεν ἡ ᾽λήθει᾽, ἐπεὶ σὺ δυστυχεῖς;
ΚΡΕΩΝ.
ὦ πρὸς σέ γονάτων καὶ γερασμίου τριχός —
ΤΕΙΡΕΣΙΑΣ.
τί προσπιτνεῖς με; δυσφύλακτ᾽ αἰτεῖ κακά.
ΚΡΕΩΝ.
σίγα· πόλει δὲ τούσδε μὴ λέξῃς λόγους.
ΤΕΙΡΕΣΙΑΣ.
ἀδικεῖν κελεύεις μ᾽; οὐ σιωπήσαιμεν ἄν.
ΚΡΕΩΝ.
τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
ΤΕΙΡΕΣΙΑΣ.
ἄλλοις μελήσει ταῦτ᾽, ἐμοὶ δ᾽ εἰρήσεται.
ΚΡΕΩΝ.
ἐκ τοῦ δ᾽ ἐμοὶ τόδ᾽ ἦλθε καὶ τέκνῳ κακόν;
ΤΕΙΡΕΣΙΑΣ.
ὀρθῶς μ᾽ ἐρωτᾷς, κεἰς ἀγῶν᾽ ἔρχει λόγων.

δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος,
σφαγέντα φόνιον αἷμα γῇ δοῦναι χοὰς,
Κάδμου παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,
ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
καὶ ταῦτα δρῶντες, σύμμαχον κτήσεσθ' Ἄρην.
χθὼν δ' ἀντὶ καρποῦ καρπὸν ἀντί θ' αἵματος
αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
γῆν, ἥ ποθ' ὑμῖν χρυσοπήληκα στάχυν
σπαρτῶν ἀνῆκεν· ἐκ γένους δὲ δεῖ θανεῖν
τοῦδ', ὃς δράκοντος γέννυος ἐκπέφυκε παῖς.
σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους
ἀκέραιος, ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο,
οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
σφαγὰς ἀπείργουσ'· οὐ γάρ ἐστιν ἤθεος·
[κεἰ μὴ γὰρ εὐνῆς ἥψατ', ἀλλ' ἔχει λέχος.]
οὗτος δὲ πῶλος, τῇδ' ἀνειμένος πόλει,
θανὼν πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
πικρὸν δ' Ἀδράστῳ νόστον Ἀργείοισί τε
θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλὼν,
κλεινάς τε Θήβας. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
τὸν ἕτερον· ἢ γὰρ παῖδα σῶσον, ἢ πόλιν.
τὰ μὲν παρ' ἡμῶν πάντ' ἔχεις· ἡγοῦ, τέκνον,
πρὸς οἶκον. ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
μάταιος· ἢν μὲν ἐχθρὰ σημήνας τύχῃ,
πικρὸς καθέστηχ' οἷς ἂν οἰωνοσκοπῇ·
ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων,
ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.

934. Κάδμῳ.

ΧΟΡΟΣ.

Κρέον, τί σιγᾷς, γῆρυν ἄφθογγον σχάσας;
κἀμοὶ γὰρ οὐδὲν ἧσσον ἔκπληξις πάρα.

ΚΡΕΩΝ.

τί δ' ἂν τις εἴποι; δῆλον οἵ γ' ἐμοὶ λόγοι.
ἐγὼ γὰρ οὔ ποτ' ἐς τόδ' εἶμι συμφορᾶς,
ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος,
οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
αὐτὸς δ', — ἐν ὡραίῳ γὰρ ἕσταμεν βίῳ, —
θνήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον.
ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός·
λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
πύλας ἐφ' ἑπτὰ καὶ λοχαγέτας μολών·
κἂν μὲν φθάσωμεν, ἐστί σοι σωτηρία·
ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανεῖ.

ΜΕΝΟΙΚΕΥΣ.

ποῖ δῆτα φεύγω; τίνα πόλιν; τίνα ξένων;

ΚΡΕΩΝ.

ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσει.

ΜΕΝΟΙΚΕΥΣ.

οὐκοῦν σε φράζειν εἰκὸς, ἐκπονεῖν δ' ἐμέ.

ΚΡΕΩΝ.

Δελφοὺς περάσας φεῦγε.

ΜΕΝΟΙΚΕΥΣ.

ποῖ με χρὴ μολεῖν;

968. ἵσταμαι. 980. περάσας. ΜΕΝ. ποῖ με χρὴ, πάτερ, μ.

ΚΡΕΩΝ.

Αἰτωλίδ᾽ ἐς γῆν.

ΜΕΝΟΙΚΕΥΣ.

ἐκ δὲ τῆσδε ποῖ περῶ;

ΚΡΕΩΝ.

Θεσπρωτὸν οὖδας.

ΜΕΝΟΙΚΕΥΣ.

σεμνὰ Δωδώνης βάθρα;

ΚΡΕΩΝ.

ἔγνως.

ΜΕΝΟΙΚΕΥΣ.

τί δῆτα ῥῦμά μοι γενήσεται;

ΚΡΕΩΝ.

πόμπιμος ὁ δαίμων.

ΜΕΝΟΙΚΕΥΣ.

χρημάτων δὲ τίς πόρος;

ΚΡΕΩΝ.

ἐγὼ πορεύσω χρυσόν.

ΜΕΝΟΙΚΕΥΣ.

εὖ λέγεις, πάτερ.
χώρει νυν· ὡς σὴν πρὸς κασιγνήτην μολὼν,
ἧς πρῶτα μαστὸν εἵλκυσ᾽, Ἰοκάστην λέγω,
μητρὸς στερηθεὶς ὀρφανός τ᾽ ἀποζυγεὶς,
προσηγορήσων εἶμι καὶ σώσω βίον.
ἀλλ᾽ εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.
γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,
κλέψας λόγοισιν, ὥσθ᾽ ἃ βούλομαι τυχεῖν·
ὅς μ᾽ ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,
καὶ δειλίᾳ δίδωσι. καὶ συγγνωστὰ μὲν
γέροντι, τοὐμὸν δ᾽ οὐχὶ συγγνώμην ἔχει,

προδότην γενέσθαι πατρίδος, ἥ μ᾽ ἐγείνατο.
ὡς οὖν ἂν εἰδῆτ᾽, εἶμι καὶ σώσω πόλιν,
ψυχήν τε δώσω τῆσδ᾽ ὑπερθανεῖν χθονός.
αἰσχρὸν γὰρ, οἱ μὲν θεσφάτων ἐλεύθεροι,
κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,
στάντες παρ᾽ ἀσπίδ᾽ οὐκ ὀκνήσουσιν θανεῖν,
πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ·
ἐγὼ δὲ, πατέρα καὶ κασίγνητον προδοὺς
πόλιν τ᾽ ἐμαυτοῦ, δειλὸς ὣς, ἔξω χθονὸς
ἄπειμ᾽· ὅπου δ᾽ ἂν ζῶ, κακὸς φανήσομαι.
μὰ τὸν μετ᾽ ἄστρων Ζῆν᾽ Ἄρην τε φοίνιον,
ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
ἀλλ᾽ εἶμι· καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων
σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
δράκοντος, ἔνθ᾽ ὁ μάντις ἐξηγήσατο,
ἐλευθερώσω γαῖαν. εἴρηται λόγος.
στείχω δὲ, θανάτῳ δῶρον οὐκ αἰσχρὸν πόλει
δώσων, νόσου δὲ τήνδ᾽ ἀπαλλάξω χθόνα.
εἰ γὰρ λαβὼν ἕκαστος ὅ τι δύναιτό τις
χρηστὸν διέλθοι τοῦτο, κεἰς κοινὸν φέροι
πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

ΧΟΡΟΣ.

Ἔβας, ἔβας, ὦ πτεροῦσσα, γᾶς λόχευμα (στρ.)
νερτέρου τ᾽ Ἐχίδνας,
Καδμείων ἁρπαγά,
πολύστονος, πολύφθορος,

998. ψυχὴν δέ. 1022. ord. inverso.

μιξοπάρθενον δάϊον τέρας,
φοιτάσι πτεροῖς
χαλαῖσί τ' ὠμοσίτοις·
Διρκαίων ἅ ποτ' ἐκ
τόπων νέους πεδαίρουσ'
ἄλυρον ἀμφὶ μοῦσαν
ὀλομέναν τ' Ἐριννὺν
ἔφερες, ἔφερες ἄχεα πατρίδι
φόνια· φόνιος ἐκ θεῶν,
ὃς τάδ' ἦν ὁ πράξας.
ἰάλεμοι δὲ ματέρων,
ἰάλεμοι δὲ παρθένων
ἐστέναζον οἴκοις·
ἰήϊον βοὰν βοάν,
ἰήϊον μέλος μέλος
ἄλλος ἄλλ' ἐπωτότυζε διαδοχαῖς ἀνὰ πτόλιν.
βροντᾷ δὲ στεναγμὸς,
ἰαχά τ' ἦν ὅμοιος,
ὁπότε πόλεος ἀφανίσει'
ἁ πτεροῦσσα παρθένος τιν' ἀνδρῶν.
χρόνῳ δ' ἔβα Πυθίαις ἀποστολαῖσιν (ἀντ.)
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν
τότ' ἀσμένοις, πάλιν δ' ἄχη·
ματρὶ γὰρ γάμους δυσγάμους τάλας
καλλίνικος ὢν
αἰνιγμάτων ξυνάπτει,
μιαίνει δὲ πτόλιν·
δι' αἱμάτων δ' ἀμείβει

1023. μιξοπάρθενος. 1038. ἄλλος ἄλλον.

μυσαρὸν

μυσαρὸν εἰς ἀγῶνα
καταβαλὼν ἀραῖσι
τέκεα μέλεος· ἀγάμεθ', ἀγάμεθ',
ὃς ἐπὶ θάνατον οἴχεται
γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
τὰ δ' ἑπτάπυργα κλῇθρα γᾶς
καλλίνικα θήσων.
γενοίμεθ' ὧδε ματέρες,
γενοίμεθ' εὔτεκνοι, φίλα
Παλλάς, ἃ δράκοντος αἷμα λιθόβολον κατείργασαι,
Καδμείαν μέριμναν
ὁρμήσασ' ἐπ' ἔργον,
ὅθεν ἐπέσυτο τάνδε γᾶν
ἁρπαγαῖσι δαιμόνων τις ἄτα.

ΑΓΓΕΛΟΣ.

Ὠὴ, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
ἀνοίγετ', ἐκπορεύετ' Ἰοκάστην δόμων.
ὠὴ μάλ' αὖθις· διὰ μακροῦ μέν, ἀλλ' ὅμως
ἔξελθ', ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,
λήξασ' ὀδυρμῶν πενθίμων τε δακρύων.

ΙΟΚΑΣΤΗ.

ὦ φίλτατ', ἦ που ξυμφορὰν ἥκεις φέρων,
Ἐτεοκλέους θανόντος, οὗ παρ' ἀσπίδα
βέβηκας ἀεί, πολεμίων εἴργων βέλη;
τί μοι πόθ' ἥκεις καινὸν ἀγγελῶν ἔπος;
τέθνηκεν, ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.

1058. κλεῖθρα. 1062. κατειργάσω.

ΑΓΓΕΛΟΣ.

ζῆ, — μὴ τρέσῃς τόδ᾽, — ὥς σ᾽ ἀπαλλάξω
φόβου.

ΙΟΚΑΣΤΗ.

τί δ᾽, ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;

ΑΓΓΕΛΟΣ.

ἑστᾶσ᾽ ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.

ΙΟΚΑΣΤΗ.

ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;

ΑΓΓΕΛΟΣ.

ἀκμήν γ᾽ ἐπ᾽ αὐτήν· ἀλλ᾽ ὁ Καδμείων Ἄρης
κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.

ΙΟΚΑΣΤΗ.

ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
οἶσθ᾽· ὡς μέλει μοι καὶ τόδ᾽, εἰ λεύσσει φάος.

ΑΓΓΕΛΟΣ.

ζῇ σοι ξυνωρὶς ἐς τόδ᾽ ἡμέρας τέκνων.

ΙΟΚΑΣΤΗ.

εὐδαιμονοίης· πῶς δ᾽ ἄρ᾽ Ἀργείων δόρυ
πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσωσμένης.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ Κρέοντος παῖς, ὁ γῆς ὑπερθανὼν,
πύργων ἐπ᾽ ἄκρων στὰς μελάνδετον ξίφος
λαιμῶν διῆκε τῇδε γῇ σωτήριον,
λόχους ἔνειμεν ἑπτὰ καὶ λοχαγέτας
πύλας ἐφ᾽ ἑπτὰ, φύλακας Ἀργείου δορὸς,
σὸς παῖς, ἐφέδρους θ᾽ ἱππότας μὲν ἱππόταις

1084. μέλον.

ἔταξ᾽, ὁπλίτας δ᾽ ἀσπιδηφόροις ἔπι,
ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς
ἀλκὴ δι᾽ ὀλίγου. περγάμων δ᾽ ἀπ᾽ ὀρθίων
λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατὸν
Τευμησὸν ἐκλιπόντα· καὶ τάφρου πέλας
δρόμῳ ξυνῆψεν ἄστυ Καδμείας χθονός.
παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
ἐκεῖθεν ἔκ τε τειχέων ἡμῶν πάρα.
καὶ πρῶτα μὲν προσῆγε Νηΐταις πύλαις
λόχον πυκναῖσιν ἀσπίσιν πεφρικότα
ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
ἐπίσημ᾽ ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,
ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον
χειρουμένην Αἰτωλόν. ἐς δὲ Προιτίδας
πύλας ἐχώρει σφάγι᾽ ἔχων ἐφ᾽ ἅρμασιν
ὁ μάντις Ἀμφιάραος, οὐ σημεῖ᾽ ἔχων
ὑβρισμέν᾽, ἀλλὰ σωφρόνως ἄσημ᾽ ὅπλα.
Ὠγύγια δ᾽ ἐς πυλώμαθ᾽ Ἱππομέδων ἄναξ
ἔστειχ᾽, ἔχων σημεῖον ἐν μέσῳ σάκει,
στικτοῖς πανόπτην ὄμμασιν δεδορκότα,
τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
ὡς ὕστερον θανόντος εἰσορᾷν παρῆν.
Ὁμολωΐσιν δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεὺς, λέοντος δέρος ἔχων ἐπ᾽ ἀσπίδος
χαίτῃ πεφρικός· δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν ὥς, πρήσων πόλιν.
ὁ σὸς δὲ Κρηναίαισι Πολυνείκης πύλαις

1120. ἀσπίδι.

Ἄρην προςῆγε· Ποτνιάδες δ' ἐπ' ἀσπίδι
ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι
πόρπαχ' ὑπ' αὐτὸν, ὥςτε μαίνεσθαι δοκεῖν.
ὁ δ' οὐκ ἔλασσον Ἄρεος ἐς μάχην φρονῶν
Καπανεὺς προςῆγε λόχον ἐπ' Ἠλέκτραις πύλαις·
σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
γίγας ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
φέρων, μοχλοῖσιν ἐξανασπάσας βάθρων,
ὑπόνοιαν ἡμῖν, οἷα πείσεται πόλις.
ταῖς δ' ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ,
ὕδρας ἔχων λαιοῖσιν ἐν βραχίοσιν
Ἀργεῖον αὔχημ'· ἐκ δὲ τειχέων μέσων
δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
παρῆν δ' ἑκάστου τῶνδέ μοι θεάματα,
ξύνθημα παραφέροντι ποιμέσιν λόχων.
καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
ἐμαρνάμεσθα σφενδόναις θ' ἑκηβόλοις
πετρῶν τ' ἀραγμοῖς· ὡς δ' ἐνικῶμεν μάχῃ,
ἔκλαγξε Τυδεὺς καὶ σὸς ἐξαίφνης γόνος,
ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
γυμνῆτες, ἱππεῖς, ἁρμάτων τ' ἐπιστάται;
ἠχῆς δ' ὅπως ἤκουσαν, οὔτις ἀργὸς ἦν·
πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι,
ἡμῶν τ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων

1132. βίᾳ. 1135. γραφήν. 1139. τῶνδ' ἐμοί.

πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας,
ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
ὁ δ' Ἀρκὰς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,
τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν, βοᾷ
πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν·
ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρᾳ
ἁμαξοπληθῆ, γεῖσ' ἐπάλξεων ἄπο·
ξανθὸν δὲ κρᾶτα διεπάλυνε, καὶ ῥαφὰς
ἔῤῥηξεν ὀστέων, ἄρτι δ' οἰνωπὸν γένυν
καθῃμάτωσεν· οὐδ' ἀποίσεται βίον
τῇ καλλιτόξῳ μητρὶ Μαινάλου κόρῃ.
ἐπεὶ δὲ τάςδ' ἐςεῖδεν εὐτυχεῖς πύλας,
ἄλλας ἐπῄει παῖς σὸς, εἱπόμην δ' ἐγώ.
ὁρῶ δὲ Τυδέα καὶ παρασπιστὰς πυκνοὺς
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
πύργων ἀκοντίζοντας, ὥςτ' ἐπάλξεων
λιπεῖν ἐρίπνας φυγάδας· ἀλλά νιν πάλιν,
κυναγὸς ὡςεὶ, παῖς σὸς ἐξαθροίζεται,
πύργοις δ' ἐπέστησ' αὖθις. ἐς δ' ἄλλας πύλας
ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανεὺς δὲ πῶς εἴποιμ' ἂν ὡς ἐμαίνετο;
μακραύχενος γὰρ κλίμακος προςαμβάσεις
ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασεν,
μήδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργάθειν Διὸς,
τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ πετρούμενος
ἀνεῖρφ', ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.

1151. ἐκνενευκότας. 1174. ἐκόμπασε.

ἤδη δ᾽ ὑπερβαίνοντα γεῖσα τειχέων
βάλλει κεραυνῷ Ζεύς νιν· ἐκτύπησε δὲ
χθὼν, ὥςτε δεῖσαι πάντας· ἐκ δὲ κλιμάκων
ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη.
κόμαι μὲν εἰς Ὄλυμπον, αἷμα δ᾽ ἐς χθόνα,
χεῖρες δὲ καὶ κῶλ᾽, ὡς κύκλωμ᾽ Ἰξίονος,
εἱλίσσετ᾽· ἐς γῆν δ᾽ ἔμπυρος πίπτει νεκρός.
ὡς δ᾽ εἶδ᾽ Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
ἔξω τάφρου καθεῖσεν Ἀργείων στρατόν.
οἱ δ᾽ αὖ παρ᾽ ἡμῶν δεξιὸν Διὸς τέρας
ἰδόντες ἐξήλαυνον ἁρμάτων ὄχους
ἱππεῖς, ὁπλῖται, κεἰς μέσ᾽ Ἀργείων ὅπλα
ξυνῆψαν ἔγχη, πάντα δ᾽ ἦν ὁμοῦ κακά·
ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο,
τροχοί τ᾽ ἐπήδων ἄξονές τ᾽ ἐπ᾽ ἄξοσιν,
νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ᾽ ὁμοῦ.
πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
ἐς τὴν παροῦσαν ἡμέραν· εἰ δ᾽ εὐτυχὴς
ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει·
[καὶ νῦν γὰρ αὐτὴν δαιμόνων ἔσωσέ τις.]

ΧΟΡΟΣ.

καλὸν τὸ νικᾷν· εἰ δ᾽ ἀμείνον᾽ οἱ θεοὶ
γνώμην ἔχουσιν, εὐτυχὴς εἴην ἐγώ.

ΙΟΚΑΣΤΗ.

καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει·
παῖδές τε γάρ μοι ζῶσι, κἀκπέφευγε γῆ.
Κρέων δ᾽ ἔοικε τῶν ἐμῶν νυμφευμάτων
τῶν τ᾽ Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς,

1199. deest.

ἰδίᾳ δὲ λυπρῶς. ἀλλ᾽ ἄνελθέ μοι πάλιν,
τί τἀπὶ τούτοις παῖδ᾽ ἐμὼ δρασείετον.

ΑΓΓΕΛΟΣ.

ἔα τὰ λοιπά· δεῦρ᾽ ἀεὶ γὰρ εὐτυχεῖς.

ΙΟΚΑΣΤΗ.

τοῦτ᾽ εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.

ΑΓΓΕΛΟΣ.

μεῖζόν τι χρῄζεις, παῖδας ἢ σεσωσμένους;

ΙΟΚΑΣΤΗ.

καὶ τἀπίλοιπά γ᾽, εἰ καλῶς πράσσω, κλύειν.

ΑΓΓΕΛΟΣ.

μέθες μ᾽· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.

ΙΟΚΑΣΤΗ.

κακόν τι κεύθεις καὶ στέγεις ὑπὸ σκότῳ.

ΑΓΓΕΛΟΣ.

οὐκ ἂν γε λέξαιμ᾽ ἐπ᾽ ἀγαθοῖσι σοῖς κακά.

ΙΟΚΑΣΤΗ.

ἢν μή με φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.

ΑΓΓΕΛΟΣ.

αἶ, αἶ· τί μ᾽ οὐκ εἴασας ἐξ εὐαγγέλου
φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
τὼ παῖδε τὼ σὼ μέλλετον, τολμήματα
αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
λέξαντες Ἀργείοισι Καδμείοισί τε
ἐς κοινὸν, οἷον μή ποτ᾽ ὤφελον, λόγον.
Ἐτεοκλέης δ᾽ ὑπῆρξ᾽ ἀπ᾽ ὀρθίου σταθεὶς
πύργου, κελεύσας σῖγα κηρύξαι στρατῷ.
ἔλεξε δ᾽· ὦ γῆς Ἑλλάδος στρατηλάται
Δαναῶν τ᾽ ἀριστεῖς, οἵπερ ἤλθετ᾽ ἐνθάδε,
Κάδμου τε λαὸς, μήτε Πολυνείκους χάριν

ψυχὰς ἀπεμπολᾶτε, μήθ' ἡμῶν ὕπερ.
ἐγὼ γὰρ αὐτὸς, τόνδε κίνδυνον μεθεὶς,
μόνος συνάψω συγγόνῳ τῷ 'μῷ μάχην·
κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος,
ἡσσώμενος δὲ, τῷδε παραδώσω πόλιν.
ὑμεῖς δ' ἀγῶν' ἀφέντες Ἀργείαν χθόνα
νείσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
[σπαρτῶν τε λαὸς ἅλις, ὅσος κεῖται θανών.]
τοσαῦτ' ἔλεξε· σὸς δὲ Πολυνείκης γόνος
ἐκ τάξεων ὤρουσε κἀπῄνει λόγους.
πάντες δ' ἐπεῤῥόθησαν Ἀργεῖοι, τάδε,
Κάδμου τε λαὸς, ὡς δίκαι' ἡγούμενοι.
ἐπὶ τοῖςδε δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
ὅρκους συνῆψαν ἐμμένειν στρατηλάται.
ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
δισσοὶ γέροντος Οἰδίπου νεανίαι·
φίλοι δ' ἐκόσμουν, τῆςδε μὲν πρόμον χθονὸς
σπαρτῶν ἀριστεῖς, τὸν δὲ Δαναϊδῶν ἄκροι.
ἔσταν δὲ λαμπρὼ, χρῶμά τ' οὐκ ἠλλαξάτην,
μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων,
λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
τρόπαιον, Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον·
Ἐτεόκλέα δ' αὖ· νῦν πόλεως ὑπερμαχεῖς,
νῦν καλλίνικος γενόμενος σκήπτρων κρατεῖς.
τάδ' ἠγόρευον, παρακαλοῦντες ἐς μάχην.
μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς
ῥήξεις τ' ἐνώμων, ὑγρότητ' ἐναντίαν,

1233. Ἀργεῖοι, χθ.

ἄκραν τε λαμπάδ', ἣ δυοῖν ὅρους ἔχει,
νίκης τε σῆμα καὶ τὰ τῶν ἡσσωμένων.
ἀλλ', εἴ τιν' ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,
ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
[καὶ τἆθλα δεινὰ δάκρυά σοι γενήσεται·
δισσοῖν στερήσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.]

ΙΟΚΑΣΤΗ.

ὦ τέκνον, ἔξελθ' Ἀντιγόνη δόμων πάρος·
οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασιν
νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις.
ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
ἐς θάνατον ἐκνεύοντε, κωλῦσαί σε δεῖ,
ξὺν μητρὶ τῇ σῇ, μὴ πρὸς ἀλλήλοιν θανεῖν.

ΑΝΤΙΓΟΝΗ.

τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν
φίλοις ἀϋτεῖς τῶνδε δωμάτων πάρος;

ΙΟΚΑΣΤΗ.

ὦ θύγατερ, ἔῤῥει σῶν κασιγνήτων βίος.

ΑΝΤΙΓΟΝΗ.

πῶς εἶπας;

ΙΟΚΑΣΤΗ.

αἰχμὴν ἐς μίαν καθέστατον.

ΑΝΤΙΓΟΝΗ.

οἲ 'γὼ, τί λέξεις, μῆτερ;

ΙΟΚΑΣΤΗ.

οὐ φίλ', ἀλλ' ἕπου.

ΑΝΤΙΓΟΝΗ.

ποῖ παρθενῶνας ἐκλιποῦσ';

1258. καὶ τὸ τῶν ἡσσ. 1263. στερείσῃ.

ΙΟΚΑΣΤΗ.

ἀνὰ στρατόν.

ΑΝΤΙΓΟΝΗ.

αἰδούμεθ' ὄχλον.

ΙΟΚΑΣΤΗ.

οὐκ ἐν αἰσχύνῃ τὰ σά.

ΑΝΤΙΓΟΝΗ.

δράσω δὲ δὴ τί;

ΙΟΚΑΣΤΗ.

συγγόνων λύσεις ἔριν.

ΑΝΤΙΓΟΝΗ.

τί δρῶσα, μῆτερ;

ΙΟΚΑΣΤΗ.

προςπιτνοῦσ' ἐμοῦ μέτα.

ΑΝΤΙΓΟΝΗ.

ἡγοῦ σὺ πρὸς μεταίχμι', οὐ μελλητέον.

ΙΟΚΑΣΤΗ.

ἔπειγ', ἔπειγε, θύγατερ· ὡς, ἢν μὲν φθάσω
παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος.
[ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανεῖ]
θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

ΧΟΡΟΣ.

αἶ αἶ αἶ αἶ (στροφή.)
τρομερὰν φρίκα τρομερὰν φρέν' ἔχω·
διὰ σάρκα δ' ἐμὰν
ἔλεος ἔλεος ἔμολε ματέρος δειλαίας.
δίδυμα τέκεα πότερος ἆρα πότερον αἱμάξει —
ἰώ μοι πόνων!
ἰὼ Ζεῦ, ἰὼ γᾶ! —
ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν

δι' ἀσπίδων, δι' αἱμάτων;
τάλαιν' ἐγώ, τάλαινα,
πότερον ἆρα νέκυν ὀλό-
μενον ἰακχήσω;
φεῦ δᾶ, φεῦ δᾶ, (ἀντιστ.)
δίδυμοι θῆρες, φόνιαι ψυχαί,
δορὶ παλλόμεναι
πέσεα, πέσεα δάϊ' αὐτίχ' αἱμάξετον;
τάλανες, ὅτι ποτὲ μονομάχον ἐπὶ φρέν' ἠλθέτην!
βοᾷ βαρβάρῳ
ἰακχὰν στενακτὰν
μελομέναν νεκροῖς δάκρυσι θρηνήσω.
σχεδὸν τύχα πέλας φόνου·
κρινεῖ φάος τὸ μέλλον.
ἄποτμος ἄποτμος ὁ φόνος
ἕνεκ' Ἐριννύων.
ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
πρὸς δόμους στείχοντα· παύσω τοὺς παρεστῶτας γόους.

ΚΡΕΩΝ.

οἴ μοι, τί δράσω; πότερ' ἐμαυτόν, ἢ πόλιν
στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
τοσοῦτον, ὥστε δι' Ἀχέροντος ἰέναι;
ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανών,
τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί·
ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν

1295. ἰαχήσω. 1300. ἠλυθέτην. 1302. στενακτὰν ἰακχάν. 1304. φόνος. 1307. ἕνεκεν.

αὐτοσφαγῆ δύστηνος ἐκόμισ' ἐν χεροῖν,
βοᾷ δὲ δῶμα πᾶν· ἐγὼ δ' ἥκω μέτα
γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
λούσῃ προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
τιμὰς διδόντα χθόνιον εὖ σέβειν θεόν.

ΧΟΡΟΣ.

βέβηκ' ἀδελφὴ σὴ δόμων ἔξω, Κρέον,
κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.

ΚΡΕΩΝ.

ποῖ, κἀπὶ ποίαν συμφοράν; σήμαινέ μοι.

ΧΟΡΟΣ.

ἤκουσε, τέκνα μονομάχῳ μέλλειν δορὶ
ἐς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.

ΚΡΕΩΝ.

πῶς φής; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ
οὐκ ἐς τόδ' ἦλθον, ὥστε καὶ τάδ' εἰδέναι.

ΧΟΡΟΣ.

ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι·
δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,
ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.

ΚΡΕΩΝ.

οἴ μοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
σκυθρωπὸν ὄμμα καὶ πρόσωπον ἀγγέλου
στείχοντος, ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον.

ΑΓΓΕΛΟΣ.

ὦ τάλας ἐγώ, τίν' εἴπω μῦθον, ἢ τίνας λόγους;
οἰχόμεσθ'.

1333. πρόσοψιν.

ΚΡΕΩΝ.

οὐκ εὐπροσώποις φροιμίοις ἄρχει λόγου.

ΑΓΓΕΛΟΣ.

ὦ τάλας, δισσῶς ἀΰτῶ· μεγάλα γὰρ φέρω κακά.

ΚΡΕΩΝ.

πρὸς πεπραγμένοισιν ἄλλοις πήμασιν; λέγεις δὲ τί;

ΑΓΓΕΛΟΣ.

οὐκ ἔτ' εἰσὶ σῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.

ΚΡΕΩΝ.

αἶ, αἶ·
μεγάλα μοι θροεῖς πάθεα καὶ πόλει.

ΑΓΓΕΛΟΣ.

ὦ δώματ' εἰσηκούσατ' Οἰδίπου τάδε,
παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;

ΧΟΡΟΣ.

ὥστ' ἐκδακρῦσαί γ', εἰ φρονοῦντ' ἐτύγχανον.

ΚΡΕΩΝ.

οἴ μοι ξυμφορᾶς βαρυποτμωτάτας,
οἴ μοι κακῶν δύστηνος· ὦ τάλας ἐγώ.

ΑΓΓΕΛΟΣ.

εἰ καὶ τὰ πρὸς τούτοισί γ' εἰδείης κακά.

ΚΡΕΩΝ.

καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;

ΑΓΓΕΛΟΣ.

τέθνηκ' ἀδελφὴ σὴ δυοῖν παίδοιν μέτα.

1338. ἄλλο πήμασιν λέγεις ἔτι; 1344. ἐτύγχανεν.

ΧΟΡΟΣ.

ἀνάγετ᾽, ἀνάγετε κωκυτὸν,
ἐπὶ κάρα τε λευκοπήχεις κτύπους χεροῖν.

ΚΡΕΩΝ.

ὦ τλῆμον, οἷον τέρμον᾽, Ἰοκάστη, βίου
γάμων τε τῶν σῶν Σφιγγὸς αἰνιγμοὺς ἔτλης.
πῶς καὶ πέπρακται διπτύχων παίδων φόνος,
ἀρᾶς τ᾽ ἀγώνισμ᾽ Οἰδίπου; σήμαινέ μοι.

ΑΓΓΕΛΟΣ.

τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς
οἶσθ᾽· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαὶ,
ὥστ᾽ οὐχ ἅπαντά σ᾽ εἰδέναι τὰ δρώμενα.
ἐπεὶ δὲ χαλκέοις σῶμ᾽ ἐκοσμήσανθ᾽ ὅπλοις
οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
ἔστησαν ἐλθόντ᾽ ἐς μέσον μεταίχμιον,
[δισσὼ στρατηγὼ, καὶ διπλὼ στρατηλάτα]
ὡς εἰς ἀγῶνα μονομάχου τ᾽ ἀλκὴν δορός.
βλέψας δ᾽ ἐς Ἄργος ἧκε Πολυνείκης ἀράς·
ὦ πότνι᾽ Ἥρα, — σὸς γάρ εἰμ᾽, ἐπεὶ γάμοις
ἔζευξ᾽ Ἀδράστου παῖδα καὶ ναίω χθόνα, —
δός μοι κτανεῖν ἀδελφὸν, ἀντήρη δ᾽ ἐμὴν
καθαιματῶσαι δεξιὰν νικηφόρον.
[αἴσχιστον αἰτῶ στέφανον, ὁμογενῆ κτανεῖν.
πολλοῖς δ᾽ ἐπῄει δάκρυα τῆς τύχης ὅση,
κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.]
Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
βλέψας πρὸς οἶκον εὔξατ᾽· ὦ Διὸς κόρη,
δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
ἐς στέρν᾽ ἀδελφοῦ τῆσδ᾽ ἀπ᾽ ὠλένης βαλεῖν,

1351. ἐπὶ κρᾶτα.

[κτανεῖν θ᾽, ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.]
ἐπεὶ δ᾽ ἀφείθη, πυρσὸς ὣς, Τυρσηνικῆς
σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,
ᾖξαν δρόμημα δεινὸν ἀλλήλοις ἔπι·
κάπροι δ᾽ ὅπως θήγοντες ἀγρίαν γένυν,
ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας·
ᾖσσον δὲ λόγχαις· ἀλλ᾽ ὑφίζανον κύκλοις,
ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
εἰ δ᾽ ὄμμ᾽ ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
λόγχην ἐνώμα στόματι, προφθῆναι θέλων.
ἀλλ᾽ εὖ προςῆγον ἀσπίδων κεγχρώμασιν
ὀφθαλμὸν, ἀργὸν ὥςτε γίγνεσθαι δόρυ.
πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλασσ᾽ ἱδρὼς,
ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀῤῥωδίαν.
Ἐτεοκλέης δὲ, ποδὶ μεταψαίρων πέτρον
ἴχνους ὑπόδρομον, κῶλον ἐκτὸς ἀσπίδος
τίθησι· Πολυνείκης δ᾽ ἀπήντησεν δορὶ,
πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰςιδὼν,
κνήμην τε διεπέρασεν Ἀργεῖον δόρυ·
στρατὸς δ᾽ ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰςιδὼν
ὁ πρόςθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ
διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ᾽ ἔθραυσ᾽ ἄκρον δόρυ.
ἐς δ᾽ ἄπορον ἥκων δορὸς, ἐπὶ σκέλος πάλιν
χωρεῖ, λαβὼν δ᾽ ἀφῆκε μάρμαρον πέτρον,
μέσον τ᾽ ἄκοντ᾽ ἔθραυσεν· ἐξ ἴσου δ᾽ Ἄρης
ἦν, κάμακος ἀμφοῖν χεὶρ᾽ ἀπεστερημένοιν.
ἐνθένδε κώπας ἁρπάσαντε φασγάνων

1398. λόγχῃ.

ἐς ταὐτὸν ἧκον, συμβαλόντε δ᾽ ἀσπίδας
πολὺν ταραγμὸν ἀμφιβάντ᾽ εἶχον μάχης.
καί πως νοήσας Ἐτεοκλῆς, τὸ Θεσσαλὸν
εἰςήγαγεν σόφισμ᾽ ὁμιλίᾳ χθονός.
ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
λαιὸν μὲν ἐς τοὔπισθεν ἀμφέρει πόδα,
πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος·
προβὰς δὲ κῶλον δεξιὸν δι᾽ ὀμφαλοῦ
καθῆκεν ἔγχος, σφονδύλοις τ᾽ ἐνήρμοσεν.
ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας
ξὺν αἱματηραῖς σταγόσι Πολυνείκης πιτνεῖ.
ὁ δ᾽, ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
ξίφος δικὼν ἐς γαῖαν, ἐσκύλευέ νιν,
τὸν νοῦν πρὸς αὑτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
ὃ καί νιν ἔσφηλ᾽· ἔτι γὰρ ἐμπνέων βραχὺ,
σῴζων σίδηρον ἐν λυγρῷ πεσήματι,
μόλις μὲν, ἐξέτεινε δ᾽ εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών.
γαῖαν δ᾽ ὀδὰξ ἑλόντες ἀλλήλοιν πέλας
πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος.

ΧΟΡΟΣ.

φεῦ, φεῦ κακῶν σῶν, Οἰδίπους, ὅσον στένω·
τὰς σὰς δ᾽ ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.

ΑΓΓΕΛΟΣ.

ἄκουε δή νυν καὶ τὰ πρὸς τούτοις κακά.
ὡς γὰρ πεσόντε παῖδ᾽ ἐλειπέτην βίον,
ἐν τῷδε μήτηρ ἡ τάλαινα προςπιτνεῖ,
[σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός.]
τετρωμένους δ᾽ ἰδοῦσα καιρίας σφαγὰς

1409. ἀπαλλαγείς. 1410. ἀναφέρει. 1427. δὴ νῦν.

ὤμωξεν· ὦ τέκν᾽, ὑστέρα βοηδρόμος
πάρειμι. προςπιτνοῦσα δ᾽ ἐν μέρει τέκνα,
ἔκλα᾽, ἐθρήνει τὸν πολὺν μαστῶν πόνον
στένουσ᾽, ἀδελφή θ᾽ ἡ παρασπίζουσ᾽ ὁμοῦ·
ὦ γηροβοσκὼ μητρὸς, ὦ γάμους ἐμοὺς
προδόντ᾽ ἀδελφὼ φιλτάτω. στέρνων δ᾽ ἄπο
φύσημ᾽ ἀνεὶς δύςλητον Ἐτεοκλῆς ἄναξ
ἤκουσε μητρός, κἀπιθεὶς ὑγρὰν χέρα
φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ᾽ ἄπο
προςεῖπε δακρύοις, ὥςτε σημῆναι φίλα.
ὁ δ᾽ ἦν ἔτ᾽ ἔμπνους, πρὸς κασιγνήτην δ᾽ ἰδὼν
γραῖάν τε μητέρ᾽ εἶπε Πολυνείκης τάδε·
ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δὲ σὲ
καὶ τήνδ᾽ ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ ἐχθρὸς ἐγένετ᾽, ἀλλ᾽ ὅμως φίλος.
θάψον δέ μ᾽, ὦ τεκοῦσα καὶ σὺ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ,
μῆτερ — τίθησι δ᾽ αὐτὸς ὀμμάτων ἔπι —
καὶ χαίρετ᾽· ἤδη γάρ με περιβάλλει σκότος.
ἄμφω δ᾽ ἅμ᾽ ἐξέπνευσαν ἄθλιον βίον.
μήτηρ δ᾽, ὅπως ἐςεῖδε τήνδε συμφορὰν,
ὑπερπαθήσασ᾽ ἥρπασ᾽ ἐκ νεκροῦ ξίφος,
κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος
ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται, περιβαλοῦσ᾽ ἀμφοῖν χέρας.
ἀνῇξε δ᾽ ὀρθὸς λαὸς εἰς ἔριν λόγων,

1442. ὃς δ᾽ ἦν — κασιγνήτην ἰδών.

ἡμεῖς μὲν, ὡς νικῶντα δεσπότην ἐμὸν,
οἱ δ᾽, ὡς ἐκεῖνον. ἦν δ᾽ ἔρις στρατηλάταις,
οἱ μὲν, πατάξαι πρόσθε Πολυνείκην δορὶ,
οἱ δ᾽, ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
[κἀν τῷδ᾽ ὑπεξῆλθ᾽ Ἀντιγόνη στρατοῦ δίχα,]
οἱ δ᾽ εἰς ὅπλ᾽ ᾖσσον· εὖ δέ πως προμηθίᾳ
καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι·
κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον ἐσπεσόντες ἐξαίφνης στρατόν.
κοὐδεὶς ὑπέστη, πεδία δ᾽ ἐξεπίμπλασαν
φεύγοντες, ἔῤῥει δ᾽ αἷμα μυρίον νεκρῶν,
λόγχαις πιτνόντων. ὡς δ᾽ ἐνικῶμεν μάχῃ,
οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
οἱ δ᾽ ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν,
σκυλεύματ᾽ εἴσω τειχέων ἐπέμπομεν.
ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
νεκροὺς φέρουσιν ἐνθάδ᾽ οἰκτίσαι φίλοις.
πόλει δ᾽ ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
τῇδ᾽ ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.

ΧΟΡΟΣ.

οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία
δώματος ἥκει· πάρα γὰρ λεύσσειν
πτώματα νεκρῶν τρισσῶν ἤδη
τάδε πρὸς μελάθροις, κοινῷ θανάτῳ
σκοτίαν αἰῶνα λαχόντων.

ΑΝΤΙΓΟΝΗ.

οὐ προκαλυπτομένα
βοστρυχώδεος ἁβρὰ παρηΐδος,
οὐδ᾽ ὑπὸ παρθενίας τὸν ὑπὸ βλεφάροις

1481. παρὰ καί.

φοίνικ᾽, ἐρύθημα προσώπου,
αἰδομένα φέρομαι βάκχα νεκύων,
κράδεμνα δικοῦσα κόμας ἀπ᾽ ἐμᾶς,
στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς,
ἁγεμόνευμα νεκροῖσι πολύστονον.
αἲ αἴ, ἰώ μοί μοι!
ὦ Πολύνεικες, ἔφυς ἄρ᾽ ἐπώνυμος.
ᾤ μοί μοι, Θῆβαι!
σὰ δ᾽ ἔρις, οὐκ ἔρις, ἀλλὰ φόνῳ φόνος
Οἰδιπόδα δόμον ὤλεσε κρανθεὶς
αἵματι δεινῷ, αἵματι λυγρῷ.
τίνα προσῳδόν,
ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ
δάκρυσι, δάκρυσιν, ὦ δόμος, ὦ δόμος,
ἀνακαλέσομαι,
τρισσὰ φέρουσα τάδ᾽ αἵματα σύγγονα,
ματέρα καὶ τέκνα, χάρματ᾽ Ἐριννύος;
ἃ δόμον Οἰδιπόδα πρόπαν ὤλεσε,
τᾶς ἀγρίας ὅτε δυσξύνετον ξυνετὸς μέλος ἔγνω
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας.
ἰώ μοι, πάτερ!
τίς Ἑλλὰς ἢ βάρβαρος, ἢ
τῶν προπάροιθ᾽ εὐγενετᾶν
ἕτερος ἔτλα κακῶν τοσῶνδ᾽
αἵματος ἁμερίου
τοιάδ᾽ ἄχεα φανερά, τάλαιν᾽
ὡς ἐλελίζω. τίς ἄρ᾽ ὄρ-

1493. deest alterum μοι. 1499. τίνα δὲ πρ. 1509. ἢ τίς βάρβ. 1510. τῶν πάροιθεν εὐγ.

νις δρυὸς ἢ ἐλάτας
ἀκροκόμοις ἀμφὶ κλάδοις
ἑζομένα μονομά-
τορος [ὀδυρμοῖς] ἐμοῖς ἄχεσι συνῳδός;
αἴλινον αἰάγμασιν ἃ
τοῖςδε προκλάω μονάδ' αἰ-
ῶνα διάξουσα τὸν ἀ-
εὶ χρόνον ἐν λειβομένοισιν δακρύοισιν.
* * * ἰαχήσω;
τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας
σπαραγμοῖσιν ἀπαρχὰς βάλω;
ματέρος [ἐμᾶς] ἐν διδύ-
μοισι γάλακτος παρὰ μαστοῖς
ἢ πρὸς ἀδελφῶν
οὐλόμεν' αἰκίσματα δισσῶν;
ὀτοτοί, λίπε σοὺς δόμους,
ἀλαὸν ὄμμα φέρων, πάτερ
γεραιέ, δεῖξον, Οἰδίποδα,
σὸν αἰῶνα μέλεον, ὃς ἐπὶ
δώμασιν ἀέριον σκότον ὄμμασι σοῖσι βαλὼν ἕλ-
κεις μακρόπνουν ζωάν.
κλύεις, ὦ κατ' αὐλὰν ἀλαίνων γεραι-
ὸν πόδα δύστανος
δεμνίοις ἰαύων;

ΟΙΔΙΠΟΥΣ.

τί μ', ὦ παρθένε, βακτρεύμασι τυ-

1515. ὄρνις ἢ δρυός. 1518. ὀδυρμοῖς sine uncis ib. ἀχήσει ξυνῳδός. 1522. λειβομένοις δακρύοις. 1523. τίν' ἰαχ. 1525. σπαραγμοῖς — βαλῶ. 1526. ματρός. ἐμᾶς sine uncis. 1530. ὀτοτοί bis et λεῖπε. 1536. γηραιόν. 537. 8. δεμνίοις δύστανος.

φλοῦ ποδὸς ἐξάγαγες εἰς φῶς
λεχήρη σκοτίων ἐκ θαλάμων
οἰκτροτάτοισιν δακρύοισιν,
πολιὸν αἰθέρος τ' ἀφανὲς εἴδωλον, ἢ
νέκυν ἔνερθεν, ἢ
πτανὸν ὄνειρον;

ΑΝΤΙΓΟΝΗ.

δυστυχὲς ἀγγελίας ἔπος οἴσει,
ὦ πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
φάος, οὐδ' ἄλοχος, παρὰ βάκτροις
ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν
ἐμόχθει,
ὦ πάτερ, ὤ μοι.

ΟΙΔΙΠΟΥΣ.

ὤ μοι ἐμῶν παθέων!
πάρα γὰρ στενάχειν τάδ', ἀϋτεῖν.
τρισσαὶ ψυχαὶ ποίᾳ μοίρᾳ,
πῶς ἔλιπον φάος; ὦ τέκνον, αὔδα.

ΑΝΤΙΓΟΝΗ.

οὐκ ἐπ' ὀνείδεσιν, οὐδ' ἐπιχάρμασιν,
ἀλλ' ὀδύναισι λέγω· σὸς ἀλάστωρ
ξίφεσιν βρίθων
καὶ πυρὶ καὶ σχετλίαισι μάχαις ἐπὶ παῖδας
ἔβα σούς,
ὦ πάτερ, ὤ μοι!

ΟΙΔΙΠΟΥΣ.

αἶ αἶ —

1542. οἰκτροτάτοις δακρύοις. 1543. deest τ'. 1547. deest ὦ. παραβάκτροις sine ἅ. 1550. deest ὦ. 1552. καὶ τάδ' ἀϋτεῖν. 1554. π. ἔλ. φῶς, τέκνον, αὔδα. 1558. ἔβα τοὺς σούς. 1559. ὤμοι Oedip. tribuitur.

ΑΝΤΙΓΟΝΗ.

τί τάδε καταστένεις;

ΟΙΔΙΠΟΥΣ.

τέκνα!

ΑΝΤΙΓΟΝΗ.

δι' ὀδύνας ἂν ἔβας,
εἰ τὰ τέθριππά γ' ἐς ἅρματα λεύσσων
ἀελίου τάδε σώματα νεκρῶν
ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.

ΟΙΔΙΠΟΥΣ.

τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν·
ἁ δὲ τάλαιν' ἄλοχος τίνι μοι, τέκνον, ὤλετο
μοίρᾳ;

ΑΝΤΙΓΟΝΗ.

δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα,
τέκεσι μαστὸν ἔφερεν ἔφερεν ἱκέτις ἱ-
κέταν ἀρομένα.
εὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα
λωτοτρόφον κατὰ λείμακα λόγχαις
κοινὸν ἐνυάλιον
μάτηρ, ὥςτε λέοντας ἐναύλους,
μαρναμένους ἐπὶ τραύμασιν αἵματος,
ἤδη ψυχρὰν λοιβάν, φονίαν,
ἂν ἔλαχ' Ἀΐδας, ὤπασε δ' Ἄρης.
χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα φά-
σγανον εἴσω
σαρκὸς ἔβαψεν, ἄχει δὲ τέκνων ἔπεσ' ἀμφὶ
τέκνοισιν.
πάντα δ' ἐν ἄματι τῷδε συνάγαγεν,

1560. τί τάδε στενάχεις; 1561. ὤ μοι τέκνα. 1564. σαῖς om. 1569. αἰρομένα.

ὦ πάτερ, ἁμετέροισι δόμοισιν ἄχη θεός, ὃς τάδε
τᾷδε τελευτᾷ.

ΧΟΡΟΣ.

πολλῶν ὑπῆρξεν Οἰδίπου κακῶν δόμοις
τόδ' ἦμαρ· εἴη δ' εὐτυχέστερος βίος.

ΚΡΕΩΝ.

οἴκτων μὲν ἤδη λήγεθ', ὡς ὥρα τάφου
μνήμην τίθεσθαι· τῶνδε δ', Οἰδίπου, λόγων
ἄκουσον· ἀρχὰς τῆςδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης παῖς σὸς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
οὔκουν σ' ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι·
σαφῶς γὰρ εἶπε Τειρεσίας, οὐ μή ποτε,
σοῦ τήνδε γῆν οἰκοῦντος, εὖ πράξειν πόλιν·
ἀλλ' ἐκκομίζου. καὶ τάδ' οὐχ ὕβρει λέγω,
οὐδ' ἐχθρὸς ὢν σοι, διὰ δὲ τοὺς ἀλάστορας
τοὺς σοὺς δεδοικὼς, μή τι γῆ πάθῃ κακόν.

ΟΙΔΙΠΟΥΣ.

ὦ μοῖρ', ἀπ' ἀρχῆς ὥς μ' ἔφυσας ἄθλιον
καὶ τλήμον', εἴ τις ἄλλος ἀνθρώπων ἔφυ·
ὃν, καὶ πρὶν ἐς φῶς μητρὸς ἐκ γονῆς μολεῖν,
ἄγονον Ἀπόλλων Λαΐῳ μ' ἐθέσπισεν
φονέα γενέσθαι πατρός· ὢ τάλας ἐγώ!
ἐπεὶ δ' ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
κτείνει με, νομίσας πολέμιον πεφυκέναι·
χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ· πέμπει δέ με
μαστὸν ποθοῦντα θηρσὶν ἀθλίαν βοράν·
οὗ σωζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν

1580. ὦ πάτερ deest ante ἁμετ. et additur post θεός. 1581. τᾷδε deest. 1603. ἄθλιον.

ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
ὅς μ᾽ οὐ διώλεσ᾽· ἀλλὰ δουλεῦσαί τέ μοι
δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην.
κτανὼν δ᾽ ἐμαυτοῦ πατέρ᾽ ὁ δυςδαίμων ἐγὼ,
ἐς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος,
παῖδάς τ᾽ ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
ἀρὰς παραλαβὼν Λαΐου καὶ παισὶ δούς.
οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ᾽ ἐγὼ,
ὥςτ᾽ εἰς ἔμ᾽ ὄμματ᾽ ἔς τ᾽ ἐμῶν παίδων βίον
ἄνευ θεῶν του ταῦτ᾽ ἐμηχανησάμην.
εἶεν· τί δράσω δῆθ᾽ ὁ δυςδαίμων ἐγώ;
τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;
ἥδ᾽ ἡ θανοῦσα; ζῶσα γ᾽ ἂν, σάφ᾽ οἶδ᾽ ὅτι.
ἀλλ᾽ εὔτεκνος ξυνωρίς; ἀλλ᾽ οὐκ ἔστι μοι.
ἀλλ᾽ ἔτι νεάζων αὐτὸς εὕροιμ᾽ ἂν βίον;
πόθεν; τί μ᾽ ἄρδην ὧδ᾽ ἀποκτείνεις. Κρέον;
ἀποκτενεῖς γὰρ, εἴ με γῆς ἔξω βαλεῖς.
οὐ μὴν ἑλίξας γ᾽ ἀμφὶ σὸν χεῖρας γόνυ
κακὸς φανοῦμαι· τὸ γὰρ ἐμόν ποτ᾽ εὐγενὲς
οὐκ ἂν προδοίην, οὐδέ περ πράσσων κακῶς.

ΚΡΕΩΝ.

σοί τ᾽ εὖ λέλεκται, γόνατα μὴ χρώζειν ἐμά,
ἐγώ τε ναίειν σ᾽ οὐκ ἐάσαιμ᾽ ἂν χθόνα.
νεκρῶν δὲ τῶνδε τὸν μὲν ἐς δόμους χρεὼν
ἤδη κομίζειν, τόνδε δ᾽, ὃς πέρσων πόλιν
πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν,
ἐκβάλετ᾽ ἄθαπτον τῆςδ᾽ ὅρων ἔξω χθονός.
κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε,

1627. σοί γ᾽ εὖ. 1628. ἐγὼ δέ. 1628. 9. τὸν δὲ Πολ. r. omiss. vv. ὃς — ἦλθε.

ὃς ἂν νεκρὸν τόνδ᾽ ἢ καταστέφων ἁλῷ
ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.
[ἐᾶν δ᾽ ἄκλαυστον, ἄταφον, οἰωνοῖς βοράν.]
σὺ δ᾽, ἐκλιποῦσα τριπτύχων θρήνους νεκρῶν,
κόμιζε σαυτὴν, Ἀντιγόνη, δόμων ἔσω,
καὶ παρθενεύου τὴν ἰοῦσαν ἡμέραν
μένουσ᾽, ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.

ΑΝΤΙΓΟΝΗ.

ὦ πάτερ, ἐν οἵοις κείμεθ᾽ ἄθλιοι κακοῖς!
ὥς σε στενάζω τῶν τεθνηκότων πλέον!
οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ᾽ οὐ βαρὺ,
ἀλλ᾽ εἰς ἅπαντα δυςτυχὴς ἔφυς, πάτερ.
ἀτὰρ σ᾽ ἐρωτῶ τὸν νεωστὶ κοίρανον,
[τί τόνδ᾽ ὑβρίζεις πατέρ᾽ ἀποστέλλων χθονός;]
τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;

ΚΡΕΩΝ.

Ἐτεοκλέους βουλεύματ᾽, οὐχ ἡμῶν, τάδε.

ΑΝΤΙΓΟΝΗ.

ἄφρονά γε, καὶ σὺ μωρὸς, ὃς ἐπίθου τάδε.

ΚΡΕΩΝ.

πῶς; τἀντεταλμέν᾽ οὐ δίκαιον ἐκπονεῖν;

ΑΝΤΙΓΟΝΗ.

οὐκ, ἢν πονηρά γ᾽ ᾖ κακῶς τ᾽ εἰρημένα.

ΚΡΕΩΝ.

τί δ᾽; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;

ΑΝΤΙΓΟΝΗ.

οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.

ΚΡΕΩΝ.

εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν.

1643. ἀτάρ σ᾽.

ΑΝΤΙΓΟΝΗ.
οὐκοῦν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα.
ΚΡΕΩΝ.
καὶ τῷ τάφῳ νῦν τὴν δίκην παρασχέτω.
ΑΝΤΙΓΟΝΗ.
τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
ΚΡΕΩΝ.
ἄταφος ὅδ᾽ ἁνήρ, ὡς μάθῃς, γενήσεται.
ΑΝΤΙΓΟΝΗ.
ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
ΚΡΕΩΝ.
σαυτὴν ἄρ᾽ ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
ΑΝΤΙΓΟΝΗ.
ἀλλ᾽ εὐκλεές τοι, δύο φίλω κεῖσθαι πέλας.
ΚΡΕΩΝ.
λάζυσθε τήνδε, κεἰς δόμους κομίζετε.
ΑΝΤΙΓΟΝΗ.
οὐ δῆτ᾽, ἐπεὶ τοῦδ᾽ οὐ μεθήσομαι νεκροῦ.
ΚΡΕΩΝ.
ἔκριν᾽ ὁ δαίμων, παρθέν᾽, οὐχ ἅ σοι δοκεῖ.
ΑΝΤΙΓΟΝΗ.
κἀκεῖνα κέκριται, μὴ ᾽φυβρίζεσθαι νεκρούς.
ΚΡΕΩΝ.
ὡς οὔτις ἀμφὶ τῷδ᾽ ὑγρὰν θήσει κόνιν.
ΑΝΤΙΓΟΝΗ.
ναὶ πρὸς σὲ τῆσδε μητρὸς Ἰοκάστης, Κρέον —
ΚΡΕΩΝ.
μάταια μοχθεῖς· οὐ γὰρ ἂν τύχοις τάδε.
ΑΝΤΙΓΟΝΗ.
σὺ δ᾽ ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ᾽ ἔα.

ΚΡΕΩΝ.
ἓν τοῦτ᾽ ἂν εἴη τῶν ἀποῤῥήτων πόλει.
ΑΝΤΙΓΟΝΗ.
ἀλλ᾽ ἀμφὶ τραύματ᾽ ἄγρια τελαμῶνας βαλεῖν.
ΚΡΕΩΝ.
οὐκ ἔσθ᾽, ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
ΑΝΤΙΓΟΝΗ.
ὦ φίλτατ᾽, ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
ΚΡΕΩΝ.
οὐκ ἐς γάμους σοὺς ξυμφορὰν κτήσει γόοις.
ΑΝΤΙΓΟΝΗ.
ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
ΚΡΕΩΝ.
πολλή γ᾽ ἀνάγκη· ποῖ γὰρ ἐκφεύξει λέχος;
ΑΝΤΙΓΟΝΗ.
νὺξ ἆρ᾽ ἐκείνη Δαναΐδων μ᾽ ἕξει μίαν.
ΚΡΕΩΝ.
εἶδες τὸ τόλμημ᾽, οἷον ἐξωνείδισεν;
ΑΝΤΙΓΟΝΗ.
ἴστω σίδηρος ὅρκιόν τέ μοι ξίφος.
ΚΡΕΩΝ.
τί δ᾽ ἐκπροθυμεῖ τῶνδ᾽ ἀπηλλάχθαι γάμων;
ΑΝΤΙΓΟΝΗ.
ξυμφεύξομαι τῷδ᾽ ἀθλιωτάτῳ πατρί.
ΚΡΕΩΝ.
γενναιότης σοι, μωρία δ᾽ ἔνεστί τις.
ΑΝΤΙΓΟΝΗ.
καὶ ξυνθανοῦμαί γ᾽, ὡς μάθῃς περαιτέρω.

1674. πολλή σ᾽ ἄν.

ΚΡΕΩΝ.

ἴθ᾽, οὐ φονεύσεις παῖδ᾽ ἐμόν· λεῖπε χθόνα.

ΟΙΔΙΠΟΥΣ.

ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.

ΑΝΤΙΓΟΝΗ.

ἀλλ᾽ εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις,
πάτερ —

ΟΙΔΙΠΟΥΣ.

μέν᾽ εὐτυχοῦσα, τἄμ᾽ ἐγὼ στέρξω κακά.

ΑΝΤΙΓΟΝΗ.

καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;

ΟΙΔΙΠΟΥΣ.

πεσὼν, ὅπου μοι μοῖρα, κείσομαι πέδῳ.

ΑΝΤΙΓΟΝΗ.

ὁ δ᾽ Οἰδίπους ποῦ καὶ τὰ κλείν᾽ αἰνίγματα;

ΟΙΔΙΠΟΥΣ.

ὄλωλ᾽· ἓν ἦμάρ μ᾽ ὤλβισ᾽, ἓν δ᾽ ἀπώλεσεν.

ΑΝΤΙΓΟΝΗ.

οὐκοῦν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν.

ΟΙΔΙΠΟΥΣ.

αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.

ΑΝΤΙΓΟΝΗ.

οὐ σωφρονούσῃ γ᾽, ἀλλὰ γενναίᾳ, πάτερ.

ΟΙΔΙΠΟΥΣ.

προςάγαγε νῦν με, μητρὸς ὡς ψαύσω σέθεν.

ΑΝΤΙΓΟΝΗ.

ἰδοῦ, γεραιᾶς φιλτάτης ψαῦσον χερί.

ΟΙΔΙΠΟΥΣ.

ὦ μῆτερ, ὦ ξυνάορ᾽ ἀθλιωτάτη.

1684. φεύγεις. 1690. οὔκουν — κακῶν;

ΑΝΤΙΓΟΝΗ.

οἰκτρὰ πρόκειται, πάντ᾽ ἔχουσ᾽ ὁμοῦ κακά.

ΟΙΔΙΠΟΥΣ.

Ἐτεοκλέους δὲ πτῶμα Πολυνείκους τε ποῦ;

ΑΝΤΙΓΟΝΗ.

τώδ᾽ ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.

ΟΙΔΙΠΟΥΣ.

πρόςθες τυφλὴν χέρ᾽ ἐπὶ πρόςωπα δυςτυχῆ.

ΑΝΤΙΓΟΝΗ.

ἰδοὺ, θανόντων σῶν τέκνων ἅπτου χερί.

ΟΙΔΙΠΟΥΣ.

ὦ φίλα πεσήματ᾽ ἄθλι᾽ ἀθλίου πατρός.

ΑΝΤΙΓΟΝΗ.

ὦ φίλτατον δῆτ᾽ ὄνομα Πολυνείκους ἐμοί.

ΟΙΔΙΠΟΥΣ.

νῦν χρησμὸς, ὦ παῖ, Λοξίου περαίνεται.

ΑΝΤΙΓΟΝΗ.

ὁποῖος; ἆλλ᾽ ἦ πρὸς κακοῖς ἐρεῖς κακά;

ΟΙΔΙΠΟΥΣ.

ἐν ταῖς Ἀθήναις κατθανεῖν μ᾽ ἀλώμενον.

ΑΝΤΙΓΟΝΗ.

ποῦ, τίς σε πύργος Ἀτθίδος προςδέξεται;

ΟΙΔΙΠΟΥΣ.

ἱερὸς Κολωνὸς, δώμαθ᾽ ἱππίου θεοῦ.
ἀλλ᾽ εἶα, τυφλῷ τῷδ᾽ ὑπηρέτει πατρὶ,
ἐπεὶ προθυμεῖ τῆςδε κοινοῦσθαι φυγῆς.

ΑΝΤΙΓΟΝΗ.

Ἴθ᾽ ἐς φυγὰν τάλαιναν,
ὄρεγε χεῖρα φίλαν,

1704. ὁ ποῖος; ἀλλ᾽ ἦ.

πάτερ γεραιέ, πομπίμαν
ἔχων ἔμ', ὥστε ναυσίπομπον αὔραν.

ΟΙΔΙΠΟΥΣ.

ἰδού, πορεύομαι, τέκνον,
σύ μοι ποδαγὸς ἀθλία γενοῦ.

ΑΝΤΙΓΟΝΗ.

γενόμεθα γενόμεθ' ἄθλιαι
γε δῆτα Θηβαιᾶν μάλιστα παρθένων [δή.]

ΟΙΔΙΠΟΥΣ.

πόθι γεραιὸν ἴχνος τίθημι;
βάκτρα πρόσφερ', ὦ τέκνον.

ΑΝΤΙΓΟΝΗ.

τᾷδε, τᾷδε βᾶθί μοι,
τᾷδε, τᾷδε πόδα τίθει, πάτερ,
ὥστ' ὄνειρον ἰσχὺν ἔχων.

ΟΙΔΙΠΟΥΣ.

ἰὼ, ἰὼ, δυστυχεστάτας
φυγᾶς! ἐλαύνειν τὸν γέροντά μ' ἐκ πάτρας!
ἰὼ, ἰὼ, δεινὰ δείν' ἐγὼ τλάς!

ΑΝΤΙΓΟΝΗ.

τί τλάς; τί τλάς; οὐχ ὁρᾷ Δίκα κακούς,
οὐδ' ἀμείβεται βροτῶν ἀσυνεσίας.

ΟΙΔΙΠΟΥΣ.

ὅδ' εἰμὶ, μοῦσαν ὃς ἐπὶ καλ-
λίνικον οὐράνιον ἔβαν
παρθένου κόρας
αἴνιγμ' ἀσύνετον εὑρών.

ΑΝΤΙΓΟΝΗ.

Σφιγγὸς ἀναφέρεις ὄνειδος;

1716. ἄθλιοι. 1717. γε et δή desunt. 1721. πάτερ deest.

ἄπαγε τὰ πάρος εὐτυχήματ' αὐδῶν.
τάδε σ' ἐπέμενε μέλεα πάθεα
φυγάδα πατρίδος ἄπο γενόμενον,
ὦ πάτερ, θανεῖν που.
ποθεινὰ δάκρυα παρὰ φίλαισι
παρθένοις λιποῦσ' ἄπειμι
πατρίδος ἀποπρὸ γαίας
ἀπαρθένευτ' ἀλωμένα.

ΟΙΔΙΠΟΥΣ.

φεῦ τὸ χρήσιμον φρενῶν!

ΑΝΤΙΓΟΝΗ.

εἰς πατρός γε συμφορὰς
εὐκλεᾶ με θήσει·
τάλαιν' ἐγὼ συγγόνου θ' ὑβρισμάτων,
ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται,
μέλεος! ὅν, εἴ με καὶ θανεῖν, πάτερ, χρεών,
σκότια γᾷ καλύψω.

ΟΙΔΙΠΟΥΣ.

πρὸς ἥλικας φάνηθι σάς.

ΑΝΤΙΓΟΝΗ.

ἅλις ὀδυρμάτων ἐμῶν.

ΟΙΔΙΠΟΥΣ.

σὺ δ' ἀμφὶ βωμίους λιτάς.

ΑΝΤΙΓΟΝΗ.

κόρον ἔχουσ' ἐμῶν κακῶν.

ΟΙΔΙΠΟΥΣ.

ἴθ' ἀλλὰ Βρόμιος ἵνα τε ση-
κὸς ἄβατος ὄρεσι Μαινάδων.

1744. ἐγώ σου ξυγγόνου. 1745. ἄθαπτος οἴχεται νέκυς. 1747. σκοτίᾳ. 1752. ἵνα γε.

ΑΝΤΙΓΟΝΗ.

Καδμείαν ᾧ νεβρίδα στολιδω-
σαμένα ποτ᾽ ἐγὼ θίασον Σεμέλας
ἱερὸν ὄρεσιν ἀνεχόρευσα,
χάριν ἀχάριστον ἐς θεοὺς διδοῦσα;

ΟΙΔΙΠΟΥΣ.

ὦ πάτρας κλεινοὶ πολῖται, λεύσσετ᾽, Οἰδίπους ὅδε,
ὃς τὰ κλείν᾽ αἰνίγματ᾽ ἔγνω καὶ μέγιστος ἦν ἀνήρ·
ὃς μόνος Σφιγγὸς κατέσχον τῆς μιαιφόνου κράτη,
νῦν ἄτιμος αὐτὸς, οἰκτρὸς, ἐξελαύνομαι χθονός.
ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ καὶ μάτην ὀδύρομαι;
τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.

ΧΟΡΟΣ.

ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
βίοτον κατέχοις,
καὶ μὴ λήγοις στεφανοῦσα.

1760. Σφ. ὃς μόνος κατ. τῆς μ. κρ.

ΤΕΛΟΣ ΦΟΙΝΙΣΣΩΝ.

ΕΥΡΙΠΙΔΟΥ

ΜΗΔΕΙΑ.

ΥΠΟΘΕΣΙΣ.

Ἰάσων εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος, τοῦ Κορινθίων βασιλέως, θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον, οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ, περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ, τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐφ᾽ ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ᾽ Ἡλίου ἔλαβεν, ἔποχος γενομένη ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως·

Αὐτίκα δ᾽ Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
γῆρας ἀποξύσασ᾽ εἰδυίῃσι πραπίδεσσι,
φάρμακα πόλλ᾽ ἕψουσ᾽ ἐπὶ χρυσείοισι λέβησιν.

Αἰσχύλος δ᾽ ἐν ταῖς Διονύσου Τροφοῖς ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα

ἐνεοποίησε. Στάφυλος δὲ φησὶ, τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι, τελευτῆσαι αὐτόν.

(Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσεως, ὡς Δικαίαρχός τε περὶ τοῦ Ἑλλάδος βίου, καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι· μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλακέναι τὴν ὑπόκρισιν τῇ Μηδείᾳ, ἀλλὰ πεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰςβολὴ, διὰ τὸ παθητικῶς ἄγαν ἔχειν, καὶ ἡ ἐπεξεργασία, μηδ᾽ ἐν νάπαισι, καὶ τὰ ἑξῆς. ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ φησὶ πρώτῳ κεχρῆσθαι, ὡς καὶ Ὅμηρος, εἵματά τ᾽ ἀμφιέσασα θυώδεα, καὶ λούσασα.)

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΤΡΟΦΟΣ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ΜΗΔΕΙΑ.
ΧΟΡΟΣ γυναικῶν πολιτίδων.
ΚΡΕΩΝ.
ΙΑΣΩΝ.
ΑΙΓΕΥΣ.
ΑΓΓΕΛΟΣ.
ΠΑΙΔΕΣ ΜΗΔΕΙΑΣ.

ΕΥΡΙΠΙΔΟΥ ΜΗΔΕΙΑ.

ΤΡΟΦΟΣ.

Εἴθ᾽ ὤφελ᾽ Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ᾽ ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ᾽ ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρος
Πελίᾳ μετῆλθον· οὐ γὰρ ἂν δέσποιν᾽ ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ᾽ Ἰωλκίας,
ἔρωτι θυμὸν ἐκπλαγεῖσ᾽ Ἰάσονος·
οὐδ᾽ ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα, κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα,
αὐτή τε πάντα συμφέρουσ᾽ Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
νῦν δ᾽ ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα·
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ᾽ ἐμὴν,

12. πολίταις, ὧν.

γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ᾽, ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ᾽ ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιάς,
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται,
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ᾽ ἄσιτος, σῶμ᾽ ὑφεῖσ᾽ ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ᾽ ἠδικημένη,
οὔτ᾽ ὄμμ᾽ ἐπαίρουσ᾽, οὔτ᾽ ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων·
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ᾽ ἀποιμώξῃ φίλον
καὶ γαῖαν οἴκους θ᾽, οὓς προδοῦσ᾽ ἀφίκετο
μετ᾽ ἀνδρὸς, ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ᾽ ἡ τάλαινα συμφορᾶς ὕπο,
οἷον πατρῴας μὴ ᾽πολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας, οὐδ᾽ ὁρῶσ᾽ εὐφραίνεται.
δέδοικα δ᾽ αὐτὴν, μή τι βουλεύσῃ νέον·
βαρεῖα γὰρ φρὴν, οὐδ᾽ ἀνέξεται κακῶς
πάσχουσ᾽· ἐγῷδα τήνδε, δειμαίνω τέ νιν,
μὴ θηκτὸν ὤσῃ φάσγανον δι᾽ ἥπατος,
σιγῇ δόμους ἐςβᾶσ᾽, ἵν᾽ ἔστρωται λέχος,
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ,
κἄπειτα μείζω ξυμφορὰν λάβῃ τινά·
δεινὴ γάρ· οὔ τοι ῥᾳδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον ᾄσεται.
ἀλλ᾽ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι

21. δεξιᾶς. 24. ἀλγηδόνι. 41. deest.

στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

ΠΑΙΔΑΓΩΓΟΣ.

παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ᾽ ἄγουσ᾽ ἐρημίαν
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σου μόνη Μήδεια λείπεσθαι θέλει;

ΤΡΟΦΟΣ.

τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πιτνόντα, καὶ φρενῶν ἀνθάπτεται.
ἐγὼ γὰρ ἐς τοῦτ᾽ ἐκβέβηκ᾽ ἀλγηδόνος,
ὥςθ᾽ ἵμερός μ᾽ ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι, μολούσῃ δεῦρο, δεσποίνης τύχας.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;

ΤΡΟΦΟΣ.

ζηλῶ σ᾽· ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδεν τῶν νεωτέρων κακῶν.

ΤΡΟΦΟΣ.

τί δ᾽ ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὐδέν· μετέγνων καὶ τὰ πρόσθ᾽ εἰρημένα.

ΤΡΟΦΟΣ.

μὴ, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·
σιγὴν γὰρ, εἰ χρὴ, τῶνδε θήσομαι πέρι.

55. πιτνοῦντα. 58. μολοῦσαν.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθὼν, ἔνθα δὴ παλαίτατοι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾷν Κορινθίας
ξὺν μητρὶ μέλλει τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε,
οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.

ΤΡΟΦΟΣ.

καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;

ΠΑΙΔΑΓΩΓΟΣ.

παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.

ΤΡΟΦΟΣ.

ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἀτὰρ σύ γ', — οὐ γὰρ καιρὸς εἰδέναι τάδε
δέσποιναν, — ἡσύχαζε καὶ σίγα λόγον.

ΤΡΟΦΟΣ.

ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν ἐς φίλους ἁλίσκεται.

ΠΑΙΔΑΓΩΓΟΣ.

τίς δ' οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,
εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ;

68. παλαίτεροι.

ΤΡΟΦΟΣ.

ἴτ', — εὖ γὰρ ἔσται, — δωμάτων ἔσω,
τέκνα.
σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε,
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα.
ἐχθρούς γε μέντοι, μὴ φίλους δράσειέ τι.

ΜΗΔΕΙΑ.

δύστανος ἐγὼ μελέα τε πόνων,
ἰώ μοι μοι, πῶς ἂν ὀλοίμαν;

ΤΡΟΦΟΣ.

τόδ' ἐκεῖνο, φίλοι παῖδες· μάτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
σπεύσατε θᾶσσον δώματος εἴσω,
καὶ μὴ πελάσητ' ὄμματος ἐγγὺς,
μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσθ'
ἄγριον ἦθος στυγεράν τε φύσιν
φρενὸς αὐθάδους.
ἴτε νυν, χωρεῖθ' ὡς τάχος εἴσω.
δῆλον δ' ἀρχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς, ὡς τάχ' ἀνάψει
μείζονι θυμῷ· τί ποτ' ἐργάσεται
μεγαλόσπλαγχνος, δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν;

ΜΗΔΕΙΑ.

αἶ αἶ αἶ αἶ.
ἔπαθον τλάμων, ἔπαθον μεγάλων
ἄξι' ὀδυρμῶν· ὦ κατάρατοι

παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
ξὺν πατρὶ, καὶ πᾶς δόμος ἔῤῥοι.

ΤΡΟΦΟΣ.

ἰώ μοί μοι! ἰὼ τλῆμον!
τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τούσδ' ἔχθεις; οἴ μοι,
τέκνα, μή τι πάθηθ', ὡς ὑπεραλγῶ!
δεινὰ τυράννων λήματα, καί πως
ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες,
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
κρεῖσσον· ἔμοιγ' οὖν, εἰ μὴ μεγάλως,
ὀχυρῶς γ' εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνατοῖς·
μείζους δ' ἄτας ὅταν ὀργισθῇ
δαίμων οἴκοις ἀπέδωκεν.

ΧΟΡΟΣ.

ἔκλυον φωνὰν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου Κολχίδος.
οὐδέ πω ἤπιος; ἀλλ', ὦ γεραιὰ,
λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω
μελάθρου βοὰν ἔκλυον.
οὐδὲ συνήδομαι, γύναι,
ἄλγεσι δώματος,
ἐπεὶ μὴ φίλια κέκρανται.

116. τλήμων. 123. τὸ δ' ἄρ'.

ΤΡΟΦΟΣ.

οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
χὡ μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἡ δ' ἐν θαλάμοις τάκει βιοτὰν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένα φρένα μύθοις.

ΜΗΔΕΙΑ.

αἶ αἶ·
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δ' ἐμοὶ ζῆν ἔτι κέρδος;
φεῦ, φεῦ· θανάτῳ καταλυσαίμαν,
βιοτὰν στυγερὰν προλιποῦσα.

ΧΟΡΟΣ.

ἄϊες. ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς, (στροφή.)
ἰαχὰν, οἵαν ἁ δύστανος
μέλπει νύμφα;
τίς σοι ποτὲ τᾶς ἀπλάστου
κοίτας ἔρος, ὦ ματαία,
σπεύσει θανάτου τελευτάν;
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις
καινὰ λέχη σεβίζει,
κείνῳ τόδε μὴ χαράσσου·
Ζεύς σοι τόδε συνδικάσει.
μὴ λίαν τάκου,
δυρομένα σὸν εὐνέταν.

ΜΗΔΕΙΑ.

ὦ μεγάλα Θέμι καὶ πότνι' Ἄρτεμι,

140. 1. φροῦδα γὰρ ἤδη Τάδ', ὁ μὲν γὰρ ἔ. λ. τ. 152. τί τοι. 161. εὐνήταν.

λεύσσεθ᾽, ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ᾽ ἐγὼ νύμφαν τ᾽ ἐσίδοιμ᾽
αὐτοῖς μελάθροις διακναιομένους,
οἵ γ᾽ ἐμὲ πρόσθεν τολμῶσ᾽ ἀδικεῖν.
ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.

ΤΡΟΦΟΣ.

κλύεθ᾽ οἷα λέγει, κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ᾽, ὃς ὅρκων
θνατοῖς ταμίας νενόμισται;
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

ΧΟΡΟΣ.

πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν (ἀντιστρ.)
ἔλθοι, μύθων τ᾽ αὐδαθέντων
δέξαιτ᾽ ὀμφὰν,
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη;
μή τοι τό γ᾽ ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά, νιν
δεῦρο πόρευσον οἴκων
ἔξω, φίλα, καὶ τάδ᾽ αὔδα·
σπεῦσον, πρίν τι κακῶσαι
τοὺς εἴσω· πένθος
γὰρ μεγάλως τόδ᾽ ὁρμᾶται.

ΤΡΟΦΟΣ.

δράσω τάδ᾽· ἀτὰρ φόβος, εἰ πείσω

186. ἔσω.

δέσποιναν ἐμάν·
μόχθου δὲ χάριν τήνδ᾽ ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης
ἀποταυροῦται δμωσὶν, ὅταν τις
μῦθον προφέρων πέλας ὁρμαθῇ.
σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς
τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,
οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις
ἐπί τ᾽ εἰλαπίναις καὶ παρὰ δείπνοις
εὕροντο, βίου τερπνὰς ἀκοάς·
στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
εὕρετο μούσῃ καὶ πολυχόρδοις
ᾠδαῖς παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι σφάλλουσι δόμους.
καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
μολπαῖσι βροτούς· ἵνα δ᾽ εὔδειπνοι
δαῖτες, τί μάτην τείνουσι βοάν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ᾽ αὑτοῦ
δαιτὸς πλήρωμα βροτοῖσιν.

ΧΟΡΟΣ.

ἰαχὰν ἄιον πολύστονον γόων, (ἐπῳδός.)
λιγυρὰ δ᾽ ἄχεα μογερὰ βοᾷ
τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ᾽ ἄδικα παθοῦσα
τὰν Ζανὸς ὁρκίαν Θέμιν,
ἅ νιν ἔβασεν
Ἑλλάδ᾽ ἐς ἀντίπορον
δι᾽ ἅλα νύχιον ἐφ᾽ ἁλμυρὰν
πόντου κλῇδ᾽ ἀπέραντον.

ΜΗΔΕΙΑ.

Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
μή μοί τι μέμψησθ᾽· οἶδα γὰρ πολλοὺς βροτῶν
σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
τοὺς δ᾽ ἐν θυραίοις· οἱ δ᾽ ἀφ᾽ ἡσύχου ποδὸς
δύςκλειαν ἐκτήσαντο καὶ ῥαθυμίαν.
δίκη γὰρ οὐκ ἔνεστ᾽ ἐν ὀφθαλμοῖς βροτῶν,
ὅςτις, πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς,
στυγεῖ δεδορκὼς, οὐδὲν ἠδικημένος.
χρὴ δὲ ξένον μὲν κάρτα προςχωρεῖν πόλει·
οὐδ᾽ ἀστὸν ᾔνεσ᾽, ὅςτις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ᾽ ἄελπτον πρᾶγμα προςπεσὸν τόδε
ψυχὴν διέφθαρκ᾽· οἴχομαι δὲ, καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκειν καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ᾽ οὑμὸς πόσις.
πάντων δ᾽, ὅσ᾽ ἔστ᾽ ἔμψυχα καὶ γνώμην ἔχει,
γυναῖκες ἐσμὲν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι, δεσπότην τε σώματος
λαβεῖν· κακοῦ γὰρ τοῦδ᾽ ἔτ᾽ ἄλγιον κακόν;
κἀν τῷδ᾽ ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν,
ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
γυναιξὶν, οὐδ᾽ οἷόν τ᾽ ἀνήνασθαι πόσιν.
ἐς καινὰ δ᾽ ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.

218. μέμφησθ᾽. 222. ἔνεστιν ὀφθ. 231. γιγνώσκεις.
237. τοῦτ᾽ ἔτ᾽.

κἂν

κἂν μὲν τάδ᾽ ἡμῖν ἐκπονουμέναισιν εὖ
πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγὸν,
ζηλωτὸς αἰών· εἰ δὲ μὴ, θανεῖν χρεών.
ἀνὴρ δ᾽, ὅταν τοῖς ἔνδον ἄχθηται ξυνὼν,
ἔξω μολὼν, ἔπαυσε καρδίαν ἄσης,
ἢ πρὸς φίλον τιν᾽, ἢ πρὸς ἥλικα τραπείς·
ἡμῖν δ᾽ ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
λέγουσι δ᾽ ἡμᾶς, ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ᾽ οἴκους, οἱ δὲ μάρνανται δορί,
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ᾽ ἀσπίδα
στῆναι θέλοιμ᾽ ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.
ἀλλ᾽ οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ᾽ ἥκει λόγος·
σοὶ μὲν πόλις θ᾽ ἥδ᾽ ἐστὶ καὶ πατρὸς δόμοι
βίου τ᾽ ὄνησις καὶ φίλων ξυνουσία,
ἐγὼ δ᾽ ἔρημος, ἄπολις οὖσ᾽ ὑβρίζομαι
πρὸς ἀνδρὸς, ἐκ γῆς βαρβάρου λελῃσμένη,
οὐ μητέρ᾽, οὐκ ἀδελφὸν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆςδ᾽ ἔχουσα συμφορᾶς.
τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ᾽ ἐξευρεθῇ,
πόσιν δίκῃ τῶνδ᾽ ἀντιτίσασθαι κακῶν
τὸν δόντα τ᾽ αὐτῷ θυγατέρ᾽, ἥν τ᾽ ἐγήματο,
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα
κακή τ᾽ ἐς ἀλκὴν καὶ σίδηρον εἰςορᾶν·
ὅταν δ᾽ ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

ΧΟΡΟΣ.

δράσω τάδ᾽· ἐνδίκως γὰρ ἐκτίσει πόσιν,
Μήδεια. πενθεῖν δ᾽ οὔ σε θαυμάζω τύχας.

248. καρδίας ἄσην. 249. ἥλικας. 257. φίλ. κοινωνία.

ὁρῶ δὲ καὶ Κρέοντα, τῆςδ' ἄνακτα γῆς,
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

ΚΡΕΩΝ.

σὲ, τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆςδε γῆς ἔξω περᾶν
φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμὶ, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.

ΜΗΔΕΙΑ.

αἶ αἶ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
ἐχθροὶ γὰρ ἐξίασι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπρόςοιστος ἔκβασις.
ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ' ὅμως,
τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον.

ΚΡΕΩΝ.

δέδοικά σ', — οὐδὲν δεῖ παραμπίσχειν λόγους, —
μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
ξυμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις,
λυπεῖ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράσειν τι. ταῦτ' οὖν, πρὶν παθεῖν, φυλάξομαι.
κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπέχθεσθαι, γύναι,
ἢ μαλθακισθένθ' ὕστερον μέγα στένειν.

ΜΗΔΕΙΑ.

φεῦ φεῦ·
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,

285. παραμπέχειν.

ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά.
χρὴ δ' οὔποθ', ὅςτις ἀρτίφρων πέφυκ' ἀνὴρ,
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς·
χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυςμενῆ.
σκαιοῖσι μὲν γὰρ καινὰ προςφέρων σοφὰ
δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον
κρείσσων νομισθεὶς λυπρὸς ἐν πόλει φανεῖ.
ἐγὼ δὲ καὐτὴ τῆςδε κοινωνῶ τύχης.
σοφὴ γὰρ οὖσα, τοῖς μὲν εἴμ' ἐπίφθονος,
[τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου]
τοῖς δ' αὖ προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή.
σὺ δ' οὖν φοβεῖ με, μή τι πλημμελὲς πάθῃς.
οὐχ ὧδ' ἔχει μοι, — μὴ τρέσῃς ἡμᾶς, — Κρέον,
ὥςτ' ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην,
ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν
μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.
νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν· καὶ γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρεισσόνων νικώμενοι.

ΚΡΕΩΝ.

λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν,
ὀῤῥωδία μοι, μή τι βουλεύσῃς κακόν,
τοσῷδε δ' ἧσσον, ἢ πάρος, πέποιθά σοι·
γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνὴρ,

308. deest. 320. εἴσω. 322. τοσῷδέ γ' ἧσσον.

ῥάων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.
ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην, ὅπως
μενεῖς παρ' ἡμῖν, οὖσα δυσμενὴς ἐμοί.

ΜΗΔΕΙΑ.

μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.

ΚΡΕΩΝ.

λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.

ΜΗΔΕΙΑ.

ἀλλ' ἐξελᾷς με, κοὐδὲν αἰδέσει λιτάς;

ΚΡΕΩΝ.

φιλῶ γὰρ οὐ σὲ μᾶλλον, ἢ δόμους ἐμούς.

ΜΗΔΕΙΑ.

ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.

ΚΡΕΩΝ.

πλὴν γὰρ τέκνων, ἔμοιγε φίλτατον πόλις.

ΜΗΔΕΙΑ.

φεῦ φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.

ΚΡΕΩΝ.

ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.

ΜΗΔΕΙΑ.

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.

ΚΡΕΩΝ.

ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.

ΜΗΔΕΙΑ.

πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρήμεθα.

ΚΡΕΩΝ.

τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσει βίᾳ.

328. σὲ γούνων. 338. πόνος μέν· ἡμ. δ' οὐ πόνῳ κεχρήμεθα;

ΜΗΔΕΙΑ.

μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον.

ΚΡΕΩΝ.

ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.

ΜΗΔΕΙΑ.

φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσα σοῦ τυχεῖν.

ΚΡΕΩΝ.

τί δ' οὖν βιάζει, κοὐκ ἀπαλλάσσει χθονός;

ΜΗΔΕΙΑ.

μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν
καὶ ξυμπερᾶναι φροντίδ', ᾗ φευξούμεθα,
παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.
τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλάω ξυμφορᾷ κεχρημένους.

ΚΡΕΩΝ.

ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
ὅμως δὲ τεύξει τοῦδε· προὐννέπω δέ σοι,
εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανεῖ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
οὐ γάρ τι δράσεις δεινόν, ὧν φόβος μ' ἔχει.

ΧΟΡΟΣ.

[δύστανε γύναι,]

359. μίμν' ἔθ'. 361. sine uncis.

φεῦ φεῦ· μελέα τῶν σῶν ἀχέων.
ποῖ ποτε τρέψει; τίνα προξενίαν,
ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
ἐξευρήσεις;
ὡς εἰς ἄπορον σὲ κλύδωνα θεὸς,
Μήδεια, κακῶν ἐπόρευσε.

ΜΗΔΕΙΑ.

κακῶς πέπρακται πανταχῆ· τίς ἀντερεῖ;
ἀλλ᾽ οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
ἔτ᾽ εἴσ᾽ ἀγῶνες τοῖς νεωστὶ νυμφίοις,
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτ᾽ ἂν,
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
οὐδ᾽ ἂν προσεῖπον, οὐδ᾽ ἂν ἡψάμην χεροῖν.
ὁ δ᾽ ἐς τοσοῦτον μωρίας ἀφίκετο,
ὥστ᾽, ἐξὸν αὐτῷ τἄμ᾽ ἑλεῖν βουλεύματα
γῆς ἐκβαλόντι, τήνδ᾽ ἀφῆκεν ἡμέραν
μεῖναί μ᾽, ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε καὶ κόρην πόσιν τ᾽ ἐμόν.
πολλὰς δ᾽ ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς,
οὐκ οἶδ᾽, ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι·
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρὶ,
ἢ θηκτὸν ὤσω φάσγανον δι᾽ ἥπατος,
σιγῇ δόμους ἐσβᾶσ᾽, ἵν᾽ ἔστρωται λέχος.
ἀλλ᾽ ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.

εἶεν·
καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι. μείνασ᾽ οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
ἢν δ᾽ ἐξελαύνῃ ξυμφορά μ᾽ ἀμήχανος,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
κτενῶ σφε, τόλμης τ᾽ εἶμι πρὸς τὸ καρτερόν.
οὐ γὰρ, μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
πικροὺς δ᾽ ἐγώ σφι καὶ λυγροὺς θήσω γάμους,
πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός.
ἀλλ᾽ εἶα· φείδου μηδὲν, ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
ἕρπ᾽ ἐς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ᾽ ὀφλεῖν
τοῖς Σισυφείοις, τοῖς τ᾽ Ἰάσονος γάμοις,
γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ᾽ ἄπο.
ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν
γυναῖκες, ἐς μὲν ἔσθλ᾽ ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

ΧΟΡΟΣ.

Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί, (στρ. ά.)
καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
ἀνδράσι μὲν δόλιαι βουλαὶ, θεῶν δ᾽
οὐκέτι πίστις ἄραρε.

τὰν δ᾽ ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν
στρέφουσι φᾶμαι·
ἔρχεται τιμὰ γυναικείῳ γένει·
οὐκέτι δυςκέλαδος φάμα γυναῖκας ἕξει.
Μοῦσαι δὲ παλαιγενέων λήξουσ᾽ ἀοιδᾶν (ἀντ. ά.)
τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντ-
άχησ᾽ ἂν ὕμνον
ἀρσένων γέννᾳ· μακρὸς δ᾽ αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.
σὺ δ᾽ ἐκ μὲν οἴκων πατρῴων ἔπλευσας (στ. β'.)
μαινομένᾳ κραδίᾳ, διδύμους ὁρίσασα πόντου
πέτρας· ἐπὶ δὲ ξένᾳ
ναίεις χθονὶ, τᾶς ἀνάνδρου
κοίτας ὀλέσασα λέκτρον
τάλαινα, φυγὰς δὲ χώρας
ἄτιμος ἐλαύνει.
βέβακε δ᾽ ὅρκων χάρις, οὐδ᾽ ἔτ᾽ αἰδὼς (ἀντ. β'.)
Ἑλλάδι τᾷ μεγάλᾳ μίμνει, αἰθερία δ᾽ ἀνέπτα.
σοὶ δ᾽ οὔτε πατρὸς δόμοι,
δύστανε, μεθορμίσασθαι
μόχθων πάρα, τῶν δὲ λέκτρων
ἄλλα βασίλεια κρείσσων
δόμοισιν ἐπέστα.

ΙΑΣΩΝ.

Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
τραχεῖαν ὀργὴν, ὡς ἀμήχανον κακόν.

430. πατρίων.

σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν,
κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
λόγων ματαίων οὕνεκ᾽ ἐκπεσεῖ χθονός.
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
λέγουσ᾽, Ἰάσων ὡς κάκιστος ἔστ᾽ ἀνήρ·
ἃ δ᾽ ἐς τυράννους ἐστί σοι λελεγμένα,
πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
κἀγὼ μὲν ἀεὶ βασιλέων θυμουμένων
ὀργὰς ἀφῄρουν, καί σ᾽ ἐβουλόμην μένειν·
σὺ δ᾽ οὐκ ἀνίης μωρίας, λέγουσ᾽ ἀεὶ
κακῶς τυράννους· τοιγὰρ ἐκπεσεῖ χθονός.
ὅμως δὲ κἀκ τῶνδ᾽ οὐκ ἀπειρηκὼς φίλοις
ἥκω, τὸ σόν γε προσκοπούμενος, γύναι,
ὡς μήτ᾽ ἀχρήμων ξὺν τέκνοισιν ἐκπέσῃς,
μήτ᾽ ἐνδεής του. πόλλ᾽ ἐφέλκεται φυγὴ
κακὰ ξὺν αὑτῇ· καὶ γὰρ εἰ σύ με στυγεῖς,
οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτέ.

ΜΗΔΕΙΑ.

ὦ παγκάκιστε, — τοῦτο γάρ σ᾽ εἰπεῖν ἔχω,
γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακὸν, —
ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγὼς
θεοῖς τε κἀμοὶ, παντί τ᾽ ἀνθρώπων γένει;
οὔτοι θράσος τόδ᾽ ἐστὶν, οὐδ᾽ εὐτολμία,
φίλους κακῶς δράσαντ᾽ ἐναντίον βλέπειν,
ἀλλ᾽ ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει᾽· εὖ δ᾽ ἐποίησας μολών.
ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
ψυχὴν κακῶς σε, καὶ σὺ λυπήσει κλύων.
ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.

454. ἀνίεις. 457. τοσόνδε. 465. deest.

ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταυτὸν ξυνεισέβησαν Ἀργῷον σκάφος,
πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
ζεύγλαισι, καὶ σπεροῦντα θανάσιμον γύην·
δράκοντά θ', ὃς πάγχρυσον ἀμφέπων δέρας
σπείραις ἔσωζε πολυπλόκοις ἄϋπνος ὤν,
κτείνασ' ἀνέσχον σοὶ φάος σωτήριον.
αὐτὴ δέ, πατέρα καὶ δόμους προδοῦσ' ἐμούς,
τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
ξύν σοι, πρόθυμος μᾶλλον ἢ σοφωτέρα·
Πελίαν τ' ἀπέκτειν', ὥςπερ ἄλγιστον θανεῖν,
παίδων ὑπ' αὐτοῦ, πάντα τ' ἐξεῖλον φόβον.
καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν
προὔδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,
παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
σύγγνωστ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους.
ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν,
εἰ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμ' ἐν ἀνθρώποις τανῦν,
ἐπεὶ ξύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
φεῦ δεξιὰ χείρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα
κακοῦ πρὸς ἀνδρός, ἐλπίδων δ' ἡμάρτομεν.
ἄγ', ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,
δοκοῦσα μή τι πρός γε σοῦ πράξειν καλῶς;
ὅμως δ'· ἐρωτηθεὶς γὰρ αἰσχίων φανεῖ.
νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφικόμην;
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν

476. ζεύγλῃσι. 491. θέσμι' ἀνθρ.

δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.
ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
ἐχθρὰ καθέστηχ', οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
δρᾷν, σοὶ χάριν φέρουσα, πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν ἀν' Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημος, ξὺν τέκνοις μόνη μόνοις,
καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
ὦ Ζεῦ, τί δὴ χρυσοῦ μέν, ὃς κίβδηλος ᾖ,
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

ΧΟΡΟΣ.

δεινή τις ὀργὴ καὶ δυςίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

ΙΑΣΩΝ.

δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
ἀλλ', ὥςτε ναὸς κεδνὸν οἰακοστρόφον,
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος
λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε
τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.

ἀλλ᾽ οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
ὅπη γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
εἴληφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
πρῶτον μὲν Ἑλλάδ᾽ ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίστασαι
νόμοις τε χρῆσθαι, μὴ πρὸς ἰσχύος χάριν·
πάντες δέ σ᾽ ᾔσθοντ᾽ οὖσαν Ἕλληνες σοφὴν,
καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ᾽ ἐσχάτοις
ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
εἴη δ᾽ ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,
μήτ᾽ Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
εἰ μὴ ᾽πίσημος ἡ τύχη γένοιτό μοι.
τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
ἔλεξ᾽. — ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων —
ἃ δ᾽ ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,
ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγὼς,
ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος
καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ᾽ ἔχ᾽ ἥσυχος.
ἐπεὶ μετέστην δεῦρ᾽ Ἰωλκίας χθονὸς,
πολλὰς ἐφέλκων ξυμφορὰς ἀμηχάνους,
τί τοῦδ᾽ ἂν εὕρημ᾽ εὗρον εὐτυχέστερον,
ἢ παῖδα γῆμαι βασιλέως, φυγὰς γεγώς;
οὐχ, ᾗ σὺ κνίζει, σὸν μὲν ἐχθαίρων λέχος,
καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ᾽ εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων· —
ἅλις γὰρ οἱ γεγῶτες, οὐδὲ μέμφομαι· —
ἀλλ᾽ ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς,
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι

529. αὐτά. 542. μέντοι.

πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδας δὲ θρέψαιμ᾽ ἀξίως δόμων ἐμῶν,
σπείρας τ᾽ ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
ἐς ταὐτὸ θείην, καὶ συναρτήσας γένος
εὐδαιμονοίην. σοί τε γὰρ παίδων τι δεῖ,
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
τὰ ζῶντ᾽ ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
οὐδ᾽ ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ᾽ ἐς τοσοῦτον ἥκεθ᾽, ὥστ᾽, ὀρθουμένης
εὐνῆς, γυναῖκες πάντ᾽ ἔχειν νομίζετε,
ἢν δ᾽ αὖ γένηται ξυμφορά τις ἐς λέχος,
τὰ λῷστα καὶ καλλιστα πολεμιώτατα
τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
παῖδας τεκνοῦσθαι, θῆλυ δ᾽ οὐκ εἶναι γένος·
χ᾽ οὕτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.

ΧΟΡΟΣ.

Ἰᾶσον, εὖ μὲν τούσδ᾽ ἐκόσμησας λόγους·
ὅμως δ᾽ ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
δοκεῖς, προδοὺς σὴν ἄλοχον, οὐ δίκαια δρᾷν.

ΜΗΔΕΙΑ.

ἦ πολλὰ πολλοῖς εἰμὶ διάφορος βροτῶν.
ἐμοὶ γὰρ ὅστις, ἄδικος ὢν, σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν τἄδικ᾽ εὖ περιστελεῖν,
τολμᾷ πανουργεῖν· ἔστι δ᾽ οὐκ ἄγαν σοφός.
ὣς καὶ σὺ μὴ νῦν εἰς ἔμ᾽ εὐσχήμων γένῃ
λέγειν τε δεινός· ἓν γὰρ ἐκτενεῖ σ᾽ ἔπος.
χρῆν σ᾽, εἴπερ ἦσθα μὴ κακὸς, πείσαντά με
γαμεῖν γάμον τόνδ᾽, ἀλλὰ μὴ σιγῇ φίλων.

570. χρῆν ἄρ᾽. 583. πείσαντ᾽ ἐμέ.

ΙΑΣΩΝ.

καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.

ΜΗΔΕΙΑ.

οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.

ΙΑΣΩΝ.

εὖ νῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
γῆμαί με λέκτρα βασιλέως, ἃ νῦν ἔχω,
ἀλλ', ὥςπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
σὲ, καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασιν.

ΜΗΔΕΙΑ.

μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
μηδ' ὄλβος, ὅςτις τὴν ἐμὴν κνίζοι φρένα.

ΙΑΣΩΝ.

οἶσθ', ὡς μετεύξει καὶ σοφωτέρα φανεῖ;
τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτὲ,
μηδ' εὐτυχοῦσα δυςτυχὴς εἶναι δόκει.

ΜΗΔΕΙΑ.

ὕβριζ', ἐπειδὴ σοι μέν ἐστ' ἀποστροφὴ,
ἐγὼ δ' ἔρημος τήνδε φευξοῦμαι χθόνα.

ΙΑΣΩΝ.

αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.

ΜΗΔΕΙΑ.

τί δρῶσα; μῶν γαμοῦσα, καὶ προδοῦσά σε;

ΙΑΣΩΝ.

ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.

585. κ. γ' ἂν οὖν τῷδ' ἐξυπηρ. λ.

ΜΗΔΕΙΑ.

καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.

ΙΑΣΩΝ.

ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
ἀλλ' εἴ τι βούλει παισὶν ἢ σαυτῇ φυγῆς
προςωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
ξένοις τε πέμπειν ξύμβολ', οἳ δράσουσί σ' εὖ.
καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
λήξασα δ' ὀργῆς κερδανεῖς ἀμείνονα.

ΜΗΔΕΙΑ.

οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἂν,
οὔτ' ἄν τι δεξαίμεσθα, μήθ' ἡμῖν δίδου·
κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.

ΙΑΣΩΝ.

ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
φίλους ἀπωθεῖ· τοιγὰρ ἀλγυνεῖ πλέον.

ΜΗΔΕΙΑ.

χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
αἱρεῖ, χρονίζων δωμάτων ἐξώπιος·
νύμφευ'· ἴσως γὰρ, ξὺν θεῷ δ' εἰρήσεται,
γαμεῖς τοιοῦτον, ὥςτε σ' ἀρνεῖσθαι, γάμον.

ΧΟΡΟΣ.

Ἔρωτες ὑπὲρ μὲν ἄγαν (στροφὴ ά.)
ἐλθόντες οὐκ εὐδοξίαν,
οὐδ' ἀρετὰν παρέδωκαν
ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς

εὔχαρις οὕτω.
μήποτ᾽, ὦ δέσποιν᾽, ἐπ᾽ ἐμοὶ
χρυσέων τόξων ἐφείης
ἱμέρῳ χρίσασ᾽ ἄφυκτον οἰστόν.
στέργοι δέ με σωφροσύνα, (ἀντιστρ. α΄.)
δώρημα κάλλιστον θεῶν·
μηδέποτ᾽ ἀμφιλόγους ὀρ-
γὰς ἀκόρεστά τε νείκη
θυμὸν ἐκπλήξασ᾽ ἑτέ-
ροις ἐπὶ λέκτροις
προσβάλοι δεινὰ Κύπρις, ἀ-
πτολέμους δ᾽ εὐνὰς σεβίζουσ᾽
ὀξύφρων κρίνοι λέχη γυναικῶν.
ὦ πατρίς, ὦ δῶμά τ᾽ ἐμόν, (στροφὴ β΄.)
μὴ δῆτ᾽ ἄπολις γενοίμαν
τὸν ἀμηχανίας ἔχουσα δυσπέρατον αἰῶν᾽
οἰκτρότατον ἀχέων.
θανάτῳ, θανάτῳ πάρος δαμείην,
ἁμέραν τάνδ᾽ ἐξανύσασα· μό-
χθων δ᾽ οὐκ ἄλλος ὕπερθεν, ἢ
γᾶς πατρίας στέρεσθαι.
εἴδομεν, οὐκ ἐξ ἑτέρων (ἀντιστρ. β΄.)
μύθων ἔχομεν φράσασθαι·
σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις ᾤκτειρεν πα-
θοῦσαν
δεινότατα παθέων.
ἀχάριστος ὄλοιθ᾽, ὅτῳ πάρεστι
μὴ φίλους τιμᾷν, καθαρὰν ἀνοί-
ξαντα κλῇδα φρενῶν· ἐμοὶ
μὲν φίλος οὔποτ᾽ ἔσται.

ΑΙΓΕΥΣ.

ΑΙΓΕΥΣ.

Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον
κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλους.

ΜΗΔΕΙΑ.

ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος,
Αἰγεῦ. πόθεν γῆς τῆσδ᾽ ἐπιστρωφᾷ πέδον;

ΑΙΓΕΥΣ.

Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.

ΜΗΔΕΙΑ.

τί δ᾽ ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;

ΑΙΓΕΥΣ.

παίδων ἐρευνῶν σπέρμ᾽ ὅπως γένοιτό μοι.

ΜΗΔΕΙΑ.

πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ᾽ ἀεὶ τείνεις βίον;

ΑΙΓΕΥΣ.

ἄπαιδές ἐσμεν, δαίμονος τινὸς τύχῃ·

ΜΗΔΕΙΑ.

δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;

ΑΙΓΕΥΣ.

οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.

ΜΗΔΕΙΑ.

τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;

ΑΙΓΕΥΣ.

σοφώτερ᾽, ἢ κατ᾽ ἄνδρα συμβαλεῖν, ἔπη.

ΜΗΔΕΙΑ.

θέμις μὲν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;

ΑΙΓΕΥΣ.

μάλιστ᾽, ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.

ΜΗΔΕΙΑ.

τί δῆτ᾽ ἔχρησε; λέξον, εἰ θέμις κλύειν.

ΑΙΓΕΥΣ.
ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα —
ΜΗΔΕΙΑ.
πρὶν ἂν τί δράσῃς, ἢ τίν' ἐξίκῃ χθόνα;
ΑΙΓΕΥΣ.
πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
ΜΗΔΕΙΑ.
σὺ δ' ὡς τί χρῄζων τήνδε ναυστολεῖς χθόνα;
ΑΙΓΕΥΣ.
Πιτθεύς τις ἔστι γῆς ἄναξ Τροιζηνίας.
ΜΗΔΕΙΑ.
παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.
ΑΙΓΕΥΣ.
τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
ΜΗΔΕΙΑ.
σοφὸς γὰρ ἁνὴρ καὶ τρίβων τὰ τοιάδε.
ΑΙΓΕΥΣ.
κἀμοί γε πάντων φίλτατος δορυξένων.
ΜΗΔΕΙΑ.
ἀλλ' εὐτυχοίης, καὶ τύχοις ὅσων ἐρᾷς.
ΑΙΓΕΥΣ.
τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ' ὅδε;
ΜΗΔΕΙΑ.
Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις.
ΑΙΓΕΥΣ.
τί φῄς; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
ΜΗΔΕΙΑ.
ἀδικεῖ μ' Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
ΑΙΓΕΥΣ.
τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.

ΜΗΔΕΙΑ.
γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
ΑΙΓΕΥΣ.
ἦ που τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
ΜΗΔΕΙΑ.
σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
ΑΙΓΕΥΣ.
πότερον ἐρασθεὶς, ἢ σὸν ἐχθαίρων λέχος;
ΜΗΔΕΙΑ.
μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
ΑΙΓΕΥΣ.
ἴτω νυν, εἴπερ, ὡς λέγεις, ἐστὶν κακός.
ΜΗΔΕΙΑ.
ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
ΑΙΓΕΥΣ.
δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
ΜΗΔΕΙΑ.
Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ΑΙΓΕΥΣ.
ξυγγνωστὰ μὲν γὰρ ἦν σε λυπεῖσθαι, γύναι.
ΜΗΔΕΙΑ.
ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
ΑΙΓΕΥΣ.
πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
ΜΗΔΕΙΑ.
Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.
ΑΙΓΕΥΣ.
ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπῄνεσα.

ΜΗΔΕΙΑ.

λόγῳ μὲν οὐχὶ, καρδίᾳ δὲ βούλεται.
ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος
γονάτων τε τῶν σῶν, ἱκεσία τε γίγνομαι,
οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
εὕρημα δ' οὐκ οἶσθ', οἷον εὕρηκας τόδε·
παύσω δέ σ' ὄντ' ἄπαιδα, καὶ παίδων γονὰς
σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.

ΑΙΓΕΥΣ.

πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν,
ἔπειτα παίδων, ὧν ἐπαγγέλλει γονάς.
ἐς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
οὕτω δ' ἔχει μοι· σοῦ μὲν ἐλθούσης χθόνα,
πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
τοσόνδε μέντοι σοὶ προσημαίνω, γύναι·
ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι,
αὐτὴ δ' ἐάν περ εἰς ἐμοὺς ἔλθῃς δόμους,
μενεῖς ἄσυλος, κοὔ σε μὴ μεθῶ τινι.
ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.

ΜΗΔΕΙΑ.

ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.

703. καρτερεῖν δὲ β.

ΑΙΓΕΥΣ.

μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;

ΜΗΔΕΙΑ.

πέποιθα· Πελίου δ' ἐχθρὸς ἔστι μοι δόμος
Κρέων τε. τούτοις δ', ὁρκίοισι μὲν ζυγεὶς,
ἄγουσιν οὐ μεθεῖ' ἂν ἐκ γαίας ἐμέ·
λόγοις δὲ συμβὰς καὶ θεῶν ἀνώμοτος,
φίλος γένοι' ἂν, κἀπικηρυκεύμασι
τάχ' ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
τοῖς δ' ὄλβος ἐστὶ καὶ δόμος τυραννικός.

ΑΙΓΕΥΣ.

πολλὴν ἔλεξας, ὦ γύναι, προμηθίαν·
ἀλλ' εἰ δοκεῖ σοι δρᾶν τάδ', οὐκ ἀφίσταμαι.
ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστατα,
σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.

ΜΗΔΕΙΑ.

ὄμνυ πέδον Γῆς πατέρα θ' Ἥλιον πατρὸς
τοὐμοῦ, θεῶν τε συντιθεὶς ἅπαν γένος.

ΑΙΓΕΥΣ.

τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.

ΜΗΔΕΙΑ.

μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε,
μήτ', ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.

ΑΙΓΕΥΣ.

ὄμνυμι Γαῖαν λαμπρὸν Ἡλίου τε φῶς
θεούς τε πάντας, ἐμμενεῖν, ἅ σου κλύω.

747. Ἡλίου θ' ἁγνὸν σέβας.

ΜΗΔΕΙΑ.

ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;

ΑΙΓΕΥΣ.

ἃ τοῖσι δυςσεβοῦσι γίγνεται βροτῶν.

ΜΗΔΕΙΑ.

χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει
κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
πράξασ', ἃ μέλλω, καὶ τυχοῦσ', ἃ βούλομαι.

ΧΟΡΟΣ.

ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν
σπεύδεις κατέχων πράξειας, ἐπεὶ
γενναῖος ἀνὴρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

ΜΗΔΕΙΑ.

ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν·
νῦν δ' ἐλπὶς, ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.
οὗτος γὰρ ἁνὴρ, ᾗ μάλιστ' ἐκάμνομεν,
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
πέμψασ' ἐμῶν τιν' οἰκετῶν, Ἰάσονα
ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
ὡς καὶ δοκεῖ μοι ταῦτα, καὶ καλῶς ἔχει,

772. ἔχειν.

[γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς ἔχει]
καὶ ξύμφορ' εἶναι καὶ καλῶς ἐγνωσμένα·
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
οὐχ ὡς λιποῦσα πολεμίας ἐπὶ χθονὸς
ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν,
[νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα]
λεπτόν τε πέπλον καὶ στέφος χρυσήλατον·
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται πᾶς θ', ὃς ἂν θιγῇ κόρης·
τοιοῖςδε χρίσω φαρμάκοις δωρήματα.
ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον·
ᾤμωξα δ', οἷον ἔργον ἔστ' ἐργαστέον
τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ'· — οὔτις ἐστὶν, ὅςτις ἐξαιρήσεται· —
δόμον τε πάντα συγχέασ' Ἰάσονος,
ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
φεύγουσα καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
ἴτω· τί μοι ζῆν κέρδος; οὔτ' ἐμοὶ πατρὶς,
οὔτ' οἶκός ἐστιν, οὔτ' ἀποστροφὴ κακῶν.
ἡμάρτανον τόθ', ἡνίκ' ἐξελίμπανον
δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
πεισθεῖσ', ὃς ἡμῖν ξὺν θεῷ τίσει δίκην.
οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
ζῶντας τὸ λοιπὸν, οὔτε τῆς νεοζύγου
νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακὴν κακῶς
θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.

775. deest. 780. deest.

μηδείς με φαύλην κἀσθενῆ νομιζέτω
μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·
τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.

ΧΟΡΟΣ.

ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
σέ τ' ὠφελεῖν θέλουσα καὶ νόμοις βροτῶν
ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.

ΜΗΔΕΙΑ.

οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
τάδ' ἐστὶ, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.

ΧΟΡΟΣ.

ἀλλὰ κτανεῖν σὼ παῖδε τολμήσεις, γύναι;

ΜΗΔΕΙΑ.

οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.

ΧΟΡΟΣ.

σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.

ΜΗΔΕΙΑ.

ἴτω· περισσοὶ πάντες οἱ 'ν μέσῳ λόγοι.
ἀλλ' εἶα, χώρει καὶ κόμιζ' Ἰάσονα·
ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.

ΧΟΡΟΣ.

Ἐρεχθεῖδαι τὸ παλαιὸν ὄλβιοι, (στρ. ά.)
καὶ θεῶν παῖδες μακάρων,
ἱερᾶς χώρας ἀπορθήτου τ'
ἀποφερβόμενοι κλεινοτάταν σοφίαν
ἀεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος,

ἔνθα ποθ' ἁγνὰς ἐννέα Πιερίδας λέγουσι Μούσας
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·
τοῦ καλλινάου τ' ἀπὸ Κηφισοῦ ῥοὰς (ἀντ. ά.)
τὰν Κύπριν κλῄζουσιν ἀφυ-
σαμέναν χώραν καταπνεῦσαι
μετρίας ἀνέμων ἡδυπνόους αὔρας·
ἀεὶ δ' ἐπιβαλλομέναν
χαίταις εὐώδη ῥοδέ-
ων πλόκον ἀνθέων τᾷ σοφίᾳ παρέδρους πέμ-
πειν ἔρωτας,
παντοίας ἀρετᾶς ξυνέργους.
πῶς οὖν ἱερῶν ποταμῶν (στροφὴ β'.)
ἢ πόλις ἢ φίλων
πόμπιμός σε χώραν
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν; μετ' ἄλλων
σκέψαι τεκέων πλαγάν,
σκέψαι φόνον οἷον αἱρεῖ.
μὴ, πρὸς γονάτων σε πάντες
πάντως ἱκετεύομεν,
μὴ τέκνα φονεύσῃς.
πόθεν θράσος ἢ φρενὸς ἢ (ἀντιστρ. β'.)
χειρὶ τέκνων σέθεν
καρδίᾳ τε λήψει,
δεινὰν προσάγουσα τόλμαν;
πῶς δ' ὄμματα προσβαλοῦσα
τέκνοις ἄδακρυν μοῖραν
σχήσεις φόνου; οὐ δυνάσει,

825. Μούσας λέγουσι. 828. 9. ἀφυσσαμέναν χώρας. 832. χαίταισιν. 841. αἱρεῖ. 842. πάντως. 844. deest μή. 845. πῶς δὲ θρ.

παίδων ἱκετᾶν πιτνόντων,
τέγξαι χέρα φοινίαν
ἐν τλάμονι θυμῷ.

ΙΑΣΩΝ.

Ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς,
οὐκ ἂν γ' ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι,
τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.

ΜΗΔΕΙΑ.

Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
κἀλοιδόρησα· Σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι
πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γημας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
οὐκ εἰσὶ μέν μοι παῖδες; οἶδα δὲ χθόνα
φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων.
ταῦτ' ἐννοηθεῖσ' ᾐσθόμην ἀβουλίαν
πολλὴν ἔχουσα καὶ μάτην θυμουμένη.
νῦν οὖν ἐπαινῶ, σωφρονεῖν τέ μοι δοκεῖς,
κῆδος τόδ' ἡμῖν προσλαβών· ἐγὼ δ' ἄφρων,
ᾗ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων
καὶ ξυμπεραίνειν καὶ παρεστάναι λέχει,
νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
ἀλλ' ἐσμὲν, οἷον ἐσμὲν, οὐκ ἐρῶ κακὸν,

854. deest ἐν. 856. οὔ τ' ἂν ἁμ.

γυναῖκες· οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
παριέμεσθα, καὶ φαμὲν κακῶς φρονεῖν
τόδ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
ὦ τέκνα, τέκνα, δεῦτε, λείπετε στέγας,
ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
τῆς πρόσθεν ἔχθρας ἐς φίλους μητρὸς μέτα·
σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέστηκεν χόλος.
λάβεσθε χειρὸς δεξιᾶς· οἴ μοι κακῶν!
ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγὼ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα!
χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη,
ὄψιν τερείνην τήνδ' ἔπλησα δακρύων.

ΧΟΡΟΣ.

κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ·
καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν, κακόν.

ΙΑΣΩΝ.

αἰνῶ, γύναι, τάδ', οὐδ' ἐκεῖνα μέμφομαι·
εἰκὸς γὰρ, ὀργὰς θῆλυ ποιεῖσθαι γένος
γάμους παρεμπολῶντί γ' ἀλλοίους πόσει.
ἀλλ' ἐς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
ὑμῶν δὲ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
πολλὴν ἔθηκε σὺν θεοῖς προμηθίαν·
οἶμαι γὰρ, ὑμᾶς τῆσδε γῆς Κορινθίας
τὰ πρῶτ' ἔσεσθαι ξὺν κασιγνήτοις ἔτι.

ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής·
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
στρέψασα λευκὴν ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχει λόγον;

ΜΗΔΕΙΑ.

οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι —

ΙΑΣΩΝ.

θάρσει νυν· εὖ γὰρ τῶνδε θήσομαι πέρι.

ΜΗΔΕΙΑ.

δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·
γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.

ΙΑΣΩΝ.

τί δή, τάλαινα, τοῖσδ' ἐπιστένεις τέκνοις;

ΜΗΔΕΙΑ.

ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξεύχου τέκνα,
ἐσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,
κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
μήτ' ἐμποδὼν σοι, μήτε κοιράνοις χθονὸς
ναίειν, — δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις· —
ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
αἰτοῦ Κρέοντα, τήνδε μὴ φεύγειν χθόνα.

918. τί δῆτα λίαν τοῖσδ'. 919. ἐξηύχου.

ΙΑΣΩΝ.

οὐκ οἶδ' ἄν, εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.

ΜΗΔΕΙΑ.

σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.

ΙΑΣΩΝ.

μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ,
εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.

ΜΗΔΕΙΑ.

ξυλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῇ δῶρ', ἃ καλλιστεύεται
τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολύ,
λεπτόν τε πέπλον καὶ στέφος χρυσήλατον
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία,
ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου,
κεκτημένη τε κόσμον, ὅν ποθ' Ἥλιος
πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς.
λάζυσθε φερνὰς τάσδε, παῖδες, ἐς χέρας,
καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες· οὔ τοι δῶρα μεμπτὰ δέξεται.

ΙΑΣΩΝ.

τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων;
δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου, τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.

930. οὐκ οἶδ' ἄρ'. 944. πατὴρ πατρός.

ΜΗΔΕΙΑ.

μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·
χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεὸς,
νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
ἀλλ', ὦ τέκν', εἰςελθόντε πλουσίους δόμους,
πατρὸς νέαν γυναῖκα δεσπότιν τ' ἐμὴν,
ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
ἐς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.
ἴθ' ὡς τάχιστα· μητρὶ δ', ὧν ἐρᾷ τυχεῖν,
εὐάγγελοι γένοισθε, πράξαντες καλῶς.

ΧΟΡΟΣ.

Νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζωᾶς, (στρ. ά.)
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
δέξεται νύμφα χρυσέων ἀναδέσμων,
δέξεθ' ἁ δύστανος ἄταν·
ξανθᾷ δ' ἀμφὶ κόμᾳ
θήσει τὸν Ἅιδα κόσμον
αὐτὰ ταῖν χεροῖν λαβοῦσα.
πείσει χάρις ἀμβρόσιός τ' αὐγὰ πέπλων (ἀντ. ά.)
χρυσεότευκτον στέφανον περιθέσθαι·
νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.
τοῖον εἰς ἕρκος πεσεῖται,
καὶ μοῖραν θανάτου
προςλήψεται δύστανος·
ἄταν δ' οὐχ ὑπεκφεύξεται.

965. ζοᾶς. 968. δέξεται δύστ. 971. αὐτά γ' ἐν χ. 978. ὑπεκδραμεῖται.

σὺ δ', ὦ τάλαν, ὦ κακόνυμφε (στρ. β'.)
κηδεμὼν τυράννων, παισὶν οὐ κατειδὼς
ὀλέθριον βιοτὰν προςάγεις,
ἀλόχῳ τε σᾷ στυγερὸν θάνατον.
δύστανε, μοίρας ὅσον παροίχει!
μεταστένομαι δὲ σὸν ἄλγος, (ἀντ. β'.)
ὦ τάλαινα παίδων μᾶτερ, ἃ φονεύσεις
τὰ τέκνα νυμφιδίων ἕνεκεν
λεχέων, ἅ σοι προλιπὼν ἀνόμως
ἄλλᾳ ξυνοικεῖ πόσις ξυνεύνῳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

Δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,
καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.

ΜΗΔΕΙΑ.

ἔα.

ΠΑΙΔΑΓΩΓΟΣ.

τί συγχυθεῖσ' ἕστηκας, ἡνίκ' εὐτυχεῖς;
[τί σὴν ἔτρεψας ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχει λόγον;]

ΜΗΔΕΙΑ.

αἶ, αἶ.

ΠΑΙΔΑΓΩΓΟΣ.

τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.

ΜΗΔΕΙΑ.

αἶ, αἶ μάλ' αὖθις.

ΠΑΙΔΑΓΩΓΟΣ.

μῶν τιν' ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;

986. σὰ τ. 994. 5. desunt.

ΜΗΔΕΙΑ.

ἤγγειλας οἷ᾽ ἤγγειλας· οὐ σὲ μέμφομαι.

ΠΑΙΔΑΓΩΓΟΣ.

τί δὴ κατηφεῖς ὄμμα καὶ δακρυῤῥοεῖς;

ΜΗΔΕΙΑ.

πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.

ΠΑΙΔΑΓΩΓΟΣ.

θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι.

ΜΗΔΕΙΑ.

ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.

ΜΗΔΕΙΑ.

δράσω τάδ᾽. ἀλλὰ βαῖνε δωμάτων ἔσω,
καὶ παισὶ πόρσυν᾽, οἷα χρὴ καθ᾽ ἡμέραν. —
ὦ τέκνα, τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ᾽, ἐν ᾧ, λιπόντες ἀθλίαν ἐμέ,
οἰκήσετ᾽ ἀεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ᾽ ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ᾽ ἀνασχέθειν.
ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας!
ἄλλως ἄρ᾽ ὑμᾶς, ὦ τέκν᾽, ἐξεθρεψάμην,
ἄλλως δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις,
στεῤῥὰς ἐνεγκοῦσ᾽ ἐν τόκοις ἀλγηδόνας.
ἦ μήν ποθ᾽ ἡ δύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ᾽ ἐμὲ

καὶ

καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
ζηλωτὸν ἀνθρώποισι· νῦν δ᾽ ὄλωλε δὴ
γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη
λυπρὸν διάξω βίοτον ἀλγεινόν τ᾽ ἐμοί.
ὑμεῖς δὲ μητέρ᾽ οὐκ ἔτ᾽ ὄμμασιν φίλοις
ὄψεσθ᾽, ἐς ἄλλο σχῆμ᾽ ἀποστάντες βίου.
φεῦ, φεῦ· τί προςδέρκεσθέ μ᾽ ὄμμασιν, τέκνα;
τί προςγελᾶτε τὸν πανύστατον γέλων;
αἶ, αἶ· τί δράσω; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόςθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
τί δεῖ με, πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ᾽ ἔγωγε. χαιρέτω βουλεύματα. —
καίτοι τί πάσχω; βούλομαι γέλωτ᾽ ὄφλειν,
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
τολμητέον τάδ᾽. ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.
χωρεῖτε παῖδες ἐς δόμους· ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελήσει· χεῖρα δ᾽ οὐ διαφθερῶ. —
ἆ, ἆ.
μὴ δῆτα, θυμέ, μὴ σύ γ᾽ ἐργάσῃ τάδε·
ἔασον αὐτοὺς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ᾽ ἡμῶν ζῶντες εὐφρανοῦσί σε. —
μὰ τοὺς παρ᾽ Ἅιδην νερτέρους ἀλάστορας,
οὔ τοί ποτ᾽ ἔσται τοῦθ᾽, ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
πάντως σφ᾽ ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ,

ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
πάντως πέπρωται ταῦτα, κοὐκ ἐκφεύξεται.
καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι.
παῖδας προσειπεῖν βούλομαι. δότ', ὦ τέκνα,
δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον, ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
πατὴρ ἀφείλετ'. ὦ γλυκεῖα προσβολὴ,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ' ἥδιστον τέκνων.
χωρεῖτε, χωρεῖτ'· οὐκέτ' εἰμὶ προσβλέπειν
οἵα τ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
καὶ μανθάνω μὲν, οἷα δρᾷν μέλλω κακά·
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

ΧΟΡΟΣ.

Πολλάκις ἤδη διὰ λεπτοτέρων
μύθων ἔμολον, καὶ πρὸς ἁμίλλας
ἦλθον μείζους, ἢ χρὴ γενεὰν
θῆλυν ἐρευνᾶν· ἀλλὰ γάρ ἐστιν
μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ
σοφίας ἕνεκεν· πάσαισι μὲν οὔ·
παῦρον τόδε δὴ γένος ἐν πολλαῖς
εὕροις ἂν ἴσως
κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
καὶ φημὶ βροτῶν οἵ τινές εἰσιν

1060. φ. δέ μοι κάρα. 1076. π. γὰρ δὴ γ. 1078. οὐκ ἀπόμ.

πάμπαν ἄπειροι, μηδ' ἐφύτευσαν
παῖδας, προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων·
οἱ μὲν γ' ἄτεκνοι δι' ἀπειροσύναν,
εἴθ' ἡδὺ βροτοῖς, εἴτ' ἀνιαρὸν
παῖδες τελέθουσ', οὐχὶ τυχόντες,
πολλῶν μόχθων ἀπέχονται.
οἷσιν δὲ τέκνων ἐστὶν ἐν οἴκοις
γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον·
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς,
βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
εἴτ' ἐπὶ χρηστοῖς
μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.
ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
πᾶσιν κατερῶ θνητοῖσι κακόν·
καὶ δὴ γὰρ ἅλις βίοτόν θ' εὗρον,
σῶμά τ' ἐς ἥβην ἤλυθε τέκνων,
χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσει
δαίμων οὗτος, φροῦδος ἐς Ἅιδαν
Θάνατος προφέρων σώματα τέκνων.
πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ' ἔτι λύπην ἀνιαροτάτην
παίδων ἕνεκεν
θνητοῖσι θεοὺς ἐπιβάλλειν;

ΜΗΔΕΙΑ.

Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
καραδοκῶ τἀκεῖθεν, οἷ προβήσεται.

1098. σώματά θ' ἥβην εἰσῆλθε τ.

καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ᾽ ὀπαδῶν, πνεῦμά τ᾽ ἠρεθισμένον,
δείκνυσι δ᾽, ὥς τι καινὸν ἀγγελεῖ κακόν.

ΑΓΓΕΛΟΣ.

ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
λιποῦσ᾽ ἀπήνην, μήτ᾽ ὄχον πεδοστιβῆ.

ΜΗΔΕΙΑ.

τί δ᾽ ἄξιόν μοι τῆςδε τυγχάνει φυγῆς;

ΑΓΓΕΛΟΣ.

ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη
Κρέων θ᾽ ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.

ΜΗΔΕΙΑ.

κάλλιστον εἶπας μῦθον, ἐν δ᾽ εὐεργέταις
τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσει.

ΑΓΓΕΛΟΣ.

τί φής; φρονεῖς μὲν ὀρθὰ, κοὐ μαίνει, γύναι,
ἥτις τυράννων ἑστίαν ᾐκισμένην
χαίρεις κλύουσα, κοὐ φοβεῖ τὰ τοιάδε;

ΜΗΔΕΙΑ.

ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
λέξον δ᾽, ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρὶ, καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν, οἵπερ σοῖς ἐκάμνομεν κακοῖς,
δμῶες· δι᾽ ὤτων δ᾽ εὐθὺς ἦν πολὺς λόγος,

1109. 10. ἠρεθισμένον δείκνυσιν ὥς. 1120. ἠκισμένη.

σέ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
κυνεῖ δ᾽ ὁ μέν τις χεῖρ᾽, ὁ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ᾽ ἑσπόμην.
δέσποινα δ᾽, ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰςιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ᾽ ὀφθαλμὸν εἰς Ἰάσονα·
ἔπειτα μέντοι προὐκαλύψατ᾽ ὄμματα,
λευκήν τ᾽ ἀπέστρεψ᾽ ἔμπαλιν παρηΐδα,
παίδων μυσαχθεῖσ᾽ εἰςόδους· πόσις δὲ σὸς
ὀργάς τ᾽ ἀφῄρει καὶ χόλον νεάνιδος,
λέγων τάδ᾽· Οὐ μὴ δυςμενὴς ἔσει φίλοις,
παύσει δὲ θυμοῦ, καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ᾽, οὕςπερ ἂν πόσις σέθεν·
δέξει δὲ δῶρα, καὶ παραιτήσει πατρὸς,
φυγὰς ἀφεῖναι παισὶ τοῖςδ᾽ ἐμὴν χάριν.
ἡ δ᾽, ὡς ἐςεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ᾽ ᾔνεσ᾽ ἀνδρὶ πάντα· καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ᾽ ἀναστᾶσ᾽ ἐκ θρόνων, διέρχεται
στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδὶ,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
τένοντ᾽ ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ᾽ ἰδεῖν·
χρο[illegible] γὰρ ἀλλάξασα, λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει

θρόνοισιν ἐμπεσοῦσα, μὴ χαμαὶ πεσεῖν.
καί τις γεραιὰ προσπόλων, δόξασά που
ἢ Πανὸς ὀργὰς, ἤ τινὸς θεῶν μολεῖν,
ἀνωλόλυξε, πρίν γ' ὁρᾷ κατὰ στόμα
χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·
εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ' ἡ μὲν ἐς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράν· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
ἤδη δ' ἀνέλκων κῶλον ἐκπλέθρου δρόμου
ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετ' ἄν·
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο·
διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο.
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός·
πέπλοι δὲ λεπτοὶ, σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,
σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
ῥίψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
σύνδεσμα χρυσὸς εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσεισε, μᾶλλον δὶς τόσως τ' ἐλάμπετο.
πιτνεῖ δ' ἐς οὖδος ξυμφορᾷ νικωμένη,
πλὴν τῷ τεκόντι, κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις,
οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου

1163. διὰ στ. 1172. ἂν ἥπτετο.

ἔσταζε κρατὸς, συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων, ὥστε πεύκινον δάκρυ,
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων ξυμφορᾶς ἀγνωσίᾳ
ἄφνω προσελθὼν δῶμα προσπιτνεῖ νεκρῷ·
ᾤμωξε δ' εὐθὺς, καὶ περιπτύξας δέμας
κυνεῖ, προσαυδῶν τοιάδ'· Ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσεν;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴ μοι, ξυνθάνοιμί σοι, τέκνον.
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας,
προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·
ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
ἡ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
χρόνῳ δ' ἀπέσβη καὶ μεθῆχ' ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ, παῖς τε καὶ γέρων πατὴρ,
πέλας, ποθεινὴ δακρύοισι συμφορά.
καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσει γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιὰν,
οὐδ' ἂν τρέσας εἴποιμι, τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν·
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων φύσει·

ὄλβου δ' ἐπιῤῥυέντος, εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, ὄλβιος δ' ἂν οὔ.

ΧΟΡΟΣ.

ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
ὦ τλῆμον, ὥς σου ξυμφορὰς οἰκτείρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου πύλας
οἴχει γάμων ἕκατι τῶν Ἰάσονος.

ΜΗΔΕΙΑ.

φίλαι, δέδοκται τοὔργον, ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονός,
καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
[πάντως σφ' ἀνάγκη κατθανεῖν. ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.]
ἀλλ' εἶ' ὁπλίζου, καρδία. τί μέλλομεν
τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λάβε ξίφος,
λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς τέκνων,
ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ', ὅμως
φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

ΧΟΡΟΣ.

Ἰὼ Γᾶ τε καὶ παμφαὴς (στροφή.)
ἀκτὶς Ἀελίου, κατίδετ', ἴδετε τὰν
ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·

1230. 1. desunt.

τᾶς σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς
ἔβλαστεν, θεῶν δ' αἵματι πιτνεῖν
φόβος ὑπ' ἀνέρων.
ἀλλά νιν, ὦ φάος διογενές, κάτειρ-
γε, κατάπαυσον, ἔξελ' οἴκων φονίαν
τάλαινάν τ' Ἐριννὺν ὑπ' ἀλαστόρων.
μάταν μόχθος ἔῤῥει τέκνων,
μάταν ἄρα γένος φίλιον ἔτεκες, ὦ (ἀντιστρ.)
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν ἐσβολάν.
δειλαία, τί σοι φρενῶν βαρὺς
χόλος προσπιτνεῖ, καὶ δυσμενὴς
φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιά-
σματ' ἐπὶ γαῖαν αὐτοφόνταις ξυνῳ-
δὰ θεόθεν πιτνοῦντ' ἐπὶ δόμοις ἄχη.

ΠΑΙΣ ά.

οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;

ΠΑΙΣ β'.

οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ.

ΧΟΡΟΣ.

ἀκούεις βοάν, ἀκούεις τέκνων;
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι.
παρέλθω δόμους; ἀρῆξαι φόνον
δοκεῖ μοι τέκνοις.

ΠΑΙΔΕΣ.

ναί, πρὸς θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ·
ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.

1245. deest τᾶς. 1246. αἶμα. 1249. φοινίαν. 1252. ἆρα. 1259. αὐτοφόνταισι.

ΧΟΡΟΣ.

τάλαιν᾽, ὡς ἆρ᾽ ἦσθα πέτρος ἢ σίδα-
ρος, ἅτις τέκνων, ὧν ἔτεκες,
ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
μίαν δὴ κλύω, μίαν τῶν πάρος
γυναῖκ᾽ ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ᾽ ἡ Διὸς
δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ.
πιτνεῖ δ᾽ ἁ τάλαιν᾽ ἐς ἅλμαν φόνῳ
τέκνων δυςσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα
δυοῖν τε παίδοιν ξυνθανοῦσ᾽ ἀπόλλυται.
τί δή ποτ᾽ οὖν γένοιτ᾽ ἂν ἔτι δεινόν, ὦ
γυναικῶν λέχος πολύπονον, ὅσα δὴ
βροτοῖς ἔρεξας ἤδη κακά.

ΙΑΣΩΝ.

Γυναῖκες, αἳ τῆςδ᾽ ἐγγὺς ἕστατε στέγης,
ἆρ᾽ ἐν δόμοισιν ἡ τὰ δείν᾽ εἰργασμένη
Μήδεια τοῖςδέ γ᾽, ἢ μεθέστηκεν φυγῇ;
δεῖ γάρ νυν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
ἢ πτηνὸν ἆραι σῶμ᾽ ἐς αἰθέρος βάθος,
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
πέποιθ᾽, ἀποκτείνασα κοιράνους χθονὸς,
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
ἀλλ᾽ — οὐ γὰρ αὐτῆς φροντίδ᾽, ὡς τέκνων, ἔχω·
κείνην μὲν, οὓς ἔδρασεν, ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,

1285. τοῖσιδ᾽, ἤ. 1293. ἐκσώσων.

μή μοί τι δράσωσ᾽ οἱ προςήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.

ΧΟΡΟΣ.

ὦ τλῆμον, οὐκ οἶσθ᾽, οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούςδ᾽ ἂν ἐφθέγξω λόγους.

ΙΑΣΩΝ.

τί δ᾽ ἐστίν; ἦπου κἄμ᾽ ἀποκτεῖναι θέλει;

ΧΟΡΟΣ.

παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.

ΙΑΣΩΝ.

οἴ μοι τί λέξεις; ὥς μ᾽ ἀπώλεσας, γύναι.

ΧΟΡΟΣ.

ὡς οὐκέτ᾽ ὄντων σῶν τέκνων φρόντιζε δή.

ΙΑΣΩΝ.

ποῦ γάρ νιν ἔκτειν᾽, ἐντὸς, ἢ ᾽ξωθεν δόμων;

ΧΟΡΟΣ.

πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.

ΙΑΣΩΝ.

χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόςπολοι,
ἐκλύεθ᾽ ἁρμοὺς, ὡς ἴδω διπλοῦν κακὸν,
τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι φόνῳ.

ΜΗΔΕΙΑ.

τί τάςδε κινεῖς κἀναμοχλεύεις πύλας,
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ᾽· εἰ δ᾽ ἐμοῦ χρείαν ἔχεις,
λέγ᾽ εἴ τι βούλει, χειρὶ δ᾽ οὐ ψαύσεις ποτέ.
τοιόνδ᾽ ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.

ΙΑΣΩΝ.

ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι

θεοῖς τε κἀμοὶ παντί τ᾽ ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα, κἄμ᾽ ἄπαιδ᾽ ἀπώλεσας·
καὶ ταῦτα δράσασ᾽, ἥλιόν τε προσβλέπεις
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
ὄλοι᾽· ἐγὼ δὲ νῦν φρονῶ, τότ᾽ οὐ φρονῶν,
ὅτ᾽ ἐκ δόμων σε βαρβάρου τ᾽ ἀπὸ χθονὸς
Ἕλλην᾽ ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
πατρός τε καὶ γῆς προδότιν, ἥ σ᾽ ἐθρέψατο.
τὸν σὸν δ᾽ ἀλάστορ᾽ εἰς ἔμ᾽ ἔσκηψαν θεοί·
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
ἤρξω μὲν ἐκ τοιῶνδε, νυμφευθεῖσα δὲ
παρ᾽ ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα,
εὐνῆς ἕκατι καὶ λέχους σφ᾽ ἀπώλεσας.
οὐκ ἔστιν ἥτις τοῦτ᾽ ἂν Ἑλληνὶς γυνὴ
ἔτλη ποθ᾽, ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
γῆμαί σε, κῆδος ἐχθρὸν ὀλέθριόν τ᾽ ἐμοί,
λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
ἀλλ᾽ — οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι· τοιόνδ᾽ ἐμπέφυκέ σοι θράσος·
ἔρρ᾽, αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον᾽ αἰάζειν πάρα,
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας, οὓς ἔφυσα κἀξεθρεψάμην,
ἕξω προσειπεῖν ζῶντας, ἀλλ᾽ ἀπώλεσα.

ΜΗΔΕΙΑ.

μακρὰν ἂν ἐξέτεινα τοῖσδ᾽ ἐναντία

1341. μακράν γ᾽ ἄν.

λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο,
οἷ᾽ ἐξ ἐμοῦ πέπονθας, οἷά τ᾽ εἰργάσω·
σὺ δ᾽ οὐκ ἔμελλες, τἄμ᾽ ἀτιμάσας λέχη,
τερπνὸν διάξειν βίοτον, ἐγγελῶν ἐμοί,
οὐδ᾽ ἡ τύραννος, οὐδ᾽ ὁ σοὶ προσθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ᾽ ἐκβαλεῖν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει,
καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ᾤκησεν πέδον·
τῆς σῆς γάρ, ὡς χρή, καρδίας ἀνθηψάμην.

ΙΑΣΩΝ.

καὐτή γε λυπεῖ, καὶ κακῶν κοινωνὸς εἶ.

ΜΗΔΕΙΑ.

σάφ᾽ ἴσθι· λύει δ᾽ ἄλγος, ἢν σὺ μὴ ᾽γγελᾷς.

ΙΑΣΩΝ.

ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε!

ΜΗΔΕΙΑ.

ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ!

ΙΑΣΩΝ.

οὐ τοίνυν ἡ ᾽μὴ δεξιά σφ᾽ ἀπώλεσεν.

ΜΗΔΕΙΑ.

ἀλλ᾽ ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.

ΙΑΣΩΝ.

λέχους σφέ γ᾽ ἠξίωσας οὕνεκα κτανεῖν;

ΜΗΔΕΙΑ.

σμικρὸν γυναικὶ πῆμα τοῦτ᾽ εἶναι δοκεῖς;

ΙΑΣΩΝ.

ἥτις γε σώφρων· σοὶ δὲ πάντ᾽ ἐστὶν κακά.

ΜΗΔΕΙΑ.

οἵδ᾽ οὐκέτ᾽ εἰσί· τοῦτο γάρ σε δήξεται.

1349. ᾤκησε σπέος.

ΙΑΣΩΝ.

οἶδ' εἰσὶν, οἴμοι, σῷ κάρᾳ μιάστορες.

ΜΗΔΕΙΑ.

ἴσασιν, ὅςτις ἦρξε πημονῆς, θεοί.

ΙΑΣΩΝ.

ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.

ΜΗΔΕΙΑ.

στυγεῖ· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.

ΙΑΣΩΝ.

καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.

ΜΗΔΕΙΑ.

πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.

ΙΑΣΩΝ.

θάψαι νεκρούς μοι τούςδε καὶ κλαῦσαι πάρες.

ΜΗΔΕΙΑ.

οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερὶ,
φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
σεμνὴν ἑορτὴν καὶ τέλη προςάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυςσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
σὺ δ', ὥςπερ εἰκὸς, κατθανεῖ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

ΙΑΣΩΝ.

ἀλλά σ' Ἐριννὺς ὀλέσειε τέκνων
φονία τε Δίκη.

ΜΗΔΕΙΑ.

τίς δὲ κλύει σου θεὸς ἢ δαίμων,
τοῦ ψευδόρκου καὶ ξειναπάτα;

ΙΑΣΩΝ.

φεῦ, φεῦ, μυσαρὰ καὶ παιδολέτορ.

ΜΗΔΕΙΑ.

στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.

ΙΑΣΩΝ.

στείχω, δισσῶν γ' ἄμορος τέκνων.

ΜΗΔΕΙΑ.

οὔπω θρηνεῖς· μένε καὶ γῆρας.

ΙΑΣΩΝ.

ὦ τέκνα φίλτατα.

ΜΗΔΕΙΑ.

μητρί γε, σοὶ δ' οὔ.

ΙΑΣΩΝ.

κἄπειτ' ἔκτας;

ΜΗΔΕΙΑ.

σέ γε πημαίνουσ'.

ΙΑΣΩΝ.

οἴ μοι· φιλίου χρῄζω στόματος
παίδων ὁ τάλας προςπτύξασθαι.

ΜΗΔΕΙΑ.

νῦν σφε προςαυδᾷς, νῦν ἀσπάζει,
τότ' ἀπωσάμενος.

ΙΑΣΩΝ.

δός μοι, πρὸς θεῶν,
μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.

1386. καὶ γήρασκ'. 1389. αἶ αἶ.

ΜΗΔΕΙΑ.

οὐκ ἔστι· μάτην ἔπος ἔῤῥιπται.

ΙΑΣΩΝ.

Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμεθ',
οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
καὶ παιδοφόνου τῆςδε λεαίνης;
ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι,
τάδε καὶ θρηνῶ κἀπιθοάζω,
μαρτυρόμενος δαίμονας, ὥς μοι
τέκν' ἀποκτείνασ', ἀποκωλύεις
ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
οὓς μή ποτ' ἐγὼ φύσας ὤφελον
πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.

ΧΟΡΟΣ.

πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

1404. ἐκ σοῦ.

ΤΕΛΟΣ ΜΗΔΕΙΑΣ.

ΕΥΡΙΠΙΔΟΥ

ΙΠΠΟΛΥΤΟΣ

ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων· γήμας δὲ μίαν τῶν Ἀμαζόνων Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνωος τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα, ἕνα τῶν συγγενῶν, φονεύσας, φεύγει ἐς Τροιζῆνα μετὰ τῆς γυναικὸς, οὗ συνέβη τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι· θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν· ἣ, τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα, τέλος τοῖς προτεθεῖσιν ἐπέθηκε, τὴν Φαίδραν εἰς τὸν Ἱππολύτου ἔρωτα παρορμήσασα. ἡ δὲ στέγουσα τὴν νόσον, χρόνῳ πρὸς τὴν τροφὸν τὸ πάθος δηλῶσαι ἠναγκάσθη, κατεπαγγειλαμένην αὐτῇ βοηθήσειν· ἥτις καὶ κατὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησε. καθ᾽ ὃν καιρὸν φανεὶς Θησεὺς, καὶ καθελεῖν σπεύδων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι᾽ ἧς Ἱππολύτου

φθορὰν κατηγόρει καὶ ἐπιβουλήν· πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν· αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο, ὧν ἐπακούσας ὁ θεὸς, τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστα διασαφήσασα Θησεῖ, τὴν μὲν Φαίδραν οὐ κατεμέμψατο, τοῦτον δὲ παρεμυθήσατο, υἱοῦ καὶ γυναικὸς στερηθέντα· τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσασθαι.

[Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροιζῆνι κεῖται. ἐδιδάχθη ἐπὶ Ἀμείνονος ἄρχοντος, Ὀλυμπιάδι ὀγδοηκοστῇ ἑβδόμῃ, ἔτει τετάρτῳ. πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων. ἔστι δὲ οὗτος ὁ Ἱππόλυτος δεύτερος, καὶ ΣΤΕΦΑΝΙΑΣ προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος. τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι. τὸ δὲ δρᾶμα τῶν πρώτων.]

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΦΡΟΔΙΤΗ.
ΙΠΠΟΛΥΤΟΣ.
ΘΕΡΑΠΟΝΤΕΣ.
ΧΟΡΟΣ Τροιζηνίων γυναικῶν.
ΤΡΟΦΟΣ.
ΦΑΙΔΡΑ.
ΕΞΑΓΓΕΛΟΣ.
ΘΕΡΑΠΑΙΝΑ.
ΘΗΣΕΥΣ.
ΑΓΓΕΛΟΣ.
ΑΡΤΕΜΙΣ.

ΕΥΡΙΠΙΔΟΥ ΙΠΠΟΛΥΤΟΣ
ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

ΑΦΡΟΔΙΤΗ.

Πολλὴ μὲν ἐν βροτοῖσι, κοὐκ ἀνώνυμος
θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω·
ὅσοι τε πόντου τερμόνων τ' Ἀτλαντικῶν
ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου,
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
σφάλλω δ', ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.
ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε,
τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.
δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα·
ὁ γάρ με Θησέως παῖς, Ἀμαζόνος τόκος,
Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,
μόνος πολιτῶν τῆσδε γῆς Τροιζηνίας
λέγει κακίστην δαιμόνων πεφυκέναι.
ἀναίνεται δὲ λέκτρα, κοὐ ψαύει γάμων·
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην,
τιμᾷ, μεγίστην δαιμόνων ἡγούμενος·
χλωρὰν δ' ἀν' ὕλην παρθένῳ ξυνὼν ἀεὶ

κυσὶν ταχείαις θῆρας ἐξαιρεῖ χθονὸς,
μείζω βροτείας προςπεσὼν ὁμιλίας.
τούτοισι μέν νυν οὐ φθονῶ· τί γάρ με δεῖ;
ἃ δ' εἰς ἔμ' ἡμάρτηκε, τιμωρήσομαι
Ἱππόλυτον ἐν τῇδ' ἡμέρᾳ· τὰ πολλὰ δὲ
πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.
ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων
σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων
Πανδίονος γῆν πατρὸς εὐγενὴς δάμαρ
ἰδοῦσα Φαίδρα, καρδίαν κατέσχετο
ἔρωτι δεινῷ τοῖς ἐμοῖς βουλεύμασι.
καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροιζηνίαν,
πέτραν παρ' αὐτὴν Παλλάδος κατόψιον
γῆς τῆςδε ναὸν Κύπριδος ἐγκαθείσατο,
ἐρῶσ' ἔρωτ' ἔκδημον· Ἱππολύτῳ δ' ἔπι
τὸ λοιπὸν ὑμνήσουσιν ἱδρύσθαι θεάν.
ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα,
μίασμα φεύγων αἵματος Παλλαντιδῶν,
καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα,
ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγὴν,
ἐνταῦθα δὴ στένουσα καὶ πεπληγμένη
κέντροις Ἔρωτος ἡ τάλαιν' ἀπόλλυται
σιγῇ· ξύνοιδε δ' οὔ τις οἰκετῶν νόσον.
ἀλλ' οὔτι ταύτῃ τόνδ' ἔρωτα χρὴ πεσεῖν·
δείξω δὲ Θησεῖ πρᾶγμα, κἀκφανήσεται.
καὶ τὸν μὲν ἡμῖν πολέμιον πεφυκότα
κτενεῖ πατὴρ ἀραῖσιν, ἃς ὁ πόντιος
ἄναξ Ποσειδῶν ὤπασεν Θησεῖ γέρας,
μηδὲν μάταιον ἐς τρὶς εὔξασθαι θεῷ.

43. πολ. νεανίαν Br.

ἡ δ' εὐκλεὴς μὲν, ἀλλ' ὅμως ἀπόλλυται
Φαίδρα· τὸ γὰρ τῆςδ' οὐ προτιμήσω κακὸν,
τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ
δίκην τοσαύτην, ὥςτ' ἐμοὶ καλῶς ἔχειν.
ἀλλ', — εἰςορῶ γὰρ τόνδε παῖδα Θησέως
στείχοντα, θήρας μόχθον ἐκλελοιπότα,
Ἱππόλυτον, — ἔξω τῶνδε βήσομαι τόπων.
πολὺς δ' ἅμ' αὐτῷ προςπόλων ὀπισθόπους
κῶμος λέλακεν, Ἄρτεμιν τιμῶν θεὰν
ὕμνοισιν· οὐ γὰρ οἶδ' ἀνεῳγμένας πύλας
Ἅιδου φάος τε λοίσθιον βλέπων τόδε.

ΙΠΠΟΛΥΤΟΣ.

Ἕπεσθ' ἀείδοντες, ἕπεσθε,
τὰν Διὸς οὐρανίαν
Ἄρτεμιν, ᾇ μελόμεσθα.

ΘΕΡΑΠΟΝΤΕΣ.

πότνια, πότνια, σεμνοτάτα,
Ζανὸς γένεθλον,
χαῖρε, χαῖρέ μοι, ὦ κόρα,
Λατοῦς Ἄρτεμι καὶ Διός,
καλλίστα πολὺ παρθένων,
ἃ μέγαν κατ' οὐρανὸν
ναίεις εὐπατέρειαν αὐλάν,
Ζανὸς πολύχρυσον οἶκον.

ΙΠΠΟΛΥΤΟΣ.

χαῖρέ μοι, ὦ καλλίστα,
καλλίστα τῶν κατ' Ὄλυμπον

48. κακόν M. 49. τοῦ μὴ οὐ M. 50. ὥςτέ μοι M. 53. θεὸν M. 58. ᾄδοντες Br. 59. add. Ἄρτεμιν. | 63. 4. χαῖρέ μοι, ὦ κόρα, Χαῖρέ μοι, Λατοῦς, Ἄρτ. 66. αἵ. 67. ναίετ' M. ναίουσ' Br.

παρθένων, Ἄρτεμι.
σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,
ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ,
οὐδ' ἦλθέ πω σίδηρος, ἀλλ' ἀκήρατον
μέλισσα λειμῶν' ἠρινὸν διέρχεται·
Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις,
ὅσοις διδακτὸν μηδὲν, ἀλλ' ἐν τῇ φύσει
τὸ σωφρονεῖν εἴληχεν ἐς τὰ πάνθ' ὁμῶς,
τούτοις δρέπεσθαι· τοῖς κακοῖσι δ' οὐ θέμις.
ἀλλ', ὦ φίλη δέσποινα, χρυσέας κόμης
ἀνάδημα δέξαι χειρὸς εὐσεβοῦς ἄπο.
μόνῳ γάρ ἐστι τοῦτ' ἐμοὶ γέρας βροτῶν·
σοὶ καὶ ξύνειμι, καὶ λόγοις σ' ἀμείβομαι,
κλύων μὲν αὐδὴν, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν.
τέλος δὲ κάμψαιμ', ὥσπερ ἠρξάμην, βίου.

ΘΕΡΑΠΩΝ.

ἄναξ, — θεοὺς γὰρ δεσπότας καλεῖν χρεὼν —
ἆρ' ἄν τι μου δέξαιο βουλεύσαντος εὖ;

ΙΠΠΟΛΥΤΟΣ.

καὶ κάρτα γ'· ἦ γὰρ οὐ σοφοὶ φαινοίμεθ' ἄν.

ΘΕΡΑΠΩΝ.

οἶσθ' οὖν, βροτοῖσιν ὃς καθέστηκεν νόμος;

ΙΠΠΟΛΥΤΟΣ.

οὐκ οἶδα· τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι;

ΘΕΡΑΠΩΝ.

μισεῖν τὸ σεμνὸν, καὶ τὸ μὴ πᾶσιν φίλον.

76. ἐαρινὴ Br. 79. ἀλλά γ' ἡ φύσις Br. 79. εἰς τὰ πάντ' ἀεὶ M. 83. βροτῶν γέρας Br. 84. deest σ' M. 91. οὐκ οἶδα τοῦ μ' ἀνιστ. νόμου πέρι Br.

ΙΠΠΟΛΥΤΟΣ.

ὀρθῶς γε· τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν;

ΘΕΡΑΠΩΝ.

ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις;

ΙΠΠΟΛΥΤΟΣ.

πλείστη γε, καὶ κέρδος γε σὺν μόχθῳ βραχεῖ.

ΘΕΡΑΠΩΝ.

ἦ κἀν θεοῖσι ταὐτὸν ἐλπίζεις τόδε;

ΙΠΠΟΛΥΤΟΣ.

εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.

ΘΕΡΑΠΩΝ.

πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;

ΙΠΠΟΛΥΤΟΣ.

τίν'; εὐλαβοῦ δὲ, μή τι σὸν σφαλῇ στόμα.

ΘΕΡΑΠΩΝ.

τήνδ', ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις.

ΙΠΠΟΛΥΤΟΣ.

πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι.

ΘΕΡΑΠΩΝ.

σεμνή γε μέντοι κἀπίσημος ἐν βροτοῖς.

ΙΠΠΟΛΥΤΟΣ.

ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει.

ΘΕΡΑΠΩΝ.

εὐδαιμονοίης, νοῦν ἔχων, ὅσον σε δεῖ.

ΙΠΠΟΛΥΤΟΣ.

οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.

ΘΕΡΑΠΩΝ.

τιμαῖσιν, ὦ παῖ, δαιμόνων χρῆσθαι χρεών.

95. πλ. τε Br.

ΙΠΠΟΛΥΤΟΣ.

χωρεῖτ᾽, ὀπαδοί, καὶ παρελθόντες δόμους
σίτων μέλεσθε· τερπνὸν ἐκ κυναγίας
τράπεζα πλήρης· καὶ καταψήχειν χρεὼν
ἵππους, ὅπως ἂν, ἅρμασι ζεύξας ὕπο,
βορᾶς κορεσθεὶς, γυμνάσω τὰ πρόςφορα·
τὴν σὴν δὲ Κύπριν πόλλ᾽ ἐγὼ χαίρειν λέγω.

ΘΕΡΑΠΩΝ.

ἡμεῖς δὲ, — τοὺς νέους γὰρ οὐ μιμητέον
φρονοῦντες οὕτως, ὡς πρέπει δούλοις λέγειν, —
προσευχόμεσθα τοῖσι σοῖς ἀγάλμασιν,
δέσποινα Κύπρι. Χρὴ δὲ συγγνώμην ἔχειν,
εἴ τις σ᾽, ὑφ᾽ ἥβης σπλάγχνον εὔτονον φέρων,
μάταια βάζει· μὴ δόκει τούτων κλύειν·
σοφωτέρους γὰρ δεῖ βροτῶν εἶναι θεούς.

ΧΟΡΟΣ.

Ὠκεανοῦ τις ὕδωρ (στροφὴ ά.)
στάζουσα πέτρα λέγεται
βαπτὰν κάλπισι ῥυτὰν παγὰν
προϊεῖσα κρημνῶν,
ὅθι μοι τις ἦν φίλα,
φάρεα πορφύρεα
ποταμίᾳ δρόσῳ
τέγγουσα, θερμᾶς δ᾽ ἐπὶ νῶτα πέτρας
εὐαλίου κατέβαλεν *· ὅθεν μοι
πρώτα φάτις ἦλθε, δέσποιναν
τειρομέναν νοσερᾷ (ἀντιστρ. ά.)

115. προσευξόμεσθα M. Br. 118. τούτου M. Br. 124. τόθι M. 125. πορφύρεα φάρεα. 128. κατέβαλ᾽· ἔνθεν ἁμῖν Br. 129. δεσποίνας Br.

κοίτᾳ δέμας ἐντὸς ἔχειν
οἴκων, λεπτὰ δὲ φάρεα ξανθὰν
κεφαλὰν σκιάζειν.
τριτάταν δέ νιν κλύω
τάνδε κατ᾽ ἀμβροσίου
στόματος ἁμέραν
Δάματρος ἀκτᾶς δέμας ἁγνὸν ἴσχειν,
κρυπτῷ τε πένθει θανάτου θέλουσαν
κέλσαι ποτὶ τέρμα δύστανον.
σὺ γὰρ ἔνθεος, ὦ κούρα, (στροφὴ β΄.)
εἴτ᾽ ἐκ Πανὸς, εἴθ᾽ Ἑκάτας,
ἢ σεμνῶν Κορυβάντων,
ἢ ματρὸς ὀρείας φοιτᾷς.
σὺ δ᾽ ἀμφὶ τὰν πολύθηρον
Δίκτυνναν ἀμπλακίαις
ἀνίερος ἀθύτων πελάνων τρύχει.
φοιτᾷ γὰρ καὶ διὰ λίμνας
χέρσον θ᾽ ὑπὲρ πελάγους
δίναισιν νοτίαις ἅλμας.
ἢ πόσιν, τὸν Ἐρεχθειδᾶν (ἀντιστρ. β΄.)
ἀρχαγὸν, τὸν εὐπατρίδαν,
ποιμαίνει τις ἐν οἴκοις,
κρυπτᾷ κοίτᾳ λεχέων σῶν;
ἢ ναυβάτας τις ἔπλευσεν
Κρήτας ἔξορμος ἀνὴρ
λιμένα τὸν εὐξεινότατον ναύταις,
φήμαν πέμπων βασιλείᾳ;

132. φάρη Br. 138. τε om. Br. 140. ἆρά γ᾽ ἔνθ. Br. 143. ὀρείας φοιταλέου. 146. ἀνιέροις Br. 149. δίναις ἐν νοτ. M. νοτίας Br. 153. κρυπτᾷ γε κοίτᾳ τῶν σῶν λεχ. M. Br. 156. τόνδ᾽ Br.

λύπᾳ δ' ὑπὲρ παθέων
εὐναίᾳ δέδεται ψυχάν.
φιλεῖ δὲ τᾷ δυστρόπῳ γυναικῶν (ἐπῳδός.)
ἁρμονίᾳ κακὰ δύστανος
ἀμηχανία συνοικεῖν
ὠδίνων τε καὶ ἀφροσύνας.
δι' ἐμᾶς ᾖξεν ποτὲ νηδύος ἅδ' αὖρα·
τὰν δ' εὔλοχον οὐρανίαν τόξων
μεδέουσαν ἀΰτευν Ἄρτεμιν.
καί μοι πολυζήλωτος αἰ-
εὶ σὺν θεοῖσι φοιτᾷ.
ἀλλ' ἥδε τροφὸς γεραιὰ πρὸ θυρῶν
τήνδε κομίζουσ' ἔξω μελάθρων·
στυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται.
τί ποτ' ἐστὶ, μαθεῖν ἔραται ψυχὰ,
τί δεδήληται
δέμας ἀλλόχροον βασιλείας.

ΤΡΟΦΟΣ.

ὦ κακὰ θνητῶν στυγεραί τε νόσοι!
τί σ' ἐγὼ δράσω; τί δὲ μὴ δράσω;
τόδε σοι φέγγος λαμπρὸν, ὅδ' αἰθήρ,
ἔξω δὲ δόμων ἤδη νοσερᾶς
δέμνια κοίτας·
δεῦρο γὰρ ἐλθεῖν, πᾶν ἔπος ἦν σοι·
τάχα δ' ἐς θαλάμους σπεύσεις τὸ πάλιν·
ταχὺ γὰρ σφάλλει κοὐδενὶ χαίρεις·
οὐδέ σ' ἀρέσκει τὸ παρὸν, τὸ δ' ἀπὸν

159. εὐναία M. Br. ψυχά M. 164. ἤιξε M. ᾖξε Br. 166. Ἄρτεμιν ἀΰτευν M. Ἄρτεμιν om. Br. 168. θεοῖσιν M. θεοῖς ἐφοίτα Br. 177. φέγγος, λαμπρὸς ὅδ' Br. 179. κοίτης Br.

φίλτερον ἡγεῖ·
κρεῖσσον δὲ νοσεῖν, ἢ θεραπεύειν·
τὸ μέν ἐστιν ἁπλοῦν, τῷ δὲ συνάπτει
λύπη τε φρενῶν χερσίν τε πόνος.
πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων,
κοὐκ ἔστι πόνων ἀνάπαυσις·
ἀλλ' ὅ τι τοῦ ζῆν φίλτερον ἄλλο
σκότος ἀμπίσχων κρύπτει νεφέλαις.
δυσέρωτες δὴ φαινόμεθ' ὄντες
τοῦδ', ὅ τι τοῦτο στίλβει κατὰ γᾶν,
δι' ἀπειροσύναν ἄλλου βιότου,
κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίας·
μύθοις δ' ἄλλως φερόμεσθα.

ΦΑΙΔΡΑ.

αἴρετέ μου δέμας, ὀρθοῦτε κάρα·
λέλυμαι μελέων σύνδεσμα, φίλαι.
λάβετ' εὐπήχεις χεῖρας, πρόπολοι.
βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν·
ἄφελ', ἀμπέτασον βόστρυχον ὤμοις.

ΤΡΟΦΟΣ.

θάρσει, τέκνον, καὶ μὴ χαλεπῶς
μετάβαλλε δέμας.
ῥᾷον δὲ νόσον μετά θ' ἡσυχίας
καὶ γενναίου λήματος οἴσεις·
μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.

ΦΑΙΔΡΑ.

αἶ, αἶ·
πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος

190. ἀλλ' ὅτι M. ἄλλο τι τ. ζ. φ. ἀλλ' ὅ Br. 193. τοῦδ', ὅτι M. Br. γῆν M. 195. γαῖαν Br.

καθαρῶν ὑδάτων πῶμ᾽ ἀρυσαίμαν;
ὑπό τ᾽ αἰγείροις ἔν τε κομήτῃ
λειμῶνι κλιθεῖσ᾽ ἀναπαυσαίμαν;

ΤΡΟΦΟΣ.

ὦ παῖ, τί θροεῖς;
οὐ μὴ παρ᾽ ὄχλῳ τάδε γηρύσει,
μανίας ἔποχον ῥίπτουσα λόγον.

ΦΑΙΔΡΑ.

πέμπετέ μ᾽ εἰς ὄρος· εἶμι πρὸς ὕλαν
καὶ παρὰ πεύκας, ἵνα θηροφόνοι
στείβουσι κύνες,
βαλίαις ἐλάφοις ἐγχριμπτομένα·
πρὸς θεῶν, ἔραμαι κυσὶ θωΰξαι,
καὶ παρὰ χαίταν ξανθὰν ῥίψαι
Θεσσαλὸν ὅρπακ᾽, ἐπίλογχον ἔχουσ᾽
ἐν χειρὶ βέλος.

ΤΡΟΦΟΣ.

τί ποτ᾽, ὦ τέκνον, τάδε κηραίνεις;
τί κυνηγεσίων καὶ σοὶ μελέτης;
τί δὲ κρηναίων νασμῶν ἔρασαι;
πάρα γὰρ δροσερὰ πύργοις συνεχὴς
κλιτὺς, ὅθεν σοι πῶμα γένοιτ᾽ ἄν.

ΦΑΙΔΡΑ.

δέσποιν᾽ ἁλίας Ἄρτεμι Λίμνας
καὶ γυμνασίων τῶν ἱπποκρότων,
εἴθε γενοίμαν ἐν σοῖς δαπέδοις,
πώλους Ἐνέτας δαμαλιζομένα.

217. ἐγχριπτόμεναι M. κύνες. — ἐγχριμπτομένα, Br. 223. μελέτῃ Br.

ΤΡΟΦΟΣ.

τί τόδ᾽ αὖ παράφρων ἔῤῥιψας ἔπος;
νῦν δὴ μὲν ὄρος βᾶσ᾽ ἐπὶ θήρας
πόθον ἐστέλλου, νῦν δ᾽ αὖ ψαμάθοις
ἐπ᾽ ἀκυμάντοις πώλων ἔρασαι.
τάδε μαντείας ἄξια πολλᾶς,
ὅστις σε θεῶν ἀνασειράζει,
καὶ παρακόπτει φρένας, ὦ παῖ.

ΦΑΙΔΡΑ.

δύστανος ἐγὼ, τί ποτ᾽ εἰργασάμαν;
ποῖ παρεπλάγχθην γνώμας ἀγαθᾶς;
ἐμάνην, ἔπεσον δαίμονος ἄτᾳ.
φεῦ, φεῦ, τλήμων.
μαῖα, πάλιν μου κρύψον κεφαλάν·
αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
κρύπτε· κατ᾽ ὄσσων δάκρυ μοι βαίνει,
καὶ ἐπ᾽ αἰσχύνην ὄμμα τέτραπται.
τὸ γὰρ ὀρθοῦσθαι γνώμαν ὀδυνᾷ,
τὸ δὲ μαινόμενον κακόν· ἀλλὰ κρατεῖ,
μὴ γιγνώσκοντ᾽ ἀπολέσθαι.

ΤΡΟΦΟΣ.

κρύπτω· τὸ δ᾽ ἐμὸν πότε δὴ θάνατος
σῶμα καλύψει;
πολλὰ διδάσκει μ᾽ ὁ πολὺς βίοτος.
χρῆν γὰρ μετρίας εἰς ἀλλήλους
φιλίας θνατοὺς ἀνακίρνασθαι,
καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχᾶς,
εὔλυτα δ᾽ εἶναι στέργηθρα φρενῶν,
ἀπό τ᾽ ὤσασθαι καὶ ξυντεῖναι.

231. παράφρον M. 235. πολλῆς M. 246. ὀδύνα M.

τὸ δ᾽ ὑπὲρ δισσῶν μίαν ὠδίνειν
ψυχὰν χαλεπὸν βάρος, ὡς κἀγὼ
τῆσδ᾽ ὑπεραλγῶ.
βιότου δ᾽ ἀτρεκεῖς ἐπιτηδεύσεις
φασὶ σφάλλειν πλέον, ἢ τέρπειν,
τῇ θ᾽ ὑγιείᾳ μᾶλλον πολεμεῖν.
οὕτω τὸ λίαν ἧσσον ἐπαινῶ
τοῦ μηδὲν ἄγαν·
καὶ ξυμφήσουσι σοφοί μοι.

ΧΟΡΟΣ.

Γύναι γεραιὰ, βασιλίδος πιστὴ τροφὲ
Φαίδρας, ὁρῶμεν τάσδε δυστήνους τύχας·
ἄσημα δ᾽ ἡμῖν, ἥτις ἐστὶν ἡ νόσος·
σοῦ δ᾽ ἂν πυθέσθαι καὶ κλύειν βουλοίμεθ᾽ ἄν.

ΤΡΟΦΟΣ.

οὐκ οἶδ᾽ ἐλέγχουσ᾽· οὐ γὰρ ἐννέπειν θέλει.

ΧΟΡΟΣ.

οὐδ᾽ ἥτις ἀρχὴ τῶνδε πημάτων ἔφυ;

ΤΡΟΦΟΣ.

ἐς ταυτὸν ἥκεις· πάντα γὰρ σιγᾷ τάδε.

ΧΟΡΟΣ.

ὡς ἀσθενεῖ τε καὶ κατέξανται δέμας!

ΤΡΟΦΟΣ.

πῶς δ᾽ οὔ, τριταίαν γ᾽ οὖσ᾽ ἄσιτος ἡμέραν;

ΧΟΡΟΣ.

πότερον ὑπ᾽ ἄτης, ἢ θανεῖν πειρωμένη;

ΤΡΟΦΟΣ.

θανεῖν· ἀσιτεῖ δ᾽ εἰς ἀπόστασιν βίου.

263. λίαν γ᾽ M. 269. σοῦ δ᾽ αὖ Br.

ΧΟΡΟΣ.

θαυμαστὸν εἶπας, εἰ τάδ᾽ ἐξαρκεῖ πόσει.

ΤΡΟΦΟΣ.

κρύπτει γὰρ ἥδε πῆμα, κοὔ φησιν νοσεῖν.

ΧΟΡΟΣ.

ὁ δ᾽ ἐς πρόσωπον οὐ τεκμαίρεται βλέπων;

ΤΡΟΦΟΣ.

ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός.

ΧΟΡΟΣ.

σὺ δ᾽ οὐκ ἀνάγκην προσφέρεις, πειρωμένη
νόσον πυθέσθαι τῆσδε καὶ πλάνον φρενῶν;

ΤΡΟΦΟΣ.

ἐς πάντ᾽ ἀφῖγμαι, κοὐδὲν εἴργασμαι πλέον·
οὐ μὴν ἀνήσω γ᾽ οὐδὲ νῦν προθυμίας,
ὡς ἂν παροῦσα καὶ σύ μοι ξυμμαρτυρῇς,
οἵα πέφυκα δυστυχοῦσι δεσπόταις. —
ἄγ᾽, ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων
λαθώμεθ᾽ ἄμφω, καὶ σύ θ᾽ ἡδίων γενοῦ,
στυγνὴν ὀφρὺν λύσασα καὶ γνώμης ὁδόν,
ἐγώ θ᾽, ὅπη σοι μὴ καλῶς τόθ᾽ εἱπόμην,
μεθεῖσ᾽, ἐπ᾽ ἄλλον εἶμι βελτίω λόγον.
κεἰ μὲν νοσεῖς τι τῶν ἀποῤῥήτων κακῶν,
γυναῖκες αἵδε συγκαθιστάναι νόσον.
εἰ δ᾽ ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
λέγ᾽, ὡς ἰατροῖς πρᾶγμα μηνυθῇ τόδε.
εἶεν· τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾶν, τέκνον,

282. φρενῶν πλάνον Br. 287. ἀλλ᾽, ὦ φ. π. 293. συγκαθίσταιντ᾽ ἂν Br. 296. ἔα· τί σ. οὔ σε χρή Br.

ἀλλ᾽ ἢ μ᾽ ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
φθέγξαι τι· δεῦρ᾽ ἄθρησον· ὦ τάλαιν᾽ ἐγώ!
γυναῖκες, ἄλλως τούςδε μοχθοῦμεν πόνους,
ἴσον δ᾽ ἄπεσμεν τῷ πρίν· οὔτε γὰρ τότε
λόγοις ἐτέγγεθ᾽ ἥδε, νῦν τ᾽ οὐ πείθεται.
ἀλλ᾽ ἴσθι μέντοι — πρὸς τάδ᾽ αὐθαδεστέρα
γίγνου θαλάσσης — εἰ θανεῖ, προδοῦσα σοὺς
παῖδας, πατρῴων μὴ μεθέξοντας δόμων,
μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,
ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
νόθον, φρονοῦντα γνήσι᾽, — οἶσθά νιν καλῶς,
Ἱππόλυτον.

ΦΑΙΔΡΑ.

οἴ μοι!

ΤΡΟΦΟΣ.

θιγγάνει σέθεν τόδε;

ΦΑΙΔΡΑ.

ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
τοῦδ᾽ ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.

ΤΡΟΦΟΣ.

ὁρᾷς; φρονεῖς μὲν εὖ, φρονοῦσα δ᾽, οὐ θέλεις
παῖδάς τ᾽ ὀνῆσαι καὶ σὸν ἐκσῶσαι βίον.

ΦΑΙΔΡΑ.

φιλῶ τέκν᾽· ἄλλῃ δ᾽ ἐν τύχῃ χειμάζομαι.

ΤΡΟΦΟΣ.

ἁγνὰς μὲν, ὦ παῖ, χεῖρας αἵματος φορεῖς.

ΦΑΙΔΡΑ.

χεῖρες μὲν ἁγναὶ, φρὴν δ᾽ ἔχει μίασμά τι.

297. ἤν τι M. 315. φέρεις M.

ΤΡΟΦΟΣ.

μῶν ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος;

ΦΑΙΔΡΑ.

φίλος μ᾽ ἀπόλλυσ᾽ οὐχ ἑκοῦσαν οὐχ ἑκών.

ΤΡΟΦΟΣ.

Θησεύς τιν᾽ ἡμάρτηκεν ἐς σ᾽ ἁμαρτίαν;

ΦΑΙΔΡΑ.

μὴ δρῶσ᾽ ἔγωγ᾽ ἐκεῖνον ὀφθείην κακῶς.

ΤΡΟΦΟΣ.

τί γὰρ τὸ δεινὸν τοῦθ᾽, ὅ σ᾽ ἐξαίρει θανεῖν;

ΦΑΙΔΡΑ.

ἔα μ᾽ ἁμαρτεῖν· οὐ γὰρ ἐς σ᾽ ἁμαρτάνω.

ΤΡΟΦΟΣ.

οὐ δῆθ᾽ ἑκοῦσά γ᾽, ἐν δέ σοὶ λελείψομαι.

ΦΑΙΔΡΑ.

τί δρᾷς; βιάζει χειρὸς ἐξηρτημένη.

ΤΡΟΦΟΣ.

καὶ σῶν γε γονάτων οὐ μεθήσομαί ποτε.

ΦΑΙΔΡΑ.

κάκ᾽, ὦ τάλαινα, σοὶ, τάδ᾽ εἰ πεύσει κακά.

ΤΡΟΦΟΣ.

μεῖζον γὰρ, ἢ σοῦ μὴ τυχεῖν, τί μοι κακόν;

ΦΑΙΔΡΑ.

ὀλεῖ· τὸ μέντοι πρᾶγμ᾽ ἐμοὶ τιμὴν φέρει.

ΤΡΟΦΟΣ.

κᾆπειτα κρύπτεις χρῆσθ᾽ ἱκνουμένης ἐμοῦ;

ΦΑΙΔΡΑ.

ἐκ τῶν γὰρ αἰσχρῶν ἐσθλὰ μηχανώμεθα.

323. ἐξαρτωμένη; M. Br. 325. καὶ τῶνδε B. 328. ΤΡ. ὀλῇ. ΦΑΙ. τὸ μέντοι Br.

ΤΡΟΦΟΣ.

οὐκοῦν λέγουσα τιμιωτέρα φανεῖ.

ΦΑΙΔΡΑ.

ἄπελθε πρὸς θεῶν, δεξιάν τ' ἐμὴν μέθες.

ΤΡΟΦΟΣ.

οὐ δῆτ', ἐπεί μοι δῶρον οὐ δίδως, ὃ χρῆν.

ΦΑΙΔΡΑ.

δώσω· σέβας γὰρ χειρὸς αἰδοῦμαι τὸ σόν.

ΤΡΟΦΟΣ.

σιγῷμ' ἂν ἤδη· σὸς γὰρ οὑντεῦθεν λόγος.

ΦΑΙΔΡΑ.

ὦ τλῆμον, οἷον, μῆτερ, ἠράσθης ἔρον;

ΤΡΟΦΟΣ.

ὃν ἔσχε ταύρου, τέκνον, ἢ τί φὴς τόδε;

ΦΑΙΔΡΑ.

σύ τ', ὦ τάλαιν' ὅμαιμε, Διονύσου δάμαρ.

ΤΡΟΦΟΣ.

τέκνον, τί πάσχεις; συγγόνους κακοῤῥοθεῖς.

ΦΑΙΔΡΑ.

τρίτη δ' ἐγὼ δύστηνος, ὡς ἀπόλλυμαι!

ΤΡΟΦΟΣ.

ἔκ τοι πέπληγμαι· ποῖ προβήσεται λόγος;

ΦΑΙΔΡΑ.

ἐκεῖθεν ἡμεῖς, οὐ νεωστὶ, δυστυχεῖς.

ΤΡΟΦΟΣ.

οὐδέν τι μᾶλλον οἶδ', ἃ βούλομαι κλύειν.

ΦΑΙΔΡΑ.

φεῦ·
πῶς ἂν σύ μοι λέξειας, ἁμὲ χρὴ λέγειν;

ΤΡΟΦΟΣ.

οὐ μάντις εἰμὶ, τἀφανῆ γνῶναι σαφῶς.

ΦΑΙΔΡΑ.

τί τοῦθ', ὃ δὴ λέγουσιν ἀνθρώπους ἐρᾶν;

ΤΡΟΦΟΣ.

ἥδιστον, ὦ παῖ, ταὐτὸν ἀλγεινόν θ' ἅμα.

ΦΑΙΔΡΑ.

ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι.

ΤΡΟΦΟΣ.

τί φής; ἐρᾷς, ὦ τέκνον, ἀνθρώπων τινός;

ΦΑΙΔΡΑ.

ὅςτις ποθ' οὗτός ἐσθ' ὁ τῆς Ἀμαζόνος —

ΤΡΟΦΟΣ.

Ἱππόλυτον αὐδᾷς;

ΦΑΙΔΡΑ.

σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις.

ΤΡΟΦΟΣ.

οἴ μοι, τί λέξεις, τέκνον; ὥς μ' ἀπώλεσας.
γυναῖκες, οὐκ ἀνάσχετ', οὐκ ἀνέξομαι
ζῶσ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰςορῶ φάος.
ῥίψω, μεθήσω σῶμ'· ἀπαλλαχθήσομαι
βίου θανοῦσα. χαίρετ'· οὐκ ἔτ' εἴμ' ἐγώ.
οἱ σώφρονες γὰρ οὐχ ἑκόντες, ἀλλ' ὅμως
κακῶν ἐρῶσι. Κύπρις οὐκ ἄρ' ἦν θεὸς,
ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
ἣ τήνδε κἀμὲ καὶ δόμους ἀπώλεσεν.

ΧΟΡΟΣ.

Ἄϊες ὦ, ἔκλυες ὦ (στροφή.)
ἀνήκουστα τᾶς

346. χρή Br. 348. κεχρημέναι M.

τυράννου πάθεα μέλεα θρεομένας.
ὀλοίμαν ἔγωγε, πρὶν σὰν φίλαν
κατανύσαι φρένα. ἰώ μοι, φεῦ φεῦ!
ὦ τάλαινα τῶνδ᾽ ἀλγέων!
ὦ πόνοι τρέφοντες βροτούς!
ὄλωλας, ἐξέφηνας ἐς φάος κακά.
τίς σε παναμέριος ὅδε χρόνος μένει;
τελευτάσεταί τι καινὸν δόμοις.
ἄσημα δ᾽ οὐκ ἔτ᾽ ἐστὶν, οἷ φθίνει τύχα
Κύπριδος, ὦ τάλαινα παῖ Κρησία.

ΦΑΙΔΡΑ.

Τροιζήνιαι γυναῖκες, αἳ τόδ᾽ ἔσχατον
οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
ἤδη ποτ᾽ ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ
θνητῶν ἐφρόντισ᾽ ᾗ διέφθαρται βίος.
καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν
πράσσειν κάκιον· ἔστι γὰρ τό γ᾽ εὖ φρονεῖν
πολλοῖσιν, ἀλλὰ τῇδ᾽ ἀθρητέον τόδε·
τὰ χρήστ᾽ ἐπιστάμεσθα καὶ γιγνώκομεν,
οὐκ ἐκπονοῦμεν δ᾽, οἱ μὲν ἀργίας ὕπο,
οἱ δ᾽ ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν᾽. εἰσὶ δ᾽ ἡδοναὶ πολλαὶ βίου,
μακραί τε λέσχαι καὶ σχολὴ, τερπνὸν κακὸν,
αἰδώς τε. δισσαὶ δ᾽ εἰσίν· ἡ μὲν οὐ κακὴ,
ἡ δ᾽ ἄχθος οἴκων. εἰ δ᾽ ὁ καιρὸς ἦν σαφὴς,
οὐκ ἂν δύ᾽ ἤστην ταὔτ᾽ ἔχοντε γράμματα.
ταῦτ᾽ οὖν ἐπειδὴ τυγχάνω προγνοῦσ᾽ ἐγὼ,

364. 5. πρίν σ᾽ ἂν φ. καταλῦσαι φρένα M. Br. 369. τίς σ᾽ ὦ παν. ὅδε πόνος μίμνει Br. 370. τελευτήσεται M. Br. 387. ταὖτ᾽ M.

οὐκ ἔσθ᾽ ὁποίῳ φαρμάκῳ διαφθερεῖν
ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν.
λέξω δὲ καὶ σοὶ τῆς ἐμῆς γνώμης ὁδόν·
ἐπεί μ᾽ ἔρως ἔτρωσεν, ἐσκόπουν, ὅπως
κάλλιστ᾽ ἐνέγκαιμ᾽ αὐτόν. ἠρξάμην μὲν οὖν
ἐκ τοῦδε σιγᾷν τήνδε καὶ κρύπτειν νόσον.
γλώσσῃ γὰρ οὐδὲν πιστὸν, ἣ θυραῖα μὲν
φρονήματ᾽ ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ᾽ ὑφ᾽ αὑτῆς πλεῖστα κέκτηται κακά.
τὸ δεύτερον δὲ, τὴν ἄνοιαν εὖ φέρειν
τῷ σωφρονεῖν νικῶσα προὐνοησάμην.
τρίτον δ᾽, ἐπειδὴ τοῖσίδ᾽ οὐκ ἐξήνυτον
Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι
κράτιστον· οὐδεὶς ἀντερεῖ βουλεύμασιν.
ἐμοὶ γὰρ εἴη μήτε λανθάνειν καλὰ,
μήτ᾽ αἰσχρὰ δρώσῃ μάρτυρας πολλοὺς ἔχειν.
τὸ δ᾽ ἔργον ᾔδη τὴν νόσον τε δυςκλεᾶ,
γυνή τε πρὸς τοῖςδ᾽ οὖσ᾽ ἐγίγνωσκον καλῶς,
μίσημα πᾶσιν. ὡς ὄλοιτο παγκάκως,
ἥτις πρὸς ἄνδρας ἤρξατ᾽ αἰσχύνειν λέχη
πρώτη θυραίους! ἐκ δὲ γενναίων δόμων
τόδ᾽ ἦρξε θηλείαισι γίγνεσθαι κακόν.
ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.
μισῶ δὲ καὶ τὰς σώφρονας μὲν ἐν λόγοις,
λάθρα δὲ τόλμας οὐ καλὰς κεκτημένας.
αἳ πῶς ποτ᾽, ὦ δέσποινα ποντία Κύπρι,
βλέπουσιν ἐς πρόσωπα τῶν ξυνευνετῶν;
οὐδὲ σκότον φρίσσουσι τὸν ξυνεργάτην

400. τοῖσιν M. 407. ὥςτ᾽ Br.

τέρεμνά τ' οἴκων, μή ποτε φθογγὴν ἀφῇ;
ἡμᾶς γὰρ αὐτὸ τοῦτ' ἀποκτείνει, φίλαι,
ὡς μή ποτ' ἄνδρα τὸν ἐμὸν αἰσχύνασ' ἁλῶ,
μὴ παῖδας, οὓς ἔτικτον· ἀλλ' ἐλεύθεροι,
παῤῥησίᾳ θάλλοντες, οἰκοῖεν πόλιν
κλεινῶν Ἀθηνῶν, μητρὸς οὕνεκ' εὐκλεεῖς.
δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά.
μόνον δὲ τοῦτο φάσ' ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθὴν. ὅτῳ παρῇ.
κακοὺς δὲ θνητῶν ἐξέφην'. ὅταν τύχῃ,
προθεὶς κάτοπτρον, ὥστε παρθένῳ νέᾳ,
χρόνος. παρ' οἷσι μή ποτ' ὀφθείην ἐγώ!

ΧΟΡΟΣ.

φεῦ, φεῦ. τὸ σῶφρον ὡς ἁπανταχῆ καλὸν,
καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται!

ΤΡΟΦΟΣ.

δέσποιν', ἐμοί τοι ξυμφορὰ μὲν ἀρτίως
ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον·
νῦν δ' ἐννοοῦμαι φαῦλος οὖσα. κἀν βροτοῖς
αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
οὐ γὰρ περισσὸν οὐδὲν, οὐδ' ἔξω λόγου
πέπονθας· ὀργαὶ δ' ἔς σ' ἀπέσκηψαν θεᾶς.
ἐρᾷς· τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.
κἄπειτ' ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖς;
οὐκ ἄρά γ' οὐ δεῖ τοῖς ἐρῶσι τῶν πέλας,
ὅσοι τε μέλλουσ', εἰ θανεῖν αὐτοὺς χρεών·
Κύπρις γὰρ οὐ φορητὸν, ἢν πολλὴ ῥυῇ·

426. μ. δέ φασι τοῦθ' Br. 431. ἁπανταχοῦ M. Br. 438. ἐπέσκηψαν M.

ἣ τὸν μὲν εἴκονθ' ἡσυχῇ μετέρχεται,
ὃν δ' αὖ περισσὸν καὶ φρονοῦνθ' εὕρῃ μέγα,
τοῦτον λαβοῦσα, πῶς δοκεῖς, καθύβρισεν.
φοιτᾷ δ' ἀν' αἰθέρ', ἔστι δ' ἐν θαλασσίῳ
κλύδωνι Κύπρις, πάντα δ' ἐκ ταύτης ἔφυ·
ἥδ' ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ' ἔρον,
οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν' ἔκγονοι.
ὅσοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
ἔχουσιν, αὐτοί τ' εἰσὶν ἐν μούσαις ἀεὶ,
ἴσασι μὲν, Ζεὺς ὥς ποτ' ἠράσθη γάμων
Σεμέλης, ἴσασι δ', ὡς ἀνήρπασέν ποτε
ἡ καλλιφεγγὴς Κέφαλον ἐς θεοὺς Ἕως
ἔρωτος οὕνεκ'· ἀλλ' ὅμως ἐν οὐρανῷ
ναίουσι, κοὐ φεύγουσιν ἐκποδὼν θεούς,
στέργουσι δ', οἶμαι, ξυμφορᾷ νικώμενοι·
σὺ δ' οὐκ ἀνέξει; χρῆν σ' ἐπὶ ῥητοῖς ἄρα
πατέρα φυτεύειν, ἢ 'πὶ δεσπόταις θεοῖς
ἄλλοισιν, εἰ μὴ τούσδε γε στέρξεις νόμους.
πόσους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν,
νοσοῦνθ' ὁρῶντας λέκτρα, μὴ δοκεῖν ὁρᾶν;
πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσι
ξυνεκκομίζειν Κύπριν; ἐν σοφοῖσι γὰρ
τάδ' ἐστι θνητῶν, λανθάνειν τὰ μὴ καλά.
οὐδ' ἐκπονεῖν τοι χρῆν βίον λίαν βροτούς·
οὐδὲ στέγην γὰρ, ἧ κατηρεφεῖς δόμοι,
καλῶς ἀκριβώσειαν· ἐς δὲ τὴν τύχην
πεσοῦσ', ὅσην σὺ, πῶς ἂν ἐκνεῦσαι δοκεῖς;
ἀλλ' εἰ τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις,

445. ὃν δ' ἂν π. M. Br. 467. χρή M. 468. ἧς κ. M. 469. καινῶν ἀκριβώσει' ἄν. 470. δοκοῖ Br. 471. ἔχοις Br.

ἄνθρωπος οὖσα κάρτα γ᾽ εὖ πράξειας ἄν.
ἀλλ᾽, ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,
λῆξον δ᾽ ὑβρίζουσ᾽· οὐ γὰρ ἄλλο πλὴν ὕβρις
τάδ᾽ ἐστὶ, κρείσσω δαιμόνων εἶναι θέλειν·
τόλμα δ᾽ ἐρῶσα· θεὸς ἐβουλήθη τάδε.
νοσοῦσα δ᾽ εὖ πως τὴν νόσον καταστρέφου.
εἰσὶν δ᾽ ἐπῳδαὶ καὶ λόγοι θελκτήριοι,
φανήσεταί τι τῆσδε φάρμακον νόσου.
ἦ τἄρ᾽ ἂν ὀψέ γ᾽ ἄνδρες ἐξεύροιεν ἄν,
εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

ΧΟΡΟΣ.

Φαίδρα, λέγει μὲν ἥδε χρησιμώτερα
πρὸς τὴν παροῦσαν ξυμφορὰν, αἰνῶ δὲ σέ.
ὁ δ᾽ αἶνος οὗτος δυσχερέστερος λόγων
τῶν τῆσδε καὶ σοὶ μᾶλλον ἀλγίων κλύειν,

ΦΑΙΔΡΑ.

τοῦτ᾽ ἔσθ᾽, ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
δόμους τ᾽ ἀπόλλυσ᾽, οἱ καλοὶ λίαν λόγοι.
οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνὰ δεῖ λέγειν,
ἀλλ᾽ ἐξ ὅτου τις εὐκλεὴς γενήσεται.

ΤΡΟΦΟΣ.

τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
δεῖ σ᾽, ἀλλὰ τἀνδρός. ὡς τάχος διϊστέον,
τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον.
εἰ μὲν γὰρ ἦν σοι μὴ ᾽πὶ συμφοραῖς βίος
τοιαῖσδε, σώφρων δ᾽ οὖσ᾽ ἐτύγχανες γυνὴ,
οὐκ ἄν ποτ᾽ εὐνῆς οὕνεχ᾽ ἡδονῆς τε σῆς
προσῆγον ἄν σε δεῦρο· νῦν δ᾽ ἀγὼν μέγας

474. λῆξόν θ᾽ M. 480. ἦ τ᾽ ἄρά γ᾽ ὀ. M. 483. δέ σε.
491. διζητέον Br. 496. προῆγον Br.

σῶσαι βίον σὸν, κοὐκ ἐπίφθονον τόδε.

ΦΑΙΔΡΑ.

ὦ δεινὰ λέξασ᾽, οὐχὶ συγκλῄσεις στόμα,
καὶ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους;

ΤΡΟΦΟΣ.

αἴσχρ᾽, ἀλλ᾽ ἀμείνω τῶν καλῶν τάδ᾽ ἔστι σοι.
κρεῖσσον δὲ τοὔργον, εἴπερ ἐκσώσει γέ σε,
ἢ τοὔνομ᾽, ᾧ σὺ κατθανεῖ γαυρουμένη.

ΦΑΙΔΡΑ.

καὶ μή γε πρὸς θεῶν (εὖ λέγεις γὰρ, αἰσχρὰ δὲ)
πέρα προβῇς τῶνδ᾽· ὡς ὑπείργασμαι μὲν εὖ
ψυχὴν ἔρωτι, τἀσχρὰ δ᾽ ἢν λέγῃς καλῶς,
ἐς τοῦθ᾽, ὃ φεύγω νῦν, ἀναλωθήσομαι.

ΤΡΟΦΟΣ.

εἴ τοι δοκεῖ σοι, χρῆν μὲν οὔ σ᾽ ἁμαρτάνειν·
εἰ δ᾽ οὖν, πιθοῦ μοι· δευτέρα γὰρ ἡ χάρις.
ἔστιν κατ᾽ οἴκους φίλτρα μοι θελκτήρια
ἔρωτος· ἦλθε δ᾽ ἄρτι μοι γνώμης ἔσω·
ἅ σ᾽ οὔτ᾽ ἐπ᾽ αἰσχροῖς, οὔτ᾽ ἐπὶ βλάβῃ φρενῶν
παύσει νόσου τῆσδ᾽. ἢν σὺ μὴ γένῃ κακή.
δεῖ δ᾽ ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
σημεῖον, ἢ λόγον τιν᾽, ἢ πέπλων ἄπο
λαβεῖν, ξυνάψαι τ᾽ ἐκ δυοῖν μίαν χάριν.

ΦΑΙΔΡΑ.

πότερα δὲ χριστὸν, ἢ ποτὸν, τὸ φάρμακον;

ΤΡΟΦΟΣ.

οὐκ οἶδ᾽· ὄνασθαι, μὴ μαθεῖν, βούλου, τέκνον.

ΦΑΙΔΡΑ.

δέδοιχ᾽, ὅπως μοι μὴ λίαν φανῇς σοφή.

501. ἐκσώσειέ σε M. 514. πλόκον Br.

ΤΡΟΦΟΣ.

πάντ᾽ ἂν φοβηθεῖσ᾽ ἴσθι· δειμαίνεις δὲ τί;

ΦΑΙΔΡΑ.

μή μοι τι Θησέως τῶνδε μηνύσῃς τόκῳ.

ΤΡΟΦΟΣ.

ἔασον, ὦ παῖ· ταῦτ᾽ ἐγὼ θήσω καλῶς.
μόνον σύ μοι, δέσποινα ποντία Κύπρι,
ξυνεργὸς εἴης. τἄλλα δ᾽, οἷ᾽ ἐγὼ φρονῶ,
τοῖς ἔνδον ἡμῖν ἀρκέσει λέξαι φίλοις.

ΧΟΡΟΣ.

Ἔρως, Ἔρως, ὃ κατ᾽ ὀμμάτων (στροφὴ ά.)
στάζεις πόθον, εἰσάγων γλυκεῖαν
ψυχαῖς χάριν, οἷς ἐπιστρατεύσῃ,
μή μοί ποτε σὺν κακῷ φανείης,
μηδ᾽ ἄῤῥυθμος ἔλθοις.
οὔτε γὰρ πυρὸς οὔτ᾽
ἄστρων ὑπέρτερον βέλος,
οἷον τὸ τᾶς Ἀφροδίτας
ἵησιν ἐκ χερῶν
Ἔρως, ὁ Διὸς παῖς.
ἄλλως, ἄλλως παρά τ᾽ Ἀλφεῷ, (ἀντιστρ. ά.)
Φοίβου τ᾽ ἐπὶ Πυθίοις τεράμνοις,
βούταν φόνον Ἑλλὰς αἶ᾽ ἀέξει·
Ἔρωτα δὲ, τὸν τύραννον ἀνδρῶν,
τὸν τᾶς Ἀφροδίτας
φιλτάτων θαλάμων
κληδοῦχον, οὐ σεβίζομεν,
πέρθοντα καὶ διὰ πάσας

527. ψυχᾷ — οὓς M. 537. Ἑλλὰς ἀέξει δή M. Ἑ. ἄρ᾽ ἀέξει.

ἰόντα συμφορᾶς
θνατοῖς, ὅταν ἔλθῃ.
τὰν μὲν Οἰχαλίᾳ (στροφὴ β'.)
πῶλον, ἄζυγα λέκτρων,
ἄνανδρον τὸ πρὶν καὶ
ἄνυμφον, οἴκων
ζεύξασ᾽ ἀπ᾽ εἰρεσίᾳ δρομάδα
τὰν ἄϊδος ὥστε βάκχαν,
σὺν αἵματι, σὺν καπνῷ
φονίοις θ᾽ ὑμεναίοισιν
Ἀλκμήνας τόκῳ Κύπρις ἐξέδωκεν·
ὦ τλάμων ὑμεναίων.
ὦ Θήβας ἱερὸν (ἀντιστρ. β'.)
τεῖχος, ὦ στόμα Δίρκας,
συνείποιτ᾽ ἂν, οἷον
ἁ Κύπρις ἕρπει.
βροντᾷ γὰρ ἀμφιπύρῳ τοκάδα
τὰν Διογόνοιο Βάκχου
νυμφευσαμέναν πότμῳ
φονίῳ τε κατεύνασε.
δεινὰ γὰρ τὰ πάντ᾽ ἐπιπνεῖ, μέλισσα δ᾽
οἵα τις πεπόταται.

ΦΑΙΔΡΑ.

σιγήσατ᾽, ὦ γυναῖκες· ἐξειργάσμεθα.

ΧΟΡΟΣ.

τί δ᾽ ἐστὶ, Φαίδρα, δεινὸν ἐν δόμοισι
σοῖς;

549. ζ. ἀπειρεσίαν δρ. M. ζ. ἄπο τρομερὰν δρ. Br. 550. τὰν ναΐδ᾽ ὅπως τε β. M. τιν᾽ ἄ. Br. 552. ὑμεναίοις M. 554. τλᾶμον M. 562. φονίῳ κατεύν. M. φ. κατεκοίμασε Br.

ΦΑΙΔΡΑ.

ἐπίσχετ'· αὐδὴν τῶν ἔσωθεν ἐκμάθω.

ΧΟΡΟΣ.

σιγῶ· τὸ μέντοι φροίμιον κακὸν τόδε.

ΦΑΙΔΡΑ.

ἰώ μοι, αἶ αἶ!
ὦ δυστάλαινα τῶν ἐμῶν παθημάτων!

ΧΟΡΟΣ.

τίνα θροεῖς αὐδάν; τίνα βοᾷς λόγον; (στ. α'.)
ἔνεπε, τίς φοβεῖ σε φήμα, γύναι,
φρένας ἐπίσσυτος;

ΦΑΙΔΡΑ.

ἀπωλόμεσθα. ταῖσδ' ἐπιστᾶσαι πύλαις
ἀκούσαθ', οἷος κέλαδος ἐν δόμοις πιτνεῖ.

ΧΟΡΟΣ.

σὺ παρὰ κλῇθρα· σοὶ μέλει πομπίμα (στ. β'.)
φάτις δωμάτων.
ἔνεπε δ', ἔνεπέ μοι, τί ποτ' ἔβα κακόν;

ΦΑΙΔΡΑ.

ὁ τῆς φιλίππου παῖς Ἀμαζόνος βοᾷ
Ἱππόλυτος, αὐδῶν δεινὰ πρόσπολον κακά.

ΧΟΡΟΣ.

ἰαχὰν μὲν κλύω, σαφὲς δ' οὐκ ἔχω (ἀντ. β'.)
γεγωνεῖν, ὄπα.
διὰ πύλας ἔμολεν, ἔμολέ σοι βοά.

ΦΑΙΔΡΑ.

καὶ μὴν σαφῶς γε τὴν κακῶν προμνήστριαν,
τὴν δεσπότου προδοῦσαν ἐξαυδᾷ λέχος.

569. αἶ quater. 573. ἐπίσυτος Br. 581. σαφῆ δ' Br.
582. γεγωνεῖν ὄπα M. γεγωνόν τ' ὄπα Br.

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

ὤμοι ἐγὼ κακῶν! προδέδοσαι, φίλα. (ἀντ. α'.)
τί σοι μήσομαι; τὰ κρύπτ' ἄρα πέφη-
νε, διὰ δ' ὄλλυσαι —

ΦΑΙΔΡΑ.

αἶ αἶ, ἒ ἔ!

ΧΟΡΟΣ.

πρόδοτος ἐκ φίλων.

ΦΑΙΔΡΑ.

ἀπώλεσέν μ', εἰποῦσα συμφορὰς ἐμάς,
φίλως, καλῶς δ' οὐ τήνδ' ἰωμένη νόσον.

ΧΟΡΟΣ.

πῶς οὖν; τί δράσεις, ὦ παθοῦσ' ἀμήχανα;

ΦΑΙΔΡΑ.

οὐκ οἶδα, πλὴν ἕν, κατθανεῖν ὅσον τάχος,
τῶν νῦν παρόντων πημάτων ἄκος μόνον.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ γαῖα μῆτερ ἡλίου τ' ἀναπτυχαί,
οἵων λόγων ἄῤῥητον εἰσήκουσ' ὄπα!

ΤΡΟΦΟΣ.

σίγησον, ὦ παῖ, πρίν τιν' αἰσθέσθαι βοῆς.

ΙΠΠΟΛΥΤΟΣ.

οὐκ ἔστ', ἀκούσας δείν' ὅπως σιγήσομαι.

ΤΡΟΦΟΣ.

ναὶ πρός σε τῆς σῆς δεξιᾶς εὐωλένου.

ΙΠΠΟΛΥΤΟΣ.

οὐ μὴ προσοίσεις χεῖρα, μηδ' ἅψει πέπλων.

ΤΡΟΦΟΣ.

ὦ πρὸς σὲ γονάτων, μηδαμῶς μ' ἐξεργάσῃ.

587. τὰ κρυπτὰ γὰρ π. 601. προσοίσῃς M.

ΙΠΠΟΛΥΤΟΣ.

τί δ', εἴπερ, ὡς φῂς, μηδὲν εἴρηκας κακόν;

ΤΡΟΦΟΣ.

ὁ μῦθος, ὦ παῖ, κοινὸς οὐδαμῶς ὅδε.

ΙΠΠΟΛΥΤΟΣ.

τά τοι κάλ' ἐν πολλοῖσι κάλλιον λέγειν.

ΤΡΟΦΟΣ.

ὦ τέκνον, ὅρκους μηδαμῶς ἀτιμάσῃς.

ΙΠΠΟΛΥΤΟΣ.

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

ΤΡΟΦΟΣ.

ὦ παῖ, τί δράσεις; σοὺς φίλους διεργάσει;

ΙΠΠΟΛΥΤΟΣ.

ἀπέπτυσ'· οὐδεὶς ἄδικος ἔστι μοι φίλος.

ΤΡΟΦΟΣ.

σύγγνωθ'· ἁμαρτεῖν εἰκὸς ἀνθρώπους, τέκνον.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ Ζεῦ, τί δή, κίβδηλον ἀνθρώποις κακὸν,
γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε·
ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
ἢ χρυσὸν, ἢ σίδηρον, ἢ χαλκοῦ βάρος,
παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος
τῆς ἀξίας ἕκαστον· ἐν δὲ δώμασιν
ναίειν ἐλευθέροισι θηλειῶν ἄτερ.
νῦν δ' ἐς δόμους μὲν πρῶτον ἄξεσθαι κακὸν
μέλλοντες, ὄλβον δωμάτων ἐκτίνομεν.
τούτῳ δὲ δῆλον, ὡς γυνὴ κακὸν μέγα·

616. ἢ χαλκὸν — χρυσοῦ β. M.

προςθεὶς γὰρ ὁ σπείρας τε κἀκθρέψας πατὴρ
φερνὰς ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ·
ὁ δ' αὖ λαβὼν ἀτηρὸν ἐς δόμους φυτὸν
γέγηθε, κόσμον προςτιθεὶς ἀγάλματι
καλὸν κακίστῳ, καὶ πέπλοισιν ἐκπονεῖ,
δύστηνος, ὄλβον δωμάτων ὑπεξελών.
ἔχει δ' ἀνάγκην· ὥςτε κηδεύσας καλοῖς
γαμβροῖσι χαίρων σώζεται πικρὸν λέχος·
ἢ χρηστὰ λέκτρα, πενθεροὺς δ' ἀνωφελεῖς
λαβὼν πιέζει τἀγαθῷ τὸ δυςτυχές.
ῥᾷστον δ', ὅτῳ τὸ μηδὲν, ἀλλ' ἀνωφελὴς
εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.
σοφὴν δὲ μισῶ· μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις
εἴη φρονοῦσα πλεῖον, ἢ γυναῖκα χρή.
τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπρις
ἐν ταῖς σοφαῖσιν· ἡ δ' ἀμήχανος γυνὴ
γνώμῃ βραχείᾳ μωρίαν ἀφῃρέθη.
χρῆν δ' ἐς γυναῖκας πρόςπολον μὲν οὐ περᾶν,
ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη
θηρῶν, ἵν' εἶχον μήτε προςφωνεῖν τινὰ,
μήτ' ἐξ ἐκείνων φθέγμα δέξασθαι πάλιν.
νῦν δ' αἱ μὲν ἔνδον δρῶσιν αἱ κακαὶ κακὰ
βουλεύματ', ἔξω δ' ἐκφέρουσι πρόςπολοι.
ὡς καὶ σύ γ' ἡμῖν πατρὸς, ὦ κακὸν κάρα,
λέκτρων ἀθίκτων ἦλθες ἐς συναλλαγάς·
ἃ 'γὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι,
ἐς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακὸς,
ὃς οὐδ', ἀκούσας τοιάδ', ἁγνεύειν δοκῶ;

623. καὶ θρέψας M. Br. 637. πανοῦργον M.

εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σώζει, γύναι.
εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ᾑρέθην,
οὐκ ἄν ποτ' ἔσχον, μὴ οὐ τάδ' ἐξειπεῖν πατρί.
νῦν δ' ἐκ δόμων μέν, ἔς τ' ἂν ἔκδημος χθονὸς
Θησεύς, ἄπειμι, σῖγα δ' ἕξομεν στόμα.
θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδί,
πῶς νιν προσόψει καὶ σὺ καὶ δέσποινα σή·
τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.
ὄλοισθε. μισῶν δ' οὔ ποτ' ἐμπλησθήσομαι
γυναῖκας, οὐδ' εἰ φησί τίς μ' ἀεὶ λέγειν·
ἀεὶ γὰρ οὖν πως εἰσὶ κἀκεῖναι κακαί.
ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

ΧΟΡΟΣ.

Τάλανες ὦ κακοτυχεῖς (ἀντ.)
γυναικῶν πότμοι!
τίνα νυν ἢ τέχναν ἔχομεν ἢ λόγον,
σφαλεῖσαι κάθαμμα λύσειν λόγου;

ΦΑΙΔΡΑ.

ἐτύχομεν δίκας, ἰὼ γᾶ καὶ φῶς!
πᾶ ποτ' ἐξαλύξω τύχας;
πῶς δὲ πῆμα κρύψω, φίλαι;
τίς ἂν θεῶν ἀρωγὸς ἢ τίς ἂν βροτῶν
πάρεδρος ἢ ξύνεργος ἀδίκων ἔργων
φανείη; τὸ γὰρ παρ' ἡμῖν πάθος
παρὸν δυσεκπέρατον ἔρχεται βίου.
κακοτυχεστάτα γυναικῶν ἐγώ!

652. εὑρέθην M. 653. μὴ τάδ' M. 654. ἔς τ' ἂν ἢ 'κδημος Br. 665. ἢ om. Br. λόγους Br.

ΧΟΡΟΣ.

φεῦ, φεῦ. πέπρακται, κοὐ κατώρθωνται τέχναι,
δέσποινα, τῆς σῆς προσπόλου, κακῶς δ' ἔχει.

ΦΑΙΔΡΑ.

ὦ παγκακίστη καὶ διαφθορεῦ φίλων;
οἷ' εἰργάσω με! Ζεύς σ' ὁ γεννήτωρ ἐμὸς
πρόῤῥιζον ἐκτρίψειεν, οὐτάσας πυρί.
οὐκ εἶπον, οὐ σῆς προὐνοησάμην φρενός,
σιγᾶν, ἐφ' οἷσι νῦν ἐγὼ κακύνομαι;
σὺ δ' οὐκ ἀνέσχου· τοιγὰρ οὐκ ἔτ' εὐκλεεῖς
θανούμεθ'. ἀλλὰ δεῖ με δὴ καινῶν λόγων.
οὗτος γὰρ ὀργῇ συντεθηγμένος φρένας
ἐρεῖ καθ' ἡμῶν πατρὶ σὰς ἁμαρτίας,
[ἐρεῖ δὲ Πιτθεῖ τῷ γέροντι συμφοράς,]
πλήσει τε πᾶσαν γαῖαν αἰσχίστων λόγων.
ὄλοιο καὶ σὺ χὤστις ἄκοντας φίλους
πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.

ΤΡΟΦΟΣ.

δέσποιν', ἔχεις μὲν τἀμὰ μέμψασθαι κακά·
τὸ γὰρ δάκνον σου τὴν διάγνωσιν κρατεῖ·
ἔχω δὲ κἀγὼ πρὸς τάδ', εἰ δέξει, λέγειν.
ἔθρεψά σ', εὔνους τ' εἰμί· τῆς νόσου δέ σοι
ζητοῦσα φάρμαχ' εὗρον οὐχ ἁβουλόμην.
εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦν·
πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.

ΦΑΙΔΡΑ.

ἦ γὰρ δίκαια ταῦτα κἀξαρκοῦντά μοι,
τρώσασαν ἡμᾶς εἶτα συγχωρεῖν λόγοις;

675. κατώρθωται τέχνη Br. 677. φίλων διαφθορεῦ M. 687. πλ. δὲ Br.

ΤΡΟΦΟΣ.

μακρηγοροῦμεν· οὐκ ἐσωφρόνουν ἐγώ·
ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι, τέκνον.

ΦΑΙΔΡΑ.

παῦσαι λέγουσα· καὶ τὰ πρὶν γὰρ οὐ καλῶς
παρῄνεσάς μοι κἀπεχείρησας κακά.
ἀλλ' ἐκποδὼν ἄπελθε, καὶ σαυτῆς πέρι
φρόντιζ'· ἐγὼ γὰρ τἀμὰ θήσομαι καλῶς.
ὑμεῖς δέ, παῖδες εὐγενεῖς Τροιζήνιαι,
τοσόνδε μοι παράσχετ' ἐξαιτουμένῃ,
σιγῇ καλύψαθ', ἁνθάδ' εἰσηκούσατε.

ΧΟΡΟΣ.

ὄμνυμι σεμνὴν Ἄρτεμιν, Διὸς κόρην,
μηδὲν κακῶν σῶν ἐς φάος δείξειν ποτέ.

ΦΑΙΔΡΑ.

καλῶς ἐλέξας. ἓν δὲ προτρέπουσ' ἐγὼ
εὕρημα δή τι τῆσδε συμφορᾶς ἔχω,
ὥστ' εὐκλεᾶ μὲν παισὶ προσθεῖναι βίον,
αὐτή τ' ὄνασθαι πρὸς τὰ νῦν πεπτωκότα.
οὐ γάρ ποτ' αἰσχυνῶ γε Κρησίους δόμους,
οὐδ' ἐς πρόσωπον Θησέως ἀφίξομαι
αἰσχροῖς ἐπ' ἔργοις οὕνεκα ψυχῆς μιᾶς.

ΧΟΡΟΣ.

μέλλεις δὲ δή τι δρᾶν ἀνήκεστον κακόν;

ΦΑΙΔΡΑ.

θανεῖν· ὅπως δέ, τοῦτ' ἐγὼ βουλεύσομαι.

ΧΟΡΟΣ.

εὔφημος ἴσθι.

707. καλύπτειν M. Br. 710. ἐλέξαθ' M. 710. προστρέπουσ' Br. 711. δῆτα Br. 713. αὐτὴ δ' Br.

ΦΑΙΔΡΑ.

καὶ σύ γ' εὖ με νουθέτει.
ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυσί με,
ψυχῆς ἀπαλλαχθεῖσα τῇδ' ἐν ἡμέρᾳ
τέρψω· πικροῦ δ' ἔρωτος ἡσσηθήσομαι.
ἀτὰρ κακόν γε χἀτέρῳ γενήσομαι
θανοῦσ', ἵν' εἰδῇ, μὴ 'πὶ τοῖς ἐμοῖς κακοῖς
ὑψηλὸς εἶναι· τῆς νόσου δὲ τῆσδέ μοι
κοινῇ μετασχὼν σωφρονεῖν μαθήσεται.

ΧΟΡΟΣ.

Ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν, (στρ. ά.)
ἵνα με πτεροῦσσαν ὄρνιν
θεὸς ἐν πταναῖς ἀγέλαισιν θείη.
ἀρθείην δ' ἐπὶ πόντιον
κῦμα τᾶς Ἀδριηνᾶς
ἀκτᾶς Ἠριδανοῦ θ' ὕδωρ·
ἔνθα πορφύρεον σταλάσσουσ'
εἰς οἶδμα πατρὸς τριτάλαιναι
κόραι Φαέθοντος οἴκτῳ δακρύων
τὰς ἠλεκτροφαεῖς αὐγάς.
Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν (ἀντ. ά.)
ἀνύσαιμι τᾶν ἀοιδᾶν,
ἵν' ὁ ποντομέδων πορφυρέας λίμνας
ναύταις οὐκ ἔθ' ὁδὸν νέμει,
σεμνὸν τέρμονα κύρων
οὐρανοῦ, τὸν Ἄτλας ἔχει,
κρῆναί τ' ἀμβροσίαι χέονται
Ζηνὸς μελάθρων παρὰ κοίταις,

722. ἡττηθ. M. 729. ποταναῖς Br. 730. ἀγέλαισι M. 733. σταλάσσουσιν M. Br. 741. κυρῶν M. ναίων Br.

ἶν᾽ ὀλβιόδωρος αὔξει ζαθέα
χθὼν εὐδαιμονίαν θεοῖς.
ὦ λευκόπτερε Κρησία (στροφὴ β΄.)
πορθμὶς, ἃ διὰ πόντιον
κῦμ᾽ ἁλίκτυπον ἅλμας
ἐπόρευσας ἐμὰν ἄνασσαν ὀλβίων ἀπ᾽ οἴκων,
κακονυμφοτάταν ὄνασιν.
ἦ γὰρ ἀπ᾽ ἀμφοτέρων,
ἢ Κρησίας ἐκ γᾶς, δύσορνις
ἔπτατο κλεινὰς Ἀθάνας
Μουνύχου δ᾽ ἀκταῖσιν ἐκδή-
σαντο πλεκτὰς πεισμάτων ἀρ-
χὰς ἐπ᾽ ἀπείρου τε γᾶς ἔβασαν.
ἀνθ᾽ ὧν οὐχ ὁσίων ἐρώ- (ἀντιστρ. β΄.)
των δεινᾷ φρένας Ἀφροδί-
τας νόσῳ κατεκλάσθη·
χαλεπᾷ δ᾽ ὑπέραντλος οὖσα συμφορᾷ, τεράμνων
ἀπὸ νυμφιδίων κρεμαστὸν
ἅψεται ἀμφὶ βρόχον
λευκᾷ καθαρμόζουσα δείρᾳ,
δαίμονα στυγνὸν καταιδε-
σθεῖσα, τάν τ᾽ εὔδοξον ἀνθαι-
ρουμένα φάμαν, ἀπαλλάσ-
σουσά τ᾽ ἀλγεινὸν φρενῶν ἔρωτα.

ΕΞΑΓΓΕΛΟΣ.

Ἰοὺ, ἰού.
βοηδρομεῖτε πάντες οἱ πέλας δόμων.
ἐν ἀγχόναις δέσποινα, Θησέως δάμαρ.

745. ἶν᾽ ἁβιόδωρος Br. 756. Μουνυχίου M. Br. 766. δέρᾳ M.

ΧΟΡΟΣ.

φεῦ, φεῦ. πέπρακται· βασιλὶς οὐκ ἔτ᾽ ἔστι δὴ
γυνὴ, κρεμαστοῖς ἐν βρόχοις ἠρτημένη.

ΕΞΑΓΓΕΛΟΣ.

οὐ σπεύσετ᾽; οὐκ οἴσει τις ἀμφιδέξιον
σίδηρον, ᾧ τόδ᾽ ἅμμα λύσομεν δέρης;

ΗΜΙΧΟΡΟΣ.

φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾶν δόμους,
λῦσαί τ᾽ ἄνασσαν ἐξ ἐπισπαστῶν βρόχων;

ΗΜΙΧΟΡΟΣ.

τί δ᾽; οὐ πάρεισι πρόσπολοι νεανίαι;
τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου.

ΕΞΑΓΓΕΛΟΣ.

ὀρθώσατ᾽ ἐκτείνοντες ἄθλιον νέκυν,
πικρὸν τόδ᾽ οἰκούρημα δεσπόταις ἐμοῖς.

ΧΟΡΟΣ.

ὄλωλεν ἡ δύστηνος, ὡς κλύω, γυνή.
ἤδη γὰρ ὡς νεκρόν νιν ἐκτείνουσι δή.

ΘΗΣΕΥΣ.

γυναῖκες, ἴστε, τίς ποτ᾽ ἐν δόμοις βοή;
ἠχὼ βαρεῖα προσπόλων μ᾽ ἀφίκετο.
οὐ γάρ τί μ᾽ ὡς θεωρὸν ἀξιοῖ δόμος
πύλας ἀνοίξας εὐφρόνως προσεννέπειν.
μῶν Πιτθέως τι γῆρας εἴργασται νέον;
πρόσω μὲν ἤδη βίοτος· ἀλλ᾽ ὅμως ἔτ᾽ ἂν
λυπηρὸς ἡμῖν τούσδ᾽ ἂν ἐκλίποι δόμους.

ΧΟΡΟΣ.

οὐκ ἐς γέροντας ἥδε σοι τείνει τύχη,
Θησεῦ· νέοι θανόντες ἀλγυνοῦσί σε.

779. βίῳ Br. 785. μ᾽ om. M.

ΘΗΣΕΥΣ.

οἴ μοι· τέκνων μοι μή τι συλᾶται βίος;

ΧΟΡΟΣ.

ζῶσιν, θανούσης μητρὸς ὡς ἄλγιστά σοι.

ΘΗΣΕΥΣ.

τί φής; ὄλωλεν ἄλοχος; ἐκ τίνος τύχης;

ΧΟΡΟΣ.

βρόχον κρεμαστὸν ἀγχόνης ἀνήψατο.

ΘΗΣΕΥΣ.

λύπῃ παχνωθεῖσ᾽, ἢ ᾽πὸ συμφορᾶς τίνος;

ΧΟΡΟΣ.

τοσοῦτον ἴσμεν· ἄρτι γὰρ κἀγὼ δόμους,
Θησεῦ, πάρειμι, σῶν κακῶν πενθήτρια.

ΘΗΣΕΥΣ.

αἶ, αἴ. τί δῆτα τοῖσδ᾽ ἀνέστεμμαι κάρα
πλεκτοῖσι φύλλοις, δυστυχὴς θεωρὸς ὤν;
χαλᾶτε κλῇθρα, πρόσπολοι, πυλωμάτων,
ἐκλύσαθ᾽ ἁρμοὺς, ὡς ἴδω πικρὰν θέαν
γυναικὸς, ἥ με κατθανοῦσ᾽ ἀπώλεσεν.

ΧΟΡΟΣ.

ἰὼ ἰὼ τάλαινα μελέων κακῶν!
ἔπαθες, εἰργάσω
τοσοῦτον, ὥστε τούσδε συγχέαι δόμους.
αἶ αἶ τόλμας! ὦ βιαίως θανοῦσ᾽
ἀνοσίῳ τε συμφορᾷ, σᾶς χερὸς
πάλαισμα μελέας!
τίς ἄρα σὰν, τάλαιν᾽, ἀμαυροῖ
ζοάν;

797. τινὸς M. 798. δόμοις M. 803. ὡς ἴδ. δυσδαίμονα. 811. ἆρα M. τάλαιναν.

ΘΗΣΕΥΣ.

ᾤμοι ἐγὼ πόνων, ὧν ἔπαθον τάλας,
τὰ μάκιστ᾽ ἐμῶν κακῶν! ὦ τύχα,
ὥς μοι βαρεῖα καὶ δόμοις ἐπεστάθης,
κηλὶς ἄφραστος ἐξ ἀλαστόρων τινός!
κατακονὰ μὲν οὖν ἀβίωτος βίου·
κακῶν δ᾽ ὁ τλάμων πέλαγος εἰσορῶ
τοσοῦτον, ὥστε μήποτ᾽ ἐκνεῦσαι πάλιν,
μήδ᾽ ἐκπερᾶσαι κῦμα τῆσδε συμφορᾶς.
τίνα λόγον τάλας, τίνα τύχαν σέθεν
βαρύποτμον, γύναι, προσαυδῶν τύχω;
ὄρνις γὰρ ὥς τις ἐκ χερῶν ἄφαντος εἶ,
πήδημ᾽ ἐς ᾅδου κραιπνὸν ὁρμήσασά μοι.
αἶ αἶ αἶ αἶ μέλεα, μέλεα τάδε πάθη!
πρόσωθεν δέ ποθεν ἀνακομίζομαι
τύχαν δαιμόνων ἀμπλακίαισι τῶν
πάροιθέν τινος.

ΧΟΡΟΣ.

οὐ σοὶ τάδ᾽, ὦναξ, ἦλθε δὴ μόνῳ κακά·
πολλῶν μετ᾽ ἄλλων δ᾽ ὤλεσας κεδνὸν λέχος.

ΘΗΣΕΥΣ.

τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας
μετοικεῖν σκότῳ θανὼν ὁ τλάμων,
τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας·
ἀπώλεσας γὰρ μᾶλλον, ἢ κατέφθισο.
τίνος δὴ κλύω, πόθεν θανάσιμος

812. παθέων ὧν ἔπ. ὦ τάλας M. οἷ᾽ ἔπαθον Br. 813. τὰ κάκιστ᾽ M. 816. βίος M. 817. ὁ τάλας M. 819. Post hunc v. sequitur ἐκλύεθ᾽ ἁρμοὺς, ὡς ἴδω πικρὰν θέαν M. 821. βαρύπ. τλᾶμον M. 824. αἶ ter Br. 831. σκότου Br.

τύχα σὰν ἔβα, γύναι, καρδίαν;
εἴποι τις ἂν τὸ πραχθέν, ἢ μάτην ὄχλον
στέγει τύραννον δῶμα προσπόλων ἐμῶν;
ὤμοι μοι σέθεν
μέλεος, οἷον εἶδον ἄλγος δόμων,
οὐ τλητὸν, οὐδὲ ῥητόν! ἀλλ' ἀπωλόμην·
ἔρημος οἶκος, καὶ τέκν' ὀρφανεύεται.
ἔλιπες, ἔλιπες, ὦ φίλα γυναικῶν
ἀρίστα θ', ὁπόσας ἐφορᾷ
φέγγος ἀελίου τε καὶ
νυκτὸς ἀστερωπὸς σελάνα.

ΧΟΡΟΣ.

[ἰὼ] τάλας, ὦ τάλας! ὅσον κακὸν ἔχει
δόμος!
δάκρυσί μου βλέφαρα
καταχυθέντα τέγγεται σᾷ τύχᾳ·
τὸ δ' ἐπὶ τῷδε πῆμα φρίσσω πάλαι.

ΘΗΣΕΥΣ.

ἔα, ἔα·
τί δή ποθ' ἥδε δέλτος ἐκ φίλης χερὸς
ἠρτημένη θέλει τι σημῆναι νέον;
ἀλλ' ἦ λέχους μοι καὶ τέκνων ἐπιστολὰς
ἔγραψεν ἡ δύστηνος ἐξαιτουμένη;
θάρσει, τάλαινα· λέκτρα γὰρ τὰ Θησέως
οὐκ ἔστι δῶμά θ' ἥτις εἴσεισιν γυνή.
καὶ μὴν τύποι γε σφενδόνης χρυσηλάτου
τῆς οὐκ ἔτ' οὔσης τῆσδε προσσαίνουσί με.

835. τύχα, γύναι, σὰν ἔβα τάλαιναν καρδίαν M. τ. σὰν ἐπέβα, γύναι, καρδ. Br. 838. ἰώ μοί μοι σ. M. 842. Praef. Χορός. 844. τε om. Br. 846. ὦ τάλας, ὦ τάλ. Br.

φέρ', ἐξελίξας περιβολὰς σφραγισμάτων
ἴδω, τί λέξαι δέλτος ἥδε μοι θέλει.

ΧΟΡΟΣ.

φεῦ φεῦ! τόδ' αὖ νεοχμὸν ἐκδοχαῖς
ἐπιφέρει θεὸς κακόν. ἐμοὶ μὲν οὖν
ἀβίωτος βίου τύχα πρὸς τὸ κραν-
θὲν εἴη τυχεῖν.
ὀλομένους γὰρ, οὐκ ἔτ' ὄντας λέγω,
φεῦ φεῦ, τῶν ἐμῶν τυράννων δόμους.
ὦ δαῖμον, εἴπως ἐστὶ, μὴ σφήλῃς δόμους,
αἰτουμένης δὲ κλῦθί μου· πρὸς γάρ τινος
οἰωνόν, ὥστε μάντις, εἰσορῶ κακοῦ.

ΘΗΣΕΥΣ.

οἴμοι! τόδ' οἷον ἄλλο πρὸς κακῷ κακόν
οὐ τλητὸν, οὐδὲ λεκτόν! ὦ τάλας ἐγώ!

ΧΟΡΟΣ.

τί χρῆμα, λέξον, εἴ τί μοι λόγου μέτα.

ΘΗΣΕΥΣ.

βοᾷ βοᾷ δέλτος ἄλαστα. πᾶ φύγω
βάρος κακῶν; ἀπὸ γὰρ ὀλόμενος οἴχομαι
οἷ' οἷον εἶδον ἐν γραφαῖσιν μέλος
φθεγγόμενον τλάμων!

ΧΟΡΟΣ.

αἶ αἶ, κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.

ΘΗΣΕΥΣ.

τόδε μὲν οὐκ ἔτι στόματος ἐν πύλαις
καθέξω δυσεκπέρατον, ὀλοὸν κακόν. ὦ πόλις!

862. ἐπεισφέρει. κακῶν Br. 867. σφάλῃς Br. 869. κακόν Br. 875. οἷον οἷον — γραφαῖς. 879. ὀλοὸν bis. πόλις bis.

Ἱππόλυτος εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν
βίᾳ, τὸ σεμνὸν Ζηνὸς ὄμμ' ἀτιμάσας.
ἀλλ', ὦ πάτερ Πόσειδον, ἃς ἐμοί ποτε
ἀρὰς ὑπέσχου τρεῖς, μιᾷ κατέργασαι
τούτων ἐμὸν παῖδ', ἡμέραν δὲ μὴ φύγοι
τήνδ', εἴπερ ἡμῖν ὤπασας σαφεῖς ἀράς.

ΧΟΡΟΣ.

ἄναξ, ἀπεύχου ταῦτα πρὸς θεῶν πάλιν·
γνώσει γὰρ αὖθις ἀμπλακών· ἐμοὶ πιθοῦ.

ΘΗΣΕΥΣ.

οὐκ ἔστι. καὶ πρός γ' ἐξελῶ σφε τῆσδε γῆς,
δυοῖν δὲ μοίραιν θατέρᾳ πεπλήξεται·
ἢ γὰρ Ποσειδῶν αὐτὸν εἰς Ἅιδου δόμους
θανόντα πέμψει, τὰς ἐμὰς ἀρὰς σέβων,
ἢ τῆσδε χώρας ἐκπεσὼν ἀλώμενος
ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσει βίον.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' αὐτὸς παῖς σὸς ἐς καιρὸν πάρα,
Ἱππόλυτος· ὀργῆς δ' ἐξανεὶς κακῆς, ἄναξ
Θησεῦ, τὸ λῷστον σοῖσι βούλευσαι δόμοις.

ΙΠΠΟΛΥΤΟΣ.

κραυγῆς ἀκούσας σῆς ἀφικόμην, πάτερ,
σπουδῇ· τὸ μέντοι πρᾶγμ', ἐφ' ᾧτινι στένεις,
οὐκ οἶδα, βουλοίμην δ' ἂν ἐκ σέθεν κλύειν.
ἔα, τί χρῆμα; σὴν δάμαρθ' ὁρῶ, πάτερ,
νεκρόν· μεγίστου θαύματος τόδ' ἄξιον·
ἣν ἀρτίως ἔλειπον, ἣ φάος τόδε
οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.
τί χρῆμα πάσχει; τῷ τρόπῳ διόλλυται;
πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα. —

σιγᾷς; σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς·
ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν
κἀν τοῖς κακοῖσι λίχνος οὖσ' ἁλίσκεται.
οὐ μὴν φίλους γε, κἄτι μᾶλλον ἢ φίλους,
κρύπτειν δίκαιον σὰς, πάτερ, δυςπραξίας.

ΘΗΣΕΥΣ.

ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δὴ τέχνας μὲν μυρίας διδάσκετε
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε;
ἓν δ' οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω,
φρονεῖν διδάσκειν, οἷσιν οὐκ ἔνεστι νοῦς;

ΙΠΠΟΛΥΤΟΣ.

δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
τοὺς μὴ φρονοῦντας δυνατὸς ἔστ' ἀναγκάσαι.
ἀλλ' — οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς, πάτερ —
δέδοικα, μή σου γλῶσσ' ὑπερβάλῃ κακοῖς.

ΘΗΣΕΥΣ.

φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
ὅστις τ' ἀληθής ἐστιν, ὅς τε μὴ, φίλος·
δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν,
ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο
πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.

ΙΠΠΟΛΥΤΟΣ.

ἀλλ' ἦ τις ἐς σὸν οὖς με διαβαλὼν ἔχει
φίλων, νοσοῦμεν δ' οὐδὲν ὄντες αἴτιοι;
ἔκ τοι πέπληγμαι· σοὶ γὰρ ἐκπλήσσουσί με
λόγοι, παραλλάσσοντες ἔξεδροι φρενῶν.

908. post v. 910. ponit Br.

ΘΗΣΕΥΣ.

φεῦ τῆς βροτείας, ποῖ προβήσεται, φρενός;
τί τέρμα τόλμης καὶ θράσους γενήσεται;
εἰ γὰρ κατ᾽ ἀνδρὸς βίοτον ἐξογκώσεται,
ὁ δ᾽ ὕστερος τοῦ πρόσθεν εἰς ὑπερβολὴν
πανοῦργος ἔσται, θεοῖσι προσβαλεῖν χθονὶ
ἄλλην δεήσει γαῖαν, ἣ χωρήσεται
τοὺς μὴ δικαίους καὶ κακοὺς πεφυκότας.
σκέψασθε δ᾽ ἐς τόνδ᾽, ὅστις ἐξ ἐμοῦ γεγὼς
ᾔσχυνε τἀμὰ λέκτρα, κἀξελέγχεται
πρὸς τῆς θανούσης ἐμφανῶς κάκιστος ὤν.
δεῖξον δ᾽, ἐπειδή γ᾽ ἐς μίασμ᾽ ἐλήλυθας,
τὸ σὸν πρόσωπον δεῦρ᾽ ἐναντίον πατρί.
σὺ δὴ θεοῖσιν, ὡς περισσὸς ὢν ἀνὴρ,
σύνει; σὺ σώφρων καὶ κακῶν ἀκήρατος;
οὐκ ἂν πιθοίμην τοῖσι σοῖς κόμποις ἐγὼ,
θεοῖσι προσθεὶς ἀμαθίαν φρονεῖν κακῶς.
ἤδη νυν αὔχει καὶ δι᾽ ἀψύχου βορᾶς
σίτοις καπήλευ᾽, Ὀρφέα τ᾽ ἄνακτ᾽ ἔχων
βάκχευε, πολλῶν γραμμάτων τιμῶν καπνούς·
ἐπεί γ᾽ ἐλήφθης. τοὺς δὲ τοιούτους ἐγὼ
φεύγειν προφωνῶ πᾶσι· θηρεύουσι γὰρ
σεμνοῖς λόγοισιν, αἰσχρὰ μηχανώμενοι.
τέθνηκεν ἥδε· τοῦτό σ᾽ ἐκσώσειν δοκεῖς·
ἐν τῷδ᾽ ἁλίσκει πλεῖστον, ὦ κάκιστε σύ.
ποῖοι γὰρ ὅρκοι κρείσσονες, τίνες λόγοι
τῆσδ᾽ ἂν γένοιντ᾽ ἂν, ὥστε σ᾽ αἰτίαν φυγεῖν;
μισεῖν σε φήσεις τήνδε καὶ τὸ δὴ νόθον
τοῖς γνησίοισι πολέμιον πεφυκέναι;

955. ἐκσώζειν.

κακὴν ἄρ᾽ αὐτὴν ἔμπορον βίου λέγεις,
εἰ δυσμενείᾳ σῇ τὰ φίλτατ᾽ ὤλεσεν.
ἀλλ᾽ ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
γυναιξὶ δ᾽ ἐμπέφυκεν; οἶδ᾽ ἐγὼ νέους
οὐδὲν γυναικῶν ὄντας ἀσφαλεστέρους,
ὅταν ταράξῃ Κύπρις ἡβῶσαν φρένα·
τὸ δ᾽ ἄρσεν αὐτοὺς ὠφελεῖ προσκείμενον.
νῦν οὖν τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις,
νεκροῦ παρόντος, μάρτυρος σαφεστάτου;
ἔξεῤῥε γαίας τῆσδ᾽ ὅσον τάχος φυγάς,
καὶ μήτ᾽ Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
μήτ᾽ εἰς ὅρους γῆς, ἧς ἐμὸν κρατεῖ δόρυ.
εἰ γὰρ παθών γε σοῦ τάδ᾽ ἡσσηθήσομαι,
οὐ μαρτυρήσει μ᾽ Ἴσθμιος Σίνις ποτὲ
κτανεῖν ἑαυτὸν, ἀλλὰ κομπάζειν μάτην,
οὐδ᾽ αἱ θαλάσσης σύννομοι Σκειρωνίδες
φήσουσι πέτραι, τοῖς κακοῖς μ᾽ εἶναι βαρύν.

ΧΟΡΟΣ.

οὐκ οἶδ᾽, ὅπως εἴποιμ᾽ ἂν εὐτυχεῖν τινα
θνητῶν· τὰ γὰρ δὴ πρῶτ᾽ ἀνέστραπται πάλιν.

ΙΠΠΟΛΥΤΟΣ.

πάτερ, μένος μὲν ξύστασίς τε σῶν φρενῶν
δεινή· τὸ μέντοι πρᾶγμ᾽, ἔχον καλοὺς λόγους,
εἴ τις διαπτύξειεν, οὐ καλὸν τόδε.
ἐγὼ δ᾽ ἄκομψος, εἰς ὄχλον δοῦναι λόγον,
ἐς ἥλικας δὲ κὠλίγους σοφώτερος.
ἔχει δὲ μοῖραν καὶ τόδ᾽· οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι παρ᾽ ὄχλῳ μουσικώτεροι λέγειν.

968. τί οὖν; τί τ. M. 975. κτανεῖν γ᾽ ἑαυτ. Br. 983. ἔγωγ᾽ ἄκ. Br.

ὅμως δ᾽ ἀνάγκη, συμφορᾶς ἀφιγμένης,
γλῶσσάν μ᾽ ἀφεῖναι. πρῶτα δ᾽ ἄρξομαι λέγειν,
ὅθεν μ᾽ ὑπῆλθες πρῶτον ὡς διαφθερῶν,
κοὐκ ἀντιλέξοντ᾽. εἰσορᾷς φάος τόδε
καὶ γαῖαν; ἐν τοῖσδ᾽ οὐκ ἔνεστ᾽ ἀνὴρ ἐμοῦ,
οὐδ᾽ ἢν σὺ μὴ φῇς, σωφρονέστερος γεγώς.
ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν,
φίλοις τε χρῆσθαι, μὴ ᾽δικεῖν πειρωμένοις,
ἀλλ᾽ οἷσιν αἰδὼς, μήτ᾽ ἐπαγγέλλειν κακὰ,
μήτ᾽ ἀνθυπουργεῖν αἰσχρὰ τοῖσι χρωμένοις·
οὐκ ἐγγελαστὴς τῶν ὁμιλούντων, πάτερ,
ἀλλ᾽ αὑτὸς οὐ παροῦσι κἀγγὺς ὢν φίλοις.
ἑνὸς δ᾽ ἄθικτος, ᾧ με νῦν ἑλεῖν δοκεῖς·
λέχους γὰρ ἐς τόδ᾽ ἡμέρας ἁγνὸν δέμας.
οὐκ οἶδα πρᾶξιν τήνδε, πλὴν λόγῳ κλύων
γραφῇ τε λεύσσων· οὐδὲ ταῦτα γὰρ σκοπεῖν
πρόθυμός εἰμι, παρθένον ψυχὴν ἔχων.
καὶ δὴ τὸ σῶφρον τοὐμὸν οὐ πείθει σ᾽ ἴσως.
δεῖ δή σε δεῖξαι, τῷ τρόπῳ διεφθάρην.
πότερα τὸ τῆσδε σῶμ᾽ ἐκαλλιστεύετο
πασῶν γυναικῶν; ἢ σὸν οἰκήσειν δόμον,
ἔγκληρον εὐνὴν προσλαβὼν, ἐπήλπισα;
μάταιος ἆρ᾽ ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν.
ἀλλ᾽ ὡς τυραννεῖν ἡδύ; τοῖσι σώφροσιν
ἥκιστά γ᾽, εἰ μὴ τὰς φρένας διέφθορε
θνητῶν ὅσοισιν ἁνδάνει μοναρχία.
ἐγὼ δ᾽ ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς

990. οὐκ ἀντ. Br. 995. ἀπαγγέλλειν M. 998. αὐτός M. 1001. κοὐκ M. 1002. οὐδὲ τ. μὲν σκ. Br. 1004. κεἰ μὴ Br. 1005. διεφθάρη M. 1009. φρονῶν M. κοὐδαμοῦ Br.

πρῶτος θέλοιμ᾽ ἄν· ἐν πόλει δὲ δεύτερος
σὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις.
πράσσειν τε γὰρ πάρεστι· κίνδυνός τ᾽ ἀπὼν
κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.
ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ᾽ ἄλλ᾽ ἔχεις·
εἰ μὲν γὰρ ἦν μοι μάρτυς, οἷός εἰμ᾽ ἐγὼ,
καὶ τῆσδ᾽ ὁρώσης φέγγος ἠγωνιζόμην,
ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών.
νῦν δ᾽ Ὅρκιόν σοι Ζῆνα καὶ πέδον χθονὸς
ὄμνυμι, τῶν σῶν μήποθ᾽ ἅψασθαι γάμων,
μηδ᾽ ἂν θελῆσαι, μηδ᾽ ἂν ἔννοιαν λαβεῖν.
ἦ τἄρ᾽ ὀλοίμην ἀκλεὴς, ἀνώνυμος,
ἄπολις, ἄοικος, φυγὰς ἀλητεύων χθόνα,
καὶ μήτε πόντος, μήτε γῆ δέξαιτό μου
σάρκας θανόντος, εἰ κακὸς πέφυκ᾽ ἀνήρ.
εἰ δ᾽ ἥδε δειμαίνουσ᾽ ἀπώλεσεν βίον,
οὐκ οἶδ᾽· ἐμοὶ γὰρ οὐ θέμις λέγειν πέρα·
ἐσωφρόνησεν, οὐκ ἔχουσα σωφρονεῖν,
ἡμεῖς δ᾽ ἔχοντες, οὐ καλῶς ἐχρώμεθα.

ΧΟΡΟΣ.

ἀρκοῦσαν εἶπας αἰτίας ἀποστροφὴν,
ὅρκους παρασχὼν, πίστιν οὐ σμικρὰν,
θεῶν.

ΘΗΣΕΥΣ.

ἆρ᾽ οὐκ ἐπῳδὸς, οὐ γόης πέφυχ᾽ ὅδε,
ὃς τὴν ἐμὴν πέποιθεν εὐοργησίᾳ
ψυχὴν κρατήσειν, τὸν τεκόντ᾽ ἀτιμάσας;

1016. πρ. γὰρ εὖ πάρεστι· κίνδ. δ᾽ ἀπών. 1025. ἦτ᾽ ἄρ M. ἦ τ᾽ ἄρ᾽ Br. 1030. οὐ πέρα θ. λ. Br.

ΙΠΠΟΛΥΤΟΣ.

καὶ σοῦ γε κάρτα ταῦτα θαυμάζω, πάτερ·
εἰ γὰρ σὺ μὲν παῖς ἦσθ᾽, ἐγὼ δὲ σὸς πατὴρ,
ἔκτεινά τοι σ᾽ ἂν, κοὐ φυγαῖς ἐζημίουν,
εἴπερ γυναικὸς ἠξίους γ᾽ ἐμῆς θιγεῖν.

ΘΗΣΕΥΣ.

ὡς ἄξιον τόδ᾽ εἶπας· οὐχ οὕτω θανεῖ,
ὥςπερ σὺ σαυτῷ τόνδε προὔθηκας νόμον·
ταχὺς γὰρ ᾅδης ῥᾷστος ἀνδρὶ δυςτυχεῖ.
ἀλλ᾽ ἐκ πατρῴας φυγὰς ἀλητεύων χθονὸς
ξένην ἐπ᾽ αἶαν λυπρὸν ἀντλήσεις βίον·
μισθὸς γάρ ἐστιν οὗτος ἀνδρὶ δυςσεβεῖ.

ΙΠΠΟΛΥΤΟΣ.

οἴ μοι, τί δράσεις; οὐδὲ μηνυτὴν χρόνον
δέξει καθ᾽ ἡμῶν, ἀλλά μ᾽ ἐξελᾷς χθονός;

ΘΗΣΕΥΣ.

πέραν γε πόντου τερμόνων τ᾽ Ἀτλαντικῶν,
εἴπως δυναίμην, ὥς σὸν ἐχθαίρω κάρα.

ΙΠΠΟΛΥΤΟΣ.

οὐδ᾽ ὅρκον, οὐδὲ πίστιν, οὐδὲ μάντεων
φήμας ἐλέγξας ἄκριτον ἐκβαλεῖς με γῆς;

ΘΗΣΕΥΣ.

ἡ δέλτος ἥδε, κλῆρον οὐ δεδεγμένη,
κατηγορεῖ σου πιστά· τοὺς δ᾽ ὑπὲρ κάρα
φοιτῶντας ὄρνις πόλλ᾽ ἐγὼ χαίρειν λέγω.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ θεοὶ, τί δῆτα τοὐμὸν οὐ λύσω στόμα,
ὅςτις γ᾽ ὑφ᾽ ὑμῶν, οὓς σέβω, διόλλυμαι;

1041. deest γ᾽. 1050. καὶ τόπων Ἀτλ. Br. 1051. ὥς M.
1057. τί δῆτα; τοὐμόν.

οὐ δῆτα· πάντως οὐ πίθοιμ᾽ ἂν, οὓς με δεῖ,
μάτην δ᾽ ἂν ὅρκους συγχέαιμ᾽, οὓς ὤμοσα.

ΘΗΣΕΥΣ.

οἴ μοι· τὸ σεμνὸν ὥς μ᾽ ἀποκτείνει τὸ σόν.
οὐκ εἶ πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς;

ΙΠΠΟΛΥΤΟΣ.

ποῖ δῆθ᾽ ὁ τλήμων τρέψομαι; τίνος ξένων
δόμους ἔςειμι, τῇδ᾽ ἐπ᾽ αἰτίᾳ φυγών;

ΘΗΣΕΥΣ.

ὅςτις γυναικῶν λυμεῶνας ἥδεται
ξένους κομίζων καὶ ξυνοικούρους κακῶν.

ΙΠΠΟΛΥΤΟΣ.

αἶ, αἶ· πρὸς ἧπαρ δακρύων τ᾽ ἐγγὺς τόδε,
εἰ δὴ κακός τε φαίνομαι δοκῶ τέ σοι.

ΘΗΣΕΥΣ.

τότε στενάζειν καὶ προγιγνώσκειν σ᾽ ἐχρῆν,
ὅτ᾽ ἐς πατρῴαν ἄλοχον ὑβρίζειν ἔτλης.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ δώματ᾽, εἴθε φθέγμα γηρύσαισθέ μοι
καὶ μαρτυρήσαιτ᾽, εἰ κακὸς πέφυκ᾽ ἀνήρ.

ΘΗΣΕΥΣ.

ἐς τοὺς ἀφώνους μάρτυρας φεύγεις; σαφῶς
τόδ᾽ ἔργον οὐ λέγον σε μηνύει κακόν.

ΙΠΠΟΛΥΤΟΣ.

φεῦ·
εἴθ᾽ ἦν ἐμαυτὸν προςβλέπειν ἐναντίον
στάνθ᾽, ὡς ἐδάκρυσ᾽, οἷα πάσχομεν κακά.

1063. δῆτα τλήμ. M. 1067. αἶ αἶ. χωρεῖ πρὸς ἧπ. Br.
1068. κακός γε.

ΘΗΣΕΥΣ.

πολλῷ γε μᾶλλον σαυτὸν ἤσκησας σέβειν,
ἢ τοὺς τεκόντας ὅσια δρᾷν, δίκαιος ὤν.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ δυστάλαινα μῆτερ, ὦ πικραὶ γοναί!
μηδείς ποτ᾽ εἴη τῶν ἐμῶν φίλων νόθος.

ΘΗΣΕΥΣ.

οὐχ ἕλξετ᾽ αὐτὸν, δμῶες; οὐκ ἀκούετε
πάλαι ξενοῦσθαι τόνδε προὐννέποντά με;

ΙΠΠΟΛΥΤΟΣ.

κλάων τις αὐτῶν ἆρ᾽ ἐμοῦ γε θίξεται.
σὺ δ᾽ αὐτὸς, εἴ σοι θυμὸς, ἐξώθει χθονός.

ΘΗΣΕΥΣ.

δράσω τάδ᾽, εἰ μὴ τοῖς ἐμοῖς πείσει λόγοις·
οὐ γάρ τις οἶκτος σῆς μ᾽ ὑπέρχεται φυγῆς.

ΙΠΠΟΛΥΤΟΣ.

ἄραρεν, ὡς ἔοικεν· ὦ τάλας ἐγώ!
ὡς οἶδα μὲν ταῦτ᾽, οἶδα δ᾽ οὐχ, ὅπως φράσω.
ὦ φιλτάτη μοι δαιμόνων, Λητοῦς κόρη,
σύνθακε, συγκύναγε, φευξούμεσθα δὴ
κλεινὰς Ἀθήνας. ἀλλὰ χαιρέτω πόλις
καὶ γαῖ᾽ Ἐρεχθέως· ὦ πέδον Τροιζήνιον,
ὡς ἐγκαθηβᾷν πόλλ᾽ ἔχεις εὐδαίμονα,
χαῖρ᾽· ὕστατον γάρ σ᾽ εἰσορῶν προσφθέγ-
γομαι.
ἴτ᾽, ὦ νέοι μοι τῆσδε γῆς ὁμήλικες,
προσείπαθ᾽ ἡμᾶς καὶ προπέμψατε χθονός·
ὡς οὔ ποτ᾽ ἄλλον ἄνδρα σωφρονέστερον
ὄψεσθε, κεἰ μὴ ταῦτ᾽ ἐμῷ δοκεῖ πατρί.

1088. ἄρηρεν M. 1091. φευξόμεσθα M.

ΧΟΡΟΣ.

Ἦ μέγα μοι τὰ θεῶν μελεδήμαθ᾽, ὅταν φρέ-
νας ἔλθῃ, (στρ. ά.)
λύπας παραιρεῖ·
ξύνεσιν δέ τιν᾽ ἐλπίδι κεύθων
λείπομαι ἔν τε τύχαις θνατῶν καὶ ἐν ἔργμασι
λεύσσων·
ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται
μετὰ δ᾽ ἵσταται ἀνδράσιν αἰὼν
πολυπλάνητος αἰεί.
εἴθε μοι εὐξαμένᾳ θεόθεν τάδε μοῖρα πα-
ράσχοι, (ἀντ. ά.)
τύχαν μετ᾽ ὄλβου
καὶ ἀκήρατον ἄλγεσι θυμόν·
δόξα δὲ μήτ᾽ ἀτρεκὴς, μήτ᾽ αὖ παράσημος ἐνείη·
ῥᾴδια δ᾽ ἤθεα τὸν αὔριον
μεταβαλλομένα χρόνον αἰεὶ
βίον συνευτυχοίην.
οὐκέτι γὰρ καθαρὰν φρέν᾽ ἔχω, παρὰ δ᾽ ἐλπίδα
λεύσσω· (στρ. β΄.)
ἐπεὶ τὸν Ἑλλανίας
φανερώτατον ἀστέρ᾽ Ἀθάνας
εἴδομεν, εἴδομεν ἐκ πατρὸς ὀργᾶς
ἄλλαν ἐπ᾽ αἶαν ἱέμενον.
ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς
δρυμός τ᾽ ὄρειος, ὅθι κυνῶν
ὠκυπόδων ἐπέβας μέτα θῆρας ἐναίρων
Δίκτυνναν ἀμφὶ σεμνάν.
οὐκέτι συζυγίαν πώλων Ἐνετᾶν ἐπιβάσῃ (ἀντ. β΄.)

1116. Ἀθήνας M. 1121. ὠκυπ. ἐπίβα θεᾶς μέτα M.

τὸν ἀμφὶ Λίμνας τρόχον
κατέχων ποδὶ γυμνάδας ἵππους.
μοῦσα δ' ἄϋπνος ὑπ' ἄντυγι χορδᾶν
λήξει πατρῷον ἀνὰ δόμον·
ἀστέφανοι δὲ κόρας ἀνάπαυλαι
Λατοῦς βαθεῖαν ἀνὰ χλόαν·
νυμφιδία δ' ἀπόλωλε * * * φυγᾷ σᾷ
λέκτρων ἅμιλλα κούραις.
ἐγὼ δὲ σᾷ δυστυχίᾳ (ἐπῳδός.)
δάκρυσι διοίσω
πότμον ἄποτμον· ὦ τάλαινα
μᾶτερ, ἔτεκες ἀνόνατα· φεῦ,
μανίω θεοῖσιν·
ἰὼ ἰὼ συζυγίαι Χάριτες,
τί τὸν τάλαν' ἐκ πατρῴας γᾶς
οὐδὲν ἄτας αἴτιον
πέμπετε τῶνδ' ἀπ' οἴκων.
καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ
σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὁρμώμενον.

ΑΓΓΕΛΟΣ.

ποῖ γῆς ἄνακτα τῆσδε Θησέα μολὼν
εὕροιμ' ἄν, ὦ γυναῖκες; εἴπερ ἴστε, μοι
σημήνατ'· ἆρα τῶνδε δωμάτων ἔσω;

ΧΟΡΟΣ.

ὅδ' αὐτὸς ἔξω δωμάτων πορεύεται.

ΑΓΓΕΛΟΣ.

Θησεῦ, μερίμνης ἄξιον φέρω λόγον

1125. γυμνάδος ἵππου Br. 1130. νυμφίδια δ' ἀπόλωλε λέχη φ. σ. Br. [λέχη] M. 1135. ἀνόνητα M. 1141. Praef. ἡμιχ. M.

σοὶ καὶ πολίταις, οἵ τ' Ἀθηναίων πόλιν
ναίουσι καὶ γῆς τέρμονας Τροιζηνίας.

ΘΗΣΕΥΣ.

τί δ' ἐστι; μῶν τις συμφορὰ νεωτέρα
δισσὰς κατείληφ' ἀστυγείτονας πόλεις;

ΑΓΓΕΛΟΣ.

Ἱππόλυτος οὐκ ἔτ' ἐστὶν, ὡς εἰπεῖν ἔπος·
δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.

ΘΗΣΕΥΣ.

πρὸς τοῦ; δι' ἔχθρας μῶν τις ἦν ἀφιγμένος,
ὅτου κατῄσχυν' ἄλοχον, ὡς πατρὸς, βίᾳ;

ΑΓΓΕΛΟΣ.

οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος,
ἀραί τε τοῦ σοῦ στόματος, ἃς σὺ σῷ πατρὶ
πόντου κρέοντι παιδὸς ἠράσω πέρι.

ΘΗΣΕΥΣ.

ὦ θεοὶ, Πόσειδον θ', ὡς ἄρ' ἦσθ' ἐμὸς πατὴρ
ὀρθῶς, ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
πῶς καὶ διώλετ', εἰπέ· τῷ τρόπῳ Δίκης
ἔπαισεν αὐτὸν ῥόπτρον, αἰσχύναντ' ἐμέ;

ΑΓΓΕΛΟΣ.

ἡμεῖς μὲν ἀκτῆς κυμοδέγμονος πέλας
ψήκτραισιν ἵππων ἐκτενίζομεν τρίχας
κλάοντες· ἦλθε γάρ τις ἄγγελος λέγων,
ὡς οὐκ ἔτ' ἐν γῇ τῇδ' ἀναστρέψοι πόδα
Ἱππόλυτος, ἐκ σοῦ τλήμονας φυγὰς ἔχων.
ὁ δ' ἦλθε ταὐτὸ δακρύων φέρων μέλος
ἡμῖν ἐπ' ἀκταῖς· μυρία δ' ὀπισθόπους

1162. αἰσχύναντά με M. 1165. κλαίοντες. 1168. ὅδ' — ταὐτὸν M. 1169. ἡμῖν· ἐπ' ἀκτ. Br.

φίλων ἅμ᾽ ἔστειχ᾽ ἡλίκων ὁμήγυρις.
χρόνῳ δὲ δή ποτ᾽ εἶπ᾽, ἀπαλλαχθεὶς γόων·
τί ταῦτ᾽ ἀλύω; πειστέον πατρὸς λόγοις.
ἐντύναθ᾽ ἵππους ἅρμασι ζυγηφόρους,
δμῶες· πόλις γὰρ οὐκ ἔτ᾽ ἐστιν ἥδε μοι.
τοὐνθένδε μέντοι πᾶς ἀνὴρ ἠπείγετο,
καὶ θᾶσσον, ἢ λέγοι τις, ἐξηρτυμένας
πώλους παρ᾽ αὐτὸν δεσπότην ἐστήσαμεν.
μάρπτει δὲ χερσὶν ἡνίας ἀπ᾽ ἄντυγος,
αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδας.
καὶ πρῶτα μὲν θεοῖς εἶπ᾽ ἀναπτύξας χέρας·
Ζεῦ, μηκέτ᾽ εἴην, εἰ κακὸς πέφυκ᾽ ἀνήρ·
αἴσθοιτο δ᾽, ἡμᾶς ὡς ἀτιμάζει, πατὴρ,
ἤτοι θανόντας, ἢ φάος δεδορκότας.
κἀν τῷδ᾽ ἐπῆγε κέντρον ἐς χεῖρας λαβὼν
πώλοις ὁμαρτῇ· πρόςπολοι δ᾽ ὑφ᾽ ἅρματος
πέλας χαλινῶν εἱπόμεσθα δεσπότῃ
τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
ἐπεὶ δ᾽ ἔρημον χῶρον εἰςεβάλλομεν,
ἀκτή τις ἐστὶ τοὐπέκεινα τῆςδε γῆς,
πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν.
ἔνθεν τις ἠχὼ, χθόνιος ὡς βροντὴ Διὸς,
βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
ὀρθὸν δὲ κρᾶτ᾽ ἔστησαν οὖς τ᾽ ἐς οὐρανὸν
ἵπποι· παρ᾽ ἡμῖν δ᾽ ἦν φόβος νεανικὸς,
πόθεν ποτ᾽ εἴη φθόγγος. ἐς δ᾽ ἁλιῤῥόθους
ἀκτὰς ἀποβλέψαντες ἱερὸν εἴδομεν

1173. ἐντύνεθ᾽ M. 1179. ἀρβύλῃσιν Br. 1185. πώλοις· ὁμαρτῇ πρ. 1187. κἀπιδαυρίαν Br. 1193. ὀρθόν τε M. 1194. παρ᾽ ἡμῖν ἦν M.

κῦμ᾽ οὐρανῷ στηρίζον, ὥςτ᾽ ἀφῃρέθη
Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰςορᾷν·
ἔκρυπτε δ᾽ Ἰσθμὸν καὶ πέτραν Ἀσκληπιοῦ.
κἄπειτ᾽ ἀνοιδῆσάν τε καὶ πέριξ ἀφρὸν
πολὺν καχλάζον ποντίῳ φυσήματι
χωρεῖ πρὸς ἀκτὰς, οὗ τέθριππος ἦν ὄχος.
αὐτῷ δὲ σὺν κλύδωνι καὶ τρικυμίᾳ
κῦμ᾽ ἐξέθηκε ταῦρον, ἄγριον τέρας,
οὗ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη,
φρικῶδες ἀντεφθέγγετ᾽· εἰςορῶσι δὲ
κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος·
καὶ δεσπότης μὲν ἱππικοῖς ἐν ἤθεσι
πολὺς ξυνοικῶν ἥρπασ᾽ ἡνίας χεροῖν,
ἕλκει δὲ, κώπην ὥςτε ναυβάτης ἀνὴρ,
ἱμᾶσιν ἐς τοὔπισθεν ἀρτήσας δέμας·
αἱ δ᾽ ἐνδακοῦσαι στόμια πυριγενῆ γναθμοῖς,
βίᾳ φέρουσιν, οὔτε ναυκλήρου χερὸς,
οὔθ᾽ ἱπποδέσμων, οὔτε κολλητῶν ὄχων
μεταστρέφουσαι. κεἰ μὲν ἐς τὰ μαλθακὰ
γαίας ἔχων οἴακας ἰθύνοι δρόμον,
προὐφαίνετ᾽ εἰς τοὔμπροςθεν, ὥςτ᾽ ἀναστρέφειν,
ταῦρος, φόβῳ τέτρωρον ἐκμαίνων ὄχον·
εἰ δ᾽ ἐς πέτρας φέροιντο μαργῶσαι φρένας,
σιγῇ πελάζων ἄντυγι ξυνείπετο,
ἐς τοῦθ᾽, ἕως ἔσφηλε κἀνεχαίτισεν,
ἁψῖδα πέτρῳ προςβαλὼν ὀχήματος.

1209. ἱππικοῖσιν ἤθεσι Br. 1213. γνάθοις M. 1217. οἴηκας M.

σύμφυρτα δ' ἦν ἅπαντα· σύριγγές τ' ἄνω
τροχῶν ἐπήδων ἀξόνων τ' ἐνήλατα.
αὐτὸς δ' ὁ τλήμων ἡνίαισιν ἐμπλακεὶς
δεσμὸν δυςεξήνυστον ἕλκεται δεθεὶς,
σποδούμενος μὲν πρὸς πέτρας φίλον κάρα,
θραύων δὲ σάρκας, δεινὰ δ' ἐξαυδῶν κλύειν·
στῆτ', ὦ φάτναισι ταῖς ἐμαῖς τεθραμμέναι,
μή μ' ἐξαλείψητ'. ὦ πατρὸς τάλαιν' ἀρά!
τίς ἄνδρ' ἄριστον βούλεται σῶσαι παρών;
πολλοὶ δὲ βουληθέντες ὑστέρῳ ποδὶ
ἐλειπόμεσθα. χὠ μὲν ἐκ δεσμῶν λυθεὶς
τμητῶν ἱμάντων, οὐ κάτοιδ', ὅτῳ τρόπῳ,
πίπτει, βραχὺν δὴ βίοτον ἐμπνέων ἔτι·
ἵπποι δ' ἔκρυφθεν καὶ τὸ δύστηνον τέρας
ταύρου λεπαίας οὐ κάτοιδ' ὅποι χθονός.
δοῦλος μὲν οὖν ἔγωγε σῶν δόμων, ἄναξ,
ἀτὰρ τοσοῦτόν γ' οὐ δυνήσομαί ποτε
τὸν σὸν πιθέσθαι παῖδ', ὅπως ἐστὶν κακὸς,
οὐδ' εἰ γυναικῶν πᾶν κρεμασθείη γένος,
καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις
πεύκην, ἐπεί νιν ἐσθλὸν ὄντ' ἐπίσταμαι.

ΧΟΡΟΣ.

αἶ, αἶ. κέκρανται συμφοραὶ νέων κακῶν,
οὐδ' ἔστι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.

ΘΗΣΕΥΣ.

μίσει μὲν ἀνδρὸς τοῦ πεπονθότος τάδε
λόγοισιν ἥσθην τοῖςδε· νῦν δ' αἰδούμενος
θεούς τ' ἐκεῖνόν θ', οὕνεκ' ἐστὶν ἐξ ἐμοῦ,
οὔθ' ἥδομαι τοῖςδ', οὔτ' ἐπάχθομαι κακοῖς.

1238. ὕπον.

ΑΓΓΕΛΟΣ.

πῶς οὖν; κομίζειν, ἢ τί χρὴ τὸν ἄθλιον
δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί;
φρόντιζ'· ἐμοῖς δὲ χρώμενος βουλεύμασιν,
οὐκ ὠμὸς ἐς σὸν παῖδα δυςτυχοῦντ' ἔσει.

ΘΗΣΕΥΣ.

κομίζετ' αὐτὸν, ὡς, ἰδὼν ἐν ὄμμασι
τὸν τἀμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη,
λόγοις τ' ἐλέγξω δαιμόνων τε συμφοραῖς.

ΧΟΡΟΣ.

Σὺ τὰν θεῶν ἄκαμπτον φρένα καὶ βροτῶν
ἄγεις, Κύπρι· σὺν δ'
ὁ ποικιλόπτερος ἀμφιβαλὼν
ὠκυτάτῳ πτερῷ.
ποτᾶται δ' ἐπὶ γαῖαν εὐάχητόν θ'
ἁλμυρὸν ἐπὶ πόντον.
θέλγει δ' Ἔρως, ᾧ μαινομένᾳ κραδίᾳ
πτανὸς ἐφορμάσῃ
χρυσοφαὴς, φύσιν
ὀρεσκόων σκυλάκων
πελαγίων θ' ὅσα τε γᾶ τρέφει,
τὰν Ἅλιος αἰθομέναν δέρκεται,
ἄνδρας τε· συμπάντων δὲ
βασιληΐδα τιμὰν, Κύπρι,
τῶνδε μόνα κρατύνεις.

ΑΡΤΕΜΙΣ.

Σὲ τὸν εὐπατρίδαν Αἰγέως κέλομαι
παῖδ' ἐπακοῦσαι·

1257. λόγοις ἐλέγξω. 1264. μαινομέναν κραδίαν Br. 1265. ἐφορμάσει. 1269. αἰθόμενος.

Λητοῦς δὲ κόρη σ᾽ Ἄρτεμις αὐδῶ.
Θησεῦ, τί τάλας τοῖςδε συνήδει,
παῖδ᾽ οὐχ ὁσίως σὸν ἀποκτείνας,
ψευδέσι μύθοις ἀλόχου πεισθεὶς
ἀφανῆ· φανερὰν δ᾽ ἔσχεθες ἄταν.
πῶς δ᾽ οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις
    δέμας αἰσχυνθείς;
ἢ πτανὸς ἄνω μεταβὰς βίοτον
πήματος ἔξω πόδα τόνδ᾽ ἀνέχεις;
ὡς ἔν γ᾽ ἀγαθοῖς ἀνδράσιν οὔ σοι
    κτητὸν βιότου μέρος ἐστίν.
ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν·
καίτοι προκόψω γ᾽ οὐδέν, ἀλγυνῶ δέ σε.
ἀλλ᾽ ἐς τόδ᾽ ἦλθον, παιδὸς ἐκδεῖξαι φρένα
τοῦ σοῦ δικαίαν, ὡς ὑπ᾽ εὐκλείας θάνῃ,
καὶ σῆς γυναικὸς οἶστρον, ἢ τρόπον τινὰ
γενναιότητα· τῆς γὰρ ἐχθίστης θεῶν
ἡμῖν, ὅσαισι παρθένειος ἡδονὴ,
δηχθεῖσα κέντροις παιδὸς ἠράσθη σέθεν.
γνώμῃ δὲ νικᾷν τὴν Κύπριν πειρωμένη
τροφοῦ διώλετ᾽ οὐχ ἑκοῦσα μηχαναῖς,
ἣ σῷ δι᾽ ὅρκων παιδὶ σημαίνει νόσον.
ὁ δ᾽, ὥςπερ οὖν δίκαιον, οὐκ ἐφέσπετο
λόγοισιν, οὐδ᾽ αὖ, πρὸς σέθεν κακούμενος,
ὅρκων ἀφεῖλε πίστιν, εὐσεβὴς γεγώς.
ἡ δ᾽, εἰς ἔλεγχον μὴ πέσῃ, φοβουμένη,
ψευδεῖς γραφὰς ἔγραψε καὶ διώλεσε
δόλοισι σὸν παῖδ᾽, ἀλλ᾽ ὅμως ἔπεισέ σε.

1279. ἔσχες. 1280. πῶς οὐχ Br. 1282. πτηνός. 1297. ὥςπερ ἦν M. ὥςπερ ὢν δίκαιος Br. ἐφείπετο. 1301. ἔτευξε Br.

ΘΗΣΕΥΣ.

οἴ μοι.

ΑΡΤΕΜΙΣ.

δάκνει σε, Θησεῦ, μῦθος, ἀλλ᾽ ἔχ᾽ ἥσυχος,
τοὐνθένδ᾽ ἀκούσας, ὡς ἂν οἰμώξῃς πλέον.
ἆρ᾽ οἶσθα πατρὸς τρεῖς ἀρὰς σαφεῖς ἔχων,
ὧν τὴν μίαν παρεῖλες, ὦ κάκιστε σὺ,
ἐς παῖδα τὸν σὸν, ἐξὸν εἰς ἐχθρόν τινα.
πατὴρ μέν οὖν σοι πόντιος φρονῶν καλῶς
ἔδωχ᾽, ὅσον περ χρῆν, ἐπείπερ ᾔνεσεν·
σὺ δ᾽ ἔν τ᾽ ἐκείνῳ κἀν ἐμοὶ φαίνει κακὸς,
ὃς οὔτε πίστιν, οὔτε μάντεων ὄπα
ἔμεινας, οὐκ ἤλεγξας, οὐ χρόνῳ μακρῷ
σκέψιν γ᾽ ἔνειμας, ἀλλὰ θᾶσσον, ἤ σ᾽ ἐχρῆν,
ἀρὰς ἀφῆκας παιδὶ καὶ κατέκτανες.

ΘΗΣΕΥΣ.

δέσποιν᾽, ὀλοίμην.

ΑΡΤΕΜΙΣ.

δείν᾽ ἔπραξας, ἀλλ᾽ ὅμως
ἔτ᾽ ἐστὶ καὶ σοὶ τῶνδε συγγνώμης τυχεῖν·
Κύπρις γὰρ ἤθελ᾽, ὥςτε γίγνεσθαι τάδε,
πληροῦσα θυμόν. θεοῖσι δ᾽ ὧδ᾽ ἔχει νόμος·
οὐδεὶς ἀπαντᾷν βούλεται προθυμίᾳ
τῇ τοῦ θέλοντος, ἀλλ᾽ ἀφιστάμεσθ᾽ ἀεί.
ἐπεὶ σάφ᾽ ἴσθι, Ζῆνα μὴ φοβουμένη,
οὐκ ἄν ποτ᾽ ἦλθον ἐς τόδ᾽ αἰσχύνης ἐγὼ,
ὥςτ᾽ ἄνδρα πάντων φίλτατον βροτῶν ἐμοὶ
θανεῖν ἐᾶσαι. τὴν δὲ σὴν ἁμαρτίαν

1305. ἀρὰς ἔχων σαφεῖς. 1309. ἔχρην. 1312. οὐδ᾽ M. 1315. ὀλοίμαν M.

τὸ μὴ εἰδέναι μέν πρῶτον ἐκλύει κάκης·
ἔπειτα δ' ἡ θανοῦσ' ἀνάλωσεν γυνὴ
λόγων ἐλέγχους, ὥςτε σὴν πεῖσαι φρένα.
μάλιστα μέν νυν σοὶ τάδ' ἔῤῥωγεν κακά,
λύπη δέ κἀμοί· τοὺς γὰρ εὐσεβεῖς θεοὶ
θνήσκοντας οὐ χαίρουσι· τούς γε μὴν κα-
κοὺς
αὐτοῖς τέκνοισι καὶ δόμοις ἐξόλλυμεν.

ΧΟΡΟΣ.

καὶ μὴν ὁ τάλας ὅδε δὴ στείχει,
σάρκας νεαρὰς
ξανθόν τε κάρα διαλυμανθείς.
ὦ πόνος οἴκων, οἷον ἐκράνθη
δίδυμον μελάθροις
πένθος θεόθεν καταληπτόν.

ΙΠΠΟΛΥΤΟΣ.

αἶ, αἶ, αἶ, αἶ!
δύστανος ἐγὼ πατρὸς ἐξ ἀδίκου
χρησμοῖς ἀδίκοις διελυμάνθην.
ἀπόλωλα τάλας, οἴ μοί μοι!
διά μου κεφαλᾶς ᾄσσουσ' ὀδύναι,
κατὰ δ' ἐγκέφαλον πηδᾷ σφάκελος.
σχές, ἀπειρηκὸς σῶμ' ἀναπαύσω.
(ἓ, ἕ.) ὦ στυγνὸν ὄχημ' ἵππειον, ἐμῆς
βόσκημα χερὸς,
διά μ' ἔφθειρας, κατὰ δ' ἔκτεινας.
φεῦ, φεῦ· πρὸς θεῶν, ἀτρέμας, δμῶες,
χροὸς ἑλκώδους ἅπτεσθε χεροῖν.

1328. μὲν νῦν M. 1339. δύστηνος. 1341. οἴμοι, οἴμοι. 1348. ἀτρέμα Br.

τίς ἐφέστηκ' ἐνδέξια πλευροῖς;
πρόςφορά μ' αἴρετε, σύντονα δ' ἕλκετε
τὸν κακοδαίμονα καὶ κατάρατον
πατρὸς ἀμπλακίαις. Ζεῦ, Ζεῦ, τάδ' ὁρᾷς;
ὅδ' ὁ σεμνὸς ἐγὼ καὶ θεοσέπτωρ,
ὅδ' ὁ σωφροσύνῃ πάντας ὑπερέχων,
προῦπτον ἐς Ἅιδαν στείχω κατὰ γᾶς,
ὀλέσας βίοτον· μόχθους δ' ἄλλως
τῆς εὐσεβίας
εἰς ἀνθρώπους ἐπόνησα.
αἶ, αἶ, αἶ, αἶ·
καὶ νῦν ὀδύνα μ', ὀδύνα βαίνει.
μέθετέ με τὸν τάλανα·
καί μοι θάνατος παιὰν ἔλθοι.
προςαπόλλυτέ μ', ὄλλυτε τὸν δυςδαί-
μον'· ἀμφιτόμου λόγχας ἔραμαι
διαμοιρᾶσαι,
διά τ' εὐνᾶσαι τὸν ἐμὸν βίοτον.
ὦ πατρὸς ἐμοῦ δύστανος ἀρὰ,
μιαιφόνων τε συγγόνων,
παλαιῶν προγεννητόρων
ἐξορίζεται κακὸν, οὐδὲ μέλλει,
ἔμολέ τ' ἐπ' ἐμέ, — τί ποτε; — τὸν οὐ-
δὲν ὄντ' ἐπαίτιον κακῶν.
ὤ μοί μοι. τί φῶ;
πῶς ἀπαλλάξω βιοτὰν
ἐμὰν τοῦδ' ἀναλγήτου πάθους;

1353. ἀμπλακίᾳ M. 1356. ᾅδην. 1362. τὸν om. M. 1368. δύστηνος M. 1365. — μονά μ'· ἀμφ. Br. 1374. ἰώ M. 1376. ἀναλθήτου Br.

εἴθε με κοιμάσειε τὸν δυςδαίμονα
Ἅιδου μέλαινα νύκτερός τ' ἀνάγκα.

ΑΡΤΕΜΙΣ.

ὦ τλῆμον, οἵᾳ ξυμφορᾷ ξυνεζύγης!
τὸ δ' εὐγενές σε τῶν φρενῶν διώλεσεν.

ΙΠΠΟΛΥΤΟΣ.

(ἔα.) ὦ θεῖον ὀδμῆς πνεῦμα! καὶ γὰρ ἐν κακοῖς
ὢν, ᾐσθόμην σου κἀνεκουφίσθην δέμας·
ἔστ' ἐν τόποισι τοῖσίδ' Ἄρτεμις θεά.

ΑΡΤΕΜΙΣ.

ὦ τλῆμον, ἔστι, σοί γε φιλτάτη θεῶν.

ΙΠΠΟΛΥΤΟΣ.

ὁρᾷς με, δέσποιν', ὡς ἔχω, τὸν ἄθλιον;

ΑΡΤΕΜΙΣ.

ὁρῶ· κατ' ὄσσων δ' οὐ θέμις βαλεῖν δάκρυ.

ΙΠΠΟΛΥΤΟΣ.

οὐκ ἔστι σοι κυναγὸς, οὐδ' ὑπηρέτης.

ΑΡΤΕΜΙΣ.

οὐ δῆτ'· ἀτάρ μοι προσφιλὴς ἀπόλλυσαι.

ΙΠΠΟΛΥΤΟΣ.

οὐδ' ἱππονώμας, οὐδ' ἀγαλμάτων φύλαξ.

ΑΡΤΕΜΙΣ.

Κύπρις γὰρ ἡ πανοῦργος ὧδ' ἐμήσατο.

ΙΠΠΟΛΥΤΟΣ.

ᾤ μοι! φρονῶ δὴ δαίμον', ἥ μ' ἀπώλεσε.

ΑΡΤΕΜΙΣ.

τιμῆς ἐμέμφθη, σωφρονοῦντι δ' ἤχθετο.

1377. *κοιμίσειε — δυςδαίμον'* Br. 1379. *οἵαις ξυμφοραῖς* Br. 1383. *τοῖςδέ γ'* M. 1392. *τιμῆς σ' ἐμ.* Br.

ΙΠΠΟΛΥΤΟΣ.

τρεῖς ὄντας ἡμᾶς ὤλεσ', ᾔσθημαι, μία.

ΑΡΤΕΜΙΣ.

πατέρα τε καὶ σὲ καὶ τρίτην ξυνάορον.

ΙΠΠΟΛΥΤΟΣ.

ᾤμωξα τοίνυν καὶ πατρὸς δυςπραξίας.

ΑΡΤΕΜΙΣ.

ἐξηπατήθη δαίμονος βουλεύμασιν.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ δυςτάλας σὺ τῆςδε συμφορᾶς, πάτερ!

ΘΗΣΕΥΣ.

ὄλωλα, τέκνον, οὐδέ μοι χάρις βίου.

ΙΠΠΟΛΥΤΟΣ.

στένω σὲ μᾶλλον, ἢ 'μὲ, τῆς ἁμαρτίας.

ΘΗΣΕΥΣ.

εἰ γὰρ γενοίμην, τέκνον, ἀντὶ σοῦ νεκρός.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ δῶρα πατρὸς σοῦ Ποσειδῶνος πικρά!

ΘΗΣΕΥΣ.

ὡς μή ποτ' ἐλθεῖν ὤφελ' ἐς τοὐμὸν στόμα!

ΙΠΠΟΛΥΤΟΣ.

τί δ'; ἔκτανές τ' ἄν μ', ὡς τότ' ἦσθ' ὠργισμένος.

ΘΗΣΕΥΣ.

δόξης γὰρ ἦμεν πρὸς θεῶν ἐσφαλμένοι.

ΙΠΠΟΛΥΤΟΣ.

(φεῦ·) εἴθ' ἦν ἀραῖον δαίμοσι βροτῶν γένος!

1393. *ᾔσθ. Κύπρις* Br.

ΑΡΤΕΜΙΣ.

ἔασον· οὐ γὰρ οὐδὲ γῆς ὑπὸ ζόφον
θεᾶς ἄτιμοι Κύπριδος ἐκ προθυμίας
ὀργαὶ κατασκήψουσιν ἐς τὸ σὸν δέμας,
σῆς εὐσεβείας κἀγαθῆς φρενὸς χάριν.
ἐγὼ γὰρ αὐτῆς ἄλλον ἐξ ἐμῆς χερὸς,
ὃς ἂν μάλιστα φίλτατος κυρῇ βροτῶν,
τόξοις ἀφύκτοις τοῖςδε τιμωρήσομαι.
σοὶ δ᾽, ὦ ταλαίπωρ᾽, ἀντὶ τῶνδε τῶν κακῶν
τιμὰς μεγίστας ἐν πόλει Τροιζηνίᾳ
δώσω· κόραι γὰρ ἄζυγες γάμων πάρος
κόμας κεροῦνταί σοι, δι᾽ αἰῶνος μακροῦ
πένθη μέγιστα δακρύων καρπουμένῳ.
ἀεὶ δὲ μουσοποιὸς ἔς σε παρθένων
ἔσται μέριμνα, κοὐκ ἀνώνυμος πεσὼν
ἔρως ὁ Φαίδρας ἔς σε σιγηθήσεται.
σὺ δ᾽, ὦ γεραιοῦ τέκνον Αἰγέως, λάβε
σὸν παῖδ᾽ ἐν ἀγκάλαισι καὶ προςέλκυσαι·
ἄκων γὰρ ὤλεσάς νιν. ἀνθρώποισι δὲ,
θεῶν διδόντων, εἰκὸς ἐξαμαρτάνειν.
καὶ σοὶ παραινῶ, πατέρα μὴ στυγεῖν σέθεν,
Ἱππόλυτ᾽· ἔχεις γὰρ μοῖραν, ᾗ διεφθάρης.
καὶ χαῖρ᾽· ἐμοὶ γὰρ οὐ θέμις φθιτοὺς ὁρᾶν,
οὐδ᾽ ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς·
ὁρῶ δέ σ᾽ ἤδη τοῦδε πλησίον κακοῦ.

ΙΠΠΟΛΥΤΟΣ.

χαίρουσα καὶ σὺ στεῖχε, παρθέν᾽ ὀλβία·
μακρὰν δὲ λείποις ῥαδίως ὁμιλίαν.

1408. κατασκήπτουσιν M. 1417. καρπούμεναι M. 1422. ἀγκάλῃσι.

λύω δὲ νεῖκος πατρὶ, χρῃζούσης σέθεν·
καὶ γὰρ πάροιθε σοῖς ἐπειθόμην λόγοις.
αἶ, αἶ· κατ᾽ ὄσσων κιγχάνει μ᾽ ἤδη σκότος.
λαβοῦ, πάτερ, μου, καὶ κατόρθωσον δέμας.

ΘΗΣΕΥΣ.

ὤ μοι, τέκνον, τί δρᾷς με τὸν δυςδαίμονα;

ΙΠΠΟΛΥΤΟΣ.

ὄλωλα, καὶ δὴ νερτέρων ὁρῶ πύλας.

ΘΗΣΕΥΣ.

ἦ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν φρένα;

ΙΠΠΟΛΥΤΟΣ.

οὐ δῆτ᾽, ἐπεί σε τοῦδ᾽ ἐλευθερῶ φόνου.

ΘΗΣΕΥΣ.

τί φής; ἀφίης αἵματός μ᾽ ἐλεύθερον;

ΙΠΠΟΛΥΤΟΣ.

τὴν τοξόδαμνον Ἄρτεμιν μαρτύρομαι.

ΘΗΣΕΥΣ.

ὦ φίλταθ᾽, ὡς γενναῖος ἐκφαίνει πατρί!

ΙΠΠΟΛΥΤΟΣ.

ὦ χαῖρε καὶ σὺ, χαῖρε πολλά μοι, πάτερ.

ΘΗΣΕΥΣ.

ὤ μοι φρενὸς σῆς εὐσεβοῦς τε κἀγαθῆς!

ΙΠΠΟΛΥΤΟΣ.

τοιῶνδε παίδων γνησίων εὔχου τυχεῖν.

ΘΗΣΕΥΣ.

μή νυν προδῷς με, τέκνον, ἀλλὰ καρτέρει.

ΙΠΠΟΛΥΤΟΣ.

κεκαρτέρηται τἄμ᾽· ὄλωλα γὰρ, πάτερ·
κρύψον δέ μου πρόσωπον, ὡς τάχος, πέπλοις.

1434. κιχάνει. 1440. ἀφήσεις Br.

ΘΗΣΕΥΣ.

ὦ κλείν᾽ Ἀθηνῶν Παλλάδος θ᾽ ὁρίσματα,
οἵου στερήσεσθ᾽ ἀνδρός! ὦ τλήμων ἐγώ!
ὡς πολλὰ, Κύπρι, σῶν κακῶν μεμνήσομαι!

ΧΟΡΟΣ.

κοινὸν τόδ᾽ ἄχος πᾶσι πολίταις
ἦλθεν ἀέλπτως.
πολλῶν δακρύων ἔσται πίτυλος·
τῶν γὰρ μεγάλων ἀξιοπενθεῖς
φῆμαι μᾶλλον κατέχουσιν.

ΤΕΛΟΣ ΙΠΠΟΛΥΤΟΥ.

ΕΥΡΙΠΙΔΟΥ

ΑΛΚΗΣΤΙΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως Ἄδμητος, τελευτᾷν μέλλων, παράσχῃ τινὰ τὸν ὑπὲρ αὐτοῦ τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνῳ ζήσῃ. καὶ Ἄλκηστις ἡ γυνὴ ἐπέδωκεν ἑαυτὴν, μηδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ᾽ οὐ πολὺ δὲ τῆς συμφορᾶς ταύτης γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα τηρεῖν. εἰληφέναι δὲ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἀποκαλύψας ἔδειξεν, ἣν ἐπένθει.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΠΟΛΛΩΝ.
ΘΑΝΑΤΟΣ.
ΧΟΡΟΣ πρεσβυτῶν Φεραίων.
ΘΕΡΑΠΑΙΝΑ.
ΑΛΚΗΣΤΙΣ.
ΘΕΡΑΠΩΝ.
ΑΔΜΗΤΟΣ.
ΕΥΜΗΛΟΣ.
ΗΡΑΚΛΗΣ.
ΦΕΡΗΣ.

ΕΥΡΙΠΙΔΟΥ ΑΛΚΗΣΤΙΣ.

ΑΠΟΛΛΩΝ.

Ὦ δώματ' Ἀδμήτει', ἐν οἷς ἔτλην ἐγὼ
θῆσσαν τράπεζαν αἰνέσαι, θεός περ ὤν.
Ζεὺς γὰρ, κατακτὰς παῖδα τὸν ἐμὸν, αἴτιος,
Ἀσκληπιὸν, στέρνοισιν ἐμβαλὼν φλόγα·
οὗ δὴ χολωθεὶς τέκτονας δίου πυρὸς
κτείνω Κύκλωπας· καί με θητεύειν πατὴρ
θνητῷ παρ' ἀνδρὶ τῶνδ' ἄποιν' ἠνάγκασεν.
ἐλθὼν δὲ γαῖαν τήνδ' ἐβουφόρβουν ξένῳ,
καὶ τόνδ' ἔσωζον οἶκον ἐς τόδ' ἡμέρας.
ὁσίου γὰρ ἀνδρὸς ὅσιος ὢν ἐτύγχανον,
παιδὸς Φέρητος, ὃν θανεῖν ἐῤῥυσάμην,
Μοίρας δολώσας. ἤνεσαν δέ μοι θεαὶ,
Ἄδμητον ᾅδην τὸν παραυτίκ' ἐκφυγεῖν,
ἄλλον διαλλάξαντα τοῖς κάτω νεκρόν.
πάντας δ' ἐλέγξας καὶ διεξελθὼν φίλους,
πατέρα γεραιάν θ', ἥ σφ' ἔτικτε, μητέρα,
οὐχ εὗρε πλὴν γυναικὸς, ἥτις ἤθελε

θανεῖν πρὸ κείνου, μηκέτ᾽ εἰσορᾷν φάος·
ἣ νῦν κατ᾽ οἴκους ἐν χεροῖν βαστάζεται
ψυχοῤῥαγοῦσα· τῇδε γάρ σφ᾽ ἐν ἡμέρᾳ
θανεῖν πέπρωται καὶ μεταστῆναι βίου.
ἐγὼ δέ, μὴ μίασμά μ᾽ ἐν δόμοις κίχῃ,
λείπω μελάθρων τῶνδε φιλτάτην στέγην.
ἤδη δὲ τόνδε Θάνατον εἰσορῶ πέλας,
ἱερῆ θανόντων, ὅς νιν εἰς Ἅιδου δόμους
μέλλει κατάξειν· συμμέτρως δ᾽ ἀφίκετο
φρουρῶν τόδ᾽ ἦμαρ, ᾧ θανεῖν αὐτὴν χρεών.

ΘΑΝΑΤΟΣ.

ἆ, ἆ, ἆ, ἆ!
τί σὺ πρὸς μελάθροις; τί σὺ τῇδε πολεῖς,
Φοῖβ᾽; ἀδικεῖς αὖ, τιμὰς ἐνέρων
ἀφοριζόμενος καὶ καταπαύων;
οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου
διακωλῦσαι, Μοίρας δολίῳ
σφήλαντι τέχνῃ; νῦν δ᾽ ἐπὶ τῇδ᾽ αὖ
χέρα τοξήρη φρουρεῖς ὁπλίσας,
ἣ τόδ᾽ ὑπέστη, πόσιν ἐκλύσα-
σ᾽ αὐτὴ προθανεῖν, Πελίου παῖς.

ΑΠΟΛΛΩΝ.

θάρσει· δίκην τε καὶ λόγους κεδνοὺς ἔχω.

ΘΑΝΑΤΟΣ.

τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχεις;

ΑΠΟΛΛΩΝ.

σύνηθες ἀεὶ ταῦτα βαστάζειν ἐμοί.

ΘΑΝΑΤΟΣ.

καὶ τοῖσδέ γ᾽ οἴκοις ἐκδίκως προσωφελεῖν;

40. αἰεί.

ΑΠΟΛΛΩΝ.

φίλου γὰρ ἀνδρὸς συμφοραῖς βαρύνομαι.

ΘΑΝΑΤΟΣ.

καὶ νοσφιεῖς με τοῦδε δευτέρου νεκροῦ;

ΑΠΟΛΛΩΝ.

ἀλλ᾽ οὐδ᾽ ἐκεῖνον πρὸς βίαν σ᾽ ἀφειλόμην.

ΘΑΝΑΤΟΣ.

πῶς οὖν ὑπὲρ γῆς ἐστι κοὐ χθονὸς κάτω;

ΑΠΟΛΛΩΝ.

δάμαρτ᾽ ἀμείψας, ἣν σὺ νῦν ἥκεις μέτα.

ΘΑΝΑΤΟΣ.

κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.

ΑΠΟΛΛΩΝ.

λαβὼν ἴθ᾽· οὐ γὰρ οἶδ᾽ ἂν, εἰ πείσαιμί σε.

ΘΑΝΑΤΟΣ.

κτείνειν, ὃν ἂν χρῇ; τοῦτο γὰρ τετάγμεθα.

ΑΠΟΛΛΩΝ.

οὐκ· ἀλλὰ τοῖς μέλλουσι θάνατον ἐμβαλεῖν.

ΘΑΝΑΤΟΣ.

ἔχω λόγον γε καὶ προθυμίαν σέθεν.

ΑΠΟΛΛΩΝ.

ἔστ᾽ οὖν, ὅπως Ἄλκηστις ἐς γῆρας μόλοι;

ΘΑΝΑΤΟΣ.

οὐκ ἔστι· τιμαῖς κἀμὲ τέρπεσθαι δόκει.

ΑΠΟΛΛΩΝ.

οὔτοι πλέον γ᾽ ἂν, ἢ μίαν ψυχὴν, λά-
βοις.

ΘΑΝΑΤΟΣ.

νέων φθινόντων, μεῖζον ἄρνυμαι κλέος.

45. κάτω χθ. 49. χρή.

ΑΠΟΛΛΩΝ.

κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται.

ΘΑΝΑΤΟΣ.

πρὸς τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τίθης.

ΑΠΟΛΛΩΝ.

πῶς εἶπας; ἀλλ᾽ ἦ καὶ σοφὸς λέληθας ὤν;

ΘΑΝΑΤΟΣ.

ὠνοῖντ᾽ ἂν, οἷς πάρεστι, γηραιοὺς θανεῖν.

ΑΠΟΛΛΩΝ.

οὔκουν δοκεῖ σοι τήνδε μοι δοῦναι χάριν;

ΘΑΝΑΤΟΣ.

οὐ δῆτ᾽· ἐπίστασαι δὲ τοὺς ἐμοὺς τρόπους.

ΑΠΟΛΛΩΝ.

ἐχθρούς γε θνητοῖς καὶ θεοῖς στυγουμένους.

ΘΑΝΑΤΟΣ.

οὐκ ἂν δύναιο πάντ᾽ ἔχειν, ἃ μή σε δεῖ.

ΑΠΟΛΛΩΝ.

ἦ μὴν σὺ παύσει, καίπερ ὠμὸς ὢν ἄγαν.
τοῖος Φέρητος εἶσι πρὸς δόμους ἀνὴρ,
Εὐρυσθέως πέμψαντος ἵππειον μέτα
ὄχημα Θρῄκης ἐκ τόπων δυσχειμέρων,
ὃς δὴ ξενωθεὶς τοῖσδ᾽ ἐν Ἀδμήτου δόμοις
βίᾳ γυναῖκα τήνδε σ᾽ ἐξαιρήσεται·
κοὔθ᾽ ἡ παρ᾽ ἡμῶν σοι γενήσεται χάρις,
δράσεις θ᾽ ὁμοίως ταῦτ᾽, ἀπεχθήσει τ᾽ ἐμοί.

ΘΑΝΑΤΟΣ.

πόλλ᾽ ἂν σὺ λέξας οὐδὲν ἂν πλέον λάβοις·
ἡ δ᾽ οὖν γυνὴ κάτεισιν εἰς Ἅιδου δό-
μους.

59. ὤνοιντ᾽ ἄν.

στείχω δ᾽ ἐπ᾽ αὐτὴν, ὡς κατάρξωμαι ξίφει·
ἱερὸς γὰρ οὗτος τῶν κατὰ χθονὸς θεῶν,
ὅτου τόδ᾽ ἔγχος κρατὸς ἁγνίσει τρίχα.

ΗΜΙΧΟΡΙΟΝ ά.

τί ποθ᾽ ἡσυχία πρόσθε μελάθρων;
τί σεσίγηται δώματ᾽ Ἀδμήτου;

ΗΜΙΧΟΡΙΟΝ β'.

ἀλλ᾽ οὐδὲ φίλων τις πέλας οὐδείς,
ὅστις ἂν ἐνέποι, πότερον φθιμένην
βασίλειαν χρὴ πενθεῖν, ἢ ζῶσ᾽
ἔτι φῶς τόδε λεύσσει Πελίου παῖς
Ἄλκηστις, ἐμοὶ πᾶσί τ᾽ ἀρίστη
δόξασα γυνὴ
πόσιν εἰς αὑτῆς γεγενῆσθαι.

ΗΜΙΧΟΡΙΟΝ ά.

κλύει τις ἢ στεναγμὸν, ἢ (στρ.)
χερῶν κτύπον κατὰ στέγας,
ἢ γόον, ὡς πεπραγμένων;

ΗΜΙΧΟΡΙΟΝ β'.

οὐ μὰν οὐδέ τις ἀμφιπόλων
στατίζεται ἀμφὶ πύλας.
εἰ γὰρ μετακύμιος ἄτας,
ὦ Παιάν, φανείης!

ΗΜΙΧΟΡΙΟΝ ά.

οὔτἂν φθιμένας γ᾽ ἐσιώπων· οὐ
γὰρ δὴ φροῦδος νέκυς ἐξ οἴκων.

ΗΜΙΧΟΡΙΟΝ β'.

πόθεν;

81. τὴν βασ. 82. deest τόδε. 90. στατίζετ᾽. 92. ἰὼ Π.
94. φροῦδός γ᾽ ἐξ οἴκων νέκυς.

ΗΜΙΧΟΡΙΟΝ ά.
οὐκ αὐχῶ.
ΗΜΙΧΟΡΙΟΝ β'.
τί σε θαρσύνει;
ΗΜΙΧΟΡΙΟΝ ά.
πῶς ἂν ἔρημον τάφον Ἄδμητος
κεδνῆς ἂν ἔπραξε γυναικός;
ΗΜΙΧΟΡΙΟΝ β'.
πυλῶν πάροιθε δ' οὐχ ὁρῶ (ἀντ.)
πηγαῖον, ὡς νομίζεται,
χέρνιβ' ἐπὶ φθιτῶν πύλαις,
χαίτα τ' οὔτις ἐπὶ προθύροις
τομαῖος, ἃ δὴ νεκύων
πένθει πιτνεῖ· οὐ νεολαία
δουπεῖ χεὶρ γυναικῶν.
ΗΜΙΧΟΡΙΟΝ ά.
καὶ μὴν τόδε δὴ κύριον ἦμαρ —
ΗΜΙΧΟΡΙΟΝ β'.
καὶ τί τόδ' αὐδᾷς;
ΗΜΙΧΟΡΙΟΝ ά.
ᾧ χρῆν σφε μολεῖν κατὰ γαίας.
ΗΜΙΧΟΡΙΟΝ β'.
ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.
ΧΟΡΟΣ.
χρὴ τῶν ἀγαθῶν διακναιομένων
πενθεῖν, ὅστις
χρηστὸς ἀπ' ἀρχῆς νενόμισται.

Ἀλλ' οὐδὲ ναυκληρίαν (στροφή.)

98. πάροιθεν. 99. νομίζεταί γε. 103. πένθεσι — οὐδέ.

ἔστ'

ἔστ' ὅποι τις αἴας
στείλας, ἢ Λυκίας,
εἴτ' ἐπὶ τὰς ἀνύδρους
Ἀμμωνίδας ἕδρας
δυστάνου παραλῦσαι
ψυχάν· μόρος γὰρ ἄποτμος πλάθει·
θεῶν δ' ἐπ' ἐσχάραις
οὐκ ἔχω 'πὶ τίνα
μηλοθύταν πορευθῶ.
μόνος δ' ἄν, εἰ φῶς τόδ' ἦν (ἀντιστροφή.)
ὄμμασιν δεδορκὼς
Φοίβου παῖς, προλιποῦσ'
ἦλθεν ἕδρας σκοτίους
ᾅδα τ' ἐπὶ πύλας·
δμαθέντας γὰρ ἀνίστη,
πρὶν αὐτὸν εἷλε διόβολον πλᾶκτρον
πυρὸς κεραυνίου.
νῦν δὲ τίν' ἔτι βίου
ἐλπίδα προσδέχωμαι;
πάντα γὰρ ἤδη τετέλεσται βασι-
λεῦσιν, πάντων δὲ θεῶν [ἐπὶ] βωμοῖς
αἱμόῤῥαντοι θυσίαι πλήρεις,
οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.
ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
δακρυῤῥοοῦσα· τίνα τύχην ἀκούσομαι;
πενθεῖν μέν, εἴ τι δεσπόταισι τυγχάνει,
συγγνωστόν· εἰ δ' ἔτ' ἔστιν ἔμψυχος γυνή,
εἴτ' οὖν ὄλωλεν, εἰδέναι βουλοίμεθ' ἄν.

116. Ἀμμωνιάδας. 117. παραλῦσαι. 126. ᾄδα τε πύ-
λας. 130. τίνα βίου. 131. προσδέχομαι.

ΘΕΡΑΠΑΙΝΑ.

καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.

ΧΟΡΟΣ.

καὶ πῶς ἂν αὑτὸς κατθάνοι τε καὶ βλέποι;

ΘΕΡΑΠΑΙΝΑ.

ἤδη προνωπής ἐστι καὶ ψυχοῤῥαγεῖ.

ΧΟΡΟΣ.

ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις!

ΘΕΡΑΠΑΙΝΑ.

οὔπω τόδ᾽ οἶδε δεσπότης, πρὶν ἂν πάθοι.

ΧΟΡΟΣ.

ἐλπὶς μὲν οὐκ ἔτ᾽ ἔστι σώσασθαι βίον;

ΘΕΡΑΠΑΙΝΑ.

πεπρωμένη γὰρ ἡμέρα βιάζεται.

ΧΟΡΟΣ.

οὐκοῦν ἐπ᾽ αὐτῇ πράσσεται τὰ πρόςφορα;

ΘΕΡΑΠΑΙΝΑ.

κόσμος γ᾽ ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.

ΧΟΡΟΣ.

ἴστω νυν εὐκλεής γε κατθανουμένη,
γυνή τ᾽ ἀρίστη τῶν ὑφ᾽ ἡλίῳ μακρῷ.

ΘΕΡΑΠΑΙΝΑ.

πῶς δ᾽ οὐκ ἀρίστη; τίς δ᾽ ἐναντιώσεται;
τίς, μὴ γενέσθαι τὴν ὑπερβεβλημένην
γυναῖκα; πῶς δ᾽ ἂν μᾶλλον ἐνδείξαιτό τις
πόσιν προτιμῶσ᾽, ἢ θέλουσ᾽ ὑπερθανεῖν;
καὶ ταῦτα μὲν δὴ πᾶσ᾽ ἐπίσταται πόλις·
ἃ δ᾽ ἐν δόμοις ἔδρασε, θαυμάσει κλύων.
ἐπεὶ γὰρ ᾔσθεθ᾽ ἡμέραν τὴν κυρίαν

148. αὐτῆς ext. operat. 150. νῦν. 151. γυνή γ᾽.

ἤκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
ἐλούσατ᾽, ἐκ δ᾽ ἑλοῦσα κεδρίνων δόμων
ἐσθῆτα κόσμον τ᾽, εὐπρεπῶς ἠσκήσατο,
καὶ στᾶσα πρόσθεν ἑστίας κατεύξατο·
Δέσποιν᾽, — ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονὸς, —
πανύστατόν σε προςπιτνοῦσ᾽ αἰτήσομαι,
τέκν᾽ ὀρφανεῦσαι τἀμά· καὶ τῷ μὲν φίλην
σύζευξον ἄλοχον, τῇ δὲ γενναῖον πόσιν.
μήδ᾽, ὥςπερ αὐτῶν ἡ τεκοῦσ᾽ ἀπόλλυμαι,
θανεῖν ἀώρους παῖδας, ἀλλ᾽ εὐδαίμονας
ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.
πάντας δὲ βωμοὺς, οἳ κατ᾽ Ἀδμήτου δόμους,
προςῆλθε κἀξέστεψε καὶ προσεύξατο,
πτόρθων ἀποσχίζουσα μυρσίνης φόβην,
ἄκλαυστος, ἀστένακτος, οὐδὲ τοὐπιὸν
κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
κἄπειτα θάλαμον ἐςπεσοῦσα καὶ λέχος,
ἐνταῦθα δὴ ᾽δάκρυσε καὶ λέγει τάδε·
ὦ λέκτρον, ἔνθα παρθένει᾽ ἔλυσ᾽ ἐγὼ
κορεύματ᾽ ἐκ τοῦδ᾽ ἀνδρὸς, οὗ θνήσκω πέρι,
χαῖρ᾽· οὐ γὰρ ἐχθαίρω σ᾽. ἀπώλεσας δέ με
μόνην· προδοῦναι γάρ σ᾽ ὀκνοῦσα καὶ πόσιν,
θνήσκω. σὲ δ᾽ ἄλλη τις γυνὴ κεκτήσεται,
σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ᾽ ἴσως.
κυνεῖ δὲ προςπιτνοῦσα, πᾶν δὲ δέμνιον
ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
στείχει προνωπὴς, ἐκπεσοῦσα δεμνίων,

163. ἐγὼ μὲν γάρ. 172. μυρσίνων. 183. κύνει. 184. δεύετο.

καὶ πολλὰ θάλαμον ἐξιοῦσ᾽ ἐπεστράφη,
κἄῤῥιψεν αὑτὴν αὖθις ἐς κοίτην πάλιν.
παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι
ἔκλαον· ἡ δὲ λαμβάνουσ᾽ ἐν ἀγκάλαις
ἠσπάζετ᾽ ἄλλοτ᾽ ἄλλον, ὡς θανουμένη.
πάντες δ᾽ ἔκλαον οἰκέται κατὰ στέγας,
δέσποιναν οἰκτείροντες. ἡ δὲ δεξιὰν
προὔτειν᾽ ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς,
ὃν οὐ προςεῖπε καὶ προςεῤῥήθη πάλιν.
τοιαῦτ᾽ ἐν οἴκοις ἐστὶν Ἀδμήτου κακά.
καὶ κατθανών γ᾽ ἂν ὤλετ᾽· ἐκφυγὼν δ᾽ ἔχει
τοσοῦτον ἄλγος, οὗ ποτ᾽ οὐ λελήσεται.

ΧΟΡΟΣ.

ἦπου στενάζει τοῖσίδ᾽ Ἄδμητος κακοῖς,
ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή;

ΘΕΡΑΠΑΙΝΑ.

κλάει γ᾽, ἄκοιτιν ἐν χεροῖν φίλην ἔχων,
καὶ μὴ προδοῦναι λίσσεται, τἀμήχανα
ζητῶν· φθίνει γὰρ καὶ μαραίνεται νόσῳ
παρειμένη γε, χειρὸς ἄθλιον βάρος.
ὅμως δὲ, καίπερ σμικρὸν ἐμπνέουσ᾽ ἔτι,
βλέψαι πρὸς αὐγὰς βούλεται τὰς ἡλίου,
[ὡς οὔποτ᾽ αὖθις, ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ᾽ ἡλίου προςόψεται.]
ἀλλ᾽ εἶμι, καὶ σὴν ἀγγελῶ παρουσίαν·
οὐ γάρ τι πάντες εὖ φρονοῦσι κοιράνοις,
ὥςτ᾽ ἐν κακοῖσιν εὐμενεῖς παρεστάναι.
σὺ δ᾽ εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.

198. οὔποτ᾽ ἐκλελήσεται. 200. χρῇ. 204. νόσῳ παρειμένη δέ.

ΧΟΡΟΣ.

Ὦ Ζεῦ, πῶς ἂν πόρος κακῶν (στρ. ά.)
γένοιτο καὶ λύσις τύχας
ἃ πάρεστι κοιράνοισιν!
ἔξεισί τις; ἢ τεμῶ τρίχα,
καὶ μέλανα στολμὸν πέπλων
ἀμφιβαλώμεθα δή;

ΘΕΡΑΠΑΙΝΑ.

δῆλα μὲν, φίλοι,
δῆλά γ᾽· ἀλλ᾽ ὅμως θεοῖσιν εὐχόμεσθα·
θεῶν γὰρ δύναμις μεγίστα.
ὦναξ Παιάν,
ἔξευρε μηχανάν τιν᾽ Ἀδμήτῳ κακῶν,
πόριζε δή, πόριζε·
καὶ πάρος γὰρ τοῦδ᾽ ἐφεῦρες, καὶ νῦν
λυτήριος ἐκ θανάτου γενοῦ,
φόνιόν τ᾽ ἀπόπαυσον ᾅδαν.

ΧΟΡΟΣ.

παπαί, φεῦ φεῦ! ἰώ! ἰώ! (ἀντ. ά.)
ὦ παῖ Φέρητος, οἷ᾽ ἔπρα-
ξας δάμαρτος σᾶς στερηθείς!
αἶ αἶ, ἄξια καὶ σφαγᾶς τάδε,
καὶ πλέον, ἢ βρόχῳ δέρην
οὐρανίῳ πελάσαι.
τὰν γὰρ οὐ φίλαν,
ἀλλὰ φιλτάταν γυναῖκα κατθανοῦσαν
ἐν ἄματι τῷδ᾽ ἐςόψει.

213. ἰὼ Ζεῦ, τίς ἄν. 215. κοιράνοις. 216. ἔξεισιν. 218. ἀμφιβαλώμεθ᾽ ἤδη. 220. εὐχώμεθα. 221. ἁ δύναμις. 227. ἀΐδαν. 230. σῆς. 232. πλεῖον. 235. φιλτάτην. 236. ἤματι.

ἰδού! ἰδού!
ἥδ' ἐκ δόμων δὴ καὶ πόσις πορεύεται.
βόασον ὦ στέναξον,
ὦ Φεραία χθών, ἀρίσταν τάνδε
γυναῖκα μαραινομέναν νόσῳ
κατὰ γᾶν, χθόνιον παρ' Ἅιδαν.
οὔποτε φήσω γάμον εὐφραίνειν
πλέον, ἢ λυπεῖν,
τοῖς τε πάροιθεν τεκμαιρόμενος
καὶ τάσδε τύχας λεύσσων βασιλέως,
ὅστις ἀρίστης ἀπλακὼν ἀλόχου
τῆσδ' ἀβίωτον
τὸν ἔπειτα χρόνον βιοτεύσει.

ΑΛΚΗΣΤΙΣ.

Ἅλιε καὶ φάος ἁμέρας, (στροφὴ β'.)
οὐράνιαί τε δῖναι
νεφέλας δρομαίου —

ΑΔΜΗΤΟΣ.

ὁρᾷ σε κἀμέ, δύο κακῶς πεπραγότας,
οὐδὲν θεοὺς δράσαντας, ἀνθ' ὅτου θανεῖ.

ΑΛΚΗΣΤΙΣ.

γαῖά τε καὶ μελάθρων στέγαι (ἀντ. β.)
νυμφίδιαί τε κοῖται
πατρῴας Ἰωλκοῦ!

ΑΔΜΗΤΟΣ.

ἔπαιρε σαυτήν, ὦ τάλαινα, μὴ προδῷς·
λίσσου δὲ τοὺς κρατοῦντας οἰκτεῖραι θεούς.

ΑΛΚΗΣΤΙΣ.

ὁρῶ δίκωπον, ὁρῶ, σκάφος (στρ. γ'.)

240. τὰν ἀρίσταν γ. 247. ἀμπλακών. 250. ἡμέρας.

νεκύων δὲ πορθμεὺς,
ἔχων χέρ' ἐπὶ κοντῷ,
[Χάρων] μ' ἤδη καλεῖ· τί μέλλεις;
ἐπείγου· σὺ κατείργεις τάδε. τοῖά με
σπερχόμενος ταχύνει.

ΑΔΜΗΤΟΣ.

οἴ μοι! πικράν γε τήνδε μοι ναυκληρίαν
ἔλεξας. ὦ δύσδαιμον, οἷα πάσχομεν!

ΑΛΚΗΣΤΙΣ.

ἄγει μ', ἄγει μέ τις· — οὐχ
ὁρᾷς; (ἀντιστρ. γ'.)
νεκύων ἐς αὐλὰν,
ὑπ' ὀφρύσι κυαναυγέσι
βλέπων πτερωτὸς Ἅιδας.
τί ῥέξεις; ἄφες· οἵαν ὁδὸν ἁ δει-
λαιοτάτα προβαίνω.

ΑΔΜΗΤΟΣ.

οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ' ἐμοὶ
καὶ παισὶν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.

ΑΛΚΗΣΤΙΣ.

μέθετε, μέθετέ μ' ἤδη. (στρ. δ'.)
κλίνατέ μ', οὐ σθένω
ποσί· πλησίον Ἅιδας· σκοτία δ'
[ἐπ'] ὄσσοισι νὺξ ἐφέρπει.
τέκνα, τέκν', οὐκ ἔτι δὴ (ἀντ. δ'.)
οὐκ ἔτι δὴ μάτηρ
σφῷν ἐστίν· χαίροντες, ἰώ!
τέκνα τόδε φάος ὁρῷτον.

264. ἐπείγου σύ· κατείργεις· τὰ δ' ἕτοιμ' ἅ. 272. ῥέ-
ζεις. 282. ὦ.

ΑΔΜΗΤΟΣ.

οἴ μοι! τόδ᾽ ἔπος λυπρὸν ἀκούω,
καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.
μὴ πρός σε θεῶν τλῇς με προδοῦναι,
μὴ πρὸς παίδων, οὓς ὀρφανιεῖς,
ἀλλ᾽ ἄνα τόλμα·
σοῦ γὰρ φθιμένης, οὐκ ἔτ᾽ ἂν εἴην·
ἐν σοὶ δ᾽ ἐσμὲν καὶ ζῆν καὶ μή·
σὴν γὰρ φιλίαν σεβόμεσθα.

ΑΛΚΗΣΤΙΣ.

Ἄδμηθ᾽, — ὁρᾷς γὰρ τἀμὰ πράγμαθ᾽ ὡς ἔχει, —
λέξαι θέλω σοι, πρὶν θανεῖν, ἃ βούλομαι.
ἐγώ σε πρεσβεύουσα κἀντὶ τῆς ἐμῆς
ψυχῆς καταστήσασα φῶς τόδ᾽ εἰσορᾷν,
θνήσκω, παρόν μοι μὴ θανεῖν, ὑπὲρ σέθεν,
ἀλλ᾽ ἄνδρα τε σχεῖν Θεσσαλῶν, ὃν ἤθελον,
καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι,
οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου
ξὺν παισὶν ὀρφανοῖσιν· οὐδ᾽ ἐφεισάμην,
ἥβης ἔχουσα δῶρ᾽, ἐν οἷς ἐτερπόμην.
καίτοι σ᾽ ὁ φύσας χ᾽ ἡ τεκοῦσα προὔδοσαν,
καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
καλῶς δὲ σῶσαι παῖδα κεὐκλεῶς θανεῖν.
μόνος γὰρ αὐτοῖς ἦσθα· κοὔτις ἐλπὶς ἦν,
σοῦ κατθανόντος, ἄλλα φιτύσειν τέκνα.
κἀγώ τ᾽ ἂν ἔζην, καὶ σὺ τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες,
καὶ παῖδας ὠρφάνευες· ἀλλὰ ταῦτα μὲν

286. πρὸς τῶν θεῶν. 288. ἀνατόλμα.

θεῶν τις ἐξέπραξεν, ὥςθ᾽ οὕτως ἔχειν.
εἶεν· σύ μοί νυν τῶνδ᾽ ἀπόμνησαι χάριν·
αἰτήσομαι γάρ σ᾽ ἀξίαν μὲν οὔ ποτε· —
ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον· —
δίκαια δ᾽, ὡς φήσεις σύ· τούςδε γὰρ φιλεῖς
οὐχ ἧσσον, ἢ ᾽γὼ, παῖδας, εἴπερ εὖ φρονεῖς·
τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,
καὶ μὴ ᾽πιγήμῃς τοῖςδε μητρυιὰν τέκνοις,
ἥτις, κακίων οὖσ᾽ ἐμοῦ γυνὴ, φθόνῳ
τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προςβαλεῖ.
μὴ δῆτα δράσῃς ταῦτά γ᾽, αἰτοῦμαί σ᾽ ἐγώ·
ἐχθρὰ γὰρ ἡ ᾽πιοῦσα μητρυιὰ τέκνοις
τοῖς πρόςθ᾽, ἐχίδνης οὐδὲν ἠπιωτέρα.
καὶ παῖς μὲν ἄρσην πατέρ᾽ ἔχει πύργον μέγαν,
[ὃν καὶ προςεῖπε, καὶ προςεῤῥήθη πάλιν.]
σὺ δ᾽, ὦ τέκνον, μοι πῶς κορευθήσει καλῶς;
ποίας τυχοῦσα συζύγου τῷ σῷ πατρί;
μή σοί τιν᾽ αἰσχρὰν προςβαλοῦσα κληδόνα,
ἥβης ἐν ἀκμῇ σοὺς διαφθείρῃ γάμους·
οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ,
οὔτ᾽ ἐν τόκοισι σοῖσι θαρσυνεῖ, τέκνον,
παροῦσ᾽, ἵν᾽ οὐδὲν μητρὸς εὐμενέστερον.
δεῖ γάρ θανεῖν με· καὶ τόδ᾽ οὐκ ἐς αὔριον,
οὐδ᾽ ἐς τρίτην μοι μηνὸς ἔρχεται κακὸν,
ἀλλ᾽ αὐτίκ᾽ ἐν τοῖς οὐκέτ᾽ οὖσι λέξομαι.
χαίροντες εὐφραίνοισθε· καὶ σοὶ μὲν, πόσι,
γυναῖκ᾽ ἀρίστην ἔστι κομπάσαι λαβεῖν,
ὑμῖν δὲ, παῖδες, μητρὸς ἐκπεφυκέναι.

311. σὺ δή μοι τήνδ᾽. 315. εὐφρονεῖς. 332. εἰς αὔρ.

ΧΟΡΟΣ.

θάρσει· πρὸ τούτου γὰρ λέγειν οὐ χάζομαι.
δράσει τάδ᾽, ἤνπερ μὴ φρενῶν ἁμαρτάνῃ.

ΑΔΜΗΤΟΣ.

ἔσται τάδ᾽, ἔσται, μὴ τρέσῃς· ἐπεί σ᾽ ἐγὼ
καὶ ζῶσαν εἶχον, καὶ θανοῦσ᾽ ἐμὴ γυνὴ
μόνη κεκλήσει, κοὔτις ἀντὶ σοῦ ποτε
τόνδ᾽ ἄνδρα νύμφη Θεσσαλὶς προσφθέγξεται.
οὐκ ἔστιν οὕτως οὔτε πατρὸς εὐγενοῦς,
οὔτ᾽ εἶδος ἄλλως ἐκπρεπεστάτη γυνή.
ἅλις δὲ παίδων· τῶνδ᾽ ὄνησιν εὔχομαι
θεοῖς γενέσθαι· σοῦ γὰρ οὐκ ὠνήμεθα.
οἴσω δὲ πένθος οὐκ ἐτήσιον τόδε,
ἀλλ᾽ ἔστ᾽ ἂν αἰὼν οὑμὸς ἀντέχῃ, γύναι,
στυγῶν μὲν ἥ μ᾽ ἔτικτεν, ἐχθαίρων δ᾽ ἐμὸν
πατέρα· λόγῳ γὰρ ἦσαν, οὐκ ἔργῳ, φίλοι.
σὺ δ᾽ ἀντιδοῦσα τῆς ἐμῆς τὰ φίλτατα
ψυχῆς ἔσωσας· ἆρά μοι στένειν πάρα,
τοιᾶσδ᾽ ἁμαρτάνοντι συζύγου σέθεν;
παύσω δὲ κώμους ξυμποτῶν θ᾽ ὁμιλίας
στεφάνους τε μοῦσάν θ᾽, ἣ κατεῖχ᾽ ἐμοὺς δόμους.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν βαρβίτου θίγοιμ᾽ ἔτι,
οὔτ᾽ ἂν φρέν᾽ ἐξαίροιμι πρὸς Λίβυν λακεῖν
αὐλόν· σὺ γάρ μου τέρψιν ἐξείλου βίου.
σοφῇ δὲ χειρὶ τεκτόνων δέμας τὸ σὸν
εἰκασθὲν ἐν λέκτροισιν ἐκταθήσεται,
ᾧ προσπεσοῦμαι καὶ περιπτύσσων χέρας,
ὄνομα καλῶν σὸν, τὴν φίλην ἐν ἀγκάλαις
δόξω γυναῖκα, καίπερ οὐκ ἔχων, ἔχειν·

ψυχρὰν μὲν, οἶμαι, τέρψιν, ἀλλ᾽ ὅμως βάρος
ψυχῆς ἀπαντλοίην ἄν· ἐν δ᾽ ὀνείρασι
φοιτῶσά μ᾽ εὐφραίνοις ἄν. ἡδὺ γὰρ φίλος
κἀν νυκτὶ λεύσσειν, ὅντιν᾽ ἂν παρῇ χρόνον.
εἰ δ᾽ Ὀρφέως μοι γλῶσσα καὶ μέλος παρῆν,
ὥς τὴν κόρην Δήμητρος, ἢ κείνης πόσιν
ὕμνοισι κηλήσαντά σ᾽ ἐξ Ἅιδου λαβεῖν,
κατῆλθον ἄν· καί μ᾽ οὔθ᾽ ὁ Πλούτωνος κύων,
οὔθ᾽ οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων
ἔσχον, πρὶν ἐς φῶς σὸν καταστῆσαι βίον.
ἀλλ᾽ οὖν ἐκεῖσε προσδόκα μ᾽, ὅταν θάνω,
καὶ δῶμ᾽ ἑτοίμαζ᾽, ὡς συνοικήσουσά μοι.
ἐν ταῖσιν αὐταῖς γάρ μ᾽ ἐπισκήψω κέδροις
σοὶ τούσδε θεῖναι πλευρά τ᾽ ἐκτεῖναι πέλας
πλευροῖσι τοῖς σοῖς· μηδὲ γὰρ θανὼν ποτε
σοῦ χωρὶς εἴην, τῆς μόνης πιστῆς ἐμοί!

ΧΟΡΟΣ.

καὶ μὴν ἐγώ σοι πένθος, ὡς φίλος φίλῳ,
λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία.

ΑΛΚΗΣΤΙΣ.

ὦ παῖδες, αὐτοὶ δὴ τάδ᾽ εἰσηκούσατε
πατρὸς λέγοντος, μὴ γαμεῖν ἄλλην ποτὲ
γυναῖκ᾽ ἐφ᾽ ὑμῖν, μηδ᾽ ἀτιμάσειν ἐμέ.

ΑΔΜΗΤΟΣ.

καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.

ΑΛΚΗΣΤΙΣ.

ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.

ΑΔΜΗΤΟΣ.

δέχομαι φίλον γε δῶρον ἐκ φίλης χερός.

369. γλῶττα.

ΑΛΚΗΣΤΙΣ.
σὺ νῦν γενοῦ τοῖσδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοις.
ΑΔΜΗΤΟΣ.
πολλή γ' ἀνάγκη σοῦ γ' ἀπεστερημένοις.
ΑΛΚΗΣΤΙΣ.
ὦ τέκν', ὅτε ζῆν χρῆν μ', ἀπέρχομαι κάτω.
ΑΔΜΗΤΟΣ.
οἴ μοι, τί δράσω δῆτα σοῦ μονούμενος;
ΑΛΚΗΣΤΙΣ.
χρόνος μαλάξει σ'· οὐδέν ἐσθ' ὁ κατθανών.
ΑΔΜΗΤΟΣ.
ἄγου με σύν σοι πρὸς θεῶν, ἄγου κάτω.
ΑΛΚΗΣΤΙΣ.
ἀρκοῦμεν ἡμεῖς οἱ προθνήσκοντες σέθεν.
ΑΔΜΗΤΟΣ.
ὦ δαῖμον, οἵας συζύγου μ' ἀποστερεῖς!
ΑΛΚΗΣΤΙΣ.
καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.
ΑΔΜΗΤΟΣ.
ἀπωλόμην ἄρ', εἴ με δὴ λείψεις, γύναι.
ΑΛΚΗΣΤΙΣ.
ὡς οὐκ ἔτ' οὖσαν οὐδὲν ἂν λέγοις ἐμέ.
ΑΔΜΗΤΟΣ.
ὄρθου πρόσωπον, μὴ λίπῃς παῖδας σέθεν.
ΑΛΚΗΣΤΙΣ.
οὐ δῆθ' ἑκοῦσά γ', ἀλλὰ χαίρετ', ὦ τέκνα.
ΑΔΜΗΤΟΣ.
βλέψον πρὸς αὐτούς, βλέψον.
ΑΛΚΗΣΤΙΣ.
οὐδέν εἰμ' ἔτι.

ΑΔΜΗΤΟΣ.
τί δρᾷς; προλείπεις;
ΑΛΚΗΣΤΙΣ.
χαῖρ'.
ΑΔΜΗΤΟΣ.
ἀπωλόμην τάλας.—
ΧΟΡΟΣ.
βέβηκεν, οὐκ ἔτ' ἔστιν Ἀδμήτου γυνή.
ΕΥΜΗΛΟΣ.
Ἰώ μοι τύχας! (στροφή.)
μαῖα δὴ κάτω βέβηκεν, οὐκ ἔτ' ἐστίν, ὦ
πάτερ, ὑφ' ἁλίῳ.
προλιποῦσα δ' ἁμὸν βίον
ὠρφάνισε τλάμων.
ἴδε γάρ, ἴδε βλέφαρον καὶ
παρατόνους χέρας.
ὑπάκουσον, ἄκουσον, ὦ
μᾶτερ, ἀντιάζω.
ἐγώ σ' ἐγώ, μᾶτερ,
νῦν γε καλοῦμαι ὁ σὸς ποτὶ σοῖσι πι-
τνῶν στόμασιν νεοσσός.
ΑΔΜΗΤΟΣ.
τὴν οὐ κλύουσαν, οὐδ' ὁρῶσαν· ὥστ' ἐγὼ
καὶ σφὼ βαρείᾳ συμφορᾷ πεπλήγμεθα.
ΕΥΜΗΛΟΣ.
νέος ἐγώ, πάτερ, (ἀντιστρ.)
λείπομαι φίλας μονόστολός τε ματρός· ὦ
σχέτλια δὴ παθὼν
ἐγὼ ἔργα * * *
* * * * * *

σύ τέ μοι, σύγκασι κούρα,
συνέτλας· [ὦ] πάτερ
ἀνόνατ᾽, ἀνόνατ᾽ ἐνύμ-
φευσας, οὐδὲ γήρως
ἔβας τέλος σὺν τᾷδ᾽·
ἔφθιτο γὰρ πάρος, οἰχομένας δέ σου,
μᾶτερ, ὄλωλεν οἶκος.

ΧΟΡΟΣ.

Ἄδμητ᾽, ἀνάγκη τάσδε συμφορὰς φέρειν·
οὐ γάρ τι πρῶτος, οὐδὲ λοίσθιος βροτῶν
γυναικὸς ἐσθλῆς ἤμπλακες· γίγνωσκε δέ,
ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται.

ΑΔΜΗΤΟΣ.

ἐπίσταμαί γε, κοὐκ ἄφνω κακὸν τόδε
προσέπτατ᾽· εἰδὼς δ᾽ αὔτ᾽ ἐτειρόμην πάλαι.
ἀλλ᾽ — ἐκφορὰν γὰρ τοῦδε θήσομαι νε-
κροῦ, —
πάρεστε, καὶ μένοντες ἀντηχήσατε
παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.
πᾶσιν δὲ Θεσσαλοῖσιν, ὧν ἐγὼ κρατῶ,
πένθος γυναικὸς τῆσδε κοινοῦσθαι λέγω
κουρᾷ ξυρήκει καὶ μελαμπέπλῳ στολῇ·
τέθριππά τε ζεύγνυσθε, καὶ μονάμπυκας
πώλους σιδήρῳ τέμνετ᾽ αὐχένων φόβην.
αὐλῶν δὲ μὴ κατ᾽ ἄστυ, μὴ λύρας κτύπος
ἔστω σελήνας δώδεκ᾽ ἐκπληρουμένας·
οὐ γάρ τιν᾽ ἄλλον φίλτερον θάψω νεκρὸν
τοῦδ᾽, οὐδ᾽ ἀμείνον᾽ εἰς ἔμ᾽· ἀξία δέ μοι
τιμῆς, ἐπεὶ τέθνηκεν ἀντ᾽ ἐμοῦ μόνη.

423. σύ τ᾽ ἐμοί. 425. ἀνόνητ᾽.

ΧΟΡΟΣ.

Ὦ Πελίου θύγατερ, (στροφὴ ά.)
χαίρουσά μοι εἰν Ἀΐδα δόμοισι
τὸν ἀνάλιον οἶκον οἰκετεύοις.
ἴστω δ᾽ Ἀΐδης ὁ μελαγχαίτας
θεός, ὅς τ᾽ ἐπὶ κώπᾳ
πηδαλίῳ τε γέρων
νεκροπομπὸς ἵζει,
πολὺ δή, πολὺ δὴ γυναῖκ᾽ ἀρίσταν
λίμναν Ἀχεροντίαν πορεύσας
ἐλάτᾳ δικώπῳ.
πολλά σε μουσοπόλοι (ἀντιστρ. ά.)
μέλψουσι καθ᾽ ἑπτάτονόν τ᾽ ὀρείαν
χέλυν ἔν τ᾽ ἀλύροις κλείοντες ὕμνοις
Σπάρτᾳ, κύκλος ἁνίκα Καρνείου
περινείσεται ὥρᾳ
μηνὸς ἀειρομένας
παννύχου σελάνας,
λιπαραῖσί τ᾽ ἐν ὀλβίαις Ἀθάναις.
τοίαν ἔλιπες θανοῦσα μολπὰν
μελέων ἀοιδοῖς.
Εἴθ᾽ ἐπ᾽ ἐμοὶ μὲν εἴη, (στροφὴ β΄.)
δυναίμαν δέ σε πέμψαι
φάος ἐξ Ἀΐδα τεράμνων
Κωκυτοῦ τε ῥεέθρων
ποταμίᾳ νερτέρᾳ τε κώπᾳ!
σὺ γάρ, ὦ μόνα, ὦ φίλα γυναικῶν,
σύ γε τὸν σαυτᾶς ἔτλας

450. ἐν ἀΐδα. 463. ὥρα. 471. ἀΐδου. 472. καὶ Κωκυτοῖο ῥεέθρων.

πόσιν ἀντὶ σᾶς ἀμεῖψαι
ψυχᾶς ἐξ ᾄδα. κούφα σοι
χθὼν ἐπάνωθεν πέσοι, γύναι!
εἰ δέ τι καινὸν ἕλοιτο πόσις λέχος,
ἦ μάλ' ἐμοί γ' ἂν εἴη
στυγηθεὶς τέκνοις τε τοῖς σοῖς.
ματέρος οὐ θελούσας (ἀντιστρ. β'.)
πρὸ παιδὸς χθονὶ κρύψαι
δέμας, οὐδὲ πατρὸς γεραιοῦ
* * * * * *
ὃν ἔτεκον δ', οὐκ ἔτλαν ῥύσασθαι
σχετλίω, πολιὰν ἔχοντε χαίταν.
σὺ δ' ἐν ἥβᾳ νέᾳ νέου
προθανοῦσα φωτὸς οἴχει.
τοιαύτας εἴη με κυρῆσαι
συνδυάδος φίλας ἀλόχου·
τοῦτο γὰρ ἐν βιότῳ σπάνιον μέρος·
ἦ γὰρ ἐμοί γ' ἄλυπος
δι' αἰῶνος ἂν ξυνείη!

ΗΡΑΚΛΗΣ.

Ξένοι, Φεραίας τῆσδε κωμῆται χθονὸς,
Ἄδμητον ἐν δόμοισιν ἆρα κιγχάνω;

ΧΟΡΟΣ.

ἔστ' ἐν δόμοισι παῖς Φέρητος, Ἡράκλεις.
ἀλλ' εἰπὲ, χρεία τίς σε Θεσσαλῶν χθόνα
πέμπει, Φεραίων ἄστυ προσβῆναι τόδε;

ΗΡΑΚΛΗΣ.

Τιρυνθίῳ πράσσω τίν' Εὐρυσθεῖ πόνον.

477. ᾄδαο. 478. ἐπάνω πέσειε. 485. ἔτεκον, κοὐκ. 495. κιχάνω. 497. πόλιν.

ΧΟΡΟΣ.

καὶ ποῖ πορεύει; τῷ ξυνέζευξαι πλάνῳ;

ΗΡΑΚΛΗΣ.

Θρῃκὸς τέτρωρον ἅρμα Διομήδους μέτα.

ΧΟΡΟΣ.

πῶς οὖν δυνήσει; μῶν ἄπειρος εἶ ξένου;

ΗΡΑΚΛΗΣ.

ἄπειρος· οὔπω Βιστόνων ἦλθον χθόνα.

ΧΟΡΟΣ.

οὐκ ἔστιν ἵππων δεσπόσαι σ' ἄνευ μάχης.

ΗΡΑΚΛΗΣ.

ἀλλ' οὐδ' ἀπειπεῖν μ' ἦν πόνους οἷόν τέ μοι.

ΧΟΡΟΣ.

κτανὼν ἄρ' ἥξεις, ἢ θανὼν αὐτοῦ μενεῖς.

ΗΡΑΚΛΗΣ.

οὐ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.

ΧΟΡΟΣ.

τί δ' ἂν, κρατήσας δεσπότην, πλέον λά-
βοις;

ΗΡΑΚΛΗΣ.

πώλους ἀπάξω κοιράνῳ Τιρυνθίῳ.

ΧΟΡΟΣ.

οὐκ εὐμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.

ΗΡΑΚΛΗΣ.

εἰ μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.

ΧΟΡΟΣ.

ἀλλ' ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.

ΗΡΑΚΛΗΣ.

θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων, λέγεις.

506. μενεῖς;

ΧΟΡΟΣ.

φάτνας ἴδοις ἂν αἵμασιν πεφυρμένας.

ΗΡΑΚΛΗΣ.

τίνος δ' ὁ θρέψας παῖς πατρὸς κομπάζεται;

ΧΟΡΟΣ.

Ἄρεος, ζαχρύσου Θρῃκίας πέλτης ἄναξ.

ΗΡΑΚΛΗΣ.

καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις, —
σκληρὸς γὰρ ἀεὶ καὶ πρὸς αἶπος ἔρχεται, —
εἰ χρή με παισὶν, οἷς Ἄρης ἐγείνατο,
μάχην ξυνάψαι, πρῶτα μὲν Λυκάονι,
αὖθις δὲ Κύκνῳ, τόνδε δ' ἔρχομαι τρίτον
ἀγῶνα πώλοις δεσπότῃ τε συμβαλῶν.
ἀλλ' οὔτις ἐστὶν, ὃς τὸν Ἀλκμήνης γόνον
τρέσαντα χεῖρα πολεμίαν ποτ' ὄψεται.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' αὐτὸς τῆσδε κοίρανος χθονὸς
Ἄδμητος ἔξω δωμάτων πορεύεται.

ΑΔΜΗΤΟΣ.

χαῖρ', ὦ Διὸς παῖ Περσέως ἀφ' αἵματος.

ΗΡΑΚΛΗΣ.

Ἄδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.

ΑΔΜΗΤΟΣ.

θέλοιμ' ἄν· εὔνουν δ' ὄντα σ' ἐξεπίσταμαι.

ΗΡΑΚΛΗΣ.

τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;

ΑΔΜΗΤΟΣ.

θάπτειν τίν' ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν.

516. Θρᾳκίας. 517. λέγεις; 524. πολεμίων. 527. Περσέως τ'.

ΗΡΑΚΛΗΣ.

ἀπ' οὖν τέκνων σῶν πημονὴν εἴργοι θεός.

ΑΔΜΗΤΟΣ.

ζῶσιν κατ' οἴκους παῖδες, οὓς ἔφυσ' ἐγώ.

ΗΡΑΚΛΗΣ.

πατήρ γε μὴν ὡραῖος, εἴπερ οἴχεται.

ΑΔΜΗΤΟΣ.

κἀκεῖνός ἐστι χ' ἡ τεκοῦσά μ', Ἡράκλεις.

ΗΡΑΚΛΗΣ.

οὐ μὴν γυνή γ' ὄλωλεν Ἄλκηστις σέθεν;

ΑΔΜΗΤΟΣ.

διπλοῦς ἐπ' αὐτῇ μῦθος ἔστι μοι λέγειν.

ΗΡΑΚΛΗΣ.

πότερα θανούσης εἶπας, ἢ ζώσης πέρι;

ΑΔΜΗΤΟΣ.

ἔστιν τε κοὐκ ἔτ' ἐστὶν, ἀλγύνει δέ με.

ΗΡΑΚΛΗΣ.

οὐδέν τι μᾶλλον οἶδ'· ἄσημα γὰρ λέγεις.

ΑΔΜΗΤΟΣ.

οὐκ οἶσθα, μοίρας ἧς τυχεῖν αὐτὴν χρεών;

ΗΡΑΚΛΗΣ.

οἶδ', ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην.

ΑΔΜΗΤΟΣ.

πῶς οὖν ἔτ' ἔστιν, εἴπερ ᾔνεσεν τάδε.

ΗΡΑΚΛΗΣ.

ἆ! μὴ πρόκλα' ἄκοιτιν, ἐς τόδ' ἀναβαλοῦ.

ΑΔΜΗΤΟΣ.

τέθνηχ' ὁ μέλλων, κοὐκέτ' ἔστ' ὁ κατθανών.

539. τ' ἐμέ. 545. τέθνηχ'· ὁ μέλλων χὠ θανὼν οὐκ ἔστ' ἔτι.

ΗΡΑΚΛΗΣ.

χωρὶς τό τ' εἶναι καὶ τὸ μὴ νομίζεται.

ΑΔΜΗΤΟΣ.

σὺ τῇδε κρίνεις, Ἡράκλεις, κείνη δ' ἐγώ.

ΗΡΑΚΛΗΣ.

τί δῆτα κλάεις; τίς φίλων ὁ κατθανών;

ΑΔΜΗΤΟΣ.

γυνή· γυναικὸς ἀρτίως μεμνήμεθα.

ΗΡΑΚΛΗΣ.

ὀθνεῖος, ἢ σοι συγγενὴς γεγῶσά τις;

ΑΔΜΗΤΟΣ.

ὀθνεῖος, ἄλλως δ' ἦν ἀναγκαία δόμοις.

ΗΡΑΚΛΗΣ.

πῶς οὖν ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον;

ΑΔΜΗΤΟΣ.

πατρὸς θανόντος, ἐνθάδ' ὠρφανεύετο.

ΗΡΑΚΛΗΣ.

φεῦ.
εἴθ' εὕρομέν σ', Ἄδμητε, μὴ λυπούμενον!

ΑΔΜΗΤΟΣ.

ὡς δὴ τί δράσων τόνδ' ὑποῤῥάπτεις λόγον;

ΗΡΑΚΛΗΣ.

ξένων πρὸς ἄλλην ἑστίαν πορεύσομαι.

ΑΔΜΗΤΟΣ.

οὐκ ἔστιν, ὦναξ· μὴ τοσόνδ' ἔλθοι κακόν.

ΗΡΑΚΛΗΣ.

λυπουμένοις ὀχληρὸς, εἰ μόλοι, ξένος.

ΑΔΜΗΤΟΣ.

τεθνᾶσιν οἱ θανόντες· ἀλλ' ἴθ' ἐς δόμους.

ΗΡΑΚΛΗΣ.

αἰσχρὸν παρὰ κλαίουσι θοινᾶσθαι ξένους.

ΑΔΜΗΤΟΣ.

χωρὶς ξενῶνές εἰσιν, οἷ σ' ἐσάξομεν.

ΗΡΑΚΛΗΣ.

μέθες με, καί σοι μυρίαν ἕξω χάριν.

ΑΔΜΗΤΟΣ.

οὐκ ἔστιν ἄλλου σ' ἀνδρὸς ἑστίαν μολεῖν.
ἡγοῦ σὺ, τῶνδε δωμάτων ἐξωπίους
ξενῶνας οἴξας, τοῖς τ' ἐφεστῶσι φράσον,
σίτων παρεῖναι πλῆθος· ἐν δὲ κλῄσατε
θύρας μεσαύλους· οὐ πρέπει θοινωμένους
κλύειν στεναγμῶν οὐδὲ λυπεῖσθαι ξένους.

ΧΟΡΟΣ.

τί δρᾷς, τοσαύτης ξυμφορᾶς προκειμένης,
Ἄδμητε; τολμᾷς ξενοδοχεῖν; τί μῶρος εἶ;

ΑΔΜΗΤΟΣ.

ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπῄνεσας;
οὐ δῆτ', ἐπεί μοι ξυμφορὰ μὲν οὐδὲν ἂν
μείων ἐγίγνετ', ἀξενώτερος δ' ἐγώ.
καὶ πρὸς κακοῖσιν ἄλλο τοῦτ' ἂν ἦν κακὸν,
δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
ὅταν περ Ἄργους διψίαν ἔλθω χθόνα.

ΧΟΡΟΣ.

πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
φίλου μολόντος ἀνδρὸς, ὡς αὐτὸς λέγεις;

560. φίλοις. 561. οἷς σ' εἰσάξ.

ΑΔΜΗΤΟΣ.

οὐκ ἄν ποτ' ἠθέλησεν εἰςελθεῖν δόμους,
εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.
καὶ τῷ μὲν, οἶμαι, δρῶν τάδ', οὐ φρονεῖν δοκῶ,
οὐδ' αἰνέσει με· τἀμὰ δ' οὐκ ἐπίσταται
μέλαθρ' ἀπωθεῖν οὐδ' ἀτιμάζειν ξένους.

ΧΟΡΟΣ.

Ὦ πολύξεινος καὶ ἐλεύθερος (στρ. ά.)
ἀνδρὸς ἀεί ποτ' οἶκος,
σέ τοι καὶ ὁ Πύθιος εὐλύρας Ἀπόλλων
ἠξίωσε ναίειν,
ἔτλα δὲ σοῖσι μηλονόμας
ἐν δόμοις γενέσθαι,
δοχμιᾶν διὰ κλιτύων
βοσκήμασι σοῖσι συρίζων
ποιμνίτας ὑμεναίους.
σὺν δ' ἐποιμαίνοντο χαρᾷ μελέ- (ἀντ. ά.)
ων βαλιαί τε λύγκες,
ἔβα τε λιποῦσ' Ὄθρυος νάπαν λεόντων
ἁ δαφοινὸς ἴλα·
ἐχόρευσε δ' ἀμφὶ σὰν κιθάραν,
Φοῖβε, ποικιλόθριξ
νεβρὸς ὑψικόμων πέραν
βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ,
χαίρουσ' εὔφρονι μολπᾷ.
Τοιγὰρ πολυμηλοτάταν (στρ. β'.)
ἑστίαν οἰκεῖς παρὰ καλλίναον
Βοιβίαν λίμναν· ἀρότοις δὲ γυᾶν
καὶ πεδίων δαπέδοις ὅρον

590. ἔτλη. 605. περὶ. 606. γύαν.

ἀμφὶ μὲν ἀελίου κνεφαίαν
ἱππόστασιν αἰθέρα τὰν
Μολοσσῶν τίθεται,
πόντιόν τ' Αἰγαῖον ἐπ' ἀκτὰν
ἀλίμενον Πηλίου κρατύνει.
καὶ νῦν, δόμον ἀμπετάσας, (ἀντ. β'.)
δέξατο ξεῖνον νοτερῷ βλεφάρῳ,
τᾶς φίλας κλαίων ἀλόχου νέκυν ἐν
δώμασιν ἀρτιθανῆ· τὸ γὰρ
εὐγενὲς ἐκφέρεται πρὸς αἰδῶ.
ἐν τοῖς ἀγαθοῖσι δὲ πάντ'
ἔνεστιν σοφίας.
πρὸς δ' ἐμᾷ ψυχᾷ θράσος ἧσται,
θεοσεβῆ φῶτα κεδνὰ πράξειν.

ΑΔΜΗΤΟΣ.

ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,
νέκυν μὲν ἤδη πάντ' ἔχοντα πρόςπολοι
φέρουσιν ἄρδην πρὸς τάφον τε καὶ πυράν·
ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,
προςείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν.

ΧΟΡΟΣ.

καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ
στείχοντ', ὀπαδούς τ' ἐν χεροῖν δάμαρτι σῇ
κόσμον φέροντας, νερτέρων ἀγάλματα.

ΦΕΡΗΣ.

ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·
ἐσθλῆς γὰρ, — οὐδεὶς ἀντερεῖ, — καὶ σώ-
φρονος
γυναικὸς ἡμάρτηκας. ἀλλὰ ταῦτα μὲν

614. δέξεται. 620. θάρσος.

φέρειν ἀνάγκη, καίπερ ὄντα δύςφορα·
δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς
ἴτω· τὸ ταύτης σῶμα τιμᾶσθαι χρεὼν,
ἥτις γε τῆς σῆς προὔθανε ψυχῆς, τέκνον,
καί μ' οὐκ ἄπαιδ' ἔθηκεν, οὐδ' εἴασε, σοῦ
στερέντα, γήρᾳ πενθίμῳ καταφθίνειν,
πάσαις δ' ἔθηκεν εὐκλεέστατον βίον
γυναιξὶν, ἔργον τλᾶσα γενναῖον τόδε.
ὦ τόνδε μὲν σώσασ', ἀναστήσασα δὲ
ἡμᾶς πιτνοῦντας, χαῖρε, κἀν Ἅιδου δόμοις
εὖ σοι γένοιτο! φημὶ, τοιούτους γάμους
λύειν βροτοῖσιν, ἢ γαμεῖν οὐκ ἄξιον.

ΑΔΜΗΤΟΣ.

οὔτ' ἦλθες ἐς τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον,
οὔτ' ἐν φίλοισι σὴν παρουσίαν λέγω.
κόσμον δὲ τὸν σὸν οὔποθ' ἥδ' ἐνδύσεται·
οὐ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται.
τότε ξυναλγεῖν χρῆν σ', ὅτ' ὠλλύμην ἐγώ.
σὺ δ' ἐκποδὼν στὰς καὶ παρεὶς ἄλλῳ θανεῖν
νέῳ, γέρων ὢν, τόνδ' ἀποιμώξει νεκρόν;
οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατὴρ,
οὐδ' ἡ τεκεῖν φάσκουσα καὶ κεκλημένη
μήτηρ μ' ἔτικτε· δουλίου δ' ἀφ' αἵματος
μαστῷ γυναικὸς σῆς ὑπεβλήθην λάθρα.
ἔδειξας εἰς ἔλεγχον ἐξελθὼν, ὃς εἶ,
καί μ' οὐ νομίζω παῖδα σὸν πεφυκέναι.
ἦ τἄρα πάντων διαπρέπεις ἀψυχίᾳ,
ὃς τηλικόςδ' ὢν κἀπὶ τέρμ' ἥκων βίου
οὐκ ἠθέλησας, οὐδ' ἐτόλμησας θανεῖν

638. καταφθινεῖν. 641. τόνδ' ἐμόν. 651. ἀποιμώξεις.

τοῦ σοῦ πρὸ παιδὸς, ἀλλὰ τήνδ' εἰάσατε
γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα
πατέρα τέ γ' ἐνδίκως ἂν ἡγοίμην μόνην.
καίτοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίσω,
τοῦ σοῦ πρὸ παιδὸς κατθανὼν, βραχὺς δέ σοι
πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος·
κἀγώ τ' ἂν ἔζην χ' ἥδε τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς ἔστενον κακοῖς ἐμοῖς.
καὶ μὴν, ὅσ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα,
πέπονθας· ἥβησας μὲν ἐν τυραννίδι,
παῖς δ' ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων,
ὥςτ' οὐκ ἄτεκνος κατθανὼν ἄλλοις δόμον
λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.
οὐ μὴν ἐρεῖς γέ μ' ὡς ἀτιμάζοντα σὸν
γῆρας θανεῖν προὔδωκας, ὅςτις αἰδόφρων
πρός σ' ἦν μάλιστα, κἀντὶ τῶνδέ μοι χάριν
τοιάνδε καὶ σὺ χ' ἡ τεκοῦσ' ἠλλαξάτην.
τοιγὰρ φυτεύων παῖδας οὐκ ἔτ' ἂν φθάνοις,
οἳ γηροβοσκήσουσι καὶ θανόντα σε
περιστελοῦσι καὶ προθήσονται νεκρόν.
οὐ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί·
τέθνηκα γὰρ δὴ τοὐπί σ'· εἰ δ' ἄλλου τυχὼν
σωτῆρος αὐγὰς εἰςορῶ, κείνου λέγω
καὶ παῖδά μ' εἶναι καὶ φίλον γηροτρόφον.
μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου.
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θανεῖν, τὸ γῆρας δ' οὐκ ἔτ' ἐστ' αὐτοῖς βαρύ.

667. ἔζων. 688. θνήσκειν.

ΧΟΡΟΣ.

παύσασθ᾽· ἅλις γὰρ ἡ παροῦσα συμφορὰ,
ὦ παῖ· πατρὸς δὲ μὴ παροξύνῃς φρένα.

ΦΕΡΗΣ.

ὦ παῖ, τίν᾽ αὐχεῖς, πότερα Λυδὸν, ἢ Φρύγα,
κακοῖς ἐλαύνειν ἀργυρώνητον σέθεν;
οὐκ οἶσθα Θεσσαλόν με κἀπὸ Θεσσαλοῦ
πατρὸς γεγῶτα, γνησίως ἐλεύθερον;
ἄγαν ὑβρίζεις, καὶ νεανίας λόγους
ῥίπτων ἐς ἡμᾶς οὐ βαλὼν οὕτως ἄπει.
ἐγὼ δέ σ᾽ οἴκων δεσπότην ἐγεινάμην,
κἄθρεψ᾽ ὀφείλων, οὐχ ὑπερθνήσκειν σέθεν·
οὐ γὰρ πατρῷον τόνδ᾽ ἐδεξάμην νόμον,
παίδων προθνήσκειν πατέρας, οὐδ᾽ Ἑλληνικόν.
σαυτῷ γὰρ εἴτε δυστυχὴς, εἴτ᾽ εὐτυχὴς,
ἔφυς· ἃ δ᾽ ἡμῶν χρῆν σε τυγχάνειν, ἔχεις.
πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας
λείψω· πατρὸς γὰρ ταῦτ᾽ ἐδεξάμην πάρα.
τί δῆτά σ᾽ ἠδίκηκα; τοῦ σ᾽ ἀποστερῶ;
μὴ θνῆσχ᾽ ὑπὲρ τοῦδ᾽ ἀνδρὸς, οὐδ᾽ ἐγὼ πρὸ σοῦ.
χαίρεις ὁρῶν φῶς; πατέρα δ᾽ οὐ χαίρειν δοκεῖς;
ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι
χρόνον, τὸ δὲ ζῆν σμικρὸν, ἀλλ᾽ ὅμως γλυκύ.
σύ γ᾽ οὖν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν,
καὶ ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην,
ταύτην κατακτάς· εἶτ᾽ ἐμὴν ἀψυχίαν
ψέγεις, γυναικὸς, ὦ κάκισθ᾽, ἡσσημένος,
ἣ τοῦ καλοῦ σοῦ προὔθανεν νεανίου;
σοφῶς δ᾽ ἐφεῦρες, ὥστε μὴ θανεῖν ποτε,

703. γυίας.

εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ
γυναῖχ᾽ ὑπὲρ σοῦ· κᾆτ᾽ ὀνειδίζεις φίλοις,
τοῖς μὴ θέλουσι δρᾶν τάδ᾽, αὐτὸς ὢν κακός;
σίγα· νόμιζε δ᾽, εἰ σὺ τὴν σαυτοῦ φιλεῖς
ψυχὴν, φιλεῖν ἅπαντας· εἰ δ᾽ ἡμᾶς κακῶς
ἐρεῖς, ἀκούσει πολλὰ κοὐ ψευδῆ κακά.

ΧΟΡΟΣ.

πλείω λέλεκται νῦν τε καὶ τὰ πρὶν κακά·
παῦσαι δὲ, πρέσβυ, παῖδα σὸν κακοῤῥοθῶν.

ΑΔΜΗΤΟΣ.

λέγ᾽, ὡς ἐμοῦ λέξαντος· εἰ δ᾽ ἀλγεῖς κλύων
τἀληθὲς, οὐ χρῆν σ᾽ εἰς ἔμ᾽ ἐξαμαρτάνειν.

ΦΕΡΗΣ.

σοῦ δ᾽ ἂν προθνήσκων μᾶλλον ἐξημάρτανον.

ΑΔΜΗΤΟΣ.

ταυτὸν γὰρ ἡβῶντ᾽ ἄνδρα καὶ πρέσβυν θα-
νεῖν;

ΦΕΡΗΣ.

ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν, ὀφείλομεν.

ΑΔΜΗΤΟΣ.

καὶ μὴν Διός γε μείζονα ζῴης χρόνον.

ΦΕΡΗΣ.

ἀρᾷ γονεῦσιν, οὐδὲν ἔκδικον παθών;

ΑΔΜΗΤΟΣ.

μακροῦ βίου γὰρ ᾐσθόμην ἐρῶντά σε.

ΦΕΡΗΣ.

ἀλλ᾽ οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ᾽ ἐκφέρεις;

ΑΔΜΗΤΟΣ.

σημεῖα τῆς σῆς, ὦ κάκιστ᾽, ἀψυχίας.

716. πείσειας ἄν. 718. κακός. 729. μείζον᾽ ἂν ζώοις.

ΦΕΡΗΣ.

οὔ τοι πρὸς ἡμῶν γ' ὤλετ'· οὐκ ἐρεῖς τόδε.

ΑΔΜΗΤΟΣ.

(φεῦ·) εἴθ' ἀνδρός ἔλθοις τοῦδέ γ' ἐς χρείαν ποτέ.

ΦΕΡΗΣ.

μνήστευε πολλάς, ὡς θάνωσι πλείονες.

ΑΔΜΗΤΟΣ.

σοὶ τοῦτ' ὄνειδος· οὐ γὰρ ἤθελες θανεῖν.

ΦΕΡΗΣ.

φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.

ΑΔΜΗΤΟΣ.

κακὸν τὸ λῆμα, κοὐκ ἐν ἀνδράσιν, τὸ σόν.

ΦΕΡΗΣ.

οὐκ ἐγγελᾷς γέροντα βαστάζων νεκρόν.

ΑΔΜΗΤΟΣ.

θανεῖ γε μέντοι δυσκλεής, ὅταν θάνῃς.

ΦΕΡΗΣ.

κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.

ΑΔΜΗΤΟΣ.

φεῦ, φεῦ· τὸ γῆρας ὡς ἀναιδείας πλέον!

ΦΕΡΗΣ.

ἥδ' οὐκ ἀναιδής· τήνδ' ἐφεῦρες ἄφρονα.

ΑΔΜΗΤΟΣ.

ἄπελθε, καί με τόνδ' ἔα θάψαι νεκρόν.

ΦΕΡΗΣ.

ἄπειμι· θάψεις δ' αὐτὸς ὢν αὐτῆς φονεύς.
δίκας δὲ δώσεις σοῖσι κηδεσταῖς ἔτι·
ἦ τἄρ' Ἄκαστος οὐκ ἔτ' ἔστ' ἐν ἀνδράσιν,
εἴ μή σ' ἀδελφῆς αἷμα τιμωρήσεται.

ΑΔΜΗΤΟΣ.

ἔῤῥοις νυν αὐτὸς χ' ἡ ξυνοικήσασά σοι·
ἄπαιδε, παιδὸς ὄντος, ὥσπερ ἄξιοι,
γηράσκετ'· οὐ γὰρ τῷδέ γ' ἐς ταυτὸ στέγος
νεῖσθ'· εἰ δ' ἀπειπεῖν χρῆν με κηρύκων ὕπο
τὴν σὴν πατρῴαν ἑστίαν, ἀπεῖπον ἄν.
ἡμεῖς δὲ — τοὐν ποσὶν γὰρ οἰστέον κακὸν —
στείχωμεν, ὡς ἂν ἐν πυρᾷ θῶμεν νεκρόν.

ΧΟΡΟΣ.

ἰώ, ἰώ!
σχετλία τόλμας, ὦ γενναία
καὶ μέγ' ἀρίστα, χαῖρε· πρόφρων σε
χθόνιός θ' Ἑρμῆς Ἅιδης τε δέχοιτ'!
εἰ δέ τι κἀκεῖ πλέον ἔστ' ἀγαθοῖς,
τούτων μετέχουσ'
Ἅιδου νύμφᾳ παρεδρεύοις.

ΘΕΡΑΠΩΝ.

πολλοὺς μὲν ἤδη κἀπὸ παντοίας χθονὸς
ξένους μολόντας οἶδ' ἐς Ἀδμήτου δόμους,
οἷς δεῖπνα προὔθηκ'· ἀλλὰ τοῦδ' οὔπω ξένου
κακίον' ἐς τήνδ' ἑστίαν ἐδεξάμην.
ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν
ἐσῆλθε, κἀτόλμησ' ἀμείψασθαι πύλας.
ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο
τὰ προστυχόντα ξένια, συμφορὰν μαθών·
ἀλλ' εἴ τι μὴ φέροιμεν, ὤτρυνεν φέρειν.
ποτῆρα δ' ἐν χείρεσσι κίσσινον λαβὼν,
πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ,
ἕως ἐθέρμην' αὐτὸν ἀμφιβᾶσα φλὸξ

750. νῦν. 757. deest ἰώ, ἰώ. 758. ὦ σχ. τόλμης, γενναία.

οἴνου· στέφει δὲ κρᾶτα μυρσίνης κλάδοις,
ἄμουσ᾽ ὑλακτῶν, δισσὰ δ᾽ ἦν μέλη κλύειν·
ὁ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμήτου κακῶν
οὐδὲν προτιμῶν, οἰκέται δ᾽ ἐκλάομεν
δέσποιναν· ὄμμα δ᾽ οὐκ ἐδείκνυμεν ξένῳ
τέγγοντες· Ἄδμητος γὰρ ὧδ᾽ ἐφίετο.
καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
ξένον, πανοῦργον κλῶπα καὶ λῃστήν τινα,
ἡ δ᾽ ἐκ δόμων βέβηκεν, οὐδ᾽ ἐφεσπόμην,
οὐδ᾽ ἐξέτεινα χεῖρ᾽, ἀποιμώζων ἐμὴν
δέσποιναν, ἥ μοι πᾶσί τ᾽ οἰκέταισιν ἦν
μήτηρ· κακῶν γὰρ μυρίων ἐῤῥύετο,
ὀργὰς μαλάσσουσ᾽ ἀνδρός. ἆρα τὸν ξένον
στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;

ΗΡΑΚΛΗΣ.

οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόςπολον
εἶναι, δέχεσθαι δ᾽ εὐπροςηγόρῳ φρενί.
σὺ δ᾽ ἄνδρ᾽ ἑταῖρον δεσπότου παρόνθ᾽ ὁρῶν,
στυγνῷ προςώπῳ καὶ συνωφρυωμένῳ
δέχει, θυραίου πήματος σπουδὴν ἔχων.
δεῦρ᾽ ἔλθ᾽, ὅπως ἂν καὶ σοφώτερος γένῃ.
τὰ θνητὰ πράγματ᾽ οἶδας, ἣν ἔχει φύσιν;
οἶμαι μὲν οὔ· πόθεν γάρ; ἀλλ᾽ ἄκουέ μου.
βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστιν αὐτῶν ὅςτις ἐξεπίσταται,
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται·
τὸ τῆς τύχης γὰρ ἀφανές, οἷ προβήσεται,
κἄστ᾽ οὐ διδακτὸν, οὐδ᾽ ἁλίσκεται τέχνῃ.
ταῦτ᾽ οὖν ἀκούσας καὶ μαθὼν ἐμοῦ πάρα,

εὔφραινε σαυτὸν, πῖνε, τὸν καθ᾽ ἡμέραν
βίον λογίζου σόν, τὰ δ᾽ ἄλλα τῆς τύχης.
τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
Κύπριν βροτοῖσιν· εὐμενὴς γὰρ ἡ θεός.
τὰ δ᾽ ἄλλ᾽ ἔασον ταῦτα, καὶ πείθου λόγοις
ἐμοῖσιν, εἴπερ ὀρθά σοι δοκῶ λέγειν·
οἶμαι μέν. οὔκουν τὴν ἄγαν λύπην ἀφεὶς,
πίει μεθ᾽ ἡμῶν τάςδ᾽ ὑπερβαλὼν πύλας,
στεφάνοις πυκασθείς; καὶ σάφ᾽ οἶδ᾽, ὁθ᾽ οὕνεκα
τοῦ νῦν σκυθρωποῦ καὶ ξυνεστῶτος φρενῶν
μεθορμιεῖ σε πίτυλος ἐμπεσὼν σκύφου.
ὄντας δὲ θνητοὺς θνητὰ καὶ φρονεῖν χρεὼν,
ὡς τοῖς γε σεμνοῖς καὶ ξυνωφρυωμένοις
ἅπασιν ἐστὶν, ὥς γ᾽ ἐμοὶ χρῆσθαι κριτῇ,
οὐ βίος ἀληθῶς ὁ βίος, ἀλλὰ συμφορά.

ΘΕΡΑΠΩΝ.

ἐπιστάμεσθα ταῦτα· νῦν δὲ πράσσομεν
οὐχ οἷα κώμου καὶ γέλωτος ἄξια.

ΗΡΑΚΛΗΣ.

γυνὴ θυραῖος ἡ θανοῦσα· μὴ λίαν
πένθει· δόμων γὰρ ζῶσι τῶνδε δεσπόται.

ΘΕΡΑΠΩΝ.

τί ζῶσιν; οὐ κάτοισθα τὰ ᾽ν δόμοις κακά.

ΗΡΑΚΛΗΣ.

εἰ μή τι σός με δεσπότης ἐψεύσατο.

ΘΕΡΑΠΩΝ.

ἄγαν ἐκεῖνος ἔστ᾽ ἄγαν φιλόξενος.

ΗΡΑΚΛΗΣ.

οὐ χρῆν μ᾽ ὀθνείου γ᾽ οὕνεκ᾽ εὖ πάσχειν νεκροῦ;

812. πίῃς. 813. πυκασθείς· 826. ἄγαν γ᾽ ἐκ.

ΘΕΡΑΠΩΝ.
ἦ κάρτα μέντοι καὶ λίαν θυραῖος ἦν.
ΗΡΑΚΛΗΣ.
μῶν ξυμφορὰν τιν' οὖσαν οὐκ ἔφραζ' ἐμοί;
ΘΕΡΑΠΩΝ.
χαίρων ἴθ'· ἡμῖν δεσποτῶν μέλει κακά.
ΗΡΑΚΛΗΣ.
ὅδ' οὐ θυραίων πημάτων ἄρχει λόγος.
ΘΕΡΑΠΩΝ.
οὐ γάρ τι κωμάζοντ' ἂν ἠχθόμην σ' ὁρῶν.
ΗΡΑΚΛΗΣ.
ἀλλ' ἦ πέπονθα δείν' ὑπὸ ξένων ἐμῶν;
ΘΕΡΑΠΩΝ.
οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμους·
πένθος γὰρ ἡμῖν ἐστί· καὶ κουρὰν βλέπεις
μελαμπέπλους στολμούς τε.
ΗΡΑΚΛΗΣ.
τίς δ' ὁ κατθανών;
μῶν ἢ τέκνων τις φροῦδος, ἢ γέρων πατήρ;
ΘΕΡΑΠΩΝ.
γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.
ΗΡΑΚΛΗΣ.
τί φής; ἔπειτα δῆτά μ' ἐξενίζετε;
ΘΕΡΑΠΩΝ.
ᾐδεῖτο γάρ σε τῶνδ' ἀπώσασθαι δόμων.
ΗΡΑΚΛΗΣ.
ὦ σχέτλι', οἵας ἤμπλακες ξυναόρου!
ΘΕΡΑΠΩΝ.
ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.

828. καὶ λίαν γ' οἰκεῖος ἦν. 832. οὐ γάρ σε κ. ἂν ἠχθ. ὁρῶν.

ΗΡΑΚΛΗΣ.
ἀλλ' ᾐσθόμην μέν, ὄμμ' ἰδὼν δακρυῤῥοοῦν
κουράν τε καὶ πρόσωπον· ἀλλ' ἔπειθ' ἐμὲ
λέγων, θυραῖον κῆδος ἐς τάφον φέρειν.
βίᾳ δὲ θυμοῦ τάσδ' ὑπερβαλὼν πύλας
ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,
πράσσοντος οὕτω, κἀπεκώμαζον, κάρα
στεφάνοις πυκασθείς. ἀλλὰ σοῦ τό μοι φράσαι,
κακοῦ τοσούτου δώμασιν προκειμένου,
ποῦ καί σφε θάπτει; ποῦ νιν εὑρήσω μολών;
ΘΕΡΑΠΩΝ.
ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισσαν φέρει,
τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.
ΗΡΑΚΛΗΣ.
ὦ πολλὰ τλᾶσα καρδία ψυχή τ' ἐμή,
νῦν δεῖξον, οἷον παῖδά σ' ἡ Τιρυνθία
Ἠλεκτρυῶνος γείνατ' Ἀλκμήνη Διΐ.
δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως
γυναῖκα κεἰς τόνδ' αὖθις ἱδρῦσαι δόμον
Ἄλκηστιν, Ἀδμήτῳ θ' ὑπουργῆσαι χάριν.
ἐλθὼν δ' ἄνακτα τὸν μελάμπεπλον νεκρῶν
Θάνατον φυλάξω, καί νιν εὑρήσειν δοκῶ,
πίνοντα τύμβου πλησίον προσφαγμάτων.
κἄνπερ λοχήσας αὐτὸν ἐξ ἕδρας συθεὶς
μάρψω, κύκλῳ δὲ περιβαλῶ χεροῖν ἐμαῖν,
οὐκ ἔστιν, ὅστις αὐτὸν ἐξαιρήσεται
μογοῦντα πλευρά, πρὶν γυναῖκ' ἐμοὶ μεθῇ.
ἢν δ' οὖν ἁμάρτω τῆσδ' ἄγρας, καὶ μὴ μόλῃ

849. τὸ μὴ φρ. 850. δώμασι.

πρὸς αἱματηρὸν πέλανον, εἶμι τὴν κάτω,
Κόρης ἄνακτός τ᾽ εἰς ἀνηλίους δόμους,
αἰτήσομαί τε· καὶ πέποιθ᾽ ἄξειν ἄνω
Ἄλκηστιν, ὥςτε χερσὶν ἐνθεῖναι ξένου,
ὅς μ᾽ ἐς δόμους ἐδέξατ᾽, οὐδ᾽ ἀπήλασε,
καίπερ βαρείᾳ ξυμφορᾷ πεπληγμένος,
ἔκρυπτε δ᾽, ὢν γενναῖος, αἰδεσθεὶς ἐμέ.
τίς τοῦδε μᾶλλον Θεσσαλῶν φιλόξενος;
τίς Ἑλλάδ᾽ οἰκῶν; τοιγὰρ οὐκ ἐρεῖ κακὸν
εὐεργετῆσαι φῶτα, γενναῖος γεγώς.

ΑΔΜΗΤΟΣ.

ἰὼ, ἰώ.
στυγναὶ πρόσοδοι, στυγναὶ δ᾽ ὄψεις
χήρων μελάθρων. ἰώ μοι, αἶ, αἶ!
ποῖ βῶ; πᾷ στῶ; τί λέγω; τί δὲ μή;
πῶς ἂν ὀλοίμαν;
ἦ βαρυδαίμονα μήτηρ μ᾽ ἔτεκεν.
ζηλῶ φθιμένους, κείνων ἔραμαι,
κεῖν᾽ ἐπιθυμῶ δώματα ναίειν.
οὔτε γὰρ αὐγὰς χαίρω προςορῶν,
οὔτ᾽ ἐπὶ γαίας πόδα πεζεύων·
τοῖον ὅμηρόν μ᾽ ἀποσυλήσας
Ἅιδῃ Θάνατος παρέδωκεν.

ΧΟΡΟΣ.

Πρόβα, πρόβα· βᾶθι κεῦθος οἴκων. (στρ. ά.)

ΑΔΜΗΤΟΣ.

ἒ ἕ!

ΧΟΡΟΣ.

πέπονθας ἄξι᾽ αἰαγμάτων.

881. πῇ. 891. αἶ αἶ.

ΑΔΜΗΤΟΣ.

αἶ αἶ!

ΧΟΡΟΣ.

δι᾽ ὀδύνας ἔβας, σάφ᾽ οἶδα.

ΑΔΜΗΤΟΣ.

φεῦ, φεῦ!

ΧΟΡΟΣ.

τὰν νέρθεν οὐδὲν ὠφελεῖς.

ΑΔΜΗΤΟΣ.

ἰώ μοί μοι!

ΧΟΡΟΣ.

τὸ μήποτ᾽ εἰςιδεῖν φιλίας ἀλόχου
πρόςωπόν [τιν᾽] ἄντα, λυπρόν.

ΑΔΜΗΤΟΣ.

ἔμνησας, ὅ μου φρένας ἥλκωσεν.
τί γὰρ ἀνδρὶ κακὸν μεῖζον, ἁμαρτεῖν
πιστῆς ἀλόχου; μή ποτε γήμας
ὤφελον οἰκεῖν μετὰ τῆςδε δόμους!
ζηλῶ δ᾽ ἀγάμους ἀτέκνους τε βροτῶν.
μία γὰρ ψυχή· τῆςδ᾽ ὑπεραλγεῖν,
μέτριον ἄχθος·
παίδων δὲ νόσους καὶ νυμφιδίους
εὐνὰς θανάτοις κεραϊζομένας
οὐ τλητὸν ὁρᾶν, ἐξὸν ἀτέκνοις
ἀγάμοις τ᾽ εἶναι διὰ παντός.

ΧΟΡΟΣ.

Τύχα, τύχα δυςπάλαιστος ἥκει. (ἀντ. ά.)

892. ἒ ἕ. 897. τιν᾽ deest.

ΑΔΜΗΤΟΣ.

ἒ ἔ!

ΧΟΡΟΣ.

πέρας δ' οὐδὲν τίθης ἀλγέων.

ΑΔΜΗΤΟΣ.

αἶ αἶ!

ΧΟΡΟΣ.

βαρέα μὲν φέρειν, ὅμως δέ —

ΑΔΜΗΤΟΣ.

φεῦ φεῦ!

ΧΟΡΟΣ.

τλᾶθ'· οὐ σὺ πρῶτος ὤλεσας —

ΑΔΜΗΤΟΣ.

ἰώ μοί μοι!

ΧΟΡΟΣ.

γυναῖκα· συμφορὰ δ' ἑτέρους ἑτέρα
πιέζει φανεῖσα θνατῶν.

ΑΔΜΗΤΟΣ.

ὦ μακρὰ πένθη, λῦπαί τε φίλων
τῶν ὑπὸ γαῖαν! τί μ' ἐκώλυσας
ῥίψαι τύμβου τάφρον ἐς κοίλην,
καὶ μετ' ἐκείνης τῆς μέγ' ἀρίστης
κεῖσθαι φθίμενον;
δύο δ' ἀντὶ μιᾶς Ἅιδης ψυχὰς
τὰς πιστοτάτας γε συνέσχεν ὁμοῦ,
χθονίαν λίμναν διαβάντε.

ΧΟΡΟΣ.

ἐμοί τις ἦν ἐν γένει, ᾧ κόρος ἀξιόθρηνος (στρ. β'.)
ᾤχετ' ἐν δόμοισι

910. αἲ αἶ. 911. ἒ ἔ.

μονόπαις· ἀλλ' ἔμπας
ἔφερε κακὸν ἅλις, ἄτεκνος ὤν,
πολιὰς ἐπὶ χαίτας
ἤδη προπετὴς ὢν βιότου πρόσω τε.

ΑΔΜΗΤΟΣ.

ὦ σχῆμα δόμων, πῶς εἰσέλθω;
πῶς δ' οἰκήσω, μεταπίπτοντος
δαίμονος; οἴ μοι! πολὺ γὰρ τὸ μέσον.
τότε μὲν πεύκας σὺν Πηλιάσιν,
σύν θ' ὑμεναίοις ἔστειχον ἔσω,
φιλίας ἀλόχου χέρα βαστάζων.
πολυάχητος δ' εἵπετο κῶμος,
τήν τε θανοῦσαν κἄμ' ὀλβίζων,
ὡς εὐπατρίδαι κἀπ' ἀμφοτέρων
ὄντες ἀρίστων σύζυγες εἰμέν.
νῦν δ' ὑμεναίων γόος ἀντίπαλος,
λευκῶν τε πέπλων μέλανες στολμοὶ
πέμπουσί μ' ἔσω,
λέκτρων κοίτας ἐς ἐρήμους.

ΧΟΡΟΣ.

παρ' εὐτυχῆ σοι πότμον ἦλθεν ἀπειροκάκῳ
τόδ' (ἀντιστρ. β'.)
ἄλγος· ἀλλ' ἔσωσας
βίοτον καὶ ψυχάν.
ἔθανε δάμαρ, ἔλιπε φιλίαν·
τί νέον τόδε; πολλοὺς
ἤδη παρέλυσεν θάνατος δάμαρτος.

ΑΔΜΗΤΟΣ.

φίλοι, γυναικὸς δαίμον' εὐτυχέστερον

930. βιότ. τε πρόσω.

τοῦ 'μοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ', ὅμως·
τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.
ἐγὼ δ', ὃν οὐ χρὴ ζῆν, παρεὶς τὸ μόρσιμον,
λυπρὸν διάξω βίοτον· ἄρτι μανθάνω.
πῶς γὰρ δόμων τῶνδ' εἰσόδους ἀνέξομαι;
τίν' ἂν προσειπών, τοῦ δὲ προσρηθεὶς ὕπο,
τερπνῆς τύχοιμ' ἂν εἰσόδου; ποῖ τρέψομαι;
ἡ μὲν γὰρ ἔνδον ἐξελᾷ μ' ἐρημία,
γυναικὸς εὐνὰς εὖτ' ἂν εἰσίδω κενὰς
θρόνους τ', ἐν οἷσιν ἷζε, καὶ κατὰ στέγας
αὐχμηρὸν οὖδας, τέκνα δ' ἀμφὶ γούνασι
πίπτοντα κλάῃ μητέρ', οἱ δὲ δεσπότιν
στένωσιν, οἵαν ἐκ δόμων ἀπώλεσαν.
τὰ μὲν κατ' οἴκους τοιάδ'· ἔξωθεν δ' ἐμὲ
γάμοι γ' ἐλῶσι Θεσσαλῶν καὶ ξύλλογοι
γυναικοπληθεῖς· οὐ γὰρ ἐξανέξομαι
λεύσσων δάμαρτος τῆς ἐμῆς ὁμήλικας.
ἐρεῖ δέ μ', ὅστις ἐχθρὸς ὢν κυρεῖ, τάδε·
ἰδοῦ τὸν αἰσχρῶς ζῶνθ', ὃς οὐκ ἔτλη θανεῖν,
ἀλλ', ἣν ἔγημεν ἀντιδοὺς, ἀψυχίᾳ
πέφευγεν Ἅιδην· κᾆτ' ἀνὴρ εἶναι δοκεῖ;
στυγεῖ δὲ τοὺς τεκόντας, αὐτὸς οὐ θέλων
θανεῖν. τοιάνδε πρὸς κακοῖσι κληδόνα
ἕξω. τί μοι ζῆν δῆτα κύδιον, φίλοι,
κακῶς κλύοντι καὶ κακῶς πεπραγότι;

ΧΟΡΟΣ.

Ἐγὼ καὶ διὰ Μούσας (στροφὴ ά.)
καὶ μετάρσιος ᾖξα, καὶ

956. μανθάνων. 960. ἐξολεῖ. 973. δοκεῖ,

πλείστων ἁψάμενος λόγων
κρεῖσσον οὐδὲν Ἀνάγκας
εὗρον, οὐδέ τι φάρμακον
Θρῄσσαις ἐν σανίσιν, τὰς Ὀρφεία κατέγραψε
γῆρυς, οὐδ' ὅσα Φοῖβος
Ἀσκληπιάδαισιν παρέδωκε
φάρμακα πολυπόνοις
ἀντιτεμὼν βροτοῖσιν.
μόνας δ' οὔτ' ἐπὶ βωμοὺς (ἀντ. ά.)
ἐλθεῖν, οὔτε βρέτας θεᾶς
ἐστὶν, οὐ σφαγίων κλύει.
μή μοι, πότνια, μείζων
ἔλθοις, ἢ τὸ πρὶν ἐν βίῳ!
καὶ γὰρ Ζεὺς, ὅ τι νεύσει, σὺν σοὶ τοῦτο
τελευτᾷ.
καὶ τὸν ἐν Χαλύβοισι
δαμάζεις σὺ βίᾳ σίδαρον,
οὐδέ τις ἀποτόμου
λήματός ἐστιν αἰδώς.
καὶ σ' ἐν ἀφύκτοισι χερῶν εἷλε θεὰ δε-
σμοῖς· (στροφὴ β'.)
τόλμα δ'· οὐ γὰρ ἀνάξεις ποτ' ἔνερθεν
κλαίων τοὺς φθιμένους ἄνω.
καὶ θεῶν σκότιοι φθίνουσι
παῖδες ἐν θανάτῳ.
φίλα μὲν, ὅτ' ἦν γε μεθ' ἡμῶν,
φίλα δ' ἔτι καὶ θανοῦσα·
γενναιοτάταν δὲ πασᾶν
ἐζεύξω κλισίαις ἄκοιτιν.

983. σανίσι. 985. Ἀσκληπιάδαις.

μηδὲ νεκρῶν ὡς φθιμένων χῶμα νομι-
ζέσθω (ἀντ. β΄.)
τύμβος σᾶς ἀλόχου· θεοῖσι δ' ὁμοίως
τιμάσθω, σέβας ἐμπόρων.
καί τις δοχμίαν κέλευθον
ἐμβαίνων τόδ' ἐρεῖ·
αὕτα ποτε προὔθανεν ἀνδρός,
νῦν δ' ἐστὶ μάκαιρα δαίμων,
χαῖρ', ὦ πότνι', εὖ δὲ δοίης.
τοῖαί νιν προσεροῦσι φᾶμαι.
καὶ μὴν ὅδ', ὡς ἔοικεν, Ἀλκμήνης γόνος,
Ἄδμητε, πρὸς σὴν ἑστίαν πορεύεται.

ΗΡΑΚΛΗΣ.

φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,
Ἄδμητε, μομφὰς δ' οὐχ ὑπὸ σπλάγχνοις
ἔχειν
σιγῶντ'. ἐγὼ δὲ σοῖς κακοῖσιν ἠξίουν
ἐγγὺς παρεστὼς ἐξετάζεσθαι φίλος·
σὺ δ' οὐκ ἔφραζες σῆς προκείμενον νέκυν
γυναικός· ἀλλά μ' ἐξένιζες ἐν δόμοις,
ὡς δὴ θυραίου πήματος σπουδὴν ἔχων.
κἄστεψα κρᾶτα καὶ θεοῖς ἐσπεισάμην
σπονδὰς ἐν οἴκοις δυστυχοῦσι τοῖσι σοῖς.
καὶ μέμφομαι δὴ, μέμφομαι παθὼν τάδε·
οὐ μήν σε λυπεῖν ἐν κακοῖσι βούλομαι.
ὧν δ' οὕνεχ' ἥκω, δεῦρ' ὑποστρέψας πάλιν,
λέξω· γυναῖκα τήνδ' ἐμοὶ σῶσον λαβὼν,
ἕως ἂν ἵππους δεῦρο Θρῃκίας ἄγων
ἔλθω, τύραννον Βιστόνων κατακτανών.

1011. ἐκβαίνων. 1012. αὐτά. 1015. φῆμαι. 1030. σῶσαι.

πράξας δ', ὃ μὴ τύχοιμι, (νοστήσαιμι γὰρ)
δίδωμι τήνδε σοῖσι πρόσπολον δόμοις.
πολλῷ δὲ μόχθῳ χεῖρας ἦλθεν εἰς ἐμάς·
ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς
τιθέντας ἀθληταῖσιν, ἄξιον πόνου,
ὅθεν κομίζω τήνδε νικητήρια
λαβών· τὰ μὲν γὰρ κοῦφα τοῖς νικῶσιν ἦν
ἵππους ἄγεσθαι, τοῖσι δ' αὖ τὰ μείζονα
νικῶσι, πυγμὴν καὶ πάλην, βουφόρβια·
γυνὴ δ' ἐπ' αὐτοῖς εἵπετ'· ἐντυχόντι δὲ
αἰσχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεές.
ἀλλ', ὥσπερ εἶπον, σοὶ μέλειν γυναῖκα χρή·
οὐ γὰρ κλοπαίαν, ἀλλὰ σὺν πόνῳ λαβὼν
ἥκω· χρόνῳ δὲ καὶ σύ μ' αἰνέσεις ἴσως.

ΑΔΜΗΤΟΣ.

οὔτοι σ' ἀτίζων, οὐδ' ἐν αἰσχροῖσιν τιθεὶς
ἔκρυψ' ἐμῆς γυναικὸς ἀθλίους τύχας·
ἀλλ' ἄλγος ἄλγει τοῦτ' ἂν ἦν προσκείμενον,
εἴ του πρὸς ἄλλου δώμαθ' ὡρμήθης ξένου·
ἅλις δὲ κλάειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
γυναῖκα δ', εἴ πως ἐστὶν, αἰτοῦμαί σ', ἄναξ,
ἄλλον τιν', ὅστις μὴ πέπονθεν, οἷ' ἐγὼ,
σώζειν ἄνωχθι Θεσσαλῶν· πολλοὶ δέ σοι
ξένοι Φεραίων· μή μ' ἀναμνήσῃς κακῶν.
οὐκ ἂν δυναίμην, τήνδ' ὁρῶν ἐν δώμασιν,
ἄδακρυς εἶναι· μὴ νοσοῦντί μοι νόσον
προσθῇς· ἅλις γὰρ συμφοραῖς βαρύνομαι.
ποῦ καὶ τρέφοιτ' ἂν δωμάτων νέα γυνή;
νέα γὰρ, ὡς ἐσθῆτι καὶ κόσμῳ πρέπει.

1050. εἴπερ. 1058. συμφορᾷ.

πότερα κατ' ἀνδρῶν δῆτ' ἐνοικήσει στέγην;
καὶ πῶς ἀκραιφνὴς, ἐν νέοις στρωφωμένη,
ἔσται; τὸν ἡβῶνθ', Ἡράκλεις, οὐ ῥᾴδιον
εἴργειν· ἐγὼ δέ σου προμηθίαν ἔχω.
ἢ τῆς θανούσης θάλαμον εἰςβήσας τρέφω;
καὶ πῶς ἐπειςφρῶ τήνδε τῷ κείνης λέχει;
διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν,
μή τις μ' ἐλέγξῃ τὴν ἐμὴν εὐεργέτιν
προδόντ' ἐν ἄλλης δεμνίοις πιτνεῖν νέας,
καὶ τῆς θανούσης — ἀξία δέ μοι σέβειν —
πολλὴν πρόνοιαν δεῖ μ' ἔχειν. σὺ δ', ὦ γύναι,
ἥτις ποτ' εἶ σὺ, ταὔτ' ἔχουσ' Ἀλκήστιδι
μορφῆς μέτρ' ἴσθι, καὶ προςήϊξαι δέμας.
οἴ μοι! κόμιζε πρὸς θεῶν ἀπ' ὀμμάτων
γυναῖκα τήνδε, μή μ' ἕλῃς ᾑρημένον.
δοκῶ γὰρ αὐτὴν εἰςορῶν γυναῖχ' ὁρᾷν
ἐμήν· θολοῖ δέ καρδίαν, ἐκ δ' ὀμμάτων
πηγαὶ κατεῤῥώγασιν· ὢ τλήμων ἐγὼ,
ὡς ἄρτι πένθους τοῦδε γεύομαι πικροῦ!

ΧΟΡΟΣ.

ἐγὼ μὲν οὐκ ἔχοιμ' ἂν εὖ λέγειν τύχην·
χρὴ δ', ὅςτις εἶ σὺ, καρτερεῖν θεοῦ δόσιν.

ΗΡΑΚΛΗΣ.

εἰ γὰρ τοσαύτην δύναμιν εἶχον, ὥςτε σὴν
ἐς φῶς πορεῦσαι νερτέρων ἐκ δωμάτων
γυναῖκα, καὶ σοὶ τήνδε πορσῦναι χάριν!

ΑΔΜΗΤΟΣ.

σάφ' οἶδα βούλεσθαί σ' ἄν. ἀλλὰ ποῦ τόδε;
οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.

ΗΡΑΚΛΗΣ.

μὴ νῦν ὑπέρβαλ', ἀλλ' ἐναισίμως φέρε.

ΑΔΜΗΤΟΣ.

ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.

ΗΡΑΚΛΗΣ.

τί δ' ἂν προκόπτοις, εἰ θέλεις ἀεὶ στένειν;

ΑΔΜΗΤΟΣ.

ἔγνωκα καὐτὸς, ἀλλ' ἔρως τις μ' ἐξάγει.

ΗΡΑΚΛΗΣ.

τὸ γὰρ φιλῆσαι τὸν θανόντ' ἄγει δάκρυ.

ΑΔΜΗΤΟΣ.

ἀπώλεσέν με, κἄτι μᾶλλον, ἢ λέγω.

ΗΡΑΚΛΗΣ.

γυναικὸς ἐσθλῆς ἤμπλακες· τίς ἀντερεῖ;

ΑΔΜΗΤΟΣ.

ὥςτ' ἄνδρα τόνδε μηκέθ' ἥδεσθαι βίῳ.

ΗΡΑΚΛΗΣ.

χρόνος μαλάξει, νῦν δ' ἔθ' ἡβάσκει, κακόν.

ΑΔΜΗΤΟΣ.

χρόνον λέγοις ἂν, εἰ χρόνος τὸ κατθανεῖν.

ΗΡΑΚΛΗΣ.

γυνή σε παύσει καὶ νέου γάμου πόθος.

ΑΔΜΗΤΟΣ.

σίγησον· οἷον εἶπας! οὐκ ἂν ᾠόμην.

ΗΡΑΚΛΗΣ.

τί δ'; οὐ γαμεῖς γὰρ, ἀλλὰ χηρεύσει λέχος;

ΑΔΜΗΤΟΣ.

οὐκ ἔστιν, ἥτις τῷδε συγκλιθήσεται.

1087. ὑπέρβαιν'. 1089. θέλοις. 1095. ἡβᾷ σοι.

ΗΡΑΚΛΗΣ.
μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προςδοκᾷς;
ΑΔΜΗΤΟΣ.
κείνην, ὅπου πέρ ἐστι, τιμᾶσθαι χρεών.
ΗΡΑΚΛΗΣ.
αἰνῶ μὲν, αἰνῶ· μωρίαν δ' ὀφλισκάνεις.
ΑΔΜΗΤΟΣ.
ὡς μήποτ' ἄνδρα τόνδε νυμφίον καλῶν.
ΗΡΑΚΛΗΣ.
ἐπῄνεσ', ἀλόχῳ πιστὸς οὕνεκ' εἶ φίλος.
ΑΔΜΗΤΟΣ.
θάνοιμ', ἐκείνην, καίπερ οὐκ οὖσαν, προδούς.
ΗΡΑΚΛΗΣ.
δέχου νυν εἴσω τήνδε γενναίων δόμων.
ΑΔΜΗΤΟΣ.
μὴ, πρὸς σὲ τοῦ σπείραντος ἄντομαι Διός.
ΗΡΑΚΛΗΣ.
καὶ μὴν ἁμαρτήσει γε, μὴ δράσας τάδε.
ΑΔΜΗΤΟΣ.
καὶ δρῶν γε, λύπῃ καρδίαν δηχθήσομαι.
ΗΡΑΚΛΗΣ.
πιθοῦ· τάχ' ἂν γὰρ ἐς δέον πέσοι χάρις.
ΑΔΜΗΤΟΣ.
(φεῦ!) εἴθ' ἐξ ἀγῶνος τήνδε μὴ 'λάβες ποτέ.
ΗΡΑΚΛΗΣ.
νικῶντι μέντοι καὶ σὺ συννικᾷς ἐμοί.
ΑΔΜΗΤΟΣ.
καλῶς ἔλεξας· ἡ γυνὴ δ' ἀπελθέτω.

1107. γενναίαν.

ΗΡΑΚΛΗΣ.
ἄπεισιν, εἰ χρή· πρῶτα δ' εἰ χρεὼν, ἄθρει.
ΑΔΜΗΤΟΣ.
χρὴ, σοῦ γε μὴ μέλλοντος ὀργαίνειν ἐμοί.
ΗΡΑΚΛΗΣ.
εἰδώς τι κἀγὼ τήνδ' ἔχω προθυμίαν.
ΑΔΜΗΤΟΣ.
νίκα νυν. οὐ μὴν ἁνδάνοντά μοι ποιεῖς.
ΗΡΑΚΛΗΣ.
ἀλλ' ἔσθ', ὅθ' ἡμᾶς αἰνέσεις· πιθοῦ μόνον.
ΑΔΜΗΤΟΣ.
κομίζετ', εἰ χρὴ τήνδε δέξασθαι δόμοις.
ΗΡΑΚΛΗΣ.
οὐκ ἂν μεθείην σοῖς γυναῖκα προςπόλοις.
ΑΔΜΗΤΟΣ.
σὺ δ' αὐτὸς αὐτὴν εἴςαγ', εἰ δοκεῖ, δόμοις.
ΗΡΑΚΛΗΣ.
ἐς σὰς μὲν οὖν ἔγωγε θήσομαι χέρας.
ΑΔΜΗΤΟΣ.
οὐκ ἂν θίγοιμι· δῶμα δ' εἰςελθεῖν πάρα.
ΗΡΑΚΛΗΣ.
τῇ σῇ πέποιθα χειρὶ δεξιᾷ μόνῃ.
ΑΔΜΗΤΟΣ.
ἄναξ, βιάζει μ' οὐ θέλοντα δρᾶν τάδε.
ΗΡΑΚΛΗΣ.
τόλμα, πρότεινε χεῖρα καὶ θίγε ξένης.
ΑΔΜΗΤΟΣ.
καὶ μὴν προτείνω, Γοργόν' ὡς καρατόμῳ.

1115. χρεὼν, ὅρα. 1121. τὴν γυν. 1127. τόλμα προτείνειν — θίγειν.

ΗΡΑΚΛΗΣ.

ἔχεις;

ΑΔΜΗΤΟΣ.

ἔχω ναί.

ΗΡΑΚΛΗΣ.

σῶζε νῦν, καὶ τὸν Διὸς
φήσεις ποτ' εἶναι παῖδα γενναῖον ξένον.
βλέψον δ' ἐς αὐτὴν, εἴτι σοι δοκεῖ πρέπειν
γυναικί· λύπης δ' εὐτυχῶν μεθίστασο.

ΑΔΜΗΤΟΣ.

ὦ θεοὶ, τί λέξω; θαῦμ' ἀνέλπιστον τόδε·
γυναῖκα λεύσσω τήνδ' ἐμὴν ἐτητύμως.
ἢ κέρτομός με θεοῦ τις ἐκπλήσσει χαρά;

ΗΡΑΚΛΗΣ.

οὐκ ἔστιν· ἀλλὰ τήνδ' ὁρᾷς δάμαρτα σήν.

ΑΔΜΗΤΟΣ.

ὅρα γε, μή τι φάσμα νερτέρων τόδ' ᾖ.

ΗΡΑΚΛΗΣ.

οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.

ΑΔΜΗΤΟΣ.

ἀλλ', ἣν ἔθαπτον, εἰσορῶ δάμαρτ' ἐμήν;

ΗΡΑΚΛΗΣ.

σάφ' ἴσθ'. ἀπιστεῖν δ' οὔ σε θαυμάζω τύχῃ.

ΑΔΜΗΤΟΣ.

θίγω, προσείπω ζῶσαν ὡς δάμαρτ' ἐμήν;

ΗΡΑΚΛΗΣ.

πρόσειπ'. ἔχεις γὰρ πᾶν, ὅσον περ ἤθελες.

ΑΔΜΗΤΟΣ.

ὦ φιλτάτης γυναικὸς ὄμμα καὶ δέμας,
ἔχω σ' ἀέλπτως, οὔ ποτ' ὄψεσθαι δοκῶν.

ΗΡΑΚΛΗΣ.

ἔχεις· φθόνος δὲ μὴ γένοιτο τις θεῶν!

ΑΔΜΗΤΟΣ.

ὦ τοῦ μεγίστου Ζηνὸς εὐγενὲς τέκνον,
εὐδαιμονοίης, καί σ' ὁ φιτύσας πατὴρ
σώζοι! σὺ γὰρ τἄμ' ἐξανώρθωσας μόνος.
πῶς τήνδ' ἔπεμψας νέρθεν ἐς φάος τόδε;

ΗΡΑΚΛΗΣ.

μάχην ξυνάψας νερτέρων τῷ κυρίῳ.

ΑΔΜΗΤΟΣ.

ποῦ τόνδε Θανάτῳ φὴς ἀγῶνα συμβαλεῖν;

ΗΡΑΚΛΗΣ.

τύμβον παρ' αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.

ΑΔΜΗΤΟΣ.

τί γάρ ποθ' ἥδ' ἄναυδος ἕστηκεν γυνή;

ΗΡΑΚΛΗΣ.

οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
ἀφαγνίσηται καὶ τρίτον μόλῃ φάος.
ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν
τὸ λοιπὸν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
καὶ χαῖρ'· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.

ΑΔΜΗΤΟΣ.

μεῖνον παρ' ἡμῖν καὶ ξυνέστιος γενοῦ.

ΗΡΑΚΛΗΣ.

αὖθις τόδ' ἔσται, νῦν δ' ἐπείγεσθαί με δεῖ.

ΑΔΜΗΤΟΣ.

ἀλλ' εὐτυχοίης, νόστιμον δ' ἔλθοις ὁδόν!

1150. τῷ κοιράνῳ.

ἀστοῖς δὲ πάσῃ τ᾽ ἐννέπω τετραρχίᾳ,
χοροὺς ἐπ᾽ ἐσθλαῖς συμφοραῖσιν ἱστάναι
βωμούς τε κνισσᾶν βουθύτοισι προστροπαῖς.
νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
τοῦ πρόσθεν· οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.

ΧΟΡΟΣ.

πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ᾽ ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ᾽ οὐκ ἐτελέσθη,
τῶν δ᾽ ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα.

ΤΕΛΟΣ ΑΛΚΗΣΤΙΔΟΣ.

VOLUME 2

EURIPIDIS

TRAGOEDIAE

ET

FRAGMENTA.

RECENSUIT
INTERPRETATIONEM LATINAM CORREXIT
SCHOLIA GRAECA E CODICIBUS MANUSCRIPTIS
PARTIM SUPPLEVIT PARTIM EMENDAVIT

AUGUSTUS MATTHIAE.

TOMUS SECUNDUS.

LIPSIAE
APUD IOA. AUG. GOTTL. WEIGEL
MDCCCXIV.

IMPRESSIT BENEDICTUS GOTTHILF TEUBNER.

Quum magna pars huius tomi iam typis descripta esset, ultro mihi Berolino misit Vir Ill. B. G. Niebuhr collationem diligentissime a se adolescente factam Codicis Havniensis chartacei, qui novem Euripidis tragoedias, Medeam, Hecubam, Oresten, Phoenissas, Hippolytum, Alcestin, Andromachen, Troades et Rhesum continet. Eo in Rhesi et Troadum demum textu refingendo uti licuit; in prioribus fabulis non licuisse eo magis dolui, quod multas ille praeclaras lectiones suppeditat.

Quae in Praefat. Tom. I. p. XIII. sq. de uno vocabulo inter duos versus dividendo dixi, bilem moverunt Viro Cl. Boeckhio. Is enim in diss. de metris Pindari T. 1. parti 2. editionis poetae praemissa p. 328.

„Modo," inquit, „in manus venit Matthiae Euripides, cuius praefatio me refutatum iam ab Hermanno praedicat, ac „nonnullis me argumentis denuo scilicet „refutat. Dii boni, quam pinguis viri Minerva est!" In his comprobatum vides Ovidianum illud, Didicisse fideliter artes Emollit mores, nec sinit esse feros, quod idem p. 326. Ahlwardto accinit.

ΕΥΡΙΠΙΔΟΥ

ΑΝΔΡΟΜΑΧΗ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ
ΠΡΟΣΩΠΑ.

ΑΝΔΡΟΜΑΧΗ.
ΘΕΡΑΠΑΙΝΑ.
ΧΟΡΟΣ.
ΕΡΜΙΟΝΗ.
ΜΕΝΕΛΑΟΣ.
ΜΟΛΟΣΣΟΣ.
ΠΗΛΕΥΣ.
ΑΛΛΗ ΘΕΡΑΠΑΙΝΑ.
ΤΡΟΦΟΣ.
ΟΡΕΣΤΗΣ.
ΑΓΓΕΛΟΣ.
ΘΕΤΙΣ.

ΥΠΟΘΕΣΙΣ.

Νεοπτόλεμος ἐν Τροίᾳ γέρας λαβὼν Ἀνδρομάχην, τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς τὸν Μολοττόν· ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην, τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρότερον ᾐτηκὼς τῆς Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον, μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δὲ ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς ἐβουλεύετο κατ᾽ αὐτῆς θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον· ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον καὶ τὸ παιδίον ἀνεῦρον, καὶ ἐκείνην ἀπατήσαντες ἀνήγειραν· καὶ σφάττειν μέλλοντες ἀμφοτέρους ἐκωλύθησαν, Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην· Ἑρμιόνη δὲ μετενόησεν, εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης ταύτην μὲν ἀπήγαγε πείσας, Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν· ὃν καὶ φονευθέντα παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν Θέτις ἐπιφανεῖσα τοῦτον μὲν ἐν Δελφοῖς ἐπέταξε θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀποστεῖλαι μετὰ

τοῦ παιδὸς, αὐτὸν δὲ ἀθανασίαν προςδέχεσθαι· τυχὼν δὲ ταύτης εἰς Μακάρων νήσους ᾤκισεν.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Φθίᾳ κεῖται· ὁ δὲ χορὸς συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν· προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα τῶν δευτέρων· ὁ πρόλογος σαφῶς καὶ εὐλόγως εἰρημένος. ἔστι δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης ἐν τῷ δευτέρῳ μέρει· ῥῆσις Ἑρμιόνης τὸ βασιλικὸν ἐμφαίνουσα· καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος καλῶς ἔχων· εὖ δὲ καὶ ὁ Πηλεὺς, ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

ΕΥΡΙΠΙΔΟΥ ΑΝΔΡΟΜΑΧΗ.

ΑΝΔΡΟΜΑΧΗ.

Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις,
ὅθεν ποθ᾽ ἕδνων σὺν πολυχρύσῳ χλιδῇ
Πριάμου τύραννον ἑστίαν ἀφικόμην,
δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,
ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ,
νῦν δ᾽, εἴ τις ἄλλη, δυςτυχεστάτη γυνή·
[ἐμοῦ πέφυκεν, ἢ γενήσεταί ποτε.]
ἥτις πόσιν μὲν Ἕκτορ᾽ ἐξ Ἀχιλλέως
θανόντ᾽ ἐςεῖδον, παῖδά θ᾽, ὃν τίκτω πόσει,
ῥιφθέντα πύργων Ἀστυάνακτ᾽ ἀπ᾽ ὀρθίων,
ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον·
αὐτὴ δὲ δούλη, τῶν ἐλευθερωτάτων
οἴκων νομισθεῖσ᾽, Ἑλλάδ᾽ εἰςαφικόμην,
τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας
δοθεῖσα λείας Τρωϊκῆς ἐξαίρετον.
Φθίας δὲ τῆςδε καὶ πόλεως Φαρσαλίας
ξύγχορτα ναίω πεδί᾽, ἵν᾽ ἡ θαλασσία
Πηλεῖ ξυνῴκει χωρὶς ἀνθρώπων Θέτις
φεύγουσ᾽ ὅμιλον· Θεσσαλὸς δέ νιν λεὼς

6. νῦν δ᾽ οὔτις ἄ. et sq. v. sine uncis.

Θετίδειον αὐδᾷ θεᾶς χάριν νυμφευμάτων.
ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,
Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας,
ζῶντος γέροντος σκῆπτρον οὐ θέλων λαβεῖν.
κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
πλαθεῖσ' Ἀχιλλέως παιδὶ, δεσπότῃ τ' ἐμῷ.
καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην ὅμως
ἐλπίς μ' ἀεὶ προσῆγε, σωθέντος τέκνου,
ἀλκήν τιν' εὑρεῖν κἀπικούρησιν κακῶν·
ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ
τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι·
λέγει γὰρ, ὥς νιν φαρμάκοις κεκρυμμένοις
τίθημ' ἄπαιδα καὶ πόσει μισουμένην,
αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆς θέλω
τόνδ', ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ·
ἁγὼ τὸ πρῶτον οὐχ ἑκοῦσ' ἐδεξάμην,
νῦν δ' ἐκλέλοιπα· Ζεὺς τάδ' εἰδείη μέγας,
ὡς οὐχ ἑκοῦσα τῷδ' ἐκοινώθην λέχει.
ἀλλ' οὔ σφε πείθω· βούλεται δέ με κτανεῖν,
πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
καὶ νῦν κατ' οἴκους ἔστ', ἀπὸ Σπάρτης μολὼν
ἐπ' αὐτὸ τοῦτο· δειματουμένη δ' ἐγὼ
δόμων πάροικον Θέτιδος εἰς ἀνάκτορον
θάσσω τόδ' ἐλθοῦσ', ἤν με κωλύσῃ θανεῖν·
Πηλεύς τε γάρ νιν ἔκγονοί τε Πηλέως
σέβουσιν, ἑρμήνευμα Νηρῇδος γάμων.
ὃς δ' ἔστι παῖς μοι μόνος, ὑπεκπέμπω λάθρα

24. γόνον Br. 25. δεσπότῃ γ' ἐμῷ Br. 36. τὸ πρόσθεν Br.
42. κατ' ἀ. Br. 44. ἄν M.

ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
ὁ γὰρ φυτεύσας αὐτὸν οὔτ' ἐμοὶ πάρα
προςωφελῆσαι, παιδί τ' οὐδέν ἐστ', ἀπὼν
Δελφῶν κατ' αἶαν, ἔνθα Λοξίᾳ δίκην
δίδωσι μανίας, ἥν ποτ' ἐς Πυθὼ μολὼν
ᾔτησε Φοῖβον πατρός· οὗ 'κτίνει δίκην,
εἴ πως τὰ πρόσθε σφάλματ' ἐξαιτούμενος
θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.

ΘΕΡΑΠΑΙΝΑ.

δέσποιν', ἐγώ τοι τοὔνομ' οὐ φεύγω τόδε
καλεῖν σ', ἐπείπερ καὶ κατ' οἶκον ἠξίουν
τὸν σὸν, τὸ Τροίας ἡνίκ' ᾠκοῦμεν πέδον·
εὔνους δὲ καὶ σοὶ ζῶντί τ' ἦν τῷ σῷ πόσει,
καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους,
φόβῳ μὲν, εἴ τις δεσποτῶν αἰσθήσεται,
οἴκτῳ δὲ τῷ σῷ· δεινὰ γὰρ βουλεύεται
Μενέλαος ἐς σὲ παῖς θ', ἅ σοι φυλακτέα.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ φιλτάτη σύνδουλε, σύνδουλος γὰρ εἶ
τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυςτυχεῖ,
τί δρῶσι; ποίας μηχανὰς πλέκουσιν αὖ,
κτεῖναι θέλοντες τὴν παναθλίαν ἐμέ;

ΘΕΡΑΠΑΙΝΑ.

τὸν παῖδά σου μέλλουσιν, ὦ δύστηνε σὺ,
κτείνειν, ὃν ἔξω δωμάτων ὑπεξέθου.

ΑΝΔΡΟΜΑΧΗ.

οἴ μοι! πέπυσται τὸν ἐμὸν ἔκθετον γόνον

52. ἥ ποτ' Br. 53. πατρὸς οὗ τίνειν δ. 54. πρόσθεν M.
66. πλέκουσι νῦν M. 68. παῖδα σοῦ. 70. γόνον;

πόθεν ποτ᾽; ὦ δύστηνος, ὡς ἀπωλόμην!

ΘΕΡΑΠΑΙΝΑ.

οὐκ οἶδ᾽, ἐκείνων δ᾽ ᾐσθόμην ἐγὼ τάδε·
φροῦδος δ᾽ ἐπ᾽ αὐτὸν Μενέλεως δόμων ἄπο.

ΑΝΔΡΟΜΑΧΗ.

ἀπωλόμην ἄρ᾽! ὦ τέκνον, κτενοῦσί σε
δισσοὶ λαβόντες γῦπες. ὁ δὲ κεκλημένος
πατὴρ ἔτ᾽ ἐν Δελφοῖσι τυγχάνει μένων.

ΘΕΡΑΠΑΙΝΑ.

δοκῶ γὰρ οὐκ ἂν ὧδέ σ᾽ ἂν πράσσειν κακῶς,
κείνου παρόντος· νῦν δ᾽ ἔρημος εἶ φίλων.

ΑΝΔΡΟΜΑΧΗ.

οὐδ᾽ ἀμφὶ Πηλέως ἦλθεν, ὡς ἥξοι, φάτις;

ΘΕΡΑΠΑΙΝΑ.

γέρων γ᾽ ἐκεῖνος, ὥςτε σ᾽ ὠφελεῖν παρών.

ΑΝΔΡΟΜΑΧΗ.

καὶ μὴν ἔπεμψ᾽ ἐπ᾽ αὐτὸν οὐχ ἅπαξ μόνον.

ΘΕΡΑΠΑΙΝΑ.

μῶν οὖν δοκεῖς σοῦ φροντίσαι τίν᾽ ἀγγέλων;

ΑΝΔΡΟΜΑΧΗ.

πόθεν; θέλεις οὖν ἄγγελος μολεῖν σύ μοι;

ΘΕΡΑΠΑΙΝΑ.

τί δῆτα φήσω, χρόνιος οὖσ᾽ ἐκ δωμάτων;

ΑΝΔΡΟΜΑΧΗ.

πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.

ΘΕΡΑΠΑΙΝΑ.

κίνδυνος· Ἑρμιόνη γὰρ οὐ σμικρὰ φύλαξ.

ΑΝΔΡΟΜΑΧΗ.

ὁρᾷς; ἀπαυδᾷς ἐν κακοῖς φίλοισι σοῖς.

80. deest γ᾽. - 82. δοκεῖ σοι.

ΘΕΡΑΠΑΙΝΑ.

οὐ δῆτα· μηδὲν τοῦτ᾽ ὀνειδίσῃς ἐμοί.
ἀλλ᾽ εἶμ᾽, ἐπεί τοι κοὐ περίβλεπτος βίος
δούλης γυναικὸς, ἤν τι καὶ πάθω κακόν.

ΑΝΔΡΟΜΑΧΗ.

χώρει νυν· ἡμεῖς δ᾽, οἷςπερ ἐγκείμεσθ᾽ ἀεὶ
θρήνοισι καὶ γόοισι καὶ δακρύμασι,
πρὸς αἰθέρ᾽ ἐκτενοῦμεν· ἐμπέφυκε γὰρ
γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ᾽ ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.
πάρεστι δ᾽ οὐχ ἓν, ἀλλὰ πολλά μοι στένειν,
πόλιν πατρῴαν, τὸν θανόντα θ᾽ Ἕκτορα,
στεῤῥόν τε τὸν ἐμὸν δαίμον᾽, ᾧ ξυνεζύγην,
δούλειον ἦμαρ ἐςπεσοῦσ᾽ ἀναξίως.
χρὴ δ᾽ οὔποτ᾽ εἰπεῖν οὐδέν᾽ ὄλβιον βροτῶν,
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω.

Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον, ἀλλά τιν᾽ ἄταν
ἠγάγετ᾽ εὐναίαν εἰς θαλάμους Ἑλέναν.
ἇς ἕνεκ᾽, ὦ Τροία, δορὶ καὶ πυρὶ δηϊάλωτον
εἷλέ σ᾽ ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης,
καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος·
αὐτὰ δ᾽ ἐκ θαλάμων ἀγόμαν ἐπὶ θῖνα θαλάσσης,
δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρα.
πολλὰ δέ δάκρυά μοι κατέβα χροὸς, ἁνίκ᾽ ἔλειπον
ἄστυ τε καὶ θαλάμους καὶ πόσιν ἐν κονίαις·
ὤ ᾽μοι ἐγὼ μελέα, τί μ᾽ ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι,

91. χ. νῦν Μ. 110. κάρᾳ Br.

Ἑρμιόνας δούλαν; ἇς ὕπο τειρομένα,
πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα,
τάκομαι, ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΧΟΡΟΣ.

ὦ γύναι, ἃ Θέτιδος δάπεδον καὶ ἀνάκτορα θάσσεις (στροφὴ ά.)
δαρὸν, οὐδὲ λείπεις,
Φθιὰς ὅμως ἔμολον ποτὶ σὰν Ἀσιήτιδα γένναν,
εἴ τι σοι δυναίμαν
ἄκος τῶν δυςλύτων πόνων τεμεῖν,
οἵ σε καὶ Ἑρμιόναν ἔριδι στυγερᾷ συνεκλῄσαν,
τλᾶμον, ἀμφὶ λέκτρων
διδύμων ἐπίκοινον
ἐοῦσαν ἀμφὶ παῖδ' Ἀχιλλέως·
γνῶθι τύχαν, λόγισαι τὸ παρὸν κακὸν, εἰς ὅπερ ἥκεις. (ἀντιστρ. ά.)
δεσπόταις ἁμιλλᾷ,
Ἰλιὰς οὖσα κόρα, Λακεδαίμονος ἐκγενέτῃσι;
λεῖπε δεξίμηλον
δόμον τᾶς ποντίας θεοῦ. τί σοι
καιρὸς ἀτυζομένᾳ δέμας ἀεικέλιον καταλείβειν
δεσποτῶν ἀνάγκαις;
τὸ κρατοῦν δέ σε πείσει.
τί μόχθον, οὐδὲν οὖσα, μοχθεῖς;
ἀλλ' ἴθι, λεῖπε θεᾶς Νηρηΐδος ἀγλαὸν ἕδραν, (στρ. β'.)
γνῶθι δ' οὖσ' ἐπὶ ξένας,
δμωῒς, ἐπ' ἀλλοτρίας πόλεως,
ἔνθ' οὐ φίλων τιν' εἰςορᾷς
σῶν, ὦ δυςτυχεστάτα,

123. τλάμον' Br. 128. ἐκγενέταισι M. 130. τίς σοι M.

ὦ παντάλαινα νύμφα.
οἰκτροτάτα γὰρ ἔμοιγ' ἔμολες, γύναι Ἰλιὰς, οἴκους· (ἀντιστρ. β'.)
δεσποτῶν δ' ἐμῶν φόβῳ
ἡσυχίαν ἄγομεν, τὸ δὲ σὸν
οἴκτῳ φέρουσα τυγχάνω,
μὴ παῖς τᾶς Διὸς κόρας
σοί μ' εὖ φρονοῦσαν εἰδῇ.

ΕΡΜΙΟΝΗ.

κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς
στολμόν τε χρωτὸς τόνδε ποικίλων πέπλων,
οὐ τῶν Ἀχιλλέως, οὐδὲ Πηλέως ἄπο
δόμων ἀπαρχὰς δεῦρ' ἔχουσ' ἀφικόμην,
ἀλλ' ἐκ Λακαίνης Σπαρτιάτιδος χθονὸς
Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ
πολλοῖς σὺν ἕδνοις, ὥςτ' ἐλευθεροστομεῖν.
ὑμᾶς μὲν οὖν τοῖςδ' ἀνταμείβομαι λόγοις·
σὺ δ' οὖσα δούλη καὶ δορίκτητος γυνὴ
δόμους κατασχεῖν, ἐκβαλοῦσ' ἡμᾶς, θέλεις
τούςδε, στυγοῦμαι δ' ἀνδρὶ φαρμάκοισι σοῖς,
νηδὺς δ' ἀκύμων διὰ σέ μοι διόλλυται·
δεινὴ γὰρ Ἠπειρῶτις ἐς τὰ τοιάδε
ψυχὴ γυναικῶν· ὧν ἐπισχήσω σ' ἐγώ,
κοὐδέν σ' ὀνήσει δῶμα Νηρῇδος τόδε,
οὐ βωμὸς, οὐδὲ ναὸς, ἀλλὰ κατθανεῖ.
ἢν δ' οὖν βροτῶν τίς σ', ἢ θεῶν σῶσαι θέλῃ,
δεῖ σ' ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων
πτῆξαι ταπεινὴν, προςπεσεῖν τ' ἐμὸν γόνυ,
σαίρειν τε δῶμα τοὐμὸν, ἐκ χρυσηλάτων

146. ἴδῃ M. 154. τοιοῖςδ' ἀμείβομαι M.

τευχέων χερὶ σπείρουσαν Ἀχελώου δρόσον,
γνῶναί θ', ἵν' εἶ γῆς· οὐ γάρ ἐσθ' Ἕκτωρ τάδε,
οὐ Πρίαμος, οὐδὲ χρυσός, ἀλλ' Ἑλλὰς πόλις.
ἐς τοῦτο δ' ἥκεις ἀμαθίας, δύστηνε σύ,
ᾗ παιδὶ πατρὸς, ὃς σὸν ὤλεσεν πόσιν,
τολμᾷς ξυνεύδειν καὶ τέκν' αὐθέντου πάρα
τίκτειν. τοιοῦτο πᾶν τὸ βάρβαρον γένος·
πατήρ τε θυγατρὶ παῖς τε μητρὶ μίγνυται
κόρη τ' ἀδελφῷ, διὰ φόνου δ' οἱ φίλτατοι
χωροῦσι, καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμος.
ἃ μὴ παρ' ἡμᾶς ἔσφερ'· οὐδὲ γὰρ καλὸν
δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν,
ἀλλ' ἐς μίαν βλέποντες εὐναίαν Κύπριν
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.

ΧΟΡΟΣ.

ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ,
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

ΑΝΔΡΟΜΑΧΗ.

φεῦ, φεῦ!
κακόν γε θνητοῖς τὸ νέον, ἔν τε τῷ νέῳ
τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
ἐγὼ δὲ ταρβῶ, μὴ τὸ δουλεύειν μέ σοι
λόγων ἀπώσῃ, πόλλ' ἔχουσαν ἔνδικα,
ἢν δ' αὖ κρατήσω, μὴ 'πὶ τῷδ' ὄφλω βλάβην·
οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο·
ὅμως δ' ἐμαυτὴν οὐ προδοῦσ' ἁλώσομαι.
εἴπ', ὦ νεᾶνι, τῷ σ' ἐχεγγύῳ λόγῳ

169. Πρ. ὁ ζάχρυσος Br. 181. ἐπίφθ. τὸ χρ. Br. 184. ἐν δὲ τῷ ν. Br.

πεισθεῖσ' ἀπωθῶ γνησίων νυμφευμάτων;
ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις,
τύχη θ' ὑπερθεῖ, καί μ' ἐλευθέραν ὁρᾷς;
ἢ τῷ νέῳ τε καὶ σφριγῶντι σώματι
πόλεως τε μεγέθει καὶ φίλοις ἐπηρμένη,
οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω;
πότερον, ἵν' αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
δούλους, ἐμαυτῇ τ' ἀθλίαν ἐφολκίδα;
ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς;
φιλοῦσι γάρ μ' Ἕλληνες, Ἕκτορός τ' ἄπο,
αὐτή τ' ἀμαυρὰ κοὐ τύραννος ἦν Φρυγῶν.
οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖς.
φίλτρον δὲ καὶ τόδ'· οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' αἱ 'ρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
σὺ δ' ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις
μέγ' ἐστι, τὴν δὲ Σκῦρον οὐδαμοῦ τίθης.
πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι, Μενέλεως δέ σοι
μείζων Ἀχιλλέως. ταῦτά τοί σ' ἔχθει πόσις.
χρὴ γὰρ γυναῖκα, κἂν κακῷ δοθῇ πόσει,
στέργειν, ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματος.
εἰ δ' ἀμφὶ Θρῄκην, χιόνι τὴν κατάῤῥυτον,
τύραννον ἔσχες ἄνδρ', ἵν' ἐν μέρει λέχος
δίδωσι πολλαῖς εἷς ἀνὴρ κοινούμενος,
ἔκτεινας ἂν τάσδ'; εἶτ' ἀπληστίαν λέχους
πάσαις γυναιξὶ προστιθεῖσ' ἂν εὑρέθης.
αἰσχρόν γε. καίτοι χεῖρον' ἀρσένων νόσον

195. ὑπερθῶ Br. τύχῃ. 213. χρῆν M. πόσει δοθῇ. 220. χεῖρον Br.

ταύτην νοσοῦμεν, ἀλλὰ προὔστημεν καλῶς.
ὦ φίλταθ' Ἕκτορ, ἀλλ' ἐγὼ τὴν σὴν χάριν
σοὶ καὶ ξυνήρων, εἴ τί σε σφάλλοι Κύπρις,
καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς
ἐπέσχον, ἵνα σοι μηδὲν ἐνδοίην πικρόν.
καὶ ταῦτα δρῶσα τῇ 'ρετῇ προσηγόμην
πόσιν· σὺ δ' οὐδὲ ῥανίδ' ὑπαιθρίας δρόσου
τῷ σῷ προσίζειν ἀνδρὶ δειμαίνουσ' ἐᾷς.
μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
ζήτει παρελθεῖν· τῶν κακῶν γὰρ μητέρων
φεύγειν τρόπους χρὴ τέκν', ὅσοις ἔνεστι νοῦς.

ΧΟΡΟΣ.

δέσποιν', ὅσον σοι ῥᾳδίως παρίσταται,
τοσόνδε πείθου τῇδε συμβῆναι λόγοις.

ΕΡΜΙΟΝΗ.

τί σεμνομυθεῖς, κεἰς ἀγῶν' ἔρχει λόγων,
ὡς δὴ σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα;

ΑΝΔΡΟΜΑΧΗ.

οὔκουν ἐφ' οἷς γε νῦν καθέστηκας λόγοις.

ΕΡΜΙΟΝΗ.

ὁ νοῦς ὁ σός μοι μὴ ξυνοικοίη, γύναι.

ΑΝΔΡΟΜΑΧΗ.

νέα πέφυκας, καὶ λέγεις αἰσχρῶν πέρι.

ΕΡΜΙΟΝΗ.

σὺ δ' οὐ λέγεις γε, δρᾷς δέ μ', εἰς ὅσον δύνῃ.

ΑΝΔΡΟΜΑΧΗ.

οὐκ αὖ σιωπῇ Κύπριδος ἀλγήσεις πέρι;

ΕΡΜΙΟΝΗ.

τί δ'; οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχοῦ;

223. σφάλοι. 225. ἐνδῴην M. 240. οὐκ ἂν M. οὔκουν Br.

ΑΝΔΡΟΜΑΧΗ.

καλῶς γε χρωμέναισιν· εἰ δὲ μὴ, οὐ καλά.

ΕΡΜΙΟΝΗ.

οὐ βαρβάρων νόμοισιν οἰκοῦμεν πόλιν.

ΑΝΔΡΟΜΑΧΗ.

κἀκεῖ τἀγ' αἰσχρὰ κἀνθάδ' αἰσχύνην ἔχει.

ΕΡΜΙΟΝΗ.

σοφὴ, σοφὴ σύ· κατθανεῖν δ' ὅμως σε δεῖ.

ΑΝΔΡΟΜΑΧΗ.

ὁρᾷς ἄγαλμα Θέτιδος ἔς σ' ἀποβλέπον;

ΕΡΜΙΟΝΗ.

μισοῦν γε πατρίδα σὴν Ἀχιλλέως φόνῳ.

ΑΝΔΡΟΜΑΧΗ.

Ἑλένη νιν ὤλεσ', οὐκ ἐγὼ, μήτηρ γε σή.

ΕΡΜΙΟΝΗ.

ἦ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν;

ΑΝΔΡΟΜΑΧΗ.

ἰδοὺ σιωπῶ κἀπιλάζυμαι στόμα.

ΕΡΜΙΟΝΗ.

ἐκεῖνο λέξον, οὗπερ οὕνεκ' ἐστάλην.

ΑΝΔΡΟΜΑΧΗ.

λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν, ὅσον σε δεῖ.

ΕΡΜΙΟΝΗ.

λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;

ΑΝΔΡΟΜΑΧΗ.

εἰ μὲν θανοῦμαί γ'· εἰ δὲ μὴ, οὐ λείψω ποτέ.

ΕΡΜΙΟΝΗ.

ὡς τοῦτ' ἄραρε, κοὐ μενῶ πόσιν μολεῖν.

255. ἄρηρε—μένω M. ἄραρ' οὖν Br.

ΑΝΔΡΟΜΑΧΗ.

ἀλλ' οὐδ' ἐγὼ μὴν πρόσθεν ἐκδώσω μέ σοι.

ΕΡΜΙΟΝΗ.

πῦρ σοι προςοίσω,—κοὐ τὸ σὸν προσκέψομαι —

ΑΝΔΡΟΜΑΧΗ.

σὺ δ' οὖν κάταιθε· θεοὶ γὰρ εἴσονται τάδε.

ΕΡΜΙΟΝΗ.

καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.

ΑΝΔΡΟΜΑΧΗ.

σφάζ', αἱμάτου θεᾶς βωμὸν, ἣ μέτεισί σε.

ΕΡΜΙΟΝΗ.

ὦ βάρβαρον σὺ θρέμμα καὶ σκληρὸν θράσος,
ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω τάχα·
τοιόνδ' ἔχω σου δέλεαρ. ἀλλὰ γὰρ λόγους
κρύψω, τὸ δ' ἔργον αὐτὸ σημανεῖ τάχα.
κάθησ' ἑδραία· καὶ γὰρ εἰ πέριξ σ' ἔχει
τηκτὸς μόλυβδος, ἐξαναστήσω σ' ἐγὼ,
πρὶν, ᾧ πέποιθας, παῖδ' Ἀχιλλέως μολεῖν.

ΑΝΔΡΟΜΑΧΗ.

πέποιθα· δεινὸν δ', ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα,
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς· τοσοῦτον ἐσμὲν ἀνθρώποις κακόν.

ΧΟΡΟΣ.

Ἦ μεγάλων ἀχέων ἆρ' ὑπῆρξεν, (στροφὴ ά.)
ὅτ' Ἰδαίαν [ἐς] νάπαν ἦλθεν

270. βροτοῖς θ. ἐγκαταστῆσαί τ. M. 273. τοιοῦτον M.
275. ἦλθ'.

ὁ Μαίας τε καὶ Διὸς τόκος,
τρίπωλον ἅρμα δαιμόνων
ἄγων τὸ καλλίζυγές,
ἔριδι στυγερᾷ
κεκορυθμένον εὐμορφίας
σταθμοὺς ἔπι βούτα
βοτῆρά τ' ἀμφὶ μονότροπον νεανίαν
ἔρημόν θ' ἑστιοῦχον αὐλάν.
ταὶ δ' ἐπεὶ ὑλόκομον νάπος ἤλυθον (ἀντιστρ. ά.)
ὀρειᾶν πιδάκων νίψαντ'
αἰγλάεντα σώματα ῥοαῖς·
ἔβαν δὲ Πριαμίδαν ὑπερ-
βολαῖς λόγων δυςφρόνων
παραβαλλόμεναι.
Κύπρις εἷλε λόγοισι δολίοις,
τερπνοῖς μὲν ἀκοῦσαι,
πικρὰν δὲ σύγχυσιν βίου Φρυγῶν πόλει
ταλαίνᾳ περγάμοις τε Τροίας.
εἴθε δ' ὑπὲρ κεφαλὰν ἔβαλεν κακὸν (στρ. β'.)
ἅτις τέκεν ποτὲ Πάριν,
πρὶν Ἰδαῖον κατοικίσαι λέπας,
ὅτε νιν παρὰ θεσπεσίῳ δάφνᾳ
βόασε Κάσανδρα κτανεῖν,
μεγάλαν Πριάμου πόλεως λώβαν.
τίν' οὐκ ἐπῆλθε; ποῖον οὐκ ἐλίσσετο
δαμογερόντων βρέφος φονεύειν;
οὔτ' ἂν ἐπ' Ἰλιάσι ζυγὸν ἤλυθε (ἀντιστρ. β'.)
δούλειον, οὔτε σύ, γύναι,

284. ἦλθον. 285. ὀρείαν — ἔνιψάν τ'. 286. σώματ' ἐν ῥοαῖς.
287. ἔβαν τε. 294 κεφαλᾶς. 302. ζυγός. 303. δούλειος.

τυράννων ἔσχες ἂν δόμων ἕδρας·
παρέλυσε δ' ἂν Ἑλλάδος ἀλγεινοὺς
πόνους, οὓς ἀμφὶ Τροίαν
δεκέτεις ἀλάληντο νέοι λόγχαις·
λέχη τ' ἔρημ' ἂν οὔποτ' ἐξελείπετο,
καὶ τεκέων ὀρφανοὶ γέροντες.

ΜΕΝΕΛΑΟΣ.

Ἥκω λαβὼν σὸν παῖδ', ὃν εἰς ἄλλους δόμους
λάθρα θυγατρὸς τῆς ἐμῆς ὑπεξέθου.
σὲ μὲν γὰρ ηὔχεις θεᾶς βρέτας σῶσαι τόδε,
τοῦτον δὲ τοὺς κρύψαντας· ἀλλ' ἐφευρέθης
ἧσσον φρονοῦσα τοῦδε Μενέλεω, γύναι.
κεἰ μὴ τόδ' ἐκλιποῦσ' ἐρημώσεις πέδον,
ὅδ' ἀντὶ τοῦ σοῦ σώματος σφαγήσεται.
ταῦτ' οὖν λογίζου, πότερα κατθανεῖν θέλεις,
ἢ τόνδ' ὀλέσθαι σῆς ἁμαρτίας ὕπερ,
ἣν εἰς ἔμ' ἔς τε παῖδ' ἐμὴν ἁμαρτάνεις;

ΑΝΔΡΟΜΑΧΗ.

ὦ δόξα, δόξα, μυρίοισι δὴ βροτῶν
οὐδὲν γεγῶσι βίοτον ὤγκωσας μέγαν.
εὔκλεια δ' οἷς μέν ἐστ' ἀληθείας ὕπο,
εὐδαιμονίζω· τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
οὐκ ἀξιώσω πλὴν τύχῃ φρονεῖν δοκεῖν.
σὺ δὴ στρατηγῶν λογάσιν Ἑλλήνων ποτὲ
Τροίαν ἀφείλου Πρίαμον, ὧδε φαῦλος ὤν;
ὅστις θυγατρὸς ἀντίπαιδος ἐκ λόγων
τοσόνδ' ἔπνευσας, καὶ γυναικὶ δυστυχεῖ
δούλῃ κατέστης εἰς ἀγῶν'· οὐκ ἀξιῶ
οὔτ' οὖν σε Τροίας, οὔτε σοῦ Τροίαν ἔτι.

304. ἕδραν.

ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὖ φρονεῖν
λαμπροί, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι,
πλὴν εἴ τι πλούτῳ· τοῦτο δ' ἰσχύει μέγα.
Μενέλαε, φέρε δὴ, διαπερανωμεν λόγους·
τέθνηκα τῇ σῇ θυγατρὶ, καί μ' ἀπώλεσεν·
μιαιφόνον μὲν οὐκέτ' ἂν φύγοι μύσος.
ἐν τοῖς δὲ πολλοῖς καὶ σὺ τόνδ' ἀγωνιεῖ
φόνον· τὸ συνδρῶν γάρ σ' ἀναγκάσει χρέος.
ἢν δ' οὖν ἐγὼ μὲν μὴ θανεῖν ὑπεκδράμω,
τὸν παῖδά μου κτενεῖτε; κᾆτα πῶς πατὴρ
τέκνου θανόντος ῥᾳδίως ἀνέξεται; —
οὐχ ὧδ' ἄνανδρον αὐτὸν ἡ Τροία καλεῖ —
ἀλλ' εἶσιν οἷ χρή· Πηλέως γὰρ ἄξια
πατρός τ' Ἀχιλλέως ἔργα δρῶν φανήσεται.
ὤσει δὲ σὴν παῖδ' ἐκ δόμων· σὺ δ' ἐκδιδοὺς
ἄλλῳ τί λέξεις; πότερον ὡς κακὸν πόσιν
φεύγει τὸ ταύτης σῶφρον; ἀλλὰ ψεύσεται.
γαμεῖ δὲ τίς νιν; ἢ σφ' ἄνανδρον ἐν δόμοις
χήραν καθέξεις πολιόν; ὦ τλήμων ἄνερ,
κακῶν τοσούτων οὐχ ὁρᾷς ἐπιῤῥοάς;
πόσας δ' ἂν εὐνὰς θυγατέρ' ἠδικημένην
βούλοι' ἂν εὑρεῖν, ἢ παθεῖν, ἅγὼ λέγω;
οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακὰ,
οὐδ', εἰ γυναῖκες ἐσμὲν ἀτηρὸν κακὸν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.
ἡμεῖς γὰρ, εἰ σὴν παῖδα φαρμακεύομεν
καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡς αὐτὴ λέγει,
ἑκόντες, οὐκ ἄκοντες, οὐδὲ βώμιοι

334. cum uncis Br. 337. τοῖδ' Br. 338. φόνου. τὸ σ. γάρ σ' ἀναγκάσει, κλέος Br. 340. κτανεῖτε Br.

πιτνοῦντες, αὐτοὶ τὴν δίκην ὑφέξομεν
ἐν σοῖσι γαμβροῖς, οἷσιν οὐκ ἐλάσσονα
βλάβην ὀφείλω, προςτιθεῖσ᾽ ἀπαιδίαν.
ἡμεῖς μὲν οὖν τοιοίδε· τῆς δὲ σῆς φρενὸς
ἕν σου δέδοικα· διὰ γυναικείαν ἔριν
καὶ τὴν τάλαιναν ὤλεσας Φρυγῶν πόλιν.

ΧΟΡΟΣ.

ἄγαν ἔλεξας, ὡς γυνὴ, πρὸς ἄρσενας,
καί σου τὸ σῶφρον ἐξετόξευσεν φρενός.

ΜΕΝΕΛΑΟΣ.

γύναι, τάδ᾽ ἐστι σμικρὰ καὶ μοναρχίας
οὐκ ἄξι᾽, ὡς φῄς, τῆς ἐμῆς, οὐδ᾽ Ἑλλάδος.
εὖ δ᾽ ἴσθ᾽, ὅτου τις τυγχάνει χρείαν ἔχων,
τοῦτ᾽ ἔσθ᾽ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ θυγατρὶ, — μεγάλα γὰρ κρίνω τάδε,
λέχους στέρεσθαι, — σύμμαχος καθίσταμαι.
τὰ μὲν γὰρ ἄλλα δεύτερ᾽, ἂν πάσχῃ γυνή·
ἀνδρὸς δ᾽ ἁμαρτάνουσ᾽ ἁμαρτάνει βίου.
δούλων δ᾽ ἐκεῖνον τῶν ἐμῶν ἄρχειν χρεὼν,
καὶ τῶν ἐκείνου τοὺς ἐμοὺς, ἡμᾶς τε πρός·
φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
ὀρθῶς πεφύκασ᾽, ἀλλὰ κοινὰ χρήματα.
μένων δὲ τοὺς ἀπόντας, εἰ μὴ θήσομαι
τἄμ᾽ ὡς ἄριστα, φαῦλός εἰμι, κοὐ σοφός.
ἀλλ᾽ ἐξανίστω τῶνδ᾽ ἀνακτόρων θεᾶς·
ὡς, ἢν θάνῃς σὺ, παῖς ὅδ᾽ ἐκφεύγει μόρον,
σοῦ δ᾽ οὐ θελούσης κατθανεῖν, τόνδε κτενῶ.
δυοῖν δ᾽ ἀνάγκη θατέρῳ λιπεῖν βίον.

363. ἕν που δέδ. Br. 364. ὤλ. πόλιν Φρ. Br. 365. ἄγαν γ᾽ ἔλ. M.

ΑΝΔΡΟΜΑΧΗ.

οἴ μοι, πικρὰν κλήρωσιν αἵρεσίν τέ μοι
βίου καθίστης· καὶ λαχοῦσά γ᾽ ἀθλία
καὶ μὴ λαχοῦσα δυςτυχὴς καθίσταμαι.
ὦ μεγάλα πράσσων αἰτίας μικρᾶς πέρι,
πιθοῦ· τί καίνεις μ᾽; ἀντὶ τοῦ; ποίαν πόλιν
προὔδωκα; τίνα σῶν ἔκτανον παίδων ἐγώ;
ποῖον δ᾽ ἔπρησα δῶμ᾽; ἐκοιμήθην βίᾳ
ξὺν δεσπόταισι· κᾆτ᾽ ἔμ᾽, οὐ κεῖνον, κτενεῖς,
τὸν αἴτιον τῶνδ᾽, ἀλλὰ τὴν ἀρχὴν ἀφεὶς,
πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν φέρει;
οἴ μοι κακῶν τῶνδ᾽! ὦ τάλαιν᾽ ἐμὴ πατρίς,
ὡς δεινὰ πάσχω! τί δέ με καὶ τεκεῖν ἐχρῆν,
ἄχθος τ᾽ ἐπ᾽ ἄχθει τῷδε προςθέσθαι διπλοῦν;
ἀτὰρ τί ταῦτ᾽ ὀδύρομαι, τὰ δ᾽ ἐν ποσὶν
οὐκ ἐξικμάζω καὶ λογίζομαι κακά;
ἥτις σφαγὰς μὲν Ἕκτορος τροχηλάτους
κατεῖδον οἰκτρῶς τ᾽ Ἴλιον πυρούμενον,
αὐτὴ δὲ δούλη ναῦς ἐπ᾽ Ἀργείων ἔβην,
κόμης ἐπισπασθεῖσ᾽· ἐπεὶ δ᾽ ἀφικόμην
Φθίαν, φονεῦσιν Ἕκτορος νυμφεύομαι.
τί δῆτ᾽ ἐμοὶ ζῆν ἡδύ; πρὸς τί χρὴ βλέπειν;
πρὸς τὰς παρούσας, ἢ παρελθούσας τύχας;
εἷς παῖς ὅδ᾽ ἦν μοι λοιπὸς, ὀφθαλμὸς βίου·
τοῦτον κτενεῖν μέλλουσιν, οἷς δοκεῖ τάδε.
οὐ δῆτα τοὐ ᾽μοῦ γ᾽ οὕνεκ᾽ ἀθλίου βίου·
ἐν τῷδε μὲν γὰρ ἐλπὶς, εἰ σωθήσεται·

389. πιθοῦ τι· καίνεις μ᾽ ἀντὶ τοῦ; Br. Vss. 398 — 406. hoc ordine 405. 406. 400 — 404. 398. 9. M. Br. 407. ἦν μοι, λοιπὸς ὀφθ. Br. 408. κτανεῖν Br.

ἐμοὶ δ᾽ ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου.
ἰδοὺ προλείπω βωμὸν ἥδε χειρία
σφάζειν, φονεύειν, δεῖν, ἀπαρτῆσαι δέρην.
ὦ τέκνον, ἡ τεκοῦσά σ᾽, ὡς σὺ μὴ θάνῃς,
στείχω πρὸς Ἅιδην· ἢν δ᾽ ὑπεκδράμῃς μόρον,
μέμνησο μητρὸς, οἷα τλᾶσ᾽ ἀπωλόμην,
καὶ πατρὶ τῷ σῷ, διὰ φιλημάτων ἰὼν
δάκρυά τε λείβων καὶ περιπτύσσων χέρας,
λέγ᾽, οἷ᾽ ἔπραξα. πᾶσι δ᾽ ἀνθρώποις ἄρ᾽ ἦν
ψυχὴ τέκν᾽· ὅστις δ᾽ αὔτ᾽ ἄπειρος ὢν ψέγει,
ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ᾽ εὐδαιμονεῖ.

ΧΟΡΟΣ.

ᾤκτειρ᾽ ἀκούσας· οἰκτρὰ γὰρ τὰ δυστυχῆ
βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
ἐς ξύμβασιν δὲ χρῆν σε σὴν παῖδ᾽ ἐξάγειν,
Μενέλαε, καὶ τήνδ᾽, ὡς ἀπαλλαχθῇ πόνων.

ΜΕΝΕΛΑΟΣ.

λάβεσθέ μοι τῆσδ᾽, ἀμφελίξαντες χέρας,
δμῶες· λόγους γὰρ οὐ φίλους ἀκούσεται.
ἔγωγ᾽, ἵν᾽ ἁγνὸν βωμὸν ἐκλίποις θεᾶς,
προὔτεινα παιδὸς θάνατον, ᾧ σ᾽ ὑπήγαγον
ἐς χεῖρας ἐλθεῖν τὰς ἐμὰς ἐπὶ σφαγήν.
καὶ τἀμφὶ σοῦ μὲν ὧδ᾽ ἔχοντ᾽ ἐπίστασο·
τὰ δ᾽ ἀμφὶ παιδὸς τοῦδε παῖς ἐμὴ κρινεῖ,
ἤν τε κτανεῖν νιν, ἤν τε μὴ κτανεῖν θέλῃ.
ἀλλ᾽ ἕρπ᾽ ἐς οἴκους τούσδ᾽, ἵν᾽ εἰς ἐλευθέρους
δούλη γεγῶσα μή ποθ᾽ ὑβρίζειν μάθῃς.

419. πᾶσιν ἀνθρ. Br. 424. χρή σε καὶ σὴν παῖδ᾽ ἄγειν M. δ᾽ ἐχρῆν σε σήν γε παῖδ᾽ ἄγειν Br. 428. ἐγώ σ᾽ M. Br. ἐκλίπῃς M. 433. ἤν τε κτανεῖ νιν, ἤν τε μὴ κτείνειν θ. Br.

ΑΝΔΡΟΜΑΧΗ.

οἴ μοι! δόλῳ μ᾽ ὑπῆλθες, ἠπατήμεθα.

ΜΕΝΕΛΑΟΣ.

κήρυσσ᾽ ἅπασιν· οὐ γὰρ ἐξαρνούμεθα.

ΑΝΔΡΟΜΑΧΗ.

ἦ ταῦτ᾽ ἐν ὑμῖν, τοῖς παρ᾽ Εὐρώτᾳ, σοφά;

ΜΕΝΕΛΑΟΣ.

καὶ τοῖς γε Τροίᾳ, τοὺς παθόντας ἀντιδρᾷν

ΑΝΔΡΟΜΑΧΗ.

τὰ θεῖα δ᾽ οὐ θεῖ᾽, οὐδ᾽ ἔχειν ἡγεῖ δίκην;

ΜΕΝΕΛΑΟΣ.

ὅταν τάδ᾽ ᾖ, τότ᾽ οἴσομεν; σὲ δὲ κτενῶ.

ΑΝΔΡΟΜΑΧΗ.

ἦ καὶ νεοσσὸν τόνδ᾽, ὑπὸ πτερῶν σπάσας;

ΜΕΝΕΛΑΟΣ.

οὐ δῆτα· θυγατρὶ δ᾽, ἢν θέλῃ, δώσω κτανεῖν.

ΑΝΔΡΟΜΑΧΗ.

οἴ μοι! τί δῆτα σοῦ καταστένω, τέκνον;

ΜΕΝΕΛΑΟΣ.

οὔκουν θρασεῖά γ᾽ αὐτὸν ἐλπὶς ἀναμένει.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν,
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
ψευδῶν ἄνακτες, μηχανοῤῥάφοι κακῶν,
ἑλικτὰ, κοὐδὲν ὑγιὲς, ἀλλὰ πᾶν πέριξ
φρονοῦντες, ἀδίκως εὐτυχεῖτ᾽ ἀν᾽ Ἑλλάδα.
τί δ᾽ οὐκ ἐν ὑμῖν ἐστίν; οὐ πλεῖστοι φόνοι;
οὐκ αἰσχροκερδεῖς; οὐ λέγοντες ἄλλα μὲν

442. ἀπό Br.

γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί;
ὄλοισθ'· ἐμοὶ δὲ θάνατος οὐχ οὕτω βαρυς,
ὡς σοὶ δέδοκται. κεῖνα γάρ μ' ἀπώλεσεν,
ὅθ' ἡ τάλαινα πόλις ἀναλώθη Φρυγῶν
πόσις θ' ὁ κλεινὸς, ὅς σε πολλάκις δορὶ
ναύτην ἔθηκεν ἀντὶ χερσαίου κακόν.
νῦν δ' ἐς γυναῖκα γοργὸς ὁπλίτης φανεὶς
κτείνεις μ'. ἀπόκτειν'· ὡς ἀθώπευτόν γέ σε
γλώσσης ἀφήσω τῆς ἐμῆς καὶ παῖδα σήν.
ἐπεὶ σὺ μὲν πέφυκας ἐν Σπάρτῃ μέγας,
ἡμεῖς δὲ Τροίᾳ γ'. εἰ δ' ἐγὼ πράσσω κακῶς,
μηδὲν τόδ' αὔχει· καὶ σὺ γὰρ πράξειας ἄν.

ΧΟΡΟΣ.

Οὐδέποτ' ἂν δίδυμα λέκτρ' ἐπαινέσω βροτῶν (στ. ά.)
οὐδ' ἀμφιμάτορας κόρους,
ἔριν μὲν οἴκων, δυσμενεῖς τε λύπας.
τὴν μίαν μοι στεργέτω πόσις
γάμοις ἀκοινώνητον ἀνδρὸς εὐνάν.
οὐδὲ γὰρ ἐν πόλεσι δίπτυχοι τυραννίδες (ἀντ. ά.)
μιᾶς ἀμείνονες φέρειν·
ἄχθος τ' ἐπ' ἄχθει καὶ στάσις πολίταις.
τεκτόνοιν θ' ὕμνου συνεργάταιν
δυοῖν ἔριν Μοῦσαι φιλοῦσι κραίνειν·
πνοαὶ δ' ὅταν φέρωσι ναυτίλους θοαὶ, (στ. β'.)
κατὰ πηδαλίων διδύμα πραπίδων γνώμα
σοφῶν τε πλῆθος ἀθρόον ἀσθενέστερον
φαυλοτέρας φρενὸς αὐτοκρατοῦς.

467. ἐριδάς τ' οἴκων Br. 469. ἀνδρός om. Br. 472. τ' om. Br. 473. τεκτόνοιν θ' ὕμνοισιν ἐργάταιν M. ἐργάταιν θ', ὕμνων τε τεκτόνοιν Br. 474. ἔριν κραίνουσι Μοῦσαι Br. 475. πνοιαί.

ἑνὸς [ά] δύνασις ἀνά τε μέλαθρα κατά τε πόλιας
ὁπόταν εὑρεῖν θέλωσι καιρόν.
ἔδειξεν ἡ Λάκαινα τοῦ στρατηλάτα (ἀντ. β'.)
Μενέλα· διὰ γὰρ πυρὸς ἦλθ' ἑτέρῳ λέχει,
κτείνει δὲ τὴν τάλαιναν Ἰλιάδα κόραν
παῖδά τε δύσφρονος ἔριδος ὕπερ.
ἄθεος, ἄνομος, ἄχαρις ὁ φόνος. ἔτι σε, πότνια,
μετατροπὰ τῶνδ' ἔπεισιν ἔργων.
Καὶ μὴν ἐσορῶ τόδε σύγκρατον
ζεῦγος πρὸ δόμων,
ψήφῳ θανάτου κατακεκριμένον.
δύστανε γύναι, τλήμων δὲ σὺ, παῖ,
μητρὸς λεχέων ὃς ὑπερθνήσκεις,
οὐδὲν μετέχων,
οὐδ' αἴτιος ὢν βασιλεῦσιν.

ΑΝΔΡΟΜΑΧΗ.

Ἅδ' ἐγὼ χέρας αἱματη- (στροφὴ γ'.)
ρὰς βρόχοισι κεκλειμένα,
πέμπομαι κατὰ γαίας.

ΜΟΛΟΣΣΟΣ.

Μᾶτερ, μᾶτερ, ἐγὼ δὲ σᾷ
πτέρυγι συγκαταβαίνω.

ΑΝΔΡΟΜΑΧΗ.

Θῦμα δάϊον, ὦ χθονὸς
Φθίας κράντορες!

ΜΟΛΟΣΣΟΣ.

ὦ πάτερ,
μόλε φίλοις ἐπίκουρος.

481. στρατηλάτον. 482. Μενέλαε M. 485. ἄθεός γ'. 499. καὶ θῦμα δ. M. 501. ὦ μόλε.

ΑΝΔΡΟΜΑΧΗ.

Κείσει δὴ, τέκνον, ὦ φίλος,
μαστοῖς ματέρος ἀμφὶ σᾶς
νεκρὸς ὑπὸ χθονὶ σὺν νεκρῷ.

ΜΟΛΟΣΣΟΣ.

ὤ μοί μοι! τί πάθω τάλας
δῆτ᾽ ἐγὼ σύ τε, μᾶτερ!

ΜΕΝΕΛΑΟΣ.

Ἴθ᾽ ὑποχθόνιοι· καὶ γὰρ ἀπ᾽ ἐχθρῶν (στ. δ᾽.)
ἥκετε πύργων· δύο δ᾽ ἐκ δισσαῖν
θνήσκετ᾽ ἀνάγκαιν· σὲ μὲν ἡμετέρα
ψῆφος ἀναιρεῖ, παῖδα δ᾽ ἐμὴ παῖς
τόνδ᾽ Ἑρμιόνη· καὶ γὰρ ἄνοια
μεγάλη λείπειν ἐχθροὺς ἐχθρῶν,
ἐξὸν κτείνειν
καὶ φόβον οἴκων ἀφελέσθαι.

ΑΝΔΡΟΜΑΧΗ.

Ὦ πόσις, πόσις, εἴθε σὰν (ἀντιστρ. γ᾽.)
χεῖρα καὶ δόρυ σύμμαχον
κτησαίμαν, Πριάμου παῖ!

ΜΟΛΟΣΣΟΣ.

δύστανος, τί δ᾽ ἐγὼ μόρου
παράτροπον μέλος εὕρω;

ΑΝΔΡΟΜΑΧΗ.

λίσσου, γούνασι δεσπότου
χρίμπτων, ὦ τέκνον.

ΜΟΛΟΣΣΟΣ.

ὦ φίλος,
φίλος, ἄνες θάνατόν μοι.

504. σὺν νεκρῷ τε. 519. τέλος Br. 520. λίσσου σὺ γ. M. 522. ὦ φίλος.

ΑΝΔΡΟΜΑΧΗ.

λείβομαι δακρύοις κόρας,
στάζω, λισσάδος ὡς πέτρας
λιβὰς ἀνήλιος ἁ τάλαιν᾽.

ΜΟΛΟΣΣΟΣ.

ὤ μοί μοι! τί δ᾽ ἐγὼ κακῶν
μῆχος ἐξανύσωμαι;

ΜΕΝΕΛΑΟΣ.

Τί με προςπίπτεις, ἁλίαν πέτραν (ἀντιστ. δ᾽.)
ἢ κῦμα λιταῖς ὣς ἱκετεύων;
τοῖς γὰρ ἐμοῖσιν γέγον᾽ ὠφέλια,
σοὶ δ᾽ οὐδέν ἔχω φίλτρον, ἐπεί τοι
μέγ᾽ ἀναλώσας ψυχῆς μόριον
Τροίαν εἷλον καὶ μητέρα σήν·
ἧς ἀπολαύων
ᾅδην χθόνιον καταβήσῃ.

ΧΟΡΟΣ.

καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας,
σπουδῇ τιθέντα δεῦρο γηραιὸν πόδα.

ΠΗΛΕΥΣ.

Ὑμᾶς ἐρωτῶ τόν τ᾽ ἐφεστῶτα σφαγῇ,
τί ταῦτα, καὶ πῶς; κἀκ τίνος λόγου νοσεῖ
δόμος; τί πράσσετ᾽ ἄκριτα μηχανώμενοι;
Μενέλα᾽, ἐπίσχες· μὴ τάχυν᾽ ἄνευ δίκης.
ἡγοῦ σὺ θᾶσσον· οὐ γὰρ, ὡς ἔοικέ μοι,
σχολῆς τόδ᾽ ἔργον, ἀλλ᾽ ἀνηβητηρίαν
ῥώμην ἐπαινῶ λαμβάνειν, εἴπερ ποτέ.
πρῶτον μὲν οὖν κατ᾽ οὖρον, ὥςπερ ἱστίοις,
ἐμπνεύσομαι τῇδ᾽· εἰπὲ, τίνι δίκῃ χέρας

527. ἐξανύσαιμ᾽ ἄν. 530. ἐμοῖσι M. 544. ῥώμην μ᾽ ἐπ. Br.

βρόχοισιν ἐκδήσαντες οἵδ᾽ ἄγουσί σε
καὶ παῖδ᾽; ὕπαρνος γάρ τις ὣς ἀπόλλυσαι,
ἡμῶν ἀπόντων τοῦ τε κυρίου σέθεν.

ΑΝΔΡΟΜΑΧΗ.

οἵδ᾽, ὦ γεραιὲ, σὺν τέκνῳ θανουμένην
ἄγουσί μ᾽ οὕτως, ὡς ὁρᾷς. τί σοι λέγω;
οὐ γὰρ μιᾶς σε κληδόνος προθυμίᾳ
μετῆλθον, ἀλλὰ μυρίων ὑπ᾽ ἀγγέλων.
ἔριν δὲ τὴν κατ᾽ οἶκον οἶσθά που κλύων
τῆς τοῦδε θυγατρὸς, ὧν τ᾽ ἀπόλλυμαι χάριν.
καὶ νῦν με βωμοῦ Θέτιδος, ἣ τὸν εὐγενῆ
ἔτικτέ σοι παῖδ᾽, ἣν σὺ θαυμαστὴν σέβεις,
ἄγουσ᾽ ἀποσπάσαντες, οὔτε τῳ δίκῃ
κρίναντες, οὐδὲ τοὺς ἀπόντας ἐκ δόμων
μείναντες, ἀλλὰ τὴν ἐμὴν ἐρημίαν
γνόντες τέκνου τε τοῦδ᾽, ὃν οὐδὲν αἴτιον
μέλλουσι σὺν ἐμοὶ τῇ ταλαιπώρῳ κτενεῖν.
ἀλλ᾽ ἀντιάζω σ᾽, ὦ γέρον, τῶν σῶν πάρος
πιτνοῦσα γονάτων, χειρὶ δ᾽ οὐκ ἔξεστί μοι
τῆς σῆς λαβέσθαι φιλτάτης γενειάδος,
ῥῦσαί με, πρὸς θεῶν· εἰ δὲ μὴ, θανούμεθα,
αἰσχρῶς μὲν ὑμῖν, δυστυχῶς δ᾽ ἐμοὶ, γέρον.

ΠΗΛΕΥΣ.

χαλᾶν κελεύω δεσμὰ, πρὶν κλάειν τινὰ,
καὶ τῆσδε χεῖρας διπτύχους ἀνιέναι.

ΜΕΝΕΛΑΟΣ.

ἐγὼ δ᾽ ἀπαυδῶ γ᾽ ἄλλος οὐχ ἥσσων σέθεν,
καὶ τῆσδε πολλῷ κυριώτερος γεγώς.

562 κτανεῖν Br. 570. ἥττων M.

ΠΗΛΕΥΣ.

πῶς; ἢ τὸν ἀμὸν οἶκον οἰκήσεις μολὼν
δεῦρ᾽; οὐχ ἅλις σοι τῶν κατὰ Σπάρτην κρατεῖν;

ΜΕΝΕΛΑΟΣ.

εἷλόν νιν αἰχμάλωτον ἐκ Τροίας ἐγώ.

ΠΗΛΕΥΣ.

οὑμὸς δέ γ᾽ αὐτὴν ἔλαβε παῖς παιδὸς γέρας.

ΜΕΝΕΛΑΟΣ.

οὔκουν ἐκείνου τἀμὰ, τἀκείνου τ᾽ ἐμά;

ΠΗΛΕΥΣ.

δρᾷν εὖ, κακῶς δ᾽ οὔ, μηδ᾽ ἀποκτείνειν βίᾳ.

ΜΕΝΕΛΑΟΣ.

ὡς τήνδ᾽ ἀπάξεις οὔ ποτ᾽ ἐξ ἐμῆς χερός.

ΠΗΛΕΥΣ.

σκήπτρῳ δὲ τῷδε σὸν καθαιμάξω κάρα.

ΜΕΝΕΛΑΟΣ.

ψαῦσόν γ᾽, ἵν᾽ εἰδῇς, καὶ πέλας πρόσελθέ μου.

ΠΗΛΕΥΣ.

σὺ γὰρ μετ᾽ ἀνδρῶν, ὦ κάκιστε κἀκ κακῶν;
σοί που μέτεστιν, ὡς ἐν ἀνδράσιν, λόγου;
ὅστις πρὸς ἀνδρὸς Φρυγὸς ἀπηλλάγης λέχους,
ἄκληστ᾽, ἄδουλα δώμαθ᾽ ἑστίας λιπὼν,
ὡς δὴ γυναῖκα σώφρον᾽ ἐν δόμοις ἔχων,
πασῶν κακίστην. οὐδ᾽ ἂν, εἰ βούλοιτό τις,
σώφρων γένοιτο Σπαρτιατίδων κόρη,
αἳ ξὺν νέοισιν, ἐξερημοῦσαι δόμους,
γυμνοῖσι μηροῖς καὶ πέπλοις ἀνειμένοις
δρόμους παλαίστρας τ᾽, οὐκ ἀνασχετοὺς ἐμοὶ,
κοινὰς ἔχουσι. κᾆτα θαυμάζειν χρεὼν,

576. οὐκοῦν M.

εἰ μὴ γυναῖκας σώφρονας παιδεύετε;
Ἑλένην ἔρεσθαι χρῆν τάδ᾽, ἥτις ἐκ δόμων,
τὸν σὸν λιποῦσα φίλιον, ἐξεκώμασε
νεανίου μετ᾽ ἀνδρὸς εἰς ἄλλην χθόνα.
κἄπειτ᾽ ἐκείνης οὕνεχ᾽ Ἑλλήνων ὄχλον
τοσόνδ᾽ ἀθροίσας ἤγαγες πρὸς Ἴλιον·
ἣν χρῆν σ᾽ ἀποπτύσαντα μὴ κινεῖν δόρυ,
κακὴν ἐφευρόντ᾽, ἀλλ᾽ ἐᾶν αὐτοῦ μένειν,
μισθόν τε δόντα, μή ποτ᾽ εἰς οἴκους λαβεῖν.
ἀλλ᾽ οὔτι ταύτῃ σὸν φρόνημ᾽ ἐπούρισας·
ψυχὰς δὲ πολλὰς κἀγαθὰς ἀπώλεσας,
παίδων τ᾽ ἄπαιδας γραῦς ἔθηκας ἐν δόμοις,
πολιούς τ᾽ ἀφείλου πατέρας εὐγενῆ τέκνα.
ὧν εἷς ἐγὼ δύστηνος, αὐθέντην δὲ σέ,
μιάστορ᾽ ὥς τιν᾽, εἰσδέδορκ᾽ Ἀχιλλέως.
ὃς οὐδὲ τρωθεὶς ἦλθες ἐκ Τροίας μόνος,
κάλλιστα τεύχη δ᾽ ἐν καλοῖσι σάγμασιν
ὅμοι᾽ ἐκεῖσε δεῦρό τ᾽ ἤγαγες πάλιν·
κἀγὼ μὲν ηὔδων τῷ γαμοῦντι, μήτε σοὶ
κῆδος ξυνάψαι, μήτε δώμασιν λαβεῖν
κακῆς γυναικὸς πῶλον· ἐκφέρουσι γὰρ
μητρῷ᾽ ὀνείδη. τοῦτο καὶ σκοπεῖτέ μοι,
μνηστῆρες, ἐσθλῆς θυγατέρ᾽ ἐκ μητρὸς λαβεῖν.
πρὸς τοῖσδε δ᾽ εἰς ἀδελφὸν οἷ᾽ ἐφύβρισας,
σφάξαι κελεύσας θυγατέρ᾽ εὐηθέστατα;
οὕτως ἔδεισας, μὴ οὐ κακὴν δάμαρτ᾽ ἔχῃς.
ἑλὼν δὲ Τροίαν, — εἶμι γὰρ κἀνταῦθά σοι, —
οὐκ ἔκτανες γυναῖκα, χειρίαν λαβών·
ἀλλ᾽ ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος,

617. ἔχοις Br.

φίλημ᾽ ἐδέξω, προδότιν αἰκάλλων κύνα,
ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιστε σύ.
κἄπειτ᾽ ἐς οἴκους τῶν ἐμῶν ἐλθὼν τέκνων
πορθεῖς ἀπόντων, καὶ γυναῖκα δυστυχῆ
κτείνεις ἀτίμως παῖδά θ᾽, ὃς κλάοντά σε
καὶ τὴν ἐν οἴκοις σὴν καταστήσει κόρην,
κεἰ τρὶς νόθος πέφυκε. πολλάκις δέ τοι
ξηρὰ βαθεῖαν γῆν ἐνίκησε σπορᾷ,
νόθοι τε πολλοὶ γνησίων ἀμείνονες.
ἀλλ᾽ ἐκκομίζου παῖδα. κύδιον βροτοῖς,
πένητα χρηστὸν, ἢ κακὸν καὶ πλούσιον,
γαμβρὸν πεπᾶσθαι καὶ φίλον· σὺ δ᾽ οὐδὲν εἶ.

ΧΟΡΟΣ.

σμικρᾶς ἀπ᾽ ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
γλῶσσ᾽ ἐκπορίζει· τοῦτο δ᾽ οἱ σοφοὶ βροτῶν
ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.

ΜΕΝΕΛΑΟΣ.

τί δῆτ᾽ ἂν εἴποις τοὺς γέροντας, ὡς σοφοὶ,
καὶ τοὺς φρονεῖν δοκοῦντας Ἕλλησίν ποτε;
ὅτ᾽ ὢν σὺ Πηλεὺς, καὶ πατρὸς κλεινοῦ γεγὼς,

* * *

κῆδος ξυνάψας, αἰσχρὰ μὲν σαυτῷ λέγεις,
ἡμῖν δ᾽ ὀνείδη διὰ γυναῖκα βάρβαρον,
ἣν χρῆν σ᾽ ἐλαύνειν τήνδ᾽ ὑπὲρ Νείλου ῥοὰς
ὑπέρ τε Φᾶσιν καὶ πέρα ᾽κβαλεῖν ἀεὶ,
οὖσαν μὲν Ἠπειρῶτιν, οὗ πεσήματα
πλεῖσθ᾽ Ἑλλάδος πέπτωκε δοριπετῆ νεκρῶν,

628. σπορά M. 638. κλεινοῦ, θεοῖς Br. 641. τῆλ᾽ ὑπὲρ Br. 642. κἀμὲ παρακαλεῖν M. καὶ παρεκβαλεῖν Br. 644. δουριπετῆ M.

τοῦ σοῦ τε παιδὸς αἵματος κοινουμένην.
Πάρις γὰρ, ὃς σὸν παῖδ᾽ ἔπεφν᾽ Ἀχιλλέα,
Ἕκτορος ἀδελφὸς ἦν, δάμαρ δ᾽ ἥδ᾽ Ἕκτορος.
καὶ τῇδε γ᾽ εἰςέρχει σὺ ταὐτὸν ἐς στέγος,
καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν βίον,
τίκτειν δ᾽ ἐν οἴκοις παῖδας ἐχθίστους ἐᾷς;
ἁγὼ, προνοίᾳ τῇ τε σῇ κἀμῇ, γέρον,
κτανεῖν θέλων τήνδ᾽ ἐκ χερῶν ἁρπάζομαι.
καίτοι φέρ᾽, — ἅψασθαι γὰρ οὐκ αἰσχρὸν λόγου, —
ἢν παῖς μὲν ἡ ᾽μὴ μὴ τέκῃ, ταύτης δ᾽ ἄπο
βλαστῶσι παῖδες, τῆςδε γῆς Φθιώτιδος
στήσεις τυράννους; βάρβαροι δ᾽ ὄντες γένος
Ἕλλησιν ἄρξουσ᾽; εἶτ᾽ ἐγὼ μὲν οὐ φρονῶ,
μισῶν τὰ μὴ δίκαια, σοὶ δ᾽ ἔνεστι νοῦς;
κἀκεῖνο νῦν ἄθρησον· εἰ σὺ παῖδα σὴν
δούς τῳ πολιτῶν, εἶτ᾽ ἔπασχε τοιάδε,
σιγῇ κάθησ᾽ ἂν; οὐ δοκῶ· ξένης δ᾽ ὕπερ
τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους;
καὶ μὴν ἴσον γ᾽ ἀνήρ τε καὶ γυνὴ σθένει,
ἀδικουμένη πρὸς ἀνδρός· ὡς δ᾽ αὔτως ἀνὴρ,
γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
καὶ τῷ μὲν ἔστιν ἐν χεροῖν μέγα σθένος,
τῇ δ᾽ ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
οὐκοῦν δίκαιον τοῖς ἐμοῖς ἔμ᾽ ὠφελεῖν.
γέρων, γέρων εἶ· τὴν δ᾽ ἐμὴν στρατηγίαν
λέγων ἔμ᾽ ὠφελοῖς ἂν, ἢ σιγῶν, πλέον.
Ἑλένη δ᾽ ἐμόχθησ᾽ οὐχ ἑκοῦσ᾽, ἀλλ᾽ ἐκ θεῶν,

645. τοῦ σοῦ δὲ Br. 650. ἐᾷς. 655. τοῖςδε γ. Br. 668. τοῖς ἐμοῖς ἐπωφ. M.

καὶ τοῦτο πλεῖστον ὠφέλησεν Ἑλλάδα·
ὅπλων γὰρ ὄντες καὶ μάχης ἀΐστορες,
ἔβησαν ἐς τἀνδρεῖον· ἡ δ᾽ ὁμιλία
πάντων βροτοῖσι γίγνεται διδάσκαλος.
εἰ δ᾽ ἐς πρόςοψιν τῆς ἐμῆς ἐλθὼν ἐγὼ
γυναικὸς ἔσχον μὴ κτανεῖν, ἐσωφρόνουν.
οὐδ᾽ ἄν σε Φῶκον ἤθελον κατακτανεῖν.
ταῦτ᾽ εὖ φρονῶν σ᾽ ἐπῆλθον, οὐκ ὀργῆς χάριν·
ἢν δ᾽ ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
μείζων, ἐμοὶ δὲ κέρδος ἡ προμηθία.

ΧΟΡΟΣ.

παύσασθον ἤδη, — λῷστα γὰρ μακρῷ τάδε, —
λόγων ματαίων, μὴ δύο σφαλῆθ᾽ ἅμα.

ΠΗΛΕΥΣ.

οἴ μοι, καθ᾽ Ἑλλάδ᾽ ὡς κακῶς νομίζεται!
ὅταν τροπαῖα πολεμίων στήσῃ στρατὸς,
οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,
ἀλλ᾽ ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται,
ὃς εἷς μετ᾽ ἄλλων μυρίων πάλλων δόρυ,
οὐδὲν πλέον δρῶν ἑνὸς, ἔχει πλείω λόγον.
σεμνοὶ δ᾽ ἐν ἀρχαῖς ἥμενοι κατὰ πτόλιν,
φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες·
οἱ δ᾽ εἰσὶν αὐτῶν μυρίῳ σοφώτεροι,
εἰ τόλμα προσγένοιτο βούλησίς θ᾽ ἅμα.
ὡς καὶ σὺ σός τ᾽ ἀδελφὸς ἐξωγκωμένοι
Τροίᾳ κάθησθε τῇ τ᾽ ἐκεῖ στρατηγίᾳ,
μόχθοισιν ἄλλων καὶ πόνοις ἐπηρμένοι.
δείξω δ᾽ ἐγώ σοι μὴ τὸν Ἰδαῖον Πάριν
μείζω νομίζειν Πηλέως ἐχθρόν ποτε,
εἰ μὴ φθερεῖ τῆςδ᾽ ὡς τάχιστ᾽ ἀπὸ στέγης

καὶ παῖς ἄτεκνος, ἣν ὅδ᾽ ἐξ ἡμῶν γεγὼς
ἐλᾷ δι᾽ οἴκων τήνδ᾽ ἐπισπάσας κόμης·
ἢ στεῖρος οὖσα μόσχος οὐκ ἀνέξεται
τίκτοντας ἄλλους, οὐκ ἔχουσ᾽ αὐτὴ τέκνα.
ἀλλ᾽ εἰ τὸ κείνης δυστυχεῖ παίδων πέρι,
ἄπαιδας ἡμᾶς δεῖ καταστῆναι τέκνων;
φθείρεσθε τῆσδε, δμῶες, ὡς ἂν ἐκμάθω,
εἴ τίς με λύειν τῆσδε κωλύσει χέρας.
ἔπαιρε σαυτήν· ὡς ἐγὼ, καίπερ τρέμων,
πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι.
ὧδ᾽, ὦ κάκιστε, τῆσδ᾽ ἐλυμήνω χέρας;
βοῦν ἢ λέοντ᾽ ἤλπιζες ἐντείνειν βρόχοις;
ἢ μὴ ξίφος λαβοῦσ᾽ ἀμυνάθοιτό σε,
ἔδεισας; ἕρπε δεῦρ᾽ ὑπ᾽ ἀγκάλας, βρέφος,
ξύλλυε δεσμὰ μητρός· ἐν Φθίᾳ σ᾽ ἐγὼ
θρέψω μέγαν τοῖσδ᾽ ἐχθρόν. εἰ δ᾽ ἀπῆν δορὸς
τοῖς Σπαρτιάταις δόξα καὶ μάχης ἀγὼν,
τἄλλ᾽ ὄντες ἴστε μηδενὸς βελτίονες.

ΧΟΡΟΣ.

ἀνειμένον τι χρῆμα πρεσβυτῶν ἔφυ
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.

ΜΕΝΕΛΑΟΣ.

ἄγαν προνωπὴς ἐς τὸ λοιδορεῖν φέρει·
ἐγὼ δὲ πρὸς βίαν μὲν, ἐς Φθίαν μολὼν,
οὔτ᾽ οὖν τι δράσω φλαῦρον, οὔτε πείσομαι.
καὶ νῦν μέν, — οὐ γὰρ ἄφθονον σχολὴν ἔχω, —
ἄπειμ᾽ ἐς οἴκους· ἔστι γάρ τις οὐ πρόσω
Σπάρτης πόλις τις, ἣ προτοῦ μὲν ἦν φίλη,
νῦν δ᾽ ἐχθρὰ ποιεῖ· τήνδ᾽ ἐπεξελθεῖν θέλω

700. χ᾽ ἡ παῖς ἄτ. Br. 701. οἴκων τῶνδ᾽ Br. 718. πρ. γένος.

στρατηλατήσας χὐποχείριον λαβεῖν.
ὅταν δὲ τἀκεῖ θῶ κατὰ γνώμην ἐμὴν,
ἥξω. παρὼν δὲ πρὸς παρόντας ἐμφανῶς
γαμβροὺς διδάξω καὶ διδάξομαι λόγους.
κἂν μὲν κολάζῃ τήνδε, καὶ τολοιπὸν ᾖ
σώφρων καθ᾽ ἡμᾶς, σώφρον᾽ ἀντιλήψεται·
θυμούμενος δὲ, τεύξεται θυμουμένων,
ἔργοισι δ᾽ ἔργα διάδοχ᾽ ἀντιλήψεται.
τοὺς σοὺς δὲ μύθους ῥᾳδίως ἐγὼ φέρω·
σκιὰ γὰρ ἀντίστοιχος ὣς φωνὴν ἔχεις,
ἀδύνατος οὐδὲν ἄλλο, πλὴν λέγειν μόνον.

ΠΗΛΕΥΣ.

ἡγοῦ, τέκνον, μοι δεῦρ᾽, ὑπ᾽ ἀγκάλαις σταθεὶς,
σύ τ᾽, ὦ τάλαινα· χείματος γὰρ ἀγρίου
τυχοῦσα λιμένας ἦλθες εἰς εὐηνέμους.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ πρέσβυ, θεοί σοι δοῖεν εὖ καὶ τοῖσι σοῖς,
σώσαντι παῖδα κἀμὲ τὴν δυσδαίμονα.
ὅρα δὲ, μὴ νῷν εἰς ἐρημίαν ὁδοῦ
πτήξαντες οἵδε πρὸς βίαν ἄγωσί με,
γέροντα μὲν σ᾽ ὁρῶντες, ἀσθενῆ δ᾽ ἐμὲ,
καὶ παῖδα τόνδε νήπιον· σκόπει τάδε,
μὴ νῦν φυγόντες εἶθ᾽ ἁλῶμεν ὕστερον.

ΠΗΛΕΥΣ.

οὐ μὴ γυναικῶν δειλὸν εἰσοίσεις λόγον.
χώρει. τίς ἡμῶν ἅψεται; κλάων ἄρα
ψαύσει. θεῶν γὰρ οὕνεχ᾽, ἱππικοῦ τ᾽ ὄχλου
πολλῶν θ᾽ ὁπλιτῶν ἄρχομεν Φθίαν κάτα·

736. σκιᾷ M. 739. χείμ. μὲν ἀγρ. Br. 743. μὴ νῷν M.
749. ὑμῶν. 750. θεοῦ M.

ἡμεῖς δ' ἔτ' ὀρθοὶ, κοὐ γέροντες, ὡς δοκεῖς,
ἀλλ' ἔς γε τοιόνδ' ἄνδρ' ἀποβλέψας μόνον,
τροπαῖον αὐτοῦ στήσομαι, πρέσβυς περ ὤν.
πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ
κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;

ΧΟΡΟΣ.

Ἢ μὴ γενοίμαν, ἢ πατέρων ἀγαθῶν (στροφή.)
εἴην πολυκτήτων τε δόμων μέτοχος·
εἴ τι γὰρ ἂν πάσχοι τις ἀμήχανον,
ἀλκᾶς οὐ σπάνις εὐγενέταις·
κηρυσσομένοισι δ' ἀπ' ἐσθλῶν δωμάτων
τιμὰ καὶ κλέος.
οὔτοι λείψανα τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ' ἀρετὰ
καὶ θανοῦσι λάμπει.
κρεῖσσον δὲ νίκαν μὴ κακόδοξον ἔχειν, (ἀντιστ.)
ἢ ξὺν φθόνῳ σφάλλειν δυνάμει τε δίκαν.
ἡδὺ μὲν αὐτίκα τοῦτο βροτοῖσιν,
ἐν δὲ χρόνῳ τελέθει ξηρὸν,
καὶ μὴν καὶ ὀνείδεσιν ἔγκειται δόμων.
ταύταν ᾔνεσα,
ταύταν καὶ φέρομαι βιοτὰν,
μηδὲν δίκας ἔξω κράτος ἐν θαλάμοις
καὶ πόλει δύνασθαι.
Ὦ γέρον Αἰακίδα, (ἐπῳδός.)
πείθομαι καὶ σὺν Λαπίθαισί σε Κενταύ-
ρων ὁμιλῆσαι δορὶ κλεινοτάτῳ,

761. κηρυσσομένων M. κ—μένοις Br. 765. κἂν θ'. Br. 770. ὄνειδος ἄγκειται Br. 776. Λαπίθαις Br. 776. 7. Κενταύροις Br.

καὶ ἐπ' Ἀργῴου δορὸς Ἄξεινον ὑγρὰν
ἐκπερᾶσαι ποντίαν Ξυμπληγάδα
κλεινὰν ἐπὶ ναυστολίαν,
Ἰλιάδα τε πόλιν ὅτε πάρος
εὐδόκιμος [ὁ] Διὸς ἶνις
ἀμφέβαλεν φόνῳ,
κοινὰν τὰν εὔκλειαν ἔχοντ'
Εὐρώπαν ἀφικέσθαι.

ΤΡΟΦΟΣ.

Ὦ φίλταται γυναῖκες, ὡς κακὸν κακῷ
διάδοχον ἐν τῇδ' ἡμέρᾳ πορσύνεται!
δέσποινα γὰρ κατ' οἶκον, Ἑρμιόνην λέγω,
πατρός τ' ἐρημωθεῖσα συννοίᾳ θ' ἅμα,
οἷον δέδρακεν ἔργον, Ἀνδρομάχην κτανεῖν
καὶ παῖδα βουλεύσασα, κατθανεῖν θέλει,
πόσιν τρέμουσα, μὴ 'ντὶ τῶν δεδραμένων
ἐκ τῶνδ' ἀτίμως δωμάτων ἀποσταλῇ,
ἢ κατθάνῃ, κτείνασα τοὺς οὐ χρὴ θανεῖν.
μόλις δέ νιν, θέλουσαν ἀρτῆσαι δέρην,
εἴργουσι φύλακες δμῶες, ἔκ τε δεξιᾶς
ξίφη καθαρπάζουσιν ἐξαιρούμενοι.
οὕτω μέγ' ἀλγεῖ, καὶ τὰ πρὶν δεδραμένα
ἔγνωκε πράξασ' οὐ καλῶς. ἐγὼ μὲν οὖν
δέσποιναν εἴργουσ' ἀγχόνης κάμνω, φίλαι·
ὑμεῖς δὲ βᾶσαι τῶνδε δωμάτων ἔσω,
θανάτου νιν ἐκλύσασθε· τῶν γὰρ ἠθάδων
φίλων νέοι μολόντες εὐπειθέστεροι.

ΧΟΡΟΣ.

καὶ μὴν ἐν οἴκοις προσπόλων ἀκούομεν

786. ΘΕΡΑΠ. 794. κτείνουσα — κτανεῖν Br.

βοὴν, ἐφ' οἷσιν ἦλθες ἀγγέλλουσα σύ.
δείξειν δ' ἔοικεν ἡ τάλαιν', ὅσον στένει
πράξασα δεινά· δωμάτων γὰρ ἐκπερᾷ,
φεύγουσα χεῖρας προςπόλων, πόθῳ θανεῖν.

ΕΡΜΙΟΝΗ.

Ἰώ μοί μοι!
σπάραγμα κόμας ὀνύχων τε δάϊ' ἀ-
μύγματα θήσομαι.

ΤΡΟΦΟΣ.

ὦ παῖ, τί δράσεις; σῶμα σὸν καταικιεῖ;

ΕΡΜΙΟΝΗ.

αἶ αἶ αἶ αἶ!
ἔῤῥ' αἰθέριον πλοκάμων ἐμῶν ἄπο,
λεπτόμιτον φάρος.

ΤΡΟΦΟΣ.

τέκνον, κάλυπτε στέρνα, σύνδησαι πέπλοις.

ΕΡΜΙΟΝΗ.

τί δέ με δεῖ καλύπτειν πέπλοις στέρνα;
δῆλα καὶ ἀμφιφανῆ καὶ ἄκρυπτα δε-
δράκαμεν πόσιν.

ΤΡΟΦΟΣ.

ἀλγεῖς, φόνον ῥάψασα συγγάμῳ σεθεν;

ΕΡΜΙΟΝΗ.

κατὰ μὲν οὖν στένω δαΐας τόλμας,
ἃν ἔρεξ' ὦ κατάρατος ἐγὼ, κατα-
ρατος ἀνδράσιν.

ΤΡΟΦΟΣ.

συγγνώσεταί σοι τήνδ' ἁμαρτίαν πόσις.

817. τί δ' ἐμὲ δεῖ στέρνα καλ. πέπλοις; Br. 823. κατά ἀνθρώποις. Br. 824. τὴν ἁμ. Br.

ΕΡΜΙΟΝΗ.

τί μοι ξίφος ἐκ χειρὸς ἠγρεύσω;
ἀπόδος, ὦ φίλη, ἀπόδος, ἵν' ἀνταίαν
ἐρείσω πλαγάν· τί με βρόχων εἴργεις;

ΤΡΟΦΟΣ.

ἀλλ' εἴ σ' ἀφείην μὴ φρονοῦσαν, ὡς θάνοις —

ΕΡΜΙΟΝΗ.

οἴμοι πότμου! ποῦ μοι πυρὸς φίλα φλόξ;
ποῦ δ' εἰς πέτρας ἀερ-
θῶ κατὰ πόντον ἢ καθ' ὕλαν ὀρέων,
ἵνα θανοῦσα νερτέροισιν μέλω;

ΤΡΟΦΟΣ.

τί ταῦτα μοχθεῖς; συμφοραὶ θεήλατοι
πᾶσιν βροτοῖσιν ἢ τότ' ἦλθον, ἢ τότε.

ΕΡΜΙΟΝΗ.

Ἔλιπες, ἔλιπες, ὦ πάτερ, μ' ἐπακτίαν
ὡςεὶ μονάδ' ἔρημον οὖσαν
ἐναλίου κώπας.
ὀλεῖ μ', ὀλεῖ με [δηλαδὴ πόσις.]
οὐκέτι τᾷδ' ἐνοικήσω
νυμφιδίῳ στέγᾳ.
τίνος ἀγαλμάτων ἱκέτις ὁρμάθω;
ἢ δούλα δούλας γούνασι προςπέσω
Φθιάδος ἐκ γᾶς;
κυανόπτερος ὄρνις εἴθ' εἴην,

825. τὸ ξίφος ἐκ χερός Br. 828. ἀλλ' ἤ σ' ἀφ. M. ἀλλ' ἤ σ' ἀφ. Br. 832. νερτέροισι. 835. μ' om. M. 838. δηλαδὴ πόσις om. M. 841. ὁρμαθῶ Br. 842. δούλα δούλοις M. γόνασι Br. 843. Ἀσιάδος ἐκ γ. Br.

ἢ πευκᾶεν σκάφος, ἃ
διὰ Κυανέας ἐπέρασεν ἀκτὰς
πρωτόπλοος πλάτα.

ΤΡΟΦΟΣ.

ὦ παῖ, τὸ λίαν οὔτ᾽ ἐκεῖν᾽ ἐπῄνεσα,
ὅτ᾽ ἐς γυναῖκα Τρῳάδ᾽ ἐξημάρτανες,
οὔτ᾽ αὖ τὸ νῦν σου δεῖμ᾽, ὃ δειμαίνεις ἄγαν.
οὐχ ὧδε κῆδος σὸν διώσεται πόσις,
φαύλοις γυναικὸς βαρβάρου πεισθεὶς λόγοις.
οὐ γάρ τί σ᾽ αἰχμάλωτον ἐκ Τροίας ἔχει,
ἀλλ᾽ ἀνδρὸς ἐσθλοῦ παῖδα, σὺν πολλοῖς λαβὼν
ἕδνοισι, πόλεώς τ᾽ οὐ μέσως εὐδαίμονος.
πατὴρ δέ σ᾽ οὐχ ὧδ᾽, ὡς σὺ δειμαίνεις, τέκνον,
προδοὺς ἐάσει δωμάτων τῶνδ᾽ ἐκπεσεῖν.
ἀλλ᾽ εἴσιθ᾽ εἴσω, μηδὲ φαντάζου δόμων
πάροιθε τῶνδε, μή τιν᾽ αἰσχύνην λάβῃς,
πρόσθεν μελάθρων τῶνδ᾽ ὁρωμένη, τέκνον.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ᾽ ἀλλόχρως τις ἔκδημος ξένος
σπουδῇ πρὸς ἡμᾶς βημάτων πορεύεται.

ΟΡΕΣΤΗΣ.

ξέναι γυναῖκες, ἦ τάδ᾽ ἔστ᾽ Ἀχιλλέως
παιδὸς μέλαθρα καὶ τυραννικαὶ στέγαι;

ΧΟΡΟΣ.

ἔγνως· ἀτὰρ τίς ὢν γε πυνθάνει τάδε;

ΟΡΕΣΤΗΣ.

Ἀγαμέμνονός τε καὶ Κλυταιμνήστρας τόκος,
ὄνομα δ᾽ Ὀρέστης· ἔρχομαι δὲ πρὸς Διὸς

846. ἐπέρασ᾽ M. 847. πρωτόπλους M. 860. μελάθρων ὧδ᾽ Br. 862. δωμάτων.

μαντεῖα Δωδωναῖ᾽. ἐπεὶ δ᾽ ἀφικόμην
Φθίαν, δοκεῖ μοι ξυγγενοῦς μαθεῖν πέρι
γυναικός, εἰ ζῇ κεὐτυχοῦσα τυγχάνει
ἡ Σπαρτιᾶτις Ἑρμιόνη· τηλουρὰ γὰρ
ναίουσ᾽ ἀφ᾽ ἡμῶν πεδί᾽ ὅμως ἐστὶν φίλη.

ΕΡΜΙΟΝΗ.

ὦ ναυτίλοισι χείματος λιμὴν φανείς,
Ἀγαμέμνονος παῖ, πρός σε τῶνδε γουνάτων,
οἴκτειρον ἡμᾶς, ὧν ἐπισκοπεῖς τύχας,
πράσσοντας οὐκ εὖ. στεμμάτων δ᾽ οὐχ ἥσσονας
σοῖς προστίθημι γόνασιν ὠλένας ἐμάς.

ΟΡΕΣΤΗΣ.

(ἔα) τί χρῆμα; μῶν ἐσφάλμεθ᾽, ἢ σαφῶς ὁρῶ
δόμων ἄνασσαν τήνδε Μενέλεω κόρην;

ΕΡΜΙΟΝΗ.

ἥνπερ μόνην γε Τυνδαρὶς τίκτει κόρη
Ἑλένη κατ᾽ οἴκους πατρί· μηδὲν ἀγνόει.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβ᾽ ἀκέστωρ, πημάτων δοίης λύσιν!
τί χρῆμα; πρὸς θεῶν ἢ βροτῶν πάσχεις κακά;

ΕΡΜΙΟΝΗ.

τὰ μὲν πρὸς ἡμῶν, τὰ δὲ πρὸς ἀνδρὸς, ὅς μ᾽ ἔχει,
τὰ δ᾽ ἐκ θεῶν του. πανταχῇ δ᾽ ὀλώλαμεν.

ΟΡΕΣΤΗΣ.

τίς οὖν ἂν εἴη, μὴ πεφυκότων γέ πω
παίδων, γυναικὶ συμφορὰ, πλὴν ἐς λέχος;

ΕΡΜΙΟΝΗ.

τοῦτ᾽ αὐτὸ καὶ νοσοῦμεν· εὖ μ᾽ ὑπηγάγου.

873. ΘΕΡ. M. 879. ἄν. τῶνδε Br.

ΟΡΕΣΤΗΣ.

ἄλλην τιν᾽ εὐνὴν ἀντὶ σοῦ στέργει πόσις;

ΕΡΜΙΟΝΗ.

τὴν αἰχμάλωτον, Ἕκτορος ξυνευνέτιν.

ΟΡΕΣΤΗΣ.

κακόν γ᾽ ἔλεξας, [ἕν᾽] ἄνδρα δίσσ᾽ ἔχειν λέχη.

ΕΡΜΙΟΝΗ.

τοιαῦτα ταῦτα. κᾆτ᾽ ἔγωγ᾽ ἠμυνάμην.

ΟΡΕΣΤΗΣ.

μῶν ἐς γυναῖκ᾽ ἔῤῥαψας, οἷα δὴ γυνή;

ΕΡΜΙΟΝΗ.

φόνον γ᾽ ἐκείνῃ καὶ τέκνῳ νοθαγενεῖ.

ΟΡΕΣΤΗΣ.

κἄκτεινας, ἤ τις ξυμφορά σ᾽ ἀφείλετο;

ΕΡΜΙΟΝΗ.

γέρων γε Πηλεὺς, τοὺς κακίονας σέβων.

ΟΡΕΣΤΗΣ.

σοὶ δ᾽ ἦν τις ὅςτις τοῦδ᾽ ἐκοινώνει φόνου;

ΕΡΜΙΟΝΗ.

πατήρ γ᾽ ἐπ᾽ αὐτὸ τοῦτ᾽ ἀπὸ Σπάρτης μολών.

ΟΡΕΣΤΗΣ.

κἄπειτα τοῦ γέροντος ἡσσήθη χερί;

ΕΡΜΙΟΝΗ.

αἰδοῖ γε· καί μ᾽ ἔρημον οἴχεται λιπών.

ΟΡΕΣΤΗΣ.

ξυνῆκα· ταρβεῖς τοῖς δεδραμένοις πόσιν.

ΕΡΜΙΟΝΗ.

ἔγνως· ὀλεῖ γάρ μ᾽ ἐνδίκως. τί δεῖ λέγειν;
ἀλλ᾽ ἄντομαί σε, Δία καλοῦσ᾽ Ὁμόγνιον,

891. ἕν᾽ om. Br. 899. ἡττήθη M.

πέμψον με χώρας τῆςδ᾽ οποι προσωτάτω,
ἢ πρὸς πατρῷον μέλαθρον· ὡς δοκοῦσί μοι
δόμοι γ᾽ ἐλαύνειν, φθέγμ᾽ ἔχοντες, οἵδε με,
μισεῖ τε γαῖα Φθιάς· εἰ δ᾽ ἥξει πάρος,
Φοίβου λιπὼν μαντεῖον, ἐς δόμους πόσις,
κτενεῖ μ᾽ ἐπ᾽ αἰσχίστοισιν, ἢ δουλεύσομεν
νόθοισι λέκτροις, ὧν ἐδέσποζον προτοῦ.

ΟΡΕΣΤΗΣ.

πῶς οὖν τάδ᾽, ὡς εἴποι τις, ἐξημάρτανες;

ΕΡΜΙΟΝΗ.

κακῶν γυναικῶν εἴςοδοί μ᾽ ἀπώλεσαν,
αἵ μοι λέγουσαι τούςδ᾽ ἐχαύνωσαν λόγους·
Σὺ τὴν κακίστην αἰχμάλωτον ἐν δόμοις
δούλην ἀνέξει σοὶ λέχους κοινουμένην;
μὰ τὴν ἄνασσαν, οὐκ ἂν ἔν γ᾽ ἐμοῖς δόμοις
βλέπουσ᾽ ἂν αὐγὰς τἄμ᾽ ἐκαρποῦτ᾽ ἂν λέχη.
κἀγὼ κλύουσα τούςδε Σειρήνων λόγους,
σοφῶν, πανούργων, ποικίλων λαλημάτων,
ἐξηνεμώθην μωρίᾳ. τί γάρ μ᾽ ἐχρῆν
πόσιν φυλάσσειν, ᾗ παρῆν, ὅσων ἔδει,
πολὺς μὲν ὄλβος, δωμάτων δ᾽ ἠνάσσομεν;
παῖδας δ᾽ ἐγὼ μὲν γνησίους ἔτικτον ἄν,
ἡ δ᾽ ἡμιδούλους τοῖς ἐμοῖς, νοθαγενεῖς.
ἀλλ᾽ οὔποτ᾽, οὔποτ᾽,—οὐ γὰρ εἰςάπαξ ἐρῶ,—
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἐστὶν γυνὴ,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον ἐςφοιτᾷν ἐᾷν
γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν·
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος,
ἡ δ᾽ ἀμπλακοῦσα συννοσεῖν αὑτῇ θέλει,

905. δοκοῦσί γε Br. 907. Φθίας M.

πολλαὶ δὲ μαργότητι. κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ' εὖ φυλάσσετε
κλήθροισι καὶ μοχλοῖσι δωμάτων πύλας·
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴςοδοι
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

ΧΟΡΟΣ.

ἄγαν ἐφῆκας γλῶσσαν ἐς τὸ σύμφυτον.
ξυγγνωστὰ μέν νυν σοὶ τάδ', ἀλλ' ὅμως χρεὼν
κοσμεῖν γυναῖκας τὰς γυναικείους νόσους.

ΟΡΕΣΤΗΣ.

σοφόν τι χρῆμα τοῦ διδάξαντος βροτοὺς,
λόγους ἀκούειν τῶν ἐναντίων πάρα·
ἐγὼ γὰρ εἰδὼς τῶνδε σύγχυσιν δόμων
ἔριν τε τὴν σὴν καὶ γυναικὸς Ἕκτορος,
φυλακὰς ἔχων ἔμιμνον, εἴτ' αὐτοῦ μενεῖς,
εἴτ' ἐκφοβηθεῖσ' αἰχμαλωτίδος φόβῳ
γυναικὸς οἴκων τῶνδ' ἀπηλλάχθαι θέλεις.
ἦλθον δὲ, σὰς μὲν οὐ σέβων ἐπιστολὰς,
εἰ δ' ἐνδιδοίης, ὥςπερ ἐνδίδως, λόγους,
πέμψων σ' ἀπ' οἴκων τῶνδ'. ἐμὴ γὰρ οὖσα πρὶν
σὺν τῷδε ναίεις ἀνδρὶ σοῦ πατρὸς κάκῃ,
ὃς, πρὶν τὰ Τροίας ἐςβαλεῖν ὁρίσματα,
γυναῖκ' ἐμοὶ δοὺς σ' εἶθ' ὑπέσχεθ' ὕστερον
τῷ νῦν σ' ἔχοντι, Τρῳάδ' εἰ πέρσοι πόλιν.
ἐπεὶ δ' Ἀχιλλέως δεῦρ' ἐνόστησεν γόνος,
σῷ μὲν συνέγνων πατρὶ, τὸν δ' ἐλισσόμην
γάμους ἀφεῖναι σοὺς, ἐμὰς λέγων τύχας

936. ἄγαν γ' ἐφ'. M. 837. μὲν οὖν M. 943. οὐ μίμνον Br. 946. τὰς σὰς οὐ μένων ἐπιστ. M. 947. λόγοις Br. 948. πέμψω M. 951. σ' om. M. ἐμοί σε δοὺς ὑπέσχ. Br.

καὶ τὸν παρόντα δαίμον', ὡς φίλων μὲν ἂν
γήμαιμ' ἀπ' ἀνδρῶν, ἔκτοθεν δ' οὐ ῥᾴδιον,
φεύγων ἀπ' οἴκων, ἃς ἐγὼ φεύγω φυγάς.
ὁ δ' ἦν ὑβριστὴς ἔς τ' ἐμῆς μητρὸς φόνον
τάς θ' αἱματωποὺς θεὰς ὀνειδίζων ἐμοί.
κἀγὼ ταπεινὸς ὢν τύχαις ταῖς οἴκοθεν
ἤλγουν μὲν, ἤλγουν, ξυμφοραῖς δ' ἠνειχόμην,
σῶν δὲ στερηθεὶς ᾠχόμην ἄκων γάμων.
νῦν οὖν, ἐπειδὴ περιπετεῖς ἔχεις τύχας,
καὶ ξυμφορὰν τήνδ' ἐςπεσοῦσ' ἀμηχανεῖς,
ἄξω σ' ἀπ' οἴκων καὶ πατρὸς δώσω χερί.
τὸ συγγενὲς γὰρ δεινὸν, ἔν τε τοῖς κακοῖς
οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.

ΕΡΜΙΟΝΗ.

νυμφευμάτων μὲν τῶν ἐμῶν πατὴρ ἐμὸς
μέριμναν ἕξει, κοὐκ ἐμὸν κρίνειν τάδε.
ἀλλ' ὡς τάχιστα τῶνδέ μ' ἔκπεμψον δόμων,
μὴ φθῇ με προςβὰς δῶμα καὶ μολὼν πόσις,
ἢ παιδὸς οἴκους μ' ἐξερημοῦσαν μαθὼν
Πηλεὺς μετέλθῃ πωλικοῖς διώγμασιν.

ΟΡΕΣΤΗΣ.

θάρσει γέροντος χεῖρα· τὸν δ' Ἀχιλλέως
μηδὲν φοβηθῇς παῖδ', ὅσ' εἰς ἔμ' ὕβρισεν.
τοία γὰρ αὐτῷ μηχανὴ πεπλεγμένη
βρόχοις ἀκινήτοισιν ἕστηκεν φόνου
πρὸς τῆςδε χειρὸς, ἣν πάρος μὲν οὐκ ἐρῶ,
τελουμένων δὲ, Δελφὶς εἴσεται πέτρα.
ὁ μητροφόντης δ', ἢν δορυξένων ἐμῶν
μείνωσιν ὅρκοι Πυθικὴν ἀνὰ χθόνα,

957. οὐ ῥαδίως Br. 976. ὃς εἰς ἔμ'.

δείξει γαμεῖν σφε μηδέν', ὧν ἐχρῆν ἐμέ.
πικρῶς δὲ πατρὸς φόνιον αἰτήσει δίκην
ἄνακτα Φοῖβον· οὐδέ νιν μετάστασις
γνώμης ὀνήσει, θεῷ διδόντα νῦν δίκας.
ἀλλ' ἔκ τ' ἐκείνου διαβολαῖς τε ταῖς ἐμαῖς
κακῶς ὀλεῖται· γνώσεται δ' ἔχθραν ἐμήν.
ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν εἰς ἀναστροφὴν
δαίμων δίδωσι, κοὐκ ἐᾷ φρονεῖν μέγα.

ΧΟΡΟΣ.

Ὦ Φοῖβ' ὁ πυργώσας τὸν ἐν Ἰλίῳ (στρ. ά.)
εὐτείχη πάγον, καὶ Πόντιε,
κυανέαις ἵπποις διφρεύων
ἅλιον πέλαγος, τίνος οὕνεκ' ἄτιμον ὀργά-
ναν χέρα τεκτοσύνας
Ἐνυαλίῳ δοριμήστορι προςθέντες
τάλαιναν, τάλαιναν μεθεῖτε Τροίαν;
πλείστους δ' ἐπ' ἀκταῖσιν Σιμοεντίσιν (ἀντιστρ. ά.)
εὐίππους ὄχους ἐζεύξατε
καὶ φονίους ἀνδρῶν ἁμίλλας
ἔθετ' ἀστεφάνους· ἀπὸ δὲ φθίμενοι βεβᾶσιν
Ἰλιάδαι βασιλῆς·
οὐδ' ἔτι πῦρ ἐπιβώμιον ἐν Τροίᾳ
θεοῖσιν λέλαμπεν καπνῷ θυώδει.
βέβακε δ' Ἀτρείδας ἀλόχου παλάμαις· (στρ. β'.)
αὐτά τ' ἐναλλάξασα φόνον θανάτῳ
πρὸς τέκνων ἀπηύρα·
θεοῦ, θεοῦ νιν κέλευσμ' ἐπεστράφη
μαντόσυνον ὅ τε νῦν

983. μηδὲν. 997. τάλαιναν μεθεῖτε, τάλ. Τρ. M. 1009. ὅτε νιν M.

Ἀργόθεν πορευθεὶς
Ἀγαμεμνόνιος κέλωρ
ἀδύτων ἐπιβὰς κτεάνων, ματρὸς φονεύς.
ὦ δαῖμον, ὦ Φοῖβε, πῶς πείθομαι;
πολλαὶ δ' ἂν Ἑλλάνων ἀχόρους στοναχὰς (ἀντ. β'.)
μέλποντο δυστάνων τεκέων ἄλοχοι·
ἐκ δ' ἔλειπον οἴκους
πρὸς ἄλλον εὐνάτορ'· οὐχὶ σοὶ μόνᾳ
δύςφρονες ἐπέπεσον,
οὐ φίλοισι, λῦπαι·
νόσον Ἑλλὰς ἔτλα, νόσον·
διέβα δὲ Φρυγῶν καὶ πρὸς εὐκάρπους γύας
σκηπτὸς σταλάσσων τὸν ἀΐδα φόνον.

ΠΗΛΕΥΣ.

Φθιώτιδες γυναῖκες, ἱστοροῦντί μοι
σημήνατ'· ᾐσθόμην γὰρ οὐ σαφῆ λόγον,
ὡς δώματ' ἐκλιποῦσα Μενέλεω κόρη
φρούδη τάδ'· ἥκω δ' ἐκμαθεῖν σπουδὴν ἔχων,
εἰ ταῦτ' ἀληθῆ· τῶν γὰρ ἐκδήμων φίλων
δεῖ τοὺς κατ' οἶκον ὄντας ἐκπονεῖν τύχας.

ΧΟΡΟΣ.

Πηλεῦ, σαφῶς ἤκουσας· οὐδ' ἐμοὶ καλὸν
κρύπτειν, ἐν οἷςπερ οὖσα τυγχάνω κακοῖς·
βασίλεια γὰρ τῶνδ' οἴχεται φυγὰς δόμων.

ΠΗΛΕΥΣ.

τίνος φόβου τυχοῦσα; διαπέραινέ μοι.

1011. Ἀγαμεμνόνειος. 1012. πολυκτεάνων ἐπιβὰς κτεάνων Br. 1014. ἀν' Ἑλλ. Br. ἀγόρους. 1015. τοκέων Br. 1016. ἔκ τ' ἔλ. Br. 1021. διέβα δὲ καὶ Πέλοπος πρὸς Br. 1022. τὸν deest.

ΧΟΡΟΣ.

πόσιν τρέμουσα, μὴ δόμων νιν ἐκβάλῃ.

ΠΗΛΕΥΣ.

μῶν ἀντὶ παιδὸς θανασίμων βουλευμάτων;

ΧΟΡΟΣ.

ναὶ, καὶ γυναικὸς αἰχμαλωτίδος φόβῳ.

ΠΗΛΕΥΣ.

ξὺν πατρὶ δ' οἴκους, ἢ τίνος λείπει μέτα;

ΧΟΡΟΣ.

Ἀγαμέμνονός νιν παῖς βέβηκ' ἄγων χθονός.

ΠΗΛΕΥΣ.

ποίαν περαίνων ἐλπίδ'; ἦ γῆμαι θέλων;

ΧΟΡΟΣ.

καὶ σοῦ γε παιδὸς παιδὶ πορσύνων μόρον.

ΠΗΛΕΥΣ.

κρυπτὸς καταστὰς, ἢ κατ' ὄμμ' ἐλθὼν μάχῃ;

ΧΟΡΟΣ.

ἁγνοῖς ἐν ἱεροῖς Λοξίου Δελφῶν μέτα.

ΠΗΛΕΥΣ.

οἴ μοι· τόδ' ἤδη δεινόν. οὐχ ὅσον τάχος
χωρήσεταί τις Πυθικὴν πρὸς ἑστίαν,
καὶ τἀνθάδ' ὄντα τοῖς ἐκεῖ λέξει φίλοις,
πρὶν παῖδ' Ἀχιλλέως κατθανεῖν ἐχθρῶν ὕπο;

ΑΓΓΕΛΟΣ.

ἰώ μοί μοι.
οἵας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας
σοί τ', ὦ γεραιὲ, καὶ φίλοισι δεσπότου.

ΠΗΛΕΥΣ.

αἶ, αἶ· πρόμαντις θυμὸς, ὥς τι προσδοκῶν.

1049. προσδοκᾷ.

ΑΓΓΕΛΟΣ.

οὐκ ἔστι σοι παῖς παιδὸς, ὡς μάθῃς, γέρον
Πηλεῦ· τοιάσδε φασγάνων πληγὰς ἔχει
Δελφῶν ὑπ' ἀνδρῶν καὶ Μυκηναίου ξένου.

ΧΟΡΟΣ.

ἆ, ἆ· τί δράσεις, ὦ γεραιέ; μὴ πέσῃς·
ἔπαιρε σαυτόν.

ΠΗΛΕΥΣ.

οὐδέν εἰμ'· ἀπωλόμην.
φρούδη μὲν αὐδὴ, φροῦδα δ' ἄρθρα μου κάτω.

ΑΓΓΕΛΟΣ.

ἄκουσον, εἰ καὶ σοῖς φίλοις ἀμυνάθειν
χρῄζεις, τὸ πραχθὲν, σὸν κατορθώσας δέμας.

ΠΗΛΕΥΣ.

ὦ μοῖρα, γήρως ἐσχάτοις πρὸς τέρμασιν
οἷα με τὸν δύστηνον ἀμφιβᾶσ' ἔχεις!
πῶς οἴχεταί μοι παῖς μόνου παιδὸς μόνος;
σήμαιν'· ἀκοῦσαι δ' οὐκ ἀκούσθ' ὅμως θέλω.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ τὸ κλεινὸν ἤλθομεν Φοίβου πέδον,
τρεῖς μὲν φαεννὰς ἡλίου διεξόδους
θέᾳ διδόντες ὄμματ' ἐξεπίμπλαμεν.
καὶ τοῦθ' ὕποπτον ἦν ἄρ'· ἔς δὲ συστάσεις
κύκλους τ' ἐχώρει λαὸς οἰκήτωρ θεοῦ.
Ἀγαμέμνονος δὲ παῖς, διαστείχων πόλιν,
ἐς οὖς ἑκάστῳ δυσμενεῖς ηὔδα λόγους·
Ὁρᾶτε τοῦτον, ὃς διαστείχει θεοῦ
χρυσοῦ γέμοντα γύαλα, θησαυροὺς βροτῶν,
τὸ δεύτερον παρόντ', ἐφ' οἷσι καὶ πάρος

1054. ἀπωλόμαν M.

δεῦρ' ἦλθε, Φοίβου ναὸν ἐκπέρσαι θέλων;
κὰκ τοῦδ' ἐχώρει ῥόθιον ἐν πόλει κακὸν,
ἀρχαί τ' ἐπληροῦντ' ἔς τε βουλευτήρια,
ἰδίᾳ θ', ὅσοι θεοῦ χρημάτων ἐφέστασαν,
φρουρὰν ἐτάξαντ' ἐν περιστύλοις δόμοις.
ἡμεῖς δὲ μῆλα, φυλλάδος Παρνησίας
παιδεύματ', οὐδέν τῶνδέ πω πεπυσμένοι,
λαβόντες ἦμεν, ἐσχάραις τ' ἐφέσταμεν,
ξὺν προξένοισι μάντεσίν τε Πυθικοῖς.
καί τις τόδ' εἶπεν· Ὦ νεανία, τί σοι
θεῷ κατευξόμεσθα; τίνος ἥκεις χάριν;
ὁ δ' εἶπε· Φοίβῳ τῆς πάροιθ' ἁμαρτίας
δίκας παρασχεῖν βουλόμεσθ'· ᾔτησα γὰρ
πατρός ποτ' αὐτὸν αἵματος δοῦναι δίκην.
κἀνταῦθ' Ὀρέστου μῦθος ἰσχύων μέγα
ἐφαίνεθ', ὡς ψεύδοιτο δεσπότης ἐμὸς,
ἥκων ἐπ' αἰσχροῖς. ἔρχεται δ' ἀνακτόρων
κρηπῖδος ἐντὸς, ὡς πάρος χρηστηρίων
εὔξαιτο Φοίβῳ, τυγχάνει δ' ἐν ἐμπύροις·
τῷ δὲ ξιφήρης ἆρ' ὑφειστήκει λόχος
δάφνῃ πυκασθείς· ὧν Κλυταιμνήστρας τόκος
εἷς ἦν ἁπάντων τῶνδε μηχανοῤῥάφος.
χὠ μὲν κατ' ὄμμα στὰς προσεύχεται θεῷ·
οἱ δ' ὀξυθήκτοις φασγάνοις ὡπλισμένοι
κεντοῦσ' ἀτευχῆ παῖδ' Ἀχιλλέως λάθρα.
χωρεῖ δὲ πρύμναν· οὐ γὰρ ἐς καιρὸν τυπεὶς
ἐτύγχαν', ἐξέλκει δὲ καὶ παραστάδος
κρεμαστὰ τεύχη πασσάλων καθαρπάσας,

1072. θέλων. 1079. ἦμεν M. 1091. τῷδε M. 1092. δ. σκιασθεὶς M.

ἔστη 'πὶ βωμοῦ, γοργὸς ὁπλίτης ἰδεῖν,
βοᾷ δὲ Δελφῶν παῖδας, ἱστορῶν τάδε·
Τίνος μ' ἕκατι κτείνετ', εὐσεβεῖς ὁδοὺς
ἥκοντα; ποίας ὄλλυμαι πρὸς αἰτίας;
τῶν δ' οὐδὲν οὐδεὶς, μυρίων ὄντων πέλας,
ἐφθέγξατ', ἀλλ' ἔβαλλον ἐκ χειρῶν πέτροις.
πυκνῇ δὲ νιφάδι πάντοθεν σποδούμενος,
προὔτεινε τεύχη κἀφυλάσσετ' ἐμβολὰς,
ἐκεῖσε κἀκεῖσ' ἀσπίδ' ἐκτείνων χερί.
ἀλλ' οὐδὲν ἦνεν· ἀλλὰ πόλλ' ὁμοῦ βέλη,
οἰστοὶ, μεσάγκυλ' ἔκλυτοί τ' ἀμφώβολοι,
σφαγεῖς τ' ἐχώρουν βουπόροι ποδῶν πάρος·
δεινὰς δ' ἂν εἶδες πυῤῥίχας φρουρουμένου
βέλεμνα παιδός. ὡς δέ νιν περισταδὸν
κύκλῳ κατεῖχον, οὐ διδόντες ἀμπνοὰς,
βωμοῦ κενώσας δεξίμηλον ἐσχάραν,
τὸ Τρωϊκὸν πήδημα πηδήσας ποδοῖν,
χωρεῖ πρὸς αὐτούς· οἱ δ', ὅπως πελειάδες
ἱέρακ' ἰδοῦσαι, πρὸς φυγὴν ἐνώτισαν.
πολλοὶ δ' ἔπιπτον μιγάδες ἔκ τε τραυμάτων
αὐτοί θ' ὑπ' αὐτῶν στενοπόρους κατ' ἐξόδους,
κραυγὴ δ' ἐν εὐφήμοισι δύςφημος δόμοις
πέτραισιν ἀντέκλαγξεν· εὐδία δ' ὅπως,
ἔστη φαεννοῖς δεσπότης στίλβων ὅπλοις,
πρὶν δή τις ἀδύτων ἐκ μέσων ἐφθέγξατο
δεινόν τε καὶ φρικῶδες, ὦρσε δὲ στρατὸν
στρέψας πρὸς ἀλκήν. ἔνθ' Ἀχιλλέως πιτνεῖ
παῖς ὀξυθήκτῳ πλευρὰ φασγάνῳ τυπεὶς

1104. τῶνδ' M. 1107. καὶ φυλάσσετ' M. 1109. ἤνυεν Br. 1112. δ' om. Br. 1113. μιν. 1122. ἀντέκλαξεν M.

Δελφοῦ πρὸς ἀνδρὸς, ὅςπερ αὐτὸν ὤλεσεν
πολλῶν μετ᾽ ἄλλων· ὡς δὲ πρὸς γαῖαν πιτνεῖ,
τίς οὐ σίδηρον προςφέρει; τίς οὐ πέτρον,
βάλλων, ἀράσσων; πᾶν δ᾽ ἀνάλωται δέμας
τὸ καλλίμορφον τραυμάτων ὑπ᾽ ἀγρίων.
νεκρὸν δὲ δή νιν, κείμενον βωμοῦ πέλας,
ἐξέβαλον ἐκτὸς θυοδόκων ἀνακτόρων.
ἡμεῖς δ᾽, ἀναρπάσαντες ὡς τάχος χεροῖν,
κομίζομέν νίν σοι κατοιμῶξαι γόοις
κλαῦσαί τε, πρέσβυ, γῆς τε κοσμῆσαι τάφῳ.
τοιαῦθ᾽ ὁ τοῖς ἄλλοισι θεσπίζων ἄναξ,
ὁ τῶν δικαίων πᾶσιν ἀνθρώποις κριτὴς,
δίκας διδόντα παῖδ᾽ ἔδρασ᾽ Ἀχιλλέως,
ἐμνημόνευσε δ᾽, ὥςπερ ἄνθρωπος κακὸς,
παλαιὰ νείκη. πῶς ἂν οὖν εἴη σοφός;

ΧΟΡΟΣ.

Καὶ μὴν ὅδ᾽ ἄναξ ἤδη φοράδην (στρ. ά.)
Δελφίδος ἐκ γῆς δῶμα πελάζει.
τλήμων ὁ παθὼν, τλήμων δὲ, γέρον,
καὶ σύ· δέχῃ γὰρ τὸν Ἀχίλλειον
σκύμνον ἐς οἴκους, οὐχ ὡς σὺ θέλεις·
αὐτός τε κακοῖς πήμασι κύρσας
εἰς ἓν μοίρας συνέκυρσας.

ΠΗΛΕΥΣ.

ὤ μοι ἐγώ! κακὸν οἷον ὁρῶ τόδε,
καὶ δέχομαι χερὶ δώμασιν ἁμοῖς!
ἰώ μοί μοι, αἶ αἶ! ὦ πόλι
Θεσσαλία, διολώλαμεν, ᾠχόμεθ᾽·

1143. ἄναξ φοράδην αὐτός M. 1150. Deest nomen *Πηλεύς* M. 1151. δώμασί θ᾽ ἁμοῖς M. δ. τ᾽ ἁμοῖς Br.

οὐκέτι μοι γένος, οὐκέτι μοι τέκνα
λείπετ᾽ ἐν οἴκοις.
ὦ σχέτλιος παθέων ἐγώ! εἰς τίνα
δὴ φίλον αὐγὰς βάλλων τέρψομαι;
ὦ φίλιον στόμα καὶ γένυ καὶ χέρες!
εἴθε σ᾽ ὑπ᾽ Ἰλίῳ ἤναρε δαίμων
Σιμοεντίδα παρ᾽ ἀκτάν!

ΧΟΡΟΣ.

οὗτός γ᾽ ἂν ὡς ἐκ τῶνδ᾽ ἐτιμᾶτ᾽ ἂν, γέρον,
θανὼν, τὸ σὸν δ᾽ ἦν ὧδ᾽ ἂν εὐτυχέστερον.

ΠΗΛΕΥΣ.

* * * * ὦ γάμος, ὦ γάμος, (ἀντιστρ. ά.)
ὃς τάδε δώματα καὶ πόλιν ἁμὰν
ὤλεσας, αἶ αἶ αἶ αἶ! ὦ παῖ,
μήποτε σῶν λεχέων τὸ δυςώνυμον
ὤφελ᾽ ἐμὸν γένος εἰς τέκνα καὶ δόμον
ἀμφιβαλέσθαι
Ἑρμιόνας ἀΐδαν ἐπὶ σοὶ, τέκνον,
ἀλλὰ κεραυνῷ πρόσθεν ὀλέσθαι,
μήδ᾽ ἐπὶ τοξοσύνᾳ φονίῳ πατρὸς
αἷμα τὸ διογενές ποτε Φοῖβον
βροτὸς εἰς θεὸν ἀνάψαι!

ΧΟΡΟΣ.

Ὀτοτοὶ, ὀτοτοί! (στροφὴ β΄.)
θανόντα δεσπόταν γόοις
νόμῳ τῷ νερτέρων κατάρξω.

1156. ὦ σχέτλια παθὼν ἐγώ M. 1161. οὗτος μὲν οὖν ἐκ τ. 1164. ἁμάν om. Br. 1165. αἶ αἶ ἒ ἔ Br. 1167. εἰς τέκνα καὶ δόμον om. Br. 1176. νόμῳ τῶν νερτ. M. κατάρξομαι.

ΠΗΛΕΥΣ.

ὀτοτοῖ, ὀτοτοῖ! (ἀντιστρ. β'.)
διάδοχα δ' ὦ τάλας ἐγὼ
γέρων καὶ δυςτυχὴς δακρύω.

ΧΟΡΟΣ.

θεοῦ γὰρ αἶσα, θεὸς ἔκρανε συμφοράν. (στ. γ'.)

ΠΗΛΕΥΣ.

ὦ φίλος, δόμον ἔλιπες ἔρημον, —
ἰώ μοί μοι! —
[ταλαίπωρον ἐμὲ] γέροντ' ἄπαιδα νοσφίσας.

ΧΟΡΟΣ.

θανεῖν, θανεῖν σε, πρέσβυ, χρῆν πάρος
τέκνων.

ΠΗΛΕΥΣ.

οὐ σπαράξομαι κόμαν, (στροφὴ δ'.)
οὐ 'πιθήσομαι [ἐμῷ] κάρᾳ
κτύπημα χειρὸς ὀλοόν; ὦ πόλις, πόλις,
διπλῶν τέκνων μ' ἐστέρησε Φοῖβος.

ΧΟΡΟΣ.

ὦ κακὰ παθὼν ἰδών τε, δυςτυχὴς γέρον. (στ. ἑ.)
τίν' αἰῶν' εἰς τὸ λοιπὸν ἕξεις;

ΠΗΛΕΥΣ.

ἄτεκνος, ἔρημος, οὐκ ἔχων πέρας κακῶν (ἀντ. ἑ.)
διαντλήσω πόνους ἐς ᾅδαν.

ΧΟΡΟΣ.

μάτην δέ σ' ἐν γάμοισιν ὤλβισαν θεοί. (ἀντ. γ'.)

1178. διάδοχα τάλας ἐγώ M. 1180. συμφοράς M. 1182. ᾤ μοί μοι Br. 1183. γέροντα παῖδα M. 1186. οὐκ ἐπιθήσομαι, et ἐμῷ sine uncis. 1187. χερὸς et πόλις semel. 1190. τίν' αἰῶνά γ' εἰς M.

ΠΗΛΕΥΣ.

ἀμπτάμενα πάντα φροῦδα κεῖται
κόμπων μεταρσίων πρόσω.

ΧΟΡΟΣ.

μόνος μόνοισιν ἐν δόμοις ἀναστρέφει.

ΠΗΛΕΥΣ.

οὔτε μοι πόλις, πόλις, (ἀντ. δ'.)
σκῆπτρά τ' ἐῤῥέτω [τάδε] 'πὶ γᾶν.
σύ τ', ὦ κατ' ἄντρα νύχια Νηρέως κόρη,
πανώλεθρόν μ' ὄψεαι πιτνοῦντα. [πρὸς
γᾶν]

ΧΟΡΟΣ.

ἰὼ ἰώ.
τί κεκίνηται; τίνος αἰσθάνομαι
θείου; κοῦραι, λεύσσετ', ἀθρήσατε·
δαίμων ὅδε τις, λευκὴν αἰθέρα
πορθμευόμενος, τῶν ἱπποβότων
Φθίας πεδίων ἐπιβαίνει.

ΘΕΤΙΣ.

Πηλεῦ, χάριν τῶν σῶν πάρος νυμφευμάτων,
ἥκω Θέτις, λιποῦσα Νηρέως δόμους.
καὶ πρῶτα μέν σοι τοῖς παρεστῶσιν κακοῖς
μηδέν τι λίαν δυσφορεῖν παρῄνεσα·
κἀγὼ γὰρ, ἣν ἄκλαυστ' ἐχρῆν τίκτειν τέκνα,
ἀπώλεσ' ἐκ σοῦ παῖδα τὸν ταχὺν πόδας
'Αχιλλέα τεκοῦσα, πρῶτον Ἑλλάδος.

1194. ἀμπτ. φροῦδα πάντ' ἀνεῖται Br. 1195. κόμπῳ μεταρσίῳ M. 1197. οὐκέτι μοι. 1198. τάδ' ἐπὶ γαῖαν. 1200. πανώλεθρον πιτνοῦντα πρὸς γῆν μ' ὄψεαι Br. 1207. σῶν τῶν.

ὧν δ' οὕνεκ' ἦλθον, σημανῶ, σὺ δ' ἐνδέχου.
τὸν μὲν θανόντα τόνδ' Ἀχιλλέως γόνον
θάψον, πορεύσας Πυθικὴν πρὸς ἐσχάραν,
Δελφοῖς ὄνειδος, ὡς ἀπαγγέλλῃ τάφος
φόνον βίαιον τῆς Ὀρεστείας χερός·
γυναῖκα δ' αἰχμάλωτον, Ἀνδρομάχην λέγω,
Μολοσσίαν γῆν χρὴ κατοικῆσαι, γέρον,
Ἑλένῳ ξυναλλαχθεῖσαν εὐναίοις γάμοις,
καὶ παῖδα τόνδε, τῶν ἀπ' Αἰακοῦ μόνον
λελειμμένον δή· βασιλέα δ' ἐκ τοῦδε χρὴ
ἄλλον δι' ἄλλου διαπερᾶν Μολοσσίαν,
εὐδαιμονοῦντας· οὐ γὰρ ὧδ' ἀνάστατον
γένος γενέσθαι δεῖ τὸ σὸν κἀμὸν, γέρον,
Τροίας τε· καὶ γὰρ θεοῖσι κἀκείνης μέλει,
καίπερ πεσούσης Παλλάδος προθυμίᾳ.
σὲ δ', ὡς ἂν εἰδῇς τῆς ἐμῆς εὐνῆς χάριν,
θεὰ γεγῶσα καὶ θεοῦ πατρὸς τέκος,
κακῶν ἀπαλλάξασα τῶν βροτησίων,
ἀθάνατον ἄφθιτόν τε ποιήσω θεόν.
κἄπειτα Νηρέως ἐν δόμοις ἐμοῦ μέτα
τὸ λοιπὸν ἤδη θεὸς συνοικήσεις θεᾷ·
ἔνθεν κομίζων ξηρὸν ἐκ πόντου πόδα
τὸν φίλτατόν σοι παῖδ' ἐμοί τ' Ἀχιλλέα
ὄψει δόμους ναίοντα νησιωτικοὺς
Λευκὴν κατ' ἀκτὴν ἐντὸς Εὐξείνου πόρου.
ἀλλ' ἕρπε Δελφῶν ἐς θεόδμητον πόλιν,
νεκρὸν κομίζων τόνδε, καὶ κρύψας χθονὶ,
ἐλθὼν παλαιᾶς χοιράδος κοῖλον μυχὸν

1230. τόκος M. 1234. θεῷ M. 1238. Λ. ἐπ' ἀ. M. Λ. κατ' αὐτήν Br.

Σηπιάδος ἵζου· μίμνε δ', ἔς τ' ἂν ἐξ ἁλὸς,
λαβοῦσα πεντήκοντα Νηρῄδων χορὸν,
ἔλθω κομιστήν σου· τὸ γὰρ πεπρωμένον
δεῖ σ' ἐκκομίζειν· Ζηνὶ γὰρ δοκεῖ τάδε.
παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ·
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκρανται, κατθανεῖν ὀφείλεται.

ΠΗΛΕΥΣ.

ὦ πότνι', ὦ γενναῖα συγκοιμήματα,
Νηρέως γένεθλον, χαῖρε· ταῦτα δ' ἀξίως
σαυτῆς τε ποιεῖς καὶ τέκνων τῶν ἐκ σέθεν.
παύω δὲ λύπην, σοῦ κελευούσης, θεά·
καὶ τόνδε θάψας εἶμι Πηλίου πτύχας,
οὗπερ σὸν εἷλον χερσὶ κάλλιστον δέμας.
κᾆτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεὼν,
δοῦναί τ' ἐς ἐσθλοὺς, ὅστις εὖ βουλεύεται;
κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν,
μηδ' εἰ ζαπλούτους οἴσεται φερνὰς δόμοις;
οὐ γάρ ποτ' ἂν πράξειαν ἐκ θεῶν κακῶς.

ΧΟΡΟΣ.

πολλαὶ μορφαὶ τῶν δαιμονίων·
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

1248. τ' ὀφείλ. M. 1259. καλῶς Br.

ΤΕΛΟΣ ΑΝΔΡΟΜΑΧΗΣ.

ΕΥΡΙΠΙΔΟΥ

ΙΚΕΤΙΔΕΣ.

ΥΠΟΘΕΣΙΣ.

**Ἡ μὲν σκηνὴ ἐν Ἐλευσῖνι· ὁ δὲ χορὸς ἐξ Ἀργείων γυναικῶν, αἳ μητέρες ἦσαν τῶν ἐν Θήβαις πεπτωκότων ἀριστέων· τὸ δὲ δρᾶμα ἐγκώμιον Ἀθηνῶν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΙΘΡΑ.
ΧΟΡΟΣ.
ΘΗΣΕΥΣ.
ΑΔΡΑΣΤΟΣ.
ΚΗΡΥΞ.
ΑΓΓΕΛΟΣ.
ΕΥΑΔΝΗ.
ΙΦΙΣ.
ΠΑΙΣ.
ΑΘΗΝΑ.

Προλογίζει δὲ ἡ Αἴθρα.

ΕΥΡΙΠΙΔΟΥ ΙΚΕΤΙΔΕΣ.

ΑΙΘΡΑ.

Δήμητερ ἑστιοῦχ᾽ Ἐλευσῖνος χθονὸς
τῆσδ᾽, οἵ τε ναοὺς ἔχετε πρόσπολοι θεᾶς,
εὐδαιμονεῖν με Θησέα τε παῖδ᾽ ἐμὸν
πόλιν τ᾽ Ἀθηνῶν τήν τε Πιτθέως χθόνα,
ἐν ᾗ με θρέψας ὀλβίοις ἐν δώμασιν
Αἴθραν πατὴρ δίδωσι τῷ Πανδίονος
Αἰγεῖ δάμαρτα Λοξίου μαντεύμασιν.
ἐς τάσδε γὰρ βλέψασ᾽ ἐπευξάμην τάδε
γραῦς, αἵ, λιποῦσαι δώματ᾽ Ἀργείας χθονὸς,
ἱκτῆρι θαλλῷ προσπιτνοῦσ᾽ ἐμὸν γόνυ,
πάθος παθοῦσαι δεινόν· ἀμφὶ γὰρ πύλας
Κάδμου θανόντων ἑπτὰ γενναίων τέκνων,
ἄπαιδές εἰσιν, οὕς ποτ᾽ Ἀργείων ἄναξ
Ἄδραστος ἤγαγ᾽, Οἰδίπου παγκληρίας
μέρος κατασχεῖν φυγάδι Πολυνείκει θέλων
γαμβρῷ· νεκροὺς δὲ τοὺς ὀλωλότας δορὶ
θάψαι θέλουσι τῶνδε μητέρες χθονί·

εἴργουσι δ' οἱ κρατοῦντες, οὐδ' ἀναίρεσιν
δοῦναι θέλουσι, νόμιμ' ἀτίζοντες θεῶν.
κοινὸν δὲ φόρτον ταῖσδ' ἔχων χρείας ἐμῆς
Ἄδραστος, ὄμμα δάκρυσιν τέγγων, ὅδε
κεῖται, τό τ' ἔχθος τήν τε δυστυχεστάτην
στένων στρατείαν, ἣν ἔπεμψεν ἐκ δόμων·
ὅς μ' ἐξοτρύνει παῖδ' ἐμὸν πεῖσαι λιταῖς,
νεκρῶν κομιστὴν ἢ λόγοισιν, ἢ δορὸς
ῥώμῃ γενέσθαι καὶ τάφου μεταίτιον,
μόνον τόδ' ἔργον προστιθεὶς ἐμῷ τέκνῳ
πόλει τ' Ἀθηνῶν. τυγχάνω δ' ὑπὲρ χθονὸς
ἀρότου προθύουσ', ἐκ δόμων ἐλθοῦσ' ἐμῶν,
πρὸς τόνδε σηκὸν, ἔνθα πρῶτα φαίνεται
φρίξας ὑπὲρ γῆς τῆσδε κάρπιμος στάχυς.
δεσμὸν δ' ἄδεσμον τόνδ' ἔχουσα φυλλάδος
μένω πρὸς ἁγναῖς ἐσχάραις δυοῖν θεαῖν,
Κόρης τε καὶ Δήμητρος, οἰκτείρουσα μὲν
πολιὰς ἄπαιδας τάσδε μητέρας τέκνων,
σέβουσα δ' ἱερὰ στέμματ'. οἴχεται δέ μοι
κήρυξ πρὸς ἄστυ δεῦρο Θησέα καλῶν,
ὡς ἢ τὸ τούτων λυπρὸν ἐξέλῃ χθονὸς,
ἢ τάσδ' ἀνάγκας ἱκεσίους λύσῃ, θεοὺς
ὅσιόν τι δράσας· πάντα γὰρ δι' ἀρσένων
γυναιξὶ πράσσειν εἰκὸς, αἵτινες σοφαί.

ΧΟΡΟΣ.

Ἱκετεύω σε, γεραιά, γεραρῶν ἐκ στομάτων πρὸς (στ. ά.)
γόνυ πίπτουσα τὸ σόν,
ἄνα μοι τέκνα λῦσαι φθιμένων
νεκύων, οἳ καταλείπουσι μέλη

30. πρῶτον M. 33. δυεῖν H. 41. σοφοί. 42. γεραιῶν H.

θανάτῳ λυσιμελεῖ, θηρσὶν ὀρείοισι βοράν,
ἐσιδοῦσ' οἰκτρὰ μὲν ὄσσων δάκρυ' ἀμφὶ βλεφά-
ροις, ῥυσ- (ἀντ. ά.)
σὰ δὲ σαρκῶν πολιῶν
καταδρύμματα χειρῶν·—τί γάρ;—ἃ
φθιμένους παῖδας ἐμοὺς οὔτε δόμοις
προθέμαν, οὔτε τάφων χώματα γαίας ἐσορῶ.
ἔτεκες καὶ σύ ποτ', ὦ πότνια, κοῦρον (στ. β'.)
φίλα ποιησαμένα λέκτρα πόσει σῷ·
μέτα νῦν δὸς ἐμοὶ σᾶς διανοίας,
μετάδος δ', ὅσσον ἐπαλγῶ μελέα τῶν
φθιμένων, οὓς ἔτεκον·
παράπεισον δὲ σὸν, ὃν λισσόμεθ', ἐλθεῖν
τέκνον Ἰσμηνόν, ἐμάν τ' εἰς χέρα θεῖναι
νεκύων θαλερῶν
σώματα λάϊνον τάφον·
ὁσίως οὔχ, ὑπ' ἀνάγκας δὲ προπίπτου- (ἀντ. β'.)
σα προσαιτοῦσ' ἔμολον δεξιπύρους θεῶν
θυμέλας· ἔχομεν δ' ἔνδικα· καὶ σοί
τι πάρεστι σθένος, ὥστ' εὐτεκνίᾳ δυσ-
τυχίαν τὰν παρ' ἐμοὶ
καθελεῖν· οἰκτρὰ δὲ πάσχουσ' ἱκετεύω
τὸν ἐμὸν παῖδα τάλαιν' ἐν χερὶ θεῖναι
νέκυν ἀμφιβαλεῖν
λυγρὰ μέλη παιδὸς ἐμοῦ.
Ἀγὼν ὅδ' ἄλλος ἔρχεται γόων γόοις (στρ. γ'.)
διάδοχος· ἀχοῦσι προπόλων χέρες.

47. 48. ῥυσά M. 49. καταδρύματα M. 54. σὰς δ. M. 65. τὴν M. 68. νέκυ' M. 69. παιδός γ' ἐμοῦ M. 70. γόων γόων M. 71. προσπόλων M.

ἴτ', ὦ ξυνῳδοὶ κακοῖς,
ἴτ' ὦ ξυναλγηδόνες,
χορὸν τὸν Ἅιδα σέβειν.
διὰ παρῇδος ὄνυχα λευκὸν
αἱματοῦτε χρῶτά τε φόνιον·
τὰ γὰρ φθιτῶν τοῖς ὁρῶσι κόσμος.
ἄπληστος ἅδε μ' ἐξάγει χάρις γόων (ἀντ. γ'.)
πολύπονος, ὡς ἐξ ἀλιβάτου πέτρας
ὑγρὰ ῥέουσα σταγών,
ἄπαυστος αἰεὶ γόων·
τὸ γὰρ θανόντων τέκνων
ἐπίπονόν τι κατὰ γυναῖκας
εἰς γόους πέφυκε πάθος. ἒ ἔ!
θανοῦσα τῶνδ' ἀλγέων λαθοίμαν!

ΘΗΣΕΥΣ.

τίνων γόων ἤκουσα καὶ στέρνων κτύπον
νεκρῶν τε θρήνους, τῶνδ' ἀνακτόρων ἄπο
ἠχοῦς ἰούσης; ὡς φόβος μ' ἀναπτεροῖ,
μή μοί τι μήτηρ, ἣν μεταστείχω ποδὶ
χρονίαν ἀποῦσαν ἐκ δόμων, ἔχῃ νέον.
(ἔα.) τί χρῆμα; καινὰς ἐσβολὰς ὁρῶ λόγων,
μητέρα γεραιὰν βωμίαν ἐφημένην,
ξένους θ' ὁμοῦ γυναῖκας, οὐχ ἕνα ῥυθμὸν
κακῶν ἐχούσας· ἔκ τε γὰρ γερασμίων
ὄσσων ἐλαύνουσ' οἰκτρὸν ἐς γαῖαν δάκρυ,
κουραὶ δὲ καὶ πεπλώματ' οὐ θεωρικά.
τί ταῦτα, μῆτερ; σὸν τὸ μηνύειν ἐμοί,
ἡμῶν δ' ἀκούειν· προσδοκῶ τι γὰρ νέον.

74. χορόν, τὸν Ἅιδας σέβει. 75. παρηΐδος M. 77. ὁρῶσιν M. 79. ἁλιβάτου M. 81. ἀεί M. 85. τῶν ἀλγ.

ΑΙΘΡΑ.

ὦ παῖ, γυναῖκες αἵδε μητέρες τέκνων,
τῶν κατθανόντων ἀμφὶ Καδμείας πύλας
ἑπτὰ στρατηγῶν. ἱκεσίοις δὲ σὺν κλάδοις
φρουροῦσί μ', ὡς δέδορκας, ἐν κύκλῳ, τέκνον.

ΘΗΣΕΥΣ.

τίς δ' ὁ στενάζων οἰκτρὸν ἐν πύλαις ὅδε;

ΑΙΘΡΑ.

Ἄδραστος, ὡς λέγουσιν, Ἀργείων ἄναξ.

ΘΗΣΕΥΣ.

οἱ δ' ἀμφὶ τόνδε παῖδες ἦ τούτου τέκνα;

ΑΙΘΡΑ.

οὐκ, ἀλλὰ νεκρῶν τῶν ὀλωλότων κόροι.

ΘΗΣΕΥΣ.

τί γὰρ πρὸς ἡμᾶς ἦλθον ἱκεσίᾳ χερί;

ΑΙΘΡΑ.

οἶδ'. ἀλλὰ τῶνδε μῦθος οὑντεῦθεν, τέκνον.

ΘΗΣΕΥΣ.

σέ, τὸν κατήρη χλανιδίοις, ἀνιστορῶ.
λέγ', ἐκκαλύψας κρᾶτα καὶ παρεὶς γόον·
πέρας γὰρ οὐδέν, μὴ διὰ γλώσσης ἰόν.

ΑΔΡΑΣΤΟΣ.

ὦ καλλίνικε γῆς Ἀθηναίων ἄναξ,
Θησεῦ, σὸς ἱκέτης καὶ πόλεως ἥκω σέθεν.

ΘΗΣΕΥΣ.

τί χρῆμα θηρῶν, καὶ τίνος χρείαν ἔχων;

ΑΔΡΑΣΤΟΣ.

οἶσθ', ἣν στρατείαν ἐστράτευσ' ὀλεθρίαν;

105. ἥ M.

Θ Η Σ Ε Υ Σ.

οὐ γάρ τι σιγῇ διεπέρασας Ἑλλάδα.

Α Δ Ρ Α Σ Τ Ο Σ.

ἐνταῦθ᾽ ἀπώλεσ᾽ ἄνδρας Ἀργείων ἄκρους.

Θ Η Σ Ε Υ Σ.

τοιαῦθ᾽ ὁ τλήμων πόλεμος ἐξεργάζεται.

Α Δ Ρ Α Σ Τ Ο Σ.

τούτους θανόντας ἦλθον ἐξαιτῶν πόλιν.

Θ Η Σ Ε Υ Σ.

κήρυξιν Ἑρμοῦ πίσυνος, ὡς θάψῃς νεκρούς;

Α Δ Ρ Α Σ Τ Ο Σ.

κἄπειτά γ᾽ οἱ κτανόντες οὐκ ἐῶσί με.

Θ Η Σ Ε Υ Σ.

τί γὰρ λέγουσιν, ὅσια χρῄζοντος σέθεν;

Α Δ Ρ Α Σ Τ Ο Σ.

τί δ᾽ εὐτυχοῦντες; οὐκ ἐπίστανται φέρειν.

Θ Η Σ Ε Υ Σ.

ξύμβουλον οὖν μ᾽ ἐπῆλθες; ἢ τίνος χάριν;

Α Δ Ρ Α Σ Τ Ο Σ.

κομίσαι σέ, Θησεῦ, παῖδας Ἀργείων θέλων.

Θ Η Σ Ε Υ Σ.

τὸ δ᾽ Ἄργος ὑμῖν ποῦ ᾽στιν; ἢ κόμποι μάτην;

Α Δ Ρ Α Σ Τ Ο Σ.

σφαλέντες οἰχόμεσθα· πρὸς σὲ δ᾽ ἥκομεν.

Θ Η Σ Ε Υ Σ.

ἰδίᾳ δοκῆσάν σοι τόδ᾽, ἢ πάσῃ πόλει;

Α Δ Ρ Α Σ Τ Ο Σ.

πάντες σ᾽ ἱκνοῦνται Δαναΐδαι, θάψαι νεκρούς.

123. τί δ᾽; εὐτ. 126. ἢ ᾽κόμπει M.

Θ Η Σ Ε Υ Σ.

ἐκ τοῦ δ᾽ ἐλαύνεις ἑπτὰ πρὸς Θήβας ὄχους;

Α Δ Ρ Α Σ Τ Ο Σ.

δισσοῖσι γαμβροῖς τήνδε πορσύνων χάριν.

Θ Η Σ Ε Υ Σ.

τῷ δ᾽ ἐξέδωκας παῖδας Ἀργείων σέθεν;

Α Δ Ρ Α Σ Τ Ο Σ.

οὐκ ἐγγενῆ ξυνῆψα κηδείαν δόμοις.

Θ Η Σ Ε Υ Σ.

ἀλλὰ ξένοις ἔδωκας Ἀργείας κόρας;

Α Δ Ρ Α Σ Τ Ο Σ.

Τυδεῖ τε Πολυνείκει τε τῷ Θηβαγενεῖ.

Θ Η Σ Ε Υ Σ.

τίν᾽ εἰς ἔρωτα τῆσδε κηδείας μολών;

Α Δ Ρ Α Σ Τ Ο Σ.

Φοίβου μ᾽ ὑπῆλθε δυστόπαστ᾽ αἰνίγματα.

Θ Η Σ Ε Υ Σ.

τί δ᾽ εἶπ᾽ Ἀπόλλων, παρθένοις κραίνων γάμον;

Α Δ Ρ Α Σ Τ Ο Σ.

κάπρῳ με δοῦναι καὶ λέοντι παῖδ᾽ ἐμώ.

Θ Η Σ Ε Υ Σ.

σὺ δ᾽ ἐξελίσσεις πῶς θεοῦ θεσπίσματα;

Α Δ Ρ Α Σ Τ Ο Σ.

ἐλθόντε φυγάδε νυκτὸς εἰς ἐμὰς πύλας —

Θ Η Σ Ε Υ Σ.

τίς καὶ τίς, εἰπέ· δύο γὰρ ἐξαυδᾷς ἅμα.

Α Δ Ρ Α Σ Τ Ο Σ.

Τυδεὺς μάχην ξυνῆψε Πολυνείκης θ᾽ ἅμα.

130. λόχους H. 135. T. γε H. Θηβαιγενεῖ M.

ΘΗΣΕΥΣ.

ἦ τοῖσδ' ἔδωκας, θηρσὶν ὣς, κόρας σέθεν;

ΑΔΡΑΣΤΟΣ.

μάχην γε δισσοῖν κνωδάλοιν ἀπεικάσας.

ΘΗΣΕΥΣ.

ἦλθον δὲ δὴ πῶς πατρίδος ἐκλιπόνθ' ὅρους;

ΑΔΡΑΣΤΟΣ.

Τυδεὺς μὲν, αἷμα συγγενὲς φεύγων χθονός.

ΘΗΣΕΥΣ.

ὁ δ' Οἰδίπου τίνι τρόπῳ Θήβας λιπών;

ΑΔΡΑΣΤΟΣ.

ἀραῖς πατρῴαις, μὴ κασίγνητον κτάνῃ.

ΘΗΣΕΥΣ.

σοφήν γ' ἔλεξας τήν γ' ἑκούσιον φυγήν.

ΑΔΡΑΣΤΟΣ.

ἀλλ' οἱ μένοντες τοὺς ἀπόντας ἠδίκουν.

ΘΗΣΕΥΣ.

ἦπού σφ' ἀδελφὸς χρημάτων νοσφίζεται;

ΑΔΡΑΣΤΟΣ.

ταῦτ' ἐκδικάζων ἦλθον, εἶτ' ἀπωλόμην.

ΘΗΣΕΥΣ.

μάντεις δ' ἐπῆλθες, ἐμπύρων τ' εἶδες φλόγα;

ΑΔΡΑΣΤΟΣ.

οἴ μοι! διώκεις μ', ᾗ μάλιστ' ἐγὼ 'σφάλην.

ΘΗΣΕΥΣ.

οὐκ ἦλθες, ὡς ἔοικεν, εὐνοίᾳ θεῶν.

ΑΔΡΑΣΤΟΣ.

τί δὲ πλέον; ἦλθον Ἀμφιάρεώ γε πρὸς βίαν.

144. ἦ τοῖς M. 148. Οἰδ. παῖς τίνι H. 150. σοφὴν ἔλ. M. 153. ταυτὶ δικάζων M. 157. τί δέ; πλέον -- et om. γε M.

ΘΗΣΕΥΣ.

οὕτω τὸ θεῖον ῥᾳδίως σ' ἀπεστράφη.

ΑΔΡΑΣΤΟΣ.

νέων γὰρ ἀνδρῶν θόρυβος ἐξέπλησσέ με.

ΘΗΣΕΥΣ.

εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας,
ὃ δή γε πολλοὺς ὤλεσε στρατηλάτας.

ΑΔΡΑΣΤΟΣ.

ἀλλ' ὦ καθ' Ἑλλάδ' ἀλκιμώτατον κάρα,
ἄναξ Ἀθηνῶν, ἐν μὲν αἰσχύναις ἔχω
πιτνῶν πρὸς οὖδας γόνυ σὸν ἀμπίσχειν χερὶ,
πολιὸς ἀνὴρ τύραννος εὐδαίμων πάρος·
ὅμως δ' ἀνάγκη συμφοραῖς εἴκειν ἐμαῖς.
σῶσον νεκρούς μοι, τἀμά τ' οἰκτείρας κακὰ
καὶ τῶν θανόντων τάσδε μητέρας τέκνων,
αἷς γῆρας ἥκει πολιὸν εἰς ἀπαιδίαν,
ἐλθεῖν δ' ἔτλησαν δεῦρο καὶ ξένον πόδα
θεῖναι, μόλις γεραιὰ κινοῦσαι μέλη,
πρεσβεύματ' οὐ Δήμητρος ἐς μυστήρια,
ἀλλ' ὡς νεκροὺς θάψωσιν, ὧν αὐτὰς ἐχρῆν
κείνων ταφείσας χερσὶν ὡραίων τυχεῖν.
σοφὸν δὲ, πενίαν τ' εἰσορᾷν τὸν ὄλβιον,
πένητά τ' ἐς τοὺς πλουσίους ἀποβλέπειν,
ζηλοῦνθ', ἵν' αὐτὸν χρημάτων ἔρως ἔχῃ,
τά τ' οἰκτρὰ τοὺς μὴ δυστυχεῖς δεδοικέναι·
τόν θ' ὑμνοποιὸν, αὐτὸς ἂν τίκτῃ μέλη,

158. ῥᾳδίως ἀπεστράφης H. 161. Adrasto tribuit M. 165. ἀνὴρ εὐδαιμονῶν ἴσως π. 173. ὡς αὐτάς M. ἃς α. H. 179. ἂν τίκτῃ M.

χαίροντα τίκτειν· ἢν δὲ μὴ πάσχῃ τόδε,
οὔτοι δύναιτ᾽ ἂν, οἴκοθέν γ᾽ ἀτώμενος,
τέρπειν ἂν ἄλλους· οὐδὲ γὰρ δίκην ἔχει.
τάχ᾽ οὖν ἂν εἴποις, Πελοπίαν παρεὶς χθόνα
πῶς ταῖς Ἀθήναις τόνδε προςτάσσεις πόνον;
ἐγὼ δίκαιός εἰμ᾽ ἀφηγεῖσθαι τάδε.
Σπάρτη μὲν ὠμὴ καὶ πεποίκιλται τρόπους·
τὰ δ᾽ ἄλλα μικρὰ κἀσθενῆ. πόλις δὲ σὴ
μόνη δύναιτ᾽ ἂν τόνδ᾽ ὑποστῆναι πόνον·
τά τ᾽ οἰκτρὰ γὰρ δέδορκε, καὶ νεανίαν
ἔχει σὲ ποιμέν᾽ ἐσθλόν· οὗ χρείᾳ πόλεις
πολλαὶ διώλοντ᾽ ἐνδεεῖς στρατηλάτου.

ΧΟΡΟΣ.

κἀγὼ τὸν αὐτὸν τῷδέ σοι λόγον λέγω,
Θησεῦ, δι᾽ οἴκτου τὰς ἐμὰς λαβεῖν τύχας.

ΘΗΣΕΥΣ.

ἄλλοισι δὴ ᾽πόνησ᾽ ἁμιλληθεὶς λόγῳ
τοιῷδ᾽. ἔλεξε γάρ τις, ὡς τὰ χείρονα
πλείω βροτοῖσίν ἐστι τῶν ἀμεινόνων.
ἐγὼ δὲ τούτοις ἀντίαν γνώμην ἔχω,
πλείω τὰ χρηστὰ τῶν κακῶν εἶναι βροτοῖς.
εἰ μὴ γὰρ ἦν τόδ᾽, οὐκ ἂν ἦμεν ἐν φάει.
αἰνῶ δ᾽, ὃς ἡμῖν βίοτον ἐκ πεφυρμένου
καὶ θηριώδους θεῶν διεσταθμήσατο,
πρῶτον μὲν ἐνθεὶς σύνεσιν, εἶτα δ᾽ ἄγγελον
γλῶσσαν λόγων δοὺς, ὥςτε γιγνώσκειν ὄπα,
τροφήν τε καρποῦ, τῇ τροφῇ τ᾽ ἀπ᾽ οὐρανοῦ
σταγόνας ὑδρηλὰς, ὡς τά τ᾽ ἐκ γαίας τρέφῃ,
ἄρδῃ τε νηδύν· πρὸς δὲ τοῖσι χείματος

204. γητρεφῆ κἀπ᾽ οὐρ. H. 205. τά γ᾽ M.

προβλήματ᾽, αἶθόν τ᾽ ἐξαμύνασθαι θεοῦ,
πόντου τε ναυστολήμαθ᾽, ὡς διαλλαγὰς
ἔχοιμεν ἀλλήλοισιν, ὧν πένοιτο γῆ.
ἃ δ᾽ ἔστ᾽ ἄσημα, κοὐ σαφῶς γιγνώσκομεν,
ἐς πῦρ βλέποντες καὶ κατὰ σπλάγχνων πτύχας
μάντεις προσημαίνουσιν οἰωνῶν τ᾽ ἄπο.
ἆρ᾽ οὐ τρυφῶμεν, θεοῦ κατασκευὴν βίῳ
δόντος τοιαύτην, οἷσιν οὐκ ἀρκεῖ τάδε;
ἀλλ᾽ ἡ φρόνησις τοῦ θεοῦ μεῖζον σθένειν
ζητεῖ, τὸ γαῦρον δ᾽ ἐν φρεσὶν κεκτημένοι,
δοκοῦμεν εἶναι δαιμόνων σοφώτεροι.
ἧς καὶ σὺ φαίνει δεκάδος, οὐ σοφὸς γεγώς·
ὅςτις κόρας μὲν, θεσφάτοις Φοίβου ζυγεὶς,
ξένοισιν ὧδ᾽ ἔδωκας, ὡς ζώντων θεῶν,
λαμπρὸν δὲ θολερῷ δῶμα συμμίξας τὸ σὸν,
ἥλκωσας οἴκους· χρῆν γὰρ οὔτε σώματα
ἄδικα δικαίοις τὸν σοφὸν συμμιγνύναι,
εὐδαιμονοῦντας δ᾽ ἐς δόμους κτᾶσθαι φίλους.
κοινὰς γὰρ ὁ θεὸς τὰς τύχας ἡγούμενος,
τοῖς τοῦ νοσοῦντος πήμασιν διώλεσεν
τὸν συννοσοῦντα, κοὐδὲν ἠδικηκότα.
ἐς δὲ στρατείαν πάντας Ἀργείους ἄγων,
μάντεων λεγόντων θέσφατ᾽, εἶτ᾽ ἀτιμάσας,
βίᾳ παρελθὼν θεοὺς, ἀπώλεσας πόλιν,
νέοις παραχθεὶς, οἵτινες τιμώμενοι
χαίρουσι, πολέμους τ᾽ αὐξάνουσ᾽ ἄνευ δίκης,
φθείροντες ἀστοὺς, ὁ μὲν, ὅπως στρατηλατῇ,
ὁ δ᾽, ὡς ὑβρίζῃ, δύναμιν ἐς χεῖρας λαβὼν,

207. αἶθον ἐξ. M. 214. τάδε, H. 217. σοφώτεροι; H.
224. ἐς φόβους M. 227. τὸν οὐ νοσοῦντα.

ἄλλος δὲ κέρδους οὕνεκ', οὐκ ἀποσκοπῶν
τὸ πλῆθος, εἴ τι βλάπτεται πάσχον τάδε.
τρεῖς γὰρ πολιτῶν μερίδες· οἱ μὲν ὄλβιοι
ἀνωφελεῖς τε πλειόνων τ' ἐρῶσ' ἀεί·
οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου,
δεινοὶ, νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,
ἐς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακὰ,
γλώσσαις πονηρῶν προστατῶν φηλούμενοι.
τριῶν δὲ μοιρῶν ἡ 'ν μέσῳ σώζει πόλεις,
κόσμον φυλάσσουσ', ὅντιν' ἂν τάξῃ πόλις.
κἄπειτ' ἐγώ σοι ξύμμαχος γενήσομαι;
τί πρὸς πολίτας τοὺς ἐμοὺς λέγων καλόν;
χαίρων ἴθι δή· μὴ γὰρ βεβούλευσαι καλῶς
αὐτὸς, πιέζειν τὴν τύχην ἡμᾶς λίαν.

ΧΟΡΟΣ.

ἥμαρτεν. ἐν νέοισι δ' ἀνθρώπων τόδε
ἔνεστι· συγγνώμην δὲ τῷδ' ἔχειν χρεών.
ἄλλως σ' ἰατρὸν τῶνδ', ἄναξ, ἀφίγμεθα.

ΑΔΡΑΣΤΟΣ.

οὔτοι δικαστήν σ' εἱλόμην ἐμῶν κακῶν,
οὐδ', εἴ τι πράξας μὴ καλῶς εὑρίσκομαι,
τούτων κολαστὴν κἀπιτιμητὴν, ἄναξ,
ἀλλ' ὡς ὀναίμην. εἰ δὲ μὴ βούλει τάδε,
στέργειν ἀνάγκη τοῖσι σοῖς· τί γὰρ πάθω;
ἄγ', ὦ γεραιαὶ, στείχετε, γλαυκὴν χλόην
αὐτοῦ λιποῦσαι φυλλάδος καταστεφῆ,
θεούς τε καὶ γῆν τήν τε πυρφόρον θεὰν

237. οἱ γὰρ ὄ. H. 249. ἐννοίαισι δ' H. 250. τῶνδ' H. 251. Adrasto trib. M. H. ἀλλ' ὡς ἰατρ. M. H. ἄναξ, σ' ἀφίγμεθα H. 252. deest σ'. 258. καταστροφῇ.

Δήμητρα θέμεναι μάρτυρ' ἡλίου τε φῶς,
ὡς οὐδὲν ἡμῖν ἤρκεσαν λιταὶ θεῶν.

ΧΟΡΟΣ.

* * *

ὃς Πέλοπος ἦν παῖς, Πελοπίας δ' ἡμεῖς χθονὸς
ταυτὸν πατρῷον αἷμά σοι κεκτήμεθα.
τί δρᾷς; προδώσεις ταῦτα, κἀκβαλεῖς χθονὸς
γραῦς, οὐ τυχούσας οὐδὲν ὧν αὐτὰς ἐχρῆν;
μὴ δῆτ'. ἔχει γὰρ καταφυγὴν θὴρ μὲν πέτραν,
δοῦλος δὲ βωμοὺς θεῶν, πόλις δὲ πρὸς πόλιν
ἔπτηξε χειμασθεῖσα· τῶν γὰρ ἐν βροτοῖς
οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν.

ΧΟΡΟΣ.

βᾶθι, τάλαιν', ἱερῶν δαπέδων ἄπο Περσεφονείας,
βᾶθι, καὶ ἀντίασον γονάτων, ἔπι χεῖρα βαλοῦσα,
τέκνων τεθνεώτων κομίσαι δέμας, — ὢ μελέα 'γώ! —
οὓς ὑπὸ τείχεσι Καδμείοισιν ἀπώλεσα κούρους.
ἰώ μοι! λάβετε, φέρετε, πέμπετ'· ἀείρετε
ταλαίνας χερὸς γεραιᾶς.
πρός σε γενειάδος, ὦ φίλος, ὦ δοκιμώτατος Ἑλλάδι,
ἄντομαι, ἀμφιπιτνοῦσα τὸ σὸν γόνυ καὶ χέρα δειλαία·
οἴκτισαι ἀμφὶ τέκνων μ' ἱκέταν,

262. sqq. Adrasto continuantur. 272. τε θνατῶν κόμισαι M. 274. πέμπετε· κρίνετε M. 275. χέρας γεραιάς M. τάλαιναν H. 276. deest σε M. 277. δειλαίαν M.

ἢ τίν' ἀλάταν, οἰκτρὸν ἰήλεμον οἰκτρὸν ἱεῖσαν.
μηδ' ἀτάφους, τέκνον, ἐν χθονὶ Κάδμου χάρματα θηρῶν
παῖδας ἐν ἡλικίᾳ τᾷ σᾷ κατίδῃς, ἱκετεύω,
βλέψον ἐμῶν βλεφάρων ἔπι δάκρυον, ἃ περὶ σοῖσιν
γούνασιν ὧδε πιτνῶ, τέκνοις τάφον ἐξανύσασθαι.

ΘΗΣΕΥΣ.

μῆτερ, τί κλάεις, λέπτ' ἐπ' ὀμμάτων φάρη
βαλοῦσα τῶν σῶν; ἆρα δυστήνους γόους
κλύουσα τῶνδε; κἀμὲ γὰρ διῆλθέ τι.
ἔπαιρε λευκὸν κρᾶτα, μὴ δακρυῤῥόει,
σεμναῖσι Δηοῦς ἐσχάραις παρημένη.

ΑΙΘΡΑ.

αἶ, αἶ!

ΘΗΣΕΥΣ.

τὰ τούτων οὐχὶ σοὶ στενακτέον.

ΑΙΘΡΑ.

ὦ τλήμονες γυναῖκες!

ΘΗΣΕΥΣ.

οὐ σὺ τῶνδ' ἔφυς.

ΑΙΘΡΑ.

εἴπω τι, τέκνον, σοί τε καὶ πόλει καλόν;

ΘΗΣΕΥΣ.

ὡς πολλά γ' ἐστὶ κἀπὸ θηλειῶν σοφά.

ΑΙΘΡΑ.

ἀλλ' εἰς ὄκνον μοι μῦθος, ὃν κεύθω, φέρει.

279. ἤ τιν' ἀλ. M.

ΘΗΣΕΥΣ.

αἰσχρόν γ' ἔλεξας, χρήστ' ἐπικρύπτειν φίλους.

ΑΙΘΡΑ.

οὔτοι σιωπῶσ' εἶτα μέμψομαί ποτε
τὴν νῦν σιωπὴν, ὡς ἐσιγήθη κακῶς,
οὐδ. ὡς ἀχρεῖον τὰς γυναῖκας εὖ λέγειν,
δείσασ' ἀφήσω τῷ φόβῳ τοὐμὸν καλόν.
ἔγωγέ σ', ὦ παῖ, πρῶτα μὲν τὰ τῶν θεῶν
σκοπεῖν κελεύω, μὴ σφαλῇς ἀτιμάσας·
σφαλεῖ γὰρ ἐν τούτῳ μόνῳ, τἄλλ' εὖ φρονῶν.
πρὸς τοῖςδε δ', εἰ μὲν μὴ 'δικουμένοις ἐχρῆν
τολμηρὸν εἶναι, κάρτ' ἂν εἶχον ἡσύχως·
νυνὶ δέ σοί τε τοῦτο τὴν τιμὴν φέρει,
κἀμοὶ παραινεῖν οὐ φόβον φέρει, τέκνον,
ἄνδρας βιαίους καὶ κατείργοντας νεκροὺς
τάφου τε μοίρας καὶ κτερισμάτων λαχεῖν,
ἐς τήνδ' ἀνάγκην σῇ καταστῆσαι χερὶ,
νόμιμά τε πάσης συγχέοντας Ἑλλάδος
παῦσαι· τὸ γάρ τοι συνέχον ἀνθρώπων πόλεις
τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σώζῃ καλῶς.
ἐρεῖ δὲ δή τις, ὡς ἀνανδρίᾳ χερῶν,
πόλει παρόν σοι στέφανον εὐκλείας λαβεῖν,
δείσας ἀπέστης, καὶ συὸς μὲν ἀγρίου
ἀγῶνος ἥψω, φαῦλον ἀθλήσας πόνον,
οὗ δ' ἐς κράνος βλέψαντα καὶ λόγχης ἀκμὴν
χρῆν ἐκπονῆσαι, δειλὸς ὢν ἐφευρέθης.
μὴ δῆτ' ἐμός γ' ὤν, ὦ τέκνον, δράσῃς τάδε.

294. ἔπη κρύπτειν H. φίλοις M. H. 299. ἐγὼ δέ σ'.
308. καταστῆναι M.

ὁρᾷς, ἄβουλος ὥς κεκερτομημένη
τοῖς κερτομοῦσι γοργὸν ὡς ἀναβλέπει
σὴ πατρίς; ἐν γὰρ τοῖς πόνοισιν αὔξεται.
αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσαι πόλεις
σκοτεινὰ καὶ βλέπουσιν εὐλαβούμεναι.
οὐκ εἶ νεκροῖσι καὶ γυναιξὶν ἀθλίαις
προςωφελήσων, ὦ τέκνον, κεχρημέναις;
ὡς οὔτε ταρβῶ σὺν δίκῃ σ' ὁρμώμενον,
Κάδμου θ' ὁρῶσα λαὸν εὖ πεπραγότα,
ἔτ' αὐτὸν ἄλλα βλήματ' ἐν κύβοις βαλεῖν
πέποιθ'· ὁ γὰρ θεὸς πάντ' ἀναστρέφει πάλιν.

ΧΟΡΟΣ.

ὦ φιλτάτη μοι, τῷδέ τ' εἴρηκας καλῶς,
κἀμοί· διπλοῦν δὲ χάρμα γίγνεται τόδε.

ΘΗΣΕΥΣ.

ἐμοὶ λόγοι μέν, μῆτερ, οἱ λελεγμένοι
ὀρθῶς ἔχουσ' ἐς τόνδε, κἀπεφηνάμην
γνώμην, ὑφ' οἵων ἐσφάλη βουλευμάτων·
ὁρῶ δὲ κἀγὼ ταῦθ', ἅπερ με νουθετεῖς,
ὡς τοῖς ἐμοῖσιν οὐχὶ πρόςφορον τρόποις,
φεύγειν τὰ δεινά. πολλὰ γὰρ δράσας καλὰ,
ἔθος τόδ' ἐς Ἕλληνας ἐξελεξάμην,
ἀεὶ κολαστὴς τῶν κακῶν καθεστάναι.
οὔκουν ἀπαυδᾷν δυνατόν ἐστι μοι πόνους.
τί γάρ μ' ἐροῦσιν οἵγε δυςμενεῖς βροτῶν,
ὅθ' ἡ τεκοῦσα [σὺ] χὑπερορρωδοῦσ' ἐμοῦ
πρώτη κελεύεις τόνδ' ὑποστῆναι πόνον;
δράσων τάδ' εἶμι, καὶ νεκροὺς ἐκλύσομαι,

319. ἀβούλως ὡς H. ἄβουλος ὡς M. 320. ὥς M. Γοργόν' ὡς. 338. ἐξεδειξάμην H.

λόγοισι πείσων· εἰ δὲ μὴ, βίᾳ δορὸς
ἤδη τάδ' ἔσται, κοὐχὶ σὺν φθόνῳ θεῶν.
δόξαι δὲ χρῄζω καὶ πόλει πάσῃ τάδε.
δόξει δ', ἐμοῦ θέλοντος· ἀλλὰ τοῦ λόγου
προδοὺς ἔχοιμ' ἂν δῆμον εὐμενέστερον.
καὶ γὰρ κατέστησ' αὐτὸν ἐς μοναρχίαν,
ἐλευθερώσας τήνδ' ἰσόψηφον πόλιν.
λαβὼν δ' Ἄδραστον δεῖγμα τῶν ἐμῶν λόγων,
ἐς πλῆθος αὐτῶν εἶμι· καὶ πείσας τάδε,
λεκτοὺς ἀθροίσας δεῦρ' Ἀθηναίων κόρους,
ἥξω· παρ' ὅπλοις θ' ἥμενος πέμψω λόγους
Κρέοντι, νεκρῶν σώματ' ἐξαιτούμενος.
ἀλλ', ὦ γεραιαὶ, σέμν' ἀφαιρεῖτε στέφη
μητρὸς, πρὸς οἴκους ὥς νιν Αἰγέως ἄγω,
φίλην προςάψας χεῖρα· τοῖς τεκοῦσι γὰρ,
δύστηνος, ὅςτις μὴ 'ντιδουλεύει τέκνων·
κάλλιστον ἔρανον δοὺς γὰρ ἀντιλάζυται
παίδων παρ' αὑτοῦ τοιάδ', ἃ 'ν τοκεῦσι δῷ.

ΧΟΡΟΣ.

Ἱππόβοτον Ἄργος, ὦ πάτριον ἐμὸν πέδον, (στ. ά.)
ἐκλύετε τάδε γ', ἐκλύετ' ἄνακτος
ὅσια περὶ θεοὺς καὶ μεγάλᾳ Πελασ-
γίᾳ καὶ κατ' Ἄργος.
εἰ γὰρ ἐπὶ τέρμα καὶ τὸ πλέον ἐμῶν κακῶν (ἀντ. ά.)
ἱκόμενος ἔτι ματέρος ἄγαλμα
φόνιον ἐξέλοι, γᾶν δὲ φίλαν τὰν Ἰ-
νάχου θεῖτ' ὀνήσας!
καλὸν δ' ἄγαλμα πόλεσιν εὐσεβὴς πόνος, (στρ. β΄.)

346. μὴ οὐχὶ σὺν φθ. H. 362. αὐτοῦ M. 365. καὶ om. M. μεγάλα Πελασγία M. 369. τὰν om. M.

χάριν τ' ἔχει τὰν ἐςαιεί.
τί μοι πόλις κρανεῖ ποτ'; ἆρα φίλιά μοι
τεμεῖ, καὶ τέκνοισιν ταφὰς
ληψόμεσθα;
ἄμυνε ματρὶ, πόλις, ἄμυνε, Παλλάδος, (ἀντ. β'.)
νόμους βροτῶν μὴ μιαίνειν.
σύ τοι σέβεις δίκαν, τὸ δ' ἧσσον ἀδικίᾳ
νέμεις αἰεὶ, τὸν δυςτυχῆ
πάντα ῥύῃ.

ΘΗΣΕΥΣ.

τέχνην μὲν ἀεὶ τήνδ' ἔχων ὑπηρετεῖς
πόλει τε κἀμοὶ, διαφέρων κηρύγματα·
ἐλθὼν δ' ὑπέρ τ' Ἀσωπὸν Ἰσμηνοῦ θ' ὕδωρ,
σεμνῷ τυράννῳ φράζε Καδμείων τάδε·
Θησεύς σ' ἀπαιτεῖ πρὸς χάριν θάψαι νεκροὺς,
συγγείτον' οἰκῶν γαῖαν, ἀξιῶν τυχεῖν,
φίλον τε θέσθαι πάντ' Ἐρεχθειδῶν λεών.
κἂν μὲν θέλωσιν αἰνέσαι, παλίσσυτος
στεῖχ'· ἢν δ' ἀπιστῶσ', οἵδε δεύτεροι λόγοι,
κῶμον δέχεσθαι τὸν ἐμὸν ἀσπιδηφόρον·
στρατὸς δὲ θάσσει κἀξετάζεται παρὼν
Καλλίχορον ἀμφὶ σεμνὸν εὐτρεπὴς ὅδε.
καὶ μὴν ἑκοῦσά γ' ἀσμένη τ' ἐδέξατο
πόλις πόνον τόνδ', ὡς θέλοντά μ' ᾔσθετο.
ἔα· λόγων τίς ἐμποδὼν ὅδ' ἔρχεται;
Καδμεῖος, ὡς ἔοικεν οὐ σάφ' εἰδότι,

373. τιμόπτολις· κρανεῖ ποτ' ἆρα φ. ἰμοι M. 374. τεμοῖ M. 375. ληψόμεθα. 379. νέμεις τόν τ' ἀεὶ δυςτυχῆ H. 384. σεμνόν, τυρ. H. 392. εὐπρεπὴς M. 393. ἑκοῦσά τ' M. 396. οὐ σάφ' οἶδ' ὅτι M. ὅ τι H.

κῆρυξ. ἐπίσχες, ἤν σ' ἀπαλλάξῃ πόνου·
μολὼν δ' ὑπαντᾷ τοῖς ἐμοῖς βουλεύμασιν.

ΚΗΡΥΞ.

τίς γῆς τύραννος; πρὸς τίν' ἀγγεῖλαί με χρὴ
λόγους Κρέοντος, ὃς κρατεῖ Κάδμου χθονὸς,
Ἐτεοκλέους θανόντος ἀμφ' ἑπταστόμους
πύλας ἀδελφοῦ χειρὶ Πολυνείκους ὕπο.

ΘΗΣΕΥΣ.

πρῶτον μὲν ἤρξω τοῦ λόγου ψευδῶς, ξένε,
ζητῶν τύραννον ἐνθάδ'. οὐ γὰρ ἄρχεται
ἑνὸς πρὸς ἀνδρὸς, ἀλλ' ἐλευθέρα πόλις.
δῆμος δ' ἀνάσσει διαδοχαῖσιν ἐν μέρει
ἐνιαυσίαισιν, οὐχὶ τῷ πλούτῳ διδοὺς
τὸ πλεῖστον, ἀλλὰ χὠ πένης ἔχων ἴσον.

ΚΗΡΥΞ.

ἓν μὲν τόδ' ἡμῖν, ὥςπερ ἐν πεσσοῖς, δίδως
κρεῖσσον· πόλις γὰρ, ἧς ἐγὼ πάρειμ' ἄπο,
ἑνὸς πρὸς ἀνδρὸς, οὐκ ὄχλῳ, κρατύνεται·
οὐδ' ἔστιν αὐτὴν ὅςτις ἐκχαυνῶν λόγοις
πρὸς κέρδος ἴδιον ἄλλος ἄλλοσε στρέφει.
ὁ δ' αὐτίχ' ἡδὺς καὶ διδοὺς πολλὴν χάριν,
ἐςαῦθις ἔβλαψ', εἶτα διαβολαῖς νέαις
κλέψας τὰ πρόςθε σφάλματ' ἐξέδυ δίκης.
ἄλλως τε, πῶς ἂν μὴ διορθεύων λόγους,
ὀρθῶς δύναιτ' ἂν δῆμος εὐθύνειν πόλιν;
ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους
κρείσσω δίδωσι. γηπόνος δ' ἀνὴρ πένης,
εἰ καὶ πένοιτο, κἀμαθὴς ἔργων ὕπο,

397. 8. transponit H. et δ' om. ante ὑπαντᾷ. 421. εἰ καὶ γένοιτο μὴ 'μαθὴς, ἔργων ὕπο οὐκ H.

οὐκ ἂν δύναιτο πρὸς τὰ κοίν᾽ ἀποβλέπειν.
ἦ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ᾽ ἀνὴρ ἔχῃ,
γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν.

ΘΗΣΕΥΣ.

κομψός γ᾽ ὁ κῆρυξ καὶ παρεργάτης λόγων.
ἐπεὶ δ᾽ ἀγῶνα καὶ σὺ τόνδ᾽ ἠγωνίσω,
ἄκου᾽· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
οὐδὲν τυράννου δυςμενέστερον πόλει,
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι
κοινοί, κρατεῖ δ᾽ εἷς τὸν νόμον κεκτημένος
αὐτὸς παρ᾽ αὑτῷ, καὶ τόδ᾽ οὐκέτ᾽ ἔστ᾽ ἴσον.
γεγραμμένων δὲ τῶν νόμων ὅ τ᾽ ἀσθενὴς
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει,
ἔστιν δ᾽ ἐνισπεῖν τοῖσιν ἀσθενεστέροις
τὸν εὐτυχοῦντα ταὔθ᾽, ὅταν κλύῃ κακῶς,
νικᾷ δ᾽ ὁ μείων τὸν μέγαν, δίκαι᾽ ἔχων.
τοὐλεύθερον δ᾽ ἐκεῖνο· τίς θέλει πόλει
χρηστόν τι βούλευμ᾽ ἐς μέσον φέρειν ἔχων;
καὶ ταῦθ᾽ ὁ χρῄζων λαμπρὸς ἔσθ᾽, ὁ μὴ θέλων,
σιγᾷ. τί τούτων ἔστ᾽ ἰσαίτερον πόλει;
καὶ μὴν ὅπου γε δῆμος αὐθέντης χθονὸς,
ὑποῦσιν ἀστοῖς ἥδεται νεανίαις.
ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε,
καὶ τοὺς ἀρίστους, οὓς ἂν ἡγῆται φρονεῖν,
κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι.
πῶς οὖν ἔτ᾽ ἂν γένοιτ᾽ ἂν ἰσχυρὰ πόλις,
ὅταν τις, ὡς λειμῶνος ἠρινοῦ στάχυν,

423. νοσῶδες, ταὐτὸ τοῖς ἀμ. H. 432. ἔστι σοι M. 436. ταὔθ᾽ M. 441. ἐστὶν ἰσαίτ. M.

τόλμας ἀφαιρῇ κἀπολωτίζῃ νέους;
κτᾶσθαι δὲ πλοῦτον καὶ βίον τί δεῖ τέκνοις,
ὡς τῷ τυράννῳ πλείον᾽ ἐκμοχθῇ βίον;
ἢ παρθενεύειν παῖδας ἐν δόμοις καλῶς,
τερπνὰς τυράννοις ἡδονὰς, ὅταν θέλῃ,
δάκρυα δ᾽ ἑτοιμάζουσι; μὴ ζῴην ἔτι,
εἰ τἀμὰ τέκνα πρὸς βίαν νυμφεύεται.
καὶ ταῦτα μὲν δὴ πρὸς τάδ᾽ ἐξηκόντισα.
ἥκεις δὲ δὴ τί τῆςδε γῆς κεχρημένος;
κλάων δ᾽ ἂν ἦλθες, εἴ σε μὴ ᾿πεμψεν πόλις,
περισσὰ φωνῶν· τὸν γὰρ ἄγγελον χρεὼν
λέξανθ᾽, ὅσ᾽ ἂν τάξῃ τις, ὡς τάχος πάλιν
χωρεῖν. τὸ λοιπὸν δ᾽ εἰς ἐμὴν πόλιν Κρέων
ἧσσον λάλον σου πεμπέτω τίν᾽ ἄγγελον.

ΧΟΡΟΣ.

φεῦ, φεῦ! κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ᾽, ὡς ἀεὶ πράξοντες εὖ!

ΚΗΡΥΞ.

λέγοιμ᾽ ἂν ἤδη. τῶν μὲν ἠγωνισμένων,
σοὶ μὲν δοκείτω ταῦτ᾽, ἐμοὶ δ᾽ ἐναντία.
ἐγὼ δ᾽ ἀπαυδῶ πᾶς τε Καδμεῖος λεὼς,
Ἄδραστον ἐς γῆν τήνδε μὴ παριέναι·
εἰ δ᾽ ἔστιν ἐν γῇ, πρὶν θεοῦ δῦναι σέλας,
λύσαντα σεμνὰ στεμμάτων μυστήρια,
τῆςδ᾽ ἐξελαύνειν, μηδ᾽ ἀναιρεῖσθαι νεκροὺς
βίᾳ, προςήκοντ᾽ οὐδὲν Ἀργείων πόλει.
κἂν μὲν πίθῃ μοι, κυμάτων ἄτερ πόλιν

451. ὅς M. 455. νυμφεύσεται H. 460. ὡς τ. πόλει M. 466. ἐμοὶ δὲ τἀναντία M. ἐμοὶ δὲ τἀντία H. 469. ἐν τῇ M.

σὴν ναυστολήσεις· εἰ δὲ μὴ, πολὺς κλύδων
ἡμῖν τε καὶ σοὶ ξυμμάχοις τ' ἔσται δορός.
σκέψαι δὲ, καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος
λόγοισιν, ὡς δὴ πόλιν ἐλευθέραν ἔχων,
σφριγῶντ' ἀμείψῃ μῦθον ἐκ βραχιόνων.
ἐλπὶς βροτοῖς κάκιστον, ἣ πολλὰς πόλεις
ξυνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς.
ὅταν γὰρ ἔλθῃ πόλεμος ἐς ψῆφον πόλεως,
οὐδεὶς ἔθ' αὑτοῦ θάνατον ἐκλογίζεται,
τὸ δυστυχὲς δὲ τοῦτ' ἐς ἄλλον ἐκτρέπει·
εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
οὐκ ἄν ποθ' Ἑλλὰς δοριμανὴς ἀπώλλυτο.
καίτοι δυεῖν γε πάντες ἄνθρωποι λόγοιν
τὸν κρείσσον' ἴσμεν καὶ τὰ χρηστὰ καὶ κακὰ,
ὅσῳ τε πολέμου κρεῖσσον εἰρήνη βροτοῖς·
ἣ πρῶτα μὲν Μούσαισι προσφιλεστάτη,
γόοισι δ' ἐχθρὰ, τέρπεταί τ' εὐπαιδίᾳ,
χαίρει δὲ πλούτῳ. ταῦτ' ἀφέντες οἱ κακοὶ
πολέμους ἀναιρούμεσθα, καὶ τὸν ἥσσονα
δουλούμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν.
σὺ δ' ἄνδρας ἐχθροὺς καὶ θανόντας ὠφελεῖς,
θάπτων κομίζων θ', οὓς ὕβρεις ἀπώλεσαν.
οὔ τἄρ' ἔτ' ὀρθῶς Καπανέως κεραύνιον
δέμας καπνοῦται κλιμάκων ὀρθοστάτων,
ἃς προσβαλὼν πύλαισιν ὤμοσεν πόλιν
πέρσειν, θεοῦ θέλοντος, ἤν τε μὴ θέλῃ·
οὐδ' ἥρπασεν χάρυβδις οἰωνοσκόπον,

479. ἐ. γάρ ἐστι κάκ. M. ἐλπίς γέ τοι κ. H. 485. ἀπώλετο M. 486. δυοῖν M. 490. ποιναῖσι M. πόνοισι H. 494. ἐχθροὺς θεοῖς θ. H. 495. οὓς ὕβρις ἀπώλεσεν M.

τέθριππον ἅρμα περιβαλοῦσα χάσματι·
ἄλλοι τε κεῖνται πρὸς πύλαις λοχαγέται,
πέτροις καταξανθέντες ὀστέων ῥαφάς.
ἢ νυν φρονεῖν ἄμεινον ἐξαύχει Διὸς,
ἢ θεοὺς δικαίως τοὺς κακοὺς ἀπολλύναι.
φιλεῖν μὲν οὖν χρὴ τοὺς σοφοὺς πρῶτον τέκνα,
ἔπειτα τοκέας πατρίδα θ', ἣν αὔξειν χρεὼν,
καὶ μὴ κατᾶξαι. σφαλερὸν ἡγεμὼν θρασὺς
νεώς τε ναύτης· ἥσυχος καιρῷ σοφός.
καὶ τοῦτό τοι τἀνδρεῖον, ἡ προμηθία.

ΑΔΡΑΣΤΟΣ.

ἐξαρκέσας ἦν Ζεὺς ὁ τιμωρούμενος,
ἡμᾶς δ' ὑβρίζειν οὐκ ἐχρῆν τοιάνδ' ὕβριν,
ὦ παγκάκιστε.

ΘΗΣΕΥΣ.

σῖγ', Ἄδραστ', ἔχε στόμα,
καὶ μὴ 'πίπροσθε τῶν ἐμῶν τοὺς σοὺς λόγους
θῇς· οὐ γὰρ ἥκει πρὸς σὲ κηρύσσων ὅδε,
ἀλλ' ὡς ἔμ'· ἡμᾶς κἀποκρίνασθαι χρεών.
καὶ πρῶτα μέν σε πρὸς τὰ πρῶτ' ἀμείψομαι·
οὐκ οἶδ' ἐγὼ Κρέοντα δεσπόζοντ' ἐμοῦ,
οὐδὲ σθένοντα μεῖζον, ὥστ' ἀναγκάσαι
δρᾷν τὰς Ἀθήνας ταῦτ'· ἄνω γὰρ ἂν ῥέοι
τὰ πράγμαθ' οὕτως, εἰ 'πιταξόμεσθα δή.
πόλεμον δὲ τοῦτον οὐκ ἐγὼ καθίσταμαι,
ὃς οὐδὲ σὺν τοῖσδ' ἦλθον ἐς Κάδμου χθόνα.
νεκροὺς δὲ τοὺς θανόντας, οὐ βλάπτων πόλιν,
οὐδ' ἀνδροκμῆτας προσφέρων ἀγωνίας,

504. ἢ νῦν M. 509. sine interpunct. M. 510. τοῦτο μοι M.

θάψαι δικαιῶ, τὸν Πανελλήνων νόμον
σώζων. τί τούτων ἐστὶν οὐ καλῶς ἔχον;
εἰ γάρ τι καὶ πεπόνθατ᾽ Ἀργείων ὕπο,
τεθνᾶσιν, ἠμύνασθε πολεμίους καλῶς·
αἰσχρῶς τ᾽ ἐκείνοις χἠ δίκη διοίχεται.
ἐάσατ᾽ ἤδη γῇ καλυφθῆναι νεκρούς.
ὅθεν δ᾽ ἕκαστον ἐς τὸ σῶμ᾽ ἀφίκετο,
ἐνταῦθ᾽ ἀπῆλθε, πνεῦμα μὲν πρὸς αἰθέρα,
τὸ σῶμα δ᾽ ἐς γῆν· οὔτι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτὸ, πλὴν ἐνοικῆσαι βίον,
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.
δοκεῖς κακουργεῖν Ἄργος, οὐ θάπτων νεκρούς;
ἥκιστα· πάσης Ἑλλάδος κοινὸν τόδε,
εἰ τοὺς θανόντας νοσφίσας, ὧν χρῆν λαχεῖν,
ἀτάφους τις ἕξει· δειλίαν γὰρ ἐσφέρει
τοῖς ἀλκίμοισιν, οὗτος ἢν τεθῇ νόμος.
κἀμοὶ μὲν ἦλθες δείν᾽ ἀπειλήσων ἔπη·
νεκροὺς δὲ ταρβεῖτ᾽, εἰ κρυβήσονται χθονί;
τί μὴ γένηται; μὴ κατασκάψωσι γῆν
ταφέντες ὑμῶν; ἢ τέκν᾽ ἐν μυχῷ χθονὸς
φύσωσιν, ἐξ ὧν εἰσί τις τιμωρία;
σκαιόν γε τἀνάλωμα τῆς γλώσσης τόδε,
φόβους πονηροὺς καὶ κενοὺς δεδοικέναι.
ἀλλ᾽, ὦ μάταιοι, γνῶτε τἀνθρώπων κακά·
παλαίσμαθ᾽ ἡμῶν ὁ βίος, εὐτυχοῦσι δὲ
οἱ μὲν τάχ᾽, οἱ δ᾽ ἐσαῦθις, οἱ δ᾽ ἤδη βροτῶν.
τρυφᾷ δ᾽ ὁ δαίμων· πρός τε γαρ τοῦ δυστυχοῦς,
ὡς εὐτυχήσῃ, τίμιος γεραίρεται,

530. αἰσχρῶς τ᾽ (δ᾽ H.) ἐκείνοις· χἠ δ. δ. 533. ἀπελθεῖν.
539. ὧν δεῖ λ. 553. εὐτυχὴς ᾖ.

ὁ δ᾽ ὄλβιός νιν, πνεῦμα δειμαίνων λιπεῖν,
ὑψηλὸν αἴρει. γνόντας οὖν χρεὼν τάδε,
ἀδικουμένους τε μέτρια, μὴ θυμῷ, φέρειν,
ἀδικεῖν τε τοιαῦθ᾽, οἷα μὴ βλάψαι πόλιν.
πῶς οὖν ἂν εἴη; τοὺς ὀλωλότας νεκροὺς
θάψαι δὸς ἡμῖν τοῖς θέλουσιν εὐσεβεῖν.
ἢ δῆλα τἀνθένδ᾽· εἶμι καὶ θάψω βίᾳ.
οὐ γάρ ποτ᾽ εἰς Ἕλληνας ἐξοισθήσεται,
ὡς εἰς ἔμ᾽ ἐλθὼν καὶ πόλιν Πανδίονος
νόμος παλαιὸς δαιμόνων διεφθάρη.

ΧΟΡΟΣ.

θάρσει· τὸ γάρ τοι τῆς δίκης σώζων φάος,
πολλοὺς ὑπεκφύγοις ἂν ἀνθρώπων λόγους.

ΚΗΡΥΞ.

βούλει, συνάψω μῦθον ἐν βραχεῖ σέθεν;

ΘΗΣΕΥΣ.

λέγ᾽, εἴ τι βούλει· καὶ γὰρ οὐ σιγηλὸς εἶ.

ΚΗΡΥΞ.

οὐκ ἄν ποτ᾽ ἐκ γῆς παῖδας Ἀργείων λάβοις.

ΘΗΣΕΥΣ.

κἀμοῦ νυν ἀντάκουσον, εἰ βούλει, πάλιν.

ΚΗΡΥΞ.

κλύοιμ᾽ ἄν· οὐ γὰρ ἀλλὰ δεῖ δοῦναι μέρος.

ΘΗΣΕΥΣ.

θάψω νεκροὺς, γῆς ἐξελὼν Ἀσωπίας.

ΚΗΡΥΞ.

ἐν ἀσπίσιν σοι πρῶτα κινδυνευτέον.

559. εἰσιδεῖν M. 569. κἀμοῦ νῦν M.

ΘΗΣΕΥΣ.

πολλοὺς ἔτλην δὴ χἀτέρους ἄλλους πόνους.

ΚΗΡΥΞ.

ἦ πᾶσιν οὖν σ᾽ ἔφυσεν ἐξαρκεῖν πατήρ;

ΘΗΣΕΥΣ.

ὅσοι γ᾽ ὑβρισταί· χρηστὰ δ᾽ οὐ κολάζομεν.

ΚΗΡΥΞ.

πράσσειν σὺ πόλλ᾽ εἴωθας ἥ τε σὴ πόλις.

ΘΗΣΕΥΣ.

τοιγὰρ πονοῦσα πολλὰ πόλλ᾽ εὐδαιμονεῖ.

ΚΗΡΥΞ.

ἔλθ᾽, ὥς σε λόγχη Σπαρτὸς ἐν πόλει λάβῃ.

ΘΗΣΕΥΣ.

τίς δ᾽ ἐκ δράκοντος θοῦρος ἂν γένοιτ᾽ Ἄρης;

ΚΗΡΥΞ.

γνώσει σὺ πάσχων. νῦν δ᾽ ἔτ᾽ εἶ νεανίας.

ΘΗΣΕΥΣ.

οὔτοι μ᾽ ἐπαίρεις, ὥστε θυμῶσαι φρένας,
τοῖς σοῖσι κόμποις. ἀλλ᾽ ἀποστέλλου χθονὸς,
λόγους ματαίους, οὕσπερ ἠνέγκω, λαβών.
περαίνομεν γὰρ οὐδέν. ὁρμᾶσθαι χρεὼν
πάντ᾽ ἄνδρ᾽ ὁπλίτην ἁρμάτων τ᾽ ἐπεμβάτην,
μοναμπύκων τε φάλαρα κινεῖσθαι, στόμα
ἀφρῷ καταστάζοντα, Καδμείαν χθόνα.
χωρήσομαι γὰρ ἑπτὰ πρὸς Κάδμου πύλας
αὐτὸς σίδηρον ὀξὺν ἐν χεροῖν ἔχων,
αὐτός τε κῆρυξ. σοὶ δὲ προστάσσω μένειν,
Ἄδραστε, κἀμοὶ μὴ ᾽ναμίγνυσθαι τύχας

579. τί δ᾽; ἐκ M. 589. 90. inverso ordine M. 590. αὐτός γε M.

τὰς σάς· ἐγὼ γὰρ δαίμονος τοὐμοῦ μέτα
στρατηλατήσω κλεινὸς ἐν κλεινῷ δορί.
ἓν δεῖ μόνον μοι, τοὺς θεοὺς ἔχειν, ὅσοι
δίκην σέβονται· ταῦτα γὰρ ξυνόνθ᾽ ὁμοῦ
νίκην δίδωσιν. ἡ ᾽ρετὴ δ᾽ οὐδὲν φέρει
βροτοῖσιν, ἢν μὴ τὸν θεὸν χρῄζοντ᾽ ἔχῃ.

ΗΜΙΧΟΡΙΟΝ ά.

Ὦ μέλεαι μελέων ματέρες λοχαγῶν, (στρ. ά.)
ὥς μοι ὑφ᾽ ἥπατι δεῖμα χλοερὸν ταράσσει!

ΗΜΙΧΟΡΙΟΝ β'.

τίν᾽ αὐδὰν τάνδε προσφέρεις νέαν;

ΗΜΙΧΟΡΙΟΝ ά.

στράτευμα πᾶ Παλλάδος κριθήσεται;

ΗΜΙΧΟΡΙΟΝ β'.

διὰ δορὸς εἶπας, ἢ λόγων ξυναλλαγαῖς;

ΗΜΙΧΟΡΙΟΝ ά.

γένοιτ᾽ ἂν κέρδος: εἰ δ᾽ ἀρείφατοι φόνοι,
μάχαι στερνοτυπεῖς τ᾽ ἀνὰ τόπον
πάλιν φανήσονται κτύποι —
ὦ τάλαινα, τίνα λόγον,
τίν᾽ ἂν τῶνδ᾽ αἰτία λάβοιμι;

ΗΜΙΧΟΡΙΟΝ β'.

ἀλλὰ τὸν εὐτυχίᾳ λαμπρὸν ἂν τις αἱροῖ (ἀντ. ά.)
μοῖρα πάλιν· τόδε μοι τὸ θράσος ἀμφιβαίνει.

ΗΜΙΧΟΡΙΟΝ ά.

δικαίους δαίμονας σύ γ᾽ ἐννέπεις.

593. καινὸς ἐν καινῷ M. 597. εἰ — ἔχει. 601. στράτ. μὲν Π. M. 603. οἱ δ᾽ ἀρείφ. M. 604. στερνοτυπεῖς γ᾽ M. 605. πάλιν κτύποι φανήσονται M. 607. αἰτίαν M. 608. εὐτυχῆ. Ib. αἱρῇ M. αἴροι H. 609. τό om. M.

ΗΜΙΧΟΡΙΟΝ β'.

τίνες γὰρ ἄλλοι νέμουσι συμφοράς;

ΗΜΙΧΟΡΙΟΝ ά.

διάφορα πολλὰ θεῶν βροτοῖσιν εἰσορῶ.

ΗΜΙΧΟΡΙΟΝ β'.

φόβῳ γὰρ τῷ πάρος διόλλυσαι· δίκα
δίκαν ἐξεκάλεσε καὶ φόνος
φόνον, κακῶν δ' ἀναψυχὰς
θεοὶ βροτοῖσι νέμουσι,
πάντων τέρματ' ἔχοντες αὐταί.

ΗΜΙΧΟΡΙΟΝ ά.

τὰ καλλίπυργα πεδία πῶς ἱκοίμεθ' ἄν, (στρ. β'.)
καλλίχορον θεᾶς ὕδωρ λιποῦσαι!

ΗΜΙΧΟΡΙΟΝ β'.

ποτανὰν εἴ μέ τις θεῶν κτίσαι,
διπόταμον ἵνα πόλιν μόλω!

ΗΜΙΧΟΡΙΟΝ ά.

εἰδείης ἂν φίλων,
εἰδείης ἂν τύχας.

ΗΜΙΧΟΡΙΟΝ β'.

τίς ποτ' αἶσα, τίς ἄρα πότμος
ἐπιμένει τὸν ἄλκιμον
τᾶσδε γᾶς ἄνακτα;

ΗΜΙΧΟΡΙΟΝ ά.

κεκλημένους μὲν ἀνακαλούμεθ' αὖ θεούς· (ἀντ. β'.)
ἀλλὰ φόβων πίστις ἅδε πρώτα.

615. ἀνὰ ψυχάς M. 617. ἁπάντων τέρμ' ἔχ. αὐτοί M. πάντων τέρμ' ἔχ. α. H. 620. εἴ αέ τις M. 623. ψυχάς M. 624. ἔτι ποτ' αἶσα. 626. τᾶσδε γᾶς M.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἰὼ Ζεῦ, τᾶς παλαιομάτορος
παιδογόνε πόριος Ἰνάχου!

ΗΜΙΧΟΡΙΟΝ ά.

πόλει μοι ξύμμαχος
γενοῦ τᾷδ' εὐμενής.

ΗΜΙΧΟΡΙΟΝ β'.

τὸ σὸν ἄγαλμα, τὸ σὸν ἵδρυμα
πόλεος ἐκκομίζομαι
πρὸς πυρὰν ὑβρισθέν.

ΑΓΓΕΛΟΣ.

Γυναῖκες, ἥκω πόλλ' ἔχων λέγειν φίλα,
αὐτός τε σωθεὶς (ᾑρέθην γὰρ ἐν μάχῃ,
ἵν' οἱ θανόντων ἑπτὰ δεσποτῶν λόχοι
ἠγωνίσαντο, ῥεῦμα Διρκαῖον πάρα)
νίκην τε Θησέως ἀγγελῶν. λόγου δέ σε
μακροῦ 'ποπαύσω· Καπανέως γὰρ ἦν λάτρις,
ὃν Ζεὺς κεραυνῷ πυρπόλῳ καταιθαλοῖ.

ΧΟΡΟΣ.

ὦ φίλτατ', εὖ μὲν νόστον ἀγγέλλεις σέθεν
τήν τ' ἀμφὶ Θησέως βάξιν· εἰ δὲ καὶ στρατὸς
σῶς ἐστ' Ἀθηνῶν, πάντ' ἂν ἀγγέλλοις φίλα.

ΑΓΓΕΛΟΣ.

σῶς, καὶ πεπραγμέν', ὡς Ἄδραστος ὤφελε
πρᾶξαι ξὺν Ἀργείοισιν, ὡς ἀπ' Ἰνάχου
στείλας ἐπεστράτευσε Καδμείων πόλιν.

ΧΟΡΟΣ.

πῶς γάρ; τρόπαια Ζηνὸς Αἰγέως τόκος

634. ἐκκόμιζέ μοι H. 638. θανόντες M. 644. τάξιν M. 647. οὓς ἀπ' H.

ἔστησεν, οἵ τε συμμετασχόντες δορός;
λέξον. παρὼν γὰρ τοὺς παρόντας εὐφρανεῖς.

ΑΓΓΕΛΟΣ.

λαμπρὰ μὲν ἀκτὶς ἡλίου, κανὼν σαφὴς,
ἔβαλλε γαῖαν· ἀμφὶ δ' Ἠλέκτρας πύλας
ἔστην θεατὴς, πύργον εὐαυγῆ λαβών.
ὁρῶ δὲ φῦλα τρία τριῶν στρατευμάτων,
τευχεσφόρον μὲν λαὸν ἐκτείνοντ' ἄνω
Ἰσμήνιον πρὸς ὄχθον, ὡς μὲν ἦν λόγος,
αὐτόν τ' ἄνακτα, παῖδα κλεινὸν Αἰγέως,
καὶ τοὺς ξὺν αὐτῷ δεξιὸν τεταγμένους
κέρας παλαιᾶς Κεκροπίας οἰκήτορας·
λαιὸν δὲ Πάραλον, ἐστολισμένον δορὶ,
κρήνην παρ' αὐτὴν Ἄρεος, ἱππότην τ' ὄχλον
πρὸς κρασπέδοισι στρατοπέδου τεταγμένον
ἴσους ἀριθμόν· ἁρμάτων δ' ὀχήματα
ἔνερθε σεμνῶν μνημάτων Ἀμφίονος.
Κάδμου δὲ λαὸς ἧστο πρόσθε τειχέων,
νεκροὺς ὄπισθε θέμενος, ὧν ἔκειτ' ἀγών.
ἱππεῦσί θ' ἱππῆς ἦσαν ἀνθωπλισμένοι,
τετραόροισί τ' ἀντί' ἅρμαθ' ἅρμασιν.
κῆρυξ δὲ Θησέως εἶπεν ἐς πάντας τάδε·
Σιγᾶτε, λαοὶ, σῖγα, Καδμείων στίχες,
ἀκούσαθ'· ἡμεῖς ἥκομεν νεκροὺς μέτα,
θάψαι θέλοντες, τὸν Πανελλήνων νόμον
σώζοντες, οὐδὲν δεόμενοι τεῖναι φόνον.
κοὐδὲν Κρέων τοῖσδ' ἀντεκήρυξεν λόγοις,

651. τοὺς ἀπόντας M. 654. εὐαγῆ M. 661. αὐτὸν M. 662. ἱππότην ὄχον. 666. πρόσθεν M. 667. ὄπισθεν. 668. ἱππεῖς M. 674. θεῖναι H.

ἀλλ' ἧστ' ἐφ' ὅπλοις σῖγα. ποιμένες δ' ὄχων
τετραόρων κατῆρχον ἐντεῦθεν μάχης·
πέραν δὲ διελάσαντες ἀλλήλων ὄχους,
παραιβάτας ἔστησαν ἐς τάξιν δορός.
χοἱ μὲν σιδήρῳ διεμάχονθ', οἱ δ' ἔστρεφον
πώλους ἐς ἀλκὴν αὖθις ἐς παραιβάτας.
ἰδὼν δὲ Φόρβας, ὃς μοναμπύκων ἄναξ
ἦν τοῖς Ἐρεχθείδαισιν, ἁρμάτων ὄχον,
οἵ τ' αὖ τὰ Κάδμου διεφύλασσον ἱππικον,
συνῆψαν ἀλκὴν, καὶ 'κράτουν, ἡσσῶντό τε.
λεύσσων δὲ ταῦτα, κοὐ κλύων, (ἐκεῖ γὰρ ἦν,
ἔνθ' ἅρματ' ἠγωνίζεθ' οἵ τ' ἐπεμβάται,)
τἀκεῖ παρόντα πολλὰ πήματ', οὐκ ἔχω,
τί πρῶτον εἴπω, πότερα τὴν ἐς οὐρανὸν
κόνιν προσαντέλλουσαν, ὡς πολλὴ παρῆν,
ἢ τοὺς ἄνω τε καὶ κάτω φορουμένους
ἱμᾶσιν, αἵματός τε φοινίου ῥοὰς,
τῶν μὲν πιτνόντων, τῶν δὲ, θραυσθέντων δίφρων,
ἐς κρᾶτα πρὸς γῆν ἐκκυβιστώντων βίᾳ,
πρὸς ἁρμάτων τ' ἀγαῖσι λειπόντων βίον.
νικῶντα δ' ἵπποις ὡς ὑπείδετο στρατὸν
Κρέων τὸν ἐνθένδ', ἰτέαν λαβὼν χερὶ
χωρεῖ, πρὶν ἐλθεῖν ξυμμάχοις δυσθυμίαν.
καὶ μὴν τὰ Θησέως γ' οὐκ ὄκνῳ διεφθάρη,
ἀλλ' ἵετ' εὐθὺς, λάμπρ' ἀναρπάσας ὅπλα·
καὶ συμπατάξαντες μέσον πάντα στρατὸν,
ἔκτεινον, ἐκτείνοντο, καὶ παρηγγύων
κελευσμὸν ἀλλήλοισι σὺν πολλῇ βοῇ,
θεῖν', ἀντέρειδε τοῖς Ἐρεχθείδαις δόρυ.

681. αὖτις M. 689. εἰς οὐρ. 691. τὰς — φορουμένας M.

λόχος δ' ὀδόντων ὄφεος ἐξηνδρωμένος
δεινὸς παλαιστὴς ἦν· ἔκλινε γὰρ κέρας
τὸ λαιὸν ἡμῶν· δεξιοῦ δ' ἡσσώμενον
φεύγει τὸ κείνων, ἦν δ' ἀγὼν ἰσόῤῥοπος.
κἀν τῷδε τὸν στρατηγὸν αἰνέσαι παρῆν·
οὐ γὰρ τὸ νικῶν τοῦτ' ἐκέρδαινεν μόνον,
ἀλλ' ᾤχετ' ἐς τὸ κάμνον οἰκείου στρατοῦ.
ἔῤῥηξε δ' αὐδὴν, ὥςθ' ὑπηχῆσαι χθόνα·
ὦ παῖδες, εἰ μὴ σχήσετε στεῤῥὸν δόρυ
σπαρτῶν τόδ' ἀνδρῶν, οἴχεται τὰ Παλλάδος.
θάρσος δ' ἐνῶρσε παντὶ Κραναϊδῶν στρατῷ.
αὐτός θ' ὅπλισμα τοὐπιδαύριον λαβὼν
δεινῆς κορύνης διαφέρων ἐσφενδόνα,
ὁμοῦ τραχήλους κἀπικείμενον κάρα
κυνέας θερίζων κἀποκαυλίζων ξύλῳ.
μόλις δέ πως ἔτρεψαν ἐς φυγὴν πόδα.
ἐγὼ δ' ἀνηλάλαξα κἀνωρχησάμην
κἄκραυσα χεῖρας. οἱ δ' ἔτεινον ἐς πύλας.
βοὴ δὲ καὶ κωκυτὸς ἦν ἀνὰ πτόλιν
νέων, γερόντων, ἱερά τ' ἐξεπίμπλασαν
φόβῳ. παρὸν δὲ τειχέων εἴσω μολεῖν,
Θησεὺς ἐπέσχεν· οὐ γὰρ ὡς πέρσων πόλιν
μολεῖν ἔφασκεν, ἀλλ' ἀπαιτήσων νεκρούς.
τοιόνδε τὸν στρατηγὸν αἱρεῖσθαι χρεὼν,
ὃς ἔν τε τοῖς δεινοῖσιν ἐστὶν ἄλκιμος,
μισεῖ θ' ὑβριστὴν λαὸν, ὃς, πράσσων καλῶς,
ἐς ἄκρα βῆναι κλιμάκων ἐνήλατα
ζητῶν, ἀπώλεσ' ὄλβον, ᾧ χρῆσθαι παρῆν.

710. ἐκύδαινεν H. 715. Δαναϊδῶν M. 719. κἀποδαυλίζων M. 720. ἔτρεψεν M.

ΧΟΡΟΣ.

νῦν, τήνδ' ἄελπτον ἡμέραν ἰδοῦσ' ἐγὼ,
θεοὺς νομίζω, καὶ δοκῶ τῆς συμφορᾶς
ἔχειν ἔλασσον, τῶνδε τισάντων δίκην.

ΑΔΡΑΣΤΟΣ.

ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα,
δρῶμέν τε τοιαῦθ', ἃ ἂν σὺ τυγχάνῃς θέλων.
ἡμῖν γὰρ ἦν τό τ' Ἄργος οὐχ ὑποστατὸν,
αὐτοί τε πολλοὶ καὶ νέοι βραχίοσιν,
Ἐτεοκλέους τε σύμβασιν ποιουμένου,
μέτρια θέλοντος οὐκ ἐχρῄζομεν λαβεῖν,
κἄπειτ' ἀπωλόμεσθ'. ὅδ' αὖ τότ' εὐτυχὴς,
λαβὼν, πένης ὣς, ἀρτίπλουτα χρήματα,
ὕβριζ', ὑβρίζων τ' αὖθις ἀνταπώλετο
Κάδμου κακόφρων λαός. ὦ κενοὶ βροτῶν,
οἳ τόξον ἐντείνοντες ὡς καιροῦ πέρα,
καὶ πρὸς δίκης γε πολλὰ πάσχοντες κακὰ,
φίλοις μὲν οὐ πείθεσθε, τοῖς δὲ πράγμασιν,
πόλεις τ', ἔχουσαι διὰ λόγου κάμψαι κακὰ,
φόνῳ καθαιρεῖσθ', οὐ λόγῳ, τὰ πράγματα.
ἀτὰρ τί ταῦτα; κεῖνο βούλομαι μαθεῖν,
πῶς ἐξεσώθης· εἶτα τἄλλ' ἐρήσομαι.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ ταραγμὸς πόλιν ἐκίνησεν δορί,
πύλας διῆλθον, ᾗπερ εἰςῄει στρατός.

ΑΔΡΑΣΤΟΣ.

ὧν δ' οὕνεχ' ἁγὼν ἦν, νεκροὺς κομίζετε;

734. τὰς σ. M. 738. ἂν σὺ M. 739. ἡμῖν γὰρ Ἄργος ἦν τότ' οὐχ ὑ. H. 745. αὖτις M. 754. δορός H. 756. οὕνεκ' ἀγὼν M.

ΑΓΓΕΛΟΣ.

ὅσοι γε κλεινοῖς ἑπτ᾽ ἐφέστασαν λόχοις.

ΑΔΡΑΣΤΟΣ.

πῶς φής; ὁ δ᾽ ἄλλος ποῦ κεκμηκότων ὄχλος;

ΑΓΓΕΛΟΣ.

τάφῳ δέδονται πρὸς Κιθαιρῶνος πτυχαῖς.

ΑΔΡΑΣΤΟΣ.

τοὐκεῖθεν, ἢ τοὐνθένδε; τίς δ᾽ ἔθαψέ νιν;

ΑΓΓΕΛΟΣ.

Θησεύς, σκιώδης ἔνθ᾽ Ἐλευθερὶς πέτρα.

ΑΔΡΑΣΤΟΣ.

οὓς δ᾽ οὐκ ἔθαψε, πῆ νεκροὺς ἥκεις λιπών;

ΑΓΓΕΛΟΣ.

ἐγγύς· πέλας γὰρ πᾶν, ὅ τι σπουδάζεται.

ΑΔΡΑΣΤΟΣ.

ἦπου πικρῶς νιν θέραπες ἦγον ἐκ φόνου;

ΑΓΓΕΛΟΣ.

οὐδεὶς ἐπέστη τῷδε δοῦλος ὢν πόνῳ.
φαίης ἄν, εἰ παρῆσθ᾽, ὅτ᾽ ἠγάπα νεκρούς.

ΑΔΡΑΣΤΟΣ.

ἔνιψεν αὐτὸς τῶν ταλαιπώρων σφαγάς;

ΑΓΓΕΛΟΣ.

κἄστρωσέ γ᾽ εὐνὰς, κἀκάλυψε σώματα.

ΑΔΡΑΣΤΟΣ.

δεινὸν μὲν ἦν βάσταγμα κἀσχύνην ἔχον.

ΑΓΓΕΛΟΣ.

τί δ᾽ αἰσχρὸν ἀνθρώποισι τἀλλήλων κακά;

762. ποῦ H. ἥκει M. 765. Inter hunc et sequ. v. Ἄδραστος cum notis lacunae H. 767. αὐτῶν M. et versus tribuitur choro, ut 769. 70.

ΑΔΡΑΣΤΟΣ.

οἴ μοι! πόσῳ σφιν συνθανεῖν ἂν ἤθελον!

ΑΓΓΕΛΟΣ.

ἄκραντ᾽ ὀδύρει, ταῖσδέ τ᾽ ἐξάγεις δάκρυ.

ΑΔΡΑΣΤΟΣ.

δοκῶ μέν, αὐταί γ᾽ εἰσὶν αἱ διδάσκαλοι.
ἀλλ᾽ εἶεν, αἴρω χεῖρ᾽, ἀπαντήσων νεκροῖς,
Ἅιδου τε μολπὰς ἐκχέω δακρυῤῥόους,
φίλους προσαυδῶν, ὧν λελειμμένος τάλας
ἔρημα κλάω· τοῦτο γὰρ μόνον βροτοῖς
οὐκ ἔστι τἀνάλωμ᾽ ἀναλωθὲν λαβεῖν,
ψυχὴν βροτείαν· χρημάτων δ᾽ εἰσὶν πόροι.

ΧΟΡΟΣ.

τὰ μὲν εὖ, τὰ δὲ δυστυχῆ· (στρ. ά.)
πόλει μὲν εὐδοξία
καὶ στρατηλάταις δορὸς
διπλάζεται τιμά.
ἐμοὶ δὲ τῶν παίδων μὲν εἰσιδεῖν μέλη
πικρόν, καλὸν θέαμα δ᾽, εἴπερ ὄψομαι
τὰν ἄελπτον ἁμέραν,
ἰδοῦσα πάντων μέγιστον ἄλγος.
ἄγαμόν μ᾽ ἔτι δεῦρ᾽ ἀεὶ (ἀντιστ. ά.)
χρόνος παλαιὸς. πατὴρ
ὤφελ᾽ ἁμερᾶν κτίσαι!
τί γάρ μ᾽ ἔδει παίδων;
τὸ μὲν γὰρ οὐκ ἤλπιζον ἂν πεπονθέναι
πάθος περισσόν, εἰ γάμων ἀπεζύγην.
νῦν δ᾽ ὁρῶ σαφέστατον

774. ἀπαντήσας. 783. τιμή M. 784. ἐμοὶ δὲ ἐμῶν παίδων H. 790. ἁμέρα M. 791. με δεῖ M.

κακόν, τέκνων φιλτάτων στερεῖσθαι.
Ἀλλὰ τάδ' ἤδη σώματα λεύσσω
τῶν οἰχομένων παίδων· μελέα
πῶς ἂν ὀλοίμαν σὺν τοῖσδε τέκνοις
κοινὸν ἐς ᾅδην καταβᾶσα!

ΑΔΡΑΣΤΟΣ.

Στεναγμόν, ὦ ματέρες, (στρ. β'.)
τῶν κατὰ χθονὸς νεκρῶν
ἀΰσατ', ἀπύσατ' ἀντίφων' ἐμῶν
στεναγμάτων κλύουσαι.

ΧΟΡΟΥ ἡ ά.

ὦ παῖδες, ὦ πικρὸν φίλων
προσηγόρημα ματέρων,
προσαυδῶ σε, τὸν θανόντα.

ΑΔΡΑΣΤΟΣ.

ἰώ! ἰὼ τῶν γ' ἐμῶν κακῶν ἐγώ!

ΧΟΡΟΣ.

αἶ αἶ!

ΑΔΡΑΣΤΟΣ.

* * * *

ΧΟΡΟΣ.

ἐπάθομεν ὦ τὰ κύντατ' ἄλγη κακῶν!

ΑΔΡΑΣΤΟΣ.

ὦ πόλις Ἀργεία, τὸν ἐμὸν πότμον οὐκ ἐσορᾶτε;

ΧΟΡΟΥ ἡ ά.

ὁρῶσι κἀμὲ δῆτα τὴν
τάλαιναν, τέκνων ἄπαιδα.

795. στερεῖσα H. 798. ὀλοίμην. 807. ΜΗΤΗΡ ἡ β'. τῶν γ' ἐμῶν H. 808. ΑΔΡ. H. et post hunc vs. ΘΕΡΑΠΑΙΝΑ ἡ ά. cum signis lacunae. 809. ΑΔΡ. ἐπ. ὦ. ΘΕΡ. ἡ β'. τὰ κύντ. H.

ΑΔΡΑΣΤΟΣ.

προσάγετε τῶν δυσπότμων (ἀντ. β'.)
σώμαθ' αἱματοσταγῆ,
σφαγέντα τ' οὐκ ἄξι', οὐδ' ὑπ' ἀξίων,
ἐν οἷς ἀγὼν ἐκράνθη.

ΧΟΡΟΥ ἡ ά.

δόθ', ὡς περιπτυχαῖσι δὴ
χέρας προσαρμόσασ' ἐμοῖς
ἐν ἀγκῶσι τέκνα θῶμαι.

ΑΔΡΑΣΤΟΣ.

ἔχεις, ἔχεις.

ΧΟΡΟΣ.

πημάτων γ' ἅλις βάρος.

ΑΔΡΑΣΤΟΣ.

αἶ αἶ!

ΧΟΡΟΣ.

τοῖς τεκοῦσι δ' οὖν λέγεις.

ΑΔΡΑΣΤΟΣ.

ἀΐετέ μου.

ΧΟΡΟΣ.

στένεις ἐπ' ἀμφοῖν ἄχη.

ΑΔΡΑΣΤΟΣ.

εἴθε με Καδμείων ἔναρον στίχες ἐν κονίαισιν!

ΧΟΡΟΥ ἡ ά.

ἐμὸν δὲ μή ποτ' ἐζύγη
δέμας γ' εἴς τιν' ἀνδρὸς εὐνάν!

813. προσάγετ' ὦ δυσπότμῳ M. 818. προσαρμόσας M. 820. ΧΟΡ. ἔχ. ἔχ. ΑΔΡ. πημ. M. 821. ΧΟΡ. αἲ αἴ· τοῖς τεκ. δ' οὐ λέγεις M. 822. ΘΕΡΑΠ. ἡ δ'. στένεις H. 825. δέμας εἰς M.

ΑΔΡΑΣΤΟΣ.

ἴδετε κακῶν πέλαγος, ὦ (ἐπῳδός.)
ματέρες τάλαιναι τέκνων.

ΧΟΡΟΣ.

κατὰ μὲν ὄνυξιν ἠλοκίσμεθ᾽, ἀμφὶ δὲ
σποδὸν κάρα κεχύμεθα.

ΑΔΡΑΣΤΟΣ.

ἰὼ ἰώ μοί μοι!
κατά με πέδον γᾶς ἕλοι,
διὰ δὲ θύελλα σπάσαι,
πυρός τε φλογμὸς ὁ Διὸς ἐν κάρᾳ πέσοι!

ΧΟΡΟΣ.

πικροὺς ἐςεῖδες γάμους,
πικρὰν δὲ Φοίβου φάτιν·
ἔρημά σ᾽ ἁ πολύστονος
Οἰδιπόδα δώματα λιποῦσ᾽
ἦλθ᾽ Ἐριννύς.

ΘΗΣΕΥΣ.

Μέλλων σ᾽ ἐρωτᾷν, ἡνίκ᾽ ἐξήντλεις στρατῷ
γόους, ἀφήσω, τοὺς ἐκεῖ μὲν ἐκλιπὼν
ἐς τὰ σά γε μύθους. νῦν δ᾽ Ἄδραστον ἱστορῶ·
πόθεν ποθ᾽ οἵδε διαπρεπεῖς εὐψυχίᾳ
θνητῶν γ᾽ ἔφυσαν; εἰπέ γ᾽, ὡς σοφώτερος,
νέοισιν ἀστῶν τῶνδ᾽· ἐπιστήμων γὰρ εἶ.
εἶδον γὰρ αὐτῶν κρείσσον᾽, ἢ λέξαι λόγῳ,
τολμήμαθ᾽, οἷς ἤλπιζον αἱρήσειν πόλιν.
ἓν δ᾽ οὐκ ἐρήσομαί σε, μὴ γέλωτ᾽ ὄφλω,
ὅτῳ ξυνέστη τῶνδ᾽ ἕκαστος ἐν μάχῃ,
ἢ τραῦμα λόγχης πολεμίων ἐδέξατο.

836. ἔγημας· ἁ πολύστ. 843. γ᾽ om. M.

κενοὶ γὰρ οὗτοι τῶν τ᾽ ἀκουόντων λόγοι
καὶ τοῦ λέγοντος, ὅςτις ἐν μάχῃ βεβὼς,
λόγχης ἰούσης πρόςθεν ὀμμάτων πυκνῆς,
σαφῶς ἀπήγγειλ᾽, ὅςτις ἐστὶν ἀγαθός.
οὐκ ἂν δυναίμην οὔτ᾽ ἐρωτῆσαι τάδε,
οὔτ᾽ ἂν πιθέσθαι τοῖσι τολμῶσιν λέγειν·
μόλις γὰρ ἄν τις αὐτὰ τἀναγκαῖ᾽ ὁρᾷν
δύναιτ᾽ ἂν, ἑστὼς πολεμίοις ἐναντίος.

ΑΔΡΑΣΤΟΣ.

ἄκουε δή νυν. καὶ γὰρ οὐκ ἄκοντί μοι
δίδως ἔπαινον ὧν ἔγωγε βούλομαι
φίλων ἀληθῆ καὶ δίκαι᾽ εἰπεῖν πέρι.
ὁρᾷς, τὸ δῖον οὗ βέλος διέπτατο;
Καπανεὺς ὅδ᾽ ἐστίν· ᾧ βίος μὲν ἦν πολὺς,
ἥκιστα δ᾽ ὄλβῳ γαῦρος ἦν· φρόνημα δὲ
οὐδέν τι μεῖζον εἶχεν, ἢ πένης ἀνὴρ,
φεύγων, τραπέζαις ὅςτις ἐξογκοῖτ᾽ ἄγαν,
τἀρκοῦντ᾽ ἀτίζων· οὐ γὰρ ἐν γαστρὸς βορᾷ
τὸ χρηστὸν εἶναι, μέτρια δ᾽ ἐξαρκεῖν ἔφη.
φίλοις τ᾽ ἀληθὴς ἦν φίλος παροῦσί τε
καὶ μὴ παροῦσιν· ὧν ἀριθμὸς οὐ πολύς.
ἀψευδὲς ἦθος, εὐπροςήγορον στόμα,
ἄκραντον οὐδὲν οὐδ᾽ ἐς οἰκέτας ἔχων,
οὔτ᾽ ἐς πολίτας. Τὸν δὲ δεύτερον λέγω,
Ἐτέοκλον, ἄλλην χρηστότητ᾽ ἠσκηκότα·
νεανίας ἦν, τῷ βίῳ μὲν ἐνδεὴς,
πλείστας δὲ τιμὰς ἔσχεν Ἀργείᾳ χθονί.

850. κοινοὶ M. 855. οὔτ᾽ αὖ H. 858. δὴ νῦν. 859. τῶν. 861. ὁρᾷς τὸν ἁβρόν, οὗ M. 865. ψέγων H. 868. φίλος—ἦν · M. 871. οὔτ᾽ H. 873. ἄλλον χρ. 875. ἔσχ᾽ ἐν H.

φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων,
οὐκ εἰσεδέξατ' οἶκον, ὥστε τοὺς τρόπους
δούλους παρασχεῖν χρημάτων ζευχθεὶς ὕπο.
τούς τ' ἐξαμαρτάνοντας, οὐχὶ τὴν πόλιν,
ἤχθαιρ'· ἐπεί τοι κοὐδὲν αἰτία πόλις,
κακῶς κλύουσα διὰ κυβερνήτην κακόν. —
ὁ δ' αὖ τρίτος τῶνδ' Ἱππομέδων τοιόσδ' ἔφυ·
παῖς ὢν ἐτόλμησ' εὐθὺς οὐ πρὸς ἡδονὰς
Μουσῶν τραπέσθαι, πρὸς τὸ μαλθακὸν βίου,
ἀγροὺς δὲ ναίων, σκληρὰ τῇ φύσει διδοὺς
ἔχαιρε πρὸς τἀνδρεῖον, ἔς τ' ἄγρας ἰὼν
ἵπποις τε χαίρων τόξα τ' ἐντείνων χεροῖν,
πόλει παρασχεῖν σῶμα χρήσιμον θέλων. —
ὁ τῆς κυναγοῦ δ' ἄλλος Ἀταλάντης γεγὼς
παῖς Παρθενοπαῖος, εἶδος ἐξοχώτατος,
Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς,
παιδεύεται κατ' Ἄργος. ἐκτραφεὶς δ' ἐκεῖ,
πρῶτον μὲν, ὡς χρὴ τοὺς μετοικοῦντας ξένους,
λυπηρὸς οὐκ ἦν, οὐδ' ἐπίφθονος πόλει,
οὐδ' ἐξεριστὴς τῶν λόγων, ὅθεν βαρὺς
μάλιστ' ἂν εἴη δημότης τε καὶ ξένος·
λόχοις δ' ἐνεστὼς, ὥσπερ Ἀργεῖος γεγὼς,
ἤμυνε χώρᾳ. χὤπότ' εὖ πράσσοι πόλις,
ἔχαιρε, λυπρῶς δ' ἔφερεν, εἴ τι δυστυχοῖ.
πολλοὺς δ' ἐραστὰς, κἀπὸ θηλειῶν ὅσας,
ἔχων, ἐφρούρει μηδὲν ἐξαμαρτάνειν.
Τυδέως δ' ἔπαινον ἐν βραχεῖ θήσω μέγαν.
οὐκ ἐν λόγοις ἦν λαμπρὸς, ἀλλ' ἐν ἀσπίδι

880. ἐπεί τοί γ' οὐδὲν M. 889. γόνος M. 899. δυστυχεῖ M.

δεινὸς σοφιστὴς, πολλά τ' ἐξευρεῖν σοφά.
γνώμῃ δ' ἀδελφοῦ Μελεάγρου λελειμμένος,
ἴσον παρέσχεν ὄνομα διὰ τέχνης δορὸς,
εὑρὼν ἀκριβῆ μουσικὴν ἐν ἀσπίδι·
φιλότιμον ἦθος, πλούσιον φρόνημα δὲ
ἐν τοῖσιν ἔργοις, οὐχὶ τοῖς λόγοις, ἴσον.
ἐκ τῶνδε μὴ θαύμαζε τῶν εἰρημένων,
Θησεῦ, πρὸ πύργων τούσδε τολμῆσαι θανεῖν·
τὸ γὰρ τραφῆναι μὴ κακῶς αἰδῶ φέρει·
αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ
κακὸς γενέσθαι πᾶς τις. ἡ δ' εὐανδρία
διδακτὸν, εἴπερ καὶ βρέφος διδάσκεται
λέγειν ἀκούειν θ', ὧν μάθησιν οὐκ ἔχει.
ἃ δ' ἂν μάθῃ τις, ταῦτα σώζεσθαι φιλεῖ
πρὸς γῆρας. οὕτω παῖδας εὖ παιδεύετε.

ΧΟΡΟΣ.

Ἰὼ τέκνον, δυστυχῆ σ'
ἔτρεφον, ἔφερον ὑφ' ἥπατος
πόνους ἐνεγκοῦσ' ἐν ὠδῖσι·
καὶ νῦν Ἅιδας
τὸν ἐμὸν ἔχει μόχθον ἀθλίας·
ἐγὼ δὲ γηροβοσκὸν οὐκ ἔχω, τεκοῦσ'
ἁ τάλαινα παῖδα.

ΘΗΣΕΥΣ.

καὶ μὴν τὸν Οἰκλέους γε γενναῖον τόκον
θεοὶ, ζῶντ' ἀναρπάσαντες ἐς μυχοὺς χθονὸς
αὐτοῖς τεθρίπποις, εὐλογοῦσιν ἐμφανῶς·

904. post v. 909. collocat H. 914. κεκλῆσθαι H. 915. διδακτός M. 917. μάθοι M.

τὸν Οἰδίπου τε παῖδα, Πολυνείκην λέγω;
ἡμεῖς ἐπαινέσαντες, οὐ ψευδοίμεθ᾽ ἄν.
ξένος γὰρ ἦν μοι, πρὶν λιπὼν Κάδμου πόλιν
φυγῇ πρὸς Ἄργος διαβαλεῖν αὐθαίρετος.
ἀλλ᾽ οἶσθ᾽, ὃ δρᾶσαι βούλομαι τούτων πέρι;

ΑΔΡΑΣΤΟΣ.

οὐκ οἶδα, πλὴν ἕν, σοῖσι πείθεσθαι λόγοις.

ΘΗΣΕΥΣ.

τὸν μὲν Διὸς πληγέντα Καπανέα πυρὶ —

ΑΔΡΑΣΤΟΣ.

ἦ χωρὶς, ἱερὸν ὡς νεκρὸν, θάψαι θέλεις;

ΘΗΣΕΥΣ.

ναί. τοὺς δέ γ᾽ ἄλλους πάντας ἐν μιᾷ πυρᾷ.

ΑΔΡΑΣΤΟΣ.

ποῦ δῆτα θήσεις μνῆμα τῷδε χωρίσας;

ΘΗΣΕΥΣ.

αὐτοῦ, παρ᾽ οἴκους τούσδε συμπήξας τάφον.

ΑΔΡΑΣΤΟΣ.

οὗτος μὲν ἤδη δμωσὶν ἂν μέλοι πόνος.

ΘΗΣΕΥΣ.

ἡμῖν δέ γ᾽ οἵδε· στειχέτω δ᾽ ἄχθη νεκρῶν.

ΑΔΡΑΣΤΟΣ.

ἴτ᾽, ὦ τάλαιναι μητέρες τέκνων, πέλας.

ΘΗΣΕΥΣ.

ἥκιστ᾽, Ἄδραστε, τοῦτο πρόσφορον λέγεις.

ΑΔΡΑΣΤΟΣ.

πῶς τὰς τεκούσας οὐ χρεὼν ψαῦσαι τέκνων;

929. δέ Η. 939. παρ᾽ οἰκτρούς Μ. 940. αὐτὸς Μ. 94[illegible] πῶς; τὰς τ. Μ.

ΘΗΣΕΥΣ.

ὄλοιντ᾽ ἰδοῦσαι τούσδ᾽ ἂν ἠλλοιωμένους·
πικραὶ γὰρ ὄψεις χ᾽ ἅμα τῷ τέλει νεκρῶν.
τί δῆτα λύπην ταῖσδε προσθεῖναι θέλεις;

ΑΔΡΑΣΤΟΣ.

νικᾷς. μένειν χρὴ τλημόνως· λέγει γὰρ εὖ
Θησεύς. ὅταν δὲ τούσδε προσθῶμεν πυρὶ,
ὀστᾶ προσάξεσθ᾽. — ὦ ταλαίπωροι βροτῶν,
τί κτᾶσθε λόγχας καὶ κατ᾽ ἀλλήλων φόνους
τίθεσθε; παύσασθ᾽. ἀλλὰ λήξαντες πόνων
ἄστη φυλάσσεθ᾽ ἥσυχοι μεθ᾽ ἡσύχων.
σμικρὸν τὸ χρῆμα τοῦ βίου· τοῦτον δὲ χρὴ
ὡς ῥᾷστα καὶ μὴ σὺν πόνοις διεκπερᾶν.

ΧΟΡΟΣ.

Οὐκέτ᾽ εὔτεκνος, οὐκέτ᾽ εὔ- (στροφή.)
παις, οὐδ᾽ εὐτυχίας μέτε-
στίν μοι κουροτόκοις ἐν Ἀργείαις·
οὐδ᾽ Ἄρτεμις λοχία
προσφθέγξαιτ᾽ ἂν τὰς ἀτέκνους.
δυσαίων δ᾽ ὁ βίος,
πλαγκτὰ δ᾽ ὡσεί τις νεφέλα,
πνευμάτων ὕπο δυσχίμων ἀΐσσω.
ἑπτὰ ματέρες ἑπτὰ κού- (ἀντιστρ.)
ρους ἐγεινάμεθ᾽ αἱ ταλαί-
πωροι κλεινοτάτους ἐν Ἀργείοις·
καὶ νῦν ἄπαις, ἄτεκνος
γηράσκω δυστηνότατος,
οὔτ᾽ ἐν τοῖς φθιμένοις,

946. Hunc vs. Adrasto tribuit H. 962. πλακτὰ Μ. 963. δυσχείμων Μ. 968. δυστηνοτάτως Η.

οὐ ζωοῖς ἀριθμουμένη,
χωρὶς δή τινα τῶνδ' ἔχουσα μοῖραν.
ὑπολελειμμένα μοι δάκρυα (ἐπῳδός.)
μελέᾳ· παιδὸς ἐν οἴκοις
κεῖται μνήματα, πένθιμοι
κουραὶ καὶ στέφανοι κόμας,
λοιβαί τε νεκύων φθιμένων,
ἀοιδαί, τὰς χρυσοκόμας
Ἀπόλλων οὐκ ἐνδέχεται·
γόοισιν δ' ὀρθρευομένα
δάκρυσι νοτερὸν ἀεὶ πέπλων
πρὸς στέρνῳ πτύχα τέγξω.
Καὶ μὴν θαλάμας τάσδ' ἐσορῶ δὴ
Καπανέως ἤδη τύμβον θ' ἱερὸν,
μελάθρων τ' ἐκτὸς
Θησέος ἀναθήματα νεκροῖς,
κλεινήν τ' ἄλοχον τὴν τοῦ φθιμένου
τοῦδε κεραυνῷ πέλας Εὐάδνην,
ἣν Ἶφις ἄναξ παῖδα φυτεύει.
τί ποτ' αἰθερίαν ἕστηκε πέτραν,
ἣ τῶνδε δόμων ὑπερακρίζει,
τήνδ' ἐμβαίνουσα κέλευθον;

ΕΥΑΔΝΗ.

Τί φέγγος, τίν' αἴγλαν (στρ.)
ἐδιφρεύετο τάλας,
Σελάνα τε κατ' αἰθέρα,
λαμπάδ' ἵν' ὠκυθόαι νύμφαι

970. οὔτ' ἐν ζῶσιν ἀρ. M. 971. ἴσχουσα M. 973. μέλεα H. 976. τε om. M. 985. Θησέως H. 986. ἄλοχον τοῦ καταφθιμένου M.

ἱππεύουσι δι' ὀρφναίας
* * * ἡνίκα γάμων
τῶν ἐμῶν πόλις Ἄργους
ἀοιδὰς εὐδαιμονίας
ἐπύργωσε καὶ γαμέτα
χαλκεοτευχοῦς [τε] Καπανέως.
προσέβαν δρομὰς ἐξ ἐμῶν
οἴκων ἐκβακχευσαμένα,
πυρὸς φῶς [καθέξουσα] τάφον τε
βατεύουσα τὸν αὐτόν,
ἐς Ἅιδαν καταλύσουσ'
ἔμμοχθον
βίοτον αἰῶνός τε πόνους·
ἥδιστος γάρ τοι θάνατος,
συνθνήσκειν θνήσκουσι φίλοις,
εἰ δαίμων τάδε δὴ κραίνοι.

ΧΟΡΟΣ.

Καὶ μὴν ὁρᾷς τήνδ', ἧς ἐφέστηκας πέλας
πυράν, Διὸς θησαυρόν, ἔνθ' ἔνεστι σὸς
πόσις, δαμασθεὶς λαμπάσιν κεραυνίοις.

ΕΥΑΔΝΗ.

Ὁρῶ δὴ τελευτὰν, (ἀντιστρ.)
ἅν ἕστακα, τύχα δέ μοι
ξυνάπτει ποδός· ἀλλὰ τῆς
εὐκλείας χάριν ἔνθεν ὁρ-
μάσω τᾶσδ' ἀπὸ πέτρας,
πηδήσασα πυρὸς ἔσω,

1001. χαλκοτευχοῦς M. 1002. πρός σ' ἔβαν H. 1005. μα-τεύουσα H. 1012. πύλας M. 1013. δύης θησ. H. 1018. εὐκλεΐας χάρις, ἵν' ἐνθ. M.

σῶμά τ' αἴθοπι φλογμῷ
πόσει συμμίξασα φίλον,
χρῶτα χρωτὶ πέλας θεμένα
Περσεφονείας [ἥξω] θαλάμους,
σὲ τὸν θανόντ' οὔποτ' ἐμᾷ
προδοῦσα ψυχᾷ κατὰ γᾶς.
ἴτω φῶς γάμοι τε!
εἴθε τινὲς εὐναὶ
δικαίων ὑμεναίων
ἐν Ἄργει
φανῶσιν τέκνοισιν, ὁ σὸς δ'
εὐναῖος γαμέτας * *
συντηχθεὶς αὔραις ἀδόλοις
γενναίας ἀλόχῳ ψυχᾶς.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' αὐτὸς σὸς πατὴρ βαίνει πέλας,
γεραιὸς Ἶφις ἐς νεωτέρους λόγους,
οὓς οὐ κατειδὼς πρόσθεν ἀλγήσει κλύων.

ΙΦΙΣ.

ὦ δυστάλαινα, δυστάλας δ' ἐγὼ γέρων,
ἥκω, διπλοῦν τὸ πένθιμον δόμων ἔχων,
τὸν μὲν θανόντα παῖδα Καδμείων δορὶ
Ἐτέοκλον ἐς τὴν πατρίδα ναυσθλώσων νεκρὸν,
ζητῶν τ' ἐμὴν παῖδ', ἣ δόμων ἐξώπιος
βέβηκε πηδήσασα, Καπανέως δάμαρ,
θανεῖν ἐρῶσα σὺν πόσει. χρόνον μὲν οὖν
τὸν πρόσθ' ἐφρουρεῖτ' ἐν δόμοις· ἐπεὶ δ' ἐγὼ
φυλακὰς ἀνῆκα τοῖς παρεστῶσιν κακοῖς,

1023. χρόα τε χροῒ H. 1025. τὸν θανόντα σ' οὔπ. H. 1039. πένθος γε δαιμόνων.

βέβηκεν. ἀλλὰ τῇδέ νιν δοξάζομεν
μάλιστ' ἂν εἶναι· φράζετ', εἰ κατοίδατε.

ΕΥΑΔΝΗ.

τί τάσδ' ἐρωτᾷς; ἥδ' ἐγὼ πέτρας ἔπι,
ὄρνις τις ὡσεὶ, Καπανέως ὑπὲρ πυρᾶς
δύστηνον αἰώρημα κουφίζω, πάτερ.

ΙΦΙΣ.

τέκνον, τίς αὔρα; τίς στόλος; τίνος χάριν
δόμων ὑπερβᾶσ' ἦλθες ἐς τήνδε χθόνα;

ΕΥΑΔΝΗ.

ὀργὴν λάβοις ἂν, τῶν ἐμῶν βουλευμάτων
κλύων. ἀκοῦσαι δ' οὔ σε βούλομαι, πάτερ.

ΙΦΙΣ.

τί δ'; οὐ δίκαιον, πατέρα τὸν σὸν εἰδέναι;

ΕΥΑΔΝΗ.

κριτὴς ἂν εἴης οὐ σοφὸς γνώμης ἐμῆς.

ΙΦΙΣ.

σκευῇ δὲ τῇδε τοῦ χάριν κοσμεῖς δέμας;

ΕΥΑΔΝΗ.

θέλει τι κλεινὸν οὗτος ὁ στόλος, πάτερ.

ΙΦΙΣ.

ὡς οὐκ ἐπ' ἀνδρὶ πένθιμος πρέπεις ὁρᾶν.

ΕΥΑΔΝΗ.

ἐς γάρ τι πρᾶγμα νεοχμὸν ἐσκευάσμεθα.

ΙΦΙΣ.

κᾆπειτα τύμβῳ καὶ πυρᾷ φαίνει πέλας;

ΕΥΑΔΝΗ.

ἐνταῦθα γὰρ δὴ καλλίνικος ἔρχομαι.

1053. δόμον γ' M. 1054. ὁρμὴν M. 1059. τι καινόν H. 1060. πενθίμῳ πρέπει σ' ὁρᾶν M.

ΙΦΙΣ.

νικῶσα νίκην τίνα; μαθεῖν χρῄζω σέθεν.

ΕΥΑΔΝΗ.

πάσας γυναῖκας, ἃς δέδορκεν Ἥλιος.

ΙΦΙΣ.

ἔργοις Ἀθάνας, ἢ φρενῶν εὐβουλίᾳ;

ΕΥΑΔΝΗ.

ἀρετῇ· πόσει γὰρ συνθανοῦσα κείσομαι.

ΙΦΙΣ.

τί φής; τί τοῦτ᾽ αἴνιγμα σημαίνεις σαθρόν;

ΕΥΑΔΝΗ.

ᾄσσω θανόντος Καπανέως τήνδ᾽ ἐς πυράν.

ΙΦΙΣ.

ὦ θύγατερ, οὐ μὴ μῦθον ἐπὶ πολλοὺς ἐρεῖς.

ΕΥΑΔΝΗ.

τοῦτ᾽ αὐτὸ χρῄζω πάντας Ἀργείους μαθεῖν.

ΙΦΙΣ.

ἀλλ᾽ οὐδέ τοί σοι πείσομαι δρώσῃ τάδε.

ΕΥΑΔΝΗ.

ὅμοιον· οὐ γὰρ μὴ κίχῃς μ᾽ ἑλὼν χερί.
καὶ δὴ παρεῖται σῶμα, σοὶ μὲν οὐ φίλον,
ἡμῖν δὲ καὶ τῷ συμπυρουμένῳ πόσει.

ΧΟΡΟΣ.

ἰώ! γύναι, δεινὸν ἔργον ἐξειργάσω.

ΙΦΙΣ.

ἀπωλόμην δύστηνος, Ἀργείων κόραι.

ΧΟΡΟΣ.

ἒ ἔ! σχέτλια τάδε παθών,
τὸ πάντολμον ἔργον ὄψει τάλας.

1070. ἐς πολλούς H.

ΙΦΙΣ.

οὐκ ἂν τιν᾽ εὕροιτ᾽ ἄλλον ἀθλιώτατον.

ΧΟΡΟΣ.

ἰὼ τάλας!
μετέλαχες τύχας Οἰδιπόδα, γέρον,
μέρος καὶ σύ, καὶ πόλις ἐμὰ τλάμων.

ΙΦΙΣ.

οἴ μοι. τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε,
νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν;
ἀλλ᾽ ἐν δόμοις μὲν ἤν τι μὴ καλῶς ἔχῃ,
γνώμαισιν ὑστέραισιν ἐξορθούμεθα,
αἰῶνα δ᾽ οὐκ ἔξεστιν. εἰ δ᾽ ἦμεν νέοι
δὶς καὶ γέροντες, εἴ τις ἐξημάρτανεν,
διπλοῦ βίου λαχόντες, ἐξωρθούμεθ᾽ ἄν.
ἐγὼ γὰρ ἄλλους εἰσορῶν τεκνουμένους,
παίδων τ᾽ ἐραστὴς ἦν πόθῳ τ᾽ ἀπωλλύμην.
εἰ δ᾽ ἐς τόδ᾽ ἦλθον κἀξεπειράθην τεκὼν,
οἷον στέρεσθαι πατέρα γίγνεται τέκνων,
οὐκ ἂν ποτ᾽ ἐς τόδ᾽ ἦλθον, εἰς ὃ νῦν, κακόν·
ὅστις φυτεύσας καὶ νεανίαν τεκὼν
ἄριστον, εἶτα τοῦδε νῦν στερίσκομαι.
εἶεν. τί δὴ χρὴ τὸν ταλαίπωρόν με δρᾶν;
στείχειν πρὸς οἴκους; κᾆτ᾽ ἐρημίαν ἴδω
πολλὴν μελάθρων ἀπορίαν τ᾽ ἐμῷ βίῳ.
ἢ πρὸς μέλαθρα τοῦδε Καπανέως μόλω;
ἥδιστα πρίν γε δῆθ᾽, ὅτ᾽ ἦν παῖς ἥδε μοι. —
ἀλλ᾽ οὐκέτ᾽ ἐστίν· — ἥ γ᾽ ἐμὴν γενειάδα

1080. ἀθλιώτερον. 1083. καὶ om. M. 1093. τέκνων M. 1095. κακοῦ H. 1100. πολλῶν M. 1102. ἥδιστα πρίν γε δή ποτ᾽ ἦν M. ἥκιστα· πρίν γε H.

προςήγετ᾽ ἀεὶ στόματι, καὶ κάρα τοδε
κατεῖχε χειρί· πατρὶ δ᾽ οὐδὲν ἥδιον
γέροντι θυγατρός· ἀρσένων δὲ μείζονες
ψυχαὶ, γλυκεῖαι δ᾽ ἧσσον ἐς θωπεύματα.
οὐχ ὡς τάχιστα δῆτά μ᾽ ἄξετ᾽ ἐς δόμους,
σκότῳ δὲ δώσετ᾽, ἔνθ᾽ ἀσιτίαις ἐμὸν
δέμας γεραιὸν συντακεὶς ἀποφθερῶ;
τί μ᾽ ὠφελήσει παιδὸς ὀστέων θιγεῖν;
ὦ δυςπάλαιστον γῆρας, ὡς μισῶ σ᾽ ἔχων!
μισῶ δ᾽, ὅσοι χρήζουσιν ἐκτείνειν βίον,
βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν, ὥςτε μὴ θανεῖν·
οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
θανόντας ἔῤῥειν, κἀκποδὼν εἶναι νέοις.

ΗΜΙΧΟΡΙΟΝ.

ἰώ.
τάδε δὴ παίδων καὶ δὴ φθιμένων
ὀστᾶ φέρεται· λάβετ᾽, ἀμφίπολοι,
γραίας ἀμενοῦς, — οὐ γὰρ ἔνεστιν
ῥώμη παίδων ὑπὸ πένθους —
πολλοῦ δὲ χρόνου ζώσας μέτα δὴ,
καταλειβομένας τ᾽ ἄλγεσι πολλοῖς.
τί γὰρ ἂν μεῖζον τοῦδ᾽ ἔτι θνατοῖς
πάθος ἐξεύροις,
ἢ τέκνα θανόντ᾽ ἐςιδέσθαι;

ΠΑΙΣ.

Φέρω, φέρω (στροφὴ ά.)

1114. νώτοισι καὶ στρωμναῖσι καὶ μαντεύμασιν M. ποτ. καὶ στρωμναῖσι κ. μαγ. H. 1116. ὠφέλουν πόλιν M. ὠφελῇ π. H. 1123. χρ. ζωᾶς μέγα δή H. χρ. σώζεις μέτα δή M. 1124. τ᾽ om. H.

τάλαινα μᾶτερ, ἐκ πυρὸς πατρὸς μέλη,
βάρος μὲν οὐκ ἀβριθὲς ἀλγέων ὕπερ,
ἐν δ᾽ ὀλίγῳ τἀμὰ πάντα συνθείς.

ΗΜΙΧΟΡΙΟΝ.

ἰώ, ἰώ!
πᾶ δάκρυα φέρεις φίλᾳ
ματρὶ τῶν ὀλωλότων,
σποδοῦ τε πλῆθος ὀλίγον ἀντὶ σωμάτων
εὐδοκίμων δή ποτ᾽ ἐν Μυκήναις.

ΠΑΙΣ.

παπαί, παπαί! (ἀντιστρ. ά.)
ἐγὼ δ᾽ ἔρημος ἀθλίου πατρὸς τάλας
ἔρημον οἶκον ὀρφανεύσομαι λαβὼν,
οὐ πατρὸς ἐν χερσὶ τοῦ τεκόντος.

ΗΜΙΧΟΡΙΟΝ.

ἰώ, ἰώ!
ποῦ δὲ πόνος ἐμῶν τέκνων,
ποῦ νυχευμάτων χάρις,
τροφαί τε ματρὸς, ἄϋπνά τ᾽ ὀμμάτων τέλη
καὶ φίλιαι προςβολαὶ προςώπων;

* * *

βεβᾶσιν, οὐκέτ᾽ εἰσί σοι, μᾶτερ, τέκνα, (στ. β΄.)
βεβᾶσιν· αἰθὴρ ἔχει νιν ἤδη
πυρὸς τετακότας σποδῷ·
ποτανοὶ δ᾽ ἤνυσαν τὸν Ἅιδαν.

ΠΑΙΣ.

πάτερ, σὺ μὲν τῶν σῶν κλύεις τέκνων γόους·
ἆρ᾽ ἀσπιδοῦχος ἔτι ποτ᾽ ἀντιτίσομαι
σὸν φόνον;

1133. φίλα M. 1146. οὐκέτ᾽ εἰσί μοι, παῖδες, τέκνα H. 1150. σὺ μέντοι σῶν H. Ib. τ. λόγους M.

ΑΔΡΑΣΤΟΣ.

εἰ γὰρ γένοιτο τέκνον!

ΠΑΙΣ.

ὅταν, θεοῦ θέλοντος, ἔλθῃ μοι δίκα (ἀντ. β'.)
πατρῷος· οὔπω κακὸν τόδ᾽ εὕδει.

ΧΟΡΟΣ.

αἶ αἶ! γόων ἅλις τύχας,
ἅλις δ᾽ ἀλγέων ἐμοὶ πάρεστιν.

ΠΑΙΣ.

* * * Ἀσωποῦ με δέξεται γάνος
χαλκέοισιν ὅπλοις Δαναϊδῶν στρατηλάταν,
τοῦ φθιμένου πατρὸς ἐκδικαστάν;

* * *

ἔτ᾽ εἰσορᾶν σε, πάτερ, ἐπ᾽ ὀμμάτων δοκῶ (στ. γ'.)
φίλον φίλημα παρὰ γένυν τιθέντα σόν.
λόγων δὲ παρακέλευσμα σῶν
ἀέρι φερόμενον οἴχεται.
δυοῖν δ᾽ ἄχη, ματέρι τ᾽ ἔλιπε,
σέ τ᾽ οὔποτ᾽ ἄλγη πατρῷα λείψει.

ΧΟΡΟΣ.

ἔχω τοσόνδε βάρος, ὅσον μ᾽ ἀπώλεσεν. (ἀντ. γ'.)
φέρ᾽, ἀμφὶ μαστὸν ὑποβάλω σποδὸν * *

ΠΑΙΣ.

ἔκλαυσα, τόδε κλύων ἔπος
στυγνότατον· ἔθιγέ μου φρενῶν.

1153. ὅταν — ἔλθοι M. ἔτ᾽ ἂν — ἔλθοι H. 1156. ἅλις ἀλγέων πάρεστί μοι M. 1157. στάσω. ποῦ με δ. M. ἔτ᾽ ἄρ᾽, ἔτ᾽ Ἀσωποῦ με δ. H. 1158. χαλκέοις ἐν ὅπλ. H. στρατηλατῶν M. 1159. ἐκδικατάν M. 1164. ἔλιπες M. 1165. λείψῃ M.

ΧΟΡΟΣ.

ὦ τέκνον, ἔβας· οὐκέτι φίλον
φίλας ἄγαλμ᾽ ὄψομαί σε ματρός.

ΘΗΣΕΥΣ.

Ἄδραστε, καὶ γυναῖκες Ἀργεῖαι γένος,
ὁρᾶτε παῖδας τούσδ᾽ ἔχοντας ἐν χεροῖν
πατέρων ἀρίστων σώμαθ᾽, ὧν ἀνειλόμην·
τούτοις ἐγώ σε καὶ πόλις δωρούμεθα.
ὑμᾶς δὲ τῶνδε χρὴ χάριν μεμνημένους
σώζειν, ὁρῶντας ὧν ἐκύρσατ᾽ ἐξ ἐμοῦ.
παισίν θ᾽ ὑπεῖπον τοῖσδε τοὺς αὐτοὺς λόγους,
τιμᾶν πόλιν τήνδ᾽, ἐκ τέκνων ἀεὶ τέκνοις
μνήμην παραγγέλλοντας, ὧν ἐκύρσατε.
Ζεὺς δὲ ξυνίστωρ οἵ τ᾽ ἐν οὐρανῷ θεοὶ,
οἵων ὑφ᾽ ἡμῶν στείχετ᾽ ἠξιωμένοι.

ΑΔΡΑΣΤΟΣ.

Θησεῦ, ξύνισμεν πάνθ᾽, ὅσ᾽ Ἀργείων χθόνα
δέδρακας ἐσθλὰ, δεομένην εὐεργετῶν,
χάριν τ᾽ ἀγήρων ἕξομεν· γενναῖα γὰρ
παθόντες, ὑμᾶς ἀντιδρᾶν ὀφείλομεν.

ΘΗΣΕΥΣ.

τί δή ποθ᾽ ὑμῖν ἄλλ᾽ ὑπουργῆσαί με χρή;

ΑΔΡΑΣΤΟΣ.

χαῖρ᾽. ἄξιος γὰρ καὶ σὺ, καὶ πόλις σέθεν.

ΘΗΣΕΥΣ.

ἔσται τάδ᾽. ἀλλὰ καὶ σὺ τῶν αὐτῶν τύχοις.

ΑΘΗΝΑ.

ἄκουε, Θησεῦ, τούσδ᾽ Ἀθηναίας λόγους,

1171. φίλον ἄγ. M. 1172. Ἀργείων H. 1174. ἀνειλόμην; M. 1178. πᾶσίν θ᾽ — τούσδε M. 1187. τὶ δή ποθ᾽ H.

ἃ χρή σε δρᾶσαι, δρῶντα δ' ὠφελεῖν τάδε.
μὴ δῷς τάδ' ὀστᾶ τοῖσδ' ἐς Ἀργείαν χθόνα
παισὶν κομίζειν, ῥᾳδίως οὕτω μεθείς·
ἀλλ' ἀντὶ τῶν σῶν καὶ πόλεως μοχθημάτων
πρῶτον λάβ' ὅρκον. τόνδε δ' ὀμνύναι χρεὼν
Ἄδραστον· οὗτος κύριος, τύραννος ὢν,
πάσης ὑπὲρ γῆς Δαναϊδῶν ὁρκωμοτῶν.
ὁ δ' ὅρκος ἔσται, μή ποτ' Ἀργείους χθόνα
ἐς τήνδ' ἐποίσειν πολέμιον παντευχίαν,
ἄλλων τ' ἰόντων ἐμποδὼν θήσειν δόρυ.
ἢν δ' ὅρκον ἐκλιπόντες ἔλθωσιν πόλιν,
κακῶς ὀλέσθαι πρόστρεπ' Ἀργείων χθόνα.
ἐν ᾧ δὲ τέμνειν χρὴ σφάγιά σ', ἄκουέ μου·
ἔστιν τρίπους σοι χαλκόπους εἴσω δόμων,
ὃν, Ἰλίου ποτ' ἐξαναστήσας βάθρα,
σπουδὴν ἐπ' ἄλλην Ἡρακλῆς ὁρμώμενος
στῆσαί σ' ἐφεῖτο Πυθικὴν πρὸς ἐσχάραν.
ἐν τῷδε λαιμοὺς τρεῖς τριῶν μήλων τεμὼν
ἔγγραψον ὅρκους τρίποδος ἐν κοίλῳ κύτει,
κἄπειτα σώζειν θεῷ δὸς, ᾧ Δελφῶν μέλει,
μνημεῖά θ' ὅρκων μαρτύρημά θ' Ἑλλάδι.
ᾗ δ' ἂν διοίξῃς σφάγια καὶ τρώσῃς φόνον,
ὀξύστομον μάχαιραν ἐς γαίας μυχοὺς
κρύψον παρ' αὐτὰς ἑπτὰ πυρκαιὰς νεκρῶν·
φόβον γὰρ αὐτοῖς, ἤν ποτ' ἔλθωσιν πόλιν,
δειχθεῖσα θήσει καὶ κακὸν νόστον πάλιν.
δράσας δὲ ταῦτα, πέμπε γῆς ἔξω νεκρούς.
τεμένη δ', ἵν' αὐτῶν σώμαθ' ἡγνίσθη πυρὶ,

1197. ὁρκωμοτεῖν H. ὁρκωμοτεῖ M. 1198. ἔστω M.
1218. ἁγνισθῇ M.

μέθες παρ' αὐτὴν τρίοδον Ἰσθμίαν θεῷ.
σοὶ μὲν τάδ' εἶπον· παισὶ δ' Ἀργείων λέγω·
πορθήσεθ' ἡβήσαντες Ἰσμηνοῦ πόλιν,
πατέρων θανόντων ἐκδικάζοντες φόνον,
σύ τ' ἀντὶ πατρὸς, Αἰγιαλεῦ, στρατηλάτης
νέος καταστὰς, παῖς τ' ἀπ' Αἰτωλῶν μολὼν
Τυδέως, ὃν ὠνόμαζε Διομήδην πατήρ.
ἀλλ' οὐ φθάνειν χρὴ συσκιάζοντας γένυν,
καὶ χαλκοπληθῆ Δαναϊδῶν ὁρμᾷν στρατὸν
ἑπτάστομον πύργωμα Καδμείων ἔπι.
πικροὶ γὰρ αὐτοῖς ἥξετ', ἐκτεθραμμένοι
σκύμνοι λεόντων, πόλεος ἐκπορθήτορες.
κοὐκ ἔστιν ἄλλως· Ἐπίγονοι δ' ἀν' Ἑλλάδα
κληθέντες, ᾠδὰς ὑστέροισι θήσετε·
τοῖον στράτευμα σὺν θεῷ πορεύσετε.

ΘΗΣΕΥΣ.

δέσποιν' Ἀθάνα, πείσομαι λόγοισι σοῖς· —
σὺ γάρ μ' ἀνορθοῖς, ὥστε μὴ 'ξαμαρτάνειν. —
καὶ τόνδ' ἐν ὅρκοις ζεύξομαι· μόνον σύ με
ἐς ὀρθὸν ἵστη· σοῦ γὰρ εὐμενοῦς πόλει
οὔσης, τὸ λοιπὸν ἀσφαλῶς οἰκήσομεν.

ΧΟΡΟΣ.

στείχωμεν, Ἄδρασθ', ὅρκια δῶμεν
τῷδ' ἀνδρὶ πόλει τ'. ἄξια δ' ἡμῖν
προμεμοχθήκασι σέβεσθαι.

1219. Ἰσθμίας θεοῦ M. Ἰσθμίας ὁδοῦ H. 1226. φθονεῖν M. 1228. ἑπτάστολον M.

ΤΕΛΟΣ ΙΚΕΤΙΔΩΝ.

ΕΥΡΙΠΙΔΟΥ

ΙΦΙΓΕΝΕΙΑ

Η ΕΝ ΑΥΛΙΔΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΓΑΜΕΜΝΩΝ.
ΠΡΕΣΒΥΤΗΣ.
ΧΟΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΙΦΙΓΕΝΕΙΑ.
ΑΧΙΛΛΕΥΣ.
ΘΕΡΑΠΩΝ.
ΑΓΓΕΛΟΣ.

ΕΥΡΙΠΙΔΟΥ ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ.

ΑΓΑΜΕΜΝΩΝ.

Ὦ πρέσβυ, δόμων τῶνδε πάροιθεν
στεῖχε.

ΠΡΕΣΒΥΤΗΣ.

στείχω. τί δὲ καινουργεῖς,
Ἀγάμεμνον ἄναξ;

ΑΓΑΜΕΜΝΩΝ.

πεύσει.

ΠΡΕΣΒΥΤΗΣ.

σπεύδω.
μάλα τοι γῆρας τοὐμὸν ἄϋπνον,
καὶ ἐπ᾽ ὀφθαλμοῖς ὀξὺ πάρεστιν.

ΑΓΑΜΕΜΝΩΝ.

τίς ποτ᾽ ἄρ᾽ ἀστὴρ ὅδε πορθμεύει;

4. μάλα τό.

ΠΡΕΣΒΥΤΗΣ.

Σείριος, ἐγγὺς τῆς ἑπταπόρου
Πλειάδος ᾄσσων ἔτι μεσσήρης.

ΑΓΑΜΕΜΝΩΝ.

οὔκουν φθόγγος γ᾽ οὔτ᾽ ὀρνίθων,
οὔτε θαλάσσης· σιγαὶ δ᾽ ἀνέμων
τόνδε κατ᾽ Εὔριπον ἔχουσιν.

ΠΡΕΣΒΥΤΗΣ.

τί δὲ σὺ σκηνῆς ἐκτὸς ἀΐσσεις,
Ἀγάμεμνον ἄναξ;
ἔτι δ᾽ ἡσυχία τῇδε κατ᾽ Αὖλιν,
καὶ ἀκίνητοι φυλακαὶ τειχέων.
στείχωμεν ἔσω.

ΑΓΑΜΕΜΝΩΝ.

ζηλῶ σε, γέρον,
ζηλῶ δ᾽ ἀνδρῶν ὃς ἀκίνδυνον
βίον ἐξεπέρασ᾽ ἀγνὼς, ἀκλεής·
τοὺς δ᾽ ἐν τιμαῖς ἧσσον ζηλῶ.

ΠΡΕΣΒΥΤΗΣ.

καὶ μὴν τὸ καλόν γ᾽ ἐνταῦθα βίου.

ΑΓΑΜΕΜΝΩΝ.

τοῦτο δέ γ᾽ ἐστὶν τὸ καλὸν σφαλερόν·
[καὶ] τό τε φιλότιμον
γλυκὺ μὲν, λυπεῖ δὲ προςιστάμενον.
τοτὲ μὲν τὰ θεῶν οὐκ ὀρθωθέντ᾽
ἀνέτρεψε βίον·
τοτὲ δ᾽ ἀνθρώπων γνῶμαι πολλαὶ
καὶ δυςάρεστοι διέκναισαν.

8. ἀΐσσων. 16. στείχομεν εἴσω; 22. καί sine uncis et deest τε.

ΠΡΕΣΒΥΤΗΣ.

οὐκ ἄγαμαι ταῦτ᾽ ἀνδρὸς ἀριστέος·
οὐκ ἐπὶ πᾶσίν σ᾽ ἐφύτευσ᾽ ἀγαθοῖς,
Ἀγάμεμνον, Ἀτρεύς.
δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι·
θνητὸς γὰρ ἔφυς. κἂν μὴ σὺ θέλῃς,
τὰ θεῶν οὕτω βουλόμεν᾽ ἔσται.
σὺ δὲ λαμπτῆρος φάος ἀμπετάσας,
δέλτον τε γράφεις
τήνδ᾽, ἣν πρὸ χερῶν ἔτι βαστάζεις,
καὶ ταὐτὰ πάλιν γράμματα συγχεῖς,
καὶ σφραγίζεις, λύεις τ᾽ ὀπίσω,
ῥίπτεις τε πέδῳ πεύκην, θαλερὸν
κατὰ δάκρυ χέων·
καὶ τῶν ἀπόρων οὐδενὸς ἐνδεῖς,
μὴ οὐ μαίνεσθαι. τί πονεῖς; τί πονεῖς;
τί νέον, τί νέον περί σοι, βασιλεῦ;
φέρε, κοίνωσον μῦθον ἐς ἡμᾶς.
πρὸς δ᾽ ἄνδρ᾽ ἀγαθὸν πιστόν τε φράσεις·
σῇ γάρ μ᾽ ἀλόχῳ τότε Τυνδάρεως
πέμπεν φερνὴν,
συννυμφοκόμον τε δίκαιον.

ΑΓΑΜΕΜΝΩΝ.

ἐγένοντο Λήδᾳ Θεστιάδι τρεῖς παρθένοι,
Φοίβη Κλυταιμνήστρα τ᾽, ἐμὴ ξυνάορος,
Ἑλένη τε· ταύτης οἱ τὰ πρῶτ᾽ ὠλβισμένοι
μνηστῆρες ἦλθον Ἑλλάδος νεανίαι.
δειναὶ δ᾽ ἀπειλαὶ καὶ κατ᾽ ἀλλήλων φθόνος

37. ταῦτα. 53. φόνος.

ξυνίσταθ᾽, ὅςτις μὴ λάβοι τὴν παρθένον.
τὸ πρᾶγμα δ᾽ ἀπόρως εἶχε Τυνδάρεῳ πατρί,
δοῦναί τε, μὴ δοῦναί τε, τῆς τύχης θ᾽ ὅπως
ἅψαιτ᾽ ἄριστα. καί νιν εἰςῆλθεν τάδε,
ὅρκους συνάψαι δεξιάς τε συμβαλεῖν
μνηστῆρας ἀλλήλοισι, καὶ δι᾽ ἐμπύρων
σπονδὰς καθεῖναι κἀπαράσασθαι τάδε,
ὅτου γυνὴ γένοιτο Τυνδαρὶς κόρη,
τούτῳ συναμυνεῖν, εἴ τις ἐκ δόμων λαβὼν
οἴχοιτο τόν τ᾽ ἔχοντ᾽ ἀπωθοίη λέχους,
κἀπιστρατεύσειν καὶ κατασκάψειν πόλιν,
Ἕλλην᾽ ὁμοίως βάρβαρόν θ᾽, ὅπλων μέτα.
ἐπεὶ δ᾽ ἐπιστώθησαν, εὖ δέ πως γέρων
ὑπῆλθεν αὐτοὺς Τυνδάρεως πυκνῇ φρενί,
δίδωσ᾽ ἑλέσθαι θυγατρὶ μνηστήρων ἕνα,
ὅπου πνοαὶ φέροιεν Ἀφροδίτης φίλαι.
ἡ δ᾽ εἵλεθ᾽, — ὥς γε μή ποτ᾽ ὤφελεν λαβεῖν! —
Μενέλαον. ἐλθὼν δ᾽ ἐκ Φρυγῶν ὁ τὰς θεὰς
κρίνας ὅδ᾽, ὡς ὁ μῦθος ἀνθρώπων ἔχει,
Λακεδαίμον᾽, ἀνθηρὸς μὲν εἱμάτων στολῇ,
χρυσῷ τε λαμπρὸς, βαρβάρῳ χλιδήματι,
ἐρῶν ἐρῶσαν ᾤχετ᾽ ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ᾽, ἔκδημον λαβὼν
Μενέλαον· ὁ δὲ, καθ᾽ Ἑλλάδ᾽ οἰστρήσας μόνος,
ὅρκους παλαιοὺς Τυνδάρεω μαρτύρεται,
ὡς χρὴ βοηθεῖν τοῖσιν ἠδικημένοις.
τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες δορί,
τεύχη λαβόντες, στενόπορ᾽ Αὐλίδος βάθρα

56. θ᾽ deest. 69. ὅτου. 80. ἀΐξαντες ποσί.

ἥκουσι τῆςδε, ναυσὶν ἀσπίσιν θ᾽ ὁμοῦ
ἵπποις τε πολλοῖς ἅρμασίν τ᾽ ἠσκημένοι.
κἀμὲ στρατηγεῖν κᾆτα Μενέλεω χάριν
εἵλοντο, σύγγονόν γε. τἀξίωμα δὲ
ἄλλος τις ὤφελ᾽ ἀντ᾽ ἐμοῦ λαβεῖν τόδε!
ἠθροισμένου δὲ καὶ ξυνεστῶτος στρατοῦ,
ἥμεσθ᾽, ἀπλοίᾳ χρώμενοι κατ᾽ Αὐλίδα.
Κάλχας δ᾽ ὁ μάντις ἀπορίᾳ κεχρημένοις
ἀνεῖλεν, Ἰφιγένειαν, ἣν ἔσπειρ᾽ ἐγὼ,
Ἀρτέμιδι θῦσαι, τῇ τόδ᾽ οἰκούσῃ πέδον,
καὶ πλοῦν τ᾽ ἔσεσθαι καὶ κατασκαφὰς Φρυγῶν
θύσασι, μὴ θύσασι δ᾽ οὐκ εἶναι τάδε.
κλύων δ᾽ ἐγὼ ταῦτ᾽, ὀρθίῳ κηρύγματι
Ταλθύβιον εἶπον πάντ᾽ ἀφιέναι στρατὸν,
ὡς οὔ ποτ᾽ ἂν τλὰς θυγατέρα κτανεῖν ἐμήν.
οὗ δή μ᾽ ἀδελφὸς, πάντα προςφέρων λόγον,
ἔπεισε τλῆναι δεινά. κἀν δέλτου πτυχαῖς
γράψας, ἔπεμψα πρὸς δάμαρτα τὴν ἐμὴν,
πέμπειν Ἀχιλλεῖ θυγατέρ᾽ ὡς γαμουμένην,
τό τ᾽ ἀξίωμα τἀνδρὸς ἐκγαυρούμενος,
συμπλεῖν τ᾽ Ἀχαιοῖς οὕνεκ᾽ οὐ θέλοι, λέγων,
εἰ μὴ παρ᾽ ἡμῶν εἶσιν ἐς Φθίαν λέχος·
πειθὼ γὰρ εἶχον τήνδε πρὸς δάμαρτ᾽ ἐμὴν,
ψευδῆ συνάψας ἀμφὶ παρθένου γάμον.
μόνοι δ᾽ Ἀχαιῶν ἴσμεν, ὡς ἔχει τάδε,
Κάλχας, Ὀδυσσεὺς, Μενέλεώς θ᾽. ἃ δ᾽ οὐ καλῶς
ἔγνων τότ᾽, αὖθις μεταγράφω καλῶς πάλιν
ἐς τήνδε δέλτον, ἣν κατ᾽ εὐφρόνης σκιὰν

83. ἵπποις τε, πολλοῖς θ᾽ ἅρμ. γ᾽ ἠσκ. 89. κεχρημένος.
102. τοὔνεκ᾽. 105. ἀντὶ π.

λύοντα καὶ συνδοῦντά μ᾽ εἰςεῖδες, γέρον.
ἀλλ᾽ εἶα χώρει, τάςδ᾽ ἐπιστολὰς λαβὼν,
πρὸς Ἄργος. ἃ δὲ κέκευθε δέλτος ἐν πτυχαῖς,
λόγῳ φράσω σοι πάντα τἀγγεγραμμένα·
πιστὸς γὰρ ἀλόχῳ τοῖς τ᾽ ἐμοῖς δόμοισιν εἶ.

ΠΡΕΣΒΥΤΗΣ.

λέγε, καὶ σήμαιν᾽, ἵνα καὶ γλώσσῃ
σύντονα τοῖς σοῖς γράμμασιν αὐδῶ.

ΑΓΑΜΕΜΝΩΝ.

πέμπω σοι πρὸς ταῖς πρόςθεν
δέλτοις, ὦ Λήδας ἔρνος,
μὴ στέλλειν τὰν σὰν ἶνιν πρὸς
τὰν κολπώδη πτέρυγ᾽ Εὐβοίας,
Αὖλιν ἀκλύσταν.
εἰς τὰς ἄλλας ὥρας γὰρ δὴ
παιδὸς δαίσομεν ὑμεναίους.

ΠΡΕΣΒΥΤΗΣ.

καὶ πῶς Ἀχιλεὺς, λέκτρων ἀπλακὼν,
οὐ μέγα φυσῶν θυμὸν ἐπαίρει
σοὶ σῇ τ᾽ ἀλόχῳ;
τόδε καὶ δεινόν. σήμαιν᾽, ὅ τι φής.

ΑΓΑΜΕΜΝΩΝ.

ὄνομ᾽, οὐκ ἔργον, παρέχων Ἀχιλεὺς
οὐκ οἶδε γάμους, οὐδ᾽ ὅ τι πράσσομεν,
οὐδ᾽ ὅτι κείνῳ παῖδ᾽ ἐπεφήμισα,
νυμφείους εἰς ἀγκώνων
εὐνὰς ἐκδώσειν λέκτροις.

ΠΡΕΣΒΥΤΗΣ.

δεινά γε τολμᾷς, Ἀγάμεμνον ἄναξ,

115. 116. post 117. 118. 124. ἀμπλακών. 132. ἐνδώσειν.

ὃς τῷ τῆς θεᾶς σὴν παῖδ᾽ ἄλοχον
φατίσας ἦγες σφάγιον Δαναοῖς.

ΑΓΑΜΕΜΝΩΝ.

οἴ μοι, γνώμας ἐξέσταν!
αἶ, αἴ! πίπτω δ᾽ εἰς ἄταν.
ἀλλ᾽ ἴθ᾽ ἐρέσσων σὸν πόδα, γήρᾳ
μηδὲν ὑπείκων.

ΠΡΕΣΒΥΤΗΣ.

σπεύδω, βασιλεῦ.

ΑΓΑΜΕΜΝΩΝ.

μὴ νῦν μήτ᾽ ἀλσώδεις ἵζου
κρήνας, μήθ᾽ ὕπνῳ θελχθῇς.

ΠΡΕΣΒΥΤΗΣ.

εὔφημα θρόει.

ΑΓΑΜΕΜΝΩΝ.

πάντῃ δὲ πόρον σχιστὸν ἀμείβων,
λεῦσσε, φυλάσσων, μή τίς σε λάθῃ
τροχάλοισιν ὄχοις παραμειψαμένη,
παῖδα κομίζουσ᾽ ἐνθάδ᾽, ἀπήνη
Δαναῶν πρὸς ναῦς.

ΠΡΕΣΒΥΤΗΣ.

ἔσται τάδε.

ΑΓΑΜΕΜΝΩΝ.

κλῄθρων δ᾽ ἐξόρμα.
ἢν γάρ νιν πομπαῖς ἀντήσῃς,
πάλιν ἐξορμάσεις τοὺς χαλινοὺς,
ἐπὶ Κυκλώπων ἱεὶς θυμέλας.

144. μή τι.

ΠΡΕΣΒΥΤΗΣ.

πιστὸς δὲ, φράσας τάδε, πῶς ἔσομαι,
λέγε, παιδὶ σέθεν τῇ σῇ τ' ἀλόχῳ;

ΑΓΑΜΕΜΝΩΝ.

σφραγῖδα φύλασσ', ἣν ἐπὶ δέλτῳ
τήνδε κομίζεις. ἴθι· λευκαίνει
τόδε φῶς ἤδη λάμπουσ' ἠώς,
πῦρ τε τεθρίππων τῶν Ἀελίου·
σύλλαβε μόχθων.
θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδείς,
οὐδ' εὐδαίμων·
οὔπω γὰρ ἔφυ τις ἄλυπος.

ΧΟΡΟΣ.

Ἔμολον ἀμφὶ παρακτίαν (στροφὴ ά.)
ψάμαθον Αὐλίδος ἐναλίας,
Εὐρίπου διὰ χευμάτων
κέλσασα, στενόπορθμον
Χαλκίδα, πόλιν ἐμάν, προλιποῦσ',
ἀγχιάλων ὑδάτων τροφόν
τᾶς κλεινᾶς Ἀρεθούσας,
Ἀχαιῶν στρατιὰν ὡς καὶ ἴδοιμ' ἂν
Ἀχαιῶν τε πλάτας ναυσιπόρους
ἡμιθέων, ὡς ἐπὶ Τροί-
αν ἐλάταις χιλιόναυσιν
τὸν ξανθὸν Μενέλαον
ἁμέτεροι πόσεις
ἐνέπουσ' Ἀγαμέμνονά τ' εὐπατρίδαν
στέλλειν ἐπὶ τὰν Ἑλέναν,
ἀπ' Εὐρώτα δονακοτρόφου

155. τῇδε. 169. deest καί.

Πάρις ὁ βουκόλος ἂν ἔλαβεν,
δῶρον τᾶς Ἀφροδίτας,
ὅτ' ἐπὶ κρηναίαισι δρόσοις
Ἥρᾳ Παλλάδι τ' ἔριν, ἔριν
μορφᾶς ἁ Κύπρις ἔσχεν.
πολύθυτον δὲ δι' ἄλσος Ἀρ- (ἀντ. ά.)
τέμιδος ἤλυθον ὀρομένα,
φοινίσσουσα παρῇδ' ἐμὰν
αἰσχύνᾳ νεοθαλεῖ,
ἀσπίδος ἔρυμα καὶ κλισίας
ὁπλοφόρους Δαναῶν θέλουσ'
ἵππων τ' ὄχλον ἰδέσθαι.
κατεῖδον δὲ δύ' Αἴαντε συνέδρω
τὸν Ὀϊλέως Τελαμῶνός τε γόνον,
τῆς Σαλαμῖνος στέφανον,
Πρωτεσίλαόν τ' ἐπὶ θάκοις
πεσσῶν ἡδομένους μορ-
φαῖσι πολυπλόκοις,
Παλαμήδεά θ', ὃν τέκε παῖς ὁ Ποσει-
δᾶνος, Διομήδεά θ' ἡ-
δοναῖς δίσκου κεχαρημένον·
παρὰ δὲ Μηριόνην, Ἄρεος
ὄζον, θαῦμα βροτοῖσι,
τὸν ἀπὸ νησαίων τ' ὀρέων
Λαέρτα τόκον, ἅμα δὲ Νι-
ρέα, κάλλιστον Ἀχαιῶν·
τὸν ἰσάνεμόν τε ποδοῖν (ἐπῳδὸς ά.)
λαιψηροδρόμον Ἀχιλῆα,

184. ὀρωμέναν. 185. παρηΐδ'. 189. ἵππων ὄχλον τ' ἰδ.

τὸν ἁ Θέτις τέκε καὶ
Χείρων ἐξεπόνασεν,
εἶδον αἰγιαλοῖσι
παρά τε κροκάλαις δρόμον ἔχοντα σὺν ὅπλοις·
ἅμιλλαν δ᾽ ἐπόνει ποδοῖν
πρὸς ἅρμα τέτρωρον ἑλίσ-
σων περὶ νίκας.
ὁ δὲ διφρηλάτας βοᾶτ᾽
Εὔμηλος Φερητιάδας,
ᾧ καλλίστους εἰδόμαν
χρυσοδαιδάλτους στομίοισι πώλους
κέντρῳ θεινομένους, τοὺς μὲν μέσ-
σους ζυγίους, λευκοστίκτῳ τριχὶ
βαλιούς, τοὺς δ᾽ ἔξω σειραφόρους,
ἀντήρεις καμπαῖσι δρόμων,
πυῤῥότριχας, μονόχαλα δ᾽ ὑπὸ σφυρὰ
ποικιλοδέρμονας· οἷς παρεπάλλετο
Πηλείδας σὺν ὅπλοισι παρ᾽ ἄντυγα
καὶ σύριγγας ἁρματείους.
Ναῶν δ᾽ εἰς ἀριθμὸν ἤλυθον (στροφὴ β΄.)
καὶ θέαν ἀθέσφατον,
τὰν γυναικείαν ὄψιν ὀμμάτων
ὡς πλήσαιμι, μείλινον ἁδονάν.
καὶ κέρας μὲν ἦν δεξιὸν πλάτας ἔχων
Φθιώτας ὁ Μυρμιδόνων Ἄρης
πεντήκοντα ναυσὶ θουρίαις.
χρυσέαις δ᾽ εἰκόσιν
κατ᾽ ἄκρα Νηρῇδες ἕστασαν θεαί,
πρύμναις σῆμ᾽ Ἀχιλλείου στρατοῦ.

217. sq. μέσους. 233. κατ᾽ ἄκραν.

Ἀργείων δὲ ταῖσδ᾽ ἰσήρετμοι (ἀντιστρ. β΄.)
νᾶες ἕστασαν πέλας·
ὧν ὁ Μηκιστέως στρατηλάτας
παῖς ἦν, Ταλαὸς ὃν τρέφει πατήρ·
Καπανέως τε παῖς Σθένελος· Ἀτθίδος δ᾽ ἄγων
ἑξήκοντα νῆας ὁ Θησέως
παῖς ἑξῆς ἐναυλόχει, θεὰν
Παλλάδ᾽ ἐν μωνύχοις
ἔχων πτερωτοῖσιν ἅρμασιν θετὸν
εὔσημόν τε φάσμα ναυβάταις.
τῶν Βοιωτῶν δ᾽ ὅπλισμα, ποντίας (στροφὴ γ΄.)
πεντήκοντα νῆας εἰδόμαν
σημείοις εὖ ᾽στολισμένας·
(τοῖς δὲ Κάδμος ἦν χρύσεον δράκοντ᾽ ἔχων
ἀμφὶ ναῶν κόρυμβα·
Λήϊτος δ᾽ ὁ γηγενὴς
ἆρχε ναΐου στρατοῦ·)
Φωκίδος τ᾽ ἀπὸ χθονός·
Λοκρὰς δὲ τοῖσδ᾽ ἴσας ἄγων
ναῦς ἦλθ᾽ Ὀϊλέως τόκος, κλυτὰν
Θρονιάδ᾽ ἐκλιπὼν πόλιν.
ἐκ Μυκήνας δὲ τᾶς Κυκλωπίας (ἀντιστρ. γ΄.)
παῖς Ἀτρέως ἔπεμπε ναυβάτας
ναῶν ἑκατὸν ἠθροισμένους.
σὺν δ᾽ Ἄδραστος ἦν ταγός, ὡς φίλος φίλῳ,
τᾶς φυγούσας μέλαθρα
βαρβάρων χάριν γάμων
πρᾶξιν Ἑλλὰς ὡς λάβοι.
ἐκ Πύλου δὲ Νέστορος

252. Φωκίδος δ᾽ ἀπό. 253. Λοκροῖς. 254. ἦλθ᾽ deest.

Γερηνίου κατειδόμαν
πρύμνας σῆμα ταυρόπουν ὁρᾷν,
τὸν πάροικον Ἀλφεόν.
Αἰνιάνων δὲ δώδεκα στόλοι (ἐπῳδὸς β΄.)
ναῶν ἦσαν, ὧν ἄναξ Γουνεὺς
ἆρχε· τῶνδε δ' αὖ πέλας
Ἦλιδος δυνάστορες,
οὓς Ἐπειοὺς ὠνόμαζε πᾶς λεώς·
Εὔρυτος δ' ἄνασσε τῶνδε·
λευκήρετμον δ' ἄρη
Τάφιον ἦγεν, ὧν Μέγης
ἄνασσε, Φυλέως λόχευμα,
τὰς Ἐχίνας λιπὼν
νήσους ναυβάταις ἀπροσφόρους.
Αἴας δ' ὁ Σαλαμῖνος ἔντροφος
δεξιὸν κέρας πρὸς τὸ λαιὸν ξύναγε·
τῶν ἆσσον ὥρμει πλάταισιν
ἐσχάταισι συμπλέκων
δώδεκ' εὐστροφωτάταισι ναυσίν·
ὡς ἄϊον καὶ ναυβάταν
εἰδόμαν λεών·
ᾧ τις εἰ προσαρμόσει
βαρβάρους βάριδας,
νόστον οὐκ ἀποίσεται.
ἔνθα δάϊον εἰδόμαν
νάϊον πόρευμα,
τὰ δὲ κατ' οἴκους κλύουσα, συγκλήτου
μνήμην σῴζομαι στρατεύματος.

276. Ἐχίδνας. 290. τάδε.

ΠΡΕΣΒΥΤΗΣ.

Μενέλαε, τολμᾷς δείν', ἅ σ' οὐ τολμᾷν χρεών.

ΜΕΝΕΛΑΟΣ.

ἄπελθε· λίαν δεσπόταισι πιστὸς εἶ.

ΠΡΕΣΒΥΤΗΣ.

καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας.

ΜΕΝΕΛΑΟΣ.

κλάοις ἄν, εἰ πράσσοις, ἃ μὴ πράσσειν σε δεῖ.

ΠΡΕΣΒΥΤΗΣ.

οὐ χρῆν σε λῦσαι δέλτον, ἣν ἐγὼ 'φερον.

ΜΕΝΕΛΑΟΣ.

οὐδὲ σὲ φέρειν δεῖ πᾶσιν Ἕλλησιν κακά.

ΠΡΕΣΒΥΤΗΣ.

ἄλλοις ἁμιλλῶ ταῦτ'· ἄφες δὲ τήνδ' ἐμοί.

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἂν μεθείμην.

ΠΡΕΣΒΥΤΗΣ.

οὐδ' ἔγωγ' ἀφήσομαι.

ΜΕΝΕΛΑΟΣ.

σκήπτρῳ τάχ' ἆρα σὸν καθαιμάξω κάρα.

ΠΡΕΣΒΥΤΗΣ.

ἀλλ' εὐκλεές τοι δεσποτῶν θνήσκειν ὕπερ.

ΜΕΝΕΛΑΟΣ.

μέθες· μακροὺς δὲ δοῦλος ὢν λέγεις λόγους.

ΠΡΕΣΒΥΤΗΣ.

ὦ δέσποτ', ἀδικούμεσθα. σὰς δ' ἐπιστολὰς
ἐξαρπάσας ὅδ' ἐκ χερῶν ἐμῶν βίᾳ,
Ἀγάμεμνον, οὐδὲν τῇ δίκῃ χρῆσθαι θέλει.

298. ἄλλως.

ΑΓΑΜΕΜΝΩΝ.

ἔα; τίς [δῆτ'] ἐν πύλαισι θόρυβος καὶ λόγων ἀκοσμία;

ΠΡΕΣΒΥΤΗΣ.

οὑμὸς, οὐχ ὁ τοῦδε μῦθος κυριώτερος λέγειν.

ΑΓΑΜΕΜΝΩΝ.

σὺ δὲ τί τῷδ' ἐς ἔριν ἀφῖξαι, Μενέλεως, βίᾳ τ' ἄγεις;

ΜΕΝΕΛΑΟΣ.

βλέψον εἰς ἡμᾶς, ἵν' ἀρχὰς τῶν λόγων ταύτας λάβω.

ΑΓΑΜΕΜΝΩΝ.

μῶν τρέσας οὐκ ἀνακαλύψω βλέφαρον, Ἀτρέως γεγώς;

ΜΕΝΕΛΑΟΣ.

τήνδ' ὁρᾷς δέλτον, κακίστων γραμμάτων ὑπηρέτιν;

ΑΓΑΜΕΜΝΩΝ.

εἰσορῶ, καὶ πρῶτα ταύτην σῶν ἀπάλλαξον χερῶν.

ΜΕΝΕΛΑΟΣ.

οὐ, πρὶν ἂν δείξω γε Δαναοῖς πᾶσι τἀγγεγραμμένα.

ΑΓΑΜΕΜΝΩΝ.

ἦ γὰρ οἶσθ', ἃ μή σε καιρὸς εἰδέναι, σήμαντρ' ἀνείς;

ΜΕΝΕΛΑΟΣ.

ὥστε σ' ἀλγῦναί γ', ἀνοίξας, ἃ σὺ κάκ' εἰργάσω λάθρα.

306. δῆτ' sine uncis. 313. δείξω Δαναοῖς ἅπασι.

ΑΓΑΜΕΜΝΩΝ.

ποῦ δὲ κἄλαβές νιν; ὦ θεοὶ, σῆς ἀναισχύντου φρενός!

ΜΕΝΕΛΑΟΣ.

προσδοκῶν σὴν παῖδ' ἀπ' Ἄργους, εἰ στράτευμ' ἀφίξεται.

ΑΓΑΜΕΜΝΩΝ.

τί δέ σε τἀμὰ δεῖ φυλάσσειν; οὐκ ἀναισχύντου τόδε;

ΜΕΝΕΛΑΟΣ.

ὅτι τὸ βούλεσθαί μ' ἔκνιζε· σὸς δὲ δοῦλος οὐκ ἔφυν.

ΑΓΑΜΕΜΝΩΝ.

οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι;

ΜΕΝΕΛΑΟΣ.

πλάγια γὰρ φρονεῖς, τὰ μὲν νῦν, τὰ δὲ πάλαι, τὰ δ' αὐτίκα.

ΑΓΑΜΕΜΝΩΝ.

ἐκκεκόμψευσαι πονηρόν· γλῶσσ' ἐπίφθονον σοφή.

ΜΕΝΕΛΑΟΣ.

νοῦς δέ γ' οὐ βέβαιος ἄδικον κτῆμα, κοὐ σαφὲς φίλοις.
βούλομαι δέ σ' ἐξελέγξαι, καὶ σὺ μήτ' ὀργῆς ὕπο
ἀποτρέπου τἀληθές, οὐδ' εἰ κἀνιῶ λίαν σ' ἐγώ.
οἶσθ', ὅτ' ἐσπούδαζες ἄρχειν Δαναΐδαις πρὸς Ἴλιον,
τῷ δοκεῖν μὲν οὐχὶ χρῄζων, τῷ δὲ βούλεσθαι θέλων,

322. ἐκκεκόμψευσαι· πονηρὸν γλ. ἐπὶ φθόνον σ. 325. οὔτοι καταινῶ λίαν σ' ἐγώ.

ὡς ταπεινὸς ἦσθ᾽, ἁπάσης δεξιᾶς προσθιγγάνων,
καὶ θύρας ἔχων ἀκλήστους τῷ θέλοντι δημοτῶν,
καὶ διδοὺς πρόσρησιν ἑξῆς πᾶσι, κεἰ μή τις θέλοι,
τοῖς τρόποις ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου;
κᾆτ᾽ ἐπεὶ κατέσχες ἀρχὰς, μεταβαλὼν ἄλλους τρόπους,
τοῖς φίλοισιν οὐκ ἔτ᾽ ἦσθα τοῖς πρὶν, ὡς πρόσθεν, φίλος,
δυσπρόσιτος, ἔσω τε κλῄθρων σπάνιος. ἄνδρα δ᾽ οὐ χρεὼν
τὸν ἀγαθὸν, πράσσοντα μεγάλα, τοὺς τρόπους μεθιστάναι,
ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις,
ἡνίκ᾽ ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν.
ταῦτα μέν σε πρῶτ᾽ ἐπῆλθον, ἵνα σε πρῶθ᾽ εὗρον κακόν.
ὡς δ᾽ ἐς Αὖλιν ἦλθες αὖθις, χὠ Πανελλήνων στρατὸς,
οὐδὲν ἦσθ᾽, ἀλλ᾽ ἐξεπλήσσου τῇ τύχῃ τῇ τῶν θεῶν,
οὐρίας πομπῆς σπανίζων. Δαναΐδαι δ᾽ ἀφιέναι
ναῦς διήγγελλον, μάτην δὲ μὴ πονεῖν ἐν Αὐλίδι.
ὡς δ᾽ ἄνολβον εἶχες ὄμμα σύγχυσίν τε, μὴ νεῶν
χιλίων ἄρχων, Πριάμου τε πεδίον ἐμπλήσας δορός!
κἀμὲ παρεκάλεις, τί δράσω; τίνα πόρον δ᾽ εὕρω ποθέν;

328. ἦς. 329. ἀκλείστους. 334. κλείθρων. 338. εὗρω.
342. διήγγελον. 345. τίνα δὲ πόρ. εὕ.

ὥστε μὴ στερέντα σ᾽ ἀρχῆς ἀπολέσαι καλὸν κλέος.
κᾆτ᾽ ἐπεὶ Κάλχας ἐν ἱεροῖς εἶπε σὴν θῦσαι κόρην
Ἀρτέμιδι, καὶ πλοῦν ἔσεσθαι Δαναΐδαις, ἡσθεὶς φρένας,
ἄσμενος θύσειν ὑπέστης παῖδα· καὶ πέμπεις ἑκὼν,
οὐ βίᾳ, — μὴ τοῦτο λέξῃς, — σῇ δάμαρτι, παῖδα σὴν
δεῦρ᾽ ἀποστέλλειν, Ἀχιλλεῖ πρόφασιν ὡς γαμουμένην.
κᾆθ᾽ ὑποστρέψας λέληψαι μεταβαλὼν ἄλλας γραφὰς,
ὡς φονεὺς οὐκέτι θυγατρὸς σῆς ἔσει μάλιστά γε.
οὗτος αὐτός ἐστιν αἰθὴρ, ὃς τάδ᾽ ἤκουσεν σέθεν.
μυρίοι δέ τοι πεπόνθασ᾽ αὐτὸ πρὸς τὰ πράγματα·
ἐκπονοῦσ᾽ ἔχοντες, εἶτα δ᾽ ἐξεχώρησαν κακῶς,
τὰ μὲν ὑπὸ γνώμης πολιτῶν ἀσυνέτου, τὰ δ᾽ ἐνδίκως,
ἀδύνατοι γεγῶτες αὐτοὶ διαφυλάξασθαι πόλιν.
Ἑλλάδος μάλιστ᾽ ἔγωγε τῆς ταλαιπώρου στένω,
ἣ θέλουσα δρᾶν τι κεδνὸν βαρβάρους τοὺς οὐδένας,
καταγελῶντας ἐξανήσει διὰ σὲ καὶ τὴν σὴν κόρην.
μηδένʼ ἂν χρέους ἕκατι προστάτην θείμην χθονὸς,
μηδ᾽ ὅπλων ἄρχοντα· νοῦν χρὴ τὸν στρατηλάτην ἔχειν
πόλεος· ὡς ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἢν ἔχων τύχῃ.

ΧΟΡΟΣ.

δεινὸν, κασιγνήτοισι γίγνεσθαι λόγους
μάχας θ᾽, ὅταν ποτ᾽ ἐμπέσωσιν εἰς ἔριν.

346. ἀρχᾶς. 354. αὐτός. 357. γνώμας.

ΑΓΑΜΕΜΝΩΝ.

βούλομαί σ' εἰπεῖν κακῶς εὖ, βραχέα, μὴ λίαν ἄνω
βλέφαρα πρὸς τἀναιδὲς ἀγαγὼν, ἀλλὰ σωφρονεστέρως,
ὡς ἀδελφὸν ὄντ'. ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ.
εἰπέ μοι, τί δεινὰ φυσᾷς, αἱματηρὸν ὄμμ' ἔχων;
τίς ἀδικεῖ σε; τοῦ κέχρησαι; λέκτρα χρήστ' ἐρᾷς λαβεῖν;
οὐκ ἔχοιμ' ἂν σοι παρασχεῖν· ὧν γὰρ ἐκτήσω, κακῶς
ἦρχες. εἶτ' ἐγὼ δίκην δῶ σῶν κακῶν, ὁ μὴ σφαλείς;
ἢ δάκνει σε τὸ φιλότιμον τοὐμόν; ἀλλ' ἐν ἀγκάλαις
εὐπρεπῆ γυναῖκα χρῄζεις, τὸ λελογισμένον παρεὶς
καὶ τὸ καλὸν, ἔχειν; πονηροῦ φωτὸς ἡδοναὶ κακαί.
εἰ δ' ἐγὼ γνοὺς πρόςθεν οὐκ εὖ μετετέθην εὐβουλίᾳ,
μαίνομαι; σὺ μᾶλλον, ὅςτις, ἀπολέσας κακὸν λέχος,
ἀναλαβεῖν θέλεις, θεοῦ σοι τὴν τύχην διδόντος εὖ.
ὤμοσαν τὸν Τυνδάρειον ὅρκον οἱ κακόφρονες
φιλόγαμοι μνηστῆρες. ἡ δέ γ' Ἐλπὶς, οἶμαι μὲν, θεὸς

367. ἂν ὦ. 368. σωφρονέστερος. 369. ἀνὴρ γὰρ αἰσχρὸς αἰδεῖσθ' οὐ φιλεῖ. 371. λέκτρ' ἐρᾶς γε χρηστὰ λαβεῖν; 373. δώσω κ.

ἐξέπραξεν αὐτὸ μᾶλλον, ἢ σὺ, καὶ τὸ σὸν σθένος.
οὓς λαβὼν στράτευέ γ', οἶμαι, μωρίᾳ τῇ σῇ φρενῶν·
οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι
τοὺς κακῶς παγέντας ὅρκους καὶ συνηναγκασμένους.
τἀμὰ δ' οὐκ ἀποκτενῶ 'γὼ τέκνα· καὶ τὸ σὸν μὲν εὖ
παρὰ δίκης ἔσται, κακίστης εὐνίδος τιμωρία,
ἐμὲ δὲ συντήξουσι νύκτες ἡμέραι τε δακρύοις,
ἄνομα δρῶντα κοὐ δίκαια παῖδας, οὓς ἐγεινάμην.
ταῦτά σοι βραχέα λέλεκται καὶ σαφῆ καὶ ῥᾴδια·
εἰ δὲ μὴ βούλει φρονεῖν σὺ, τἄμ' ἐγὼ θήσω καλῶς.

ΧΟΡΟΣ.

οἵδ' αὖ διάφοροι τῶν πάρος λελεγμένων
μύθων, καλῶς δ' ἔχουσι, φείδεσθαι τέκνων.

ΜΕΝΕΛΑΟΣ.

αἶ αἴ! φίλους ἄρ' οὐχὶ κεκτήμην τάλας;

ΑΓΑΜΕΜΝΩΝ.

εἰ τοὺς φίλους γε μὴ θέλεις ἀπολλύναι.

ΜΕΝΕΛΑΟΣ.

δείξεις δὲ ποῦ μοι πατρὸς ἐκ ταυτοῦ γεγώς;

ΑΓΑΜΕΜΝΩΝ.

συσσωφρονεῖν γὰρ, ἀλλ' οὐ συννοσεῖν ἔφυν.

383. οἶμαι δ' εἴσῃ μωρίᾳ φρ. 385. κατηναγκασμένους. 387. πέρα δ. 397. συσσ. σοὶ βούλομ', ἀλλ' οὐ συννοσεῖν.

ΜΕΝΕΛΑΟΣ.

ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.

ΑΓΑΜΕΜΝΩΝ.

εὖ δρῶν παρακάλει μ᾽, ἀλλὰ μὴ λυπῶν ἐμέ.

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἆρα δοκεῖ σοι τάδε πονεῖν σὺν Ἑλλάδι;

ΑΓΑΜΕΜΝΩΝ.

Ἑλλὰς δὲ σὺν σοὶ κατὰ θεὸν νοσεῖ τινα.

ΜΕΝΕΛΑΟΣ.

σκήπτρῳ νυν αὔχει, σὸν κασίγνητον προδούς·
ἐγὼ δ᾽ ἐπ᾽ ἄλλας εἶμι μηχανάς τινας,
φίλους τ᾽ ἐπ᾽ ἄλλους.

ΑΓΓΕΛΟΣ.

ὦ Πανελλήνων ἄναξ,
Ἀγάμεμνον, ἥκω παῖδά σοι τὴν σὴν ἄγων,
ἣν Ἰφιγένειαν ὠνόμαζες ἐν δόμοις.
μήτηρ δ᾽ ὁμαρτεῖ, σῆς Κλυταιμνήστρας δέμας,
καὶ παῖς Ὀρέστης· ὥστε τερφθείης ἰδὼν,
χρόνον παλαιὸν δωμάτων ἔκδημος ὤν.
ἀλλ᾽ ὡς μακρὰν ἔτεινον, εὔρυτον παρὰ
κρήνην ἀναψύχουσι θηλύπουν βάσιν,
αὐταί τε πῶλοί τ᾽· ἐς δὲ λειμώνων χλόην
καθεῖμεν αὐτὰς, ὡς βορᾶς γευσαίατο.
ἐγὼ δὲ πρόδρομος σῆς παρασκευῆς χάριν
ἥκω· πέπυσται γὰρ στρατός, ταχεῖα δὲ
διῆξε φήμη παῖδα σὴν ἀφιγμένην.
πᾶς δ᾽ ἐς θέαν ὅμιλος ἔρχεται δρόμῳ,
σὴν παῖδ᾽ ὅπως ἴδωσιν· οἱ δ᾽ εὐδαίμονες

402. σκ. νῦν αἰχεῖς. 406. ὠνόμασάς ποτ᾽ ἐν δ. 410. Εὔρυτον. 412. πῶλοί γ᾽.

ἐν πᾶσι κλεινοὶ καὶ περίβλεπτοι βροτοῖς.
λέγουσι δ᾽· ὑμέναιός τις, ἢ τί πράσσεται;
ἢ πόθον ἔχων θυγατρὸς Ἀγαμέμνων ἄναξ
ἐκόμισε παῖδα; τῶν δ᾽ ἂν ἤκουσας τάδε·
Ἀρτέμιδι προτελίζουσι τὴν νεανίδα,
Αὐλίδος ἀνάσσῃ. τίς νιν ἄξεταί ποτε;
ἀλλ᾽ εἶα, τἀπὶ τοῖσιδ᾽ ἐξάρχου κανᾶ·
στεφανοῦσθε κρᾶτα, καὶ σὺ, Μενέλεως ἄναξ,
ὑμέναιον εὐτρέπιζε, καὶ κατὰ στέγας
λωτὸς βοάσθω καὶ ποδῶν ἔστω κτύπος·
φῶς γὰρ τόδ᾽ ἥκει μακάριον τῇ παρθένῳ.

ΑΓΑΜΕΜΝΩΝ.

ἐπῄνεσ᾽. ἀλλὰ στεῖχε δωμάτων ἔσω·
τὰ δ᾽ ἄλλ᾽, ἰούσης τῆς τύχης, ἔσται καλῶς. —
οἴ μοι! τί φῶ δύστηνος; ἄρξομαι πόθεν;
ἐς οἷ᾽ ἀνάγκης ζεύγματ᾽ ἐμπεπτώκαμεν!
ὑπῆλθε δαίμων, ὥστε τῶν σοφισμάτων
πολλῷ γενέσθαι τῶν ἐμῶν σοφώτερος.
ἡ δυσγένεια δ᾽ ὡς ἔχει τι χρήσιμον!
καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
ἄνολβά τ᾽ εἰπεῖν. τῷ δὲ γενναίῳ φύσιν
ἅπαντα ταῦτα· προστάτην τε τοῦ βίου
τὸν ὄγκον ἔχομεν, τῷ τ᾽ ὄχλῳ δουλεύομεν.
ἐγὼ γὰρ ἐκβαλεῖν μὲν αἰδοῦμαι δάκρυ,
τὸ μὴ δακρῦσαι δ᾽ αὖθις αἰδοῦμαι τάλας,
ἐς τὰς μεγίστας συμφορὰς ἀφιγμένος.
εἶεν, τί φήσω πρὸς δάμαρτα τὴν ἐμήν;
πῶς δέξομαί νιν; ποῖον ὄμμα συμβαλῶ;

422. τῶνδ᾽. 432. ἄ. σέθεν. 439. πρ. γε. 440. τὸν δῆμον ἔχ.

καὶ γάρ μ' ἀπώλεσ' ἐπὶ κακοῖς, ἅ μοι πάρος,
ἐλθοῦσ' ἄκλητος. εἰκότως δ' ἅμ' ἕσπετο
θυγατρὶ νυμφεύσουσα, καὶ τὰ φίλτατα
δώσουσ', ἵν' ἡμᾶς ὄντας εὑρήσει κακούς.
τὴν δ' αὖ τάλαιναν παρθένον — τί παρθένον;
Ἅιδης νιν, ὡς ἔοικε, νυμφεύσει τάχα —
ὥς ᾤκτισ'! οἶμαι γάρ νιν ἱκετεῦσαι τάδε·
ὦ πάτερ, ἀποκτενεῖς με; τοιούτους γάμους
γήμειας αὐτὸς χὤστις ἔστι σοι φίλος.
παρὼν δ' Ὀρέστης ἐγγὺς ἀναβοήσεται
οὐ συνετὰ συνετῶς· ἔτι γάρ ἐστι νήπιος.
αἶ, αἶ! τὸν Ἑλένης ὥς μ' ἀπώλεσεν γάμον
γήμας ὁ Πριάμου Πάρις, ὅ μ' εἴργασται τάδε!

ΧΟΡΟΣ.

κἀγὼ κατῴκτειρ', ὡς γυναῖκα δεῖ ξένην
ὑπὲρ τυράννων συμφορᾶς καταστένειν.

ΜΕΝΕΛΑΟΣ.

ἀδελφέ, δός μοι δεξιᾶς τῆς σῆς θιγεῖν.

ΑΓΑΜΕΜΝΩΝ.

δίδωμι· σὸν γὰρ τὸ κράτος, ἄθλιος δ' ἐγώ.

ΜΕΝΕΛΑΟΣ.

Πέλοπα κατόμνυμ', ὃς πατὴρ τοὐμοῦ πατρὸς
τοῦ σοῦ τ' ἐκλήθη, τὸν τεκόντα τ' Ἀτρέα,
ἦ μὴν ἐρεῖν σοι τἀπὸ καρδίας σαφῶς,
καὶ μὴ 'πίτηδες μηδέν, ἀλλ' ὅσον φρονῶ.
ἐγώ σ' ἀπ' ὄσσων ἐκβαλόντ' ἰδὼν δάκρυ
ᾤκτειρα, καὐτὸς ἀνταφῆκά σοι πάλιν,
καὶ τῶν παλαιῶν ἐξαφίσταμαι λόγων,

446. ἅ μοι πάρα. 448. νυμφεύουσα. 450. τήνδ'. 458. ὅς μ' εἴργ.

οὐκ ἐς σὲ δεινός· εἶμι δ', οὗπερ εἶ σὺ νῦν·
καί σοι παραινῶ μήτ' ἀποκτείνειν τέκνον,
μήτ' ἀνθελέσθαι τοὐμόν. οὐ γὰρ ἔνδικον,
σὲ μὲν στενάζειν, τἀμὰ δ' ἡδέως ἔχειν,
θνήσκειν τε τοὺς σούς, τοὺς δ' ἐμοὺς ὁρᾶν φάος.
τί βούλομαι γάρ; οὐ γάμους ἐξαιρέτους
ἄλλους λάβοιμ' ἄν, εἰ γάμων ἱμείρομαι;
ἀλλ' ἀπολέσας ἀδελφὸν, ὅν μ' ἥκιστ' ἐχρῆν,
Ἑλένην ἕλωμαι, τὸ κακὸν ἀντὶ τἀγαθοῦ;
ἄφρων νέος τ' ἦν πρίν. τὸ πρᾶγμα δ' ἐγγύθεν
σκοπῶν ἐσεῖδον, οἷον ἦν κτείνειν τέκνα.
ἄλλως τέ μ' ἔλεος τῆς ταλαιπώρου κόρης
ἐσῆλθε, συγγένειαν ἐννοούμενον,
ἣ τῶν ἐμῶν ἕκατι θύεσθαι γάμων
μέλλει. τί δ' Ἑλένης παρθένῳ τῇ σῇ μέτα;
ἴτω στρατεία διαλυθεῖσ' ἐξ Αὐλίδος.
σὺ δ' ὄμμα παῦσαι δακρύοις τέγγων τὸ σὸν,
ἀδελφὲ, κἀμὲ παρακαλῶν ἐς δάκρυα.
εἰ δέ τι κόρης σῆς θεσφάτων μέτεστί μοι,
μή μοι μετέστω· σοὶ νέμω τοὐμὸν μέρος.
ἀλλ' ἐς μεταβολὰς ἦλθον ἀπὸ δεινῶν λόγων.
εἰκὸς πέπονθα· τὸν ὁμόθεν πεφυκότα
στέργων μετέπεσον. ἀνδρὸς οὐ κακοῦ τρόποι
τοιοίδε, χρῆσθαι τοῖσι βελτίστοις ἀεί.

ΧΟΡΟΣ.

γενναῖ' ἔλεξας Ταντάλῳ τε τῷ Διὸς
πρέποντα· προγόνους οὐ καταισχύνεις σέθεν.

479. τὰ πράγματα. 488. μέτεστί σοι.

ΑΓΑΜΕΜΝΩΝ.

αἰνῶ σε, Μενέλεως, ὅτι παρὰ γνώμην ἐμὴν
ὑπέθηκας ὀρθῶς τοὺς λόγους σοῦ τ' ἀξίως.

ΜΕΝΕΛΑΟΣ.

ταραχή γ' ἀδελφῶν τις δι' ἔρωτα γίγνεται
πλεονεξίαν τε δωμάτων· ἀπέπτυσα
τοιάνδε συγγένειαν ἀλλήλων πικράν.

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ' ἥκομεν γὰρ εἰς ἀναγκαίας τύχας,
θυγατρὸς αἱματηρὸν ἐκπρᾶξαι φόνον.

ΜΕΝΕΛΑΟΣ.

πῶς; τίς δ' ἀναγκάσει σε τήν γε σὴν κτανεῖν;

ΑΓΑΜΕΜΝΩΝ.

ἅπας Ἀχαιῶν σύλλογος στρατεύματος.

ΜΕΝΕΛΑΟΣ.

οὐκ, εἴ νιν εἰς Ἄργος γ' ἀποστελεῖς πάλιν.

ΑΓΑΜΕΜΝΩΝ.

λάθοιμι τοῦτ' ἄν. ἀλλ' ἐκεῖν' οὐ λήσομεν.

ΜΕΝΕΛΑΟΣ.

τὸ ποῖον; οὔτοι χρὴ λίαν ταρβεῖν ὄχλον.

ΑΓΑΜΕΜΝΩΝ.

Κάλχας ἐρεῖ μαντεύματ' Ἀργείων στρατῷ.

ΜΕΝΕΛΑΟΣ.

οὐκ, ἢν θάνῃ γε πρόσθε· τοῦτο δ' εὐμαρές.

ΑΓΑΜΕΜΝΩΝ.

τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν.

ΜΕΝΕΛΑΟΣ.

κοὐδέν γε χρηστὸν οὐδὲ χρήσιμον παρόν.

496. Μενέλαος. 497. ὑπέθηκες. 506. οὐ λήσομαι. 511. κοὐδέν γ'· ἄχρηστον.

ΑΓΑΜΕΜΝΩΝ.

ἐκεῖνο δ' οὐ δέδοικας, ὅ τι μ' εἰσέρχεται;

ΜΕΝΕΛΑΟΣ.

ὃν μὴ σὺ φράζεις, πῶς ὑπολάβοιμεν λόγον;

ΑΓΑΜΕΜΝΩΝ.

τὸ Σισύφειον σπέρμα πάντ' οἶδεν τάδε.

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἔστ', Ὀδυσσεὺς ὅ τι σὲ κἀμὲ πημανεῖ.

ΑΓΑΜΕΜΝΩΝ.

ποικίλος ἀεὶ πέφυκε τοῦ τ' ὄχλου μέτα.

ΜΕΝΕΛΑΟΣ.

φιλοτιμίᾳ μὲν ἐνέχεται, δεινῷ κακῷ.

ΑΓΑΜΕΜΝΩΝ.

οὐκοῦν δόκει νιν στάντ' ἐν Ἀργείοις μέσοις
λέξειν, ἃ Κάλχας θέσφατ' ἐξηγήσατο,
κἄμ', ὡς ὑπέστην θῦμα, κᾆτα ψεύδομαι,
Ἀρτέμιδι θύσειν· οἷς ξυναρπάσας στρατὸν,
σὲ κἄμ' ἀποκτείναντας Ἀργείους κόρην
σφάξαι κελεύσει. κἂν πρὸς Ἄργος ἐκφύγω,
ἐλθόντες αὐτοῖς τείχεσιν Κυκλωπίοις
ἀναρπάσουσι καὶ κατασκάψουσι γῆν.
τοιαῦτα τἀμὰ πήματ'. ὦ τάλας ἐγὼ,
ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε!
ἕν μοι φύλαξον, Μενέλεως, ἀνὰ στρατὸν
ἐλθὼν, ὅπως ἂν μὴ Κλυταιμνήστρα τάδε
μάθῃ, πρὶν Ἅιδῃ παῖδ' ἐμὴν προσθῶ λαβὼν,
ὡς ἐπ' ἐλαχίστοις δακρύοις πράσσω κακῶς.
ὑμεῖς τε σιγὴν, ὦ ξέναι, φυλάσσετε.

516. τοῦ γ' ὄχλου. 521. ὃς ξ. 525. ξυναρπάσουσι.

ΧΟΡΟΣ.

Μάκαρες, οἳ μετρίας θεοῦ (στροφή.)
μετά τε σωφροσύνας μετέ-
σχον λέκτρων Ἀφροδίτας,
γαλανείᾳ χρησάμενοι
μαινομένων οἴστρων, ὅθι δὴ
δίδυμ᾽ Ἔρως ὁ χρυσοκόμας
τόξ᾽ ἐντείνεται χαρίτων,
τὸ μὲν ἐπ᾽ εὐαίωνι πότμῳ,
τὸ δ᾽ ἐπὶ συγχύσει βιοτᾶς.
ἀπενέπω νιν ἁμετέρων,
Κύπρι καλλίστα, θαλάμων.
εἴη δέ μοι μετρία
μὲν χάρις, πόθοι δ᾽ ὅσιοι,
καὶ μετέχοιμι τᾶς Ἀφροδί-
τας, πολλὰν δ᾽ ἀποθείμαν!
διάφοροι δὲ φύσεις βροτῶν, (ἀντιστρ.)
διάτροποι δὲ τρόποις· ὁ δ᾽ ὀρ-
θὸς ἐσθλὸν σαφὲς αἰεί.
τροφαί θ᾽ αἱ παιδευόμεναι
μέγα φέρουσιν εἰς ἀρετάν·
τό τε γὰρ αἰδεῖσθαι σοφία,
τάν τ᾽ ἐξαλλάσσουσαν ἔχει
χάριν ὑπὸ γνώμας ἐσορᾶν
τὸ δέον, ἔνθα δόξα φέρει
κλέος ἀγήρατον βιοτᾷ.
μέγα τι θηρεύειν ἀρετάν,

537. μαινόμεν᾽ οἵ. 547. πολλάν τ᾽. 552. φέρουσ᾽. 553. σοφίᾳ. 556. δόξαν. 557. βιοτάν.

γυναιξὶν μὲν κατὰ Κύ-
πριν κρυπτὰν, ἐν ἀνδράσι δ᾽ αὖ
κόσμος ἔνδον [ὁ] μυριοπλη-
θὴς μείζω πόλιν αὔξει.
ἔμολες, ὦ Πάρις, ᾗ τε σύ γε (ἐπῳδός.)
βουκόλος ἀργενναῖς ἐτράφης
Ἰδαίαις παρὰ μόσχοις,
βάρβαρα συρίζων, Φρυγίων
αὐλῶν Οὐλύμπου καλάμοις
μιμήματα πνέων.
εὔθηλοι δὲ τρέφοντο βόες,
ὅτε σε κρίσις ἔμενε θεᾶν,
ἅ σ᾽ Ἑλλάδα πέμπει
ἐλεφαντοδέτων πάροιθεν
δόμων, ὃς τᾶς Ἑλένας
ἐν ἀντωποῖς βλεφάροισιν ἔρωτα δέδωκας,
ἔρωτι δ᾽ αὐτὸς ἐπτοάθης.
ὅθεν ἔρις ἔρις
Ἑλλάδα σὺν δορὶ ναυσί τ᾽ ἄγει
ἐς Τροίας πέργαμα.
Ἰὼ, ἰώ!
μεγάλαι μεγάλων εὐδαιμονίαι. (στροφὴ β΄.)
τὴν τοῦ βασιλέως
εἴδετ᾽ Ἰφιγένειαν, ἄνασσαν ἐμήν,
τὴν Τυνδαρέου τε Κλυταιμνήστραν,
ὡς ἐκ μεγάλων ἐβλαστήκασ᾽
ἐπί τ᾽ εὐμήκεις ἥκουσι τύχας;
θεοί γ᾽ οἱ κρείσσους οἵ τ᾽ ὀλβοφόροι

559. γυναιξί. 561. ὁ sine uncis. 568. μ. πλέκων. 582. ἴδετ᾽.

τοῖς οὐκ εὐδαίμοσι [τῶν] θνατῶν.
Στῶμεν, Χαλκίδος ἔκγονα θρέμματα, (ἀντ. β'.)
τὴν βασίλειαν
δεξώμεθ' ὄχων ἄπο, μὴ σφαλερῶς [ἐπὶ τὴν γαῖαν]
ἀγανῶς δὲ, χεροῖν μαλακῇ γνώμῃ,
μὴ ταρβήσῃ μοι νεωστὶ μολὸν
τὸ κλεινὸν τέκνον Ἀγαμεμνόνιον·
μὴ δὴ θόρυβον, μήδ' ἔκπληξιν
[ταῖς Ἀργείαις]
ξεῖναι ξείναις παρέχωμεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ὄρνιθα μὲν τόνδ' αἴσιον ποιούμεθα,
τὸ σόν τε χρηστὸν καὶ λόγων εὐφημίαν·
ἐλπίδα δ' ἔχω τίν', ὡς ἐπ' ἐσθλοῖσιν γάμοις
πάρειμι νυμφαγωγός. ἀλλ' ὀχημάτων
ἔξω πορεύεθ' ἃς φέρω φερνὰς κόρῃ,
καὶ πέμπετ' ἐς μέλαθρον εὐλαβούμεναι.
σὺ δ', ὦ τέκνον, μοι λεῖπε πωλικοὺς ὄχους,
ἁβρὸν τιθεῖσα κῶλον ἀσθενές θ' ἅμα.
ὑμεῖς δὲ, νεάνιδες, νιν ἀγκάλαις ἔπι
δέξασθε καὶ πορεύσατ' ἐξ ὀχημάτων.
καί μοι χερός τις ἐνδότω στηρίγματα,
θάκους ἀπήνης ὡς ἂν ἐκλίπω καλῶς.
αἱ δ' ἐς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν,
(φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικόν·)
καὶ παῖδα τόνδε, τὸν Ἀγαμέμνονος γόνον,

587. τῶν sine uncis. 590. ἐπὶ τὴν γαῖαν sine uncis. 592. νεωστί μοι μολόν. 593. τ. Ἀγαμέμνονος. 594. μὴ δὲ θόρ. 595. ταῖς Ἀργείαις sine uncis. 605. νεανίδεσσιν. 608. ἐκλείπω.

λάζυσθ', Ὀρέστην· ἔτι γὰρ ἐστὶ νήπιος.
τέκνον, καθεύδεις πωλικῷ δαμεὶς ὄχῳ;
ἔγειρ' ἀδελφῆς ἐφ' ὑμέναιον εὐτυχῶς·
ἀνδρὸς γὰρ ἀγαθοῦ κῆδος αὐτὸς ἐσθλὸς ὢν
λήψει, τὸ τῆς Νηρῇδος ἰσόθεον γένος.
[ἑξῆς κάθησο δεῦρό μου ποδὸς, τέκνον,
πρὸς μητέρ', Ἰφιγένεια, μακαρίαν δέ με
ξέναισι ταῖσδε πλησία σταθεῖσα δὸς,
καὶ δεῦρο δὴ πατέρα πρόσειπε σὸν φίλον.]

ΙΦΙΓΕΝΕΙΑ.

[ὦ μῆτερ, ὑποδραμοῦσά γ', — ὀργισθῇς δέ μὴ, —
πρὸς στέρνα πατρὸς στέρνα τἀμὰ περιβαλῶ;]

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ σέβας ἐμοὶ μέγιστον, Ἀγαμέμνων ἄναξ,
ἥκομεν, ἐφετμαῖς οὐκ ἀπιστοῦσαι σέθεν.

ΙΦΙΓΕΝΕΙΑ.

ἐγὼ δέ βούλομαι τὰ σὰ στέρν', ὦ πάτερ,
ὑποδραμοῦσα προσβαλεῖν διὰ χρόνου.
[ποθῶ γὰρ ὄμμα δὴ σόν. ὀργισθῇς δέ μή.]

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ', ὦ τέκνον, χρῶ· φιλοπάτωρ δ' ἀεί ποτ' εἶ
μάλιστα παίδων τῶνδ', ὅσους ἐγὼ 'τεκον.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.

ΑΓΑΜΕΜΝΩΝ.

καὶ γὰρ πατήρ σε· τόδ' ἴσον ὑπὲρ ἀμφοῖν λέγεις.

ΙΦΙΓΕΝΕΙΑ.

χαῖρ'· εὖ δέ μ' ἀγαγὼν πρός σ' ἐποίησας, πάτερ.

616. τὸ Νηρῇδος. 617—622. sine uncis. 627. sine uncis.

ΑΓΑΜΕΜΝΩΝ.

οὐκ οἶδ', ὅπως φῶ τοῦτο, καὶ μὴ φῶ, τέκνον.

ΙΦΙΓΕΝΕΙΑ.

(ἔα) ὡς οὐ βλέπεις εὔκηλον, ἄσμενός μ' ἰδών.

ΑΓΑΜΕΜΝΩΝ.

πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.

ΙΦΙΓΕΝΕΙΑ.

παρ' ἐμοὶ γενοῦ νῦν, [καὶ] μὴ 'πὶ φροντίδας τρέπου.

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας, κοὐκ ἄλλοθι.

ΙΦΙΓΕΝΕΙΑ.

μέθες νυν ὀφρὺν, ὄμμα τ' ἔκτεινον φίλον.

ΑΓΑΜΕΜΝΩΝ.

ἰδοὺ γέγηθά σ', ὡς γέγηθ', ὁρῶν, τέκνον.

ΙΦΙΓΕΝΕΙΑ.

κἄπειτα λείβεις δάκρυ' ἀπ' ὀμμάτων σέθεν;

ΑΓΑΜΕΜΝΩΝ.

μακρὰ γὰρ ἡμῖν ἡ 'πιοῦσ' ἀπουσία.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκ οἶδ', ὃ φὴς, οὐκ οἶδα, φίλτατ' ἐμοὶ πάτερ.

ΑΓΑΜΕΜΝΩΝ.

συνετὰ λέγουσα, μᾶλλον εἰς οἶκτόν μ' ἄγεις.

ΙΦΙΓΕΝΕΙΑ.

ἀσύνετα νῦν ἐροῦμεν, εἰ σέ γ' εὐφρανῶ.

ΑΓΑΜΕΜΝΩΝ.

παπαί! τὸ σιγᾶν οὐ σθένω· σὲ δ' ᾔνεσα.

ΙΦΙΓΕΝΕΙΑ.

μέν', ὦ πάτερ, κατ' οἶκον ἐπὶ τέκνοις σέθεν.

634. βλέπεις μ' εὐκ. 636. καὶ sine uncis. 639. γέγηθ', ἕως γέγηθά σ' ὁρῶν. 642. ὅ τι φῄς. 644. ἀ. μέν γ' ἐρ.

ΑΓΑΜΕΜΝΩΝ.

θέλω γε· τὸ θέλειν δ' οὐκ ἔχων ἀλγύνομαι.

ΙΦΙΓΕΝΕΙΑ.

ὄλοιντο λόγχαι καὶ τὰ Μενέλεω κακά!

ΑΓΑΜΕΜΝΩΝ.

ἄλλους ὀλεῖ πρόσθ', ἃ 'μὲ διολέσαντ' ἔχει.

ΙΦΙΓΕΝΕΙΑ.

ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς!

ΑΓΑΜΕΜΝΩΝ.

καὶ νῦν γ' ἔμ' ἴσχει δή τι μὴ στέλλειν στρατόν.

ΙΦΙΓΕΝΕΙΑ.

ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκῆσθαι, πάτερ;

ΑΓΑΜΕΜΝΩΝ.

οὗ μή ποτ' οἰκεῖν ὤφελ' ὁ Πριάμου Πάρις.

ΙΦΙΓΕΝΕΙΑ.

μακράν γ' ἀπαίρεις, ὦ πάτερ, λιπὼν ἐμέ;

ΑΓΑΜΕΜΝΩΝ.

ἐς ταὐτὸν, ὦ θύγατερ, ἔθ' ἥκεις σῷ πατρί.

ΙΦΙΓΕΝΕΙΑ.

(φεῦ) εἴθ' ἦν καλόν μοι, σοί τ' ἄγειν σύμπλουν ἐμέ.

ΑΓΑΜΕΜΝΩΝ.

αἰτεῖς τί; καὶ σοὶ πλοῦς, ἵνα μνήσει πατρός.

ΙΦΙΓΕΝΕΙΑ.

σὺν μητρὶ πλεύσασ', ἢ μόνη, πορεύσομαι;

ΑΓΑΜΕΜΝΩΝ.

μόνη μονωθεῖσ' ἀπὸ πατρὸς καὶ μητέρος.

ΙΦΙΓΕΝΕΙΑ.

ἦ πού μ' ἐς ἄλλα δώματ' οἰκίζεις, πάτερ;

649. πρόσθεν, ἅ με. 655. σύ θ' ἥκ.

ΑΓΑΜΕΜΝΩΝ.

ἔα γε ταῦτ᾽. οὐ χρὴ τάδ᾽ εἰδέναι κόρας.

ΙΦΙΓΕΝΕΙΑ.

σπεῦδ᾽ ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ.

ΑΓΑΜΕΜΝΩΝ.

θῦσαί με θυσίαν πρῶτα δεῖ τίν᾽ ἐνθάδε.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλὰ ξὺν ἱεροῖς χρὴ τό γ᾽ εὐσεβὲς σκοπεῖν.

ΑΓΑΜΕΜΝΩΝ.

εἴσει σύ· χερνίβων γὰρ ἑστήξει πέλας.

ΙΦΙΓΕΝΕΙΑ.

στήσομεν ἄρ᾽ ἀμφὶ βωμὸν, ὦ πάτερ, χορούς;

ΑΓΑΜΕΜΝΩΝ.

ζηλῶ σὲ μᾶλλον, ἢ ᾽μὲ, τοῦ μηδὲν φρονεῖν.
χώρει δὲ μελάθρων ἐντὸς, ὀφθῆναι κόραις,
πικρὸν φίλημα δοῦσα δεξιάν τέ μοι,
μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.
ὦ στέρνα καὶ παρῆδες, ὦ ξανθαὶ κόμαι,
ὡς ἄχθος ἡμῖν ἐγένεθ᾽ ἡ Φρυγῶν πόλις
Ἑλένη τε! παύω τοὺς λόγους· ταχεῖα γὰρ
νοτὶς διώκει μ᾽ ὀμμάτων, ψαύσαντά σου.
ἴθ᾽ ἐς μέλαθρα. σὲ δὲ παραιτοῦμαι τάδε,
Λήδας γένεθλον, εἰ κατῳκτίσθην ἄγαν,
μέλλων Ἀχιλλεῖ θυγατέρ᾽ ἐκδώσειν ἐμήν.
ἀποστολαὶ γὰρ μακάριαι μὲν, ἀλλ᾽ ὅμως
δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
παῖδας παραδιδῷ πολλὰ μοχθήσας πατήρ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐχ ὧδ᾽ ἀσύνετός εἰμι, πείσεσθαι δ᾽ ἐμὲ

661. ἔα γέ τ᾽· οὐ χρή τοι τάδ᾽ εἰ. κ.

καὐτὴν δόκει τάδ᾽, ὥστε μή σε νουθετεῖν,
ὅταν ξὺν ὑμεναίοισιν ἐξάγω κόρην·
ἀλλ᾽ ὁ νόμος αὐτὰ τῷ χρόνῳ συνισχανεῖ.
τοὔνομα μὲν οὖν παῖδ᾽ οἶδ᾽ ὅτῳ κατῄνεσας,
γένους δὲ ποίου χὠπόθεν, μαθεῖν θέλω.

ΑΓΑΜΕΜΝΩΝ.

Αἴγινα θυγάτηρ ἐγένετ᾽ Ἀσωποῦ πατρός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ταύτην δὲ θνητῶν, ἢ θεῶν, ἔζευξέ τις;

ΑΓΑΜΕΜΝΩΝ.

Ζεύς· Αἰακὸν δ᾽ ἔφυσεν, Οἰνώνης πρόμον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τοῦ δ᾽ Αἰακοῦ παῖς τίς κατέσχε δώματα;

ΑΓΑΜΕΜΝΩΝ.

Πηλεύς· ὁ Πηλεὺς δ᾽ ἔσχε Νηρέως κόρην.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

θεοῦ διδόντος, ἢ βίᾳ θεῶν λαβών;

ΑΓΑΜΕΜΝΩΝ.

Ζεὺς ἠγγύησε καὶ δίδωσ᾽ ὁ κύριος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

γαμεῖ δὲ ποῦ νιν; ἢ κατ᾽ οἶδμα πόντιον;

ΑΓΑΜΕΜΝΩΝ.

Χείρων ἵν᾽ οἰκεῖ σεμνὰ Πηλίου βάθρα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔ φασι Κενταύρειον οἰκεῖσθαι γένος;

ΑΓΑΜΕΜΝΩΝ.

ἐνταῦθ᾽ ἔδαισαν Πηλέως γάμους θεοί.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Θέτις δ᾽ ἔθρεψεν, ἢ πατὴρ, Ἀχιλλέα;

684. συνισχάνει. 694. ἢ κατ᾽ ο.

ΑΓΑΜΕΜΝΩΝ.
Χείρων, ἵν᾽ ἤθη μὴ μάθοι κακῶν βροτῶν.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
(φεῦ) σοφός γ᾽ ὁ θρέψας χὠ διδοὺς σοφώτερος.
ΑΓΑΜΕΜΝΩΝ.
τοιόσδε παιδὸς σῆς ἀνὴρ ἔσται πόσις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὐ μεμπτός. οἰκεῖ δ᾽ ἄστυ ποῖον Ἑλλάδος;
ΑΓΑΜΕΜΝΩΝ.
Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἐκεῖσ᾽ ἀπάξει σὴν ἐμήν τε παρθένον;
ΑΓΑΜΕΜΝΩΝ.
κείνῳ μελήσει ταῦτα, τῷ κεκτημένῳ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἀλλ᾽ εὐτυχοίτην! τίνι δ᾽ ἐν ἡμέρᾳ γαμεῖ;
ΑΓΑΜΕΜΝΩΝ.
ὅταν Σελήνης εὐτυχὴς ἔλθῃ κύκλος.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
προτέλεια δ᾽ ἤδη παιδὸς ἔσφαξας θεᾷ;
ΑΓΑΜΕΜΝΩΝ.
μέλλω· ᾽πὶ ταύτῃ καὶ καθέσταμεν τύχῃ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
κἄπειτα δαίσεις τοὺς γάμους ἐςύστερον;
ΑΓΑΜΕΜΝΩΝ.
θύσας γε θύμαθ᾽, ἅπερ ἐχρῆν θῦσαι θεοῖς.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἡμεῖς δὲ θοίνην ποῦ γυναιξὶ θήσομεν;

699. μάθῃ. 711. ἅπερ μ᾽.

ΑΓΑΜΕΜΝΩΝ.
ἐνθάδε παρ᾽ εὐπρύμνοισιν Ἀργείων πλάταις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
καλῶς, ἀναγκαίως τε· συνενέγκαι δ᾽ ὅμως.
ΑΓΑΜΕΜΝΩΝ.
οἶσθ᾽ οὖν, ὃ δρᾶσον, ὦ γύναι; πιθοῦ δέ μοι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
τί χρῆμα; πείθεσθαι γὰρ εἴθισμαι σέθεν.
ΑΓΑΜΕΜΝΩΝ.
ἡμεῖς μὲν ἐνθάδ᾽, οὗπερ ἔσθ᾽ ὁ νυμφίος —
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
μητρὸς τί χωρὶς δράσεθ᾽, ἃ μὲ δρᾶν χρεών;
ΑΓΑΜΕΜΝΩΝ.
ἐκδώσομεν σὴν παῖδα Δαναϊδῶν μέτα.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν;
ΑΓΑΜΕΜΝΩΝ.
χώρει πρὸς Ἄργος, παρθένους τε τημέλει.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
λιποῦσα παῖδα; τίς δ᾽ ἀνασχήσει φλόγα;
ΑΓΑΜΕΜΝΩΝ.
ἐγὼ παρέξω φῶς, ὃ νυμφίοις πρέπει.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὐχ ὁ νόμος οὗτος, καὶ σὺ φαῦλ᾽ ἡγεῖ τάδε.
ΑΓΑΜΕΜΝΩΝ.
οὐ καλὸν ἐν ὄχλῳ σ᾽ ἐξομιλεῖσθαι στρατοῦ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
καλὸν τεκοῦσαν τἀμά γ᾽ ἐκδοῦναι τέκνα.

714. καλῶς δ᾽ — συνένεγκαι. 718. μητρός τι — ἄν με.
724. καὶ σὺ δὲ φ.

ΑΓΑΜΕΜΝΩΝ.

καὶ τάς γ᾽ ἐν οἴκῳ μὴ μόνας εἶναι κόρας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὀχυροῖσι παρθενῶσι φρουροῦνται καλῶς.

ΑΓΑΜΕΜΝΩΝ.

πιθοῦ·

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.
ἐλθὼν δὲ τἄξω πρᾶσσε, τὰ ᾽ν δόμοις δ᾽ ἐγώ,
ἃ χρὴ παρεῖναι νυμφίοισι παρθένοις·

ΑΓΑΜΕΜΝΩΝ.

οἴ μοι! μάτην ᾖξ᾽, ἐλπίδος δ᾽ ἀπεσφάλην,
ἐξ ὀμμάτων δάμαρτ᾽ ἀποστεῖλαι θέλων.
σοφίζομαι δὲ, κἀπὶ τοῖσι φιλτάτοις
τέχνας πορίζω, πανταχῇ νικώμενος.
ὅμως δὲ σὺν Κάλχαντι τῷ θυηπόλῳ
τὸ τῆς θεοῦ φίλον γ᾽, ἐμοὶ δ᾽ οὐκ εὐτυχὲς,
ἐξιστορήσων εἶμι, μόχθον Ἑλλάδος·
χρὴ δ᾽ ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
γυναῖκα χρηστὴν κἀγαθὴν, ἢ μὴ τρέφειν.

ΧΟΡΟΣ.

Ἥξει δὴ Σιμόεντα καὶ (στροφή.)
δίνας ἀργυροειδεῖς
ἄγυρις Ἑλλάνων στρατιᾶς
ἀνά τε ναυσὶ καὶ σὺν ὅπλοις
Ἴλιον ἐς τὸ Τροίας
Φοιβήϊον δάπεδον,
[τὰν] Κασάνδραν ἵν᾽ ἀκούω

728. παρθενῶσιν. 744. ναυσίν. 747. τὰν sine uncis.

ῥίπτειν ξανθοὺς πλοκάμους
χλωροκόμῳ στεφάνῳ δάφνας
κοσμηθεῖσαν, ὅταν θεοῦ
μαντόσυνοι πνεύσωσ᾽ ἀνάγκαι.
στάσονται δ᾽ ἐπὶ περγάμων (ἀντιστρ.)
Τροίας ἀμφί τε τείχη
Τρῶες, ὅταν χάλκασπις Ἄρης
πόντιος εὐπρώροισι πλάταις
εἰρεσίᾳ πελάζῃ
Σιμουντίοις ὀχετοῖς,
τὰν τῶν αἰθέρι δισσῶν
Διοσκούρων Ἑλέναν
ἐκ Πριάμου κομίσαι θέλων
εἰς γᾶν Ἑλλάδα δοριπόνοις
ἀσπίσι καὶ λόγχαις Ἀχαιῶν.
Πέργαμον δὲ, Φρυγῶν πόλιν, (ἐπῳδός.)
λαΐνους περὶ πύργους
κυκλώσας ἄρκυϊ φονίῳ,
λαιμοτόμους κεφαλὰς
σπάσας, πόλισμα Τροίας
πέρσας κατάκρας [πόλιν],
θήσει κόρας πολυκλαύτους
δάμαρτά τε Πριάμου.
ἁ δὲ Διὸς Ἑλένα
κόρα πολύκλαυτος ἐσεῖται
πόσιν προλιποῦσα. μήτ᾽ ἐμοί,
μήτ᾽ ἐμοῖσι τέκνων τέκνοις
ἐλπὶς ἅδε ποτ᾽ ἔλθοι,

758. τὰν τῶν ἐν αἰθ. 765. Ἄρει φοινίῳ. 766. λαιμητόμους. 768. πόλιν sine uncis.

οἷαν αἱ πολύχρυσοι Λυδαὶ
καὶ Φρυγῶν ἄλοχοι στή-
σουσι παρ᾽ ἱστοῖς μυθεύουσαι
τάδ᾽ ἐς ἀλλήλας·
τίς ἄρα μ᾽ εὐπλοκάμους κόμας,
ἔρυμα δακρυόεν ἀνύσας
πατρίδος ὀλλυμένας, ἀπολωτιεῖ;
διά σε, τὰν κύκνου δολιχαύχενος γόνον,
εἰ δὴ φάτις ἔτυμος ὡς ἔτυχεν Λήδα,
ὄρνιθι πταμένῳ
Διὸς ὅτ᾽ ἀλλάχθη δεμας,
εἴτ᾽ ἐν δέλτοις Πιερίσιν
μῦθοι τάδ᾽ ἐς ἀνθρώπους
ἤνεγκαν παρὰ καιρὸν ἄλλως.

ΑΧΙΛΛΕΥΣ.

Ποῦ τῶν Ἀχαιῶν ἐνθάδ᾽ ὁ στρατηλάτης;
τίς ἂν φράσειε προςπόλων τὸν Πηλέως
ζητοῦντά νιν παῖδ᾽ ἐν πύλαις, Ἀχιλλέα;
οὐκ ἐξ ἴσου γὰρ μένομεν Εὐρίπου πέλας.
οἱ μὲν γὰρ ἡμῶν ὄντες ἄζυγες γάμων,
οἴκους ἐρήμους ἐκλιπόντες, ἐνθάδε
θάσσουσ᾽ ἐπ᾽ ἀκτὰς, οἱ δ᾽ ἔχοντες εὐνίδας,
ἄπαιδες· οὕτω δεινὸς ἐμπέπτωκ᾽ ἔρως
τῆςδε στρατείας Ἑλλάδι γ᾽, οὐκ ἄνευ θεῶν.
τοὐμὸν μὲν οὖν δίκαιον ἐμὲ λέγειν χρεών·
ἄλλος δ᾽ ὁ χρῄζων αὐτὸς ὑπὲρ αὑτοῦ φράσει.
γῆν γὰρ λιπὼν Φάρσαλον ἠδὲ Πηλέα,

778. μυθεῦσαι. 780. κόμας deest. 781. δακρυόεντ᾽ ἀκούσας. 782. οὐλομένας. 784. ἔτυχε Λήδ᾽. 785. ὄρνιθ᾽ ἱπταμένῳ. 787. Πιερίσι. 793. Ε. πύλας.

μένω ᾽πὶ λεπταῖς ταῖςδέ γ᾽ Εὐρίπου πνοαῖς,
Μυρμιδόνας ἴσχων, οἵ μ᾽, ἀεὶ προςκείμενοι,
λέγουσ᾽· Ἀχιλλεῦ, τί μένομεν; ποῖον χρόνον
ἔτ᾽ ἐκμετρῆσαι χρὴ πρὸς Ἴλιον στόλον;
δρᾶ γ᾽, εἴ τι δράσεις, ἢ ᾽παγ᾽ οἴκαδε στρατὸν,
τὰ τῶν Ἀτρειδῶν μὴ μένων μελλήματα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ παῖ θεᾶς Νηρῇδος, ἔνδοθεν λόγων
τῶν σῶν ἀκούσασ᾽ ἐξέβην πρὸ δωμάτων.

ΑΧΙΛΛΕΥΣ.

ὦ πότνι᾽ αἰδὼς, τήνδε τίνα λεύσσω ποτὲ
γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ θαῦμά σ᾽ ἡμᾶς ἀγνοεῖν, οὓς μὴ πάρος
κατεῖδες· αἰνῶ δ᾽, ὅτι σέβεις τὸ σωφρονεῖν.

ΑΧΙΛΛΕΥΣ.

τίς δ᾽ εἶ; τί δ᾽ ἦλθες Δαναϊδῶν ἐς σύλλογον,
γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Λήδας μέν εἰμι παῖς, Κλυταιμνήστρα δέ μοι
ὄνομα, πόσις δέ μοι ᾽στὶν Ἀγαμέμνων ἄναξ.

ΑΧΙΛΛΕΥΣ.

καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια.
αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μεῖνον· τί φεύγεις; δεξιάν γ᾽ ἐμῇ χερὶ
σύναψον, ἀρχὴν μακαρίαν νυμφευμάτων.

820. δεινόν· τί φ.

ΑΧΙΛΛΕΥΣ.

τί φής; ἐγώ σοι δεξιάν; αἰδοίμεθ' ἂν
'Αγαμέμνον', εἰ ψαύοιμ' ἂν ὧν μή μοι θέμις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
παῖδ', ὦ θεᾶς παῖ ποντίας Νηρηΐδος.

ΑΧΙΛΛΕΥΣ.

ποίους γάμους φής; ἀφασία μ' ἔχει, γύναι,
εἰ μή τι παρανοοῦσα καινουργεῖς λόγον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πᾶσιν τόδ' ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
καινοὺς ὁρῶσι καὶ γάμου μεμνημένοις.

ΑΧΙΛΛΕΥΣ.

οὐ πώποτ' ἐμνήστευσα παῖδα σὴν, γύναι,
οὐδ' ἐξ 'Ατρειδῶν ἦλθέ μοι λόγος γάμων.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δῆτ' ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
θαύμαζ'· ἐμοὶ γὰρ θαύματ' ἐστὶ τὰ παρὰ σοῦ.

ΑΧΙΛΛΕΥΣ.

εἴκαζε· κοινόν ἐστιν εἰκάζειν τάδε·
ἄμφω γὰρ οὖν ψευδόμεθα τοῖς λόγοις ἴσως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ' ἦ πέπονθα δεινά. μνηστεύω γάμους
οὐκ ὄντας, ὡς εἴξασιν· αἰδοῦμαι τάδε.

ΑΧΙΛΛΕΥΣ.

ἴσως ἐκερτόμησε κἀμὲ καὶ σέ τις.
ἀλλ' ἀμελίᾳ δὸς αὐτὰ καὶ φαύλως φέρε.

823. εἰ ψαύοιμεν. 826. π. γ. ἔφησθ'. 835. γὰρ οὐ ψ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

χαῖρ'· οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ' ἔτ' εἰσορῶ,
ψευδὴς γενομένη καὶ παθοῦσ' ἀνάξια.

ΑΧΙΛΛΕΥΣ.

καί σοι τόδ' ἐστὶν ἐξ ἐμοῦ· πόσιν δὲ σὸν
στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.

ΠΡΕΣΒΥΤΗΣ.

ὦ ξέν', Αἰακοῦ γένεθλον, μεῖνον, ὦ σέ τοι λέγω,
τὸν θεᾶς γεγῶτα παῖδα, καὶ σέ, τὴν Λήδας κόρην.

ΑΧΙΛΛΕΥΣ.

τίς ὁ καλῶν πύλας παροίξας; ὡς τεταρβηκὼς καλεῖ!

ΠΡΕΣΒΥΤΗΣ.

δοῦλος, οὐχ ἁβρύνομαι τῷδ'· ἡ τύχη γάρ μ' οὐκ ἐᾷ.

ΑΧΙΛΛΕΥΣ.

τίνος; ἐμὸς μὲν οὐχί· χωρὶς τἀμὰ κἀγαμέμνονος.

ΠΡΕΣΒΥΤΗΣ.

τῆσδε τῆς πάροιθεν οἴκων, Τυνδάρεω δόντος πατρός.

ΑΧΙΛΛΕΥΣ.

ἕσταμεν· φράζ', εἴ τι χρῄζεις, ὧν μ' ἐπέσχες οὕνεκα.

ΠΡΕΣΒΥΤΗΣ.

ἦ μόνω πάροιθε δῆτα ταῖσδ' ἐφέστατον πύλαις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὡς μόνοις λέγοις ἂν, ἔξω δ' ἐλθὲ βασιλικῶν δόμων.

ΠΡΕΣΒΥΤΗΣ.

ὦ τύχη πρόνοιά θ' ἡ 'μὴ, σῶσον, οὓς ἐγὼ θέλω.

854. ὡς σέ τοι λ. 852. βασιλείων δ.

ΑΧΙΛΛΕΥΣ.

ὁ λόγος ἐς μέλλοντ' ἀνοίσει χρόνον· ἔχει δ' ὄγκον τινά.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δεξιᾶς ἕκατι μὴ μέλλ', εἴ τί μοι χρήζεις λέγειν.

ΠΡΕΣΒΥΤΗΣ.

οἶσθα δῆτά γ', ὅστις ὢν σοὶ καὶ τέκνοις εὔνους ἔφυν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οἶδά σ' ὄντ' ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.

ΠΡΕΣΒΥΤΗΣ.

χὤτι μ' ἐν ταῖς σαῖσι φερναῖς ἔλαβεν Ἀγαμέμνων ἄναξ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἦλθες εἰς Ἄργος μεθ' ἡμῶν, κἀμὸς ἦσθ' ἀεί ποτε.

ΠΡΕΣΒΥΤΗΣ.

ὧδ' ἔχει· καὶ σοὶ μὲν εὔνους εἰμί, σῷ δ' ἧσσον πόσει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐκκάλυπτε νῦν ποθ' ἡμῖν, οὕστινας λέγεις λόγους.

ΠΡΕΣΒΥΤΗΣ.

παῖδα σὴν πατὴρ ὁ φύσας αὐτόχειρ μέλλει κτανεῖν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πῶς; ἀπέπτυσ', ὦ γεραιέ, μῦθον· οὐ γὰρ εὖ φρονεῖς.

ΠΡΕΣΒΥΤΗΣ.

φασγάνῳ λευκὴν φονεύων τῆς ταλαιπώρου δέρην.

854. ἂν ὤσῃ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τάλαιν' ἐγώ! μεμηνὼς ἆρα τυγχάνει πόσις;

ΠΡΕΣΒΥΤΗΣ.

ἀρτίφρων, πλὴν ἐς σὲ καὶ σὴν παῖδα· τοῦτο δ' οὐ φρονεῖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐκ τίνος λόγου; τίς αὐτὸν οὑπάγων ἀλαστόρων;

ΠΡΕΣΒΥΤΗΣ.

θέσφαθ', ὥς γε φησὶ Κάλχας, ἵνα πορεύηται στρατός —

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ποῖ; τάλαιν' ἐγώ! τάλαινα δ', ἣν πατὴρ μέλλει κτανεῖν!

ΠΡΕΣΒΥΤΗΣ.

Δαρδάνου πρὸς δώμαθ', Ἑλένην Μενέλεως ὅπως λάβῃ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εἰς ἄρ' Ἰφιγένειαν Ἑλένης νόστος ἦν πεπρωμένος;

ΠΡΕΣΒΥΤΗΣ.

πάντ' ἔχεις· Ἀρτέμιδι θύσειν παῖδα σὴν μέλλει πατήρ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὁ δὲ γάμος τίν' εἶχε πρόφασιν, ᾗ μ' ἐκόμισεν ἐκ δόμων;

ΠΡΕΣΒΥΤΗΣ.

ἵν' ἀγάγῃς χαίρουσ' Ἀχιλλεῖ παῖδα νυμφεύσουσα σήν.

873. μ' ἐκόμισ'.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

θυγάτερ, ἥκεις ἐπ' ὀλέθρῳ σῷ καὶ σὺ καὶ μήτηρ σέθεν.

ΠΡΕΣΒΥΤΗΣ.

οἰκτρὰ πάσχετον δύ' οὖσαι· δεινὰ δ' Ἀγαμέμνων ἔτλη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οἴχομαι τάλαινα, δάκρυον ὄμματ' οὐκέτι στέγει.

ΠΡΕΣΒΥΤΗΣ.

εἴπερ ἀλγεινὸν, τὸ τέκνων στερομένην δακρυῤῥοεῖν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

σὺ δὲ τάδ', ὦ γέρον, πόθεν φὴς εἰδέναι πεπυσμένος;

ΠΡΕΣΒΥΤΗΣ.

δέλτον ᾠχόμην φέρων σοι πρὸς τὰ πρὶν γεγραμμένα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἐῶν, ἢ ξυγκελεύων παῖδ' ἄγειν θανουμένην;

ΠΡΕΣΒΥΤΗΣ.

μὴ μὲν οὖν ἄγειν· φρονῶν γὰρ ἔτυχε σὸς πόσις τότ' εὖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κᾆτα πῶς φέρων γε δέλτον οὐκ ἐμοὶ δίδως λαβεῖν;

ΠΡΕΣΒΥΤΗΣ.

Μενέλεως ἀφείλεθ' ἡμᾶς, ὃς κακῶν τῶνδ' αἴτιος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τέκνον Νηρῇδος, ὦ παῖ Πηλέως, κλύεις τάδε;

875. ὦ θύγ. et deest σῷ. 877. δακρύοντ'.

ἈΧΙΛΛΕΥΣ.

ἔκλυον οὖσαν ἀθλίαν σε, τὸ δ' ἐμὸν οὐ φαύλως φέρω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

παῖδά μου κατακτενοῦσι σοῖς δολώσαντες γάμοις.

ΑΧΙΛΛΕΥΣ.

μέμφομαι κἀγὼ πόσει σῷ, κοὐχ ἁπλῶς οὕτω φέρω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἐπαιδεσθήσομαί γε προςπεσεῖν τὸ σὸν γόνυ,
θνητὸς ἐκ θεᾶς γεγῶτα· τί γὰρ ἐγὼ σεμνύνομαι;
ἐπὶ τίνος σπουδαστέον μοι μᾶλλον, ἢ τέκνου πέρι;
ἀλλ' ἄμυνον, ὦ θεᾶς παῖ, τῇ τ' ἐμῇ δυςπραξίᾳ
τῇ τε λεχθείσῃ δάμαρτι σῇ· μάτην μὲν, ἀλλ' ὅμως
σοὶ καταστέψασ' ἐγώ νιν ἦγον ὡς γαμουμένην,
νῦν δ' ἐπὶ σφαγὰς κομίζω· σοὶ δ' ὄνειδος ἵξεται,
ὅςτις οὐκ ἤμυνας· εἰ γὰρ μὴ γάμοισιν ἐζύγης,
ἀλλ' ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις.
πρὸς γενειάδος σε, πρὸς σῆς δεξιᾶς, πρὸς μητέρος·
ὄνομα γὰρ τὸ σόν μ' ἀπώλεσ', ᾧ σ' ἀμυνάθειν χρεών.
οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλον, ἢ τὸ σὸν γόνυ,
οὐδὲ φίλος οὐδεὶς γελᾷ μοι· τὰ δ' Ἀγαμέμνονος κλύεις
ὠμὰ καὶ πάντολμ'· ἀφῖγμαι δ', ὥςπερ εἰςορᾷς, γυνὴ
ναυτικὸν στράτευμ' ἄναρχον κἀπὶ τοῖς κακοῖς θρασὺ,

886. οὐ deest. 898. πρὸς γενειάδος, πρὸς σ. δ. πρός τε μητ.

χρήσιμον δ', ὅταν θέλωσιν. ἢν δὲ τολμήσῃς σύ μου
χεῖρ' ὑπερτεῖναι, σεσώσμεθ'· εἰ δὲ μὴ, οὐ σεσώσμεθα.

ΧΟΡΟΣ.

δεινὸν τὸ τίκτειν, καὶ φέρει φίλτρον μέγα
πᾶσίν τε κοινὸν, ὥςθ' ὑπερκάμνειν τέκνων.

ΑΧΙΛΛΕΥΣ.

ὑψηλόφρων μοι θυμὸς αἴρεται πρόσω,
ἐπίσταται δὲ τοῖς κακοῖσί τ' ἀσχαλᾷν
μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.

ΧΟΡΟΣ.

λελογισμένοι γὰρ οἱ τοιοίδ' εἰσὶν βροτῶν,
ὀρθῶς διαζῆν τὸν βίον γνώμης μέτα.

ΑΧΙΛΛΕΥΣ.

ἔστιν μὲν οὖν, ἵν' ἡδὺ, μὴ λίαν φρονεῖν,
ἔστιν δὲ χὤπου χρήσιμον, γνώμην ἔχειν.
ἐγὼ δ' ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς,
Χείρωνος, ἔμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν.
καὶ τοῖς Ἀτρείδαις, ἢν μὲν ἡγῶνται καλῶς,
πεισόμεθ'· ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι.
ἀλλ' ἐνθάδ' ἐν Τροίᾳ τ' ἐλευθέραν φύσιν
παρέχων, Ἄρη τὸ κατ' ἐμὲ κοσμήσω δορί.
σὲ δ', ὦ σχέτλια παθοῦσα πρὸς τῶν φιλτάτων,
ἃ δὴ κατ' ἄνδρα γίγνεται νεανίαν,
τοσοῦτον οἶκτον περιβαλὼν καταστελῶ,
κοὔποτε κόρη σὴ πρὸς πατρὸς σφαγήσεται,
ἐμὴ φατισθεῖσ'· οὐ γὰρ ἐμπλέκειν πλοκὰς
ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.

920. Ἄρει τῷ κατ' ἐμέ.

τοὔνομα γὰρ, εἰ καὶ μὴ σίδηρον ἤρατο,
τοὐμὸν φονεύσει παῖδα σήν. τὸ δ' αἴτιον
πόσις σός· ἁγνὸν δ' οὐκέτ' ἐστὶ σῶμ' ἐμὸν,
εἰ δι' ἔμ' ὀλεῖται διά τε τοὺς ἐμοὺς γάμους
ἡ δεινὰ τλᾶσα κοὐκ ἀνεκτὰ παρθένος,
θαυμαστὰ δ' ὡς ἀνάξι' ἠτιμασμένη.
ἐγὼ κάκιστος ἦν ἄρ' Ἀργείων ἀνὴρ,
ἐγὼ τὸ μηδὲν, Μενέλεως δ' ἐν ἀνδράσιν,
ὡς οὐχὶ Πηλέως, ἀλλ' ἀλάστορος γεγὼς,
εἴπερ φονεύει τοὐμὸν ὄνομα σῷ πόσει.
μὰ τὸν δι' ὑγρῶν κυμάτων τεθραμμένον
Νηρέα, φυτουργὸν Θέτιδος, ἥ μ' ἐγείνατο,
οὐχ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ,
οὐδ' εἰς ἄκραν χεῖρ', ὥςτε προςβαλεῖν πέπλοις·
ἢ Σίπυλος ἔσται πόλις, ὅρισμα βαρβάρων,
ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος,
Φθίας δὲ τοὔνομ' οὐδαμοῦ κεκλήσεται.
πικροὺς δὲ προχύτας χέρνιβάς τ' ἐνάρξεται
Κάλχας ὁ μάντις. τίς δὲ μάντις ἔστ'; ἀνὴρ,
ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ, λέγει
τυχών· ὅταν δὲ μὴ τύχῃ, διοίχεται.
ἢ τῶν γάμων ἕκατι μυρίαι κόραι
θηρῶσι λέκτρον τοὐμόν· εἴρηται τόδε.
ἀλλ' ὕβριν ἐς ἡμᾶς ὕβρισ' Ἀγαμέμνων ἄναξ.
χρῆν δ' αὐτὸν αἰτεῖν τοὐμὸν ὄνομ' ἐμοῦ πάρα,
θήραμα παιδός· ἡ Κλυταιμνήστρα δέ μοι
μάλιστ' ἐπείσθη θυγατέρ' ἐκδοῦναι πόσει.

943. Φθία δὲ τοὐμὸν οὐδ. 944. ἀνάξεται. 945. ἔστ' ἀνήρ;
948. ἢ τῶν γαμούντων.

ἔδωκά τἂν Ἕλλησιν, εἰ πρὸς Ἴλιον
ἐν τῷδ᾽ ἔκαμνε νόστος· οὐκ ἠρνούμεθ᾽ ἂν
τὸ κοινὸν αὔξειν, ὧν μετ᾽ ἐστρατευόμην.
νῦν δ᾽ οὐδέν εἰμι παρά γε τοῖς στρατηλάταις,
ἐν εὐμαρεῖ τε δρᾷν τε, καὶ μὴ δρᾷν καλῶς.
τάχ᾽ εἴσεται σίδηρος, ὃν, πρὶν ἐς Φρύγας
ἐλθεῖν, φόνου κηλῖσιν αἵματι χρανῶ,
εἴ τίς με τὴν σὴν θυγατέρ᾽ ἐξαιρήσεται.
ἀλλ᾽ ἡσύχαζε· θεὸς ἐγὼ πέφηνά σοι
μέγιστος, οὐκ ὢν· ἀλλ᾽ ὅμως γενήσομαι.

ΧΟΡΟΣ.

ἔλεξας, ὦ παῖ Πηλέως, σοῦ τ᾽ ἄξια
καὶ τῆς ἐναλίας δαίμονος, σεμνῆς θεοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

(φεῦ!) πῶς ἄν σ᾽ ἐπαινέσαιμι μὴ λίαν λόγοις,
μήτ᾽ ἐνδεὴς τοῦδ᾽ ἀπολέσαιμι τὴν χάριν;
αἰνούμενοι γὰρ ἁγαθοὶ τρόπον τινὰ
μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ᾽ ἄγαν.
αἰσχύνομαι δὲ παραφέρουσ᾽ οἰκτροὺς λόγους,
ἰδίᾳ νοσοῦσα· σὺ δ᾽ ἄνοσος κακῶν ἐμῶν.
ἀλλ᾽ οὖν ἔχει τι σχῆμα, κἂν ἄπωθεν ᾖ,
ἀνὴρ ὁ χρηστὸς δυστυχοῦντας ὠφελῶν.
οἴκτειρε δ᾽ ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν,
ἣ πρῶτα μέν σε γαμβρὸν οἰηθεῖσ᾽ ἔχειν,
κενὴν κατέσχον ἐλπίδ᾽· εἶτά σοι τάχα
ὄρνις γένοιτ᾽ ἂν τοῖσι μέλλουσιν γάμοις
θανοῦσ᾽ ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
ἀλλ᾽ εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη·
σοῦ γὰρ θέλοντος, παῖς ἐμὴ σωθήσεται.

967. μήτ᾽ ἐνδεῶς, μήτ᾽ ἀπολ. 969. ἐὰν αἰν.

βούλει νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ;
ἀπαρθένευτα μὲν τάδ᾽· εἰ δέ σοι δοκεῖ,
ἥξει, δι᾽ αἰδοῦς ὄμμ᾽ ἔχουσ᾽ ἐλεύθερον·
ἢ μὴ παρούσης, ταῦτα τεύξομαι σέθεν;

ΑΧΙΛΛΕΥΣ.

μενέτω κατ᾽ οἴκους· σεμνὰ γὰρ σεμνύνεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὅμως δ᾽, ὅσον γε δυνατὸν, αἰδεῖσθαι χρεών.

ΑΧΙΛΛΕΥΣ.

σὺ μήτε σὴν παῖδ᾽ ἔξαγ᾽ ὄψιν εἰς ἐμὴν,
μήτ᾽ εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν, γύναι·
στρατὸς γὰρ ἀθρόος, ἀργὸς ὢν τῶν οἴκοθεν,
λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.
πάντως δέ μ᾽ ἱκετεύοντες ἥξετ᾽ εἰς ἴσον,
ἤν τ᾽ ἀνικέτευτος ᾖς· ἐμοὶ γάρ ἐστ᾽ ἀγὼν
μέγιστος, ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
ὡς ἕν γ᾽ ἀκούσασ᾽, ἴσθι μὴ ψευδῶς μ᾽ ἐρεῖν·
ψευδῆ λέγων δὲ καὶ μάτην σ᾽ ἐγκερτομῶν,
θάνοιμι, μὴ θάνοιμι δ᾽, ἢν σώσω κόρην.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὄναιο, συνεχῶς δυστυχοῦντας ὠφελῶν.

ΑΧΙΛΛΕΥΣ.

ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ᾽ ἔχῃ καλῶς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί τοῦτ᾽ ἔλεξας; ὡς ἀκουστέον γέ σου.

ΑΧΙΛΛΕΥΣ.

πείθωμεν αὖθις πατέρα βέλτιον φρονεῖν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κακός τίς ἐστι, καὶ λίαν ταρβεῖ στρατόν.

992. εἶτ᾽ — ᾖς. 998. δή νῦ ἀ

ΑΧΙΛΛΕΥΣ.

ἀλλ᾽ οἱ λόγοι γε καταπαλαίουσιν λόγους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ψυχρὰ μὲν ἐλπίς· ὅ τι δὲ χρή με δρᾶν, φρά-
σον.

ΑΧΙΛΛΕΥΣ.

ἱκέτευ᾽ ἐκεῖνον πρῶτα, μὴ κτείνειν τέκνα·
ἢν δ᾽ ἀντιβαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.
εἰ γὰρ τὸ χρῇζον ἐπίθετ᾽, οὐ τοὐμὸν χρεὼν
χωρεῖν· ἔχει γὰρ τοῦτο τὴν σωτηρίαν,
κἀγώ τ᾽ ἀμείνων πρὸς φίλον γενήσομαι.
σρατός τ᾽ ἂν οὐ μέμψαιτό μ᾽, εἰ τὰ πράγματα
λελογισμένως πράσσοιμι μᾶλλον, ἢ σθένει.
καλῶς δὲ κρανθέντων, πρὸς ἡδονὴν φίλοις
σοί τ᾽ ἂν γένοιτο κἂν ἐμοῦ χωρὶς τάδε.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὡς σώφρον᾽ εἶπας! δραστέον δ᾽, ἅ σοι δοκεῖ.
ἢν δ᾽ αὐτὰ μὴ πράσσωμεν, ἅ ᾽ν ἐγὼ θέλω,
ποῦ σ᾽ αὖθις ὀψόμεσθα; ποῦ χρή μ᾽ ἀθλίαν
ἐλθοῦσαν εὑρεῖν σὴν χέρ᾽ ἐπίκουρον κακῶν;

ΑΧΙΛΛΕΥΣ.

ἡμεῖς σε φύλακες, οὗ χρεὼν, φυλάσσομεν,
μή τίς σ᾽ ἴδῃ στείχουσαν ἐπτοημένην
Δαναῶν δι᾽ ὄχλου· μηδὲ πατρῷον δόμον
αἴσχυν᾽· ὁ γάρ τοι Τυνδάρεως οὐκ ἄξιος
κακῶς ἀκούειν· ἐν γὰρ Ἕλλησιν μέγας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔσται τάδ᾽. ἄρχε· σοί με δουλεύειν χρεών.

1003. ἐλπίς· τί δὲ χρ. 1005. ἂν δ᾽. 1022. ἔστιν.

εἰ δ᾽ εἰσὶ θεοὶ, δίκαιος ὢν ἀνὴρ σύ γε
ἐσθλῶν κυρήσεις· εἰ δὲ μὴ, τί δεῖ πονεῖν;

ΧΟΡΟΣ.

Τίς ἄρ᾽ ὑμέναιος διὰ λωτοῦ Λίβυος (στροφή.)
μετά τε φιλοχόρου κιθάρας
συρίγγων θ᾽ ὕπο καλαμόεσσαν
ἔστασαν ἰακχάν,
ὅτ᾽ ἀνὰ Πήλιον αἱ καλλιπλόκαμοι
Πιερίδες ἐν δαιτὶ θεῶν
χρυσεοσάνδαλον ἴχνος
ἐν γᾷ κρούουσαι
Πηλέος εἰς γάμον ἦλθον,
μελῳδοὶ Θέτιν ἰαχήμασι τόν τ᾽ Αἰακίδαν
Κενταύρων ἀν᾽ ὄρεσι κλείουσαι
Πηλιάδα καθ᾽ ὕλαν;
ὁ δὲ Δαρδανίδας, Διὸς
λέκτρων τρύφημα φίλον,
χρυσέοισιν ἄφυσσε λοιβὰν
ἐν κρατήρων γυάλοις,
ὁ Φρύγιος Γανυμήδης.
παρὰ δὲ λευκοφαῆ
ψάμαθον εἱλισσόμεναι
κύκλια πεντήκοντα κόραι
Νηρῆος γάμους ἐχόρευσαν.
ἀνὰ δ᾽ ἐλάταισι στεφανώδει τε χλόᾳ (ἀντιστρ.)
θίασος ἔμολεν ἱπποβότας
Κενταύρων ἐπὶ δαῖτα τὰν θεῶν
κρατῆρά τε Βάκχου.

1028. ἰαχάν. 1033. Πηλέως. 1035. ἐν ὄρ. 1042. λευκο-φανῆ. 1048. τῶν θεῶν.

μέγα δ᾽ ἀνέκλαγον, ὦ Νηρηῒ κόρα,
παῖδες [αἱ] Θεσσαλαὶ, μέγα φῶς,
μάντις ὁ Φοῖβος, ὁ Μουσᾶν τ᾽
εἰδὼς, γεννάσεις,
Χείρων ἐξωνόμασεν.
ὃς ἥξει χθόνα λογχήρεσι σὺν Μυρμιδό-
νων
ἀσπισταῖσι Πριάμοιο κλεινὰν
γαῖαν ἐκπυρώσων,
περὶ σώματι χρυσέων
ὅπλων Ἡφαιστοπόνων
κεκορυθμένος ἔνδυτ᾽ ἐκ θεᾶς
ματρὸς δωρήματ᾽ ἔχων
Θέτιδος, ἅ νιν ἔτικτε
μακάριον. Τότε δαί-
μονες τᾶς εὐπατρίδος
γάμον Νηρῄδος ἔθεσαν
πρώτας Πηλέως θ᾽ ὑμεναίους.
σὲ δ᾽ ἐπὶ κάρα στέψουσι καλλικόμαν (ἐπῳδός.)
πλόκαμον Ἀργεῖοι, βαλιὰν
ὥςτε πετραίων ἀπ᾽ ἄντρων
ἐλθοῦσαν ὀρέων μόσχον ἀκήρατον,
βρότειον αἱμάσσοντες λαιμόν·
οὐ σύριγγι τραφεῖσαν, οὐδ᾽
ἐν ῥοιβδήσει βουκόλων,
παρὰ δὲ μητέρι νυμφοκόμον
Ἰναχίδαις γάμον.
ποῦ τὸ τᾶς αἰδοῦς, ἢ τὸ τᾶς

1051. αἱ sine uncis. 1052. μάντις δ᾽ ὁ Φ. 1068. Ἀργεῖοί γ᾽, ἁλιᾶν.

ἀρετᾶς δύνασιν ἔχει
σθένειν τι πρόςωπον;
ὁπότε τὸ μὲν ἄσεπτον ἔχει
δύναμιν, ἁ δ᾽ ἀρετὰ κατόπισθεν
θνατοῖς ἀμελεῖται,
ἀνομία δὲ νόμων κρατεῖ,
καὶ κοινὸς ἀγὼν βροτοῖς,
μή τις θεῶν φθόνος ἔλθῃ·

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἐξῆλθον οἴκων προσκοπουμένη πόσιν,
χρόνιον ἀπόντα κἀκλελοιπότα στέγας·
ἐν δακρύοισι δ᾽ ἡ τάλαινα παῖς ἐμὴ,
πολλὰς ἱεῖσα μεταβολὰς ὀδυρμάτων,
θάνατον ἀκούσασ᾽, ὃν πατὴρ βουλεύεται.
μνήμην δ᾽ ἄρ᾽ εἶχον πλησίον βεβηκότος
Ἀγαμέμνονος τοῦδ᾽, ὃς ἐπὶ τοῖς αὑτοῦ τέκνοις
ἀνόσια πράσσων αὐτίχ᾽ εὑρεθήσεται.

ΑΓΑΜΕΜΝΩΝ.

Λήδας γένεθλον, ἐν καλῷ σ᾽ ἔξω δόμων
εὕρηχ᾽, ἵν᾽ εἴπω παρθένου χωρὶς λόγους,
οὓς οὐκ ἀκούειν τὰς γαμουμένας πρέπει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δ᾽ ἔστιν, οὗ σοι καιρὸς ἀντιλάζυται;

ΑΓΑΜΕΜΝΩΝ.

ἔκπεμπε παῖδα δωμάτων πατρὸς μέτα·
ὡς χέρνιβες πάρεισιν εὐτρεπισμέναι,
προχύται τε βάλλειν πῦρ καθάρσιον χεροῖν,
μόσχοι τε, πρὸ γάμων ἃς θεᾷ πεσεῖν χρεὼν
Ἀρτέμιδι, μέλανος αἵματος φυσήματα.

1087. θ᾽ ἡ τ. 1098. ηὐτρ. 1099. καθάρειον ἐκ χερῶν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
οὐκ οἶδ' ὅπως χρή μ' ὀνομάσασαν εὖ λέγειν.
χώρει δέ, θύγατερ, ἐκτός — οἶσθα γὰρ πατρὸς
πάντως ἃ μέλλει — χὐπὸ σοῖς πέπλοις ἄγε
λαβοῦσ' Ὀρέστην, σὸν κασίγνητον, τέκνον.
ἰδοὺ πάρεστιν ἥδε πειθαρχοῦσά σοι.
τὰ δ' ἄλλ' ἐγὼ πρὸ τῆσδε κἀμαυτῆς φράσω.

ΑΓΑΜΕΜΝΩΝ.

τέκνον, τί κλάεις, οὐδ' ἔθ' ἡδέως μ' ὁρᾷς,
ἐς γῆν δ' ἐρείσασ' ὄμμα πρόσθ' ἔχεις πέπλους;

ΙΦΙΓΕΝΕΙΑ.

(φεῦ) τίν' ἂν λάβοιμι τῶν ἐμῶν ἀρχὴν κακῶν;
ἅπασι γὰρ πρώτοισι χρήσασθαι πάρα,
κἂν ὑστάτοισι, κἂν μέσοισι πανταχοῦ.

ΑΓΑΜΕΜΝΩΝ.

τί δ' ἔστιν; ὥς μοι πάντες εἰς ἓν ἥκετε,
σύγχυσιν ἔχοντες καὶ ταραγμὸν ὀμμάτων!

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εἴφ', ἃν ἐρωτήσω σε, γενναίως, πόσι.

ΑΓΑΜΕΜΝΩΝ.

οὐδὲν κελευσμοῦ δεῖ γ', ἐρωτᾶσθαι θέλω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τὴν παῖδα τὴν σὴν τήν τ' ἐμὴν μέλλεις κτανεῖν;

ΑΓΑΜΕΜΝΩΝ.

(ἔα) τλήμονά γ' ἔλεξας, ὑπονοεῖς θ', ἃ μή σε
χρή.

1105. μέλλει γε, χ' ὑπὸ τοῖς. 1109. μ' om. 1119. Post hunc v. leg. ἔχ' ἥσυχος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κἀκεῖνό μοι τὸ πρῶτον ἀπόκριναι πάλιν.

ΑΓΑΜΕΜΝΩΝ.

σὺ δ' ἤν γ' ἐρωτᾷς εἰκότ', εἰκότ' ἂν κλύοις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἄλλ' ἐρωτῶ, καὶ σὺ μὴ λέγ' ἄλλα μοι.

ΑΓΑΜΕΜΝΩΝ.

ὦ πότνια μοῖρα καὶ τύχη δαίμων τ' ἐμός!

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κἀμός γε καὶ τῆσδ', εἷς τριῶν δυσδαιμόνων.

ΑΓΑΜΕΜΝΩΝ.

τί δ' ἠδίκησαι;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τοῦτ' ἐμοῦ πεύθει πάρα;
ὁ νοῦς ὅδ' αὐτὸς νοῦν ἔχων οὐ τυγχάνει.

ΑΓΑΜΕΜΝΩΝ.

ἀπωλόμεσθα. προδέδοται τὰ κρυπτά μου.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πάντ' οἶδα καὶ πέπυσμ', ἃ σύ γε μέλλεις με
δρᾶν.
αὐτὸ δὲ τὸ σιγᾶν ὁμολογοῦντος ἐστί σου
καὶ τὸ στενάζειν πολλά. μὴ κάμνῃς λέγων.

ΑΓΑΜΕΜΝΩΝ.

ἰδοὺ σιωπῶ· τὸ γὰρ ἀναίσχυντον τί δεῖ
ψευδῆ λέγοντα προσλαβεῖν τῇ συμφορᾷ;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἄκουε δή νυν· ἀνακαλύψω γὰρ λόγους,

1121. εἰκότα κλύεις. 1123. ὦ π. τύχη, καὶ μοῖρα, καὶ δ. γ' ἐμός. 1124. κἀμός τε. 1125. τίν' ἠδ. 1131. με δεῖ. 1133. δὴ νῦν.

κοὐκέτι παρῳδοῖς χρησόμεσθ᾽ αἰνίγμασιν.
πρῶτον μέν, ἵνα σοι πρῶτα τοῦτ᾽ ὀνειδίσω,
ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ,
τὸν πρόςθεν ἄνδρα Τάνταλον κατακτανὼν,
βρέφος τε τοὐμὸν σῷ προςούδισας πάλῳ,
μαστῶν βιαίως τῶν ἐμῶν ἀποσπάσας.
καὶ τὼ Διός γε παῖδ᾽ ἐμώ τε συγγόνω
ἵπποισι μαρμαίροντ᾽ ἐπεστρατευσάτην·
πατὴρ δὲ πρέσβυς Τυνδάρεώς σ᾽ ἐῤῥύσατο
ἱκέτην γενόμενον, τἀμὰ δ᾽ ἔσχες αὖ λέχη.
οὗ σοι καταλλαχθεῖσα, περὶ σὲ καὶ δόμους,
συμμαρτυρήσεις, ὡς ἄμεμπτος ἦν γυνὴ,
ἔς τ᾽ Ἀφροδίτην σωφρονοῦσα καὶ τὸ σὸν
μέλαθρον αὔξουσ᾽, ὥςτε σ᾽ εἰςιόντα τε
χαίρειν θύραζέ τ᾽ ἐξιόντ᾽ εὐδαιμονεῖν.
σπάνιον δὲ θήρευμ᾽ ἀνδρὶ, τοιαύτην λαβεῖν
δάμαρτα· φλαύραν δ᾽ οὐ σπάνις γυναῖκ᾽ ἔχειν.
τίκτω δ᾽ ἐπὶ τρισὶ παρθένοισι παῖδά σοι
τόνδ᾽, ὧν μιᾶς σὺ τλημόνως μ᾽ ἀποστερεῖς.
κἄν τίς σ᾽ ἔρηται, τίνος ἕκατί νιν κτενεῖς,
λέξον, τί φήσεις; ἢ ᾽μὲ χρὴ λέγειν τὰ σά;
Ἑλένην Μενέλαος ἵνα λάβῃ. καλόν γε, νῷ
κακῆς γυναικὸς μισθὸν ἀποτῖσαι τέκνα.
τἄχθιστα τοῖσι φιλτάτοις ὠνούμεθα.
ἄγ᾽, ἢν στρατεύσῃ καταλιπών μ᾽ ἐν δώμασιν,
κἀκεῖ γενήσῃ διὰ μακρᾶς ἀπουσίας,
τίν᾽ ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,
ὅταν θρόνους τῆςδ᾽ εἰςίδω πάντας κενοὺς,
κενοὺς δὲ παρθενῶνας; ἐπὶ δὲ δακρύοις

1138. προςούρισας. 1156. ἐπιτίσαι.

μόνη κάθημαι, τήνδε θρηνῳδοῦσ᾽ ἀεί·
ἀπώλεσέν σ᾽, ὦ τέκνον, ὁ φυτεύσας πατὴρ,
αὐτὸς κτανὼν, οὐκ ἄλλος, οὐδ᾽ ἄλλῃ χερὶ,
τοιόνδε μισθὸν καταλιπὼν πρὸς τοὺς δόμους·
ἐπεὶ βραχείας προφάσεως ἔδει μόνον·
ἐφ᾽ ᾗ σ᾽ ἐγὼ καὶ παῖδες αἱ λελειμμέναι
δεξόμεθα δέξιν, ἥν σε δέξασθαι χρεών.
μὴ δῆτα πρὸς θεῶν, μήτ᾽ ἀναγκάσῃς ἐμὲ
κακὴν γενέσθαι περὶ σὲ, μήτ᾽ αὐτὸς γένῃ.
(εἶεν) θύσεις δὲ τὴν παῖδ᾽· ἔνθα τίνας εὐχὰς ἐρεῖς;
τί σοι κατεύξει τἀγαθὸν, σφάζων τέκνον,
νόστον πονηρὸν οἴκοθέν γ᾽ αἰσχρῶς ἰών;
ἀλλ᾽ ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τί σοι;
οὔ τἄρ᾽ ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ᾽ ἂν,
εἰ τοῖσιν αὐθένταισιν εὖ φρονήσομεν;
ἥκων δ᾽ ἐς Ἄργος προςπεσεῖ τέκνοισι σοῖς;
ἀλλ᾽ οὐ θέμις σοι. τίς δὲ καὶ προςβλέψεται
παίδων σ᾽, ὅτων ἂν προθέμενος κτάνῃς τινά;
ταῦτ᾽ ἦλθον ἤδη διὰ λόγων. ἢ σκῆπτρά τοι
μόνον διαφέρειν καὶ στρατηλατεῖν σε δεῖ·
ὃν χρῆν δίκαιον λόγον ἐν Ἀργείοις λέγειν.
βούλεσθ᾽, Ἀχαιοὶ, πλεῖν Φρυγῶν ἐπὶ χθόνα;
κλῆρον τίθεσθε, παῖδ᾽ ὅτου θανεῖν χρεών.
ἐν ἴσῳ γὰρ ἦν τόδ᾽, ἀλλὰ μή σ᾽ ἐξαίρετον
σφάγιον παρασχεῖν Δαναΐδαισι παῖδα σὴν,
ἢ Μενέλεων πρὸ μητρὸς Ἑρμιόνην κτανεῖν,
οὗπερ τὸ πρᾶγμ᾽ ἦν. νῦν δ᾽ ἐγὼ μέν, ἡ τὸ σὸν

1176. οὔτ᾽ ἄδ᾽. 1178. προςπέσοις. 1180. ἐὰν αὐτῶν.
1181. ἢ σκ. σοι. 1183. ὃν χρή.

σώζουσα λέκτρον, παιδὸς ὑστερήσομαι,
ἡ δ' ἐξαμαρτοῦσ', ὑπότροφον νεανίδα
Σπάρτῃ κομίζουσ', εὐτυχὴς γενήσεται.
τούτων ἄμειψαί μ' εἴ τι μὴ καλῶς λέγω·
εἰ δ' εὖ λέλεκται ταῦτα νῷν, μὴ δὴ κτάνῃς
τὴν σήν τε κἀμὴν παῖδα, καὶ σώφρων ἔσει.

ΧΟΡΟΣ.

πιθοῦ. τὸ γάρ τοι τέκνα συσσώζειν καλὸν,
Ἀγάμεμνον· οὐδεὶς πρὸς τάδ' ἀντείποι βρο-
τῶν.

ΙΦΙΓΕΝΕΙΑ.

εἰ μὲν τὸν Ὀρφέως εἶχον, ὦ πάτερ, λόγον,
πείθειν ἐπᾴδουσ', ὥςθ' ὁμαρτεῖν μοι πέτρας,
κηλεῖν τε τοῖς λόγοισιν, οὓς ἐβουλόμην,
ἐνταῦθ' ἂν ἦλθον. νῦν δὲ τἀπ' ἐμοῦ σοφὰ,
δάκρυα παρέξω· ταῦτα γὰρ δυναίμεθ' ἄν.
ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν
τὸ σῶμα τοὐμὸν, ὅπερ ἔτικτεν ἥδε σοι,
μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς
λεύσσειν· τὰ δ' ὑπὸ γῆν μή μ' ἰδεῖν ἀναγκάσῃς.
πρώτη σ' ἐκάλεσα πατέρα, καὶ σὺ παῖδ' ἐμέ·
πρώτη δὲ, γόνασι σοῖσι σῶμα δοῦσ' ἐμὸν,
φίλας χάριτας ἔδωκα κἀντεδεξάμην.
λόγος δ' ὁ μὲν σὸς ἦν ὅδ'· ἆρά σ', ὦ τέκνον,
εὐδαίμον' ἀνδρὸς ἐν δόμοισιν ὄψομαι,
ζῶσάν τε καὶ θάλλουσαν ἀξίως ἐμοῦ;
οὑμὸς δ' ὅδ' ἦν αὖ, περὶ σὸν ἐξαρτωμένης
γένειον, οὗ νῦν ἀντιλάζομαι χερί·
τί δ' ἆρ' ἐγώ σε πρέσβυν; ἆρ' ἐςδέξομαι

1194. νῶϊ, μὴ δέ γε κτ. 1206. βλέπειν· τὰ δ' ὑπὸ γῆς. 1208. γούνασι. 1211. εὐδαίμονος ἀνδρ.

ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων, πάτερ,
πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς;
τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,
σὺ δ' ἐπιλέλησαι, καί μ' ἀποκτεῖναι θέλεις.
μὴ πρός σε Πέλοπος καὶ πρὸς Ἀτρέως πατρὸς
καὶ τῆςδε μητρὸς, ἣ πρὶν ὠδίνουσ' ἐμὲ
νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.
τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων
Ἑλένης τε; πόθεν ἦλθ' ἐπ' ὀλέθρῳ τῷμῷ, πάτερ;
βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς φίλημά τε,
ἵν' ἀλλὰ τοῦτο κατθανοῦσ' ἔχω σέθεν
μνημεῖον, ἢν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις.
ἀδελφὲ, μικρὸς μὲν σύ γ' ἐπίκουρος φίλοις,
ὅμως δὲ σὺν δάκρυσιν ἱκέτης γίγνου πατρὸς,
τὴν σὴν ἀδελφὴν μὴ θανεῖν· αἴσθημά τι
κἀν νηπίοις γε τῶν κακῶν ἐγγίγνεται.
ἰδοὺ σιωπῶν λίσσεταί σ' ὅδ', ὦ πάτερ.
ἀλλ' αἴδεσαί με καὶ κατοίκτειρον βίον.
ναὶ, πρὸς γενείου σ' ἀντόμεσθα δύο φίλω·
ὁ μὲν νεοσσός ἐστιν, ἡ δ' ηὐξημένη.
ἓν συντεμοῦσα πάντα νικήσω λόγον·
τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν,
τὰ νέρθε δ' οὐδέν· μαίνεται δ', ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖσσον, ἢ θανεῖν καλῶς.

ΧΟΡΟΣ.

ὦ τλῆμον Ἑλένη, διὰ σὲ καὶ τοὺς σοὺς γάμους
ἀγὼν Ἀτρείδαις καὶ τέκνοις ἥκει μέγας.

ΑΓΑΜΕΜΝΩΝ.

ἐγὼ τά τ' οἰκτρὰ συνετός εἰμι καὶ τὰ μὴ,

1220. πρός γε π. 1227. εἰ μή. 1238. οὐδείς.

φιλῶ τ' ἐμαυτοῦ τέκνα· μαινοίμην γὰρ ἄν.
δεινῶς δ' ἔχει με ταῦτα τολμῆσαι, γύναι,
δεινῶς δέ, καὶ μή· τοῦτο γὰρ πρᾶξαί με δεῖ.
ὁρᾶθ', ὅσον στράτευμα ναύφρακτον τόδε,
χαλκέων θ' ὅπλων ἄνακτες Ἑλλήνων ὅσοι,
οἷς νόστος οὐκ ἔστ' Ἰλίου πύργους ἔπι,
εἰ μή σε θύσω, μάντις ὡς Κάλχας λέγει,
οὐδ' ἔστι Τροίας ἐξελεῖν κλεινὸν βάθρον.
μέμηνε δ' Ἀφροδίτη τις Ἑλλήνων στρατῷ,
πλεῖν ὡς τάχιστα βαρβάρων ἐπὶ χθόνα,
παῦσαί τε λέκτρων ἁρπαγὰς Ἑλληνικάς·
οἳ τὰς ἐν Ἄργει παρθένους κτείνουσί μου
ὑμᾶς τε κἀμέ, θέσφατ' εἰ λύσω θεᾶς.
οὐ Μενέλεώς με καταδεδούλωται, τέκνον,
οὐδ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα,
ἀλλ' Ἑλλάς, ᾗ δεῖ, κἂν θέλω, κἂν μὴ θέλω,
θῦσαί σε· τούτου δ' ἥσσονες καθέσταμεν.
ἐλευθέραν γὰρ δεῖ νιν, ὅσον ἐν σοί, τέκνον,
κἀμοί, γενέσθαι, μηδὲ βαρβάροις ὕπο
Ἕλληνας ὄντας λέκτρα συλᾶσθαι βίᾳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τέκνον, ὦ ξέναι,
οἲ 'γὼ θανάτου τοῦ σοῦ μελέα!
φεύγει σε πατὴρ ᾅδῃ παραδούς.

ΙΦΙΓΕΝΕΙΑ.

οἲ 'γώ, μῆτερ, μῆτερ! ταὐτὸ γὰρ
μέλος εἰς ἄμφω πέπτωκε τύχης,
κοὐκέτι μοι φῶς,

1243. φιλῶν ἐμ. 1247. χαλκέων ὅπλ. 1250. καινὸν β.
1254. κτενοῦσι. 1255. θέσφατον. 1264. τοῦ deest.

οὐδ' ἀελίου τόδε φέγγος.
ἰὼ ἰώ! νιφοβόλον Φρυγῶν νάπος
Ἴδας τ' ὄρεα, Πριάμος ὅθι ποτὲ βρέφος ἁ-
παλὸν ἔβαλε ματέρος ἀποπρὸ νοσφίσας,
ἐπὶ μόρῳ θανατόεντι, Πάριν, ὃς Ἰδαῖ-
ος Ἰδαῖος ἐλέ-
γετ' ἐλέγετ' ἐν Φρυγῶν πόλει.
μή ποτ' ὤφειλε τὸν ἀμφὶ βου-
σὶ βουκόλον τραφέντ'
Ἀλέξανδρον οἰκίσαι
ἀμφὶ τὸ λευκὸν ὕδωρ, ὅθι κρῆναι
Νυμφᾶν κεῖνται
λειμών τ' ἄνθεσι θάλλων χλωραῖς,
καὶ ῥοδόεντ' ἄνθεά θ' ὑακίνθινά τε θεαῖσι δρέπειν·
ἔνθά ποτε Παλλὰς ἔμολε καὶ
δολιόφρων Κύπρις
Ἥρα θ' Ἑρμᾶς θ', ὁ Διὸς ἄγγελος,
ἁ μὲν ἐπὶ πόθῳ τρυφῶσα Κύπρις,
ἁ δὲ δορὶ Παλλάς, Ἥρα τε Διὸς ἄνακτος
εὐναῖσι βασιλίσι, κρίσιν ἔπι
στυγνὰν ἔριν τε [τᾶς] καλλονᾶς,
ἐμοὶ δὲ θάνατον, ὄνομα μὲν
φέροντα Δαναΐδαισιν, ὦ κόραι.

ΧΟΡΟΣ.

πρόθυμά σ' ἔλαβεν Ἄρτεμις πρὸς Ἴλιον.

ΙΦΙΓΕΝΕΙΑ.

ὁ δὲ τεκών με, τὰν τάλαιναν,
ὦ μᾶτερ, ὦ μᾶτερ,
οἴχεται προδοὺς ἔρημον.

1272. μητρός. 1282. deest θ'. 1294. μῆτερ bis.

ὦ δυστάλαιν' ἐγὼ, πικρὰν
πικρὰν ἰδοῦσα δυσελέναν,
φονεύομαι, διόλλυμαι
σφαγαῖσιν ἀνοσίοισιν ἀνοσίου πατρός.
μή μοι ναῶν χαλκεμβολάδων
πρύμνας ἅδ' Αὐλὶς δέξασθαι
ὤφελεν ἐλάταν πομπαίαν·
μήτ' ἀνταίαν
Εὐρίπῳ πνεῦσαι πομπάν
Ζεὺς μειλίσσων αὔραν ἄλλοις
ἄλλαν θνατῶν λαίφεσι χαίρειν,
τοῖσι δὲ λύπαν, τοῖσι δ' ἀνάγκαν,
τοῖς δ' ἐξορμᾷν, τοῖς δὲ στέλλειν,
τοῖσι δὲ μέλλειν.
ἦ πολύμοχθον ἄρ' ἦν γένος,
ἦ πολύμοχθον ἁμερίων.
χρεὼν δέ τι δύσποτμον ἀνδράσιν ἀνευρεῖν.

ΧΟΡΟΣ.

ἰώ! ἰώ! μεγάλα πάθεα, μεγάλα δ' ἄχεα
τοῖς Δαναΐδαις τιθεῖσα Τυνδαρὶς κόρη.
ἐγὼ μὲν οἰκτείρω σε συμφορᾶς κακῶν
τυχοῦσαν, οἵας μή ποτ' ὤφελες τυχεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ τεκοῦσα μῆτερ, ἀνδρῶν ὄχλον εἰσορῶ πέλας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τόν γε τῆς θεᾶς παῖδα, τέκνον, ᾧ γε δεῦρ' ἐλήλυθας.

1307. τοῖς bis. 1314. κόρα. 1318. τόν τε τῆς θεᾶς παῖδ', ὦ τέκνον, ᾧ δεῦρ' ἐλ.

ΙΦΙΓΕΝΕΙΑ.

διαχαλᾶτέ μοι μέλαθρα, δμῶες, ὡς κρύψω δέμας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τίνα δὲ φεύγεις, τέκνον;

ΙΦΙΓΕΝΕΙΑ.

Ἀχιλλέα τόνδ' ἰδεῖν αἰσχύνομαι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὡς τί δή;

ΙΦΙΓΕΝΕΙΑ.

τὸ δυστυχές μοι τῶν γάμων αἰδῶ φέρει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἐν ἁβρότητι κεῖσαι πρὸς τὰ νῦν πεπτωκότα.
ἀλλὰ μίμν'· οὐ σεμνότητος ἔργον, ἢν δυνώμεθα.

ΑΧΙΛΛΕΥΣ.

ὦ γύναι τάλαινα, Λήδας θύγατερ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ ψευδῆ θροεῖς.

ΑΧΙΛΛΕΥΣ.

δείν' ἐν Ἀργείοις βοᾶται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τίνα βοήν; σήμαινέ μοι.

ΑΧΙΛΛΕΥΣ.

ἀμφὶ σῆς παιδός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πονηρὸν εἶπας οἰωνὸν λόγον.

1320. τί δὲ φ. τὸν Ἀχ. τὸν ἰδ.

ΑΧΙΛΛΕΥΣ.

ὡς χρεὼν σφάξαι νιν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐδεὶς τοῖσδ᾽ ἐναντίον λέγει;

ΑΧΙΛΛΕΥΣ.

ἐς θόρυβον ἔγωγε καὐτὸς ἦλθον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐς τίν᾽, ὦ ξένε;

ΑΧΙΛΛΕΥΣ.

σῶμα λευσθῆναι πέτροισι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μῶν κόρην σώζων ἐμήν;

ΑΧΙΛΛΕΥΣ.

αὐτὸ τοῦτο.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τίς δ᾽ ἂν ἔτλη σώματος τοῦ σοῦ θιγεῖν;

ΑΧΙΛΛΕΥΣ.

πάντες Ἕλληνες.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

στρατὸς δὲ Μυρμιδόνων οὔ σοι παρῆν;

ΑΧΙΛΛΕΥΣ.

πρῶτος ἦν ἐκεῖνος ἐχθρός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δι᾽ ἄρ᾽ ὀλώλαμεν, τέκνον.

ΑΧΙΛΛΕΥΣ.

οἵ με τὸν γάμων ἀπεκάλουν ἥσσον᾽.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀπεκρίνω δὲ τί;

1327. κοὐδείς. 1328. εἰς θ. ἐγώ τοι καὐτὸς ἤλυθον.
1329. σώζειν. 1333. τῶν γ.

ΑΧΙΛΛΕΥΣ.

τὴν ἐμὴν μέλλουσαν εὐνὴν μὴ κτανεῖν —

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δίκαια γάρ.

ΑΧΙΛΛΕΥΣ.

ἣν ἐφήμισεν πατήρ μοι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κἀργόθεν γ᾽ ἐπέμψατο.

ΑΧΙΛΛΕΥΣ.

ἀλλ᾽ ἐνικώμην κεκραγμοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τὸ πολὺ γὰρ δεινὸν κακόν.

ΑΧΙΛΛΕΥΣ.

ἀλλ᾽ ὅμως ἀρήξομέν σοι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ μαχεῖ πολλοῖσιν εἷς;

ΑΧΙΛΛΕΥΣ.

εἰσορᾷς τεύχη φέροντας τούσδ᾽;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὄναιο τῶν φρενῶν!

ΑΧΙΛΛΕΥΣ.

ἀλλ᾽ ὀνησόμεσθα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

παῖς ἄρ᾽ οὐκέτι σφαγήσεται;

ΑΧΙΛΛΕΥΣ.

οὐκ ἐμοῦ γ᾽ ἑκόντος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἥξει δ᾽, ὅστις ἅψεται κόρης;

1337. μάχῃ.

ΑΧΙΛΛΕΥΣ.

μυρίοι γ'· ἄξει δ' Ὀδυσσεύς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἆρ' ὁ Σισύφου γόνος;

ΑΧΙΛΛΕΥΣ.

αὐτὸς οὗτος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἴδια πράσσων, ἢ στρατοῦ ταχθεὶς ὕπο;

ΑΧΙΛΛΕΥΣ.

αἱρεθεὶς ἑκών.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πονηράν γ' αἵρεσιν μιαιφονεῖν.

ΑΧΙΛΛΕΥΣ.

ἀλλ' ἐγὼ σχήσω νιν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἄξει δ' οὐχ ἑκοῦσαν ἁρπάσας;

ΑΧΙΛΛΕΥΣ.

δηλαδὴ ξανθῆς ἐθείρης.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐμὲ δὲ τί χρὴ δρᾶν τότε;

ΑΧΙΛΛΕΥΣ.

ἀντέχου θυγατρός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὡς τοῦδ' οὕνεκ' οὐ σφαγήσεται;

ΑΧΙΛΛΕΥΣ.

ἀλλὰ μὴν ἐς ταὐτό γ' ἥξει.

ΙΦΙΓΕΝΕΙΑ.

μῆτερ, εἰςακούσατε

1347. εἰς τοῦτό γ'.

τῶν ἐμῶν λόγων· μάτην γάρ σ' εἰςορῶ θυμουμένην
σῷ πόσει· τὰ δ' ἀδύναθ' ἡμῖν καρτερεῖν οὐ ῥάδιον.
τὸν μὲν οὖν ξένον δίκαιον αἰνέσαι προθυμίας·
ἀλλὰ καὶ σὲ τοῦθ' ὁρᾶν χρὴ, μὴ διαβληθῇς στρατῷ,
καὶ πλέον πράξωμεν οὐδὲν, ὅδε δὲ συμφορᾶς τύχῃ.
οἷα δ' εἰςῆλθέν μ', ἄκουσον, μῆτερ, ἐννοουμένην·
κατθανεῖν μέν μοι δέδοκται· τοῦτο δ' αὐτὸ βούλομαι
εὐκλεῶς πρᾶξαι, παρεῖσά γ' ἐκποδὼν τὸ δυςγενές.
δεῦρο δὴ σκέψαι μεθ' ἡμῶν, μῆτερ, ὡς καλῶς λέγω·
εἰς ἔμ' Ἑλλὰς ἡ μεγίστη πᾶσα νῦν ἀποβλέπει,
κἀν ἐμοὶ πορθμός τε ναῶν καὶ Φρυγῶν κατασκαφαί,
τάς τε μελλούσας γυναῖκας ἤν τι δρῶσι βάρβαροι,
μηκέθ' ἁρπάζειν ἐᾶν τάςδ' ὀλβίας ἐξ Ἑλλάδος,
τὸν Ἑλένης τίσαντας ὄλεθρον, ἥντιν' ἥρπασεν Πάρις.
ταῦτα πάντα κατθανοῦσα ῥύσομαι, καί μου κλέος,
Ἑλλάδ' ὡς ἠλευθέρωσα, μακάριον γενήσεται.
καὶ γὰρ οὐδέ τοι λίαν ἐμέ γε φιλοψυχεῖν χρεών·

1355. δυςμενές. 1360. τᾶς ὀλβ. 1364. λίαν γ' ἐμοὶ φιλ.

πᾶσι γάρ μ' Ἕλλησι κοινὸν ἔτεκες, οὐχὶ σοὶ μόνῃ.
ἀλλὰ μυρίοι μὲν ἄνδρες ἀσπίσιν πεφραγμένοι,
μυρίοι δ' ἐρέτμ' ἔχοντες, πατρίδος ἠδικημένης,
δρᾶν τι τολμήσουσιν ἐχθροὺς χὐπὲρ Ἑλλάδος θανεῖν·
ἡ δ' ἐμὴ ψυχὴ μί' οὖσα πάντα κωλύσει τάδε;
τί τὸ δίκαιον τοῦτό γ'; ἆρ' ἔχοιμεν ἀντειπεῖν ἔπος;
κἀπ' ἐκεῖν' ἔλθωμεν. οὐ δεῖ τόνδε διὰ μάχης μολεῖν
πᾶσιν Ἀργείοις γυναικὸς οὕνεκ', οὐδὲ κατθανεῖν.
εἷς γ' ἀνὴρ κρείσσων γυναικῶν μυρίων ὁρᾶν φάος.
εἰ δ' ἐβουλήθη τὸ σῶμα τοὐμὸν Ἄρτεμις λαβεῖν,
ἐμποδὼν γενήσομαι 'γὼ θνητὸς οὖσα τῇ θεῷ;
ἀλλ' ἀμήχανον· δίδωμι σῶμα τοὐμὸν Ἑλλάδι.
θύετ', ἐκπορθεῖτε Τροίαν. ταῦτα γὰρ μνημεῖά μου
διὰ μακροῦ, καὶ παῖδες οὗτοι καὶ γάμοι καὶ δόξ' ἐμή.
βαρβάρων δ' Ἕλληνας ἄρχειν εἰκός, ἀλλ' οὐ βαρβάρους,
μῆτερ, Ἑλλήνων· τὸ μὲν γὰρ δοῦλον, οἱ δ' ἐλεύθεροι.

ΧΟΡΟΣ.

τὸ μὲν σόν, ὦ νεᾶνι, γενναίως ἔχει·
τὸ τῆς τύχης δὲ καὶ τὸ τῆς θεοῦ νοσεῖ.

1368. ἐχθροὺς τε. 1369. τάδε. 1375. γενήσομ' ἐγώ. 1379. εἰκὸς ἄρχειν.

ΑΧΙΛΛΕΥΣ.

Ἀγαμέμνονος παῖ, μακάριόν μέ τις θεῶν
ἔμελλε θήσειν, εἰ τύχοιμι σῶν γάμων.
ζηλῶ δὲ σοῦ μὲν Ἑλλάδ', Ἑλλάδος δὲ σέ.
εὖ γὰρ τόδ' εἶπας ἀξίως τε πατρίδος·
τὸ θεομαχεῖν γὰρ ἀπολιποῦσ', ὅ σου κρατεῖ,
ἐξελογίσω τὰ χρηστὰ τά τ' ἀναγκαῖά γε.
μᾶλλον δὲ λέκτρων σῶν πόθος μ' εἰσέρχεται,
ἐς τὴν φύσιν βλέψαντα· γενναία γὰρ εἶ.
ὅρα δ'· ἐγὼ γὰρ βούλομαί σ' εὐεργετεῖν
λαβεῖν τ' ἐς οἴκους· ἄχθομαί τ', ἴστω Θέτις,
εἰ μή σε σώσω, Δαναΐδαισι διὰ μάχης
ἐλθών· ἄθρησον, ὁ θάνατος δεινὸν κακόν.

ΙΦΙΓΕΝΕΙΑ.

λέγω τάδ', οὐδὲν οὐδέν' εὐλαβουμένη.
ἡ Τυνδαρὶς παῖς διὰ τὸ σῶμ' ἀρκεῖ μάχας
ἀνδρῶν τιθεῖσα καὶ φόνους· σὺ δ', ὦ ξένε,
μὴ θνῆσκε δι' ἐμέ, μηδ' ἀποκτείνῃς τινά.
ἔα δὲ σῶσαί μ' Ἑλλάδ', ἢν δυνώμεθα.

ΑΧΙΛΛΕΥΣ.

ὦ λῆμ' ἄριστον, οὐκ ἔχω πρὸς τοῦτ' ἔτι
λέγειν, ἐπεί σοι τάδε δοκεῖ· γενναῖα γὰρ
φρονεῖς· τί γὰρ τἀληθὲς οὐκ εἴποι τις ἄν;
ὅμως δ' ἴσως γε κἂν μεταγνοίης τάδε.
ὡς οὖν ἂν εἰδῇς τἀπ' ἐμοῦ λελεγμένα,
ἐλθὼν τάδ' ὅπλα θήσομαι βωμοῦ πέλας,
ὡς οὐκ ἐάσων σ', ἀλλὰ κωλύσων θανεῖν.
χρήσει δὲ καὶ σὺ τοῖς ἐμοῖς λόγοις τάχα,

1388. τάν. γε. 1396. ἄρχει.

ὅταν πέλας σῆς φάσγανον δέρης ἴδῃς.
οὔκουν ἐάσω σ᾽ ἀφροσύνῃ τῇ σῇ θανεῖν·
ἐλθὼν δὲ σὺν ὅπλοις τοῖςδε πρὸς ναὸν θεᾶς
καραδοκήσω σὴν ἐκεῖ παρουσίαν.

ΙΦΙΓΕΝΕΙΑ.

μῆτερ, τί σιγῇ δακρύοις τέγγεις κόρας;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔχω τάλαινα πρόφασιν, ὥςτ᾽ ἀλγεῖν φρένα.

ΙΦΙΓΕΝΕΙΑ.

παῦσαί· με μὴ κάκιζε· τάδε δ᾽ ἐμοὶ πιθοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

λέγ᾽, ὡς παρ᾽ ἡμῶν οὐδὲν ἀδικήσει, τέκνον.

ΙΦΙΓΕΝΕΙΑ.

μήτ᾽ οὖν γε τὸν σὸν πλόκαμον ἐκτέμῃς τριχὸς,
μήτ᾽ ἀμφὶ σῶμα μέλανας ἀμπίσχῃ πέπλους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δὴ τόδ᾽ εἶπας, τέκνον; ἀπολέσασά σε;

ΙΦΙΓΕΝΕΙΑ.

οὐ σύ γε· σέσωσμαι, κατ᾽ ἐμὲ δ᾽ εὐκλεὴς ἔσει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πῶς εἶπας; οὐ πενθεῖν με σὴν ψυχὴν χρεών;

ΙΦΙΓΕΝΕΙΑ.

ἥκιστ᾽, ἐπεί μοι τύμβος οὐ χωσθήσεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δαὶ, τὸ θνήσκειν οὐ τάφος νομίζεται;

ΙΦΙΓΕΝΕΙΑ.

βωμὸς θεᾶς μοι μνῆμα, τῆς Διὸς κόρης.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ᾽, ὦ τέκνον, σοι πείσομαι· λέγεις γὰρ εὖ.

1418. τί δῆτα τόδ᾽ εἶπ. ὦ τέκν.

ΙΦΙΓΕΝΕΙΑ.

ὡς εὐτυχοῦσά γ᾽ Ἑλλάδος τ᾽ εὐεργέτις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δὴ κασιγνήταισιν ἀγγελῶ σέθεν;

ΙΦΙΓΕΝΕΙΑ.

μήδ᾽ ἀμφὶ κείναις μέλανας ἐξάψῃ πέπλους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εἴπω δὲ παρά σου φίλον ἔπος τί παρθένοις;

ΙΦΙΓΕΝΕΙΑ.

χαίρειν γ᾽· Ὀρέστην τ᾽ ἔκτρεφ᾽ ἄνδρα τόνδε μοι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

προςέλκυσαί νιν ὕστατον θεωμένη.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ φίλτατ᾽, ἐπεκούρησας, ὅσον εἶχες, φίλοις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔσθ᾽ ὅ τι κατ᾽ Ἄργος δρῶσά σοι χάριν φέρω;

ΙΦΙΓΕΝΕΙΑ.

πατέρα γε τὸν ἐμὸν μὴ στύγει, πόσιν τε σόν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δεινοὺς ἀγῶνας διὰ σὲ κεῖνον δεῖ δραμεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

ἄκων μ᾽ ὑπὲρ γῆς Ἑλλάδος διώλεσεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δόλῳ δ᾽, ἀγεννῶς Ἀτρέως τ᾽ οὐκ ἀξίως.

ΙΦΙΓΕΝΕΙΑ.

τίς μ᾽ εἶσιν ἄξων, πρὶν σπαράξεσθαι κόμας;

1426. τί δαί.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐγὼ μετά γέ σου.

ΙΦΙΓΕΝΕΙΑ.

μή σύ γ'· οὐ καλῶς λέγεις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πέπλων ἐχομένη σῶν.

ΙΦΙΓΕΝΕΙΑ.

ἐμοὶ, μῆτερ, πιθοῦ,
μέν'· ὡς ἐμοί τε σοί τε κάλλιον τόδε.
πατρὸς δ' ὀπαδῶν τῶνδέ τίς με πεμπέτω
Ἀρτέμιδος ἐς λειμῶν', ὅπου σφαγήσομαι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τέκνον, οἴχει;

ΙΦΙΓΕΝΕΙΑ.

καὶ πάλιν γ' οὐ μὴ μόλω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

λιποῦσα μητέρ';

ΙΦΙΓΕΝΕΙΑ.

ὡς ὁρᾷς γ', οὐκ ἀξίως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

σχὲς, μή με προλίπῃς.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκ ἐῶ στάζειν δάκρυ.
ἡμεῖς δ' ἐπευφημήσατ', ὦ νεάνιδες,
παιᾶνα τῇ 'μῇ συμφορᾷ, Διὸς κόρην
Ἄρτεμιν· ἴτω δὲ Δαναΐδαις εὐφημία.
κανᾶ δ' ἐναρχέσθω τις, αἰθέσθω δὲ πῦρ
προχύταις καθαρσίοισι· καὶ πατὴρ ἐμὸς
ἐνδεξιούσθω βωμόν· ὡς σωτηρίαν
Ἕλλησι δώσουσ' ἔρχομαι νικηφόρον.

ΙΦΙΓΕΝΕΙΑ.

Ἄγετέ με τὰν Ἰλίου
καὶ Φρυγῶν ἑλέπτολιν.
στέφεα περίβολα δίδοτε, φέρετε· πλόκαμος
ὅδε καταστέφειν·
χερνίβων τε παγαῖς
ἑλίσσετ' ἀμφὶ ναόν,
ἀμφὶ βωμὸν Ἄρτεμιν,
τὰν ἄνασσαν Ἄρτεμιν,
τὰν μάκαιραν, ὡς ἐμοῖσιν, εἰ χρεὼν,
αἵμασι θύμασί τε
θέσφατ' ἐξαλείψω.

ΧΟΡΟΣ.

[ὦ] πότνια, πότνια μῆτερ, ὡς
δάκρυά γέ σοι δώσομεν ἁμέτερα·
παρ' ἱεροῖς γὰρ οὐ πρέπει.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ νεάνιδες,
συνεπαείδετ' Ἄρτεμιν
Χαλκίδος ἀντίπορον,
ἵνα τε δόρατα μέμονε δάϊα δι' ἐμὸν
ὄνομα [τᾶς] γ' Αὐλίδος στενοπόροις ὅρμοις.
ἰὼ γᾶ μᾶτερ,
ὦ Πελασγία,
Μυκηναῖαί τ' ἐμαὶ θεράπναι!

ΧΟΡΟΣ.

καλεῖς πόλισμα Περσέως,
Κυκλωπίων πόνον χερῶν.

1457. παγαῖσιν. 1464. ὦ sine uncis. 1471. τᾶς sine uncis. 1474. θεράπαιναι.

ΙΦΙΓΕΝΕΙΑ.

ἔθρεψας Ἑλλάδι μέγα φάος·
θανοῦσα δ᾽ οὐκ ἀναίνομαι.

ΧΟΡΟΣ.

κλέος γὰρ οὔ σε μὴ λίπῃ.

ΙΦΙΓΕΝΕΙΑ.

Ἰώ! ἰώ!
λαμπαδοῦχος ἁμέρα Διός τε φέγγος
ἕτερον, ἕτερον αἰ-
ῶνα καὶ μοῖραν οἰκήσομεν.
χαῖρέ μοι, φίλον φάος.

ΧΟΡΟΣ.

Ἰώ! ἰώ!
ἴδεσθε τὰν Ἰλίου
καὶ Φρυγῶν ἑλέπτολιν
στείχουσαν, ἐπὶ κάρα στέφη
βαλλομέναν χερνίβων τε παγαῖς,
βωμόν γε δαίμονος θεᾶς,
ῥανίσιν αἱματοῤῥύτοις θανοῦσαν
εὐφυῆ τε σώματος δέρην σφαγεῖσαν.
εὔδροσοι παγαὶ πατρῷαι
μένουσι χέρνιβές τέ σε στρατός τ᾽
Ἀχαιῶν θέλων
Ἰλίου πόλιν μολεῖν.
ἀλλὰ τὰν Διὸς κόραν
κλήσωμεν Ἄρτεμιν, θεῶν ἄνασσαν,
ὡς ἐπ᾽ εὐτυχεῖ πότμῳ.
ὦ πότνια, θύμασι βροτησίοις

1494. μένουσί σε χέρνιβές τε.

χαρεῖσα, πέμψον εἰς Φρυγῶν
γαῖαν Ἑλλάνων στρατὸν
καὶ δολόεντα Τροίας ἕδη, Ἀγαμέμνονά
τε λόγχαις Ἑλλάδι
κλεινότατον στέφανον δὸς
ἀμφὶ κάρα θ᾽ ἑὸν
κλέος ἀείμνηστον ἀμφιθεῖναι.

ΑΓΓΕΛΟΣ.

ὦ Τυνδαρεία παῖ, Κλυταιμνήστρα, δόμων
ἔξω πέρασον, ὡς κλύῃς ἐμῶν λόγων.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

φθογγῆς κλύουσα δεῦρο σῆς ἀφικόμην,
ταρβοῦσα τλήμων κἀκπεπληγμένη φόβῳ.
μή μοι τιν᾽ ἄλλην ξυμφορὰν ἥκεις φέρων
πρὸς τῇ παρούσῃ;

ΑΓΓΕΛΟΣ.

σῆς μὲν οὖν παιδὸς πέρι
θαυμαστά σοι καὶ δεινὰ σημῆναι θέλω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μὴ μέλλε τοίνυν, ἀλλὰ φράζ᾽ ὅσον τάχος.

ΑΓΓΕΛΟΣ.

ἀλλ᾽, ὦ φίλη δέσποινα, πᾶν πεύσει σαφῶς.
λέξω δ᾽ ἀπ᾽ ἀρχῆς, ἤν τι μὴ σφαλεῖσά που
γνώμη ταράξῃ γλῶσσαν ἐν λόγοις ἐμήν.
ἐπεὶ γὰρ ἱκόμεσθα τῆς Διὸς κόρης
Ἀρτέμιδος ἄλσος λειμακάς τ᾽ ἀνθεσφόρους,
ἵν᾽ ἦν Ἀχαιῶν σύλλογος στρατεύματος,
σὴν παῖδ᾽ ἄγοντες, εὐθὺς Ἀργείων ὄχλος

1506. κάρα τεόν. 1511. φόβῳ, 1513. παρούσῃ. 1520. ἀνθηφόροις.

ἠθροίζεθ᾽. ὡς δ᾽ ἐσεῖδεν Ἀγαμέμνων ἄναξ
ἐπὶ σφαγὰς στείχουσαν εἰς ἄλσος κόρην,
ἀνεστέναζε, κἄμπαλιν στρέψας κάρα
δάκρυα προῆγεν, ὀμμάτων πέπλον προθείς.
ἡ δὲ σταθεῖσα τῷ τεκόντι πλησίον,
ἔλεξε τοιάδ᾽· ὦ πάτερ, πάρειμί σοι,
τοὐμὸν δὲ σῶμα τῆς ἐμῆς ὑπὲρ πάτρας
καὶ τῆς ἁπάσης Ἑλλάδος γαίας ὕπερ
θῦσαι δίδωμ᾽ ἑκοῦσα πρὸς βωμὸν θεᾶς
ἄγοντας, εἴπερ ἐστὶ θέσφατον τόδε.
καὶ τοὐπ᾽ ἔμ᾽ εὐτυχοῖτε, καὶ νικηφόρου
δώρου τύχοιτε, πατρίδα τ᾽ ἐξίκοισθε γῆν.
πρὸς ταῦτα μὴ ψαύσῃ τις Ἀργείων ἐμοῦ.
[σιγῇ παρέξω γὰρ δέρην εὐκαρδίως.]
τοσαῦτ᾽ ἔλεξε· πᾶς δ᾽ ἐθάμβησεν κλύων
εὐψυχίαν τε κἀρετὴν τῆς παρθένου.
στὰς δ᾽ ἐν μέσῳ Ταλθύβιος, ᾧ τόδ᾽ ἦν μέλον,
εὐφημίαν ἀνεῖπε καὶ σιγὴν στρατῷ·
Κάλχας δ᾽ ὁ μάντις ἐς κανοῦν χρυσήλατον
ἔθηκεν ὀξὺ χειρὶ φάσγανον σπάσας
κολεῶν ἔσωθεν, κρᾶτά τ᾽ ἔστεψεν κόρης.
ὁ παῖς δ᾽ ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς
λαβὼν κανοῦν ἔθρεξε χέρνιβάς θ᾽ ὁμοῦ.
ἔλεξε δ᾽· ὦ θηροκτόν᾽ Ἄρτεμις Διὸς,
τὸ λαμπρὸν εἱλίσσουσ᾽ ἐν εὐφρόνῃ φάος,
δέξαι τὸ θῦμα τόδ᾽, ὅγε σοι δωρούμεθα
στρατός τ᾽ Ἀχαιῶν Ἀγαμέμνων τ᾽ ἄναξ ὁμοῦ,
ἄχραντον αἷμα καλλιπαρθένου δέρης,

1546. Ἄρτεμι, παῖ Δ.

καὶ δὸς γενέσθαι πλοῦν νεῶν ἀπήμονα,
Τροίας τε Πέργαμ᾽ ἐξελεῖν ἡμᾶς δορί.
ἐς γῆν δ᾽ Ἀτρεῖδαι πᾶς στρατός τ᾽ ἔστη βλέπων.
ἱερεὺς δὲ φάσγανον λαβὼν ἐπεύξατο,
λαιμόν τ᾽ ἐπεσκοπεῖθ᾽, ἵνα πλήξειεν ἄν·
[ἐμοὶ δέ τ᾽ ἄλγος οὐ μικρὸν ἐσῄει φρενί,]
κἄστην νενευκώς· θαῦμα δ᾽ ἦν αἴφνης ὁρᾷν·
πληγῆς κτύπον γὰρ πᾶς τις ᾔσθετ᾽ ἂν σαφῶς,
τὴν παρθένον δ᾽ οὐκ εἶδεν, οὗ γῆς εἰσέδυ.
βοᾷ δ᾽ ἱερεὺς, ἅπας δ᾽ ἐπήχησε στρατὸς,
ἄελπτον εἰσιδόντες ἐκ θεῶν τινος
φάσμ᾽, οὗ γε μήδ᾽ ὁρωμένου πίστις παρῆν·
ἔλαφος γὰρ ἀσπαίρουσ᾽ ἔκειτ᾽ ἐπὶ χθονὶ
ἰδεῖν μεγίστη διαπρεπής τε τὴν θέαν,
[ἧς αἵματι βωμὸς ἐῤῥαίνετ᾽ ἄρδην τῆς θεοῦ.]
κἀν τῷδε Κάλχας — πῶς δοκεῖς; — χαίρων
ἔφη·
ὦ τοῦδ᾽ Ἀχαιῶν κοίρανοι κοινοῦ στρατοῦ,
ὁρᾶτε τήνδε θυσίαν, ἣν ἡ θεὸς
προὔθηκε βωμίαν, ἔλαφον ὀρειδρόμον;
ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται,
ὡς μὴ μιάνῃ βωμὸν εὐγενεῖ φόνῳ.
ἡδέως τε τοῦτ᾽ ἐδέξατο, καὶ πλοῦν οὔριον
δίδωσιν ἡμῖν Ἰλίου τ᾽ ἐπιδρομάς·
πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης,
χώρει τε πρὸς ναῦν· ἡμέρᾳ γὰρ τῇδε δεῖ,
λιπόντας ἡμᾶς Αὐλίδος κοίλους μυχοὺς,
Αἰγαῖον οἶδμα διαπερᾷν. ἐπεὶ δ᾽ ἅπαν

1559. οἶδεν. 1571. μιαίνοι. 1575. ὡς ἡμέρᾳ τῇδε δεῖ.

κατηνθρακώθη θῦμ᾽ ἐν Ἡφαίστου φλογὶ,
τὰ πρόςφορ᾽ εὖξαθ᾽, ὡς τύχοι νόστου στρατός.
πέμπει δ᾽ Ἀγαμέμνων μ᾽, ωςτε σοι φράσαι τάδε,
λέγειν θ᾽, ὁποίας ἐκ θεῶν μοίρας κυρεῖ
καὶ δόξαν ἔσχεν ἄφθιτον καθ᾽ Ἑλλάδα.
ἐγὼ παρὼν δὲ καὶ τὸ πρᾶγμ᾽ ὁρῶν λέγω·
ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο.
λύπης δ᾽ ἀφαίρει, καὶ πόσει πάρες χόλον·
ἀπροσδόκητα δὲ βροτοῖς τὰ τῶν θεῶν,
σώζουσί θ᾽, οὓς φιλοῦσιν. ἦμαρ γὰρ τόδε
θανοῦσαν εἶδε καὶ βλέπουσαν παῖδα σήν.

ΧΟΡΟΣ.

ὡς ἥδομαί τοι ταῦτ᾽ ἀκούσασ᾽ ἀγγέλου·
ζῶν δ᾽ ἐν θεοῖσι σὸν μένειν φράζει τέκος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ παῖ, θεῶν τοῦ κλέμμα γέγονας;
πῶς σε προςείπω; πῶς δὲ φῶ;
παραμυθεῖσθαι τούςδε μάτην μύθους,
ὥς σου πένθους λυγροῦ παυσαίμαν;

ΧΟΡΟΣ.

καὶ μὴν Ἀγαμέμνων ἄναξ στείχει,
τούςδ᾽ αὐτοὺς ἔχων σοι φράζειν μύθους.

ΑΓΑΜΕΜΝΩΝ.

γύναι, θυγατρὸς [ἕνεκ᾽] ὄλβιοι γενοίμεθ᾽ ἄν·
ἔχει γὰρ ὄντως ἐν θεοῖς ὁμιλίαν.
χρὴ δέ σε λαβοῦσαν τόνδε μόσχον εὐγενῆ

στείχειν πρὸς οἴκους· ὡς στρατὸς πρὸς πλοῦν ὁρᾷ.
καὶ χαῖρε· χρόνια τἀμά σοι προςφθέγματα
Τροίηθεν ἔσται. καὶ γένοιτό σοι καλῶς!

ΧΟΡΟΣ.

χαίρων, Ἀτρείδη, γῆν ἵκου Φρυγίαν.
χαίρων δ᾽ ἐπάνηκε,
κάλλιστά μοι τὰ σκῦλ᾽ ἀπὸ Τροίας ἑλών.

ΤΕΛΟΣ ΙΦΙΓΕΝΕΙΑΣ ΤΗΣ ΕΝ ΑΥΛΙΔΙ.

ΕΥΡΙΠΙΔΟΥ

ΙΦΙΓΕΝΕΙΑ

Η ΕΝ ΤΑΥΡΟΙΣ.

ΥΠΟΘΕΣΙΣ.

Ὀρέστης, κατὰ χρησμὸν ἐλθὼν εἰς Ταύρους τῆς Σκυθίας μετὰ Πυλάδου, παρακινηθεὶς, τὸ παρ' αὐτοῖς τιμώμενον τῆς Ἀρτέμιδος ξόανον ὑφελέσθαι προῄρεῖτο. προελθὼν δ' ἀπὸ τῆς νεὼς καὶ φανεὶς, ὑπὸ τῶν ἐντοπίων ἅμα τῷ φίλῳ συλληφθεὶς, ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖς ἐθισμὸν, ὅπως τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ σφάγιον γένωνται. τοὺς γὰρ καταπλεύσαντας ξένους ἀπέσφαττον.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ταύροις τῆς Σκυθίας· ὁ δὲ Χορὸς συνέστηκεν ἐξ Ἑλληνίδων γυναικῶν, θεραπαινίδων τῆς Ἰφιγενείας.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΦΙΓΕΝΕΙΑ.
ΟΡΕΣΤΗΣ.
ΠΥΛΑΔΗΣ.
ΧΟΡΟΣ Ἑλληνίδων γυναικῶν.
ΒΟΥΚΟΛΟΣ.
ΘΟΑΣ.
ΑΓΓΕΛΟΣ.
ΑΘΗΝΑ.

ΕΥΡΙΠΙΔΟΥ ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ.

ΙΦΙΓΕΝΕΙΑ.

Πέλοψ ὁ Ταντάλειος, ἐς Πίσαν μολὼν
θοαῖσιν ἵπποις, Οἰνομάου γαμεῖ κόρην,
ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν· Ἀτρέως δὲ παῖς
Μενέλαος Ἀγαμέμνων τε· τοῦ δ' ἔφυν ἐγὼ
τῆς Τυνδαρείας θυγατρὸς Ἰφιγένεια παῖς,
ἣν ἀμφὶ δίναις, ἃς θάμ' Εὔριπος πυκναῖς
αὔραις ἑλίσσων κυανέαν ἅλα στρέφει,
ἔσφαξεν Ἑλένης οὕνεχ', ὡς δοκεῖ, πατὴρ
Ἀρτέμιδι κλειναῖς ἐν πτυχαῖσιν Αὐλίδος.
ἐνταῦθα γὰρ δὴ χιλίων ναῶν στόλον
Ἑλληνικὸν συνήγαγ' Ἀγαμέμνων ἄναξ,
τὸν καλλίνικον στέφανον Ἰλίου θέλων
λαβεῖν Ἀχαιοὺς, τούς θ' ὑβρισθέντας γάμους
Ἑλένῃ μετελθεῖν, Μενέλεῳ χάριν φέρων.

4. τοῦδ' Μ. 8. ἔσφαξ' Μ. 14. Ἑλένης.

δεινῆς δ᾽ ἀπλοίας πνευμάτων τ᾽ οὐ τυγχάνων,
ἐς ἔμπυρ᾽ ἦλθε, καὶ λέγει Κάλχας τάδε·
ὦ τῆσδ᾽ ἀνάσσων Ἑλλάδος στρατηγίας,
Ἀγάμεμνον, οὐ μὴ ναῦς ἀφορμίσει χθονὸς,
πρὶν ἂν κόρην σὴν Ἰφιγένειαν Ἄρτεμις
λάβῃ σφαγεῖσαν· ὅ τι γὰρ ἐνιαυτὸς τέκοι
κάλλιστον, εὔξω φωσφόρῳ θύσειν θεᾷ.
παῖδ᾽ οὖν ἐν οἴκοις σὴ Κλυταιμνήστρα δάμαρ
τίκτει, (τὸ καλλιστεῖον εἰς ἔμ᾽ ἀναφέρων)
ἣν χρή σε θῦσαι. καί μ᾽ Ὀδυσσέως τέχναις
μητρὸς παρείλοντ᾽ ἐπὶ γάμοις Ἀχιλλέως.
ἐλθοῦσα δ᾽ Αὐλίδ᾽ ἡ τάλαιν᾽ ὑπὲρ πυρᾶς
μεταρσία ληφθεῖσ᾽ ἐκαινόμην ξίφει·
ἀλλ᾽ ἐξέκλεψεν, ἔλαφον ἀντιδοῦσά μου,
Ἄρτεμις Ἀχαιοῖς, διὰ δὲ λαμπρὸν αἰθέρα
πέμψασά μ᾽ ἐς τήνδ᾽ ᾤκισεν Ταύρων χθόνα,
οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος
Θόας, ὃς ὠκὺν πόδα τιθεὶς ἴσον πτεροῖς,
ἐς τοὔνομ᾽ ἦλθε τόδε ποδωκείας χάριν.
ναοῖσι δ᾽ ἐν τοῖσδ᾽ ἱερίαν τίθησί με,
ὅθ᾽ ἐννόμοισι τοῖσιδ᾽ ἥδεται θεὰ
Ἄρτεμις ἑορτῆς, τοὔνομ᾽ ἧς καλὸν μόνον·
θύω γὰρ, ὄντος τοῦ νόμου καὶ πρὶν πόλει,
ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ.
κατάρχομαι μὲν, σφάγια δ᾽ ἄλλοισιν μέλει
ἄῤῥητ᾽ ἔσωθεν τῶνδ᾽ ἀνακτόρων θεᾶς.
τὰ δ᾽ ἄλλα σιγῶ, τὴν θεὸν φοβουμένη.

15. δεινῆς τ᾽ M. Ib. πνευμ. δ᾽ οὐ S. 20. λάβοι M. 35. ὅθεν νόμοισι τοῖσιν ἥ. M. ὅθ᾽ ἐν νόμοισι, τοῖσιν ἥ. S. 36. Post hunc vs. sequitur 41. M.

ἃ καινὰ δ᾽ ἥκει νὺξ φέρουσα φάσματα,
λέξω πρὸς αἰθέρ᾽, εἴ τι δὴ τόδ᾽ ἔστ᾽ ἄκος.
ἔδοξ᾽ ἐν ὕπνῳ τῆσδ᾽ ἀπαλλαχθεῖσα γῆς
οἰκεῖν ἐν Ἄργει, παρθένοισι δ᾽ ἐν μέσαις
εὕδειν, χθονὸς δὲ νῶτα σεισθῆναι σάλῳ,
φεύγειν δὲ, κἄξω στᾶσα θριγκὸν εἰσιδεῖν
δόμων πιτνόντα, πᾶν δ᾽ ἐρείψιμον στέγος
βεβλημένον πρὸς οὖδας ἐξ ἄκρων σταθμῶν.
μόνος δ᾽ ἐλείφθη στῦλος, ὡς ἔδοξέ μοι,
δόμων πατρῴων, ἐκ δ᾽ ἐπικράνων κόμας
ξανθὰς καθεῖναι, φθέγμα δ᾽ ἀνθρώπου λαβεῖν.
κἀγὼ τέχνην τήνδ᾽, ἣν ἔχω ξενοκτόνον,
τιμῶσ᾽, ὕδραινον αὐτὸν, ὡς θανούμενον,
κλάουσα. τοὔναρ δ᾽ ὧδε συμβάλλω τόδε·
τέθνηκ᾽ Ὀρέστης, οὗ κατηρξάμην ἐγώ.
στύλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες·
θνήσκουσι δ᾽, οὓς ἂν χέρνιβες βάλωσ᾽ ἐμαί.
οὐδ᾽ αὖ συνάψαι τοὔναρ ἐς φίλους ἔχω·
Στροφίῳ γὰρ οὐκ ἦν παῖς, ὅτ᾽ ὠλλύμην ἐγώ.
νῦν οὖν ἀδελφῷ βούλομαι δοῦναι χοὰς
παροῦσ᾽ ἀπόντι (ταῦτα γὰρ δυναίμεθ᾽ ἂν)
σὺν προσπόλοισιν, ἃς ἔδωχ᾽ ἡμῖν ἄναξ
Ἑλληνίδας γυναῖκας. ἀλλ᾽ ἐξ αἰτίας
οὔπω τινὸς πάρεισιν ἐς ἔμ᾽ εἴσω δόμων,
ἐν οἷσι ναίω, τῶνδ᾽ ἀνακτόρων θεᾶς.

ΟΡΕΣΤΗΣ.

ὅρα, φυλάσσου, μή τις ἐν στίβῳ βροτῶν.

58. βάλωσί μου S. 62. ἀπόντι· ταῦτα γὰρ δυναίμεθ᾽ ἂν σὺν πρ. 65. τίνος S.

ΠΥΛΑΔΗΣ.

ὁρῶ, σκοποῦμαι δ᾽ ὄμμα πανταχοῦ στρέφων.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, δοκεῖ σοι μέλαθρα ταῦτ᾽ εἶναι θεᾶς,
ἔνθ᾽ Ἀργόθεν ναῦν ποντίαν ἐστείλαμεν;

ΠΥΛΑΔΗΣ.

ἔμοιγ᾽, Ὀρέστα· σοὶ δὲ συνδοκεῖν χρεών.

ΟΡΕΣΤΗΣ.

καὶ βωμὸς, Ἕλλην οὗ καταστάζει φόνος;

ΠΥΛΑΔΗΣ.

ἐξ αἱμάτων γοῦν ξάνθ᾽ ἔχει θριγκώματα.

ΟΡΕΣΤΗΣ.

θριγκοῖς δ᾽ ὑπ᾽ αὐτοῖς σκῦλ᾽ ὁρᾷς ἠρτημένα;

ΠΥΛΑΔΗΣ.

τῶν κατθανόντων τἀκροθίνια ξένων.

ΟΡΕΣΤΗΣ.

ἀλλ᾽ ἐγκυκλοῦντ᾽ ὀφθαλμὸν εὖ σκοπεῖν χρεών.
ὦ Φοῖβε, ποῖ μ᾽ αὖ τήνδ᾽ ἐς ἄρκυν ἤγαγες
χρήσας, ἐπειδὴ πατρὸς αἷμ᾽ ἐτισάμην,
μητέρα κατακτάς; διαδοχαῖς δ᾽ Ἐριννύων
ἠλαυνόμεσθα φυγάδες, ἔξεδροι χθονὸς,
δρόμους τε πολλοὺς ἐξέπλησα καμπίμους.
ἐλθὼν δέ σ᾽ ἠρώτησα, πῶς τροχηλάτου
μανίας ἂν ἔλθοιμ᾽ ἐς τέλος πόνων τ᾽ ἐμῶν,
[οὓς ἐξεμόχθουν περιπολῶν καθ᾽ Ἑλλάδα.]
σὺ δ᾽ εἶπας ἐλθεῖν Ταυρικῆς μ᾽ ὅρους χθονὸς,
ἔνθ᾽ Ἄρτεμις, σὴ σύγγονος, βωμοὺς ἔχει,
λαβεῖν τ᾽ ἄγαλμα θεᾶς, ὅ φασιν ἐνθάδε

73. τριχώματα M. τροχώματα S. 78. χρήσας; 79. κατακτάς,

ἐς τούσδε ναοὺς οὐρανοῦ πεσεῖν ἄπο·
λαβόντα δ᾽ ἢ τέχναισιν, ἢ τύχῃ τινὶ,
κίνδυνον ἐκπλήσαντ᾽, Ἀθηναίων χθονὶ
δοῦναι· τὸ δ᾽ ἐνθένδ᾽ οὐδὲν ἐῤῥήθη πέρα·
καὶ ταῦτα δράσαντ᾽ ἀμπνοὰς ἕξειν πόνων.
ἥκω δὲ, πεισθεὶς σοῖς λόγοισιν, ἐνθάδε
ἄγνωστον ἐς γῆν, ἄξενον. σὲ δ᾽ ἱστορῶ,
Πυλάδη — σὺ γάρ μοι τοῦδε συλλήπτωρ πόνου —
τί δρῶμεν; ἀμφίβληστρα γὰρ τοίχων ὁρᾷς
ὑψηλά. πότερα δωμάτων προςαμβάσεις
ἐκβησόμεσθα; πῶς ἂν οὖν λάθοιμεν ἄν;
ἢ χαλκότευκτα κλῇθρα λύσαντες μοχλοῖς;
ὧν οὐδὲν ἴσμεν. ἢν δ᾽ ἀνοίγοντες πύλας
ληφθῶμεν ἐςβάσεις τε μηχανώμενοι,
θανούμεθ᾽. ἀλλὰ πρὶν θανεῖν, νεὼς ἔπι
φεύγωμεν, ᾗπερ δεῦρ᾽ ἐναυστολήσαμεν.

ΠΥΛΑΔΗΣ.

φεύγειν μὲν οὐκ ἀνεκτὸν, οὐδ᾽ εἰώθαμεν·
τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ κακιστέον.
ναοῦ δ᾽ ἀπαλλαχθέντε κρύψωμεν δέμας
κατ᾽ ἄντρ᾽, ἃ πόντος νοτίδι διακλύζει μέλας,
νεὼς ἄπωθεν, μή τις εἰςιδὼν σκάφος
βασιλεῦσιν εἴπῃ, κᾆτα ληφθῶμεν βίᾳ.
ὅταν δὲ νυκτὸς ὄμμα λυγαίας μόλῃ,
τολμητέον τοι ξεστὸν ἐκ ναοῦ λαβεῖν
ἄγαλμα, πάσας προςφέροντε μηχανάς.
ὅρα δέ γ᾽ εἴσω τριγλύφων, ὅποι κενὸν,

91. δοῦναι τόδ᾽· ἐνθ. — πέρας. 97. πρὸς ἀμβ. 98. μάθοιμεν. 113. ὅρα.

δέμας καθεῖναι· τοὺς πόνους γὰρ ἁγαθοὶ
τολμῶσι, δειλοὶ δ᾽ εἰσὶν οὐδὲν οὐδαμοῦ.

ΟΡΕΣΤΗΣ.

οὔτοι μακρὸν μὲν ἤλθομεν κώπῃ πόρον,
ἐκ τερμάτων δὲ νόστον ἀροῦμεν πάλιν;
ἀλλ᾽ — εὖ γὰρ εἶπας — πειστέον· χωρεῖν χρεὼν,
ὅποι χθονὸς κρύψαντε λήσομεν δέμας.
οὐ γὰρ τὸ τοῦ θεοῦ γ᾽ αἴτιον γενήσεται,
πεσεῖν ἄχρηστον θέσφατον· τολμητέον·
μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν φέρει.

ΙΦΙΓΕΝΕΙΑ.

Εὐφαμεῖτ᾽, ὦ πόντου
δισσὰς συγχωρούσας πέτρας
Εὐξείνου ναίοντες.
ὦ παῖ τᾶς Λατοῦς,
Δίκτυνν᾽ οὐρεία,
πρὸς σὰν αὐλὰν, εὐστύλων
ναῶν χρυσήρεις θριγκοὺς
πόδα παρθένιον ὅσιον ὁσίας
κληδούχου δούλα πέμπω,
Ἑλλάδος εὐΐππου πύργους
καὶ τείχη χόρτων τ᾽ εὐδένδρων
ἐξαλλάξασ᾽ Εὐρώπαν,
πατρῴων οἴκων ἕδρας.

ΧΟΡΟΣ.

Ἔμολον· τί νέον; τίνα φροντίδ᾽ ἔχεις;
τί με πρὸς ναοὺς ἄγαγες, ἄγαγες;

117. ἄρωμεν. Vss. 116. 17. Pyladae continuat S. 126. ὦ et τᾶς om. S. et duo vss. in unum coniungit. 130. ὁσίας ὅσιον S.

ὦ παῖ τοῦ τᾶς Τροίας πύργους
ἐλθόντος κλεινᾷ σὺν κώπᾳ
χιλιοναύτᾳ μυριοτευχεῖ
τῶν Ἀτρειδᾶν τῶν κλεινῶν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ δμωαὶ, δυσθρηνήτοις
ὡς θρήνοις ἔγκειμαι, τᾶς
οὐκ εὐμούσου μολπαῖσι βοᾶς
ἀλύροις ἐλέγοις,
ἒ ἔ! ἐν κηδείοις οἴκτοις!
αἵ μοι συμβαίνουσ᾽ ἆται,
σύγγονον ἀμὸν κατακλαιομένᾳ
ζωᾶς, οἵαν ἰδόμαν ὄψιν [ὀνείρων]
νυκτὸς, τᾶς ἐξῆλθ᾽ ὄρφνα.
ὀλόμαν, ὀλόμαν· οὐκ εἴσ᾽ οἶκοι
πατρῷοι· οἴμοι φροῦδος γέννα!
φεῦ, φεῦ τῶν Ἄργει μόχθων!
ἰώ! ἰὼ δαίμων, ὃς τὸν
μοῦνόν με κασίγνητον συλᾷς
ᾍδᾳ πέμψας, ᾧ τάσδε χοὰς
μέλλω κρατῆρά τε τὸν φθιμένων
ὑδραίνειν γαίας ἐν νώτοις
πηγάς τ᾽ οὐρείων ἐκ μόσχων
Βάκχου τ᾽ οἰνηρὰς λοιβάς,
ξουθᾶν τε πόνημα μελισσᾶν,

140. μυριοτεύχοις M. μυριοτευχοῦς S. 142. ἰὼ δμ. δυσθρηνήτοισιν S. 143. θρ. ὡς ἔγκ. S. 144. μολπᾶς βοᾶν M. 146. οἴκτοισιν M. 149. ζ. ἂν ἰδ. S. ὀνείρων sine uncis M. 151. ὠλόμαν bis M. 154. ἰώ semel, et δαῖμον M. 155. μόνον M.

ἃ νεκροῖς θελκτήρια κεῖται.
ἀλλ᾽ ἔνδος μοι πάγχρυσον
τεῦχος καὶ λοιβὰν Ἅιδᾳ.
ὦ κατὰ γαίας Ἀγαμεμνόνιον
θάλος, ὡς φθιμένῳ τάδε σοι πέμπω·
δέξαι δ᾽· οὐ γὰρ πρὸς τύμβον σοι
ξανθὰν χαίταν, οὐ δάκρυ᾽ οἴσω.
τηλόσε γὰρ δὴ σᾶς ἀπενάσθην
πατρίδος καὶ ἐμᾶς, ἔνθ᾽ ἁ δοκίμα
κεῖμαι σφαχθεῖσα τλάμων.

ΧΟΡΟΣ.

ἀντιψάλμους ᾠδὰς ὕμνον τ᾽
Ἀσιήταν σοι, βάρβαρον ἰαχὰν
δεσποίνᾳ γ᾽ ἐξαυδάσω
τὰν ἐν θρήνοις μοῦσαν νέκυσιν
μέλεον, τὰν ἐν μολπαῖς Ἅιδας
ὑμνεῖ δίχα παιάνων.

ΙΦΙΓΕΝΕΙΑ.

οἴμοι τῶν Ἀτρειδᾶν οἴκων!
ἔῤῥει φῶς σκήπτρων, οἴμοι!
οἴμοι πατρῴων οἴκων!
τίς δ᾽ ἐκ τῶν εὐόλβων Ἄργει
βασιλέων ἀρχά;
μόχθους δ᾽ ἐκ μόχθων ᾄσσει
δινευούσαις ἵπποισιν

162. κεῖτ᾽ M. 165. Ἀγαμεμνόνειον M. 167. πάρος τύμβον M. 170. κἐμᾶς· ἔνθα δοκίμα M. 171. σφ. ἁ τλάμων M. 174. δέσποιν᾽ ἐξαυδάσω. 178. τῶν om. S. Ib. οἴμοι — σκήπτρων choro continuat S. 179. φόως M. οἴμοι deest. 181. τίν᾽ ἐκ. 183. μόχθος. Ib. ἀΐσσει M. 184. ἵπποις S.

πταναῖς ἀλλάξας ἐξ ἕδρας
ἱερὸν * * * ὄμμ᾽ αὐγᾶς
ἅλιος. ἄλλοις δ᾽ ἄλλα προσέβα
χρυσέας ἀρνὸς μελάθροις ὀδύνα,
φόνος ἐπὶ φόνῳ, ἄχεά τ᾽ ἄχεσιν·
ἔνθεν τῶν πρόσθεν δμαθέντων
Ταντα λιδᾶν ἐκβαίνει ποινά γ᾽
εἰς οἴκους· σπεύδει δ᾽ ἀσπούδαστ᾽
ἐπὶ σοὶ δαίμων,
ἐξ ἀρχᾶς μοι δυσδαίμων,
δαίμων τᾶς ματρὸς ζώνας·
καὶ νυκτὸς κείνας ἐξ ἀρχᾶς
λοχιᾶν στεῤῥὰν παιδείαν
Μοῖραι συντείνουσι θεαί,
ἃ μναστευθεῖσ᾽ ἐξ Ἑλλάνων,
* *
ἃν πρωτόγονον θάλος ἐν θαλάμοις
Λήδας ἁ τλάμων κούρα
σφάγιον πατρῴᾳ λώβᾳ
καὶ θῦμ᾽ οὐκ εὐγάθητον
ἔτεκεν, ἔτρεφεν, εὐκταίαν
ἱππείοις ἐν δίφροισιν
ψαμάθων Αὐλίδος ἐπέβασαν
νύμφαν, οἴμοι! δύσνυμφον
τῷ τᾶς Νηρέως κούρας, αἴ! αἴ!

185. πτανοῖς ἀλλάξας δ᾽ ἐξέδρασ᾽. 186. 7. ἱερᾶς ὄμμ᾽ ἅλιος αὐγᾶς S. 189. τ᾽ om. M. 195. 6. ζώνας καὶ νυκτὸς κείνας· ἐξ S. 196. ἐξ ἀρχᾶς γὰρ λοχ. S. 197. λοχείαν M. 200. θαλάμῳ M. 201. ἁ om. S. 205. ἱππείοισιν M. 207. νύμφαιον M. 208. Νηρῆος et αἴ αἴ extra versum S.

νῦν δ' ἀξείνου πόντου ξείνα
δυςχόρτους οἴκους ναίω
ἄγαμος, ἄτεκνος, ἄπολις, ἄφιλος,
οὐ τὰν Ἄργει μέλπουσ' Ἥραν,
οὐδ' ἱστοῖς ἐν καλλιφθόγγοις
κερκίδι Παλλάδος Ἀτθίδος εἰκὼ
καὶ Τιτάνων ποικίλλουσ', ἀλλ'
αἱμοῤῥάντων δυςφόρμιγγα
ξείνων αἱμάσσουσ' ἄταν, [βωμούς]
οἰκτράν τ' αἰαζόντων αὐδὰν,
οἰκτρόν τ' ἐκβαλλόντων δάκρυον.
καὶ νῦν κείνων μέν μοι λάθα,
τὸν δ' Ἄργει δμαθέντα κλαίω
σύγγονον, ὃν ἔλιπον ἐπιμαστίδιόν γ'
ἔτι βρέφος, ἔτι νέον, ἔτι θάλος
ἐν χερσὶν ματρὸς πρὸς στέρνοις τ'
Ἄργει σκηπτοῦχον Ὀρέσταν.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' ἀκτὰς ἐκλιπὼν θαλασσίους
βουφορβὸς ἥκει, σημανῶν τί σοι νέον.

ΒΟΥΚΟΛΟΣ.

Ἀγαμέμνονος παῖ καὶ Κλυταιμνήστρας τέκνον,
ἄκουε καινῶν ἐξ ἐμοῦ κηρυγμάτων.

ΙΦΙΓΕΝΕΙΑ.

τί δ' ἔστι τοῦ παρόντος ἐκπλῆσσον λόγου;

ΒΟΥΚΟΛΟΣ.

ἥκουσιν ἐς γῆν κυανέαν Συμπληγάδα

215. καὶ om. et ποικίλλουσα M. 217. βωμούς sine uncis. 218. 19. αἰαζόντων, οὐδ' ἄνοικτρόν τ' ἐκβ. M. 219. δάκρυμα S. 222. γ' deest. 223. (τότ') ἔτι βρ. S. 224. στέρνοισί τ' M. στέρνοισίν τ' S.

πλάτῃ φυγόντες δίπτυχοι νεανίαι,
θεᾷ φίλον πρόσφαγμα καὶ θυτήριον
Ἀρτέμιδι. χέρνιβας δὲ καὶ κατάργματα
οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη;

ΙΦΙΓΕΝΕΙΑ.

ποδαποί; τίνος γῆς ὄνομ' ἔχουσιν οἱ ξένοι;

ΒΟΥΚΟΛΟΣ.

Ἕλληνες, ἓν τοῦτ' οἶδα, κοὐ περαιτέρω.

ΙΦΙΓΕΝΕΙΑ.

οὐδ' ὄνομ' ἀκούσας οἶσθα τῶν ξένων φράσαι;

ΒΟΥΚΟΛΟΣ.

Πυλάδης ἐκλῄζεθ' ἅτερος πρὸς θατέρου.

ΙΦΙΓΕΝΕΙΑ.

τοῦ ξυζύγου δὲ τοῦ ξένου τί τοὔνομ' ἦν;

ΒΟΥΚΟΛΟΣ.

οὐδεὶς τόδ' οἶδεν· οὐ γὰρ εἰςηκούσαμεν.

ΙΦΙΓΕΝΕΙΑ.

πῶς δ' εἴδετ' αὐτοὺς καὶ τυχόντες εἵλετε;

ΒΟΥΚΟΛΟΣ.

ἄκραις ἐπὶ ῥηγμῖσιν ἀξένου πόρου.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ τίς θαλάσσης βουκόλοις κοινωνία;

ΒΟΥΚΟΛΟΣ.

βοῦς ἤλθομεν νίψοντες ἐναλίᾳ δρόσῳ.

ΙΦΙΓΕΝΕΙΑ.

ἐκεῖσε δὴ 'πάνελθε, πῶς νιν εἵλετε
τρόπῳ θ' ὁποίῳ; τοῦτο γὰρ μαθεῖν θέλω·

235. ποιουμένη. S.

χρόνιοι γὰρ ἥκουσ᾽· οὐδέπω βωμὸς θεᾶς
Ἑλληνικαῖσιν ἐξεφοινίχθη ῥοαῖς.

ΒΟΥΚΟΛΟΣ.

ἐπεὶ τὸν ἐσρέοντα διὰ Συμπληγάδων
βοῦς ὑλοφορβοὺς πόντον εἰςεβάλλομεν,
ἦν τις διαῤῥὼξ κυμάτων πολλῷ σάλῳ
κοιλωπὸς ἀγμὸς, πορφυρευτικαὶ στέγαι.
ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας
βουφορβὸς ἡμῶν, κἀπεχώρησεν πάλιν
ἄκροισι δακτύλοισι πορθμεύων ἴχνος.
ἔλεξε δ᾽· οὐχ ὁρᾶτε; δαίμονές τινες
θάσσουσιν οἵδε. θεοσεβὴς δ᾽ ἡμῶν τις ὢν
ἀνέσχε χεῖρα καὶ προςεύξατ᾽ εἰςιδών·
ὦ ποντίας παῖ Λευκοθέας, νεῶν φύλαξ,
δέσποτα Παλαῖμον, ἵλεως ἡμῖν γενοῦ,
εἴτ᾽ οὖν ἐπ᾽ ἀκταῖς θάσσετον Διοςκόρω,
ἢ Νηρέως ἀγάλμαθ᾽, ὃς τὸν εὐγενῆ
ἔτικτε πεντήκοντα Νηρῄδων χορόν.
ἄλλος δέ τις μάταιος, ἀνομίᾳ θρασὺς,
ἐγέλασεν εὐχαῖς, ναυτίλους δ᾽ ἐφθαρμένους
θάσσειν φάραγγ᾽ ἔφασκε τοῦ νόμου φόβῳ,
κλύοντας, ὡς θύοιμεν ἐνθάδε ξένους.
ἔδοξε δ᾽ ἡμῶν εὖ λέγειν τοῖς πλείοσιν,
θηρᾶν τε τῇ θεῷ σφάγια τἀπιχώρια.
κἀν τῷδε πέτραν ἅτερος λιπὼν ξένοιν
ἔστη, κάρα τε διετίναξ᾽ ἄνω κάτω
κἀπεστέναξεν ὠλένας τρέμων ἄκρας,
μανίαις ἀλαίνων, καὶ βοᾷ, κυναγὸς ὥς·
Πυλάδη, δέδορκας τήνδε; τήνδε δ᾽ οὐχ ὁρᾷς
Ἅιδου δράκαιναν, ὥς με βούλεται κτανεῖν,

δειναῖς ἐχίδναις εἰς ἔμ᾽ ἐστομωμένη;
ἡ δ᾽ ἐκ χιτώνων πῦρ πνέουσα καὶ φόνον
πτεροῖς ἐρέσσει, μητέρ᾽ ἀγκάλαις ἐμὴν
ἔχουσα, πέτρινον ὄχθον ὡς ἐπεμβάλῃ.
οἴ μοι! κτενεῖ με. ποῖ φύγω; — παρῆν δ᾽ ὁρᾶν
οὐ ταυτὰ μορφῆς σχήματ᾽, ἀλλ᾽ ἠλλάσσετο
φθογγάς τε μόσχων καὶ κυνῶν ὑλάγματα,
ἃ φάσ᾽ Ἐριννῦς ἱέναι μιμήματα.
ἡμεῖς δὲ συσταλέντες, ὡς θανούμενοι,
σιγῇ καθήμεθ᾽· ὁ δὲ χερὶ σπάσας ξίφος,
μόσχους ὀρούσας ἐς μέσας, λέων ὅπως,
παίει σιδήρῳ λαγόνας, ἐς πλευρὰς ἱεὶς,
δοκῶν Ἐριννῦς θεὰς ἀμύνεσθαι τάδε,
ὡς αἱματηρὸν πέλανον ἐξανθεῖν ἁλός.
κἀν τῷδε πᾶς τις, ὡς ὁρᾷ βουφόρβια
πίπτοντα καὶ πορθούμεν᾽, ἐξωπλίζετο,
κόχλους τε φυσῶν συλλέγων τ᾽ ἐγχωρίους·
πρὸς εὐτραφεῖς γὰρ καὶ νεανίας ξένους
φαύλους μάχεσθαι βουκόλους ἡγούμεθα.
πολλοὶ δ᾽ ἐπληρώθημεν ἐν μικρῷ χρόνῳ.
πίπτει δὲ μανίας πίτυλον ὁ ξένος μεθεὶς,
στάζων ἀφρῷ γένειον· ὡς δ᾽ ἐςείδομεν
προὔργου πεσόντα, πᾶς ἀνὴρ ἔσχεν πόνον,
βάλλων, ἀράσσων· ἅτερος δὲ τοῖν ξένοιν
ἀφρόν τ᾽ ἀπέψα σώματός τ᾽ ἐτημέλει
πέπλων τε προὐκάλυπτεν εὐπήνους ὑφὰς,
καραδοκῶν μὲν τἀπιόντα τραύματα,
φίλον δὲ θεραπείαισιν ἄνδρ᾽ εὐεργετῶν.

282. ταῦτα S. 286. περισπάσας.

ἔμφρων δ᾽ ἀνᾴξας ὁ ξένος πεσήματος,
ἔγνω κλύδωνα πολεμίων προσκείμενον
καὶ τὴν παροῦσαν συμφορὰν αὐτοῖν πέλας,
ᾤμωξέ θ᾽· ἡμεῖς δ᾽ οὐκ ἀνίεμεν πέτρους
βάλλοντες, ἄλλος ἄλλοθεν προσκείμενοι.
οὗ δὴ τὸ δεινὸν παρακέλευσμ᾽ ἠκούσαμεν·
Πυλάδη, θανούμεθ᾽· ἀλλ᾽ ὅπως θανούμεθα
κάλλισθ᾽· ἕπου μοι, φάσγανον σπάσας χερί.
ὡς δ᾽ εἴδομεν δίπαλτα πολεμίων ξίφη,
φυγῇ λεπαίας ἐξεπίμπλαμεν νάπας.
ἀλλ᾽ εἰ φύγοι τις, ἅτεροι προσκείμενοι
ἔβαλλον αὐτούς· εἰ δὲ τούσδ᾽ ὠσαίατο,
αὖθις τὸ νῦν ὑπεῖκον ἤρασσον πέτροις.
ἀλλ᾽ ἦν ἄπιστον· μυρίων γὰρ ἐκ χερῶν
οὐδεὶς τὰ τῆς θεοῦ θύματ᾽ εὐτύχει βαλών.
μόλις δέ νιν τόλμῃ μὲν οὐ χειρούμεθα,
κύκλῳ δὲ περιβάλλοντες ἐξεκλέψαμεν
πέτροισι χειρῶν φάσγαν᾽, ἐς δὲ γῆν γόνυ
καμάτῳ καθεῖσαν· πρὸς δ᾽ ἄνακτα τῆσδε γῆς
κομίζομέν νιν. ὁ δ᾽ ἐσιδὼν, ὅσον τάχος
ἐς χέρνιβάς τε καὶ σφαγεῖ᾽ ἔπεμπέ σοι.
εὔχου δὲ τοιάδ᾽, ὦ νεᾶνι, σοὶ ξένων
σφάγια παρεῖναι· κἂν ἀναλίσκῃς ξένους
τοιούσδε, τὸν σὸν Ἑλλὰς ἀποτίσει φόνον,
δίκας τίνουσα τῆς ἐν Αὐλίδι σφαγῆς.

ΧΟΡΟΣ.

θαυμάστ᾽ ἔλεξας τὸν φανένθ᾽, ὅστις ποτὲ
Ἕλληνος ἐκ γῆς πόντον ἦλθεν ἄξενον.

305. ἀναΐξας. M. 317. αὖτις — ἤρασσεν M. 326. ὡς — σφάγι᾽ ἐξέπεμπε M.

ΙΦΙΓΕΝΕΙΑ.

εἶεν. σὺ μὲν κόμιζε τοὺς ξένους μολών.
τὰ δ᾽ ἐνθάδ᾽ ἡμεῖς οἷα φροντιούμεθα. —
ὦ καρδία τάλαινα, πρὶν μὲν ἐς ξένους
γαληνὸς ἦσθα καὶ φιλοικτίρμων ἀεὶ,
ἐς θοὐμόφυλον ἀναμετρουμένη δάκρυ,
Ἕλληνας ἄνδρας ἡνίκ᾽ ἐς χέρας λάβοις.
νῦν δ᾽ ἐξ ὀνείρων, οἷσιν ἠγριώμεθα,
δοκοῦσ᾽ Ὀρέστην μηκέθ᾽ ἥλιον βλέπειν,
δύσνουν με λήψεσθ᾽, οἵτινές ποθ᾽ ἥκετε.
καὶ τοῦτ᾽ ἄρ᾽ ἦν ἀληθές· ἠσθόμην, φίλαι·
οἱ δυστυχεῖς γὰρ τοῖσιν εὐτυχεστέροις,
αὐτοὶ κακῶς πράξαντες, οὐ φρονοῦσιν εὖ.
ἀλλ᾽ οὔτε πνεῦμα Διόθεν ἦλθε πώποτε,
οὐ πορθμὶς, ἥτις διὰ πέτρας Συμπληγάδας
Ἑλένην ἂν ἤγαγ᾽ ἐνθάδ᾽, ἥ μ᾽ ἀπώλεσεν,
Μενέλεών θ᾽, ἵν᾽ αὐτοὺς ἀντετιμωρησάμην,
τὴν ἐνθάδ᾽ Αὖλιν ἀντιθεῖσα τῆς ἐκεῖ,
οἷ μ᾽ ὥστε μόσχον Δαναΐδαι χειρούμενοι
ἔσφαζον, ἱερεὺς δ᾽ ἦν ὁ γεννήσας πατήρ.
οἴ μοι! κακῶν γὰρ τῶν τότ᾽ οὐκ ἀμνημονῶ,
ὅσας γενείου χεῖρας ἐξηκόντισα,
γονάτων τε τοῦ τεκόντος ἐξαρτωμένη,
λέγουσα τοιάδ᾽· ὦ πάτερ, νυμφεύομαι
νυμφεύματ᾽ αἰσχρὰ πρὸς σέθεν· μήτηρ δ᾽ ἐμὴ,
σέθεν κατακτείνοντος, Ἀργεῖαί τέ νιν
ὑμνοῦσιν ὑμεναίοισιν, αὐλεῖται δὲ πᾶν
μέλαθρον· ἡμεῖς δ᾽ ὀλλύμεσθα πρὸς σέθεν.

343. καλῶς S. 346. ἀπήγαγ᾽. 347. Μενέλαον M. 349. οἵ μ᾽. M.

Ἅιδης Ἀχιλλεὺς ἦν ἄρ', οὐχ ὁ Πηλέως,
ὅν μοι προσεῖπας πόσιν· ἐν ἁρμάτων δ' ὄχοις
ἐς αἱματηρὸν γάμον ἐπόρθμευσας δόλῳ.
ἐγὼ δὲ λεπτῶν ὄμμα διὰ καλυμμάτων
ἔχουσ', ἀδελφὸν τοῦτον εἱλόμην χεροῖν,
ὃς νῦν ὄλωλεν, οὐ κασιγνήτῃ στόμα
συνῆψ' ὑπ' αἰδοῦς, ὡς ἰοῦσ' ἐς Πηλέως
μέλαθρα· πολλὰ δ' ἀπεθέμην ἀσπάσματα
ἐσαῦθις, ὡς ἥξουσ' ἐς Ἄργος αὖ πάλιν.
ὦ τλῆμον, εἰ τέθνηκας, ἐξ οἵων καλῶν
ἔῤῥεις, Ὀρέστα, καὶ πατρὸς ζηλωμάτων.
τὰ τῆς θεοῦ δὲ μέμφομαι σοφίσματα,
ἥτις, βροτῶν μὲν ἤν τις ἅψηται φόνου,
ἢ καὶ λοχείας, ἢ νεκροῦ θίγῃ χεροῖν,
βωμῶν ἀπείργει, μυσαρὸν ὡς ἡγουμένη,
αὐτὴ δὲ θυσίαις ἥδεται βροτοκτόνοις.
οὐκ ἔσθ', ὅπως ἔτεκεν ἂν ἡ Διὸς δάμαρ
Λητὼ τοσαύτην ἀμαθίαν. ἐγὼ μὲν οὖν
τὰ Ταντάλου θεοῖσιν ἑστιάματα
ἄπιστα κρίνω, παιδὸς ἡσθῆναι βορᾷ,
τοὺς δ' ἐνθάδ', αὐτοὺς ὄντας ἀνθρωποκτόνους,
ἐς τὸν θεὸν τὸ φαῦλον ἀναφέρειν δοκῶ·
οὐδένα γὰρ οἶμαι δαιμόνων εἶναι κακόν.

ΧΟΡΟΣ.

Κυάνεαι, κυάνεαι (στροφὴ ά.)
σύνοδοι θαλάσσας,
ἃν οἶστρος ὁ ποτώμενος Ἀργόθεν
Εὔξεινον ἐπ' οἶδμα διεπέρασέν ποτ'
Ἀσιήτιδα γαῖαν

368. κακῶν M. 380. τὴν θεὸν S. 384. ἣν M.

Εὐρώπας διαμείψας.
τίνες ποτ' ἄρα τὸν εὔυδρον
καὶ δονακόχλοα λιπόντες Εὐρώταν,
ἢ ῥεύματα σεμνὰ Δίρκας,
ἔβασαν, ἔβασαν ἄμικτον
αἶαν, ἔνθα κούρα
διατέγγει βωμοὺς καὶ περὶ κίονας
ναῶν αἷμα βρότειον.
ἢ ῥοθίοις εἰλατίνοις (ἀντιστρ. ά.)
δικρότοισι κώπαις
ἔπλευσαν ἐπὶ πόντια κύματα
νάϊον ὄχημα λινοπόροις αὔραις,
φιλόπλουτον ἅμιλλαν
αὔξοντες μελάθροισιν;
φίλα γὰρ ἐλπὶς ἐγένετ' ἐπὶ
πήμασι βροτῶν ἄπληστος ἀνθρώποις,
ὄλβου βάρος οἳ φέρονται
πλάνητες ἐπ' οἶδμα πόλεις τε
βαρβάρους περῶντες
κενόδοξοι· γνώμα δ' οἷς μὲν ἄκαιρος ὄλ-
βου, τοῖς δ' εἰς μέσον ἥκει.
πῶς τὰς συνδρομάδας πέτρας, (στροφὴ β'.)
πῶς Φινεΐδας
ἀΰπνους ἀκτὰς ἐπέρα-
σαν, παράλιον αἰγιαλὸν
ἐπ' Ἀμφιτρίτας ῥοθίῳ δραμόντες; —
ὅπου πεντήκοντα κορᾶν
τῶν Νηρῄδων χοροὶ

388. τίνες ποτ'; ἄρα M. 406. κεναὶ δόξαι M. 411. παρ' ἄλιον S.

μέλπουσιν ἐγκύκλιοι· —
καὶ πλησιστίοισι πνοαῖς,
συριζόντων κατὰ πρύ-
μναν εὐναίων πηδαλίων,
αὔραις ἐν νοτίαις, ἢ
πνοιαῖσι Ζεφύρου, τὰν
πολυόρνιθον ἐπ᾽ αἶαν,
λευκὰν ἀκτὰν, Ἀχιλῆ-
ός τε δρόμους καλλισταδίους,
Εὔξεινον κατὰ πόντον.
εἴθ᾽ εὐχαῖσι δεσποσύνας (ἀντιστρ. β΄.)
Λήδας Ἑλένα
φίλα παῖς ἐλθοῦσα τύχοι
τὰν Τρωάδα λιποῦσα πόλιν,
ἵν᾽ ἀμφὶ χαίταν δρόσον αἱματηρὰν
ἑλιχθεῖσα λαιμοτόμῳ
δεσποίνας χερὶ θάνῃ
ποινὰς δοῦσ᾽ ἀντιπάλους!
ἥδιστ᾽ ἂν τήνδ᾽ ἀγγελίαν
δεξαίμεσθ᾽, Ἑλλάδος ἐκ
γᾶς πλωτήρων εἴ τις ἔβα,
δουλείας ἐμέθεν δει-
λαίας παυσίπονος· καὶ
γὰρ ὀνείρασι συμβαίην,
οἴκοις πόλει τε πατρῴ-
ᾳ τερπνῶν ὕμνων ἀπολαύ-
ειν, κοινὰν χάριν ὄλβῳ!
Ἀλλ᾽ οἵδε χέρας δεσμοῖς διδύμοις

415. ἐγκυκλίοις M. 419. αὔρ. ἐννοτίαις M. 420. πνοαῖσι M. 433. ἡδίσταν δ᾽ ἂν ἀγγ. S.

συνερεισθέντες χωροῦσι, νέον
πρόσφαγμα θεᾶς· σιγᾶτε, φίλαι.
τὰ γὰρ Ἑλλήνων ἀκροθίνια δὴ
ναοῖσι πέλας τάδε βαίνει·
οὐδ᾽ ἀγγελίας ψευδεῖς ἔλακεν
βουφορβὸς ἀνήρ.
ὦ πότνι᾽, εἴ σοι τάδ᾽ ἀρεσκόντως
πόλις ἥδε τελεῖ, δέξαι θυσίας,
ἃς ὁ παρ᾽ ἡμῖν νόμος οὐχ ὁσίας
Ἕλλησι διδοὺς ἀναφαίνει.

ΙΦΙΓΕΝΕΙΑ.

(εἶεν) τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχῃ,
φροντιστέον μοι. μέθετε τῶν ξένων χέρας,
ὡς ὄντες ἱεροὶ μηκέτ᾽ ὦσι δέσμιοι.
ναοῦ δ᾽ ἔσω στείχοντες εὐτρεπίζετε,
ἃ χρὴ ᾽πὶ τοῖς παροῦσι καὶ νομίζεται.
(φεῦ!) τίς ἆρα μήτηρ ἡ τεκοῦσ᾽ ὑμᾶς ποτε
πατήρ τ᾽ ἀδελφή τ᾽, εἰ γεγῶσα τυγχάνει;
οἵων στερεῖσα διπτύχων νεανιῶν
ἀνάδελφος ἔσται! τὰς τύχας τίς οἶδ᾽, ὅτῳ
τοιαίδ᾽ ἔσονται; πάντα γὰρ τὰ τῶν θεῶν
ἐς ἀφανὲς ἕρπει, κοὐδὲν οἶδ᾽ οὐδεὶς κακόν·
ἡ γὰρ τύχη παρήγαγ᾽ ἐς τὸ δυσμαθές.
πόθεν ποθ᾽ ἥκετ᾽, ὦ ταλαίπωροι ξένοι;
ὡς διὰ μακροῦ μὲν τήνδ᾽ ἐπλεύσατε χθόνα,
μακρὸν δ᾽ ἀπ᾽ οἴκων χρόνον ἔσεσθ᾽ ἀεὶ κάτω.

ΟΡΕΣΤΗΣ.

τί ταῦτ᾽ ὀδύρει, κἀπὶ τοῖς μέλλουσι νῷν

446. ἐν ναοῖσι M. Versui 442. sqq. praef. Ἰφιγ. M. 449. Χορ. M. 456. ναούς.

κακοῖσι λυπεῖς, ἥτις εἶ ποτ', ὦ γύναι;
οὔ τοι νομίζω σοφὸν, ὃς ἂν μέλλων θανεῖν
οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾷν θέλῃ· —
οὐχ, ὅςτις Ἅιδην ἐγγὺς ὄντ' οἰκτίζεται,
σωτηρίας ἄνελπις· — ὡς δύ' ἐξ ἑνὸς
κακὼ συνάπτει, μωρίαν τ' ὀφλισκάνει
θνήσκει θ' ὁμοίως· τὴν τύχην δ' ἐᾷν χρεών.
ἡμᾶς δὲ μὴ θρήνει σύ· τὰς γὰρ ἐνθάδε
θυσίας ἐπιστάμεσθα καὶ γιγνώσκομεν.

ΙΦΙΓΕΝΕΙΑ.

πότερος ἄρ' ὑμῶν ἐνθάδ' ὠνομασμένος
Πυλάδης κέκληται; τόδε μαθεῖν πρῶτον θέλω.

ΟΡΕΣΤΗΣ.

ὅδ', εἴ τι δή σοι τοῦτ' ἐν ἡδονῇ μαθεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

ποίας πολίτης πατρίδος Ἕλληνος γεγώς;

ΟΡΕΣΤΗΣ.

τί δ' ἂν μαθοῦσα τόδε πλέον λάβοις, γύναι;

ΙΦΙΓΕΝΕΙΑ.

πότερον ἀδελφὼ μητρὸς ἐστὸν ἐκ μιᾶς;

ΟΡΕΣΤΗΣ.

φιλότητί γ', ἐσμὲν δ' οὐ κασιγνήτω, γύναι.

ΙΦΙΓΕΝΕΙΑ.

σοὶ δ' ὄνομα ποῖον ἔθεθ' ὁ γεννήσας πατήρ;

ΟΡΕΣΤΗΣ.

τὸ μὲν δίκαιον δυςτυχεῖς καλοίμεθ' ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

οὐ τοῦτ' ἐρωτῶ· τοῦτο μὲν δὸς τῇ τύχῃ.

472. οὔθ' ὅςτις. 483. ματρός M.

ΟΡΕΣΤΗΣ.

ἀνώνυμοι θανόντες οὐ γελῴμεθ' ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

τί δὲ φθονεῖς τοῦτ', ἢ φρονεῖς οὕτω μέγα;

ΟΡΕΣΤΗΣ.

τὸ σῶμα θύσεις τοὐμὸν, οὐχὶ τοὔνομα.

ΙΦΙΓΕΝΕΙΑ.

οὐδ' ἂν πόλιν φράσειας, ἥτις ἐστί σοι;

ΟΡΕΣΤΗΣ.

ζητεῖς γὰρ οὐδὲν κέρδος, ὡς θανουμένῳ.

ΙΦΙΓΕΝΕΙΑ.

χάριν δὲ δοῦναι τήνδε κωλύει τί σε;

ΟΡΕΣΤΗΣ.

τὸ κλεινὸν Ἄργος πατρίδ' ἐμὴν ἐπεύχομαι.

ΙΦΙΓΕΝΕΙΑ.

πρὸς θεῶν, ἀληθῶς, ὦ ξέν', εἶ κεῖθεν γεγώς;

ΟΡΕΣΤΗΣ.

ἐκ τῶν Μυκηνῶν, αἵ ποτ' ἦσαν ὄλβιαι.

ΙΦΙΓΕΝΕΙΑ.

φυγὰς δ' ἀπῆρας πατρίδος, ἢ ποίᾳ τύχῃ;

ΟΡΕΣΤΗΣ.

φεύγω τρόπον γε δή τιν' οὐχ ἑκὼν ἑκών.

ΙΦΙΓΕΝΕΙΑ.

ἆρ' ἂν τί μοι φράσειας ὧν ἐγὼ θέλω;

ΟΡΕΣΤΗΣ.

ὡς ἐν παρέργῳ τῆς ἐμῆς δυςπραξίας.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ μὴν ποθεινός γ' ἦλθες ἐξ Ἄργους μολών.

488. γελώμεθ' M.

ΟΡΕΣΤΗΣ.

οὔκουν ἐμαυτῷ γ', εἰ δὲ σοὶ, σὺ τοῦθ' ὅρα.

ΙΦΙΓΕΝΕΙΑ.

Τροίαν ἴσως οἶσθ', ἧς ἁπανταχοῦ λόγος.

ΟΡΕΣΤΗΣ.

ὡς μή ποτ' ὤφελόν γε, μηδ' ἰδὼν ὄναρ!

ΙΦΙΓΕΝΕΙΑ.

φασίν νιν οὐκέτ' οὖσαν οἴχεσθαι δορί.

ΟΡΕΣΤΗΣ.

ἔστιν γὰρ οὕτως, οὐδ' ἄκραντ' ἠκούσατε.

ΙΦΙΓΕΝΕΙΑ.

Ἑλένη δ' ἀφῖκται δῶμα Μενέλεω πάλιν;

ΟΡΕΣΤΗΣ.

ἥκει, κακῶς γ' ἐλθοῦσα τῶν ἐμῶν τινι.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ ποῦ 'στι; κἀμοὶ γάρ τι προὐφείλει κακόν.

ΟΡΕΣΤΗΣ.

Σπάρτῃ ξυνοικεῖ τῷ πάρος ξυνευνέτῃ.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ μῖσος εἰς Ἕλληνας, οὐκ ἐμοὶ μόνῃ.

ΟΡΕΣΤΗΣ.

ἀπέλαυσα κἀγὼ δή τι τῶν κείνης γάμων.

ΙΦΙΓΕΝΕΙΑ.

νόστος δ' Ἀχαιῶν ἐγένεθ', ὡς κηρύσσεται;

ΟΡΕΣΤΗΣ.

ὡς πάνθ' ἅπαξ με συλλαβοῦσ' ἀνιστορεῖς!

ΙΦΙΓΕΝΕΙΑ.

πρὶν γὰρ θανεῖν σε, τοῦδ' ἐπαυρέσθαι θέλω.

505. τοῦτ' ἔρα Μ.

ΟΡΕΣΤΗΣ.

ἔλεγχ', ἐπειδὴ τοῦδ' ἐρᾷς· λέξω δ' ἐγώ.

ΙΦΙΓΕΝΕΙΑ.

Κάλχας τις ἦλθε μάντις ἐκ Τροίας πάλιν;

ΟΡΕΣΤΗΣ.

ὄλωλεν, ὡς ἦν ἐν Μυκηναίοις λόγος.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ πότνι' ὡς εὖ! τί γὰρ ὁ Λαέρτου γόνος;

ΟΡΕΣΤΗΣ.

οὔπω νενόστηκ' οἶκον, ἔστι δ', ὡς λόγος.

ΙΦΙΓΕΝΕΙΑ.

ὄλοιτο, νόστου μή ποτ' ἐς πάτραν τυχών!

ΟΡΕΣΤΗΣ.

μηδὲν κατεύχου· πάντα τἀκείνου νοσεῖ.

ΙΦΙΓΕΝΕΙΑ.

Θέτιδος δ' ὁ τῆς Νηρῇδος ἔστι παῖς ἔτι;

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστιν· ἄλλως λέκτρ' ἔγημεν Αὐλίδι.

ΙΦΙΓΕΝΕΙΑ.

δόλια γὰρ, ὥς γε φασὶν οἱ πεπονθότες.

ΟΡΕΣΤΗΣ.

τίς εἶ ποθ'; ὡς εὖ πυνθάνει τἀφ' Ἑλλάδος!

ΙΦΙΓΕΝΕΙΑ.

ἐκεῖθέν εἰμι· παῖς ἔτ' οὖσ' ἀπωλόμην.

ΟΡΕΣΤΗΣ.

ὀρθῶς ποθεῖς ἄρ' εἰδέναι τἀκεῖ, γύναι.

ΙΦΙΓΕΝΕΙΑ.

τί δ' ὁ στρατηγὸς, ὃν λέγουσ' εὐδαιμονεῖν;

519. ὦ πότνι'· ὡς ἔστι γὰρ Μ. 522. τὰ 'κείνου Μ.

ΟΡΕΣΤΗΣ.

τίς; οὐ γὰρ, ὅν γ' ἐγῷδα, τῶν εὐδαιμόνων.

ΙΦΙΓΕΝΕΙΑ.

Ἀτρέως ἐλέγετο δή τις Ἀγαμέμνων ἄναξ.

ΟΡΕΣΤΗΣ.

οὐκ οἶδ'· ἄπελθε τοῦ λόγου τούτου, γύναι.

ΙΦΙΓΕΝΕΙΑ.

μὴ πρὸς θεῶν, ἀλλ' εἴφ', ἵν' εὐφρανθῶ, ξένε.

ΟΡΕΣΤΗΣ.

τέθνηχ' ὁ τλήμων, πρὸς δ' ἀπώλεσέν τινα.

ΙΦΙΓΕΝΕΙΑ.

τέθνηκε; ποίᾳ συμφορᾷ; τάλαιν' ἐγώ!

ΟΡΕΣΤΗΣ.

τί δ' ἐστέναξας τοῦτο; μῶν προςῆκέ σοι;

ΙΦΙΓΕΝΕΙΑ.

τὸν ὄλβον αὐτοῦ τὸν πάροιθ' ἀναστένω.

ΟΡΕΣΤΗΣ.

δεινῶς γὰρ ἐκ γυναικὸς οἴχεται σφαγείς.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ πανδάκρυτος ἡ κτανοῦσα χὼ θανών!

ΟΡΕΣΤΗΣ.

παῦσαί νυν ἤδη, μηδ' ἐρωτήσῃς πέρα.

ΙΦΙΓΕΝΕΙΑ.

τοσόνδε γ', εἰ ζῇ τοῦ ταλαιπώρου δάμαρ;

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστι· παῖς νιν, ὃν ἔτεχ', οὗτος ὤλεσεν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ συνταραχθεὶς οἶκος! ὡς τί δὴ θέλων;

540. παῦσαι νῦν.

ΟΡΕΣΤΗΣ.

πατρὸς θανόντος τήνδε τιμωρούμενος.

ΙΦΙΓΕΝΕΙΑ.

(φεῦ) ὡς εὖ κακὸν δίκαιον εἰςεπράξατο.

ΟΡΕΣΤΗΣ.

ἀλλ' οὐ τὰ πρὸς θεῶν εὐτυχεῖ, δίκαιος ὤν.

ΙΦΙΓΕΝΕΙΑ.

λείπει δ' ἐν οἴκοις ἄλλον Ἀγαμέμνων γόνον;

ΟΡΕΣΤΗΣ.

λέλοιπεν Ἠλέκτραν γε παρθένον μίαν.

ΙΦΙΓΕΝΕΙΑ.

τί δέ, σφαγείσης θυγατρὸς ἐστί τις λόγος;

ΟΡΕΣΤΗΣ.

οὐδείς γε, πλὴν θανοῦσαν οὐχ ὁρᾷν φάος.

ΙΦΙΓΕΝΕΙΑ.

τάλαιν' ἐκείνη χὠ κτανὼν αὐτὴν πατήρ.

ΟΡΕΣΤΗΣ.

κακῆς γυναικὸς χάριν ἄχαριν ἀπώλετο.

ΙΦΙΓΕΝΕΙΑ.

ὁ τοῦ θανόντος δ' ἔστι παῖς Ἄργει πατρός;

ΟΡΕΣΤΗΣ.

ἔστ', ἄθλιός γε, κοὐδαμοῦ καὶ πανταχοῦ.

ΙΦΙΓΕΝΕΙΑ.

ψευδεῖς ὄνειροι, χαίρετ'· οὐδὲν ἦτ' ἄρα.

ΟΡΕΣΤΗΣ.

οὐθ' οἱ σοφοί γε δαίμονες κεκλημένοι
πτηνῶν ὀνείρων εἰσὶν ἀψευδέστεροι.
πολὺς ταραγμὸς ἔν τε τοῖς θεοῖς ἔνι.

556. sqq. continuantur Iphigeniae M. 558. θείοις. S.

κἀν τοῖς βροτείοις· ἓν δὲ λείπεται μόνον,
ὅτ᾽ οὐκ ἄφρων ὢν, μάντεων πεισθεὶς λόγοις,
ὄλωλεν, ὡς ὄλωλε τοῖσιν εἰδόσιν.

ΧΟΡΟΣ.

φεῦ, φεῦ· τί δ᾽ ἡμεῖς οἵ τ᾽ ἐμοὶ γεννήτορες;
ἆρ᾽ εἰσίν; ἆρ᾽ οὐκ εἰσί; τίς φράσειεν ἄν;

ΙΦΙΓΕΝΕΙΑ.

ἀκούσατ᾽· ἐς γὰρ δή τιν᾽ ἥκομεν λόγον,
ὑμῖν τ᾽ ὄνησιν, ὦ ξένοι, σπεύδουσ᾽ ἅμα
κἀμοί. τὸ δ᾽ εὖ μάλιστά γ᾽ οὕτω γίγνεται,
εἰ πᾶσι ταυτὸν πρᾶγμ᾽ ἀρεσκόντως ἔχει.
θέλοις ἂν, εἰ σώσαιμί σ᾽, ἀγγεῖλαί τί μοι,
πρὸς Ἄργος ἐλθὼν, τοῖς ἐμοῖς ἐκεῖ φίλοις,
δέλτον τ᾽ ἐνεγκεῖν, ἥν τις οἰκτείρας ἐμὲ
ἔγραψεν αἰχμάλωτος, οὐχὶ τὴν ἐμὴν
φονέα νομίζων χεῖρα, τοῦ νόμου δ᾽ ὕπο
θνήσκειν γε, τῆς θεοῦ τάδε δίκαι᾽ ἡγουμένης;
οὐδένα γὰρ εἶχον, ὅςτις, ἀγγεῖλαι μολὼν
ἐς Ἄργος αὖθις, τὰς ἐμὰς ἐπιστολὰς
πέμψειε σωθεὶς τῶν ἐμῶν φίλων τινί.
σὺ δ᾽ — εἶ γὰρ, ὡς ἔοικας, οὔτε δυςγενὴς,
καὶ τὰς Μυκήνας οἶσθα χοὓς κἀγὼ θέλω —
σώθητι καὶ σὺ, μισθὸν οὐκ αἰσχρὸν λαβὼν
κούφων ἕκατι γραμμάτων, σωτηρίαν.
οὗτος δ᾽, ἐπείπερ πόλις ἀναγκάζει τάδε,
θεᾷ γενέσθω θῦμα, χωρισθεὶς σέθεν.

559. λυπεῖται S. 565. σπουδαῖς ἅμα M. 566. τόδ᾽ εὖ M. 567. ἔχοι M. 568. θέλεις M. 573. ταῦτα δίκαι᾽ M. 574. ὅςτις ἀγγεῖλαι S. 575. τὰς δ᾽ ἐμάς S.

ΟΡΕΣΤΗΣ.

καλῶς ἔλεξας τἄλλα, πλὴν ἓν, ὦ ξένη·
τὸ γὰρ σφαγῆναι τόνδ᾽, ἐμοὶ βάρος μέγα.
ὁ ναυστολῶν γάρ εἰμ᾽ ἐγὼ τὰς ξυμφοράς·
οὗτος δὲ συμπλεῖ τῶν ἐμῶν μόχθων χάριν.
οὔκουν δίκαιον ἐπ᾽ ὀλέθρῳ τῷ τοῦδ᾽ ἐμὲ
χάριν τίθεσθαι, καὐτὸν ἐκδῦναι κακῶν·
ἀλλ᾽ ὣς γενέσθαι, τῷδε μὲν δέλτον δίδου· —
πέμψει γὰρ Ἄργος, ὥςτε σοι καλῶς ἔχειν. —
ἡμᾶς δ᾽ ὁ χρῄζων κτεινέτω. τὰ τῶν φίλων
αἴσχιστον, ὅςτις, καταβαλὼν ἐς ξυμφορὰς,
αὐτὸς σέσωσται· τυγχάνει δ᾽ ὅδ᾽ ὢν φίλος,
ὃν οὐδὲν ἧσσον, ἢ ᾽μὲ, φῶς ὁρᾶν θέλω.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ λῆμ᾽ ἄριστον, ὡς ἀπ᾽ εὐγενοῦς τινος
ῥίζης πέφυκας, τοῖς φίλοις τ᾽ ὀρθῶς φίλος!
τοιοῦτος εἴη τῶν ἐμῶν ὁμοσπόρων
ὅςπερ λέλειπται! καὶ γὰρ οὐδ᾽ ἐγὼ, ξένοι,
ἀνάδελφός εἰμι, πλὴν ὅσ᾽ οὐχ ὁρῶσά νιν.
ἐπεὶ δὲ βούλει ταῦτα, τόνδε πέμψομεν
δέλτον φέροντα, σὺ δὲ θανεῖ· πολλὴ δέ τις
προθυμία σε τοῦδ᾽ ἔχουσα τυγχάνει.

ΟΡΕΣΤΗΣ.

θύσει δὲ τίς με καὶ τὰ δεινὰ τλήσεται;

ΙΦΙΓΕΝΕΙΑ.

ἐγώ· θεᾶς γὰρ τῆςδε προστροπὴν ἔχω.

584. τόνδε, μοι M. τόνδε μοι S. 589. γενέσθω S. 594. ἤ με. M.

ΟΡΕΣΤΗΣ.

ἄζηλά γ', ὦ νεᾶνι, κοὐκ εὐδαίμονα.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ' ἐς ἀνάγκην κείμεθ', ἣν φυλακτέον.

ΟΡΕΣΤΗΣ.

αὐτὴ ξίφει θύουσα θῆλυς ἄρσενας;

ΙΦΙΓΕΝΕΙΑ.

οὔκ· ἀλλὰ χαίτην ἀμφὶ σὴν χερνίψομαι.

ΟΡΕΣΤΗΣ.

ὁ δὲ σφαγεὺς τίς; εἰ τάδ' ἱστορεῖν με χρή.

ΙΦΙΓΕΝΕΙΑ.

εἴσω δόμων τῶνδ' εἰσὶν, οἷς μέλει τάδε.

ΟΡΕΣΤΗΣ.

τάφος δὲ ποῖος δέξεταί μ', ὅταν θάνω;

ΙΦΙΓΕΝΕΙΑ.

πῦρ ἱερὸν ἔνδον χάσμα τ' εὐρωπὸν πέτρας.

ΟΡΕΣΤΗΣ.

(φεῦ!) πῶς ἄν μ' ἀδελφῆς χεὶρ περιστείλειεν ἄν;

ΙΦΙΓΕΝΕΙΑ.

μάταιον εὐχὴν, ὦ τάλας, ὅστις ποτ' εἶ,
εὔξω· μακρὰν γὰρ βαρβάρου ναίει χθονός.
οὐ μὴν, ἐπειδὴ τυγχάνεις Ἀργεῖος ὢν,
ἀλλ' ὧν γε δυνατὸν οὐδ' ἐγὼ λείψω χάριν.
πολύν τε γάρ σοι κόσμον ἐνθήσω τάφῳ,
ξανθῷ τ' ἐλαίῳ σῶμα σὸν κατασβέσω,
καὶ τῆς ὀρείας ἀνθεμόῤῥυτον γάνος
ξουθῆς μελίσσης ἐς πυρὰν βαλῶ σέθεν.
ἀλλ' εἶμι, δέλτον τ' ἐκ θεᾶς ἀνακτόρων
οἴσω· τὸ μέντοι δυσμενὲς μή μου λάβῃς.
φυλάσσετ' αὐτοὺς, πρόσπολοι, δεσμῶν ἄτερ.

ἴσως ἄελπτα τῶν ἐμῶν φίλων τινὶ
πέμψω πρὸς Ἄργος, ὃν μάλιστ' ἐγὼ φιλῶ,
καὶ δέλτος αὐτῷ ζῶντας, οὓς δοκεῖ θανεῖν,
λέγουσα πιστὰς ἡδονὰς ἀπαγγελεῖ.

ΧΟΡΟΣ.

Καταλοφύρομαι σε τὸν χερνίβων (στροφή.)
ῥανίσι μελόμενον ῥανίσιν αἱμακταῖς.

ΟΡΕΣΤΗΣ.

οἶκτος γὰρ οὐ ταῦτ', ἀλλὰ χαίρετ', ὦ ξέναι.

ΧΟΡΟΣ.

σὲ δὲ τύχας μάκαρος, ἰὼ νεανία, (ἀντιστρ.)
σεβόμεθ', εἰς πάτραν ὅτι ποτ' ἐπεμβάσῃ.

ΠΥΛΑΔΗΣ.

ἄζηλα τοῖς φίλοισι, θνησκόντων φίλων.

ΧΟΡΟΣ.

ὦ σχέτλιοι πομπαί! (ἐπῳδός.)
φεῦ, φεῦ! διόλλυσαι.
αἶ αἶ αἶ αἶ!
πότερος ὁ μέλλων;
ἔτι γὰρ ἀμφίλογα δίδυμα μέμονε φρὴν,
σὲ πάρος, ἢ σ' ἀναστενάξω γόοις.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, πέπονθας ταυτὸ, πρὸς θεῶν, ἐμοί;

ΠΥΛΑΔΗΣ.

οὐκ οἶδ'· ἐρωτᾷς οὐ λέγειν ἔχοντά με.

ΟΡΕΣΤΗΣ.

τίς ἐστιν ἡ νεᾶνις; ὡς Ἑλληνικῶς
ἀνήρεθ' ἡμᾶς τούς τ' ἐν Ἰλίῳ πόνους

626. ὧν μάλιστ' M. 630. deest ῥανίσιν M. 631. ο. μὲν οὐ M. 632. ὦ ν. M. 636. διόλλουσαι.

νόστον τ᾽ Ἀχαιῶν τόν τ᾽ ἐν οἰωνοῖς σοφὸν
Κάλχαντ᾽ Ἀχιλλέως τ᾽ ὄνομα, καὶ τὸν ἄθλιον
Ἀγαμέμνον᾽ ὡς ᾤκτειρ᾽! ἀνηρώτα τέ με
γυναῖκα παῖδάς τ᾽. ἔστιν ἡ ξένη γένος
ἐκεῖθεν Ἀργεία τις· οὐ γὰρ ἄν ποτε
δέλτον τ᾽ ἔπεμπε καὶ τάδ᾽ ἐξεμάνθανεν,
ὡς κοινὰ πράσσουσ᾽, Ἄργος εἰ πράσσει καλῶς.

ΠΥΛΑΔΗΣ.

ἔφθης με μικρόν· ταυτὰ δὲ φθάσας λέγεις,
πλὴν ἕν· τὰ γὰρ τῶν βασιλέων παθήματα
ἴσασι πάντες, ὧν ἐπιστροφή τις ἦν.
ἀτὰρ διῆλθε χἄτερον λόγον τινά.

ΟΡΕΣΤΗΣ.

τίν᾽; ἐς τὸ κοινὸν δοὺς ἄμεινον ἂν μάθοις.

ΠΥΛΑΔΗΣ.

αἰσχρὸν, θανόντος σοῦ, βλέπειν ἡμᾶς φάος.
κοινῇ τ᾽ ἔπλευσα, δεῖ με καὶ κοινῇ θανεῖν·
καὶ δειλίαν γὰρ καὶ κάκην κεκτήσομαι
Ἄργει τε Φωκέων τ᾽ ἐν πολυπτύχῳ χθονί,
δόξω δὲ τοῖς πολλοῖσι,— πολλοὶ γὰρ κακοί, —
προδούς σε σώζεσθ᾽ αὐτὸς εἰς οἴκους μόνος,
ἢ καὶ φονεύσας ἐπὶ νοσοῦσι δώμασιν
ῥάψαι μόρον σοι, σῆς τυραννίδος χάριν,
ἔγκληρον ὡς δὴ σὴν κασιγνήτην γαμῶν.
ταῦτ᾽ οὖν φοβοῦμαι καὶ δι᾽ αἰσχύνης ἔχω,
κοὐκ ἔσθ᾽, ὅπως οὐ χρὴ συνεκπνεῦσαί μέ σοι
καὶ συσφαγῆναι καὶ πυρωθῆναι δέμας,
φίλον γεγῶτα καὶ φοβούμενον ψόγον.

647. ᾤκτειρεν — τ᾽ ἐμὲ M. 655. διῆλθον S.

ΟΡΕΣΤΗΣ.

εὔφημα φώνει· τἀμὰ δεῖ φέρειν κακά·
ἁπλᾶς δὲ λύπας ἐξὸν, οὐκ οἴσω διπλᾶς.
ὃ γὰρ σὺ λυπρὸν κἀπονείδιστον λέγεις,
ταῦτ᾽ ἔστιν ἡμῖν, εἴ σε συμμοχθοῦντ᾽ ἐμοὶ
κτενῶ· τὸ μὲν γὰρ εἰς ἔμ᾽, οὐ κακῶς ἔχει,
πράσσονθ᾽, ἃ πράσσω πρὸς θεῶν, λύσειν βίον.
σὺ δ᾽ ὄλβιός τ᾽ εἶ, καθαρά τ᾽, οὐ νοσοῦντ᾽, ἔχεις
μέλαθρ᾽, ἐγὼ δὲ δυσσεβῆ καὶ δυστυχῆ.
σωθεὶς δὲ, παῖδας ἐξ ἐμῆς ὁμοσπόρου
κτησάμενος, ἣν ἔδωκά σοι δάμαρτ᾽ ἔχειν,
ὄνομά τ᾽ ἐμοῦ γένοιτ᾽ ἂν, οὐδ᾽ ἄπαις δόμος
πατρῷος οὑμὸς ἐξαλειφθείη ποτ᾽ ἄν.
ἀλλ᾽ ἕρπε, καὶ ζῆ καὶ δόμους οἴκει πατρός.
ὅταν δ᾽ ἐς Ἑλλάδ᾽ ἵππιόν τ᾽ Ἄργος μόλῃς,
πρὸς δεξιᾶς σε τῆσδ᾽ ἐπισκήπτω τάδε·
τύμβον τε χῶσον κἀπίθες μνημεῖά μοι,
καὶ δάκρυ᾽ ἀδελφὴ καὶ κόμας δότω τάφῳ.
ἄγγελλε δ᾽, ὡς ὄλωλ᾽ ὑπ᾽ Ἀργείας τινὸς
γυναικὸς, ἀμφὶ βωμὸν ἁγνισθεὶς φόνῳ.
καὶ μὴ προδῷς μου τὴν κασιγνήτην ποτέ,
ἔρημα κήδη καὶ δόμους ὁρῶν πατρός.
καὶ χαῖρ᾽· ἐμῶν γὰρ φίλτατόν σ᾽ εὗρον φίλων.
ὦ συγκυναγὲ καὶ συνεκτραφεὶς ἐμοὶ,
ὦ πόλλ᾽ ἐνεγκὼν τῶν ἐμῶν ἄχθη κακῶν.
ἡμᾶς δ᾽ ὁ Φοῖβος, μάντις ὤν, ἐψεύσατο·
τέχνην δὲ θέμενος, ὡς προσώταθ᾽ Ἑλλάδος
ἀπήλασ᾽ αἰδοῖ τῶν πάρος μαντευμάτων.

675. πράσσω, πρὸς θ. λ. β. M. 696. ἀπήλασεν M.

ᾧ πάντ' ἐγὼ δοὺς τἀμὰ καὶ πεισθεὶς λόγοις,
μητέρα κατακτὰς, αὐτὸς ἀνταπόλλυμαι.

ΠΥΛΑΔΗΣ.

ἔσται τάφος σοι, καὶ κασιγνήτης λέχος
οὐκ ἂν προδοίην, ὦ τάλας, ἐπεί σ' ἐγὼ
θανόντα μᾶλλον, ἢ βλέπονθ', ἕξω φίλον.
ἀτὰρ τὸ τοῦ θεοῦ γ' οὐ διέφθορέν σέ πω
μάντευμα, καί τοι γ' ἐγγὺς ἕστηκας φόνου.
ἀλλ' ἔστιν, ἔστιν ἡ λίαν δυςπραξία
λίαν διδοῦσα μεταβολὰς, ὅταν τύχῃ.

ΟΡΕΣΤΗΣ.

σίγα· τὰ Φοίβου δ' οὐδὲν ὠφελεῖ μ' ἔπη·
γυνὴ γὰρ ἥδε δωμάτων ἔξω περᾷ.

ΙΦΙΓΕΝΕΙΑ.

ἀπέλθεθ' ὑμεῖς καὶ παρευτρεπίζετε
τἄνδον μολόντες τοῖς ἐφεστῶσι σφαγῇ. —
δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαὶ,
ξένοι, πάρεισιν· ἃ δ' ἐπὶ τοῖςδε βούλομαι,
ἀκούσατ'· οὐδεὶς αὑτὸς ἐν πόνοις ἀνὴρ,
ὅταν τε πρὸς τὸ θάρσος ἐκ φόβου πέσῃ.
ἐγὼ δὲ ταρβῶ, μὴ 'πονοστήσας χθονὸς
θῆται παρ' οὐδὲν τὰς ἐμὰς ἐπιστολὰς
ὁ τήνδε μέλλων δέλτον εἰς Ἄργος φέρειν.

ΟΡΕΣΤΗΣ.

τί δῆτα βούλει; τίνος ἀμηχανεῖς πέρι;

ΙΦΙΓΕΝΕΙΑ.

ὅρκον δότω μοι, τάςδε πορθμεύσειν γραφὰς
πρὸς Ἄργος, οἷσι βούλομαι πέμψαι φίλων.

702. διέφθειρεν M. 712. αὐτός.

ΟΡΕΣΤΗΣ.

ἦ κἀντιδώσεις τῷδε τοὺς αὐτοὺς λόγους;

ΙΦΙΓΕΝΕΙΑ.

τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.

ΟΡΕΣΤΗΣ.

ἐκ γῆς ἀφήσειν μὴ θανόντα βαρβάρου.

ΙΦΙΓΕΝΕΙΑ.

δίκαιον εἶπας· πῶς γὰρ ἀγγείλειεν ἄν;

ΟΡΕΣΤΗΣ.

ἦ καὶ τύραννος ταῦτα συγχωρήσεται;

ΙΦΙΓΕΝΕΙΑ.

πείσω σφε, καὐτὴ ναὸς εἰςβήσω σκάφος.

ΟΡΕΣΤΗΣ.

ὄμνυ· σὺ δ' ἔξαρχ' ὅρκον, ὅςτις εὐσεβής.

ΙΦΙΓΕΝΕΙΑ.

δώσω, λέγειν χρὴ, τήνδε τοῖς ἐμοῖς φίλοις.

ΠΥΛΑΔΗΣ.

τοῖς σοῖς φίλοισι γράμματ' ἀποδώσω τάδε.

ΙΦΙΓΕΝΕΙΑ.

κἀγώ σε σώσω Κυανέας ἔξω πέτρας.

ΠΥΛΑΔΗΣ.

τίν' οὖν ἐπόμνυς τοῖσίδ' ὅρκιον θεῶν;

ΙΦΙΓΕΝΕΙΑ.

Ἄρτεμιν, ἐν ἧςπερ δώμασιν τιμὰς ἔχω.

ΠΥΛΑΔΗΣ.

ἐγὼ δ' ἄνακτά γ' οὐρανοῦ, σεμνὸν Δία.

ΙΦΙΓΕΝΕΙΑ.

εἰ δ' ἐκλιπὼν τὸν ὅρκον ἀδικοίης ἐμέ;

725. add. ναί. — 730. tribuitur Oresti. τοῖσιν. M.

ΠΥΛΑΔΗΣ.

ἄνοστος εἴην· τί δὲ σύ, μὴ σώσασά με;

ΙΦΙΓΕΝΕΙΑ.

μή ποτε κατ' Ἄργος ζῶσ' ἴχνος θείην ποδός.

ΠΥΛΑΔΗΣ.

ἄκουε δή νυν, ὃν παρήλθομεν λόγον.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ' αὖθις ἔσται καιρὸς, ἢν καλῶς ἔχῃ.

ΠΥΛΑΔΗΣ.

ἐξαίρετόν μοι δὸς τόδ', ἤν τι ναῦς πάθῃ,
χἠ δέλτος ἐν κλύδωνι χρημάτων μέτα
ἀφανὴς γένηται, σῶμα δ' ἐκσώσω μόνον,
τὸν ὅρκον εἶναι τόνδε μηκέτ' ἔμπεδον.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ' οἶσθ', ὃ δράσω; πολλὰ γὰρ πολλῶν κυρεῖ.
τἀνόντα κἀγγεγραμμέν' ἐν δέλτου πτυχαῖς
λόγῳ φράσω σοὶ πάντ' ἀναγγεῖλαι φίλοις·
ἐν ἀσφαλεῖ γάρ· ἢν μὲν ἐκσώσῃς γραφὴν,
αὐτὴ φράσει σιγῶσα τἀγγεγραμμένα·
ἢν δ' ἐν θαλάσσῃ γράμματ' ἀφανισθῇ τάδε,
τὸ σῶμα σώσας, τοὺς λόγους σώσεις ἐμοί.

ΠΥΛΑΔΗΣ.

καλῶς ἔλεξας τῶν θεῶν ἐμοῦ θ' ὕπερ.
σήμαινε δ', ᾧ χρὴ τάσδ' ἐπιστολὰς φέρειν
πρὸς Ἄργος, ὅ τι τε χρὴ κλύοντά σου λέγειν.

ΙΦΙΓΕΝΕΙΑ.

ἄγγελλ' Ὀρέστῃ, παιδὶ τἀγαμέμνονος·
ἡ 'ν Αὐλίδι σφαγεῖσ' ἐπιστέλλει τάδε
ζῶσ' Ἰφιγένεια, τοῖς ἐκεῖ δ' οὐ ζῶσ' ἔτι.

736. δή νῦν. 737. καινός.

ΟΡΕΣΤΗΣ.

ποῦ δ' ἔστ' ἐκείνη; κατθανοῦσ' ἥκει πάλιν;

ΙΦΙΓΕΝΕΙΑ.

ἥδ', ἣν ὁρᾷς σύ· μὴ λόγοις ἔκπλησσέ με.
κόμισαί μ' ἐς Ἄργος, ὦ σύναιμε, πρὶν θανεῖν,
ἐκ βαρβάρου γῆς καὶ μετάστησον θεᾶς
σφαγίων, ἐφ' οἷσι ξενοφόνους τιμὰς ἔχω.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, τί λέξω; ποῦ ποτ' ὄνθ' εὑρήμεθα;

ΙΦΙΓΕΝΕΙΑ.

ἢ σοῖς ἀραία δώμασιν γενήσομαι,
Ὀρέσθ', ἵν' αὖθις ὄνομα δὶς κλύων μάθῃς.

ΠΥΛΑΔΗΣ.

ὦ θεοί!

ΙΦΙΓΕΝΕΙΑ.

τί τοὺς θεοὺς ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς;

ΠΥΛΑΔΗΣ.

οὐδέν· πέραινε δ'· ἐξέβην γὰρ ἄλλοσε.
τάχ' οὖν ἐρωτῶν σ' εἰς ἄπιστ' ἀφίξομαι.

ΙΦΙΓΕΝΕΙΑ.

λέγ', οὕνεκ' ἔλαφον ἀντιδοῦσά μου θεὰ
Ἄρτεμις ἔσωσέ μ', (ἣν ἔθυσ' ἐμὸς πατὴρ,
δοκῶν ἐς ἡμᾶς ὀξὺ φάσγανον βαλεῖν,)
ἐς τήνδε δ' ᾤκισ' αἶαν. αἵδ' ἐπιστολαί·
τάδ' ἐστὶ τἀν δέλτοισιν ἐγγεγραμμένα.

ΠΥΛΑΔΗΣ.

ὦ ῥαδίοις ὅρκοισι περιβαλοῦσά με,
κάλλιστα δ' ὀμόσασ', οὐ πολὺν σχήσω χρόνον,

765. deest σ' M. τάχ' οὖν ἐρῶ· τῶν δ' εἰς ἄ. S. et tribuit Iphig. 772. ὀμόσας S. πολλὸν M.

τόνδ' ὅρκον, ὃν κατώμοσ', ἐμπεδώσομεν.
ἰδού, φέρω σοι δέλτον ἀποδίδωμί τε,
Ὀρέστα, τῆσδε σῆς κασιγνήτης πάρα.

ΟΡΕΣΤΗΣ.

δέχομαι· παρεὶς δὲ γραμμάτων διαπτυχὰς,
τὴν ἡδονὴν πρῶτ' οὐ λόγοις αἱρήσομαι.
ὦ φιλτάτη μοι σύγγον', ἐκπεπληγμένος
ὅμως σ' ἀπίστῳ περιβαλὼν βραχίονι,
ἐς τέρψιν εἶμι, πυθόμενος θαυμάστ' ἐμοί.

ΧΟΡΟΣ.

ξεῖν', οὐ δικαίως τῆς θεοῦ τὴν πρόσπολον
χραίνεις ἀθίκτοις περιβαλὼν πέπλοις χέρα.

ΟΡΕΣΤΗΣ.

ὦ συγκασιγνήτη τε κἀκ ταυτοῦ πατρὸς
Ἀγαμέμνονος γεγῶσα, μή μ' ἀποστρέφου,
ἔχουσ' ἀδελφὸν, οὐ δοκοῦσ' ἕξειν ποτέ.

ΙΦΙΓΕΝΕΙΑ.

ἐγώ σ' ἀδελφὸν τὸν ἐμόν; οὐ παύσει λέγων;
τὸ δ' Ἄργος αὐτοῦ μεστὸν ἥ τε Ναυπλία.

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστ' ἐκεῖ σὸς, ὦ τάλαινα, σύγγονος.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ' ἡ Λάκαινα Τυνδαρίς σ' ἐγείνατο;

ΟΡΕΣΤΗΣ.

Πέλοπός τε παιδὶ παιδὸς ἐκπέφυκ' ἐγώ.

ΙΦΙΓΕΝΕΙΑ.

τί φής; ἔχεις τι τῶνδέ μοι τεκμήριον;

773. τὸν δ' ὅ. M. 778. ἐκπεπληγμένη M. 779. deest σ'. 785. δοκῶν M. δοκοῦν S. 790. Πέλ. γε S.

ΟΡΕΣΤΗΣ.

ἔχω· πατρῴων ἐκ δόμων τι πυνθάνου.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκοῦν λέγειν μὲν χρὴ σέ, μανθάνειν δ' ἐμέ.

ΟΡΕΣΤΗΣ.

λέγοιμ' ἂν ἀκοῇ πρῶτον Ἠλέκτρας τάδε·
Ἀτρέως Θυέστου τ' οἶσθα γενομένην ἔριν;

ΙΦΙΓΕΝΕΙΑ.

ἤκουσα, χρυσῆς ἀρνὸς ἡνίκ' ἦν πέρι.

ΟΡΕΣΤΗΣ.

ταῦτ' οὖν ὑφήνασ' οἶσθ' ἐν εὐπήνοις ὑφαῖς;

ΙΦΙΓΕΝΕΙΑ.

ὦ φίλτατ', ἐγγὺς τῶν ἐμῶν κάμπτει φρενῶν.

ΟΡΕΣΤΗΣ.

εἰκώ τ' ἐν ἱστοῖς, ἡλίου μετάστασιν;

ΙΦΙΓΕΝΕΙΑ.

ὕφηνα καὶ τόδ' εἶδος εὐμίτοις πλοκαῖς.

ΟΡΕΣΤΗΣ.

καὶ λοῦτρ' ἐς Αὖλιν μητρὸς ἀνεδέξω πάρα;

ΙΦΙΓΕΝΕΙΑ.

οἶδ'· οὐ γὰρ ὁ γάμος ἐσθλὸς ὤν μ' ἀφείλετο.

ΟΡΕΣΤΗΣ.

τί γάρ; κόμας σὰς μητρὶ δοῦσα σῇ φέρειν;

ΙΦΙΓΕΝΕΙΑ.

μνημεῖά γ' ἀντὶ σώματος τοὐμοῦ τάφῳ.

ΟΡΕΣΤΗΣ.

ἃ δ' εἶδον αὐτὸς, τάδε φράσω τεκμήρια·
Πέλοπος παλαιὰν ἐν δόμοις λόγχην πατρὸς,

794. λέγοιμ' ἄν· ἄκουε M. 796. τ' οἶδα M. 802. ἀφείλετο;

ἣν χερσὶ πάλλων παρθένον Πισάτιδα
ἐκτήσαθ᾽ Ἱπποδάμειαν, Οἰνόμαον κτανὼν,
ἐν παρθενῶσι τοῖσι σοῖς κεκρυμμένην.

ΙΦΙΓΕΝΕΙΑ.

Ὦ φίλτατ᾽, οὐδὲν ἄλλο, φίλτατος γὰρ εἶ,
ἔχω σ᾽ Ὀρέσταν τηλύγετον χθονὸς ἀπὸ πατρίδος,
Ἀργόθεν, ὦ φίλος.

ΟΡΕΣΤΗΣ.

κἀγώ σε τὴν θανοῦσαν, ὡς δοξάζεται.
κατὰ δὲ δάκρυ᾽ ἀδάκρυα, κατὰ δὲ γόος ἅμα χαρᾷ
τὸ σὸν νοτίζει βλέφαρον. ὡσαύτως δ᾽ ἐμόν.

ΙΦΙΓΕΝΕΙΑ.

τότ᾽ ἔτι βρέφος σ᾽ ἔλιπον ἀγκάλαι-
σι νεαρὸν τροφοῦ, νεαρὸν ἐν δόμοις.
ὦ κρεῖσσον, ἢ λόγοισιν, εὐτυχῶν ἐμοῦ
ψυχὰ, τί φῶ; θαυμάτων πέρα καὶ λόγου
πρόσω τάδ᾽ ἀπέβα.

ΟΡΕΣΤΗΣ.

τὸ λοιπὸν εὐτυχοῖμεν ἀλλήλων μέτα!

ΙΦΙΓΕΝΕΙΑ.

ἄτοπον ἡδονὰν ἔλαβον, ὦ φίλαι·
δέδοικα δ᾽, ἐκ χερῶν με μὴ πρὸς αἰθέρα
ἀμπτάμενος φύγῃ·
ὦ Κυκλωπίδες ἑστίαι, ὦ πατρίς,
Μυκήνα φίλα,
χάριν ἔχω ζωᾶς, χάριν ἔχω τροφᾶς,
ὅτι μοι συνομαίμονα τόνδε δόμοις
ἐξεθρέψω φάος.

811. Ὀρέστα M. 816. τόδ᾽ ἔτι βρέφος ἔλ. 816. 17. ἀγκάλαις M. 820. ἐπέβα. M. 825. ἰὼ bis S. 828. δόμοισιν S.

ΟΡΕΣΤΗΣ.

γένει μὲν εὐτυχοῦμεν, ἐς δὲ συμφορὰς,
ὦ σύγγον᾽, ἡμῶν δυστυχὴς ἔφυ βίος.

ΙΦΙΓΕΝΕΙΑ.

ἐγὼ μέλεος οἶδ᾽, ὅτε φάσγανον
δέρᾳ θῆκέ μοι μελεόφρων πατήρ.

ΟΡΕΣΤΗΣ.

οἴμοι! δοκῶ γὰρ οὐ παρών σ᾽ ὁρᾶν ἐκεῖ.

ΙΦΙΓΕΝΕΙΑ.

ἀνυμέναιος, ὦ σύγγον᾽, Ἀχιλλέως
εἰς κλισίαν λέκτρων
δολίαν ὅτ᾽ ἀγόμαν·
παρὰ δὲ βωμὸν ἦν δάκρυα καὶ γόοι.
φεῦ φεῦ χερνίβων τῶν ἐκεῖ!

ΟΡΕΣΤΗΣ.

ᾤμωξα κἀγὼ τόλμαν, ἣν ἔτλη πατήρ.

ΙΦΙΓΕΝΕΙΑ.

ἀπάτορ᾽, ἀπάτορα πότμον ἔλαχον.
ἄλλα δ᾽ ἐξ ἄλλων κυρεῖ.

ΟΡΕΣΤΗΣ.

εἰ σόν γ᾽ ἀδελφὸν, ὦ τάλαιν᾽, ἀπώλεσας
δαίμονος τύχᾳ τινός —

ΙΦΙΓΕΝΕΙΑ.

ὦ μελέα δεινᾶς τόλμας! δείν᾽ ἔτλαν,
δείν᾽ ἔτλαν, ὤ μοι σύγγονε!

832. ἐγὼ δ᾽ ἁ μέλεος S. 835. ὦ deest M. 836. κλισ. λίκων M. 837. ὅτ᾽ ἀπαγόμαν S. 839. deest τῶν M. Totus v. tribuitur Oresti M. 840. tribuitur Iphigen. M. 842. tribuitur Oresti M. 844. tribuitur Iphig. S. 845. tribuitur Oresti M.

παρὰ δ' ὀλίγον ἀπέφυγες ὄλεθρον ἀνόσιον
ἐξ ἐμᾶν δαϊχθεὶς χερῶν.
ἁ δ' ἐπ' αὐτοῖσι τίς τελευτά;
τίς τύχα μοι συγχωρήσει;
τίνα σοι πόρον εὑρομένα
πάλιν ἀπὸ πόλεως, ἀπὸ φόνου πέμψω
πατρίδ' ἐς Ἀργείαν,
πρὶν ἐπὶ ξίφος αἵματι σῷ
παλαῖσαι; τόδε σὸν, ὦ μελέα ψυχά,
χρέος ἀνευρίσκειν,
πότερον κατὰ χέρσον, οὐχὶ ναΐ,
ἀλλὰ ποδῶν ῥιπᾷ
θανάτῳ πελάσεις ἄρα βάρβαρα φῦλα
καὶ δι' ὁδοὺς ἀνόδους στείχων; διὰ κυανέας μὴν
στενοπόρου πέτρας μακρὰ κέλευθα να-
ΐοισιν δρασμοῖς,
τάλαινα, τάλαινα,
τίς ἂν οὖν τάδ' ἂν ἢ θεὸς, ἢ βροτὸς, ἢ
τι τῶν ἀδοκήτων
πόρον ἄπορον ἐξανύσας
δυοῖν τοῖν μόνοιν Ἀτρείδαιν φανεῖ
κακῶν ἔκλυσιν;

ΧΟΡΟΣ.

ἐν τοῖσι θαυμαστοῖσι καὶ μύθων πέρα
τάδ' εἶδον αὐτὴ, καὶ κλύουσ' ἀπαγγελῶ.

847. ἀμπέφυγες M. 848. χειρῶν M. 849. αὐτοῖς S. 850. συγκυρήσει S. 855. πελάσαι S. τόδε bis M. 865. ναΐοις. 863. Post utrumque τάλαινα lacunae signa S. 865. τί S. 866. ἄπορον πόρον S.

ΠΥΛΑΔΗΣ.

τὸ μὲν φίλους ἐλθόντας εἰς ὄψιν φίλων,
Ὀρέστα, χειρῶν περιβολὰς εἰκὸς λαβεῖν·
λήξαντα δ' οἴκτων κἀπ' ἐκεῖν' ἐλθεῖν χρεὼν,
ὅπως, τὸ κλεινὸν ὄνομα τῆς σωτηρίας
λαβόντες, ἐκ γῆς βησόμεσθα βαρβάρου.
σοφῶν γὰρ ἀνδρῶν ταῦτα, μὴ 'κβάντας τύχης,
καιρὸν λαβόντας, ἡδονὰς ἄλλας λαβεῖν.

ΟΡΕΣΤΗΣ.

καλῶς ἔλεξας· τῇ τύχῃ δ' οἶμαι μέλειν
τοῦδε ξὺν ἡμῖν· ἢν δέ τις πρόθυμος ᾖ,
σθένειν τὸ θεῖον μᾶλλον εἰκότως ἔχει.

ΙΦΙΓΕΝΕΙΑ.

οὐδέν μ' ἐπίσχει γ' οὐδ' ἀποστήσει λόγου,
πρῶτον πυθέσθαι, τίνα ποτ' Ἠλέκτρα πότμον
εἴληχε βιότου· φίλα γὰρ ἔσται πάντ' ἐμοί.

ΟΡΕΣΤΗΣ.

τῷδε ξυνοικεῖ, βίον ἔχουσ' εὐδαίμονα.

ΙΦΙΓΕΝΕΙΑ.

οὗτος δὲ ποδαπὸς, καὶ τίνος πέφυκε παῖς;

ΟΡΕΣΤΗΣ.

Στρόφιος ὁ Φωκεὺς τοῦδε κλῄζεται πατήρ.

ΙΦΙΓΕΝΕΙΑ.

ὅδ' ἔστι γ' Ἀτρέως θυγατρὸς, ὁμογενὴς ἐμός;

ΟΡΕΣΤΗΣ.

ἀνεψιός γε, μόνος ἐμοὶ σαφὴς φίλος.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκ ἦν τόθ' οὗτος, ὅτε πατὴρ ἔκτεινέ με;

871. deest Pyladis persona M. 887. ὁμ. ἐμοί. M.

ΟΡΕΣΤΗΣ.

οὐκ ἦν· χρόνον γὰρ Στρόφιος ἦν ἄπαις τινά.

ΙΦΙΓΕΝΕΙΑ.

χαῖρ', ὦ πόσις, μοι, τῆς ἐμῆς ὁμοσπόρου.

ΟΡΕΣΤΗΣ.

κἀμός γε σωτὴρ, οὐχὶ συγγενὴς μόνον.

ΙΦΙΓΕΝΕΙΑ.

τὰ δεινὰ δ' ἔργα πῶς ἔτλης μητρὸς πέρι;

ΟΡΕΣΤΗΣ.

σιγῶμεν αὐτά· πατρὶ τιμωρῶν ἐμῷ.

ΙΦΙΓΕΝΕΙΑ.

ἡ δ' αἰτία τίς, ἀνθ' ὅτου κτείνει πόσιν;

ΟΡΕΣΤΗΣ.

ἔα τὰ μητρός· οὐδέ σοι κλύειν καλόν.

ΙΦΙΓΕΝΕΙΑ.

σιγῶ· τὸ δ' Ἄργος πρὸς σὲ νῦν ἀποβλέπει;

ΟΡΕΣΤΗΣ.

Μενέλαος ἄρχει· φυγάδες ἐσμὲν ἐκ πάτρας.

ΙΦΙΓΕΝΕΙΑ.

ἦ που νοσοῦντας θεῖος ὕβρισεν δόμους;

ΟΡΕΣΤΗΣ.

οὐκ, ἀλλ' Ἐρινύων δεῖμά μ' ἐκβάλλει χθονός.

ΙΦΙΓΕΝΕΙΑ.

ταῦτ' ἄρ' ἐπ' ἀκταῖς κἀνθάδ' ἠγγέλης μανείς.

ΟΡΕΣΤΗΣ.

ὤφθημεν οὐ νῦν πρῶτον ὄντες ἄθλιοι.

ΙΦΙΓΕΝΕΙΑ.

ἔγνωκα, μητρός σ' οὕνεκ' ἠλάστρουν θεαί.

897. ἀποβλέπει M. 900. Ἐριννύων. 903. σ' om. M.

ΟΡΕΣΤΗΣ.

ὥςθ' αἱματηρὰ στόμι' ἐπεμβαλεῖν ἐμοί.

ΙΦΙΓΕΝΕΙΑ.

τί γάρ ποτ' ἐς γῆν τήνδ' ἐπόρθμευσας πόδα;

ΟΡΕΣΤΗΣ.

Φοίβου κελευσθεὶς θεσφάτοις ἀφικόμην.

ΙΦΙΓΕΝΕΙΑ.

τί χρῆμα δράσειν; ῥητὸν, ἢ σιγώμενον;

ΟΡΕΣΤΗΣ.

λέγοιμ' ἄν· ἀρχαὶ δ' αἵδε μοι πολλῶν πόνων.
ἐπεὶ τὰ μητρὸς ταῦθ', ἃ σιγῶμεν, κακὰ
ἐς χεῖρας ἦλθε, μεταδρομαῖς Ἐριννύων
ἠλαυνόμεσθα φυγάδες· ἔνθεν μοι πόδα
ἐς τὰς Ἀθήνας δή γ' ἔπεμψε Λοξίας,
δίκην παρασχεῖν ταῖς ἀνωνύμοις θεαῖς.
ἐστὶν γὰρ ὁσία ψῆφος, ἣν Ἄρει ποτὲ
Ζεὺς εἵσατ' ἔκ του δὴ χερῶν μιάσματος.
ἐλθὼν δ' ἐκεῖσε, πρῶτα μέν μ' οὐδεὶς ξένων
ἑκὼν ἐδέξαθ', ὡς θεοῖς στυγούμενον·
οἳ δ' ἔσχον αἰδῶ, ξένια μονοτράπεζά μοι
παρέσχον, οἴκων ὄντες ἐν ταυτῷ στέγει,
σιγῇ δ' ἐτεκτήναντ' ἀπόφθεγκτόν μ', ὅπως
δαιτὸς γενοίμην πώματός τ' αὐτῶν δίχα,
ἐς δ' ἄγγος ἴδιον ἴσον ἅπασι βακχίου
μέτρημα πληρώσαντες, εἶχον ἡδονήν.
κἀγὼ 'ξελέγξαι μὲν ξένους οὐκ ἠξίουν,
ἤλγουν δὲ σιγῇ κἀδόκουν οὐκ εἰδέναι,

916. ἐλθόντα M. 919. παρέσχον οἴκων, ὄντες M. 921. αὐτοῦ M.

μέγα στενάζων, οὕνεκ' ἦν μητρὸς φονεύς.
κλύω δ' Ἀθηναίοισι τἀμὰ δυστυχῆ
τελετὴν γενέσθαι, κἄτι τὸν νόμον μένειν,
χοῆρες ἄγγος Παλλάδος τιμᾷν λεών.
ὡς δ' εἰς Ἄρειον ὄχθον ἧκον ἐς δίκην τ'
ἔστην, ἐγὼ μὲν θάτερον λαβὼν βάθρον,
τὸ δ' ἄλλο πρέσβειρ' ἥπερ ἦν Ἐριννύων,
εἰπὼν ἀκούσας θ' αἵματος μητρὸς πέρι,
Φοῖβός μ' ἔσωσε μαρτυρῶν· ἴσας δέ μοι
ψήφους διηρίθμησε Παλλὰς ὠλένῃ,
νικῶν δ' ἀπῆρα φόνια πειρατήρια.
ὅσαι μὲν οὖν ἕζοντο πεισθεῖσαι δίκῃ,
ψῆφον παρ' αὐτὴν ἱερὸν ὡρίσαντ' ἔχειν·
ὅσαι δ' Ἐρινύων οὐκ ἐπείσθησαν νόμῳ,
δρόμοις ἀνιδρύτοισιν ἠλάστρουν μ' ἀεὶ,
ἕως ἐς ἁγνὸν ἦλθον αὖ Φοίβου πέδον,
καὶ πρόσθεν ἀδύτων ἐκταθεὶς, νῆστις βορᾶς,
ἐπώμοσ' αὐτοῦ βίον ἀποῤῥήξειν θανὼν,
εἰ μή με σώσει Φοῖβος, ὅς μ' ἀπώλεσιν.
ἐντεῦθεν, αὐδὴν τρίποδος ἐκ χρυσοῦ λαβὼν,
Φοῖβός μ' ἔπεμψε δεῦρο, διοπετὲς λαβεῖν
ἄγαλμ' Ἀθηνῶν τ' ἐγκαθιδρῦσαι χθονί.
ἀλλ' ἥνπερ ἡμῖν ὥρισεν σωτηρίαν,
σύμπραξον· ἢν γὰρ θεᾶς κατάσχωμεν βρέτας,
μανιῶν τε λήξω καὶ σε πολυκώπῳ σκάφει
στείλας Μυκήναις ἐγκαταστήσω πάλιν.
ἀλλ', ὦ φιληθεῖσ', ὦ κασίγνητον κάρα,
σῶσον πατρῷον οἶκον, ἔκσωσον δ' ἐμέ·

939. Ἐριννύων. 949. ἂν γὰρ M. 952. ὦ φίλη γ' ὦ M.

ὡς τἄμ' ὄλωλε πάντα καὶ τὰ Πελοπιδῶν,
οὐράνιον εἰ μὴ ληψόμεσθα θεᾶς βρέτας.

ΧΟΡΟΣ.

δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσεν
τὸ Ταντάλειον σπέρμα διὰ πόνων τ' ἄγει.

ΙΦΙΓΕΝΕΙΑ.

τὸ μὲν πρόθυμον, πρίν σε δεῦρ' ἐλθεῖν, ἔχω,
Ἄργει γενέσθαι καὶ σὲ, σύγγον', εἰσιδεῖν.
θέλω δ' ἅπερ σὺ, σέ τε μεταστῆσαι πόνων,
νοσοῦντά τ' οἶκον, οὐχὶ τῷ κτανόντι με
θυμουμένη, πατρῷον ὀρθῶσαι θέλω·
σφαγῆς τε γὰρ σῆς χεῖρ' ἀπαλλάξαιμεν ἂν,
σώσαιμι δ' οἴκους· τὴν θεὸν δ' ὅπως λάθω,
δέδοικα, καὶ τύραννον, ἡνίκ' ἂν κενὰς
κρηπῖδας εὕρῃ λαΐνας ἀγάλματος.
πῶς δ' οὐ θανοῦμαι; τίς δ' ἔνεστί μοι λόγος;
ἀλλ' εἰ μὲν ἕν τι τοῦθ' ὁμοῦ γενήσεται,
ἄγαλμά τ' οἴσεις κἄμ' ἐπ' εὐπρύμνου νεὼς
ἄξεις, τὸ κινδύνευμα γίγνεται καλόν·
τούτου δὲ χωρισθεῖσ' ἐγὼ μὲν ὄλλυμαι,
σὺ δ' ἂν τὸ σαυτοῦ θέμενος εὖ νόστου τύχοις.
οὐ μήν τι φεύγω γ', οὐδέ μ' εἰ θανεῖν χρεὼν,
σώσασά σ'· οὐ γὰρ ἀλλ' ἀνὴρ μὲν ἐκ δόμων
θανὼν ποθεινὸς, τὰ δὲ γυναικὸς ἀσθενῆ.

ΟΡΕΣΤΗΣ.

οὐκ ἂν γενοίμην σοῦ τε καὶ μητρὸς φονεύς.
ἅλις τὸ κείνης αἷμα. κοινόφρων δέ σοι
καὶ ζῆν θέλοιμ' ἂν καὶ θανὼν λαχεῖν ἴσον.

957. τ' ἀεί M. 961. κτανοῦντι M. 967. τίς γ' M.

ἄξω δέ σ', ἥνπερ μὴ 'ντὸς ἐνταυθοῖ πέσω,
πρὸς οἶκον, ἢ σοῦ κατθανὼν μενῶ μέτα.
γνώμης δ' ἄκουσον· εἰ πρόσαντες ἦν τόδε
Ἀρτέμιδι, πῶς ἂν Λοξίας ἐθέσπισεν
κομίσαι μ' ἄγαλμα θεᾶς πόλισμ' ἐς Παλλάδος
καὶ σὸν πρόςωπον εἰςιδεῖν; ἅπαντα γὰρ
συνθεὶς τάδ' εἰς ἓν, νόστον ἐλπίζω λαβεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

πῶς οὖν γένοιτ' ἄν, ὥςτε μήθ' ἡμᾶς θανεῖν,
λαβεῖν θ', ἃ βουλόμεσθα· τῇδε γὰρ νοσεῖ
νόστος πρὸς οἴκους· ἥδε βούλησις πάρα.

ΟΡΕΣΤΗΣ.

ἆρ' ἂν τύραννον διολέσαι δυναίμεθ' ἄν;

ΙΦΙΓΕΝΕΙΑ.

δεινὸν τόδ' εἶπας, ξενοφονεῖν ἐπήλυδας.

ΟΡΕΣΤΗΣ.

ἀλλ' εἰ σὲ σώσει κἀμὲ, κινδυνευτέον.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκ ἂν δυναίμην, τὸ δὲ πρόθυμον ᾔνεσα.

ΟΡΕΣΤΗΣ.

τί δ', εἴ με ναῷ τῷδε κρύψειας λάθρα;

ΙΦΙΓΕΝΕΙΑ.

ὡς δὴ σκότος λαβόντες ἐκσωθεῖμεν ἄν;

ΟΡΕΣΤΗΣ.

κλεπτῶν γὰρ ἡ νύξ. τῆς δ' ἀληθείας τὸ φῶς.

ΙΦΙΓΕΝΕΙΑ.

εἴσ' ἔνδον ἱεροὶ φύλακες, οὓς οὐ λήσομεν.

979. ἥξω δέ γ', ἥνπερ καὐτὸς M. ἄξω δέ γ', ἥνπερ καὐτὸς ἐντ. π. S. 987. (τῇδε γὰρ νόει) M. 988. ἡ δὲ β. M.

ΟΡΕΣΤΗΣ.

οἴ μοι! διεφθάρμεσθα· πῶς σωθεῖμεν ἄν;

ΙΦΙΓΕΝΕΙΑ.

ἔχειν δοκῶ μοι καινὸν ἐξεύρημά τι.

ΟΡΕΣΤΗΣ.

ποῖόν τι; δόξης μετάδος, ὡς κἀγὼ μάθω.

ΙΦΙΓΕΝΕΙΑ.

ταῖς σαῖς ἀνίαις χρήσομαι σοφίσμασιν.

ΟΡΕΣΤΗΣ.

δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.

ΙΦΙΓΕΝΕΙΑ.

φονέα σε φήσω μητρὸς ἐξ Ἄργους μολεῖν.

ΟΡΕΣΤΗΣ.

χρῆσαι κακοῖσι τοῖς ἐμοῖς, εἰ κερδανεῖς.

ΙΦΙΓΕΝΕΙΑ.

ὡς οὐ θέμις σε λέξομεν θύειν θεᾷ —

ΟΡΕΣΤΗΣ.

τίν' αἰτίαν ἔχουσ'; ὑποπτεύω τι γάρ.

ΙΦΙΓΕΝΕΙΑ.

οὐ καθαρὸν ὄντα, τὸ δ' ὅσιον δώσω φόνῳ.

ΟΡΕΣΤΗΣ.

τί δῆτα μᾶλλον θεᾶς ἄγαλμ' ἁλίσκεται;

ΙΦΙΓΕΝΕΙΑ.

πόντου σε πηγαῖς ἁγνίσαι βουλήσομαι.

ΟΡΕΣΤΗΣ.

ἔτ' ἐν δόμοισι βρέτας, ἐφ' ᾧ πεπλεύκαμεν;

ΙΦΙΓΕΝΕΙΑ.

κἀκεῖνο νίψαι, σοῦ θιγόντος ὥς, ἐρῶ.

1004. θέμις γε M. 1006. τὸν δ' ὅσιον M. 1010. θιγόντος, ὡς ἐρῶ M.

ΟΡΕΣΤΗΣ.

ποῖ δῆτα πόντου; νοτερὸν εἶπας ἔκβολον;

ΙΦΙΓΕΝΕΙΑ.

οὗ ναῦς χαλινοῖς λινοδέτοις ὁρμεῖ σέθεν.

ΟΡΕΣΤΗΣ.

σοὶ δή τις ἄλλος ἐν χεροῖν οἴσει βρέτας;

ΙΦΙΓΕΝΕΙΑ.

ἐγώ· θιγεῖν γὰρ ὅσιον ἔστ' ἐμοὶ μόνῃ.

ΟΡΕΣΤΗΣ.

Πυλάδης δ' ὅδ' ἡμῖν ποῦ τετάξεται πόνου;

ΙΦΙΓΕΝΕΙΑ.

ταυτὸν χεροῖν σοι λέξεται μίασμ' ἔχων.

ΟΡΕΣΤΗΣ.

λάθρα δ' ἄνακτος, ἢ εἰδότος, δράσεις τάδε;

ΙΦΙΓΕΝΕΙΑ.

πείσασα μύθοις· οὐ γὰρ ἂν λάθοιμί γε.

ΟΡΕΣΤΗΣ.

καὶ μὴν νεώς γε πίτυλος εὐήρης πάρα.

ΙΦΙΓΕΝΕΙΑ.

σοὶ δὴ μέλειν χρὴ τἄλλ', ὅπως ἕξει καλῶς.

ΟΡΕΣΤΗΣ.

ἑνὸς μόνου δεῖ, τάςδε συγκρύψαι τάδε.
ἀλλ' ἀντίαζε καὶ λόγους πειστηρίους
εὕρισκ'· ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή.
τὰ δ' ἄλλ' ἴσως ἅπαντα συμβαίη καλῶς.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ φίλταται γυναῖκες, ὡς ὑμᾶς βλέπω,
καὶ τἄμ' ἐν ὑμῖν ἐστιν ἢ καλῶς ἔχειν,

1011. ποῖ δῆτα; π. ν. M. 1013. σὺ δ' ἤ τις ἄ. S. 1015. φόνου M.

ἢ μηδὲν εἶναι, καὶ στερηθῆναι πάτρας
φίλου τ' ἀδελφοῦ φιλτάτης τε συγγόνου.
καὶ πρῶτα μέν μοι τοῦ λόγου τάδ' ἀρχέτω·
γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλων γένος,
σώζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται.
σιγήσαθ' ἡμῖν, καὶ συνεκπονήσατε
φυγάς. καλόν τοι γλῶσσ', ὅτῳ πίστις παρῇ.
ὁρᾶτε δ', ὡς τρεῖς μία τύχη τοὺς φιλτάτους,
ἢ γῆς πατρῴας νόστος, ἢ θανεῖν, ἔχει.
σωθεῖσα δ', ὡς ἂν καὶ σὺ κοινωνῇς τύχης,
σώσω σ' ἐς Ἑλλάδ'. ἀλλὰ πρὸς σὲ δεξιᾶς,
σὲ καὶ σ' ἱκνοῦμαι, σὲ δὲ φίλης παρηΐδος
γονάτων τε καὶ τῶν ἐν δόμοισι φιλτάτων,
μητρὸς πατρός τε καὶ τέκνων, ὅτῳ κυρεῖ.
τί φατέ; τίς ὑμῶν φησίν; ἢ τίς οὐ θέλει,
φθέγξασθε, ταῦτα; μὴ γὰρ αἰνουσῶν λόγους,
ὄλωλα κἀγὼ καὶ κασίγνητος τάλας.

ΧΟΡΟΣ.

θάρσει, φίλη δέσποινα, καὶ σώζου μόνον·
ὡς ἔκ γ' ἐμοῦ σοι πάντα σιγηθήσεται,
ἴστω μέγας Ζεὺς, ὧν ἐπισκήπτεις πέρι.

ΙΦΙΓΕΝΕΙΑ.

ὄναισθε μύθων καὶ γένοισθ' εὐδαίμονες!
σὸν ἔργον ἤδη καὶ σὸν, ἐςβαίνειν δόμους·
ὡς αὐτίχ' ἥξει τῆςδε κοίρανος χθονὸς,
θυσίαν ἐλέγχων, εἰ κατείργασται, ξένων.
ὦ πότνι', ἥπερ μ' Αὐλίδος κατὰ πτύχας

1028. φίλης τ' ἀδελφῆς φιλτάτου τε σ. M. 1033. καλόν τι M. 1041. sq. θέλει; φθ. ταῦτα.

δεινῆς ἔσωσας ἐκ πατροκτόνου χερὸς,
σῶσόν με καὶ νῦν τούςδε τ᾽· ἢ τὸ Λοξίου
οὐκέτι βροτοῖσι διά σ᾽ ἐτήτυμον στόμα.
ἀλλ᾽ εὐμενὴς ἔκβηθι βαρβάρου χθονὸς
ἐς τὰς Ἀθήνας· καὶ γὰρ ἐνθάδ᾽ οὐ πρέπει
ναίειν, παρόν σοι πόλιν ἔχειν εὐδαίμονα.

ΧΟΡΟΣ.

Ὄρνις, ἃ παρὰ τὰς πετρίνας (στροφὴ ά.)
πόντου δειράδας, ἀλκυών,
ἔλεγον οἶτον ἀείδεις,
εὐξύνετον ξυνετοῖσι βοὰν,
ὅτι πόσιν κελαδεῖς ἀεὶ μολπαῖς,
ἐγώ σοι παραβάλλομαι
θρήνους, ἄπτερος ὄρνις,
ποθοῦσ᾽ Ἑλλάνων ἀγόρους,
ποθοῦσ᾽ Ἄρτεμιν λοχίαν,
ἃ παρὰ Κύνθιον ὄχθον οἰκεῖ
φοίνικά θ᾽ ἁβροκόμαν
δάφναν τ᾽ εὐερνέα καὶ
γλαυκᾶς θαλλὸν ἱερὸν ἐλαί-
ας, Λατοῦς ὠδῖνα φίλαν,
λίμναν θ᾽ εἱλίσσουσαν ὕδωρ
κύκνειον, ἔνθα κύκνος μελῳδὸς
Μούσας θεραπεύει.
ὦ πολλαὶ δακρύων λιβάδες, (ἀντιστρ. ά.)
αἳ παρηΐδας εἰς ἐμὰς
ἔπεσον, ἁνίκα πύργων
ὀλλυμένων ἐνὶ ναυσὶν ἔβαν

1066. λοχείαν M. 1070. ἱρὸν S. 1071. ὠδῖνι S. 1073. κύκλιον S. 1078. οὐλομένων.

πολεμίων ἐρετμοῖσι καὶ λόγχαις!
ζαχρύσου δέ δι᾽ ἐμπολᾶς
νόστον βάρβαρον ἦλθον,
ἔνθα τᾶς ἐλαφοκτόνου
θεᾶς ἀμφίπολον κούραν
παῖδ᾽ Ἀγαμεμνονίαν λατρεύω
βωμούς τε μηλοθύτας,
ζηλοῦσ᾽ ἄταν διαπαν-
τὸς δυςδαίμον᾽· ἐν γὰρ ἀνάγ-
καις οὐ κάμνει σύντροφος ὤν.
μεταβάλλει δυςδαιμονία·
τὸ γὰρ μετ᾽ εὐτυχίας κακοῦσθαι
θνατοῖς βαρὺς αἰών.
καὶ σὲ μέν, πότνι᾽, Ἀργεία (στροφὴ β΄.)
πεντηκόντορος οἶκον ἄξει·
συρίζων δ᾽ ὁ κηροδέτας
κάλαμος οὐρείου Πανὸς
κώπαις ἐπιθωΰξει,
ὁ Φοῖβός θ᾽ ὁ μάντις, ἔχων
κέλαδον ἑπτατόνου λύρας,
ἀείδων ἄξει λιπαρὰν
εὖ σ᾽ Ἀθηναίων ἐπὶ γᾶν.
ἐμὲ δ᾽ αὐτοῦ λιποῦ-
σα βήσῃ ῥοθίοις πλάταις·
ἀέρι δ᾽ ἱστία πρότονοι κατὰ πρῷ-
ραν ὑπὲρ στόλον ἐκπετάσουσι πόδα
ναὸς ὠκυπόμπου.
λαμβρὸν ἱππόδρομον βαίην, (ἀντ. β΄.)

1088. κάμνεις M. 1090. τὸ δὲ μετ᾽ S. 1100. εἰς Ἀθ. M. 1102. ῥοθίαις M.

ἔνθ᾽ εὐάλιον ἔρχεται πῦρ·
οἰκείων δ᾽ ὑπὲρ θαλάμων
πτέρυγας ἐν νώτοις ἁμοῖς
λήξαιμι θοάζουσα!
χοροῖς δὲ σταίην, ὅθι καὶ
παρθένος εὐδοκίμων γάμων,
παρὰ πόδ᾽ εἱλίσσουσα φίλας
ματρὸς ἡλίκων θιάσους.
ἐς ἁμίλλας χαρίτων,
χαίτας ἁβρόπλουτον εἰς
ἔριν ὀρνυμένα, πολυποίκιλα φά-
ρεα καὶ πλοκάμους περιβαλλομένα
γένυσιν ἐσκίαζον!

ΘΟΑΣ.

ποῦ ᾽σθ᾽ ἡ πυλωρὸς τῶνδε δωμάτων, γυνὴ
Ἑλληνίς; ἦ δὴ τῶν ξένων κατήρξατο;
ἀδύτοις ἐν ἁγνοῖς σῶμα λάμπονται πυρί;

ΧΟΡΟΣ.

ἥδ᾽ ἐστιν, ἥ σοι πάντ᾽, ἄναξ, ἐρεῖ σαφῶς.

ΘΟΑΣ.

(ἔα) τί τόδε μεταίρεις ἐξ ἀκινήτων βάθρων,
Ἀγαμέμνονος παῖ, θεᾶς ἄγαλμ᾽ ἐν ὠλέναις;

ΙΦΙΓΕΝΕΙΑ.

ἄναξ, ἔχ᾽ αὐτοῦ πόδα σὸν ἐν παραστάσιν.

ΘΟΑΣ.

τί δ᾽ ἐστιν, Ἰφιγένεια, καινὸν ἐν δόμοις;

ΙΦΙΓΕΝΕΙΑ.

ἀπέπτυσ᾽· ὁσίᾳ γὰρ δίδωμ᾽ ἔπος τόδε.

1116. ἁβροπλούτοιο | εἰς. 1121. ἤδη S. 1125. ὠλένῃ M.

ΘΟΑΣ.

τί φροιμιάζει νεοχμόν; ἐξαύδα σαφῶς.

ΙΦΙΓΕΝΕΙΑ.

οὐ καθαρά μοι τὰ θύματ᾽ ἠγρεύσασθ᾽, ἄναξ.

ΘΟΑΣ.

τί τοὐκδιδάξαν τοῦτό σ᾽; ἢ δόξαν λέγεις;

ΙΦΙΓΕΝΕΙΑ.

βρέτας τὸ τῆς θεοῦ πάλιν ἕδρας ἀπεστράφη.

ΘΟΑΣ.

αὐτόματον, ἤ νιν σεισμὸς ἔστρεψε χθονός;

ΙΦΙΓΕΝΕΙΑ.

αὐτόματον· ὄψιν δ᾽ ὀμμάτων ξυνήρμοσεν.

ΘΟΑΣ.

ἡ δ᾽ αἰτία τίς; ἢ τὸ τῶν ξένων μύσος;

ΙΦΙΓΕΝΕΙΑ.

ἥδ᾽, οὐδὲν ἄλλο· δεινὰ γὰρ δεδράκατον.

ΘΟΑΣ.

ἀλλ᾽ ἦ τιν᾽ ἔκανον βαρβάρων ἀκτῆς ἔπι;

ΙΦΙΓΕΝΕΙΑ.

οἰκεῖον ἦλθον τὸν φόνον κεκτημένοι.

ΘΟΑΣ.

τίν᾽; εἰς ἔρον γὰρ τοῦ μαθεῖν πεπτώκαμεν.

ΙΦΙΓΕΝΕΙΑ.

μητέρα κατειργάσαντο κοινωνῷ ξίφει.

ΘΟΑΣ.

Ἄπολλον, οὐδ᾽ ἐν βαρβάροις τόδ᾽ ἔτλη τις ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

πάσης διωγμοῖς ἠλάθησαν Ἑλλάδος.

1141. τόδ᾽ om. S.

ΘΟΑΣ.
ἦ τῶνδ' ἕκατι δῆτ' ἄγαλμ' ἔξω φέρεις;
ΙΦΙΓΕΝΕΙΑ.
σεμνόν γ' ὑπ' αἰθέρ', ὡς μεταστήσω φόνου.
ΘΟΑΣ.
μίασμα δ' ἔγνως τοῖν ξένοιν ποίῳ τρόπῳ;
ΙΦΙΓΕΝΕΙΑ.
ἤλεγχον, ὡς θεᾶς βρέτας ἀπεστράφη πάλιν.
ΘΟΑΣ.
σοφήν σ' ἔθρεψεν Ἑλλὰς, ὡς ᾔσθου καλῶς.
ΙΦΙΓΕΝΕΙΑ.
καὶ νῦν καθεῖσαν δέλεαρ ἡδύ μοι φρενῶν.
ΘΟΑΣ.
τῶν Ἀργόθεν τι φίλτρον ἀγγέλλοντε σοί;
ΙΦΙΓΕΝΕΙΑ.
τὸν μόνον Ὀρέστην ἐμὸν ἀδελφὸν εὐτυχεῖν.
ΘΟΑΣ.
ὡς δή σφε σώσαις ἡδοναῖς ἀγγελμάτων;
ΙΦΙΓΕΝΕΙΑ.
καὶ πατέρα γε ζῆν καὶ καλῶς πράσσειν ἐμόν.
ΘΟΑΣ.
σὺ δ' ἐς τὸ τῆς θεοῦ γ' ἐξένευσας εἰκότως.
ΙΦΙΓΕΝΕΙΑ.
πᾶσάν γε μισοῦσ' Ἑλλάδ', ἥ μ' ἀπώλεσεν.
ΘΟΑΣ.
τί δῆτα δρῶμεν, φράζε, τοῖν ξένοιν πέρι;
ΙΦΙΓΕΝΕΙΑ.
τὸν νόμον ἀνάγκη τὸν προκείμενον σέβειν.

1149. τί φίλτρ. 1155. τοῖς ξένοις πέρι; M.

ΘΟΑΣ.
οὐκοῦν ἐν ἔργῳ χέρνιβες ξίφος τε σόν;
ΙΦΙΓΕΝΕΙΑ.
ἁγνοῖς καθαρμοῖς πρῶτά νιν νίψαι θέλω.
ΘΟΑΣ.
πηγαῖσιν ὑδάτων, ἢ θαλασσίᾳ δρόσῳ;
ΙΦΙΓΕΝΕΙΑ.
θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.
ΘΟΑΣ.
ὁσιώτερον γοῦν τῇ θεῷ πέσοιεν ἄν.
ΙΦΙΓΕΝΕΙΑ.
καὶ τἀμά γ' οὕτω μᾶλλον ἂν καλῶς ἔχοι.
ΘΟΑΣ.
οὐκοῦν πρὸς αὐτὸν ναὸν ἐκπίπτει κλύδων.
ΙΦΙΓΕΝΕΙΑ.
ἐρημίας δεῖ· καὶ γὰρ ἄλλα δράσομεν.
ΘΟΑΣ.
ἄγ', ἔνθα χρῄζεις· οὐ φιλῶ τἄῤῥηθ' ὁρᾶν.
ΙΦΙΓΕΝΕΙΑ.
ἁγνιστέον μοι καὶ τὸ τῆς θεοῦ βρέτας.
ΘΟΑΣ.
εἴπερ γε κηλὶς ἔβαλέ νιν μητροκτόνος.
ΙΦΙΓΕΝΕΙΑ.
οὐ γάρ ποτ' ἄν νιν ᾐράμην βάθρων ἄπο.
ΘΟΑΣ.
δίκαιος ηὑσέβεια καὶ προμηθία,
ὡς εἰκότως σε πᾶσα θαυμάζει πόλις.

1163. κλύδων; M. 1168. οὐ γάρ ποτέ νιν ἂν ᾐρ. 1170. deest, et legitur post v. 1181.

ΙΦΙΓΕΝΕΙΑ.

οἶσθα νῦν ἅ μοι γενέσθω;

ΘΟΑΣ.

σὸν τὸ σημαίνειν τόδε.

ΙΦΙΓΕΝΕΙΑ.

δεσμὰ τοῖς ξένοισι πρόσθες.

ΘΟΑΣ.

ποῖ δέ σ᾽ ἐκφύγοιεν ἄν;

ΙΦΙΓΕΝΕΙΑ.

πιστὸν Ἑλλὰς οἶδεν οὐδέν.

ΘΟΑΣ.

ἴτ᾽ ἐπὶ δεσμὰ, πρόσπολοι.

ΙΦΙΓΕΝΕΙΑ.

κἀκκομιζόντων δὲ δεῦρο τοὺς ξένους —

ΘΟΑΣ.

ἔσται τάδε.

ΙΦΙΓΕΝΕΙΑ.

κρᾶτα κρύψαντες πέπλοισιν —

ΘΟΑΣ.

ἡλίου πρόσθεν φλογός;

ΙΦΙΓΕΝΕΙΑ.

σῶν τέ μοι σύμπεμπ᾽ ὀπαδῶν.

ΘΟΑΣ.

οἵδ᾽ ὁμαρτήσουσί σοι.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ πόλει πέμψον τιν᾽, ὅστις σημανεῖ.

ΘΟΑΣ.

ποίας τύχας;

1175. κατακρύψαντες M. et deest Θόας M.

ΙΦΙΓΕΝΕΙΑ.

ἐν δόμοις μίμνειν ἅπαντας.

ΘΟΑΣ.

μὴ συναντῷεν φόνῳ;

ΙΦΙΓΕΝΕΙΑ.

μυσαρὰ γὰρ τὰ τοιάδ᾽ ἐστί.

ΘΟΑΣ.

στεῖχε, καὶ σήμαινε σὺ —

ΙΦΙΓΕΝΕΙΑ.

μηδέν᾽ εἰς ὄψιν πελάζειν.

ΘΟΑΣ.

εὖ γε κηδεύεις πόλιν.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ φίλων γ᾽ οὐδεὶς μάλιστα.

ΘΟΑΣ.

τοῦτ᾽ ἔλεξας εἰς ἐμέ.

ΙΦΙΓΕΝΕΙΑ.

σὺ δὲ μένων αὐτοῦ πρὸ ναῶν, τῇ θεῷ —

ΘΟΑΣ.

τί χρῆμα δρῶ;

ΙΦΙΓΕΝΕΙΑ.

ἅγνισον πυρσῷ μέλαθρον.

ΘΟΑΣ.

καθαρὸν ὡς μόλῃς πάλιν;

1180. Verba: μηδέν᾽ — πελάζειν tribuuntur Thoanti, εὖ γε — μάλιστα Iphigeniae M. 1181. φίλων δ᾽ M. Ib. Post hunc vs. legitur vs. insertus supra post 1169. 1183. χρυσῷ. Ib. μόλοις S.

Ι Φ Ι Γ Ε Ν Ε Ι Α.

ἡνίκ' ἂν δ' ἔξω περῶσιν οἱ ξένοι —

Θ Ο Α Σ.

τί χρή με δρᾷν;

Ι Φ Ι Γ Ε Ν Ε Ι Α.

πέπλον ὀμμάτων προθέσθαι.

Θ Ο Α Σ.

μὴ παλαμναῖον λάβω;

Ι Φ Ι Γ Ε Ν Ε Ι Α.

ἢν δ' ἄγαν δοκῶ χρονίζειν —

Θ Ο Α Σ.

τοῦδ' ὅρος τίς ἔστι μοι;

Ι Φ Ι Γ Ε Ν Ε Ι Α.

θαυμάσῃς μηδέν.

Θ Ο Α Σ.

τὰ τῆς θεοῦ πρᾶσσ' ἐπὶ σχολῆς καλῶς.

Ι Φ Ι Γ Ε Ν Ε Ι Α.

εἰ γὰρ, ὡς θέλω, καθαρμὸς ὅδε πέσοι!

Θ Ο Α Σ.

συνεύχομαι.

Ι Φ Ι Γ Ε Ν Ε Ι Α.

τούσδ' ἄρ' ἐκβαίνοντας ἤδη δωμάτων ὁρῶ ξένους
καὶ θεᾶς κόσμους νεογνούς τ' ἄρνας, ὡς φόνῳ φόνον
μυσαρὸν ἐκνίψω, σέλας τε λαμπάδων τά τ' ἄλλ', ὅσα
προὐθέμην ἐγὼ ξένοισι καὶ θεᾷ καθάρσια.

1187. μηθὲν — σχολῇ. 1190. ἄρσενας M.

ἐκποδὼν δ' αὐδῶ πολίταις τοῦδ' ἔχειν μιάσματος,
εἴ τις ἢ ναῶν πυλωρὸς χεῖρας ἁγνεύει θεοῖς,
ἢ γάμον στείχει συνάψων, ἢ τόκοις βαρύνεται,
φεύγετ', ἐξίστασθε, μή τῳ προσπέσῃ μύσος τόδε.
ὦ Διὸς Λητοῦς τ' ἄνασσα παρθέν', ἢν νίψω φόνον
τῶνδε καὶ θύσωμεν, οὗ χρὴ, καθαρὸν οἰκήσεις δόμον,
εὐτυχεῖς δ' ἡμεῖς ἐσόμεθα. τἄλλα δ' οὐ λέγουσ', ὅμως
τοῖς τὰ πλείον' εἰδόσιν θεοῖς σοί τε σημαίνω, θεά.

Χ Ο Ρ Ο Σ.

Εὔπαις ὁ Λατοῦς γόνος, (στροφή.)
ὅν ποτε Δηλιάσιν καρποφόροις
γυάλοισι χρυσοκόμαν
Φοῖβον ἐν κιθάρᾳ σοφόν, ἅ τ' ἐπὶ
τόξων εὐστοχίᾳ γάνυται —
φέρε νιν ἀπὸ δειράδος ἐναλίας,
λοχεῖα κλεινὰ λιποῦσα
ἀστάκτων μάτηρ ὑδάτων,
τὰν βακχεύουσαν Διονύ-
σῳ Παρνάσιον κορυφὰν,
ὅθι ποικιλόνωτος οἰνωπὸς δράκων
σκιερᾷ κατάχαλκος εὐφύλλῳ δάφνᾳ,
γᾶς πελώριον τέρας, ἄμφεπε *
* * μαντεῖον χθόνιον.

1202. Δηλίας ἐν M. 1203. γυάλοις M. 1204. Φοῖβον om. S. 1206. φέρει νιν M. φέρεν ἶνιν — εἰναλίας S. 1213. ἀμφέπει M. et sine lacuna M.

ἔτι μιν ἔτι βρέφος, ἔτι φίλας
ἐπὶ ματέρος ἀγκάλαισι θρώσκων
ἔκανες, ὦ Φοῖβε, μαν-
τείων δ' ἐπέβας ζαθέων,
τρίποδί τ' ἐν χρυσέῳ
θάσσεις, ἐν ἀψευδεῖ θρόνῳ,
μαντείας βροτοῖς [ἀναφαίνων]
θεσφάτων νέμων ἀδύτων ὕπερ,
Κασταλίας ῥεέθρων γείτων, μέσον
γᾶς ἔχων μέλαθρον.
Θέμιν δ' ἐπεὶ γᾶς ἰὼν (ἀντιστρ.)
παῖδ' ἀπενάσσατ' Ἀπόλλων ζαθέων
χρηστηρίων νύχια
χθὼν τεκνώσατο φάσματ' ὀνείρων,
οἳ πολέσιν μερόπων τά τε πρῶ-
τα τά τ' ἔπειθ' ὅσα τ' ἔμελλε τυχεῖν
ὕπνου κατὰ δνοφερὰς γᾶς
εὐνὰς φράζον· Γαῖα δὲ τὰν
μαντείων ἀφείλετο τι-
μὰν Φοῖβον φθόνῳ θυγατρός·
ταχύπους δ' ἐς Ὄλυμπον ὁρμαθεὶς ἄναξ
χέρα παιδνὸν ἕλιξεν ἐκ Διὸς θρόνων
Πυθίων δόμων χθονίαν ἀφελεῖν
θεᾶς μῆνιν νυχίους τ' ἐνοπάς.
γέλασε δ', ὅτι τέκος ἄφαρ ἔβα

1221. ἀναφαίνων om. S. 1222. θεσφ. ἐμῶν M. ὕπο S. 1225. ἐπὶ γᾶς M. 1226. ἀπενάσσατο ἀπὸ M. ἀπενάσσατ' ἀπὸ * ζ. S. 1228. ἐτεκνώσατο. 1230. ἅ τ' ἐμ. S. 1232. ἔφραζον et om. τὰν M. 1233. μαντεῖον M. 1236. χ. ψεδνὸν ἕλεξ' M. 1238. θεᾶς μαντοσύναν et om. νυχίους τ' ἐνοπάς S.

πολύχρυσα θέλων λατρεύματα σχεῖν
ἐπὶ δ' ἔσεισε κόμαν,
παῦσε δ' ὀνείρους νυχίους,
ἀπὸ δὲ μαντοσύναν
νυκτωπὸν ἐξεῖλεν βροτῶν,
καὶ τιμὰς πάλιν
θῆκε Λοξίᾳ, πολυάνορι δ'
ἐν ξενόεντι θρόνῳ θάρση βροτοῖς
θεσφάτων ἀοιδαῖς.

ΑΓΓΕΛΟΣ.

ὦ ναοφύλακες βώμιοί τ' ἐπιστάται,
Θόας, ἄναξ γῆς τῆσδε, ποῦ κυρεῖ βεβώς;
καλεῖτ', ἀναπτύξαντες εὐγόμφους πύλας,
ἔξω μελάθρων τῶνδε κοίρανον χθονός.

ΧΟΡΟΣ.

τί δ' ἔστιν, εἰ χρὴ μὴ κελευσθεῖσαν λέγειν;

ΑΓΓΕΛΟΣ.

βεβᾶσι φροῦδοι δίπτυχοι νεανίαι,
Ἀγαμεμνονείας παιδὸς ἐκ βουλευμάτων
φεύγοντες ἐκ γῆς τῆσδε, καὶ σεμνὸν βρέτας
λαβόντες ἐν κόλποισιν Ἑλλάδος νεώς.

ΧΟΡΟΣ.

ἄπιστον εἶπας μῦθον· ὃν δ' ἰδεῖν θέλεις
ἄνακτα χώρας, φροῦδος ἐκ ναοῦ συθείς.

ΑΓΓΕΛΟΣ.

ποῖ; δεῖ γὰρ αὐτὸν εἰδέναι τὰ δρώμενα.

1241. ἔσεισεν S. 1242. παῦσε νυχίους ὀνείρους M. παῦσεν νυχίους τ' ἐνοπάς S. 1243. ἀπὸ δὲ μῆνιν θεᾶς S.

Χ Ο Ρ Ο Σ.

οὐκ ἴσμεν· ἀλλὰ στεῖχε καὶ δίωκέ νιν,
ὅπου κυρήσας τούσδ' ἀπαγγελεῖς λόγους.

Α Γ Γ Ε Λ Ο Σ.

ὁρᾶτ', ἄπιστον ὡς γυναικεῖον γένος,
μέτεστί θ' ὑμῖν τῶν πεπραγμένων μέρος.

Χ Ο Ρ Ο Σ.

μαίνει· τί δ' ἡμῖν τῶν ξένων δρασμοῦ μέτα;
οὐκ εἶ κρατούντων πρὸς πύλας ὅσον τάχος;

Α Γ Γ Ε Λ Ο Σ.

οὔ, πρίν γ' ἂν εἴποι τοὔπος ἑρμηνεὺς τόδε,
εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον ἀρχηγὸς χθονός.
ὠὴ χαλᾶτε κλῇθρα, τοῖς ἔνδον λέγω,
καὶ δεσπότῃ σημήναθ', οὕνεκ' ἐν πύλαις
πάρειμι, καινῶν φόρτον ἀγγέλλων κακῶν.

Θ Ο Α Σ.

τίς ἀμφὶ δῶμα θεᾶς τόδ' ἵστησιν βοὴν,
πύλας ἀράξας καὶ φόβον πέμψας ἔσω;

Α Γ Γ Ε Λ Ο Σ.

ψευδῶς λέγουσαί μ' αἵδ' ἀπήλαυνον δόμων,
ὡς ἐκτὸς εἴης· σὺ δὲ κατ' οἶκον ἦσθ' ἄρα.

Θ Ο Α Σ.

τί προςδοκῶσαι κέρδος, ἢ θηρώμεναι;

Α Γ Γ Ε Λ Ο Σ.

αὖθις τὰ τῶνδε σημανῶ· τὰ δ' ἐν ποσὶ
παρόντ' ἄκουσον. ἡ νεᾶνις, ἣ 'νθάδε
βωμοῖς παρίστατ', Ἰφιγένει' ἔξω χθονὸς

1265. τοῦ ξ. M. 1266. Praefigitur Ἄγγ. M. 1267. 68. tribuuntur choro. 1274. ψ. ἔλεγον αἵδε καί μ' ἀπήλ. 1275. ὡς ἐκτὸς ἦς M.

σὺν τοῖς ξένοισιν οἴχεται, σεμνὸν θεᾶς
ἄγαλμ' ἔχουσα· δόλια δ' ἦν καθάρματα.

Θ Ο Α Σ.

πῶς φής; τί πνεῦμα συμφορᾶς κεκτημένη;

Α Γ Γ Ε Λ Ο Σ.

σώζουσ' Ὀρέστην· τοῦτο γὰρ σὺ θαυμάσει.

Θ Ο Α Σ.

τὸν ποῖον; ἆρ' ὃν Τυνδαρὶς τίκτει κόρη;

Α Γ Γ Ε Λ Ο Σ.

ὃν τοῖςδε βωμοῖς θεᾷ καθωσιώσατο.

Θ Ο Α Σ.

ὦ θαῦμα! πῶς σε μεῖζον ὀνομάσας τύχω;

Α Γ Γ Ε Λ Ο Σ.

μὴ 'νταῦθα τρέψῃς σὴν φρέν', ἀλλ' ἄκουέ μου·
σαφῶς δ' ἀθρήσας καὶ κλύων, ἐκφρόντισον,
διωγμὸς ὅςτις τοὺς ξένους θηράσεται.

Θ Ο Α Σ.

λέγ'· εὖ γὰρ εἶπας· οὐ γὰρ ἀγχίπλουν πόρον
φεύγουσιν, ὥςτε διαφυγεῖν τοὐμὸν δόρυ.

Α Γ Γ Ε Λ Ο Σ.

ἐπεὶ πρὸς ἀκτὰς ἤλθομεν θαλασσίας,
οὗ ναῦς Ὀρέστου κρύφιος ἦν ὡρμισμένη,
ἡμᾶς μὲν, οὓς σὺ δεσμὰ συμπέμπεις ξένων
ἔχοντας, ἐξένευσ' ἀποστῆναι πρόσω
Ἀγαμέμνονος παῖς, ὡς ἀπόῤῥητον φλόγα
θύουσα καὶ καθαρμὸν, ὃν μετῴχετο.
αὐτὴ δ' ὄπισθε δέσμ' ἔχουσα τοῖν ξένοιν

1282. αὖτις M. 1284. τὸ ποῖον S.

ἔστειχε χερσί. καὶ τάδ' ἦν ὕποπτα μέν,
ἤρεσκε μέντοι σοῖσι προςπόλοις, ἄναξ.
χρόνῳ δ', ἵν' ἡμῖν δρᾶν τι δὴ δοκοῖ πλέον,
ἀνωλόλυξε καὶ κατῇδε βάρβαρα
μέλη μαγεύουσ', ὡς φόνον νίζουσα δή.
ἐπεὶ δὲ δαρὸν ἦμεν ἥμενοι χρόνον,
ἐςῆλθεν ἡμᾶς, μὴ λυθέντες οἱ ξένοι
κτάνοιεν αὐτὴν δραπέται τ' οἰχοίατο.
φόβῳ δ', ἃ μὴ χρῆν, εἰςορᾶν, καθήμεθα
σιγῇ, τέλος δὲ πᾶσιν ἦν αὑτὸς λόγος,
στείχειν, ἵν' ἦσαν, καίπερ οὐκ ἐωμένοις.
κἀνταῦθ' ὁρῶμεν Ἑλλάδος νεὼς σκάφος
ταρσῷ κατήρει πίτυλον ἐπτερωμένον,
ναύτας τε πεντήκοντ' ἐπὶ σκαλμῶν πλάτας
ἔχοντας, ἐκ δεσμῶν δὲ τοὺς νεανίας
ἐλευθέρους πρύμνηθεν ἑστῶτας νεώς.
κοντοῖς δὲ πρῷραν εἶχον, οἱ δ' ἐπωτίδων
ἄγκυραν ἐξανῆπτον, οἱ δὲ κλίμακας
σπεύδοντες, ἦγον διὰ χερῶν πρυμνήσια,
πόντῳ δὲ δόντες τοῖν ξένοιν καθίεσαν.
ἡμεῖς δ' ἀφειδήσαντες, ὡς ἐςείδομεν
δόλια τεχνήμαθ', εἰχόμεσθα τῆς ξένης
πρυμνησίων τε, καὶ δι' εὐθυντηρίας
οἴακας ἐξῃροῦμεν εὐπρύμνου νεώς.
λόγοι δ' ἐχώρουν· τίνι λόγῳ πορθμεύετε,
κλέπτοντες ἐκ γῆς ξόανα καὶ θυηπόλους;
τίνος τίς ὢν σὺ τήνδ' ἀπεμπολᾷς χθονός;

1301. δοκῇ. 1303. ματεύουσ'. M. 1308. αὐτός M. 1318. τὴν ξένην. 1324. ξόανον καὶ θυηπόλον M. θυηπόλον etiam S. 1325. deest σύ M.

ὁ δ' εἶπ'· Ὀρέστης, τῆςδ' ὅμαιμος, ὡς μάθῃς,
Ἀγαμέμνονος παῖς, τήνδ' ἐμὴν κομίζομαι
λαβὼν ἀδελφὴν, ἣν ἀπώλεσ' ἐκ δόμων.
ἀλλ' οὐδὲν ἧσσον εἰχόμεσθα τῆς ξένης,
καὶ πρός σ' ἕπεσθαι διεβιαζόμεσθά νιν·
ὅθεν τὰ δεινὰ πλήγματ' ἦν γενειάδων.
κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν,
ἡμεῖς τε· πυγμαὶ δ' ἦσαν ἐγκροτούμεναι,
καὶ κῶλ' ἀπ' ἀμφοῖν τοῖν νεανίαιν ἅμα
ἐς πλευρὰ καὶ πρὸς ἧπαρ ἠκοντίζετο,
ὡς ξύν τ' ἀπειπεῖν καὶ ξυναποκαμεῖν μέλη.
δεινοῖς δὲ σημάντροισιν ἐσφραγισμένοι
ἐφεύγομεν πρὸς κρημνὸν, οἱ μὲν ἐν κάρᾳ
κάθαιμ' ἔχοντες τραύμαθ', οἱ δ' ἐν ὄμμασιν·
ὄχθοις δ' ἐπισταθέντες, εὐλαβεστέρως
ἐμαρνάμεσθα, καὶ πέτρους ἐβάλλομεν.
ἀλλ' εἶργον ἡμᾶς τοξόται, πρύμνης ἔπι
σταθέντες, ἰοῖς, ὥςτ' ἀναστεῖλαι πρόσω.
κἀν τῷδε, (δεινὸς γὰρ κλύδων ὤκειλε ναῦν
πρὸς γῆν, φόβος δ' ἦν, ὥςτε μὴ τέγξαι πόδα,)
λαβὼν Ὀρέστης ὦμον εἰς ἀριστερὸν,
βὰς ἐς θάλασσαν κἀπὶ κλίμακος θορὼν,
ἔθηκ' ἀδελφὴν ἐντὸς εὐσέλμου νεώς,
τό τ' οὐρανοῦ πέσημα, τῆς Διὸς κόρης
ἄγαλμα. νηὸς δ' ἐκ μέσης ἐφθέγξατο
βοή τις· ὦ γῆς Ἑλλάδος ναῦται νεὼς,
λάβεσθε κώπαις τε ῥόθια λευκαίνετε·

1336. ὥςτε ξυνάπτειν M. ὥςτε ξυναλγεῖν S. 1345. ἦν ναυάταις τ. π. M. 1349. τὸ δ' οὐρ. M. 1350. ἄγαλμα, νηὸς ἐκ μ. M.

ἔχομεν γὰρ, ὧνπερ οὕνεκ' Εὔξενον πόρον
Συμπληγάδων ἔσωθεν εἰςεπλεύσαμεν.
οἱ δὲ στεναγμὸν ἡδὺν ἐκβρυχώμενοι
ἔπαισαν ἅλμην. ναῦς δ', ἕως μὲν ἐντὸς ἦν
λιμένος, ἐχώρει, στόμια διαπερῶσα δὲ,
λάβρῳ κλύδωνι συμπεσοῦσ' ἠπείγετο·
δεινὸς γὰρ ἐλθὼν ἄνεμος ἐξαίφνης νεὼς
ὤθει πάλιν πρυμνήσι'· οἱ δ' ἐκαρτέρουν
πρὸς κῦμα λακτίζοντες· ἐς δὲ γῆν πάλιν
κλύδων παλίῤῥους ἦγε ναῦν. σταθεῖσα δὲ
Ἀγαμέμνονος παῖς εὔξατ'· ὦ Λητοῦς κόρη,
σῶσόν με, τὴν σὴν ἱερίαν, πρὸς Ἑλλάδα
ἐκ βαρβάρου γῆς, καὶ κλοπαῖς σύγγνωθ' ἐμαῖς.
φιλεῖς δὲ καὶ σὺ σὸν κασίγνητον, θεά·
φιλεῖν δὲ κἀμὲ τοὺς ὁμαίμονας δόκει.
ναῦται δ' ἐπευφήμησαν εὐχαῖσιν κόρης
παιᾶνα, γυμνὰς ἐξ ἐπωμίδων χέρας
κώπῃ προςαρμόσαντες ἐκ κελεύσματος.
μᾶλλον δὲ μᾶλλον πρὸς πέτρας ᾔει σκάφος·
χὠ μέν τις ἐς θάλασσαν ὡρμήθη ποσὶν,
ἄλλος δὲ πλεκτὰς ἐξανῆπτεν ἀγκύλας.
κἀγὼ μὲν εὐθὺς πρὸς σὲ δεῦρ' ἀπεστάλην,
σοὶ τὰς ἐκεῖθεν σημανῶν, ἄναξ, τύχας.
ἀλλ' ἕρπε, δεσμὰ καὶ βρόχους λαβὼν χεροῖν·
εἰ μὴ γὰρ οἶδμα νήνεμον γενήσεται,
οὐκ ἔστιν ἐλπὶς τοῖς ξένοις σωτηρίας.
πόντου δ' ἀνάκτωρ Ἴλιόν τ' ἐπισκοπεῖ

1361. εἰς γῆν δὲ πάλιν M. εἰς γῆν δ' ἔμπαλιν S. 1369. γ. ἐκ χερῶν ἐπωμίδας M. 1373. ἄλλοι δὲ πλ. ἐξανῆπτον ἀγκύρας M.

σεμνὸς Ποσειδῶν, Πελοπίδαις δ' ἐναντίος.
καὶ νῦν παρέξει τὸν Ἀγαμέμνονος γόνον
σοὶ καὶ πολίταις, ὡς ἔοικεν, ἐν χεροῖν,
λαβεῖν τ' ἀδελφὴν, ἣ φόνον τὸν Αὐλίδι
ἀμνημόνευτον θεᾷ προδοῦσ' ἁλίσκεται.

ΧΟΡΟΣ.

ὦ τλῆμον Ἰφιγένεια, συγγόνου μέτα
θανεῖ, πάλιν μολοῦσα δεσποτῶν χέρας.

ΘΟΑΣ.

ὦ πάντες ἀστοὶ τῆςδε βαρβάρου χθονὸς,
οὐκ, εἶα, πώλοις ἐμβαλόντες ἡνίας
παράκτιοι δραμεῖσθε, κἀκβολὰς νεὼς
Ἑλληνίδος δέξεσθε, σὺν δὲ τῇ θεῷ
σπεύδοντες ἄνδρας δυςσεβεῖς θηράσετε;
οἱ δ' ὠκυπομποὺς ἕλξετ' ἐς πόντον πλάτας;
ὡς ἐκ θαλάσσης ἔκ τε γῆς ἱππεύμασιν
λαβόντες αὐτοὺς ἢ κατὰ στυφλοῦ πέτρας
ῥίψωμεν, ἢ σκόλοψι πήξωμεν δέμας.
ὑμᾶς δὲ, τὰς τῶνδ' ἴστορας βουλευμάτων
γυναῖκας, αὖθις, ἡνίκ' ἂν σχολὴν λάβω,
ποινασόμεσθα· νῦν δὲ τὴν προκειμένην
σπουδὴν ἔχοντες οὐ μενοῦμεν ἥσυχοι.

ΑΘΗΝΑ.

ποῖ, ποῖ διωγμὸν τόνδε πορθμεύεις, ἄναξ
Θόας; ἄκουσον τῆςδ' Ἀθηναίας λόγους.
παῦσαι διώκων ῥεῦμά τ' ἐξορμῶν στρατοῦ·
πεπρωμένοις γὰρ θεσφάτοισι Λοξίου
δεῦρ' ἦλθ' Ὀρέστης, τόν τ' Ἐριννύων χόλον

1404. τῶν τ' Ἐρ. M.

φεύγων ἀδελφῆς τ' Ἄργος ἐςπέμψων δέμας
ἄγαλμά θ' ἱερὸν εἰς ἐμὴν ἄξων χθόνα,
τῶν νῦν παρόντων πημάτων ἀναψυχάς.
πρὸς μέν σ' ὅδ' ἡμῖν μῦθος· ὃν δ' ἀποκτενεῖν
δοκεῖς Ὀρέστην, ποντίῳ λαβὼν σάλῳ,
ἤδη Ποσειδῶν χάριν ἐμὴν ἀκύμονα
πόντου τίθησι νῶτα πορθμεύων πλάτῃ.
μαθὼν δ', Ὀρέστα, τὰς ἐμὰς ἐπιστολάς, —
κλύεις γὰρ αὐδὴν, καίπερ οὐ παρὼν, θεᾶς —
χώρει λαβὼν ἄγαλμα σύγγονόν τε σήν.
ὅταν δ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
χῶρος τίς ἐστιν Ἀτθίδος πρὸς ἐσχάτοις
ὅροισι, γείτων δειράδος Καρυστίας,
ἱερὸς, Ἁλάς νιν οὑμὸς ὀνομάζει λεώς·
ἐνταῦθα τεύξας ναὸν, ἵδρυσαι βρέτας,
ἐπώνυμον τῆς Ταυρικῆς πόνων τε σῶν,
οὓς ἐξεμόχθεις περιπολῶν καθ' Ἑλλάδα
οἴστροις Ἐρινύων. Ἄρτεμιν δέ νιν βροτοὶ
τὸ λοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν.
νόμον τε θὲς τόνδ'· ὅταν ἑορτάζῃ λεὼς
τῆς σῆς σφαγῆς ἄποιν', ἐπισχέτω ξίφος
δέρῃ πρὸς ἀνδρὸς αἷμά τ' ἐξανιέτω
ὁσίας ἕκατι θεᾶς, ὅπως τιμὰς ἔχῃ.
σὲ δ' ἀμφὶ σεμνὰς, Ἰφιγένεια, κλίμακας
Βραυρωνίας δεῖ τῆςδε κληδουχεῖν θεᾶς·
οὗ καὶ τεθάψει κατθανοῦσα, καὶ πέπλων
ἄγαλμά σοι θήσουσιν εὐπήνους ὑφὰς,
ἃς ἂν γυναῖκες ἐν τόκοις ψυχοῤῥαγεῖς

1419. τάξας ν. M. 1420. γῆς T. S. 1422. Ἐριννύων. 1424. θέσθαι τόνδ', ὅθ' ἑορτ. 1426. ἐξαννυέτω M.

λείπωσ' ἐν οἴκοις. τάςδε δ' ἐκπέμπειν χθονὸς
Ἑλληνίδας γυναῖκας ἐξεφίεμαι
γνώμης δικαίας οὕνεκ', ἐκσώσασά σε
καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας
κρίνασ', Ὀρέστα, καὶ νόμισμ' ἐς ταυτό γε,
νικᾶν, ἰσήρεις ὅςτις ἂν ψήφους λάβῃ.
ἀλλ' ἐκκομίζου σὴν κασίγνητον χθονὸς,
Ἀγαμέμνονος παῖ, καὶ σὺ μὴ θυμοῦ, Θόας.

ΘΟΑΣ.

ἄνασσ' Ἀθάνα, τοῖσι τῶν θεῶν λόγοις
ὅςτις κλύων ἄπιστος, οὐκ ὀρθῶς φρονεῖ.
ἐγὼ δ' Ὀρέστῃ τ', εἰ φέρων βρέτας θεᾶς
βέβηκ', ἀδελφῇ τ' οὐχὶ θυμοῦμαι· τί γὰρ
πρὸς τοὺς σθένοντας θεοὺς ἁμιλλᾶσθαι καλόν;
ἴτωσαν ἐς σὴν σὺν θεᾶς ἀγάλματι
γαῖαν, καθιδρύσαιντό τ' εὐτυχῶς βρέτας.
πέμψω δὲ καὶ τάσδ' Ἑλλάδ' εἰς εὐδαίμονα
γυναῖκας, ὥςπερ σὸν κέλευσμ' ἐφίεται.
παύσω δὲ λόγχην, ἣν ἐπαίρομαι ξένοις,
νηῶν τ' ἐρετμά, σοὶ τάδ' ὡς δοκεῖ, θεά.

ΑΘΗΝΑ.

αἰνῶ· τὸ γὰρ χρεὼν σοῦ τε καὶ θεῶν κρατεῖ.
ἴτ', ὦ πνοαὶ, ναυσθλοῦσθε τὸν Ἀγαμέμνονος
παῖδ' εἰς Ἀθήνας· συμπορεύσομαι δ' ἐγὼ,
σώζουσ' ἀδελφῆς τῆς ἐμῆς σεμνὸν βρέτας.

ΧΟΡΟΣ.

ἴτ' ἐπ' εὐτυχίᾳ, τῆς σωζομένης
μοίρας εὐδαίμονες ὄντες.

1453. ναυσθλοῦτε M. τἀγαμέμνονος S. 1456. 7. Minervae continuat M.

ἀλλ', ὦ σεμνὴ παρά τ' ἀθανάτοις
καὶ παρὰ θνητοῖς, Παλλὰς Ἀθάνα,
δράσομεν οὕτως, ὡς σὺ κελεύεις.
μάλα γὰρ τερπνὸν κἀνέλπιστον
φήμην ἀκοαῖσι δέδεγμαι.
[ὦ μέγα σεμνὴ Νίκα, τὸν ἐμὸν
βίοτον κατέχοις,
καὶ μὴ λήγοις στεφανοῦσα.]

ΤΕΛΟΣ ΙΦΙΓΕΝΕΙΑΣ ΤΗΣ ΕΝ ΤΑΥΡΟΙΣ.

ΕΥΡΙΠΙΔΟΥ

Ρ Η Σ Ο Σ.

ΥΠΟΘΕΣΙΣ.

Ῥῆσος, παῖς μὲν Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης, Μουσῶν μιᾶς, Θρακῶν δὲ ἡγούμενος, εἰς Ἴλιον παραγίνεται νυκτὸς, στρατευομένων Τρῴων παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. τοῦτον Ὀδυσσεὺς καὶ Διομήδης, κατάσκοποι ὄντες, ἀναιροῦσιν, Ἀθηνᾶς αὐτοῖς ὑποθεμένης, ὡς μέγαν ἐσόμενον τοῖς Ἕλλησι κίνδυνον ἐκ τούτου. Τερψιχόρη δὲ ἐπιφανεῖσα, τὸ τοῦ παιδὸς σῶμα ἀφείλετο. ὡς ἐν παρόδῳ δὲ διαλαμβάνει καὶ περὶ τοῦ φόνου τοῦ Δόλωνος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροίᾳ. ὁ δὲ Χορὸς συνέστηκεν ἐκ φυλάκων Τρωϊκῶν, οἳ καὶ προλογίζουσι. περιέχει δὲ νυκτεγερσίαν.

Τὸ δὲ δρᾶμα ἔνιοι νόθον ὑπενόησαν, ὡς οὐκ ὂν Εὐριπίδου· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφαίνει χαρακτῆρα. Ἐν μέντοι ταῖς διδασκαλίαις ὡς γνήσιον ἐπιγέγραπται, καὶ ἡ περὶ τὰ μετάρσια δὲ ἐν αὐτῷ πολυπραγμοσύνη τὸν Εὐριπίδην ὁμολογεῖ.

[Πρόλογοι δὲ διττοὶ φέρονται· ὁ γοῦν δικαίαν ἐπιτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥησου γράφει κατὰ λέξιν οὕτως·

Νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος —

καὶ ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος, πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως·

Ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος
Παλλὰς, παρῶμεν· οὐκ ἐχρῆν ἡμᾶς ἔτι
μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα.
νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορὸς,
λόγχῃ βιαίᾳ γ' Ἕκτορος στροβούμενοι.
ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄλγιον βάρος,
ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν
κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας
καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν,
εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν
Πριάμου, βίᾳ πρόῤῥιζον ἐκτετριμμένην.]

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΧΟΡΟΣ φυλάκων Τρωϊκῶν.
ΕΚΤΩΡ.
ΑΙΝΕΙΑΣ.
ΔΟΛΩΝ.
ΑΓΓΕΛΟΣ.
ΡΗΣΟΣ.
ΟΔΥΣΣΕΥΣ.
ΔΙΟΜΗΔΗΣ.
ΑΘΗΝΑ.
ΠΑΡΙΣ.
ΜΟΥΣΑ.
ΡΗΣΟΥ ΗΝΙΟΧΟΣ.

ΕΥΡΙΠΙΔΟΥ ΡΗΣΟΣ.

ΧΟΡΟΣ.

Βᾶθι πρὸς εὐνὰς τὰς Ἑκτορέους
τὶς ὑπασπιστῶν ἄγρυπνος βασιλέως;
εἰ τευχοφόρων δέξαιτο νέων
κληδόνα μύθων,
οἳ τετράμοιρον νυκτὸς φρουρὰν
πάσης στρατιᾶς προκάθηνται.
ὄρθου κεφαλὴν, πῆχυν ἐρείσας·
λῦσον βλεφάρων γοργωπὸν ἕδραν·
λεῖπε χαμεύνας φυλλοστρώτους,
Ἕκτορ· καιρὸς γὰρ ἀκοῦσαι.

ΕΚΤΩΡ.

τίς ὅδ'; ἢ φίλιος φθόγγος; τίς ἀνήρ;
τί τὸ σῆμα; θρόει·
τίνες ἐκ νυκτῶν τὰς ἁμετέρας
κοίτας πλάθουσ'; ἐνέπειν χρή.

V. 12. θροεῖ. 13. ἡμετέρας.

ΧΟΡΟΣ.

φύλακες στρατιᾶς;

ΕΚΤΩΡ.

τί φέρει θορύβῳ;

ΧΟΡΟΣ.

θάρσει.

ΕΚΤΩΡ.

θαρσῶ.
μῶν τις δόλος ἐκ νυκτῶν;

ΧΟΡΟΣ.

οὐκέτι.

ΕΚΤΩΡ.

τί σὺ γὰρ, φυλακὰς προλιπὼν ἤδη,
κινεῖς στρατιὰν, εἰ μή τιν᾽ ἔχων
νυκτηγορίαν; οὐκ οἶσθα δορὸς
πέλας Ἀργείου νυχίαν ἡμᾶς
κοίταν πανόπλους κατέχοντας;

ΧΟΡΟΣ.

ὁπλίζου χέρα σύμμαχον, Ἕκτορ, (στροφή.)
βᾶθι πρὸς εὐνὰς,
ὄτρυν᾽ ἔγχος ἀείρειν, ἀφύπνισον·
πέμπε φίλους ἰέναι ποτὶ σὸν λόχον·
ἁρμόσατε ψαλίοις ἵππους.
τίς δ᾽ εἶσ᾽ ἐπὶ Πανθοίδαν, ἢ τὸν
Εὐρώπας, Λυκίων ἀγὸν ἀνδρῶν;
ποῦ σφαγίων ἔφοροι;
ποῦ δὲ γυμνητῶν μόναρχοι
τοξοφόροι τε Φρυγῶν;
ζεύγνυτε κερόδετα τόξα νευραῖς.

25. ὄτρυνον. 27. τοὺς ἵππους.

ΕΚΤΩΡ.

τὰ μὲν ἀγγέλλεις δείματ᾽ ἀκούειν,
τὰ δὲ θαρσύνεις, κοὐδὲν καθαρῶς·
ἀλλ᾽ ἢ Κρονίου Πανὸς τρομερᾷ
μάστιγι φοβεῖ, φυλακὰς δὲ λιπὼν,
κινεῖς στρατιάν· τί θροεῖς; τί σε φῶ
νέον ἀγγέλλειν; πολλὰ γὰρ εἰπὼν,
οὐδὲν τρανῶς ἀπέδειξας.

ΧΟΡΟΣ.

πυραίθει στρατὸς Ἀργόλας, Ἕκτορ, (ἀντιστρ.)
πᾶσαν ἀν᾽ ὄρφναν,
διϊπετῆ δὲ νεῶν πυρσοῖς σταθμά.
πᾶς δ᾽ Ἀγαμεμνονίαν προσέβα στρατὸς
ἐννύχιος θορύβῳ σκηνάν,
νεαράν τιν᾽ ἐφιέμενοι βάξιν.
οὐ γάρ πω πάρος ὧδ᾽ ἐφοβήθη
ναυσιπόρος στρατιά.
σοὶ δ᾽, ὑποπτεύων τὸ μέλλον,
ἤλυθον ἄγγελος, ὡς
μή ποτέ τινα μέμψιν εἰς ἔμ᾽ εἴπῃς.

ΕΚΤΩΡ.

ἐς καιρὸν ἦλθες, καίπερ ἀγγέλλων φόβον·
ἄνδρες γὰρ ἐκ γῆς τῆσδε νυκτέρῳ πλάτῃ,
λαθόντες ὄμμα τοὐμὸν, αἴρεσθαι φυγὴν
μέλλουσι· σαίνει μ᾽ ἔννυχος φρυκτωρία.
ὦ δαῖμον, ὅστις μ᾽ εὐτυχοῦντ᾽ ἐνόσφισας
θοίνης λέοντα, πρὶν τὸν Ἀργείων στρατὸν
σύρδην ἅπαντα τῷδ᾽ ἀναλῶσαι δορί.

35. θρασύνεις. 43. πυρσοῖσι. 44. Ἀγαμεμνονείαν. 45. σὺν θορ. 46. νέαν τιν᾽. 50. ὡς ἄν. 51. μέμψιν ἐς ἡμᾶς.

εἰ γὰρ φαεννοὶ μὴ ξυνέσχον ἡλίου
λαμπτῆρες, οὐκ ἂν ἔσχον εὐτυχοῦν δόρυ,
πρὶν ναῦς πυρῶσαι καὶ διὰ σκηνῶν μολεῖν,
κτείνων Ἀχαιοὺς τῇδε πολυφόνῳ χερί.
κἀγὼ μὲν ἦν πρόθυμος ἱέναι δόρυ
ἐν νυκτὶ, χρῆσθαί τ' εὐτυχεῖ ῥύμῃ θεοῦ·
ἀλλ' οἱ σοφοί με καὶ τὸ θεῖον εἰδότες
μάντεις ἔπεισαν ἡμέρας μεῖναι φάος,
κἄπειτ' Ἀχαιῶν μηδέν' ἐν χέρσῳ λιπεῖν.
οἱ δ' οὐ μένουσι τῶν ἐμῶν θυοσκόπων
βουλάς· ἐν ὄρφνῃ δραπέτης μέγα σθένει.
ἀλλ' ὡς τάχιστα χρὴ παραγγέλλειν στρατῷ,
τεύχη πρόχειρα λαμβάνειν λῆξαί θ' ὕπνου,
ὥς ἄν τις αὐτῶν, καὶ νεὼς θρώσκων ἔπι,
νῶτον χαραχθεὶς κλίμακας ῥάνῃ φόνῳ,
οἱ δ', ἐν βρόχοισι δέσμιοι λελησμένοι,
Φρυγῶν ἀρούρας ἐκμάθωσι γηπονεῖν.

ΧΟΡΟΣ.

Ἕκτορ, ταχύνεις, πρὶν μαθεῖν τὸ δρώμενον·
ἄνδρες γὰρ εἰ φεύγουσιν, οὐκ ἴσμεν τορῶς.

ΕΚΤΩΡ.

τίς γὰρ πυραίθειν πρόφασις Ἀργείων στρατόν;

ΧΟΡΟΣ.

οὐκ οἶδ'· ὕποπτον δ' ἐστὶ κάρτ' ἐμῇ φρενί.

ΕΚΤΩΡ.

πάντ' ἂν φοβηθεὶς ἴσθι, δειμαίνων τόδε.

ΧΟΡΟΣ.

οὔπω πρὶν ἧψαν πολέμιοι τοσόνδε φῶς.

ΕΚΤΩΡ.

οὐδ' ὧδέ γ' αἰσχρῶς ἔπεσον ἐν τροπῇ δορός.

ΧΟΡΟΣ.

σὺ ταῦτ' ἔπραξας· καὶ τὰ λοιπὰ νῦν σκόπει.

ΕΚΤΩΡ.

ἁπλοῦς ἐπ' ἐχθροῖς μῦθος, ὁπλίζειν χέρα.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' Αἰνέας μάλα σπουδῇ ποδὸς
στείχει, νέον τι πρᾶγμ' ἔχων φίλοις φράσαι.

ΑΙΝΕΙΑΣ.

Ἕκτορ, τί χρῆμα νύκτεροι κατὰ στρατὸν
τὰς σὰς πρὸς εὐνὰς φύλακες ἐλθόντες φόβῳ
νυκτηγοροῦσι, καὶ κεκίνηται στρατός;

ΕΚΤΩΡ.

Αἰνέα, πύκαζε τεύχεσιν δέμας σέθεν.

ΑΙΝΕΙΑΣ.

τί δ' ἐστι; μῶν τις πολεμίων ἀγγέλλεται
δόλος κρυφαῖος ἑστάναι κατ' εὐφρόνην;

ΕΚΤΩΡ.

φεύγουσιν ἅνδρες κἀπιβαίνουσιν νεῶν.

ΑΙΝΕΙΑΣ.

τί τῶνδ' ἂν εἴποις ἀσφαλὲς τεκμήριον;

ΕΚΤΩΡ.

αἴθουσι πᾶσαν νύκτα λαμπάδας πυρός·
καί μοι δοκοῦσιν οὐ μενεῖν ἐς αὔριον,
ἀλλ', ἐκκέαντες πυρσ' ἐπ' εὐσέλμων νεῶν,
φυγῇ πρὸς οἴκους τῆσδ' ἀφορμήσειν χθονός.

ΑΙΝΕΙΑΣ.

σὺ δ' ὡς τί δράσων πρὸς τάδ' ὁπλίζει χέρα;

ΕΚΤΩΡ.

φεύγοντας αὐτοὺς κἀπιθρώσκοντας νεῶν

93. ἄνδρες. 94. τί τοῦδ' ἄν.

λόγχῃ καθέξω, κἀπικείσομαι βαρύς·
αἰσχρὸν γὰρ ἡμῖν καὶ πρὸς αἰσχύνῃ κακὸν,
θεοῦ διδόντος, πολεμίους ἄνευ μάχης
φεύγειν ἐᾶσαι, πολλὰ δράσαντας κακά.

ΑΙΝΕΙΑΣ.

εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος, ὡς δρᾶσαι χερί!
ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι βροτῶν
πέφυκεν ἄλλῳ δ' ἄλλο πρόςκειται γέρας,
σοὶ μὲν μάχεσθαι, τοῖς δὲ βουλεύειν καλῶς.
ὅςτις πυρὸς λαμπτῆρας ἐξήρθης κλύων
φεύγειν Ἀχαιοὺς, καὶ στρατὸν μέλλεις ἄγειν,
τάφρους ὑπερβὰς νυκτὸς ἐν καταστάσει.
καίτοι περάσας κοῖλον αὐλώνων βάθος,
εἰ μὴ κυρήσεις πολεμίους ἀπὸ χθονὸς
φεύγοντας, ἀλλὰ σὸν βλέποντας ἐς δόρυ,
νικώμενος μὲν, τήνδε μὴ οὐ μόλῃς πόλιν —
πῶς γὰρ περάσεις σκόλοπας ἐν τροπῇ δορός;
πῶς δ' αὖ γεφύρας διαβαλοῦσ' ἱππηλάται,
ἢν ἄρα μὴ θραύσαντες ἀντύγων χνόας; —
νικῶν δ', ἔφεδρον παῖδ' ἔχεις τὸν Πηλέως,
ὅς σ' οὐκ ἐάσει ναυσὶν ἐμβαλεῖν φλόγα,
οὐδ' ὧδ' Ἀχαιοὺς, ὡς δοκεῖς, ἀναρπάσαι.
αἴθων γὰρ ἁνὴρ, καὶ πεπύργωται θράσει.
ἀλλὰ στρατὸν μὲν ἥσυχον παρ' ἀσπίδας
εὕδειν ἐῶμεν ἐκ κόπων ἀρειφάτων,
κατάσκοπον δὲ πολεμίων, ὃς ἂν θέλῃ,
πέμπειν δοκεῖ μοι· κἂν μὲν αἴρωνται φυγὴν,
στείχοντες ἐμπέσωμεν Ἀργείων στρατῷ.

108. σὲ μὲν — τοὺς δέ. 115. deest οὐ. 122. ἀνὴρ κ. π. χερί.

εἰ δ' ἐς δόλον τίν' ἥδ' ἄγει φρυκτωρία,
μαθόντες ἐχθρῶν μηχανὰς κατασκόπου,
βουλευσόμεσθα· τήνδ' ἔχω γνώμην, ἄναξ.

ΧΟΡΟΣ.

τάδε δοκεῖ, τάδε μεταθέμενος νόει. (στροφή.)
σφαλερὰ δ' οὐ φιλῶ στρατηγῶν κράτη.
τί γὰρ ἄμεινον, ἢ
ταχυβάταν νεῶν κατόπτην μολεῖν
πέλας, ὅ τι ποτ' ἄρα δαΐοις
πυρὰ κατ' ἀντίπρωρα ναυστάθμων δαίεται.

ΕΚΤΩΡ.

νικᾶτ', ἐπειδὴ πᾶσιν ἁνδάνει τάδε.
στείχων δὲ κόσμει συμμάχους· τάχ' ἂν στρατὸς
κινοῖτ' ἀκούσας νυκτέρους ἐκκλησίας.
ἐγὼ δὲ πέμψω πολεμίων κατάσκοπον.
κἂν μέν τιν' ἐχθρῶν μηχανὴν πυθώμεθα,
σύμπαντ' ἀκούσει καὶ παρὼν εἴσει λόγον·
ἐὰν δ' ἀπαίρωσ' ἐς φυγὴν ὁρμώμενοι,
σάλπιγγος αὐδὴν προςδοκῶν καραδόκει,
ὡς οὐ μενοῦντά μ'· ἀλλὰ προςμίξω νεῶν
ὁλκοῖσι νυκτὸς τῆςδ' ἐπ' Ἀργείων στρατόν.

ΑΙΝΕΙΑΣ.

πέμφ' ὡς τάχιστα· νῦν γὰρ ἀσφαλῶς φρονεῖς.
σὺν σοι δέ μ' ὄψει καρτεροῦνθ', ὅταν δέῃ.

ΕΚΤΩΡ.

τίς δῆτα Τρώων, οἳ πάρεισιν ἐν λόχῳ,
θέλει κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν;
τίς ἂν γένοιτο τῆςδε γῆς εὐεργέτης;

131. μετατιθέμενος. 142. οὐ πάντ'. 149. λόγῳ.

τίς φησιν; οὔτοι πάντ' ἐγὼ δυνήσομαι
πόλει πατρῴᾳ συμμάχοις θ' ὑπηρετεῖν.

ΔΟΛΩΝ.

ἐγὼ πρὸ γαίας τόνδε κίνδυνον θέλω
ῥίψας κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν,
καὶ πάντ' Ἀχαιῶν ἐκμαθὼν βουλεύματα
ἥξω· 'πὶ τούτοις τόνδ' ὑφίσταμαι πόνον.

ΕΚΤΩΡ.

ἐπώνυμος μὲν κάρτα, καὶ φιλόπτολις
Δόλων· πατρὸς δὲ καὶ πρὶν εὐκλεᾶ δόμον
νῦν δὶς τόσως ἔθηκας εὐκλεέστερον.

ΔΟΛΩΝ.

οὐκοῦν πονεῖν με χρή, πονοῦντα δ' ἄξιον
μισθὸν φέρεσθαι. παντὶ γὰρ προςκείμενον
κέρδος πρὸς ἔργῳ τὴν χάριν τίκτει διπλῆν.

ΕΚΤΩΡ.

ναί, καὶ δίκαια ταῦτα, κοὐκ ἄλλως λέγω.
τάξαι δὲ μισθὸν, πλὴν ἐμῆς τυραννίδος.

ΔΟΛΩΝ.

οὐ σῆς ἐρῶμεν πολυόχλου τυραννίδος.

ΕΚΤΩΡ.

σὺ δ' ἀλλὰ γήμας Πριαμιδῶν γαμβρὸς γενοῦ.

ΔΟΛΩΝ.

οὐκ ἐξ ἐμαυτοῦ μειζόνων γαμεῖν θέλω.

ΕΚΤΩΡ.

χρυσὸς πάρεστιν, εἰ τόδ' αἰτήσεις γέρας.

ΔΟΛΩΝ.

ἀλλ' ἔστ' ἐν οἴκοις· οὐ βίου σπανίζομεν.

ΕΚΤΩΡ.

τί δῆτα χρῄζεις, ὧν κέκευθεν Ἴλιος;

ΔΟΛΩΝ.

ἑλὼν Ἀχαιοὺς, δῶρά μοι ξυναίνεσον.

ΕΚΤΩΡ.

δώσω· σὺ δ' αἴτει, πλὴν στρατηλάτας νεῶν.

ΔΟΛΩΝ.

κτεῖν', οὔ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρας.

ΕΚΤΩΡ.

οὐ μὴν τὸν Οἰλέως παῖδά μ' ἐξαιτεῖς λαβεῖν.

ΔΟΛΩΝ.

κακαὶ γεωργεῖν χεῖρες εὖ τεθραμμέναι.

ΕΚΤΩΡ.

τίν' οὖν Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις;

ΔΟΛΩΝ.

καὶ πρόσθεν εἶπον· ἔστι χρυσὸς ἐν δόμοις.

ΕΚΤΩΡ.

καὶ μὴν λαφύρων αὐτὸς αἱρήσει παρών.

ΔΟΛΩΝ.

θεοῖσιν αὐτὰ πασσάλευε πρὸς δόμους.

ΕΚΤΩΡ.

τί δῆτα μεῖζον τῶνδέ μ' αἰτήσεις γέρας;

ΔΟΛΩΝ.

ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν,
ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.

ΕΚΤΩΡ.

καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί·
ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες
τὸν Πηλέως φέρουσι θούριον γόνον.
δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ
Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.

180. πρὸς δόμοις.

ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι
κάλλιστον οἴκοις κτῆμ' Ἀχιλλέως ὄχον.

ΔΟΛΩΝ.

αἰνῶ· λαβὼν δέ φημι κάλλιστον Φρυγῶν
δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.
σὲ δ' οὐ φθονεῖν χρή· μυρί' ἐστὶν ἄλλα σοι,
ἐφ' οἷσι τέρψει, τῆσδ' ἀριστεύων χθονός.

ΧΟΡΟΣ.

μέγας ἀγών· μεγάλα δ' ἐπινοεῖς ἑλεῖν. (ἀντιστρ.)
μακάριός γε μὴν κυρήσας ἔσει·
πόνος δ' εὐκλεής.
μέγα δὲ, κοιράνοισι γαμβρὸν πέλειν.
τὰ θεόθεν ἐπιδέτω Δίκα,
τὰ δὲ παρ' ἀνδράσιν τέλειά σοι φαίνεται.

ΔΟΛΩΝ.

στείχοιμ' ἄν· ἐλθὼν δ' ἐς δόμους ἐφέστιος
σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι,
κἀκεῖθεν ἥσω ναῦς ἐπ' Ἀργείων πόδα.

ΧΟΡΟΣ.

εἴπ' εἴ τιν' ἄλλην ἀντὶ τῆσδ' ἕξεις στολήν;

ΔΟΛΩΝ.

πρέπουσαν ἔργῳ κλωπικοῖς τε βήμασιν.

ΧΟΡΟΣ.

σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν·
λέξον, τίς ἔσται τοῦδε σώματος σάγη;

ΔΟΛΩΝ.

λύκειον ἀμφὶ νῶτον ἄψομαι δορὰν,

199. τάδε θ. 200. ἀνδράσι. 203. κεῖθεν δ' ἐφήσω. 204. ἐπεὶ τίν'.

καὶ χάσμα θηρὸς ἀμφ' ἐμῷ θήσω κάρᾳ,
βάσιν τε χερσὶ προσθίαν καθαρμόσας
καὶ κῶλα κώλοις, τετράπουν μιμήσομαι
λύκου κέλευθον, πολεμίοις δυσεύρετον,
τάφροις πελάζων καὶ νεῶν προβλήμασιν.
ὅταν δ' ἔρημον χῶρον ἐμβαίνω ποδὶ,
δίβαμός εἰμι· τῇδε σύγκειται δόλος.

ΧΟΡΟΣ.

ἀλλ' εὖ σ' ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ.
ἔχεις δὲ τοὖργον, εὐτυχεῖν μόνον σε δεῖ.

ΔΟΛΩΝ.

σωθήσομαί τε καὶ κτανὼν Ὀδυσσέως
οἴσω κάρα σοι — σύμβολον δ' ἔχων σαφὲς
φήσεις, Δόλωνα ναῦς ἐπ' Ἀργείων μολεῖν —
ἢ παῖδα Τυδέως· οὐδ' ἀναιμάκτῳ χερὶ
ἥξω πρὸς οἴκους, πρὶν φάος μολεῖν χθόνα.

ΧΟΡΟΣ.

Θυμβραῖε καὶ Δάλιε καὶ Λυκίας (στροφὴ ά.)
ναὸν ἐμβατεύων,
Ἄπολλον, ὦ δία κεφαλά, μόλε το-
ξήρης, ἵκου δ' ἐννύχιος
ἁγεμὼν, σωτήριος
ἀνέρι πομπᾶς
καὶ γενοῦ καὶ ξύλλαβε Δαρδανίδαις,
ὦ παγκρατές, ὦ Τροίας
τείχη παλαιὰ δείμας.
μόλοι δὲ ναυκλήρια, καὶ στρατιᾶς (ἀντιστρ. ά.)
Ἑλλάδος διόπτας
ἵκοιτο, καὶ κάμψειε πάλιν θυμέλας

οἴκων πάτρας Ἰλιάδος.
Φθιάδων δ' ἵππων ἐπὶ
ἄντυγα βαίη,
δεσπότου πέρσαντος Ἀχαιὸν Ἄρη,
τὰς πόντιος Αἰακίδᾳ
Πηλεῖ δίδωσι δαίμων.
ἐπεὶ πρό τ' οἴκων πρό τε γᾶς ἔτλα μόνος (στροφὴ β'.)
ναύσταθμα βὰς κατιδεῖν.
ἄγαμαι λήματος· ἦ σπάνις
τῶν ἀγαθῶν; ὅταν ᾖ
δυςάνιος ἐν πελάγει καὶ
σαλεύῃ πόλις, ἔστι Φρυγῶν τις
ἔστιν ἄλκιμος· ἔνι δὲ θάρσος
ἐν αἰχμαῖς ποτὲ Μυσῶν,
ὃς ἐμὰν συμμαχίαν ἀτίζει.
τίν' ἄνδρ' Ἀχαιῶν ὁ πεδοστιβὴς σφαγεὺς (ἀντ. β'.)
οὐτάσει ἐν κλισίαις,
τετράπουν μῖμον ἔχων ἐπὶ
γαίας; ἕλοι Μενέλαν,
κτανὼν δ' Ἀγαμεμνόνιον κρᾶθ'
ἐνέγκοιθ' Ἑλένᾳ κακόγαμβρον
ἐς χέρας γόον, ὃς ἐπὶ πῶλον,
ὃς ἐπὶ Τροίαν τὰν χι-
λιόναυν ἤλυθ' ἔχων στρατείαν.

ΑΓΓΕΛΟΣ.

ἄναξ, τοιούτων δεσπόταισιν ἄγγελος
εἴην τὸ λοιπὸν, οἷά σοι φέρω μαθεῖν.

ΕΚΤΩΡ.

ἦ πόλλ' ἀγρώσταις σκαιὰ πρόσκειται φρενί·

246. δυςάλιος. 247. σαλεύει. 255. Ἀγαμεμνόνειον. 256. ἐνέγκοι Ἑλ. 258. τὰν δρ. χιλ. 259. στρατιάν.

καὶ γὰρ σὺ ποίμνας δεσπόταις τελεςφόρους
ἥκειν ἔοικας ἀγγελῶν, ἵν' οὐ πρέπει.
οὐκ οἶσθα δῶμα τοὐμὸν, ἢ θρόνους πατρὸς,
οἷ χρῆν γεγωνεῖν σ' εὐτυχοῦντα ποιμνίων;

ΑΓΓΕΛΟΣ.

σκαιοὶ βοτῆρες ἐσμέν· οὐκ ἄλλως λέγω.
ἀλλ' οὐδὲν ἧσσόν σοι φέρω κεδνοὺς λόγους.

ΕΚΤΩΡ.

παῦσαι λέγων μοι τὰς προςαυλείους τύχας·
μάχας πρὸ χειρῶν καὶ δόρη βαστάζομεν.

ΑΓΓΕΛΟΣ.

τοιαῦτα κἀγὼ σημανῶν ἐλήλυθα·
ἀνὴρ γὰρ, ἀλκῆς μυρίας στρατηλατῶν,
στείχει φίλος σοι σύμμαχός τε τῇδε γῇ.

ΕΚΤΩΡ.

ποίας πατρῴας γῆς ἐρημώσας πέδον;

ΑΓΓΕΛΟΣ.

Θρῄκης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.

ΕΚΤΩΡ.

Ῥῆσον τιθέντ' ἔλεξας ἐν Τροίᾳ πόδα;

ΑΓΓΕΛΟΣ.

ἔγνως· λόγου δὲ δὶς τόσου μ' ἐκούφισας.

ΕΚΤΩΡ.

καὶ πῶς πρὸς Ἴδης ὀργάδας πορεύεται,
πλαγχθεὶς πλατείας πεδιάδος θ' ἁμαξιτοῦ;

ΑΓΓΕΛΟΣ.

οὐκ οἶδ' ἀκριβῶς, εἰκάσαι γε μὴν πάρα.
νυκτὸς γὰρ οὔτι φαῦλον ἐμβαλεῖν στρατὸν,

263. δ. τευχεςφόροις. 266. οἷς χρὴ γ. σ' εὐτ. ποίμνια.

κλύοντα πλήρη πεδία πολεμίας χερός.
φόβον δ' ἀγρώσταις, οἳ κατ' Ἰδαῖον λέπας
οἰκοῦμεν αὐτόριζον ἑστίαν χθονὸς,
παρέσχε, δρυμὸν νυκτὸς ἔνθηρον μολών.
πολλῇ γὰρ ἠχῇ Θρῄκιος ῥέων στρατὸς
ἔστειχε· θάμβει δ' ἐκπλαγέντες, ἵεμεν
ποίμνας ἐς ἄκρας, μή τις Ἀργείων μόλῃ
λεηλατήσων καὶ σὰ πορθήσων σταθμά,
πρὶν δὴ δι' ὤτων γῆρυν οὐχ Ἑλληνικὴν
ἐδεξάμεσθα καὶ μετέστημεν φόβου.
στείχων δ' ἄνακτος προὐξερευνητὰς στρατοῦ
ἀνιστόρησα Θρῃκίοις προσφθέγμασιν,
τίς ὁ στρατηγὸς καὶ τίνος κεκλημένος
στείχει πρὸς ἄστυ Πριαμίδαισι σύμμαχος;
καὶ πάντ' ἀκούσας, ὧν ἐφιέμην μαθεῖν,
ἔστην· ὁρῶ δὲ Ῥῆσον, ὥστε δαίμονα,
ἑστῶτ' ἐν ἱππείοισι Θρῃκίοις ὄχοις.
χρυσῆ δὲ πλάστιγξ αὐχένα ζυγηφόρον
πώλων ἔκληε, χιόνος ἐξαυγεστέρων.
πέλτη δ' ἐπ' ὤμων χρυσοκολλήτοις τύποις
ἔλαμπε· Γοργὼ δ', ὡς ἐπ' αἰγίδος θεᾶς,
χαλκῆ, μετώποις ἱππικοῖσι πρόσδετος,
πολλοῖσι σὺν κώδωσιν ἐκτύπει φόβον.
στρατοῦ δὲ πλῆθος οὐδ' ἂν ἐν ψήφου λόγῳ
θέσθαι δύναι' ἄν, ὡς ἄπλατον ἦν ἰδεῖν.
πολλοὶ μὲν ἱππεῖς, πολλὰ πελταστῶν τέλη,
πολλοί τ' ἀτράκτων τοξόται, πολὺς δ' ὄχλος
γυμνὴς ὁμαρτῆ, Θρῃκίαν ἔχων στολήν.
τοιόσδε Τροίᾳ σύμμαχος πάρεστ' ἀνὴρ,

306. δυναίμην — ἄπλαστον. 309. ὁμαρτεῖ.

ὃν οὔτε φεύγων, οὔθ' ὑποσταθεὶς δορὶ,
ὁ Πηλέως παῖς ἐκφυγεῖν δυνήσεται.

Χ Ο Ρ Ο Σ.

ὅταν πολίταις εὖ σταθῶσι δαίμονες,
ἕρπει κατάντης συμφορὰ πρὸς τἀγαθά.

Ε Κ Τ Ω Ρ.

πολλοὺς, ἐπειδὴ τοὐμὸν εὐτυχεῖ δόρυ
καὶ Ζεὺς πρὸς ἡμῶν ἐστιν, εὑρήσω φίλους.
ἀλλ' οὐδὲν αὐτῶν δεόμεθ', οἵτινες πάλαι
μὴ ξυμπονῶσιν, ἡνίκ' ἐξώστης Ἄρης
ἔθραυσε λαίφη τῆσδε γῆς μέγας πνέων.
Ῥῆσος δ' ἔδειξεν, οἷος ἦν Τροίᾳ φίλος·
ἥκει γὰρ ἐς δαῖτ', οὐ παρὼν κυνηγέταις
αἱροῦσι λείαν, οὐδὲ συγκαμὼν δορί.

Χ Ο Ρ Ο Σ.

ὀρθῶς ἀτίζεις κἀπίμομφος εἶ φίλοις·
δέχου δὲ τοὺς θέλοντας ὠφελεῖν πόλιν.

Ε Κ Τ Ω Ρ.

ἀρκοῦμεν οἱ σώζοντες Ἴλιον πάλαι.

Χ Ο Ρ Ο Σ.

πέποιθας ἤδη πολεμίους ᾑρηκέναι;

Ε Κ Τ Ω Ρ.

πέποιθα· δείξει τοὐπιὸν σέλας θεοῦ.

Χ Ο Ρ Ο Σ.

ὅρα τὸ μέλλον· πόλλ' ἀναστρέφει θεός.

Ε Κ Τ Ω Ρ.

μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν.

314. τἀγαθόν. 318. ξυμπονοῦσιν.

ΑΓΓΕΛΟΣ.

ἄναξ, ἀπωθεῖν συμμάχους ἐπίφθονον.
φόβος γένοιτ᾽ ἂν πολεμίοις ὀφθεὶς μόνον.

ΧΟΡΟΣ.

ὅδ᾽ οὖν, ἐπείπερ ἦλθε, σύμμαχος μὲν οὔ,
ξένος δὲ, πρὸς τράπεζαν ἡκέτω ξένων·
χάρις γὰρ αὐτῷ Πριαμιδῶν διώλετο.

ΕΚΤΩΡ.

σύ τ᾽ εὖ παραινεῖς, καὶ σὺ καιρίως σκοπεῖς.
ὁ χρυσοτευχὴς δ᾽ οὕνεκ᾽ ἀγγέλου λόγων,
Ῥῆσος παρέστω τῇδε σύμμαχος χθονί.

ΧΟΡΟΣ.

Ἀδράστεια μὲν, ἁ Διὸς παῖς, (στροφὴ ά.)
εἴργοις στομάτων φθόνον·
φράσω γὰρ δὴ, ὅσον μοι
ψυχᾷ προσφιλές ἐστιν εἰπεῖν.
ἥκεις, ὦ ποταμοῦ παῖ,
ἥκεις, ἐπλάθης φιλίαν πρὸς αὐλὰν
ἀσπαστὸς, ἐπεί σε χρόνῳ
Πιερὶς μάτηρ ὅ τε καλλιγέφυ-
ρος ποταμὸς πορεύει
Στρυμὼν, ὅς ποτε τᾶς μελῳδοῦ (ἀντιστρ. ά.)
Μούσας δι᾽ ἀκηράτων
δινηθεὶς ὑδροειδὴς
κόλπων σὰν ἐφύτευσεν ἥβαν.
σύ μοι Ζεὺς ὁ φαναῖος
ἥκεις διφρεύων βαλιαῖσι πώλοις.
νῦν, ὦ πατρὶς ὦ Φρυγία,
ξὺν θεῷ νῦν σοι τὸν ἐλευθέριον

343. Φρυγίαν.

Ζῆνα πάρεστιν εἰπεῖν.
Ἆρά ποτ᾽ αὖθις ἁ παλαιὰ (στροφὴ β΄.)
Τροία τοὺς προπότας παναμερεύσει
θιάσους ἐρώτων
ψαλμοῖσι καὶ κυλίκων οἰνοπλανήτοις
ἐπιδεξίαις ἁμίλλαις,
κατὰ πόντον Ἀτρειδᾶν
Σπάρταν οἰχομένων Ἰλιάδος παρ᾽ ἀκτᾶς;
ὦ φίλος, εἴθε μοι
σᾷ χερὶ καὶ σῷ δορὶ πρά-
ξας τάδ᾽ ἐς οἶκον ἔλθοις!
ἐλθὲ, φάνηθι, τὰν ζάχρυσον (ἀντιστρ. β΄.)
Πηλείδᾳ προβαλοῦ κατ᾽ ὄμμα πέλταν,
δοχμίαν πεδαίρων
ξεστὰν παρ᾽ ἄντυγα, πώλους ἐρεθίζων
δίβολόν τ᾽ ἄκοντα πάλλων.
σὲ γὰρ οὔτις ὑποστὰς
Ἀργείας ποτ᾽ ἐν Ἥρας δαπέδοις χορεύσει·
ἀλλά νιν ἅδε γᾶ
καταφθίμενον Θρῃκὶ μόρῳ
φίλτατον ἄχθος οἴσει.
ἰὼ, ἰώ!
μέγας ὦ βασιλεῦ, καλὸν, ὦ Θρῄκη,
σκύμνον ἔθρεψας πολίαρχον ἰδεῖν.
ἴδε χρυσόδετον σώματος ἀλκὴν,
κλύε καὶ κόμπους κωδωνοκρότους,
παρὰ πορπάκων κελαδοῦντας.
θεὸς, ὦ Τροία, θεὸς αὐτὸς Ἄρης,

360. ὑποδεξίαις. 362. ἀκτᾶς. 369. σχιστὰν — κώλοις.

ὁ Στρυμόνιος πῶλος ἀοιδοῦ
Μούσης ἥκων καταπνεῖ σε.

ΡΗΣΟΣ.

χαῖρ', ἐσθλὸς ἐσθλοῦ παῖ, τύραννε τῆσδε γῆς,
Ἕκτορ· παλαιᾷ σ' ἡμέρᾳ προσεννέπω.
χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον
πύργοισιν ἐχθρῶν· συγκατασκάψων δ' ἐγὼ
τείχη πάρειμι καὶ νεῶν πρήσων σκάφη.

ΕΚΤΩΡ.

παῖ τῆς μελῳδοῦ μητέρος, Μουσῶν μιᾶς,
Θρηκός τε ποταμοῦ, Στρυμόνος, φιλῶ λέγειν
τἀληθὲς ἀεὶ, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
πάλαι, πάλαι χρῆν τῇδε συγκάμνειν χθονὶ
ἐλθόντα, καὶ μὴ τοὐπί σ' Ἀργείων ὕπο
Τροίαν ἐᾶσαι πολεμίων πεσεῖν δορί.
οὐ γάρ τι λέξεις, ὡς ἄκλητος ὢν φίλοις
οὐκ ἦλθες, οὐδ' ἤμυνας, οὐδ' ἐπεστράφης.
τίς γάρ σε κήρυξ, ἢ γερουσία Φρυγῶν
ἐλθοῦσ' ἀμύνειν οὐκ ἐπέσκηψεν πόλει;
ποῖον δὲ δώρων κόσμον οὐκ ἐπέμψαμεν;
σὺ δ' ἐγγενὴς ὢν βάρβαρός τε βαρβάρους
Ἕλλησιν ἡμᾶς προὔπιες τὸ σὸν μέρος.
καίτοι σε μικρᾶς ἐκ τυραννίδος μέγαν
Θρῃκῶν ἄνακτα τῇδ' ἔθηκ' ἐγὼ χερὶ,
ὅτ' ἀμφὶ Πάγγαιόν τε Παιόνων τε γῆν
Θρῃκῶν ἀρίστοις ἐμπεσὼν κατὰ στόμα,
ἔῤῥηξα πέλτην, σοὶ δὲ δουλώσας λεὼν
παρέσχον· ὧν σὺ λακτίσας πολλὴν χάριν,
φίλων νοσούντων, ὕστερος βοηδρομεῖς.

392. αἰεί. 394. τοὐπίσ'. 400. ποίων.

οἵ δ' οὐδὲν ἡμῖν ἐγγενεῖς πεφυκότες,
πάλαι παρόντες, οἵ μὲν ἐν χωστοῖς τάφοις
κεῖνται πεσόντες, πίστις οὐ σμικρὰ πόλει,
οἵ δ' ἔν θ' ὅπλοισι καὶ παρ' ἱππείοις ὄχοις
ψυχρὰν ἄησιν δίψιόν τε πῦρ θεοῦ
μένουσι καρτεροῦντες, οὐκ ἐν δεμνίοις
πυκνὴν ἄμυστιν, ὡς σὺ, δεξιούμενοι.
ταῦθ', ὡς ἂν εἰδῇς Ἕκτορ' ὄντ' ἐλεύθερον,
καὶ μέμφομαί σοι καὶ λέγω κατ' ὄμμα σόν.

ΡΗΣΟΣ.

τοιοῦτός εἰμι καὐτὸς, εὐθεῖαν λόγων
τέμνων κέλευθον, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
ἐγὼ δὲ μεῖζον, ἢ σὺ, τῆσδ' ἀπὼν χθονὸς
λύπῃ πρὸς ἧπαρ δυσφορῶν ἐτειρόμην·
ἀλλ' ἀγχιτέρμων γαῖά μοι, Σκύθης λεὼς,
μέλλοντι νόστον τὸν πρὸς Ἴλιον περᾶν
ξυνῆψε πόλεμον· Εὐξένου δ' ἀφικόμην
πόντου πρὸς ἀκτὰς, Θρῆκα πορθμεύσας στρατόν.
ἔνθ' αἱματηρὸς πέλανος ἐς γαῖαν Σκύθης
ἠντλεῖτο λόγχῃ, Θρῄξ τε συμμιγὴς φόνος.
τοιάδε τοί μ' ἀπεῖργε συμφορὰ πέδον
Τροίας ἱκέσθαι σύμμαχόν τέ σοι μολεῖν.
ἐπεὶ δ' ἔπερσα, τῶνδ' ὁμηρεύσας τέκνα,
τάξας ἔτειον δασμὸν ἐς δόμους φέρειν,
ἥκω περάσας ναυσὶ πόντιον στόμα,
τὰ δ' ἄλλα πεζὸς γῆς περῶν ὁρίσματα·
οὐδ', ὡς σὺ κομπεῖς τὰς ἐμὰς ἀμύστιδας,
οὔτ' ἐν ζαχρύσοις δώμασιν κοιμώμενος,

413. οἱ δ' ἐνθάδ' ὅπλοις καί. 426. πορθμεῦσαι.

ἀλλ' οἷα πόντον Θρήκιον φυσήματα
κρυσταλλόπηκτα Παίονάς τ' ἐπεζάρει,
ξὺν τοῖςδ' ἄϋπνος οἶδα τλὰς πορπάμασιν.
ἀλλ' ὕστερον μὲν ἦλθον, ἐν καιρῷ δ' ὅμως·
σὺ μὲν γὰρ ἤδη δέκατον αἰχμάζεις ἔτος,
κοὐδὲν περαίνεις, ἡμέραν δ' ἐξ ἡμέρας
ῥίπτεις κυβεύων τὸν πρὸς Ἀργείους Ἄρην·
ἐμοὶ δὲ φῶς ἓν ἡλίου καταρκέσει,
πέρσαντι πύργους ναυστάθμοις ἐπειςπεσεῖν
κτεῖναί τ' Ἀχαιούς· θατέρᾳ δ' ἀπ' Ἰλίου
πρὸς οἶκον εἶμι, συντεμὼν τοὺς σοὺς πόνους.
ὑμῶν δὲ μή τις ἀσπίδ' αἱρέτω χερί·
ἐγὼ γὰρ ἕξω τοὺς μέγ' αὐχοῦντας δορὶ
πέρσας Ἀχαιοὺς, καίπερ ὕστερον μολών.

ΧΟΡΟΣ.

Ἰὼ, ἰώ! φίλα θροεῖς,
φίλος Διόθεν εἶ· μόνον
φθόνον ἄμαχον ὕπατος Ζεὺς
ἐθέλοι ἀμφὶ σοῖς λόγοισιν εἴργειν!
τὸ δὲ νάϊον Ἀργόθεν δόρυ
οὔτε πρὶν, οὔτε νῦν τιν' ἀν-
δρῶν ἐπόρευσε σέθεν κρείσσω.
πῶς μοι Ἀχιλλεὺς τὸ σὸν ἔγχος ἂν δύναιτο,
πῶς δ' Αἴας ὑπομεῖναι;
εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ ἐςίδοιμ', ἄναξ,
ὅπως πολυφόνου
χειρὸς ἀποινάσαιο λόγχᾳ!

439. ξὺν τοῖςδ' ἀόπλοις οἷα τλ. πορπήμασιν. 443. πίπτεις. 446. θ' ἡτέρᾳ τ' ἀπ'. 454. θέλοι. 460. εἰςίδοιμ'. 462. ἀπονάσαιο.

ΡΗΣΟΣ.

τοιαῦτα μέν σοι τῆς μακρᾶς ἀπουσίας
πρᾶξαι παρέξω· σὺν δ' Ἀδραστείᾳ λέγω,
ἐπειδὰν ἐχθρῶν τήνδ' ἐλευθέραν πόλιν
θῶμεν θεοῖσί τ' ἀκροθίνι' ἐξέλῃς,
ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω,
καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορὶ,
ὡς ἂν μάθωσιν ἐν μέρει πάσχειν κακῶς.

ΕΚΤΩΡ.

εἰ τοῦ παρόντος τοῦδ' ἀπαλλαχθεὶς κακοῦ
πόλιν νεμοίμην, ὡς τὸ πρίν ποτ', ἀσφαλῆ,
ἦ κάρτα πολλὴν θεοῖς ἂν εἰδείην χάριν.
τὰ δ' ἀμφί τ' Ἄργος καὶ νομὸν τὸν Ἑλλάδος
οὐχ ὧδε πορθεῖν ῥᾴδι', ὡς λέγεις, δορί.

ΡΗΣΟΣ.

οὐ τούςδ' ἀριστεῖς φασὶν Ἑλλήνων μολεῖν;

ΕΚΤΩΡ.

κοὐ μεμφόμεσθά γ', ἀλλ' ἄδην ἐλαύνομεν.

ΡΗΣΟΣ.

οὐκοῦν κτανόντες τούςδε, πάντ' εἰργάσμεθα.

ΕΚΤΩΡ.

μὴ νῦν τὰ πόῤῥω, τἀγγύθεν μεθεὶς, σκόπει.

ΡΗΣΟΣ.

ἀρκεῖν ἔοικέ σοι παθεῖν, δρᾶσαι δὲ μή;

ΕΚΤΩΡ.

πολλῆς γὰρ ἄρχω κἀνθάδ' ὢν τυραννίδος.
ἀλλ' εἴτε λαιὸν, εἴτε δεξιὸν κέρας,
εἴτ' ἐν μέσοισι συμμάχοις, πάρεστί σοι
πέλτην ἐρεῖσαι καὶ καταστῆσαι στρατόν.

475. ἀριστίας

ΡΗΣΟΣ.

μόνος μάχεσθαι πολεμίοις, Ἕκτορ, θέλω.
εἰ δ' αἰσχρὸν ἡγεῖ μὴ συνεμπρῆσαι νεῶν
πρύμνας, πονήσας τὸν πάρος πολὺν χρόνον,
τάξον μ' Ἀχιλλέως καὶ στρατοῦ κατὰ στόμα.

ΕΚΤΩΡ.

οὐκ ἔστ' ἐκείνῳ θοῦρον ἐντάξαι δόρυ.

ΡΗΣΟΣ.

καὶ μὴν λόγος γ' ἦν, ὡς ἔπλευσ' ἐπ' Ἴλιον.

ΕΚΤΩΡ.

ἔπλευσε καὶ πάρεστιν· ἀλλὰ μηνίων
στρατηλάταισιν οὐ συναίρεται δόρυ.

ΡΗΣΟΣ.

τίς δὴ μετ' αὐτὸν ἄλλος εὐδοξεῖ στρατοῦ;

ΕΚΤΩΡ.

Αἴας ἐμοὶ μὲν οὐδὲν ἡττᾶσθαι δοκεῖ,
χὠ Τυδέως παῖς· ἔστι δ' αἱμυλώτατον
κρότημ' Ὀδυσσεὺς, λῆμά τ' ἀρκούντως θρασὺς,
καὶ πλεῖστα χώραν τήνδ' ἀνὴρ καθυβρίσας.
ὃς εἰς Ἀθάνας σηκὸν ἔννυχος μολὼν,
κλέψας ἄγαλμα ναῦς ἔπ' Ἀργείων φέρει.
ἤδη δ' ἀγύρτης, πτωχικὴν ἔχων στολὴν,
εἰσῆλθε πύργους· πολλὰ δ' Ἀργείοις κακὰ
ἠρᾶτο, πεμφθεὶς Ἰλίου κατάσκοπος,
κτανὼν δὲ φρουροὺς καὶ παραστάτας πυλῶν,
ἐξῆλθεν· ἀεὶ δ' ἐν λόγοις εὑρίσκεται
Θυμβραῖον ἀμφὶ βωμὸν ἄστεος πέλας
θάσσων· κακῷ δὲ μερμέρῳ παλαίομεν.

497. Ἀθηνᾶς. 500. Ἀργείους. 503. αἰεί.

ΡΗΣΟΣ.

οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρα
κτεῖναι τὸν ἐχθρὸν, ἀλλ' ἰὼν κατὰ στόμα.
τοῦτον δ', ὃν ἵζειν φὴς σὺ κλωπικὰς ἕδρας
καὶ μηχανᾶσθαι, ζῶντα συλλαβὼν ἐγὼ,
πυλῶν ἐπ' ἐξόδοισιν ἀμπείρας ῥάχιν,
στήσω πετεινοῖς γυψὶ θοινατήριον.
λῃστὴν γὰρ ὄντα καὶ θεῶν ἀνάκτορα
συλῶντα, δεῖ νιν τῷδε κατθανεῖν μόρῳ.

ΕΚΤΩΡ.

νῦν μὲν καταυλίσθητε· καὶ γὰρ εὐφρόνη.
δείξω δ' ἐγώ σοι χῶρον, ἔνθα χρὴ στρατὸν
τὸν σὸν νυχεῦσαι, τοῦ τεταγμένου δίχα.
ξύνθημα δ' ἡμῖν Φοῖβος, ἤν τι καὶ δέῃ,
μέμνησ' ἀκούσας, Θρῃκί τ' ἄγγειλον στρατῷ.
ὑμᾶς δὲ βάντας χρὴ προταινὶ τάξεων
φρουρεῖν ἐγερτὶ, καὶ νεῶν κατάσκοπον
δέχθαι Δόλωνα· καὶ γὰρ, εἴπερ ἐστὶ σῶς,
ἤδη πελάζει στρατοπέδοισι Τρωϊκοῖς.

ΧΟΡΟΣ.

Τίνος ἁ φυλακά; τίς ἀμείβει (στροφή.)
τὰν ἐμάν; πρῶτα
δύεται σημεῖα καὶ ἑπτάποροι
Πλειάδες αἰθέριαι·
μέσα δ' αἰετὸς οὐρανοῦ ποτᾶται.
ἔγρεσθε — τί μέλλετε; — κοιτᾶν
ἔγρεσθ' εἰς φυλακάν.
οὐ λεύσσετε μηνάδος αἴγλαν;
ἀὼς δὴ πέλας, ἀὼς

529. ἔγρεσθε πρὸς φ.

γίγνεται, καί τις πρὸ δόμων
ὅδε γ᾽ ἔστιν ἀστήρ.

ΗΜΙΧΟΡΙΟΝ.

Τίς ἐκηρύχθη πρώτην φυλακήν;

ΗΜΙΧΟΡΙΟΝ.

Μυγδόνος υἱόν φασι Κόροιβον.

ΗΜΙΧΟΡΙΟΝ.

τίς γὰρ ἐπ᾽ αὐτῷ;

ΗΜΙΧΟΡΙΟΝ.

Κίλικας Παιὼν στρατὸς ἤγειρεν.

ΗΜΙΧΟΡΙΟΝ.

Μυσοὶ δ᾽ ἡμᾶς.

ΗΜΙΧΟΡΙΟΝ.

Οὐκοῦν Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
καιρὸς κλήρου κατὰ μοῖραν.

ΧΟΡΟΣ.

Καὶ μὴν αἴω· Σιμόεντος (ἀντιστρ.)
ἡμένα κοίτας
φονίας ὑμνεῖ πολυχορδοτάτᾳ
γήρυϊ παιδολέτωρ
μελοποιὸς ἀηδονὶς μέριμναν·
ἤδη δὲ νέμουσι κατ᾽ Ἴδαν
ποίμνια· νυκτιβρόμου
σύριγγος ἰὰν κατακούω·
θέλγει δ᾽ ὄμματος ἕδραν

532. καὶ τίς πρὸ δόμων; 535. ὅδε γάρ ἐστιν ἀνήρ. 535. φασιν Κόρυβον. 537. Παιόνων στρ. 546. μέριμνα· 548. νυκτιδρόμου.

ὕπνος· ἅδιστος γὰρ ἔβα
βλεφάροις πρὸς ἀοῦς.

ΗΜΙΧΟΡΙΟΝ.

Τί ποτ᾽ οὐ πελάθει σκοπός, ὃν ναῶν (ἐπῳδ.)
Ἕκτωρ ὤτρυνε κατόπταν;

ΗΜΙΧΟΡΙΟΝ.

ταρβῶ· χρόνιος γὰρ ἄπεστιν.

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλ᾽ ἦ κρυπτὸν λόχον εἰςπαίσας
διόλωλεν; τάχ᾽ ἂν εἴη φοβερόν.

ΗΜΙΧΟΡΙΟΝ.

αὐδῶ Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
ἡμᾶς κλήρου κατὰ μοῖραν.

ΟΔΥΣΣΕΥΣ.

Διόμηδες, οὐκ ἤκουσας — ἢ κενὸς ψόφος
στάζει δι᾽ ὤτων; — τευχέων τινὰ κτύπον;

ΔΙΟΜΗΔΗΣ.

οὔκ· ἀλλὰ δεσμὰ πωλικῶν ἐξ ἀντύγων
κλάζει σιδήρου· κἀμέ τοι, πρὶν ᾐσθόμην
δεσμῶν ἀραγμὸν ἱππικῶν, ἔδυ φόβος.

ΟΔΥΣΣΕΥΣ.

ὅρα κατ᾽ ὄρφνην μὴ φύλαξιν ἐντύχῃς.

ΔΙΟΜΗΔΗΣ.

φυλάξομαί τοι κἂν σκότῳ τιθεὶς πόδα.

ΟΔΥΣΣΕΥΣ.

ἢν δ᾽ οὖν ἐγείρῃς, οἶσθα σύνθημα στρατοῦ;

552. βλεφάροισι. 556. ἀλλ᾽ εἰ κρ. λ. εἰςπαίσας. 557. διόλωλε, τάχ᾽ ἄν. 566. ὄρφναν.

ΔΙΟΜΗΔΗΣ.

Φοῖβον Δόλωνος οἶδα σύμβολον κλύων.

ΟΔΥΣΣΕΥΣ.

(ἔα.) εὐνὰς ἐρήμους τάςδε πολεμίων ὁρῶ.

ΔΙΟΜΗΔΗΣ.

καὶ μὴν Δόλων γε τάςδ' ἔφραζεν Ἕκτορος
κοίτας, ἐφ' ᾧπερ ἔγχος εἵλκυσται τόδε.

ΟΔΥΣΣΕΥΣ.

τί δῆτ' ἂν εἴη; μῶν λόχος βέβηκέ πῃ;

ΔΙΟΜΗΔΗΣ.

ἴσως ἐφ' ἡμῖν μηχανὴν στήσων τινά.

ΟΔΥΣΣΕΥΣ.

θρασὺς γὰρ Ἕκτωρ νῦν, ἐπεὶ κρατεῖ, θρασύς.

ΔΙΟΜΗΔΗΣ.

τί δῆτ', Ὀδυσσεῦ, δρῶμεν; οὐ γὰρ εὕρομεν
τόνδ' ἄνδρ' ἐν εὐναῖς, ἐλπίδων δ' ἡμάρτομεν.

ΟΔΥΣΣΕΥΣ.

στείχωμεν ὡς τάχιστα ναυστάθμων πέλας.
σώζει γὰρ αὐτὸν ὅςπερ εὐτυχῆ θεῶν
τίθησιν· ἡμῖν δ' οὐ βιαστέον τύχην.

ΔΙΟΜΗΔΗΣ.

οὐκοῦν ἐπ' Αἰνέαν, ἢ τὸν ἔχθιστον Φρυγῶν
Πάριν μολόντε, χρὴ καρατομεῖν ξίφει.

ΟΔΥΣΣΕΥΣ.

πῶς οὖν ἐν ὄρφνῃ πολεμίων ἀνὰ στρατὸν
ζητῶν δυνήσει τούςδ' ἀκινδύνως κτανεῖν;

ΔΙΟΜΗΔΗΣ.

αἰσχρόν γε μέντοι ναῦς ἐπ' Ἀργείων μολεῖν,
δράσαντε μηδὲν πολεμίους νεώτερον.

578. ναυστάθμου. 581. Αἰνείαν.

ΟΔΥΣΣΕΥΣ.

πῶς δ' οὐ δέδρακας; οὐ κτανόντε ναυστάθμων
κατάσκοπον Δόλωνα σώζομεν τάδε
σκυλεύματ'; ἢ πᾶν στρατόπεδον πέρσειν δοκεῖς;
πείθου, πάλιν στείχωμεν· εὖ δ' εἴη τυχεῖν.

ΑΘΗΝΑ.

ποῖ δὴ λιπόντε Τρωϊκῶν ἐκ τάξεων
χωρεῖτε, λύπῃ καρδίαν δεδηγμένοι,
εἰ μὴ κτανεῖν σφῷν Ἕκτορ', ἢ Πάριν, θεὸς
δίδωσιν; ἄνδρα δ' οὐ πέπυσθε σύμμαχον
Τροίᾳ μολόντα Ῥῆσον οὐ φαύλῳ τρόπῳ;
ὃς εἰ διοίσει νύκτα τήνδ' ἐς αὔριον,
οὔτε σφ' Ἀχιλλέως, οὔτ' ἂν Αἴαντος δόρυ,
μὴ πάντα πέρσαι ναύσταθμ' Ἀργείων, σχέθοι,
τείχη κατασκάψαντα καὶ πυλῶν ἔσω
λόγχῃ πλατεῖαν ἐςδρομὴν ποιούμενον·
τοῦτον κατακτὰς, πάντ' ἔχεις. τὰς δ' Ἕκτορος
εὐνὰς ἔασον καὶ καρατόμους σφαγάς·
ἔσται γὰρ αὐτῷ θάνατος ἐξ ἄλλης χερός.

ΟΔΥΣΣΕΥΣ.

δέσποιν' Ἀθάνα, — φθέγματος γὰρ ᾐσθόμην
τοῦ σοῦ συνήθη γῆρυν· ἐν πόνοισι γὰρ
παροῦσ' ἀμύνεις τοῖς ἐμοῖς ἀεί ποτε.
τὸν ἄνδρα δ' ἡμῖν, ποῦ κατεύνασται, φράσον,
πόθεν τέτακται βαρβάρου στρατεύματος;

ΑΘΗΝΑ.

ὅδ' ἐγγὺς ἧσται κοὐ συνήθροισται στρατῷ,
ἀλλ' ἐκτὸς αὐτὸν τάξεων κατεύνασεν
Ἕκτωρ, ἕως ἂν νὺξ ἀμείψηται φάος.

596. τὴν ἐς. 600. εἰς δρομήν.

πελας δὲ πῶλοι Θρηκίων ἐξ ἁρμάτων
λευκαὶ δέδενται, διαπρεπεῖς ἐν εὐφρόνῃ·
στίλβουσι δ', ὥστε ποταμίου κύκνου πτερόν.
ταύτας, κτανόντε δεσπότην, κομίζετε,
κάλλιστον οἴκοις σκῦλον· οὐ γάρ ἐσθ' ὅπου
τοιόνδ' ὄχημα χθὼν κέκευθε πωλικόν.

ΟΔΥΣΣΕΥΣ.

Διόμηδες, ἢ σὺ κτεῖνε Θρήκιον λεὼν,
ἢ 'μοὶ πάρες γε, σοὶ δὲ χρὴ πώλων μέλειν.

ΔΙΟΜΗΔΗΣ.

ἐγὼ φονεύσω, πωλοδαμνήσεις δὲ σύ.
τρίβων γὰρ εἶ τὰ κομψὰ καὶ νοεῖν σοφός.
χρὴ δ' ἄνδρα τάσσειν, οὗ μάλιστ' ἂν ὠφελῇ.

ΑΘΗΝΑ.

καὶ μὴν καθ' ἡμᾶς τόνδ' Ἀλέξανδρον βλέπω
στείχοντα, φυλάκων ἔκ τινος πεπυσμένον
δόξας ἀσήμους πολεμίων μεμβλωκότων.

ΔΙΟΜΗΔΗΣ.

πότερα σὺν ἄλλοις, ἢ μόνος πορεύεται;

ΑΘΗΝΑ.

μόνος πρὸς εὐνὰς, ὡς ἔοικεν, Ἕκτορος
χωρεῖ, κατόπτας σημανῶν ἥκειν στρατοῦ.

ΔΙΟΜΗΔΗΣ.

οὐκοῦν ὑπάρχειν τόνδε κατθανόντα χρή;

ΑΘΗΝΑ.

οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον.
τοῦτον δὲ πρὸς σῆς οὐ θέμις χερὸς θανεῖν.
ἀλλ' ᾧπερ ἥκεις μορσίμους φέρων σφαγὰς,
τάχυν'· ἐγὼ δὲ τῷδε σύμμαχος Κύπρις

615. κτανόντες. 622. ὠφελοῖ.

δοκοῦσ' ἀρωγὸς ἐν πόνοις παραστατεῖν,
σαθροῖς λόγοισιν ἐχθρὸν ἄνδρ' ἀμείψομαι.
καὶ ταῦτ' ἐγὼ μὲν εἶπον· ὃν δὲ χρὴ παθεῖν,
οὐκ οἶδεν, οὐδ' ἤκουσεν, ἐγγὺς ὢν, λόγου.

ΠΑΡΙΣ.

σὲ τὸν στρατηγὸν καὶ κασίγνητον λέγω,
Ἕκτορ, καθεύδεις; οὐκ ἐγείρεσθαί σε χρή;
ἐχθρῶν τις ἡμῖν χρίμπτεται στρατεύματι,
ἢ κλῶπες ἄνδρες, ἢ κατάσκοποί τινες.

ΑΘΗΝΑ.

θάρσει· φυλάσσει σ' ἥδε πρευμενὴς Κύπρις.
μέλει δ' ὁ σός μοι πόλεμος, οὐδ' ἀμνημονῶ
τιμῆς, ἐπαινῶ δ' εὖ παθοῦσα πρὸς σέθεν.
καὶ νῦν ἐπ' εὐτυχοῦντι Τρωϊκῷ στρατῷ
ἥκω, πορεύουσ' ἄνδρα σοι μέγαν φίλον,
τῆς ὑμνοποιοῦ παῖδα Θρήκιον θεᾶς
Μούσης, πατρὸς δὲ Στρυμόνος κικλήσκεται.

ΠΑΡΙΣ.

ἀεί ποτ' εὖ φρονοῦσα τυγχάνεις πόλει
κἀμοὶ, μέγιστον δ' ἐν βίῳ κειμήλιον
κρίνας σέ φημι τῇδε προσθέσθαι πόλει.
ἥκω δ' ἀκούσας οὐ τορῶς· φήμη δέ τις
φύλαξιν ἐμπέπτωκεν, ὡς κατάσκοποι
ἥκουσ' Ἀχαιῶν. χὠ μὲν οὐκ εἰδὼς λέγει,
ὁ δ' εἰσιδὼν μολόντας, οὐκ ἔχει φράσαι,
ὧν οὕνεκ' εὐνὰς ἤλυθον πρὸς Ἕκτορος.

ΑΘΗΝΑ.

μηδέν φοβηθῇς· οὐδὲν ἐν στρατῷ νέον·
Ἕκτωρ δὲ φροῦδος, Θρῇκα κοσμήσων στρατόν.

650. deest δ'.

ΠΑΡΙΣ.

σύ τοί με πείθεις, σοῖς τε πιστεύων λόγοις,
τάξιν φυλάξων εἶμ', ἐλεύθερος φόβου.

ΑΘΗΝΑ.

χώρει· μέλειν γὰρ πάντ' ἐμοὶ δόκει τὰ σὰ,
ὡς εὐτυχοῦντας συμμάχους ἐμοὺς ὁρᾷν.
γνώσει δὲ καὶ σὺ τὴν ἐμὴν προθυμίαν.
ὑμᾶς δ' ἀϋτῶ τοὺς ἄγαν ἐῤῥωμένους,
Λαερτίου παῖ, θηκτὰ κοιμίσαι ξίφη.
κεῖται γὰρ ὑμῖν Θρήκιος στρατηλάτης,
ἵπποι τ' ἔχονται, πολέμιοι δ' ᾐσθημένοι
χωροῦσ' ἐφ' ὑμᾶς, ἀλλ' ὅσον τάχιστα χρὴ
φεύγειν πρὸς ὁλκοὺς ναυστάθμων. τί μέλλετε,
σκηπτοῦ 'πιόντος πολεμίων, σῶσαι βίον;

ΧΟΡΟΣ.

Ἔα, ἔα! βάλλε, βάλλε, βάλλε, βάλλε,
θεῖνε, θεῖνε· τίς ὅδ' ἀνήρ;
λεύσσετε, τοῦτον αὐδῶ.
κλῶπες, οἵτινες κατ' ὄρφναν
τόνδε κινοῦσι στρατόν.
δεῦρο, δεῦρο πᾶς.
τούσδ' ἔχω καὶ τούσδ' ἔμαρψα.
τίς ὁ λόγος; πόθεν ἔβας; ποδαπὸς εἶ;

ΟΔΥΣΣΕΥΣ.

οὔ σε χρὴ εἰδέναι· θανεῖ γὰρ σήμερον δράσας
κακῶς.

659. σοί τε πιστεύω λ. 661. δοκεῖ τάδε. 664. ἄγαν γ' ἐρωμένους. 666. ἡμῖν. 668. τάχιστ' ἐχρῆν. 672. τίς δ' ἀνήρ;

ΗΜΙΧΟΡΙΟΝ ά.

οὐκ ἐρεῖς ξύνθημα, λόγχην πρὶν διὰ στέρνων
μολεῖν;

ΟΔΥΣΣΕΥΣ.

ἴσχε. θάρσει πᾶς.

ΗΜΙΧΟΡΙΟΝ β'.

πέλας ἴθι. παῖε, παῖε, πᾶς τις ἄν.

ΗΜΙΧΟΡΙΟΝ ά.

ἦ σὺ δὴ Ῥῆσον κατέκτας;

ΟΔΥΣΣΕΥΣ.

ἀλλὰ τὸν κτενοῦντά σε.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἴσχε πᾶς τις.

ΗΜΙΧΟΡΙΟΝ ά.

οὐ μενῶ.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἆ, φίλιον ἄνδρα μὴ θένῃς

ΗΜΙΧΟΡΙΟΝ ά.

καὶ τί δὴ τὸ σῆμα;

ΟΔΥΣΣΕΥΣ.

Φοῖβος.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἔμαθον· ἴσχε πᾶς δόρυ.

ΗΜΙΧΟΡΙΟΝ ά.

οἶσθ', ὅποι βεβᾶσιν ἅνδρες;

ΗΜΙΧΟΡΙΟΝ β'.

τῇδέ πῃ κατείδομεν.

680. σύνθημα. 681. ἴστω, θάρσει. Χο. πέλας τις ἴθι. 682. deest δή. Ib. om. persona ΟΔ. κτανοῦντά σε. 683. ἆ ἆ φίλον. Praefig. ΟΔ. 685. ἄνδρες. Ib. verbis τῇδέ πῃ praefig. ΟΔ.

ΗΜΙΧΟΡΙΟΝ ά.

ἕρπε πᾶς κατ' ἴχνος αὐτῶν, ἢ βοὴν ἐγερτέον.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἀλλὰ συμμάχους ταράσσειν δεινὸν ἐν νυκτῶν
φόβῳ.

ΧΟΡΟΣ.

Τίς ἀνδρῶν ὁ βάς; (στροφή.)
τίς, ὃς μέγα θράσος ἐπεύξεται,
χεῖρα φυγὼν ἐμάν;
πόθεν νιν κυρήσω;
τίνι προσεικάσω;
ὅστις δι' ὄρφνας ἦλθ' ἀδειμάντῳ ποδὶ
διά τε τάξεων καὶ φυλάκων ἕδρας;
Θεσσαλὸς, ἢ
παραλίαν Λοκρῶν νεμόμενος πόλιν;
ἢ νησιώτην σποράδα κέκτηται βίον;
τίς, ἢ πόθεν, ἢ ποίας πάτρας;
ὁποῖον εὔχεται τὸν ὕπατον θεῶν;

ΗΜΙΧΟΡΙΟΝ.

ἆρ' ἔστ' Ὀδυσσέως τοὔργον, ἢ τίνος τόδε;

ΗΜΙΧΟΡΙΟΝ.

εἰ τοῖς πάροιθε χρὴ τεκμαίρεσθαι, τί μή;

ΗΜΙΧΟΡΙΟΝ.

δοκεῖς γάρ;

ΗΜΙΧΟΡΙΟΝ.

τί μὴν οὔ;

ΗΜΙΧΟΡΙΟΝ.

θρασὺς γοῦν ἐς ἡμᾶς.

688. Praefig. Ἡμιχ.

ΗΜΙΧΟΡΙΟΝ.

τίν' ἀλκήν; τίν' αἰνεῖς;

ΗΜΙΧΟΡΙΟΝ.

Ὀδυσσῆ.

ΗΜΙΧΟΡΙΟΝ.

μὴ κλωπὸς αἴνει φωτὸς αἱμύλον δόρυ.

ΧΟΡΟΣ.

Ἔβα καὶ πάρος (ἀντιστρ.)
κατὰ πτόλιν, ὕπαφρον ὄμμ' ἔχων
ῥακοδύτῳ στολᾷ
πυκασθείς, ξιφήρης
κρυφαῖος ἐν πέπλοις.
βίον δ' ἐπαιτῶν εἷρπ' ἀγύρτης τις λάτρις,
ψαφαρόχρουν κάρα πολυπινές τ' ἔχων·
πολλὰ δὲ τὰν
βασιλίδ' ἑστίαν Ἀτρειδᾶν κακῶς
ἔβαζε δῆθεν ἐχθρὸς ὢν στρατηλάταις.
ὄλοιτο δ', ὄλοιτο πανδίκως,
πρὶν ἐπὶ γᾶν Φρυγῶν ποδὸς ἴχνος βαλεῖν.

ΗΜΙΧΟΡΙΟΝ.

εἴτ' οὖν Ὀδυσσέως, εἴτε μή, φόβος μ' ἔχει.

ΗΜΙΧΟΡΙΟΝ.

Ἕκτωρ γὰρ ἡμῖν τοῖς φύλαξι μέμψεται.

ΗΜΙΧΟΡΙΟΝ.

τί λάσκων;

ΗΜΙΧΟΡΙΟΝ.

δυσοίζων.

708. στολῇ. 712. πουλυπινές τ'. 713. τήν. 714. Ἀτρειδῶν.

ΗΜΙΧΟΡΙΟΝ.

τί δρᾷς δή; τί ταρβεῖς;

ΗΜΙΧΟΡΙΟΝ.

καθ' ἡμᾶς περᾶσαι —

ΗΜΙΧΟΡΙΟΝ.

τίν' ἀνδρῶν;

ΗΜΙΧΟΡΙΟΝ.

οἳ τῆσδε νυκτὸς ἦλθον εἰς Φρυγῶν στρατόν.

ΟΙΚΕΤΗΣ.

ἰώ! δαίμονος τύχα βαρεῖα. φεῦ, φεῦ!

ΗΜΙΧΟΡΙΟΝ.

ἔα· σίγα πᾶς.

ΗΜΙΧΟΡΙΟΝ.

ἀβρίξ· ἴσως γὰρ εἰς βόλον τις ἔρχεται.

ΟΙΚΕΤΗΣ.

ὢ συμφορὰ βαρεῖα Θρῃκῶν συμμάχων!

ΗΜΙΧΟΡΙΟΝ.

τίς ὁ στένων;

ΟΙΚΕΤΗΣ.

ἰώ! ἰώ!
δύστηνος ἐγώ, σύ τ', ἄναξ Θρῃκῶν·
ὦ στυγνοτάτην Τροίαν ἐσιδών·
οἷόν σε βίου τέλος εἷλεν;

ΧΟΡΟΣ.

τίς εἶ ποτ' ἀνδρῶν συμμάχων; κατ' εὐφρόνην
ἀμβλῶπες αὐγαί, κοὔ σε γιγνώσκω τορῶς.

ΟΙΚΕΤΗΣ.

ποῦ τιν' ἀνάκτων Τρωϊκῶν εὕρω;
ποῦ δῆθ' Ἕκτωρ

730. ἰὼ· δύστ.

τὸν ὑπασπίδιον κοῖτον ἰαύει;
τίνι σημήνω διόπων στρατιᾶς;
οἷα πεπόνθαμεν! οἷά τις ἡμᾶς
δράσας ἀφανῆ φροῦδος, φανερὸν
Θρῃξὶν πένθος τολυπεύσας.

ΧΟΡΟΣ.

κακὸν κυρεῖν τι Θρῃκίῳ στρατεύματι
ἔοικεν, οἷα τοῦδε γιγνώσκω κλύων.

ΟΙΚΕΤΗΣ.

ἔρρει στρατιά, πέπτωκεν ἄναξ
δολίῳ πληγῇ.
οἷα μ' ὀδύνη τείρει φονίου
τραύματος εἴσω; πῶς δ' ἂν ὀλοίμαν!
χρῆν γάρ μ' ἀκλεῶς Ῥῆσόν τε θανεῖν,
Τροίᾳ κέλσαντ' ἐπίκουρον.

ΧΟΡΟΣ.

τάδ' οὐκ ἐν αἰνιγμοῖσι σημαίνει κακά·
σαφῶς γὰρ αὐδᾷ συμμάχους ὀλωλότας.

ΟΙΚΕΤΗΣ.

κακῶς πέπρακται, κἀπὶ τοῖς κακοῖσι πρὸς
αἴσχιστα· καίτοι δὶς τόσον κακὸν τόδε·
θανεῖν γὰρ εὐκλεῶς μέν, εἰ θανεῖν χρεών,
λυπρὸν μὲν οἶμαι τῷ θανόντι — πῶς γὰρ οὔ; —
τοῖς ζῶσι δ' ὄγκος καὶ δόμων εὐδοξία.
ἡμεῖς δ' ἀβούλως κἀκλεῶς ὀλώλαμεν.
ἐπεὶ γὰρ ἡμᾶς εὔνασ' Ἑκτορεία χείρ,
ξύνθημα λέξας, εὕδομεν πεδοστιβεῖς,
κόπῳ δαμέντες, οὐδ' ἐφρουρεῖτο στρατὸς
φυλακαῖσι νυκτέροισιν, οὐδ' ἐν τάξεσιν

747. ὀλοίμην.

ἔκειτο τεύχη, κλῇθρά τ' οὐκ ἐπὶ ζυγοῖς
ἵππων καθήρμοσθ', ὡς ἄναξ ἐπεύθετο
κρατοῦντας ὑμᾶς κἀφεδρεύοντας νεῶν
πρύμναισι· φαύλως δ' εὕδομεν πεπτωκότες.
κἀγὼ μελούσῃ καρδίᾳ λήξας ὕπνου
πώλοισι χόρτον, προςδοκῶν ἑωθινὴν
ζεύξειν πρὸς ἀλκὴν, ἀφθόνῳ μετρῶ χερί.
λεύσσω δὲ φῶτε περιπολοῦνθ' ἡμῶν στρατὸν
πυκνῆς δι' ὄρφνης· ὡς δ' ἐκινήθην ἐγὼ,
ἐπτηξάτην τε κἀνεχωρείτην πάλιν.
ἤπυσα δ' αὐτοῖς, μὴ πελάζεσθαι στρατῷ,
κλῶπας δοκήσας συμμάχων πλάθειν τινάς.
οἱ δ' οὐδέν· οὐ μὴν οἶδ' ἐγὼ τὰ πλείονα.
εὗδον δ' ἀπελθὼν αὖθις ἐς κοίτην πάλιν.
καί μοι καθ' ὕπνον δόξα τις παρίσταται·
ἵππους γὰρ, ἃς ἔθρεψα κἀδιφρηλάτουν
Ῥήσῳ παρεστὼς, εἶδον, ὡς ὄναρ δοκῶν,
λύκους ἐπεμβεβῶτας ἑδραίαν ῥάχιν·
θείνοντε δ' οὐρᾷ πωλικῆς ῥινοῦ τρίχα,
ἤλαυνον. αἱ δ' ἔρεγκον ἐξ ἀντηρίδων
θυμὸν πνέουσαι, κἀνεχαίτιζον φόβῳ.
ἐγὼ δ' ἀμύνων θῆρας ἐξεγείρομαι
πώλοισιν· ἔννυχος γὰρ ἐξώρμα φόβος.
κλύω δ' ἐπάρας κρᾶτα μυχθισμὸν νεκρῶν.
θερμὸς δὲ κρουνὸς δεσπότου παρὰ σφαγαῖς
βάλλει με δυςθνήσκοντος αἵματος νέου.
ὀρθὸς δ' ἀναίσσω χειρὶ σὺν κενῇ δορός.
καί μ' ἔγχος αὐγάζοντα καὶ θηρώμενον
παίει παραστὰς νειάτην πλευρὰν ξίφει

762. πλῆκτρά τ'. 788. ἀναΐσσω. 790. νείαιραν εἰς.

ἀνὴρ ἀκμάζων· φασγάνου γὰρ ᾐσθόμην
πληγῆς, βαθεῖαν ἄλοκα τραύματος λαβών.
πίπτω δὲ πρηνής· οἱ δ' ὄχημα πωλικὸν
λαβόντες ἵππων ἵεσαν φυγῇ πόδα.
(ἆ, ἆ!) ὀδύνη με τείρει, κοὐκέτ' ὀρθοῦμαι τάλας.
καὶ ξυμφορὰν μὲν οἶδ' ὁρῶν, τρόπῳ δ' ὅτῳ
τεθνᾶσιν οἱ θανόντες, οὐκ ἔχω φράσαι,
οὐδ' ἐξ ὁποίας χειρός. εἰκάσαι δέ μοι
πάρεστι, λυπρὰ πρὸς φίλων πεπονθέναι.

ΧΟΡΟΣ.

ἡνίοχε Θρῃκὸς τοῦ κακῶς πεπραγότος,
μηδὲν δύςοιζ' οὐ πολεμίους δρᾶσαι τάδε.
Ἕκτωρ δὲ καὐτὸς, συμφορᾶς πεπυσμένος,
χωρεῖ· συναλγεῖ δ', ὡς ἔοικε, σοῖς κακοῖς.

ΕΚΤΩΡ.

πῶς, ὦ μέγιστα πήματ' ἐξειργασμένοι,
μολόντες ὑμᾶς πολεμίων κατάσκοποι
λήθουσιν αἰσχρῶς, καὶ κατεσφάγη στρατός;
κοὔτ' εἰςιόντας στρατόπεδ' ἐξαπώσατε,
οὔτ' ἐξιόντας; τῶνδέ τις τίσει δίκην,
πλὴν σοῦ; σὲ γὰρ δὴ φύλακά φημ' εἶναι στρατοῦ.
φροῦδοι δ' ἄπληκτοι, τῇ Φρυγῶν κακανδρίᾳ
πόλλ' ἐγγελῶντες τῷ στρατηλάτῃ τ' ἐμοί.
εὖ νῦν τόδ' ἴστε, Ζεὺς ὀμώμοσται πατὴρ,
ἤτοι μάραγνά γ', ἢ καρανιστὴς μόρος,
μενεῖ σε δρῶντα τοιάδ', ἢ τὸν Ἕκτορα
τὸ μηδὲν εἶναι καὶ κακὸν νομίζετε.

ΧΟΡΟΣ.

ἰώ! ἰώ!
μέγας ἐμοὶ, μέγας ἀγών.

ὦ πολιοῦχον κράτος,
τότ᾽ ἄρ᾽ ἔμολον, ὅτε σοι ἄγγελος ἦλθον, ἀμ-
φὶ ναυσὶν πυραίθειν Ἀργείων στρατὸν,
ἐπεὶ ἄγρυπνον ὄμμ᾽ ἐν εὐφρόνῃ
οὔτ᾽ ἐκοίμισ᾽, οὔτ᾽ ἔβριξα,
οὐ μὰ τὰς Σιμοεντίδας
πηγάς· μή μοι κότον, ὦναξ, θῇς·
ἀναίτιος ἔγωγε πάντων.
ἢν δέ χρόνῳ παρὰ καιρὸν
ἔργον, ἢ λόγον πύθῃ,
κατά με γᾶς ζῶντα πόρευσον·
οὐ παραιτοῦμαι.

ΟΙΚΕΤΗΣ.

τί τοῖσδ᾽ ἀπειλεῖς, βάρβαρός τε βαρβάρου
γνώμην ὑφαιρεῖ τὴν ἐμὴν, πλέκων λόγους;
σὺ ταῦτ᾽ ἔδρασας· οὐδέν᾽ ἂν δεξαίμεθα
οὔθ᾽ οἱ μαθόντες, οὔτ᾽ ἂν οἱ τετρωμένοι
ἄλλον· μακροῦ γε δεῖ σε καὶ σοφοῦ λόγου,
ὅτῳ με πείσεις μὴ φίλους κατακτανεῖν,
ἵππων ἐρασθεὶς, ὧν ἕκατι συμμάχους
τοὺς σοὺς φονεύεις, πόλλ᾽ ἐπισκήπτων μολεῖν.
ἦλθον, τεθνᾶσιν· εὐπρεπέστερον Πάρις
ξενίαν κατῄσχυν᾽, ἢ σὺ, συμμάχους κτανών.
μὴ γάρ τι λέξῃς, ὥς τις Ἀργείων μολὼν
διώλεσ᾽ ἡμᾶς· τίς δ᾽ ὑπερβαλὼν λόχους
Τρώων ἐφ᾽ ἡμᾶς ἦλθεν, ὥςτε καὶ λαθεῖν;
σὺ πρόςθεν ἡμῶν ἧσο καὶ Φρυγῶν στρατός.

819. ἄρ᾽. 820. ναυσί. 824. ὦ ἄνα. 825. ἀν. γάρ ἔγ. 826. εἰ δὲ χρ. 827. ἔργ᾽ ἢ λ. 828. γᾶ. 833. οἱ θανόντες.

τίς οὖν τέτρωται, τίς τέθνηκε συμμάχων
τῶν σῶν, μολόντων, ὡς σὺ, πολεμίων, λέγεις;
ἡμεῖς δὲ καὶ τετρώμεθ᾽, οἱ δὲ μειζόνως
παθόντες οὐχ ὁρῶσιν ἡλίου φάος.
ἁπλῶς δ᾽ Ἀχαιῶν οὐδέν᾽ αἰτιώμεθα.
τίς δ᾽ ἂν χαμεύνας πολεμίων κατ᾽ εὐφρόνην
Ῥήσου μολὼν ἐξεῦρεν, εἰ μή τις θεῶν
ἔφραζε τοῖς κτανοῦσιν; οὐδ᾽ ἀφιγμένον
τὸ πάμπαν ᾔσαν· ἀλλὰ μηχανᾷ τάδε.

ΕΚΤΩΡ.

χρόνον μὲν ἤδη συμμάχοισι χρώμεθα,
ὅσον περ ἐν γῇ τῇδ᾽ Ἀχαϊκὸς λεὼς,
κοὐδὲν πρὸς αὐτῶν οἶδα πλημμελὲς κλύων·
ἐν σοὶ δ᾽ ἂν ἀρχοίμεσθα. μή μ᾽ ἔρως ἕλοι
τοιοῦτος ἵππων, ὥςτ᾽ ἀποκτείνειν φίλους.
καὶ ταῦτ᾽ Ὀδυσσεύς· τίς γὰρ ἄλλος ἄν ποτε
ἔδρασεν, ἢ ᾽βούλευσεν, Ἀργείων ἀνήρ;
δέδοικα δ᾽ αὐτόν. καί τί μου θράσσει φρένας,
μὴ καὶ Δόλωνα συντυχὼν κατακτάνῃ·
χρόνον γὰρ ἤδη φροῦδος ὢν, οὐ φαίνεται.

ΟΙΚΕΤΗΣ.

οὐκ οἶδα τοὺς σοὺς, οὓς λέγεις, Ὀδυσσέας·
ἡμεῖς δ᾽ ὑπ᾽ ἐχθρῶν οὐδενὸς πεπλήγμεθα.

ΕΚΤΩΡ.

σὺ δ᾽ οὖν νόμιζε ταῦτ᾽, ἐπείπερ σοι δοκεῖ.

ΟΙΚΕΤΗΣ.

ὦ γαῖα πατρὶς, πῶς ἂν ἐνθάνοιμί σοι!

ΕΚΤΩΡ.

μὴ θνῆσχ᾽· ἅλις γὰρ τῶν τεθνηκότων ὄχλος.

852. ᾔσαν. 854. Ἀχαιϊκὸς. 860. δέδοικά γ᾽ αὐτόν.

ΟΙΚΕΤΗΣ.

ποῖ δὲ τράπωμαι δεσποτῶν μονούμενος;

ΕΚΤΩΡ.

οἶκός σε κεύθων οὑμὸς ἐξιάσεται.

ΟΙΚΕΤΗΣ.

καὶ πῶς με κηδεύσουσιν αὐθεντῶν χέρες;

ΕΚΤΩΡ.

ὅδ' αὖ τὸν αὐτὸν μῦθον οὐ λήξει λέγων.

ΟΙΚΕΤΗΣ.

ὄλοιθ' ὁ δράσας! οὐ γὰρ ἐς σὲ τείνεται
γλῶσσ', ὡς σὺ κομπεῖς· ἡ Δίκη δ' ἐπίσταται.

ΕΚΤΩΡ.

λάζυσθ'· ἄγοντες αὐτὸν ἐς δόμους ἐμοὺς,
οὕτως, ὅπως ἂν μὴ 'γκαλῇ, πορσύνετε·
ὑμᾶς δ' ἰόντας τοῖσιν ἐν τείχει χρεὼν
Πριάμῳ τε καὶ γέρουσι σημῆναι, νεκροὺς
θάπτειν κελεύειν λεωφόρους πρὸς ἐκτροπάς.

ΧΟΡΟΣ.

τί ποτ' εὐτυχίας ἐκ τῆς μεγάλης
Τροίαν ἀνάγει πάλιν εἰς πένθη
δαίμων ἄλλος, τί φυτεύων;
ἔα, ἔα. ὢ, ὤ.
τίς ὑπὲρ κεφαλῆς θεὸς, ὦ βασιλεῦ,
τὸν νεόκμητον νεκρὸν ἐν χειροῖν
φοράδην πέμπει;
ταρβῶ, λεύσσων τόδε πῆμα.

ΜΟΥΣΑ.

ὁρᾶν πάρεστι, Τρῶες· ἡ γὰρ ἐν σοφοῖς

878. λαοφόρους. 880. Τροίαν ἄγει. 881. δαίμων, ἄλλό τι φ. 884. νεόδμητον — χεροῖν.

τιμὰς ἔχουσα Μοῦσα, συγγόνων μία,
πάρειμι, παῖδα τόνδ' ὁρῶσ' οἰκτρῶς φίλον
θανόνθ' ὑπ' ἐχθρῶν· ὅν ποθ' ὁ κτείνας χρόνῳ
δόλιος Ὀδυσσεὺς ἀξίαν τίσει δίκην.
ἰαλέμῳ αὐθιγενεῖ, (στροφή.)
τέκνον, σ' ὀλοφύρομαι, ὦ
ματρὸς ἄλγος, οἷαν
ἔκελσας ὁδὸν ποτὶ Τροίαν,
ἦ δυσδαίμονα καὶ μελέαν
ἀποπεμψαμένας ἐμοῦ πορευθεὶς,
ἀπὸ δ' ἀντομένου πατρὸς βιαίως.
ὤμοι ἐγὼ σέθεν! ὦ φιλία
φιλία κεφαλά, τέκνον, ὤμοι!

ΧΟΡΟΣ.

ὅσον προσήκει μὴ γένους κοινωνίαν
ἔχοντι, λύπῃ τὸν σὸν οἰκτείρω γόνον.

ΜΟΥΣΑ.

ὄλοιτο μὲν Οἰνεΐδας, (ἀντιστρ.)
ὄλοιτο δὲ Λαρτιάδας,
ὅς μ' ἄπαιδα γέννας
ἔθηκεν ἀριστοτόκοιο·
ἅ θ' Ἑλένα προλιποῦσα δόμον
Φρυγίων λεχέων ἔπλευσε πλαθεῖσ'·
[ὑπ'] Ἰλίῳ ὤλεσε μέν σε κατὰ Τροίας,
φίλτατε, μυριάδας τε πόλεις
ἀνδρῶν ἀγαθῶν ἐκένωσεν.
ἦ πολλὰ μὲν ζῶν, πολλὰ δ' εἰς Ἅιδου μολὼν,
Φιλάμμονος παῖ, τῆς ἐμῆς ἥψω φρενός·
ὕβρις γάρ, ἥ σ' ἔσφηλε, καὶ Μουσῶν ἔρις

893. ὀλοφύρομ' ὦ. 904. Λαερτίδας. 909. ὑπ' sine uncis.

τεκεῖν μ' ἔθηκε τόνδε δύστηνον γόνον.
περῶσα γὰρ δὴ ποταμίους διαῤῥοὰς,
λέκτροις ἐπλάθην Στρυμόνος φυταλμίοις,
ὅτ' ἤλθομεν γῆς χρυσόβωλον ἐς λέπας
Πάγγαιον ὀργάνοισιν ἐξησκημέναι
Μοῦσαι μεγίστην εἰς ἔριν μελῳδίας
κείνῳ σοφιστῇ Θρῃκὶ, κἀκτυφλώσαμεν
Θάμυριν, ὃς ἡμῶν πόλλ' ἐδέννασεν τέχνην.
κἀπεί σε τίκτω, συγγόνους αἰδουμένη
καὶ παρθενείαν, ἧκ' ἐς εὐΰδρου πατρὸς
δίνας· τρέφειν δ' ἐς οὐ βροτείαν ἐσχάραν
Στρυμὼν δίδωσιν, ἀλλὰ πηγαίαις κόραις.
ἔνθ' ἐκτραφεὶς κάλλιστα παρθένων ὕπο,
Θρῄκης ἀνάσσων πρῶτος ἦσθ' ἀνδρῶν, τέκνον.
καί σ' ἀμφὶ γῆν μὲν πατρίαν φιλαιμάτους
ἀλκὰς κορύσσοντ', οὐκ ἐδείμαινον θανεῖν·
Τροίας δ' ἀπηύδων ἄστυ μὴ κέλσαι ποτὲ,
εἰδυῖα τὸν σὸν πότμον· ἀλλά σ' Ἕκτορος
πρεσβεύμαθ' αἵ τε μυρίαι γερουσίαι
ἔπεισαν ἐλθεῖν κἀπικουρῆσαι φίλοις.
καὶ τοῦδ', Ἀθάνα, παντὸς αἰτία μόρου
(οὐδὲν δ' Ὀδυσσεὺς, οὐδ' ὁ Τυδέως τόκος
ἔδρασε δράσας) μὴ δόκει λεληθέναι.
καίτοι πόλιν σὴν σύγγονοι πρεσβεύομεν
Μοῦσαι μάλιστα, κἀπιχρώμεθα χθονὶ,
μυστηρίων τε τῶν ἀποῤῥήτων φάνας
ἔδειξεν Ὀρφεὺς, αὐτανέψιος νεκροῦ
τοῦδ', ὃν κατακτείνεις σύ· Μουσαῖόν τε, σὸν
σεμνὸν πολίτην κἀπὶ πλεῖστον ἄνδρ' ἕνα

942. τοῦδ', οὔνεκα κτείνασα.

ἐλθόντα, Φοῖβος σύγγονοί τ' ἠσκήσαμεν.
καὶ τῶνδε μισθὸν παῖδ' ἔχουσ' ἐν ἀγκάλαις
θρηνῶ· σοφιστὴν δ' ἄλλον οὐκ ἐπάξομαι.

ΧΟΡΟΣ.

μάτην ἄρ' ἡμᾶς Θρῄκιος στρατηλάτης
ἐδέννασ', Ἕκτορ, τῷδε βουλεῦσαι φόνον.

ΕΚΤΩΡ.

ᾔδη τάδ'· οὐδὲν μάντεως ἔδει φράσαι
Ὀδυσσέως τέχναισι τόνδ' ὀλωλότα.
ἐγὼ δὲ γῆς ἔφεδρον Ἑλλήνων στρατὸν
λεύσσων, τί μὴν ἔμελλον οὐ πέμψειν φίλοις
κήρυκας, ἐλθεῖν κἀπικουρῆσαι χθονί;
ἔπεμψ'· ὀφείλων δ' ἦλθε συμπονεῖν ἐμοί.
οὐ μὴν θανόντι γ' οὐδαμῶς συνήδομαι.
καὶ νῦν ἕτοιμος τῷδε καὶ τεῦξαι τάφον
καὶ ξυμπυρῶσαι μυρίων πέπλων χλιδήν·
φίλος γὰρ ἐλθὼν δυστυχῶς ἀπέρχεται.

ΜΟΥΣΑ.

οὐκ εἶσι γαίας ἐς μελάγχιμον πέδον·
τοσόνδε Νύμφην τὴν ἔνερθ' αἰτήσομαι
τῆς καρποποιοῦ παῖδα Δήμητρος θεᾶς,
ψυχὴν ἀνεῖναι τοῦδ'. ὀφειλέτις δέ μοι
τοὺς Ὀρφέως τιμῶσα φαίνεσθαι φίλους.
κἀμοὶ μὲν ὡς θανών τε κοὐ λεύσσων φάος,
ἔσται τὸ λοιπόν· οὐ γὰρ ἐς ταυτόν ποτε
οὔτ' εἶσιν, οὔτε μητρὸς ὄψεται δέμας·
κρυπτὸς δ' ἐν ἄντροις τῆσδ' ὑπαργύρου χθονὸς
ἀνθρωποδαίμων κείσεται βλέπων φάος,
Βάκχου προφήτης, ὅς τε Παγγαίου πέτραν

949. ᾔδειν.

ᾤκησε σεμνὸς τοῖσιν εἰδόσιν θεός.
βαιὸν δὲ πένθος τῆς θαλασσίας θεοῦ
οἴσω· θανεῖν γὰρ καὶ τὸν ἐκ κείνης χρεών.
θρήνοις δ' ἀδελφαὶ πρῶτα μὲν σ' ὑμνήσομεν,
ἔπειτ' Ἀχιλλέα Θέτιδος ἐν πένθει ποτέ.
οὐ ῥύσεταί νιν Παλλὰς, ἥ σ' ἀπέκτανεν·
τοῖον φαρέτρα Λοξίου σώζει βέλος.
ὦ παιδοποιοὶ συμφοραὶ, πόνοι βροτῶν!
ὡς, ὅςτις ὑμᾶς μὴ κακῶς λογίζεται,
ἄπαις διοίσει κοὐ τεκὼν θάψει τέκνα.

ΧΟΡΟΣ.

οὗτος μὲν ἤδη μητρὶ κηδεύειν μέλει·
σὺ δ' εἴ τι πράσσειν τῶν προκειμένων θέλεις,
Ἕκτορ, πάρεστι· φῶς γὰρ ἡμέρας τόδε.

ΕΚΤΩΡ.

χωρεῖτε, συμμάχους δ' ὁπλίζεσθαι τάχος
ἄνωχθε· πληροῦτ' αὐχένας ξυνωρίδων.
πανοὺς δ' ἔχοντας χρὴ μένειν Τυρσηνικῆς
σάλπιγγος αὐδήν· ὡς, ὑπερβάλλων στρατὸν
τείχη τ' Ἀχαιῶν, ναυσὶν αἶθον ἐμβαλεῖν
πέποιθα Τρωσί θ' ἡμέραν ἐλευθέραν
ἀκτῖνα τὴν στείχουσαν ἡλίου φέρειν.

ΧΟΡΟΣ.

πείθου βασιλεῖ· στείχωμεν ὅπλοις
κοσμησάμενοι, καὶ ξυμμαχίᾳ
τάδε φράζωμεν· τάχα δ' ἂν νίκαν
δοίη δαίμων ὁ μεθ' ἡμῶν.

ΤΕΛΟΣ ΡΗΣΟΥ.

ΕΥΡΙΠΙΔΟΥ

ΤΡΩΑΔΕΣ.

ΥΠΟΘΕΣΙΣ.

Μετα τὴν Ἰλίου πόρθησιν ἔδοξεν Ἀθηνᾷ τε καὶ Ποσειδῶνι τὸ τῶν Ἀχαιῶν στράτευμα διαφθεῖραι, τοῦ μὲν εὐνοοῦντος τῇ πόλει διὰ τὴν κτίσιν, τῆς δὲ μισησάσης τοὺς Ἕλληνας διὰ τὴν Αἴαντος εἰς Κασάνδραν ὕβριν. οἱ δὲ Ἕλληνες ἐκληρώσαντο τὰς αἰχμαλωτίδας τῶν γυναικῶν· τοῖς γὰρ ἐν ἀξιώμασιν ἔδωκαν, Ἀγαμέμνονι μὲν Κασάνδραν, Ἀνδρομάχην δὲ Νεοπτολέμῳ, Πολυξένην δὲ τῷ Ἀχιλλεῖ. ταύτην μὲν οὖν ἐπὶ τοῦ τάφου αὐτοῦ ἔσφαξαν· Ἀστυάνακτα δὲ τὸν τοῦ Ἕκτορος ἀπὸ τῶν τειχῶν ἔῤῥιψαν· Ἑλένην δὲ ὡς ἀποκτενῶν Μενέλεως ἤγαγεν· Ἀγαμέμνων δὲ τὴν χρησμῳδὸν ἐνυμφαγώγησεν. Ἑκάβη δὲ, τῆς μὲν Ἑλένης κατηγορήσασα, τοὺς ἀναιρεθέντας δὲ κατοδυρομένη τε καὶ θρηνήσασα καὶ κηδεύσασα, πρὸς τὰς τοῦ Ὀδυσσέως ἤχθη σκηνὰς, τούτῳ λατρεύειν δοθεῖσα.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΟΣΕΙΔΩΝ.
ΑΘΗΝΑ.
ΕΚΑΒΗ.
ΧΟΡΟΣ αἰχμαλωτίδων Τρῳάδων.
ΤΑΛΘΥΒΙΟΣ.
ΚΑΣΣΑΝΔΡΑ.
ΑΝΔΡΟΜΑΧΗ.
ΜΕΝΕΛΑΟΣ.
ΕΛΕΝΗ.

ΕΥΡΙΠΙΔΟΥ ΤΡΩΑΔΕΣ.

ΠΟΣΕΙΔΩΝ.

Ἥκω, λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος
πόντου, Ποσειδῶν, ἔνθα Νηρήδων χοροὶ
κάλλιστον ἴχνος ἐξελίσσουσιν ποδός·
ἐξ οὗ γὰρ ἀμφὶ τήνδε Τρωϊκὴν χθόνα
Φοῖβός τε κἀγὼ λαΐνους πύργους πέριξ
ὀρθοῖσιν ἔθεμεν κανόσιν, οὔ ποτ' ἐκ φρενῶν
εὔνοι' ἀπέστη τῶν ἐμῶν Φρυγῶν πόλει,
ἣ νῦν καπνοῦται καὶ πρὸς Ἀργείου δορὸς
ὄλωλε πορθηθεῖσ'. ὁ γὰρ Παρνάσιος
Φωκεὺς Ἐπειὸς μηχαναῖσι Παλλάδος
ἐγκύμον' ἵππον τευχέων ξυναρμόσας
πύργων ἔπεμψεν ἐντὸς, ὀλέθριον βάρος·
ὅθεν πρὸς ἀνδρῶν ὑστέρων κεκλήσεται
δούρειος ἵππος, κρυπτὸν ἀμπίσχων δόρυ.
ἔρημα δ' ἄλση καὶ θεῶν ἀνάκτορα
φόνῳ καταῤῥεῖ· πρὸς δὲ κρηπίδων βάθροις

X 2

2. χορός M. 13. κληθήσεται M. 15. ἀγάλματα S.

πέπτωκε Πρίαμος Ζηνὸς Ἑρκείου θανών.
πολὺς δὲ χρυσὸς Φρύγιά τε σκυλεύματα
πρὸς ναῦς Ἀχαιῶν πέμπεται· μένουσι δὲ
πρύμνηθεν οὖρον, ὡς δεκασπόρῳ χρόνῳ
ἀλόχους τε καὶ τέκν᾽ εἰσίδωσιν ἄσμενοι,
οἳ τήνδ᾽ ἐπεστράτευσαν Ἕλληνες πόλιν.
ἐγὼ δέ, — νικῶμαι γὰρ Ἀργείας θεοῦ
Ἥρας Ἀθάνας θ᾽, αἳ συνεξεῖλον Φρύγας, —
λείπω τὸ κλεινὸν Ἴλιον βωμούς τ᾽ ἐμούς·
ἐρημία γὰρ πόλιν ὅταν λάβῃ κακή,
νοσεῖ τὰ τῶν θεῶν οὐδὲ τιμᾶσθαι θέλει.
πολλοῖς δὲ κωκυτοῖσιν αἰχμαλωτίδων
βοᾷ Σκάμανδρος, δεσπότας κληρουμένων.
καὶ τὰς μὲν Ἀρκάς, τὰς δὲ Θεσσαλὸς λεὼς
εἴληχ᾽ Ἀθηναίων τε Θησεῖδαι πρόμοι.
ὅσαι δ᾽ ἄκληροι Τρῳάδων, ὑπὸ στέγαις
ταῖσδ᾽ εἰσί, τοῖς πρώτοισιν ἐξῃρημέναι
στρατοῦ, σὺν αὐταῖς δ᾽ ἡ Λάκαινα Τυνδαρὶς
Ἑλένη, νομισθεῖσ᾽ αἰχμάλωτος ἐνδίκως.
τὴν δ᾽ ἀθλίαν τήνδ᾽ εἴ τις εἰσορᾷν θέλει,
πάρεστιν, Ἑκάβην κειμένην πυλῶν πάρος,
δάκρυα χέουσαν πολλὰ καὶ πολλῶν ὕπερ·
ᾗ παῖς μὲν ἀμφὶ μνῆμ᾽ Ἀχιλλείου τάφου
λάθρα τέθνηκε τλημόνως Πολυξένη,
φροῦδος δὲ Πρίαμος καὶ τέκν᾽· ἣν δὲ παρθένον
μεθῆκ᾽ Ἀπόλλων δρομάδα Κασάνδραν ἄναξ,
τὸ τοῦ θεοῦ τε παραλιπὼν τό τ᾽ εὐσεβές,
γαμεῖ βιαίως σκότιον Ἀγαμέμνων λέχος.

17. Ἑρκίου M. 51. δὲ Θ. M. 54. deest δ᾽ M. 37. Ἑκάβη κειμένη. 38. χέουσα. 40. οἰκτρὰ τ. M.

ἀλλ᾽, ὦ ποτ᾽ εὐτυχοῦσα, χαῖρέ μοι, πόλις,
ξεστόν τε πύργωμ᾽· εἴ σε μὴ διώλεσεν
Παλλὰς Διὸς παῖς, ἦσθ᾽ ἂν ἐν βάθροις ἔτι.

ΑΘΗΝΑ.

ἔξεστι τὸν γένει μὲν ἄγχιστον πατρὸς,
μέγαν τε δαίμον᾽ ἐν θεοῖς τε τίμιον,
λύσασαν ἔχθραν τὴν πάρος, προσεννέπειν;

ΠΟΣΕΙΔΩΝ.

ἔξεστιν· αἱ γὰρ συγγενεῖς ὁμιλίαι,
ἄνασσ᾽ Ἀθάνα, φίλτρον οὐ σμικρὸν φρενῶν.

ΑΘΗΝΑ.

ἐπῄνεσ᾽ ὀργὰς ἠπίους· φέρω δὲ σοὶ
κοινοὺς ἐμαυτῇ τ᾽ ἐς μέσον λόγους, ἄναξ.

ΠΟΣΕΙΔΩΝ.

μῶν ἐκ θεῶν του καινὸν ἀγγέλλεις ἔπος,
ἢ Ζηνὸς, ἢ καὶ δαιμόνων τινὸς πάρα;

ΑΘΗΝΑ.

οὔκ, ἀλλὰ Τροίας οὕνεκ᾽, ἔνθα βαίνομεν,
πρὸς σὴν ἀφῖγμαι δύναμιν, ὡς κοινὴν λάβω.

ΠΟΣΕΙΔΩΝ.

ἦπού νυν, ἔχθραν τὴν πρὶν ἐκβαλοῦσα δὴ,
ἐς οἶκτον ἦλθες πυρὶ κατῃθαλωμένης;

ΑΘΗΝΑ.

ἐκεῖσε πρῶτ᾽ ἄνελθε· κοινώσει λόγους
καὶ συνθελήσεις, ἃν ἐγὼ πρᾶξαι θέλω;

ΠΟΣΕΙΔΩΝ.

μάλιστ᾽· ἀτὰρ δὴ καὶ τὸ σὸν θέλω μαθεῖν,
πότερον Ἀχαιῶν οὕνεκ᾽ ἦλθες, ἢ Φρυγῶν.

52. μικρόν. 62. συμπονήσεις M.

ΑΘΗΝΑ.

τοὺς μὲν πρὶν ἐχθροὺς Τρῶας εὐφρᾶναι θέλω,
στρατῷ δ' Ἀχαιῶν νόστον ἐμβαλεῖν πικρόν.

ΠΟΣΕΙΔΩΝ.

τί δ' ὧδε πηδᾷς ἄλλοτ' εἰς ἄλλους τρόπους,
μισεῖς τε λίαν καὶ φιλεῖς, ὃν ἂν τύχῃ;

ΑΘΗΝΑ.

οὐκ οἶσθ' ὑβρισθεῖσάν με καὶ ναοὺς ἐμούς;

ΠΟΣΕΙΔΩΝ.

οἶδ', ἡνίκ' Αἴας εἷλκε Κασάνδραν βίᾳ.

ΑΘΗΝΑ.

κοὐδέν γ' Ἀχαιῶν ἔπαθεν, οὐδ' ἤκουσ' ὕπο.

ΠΟΣΕΙΔΩΝ.

καὶ μὴν ἔπερσάν γ' Ἴλιον τῷ σῷ σθένει.

ΑΘΗΝΑ.

τοιγάρ σφε σὺν σοὶ βούλομαι δρᾶσαι κακῶς.

ΠΟΣΕΙΔΩΝ.

ἕτοιμ', ἃ βούλει, τἀπ' ἐμοῦ. δράσεις δὲ τί;

ΑΘΗΝΑ.

δύςνοστον αὐτοῖς νόστον ἐμβαλεῖν θέλω.

ΠΟΣΕΙΔΩΝ.

ἐν γῇ μενόντων, ἢ καθ' ἁλμυρὰν ἅλα;

ΑΘΗΝΑ.

ὅταν πρὸς οἴκους ναυστολῶσ' ἀπ' Ἰλίου.
καὶ Ζεὺς μὲν ὄμβρον καὶ χάλαζαν ἄσπετον
πέμψει γνοφώδη τ' αἰθέρος φυσήματα,
ἐμοὶ δὲ δώσειν φησὶ πῦρ κεραύνιον,
βάλλειν Ἀχαιοὺς ναῦς τε πιμπράναι πυρί.
σὺ δ' αὖ τὸ σὸν παράσχες Αἰγαῖον πόρον

72. τ' Ἴλιον M. 76. μένουσιν.

τρικυμίαις βρέμοντα καὶ δίναις ἁλὸς,
πλῆσον δὲ νεκρῶν κοῖλον Εὐβοίας μυχὸν,
ὡς ἂν τὸ λοιπὸν τἄμ' ἀνάκτορ' εὐσεβεῖν
εἰδῶσ' Ἀχαιοὶ θεούς τε τοὺς ἄλλους σέβειν.

ΠΟΣΕΙΔΩΝ.

ἔσται τάδ' — ἡ χάρις γὰρ οὐ μακρῶν λόγων
δεῖται — ταράξω πέλαγος Αἰγαίας ἁλός.
ἀκταὶ δὲ Μυκόνου Δήλιοί τε χοιράδες
Σκῦρός τε Λῆμνός θ' αἱ Καφήρειοί τ' ἄκραι
πολλῶν θανόντων σώμαθ' ἕξουσιν νεκρῶν.
ἀλλ' ἕρπ' Ὄλυμπον, καὶ κεραυνίους βολὰς
λαβοῦσα πατρὸς ἐκ χερῶν καραδόκει,
ὅταν στράτευμ' Ἀργεῖον ἐξίῃ κάλως.
μῶρος δὲ θνητῶν ὅςτις ἐκπορθεῖ πόλεις,
ναούς τε τύμβους θ', ἱερὰ τῶν κεκμηκότων,
ἐρημίᾳ δοὺς, αὐτὸς ὤλεθ' ὕστερον.

ΕΚΑΒΗ.

ἄνα, δυςδαίμων, πεδόθεν κεφαλὴν,
ἐπάειρε δέρην· οὐκέτι Τροία
τάδε. καὶ βασιλεῖς ἐσμὲν Τροίας.
μεταβαλλομένου δαίμονος ἀνέχου.
πλεῖ κατὰ πορθμὸν, πλεῖ κατὰ δαίμονα,
μηδὲ προςίστη πρῶραν βιότου
πρὸς κῦμα, πλέουσα τύχαισιν.
αἶ, αἶ, αἶ, αἶ.
τί γὰρ οὐ πάρα μοι μελέᾳ στενάχειν,
ᾗ πατρὶς ἔῤῥει καὶ τέκνα καὶ πόσις;
ὦ πολὺς ὄγκος συστελλομένων
προγόνων, ὡς οὐδὲν ἄρ' ἦσθα!

85. εὖ σέβειν S.

τί με χρὴ σιγᾷν;
τί δὲ μὴ σιγᾷν; τί δὲ θρηνῆσαι;
δύστηνος ἐγὼ τῆς βαρυδαίμονος
ἄρθρων κλίσεως, ὡς διάκειμαι,
νῶτ' ἐν στεῤῥοῖς λέκτροισι ταθεῖσ'!
οἴμοι κεφαλῆς, οἴμοι κροτάφων
πλευρῶν θ'! ὥς μοι πόθος εἱλίξαι,
καὶ διαδοῦναι νῶτον ἄκανθάν τ'
εἰς ἀμφοτέρους τοίχους μελέων,
ἐπὶ τοὺς αἰεὶ δακρύων ἐλέγους.
Μοῦσα δὲ χαὔτη τοῖς δυστήνοις,
ἄτας κελαδεῖν ἀχορεύτους.
Πρῷραι ναῶν ὠκεῖαι, (στροφὴ ά.)
Ἴλιον ἱερὰν αἳ κώπαισιν
δι' ἅλα τε πορφυροειδέα λιμένας θ'
Ἑλλάδος εὐόρμους
αὐλῶν παιᾶνι στυγνῷ
συρίγγων τ' εὐφθόγγῳ φωνᾷ [βαίνουσαι]
πλεκτὰν Αἰγύπτου παιδείαν
ἐξηρτήσασθ',
αἶ αἶ! Τροίας ἐν κόλποισιν
τὰν Μενελάου μετανισσόμεναι
στυγνὰν ἄλοχον, Κάστορι λώβαν
τῷ τ' Εὐρώτᾳ δύςκλειαν,
ἃ σφάζει μὲν
τὸν πεντήκοντ' ἀροτῆρα τέκνων
Πρίαμον, ἐμέ τε τὰν μελέαν Ἑκάβην

113. κλίσιος M. 114. νῶτ' ἐν om. S. 120. δέ γ' αὔτη S. 123. κώπαις. 124. δι' ἅλα π. καὶ λιμένας Ἑλλ. 136. τὰν deest M.

ἐς τάνδ' ἐξώκειλ' ἄταν.
ὤμοι θάκους, οὓς θάσσω (ἀντιστρ. ά.)
σκηναῖσιν ἔφεδρος Ἀγαμεμνονίαις!
δούλα δ' ἄγομαι γραῦς ἐξ οἴκων,
κουρᾷ [ξυρήκει] πενθήρει
κρᾶτ' ἐκπορθηθεῖσ' οἰκτρῶς.
ἀλλ' ὦ τῶν χαλκεγχέων Τρώων
ἄλοχοι μέλεαι καὶ κοῦραι
καὶ δύςνυμφοι,
τύφεται Ἴλιον, αἰάζωμεν·
μάτηρ δ' ὥς τις πτανοῖς κλαγγὰν
ὄρνισιν ὅπως ἐξάρξω 'γὼ
μολπάν, οὐ * τὰν αὐτὰν,
οἵαν ποτὲ δὴ
σκήπτρῳ Πριάμου διερειδομένα
ποδὸς ἀρχεχόρου πλαγαῖς Φρυγίαις
εὐκόμποις ἐξῆρχον θεούς.

ΗΜΙΧΟΡΙΟΝ ά.

Ἑκάβη, τί θροεῖς; τί δὲ θωΰσσεις; (στροφὴ β'.)
ποῖ λόγος ἥκει; διὰ γὰρ μελάθρων
ἄϊον οἴκτους, οὓς οἰκτίζει,
διὰ δὲ στέρνων φόβος αἴσσει
Τρῳάσιν, αἳ τῶνδ' οἴκων εἴσω
δουλείαν αἰάζουσιν.

ΕΚΑΒΗ.

ὦ τέκν', Ἀργείων πρὸς ναῦς δὴ
κινεῖται κωπήρης χείρ.

139. σκηναῖς — Ἀγαμεμνονείαις M. 147. πτηνοῖς M. 152. πληγαῖς M. 160. ἤδη M.

ΗΜΙΧΟΡΙΟΝ ά.

οἳ 'γὼ τλάμων!
τί θέλουσ'; ἦπου δή με τάλαιναν
ναυσθλώσουσιν πατρῴας ἀπὸ γᾶς;

ΕΚΑΒΗ.

οὐκ οἶδ', εἰκάζω δ' ἄταν.

ΗΜΙΧΟΡΙΟΝ ά.

ἰώ! ἰώ!
μέλεαι μόχθων ἐπακουσόμεναι
Τρῳάδες, ἔξω κομίσασθ' οἴκων·
στέλλουσ' Ἀργεῖοι νόστον·

ΕΚΑΒΗ.

ἒ ἕ!
μὴ νύν μοι τὰν βακχεύουσαν
Κασάνδραν πέμψασθ' ἔξω,
αἰσχύναν Ἀργείοισιν,
μαινάδ'· ἐπ' ἄλγεσι δ' ἀλγυνθῶ;
ἰώ! Τροία [Τροία] δύσταν', ἔῤῥεις,
δύστανοι δ' οἵ σ' ἐκλείποντες
καὶ ζῶντες καὶ δμαθέντες.

ΗΜΙΧΟΡΙΟΝ β'.

οἴμοι! τρομερὰ σκηνὰς ἔλιπον (ἀντιστρ. β'.)
τάσδ' Ἀγαμέμνονος ἐπακουσομένα,
βασίλεια, σέθεν, μή με κτείνειν
δόξ' Ἀργείων κεῖται μελέαν,
ἢ κατὰ πρύμνας ἤδη ναῦται
στέλλονται κινεῖν κώπας.

172. αἰσχύνην. 175. οἵ σε λιπόντες M. 177. ΧΟΡΟΣ M. et sic in sqq.

ΕΚΑΒΗ.

ὦ τέκνον, ὀρθρεύουσαν ψυχὰν
ἐκπληχθεῖσ' ἦλθον φρίκᾳ.

ΗΜΙΧΟΡΙΟΝ β'.

* *

ἤδη τις ἔβα Δαναῶν κῆρυξ;
τῷ πρόσκειμαι δούλα τλάμων;

ΕΚΑΒΗ.

ἐγγύς που κεῖσαι κλήρου.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἰώ! ἰώ!
τίς μ' Ἀργείων ἢ Φθιωτᾶν
ἢ νησαίαν ἄξει χώραν
δύστανον πόῤῥω Τροίας;

ΕΚΑΒΗ.

φεῦ! φεῦ!
τῷ δ' ἁ τλάμων; ποῦ, ποῦ γαίας
δουλεύσω γραῦς, ὡς κηφήν, [ἁ]
δειλαία νεκροῦ μορφά,
νεκύων ἀμενηνὸν ἄγαλμ', ἢ
τὰν παρὰ προθύροις φυλακὰν κατέχουσ',
ἢ παίδων θρέπτειρ', ἃ Τροίας
ἀρχαγοὺς εἶχον τιμάς;

ΗΜΙΧΟΡΙΟΝ ά.

αἶ αἶ! αἶ αἶ! ποίοις δ' οἴκτοις (στρ. γ'.)
τὰν σὰν λύμαν ἐξαιάζεις;

183. ὦ τέκν', ὀ. S. 185. Ante hunc v. deest *ΗΜΙΧ.* M. 188. *ΕΚ.* M. 190. νησαιᾶν — χωρᾶν S. 192. Choro contin. M. 195. μορφᾷ M. 200. αἶ αἶ· ποίοισιν M. αἶ αἶ ποίοις S. 201. ἐξετάσεις M.

οὐκ Ἰδαίοις ἱστοῖς κερκίδα
δινεύουσ' ἐξαλλάξω.

ΗΜΙΧΟΡΙΟΝ β'.

νέατον τεκέων σώματα λεύσσω,
νέατον· μόχθους ἕξω κρείσσους,
ἢ λέκτροις πλαθεῖσ' Ἑλλάνων, —
ἔῤῥοι νὺξ αὕτα καὶ δαίμων! —
ἢ Πειρήνας ὑδρευσομένα
πρόσπολος οἰκτρὰ σεμνῶν ὑδάτων [ἔσομαι].

ΗΜΙΧΟΡΙΟΝ ά.

τὰν κλεινὰν εἴθ' ἔλθοιμεν
Θησέως εὐδαίμονα χώραν!
μὴ γὰρ δὴ δίναν γ' Εὐρώτα
τὰν ἐχθίσταν Θεράπναν Ἑλένας!
ἔνθ' ἀντάσω Μενέλᾳ δούλα,
τῷ τᾶς Τροίας πορθητᾷ.

ΗΜΙΧΟΡΙΟΝ β'.

τὰν Πηνειοῦ σεμνὰν χώραν, (ἀντιστρ. γ'.)
κρηπῖδ' Οὐλύμπου καλλίσταν,
ὄλβῳ βρίθειν φάμαν ἤκουσ'
εὐθαλεῖ τ' εὐκαρπείᾳ.

ΗΜΙΧΟΡΙΟΝ ά.

τάδε δεύτερα μοι μετὰ τὰν ἱερὰν
Θησέως ζαθέαν ἐλθεῖν χώραν.
καὶ τὰν Αἰτναίαν Ἡφαίστου
Φοινίκας ἀντήρη χώραν,

202. 3. Hecubae trib. M. 204. 205. Hec. contin. M. S. νέα τοι M. 206. πλασθεῖσ' M. 207. αὐτὰ M. 210. Hec. continuat usque ad finem S. 212. *ΕΚΑ.* M. usque ad finem. 217. Ὀλύμπου M. 219. εὐκαρπίᾳ M. 221. ἐλθεῖν deest M.

Σικελῶν ὀρέων ματέρ', ἀκούω
κηρύσσεσθαι στεφάνοις ἀρετᾶς.

ΗΜΙΧΟΡΙΟΝ β'.

τάν τ' ἀγχιστεύουσαν γᾶν
Ἰονίῳ ναύταις πόντῳ,
ἃν ὑγραίνει καλλιστεύων
ὁ ξανθὰν χαίταν πυρσαίνων
Κρᾶθις, ζαθέαις παγαῖσι τρέφων
εὔανδρόν τ' ὀλβίζων γᾶν.

ΧΟΡΟΣ.

καὶ μὴν Δαναῶν ὅδ' ἀπὸ στρατιᾶς
κῆρυξ, νεοχμῶν μύθων ταμίας,
στείχει, ταχύπουν ἴχνος ἐξανύων.
τί φέρει; τί λέγει; δοῦλαι γὰρ δὴ
Δωρίδος ἐσμὲν χθονὸς ἤδη.

ΤΑΛΘΥΒΙΟΣ.

Ἑκάβη, — πυκνὰς γὰρ οἶσθά μ' ἐς Τροίαν ὁδοὺς
ἐλθόντα, κήρυκ' ἐξ Ἀχαϊκοῦ στρατοῦ·
ἐγνωσμένος δὲ καὶ πάροιθέ σοι, γύναι,
Ταλθύβιος ἥκω, κοινὸν ἀγγελῶν λόγον.

ΕΚΑΒΗ.

Τόδε, [τόδε] φίλαι γυναῖ-
κες, ὃ φόβος ἦν μοι πάλαι.

ΤΑΛΘΥΒΙΟΣ.

ἤδη κεκλήρωσθ', εἰ τόδ' ἦν ὑμῖν φόβος.

225. στεφάνοις τ' ἀρετάς M. 227. ναίεσθαι M. 228. ὑδραίνει M. 229. πυρσεύων. 238. Ἀχαιϊκοῦ. 241. τόδε, τόδε, φίλαι Τρῳάδες M. τόδε, τόδ' ὦ φ. γυναῖκες S. 242. ἦν * * μοι S.

ΕΚΑΒΗ.

αἶ αἶ! τίνα γ' ἢ
Θεσσαλίας πόλιν, ἢ
Φθιάδος εἶπας, ἢ Καδμείας χθονός;

ΤΑΛΘΥΒΙΟΣ.

κατ' ἄνδρ' ἑκάστη, κοὐχ ὁμοῦ λελόγχατε.

ΕΚΑΒΗ.

τίν' ἄρα τίς ἔλαχε; τίνα πότμος εὐτυχὴς
Ἰλιάδων μενεῖ;

ΤΑΛΘΥΒΙΟΣ.

οἶδ'· ἀλλ' ἕκαστα πυνθάνου, μὴ πάνθ' ὁμοῦ.

ΕΚΑΒΗ.

τοὐμὸν δὲ τίς ἆρ' ἔλαχε τέκος, ἔννεπε,
τλήμονα Κασάνδραν;

ΤΑΛΘΥΒΙΟΣ.

ἐξαίρετόν νιν ἔλαβεν Ἀγαμέμνων ἄναξ.

ΕΚΑΒΗ.

ἦ τᾷ Λακεδαιμονίᾳ νύμφᾳ
δούλαν; ὤ μοί μοι!

ΤΑΛΘΥΒΙΟΣ.

οὐκ, ἀλλὰ λέκτρων σκότια νυμφευτήρια.

ΕΚΑΒΗ.

ἦ τὰν Φοίβου παρθένον, ᾇ γέρας ὁ
χρυσοκόμας ἔδωκ' ἄλεκτρον ζωάν;

ΤΑΛΘΥΒΙΟΣ.

ἔρως ἐτόξευσ' αὐτὸν ἐνθέου κόρης.

246. εἰπάς γ' M. 249. τῶν Ἰλ. M. 251. δὲ om. S. 255. ἰώ μοί μοι M. 258. δῶκεν M.

ΕΚΑΒΗ.

260 ῥίπτε, τέκνον, ζαθέους κλῇδας καὶ ἀπὸ χροὸς ἐνδυ-
τῶν στεφέων ἱεροὺς στολμούς.

ΤΑΛΘΥΒΙΟΣ.

οὐ γὰρ μέγ' αὐτῇ βασιλικῶν λέκτρων τυχεῖν;

ΕΚΑΒΗ.

τί δ', ὃ νεοχμὸν ἀπ' ἐμέθεν ἐλάβετε τέκος, ποῦ
μοι;

ΤΑΛΘΥΒΙΟΣ.

Πολυξένην ἔλεξας, ἢ τίν' ἱστορεῖς;

ΕΚΑΒΗ.

ταύταν τῷ πάλος ἔζευξεν;

ΤΑΛΘΥΒΙΟΣ.

τύμβῳ τέτακται προσπολεῖν Ἀχιλλέως.

ΕΚΑΒΗ.

ὤ μοι ἐγώ! τάφῳ πρόσπολον ἐτεκόμαν.
ἀτὰρ τίς ὅδ' ἦν νόμος, ἢ
τί θέσμιον, ὦ φίλος, Ἑλλάνων;

ΤΑΛΘΥΒΙΟΣ.

εὐδαιμόνιζε παῖδα σήν· ἔχει καλῶς.

ΕΚΑΒΗ.

τί τόδ' ἔλακες; ἆρά μοι ἀέλιον λεύσσει;

ΤΑΛΘΥΒΙΟΣ.

ἔχει πότμος νιν, ὥστ' ἀπηλλάχθαι πόνων.

ΕΚΑΒΗ.

τί δ', ἡ τοῦ χαλκεομίτορος Ἕκτορος δάμαρ,
Ἀνδρομάχη τάλαινα, τίν' ἔχει τύχαν;

260. Ante ῥίπτε et post ζαθέους lacunae signa S. κληΐδας κἀπὸ M. 262. Post hunc vs. lacuna trium vss. S. 265. Ante et post ταύταν lacunae signa S. 272. κακῶν M. 273. τίν' ἡ δὲ τοῦ S.

ΤΑΛΘΥΒΙΟΣ.

καὶ τήνδ᾽ Ἀχιλλέως ἔλαβε παῖς ἐξαίρετον.

ΕΚΑΒΗ.

ἐγὼ δὲ τῷ πρόσπολος, ἁ τριτοβάμονος χερὶ
δευομένα βάκτρου γεραιῷ κάρᾳ;

ΤΑΛΘΥΒΙΟΣ.

Ἰθάκης Ὀδυσσεὺς ἔλαχ᾽ ἄναξ δούλην σ᾽ ἔχειν.

ΕΚΑΒΗ.

Ἒ ἔ!
ἄρασσε κρᾶτα κούριμον,
ἕλκ᾽ ὀνύχεσσι δίπτυχον παρειάν.
ἰώ μοί μοι!
μυσαρῷ δολίῳ τε λέλογχα φωτὶ δουλεύειν
πολεμίῳ δίκας, παρανόμῳ δάκει,
ὃ πάντα τἀκεῖθεν ἐνθάδ᾽
ἀντίπαλ᾽ αὖθις ἐκεῖσε διπτύχῳ γλώσσᾳ
φίλα τὰ πρότερ᾽ ἄφιλα τιθέμενος πάντων.
γοᾶσθ᾽, ὦ Τρωάδες, με.
βέβακα δύσποτμος, οἴχομαι
τάλαιν᾽, ἃ δυστυχεστάτῳ
προσέπεσον κλήρῳ.

ΧΟΡΟΣ.

τὸ μὲν σὸν οἶσθα, πότνα, τὰς δ᾽ ἐμὰς τύχας
τίς ἆρ᾽ Ἀχαιῶν, ἢ τίς Ἑλλήνων ἔχει;

ΤΑΛΘΥΒΙΟΣ.

ἴτ᾽· ἐκκομίζειν δεῦρο Κασάνδραν χρεὼν

276. ἁ φοιτοβάμονος M. 278. deest σ᾽ M. 285. ὃς — τἀκεῖσ᾽. 287. ἄφιλα τὰ πρότερα φίλα M. 289. οἴχ. ἁ τάλαινα· δυστυχ. M. 291. προσέπεσα M. 292. πότνια M.

ὅσον τάχιστα, δμῶες, ὡς στρατηλάτῃ
ἐς χεῖρα δούς νιν, εἶτα τὰς εἰληγμένας
καὶ τοῖσιν ἄλλοις αἰχμαλωτίδων ἄγω.
ἔα, τί πεύκης ἔνδον αἴθεται σέλας;
πιμπρᾶσιν, ἢ τί δρῶσι, Τρῳάδες μυχούς,
ὡς ἐξάγεσθαι τῆσδε μέλλουσαι χθονὸς
πρὸς Ἄργος, αὐτῶν τ᾽ ἐκπυροῦσι σώματα,
θανεῖν θέλουσαι; κάρτα τοι τοὐλεύθερον
ἐν τοῖς τοιούτοις δυσλόφως φέρει κακά.
ἄνοιγ᾽, ἄνοιγε, μὴ τὸ ταῖσδε πρόσφορον,
ἐχθρὸν δ᾽ Ἀχαιοῖς, εἰς ἔμ᾽ αἰτίαν βάλῃ.

ΕΚΑΒΗ.

οὐκ ἔστιν, οὐ πιμπρᾶσιν, ἀλλὰ παῖς ἐμὴ
μαινὰς θοάζει δεῦρο Κασάνδρα δρόμῳ.

ΚΑΣΣΑΝΔΡΑ.

Ἄνεχε, πάρεχε φῶς φέρε· σέβω, φλέγω (στρ.)
λαμπάσι τόδ᾽ ἱερόν.
ὦ Ὑμήν, Ὑμέναι᾽ ἄναξ,
ἰδού, ἰδού! μακάριος ὁ γαμέτας
μακαρία δ᾽ ἐγώ,
κατ᾽ Ἄργος ἁ γαμουμένα.
Ὑμὴν, ὦ Ὑμέναι᾽ ἄναξ.
ἐπεὶ σὺ, μᾶτερ, ἐπὶ δάκρυσι καὶ
γόοισι τὸν θανόντα πατέρα πατρίδα τε
φίλαν καταστένουσ᾽ ἔχεις,
ἐγὼ τόδ᾽ ἐπὶ γάμοις ἐμοῖς

296. εἰλεγμένας M. 301. αὑτῶν M. 308. φέρω M. 312. βασιλικοῖς λέκτροις add. M. 314. om. ω M. Ὑμὴν, ὦ Ὑμέναις S. 318. ἐγὼ δ᾽ ἐπὶ M. S. Post ἐγὼ δ᾽ lacunae signum S.

ἀναφλέγω πυρὸς φῶς
ἐς αὐγάν, ἐς αἴγλαν,
Ὑμήν, ὦ Ὑμέναιε, σοί.
[παρθένων ἐπὶ λέκτροις·]
δίδου δ', ὦ Ἑκάτα, φάος,
παρθένων ἐπὶ λέκτροις
ᾇ νόμος ἔχει.
πάλλε πόδ' αἰθέριον· ἄναγε χορόν, εὐᾶν,
[εὐοῖ] (ἀντ.)
ὡς ἐπὶ πατρὸς ἐμοῦ
μακαριωτάταισι τύχαις·
ὁ χορὸς ὅσιος· ἄγε σύ, Φοῖβέ, νιν·
κατὰ σὸν ἐν δάφναις
ἀνάκτορον θυηπολῶ,
Ὑμήν, ὦ Ὑμέναι', Ὑμήν.
χόρευε, μᾶτερ, ἄναγε πόδα σόν,
ἕλισσε τᾷδ' ἐκεῖσε μετ' ἐμέθεν ποδῶν
φέρουσα φιλτάταν βάσιν.
βοάσατε τὸν Ὑμέναιον, ὦ,
μακαρίαις ἀοιδαῖς
ἰακχαῖς τε νύμφαν.
ἴτ', ὦ καλλίπεπλοι Φρυγῶν
κόραι, μέλπετ' ἐμὸν γάμον
τὸν πεπρωμένον εὐνᾷ
πόσιν ἐμέθεν.

320. εἰς — εἰς M. 321. ὦ Ὑμέναιέ, σοι M. 322. sine uncis M. om. S. 323. διδοῦσ' ὦ M. 328. μακαριωτάταις M. 329. νῦν M. 332. Ὑμήν, ὦ Ὑμήν, Ὑμήν M. 333. χόρευ' ἄναγε M. om. S. 334. τάδ' M. 336. βοάσατ' εὖ τὸν Ὑμ. 338. ἰαχαῖς M.

ΧΟΡΟΣ.

βασίλεια, βακχεύουσαν οὐ λήψει κόρην,
μὴ κοῦφον αἴρῃ βῆμ' ἐς Ἀργείων στρατόν;

ΕΚΑΒΗ.

Ἥφαιστε, δᾳδουχεῖς μὲν ἐν γάμοις βροτῶν,
ἀτὰρ λυγράν γε τήνδ' ἀναιθύσσεις φλόγα,
ἔξω τε μεγάλων ἐλπίδων. οἴμοι, τέκνον!
ὡς οὐχ ὑπ' αἰχμῆς σ', οὐδ' ὑπ' Ἀργείου δορὸς,
γάμους γαμεῖσθαι τούσδ' ἐδόξαζον ποτέ.
παράδος ἐμοὶ φῶς· οὐ γὰρ ὀρθὰ πυρφορεῖς
μαινὰς θοάζουσ', οὐδὲ σαὶ τύχαι, τέκνον,
σεσωφρονήκασ', ἀλλ' ἔτ' ἐν ταυτῷ μένεις.
ἐσφέρετε πεύκας, δάκρυά τ' ἀνταλλάσσετε
τοῖς τῆσδε μέλεσι, Τρῳάδες, γαμηλίοις.

ΚΑΣΣΑΝΔΡΑ.

μῆτερ, πύκαζε κρᾶτ' ἐμὸν νικηφόρον,
καὶ χαῖρε τοῖς ἐμοῖσι βασιλικοῖς γάμοις,
καὶ πέμπε, κἂν μὴ τἀμά σοι πρόθυμά γ' ᾖ,
ὤθει βιαίως· εἰ γάρ ἐστι Λοξίας,
Ἑλένης γαμεῖ με δυστυχέστερον γάμον
ὁ τῶν Ἀχαιῶν κλεινὸς Ἀγαμέμνων ἄναξ.
κτενῶ γὰρ αὐτὸν, κἀντιπορθήσω δόμους,
ποινὰς ἀδελφῶν καὶ πατρὸς λαβοῦσ' ἐμοῦ·
ἀλλ' αὔτ' ἐάσω· πέλεκυν οὐχ ὑμνήσομεν,
ὃς ἐς τράχηλον τὸν ἐμὸν εἶσι χἀτέρων,
μητροκτόνους τ' ἀγῶνας, οὓς οἱ 'μοὶ γάμοι
θήσουσιν, οἴκων τ' Ἀτρέως ἀνάστασιν·

346. πικράν. 348. deest σ' M. 351. οὐδέ σ' αἱ τ. M. 352. σεσωφρονίκασιν M. 355. μᾶτερ M. 363. ἀλλά τ' ἐάσω M. ὑμνήσομαι M.

πόλιν δὲ δείξω τήνδε μακαριωτέραν,
ἢ τοὺς Ἀχαιοὺς, — ἔνθεος μὲν, ἀλλ᾽ ὅμως
τοσόνδε γ᾽ ἔξω στήσομαι βακχευμάτων —
οἳ διὰ μίαν γυναῖκα καὶ μίαν Κύπριν,
θηρῶντες Ἑλένην μυρίους ἀπώλεσαν.
ὁ δὲ στρατηγὸς ὁ σοφὸς ἐχθίστων ὕπερ
τὰ φίλτατ᾽ ὤλεσ᾽, ἡδονὰς τὰς οἴκοθεν
τέκνων ἀδελφῷ δοὺς γυναικὸς οὕνεκα,
καὶ ταῦθ᾽ ἑκούσης κοὐ βίᾳ λελησμένης.
ἐπεὶ δ᾽ ἐπ᾽ ἀκτὰς ἤλυθον Σκαμανδρίους,
ἔθνησκον, οὐ γῆς ὅρι᾽ ἀποστερούμενοι,
οὐδ᾽ ὑψιπύργου πατρίδος· οὓς δ᾽ Ἄρης ἕλοι,
οὐ παῖδας εἶδον, οὐ δάμαρτος ἐν χεροῖν
πέπλοις συνεστάλησαν, ἐν ξένῃ δὲ γῇ
κεῖνται. τὰ δ᾽ οἴκοι τοῖσδ᾽ ὅμοι᾽ ἐγίγνετο·
χῆραί τ᾽ ἔθνησκον, οἱ δ᾽ ἄπαιδες ἐν δόμοις,
ἄλλοις τέκν᾽ ἐκθρέψαντες· οὐδὲ πρὸς τάφους
ἔσθ᾽ ὅστις αὐτοῖς αἷμα γῇ δωρήσεται.
ἦ τοῦδ᾽ ἐπαίνου τὸ στράτευμ᾽ ἐπάξιον.
σιγᾶν ἄμεινον τἀσχρὰ, μηδὲ Μοῦσά μοι
γένοιτ᾽ ἀοιδὸς, ἥτις ὑμνήσει κακά.
Τρῶες δὲ πρῶτον μὲν, τὸ κάλλιστον κλέος,
ὑπὲρ πάτρας ἔθνησκον· οὓς δ᾽ ἕλοι δόρυ,
νεκροί γ᾽ ἐς οἴκους φερόμενοι φίλων ὕπο,
ἐν γῇ πατρῴᾳ περιβολὰς εἶχον χθονὸς,
χερσὶν περισταλέντες, ὧν ἐχρῆν ὕπο.
ὅσοι δὲ μὴ θάνοιεν ἐν μάχῃ Φρυγῶν,
ἀεὶ κατ᾽ ἦμαρ σὺν δάμαρτι καὶ τέκνοις

367. πόλιν τε M. 379. παῖδες S. 383. τάφοις. 384. αὐτῶν.

ᾤκουν, Ἀχαιοῖς ὧν ἀπῆσαν ἡδοναί.
τὰ δ᾽ Ἕκτορός σοι λύπρ᾽, ἄκουσον, ὡς ἔχει·
δόξας ἀνὴρ ἄριστος, οἴχεται θανών.
καὶ τοῦτ᾽ Ἀχαιῶν ἶξις ἐξεργάζεται.
εἰ δ᾽ ἦσαν οἴκοι, χρηστὸς ἔλαθεν ἂν γεγώς.
Πάρις δ᾽ ἔγημε τὴν Διὸς, γήμας δὲ μὴ,
σιγώμενον τὸ κῆδος εἶχ᾽ ἂν ἐν δόμοις.
φεύγειν μὲν οὖν χρὴ πόλεμον, ὅστις εὖ φρονεῖ·
εἰ δ᾽ ἐς τόδ᾽ ἔλθοι, στέφανος οὐκ αἰσχρὸς πόλει,
καλῶς ὀλέσθαι, μὴ καλῶς δὲ, δυσκλεές.
ὧν οὕνεκ᾽ οὐ χρὴ, μῆτερ, οἰκτείρειν σε γῆν,
ἢ τἀμὰ λέκτρα· τοὺς γὰρ ἐχθίστους ἐμοὶ
καὶ σοὶ γάμοισι τοῖς ἐμοῖς διαφθερῶ.

ΧΟΡΟΣ.

ὡς ἡδέως κακοῖσιν οἰκείοις γελᾷς,
μέλπεις θ᾽, ἃ μέλπουσ᾽ οὐ σαφῆ δείξεις ἴσως.

ΤΑΛΘΥΒΙΟΣ.

εἰ μή σ᾽ Ἀπόλλων ἐξεβάκχευσεν φρένας,
οὔκουν ἀμισθὶ τοὺς ἐμοὺς στρατηλάτας
τοιαῖσδε φήμαις ἐξέπεμπες ἂν χθονός.
ἀτὰρ τὰ σεμνὰ καὶ δοκήμασιν σοφὰ
οὐδέν τι κρείσσω τῶν τὸ μηδὲν ἦν ἄρα.
ὁ γὰρ μέγιστος τῶν Πανελλήνων ἄναξ,
Ἀτρέως φίλος παῖς, τῆσδ᾽ ἔρωτ᾽ ἐξαίρετον
Μαινάδος ὑπέστη· καὶ πένης μὲν εἴμ᾽ ἐγὼ,
ἀτὰρ λέχος γε τῆσδ᾽ ἂν οὐκ ἐκτησάμην.
καὶ σοὶ μὲν, — οὐ γὰρ ἀρτίας ἔχεις φρένας, —
Ἀργεῖ᾽ ὀνείδη καὶ Φρυγῶν ἐπαινέσεις

399. χρ. ὢν ἐλάνθανεν. 401. εἶχεν.

ἀνέμοις φέρεσθαι παραδίδωμ᾽. ἕπου δέ μοι
πρὸς ναῦς, καλὸν νύμφευμα τῷ στρατηλάτῃ.
σὺ δ᾽, ἡνίκ᾽ ἂν σε Λαρτίου χρῄζῃ τόκος
ἄγειν, ἕπεσθαι· σώφρονος δ᾽ ἔσει λάτρις
γυναικὸς, ὡς φάσ᾽ οἱ μολόντες Ἴλιον.

ΚΑΣΣΑΝΔΡΑ.

ἦ δεινὸς ὁ λάτρις. τί ποτ᾽ ἔχουσι τοὔνομα
κήρυκες; ἓν ἀπέχθημα πάγκοινον βροτοῖς,
οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται.
σὺ τὴν ἐμὴν φὴς μητέρ᾽ εἰς Ὀδυσσέως
ἥξειν μέλαθρα; ποῦ δ᾽ Ἀπόλλωνος λόγοι,
οἵ φασιν αὐτὴν, εἰς ἔμ᾽ ἡρμηνευμένοι,
αὐτοῦ θανεῖσθαι; τἄλλα δ᾽ οὐκ ὀνειδιῶ.
δύστηνος, οὐκ οἶδ᾽, οἷά νιν μένει παθεῖν,
ὡς χρυσὸς αὐτῷ τἀμὰ καὶ Φρυγῶν κακὰ
δόξει ποτ᾽ εἶναι. δέκα γὰρ ἀντλήσας ἔτη
πρὸς τοῖσιν ἐνθάδ᾽, ἵξεται μόνος πάτραν,
οὗ δὴ στενὸν δίαυλον ᾤκισται πέτρας
δεινὴ Χάρυβδις, ὠμοβρώς τ᾽ ὀρειβάτης
Κύκλωψ, Λίγυστίς θ᾽ ἡ συῶν μορφώτρια
Κίρκη, θαλάσσης θ᾽ ἁλμυρᾶς ναυάγια,
λωτοῦ τ᾽ ἔρωτες, ἡλίου θ᾽ ἁγναὶ βόες,
αἳ σάρκα φωνήεσσαν ἥσουσιν ποτὲ,
πικρὰν Ὀδυσσεῖ γῆρυν. ὡς δὲ συντεμῶ,
ζῶν εἶσ᾽ ἐς ᾅδου, κἀκφυγὼν λίμνης ὕδωρ,
κάκ᾽ ἐν δόμοισι μυρί᾽ εὑρήσει μολών.
ἀλλὰ γὰρ τί τοὺς Ὀδυσσέως ἐξακοντίζω πόνους;

423. χρῄζοι M. 427. κήρ. ἕν; ἀπ. M. κήρυκες, ἓν ἀπ. et sq. vs. ὑπηρέται; S. 440. δ᾽ ἁλμυρὰ M. 443. ὡς δὴ M.

στεῖχ᾽, ὅπως τάχιστ᾽ ἐς ᾅδου νυμφίῳ γημώμεθα.
ἦ κακὸς κακῶς ταφήσει νυκτὸς, οὐκ ἐν ἡμέρᾳ,
ὦ δοκῶν σεμνόν τι πράσσειν, Δαναϊδῶν στρατηλάτα.
κἀμέ τοι νεκρὸν φάραγγες γυμνάδ᾽ ἐκβεβλημένην
ὕδατι χειμάῤῥῳ ῥέουσαι νυμφίου πέλας τάφου,
θηρσὶ δώσουσιν δάσασθαι, τὴν Ἀπόλλωνος λάτριν.
ὦ στέφη τοῦ φιλτάτου μοι θεῶν, ἀγάλματ᾽ εὔϊα,
χαίρετ᾽· ἐκλέλοιφ᾽ ἑορτὰς, αἷς πάροιθ᾽ ἠγαλλόμην.
ἴτ᾽ ἀπ᾽ ἐμοῦ χρωτὸς σπαραγμοῖς· ὡς ἔτ᾽ οὖσ᾽ ἁγνὴ χρόα
δῶ θοαῖς αὔραις φέρεσθαί σοι τάδ᾽, ὦ μαντεῖ᾽ ἄναξ.
ποῦ σκάφος τὸ τοῦ στρατηγοῦ; ποῖ ποτ᾽ ἐμβαίνειν με χρή;
οὐκέτ᾽ ἂν φθάνοις ἂν αὔραν ἱστίοις καραδοκῶν,
ὡς μίαν τριῶν Ἐριννὺν τῆσδέ μ᾽ ἐξάξων χθονός.
χαῖρέ μοι, μῆτερ, δακρύσῃς μηδέν, ὦ φίλη πατρίς·
οἵ τε γῆς ἔνερθ᾽ ἀδελφοὶ χὠ τεκὼν ἡμᾶς πατὴρ,
οὐ μακρὰν δέξεσθέ μ᾽· ἥξω δ᾽ ἐς νεκροὺς νικηφόρος
καὶ δόμους πέρσασ᾽ Ἀτρειδῶν, ὧν ἀπωλόμεσθ᾽ ὕπο.

ΧΟΡΟΣ.

Ἑκάβης γεραιᾶς φύλακες, οὐ δεδόρκατε
δέσποιναν, ὡς ἄναυδος ἐς πέδον πιτνεῖ;

449. πράττειν. Ib. Δ. ἀρχηγέτα S. 450. γυμνάν θ᾽ M.

οὐκ ἀντιλήψεσθ'; ἢ μεθήσετ', ὦ κακαί;
γραῖαν πεσοῦσαν αἴρετ' εἰς ὀρθὸν πάλιν.

ΕΚΑΒΗ.

ἐᾶτε μ', — οὔτοι φίλα τά μοι φίλ' — ὦ κόραι,
κεῖσθαι πεσοῦσαν· πτωμάτων γὰρ ἄξια
πάσχω τε καὶ πέπονθα κἄτι πείσομαι.
ὦ θεοί! κακοὺς μὲν ἀνακαλῶ τοὺς συμμάχους,
ὅμως δ' ἔχει τι σχῆμα κικλήσκειν θεοὺς,
ὅταν τις ἡμῶν δυστυχῆ λάβῃ τύχην.
πρῶτον μὲν οὖν μοι τἀγάθ' ἐξᾷσαι φίλον·
τοῖς γὰρ κακοῖσι πλείον' οἶκτον ἐμβαλῶ.
ἦμεν τύραννοι, κεἰς τύραννν' ἐγημάμην·
κἀνταῦθ' ἀριστεύοντ' ἐγεινάμην τέκνα,
οὐκ ἀριθμὸν ἄλλως, ἀλλ' ὑπερτάτους Φρυγῶν,
οὓς Τρῳὰς, οὐδ' Ἑλληνὶς, οὐδὲ βάρβαρος
γυνὴ τεκοῦσα κομπάσειεν ἄν ποτε.
κἀκεῖνά τ' εἶδον δορὶ πεσόνθ' Ἑλληνικῷ,
τρίχας τ' ἐτμήθην τάσδε πρὸς τύμβον νεκρῶν,
καὶ τὸν φυτουργὸν Πρίαμον οὐκ ἄλλων πάρα
κλύουσ' ἔκλαυσα, τοῖσδε δ' εἶδον ὄμμασιν
αὐτὴ κατασφαγέντ' ἐφ' Ἑρκείῳ πυρᾷ,
πόλιν θ' ἁλοῦσαν. ἃς δ' ἔθρεψα παρθένους
ἐς ἀξίωμα νυμφίων ἐξαίρετον,
ἄλλοισι θρέψασ', ἐκ χερῶν ἀφῃρέθην.
κοὔτ' ἐξ ἐκείνων ἐλπὶς ὡς ὀφθήσομαι,
αὐτή τ' ἐκείνας οὐκέτ' ὄψομαί ποτε.
τὸ λοίσθιον δὲ θριγκὸς ἀθλίων κακῶν,
δούλη γυνὴ γραῦς Ἑλλάδ' εἰσαφίξομαι.
ἃ δ' ἐστὶ γήρᾳ τῷδ' ἀσυμφορώτατα,

466. ἀντιλήψεσθ', ἢ μεθήσετ'. 485. Ἑρκίῳ M.

τούτοις με προσθήσουσιν, ἢ θυρῶν λάτριν
κλῇδας φυλάσσειν, τὴν τεκοῦσαν Ἕκτορα,
ἢ σιτοποιεῖν, κἀν πέδῳ κοίτας ἔχειν
ῥυσσοῖσι νώτοις βασιλικῶν ἐκ δεμνίων,
τρυχηρὰ περὶ τρυχηρὸν εἱμένην χρόα
πέπλων λακίσματ', ἀδόκιμ' ὀλβίοις ἔχειν.
οἲ 'γὼ τάλαινα, διὰ γάμον μιᾶς ἕνα
γυναικὸς, οἵων ἔτυχον, ὧν τε τεύξομαι!
ὦ τέκνον, ὦ σύμβακχε Κασάνδρα θεοῖς,
οἵαις ἔλυσας συμφοραῖς ἅγνευμα σόν!
σύ τ', ὦ τάλαινα, ποῦ ποτ' εἶ, Πολυξένη;
ὡς οὔτε μ' ἄρσην, οὔτε θήλεια σπορὰ,
πολλῶν γενομένων, τὴν τάλαιναν ὠφελεῖ.
τί δῆτά μ' ὀρθοῦτ'; ἐλπίδων ποίων ὕπο;
ἄγετε τὸν ἁβρὸν δή ποτ' ἐν Τροίᾳ πόδα,
νῦν δ' ὄντα δοῦλον, στιβάδα πρὸς χαμαιπετῆ
πέτρινά τε κρήδεμν', ὡς πεσοῦσ' ἀποφθαρῶ,
δακρύοις καταξανθεῖσα. τῶν δ' εὐδαιμόνων
μηδένα νομίζετ' εὐτυχεῖν, πρὶν ἂν θάνῃ.

ΧΟΡΟΣ.

Ἀμφί μοι Ἴλιον, ὦ (στροφή.)
Μοῦσα, καινῶν ὕμνων
ἄεισον ἐν δακρύοις
ᾠδὰν ἐπικήδειον·
νῦν γὰρ μέλος ἐς Τροίαν
ἰακχήσω,
τετραβάμονος ὡς ὑπ' ἀπήνας
Ἀργείων ὀλόμαν τάλαινα δοριάλωτος,

516. ἐπιτήδειον M. 518. ἰαχήσω M. 519. ἀπήνης.
520. ὀλοίμαν M.

ὅτ᾽ ἔλιπον ἵππον, οὐράνια
βρέμοντα, χρυσοφάλαρον, ἔνο-
πλον ἐν πύλαις Ἀχαιοί·
ἀνὰ δ᾽ ἐβόασεν λεὼς,
Τρῳάδος ἀπὸ πέτρας σταθείς·
ἴτ᾽, ὦ πεπαυμένοι πόνων,
τόδ᾽ ἱερὸν ἀνάγετε ξόανον
Ἰλιάδι διογενεῖ κύρᾳ.
τίς οὐκ ἔβα νεανίδων;
τίς οὐ γεραιὸς ἐκ δόμων,
κεχαρμένοι δ᾽ ἀοιδαῖς
δόλιον ἔσχον ἄταν.
πᾶσα δὲ γέννα Φρυγῶν (ἀντιστρ.)
πρὸς πύλας ὡρμάθη,
πεύκᾳ ἐν οὐρείᾳ
ξεστὸν λόχον Ἀργείων
καὶ Δαρδανίας ἄταν
θεᾷ δώσων,
χάριν ἄζυγος ἀμβροτοπώλου.
κλωστοῦ δ᾽ ἀμφιβόλοις λίνοισι, ναὸς ὡσεὶ
σκάφος κελαινὸν, εἰς ἕδρανα
λάϊνα δάπεδά τε φόνια πατρί-
δι Παλλάδος θέσαν θεᾶς.
ἐπὶ δὲ πόνῳ καὶ χαρᾷ
νύχιον ἐπὶ κνέφας παρῆν·
Λίβυς τε λωτὸς ἐκτύπει,
Φρύγιά τε μέλεα, παρθένοι
δ᾽ ἀέριον ἀνὰ κρότον ποδῶν

522. χρυσεοφάλαρον M. 539. ἄμβροτα πώλου M. 540. ἀμφιβόλοισι — νεώς M. ὡς pro ὡσεί.

βοάν τ᾽ ἔμελπον εὔφρον᾽· ἐν
δόμοις δὲ παμφαὲς σέλας
πυρὸς μέλαιναν αἴγλαν
ἔδωκεν παρ᾽ οἴνῳ.
ἐγὼ δὲ τὰν ὀρεστέραν (ἐπῳδός.)
τότ᾽ ἀμφὶ μέλαθρα παρθένον, Διὸς κόραν,
Ἄρτεμιν, ἐμελπόμαν χοροῖ-
σι· φοινία δ᾽ ἀνὰ πτόλιν
βοὰ κατεῖχε Περγάμων
ἕδρας· βρέφη δὲ φίλια περὶ
πέπλους ἔβαλλε ματρὶ χεῖ-
ρας ἐπτοημένας· λόχου δ᾽
ἐξέβαινεν Ἄρης,
κόρας ἔργα Παλλάδος,
σφαγαὶ δ᾽ ἀμφιβώμιοι
Φρυγῶν, ἔν τε δεμνίοις
καράτομος ἐρημία
νεανίδων στέφανον ἔφερεν
Ἑλλάδι κουροτρόφῳ
Φρυγῶν δὲ πατρίδι πένθη.
Ἑκάβη, λεύσσεις τήνδ᾽ Ἀνδρομάχην
ξενικοῖς ἐπ᾽ ὄχοις πορθμευομέναν;
παρὰ δ᾽ εἰρεσίᾳ μαστῶν ἕπεται
φίλος Ἀστυάναξ, Ἕκτορος ἶνις.

ΕΚΑΒΗ.

ποῖ ποτ᾽ ἀπήνας νώτοισι φέρῃ,

552. παρ᾽ ὕπνῳ M. 555. Ἄρτεμιν uncis incl. S. 556. φονία M. 559. ἔβαλε M. 561. ἐξέβαιν᾽ Ἄρ. S. 566. νεανιῶν S. 568. δὲ deest. 570. πορθμευομένην S. 573. ἀπήνης M.

δύστανε γύναι, πάρεδρος χαλκέοις
Ἕκτορος ὅπλοις σκύλοις τε Φρυγῶν
δοριθηράτοις;
οἷσιν Ἀχιλέως παῖς Φθιώτας
στέψει ναοὺς ἀπὸ Τροίας;

ΑΝΔΡΟΜΑΧΗ.

Ἀχαιοὶ δεσπόται μ' ἄγουσιν. (στροφὴ ά.)

ΕΚΑΒΗ.

ὦ μοί [μοι]!

ΑΝΔΡΟΜΑΧΗ.

τί παιᾶν' ἐμὸν στενάζεις;

ΕΚΑΒΗ.

αἶ αἶ [αἶ αἶ]!

ΑΝΔΡΟΜΑΧΗ.

τῶνδ' ἀλγέων!

ΕΚΑΒΗ.

ὦ Ζεῦ!

ΑΝΔΡΟΜΑΧΗ.

καὶ συμφορᾶς!

ΕΚΑΒΗ.

τέκεα.

ΑΝΔΡΟΜΑΧΗ.

πρίν ποτ' ἦμεν.

ΕΚΑΒΗ.

βέβακ' ὄλβος, βέβακε Τροία. (ἀντιστρ. ά.)

577. Ἀχιλλέως S. 580. ἰώ μοί μοι M. 582. ἰὼ Ζεῦ M. 584. βέβακεν ὅ. M.

ΑΝΔΡΟΜΑΧΗ.

τλάμων.

ΕΚΑΒΗ.

ἐμῶν τ' εὐγένεια παίδων.

ΑΝΔΡΟΜΑΧΗ.

φεῦ φεῦ!

ΕΚΑΒΗ.

φεῦ δῆτ' ἐμῶν —

ΑΝΔΡΟΜΑΧΗ.

κακῶν!

ΕΚΑΒΗ.

οἰκτρά [γε] τύχα —

ΑΝΔΡΟΜΑΧΗ.

πόλεος,

ΕΚΑΒΗ.

ἃ καπνοῦται.

ΑΝΔΡΟΜΑΧΗ.

μόλοις, ὦ πόσις, μοι — (στρ. β'.)

ΕΚΑΒΗ.

βοᾷς τὸν παρ' ᾅδῃ
παῖδ' ἐμόν, ὦ μελέα.

ΑΝΔΡΟΜΑΧΗ.

σᾶς δάμαρτος ἄλκαρ.

ΕΚΑΒΗ.

σύ τ', ὦ λῦμ' Ἀχαιῶν, (ἀντιστρ. β')
τέκνων δέσποθ' ἁμῶν
πρεσβυγενὲς Πρίαμε,
κοίμισαί μ' ἐς ᾅδου.

583. πόλεως M. 589. πόσι. 590. ᾅδᾳ. 593. σὺ τοι λ. S. λῆμ' Ἀρ. M. 594. τέκνων δέ ποθ' ά. M. τέκνων δή ποθ' ά. S. 595. Πριάμῳ S. 596. κόμισαι M.

ΑΝΔΡΟΜΑΧΗ.

οἵδε πόνοι μεγάλοι, σχετλία, τάδε πάσχομεν ἄλγη,
οἰχομένας πόλεως, ἐπὶ δ' ἄλγεσιν ἄλγεα κεῖται,
δυςφροσύναισι θεῶν, ὅτε σὸς γόνος ἔκφυγεν ᾅδαν,
ὃς λεχέων στυγερῶν χάριν ὤλεσε Πέργαμα Τροίας.
αἱματόεντα δὲ θεᾷ παρὰ Παλλάδι σώματα νεκρῶν
γυψὶ φέρειν τέταται· ζυγὰ δ' ἤνυσε δούλια Τροία.

ΕΚΑΒΗ.

ὦ πατρὶς, ὦ μελέα, καταλειπομέναν σε δακρύω —
νῦν τέλος οἰκτρὸν ὁρᾷς — καὶ ἐμὸν δόμον, ἔνθ' ἐλοχεύθην.
ὦ τέκν', ἐρημόπολις μάτηρ ἀπολείπεται ὑμῶν.
οἷος ἰάλεμος, οἷά τε πένθη.
δάκρυά τ' ἐκ δακρύων καταλείβεται
ἁμετέροισι δόμοις. ὁ θανὼν δ' ἐπι-
λάθεται ἀλγέων ἀδάκρυτος.

ΕΚΑΒΗ.

ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπραγόσιν,
θρήνων τ' ὀδυρμοὶ Μοῦσά θ', ἣ λύπας ἔχει.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ μῆτερ ἀνδρὸς, ὅς ποτ' Ἀργείων δορὶ
πλείστους διώλεσ', Ἕκτορος, τάδ' εἰςορᾷς;

597—602. Choro tribuit M. 604. νῦν — ὁρᾷς Choro tribuit M. 604. κἀγὼ δόμον. 605. Choro tribuit M. Ib. ἔρημος πόλις· ἁ μάτηρ — ἀπολείπεθ' M. 607. καταλείπεται M.

ΕΚΑΒΗ.

ὁρῶ τὰ τῶν θεῶν, ὡς τὰ μὲν πυργοῦσ' ἄνω
τὰ μηδὲν ὄντα, τὰ δὲ δοκοῦντ' ἀπώλεσαν.

ΑΝΔΡΟΜΑΧΗ.

ἀγόμεθα λεία σὺν τέκνῳ· τὸ δ' εὐγενὲς
ἐς δοῦλον ἥκει, μεταβολὰς τοσάςδ' ἔχον.

ΕΚΑΒΗ.

τὸ τῆς ἀνάγκης δεινόν· ἄρτι κἀπ' ἐμοῦ
βέβηκ' ἀποσπασθεῖσα Κασάνδρα βίᾳ.

ΑΝΔΡΟΜΑΧΗ.

(φεῦ, φεῦ!) ἄλλος τις Αἴας, ὡς ἔοικε, δεύτερος
παιδὸς πέφηνε σῆς· νοσεῖς δὲ χἄτερα.

ΕΚΑΒΗ.

ὧν γ' οὔτε μέτρον, οὔτ' ἀριθμός ἐστι μοι·
κακῷ κακὸν γὰρ εἰς ἅμιλλαν ἔρχεται.

ΑΝΔΡΟΜΑΧΗ.

τέθνηκέ σοι παῖς πρὸς τάφῳ Πολυξένη
σφαγεῖσ' Ἀχιλλέως, δῶρον ἀψύχῳ νεκρῷ.

ΕΚΑΒΗ.

οἲ 'γὼ τάλαινα! τοῦτ' ἐκεῖνό μοι πάλαι
Ταλθύβιος αἴνιγμ' οὐ σαφῶς εἶπεν σαφές.

ΑΝΔΡΟΜΑΧΗ.

εἶδόν νιν αὐτὴ, κἀποβᾶσα τῶνδ' ὄχων
ἔκρυψα πέπλοις κἀπεκοψάμην νεκρόν.

ΕΚΑΒΗ.

αἶ, αἶ, τέκνον, σῶν ἀνοσίων προσφαγμάτων!
αἶ, αἶ, μάλ' αὖθις, ὡς κακῶς διόλλυσαι!

ΑΝΔΡΟΜΑΧΗ.

ὄλωλεν, ὡς ὄλωλεν, ἀλλ' ὅμως ἐμοῦ
ζώσης γ' ὄλωλεν εὐτυχεστέρῳ πότμῳ.

ΕΚΑΒΗ.

οὐ ταυτὸν, ὦ παῖ, τῷ βλέπειν τὸ κατθανεῖν·
τὸ μὲν γὰρ οὐδὲν, τῷ δ' ἔνεισιν ἐλπίδες.

ΑΝΔΡΟΜΑΧΗ.

[ὦ μῆτερ, ὦ τεκοῦσα, κάλλιστον λόγον]
ἄκουσον, ὥς σοι τέρψιν ἐμβάλω φρενί.
τὸ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω,
τοῦ ζῆν δὲ λυπρῶς κρεῖσσόν ἐστι κατθανεῖν.
ἀλγεῖ γὰρ οὐδὲν τῶν κακῶν ἠσθημένος·
ὁ δ' εὐτυχήσας, ἐς τὸ δυστυχὲς πεσὼν,
ψυχὴν ἀλᾶται τῆς πάροιθ' εὐπραξίας.
κείνη δ' ὁμοίως, ὥσπερ οὐκ ἰδοῦσα φῶς,
τέθνηκε, κοὐδὲν οἶδε τῶν αὑτῆς κακῶν.
ἐγὼ δὲ τοξεύσασα τῆς εὐδοξίας,
λαχοῦσα πλεῖον, τῆς τύχης ἡμάρτανον.
ἃ γὰρ γυναιξὶ σώφρον' ἔσθ' εὑρημένα,
ταῦτ' ἐξεμόχθουν Ἕκτορος κατὰ στέγας.
πρῶτον μὲν, ἔνθα κἂν προσῇ, κἂν μὴ προσῇ
ψόγος γυναιξὶν, αὐτὸ τοῦτ' ἐφέλκεται
κακῶς ἀκούειν, ἥτις οὐκ ἔνδον μένει,
τούτου πόθον παρεῖσ', ἔμιμνον ἐν δόμοις,
εἴσω τε μελάθρων κομψὰ θηλειῶν ἔπη
οὐκ εἰσεφρούμην· τὸν δὲ νοῦν διδάσκαλον
οἴκοθεν ἔχουσα χρηστὸν ἐξήρκουν ἐμοί.
γλώσσης τε σιγὴν ὄμμα θ' ἥσυχον πόσει
παρεῖχον· ᾔδειν δ', ἅμὲ χρῆν νικᾶν πόσιν,
κείνῳ τε νίκην ὧν μ' ἐχρῆν παριέναι.
καὶ τῶνδε κληδὼν ἐς στράτευμ' Ἀχαϊκὸν

635. τῷδ' M. 636. τεκοῦσα κάλλιστον, λόγον S. 637. ἐμβαλῶ. 645. τῆς τ' εὐδ. 657. ἅ με χρ. M.

ἐλθοῦσ', ἀπώλεσέν μ'· ἐπεὶ γὰρ ᾐρέθην,
Ἀχιλλέως με παῖς ἐβουλήθη λαβεῖν
δάμαρτα· δουλεύσω δ' ἐν αὐθεντῶν δόμοις.
κεἰ μὲν παρώσασ' Ἕκτορος φίλον κάρα
πρὸς τὸν παρόντα πόσιν ἀναπτύξω φρένα,
κακὴ φανοῦμαι τῷ θανόντι· τόνδε δ' αὖ
στυγοῦσ', ἐμαυτῆς δεσπόταις μισήσομαι.
καίτοι λέγουσιν, ὡς μί' εὐφρόνη χαλᾷ
τὸ δυσμενὲς γυναικὸς εἰς ἀνδρὸς λέχος.
ἀπέπτυσ' αὐτὴν, ἥτις, ἄνδρα τὸν πάρος
καινοῖσι λέκτροις ἀποβαλοῦσ', ἄλλον φιλεῖ.
ἀλλ' οὐδὲ πῶλος, ἥτις ἂν διαζυγῇ
τῆς συντραφείσης, ῥᾳδίως ἕλκει ζυγόν.
καίτοι τὸ θηριῶδες ἄφθογγόν τ' ἔφυ
ξυνέσει τ' ἄχρηστον τῇ φύσει τε λείπεται.
σὲ δ', ὦ φίλ' Ἕκτορ, εἶχον ἄνδρ' ἀρκοῦντά μοι,
ξυνέσει, γένει, πλούτῳ τε κἀνδρείᾳ μέγαν·
ἀκήρατον δέ μ' ἐκ πατρὸς λαβὼν δόμων,
πρῶτος τὸ παρθένειον ἐζεύξω λέχος.
καὶ νῦν ὄλωλας μὲν σὺ, ναυσθλοῦμαι δ' ἐγὼ
πρὸς Ἑλλάδ' αἰχμάλωτος ἐς δοῦλον ζυγόν.
ἆρ' οὐκ ἐλάσσω τῶν ἐμῶν ἔχει κακῶν
Πολυξένης ὄλεθρος, ἣν καταστένεις;
ἐμοὶ γὰρ οὐδ', ὃ πᾶσι λείπεται βροτοῖς,
ξύνεστιν ἐλπίς, οὐδὲ κλέπτομαι φρένας
πράξειν τι κεδνόν· ἡδὺ δ' ἐστὶ καὶ δοκεῖν.

ΧΟΡΟΣ.

ἐς ταυτὸν ἥκεις συμφορᾶς· θρηνοῦσα δὲ
τὸ σὸν διδάσκεις μ', ἔνθα πημάτων κυρῶ.

665. κακὰ φ. M.

ΕΚΑΒΗ.

αὐτὴ μὲν οὔπω ναὸς εἰςέβην σκάφος,
γραφῇ δ' ἰδοῦσα καὶ κλύουσ' ἐπίσταμαι.
ναύταις γὰρ ἢν μὲν μέτριος ᾖ χειμὼν φέρειν,
προθυμίαν ἔχουσι σωθῆναι πόνων,
ὁ μὲν παρ' οἴαχ', ὁ δ' ἐπὶ λαίφεσιν βεβώς,
ὁ δ' ἄντλον εἴργων ναός· ἢν δ' ὑπερβάλῃ
πολὺς ταραχθεὶς πόντος, ἐνδόντες τύχῃ
παρεῖσαν αὑτοὺς κυμάτων δρομήμασιν.
οὕτω δὲ κἀγώ, πόλλ' ἔχουσα πήματα,
ἄφθογγός εἰμι καὶ παρεῖσ' ἐῶ στόμα·
νικᾷ γὰρ οὐκ θεῶν με δύστηνος κλύδων.
ἀλλ', ὦ φίλη παῖ, τὰς μὲν Ἕκτορος τύχας
ἔασον· οὐ μὴ δάκρυά νιν σώσει τὰ σά·
τίμα δὲ τὸν παρόντα δεσπότην σέθεν,
φίλον διδοῦσα δέλεαρ ἀνδρὶ σῶν τρόπων.
κἂν δρᾷς τάδ', ἐς τὸ κοινὸν εὐφρανεῖς φίλους,
καὶ παῖδα τόνδε παιδὸς ἐκθρέψειας ἂν
Τροίᾳ μέγιστον ὠφέλημ', ἵν' οἵ ποτε
ἐκ σοῦ γενόμενοι παῖδες Ἴλιον πάλιν
κατοικίσειαν, καὶ πόλις γένοιτ' ἔτι.
ἀλλ', — ἐκ λόγου γὰρ ἄλλος ἐκβαίνει λόγος —
τίν' αὖ δέδορκα τόνδ' Ἀχαϊκὸν λάτριν
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων;

ΤΑΛΘΥΒΙΟΣ.

Φρυγῶν ἀρίστου πρίν ποθ' Ἕκτορος δάμαρ,
μή με στυγήσῃς· οὐχ ἑκὼν γὰρ ἀγγελῶ
Δαναῶν τε κοινὰ Πελοπιδῶν τ' ἀγγέλματα.

700. σώσῃ M. 705. Τροίας.

ΑΝΔΡΟΜΑΧΗ.

τί δ' ἔστιν, ὥς μοι φροιμίων ἄρχει κακῶν;

ΤΑΛΘΥΒΙΟΣ.

ἔδοξε τόνδε παῖδα — πῶς εἴπω λόγον;

ΑΝΔΡΟΜΑΧΗ.

μῶν οὐ τὸν αὐτὸν δεσπότην ἡμῖν ἔχειν;

ΤΑΛΘΥΒΙΟΣ.

οὐδεὶς Ἀχαιῶν τοῦδε δεσπόσει ποτέ.

ΑΝΔΡΟΜΑΧΗ.

ἀλλ' ἐνθάδ' αὐτὸν λείψανον Φρυγῶν λιπεῖν;

ΤΑΛΘΥΒΙΟΣ.

οὐκ οἶδ', ὅπως σοι ῥαδίως εἴπω κακά.

ΑΝΔΡΟΜΑΧΗ.

ἐπῄνεσ' αἰδῶ, πλὴν ἐὰν λέγῃς καλά.

ΤΑΛΘΥΒΙΟΣ.

κτενοῦσι σὸν παῖδ', ὡς πύθῃ κακὸν μέγα.

ΑΝΔΡΟΜΑΧΗ.

οἴ μοι! γάμων τόδ' ὡς κλύω μεῖζον κακόν!

ΤΑΛΘΥΒΙΟΣ.

νικᾷ δ' Ὀδυσσεὺς ἐν Πανέλλησιν λέγων —

ΑΝΔΡΟΜΑΧΗ.

αἶ, αἶ μάλ'! οὐ γὰρ μέτρια πάσχομεν κακά.

ΤΑΛΘΥΒΙΟΣ.

λέξας, ἀρίστου παῖδα μὴ τρέφειν πατρός.

ΑΝΔΡΟΜΑΧΗ.

τοιαῦτα νικήσειε τῶν αὑτοῦ πέρι!

ΤΑΛΘΥΒΙΟΣ.

ῥῖψαι δὲ πύργων δεῖ σφε Τρωϊκῶν ἄπο.

ἀλλ᾽ ὧς γενέσθαι, καὶ σοφωτέρα φανεῖ·
μήτ᾽ ἀντέχου τοῦδ᾽, εὐγενῶς δ᾽ ἄλγει κακοῖς,
μήτε, σθένουσα μηδὲν, ἰσχύειν δόκει.
ἔχεις γὰρ ἀλκὴν οὐδαμῇ, σκοπεῖν δὲ χρή·
πόλις τ᾽ ὄλωλε καὶ πόσις, κρατεῖ δὲ σύ,
ἡμεῖς τε πρὸς γυναῖκα μάρνασθαι μίαν
οἷοί τε· τούτων οὕνεκ᾽ οὐ μάχης ἐρᾷν,
οὐδ᾽ αἰσχρὸν οὐδὲν, οὐδ᾽ ἐπίφθονόν σε δρᾷν,
οὔτ᾽ αὖ σ᾽ Ἀχαιοῖς βούλομαι ῥιπτεῖν ἀράς.
εἰ γάρ τι λέξεις, ᾧ χολώσεται στρατὸς,
οὔτ᾽ ἂν ταφείη παῖς ὅδ᾽, οὔτ᾽ οἴκτου τύχοι.
σιγῶσα δ᾽ εὖ τε τὰς τύχας κεκτημένη
τὸν τοῦδε νεκρὸν οὐκ ἄθαπτον ἂν λίποις,
αὐτή τ᾽ Ἀχαιῶν πρευμενεστέρων τύχοις.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ φίλτατ᾽, ὦ περισσὰ τιμηθεὶς τέκνον,
θανεῖ πρὸς ἐχθρῶν, μητέρ᾽ ἀθλίαν λιπών.
ἡ τοῦ πατρὸς δέ σ᾽ εὐγένει᾽ ἀπώλεσεν,
ἣ τοῖσιν ἄλλοις γίγνεται σωτηρία·
τὸ δ᾽ ἐσθλὸν οὐκ ἐς καιρὸν ἦλθέ σοι πατρός.
ὦ λέκτρα τἀμὰ δυστυχῆ τε καὶ γάμοι,
οἷς ἦλθον ἐς μέλαθρον Ἕκτορός ποτε,
οὐχ ὡς σφαγεῖον Δαναΐδαις τέξουσ᾽ ἐμοὶ,
ἀλλ᾽ ὡς τύραννον Ἀσιάδος πολυσπόρου.
ὦ παῖ, δακρύεις; αἰσθάνει κακῶν σέθεν;
τί μου δέδραξαι χερσὶ κἀντέχει πέπλων,
νεοσσὸς ὡσεὶ πτέρυγας εἰσπιτνῶν ἐμάς;

728. γενέσθω S. 729. τοῦ γ᾽ M. 734. ἕνεκ᾽ M. 735. σε χρή M. 744. ἀποκτενεῖ M. 747. δυς. γε S. 749. ἐμόν M.

οὐκ εἶσιν Ἕκτωρ, κλεινὸν ἁρπάσας δόρυ,
γῆς ἐξανελθὼν, σοὶ φέρων σωτηρίαν,
οὐ συγγένεια πατρὸς, οὐκ ἰσχὺς Φρυγῶν·
λυγρὸν δὲ πήδημ᾽ ἐς τράχηλον ὑψόθεν
πεσὼν ἀνοίκτως, πνεῦμ᾽ ἀποῤῥήξεις σέθεν.
ὦ νέον ὑπαγκάλισμα μητρὶ φίλτατον!
ὦ χρωτὸς ἡδὺ πνεῦμα! διακενῆς ἄρα
ἐν σπαργάνοις σε μαστὸς ἐξέθρεψ᾽ ὅδε,
μάτην δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις.
νῦν, οὔ ποτ᾽ αὖθις, μητέρ᾽ ἀσπάζου σέθεν,
πρόσπιπτε τὴν τεκοῦσαν, ἀμφὶ δ᾽ ὠλένας
ἕλισσ᾽ ἐμοῖς νώτοισι καὶ στόμ᾽ ἅρμοσον.
ὦ βάρβαρ᾽ ἐξευρόντες Ἕλληνες κακὰ,
τί τόνδε παῖδα κτείνετ᾽ οὐδὲν αἴτιον;
ὦ Τυνδάρειον ἔρνος, οὔποτ᾽ εἶ Διὸς,
πολλῶν δὲ πατέρων φημί σ᾽ ἐκπεφυκέναι,
Ἀλάστορος μὲν πρῶτον, εἶτα δὲ Φθόνου,
Φόνου τε Θανάτου θ᾽, ὅσα τε γῆ τρέφει κακά.
οὐ γάρ ποτ᾽ αὐχῶ Ζῆνά γ᾽ ἐκφῦσαί σ᾽ ἐγὼ,
πολλοῖσι κῆρα βαρβάροις Ἕλλησί τε.
ὄλοιο! καλλίστων γὰρ ὀμμάτων ἄπο
αἰσχρῶς τὰ κλεινὰ πεδί᾽ ἀπώλεσας Φρυγῶν.
ἄγετε, φέρετε καὶ ῥίπτετ᾽, εἰ ῥίπτειν δοκεῖ·
δαίνυσθε τοῦδε σάρκας. ἔκ τε γὰρ θεῶν
διολλύμεσθα, παιδί τ᾽ οὐ δυναίμεθ᾽ ἂν
θάνατον ἀρῆξαι. κρύπτετ᾽ ἄθλιον δέμας,
καὶ ῥίπτετ᾽ ἐς ναῦν· ἐπὶ καλὸν γὰρ ἔρχομαι
ὑμέναιον, ἀπολέσασα τοὐμαυτῆς τέκνον.

763. εἴ ποτ᾽ M.

ΧΟΡΟΣ.

τάλαινα Τροία, μυρίους ἀπώλεσας
μιᾶς γυναικὸς καὶ λέχους στυγνοῦ χάριν.

ΤΑΛΘΥΒΙΟΣ.

ἄγε παῖ, φίλιον πρόςπτυγμα μεθεὶς
μητρὸς μογερᾶς, βαῖνε πατρῴων
πύργων ἐπ' ἄκρας στεφάνας, ὅθι σοι
πνεῦμα μεθεῖναι ψῆφος ἐκράνθη.
λαμβάνετ' αὐτόν. τὰ δὲ τοιάδε χρὴ
κηρυκεύειν, ὅςτις ἄνοικτος
καὶ ἀναιδείας τῆς ἡμετέρας
γνώμης μᾶλλον φίλος ἐστίν.

ΕΚΑΒΗ.

ὦ τέκνον, ὦ παῖ παιδὸς μογεροῦ,
συλώμεθα σὴν ψυχὴν ἀδίκως,
μήτηρ κἀγώ. τί πάθω; τί σ' ἐγώ,
δύςμορε, δράσω; τάδε σοι δίδομεν
πλήγματα κρατὸς στέρνων τε κόπους·
τῶνδε γὰρ ἄρχομεν. αἲ ἐγὼ πόλεως,
οἴμοι δὲ σέθεν! τί γὰρ οὐκ ἔχομεν;
τίνος ἐνδέομεν, μὴ οὐ πανσυδίᾳ
χωρεῖν ὀλέθρου διὰ παντός;

ΧΟΡΟΣ.

Μελισσοτρόφου Σαλαμῖνος ὦ βασιλεῦ Τελαμών, (στροφὴ α΄.)
νάσου περικύμονος οἰκήσας ἕδραν,
τᾶς ἐπικεκλιμένας ὄχθοις ἱεροῖς, ἵν' ἐλαίας

784—791. tribuuntur Andromachae M. Ib. πρόςφθεγμα. 790. ὑμετέρας M. 793. ἀδόκως M. 796. στ. τε κτύπους M. 803. ἱεροῖσιν ἐλ. M.

πρῶτον ἔδειξε κλάδον γλαυκᾶς Ἀθάνα,
οὐράνιον στέφανον, λιπαραῖσιν κόσμον Ἀθήναις,
ἔβας, ἔβας, τοξοφόρῳ συναριστεύσων ἅμ' Ἀλκμήνας γόνῳ,
Ἴλιον, Ἴλιον ἐκπέρσων, πόλιν
ἀμετέραν, τοπάροιθ' ὅτ' ἔβας [ἀφ' Ἑλλάδος]
ὅθ' Ἑλλάδος ἄγαγε πρῶτον ἄνθος, ἀτυζόμενος (ἀντιστρ. α΄.)
πώλων, Σιμόεντι δ' ἐπ' εὐρείτᾳ πλάταν
ἔσχασε ποντοπόρον καὶ ναύδετ' ἀνήψατο πρυμνᾶν,
καὶ χερὸς εὐστοχίαν ἐξεῖλε ναῶν,
Λαομέδοντι φόνον· κανόνων δὲ τυκίσματα Φοίβου
πυρός γε φοίνικι πνοᾷ καθελὼν
Τροίας ἐπόρθησεν χθόνα,
δὶς δὲ δυοῖν πιτύλοιν τείχη περὶ
Δαρδανίας φονία κατέλυσεν αἰχμά.
μάταν ἄρ', ὦ χρυσέαις (στροφὴ β΄.)
ἐν οἰνοχόαις ἁβρὰ βαίνων,
Λαομεδόντιε παῖ,
Ζηνὸς ἔχεις κυλίκων
πλήρωμα, καλλίσταν λατρείαν·
ἁ δέ σε γειναμένα [Τροία] πυρὶ δαίεται.
ἠϊόνες δ' ἅλιαι

805. λιπαραῖσι M. 806. ἔβας τῷ τοξοφ. S. 809. ἀφ' Ἑλλ. sine uncis M. 814. δὲ κτίσματα M. 815. deest γε. 820. εἰν M. 821. Λαομεδόντειε M. 824. Τροία sine uncis M.

ἴαχον, οἷόν τ' οἰω-
νὸς ὑπὲρ τεκέων βοᾷ,
αἱ μὲν εὐνὰς, αἱ δὲ παῖδας,
αἱ δὲ ματέρας γεραιάς.
τὰ δὲ σὰ δροσόεντα λουτρὰ
γυμνασίων τε δρόμοι
βεβᾶσι· σὺ δὲ πρόςωπα νεα-
ρὰ χάρισι παρὰ Διὸς θρόνοις
καλλιγάλανα τρέφεις· Πριάμοιο δὲ γαῖαν
Ἑλλὰς ὤλεσ' αἰχμά.
Ἔρως, Ἔρως, ὃς παρὰ (ἀντ. β΄.)
Δαρδάνια μέλαθρά ποτ' ἦλθες
Οὐρανίδαισι μέλων·
ὡς τότε μὲν μεγάλως
Τροίαν ἐπύργωσας, θεοῖσιν
κῆδος ἀναψάμενος! τὸ μὲν οὖν Διὸς
οὐκέτ' ὄνειδος ἐρῶ·
τὸ τᾶς δὲ λευκοπτέρου
ἁμέρας φίλιον βροτοῖς
φέγγος ὀλοὸν εἶδε γαῖαν,
εἶδε περγάμων ὄλεθρον,
τεκνοποιὸν ἔχουσα τᾶςδε
γᾶς πόσιν ἐν θαλάμοις,
ὃν ἀστέρων τέθριππος ἔλα-
βε χρύσεος ὄχος ἀναρπάσας,
ἐλπίδα γᾷ πατρίᾳ μεγάλαν· τὰ θεῶν δὲ
φίλτρα φροῦδα Τροίᾳ.

826. 7. ἰαχοῦσ'· οἷον δ' ὑπὲρ οἰων. τ. β. S. οἷον οἰων. M. 828. εὐνάτορας M. 842. οὐκ ἐς ὄν. S. 843. τὸ δὲ τᾶς S. 848. θαλάμοισιν M.

ΜΕΝΕΛΑΟΣ.

ὦ καλλιφεγγὲς ἡλίου σέλας τόδε,
ἐν ᾧ δάμαρτα τὴν ἐμὴν χειρώσομαι
Ἑλένην· ὁ γὰρ δὴ πολλὰ μοχθήσας ἐγὼ
Μενέλαός εἰμι, καὶ στράτευμ' Ἀχαϊκόν.
ἦλθον δὲ Τροίαν οὐχ, ὅσον δοκοῦσί με,
γυναικὸς οὕνεκ', ἀλλ' ἐπ' ἄνδρ', ὃς ἐξ ἐμῶν
δόμων δάμαρτα ξεναπάτης ἐλήσατο.
κεῖνος μὲν οὖν δέδωκε σὺν θεοῖς δίκην,
αὐτός τε καὶ γῆ δορὶ πεσοῦσ' Ἑλληνικῷ.
ἥκω δὲ τὴν Λάκαιναν, — οὐ γὰρ ἡδέως
ὄνομα δάμαρτος, ἥ ποτ' ἦν ἐμὴ, λέγω, —
ἄξων· δόμοις γὰρ τοῖςδ' ἐν αἰχμαλωτικοῖς
κατηρίθμηται Τρῳάδων ἄλλων μέτα.
οἵπερ γὰρ αὐτὴν ἐξεμόχθησαν δορὶ,
κτανεῖν ἐμοί νιν ἔδοσαν, εἴτε μὴ κτανὼν
θέλοιμ' ἄγεσθαι πάλιν ἐς Ἀργείαν χθόνα.
ἐμοὶ δ' ἔδοξε τὸν μὲν ἐν Τροίᾳ μόρον
Ἑλένης ἐᾶσαι, ναυπόρῳ δ' ἄγειν πλάτῃ
Ἑλληνίδ' ἐς γῆν, κᾆτ' ἐκεῖ δοῦναι κτανεῖν,
ποινὰς ὅσων τεθνᾶσ' ἐν Ἰλίῳ φίλοι.
ἀλλ' εἶα, χωρεῖτ' ἐς δόμους, ὀπάονες,
κομίζετ' αὐτὴν, τῆς μιαιφονωτάτης
κόμης ἐπισπάσαντες· οὔριοι δ' ὅταν
πνοιαὶ μόλωσι, πέμψομέν νιν Ἑλλάδα.

ΕΚΑΒΗ.

ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅςτις ποτ' εἶ σὺ δυςτόπαστος εἰδέναι
Ζεὺς, εἴτ' ἀνάγκη φύσεος, εἴτε νοῦς βροτῶν,

872. ὅσοις M.

προσευξάμην σε· πάντα γὰρ δι' ἀψόφου
βαίνων κελεύθου κατὰ δίκην τὰ θνήτ' ἄγεις.

ΜΕΝΕΛΑΟΣ.

τί δ' ἔστιν, εὐχὰς ὡς ἐκαίνισας θεῶν;

ΕΚΑΒΗ.

αἰνῶ σε, Μενέλα', εἰ κτενεῖς δάμαρτα σήν.
ὁρῶν δὲ τήνδε, φεῦγε, μή σ' ἕλῃ πόθῳ.
αἱρεῖ γὰρ ἀνδρῶν ὄμματ', ἐξαιρεῖ πόλεις,
πίμπρησι δ' οἴκους· ὧδ' ἔχει κηλήματα.
ἐγώ νιν οἶδα καὶ σὺ χοἰ πεπονθότες.

ΕΛΕΝΗ.

Μενέλαε, φροίμιον μὲν ἄξιον φόβου
τόδ' ἐστιν· ἐν γὰρ χερσὶ προσπόλων σέθεν
βίᾳ πρὸ τῶνδε δωμάτων ἐκπέμπομαι.
ἀτὰρ σχεδὸν μὲν οἶδά σοι στυγουμένη,
ὅμως δ' ἐρέσθαι βούλομαι, γνῶμαι τίνες
Ἕλλησι καὶ σοὶ τῆς ἐμῆς ψυχῆς πέρι;

ΜΕΝΕΛΑΟΣ.

οὐκ εἰς ἀκριβὲς ἦλθες, ἀλλ' ἅπας στρατὸς
κτανεῖν ἐμοί σ' ἔδωκεν, ὅνπερ ἠδίκεις.

ΕΛΕΝΗ.

ἔξεστιν οὖν πρὸς ταῦτ' ἀμείψασθαι λόγῳ,
ὡς οὐ δικαίως, ἢν θάνω, θανούμεθα;

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἐς λόγους ἐλήλυθ', ἀλλά σε κτενῶν.

ΕΚΑΒΗ.

ἄκουσον αὐτῆς, μὴ θάνῃ τοῦδ' ἐνδεής,
Μενέλαε, καὶ δὸς τοὺς ἐναντίους λόγους
ἡμῖν κατ' αὐτῆς· τῶν γὰρ ἐν Τροίᾳ κακῶν

883. κτανεῖς. 889. πρὸς γὰρ M.

οὐδὲν κάτοισθα. συντεθεὶς δ' ὁ πᾶς λόγος
κτενεῖ νιν οὕτως, ὥστε μηδαμῶς φυγεῖν.

ΜΕΝΕΛΑΟΣ.

σχολῆς τὸ δῶρον· εἰ δὲ βούλεται λέγειν,
ἔξεστι. τῶν σῶν δ' οὕνεχ', ὡς μάθῃ, λόγων,
δώσω τόδ' αὐτῇ, τῆσδε δ' οὐ δώσω χάριν.

ΕΛΕΝΗ.

ἴσως με, κἂν εὖ, κἂν κακῶς δόξω λέγειν,
οὐκ ἀνταμείψει, πολεμίαν ἡγούμενος.
ἐγὼ δ', ἅ σ' οἶμαι διὰ λόγων ἰόντ' ἐμοῦ
κατηγορήσειν, ἀντιθεῖσ', ἀμείψομαι
τοῖς σοῖσι, τἀμὰ καὶ τὰ σ' αἰτιάματα.
πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν,
Πάριν τεκοῦσα· δεύτερον δ' ἀπώλεσεν
Τροίαν τε κἄμ' ὁ πρέσβυς, οὐ κτανὼν βρέφος,
δαλοῦ πικρὸν μίμημ' Ἀλέξανδρόν ποτε.
ἐνθένδε τἀπίλοιπ' ἄκουσον, ὡς ἔχει·
ἔκρινε τρισσὸν ζεῦγος ὅδε τρισσῶν θεῶν.
καὶ Παλλάδος μὲν ἦν Ἀλεξάνδρῳ δόσις,
Φρυξὶ στρατηγοῦνθ' Ἑλλάδ' ἐξανιστάναι·
Ἥρα δ' ὑπέσχετ' Ἀσιάδ' Εὐρώπης θ' ὅρους
τυραννίδ' ἕξειν, εἰ σφε κρίνειεν Πάρις.
Κύπρις δὲ τοὐμὸν εἶδος ἐκπαγλουμένη
δώσειν ὑπέσχετ', εἰ θεὰς ὑπερδράμοι
κάλλει. τὸν ἐνθένδ' ὡς ἔχει σκέψαι λόγον·
νικᾷ Κύπρις θεάς· καὶ τοσόνδ' οἱ 'μοὶ γάμοι
ὤνησαν Ἑλλάδ'· οὐ κρατεῖσθ' ἐκ βαρβάρων,
οὔτ' ἐς δόρυ σταθέντες, οὐ τυραννίδι.

909. ἅ σ' οἶδα M. 914. κἀμὲ πρ. M. 916. ἔνθεν δέ. 920. Ἥρα θ' ὑπ. M. 925. οὑμὸς γάμος. 926. ὤνησεν.

ἃ δ' εὐτύχησεν Ἑλλὰς, ὠλόμην ἐγὼ,
εὐμορφίᾳ πραθεῖσα, κὠνειδίζομαι,
ἐξ ὧν ἐχρῆν με στέφανον ἐπὶ κάρα λαβεῖν.
οὔπω με φήσεις αὐτὰ τἀν ποσὶν λέγειν,
ὅπως ἀφώρμησ' ἐκ δόμων τῶν σῶν λάθρα.
ἦλθ', οὐχὶ μικρὰν θεὸν ἔχων αὐτοῦ μέτα,
ὁ τῆσδ' ἀλάστωρ, εἴτ' Ἀλέξανδρον θέλεις
ὀνόματι προσφωνεῖν νιν, εἴτε καὶ Πάριν·
ὃν, ὦ κάκιστε, σοῖσιν ἐν δόμοις λιπὼν,
Σπάρτης ἀπῆρας νηῒ Κρησίαν χθόνα.
(εἶεν.) οὐ σ', ἀλλ' ἐμαυτὴν τοὐπὶ τῷδ' ἐρήσομαι·
τί δὴ φρονοῦσά γ' ἐκ δόμων ἅμ' ἑσπόμην
ξένῳ, προδοῦσα πατρίδα καὶ δόμους ἐμούς;
τὴν θεὸν κόλαζε, καὶ Διὸς κρείσσων γενοῦ,
ὃς τῶν μὲν ἄλλων δαιμόνων ἔχει κράτος,
κείνης δὲ δοῦλός ἐστι· συγγνώμη δ' ἐμοί.
ἔνθεν δ' ἔχοις ἂν εἰς ἔμ' εὐπρεπῆ λόγον·
ἐπεὶ θανὼν γῆς ἦλθ' Ἀλέξανδρος μυχοὺς,
χρῆν μ', ἡνίκ' οὐκ ἦν θεοπόνητά μου λέχη,
λιποῦσαν οἴκους ναῦς ἐπ' Ἀργείων μολεῖν.
ἔσπευδον αὐτὸ τοῦτο· μάρτυρες δέ μοι
πύργων πυλωροὶ κἀπὸ τειχέων σκοποὶ,
οἳ πολλάκις μ' ἐφεῦρον ἐξ ἐπάλξεων
πλεκταῖσιν ἐς γῆν σῶμα κλέπτουσαν τόδε.
βίᾳ δ' ὁ καινός μ' οὗτος ἁρπάσας πόσις
Δηΐφοβος ἄλοχον εἶχεν ἀκόντων Φρυγῶν.
πῶς οὖν ἔτ' ἂν θνήσκοιμ' ἂν ἐνδίκως, πόσι,
πρὸς σοῦ δικαίως, ἣν ὁ μὲν βίᾳ γαμεῖ,

930. κάρᾳ S. 933. αὐτοῦ S. 955. δίκαιος S.

τὰ δ' οἴκοθεν κεῖν' ἀντὶ νικητηρίων
πικρῶς ἐδούλευσ'. εἰ δὲ τῶν θεῶν κρατεῖν
βούλει, τὸ χρῄζειν ἀμαθές ἐστι σοι τόδε.

ΧΟΡΟΣ.

βασίλει', ἄμυνον σοῖς τέκνοισι καὶ πάτρᾳ,
πειθὼ διαφθείρουσα τῆσδ', ἐπεὶ λέγει
καλῶς, κακοῦργος οὖσα· δεινὸν οὖν τόδε.

ΕΚΑΒΗ.

ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι,
καὶ τήνδε δείξω μὴ λέγουσαν ἔνδικα.
ἐγὼ γὰρ Ἥραν παρθένον τε Παλλάδα
οὐκ ἐς τοσοῦτον ἀμαθίας ἐλθεῖν δοκῶ,
ὥσθ' ἡ μὲν Ἄργος βαρβάροις ἀπημπόλα,
Παλλὰς δ' Ἀθήνας Φρυξὶ δουλεύειν ποτὲ,
αἳ παιδιαῖσι καὶ χλιδῇ μορφῆς πέρι
ἦλθον πρὸς Ἴδην. τοῦ γὰρ οὕνεκ' ἂν θεὰ
Ἥρα τοσοῦτον ἔσχ' ἔρωτα καλλονῆς;
πότερον ἀμείνον' ὡς λάβοι Διὸς πόσιν,
ἢ γάμον Ἀθάνα θεῶν τινος θηρωμένη;
ἣ παρθενείαν πατρὸς ἐξῃτήσατο,
φεύγουσα λέκτρα; μὴ 'μαθεῖς ποίει θεὰς,
τὸ σὸν κακὸν κοσμοῦσα. μὴ πείσῃς σοφούς.
Κύπριν δ' ἔλεξας, (ταῦτα γὰρ γέλως πολὺς,)
ἐλθεῖν ἐμῷ ξὺν παιδὶ Μενέλεω δόμους.
οὐκ ἂν μένουσ' ἂν ἥσυχός γ' ἐν οὐρανῷ
αὐταῖς Ἀμύκλαις σ' ἤγαγεν πρὸς Ἴλιον;
ἦν οὑμὸς υἱὸς κάλλος ἐκπρεπέστατος,

958. ἐστι γάρ M. 971. λάβῃ M. 972. Ἀθηνᾶ M. — πειρωμένη. 975. μὴ οὐ πείσῃς S. 979. Ἀμύκλαις ἤγαγε M.

ὁ σὸς δ' ἰδών νιν νοῦς ἐποιήθη Κύπρις.
τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς,
καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.
ὃν σύ γ' ἐςιδοῦσα βαρβάροις ἐσθήμασι
χρυσῷ τε λαμπρὸν, ἐξεμαργώθης φρένας.
ἐν μὲν γὰρ Ἄργει μίκρ' ἔχουσ' ἀνεστρέφου,
Σπάρτης δ' ἀπαλλαχθεῖσα, τὴν Φρυγῶν πόλιν
χρυσῷ ῥέουσαν ἤλπισας κατακλύσειν
δαπάναισιν· οὐδ' ἦν ἱκανά σοι τὰ Μενέλεω
μέλαθρα, ταῖς σαῖς ἐγκαθυβρίζειν τρυφαῖς.
εἶεν· βίᾳ γὰρ παῖδα φὴς σ' ἄγειν ἐμόν.
τίς Σπαρτιατῶν ᾔσθετ', ἢ ποίαν βοὴν
ἀνωλόλυξας, Κάστορος νεανίου
τοῦ συζύγου τ' ἔτ' ὄντος, οὐ κατ' ἄστρα πω.
ἐπεὶ δὲ Τροίαν ἦλθες Ἀργεῖοί τέ σου
κατ' ἴχνος, ἦν δὲ δοριπετὴς ἀγωνία,
εἰ μὲν τὰ τοῦδε κρείσσον' ἀγγέλλοιτό σοι,
Μενέλαον ᾔνεις, παῖς ὅπως λυποῖτ' ἐμὸς,
ἔχων ἔρωτος ἀνταγωνιστὴν μέγαν·
εἰ δ' εὐτυχοῖεν Τρῶες, οὐδὲν ἦν ὅδε.
ἐς τὴν τύχην δ' ὁρῶσα, τοῦτ' ἤσκεις, ὅπως
ἕποι' ἅμ' αὐτῇ, τῇ 'ρετῇ δ' οὐκ ἤθελες.
κἄπειτα πλεκταῖς σῶμα σὸν κλέπτειν λέγεις,
πύργων καθιεῖσ', ὡς μένουσ' ἀκουσίως;
ποῦ δῆτ' ἐλήφθης ἢ βρόχους ἀρτωμένη,
ἢ φάσγανον θήγουσ'; ἃ γενναία γυνὴ
δράσειεν ἂν, ποθοῦσα τὸν πάρος πόσιν.
καίτοι γ' ἐνουθέτουν σὲ πολλὰ πολλάκις·

984. ὃν εἰςιδοῦσα. 991. deest σ' M. 997. ἀγγέλλοιτο M.
1004. ἀκουσίως.

ὦ θύγατερ, ἔξελθ'· οἱ δ' ἐμοὶ παῖδες γάμους
ἄλλους γαμοῦσι· σὲ δ' ἐπὶ ναῦς Ἀχαϊκὰς
πέμψω συνεκκλέψασα· καὶ παῦσον μάχης
Ἕλληνας ἡμᾶς τ'. ἀλλὰ σοὶ τόδ' ἦν πικρόν.
ἐν τοῖς Ἀλεξάνδρου γὰρ ὕβριζες δόμοις,
καὶ προςκυνεῖσθαι βαρβάρων ὕπ' ἤθελες.
μεγάλα γὰρ ἦν σοι· κἀπὶ τοῖςδε σὸν δέμας
ἐξῆλθες ἀσκήσασα, κἄβλεψας πόσει
τὸν αὐτὸν αἰθέρ', ὦ κατάπτυστον κάρα·
ἣν χρῆν ταπεινὴν ἐν πέπλων ἐρειπίοις,
φρίκῃ τρέμουσαν, κρᾶτ' ἀπεσκυθισμένην,
ἐλθεῖν, τὸ σῶφρον τῆς ἀναιδείας πλέον
ἔχουσαν ἐπὶ τοῖς πρόςθεν ἡμαρτημένοις.
Μενέλα', ἵν' εἰδῇς, οἷ τελευτήσω λόγον,
στεφάνωσον Ἑλλάδ', ἀξίως τήνδε κτανὼν
σαυτοῦ· νόμον δὲ τόνδε ταῖς ἄλλαισι θὲς
γυναιξὶ, θνήσκειν, ἥτις ἂν προδῷ πόσιν.

ΧΟΡΟΣ.

Μενέλαε, προγόνων ἀξίως δόμων τε σῶν
τίσαι δάμαρτα, κἀφελοῦ πρὸς Ἑλλάδος
ψόγον τὸ θῆλυ τ', εὐγενὴς ἐχθροῖς φανείς.

ΜΕΝΕΛΑΟΣ.

ἐμοὶ σὺ συμπέπτωκας ἐς ταυτὸν λόγου,
ἑκουσίως τήνδ' ἐκ δόμων ἐλθεῖν ἐμῶν
ξένας ἐς εὐνάς· χἠ Κύπρις κόμπου χάριν
λόγοις ἐνεῖται. βαῖνε λευστήρων πέλας,
πόνους τ' Ἀχαιῶν ἀπόδος ἐν μικρῷ μακροὺς
θανοῦσ', ἵν' εἰδῇς μὴ καταισχύνειν ἐμέ.

1009. οἶδ' M. 1026. ἀξίως τε δόμων M. 1033. πύργους
δ' Ἀ.

ΕΛΕΝΗ.

μὴ, πρὸς σὲ γονάτων, τὴν νόσον τὴν τῶν θεῶν
προςθεὶς ἐμοὶ, κτάνῃς με, συγγίγνωσκε δέ.

ΕΚΑΒΗ.

μηδ᾽, οὓς ἀπέκτειν᾽ ἥδε συμμάχους, προδῷς·
ἐγὼ πρὸ κείνων καὶ τέκνων σε λίσσομαι.

ΜΕΝΕΛΑΟΣ.

παῦσαι, γεραιά· τῆςδε δ᾽ οὐκ ἐφρόντισα.
λέγω δὲ προςπόλοισι, πρὸς πρύμνας νεῶν
τήνδ᾽ ἐκκομίζειν, ἔνθα ναυστολήσεται.

ΕΚΑΒΗ.

μὴ νῦν νεώς σοι ταυτὸν ἐςβήτω σκάφος.

ΜΕΝΕΛΑΟΣ.

τί δ᾽ ἐστι; μεῖζον βρῖθος, ἢ πάρος γ᾽, ἔχει;

ΕΚΑΒΗ.

οὐκ ἔστ᾽ ἐραστὴς, ὅςτις οὐκ ἀεὶ φιλεῖ.

ΜΕΝΕΛΑΟΣ.

ὅπως ἂν ἐκβῇ τῶν ἐρωμένων ὁ νοῦς.
ἔσται δ᾽, ἃ βούλει· ναῦν γὰρ οὐκ ἐςβήσεται,
ἐς ἥνπερ ἡμεῖς· καὶ γὰρ οὐ κακῶς λέγεις·
ἐλθοῦσα δ᾽ Ἄργος, ὥςπερ ἀξία, κακῶς
κακὴ θανεῖται, καὶ γυναιξὶ σωφρονεῖν
πάσαισι θήσει. ῥᾴδιον μὲν οὐ τόδε·
ὅμως δ᾽ ὁ τῆσδ᾽ ὄλεθρος ἐς φόβον βαλεῖ
τὸ μῶρον αὐτῶν, κἂν ἔτ᾽ ὦσ᾽ ἐχθίονες.

ΧΟΡΟΣ.

Οὕτω δὴ τὸν ἐν Ἰλίῳ (στροφὴ ά.)
ναὸν καὶ θυόεντα βω-
μὸν προὔδωκας Ἀχαιοῖς,

1045. Hecubae continuat M.

ὦ Ζεῦ, καὶ πελάνων φλόγα,
σμύρνης αἰθερίας τε κα-
πνὸν καὶ Πέργαμον ἱεράν,
Ἰδαῖά τ᾽ Ἰδαῖα κισσοφόρα νάπη
χιόνι κατάρυτα ποταμίᾳ
τέρμονά τε πρωτόβολον ἁλίῳ
τὰν καταλαμπομέναν ζαθέαν θεράπναν.
φροῦδαί σοι θυσίαι χορῶν τ᾽ (ἀντιστρ. ά.)
εὔφημοι κέλαδοι κατ᾽ ὄρ-
φναν καὶ παννυχίδες θεῶν,
χρυσέων τε ξοάνων τύποι,
Φρυγῶν τε ζάθεοι σελᾶ-
ναι συνδώδεκα πλήθει.
μέλει, μέλει μοι, τάδ᾽ εἰ φρονεῖς, ἄναξ,
οὐράνιον ἕδρανον ἐπιβεβὼς
αἰθέρα τ᾽, ἐμᾶς πόλεος ὀλομένας,
ἃν πυρὸς αἰθομένα κατέλυσεν ὁρμά.
ὦ φίλος ὦ πόσι μοι, (στροφὴ β΄.)
σὺ μὲν φθίμενος ἀλαίνεις
ἄθαπτος, ἄνυδρος· ἐμὲ δὲ πόντιον σκάφος
αΐσσον πτεροῖσι πορεύσει
ἱππόβοτον Ἄργος, ἵνα τείχη
λάϊνα, Κυκλώπι᾽, οὐράνια νέμονται.
τέκνων δὲ πλῆθος ἐν πύλαις
δάκρυσι κατᾴορα στένει,
βοᾷ, βοᾷ· μᾶτερ, ὤμοι!

1058. ἱράν S. 1060. κατάῤῥυτα ποταμείᾳ M. 1068. σὺν δώδεκα M. 1070. ἕδραν ἐπιβεβηκώς M. 1071. αἰθέρα τε πόλεως ὀλουμένας. 1072. αἰθομέναν. 1077. τείχεα. 1078. Κυκλώπει᾽.

μόναν δή μ' Ἀχαιοὶ κομίζου-
σι σέθεν ἀπ' ὀμμάτων
κυανέαν ἐπὶ ναῦν
εἰναλίαισι πλάταις
ἢ Σαλαμῖν' ἱερὰν,
ἢ δίπορον κορυφὰν
Ἴσθμιον, ἔνθα πύλας
Πέλοπος ἔχουσιν ἕδραι.
εἴθ' ἀκάτου Μενέλα (ἀντιστρ. β'.)
μέσον πέλαγος ἰούσας,
δίπαλτον ἱερὸν ἀνὰ μέσον πλατᾶν πέσοι
Αἰγαίου κεραυνοφαὲς πῦρ,
Ἰλιόθεν ὅτι με πολύδακρυν
Ἑλλάδι λάτρευμα γᾶθεν ἐξορίζει.
χρύσεα δ' ἔνοπτρα, παρθένων
χάριτας, ἔχουσα τυγχάνει
Διὸς κόρᾳ· μηδὲ γαῖαν
ποτ' ἔλθοι Λάκαιναν, πατρῷον
τε θάλαμον ἑστίας,
μηδὲ πόλιν Πιτάνας,
χαλκόπυλόν τε θεάν,
δύςγαμον αἶσχος ἑλὼν
Ἑλλάδι τᾷ μεγάλᾳ,
ταῖς Σιμοεντίσι τ' αὖ
μέλεα πάθεα ῥοῇσιν!
ἰὼ, ἰώ!
καιναὶ καινῶν μεταβάλλουσαι
χθονὶ συντυχίαι. λεύσσετε Τρώων

1088. πύλαις M. 1092. πλάταν M. 1098. κόρα M.
1102. θεᾶς M. 1106. Τρωῇσιν M.

τόνδ' Ἀστυάνακτ' ἄλοχοι μέλεαι
νεκρὸν, ὃν, πύργων δίσκημα πικρὸν,
Δαναοὶ κτείναντες ἔχουσιν.

ΤΑΛΘΥΒΙΟΣ.

Ἑκάβη, νεὼς μὲν πίτυλος εἷς λελειμμένος
λάφυρα τἀπίλοιπ' Ἀχιλλείου τόκου
μέλλει πρὸς ἀκτὰς ναυστολεῖν Φθιώτιδας·
αὐτὸς δ' ἀνῆκται Νεοπτόλεμος, καινάς τινας
Πηλέως ἀκούσας συμφορὰς, ὥς νιν χθονὸς
Ἄκαστος ἐκβέβληκεν ὁ Πελίου γόνος.
οὗ θᾶσσον οὕνεκ', ἢ χάριν μονῆς ἔχων,
φροῦδος, μετ' αὐτοῦ τ' Ἀνδρομάχη, πολλῶν ἐμοὶ
δακρύων ἀγωγὸς, ἡνίκ' ἐξώρμα χθονὸς,
πάτραν τ' ἀναστένουσα καὶ τὸν Ἕκτορος
τύμβον προσεννέπουσα. καί σφ' ᾐτήσατο
θάψαι νεκρὸν τόνδ', ὃς πεσὼν ἐκ τειχέων
ψυχὴν ἀφῆκεν Ἕκτορος τοῦ σοῦ γόνος,
φόβον τ' Ἀχαιῶν, χαλκόνωτον ἀσπίδα
τήνδ', ἣν πατὴρ τοῦδ' ἀμφὶ πλευρ' ἐβάλλετο,
μή νιν πορεῦσαι Πηλέως ἐφ' ἑστίαν,
μηδ' ἐς τὸν αὐτὸν θάλαμον, οὗ νυμφεύσεται
μήτηρ νεκροῦ τοῦδ' Ἀνδρομάχη, λύπας ὁρᾶν,
ἀλλ' ἀντὶ κέδρου περιβόλων τε λαΐνων,
ἐν τῇδε θάψαι παῖδα· σὰς δ' ἐς ὠλένας
δοῦναι, πέπλοισιν ὡς περιστείλῃς νεκρὸν
στεφάνοις θ', ὅση σοι δύναμις, ὡς ἔχει τὰ σά·
ἐπεὶ βέβηκε καὶ τὸ δεσπότου τάχος

1112. κτείνοντες M. 1122. deest τ'. 1134. στεφανοῖς.

ἀφεῖλετ᾽ αὐτὴν παῖδα μὴ δοῦναι τάφῳ.
ἡμεῖς μὲν οὖν, ὅταν σὺ κοσμήσῃς νέκυν,
γῆν τῷδ᾽ ἐπαμπίσχοντες αἴρομεν δόρυ·
σὺ δ᾽ ὡς τάχιστα πρᾶσσε τἀπεσταλμένα.
ἑνὸς μὲν οὖν μόχθου σ᾽ ἀπαλλάξας ἔχω·
Σκαμανδρίους γὰρ τάσδε διαπερῶν ῥοὰς
ἔλουσα νεκρὸν κἀπένιψα τραύματα.
ἀλλ᾽ εἶμ᾽ ὀρυκτὸν τῷδ᾽ ἀναῤῥήξων τάφον,
ὡς σύντομ᾽ ἡμῖν τἀπ᾽ ἐμοῦ τε κἀπὸ σοῦ
ἐς ἓν ξυνελθόντ᾽, οἴκαδ᾽ ὁρμίσῃ πλάτην.

ΕΚΑΒΗ.

θέσθ᾽ ἀμφίτορνον ἀσπίδ᾽ Ἕκτορος πέδῳ,
λυπρὸν θέαμα κοὐ φίλον λεύσσειν ἐμοί.
ὦ μείζον᾽ ὄγκον δορὸς ἔχοντες, ἢ φρενῶν,
τί τόνδ᾽, Ἀχαιοὶ, παῖδα δείσαντες, φόνον
καινὸν διειργάσασθε; μὴ Τροίαν ποτὲ
πεσοῦσαν ὀρθώσειεν; οὐδὲν ἦτ᾽ ἄρα,
ὅθ᾽, Ἕκτορος μὲν εὐτυχοῦντος ἐς δόρυ,
διωλλύμεσθα, μυρίας τ᾽ ἄλλης χερός·
πόλεως δ᾽ ἁλούσης καὶ Φρυγῶν ἐφθαρμένων,
βρέφος τοσόνδ᾽ ἐδείσατ᾽; οὐκ αἰνῶ φόβον
ὅςτις φοβεῖται, μὴ διεξελθὼν λόγῳ.
ὦ φίλταθ᾽, ὥς σοι θάνατος ἦλθε δυςτυχής!
εἰ μὲν γὰρ ἔθανες πρὸ πόλεως, ἥβης τυχὼν
γάμων τε καὶ τῆς ἰσοθέου τυραννίδος,
μακάριος ἦσθ᾽ ἂν, εἴ τι τῶνδε μακάριον.
νῦν αὔτ᾽ ἰδὼν μὲν γνούς τε σῇ ψυχῇ, τέκνον,
οὐκ οἶσθ᾽· ἐχρήσω δ᾽ οὐδὲν ἐν δόμοις ἔχων.
δύστηνε κρατὸς, ὥς σ᾽ ἔκειρεν ἀθλίως

1138. αἰροῦμεν M. αἴρουμεν S.

τείχη πατρῷα, Λοξίου πυργώματα,
ὃν πόλλ᾽ ἐκήπευσ᾽ ἡ τεκοῦσα βόστρυχον,
φιλήμασίν τ᾽ ἔδωκεν, ἔνθεν ἐκγελᾷ,
ὀστέων ῥαγέντων, φόνος, ἵν᾽ αἰσχρὰ μὴ λέγω.
ὦ χεῖρες, ὡς εἰκοὺς μὲν ἡδείας πατρὸς
κέκτησθ᾽, ἐν ἄρθροις δ᾽ ἔκλυτοι πρόκεισθέ μοι!
ὦ πολλὰ κόμπους ἐκβαλὸν φίλον στόμα,
ὄλωλας, ἐψεύσω μ᾽, ὅτ᾽ ἐςπίπτων πέπλους,
ὦ μῆτερ, ηὔδας, ἦ πολύν σοι βοστρύχων
πλόκαμον κεροῦμαι, πρὸς τάφον θ᾽ ὁμηλίκων
κώμους ἀπάξω, φίλα διδοὺς προςφθέγματα.
σὺ δ᾽ οὐκ ἔμ᾽, ἀλλ᾽ ἐγὼ σὲ τὸν νεώτερον,
γραῦς, ἄπολις, ἄτεκνος, ἄθλιον θάπτω νε-
κρόν.
οἴ μοι! τὰ πόλλ᾽ ἀσπάσμαθ᾽ αἵ τ᾽ ἐμαὶ τροφαὶ
ὕπνοι τ᾽ ἐκεῖνοι φροῦδά μοι. τί καί ποτε
γράψειεν ἄν σε μουσοποιὸς ἐν τάφῳ;
τὸν παῖδα τόνδ᾽ ἔκτειναν Ἀργεῖοί ποτε
δείσαντες; αἰσχρὸν τοὐπίγραμμά γ᾽ Ἑλλάδι.
ἀλλ᾽, ὦ πατρῴων οὐ λαχὼν, ἕξεις ὅμως,
ἐν ᾗ ταφήσει, χαλκόνωτον ἰτέαν.
ὦ καλλίπηχυν Ἕκτορος βραχίονα
σώζουσ᾽, ἄριστον φύλακ᾽ ἀπώλεσας σέθεν.
ὡς ἡδὺς ἐν πόρπακι σὸς κεῖται τύπος,
ἴτυός τ᾽ ἐν εὐτόρνοισι περιδρόμοις ἱδρὼς,
ὃν ἐκ μετώπου πολλάκις, πόνους ἔχων,
ἔσταζεν Ἕκτωρ, προςτιθεὶς γενειάδι.
φέρετε, κομίζετ᾽ ἀθλίῳ κόσμον νεκρῷ

1169. κέκτησθ᾽ ἐν ἄρθροις, ἔκλ. M. 1170. ἐκβαλὼν M.
1173. τάφον δ᾽. 1189. ἔσταζες, Ἕκτορ S.

ἐκ τῶν παρόντων· οὐ γὰρ ἐς κάλλος τύχας
δαίμων δίδωσιν· ὧν δ' ἔχω, λήψει τάδε.
θνητῶν δὲ μῶρος ὅςτις εὖ πράσσειν δοκῶν
βέβαια, χαίρει· τοῖς τρόποις γὰρ αἱ τύχαι,
ἔμπληκτος ὣς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε
πηδῶσι, κοὐδεὶς αὐτὸς εὐτυχεῖ ποτε.

ΧΟΡΟΣ.

καὶ μὴν πρὸ χειρῶν αἵδε σοι σκυλευμάτων
Φρυγίων φέρουσι κόσμον ἐξάπτειν νεκρῷ.

ΕΚΑΒΗ.

ὦ τέκνον, οὐχ ἵπποισι νικήσαντά σε,
οὐδ' ἥλικας τόξοισιν, οὓς Φρύγες νόμους
τιμῶσιν, οὐκ ἐς πλησμονὰς θηρώμενοι,
μήτηρ πατρός σοι προςτίθησ' ἀγάλματα
τῶν σῶν ποτ' ὄντων, νῦν δέ σ' ἡ θεοστυγὴς
ἀφείλεθ' Ἑλένη· πρὸς δὲ καὶ ψυχὴν σέθεν
ἔκτεινε, καὶ πάντ' οἶκον ἐξαπώλεσεν.

ΧΟΡΟΣ.

ἒ, ἔ! φρενῶν ἔθιγες, ἔθιγες, ὦ
μέγας ἐμοί ποτ' ὢν ἀνάκτωρ πόλεως.

ΕΚΑΒΗ.

ἃ δ' ἐν γάμοις ἐχρῆν σε προςθέσθαι χροΐ,
Ἀσιατίδων γήμαντα τὴν ὑπερτάτην,
Φρύγια πέπλων ἀγάλματ' ἐξάπτω χροός.
σύ τ', ὦ ποτ' οὖσα καλλίνικε μυρίων
μῆτερ τροπαίων, Ἕκτορος φίλον σάκος,
στεφανοῦ· θανεῖ γὰρ οὐ θανοῦσα σὺν νεκρῷ·
ἐπεὶ σὲ πολλῷ μᾶλλον, ἢ τὰ τοῦ σοφοῦ
κακοῦ τ' Ὀδυσσέως ἄξιον τιμᾶν ὅπλα.

ΧΟΡΟΣ.

αἶ αἶ αἶ αἶ!
πικρὸν ὄδυρμα γαῖά σ', ὦ
τέκνον, δέξεται. στέναξον, μᾶτερ —

ΕΚΑΒΗ.

αἶ αἶ αἶ αἶ!

ΧΟΡΟΣ.

νεκρῶν ἴακχον.

ΕΚΑΒΗ.

ὤ μοί μοι!

ΧΟΡΟΣ.

οἴμοι δῆτα σῶν ἀλάστων κακῶν!

ΕΚΑΒΗ.

τελαμῶσιν ἕλκη τὰ μὲν ἐγώ σ' ἰάσομαι,
τλήμων ἰατρὸς ὄνομ' ἔχουσα, τἄργα δ' οὔ·
τὰ δ' ἐν νεκροῖσι φροντιεῖ πατήρ σέθεν.

ΧΟΡΟΣ.

ἄρασσ' ἄρασσε χειρὶ κρᾶ-
τα πιτύλους διδοῦσα χειρός, ἰώ μοι! [μοι]

ΕΚΑΒΗ.

ὦ φίλταται γυναῖκες!

ΧΟΡΟΣ.

Ἑκάβη, σάφ' ἔνεπε, τίνα θροεῖς αὐδάν;

ΕΚΑΒΗ.

οὐκ ἦν ἄρ' ἐν θεοῖσι, πλὴν οἱ 'μοὶ πόνοι,
Τροία τε πόλεων ἔκκριτον μισουμένη,

1216. αἶ αἶ bis S. 1217. πικρόν γ' ὄδ. S. 1218. στέναζε, μῆτερ M. στέναζ', ὦ μ. S. 1219. ἴαχον M. ἰώ μοί μοι M. 1223. φροντίσει. 1224. χειρὶ om. S. 1227. σάς ἔννεπε M. 1229. οὔμοι.

ματην δ' ἐβουθυτοῦμεν. εἰ δὲ μὴ θεὸς
ἔστρεψ' ἄνωθεν περιβαλὼν κάτω χθονὸς,
ἀφανεῖς ἂν ὄντες οὐκ ἂν ὑμνηθεῖμεν ἂν
Μούσαις, ἀοιδὰς δόντες ὑστέροις βροτῶν.
χωρεῖτε, θάπτετ' ἀθλίῳ τύμβῳ νεκρόν·
ἔχει γὰρ, οἷα δεῖ γε, νερτέρων στέφη.
δοκῶ δὲ τοῖς θανοῦσι διαφέρειν βραχὺ,
εἰ πλουσίων τις τεύξεται κτερισμάτων.
κενὸν δὲ γαύρωμ' ἐστὶ τῶν ζώντων τόδε.

ΧΟΡΟΣ.

ἰὼ, ἰώ·
μελέα μάτηρ, ἣ τὰς μεγάλας
ἐλπίδας ἐπὶ σοὶ κατέκαμψε βίου.
μέγα δ' ὀλβισθεὶς, ὡς ἐκ πατέρων
ἀγαθῶν ἐγένου,
δεινῷ θανάτῳ διόλωλας.

ΕΚΑΒΗ.

ἔα, ἔα.
τίνας Ἰλιάσιν ταῖσδ' ἐν κορυφαῖς
λεύσσω φλογέας δαλοῖσι χέρας
διερέσσοντας; μέλλει Τροίᾳ
καινόν τι κακὸν προσέσεσθαι.

ΤΑΛΘΥΒΙΟΣ.

αὐδῶ λοχαγοῖς, οἳ τέταχθε πιμπράναι
Πριάμου τόδ' ἄστυ, μηκέτ' ἀργοῦσαν φλόγα
ἐν χειρὶ σώζειν, ἀλλὰ πῦρ ἐνιέναι,
ὡς ἂν, κατασκάψαντες Ἰλίου πόλιν,
στελλώμεθ' οἴκαδ' ἄσμενοι Τροίας ἄπο.

1233. ὑμνήθημεν. 1241. μάτηρ γ' M. 1242. κατέγναψε M.

ὑμεῖς δ', ἵν' αὑτὸς λόγος ἔχῃ μορφὰς δύο,
χωρεῖτε, Τρώων παῖδες, ὀρθίαν ὅταν
σάλπιγγος ἠχὼ δῶσιν ἀρχηγοὶ στρατοῦ,
πρὸς ναῦς Ἀχαιῶν, ὡς ἀποστέλλησθε γῆς.
σύ τ', ὦ γεραιὰ δυστυχεστάτη γύναι,
ἕπου. μεθήκουσίν σ' Ὀδυσσέως πάρα
οἵδ', ᾧ σε δούλην κλῆρος ἐκπέμπει χθονός.

ΕΚΑΒΗ.

οἲ 'γὼ τάλαινα! τοῦτο δὴ τὸ λοίσθιον
καὶ τέρμα πάντων τῶν ἐμῶν ἤδη κακῶν·
ἔξειμι πατρίδος, πόλις ὑφάπτεται πυρί.
ἀλλ', ὦ γεραιὲ ποῦς, ἐπίσπευσον μόλις,
ὡς ἀσπάσωμαι τὴν ταλαίπωρον πόλιν.
ὦ μεγάλα δή ποτ' ἀμπνέουσ' ἐν βαρβάροις
Τροία, τὸ κλεινὸν ὄνομ' ἀφαιρήσει τάχα.
πιμπρᾶσί σ', ἡμᾶς δ' ἐξάγουσ' ἤδη χθονὸς
δούλας· ἰὼ θεοί! καὶ τί τοὺς θεοὺς καλῶ;
καὶ πρὶν γὰρ οὐκ ἤκουσαν ἀνακαλούμενοι.
φέρ' ἐς πυρὰν δράμωμεν, ὡς κάλλιστά μοι
σὺν τῇδε πατρίδι κατθανεῖν πυρουμένῃ.

ΤΑΛΘΥΒΙΟΣ.

ἐνθουσιᾷς, δύστηνε, τοῖς σαυτῆς κακοῖς·
ἀλλ' ἄγετε, μὴ φείδεσθ'. Ὀδυσσέως δὲ χρὴ
ἐς χεῖρα δοῦναι τήνδε καὶ πέμπειν γέρας.

ΕΚΑΒΗ.

ὀτοτοτοτοτοτοῖ!
Κρόνιε, πρύτανι Φρύγιε, γενέτα

1262. ἐκπ. πάτρας M. 1270. πιμπρᾷ σὺ, χ ἡμᾶς M. 1271. deest καί M. 1279. ὦ Κρόνιε S.

πάτερ, ἀνάξια τῆς Δαρδάνου
γονᾶς τάδ' οἷα πάσχομεν, δέδορκας;

ΧΟΡΟΣ.

δέδορκεν, ἁ δὲ μεγαλόπολις
ἄπολις ὄλωλεν, οὐδ' ἔτ' ἔστι Τροία.

ΕΚΑΒΗ.

ὀτοτοτοτοτοτοῖ!
λέλαμπεν Ἴλιος,
Περγάμων τε πυρὶ καταίθεται τέρεμνα
καὶ πόλις ἄκρα τε τειχέων.

ΧΟΡΟΣ.

πτέρυγι δὲ καπνὸς ὥς τις, οὐ-
ράνια πεσοῦσα δορὶ καταφθίνει γᾶ
μαλερὰ μέλαθρα πυρὶ κατάδρομα
δαΐῳ τε λόγχᾳ.

ΕΚΑΒΗ.

ἰὼ γᾶ τρόφιμε τῶν ἐμῶν τέκνων!

ΧΟΡΟΣ.

ἒ ἕ!

ΕΚΑΒΗ.

ὦ τέκνα, κλύετε, μάθετε ματρὸς αὐδάν.

ΧΟΡΟΣ.

ἰαλέμῳ τοὺς θανόντας ἀπύεις.

ΕΚΑΒΗ.

γεραιά τ' εἰς πέδον τιθεῖσα μέλεα,
καὶ χερσὶ γαῖαν κροτοῦσα δισσαῖς.

ΧΟΡΟΣ.

διάδοχόν σοι γόνυ τίθημι γαίᾳ,

1286. τὰ Περγ. S. τε om. M. 1287. πόλισμ' S. 1288. οὐρανία M. 1291. δαΐᾳ M. 1297. κρύπτουσα M.

τοὺς ἐμοὺς καλοῦσα νέρθεν
ἀθλίους ἀκοίτας.

ΕΚΑΒΗ.

ἀγόμεθα, φερόμεθ'.

ΧΟΡΟΣ.

ἄλγος, ἄλγος βοᾷς.

ΕΚΑΒΗ.

δούλειον ὑπὸ μέλαθρον,

ΧΟΡΟΣ.

ἐκ πάτρας γ' ἐμᾶς.

ΕΚΑΒΗ.

ἰώ!
Πρίαμε, Πρίαμε! σὺ μὲν ὀλόμενος
ἄταφος, ἄφιλος, ἄτας ἐμᾶς ἄϊστος εἶ.
μέλας γὰρ ὄσσε κατακαλύπτει
θάνατος ὅσιον ἀνοσίαις σφαγαῖσιν.
ἰὼ θεῶν μέλαθρα καὶ πόλις φίλα!

ΧΟΡΟΣ.

ἒ ἕ!
τὰν φόνιον ἔχετε φλόγα δορός τε λόγχαν.
τάχ' εἰς φίλαν γᾶν πεσεῖσθ' ἀνώνυμοι.
κόνις δ' ἴσα καπνῷ πτέρυγι πρὸς αἰθέρ'
ἄϊστον οἴκων ἐμῶν με θήσει,
ὄνομα δὲ γᾶς ἀφανὲς εἶσιν· ἄλλᾳ δ'
ἄλλο φροῦδον, οὐδ' ἔτ' ἔστιν
ἁ τάλαινα Τροία.

1301. φερόμεθα M. 1304. σὺ μὲν γὰρ ὀλ. M. 1306. cum sq. choro tribuit S. — γάρ σ' ὄσσε M. 1307. σφαγαῖς M. 1308. *ΕΚ.* S. 1310. *ΕΚ.* S. 1311. *ΧΟ.* S. ἐμπεσεῖσθ' M. 1312. *ΕΚ.* S. 1313. μεθήσει. 1314. *ΧΟ.* S.

ΕΚΑΒΗ.

ἐμάθετ', ἐκλύετε Περγάμων κτύπον;
ἔνοσις ἅπασαν, ἔνοσις ἐπικλύσει πόλιν.
ἰώ! τρομερὰ τρομερὰ μέλεα,
φέρετ' ἐμὸν ἴχνος.

ΤΑΛΘΥΒΙΟΣ.

ἴτ' ἐπὶ τάλαιναν
δούλειον ἁμέραν βίου.
ἰώ! τάλαινα πόλις! ὅμως δὲ
πρόφερε πόδα σὸν ἐπὶ πλάτας Ἀχαιῶν.

1317. *ΧΟ.* Περγ. γε κτ. S. 1318. *ΕΚ.* S. 1319. τρομερὰ semel S. 1320. φέρ' S.

ΤΕΛΟΣ ΤΡΩΙΑΔΩΝ.

ΕΥΡΙΠΙΔΟΥ

ΚΥΚΛΩΨ.

ΥΠΟΘΕΣΙΣ.

Ὀδυσσεὺς ἀναχθεὶς ἐξ Ἰλίου, εἰς Σικελίαν ἀπεῤῥίφη, ἔνθα ὁ Πολύφημος· εὑρὼν δὲ καὶ δουλεύοντας ἐκεῖ τοὺς Σατύρους, οἶνον δοὺς, ἄρνας ἤμελλε λαμβάνειν καὶ γάλα παρ' αὐτῶν. ἐπιφανεὶς δ' ὁ Πολύφημος, ζητεῖ τὴν αἰτίαν τῆς τῶν ἰδίων ἐκφορήσεως. ὁ Σιληνὸς δὲ τὸν ξένον ληστεύοντα καταλαβεῖν φησί. [τὰ δ' ἄλλα, ὡς παρ' Ὁμήρῳ κεῖται.]

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΙΛΗΝΟΣ.
ΧΟΡΟΣ Σατύρων.
ΟΔΥΣΣΕΥΣ.
ΚΥΚΛΩΨ.

ΕΥΡΙΠΙΔΟΥ ΚΥΚΛΩΨ.

ΣΙΛΗΝΟΣ.

Ὦ Βρόμιε, διὰ σὲ μυρίους ἔχω πόνους
νῦν χὤτ' ἐν ἥβῃ τοὐμὸν εὐσθένει δέμας·
πρῶτον μὲν, ἡνίκ' ἐμμανὴς Ἥρας ὕπο
Νύμφας ὀρείας ἐκλιπὼν ᾤχου τροφούς·
ἔπειτα δ' ἀμφὶ γηγενῆ μάχην δορὸς,
ἐνδέξιος σῷ ποδὶ παρασπιστὴς γεγὼς,
Ἐγκέλαδον, ἰτέαν ἐς μέσην θένων, δορὶ
ἔκτεινα. — φέρ' ἴδω· τοῦτ' ἰδὼν ὄναρ λέγω;
οὐ μὰ Δί', ἐπεὶ καὶ σκῦλ' ἔδειξα Βακχίῳ.
καὶ νῦν ἐκείνων μεῖζον' ἐξαντλῶ πόνον·
ἐπεὶ γὰρ Ἥρα σοι γένος Τυρσηνικὸν
λῃστῶν ἐπῶρσεν, ὡς ὁδηθείης μακρὰν,
ἐγὼ πυθόμενος σὺν τέκνοισι ναυστολῶ
σέθεν κατὰ ζήτησιν. ἐν πρύμνῃ δ' ἄκρᾳ
αὐτὸς λαβὼν εὔθυνον ἀμφῆρες δόρυ,
παῖδές τ' ἐρετμοῖς ἥμενοι, γλαυκὴν ἅλα

5. ἔπειτά γ'.

ῥοθίοισι λευκαίνοντες, ἐζήτουν σ', ἄναξ.
ἤδη δὲ Μαλέας πλησίον πεπλευκότας,
ἀπηλιώτης ἄνεμος ἐμπνεύσας δορὶ,
ἐξέβαλεν ἡμᾶς τήνδ' ἐς Αἰτναίαν πέτραν,
ἵν' οἱ μόνωπες ποντίου παῖδες θεοῦ
Κύκλωπες οἰκοῦσ' ἄντρ' ἔρημ' ἀνδροκτόνοι.
τούτων ἑνὸς ληφθέντες ἐσμὲν ἐν δόμοις
δοῦλοι· καλοῦσι δ' αὐτὸν, ᾧ λατρεύομεν,
Πολύφημον. ἀντὶ δ' εὐΐων βακχευμάτων
ποίμνας Κύκλωπος ἀνοσίου ποιμαίνομεν.
παῖδες μὲν οὖν μοι κλιτύων ἐν ἐσχάτοις
νέμουσι μῆλα, νεανίαι πεφυκότες·
ἐγὼ δὲ πληροῦν πίστρα καὶ σαίρειν στέγας
μένων τέταγμαι τάσδε, τῷ τε δυςσεβεῖ
Κύκλωπι δείπνων ἀνοσίων διάκονος.
καὶ νῦν τὰ προσταχθέντ' ἀναγκαίως ἔχει,
σαίρειν σιδηρᾷ τῇδέ μ' ἁρπάγῃ δόμους,
ὡς τόν τ' ἀπόντα δεσπότην, Κύκλωπ', ἐμὸν
καθαροῖσιν ἄντροις μῆλά τ' εἰςδεχώμεθα.
ἤδη δὲ παῖδας προςνέμοντας εἰςορῶ
ποίμνας. τί ταῦτα; μῶν κρότος Σικιννίδων
ὅμοιος ὑμῖν νῦν τε χὤτε Βακχίῳ
κῶμοι συνασπίζοντες Ἀλθαίας δόμους
προσῇτ', ἀοιδαῖς βαρβίτων σαυλούμενοι;

ΧΟΡΟΣ.

Πᾶ δή μοι γενναίων μὲν πατέρων (στροφὴ ά.)
γενναίων τ' ἐκ τοκάδων,
πᾶ δή μοι νίσσῃ σκοπέλους;
οὐ τᾷδ' ὑπήνεμος αὔρα

28. μῆλα νέα, νέοι π. 30. τῷδε δ. 33. ἁρπαγῇ.

καὶ ποιηρὰ βοτάνα,
δινᾶέν θ' ὕδωρ ποταμῶν
ἐν πίστραις κεῖται πέλας ἄν-
τρων, οὗ σοι βλαχαὶ τεκέων.
ψύττ'! οὐ τάδ' οὖν, οὐ τάδε νέμῃ; (στροφὴ β'.)
οὔτ' αὖ κλιτὺν δροσεράν;
[ὠή!] ῥίψω πέτρον τάχα σου *
ὕπαγ' ὦ, ὕπαγ' ὦ κεράστα
μηλοβότα στασίωρον *
Κύκλωπος ἀγροβότα.
σπαργῶντάς μοι τοὺς μαστοὺς χάλασον· (ἀντ. ά.)
δέξαι θηλαῖσι σποράς,
ἃς λείπεις ἀρνῶν θαλάμοις.
ποθοῦσί σ' ἀμερόκοιτοι
βλαχαὶ σμικρῶν τεκέων.
εἰς αὐλάν ποτ' ἀμφιβαλεῖς,
ποιηροὺς λιποῦσα νομὰς,
Αἰτναίων εἴσω σκοπέλων;
οὐ τάδε Βρόμιος, οὐ τάδε χοροὶ, (ἀντιστρ. β'.)
Βάκχαι τε θυρσοφόροι·
οὐ τυμπάνων ἀλαλαγμοὶ
κρήναισι παρ' ὑδροχύτοις,
οὐκ οἴνου χλωραὶ σταγόνες,
οὐ Νύσσα μετὰ Νυμφᾶν.
Ἴακχον, Ἴακχον ᾠδὰν (ἐπῳδός.)
μέλπω πρὸς τὰν Ἀφροδίταν,
ἃν θηρεύων πετόμαν
Βάκχαις σὺν λευκόποσιν.

Bb 2

49. ψύττα· οὐ τάδ' οὐ, οὐ τ. ν. 50. οὔτ' οὖν κλ.

ὦ φίλος, ὦ φίλε Βάκχιε,
ποῖ οἰοπολεῖς
ξανθὰν χαίταν σείων;
ἐγὼ δ' ὁ σὸς πρόςπολος
θητεύω Κύκλωπι
τῷ μονοδέρκτᾳ,
δοῦλος ἀλαίνων σὺν τᾷδε
τράγου χλαίνᾳ μελέᾳ
σᾶς χωρὶς φιλίας.

ΣΙΛΗΝΟΣ.

σιγήσατ', ὦ τέκν', ἄντρα δ' ἐς πετρηρεφῆ
ποίμνας ἀθροῖσαι προςπόλοις κελεύσατε.

ΧΟΡΟΣ.

χωρεῖτ'· ἀτὰρ δὴ τίνα, πάτερ, σπουδὴν ἔχεις;

ΣΙΛΗΝΟΣ.

ὁρῶ πρὸς ἀκταῖς ναὸς Ἑλλάδος σκάφος
κώπης τ' ἄνακτας σὺν στρατηλάτῃ τινὶ
στείχοντας ἐς τόδ' ἄντρον, ἀμφὶ δ' αὐχέσι
τεύχη φέροντας κενὰ, βορᾶς κεχρημένους,
κρωσσούς θ' ὑδρηλούς. ὦ ταλαίπωροι ξένοι,
τίνες ποτ' εἰσίν; οὐκ ἴσασι δεσπότην
Πολύφημον, οἷός ἐστιν, ἄξενον στέγην
τήνδ' ἐμβεβῶτες, καὶ Κυκλωπίαν γνάθον
τήνδ' ἀνδροβρῶτα δυςτυχῶς ἀφιγμένοι.
ἀλλ' ἥσυχοι γίγνεσθ', ἵν' ἐκπυθώμεθα,
πόθεν πάρεισι Σικελὸν Αἰτναῖον πάγον.

ΟΔΥΣΣΕΥΣ.

ξένοι, φράσαιτ' ἂν, νᾶμα ποτάμιον πόθεν
δίψης ἄκος λάβοιμεν; εἴτε τις θέλει

73. Βακχεῖε.

βορὰν ὀδῆσαι ναυτίλοις κεχρημένοις;
τί χρῆμα; Βρομίου πόλιν ἔοιγμεν εἰςβαλεῖν·
Σατύρων πρὸς ἄντροις τόνδ' ὅμιλον εἰςορῶ.
χαίρειν προςεῖπα πρῶτα τὸν γεραίτατον.

ΣΙΛΗΝΟΣ.

χαῖρ', ὦ ξέν', ὅςτις δ' εἶ, φράσον, πάτραν τε σήν.

ΟΔΥΣΣΕΥΣ.

Ἴθακος Ὀδυσσεὺς, γῆς Κεφαλλήνων ἄναξ.

ΣΙΛΗΝΟΣ.

οἶδ' ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος.

ΟΔΥΣΣΕΥΣ.

ἐκεῖνος οὗτός εἰμι· λοιδόρει δὲ μή.

ΣΙΛΗΝΟΣ.

πόθεν Σικελίαν τήνδε ναυστολῶν πάρει;

ΟΔΥΣΣΕΥΣ.

ἐξ Ἰλίου γε κἀπὸ Τρωϊκῶν πόνων.

ΣΙΛΗΝΟΣ.

πῶς; πορθμὸν οὐκ ᾔδεισθα πατρῴας χθονός;

ΟΔΥΣΣΕΥΣ.

ἀνέμων θύελλαι δεῦρό μ' ἥρπασαν βίᾳ.

ΣΙΛΗΝΟΣ.

παπαί! τὸν αὐτὸν δαίμον' ἐξαντλεῖς ἐμοί.

ΟΔΥΣΣΕΥΣ.

ἦ καὶ σὺ δεῦρο πρὸς βίαν ἀπεστάλης;

ΣΙΛΗΝΟΣ.

λῃστὰς διώκων, οἳ Βρόμιον ἀνήρπασαν.

ΟΔΥΣΣΕΥΣ.

τίς δ' ἥδε χώρα, καὶ τίνες ναίουσί νιν;

99. ἐοίκαμεν. 100. εἰςορῶ;

ΣΙΛΗΝΟΣ.
Αἰτναῖος ὄχθος Σικελίας ὑπέρτατος.
ΟΔΥΣΣΕΥΣ.
τείχη δὲ ποῦ 'στι καὶ πόλεως πυργώματα;
ΣΙΛΗΝΟΣ.
οὐκ εἴσ'· ἔρημοι πρῶνες ἀνθρώπων, ξένε.
ΟΔΥΣΣΕΥΣ.
τίνες δ' ἔχουσι γαῖαν; ἢ θηρῶν γένος;
ΣΙΛΗΝΟΣ.
Κύκλωπες ἄντρ' ἔχοντες, οὐ στέγας δόμων.
ΟΔΥΣΣΕΥΣ.
τίνος κλύοντες; ἢ δεδήμευται κράτος;
ΣΙΛΗΝΟΣ.
νομάδες· ἀκούει δ' οὐδὲν οὐδεὶς οὐδενός.
ΟΔΥΣΣΕΥΣ.
σπείρουσι δ', ἢ τῷ ζῶσι, Δήμητρος στάχυν;
ΣΙΛΗΝΟΣ.
γάλακτι καὶ τυροῖσι καὶ μήλων βορᾷ.
ΟΔΥΣΣΕΥΣ.
Βρομίου δὲ πῶμ' ἔχουσιν, ἀμπέλου ῥοάς;
ΣΙΛΗΝΟΣ.
ἥκιστα· τοίγαρ ἄχαριν οἰκοῦσι χθόνα.
ΟΔΥΣΣΕΥΣ.
φιλόξενοι δὲ χὤσιοι περὶ ξένους;
ΣΙΛΗΝΟΣ.
γλυκύτατα φασὶ τὰ κρέα τοὺς ξένους φορεῖν.
ΟΔΥΣΣΕΥΣ.
τί φής; βορᾷ χαίρουσιν ἀνθρωποκτόνῳ;

123. ῥοαῖς;

ΣΙΛΗΝΟΣ.
οὐδεὶς μολὼν δεῦρ' ὅςτις οὐ κατεσφάγη.
ΟΔΥΣΣΕΥΣ.
αὐτὸς δὲ Κύκλωψ ποῦ 'στιν; ἢ δόμων ἔσω;
ΣΙΛΗΝΟΣ.
φροῦδος πρὸς Αἴτνῃ, θῆρας ἰχνεύων κυσίν.
ΟΔΥΣΣΕΥΣ.
οἶσθ' οὖν, ὃ δράσεις, ὡς ἀπαίρωμεν χθονός;
ΣΙΛΗΝΟΣ.
οὐκ οἶδ', Ὀδυσσεῦ· πᾶν δέ σοι δρῴημεν ἄν.
ΟΔΥΣΣΕΥΣ.
ὄδησον ἡμῖν σῖτον, οὗ σπανίζομεν.
ΣΙΛΗΝΟΣ.
οὐκ ἔστιν, ὥςπερ εἶπον, ἄλλο, πλὴν κρέας.
ΟΔΥΣΣΕΥΣ.
ἀλλ' ἡδὺ λιμοῦ καὶ τόδε σχετήριον.
ΣΙΛΗΝΟΣ.
καὶ τυρὸς ὀπίας ἔστι καὶ βοὸς γάλα.
ΟΔΥΣΣΕΥΣ.
ἐκφέρετε· φῶς γὰρ ἐμπολήμασιν πρέπει.
ΣΙΛΗΝΟΣ.
σὺ δ' ἀντιδώσεις, εἰπέ μοι, χρυσὸν πόσον;
ΟΔΥΣΣΕΥΣ.
οὐ χρυσὸν, ἀλλὰ πῶμα Διονύσου φέρω.
ΣΙΛΗΝΟΣ.
ὦ φίλτατ' εἰπὼν, οὗ σπανίζομεν πάλαι.
ΟΔΥΣΣΕΥΣ.
καὶ μὴν Μάρων μοι πῶμ' ἔδωκε, παῖς θεοῦ.

ΣΙΛΗΝΟΣ.

ὃν ἐξέθρεψα ταῖσδ᾽ ἐγώ ποτ᾽ ἀγκάλαις;

ΟΔΥΣΣΕΥΣ.

ὁ Βακχίου παῖς, ὡς σαφέστερον μάθῃς.

ΣΙΛΗΝΟΣ.

ἐν σέλμασιν νεώς ἐστιν, ἢ φέρεις σύ νιν;

ΟΔΥΣΣΕΥΣ.

ὅδ᾽ ἀσκὸς, ὅς κεύθει νιν, ὡς ὁρᾷς, γέρον.

ΣΙΛΗΝΟΣ.

οὗτος μὲν οὐδ᾽ ἂν τὴν γνάθον πλήσειέ μου.

ΟΔΥΣΣΕΥΣ.

ναὶ δὶς τόσον πῶμ᾽, ὅσον ἂν ἐξ ἀσκοῦ ῥυῇ.

ΣΙΛΗΝΟΣ.

καλήν γε κρήνην εἶπας, ἡδεῖαν δ᾽ ἐμοί.

ΟΔΥΣΣΕΥΣ.

βούλει σε γεύσω πρῶτον ἄκρατον μέθυ;

ΣΙΛΗΝΟΣ.

δίκαιον· ἦ γὰρ γεῦμα τὴν ὠνὴν καλεῖ.

ΟΔΥΣΣΕΥΣ.

καὶ μὴν ἐφέλκω καὶ ποτῆρ᾽ ἀσκοῦ μέτα.

ΣΙΛΗΝΟΣ.

φέρ᾽ ἐκκάναξον, ὡς ἀναμνησθῶ πιών.

ΟΔΥΣΣΕΥΣ.

ἰδού.

ΣΙΛΗΝΟΣ.

παπαιάξ, ὡς καλὴν ὀσμὴν ἔχει!

ΟΔΥΣΣΕΥΣ.

εἶδες γὰρ αὐτήν;

ΣΙΛΗΝΟΣ.

οὐ μὰ Δί᾽, ἀλλ᾽ ὀσφραίνομαι.

142. παῖδ᾽ ἐγώ. 152. ἐκπάταξον.

ΟΔΥΣΣΕΥΣ.

γεῦσαί νυν, ὡς ἂν μὴ λόγῳ ᾽παινῇς μόνον.

ΣΙΛΗΝΟΣ.

βαβαί! χορεῦσαι παρακαλεῖ μ᾽ ὁ Βάκχιος.
ἆ, ἆ, ἆ!

ΟΔΥΣΣΕΥΣ.

μῶν τὸν λάρυγγα διεκάναξέ σου καλῶς;

ΣΙΛΗΝΟΣ.

ὥστ᾽ εἰς ἄκρους γε τοὺς ὄνυχας ἀφίκετο.

ΟΔΥΣΣΕΥΣ.

πρὸς τῷδε μέντοι καὶ νόμισμα δώσομεν.

ΣΙΛΗΝΟΣ.

χάλα τὸν ἀσκὸν μόνον· ἔα τὸ χρυσίον.

ΟΔΥΣΣΕΥΣ.

ἐκφέρετε νῦν τυρεύματ᾽, ἢ μήλων τόκον.

ΣΙΛΗΝΟΣ.

δράσω τάδ᾽, ὀλίγον φροντίσας γε δεσποτῶν.
ὡς ἐκπιεῖν ἂν κύλικα βουλοίμην μίαν,
πάντων Κυκλώπων ἀντιδοὺς βοσκήματα,
ῥίψαι τ᾽ ἐς ἅλμην λευκάδος πέτρας ἄπο,
ἅπαξ μεθυσθεὶς καταβαλών τε τὰς ὀφρῦς.
ὡς, ὅς γε πίνων μὴ γέγηθε, μαίνεται·
ἵν᾽ ἐστὶ τουτὶ τοὐρθὸν ἐξανιστάναι,
μαστοῦ τε δραγμὸς, καὶ παρεσκευασμένου
ψαῦσαι χεροῖν λειμῶνος, ὀρχηστύς θ᾽ ἅμα,
κακῶν τε λῆστις. εἶτ᾽ ἐγὼ οὐ κυνήσομαι
τοιόνδε πῶμα, τὴν Κύκλωπος ἀμαθίαν
κλαίειν κελεύων καὶ τὸν ὀφθαλμὸν μέσον.

156. ὁ Βάκχος. 172. ἐγὼ οὐκ ὠνήσομαι.

ΧΟΡΟΣ.

ἄκου', Ὀδυσσεῦ, διαλαλήσομέν τί σοι.

ΟΔΥΣΣΕΥΣ.

καὶ μὴν φίλοι γε προςφέρεσθε πρὸς φίλον.

ΧΟΡΟΣ.

ἐλάβετε Τροίαν τὴν Ἑλένην τε χειρίαν;

ΟΔΥΣΣΕΥΣ.

καὶ πάντα γ' οἶκον Πριαμιδῶν ἐπέρσαμεν.

ΧΟΡΟΣ.

οὐκοῦν, ἐπειδὴ τὴν νεᾶνιν εἵλετε,
ἅπαντες αὐτὴν διεκροτήσατ' ἐν μέρει,
ἐπεί γε πολλοῖς ἥδεται γαμουμένη;
τὴν προδότιν, ἣ τοὺς θυλάκους τοὺς ποικίλους
περὶ τοῖν σκελοῖν ἰδοῦσα καὶ τὸν χρύσεον
κλοιὸν φοροῦντα περὶ μέσον τὸν αὐχένα,
ἐξεπτοήθη, Μενέλεων ἀνθρώπιον
λῷστον λιποῦσα. μηδαμοῦ γένος ποτὲ
φῦναι γυναικῶν ὤφελ', εἰ μή μοι μόνῳ.

ΣΙΛΗΝΟΣ.

ἰδοὺ τάδ' ὑμῖν ποιμένων βοσκήματα,
ἄναξ Ὀδυσσεῦ, μηκάδων ἀρνῶν τροφαὶ,
πηκτοῦ γάλακτός τ' οὐ σπάνια τυρεύματα.
φέρεσθε, χωρεῖθ' ὡς τάχιστ' ἄντρων ἄπο,
βότρυος ἐμοὶ πῶμ' ἀντιδόντες εὐΐου.

ΟΔΥΣΣΕΥΣ.

οἴ μοι! Κύκλωψ ὅδ' ἔρχεται· τί δράσομεν;
ἀπολώλαμεν γὰρ, ὦ γέρον· ποῖ χρὴ φυγεῖν;

ΣΙΛΗΝΟΣ.

ἔσω πέτρας τῆςδ', οὗπερ ἂν λάθοιτέ γε.

ΟΔΥΣΣΕΥΣ.

δεινὸν τόδ' εἶπας, ἀρκύων μολεῖν ἔσω.

ΣΙΛΗΝΟΣ.

οὐ δεινόν· εἰσὶ καταφυγαὶ πολλαὶ πέτρας.

ΟΔΥΣΣΕΥΣ.

οὐ δῆτ'· ἐπεί τἂν μεγάλα γ' ἡ Τροία στένοι,
εἰ φευξόμεσθ' ἕν' ἄνδρα· μυρίον δ' ὄχλον
Φρυγῶν ὑπέστην πολλάκις σὺν ἀσπίδι.
ἀλλ' εἰ θανεῖν δεῖ, κατθανούμεθ' εὐγενῶς,
ἢ ζῶντες αἶνον τὸν πάρος γ' εὖ σώσομεν.

ΚΥΚΛΩΨ.

ἄνεχε, πάρεχε, τί τάδε; τίς ἡ ῥαθυμία;
τί βακχιάζετ'; οὐχὶ Διόνυσος τάδε,
οὐ κρόταλα χαλκοῦ τυμπάνων τ' ἀράγματα.
πῶς μοι κατ' ἄντρα νεόγονα βλαστήματα;
ἦ πρός γε μαστοῖς εἰσι χὐπὸ μητέρων
πλευρὰς τρέχουσι, σχοινίνοις τ' ἐν τεύχεσι
πλήρωμα τυρῶν ἐστὶν ἐξημελγμένον;
τί φατέ; τί λέγετε; τάχα τις ὑμῶν τῷ ξύλῳ
δάκρυα μεθήσει· βλέπετ' ἄνω, καὶ μὴ κάτω.

ΧΟΡΟΣ.

ἰδοὺ, πρὸς αὐτὸν τὸν Δί' ἀνακεκύφαμεν,
καὶ τἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι.

ΚΥΚΛΩΨ.

ἄριστόν ἐστιν εὖ παρεσκευασμένον;

ΧΟΡΟΣ.

πάρεστιν. ὁ φάρυγξ εὐτρεπὴς ἔστω μόνον.

ΚΥΚΛΩΨ.

ἦ καὶ γάλακτός εἰσι κρατῆρες πλέῳ;

204. οὐ Διών.

ΧΟΡΟΣ.

ὥστ᾽ ἐκπιεῖν γέ σ᾽, ἢν θέλῃς, ὅλον πίθον.

ΚΥΚΛΩΨ.

μήλειον, ἢ βόειον, ἢ μεμιγμένον;

ΧΟΡΟΣ.

ὃν ἂν θέλῃς σύ· μὴ ᾽μὲ καταπίῃς μόνον.

ΚΥΚΛΩΨ.

ἥκιστ᾽· ἐπεί γ᾽ ἂν ἐν μέσῃ τῇ γαστέρι
πηδῶντες ἀπολέσαιτ᾽ ἂν ὑπὸ τῶν σχημάτων. —
ἔα, τίν᾽ ὄχλον τόνδ᾽ ὁρῶ πρὸς αὐλίοις;
λῃσταί τινες κατέσχον, ἢ κλῶπες, χθόνα.
ὁρῶ γέ τοι τούςδ᾽ ἄρνας ἐξ ἄντρων ἐμῶν
στρεπταῖς λύγοισι σῶμα συμπεπλεγμένους,
τεύχη τε τυρῶν συμμιγῆ, γέροντά τε
πληγαῖς πρόςωπον φαλακρὸν ἐξῳδηκότα.

ΣΙΛΗΝΟΣ.

ᾤ μοι, πυρέσσω συγκεκομμένος τάλας.

ΚΥΚΛΩΨ.

ὑπὸ τοῦ; τίς ἐς σὸν κρᾶτ᾽ ἐπύκτευσεν, γέρον;

ΣΙΛΗΝΟΣ.

ὑπὸ τῶνδε, Κύκλωψ, ὅτι τὰ σ᾽ οὐκ εἴων φέρειν.

ΚΥΚΛΩΨ.

οὐκ ᾖσαν ὄντα θεόν με καὶ θεῶν ἄπο;

ΣΙΛΗΝΟΣ.

ἔλεγον ἐγὼ τάδ᾽· οἱ δ᾽ ἐφόρουν τὰ χρήματα,
καὶ τόν γε τυρὸν, οὐκ ἐῶντος, ἤσθιον,
τούς τ᾽ ἄρνας ἐξεφοροῦντο· δήσαντες δέ σε
κλῳῷ τριπήχει, κατὰ τὸν ὀφθαλμὸν μέσον,
τὰ σπλάγχν᾽ ἔφασκον ἐξαμήσασθαι βίᾳ,

μάστιγί τ᾽ εὖ τὸ νῶτον ἀπολέψειν σεθεν,
κἄπειτα συνδήσαντες, ἐς θᾀδώλια
τῆς νηὸς ἐμβαλόντες, ἀποδώσειν τινὶ
πέτρους μοχλεύειν, ἢ ᾽ς μυλῶνα καταβαλεῖν.

ΚΥΚΛΩΨ.

ἄληθες; οὔκουν κοπίδας ὡς τάχιστ᾽ ἰὼν
θήξεις μαχαίρας, καὶ μέγαν φάκελον ξύλων
ἐπιθεὶς ἀνάψεις; ὡς, σφαγέντες αὐτίκα,
πλήσουσι νηδὺν τὴν ἐμὴν ἀπ᾽ ἄνθρακος
θερμὴν ἔδοντος δαῖτα τῷ κρεανόμῳ,
τὰ δ᾽ ἐκ λέβητος ἑφθὰ καὶ τετηκότα·
ὡς ἔκπλεώς γε δαιτός εἰμ᾽ ὀρεσκόου·
ἅλις λεόντων ἐστί μοι θοινωμένῳ
ἐλάφων τε, χρόνιος δ᾽ εἴμ᾽ ἀπ᾽ ἀνθρώπων βορᾶς.

ΣΙΛΗΝΟΣ.

τὰ καινά γ᾽ ἐκ τῶν ἠθάδων, ὦ δέσποτα,
ἡδίον᾽ ἐστίν. οὐ γὰρ οὖν νεωστί γε
ἄλλοι πρὸς ἄντρα ταῦτ᾽ ἀφίκοντο ξένοι.

ΟΔΥΣΣΕΥΣ.

Κύκλωψ, ἄκουσον ἐν μέρει καὶ τῶν ξένων.
ἡμεῖς βορᾶς χρῄζοντες ἐμπολὴν λαβεῖν
σῶν ἆσσον ἄντρων ἤλθομεν νεὼς ἄπο.
τοὺς δ᾽ ἄρνας ἡμῖν οὗτος ἀντ᾽ οἴνου σκύφου
ἀπημπόλα τε κᾀδίδου, πιεῖν λαβὼν,
ἑκὼν ἑκοῦσι· κοὐδὲν ἦν τούτων βίᾳ.
ἀλλ᾽ οὗτος ὑγιὲς οὐδὲν, ὧν φησιν, λέγει,
ἐπεὶ κατελήφθη σοῦ λάθρα πωλῶν τὰ σά.

237. ἀποθλίψειν. 238. τὰ ᾽δώλια. 240. ἢ πυλῶνα κ.
241. οὐκοῦν. 244. ἐπ᾽ ἄνθρ. 251. οὐ γάρ αὖ.

ΣΙΛΗΝΟΣ.

ἐγώ; κακῶς γὰρ ἐξόλοι'.

ΟΔΥΣΣΕΥΣ.

εἰ ψεύδομαι.

ΣΙΛΗΝΟΣ.

μὰ τὸν Ποσειδῶ τὸν τεκόντα σ', ὦ Κύκλωψ,
μὰ τὸν μέγαν Τρίτωνα καὶ τὸν Νηρέα,
μὰ τὴν Καλυψὼ τάς τε Νηρέως κόρας,
μά θ' ἱερὰ κύματ' ἰχθύων τε πᾶν γένος,
ἀπώμοσ', ὦ κάλλιστον, ὦ Κυκλώπιον,
ὦ δεσποτίσκε, μὴ τὰ σ' ἐξοδᾷν ἐγὼ
ξένοισι χρήματ'. ἦ κακῶς οὗτοι κακοὶ
οἱ παῖδες ἀπόλοινθ', οὓς μάλιστ' ἐγὼ φιλῶ.

ΧΟΡΟΣ.

αὐτὸς ἔχ'. ἔγωγε τοῖς ξένοις τὰ χρήματα
περνάντα σ' εἶδον· εἰ δ' ἐγὼ ψευδῆ λέγω,
ἀπόλοιθ' ὁ πατήρ μου, τοὺς ξένους δὲ μὴ 'δίκει.

ΚΥΚΛΩΨ.

ψεύδεσθ'· ἔγωγε τῷδε τοῦ Ῥαδαμάνθυος
πλείω πέποιθα, καὶ δικαιότερον λέγω.
θέλω δ' ἔρεσθαι· πόθεν ἐπλεύσατ', ὦ ξένοι;
ποδαποὶ, τίς ὑμᾶς ἐξεπαίδευσεν πόλις;

ΟΔΥΣΣΕΥΣ.

Ἰθακήσιοι μὲν τὸ γένος, Ἰλίου δ' ἄπο,
πέρσαντες ἄστυ, πνεύμασιν θαλασσίοις
σὴν γαῖαν ἐξωσθέντες ἥκομεν, Κύκλωψ.

ΚΥΚΛΩΨ.

ἦ τῆς κακίστης οἳ μετήλθεθ' ἁρπαγὰς
Ἑλένης, Σκαμάνδρου γείτον', Ἰλίου πόλιν;

273. τοῦδε. 274. πολλῷ π.

ΟΔΥΣΣΕΥΣ.

οὗτοι, πόνον τὸν δεινὸν ἐξηντληκότες.

ΚΥΚΛΩΨ.

αἰσχρὸν στράτευμά γ', οἵτινες μιᾶς χάριν
γυναικὸς ἐξεπλεύσατ' ἐς γαῖαν Φρυγῶν.

ΟΔΥΣΣΕΥΣ.

θεοῦ τὸ πρᾶγμα· μηδέν' αἰτιῶ βροτῶν.
ἡμεῖς δέ σ', ὦ θεοῦ ποντίου γενναῖε παῖ,
ἱκετεύομέν τε, καὶ λέγομεν ἐλευθέρως,
μὴ τλῇς πρὸς ἄντρα σοὺς ἀφιγμένους φίλους
κτανεῖν, βοράν τε δυςσεβῆ θέσθαι γνάθοις·
οἳ τὸν σὸν, ὦ 'ναξ, πατέρ' ἔχειν νεῶν ἕδρας
ἐῤῥυσάμεσθα γῆς ἐν Ἑλλάδος μυχοῖς.
ἱερός τ' ἄθραυστος Ταινάρου μένει λιμὴν,
Μαλέας τ' ἄκροι κευθμῶνες, ἥ τε Σουνίῳ
δίας Ἀθάνας σῶς ὑπάργυρος πέτρα,
Γεραίστιοί τε καταφυγαὶ, τά θ' Ἑλλάδος
δύςφορά γ' ὀνείδη Φρυξὶν οὐκ ἐδώκαμεν·
ὧν καὶ σὺ κοινοῦ· γῆς γὰρ Ἑλλάδος μυχοὺς
οἰκεῖς ὑπ' Αἴτνῃ, τῇ πυριστάκτῳ πέτρᾳ.
νόμοις δὲ θνητοῖς ἐς λόγους ἀποστρέφου,
ἱκέτας δέχεσθαι ποντίους ἐφθαρμένους,
ξένιά τε δοῦναι καὶ πέπλοις ἐπαρκέσαι,
οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη
ὀβελοῖσι, νηδὺν καὶ γνάθον πλῆσαι σέθεν.
ἅλις δὲ Πριάμου γαῖ' ἐχήρωσ' Ἑλλάδα,
πολλῶν νεκρῶν πιοῦσα δορυπετῆ φόνον,
ἀλόχους τ' ἀνάνδρους γραῦς τ' ἄπαιδας ὤλεσεν

290. ναῶν. 291. ἱδρυσάμεσθα. 299. ἀποστρέφῃ.

πολιούς τε πατέρας. εἰ δὲ τοὺς λελειμμένους
σὺ συμπυρώσας δαῖτ' ἀναλώσεις πικρὰν,
ποῖ τρέψεταί τις; ἀλλ' ἐμοὶ πιθοῦ, Κύκλωψ,
πάρες τὸ μάργον σῆς γνάθου, τὸ δ' εὐσεβὲς
τῆς δυςσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ
κέρδη πονηρὰ ζημίαν ἠμείψατο.

ΣΙΛΗΝΟΣ.

παραινέσαι σοι βούλομαι· τῶν μὲν κρεῶν
μηδὲν λίπῃς τοῦδ'· ἤν τε τὴν γλῶσσαν δάκῃς,
κομψὸς γενήσει καὶ λαλίστατος, Κύκλωψ.

ΚΥΚΛΩΨ.

ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεός·
τὰ δ' ἄλλα κόμποι καὶ λόγων εὐμορφίαι.
ἄκρας δ' ἐναλίας, ἃς καθίδρυται πατὴρ,
χαίρειν κελεύω· τί τάδε προὐστήσω λόγῳ;
Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε.
οὐδ' οἶδ', ὅ τι Ζεὺς ἔστ' ἐμοῦ κρείσσων θεός.
οὔ μοι μέλει τὸ λοιπόν. ὡς δ' οὔ μοι μέλει,
ἄκουσον· ὅταν ἄνωθεν ὄμβρον ἐκχέῃ,
ἐν τῇδε πέτρᾳ στέγν' ἔχω σκηνώματα,
ἢ μόσχον ὀπτὸν, ἤ τι θήρειον δάκος
δαινύμενος εὖ τέγγων τε γαστέρ' ὑπτίαν,
ἐπεκπιὼν γάλακτος ἀμφορέα, πέπλον
κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
ὅταν δὲ βορέας χιόνα Θρῄκιος χέῃ,
δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν
καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.
ἡ γῆ δ' ἀνάγκῃ, κἂν θέλῃ, κἂν μὴ θέλῃ,

321. ὅτι Ζ. 326. ἐν στέγοντι γ.

τίκτουσα ποίαν τἀμὰ πιαίνει βοτά.
ἃ 'γὼ οὔ τινι θύω, πλὴν ἐμοὶ, θεοῖσι δ' οὒ,
καὶ τῇ μεγίστῃ γαστρὶ τῇδε δαιμόνων·
ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ' ἡμέραν,
Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσιν,
λυπεῖν δὲ μηδὲν αὐτόν· οἳ δὲ τοὺς νόμους
ἔθεντο, ποικίλλοντες ἀνθρώπων βίον,
κλάειν ἄνωγα· τὴν δ' ἐμὴν ψυχὴν ἐγὼ
οὐ παύσομαι δρῶν εὖ, κατεσθίων τέ σε.
ξένιά τε λήψει τοιάδ', ὡς ἄμεμπτος ὦ,
πῦρ καὶ πατρῷον τόνδε λέβητά γ', ὃς ζέσας
σὴν σάρκα δυςφόρητον ἀμφέξει καλῶς.
ἀλλ' ἕρπετ' εἴσω, τῷ κατ' αὔλιον θεῷ
ἵν' ἀμφὶ βωμὸν στάντες εὐωχῆτέ με.

ΟΔΥΣΣΕΥΣ.

αἶ, αἶ! πόνους μὲν Τρωϊκοὺς ὑπεξέδυν
θαλασσίους τε· νῦν δ' ἐς ἀνδρὸς ἀνοσίου
γνώμην κατέσχον ἀλίμενόν τε καρδίαν.
ὦ Παλλὰς, ὦ δέσποινα διογενὲς θεὰ,
νῦν, νῦν ἄρηξον· κρείσσονας γὰρ Ἰλίου
πόνους ἀφῖγμαι κἀπὶ κινδύνου βάθρα.
σύ τ', ὦ φαεννῶν ἀστέρων οἰκῶν ἕδρας,
Ζεῦ Ξένι', ὅρα τάδ'· εἰ γὰρ αὐτὰ μὴ βλέπεις,
ἄλλως νομίζει, Ζεῦ, τὸ μηδὲν ὢν, θεός.

ΧΟΡΟΣ.

Εὐρείας φάρυγγος, ὦ Κύκλωψ,
ἀναστόμου τὸ χεῖλος· ὡς ἕτοιμά σοι
ἑφθὰ καὶ ὀπτὰ καὶ ἀνθρακιᾶς ἄπο χναύειν,

336. τοῦ πιεῖν γε. 353. φαεινῶν. 358. ἀποχναύειν.

βρύκειν, κρεωκοπεῖν μέλη ξένων,
δασυμάλλῳ ἐν αἰγίδι καινόμενα.
μή μοι, μὴ προδίδου·
μόνος μόνῳ κόμιζε πορθμίδος σκάφος.
χαιρέτω μὲν αὖλις ἥδε,
χαιρέτω δὲ θυμάτων
ἀποβώμιος ἃν ἔχει θυσίαν
Κύκλωψ Αἰτναῖος ξενικῶν
κρεῶν κεχαρμένος βορᾷ·
νηλὴς ὁ τλάμων, ὅστις
δωμάτων ἐφεστίους ξένους
ἱκτῆρας ἐκθύει δόμων,
κόπτων, βρύκων,
ἑφθά τε δαινύμενος μυσαροῖσιν ὀδοῦσιν
ἀνθρώπων θέρμ᾽ ἀπ᾽ ἀνθράκων κρέα.

ΟΔΥΣΣΕΥΣ.

ὦ Ζεῦ, τί λέξω, δείν᾽ ἰδὼν ἄντρων ἔσω,
κοὐ πιστά, μύθοις εἰκότ᾽, οὐδ᾽ ἔργοις βροτῶν;

ΧΟΡΟΣ.

τί δ᾽ ἔστ᾽, Ὀδυσσεῦ; μῶν τεθοίναται σέθεν
φίλους ἑταίρους ἀνοσιώτατος Κύκλωψ;

ΟΔΥΣΣΕΥΣ.

δισσούς γ᾽ ἀθρήσας κἀπιβαστάσας χεροῖν,
οἳ σαρκὸς εἶχον εὐτρεφέστατον πάχος.

ΧΟΡΟΣ.

πῶς, ὦ ταλαίπωρ᾽, ἦτε πάσχοντες τάδε;

ΟΔΥΣΣΕΥΣ.

ἐπεὶ πετραίαν τήνδ᾽ ἐσήλθομεν χθόνα,
ἀνέκαυσε μὲν πῦρ πρῶτον, ὑψηλῆς δρυὸς

376. μῶν γε θοινᾶται.

κορμοὺς πλατείας ἐσχάρας βαλὼν ἔπι,
τρισσῶν ἁμαξῶν ὡς ἀγώγιμον βάρος.
ἔπειτα φύλλων ἐλατίνων χαμαιπετῆ
ἔνησεν εὐνὴν πλησίον πυρὸς φλογί.
κρατῆρα δ᾽ ἐξέπλησεν ὡς δεκάμφορον,
μόσχους ἀμέλξας, λευκὸν ἐσχέας γάλα.
σκύφος τε κισσοῦ παρέθετ᾽ εἰς εὖρος τριῶν
πηχέων, βάθος δὲ τεσσάρων ἐφαίνετο.
καὶ χάλκεον λέβητ᾽ ἐπέζεσεν πυρί,
ὀβελούς τ᾽ ἄκρους μὲν ἐγκεκαυμένους πυρί,
ξεστοὺς δὲ δρεπάνῳ γ᾽, ἀλλὰ παλιούρου κλάδῳ,
Αἰτναῖά τε σφαγεῖα πελεκέων γνάθοις.
ὡς δ᾽ ἦν ἕτοιμα πάντα τῷ θεοστυγεῖ
Ἅιδου μαγείρῳ, φῶτε συμμάρψας δύο
ἔσφαξ᾽ ἑταίρων τῶν ἐμῶν ῥυθμῷ τινι
τὸν μὲν λέβητος ἐς κύτος χαλκήλατον,
τὸν δ᾽ αὖ, τένοντος ἁρπάσας ἄκρου ποδός,
παίων πρὸς ὀξὺν γ᾽ ὄνυχα πετραίου λίθου,
ἐγκέφαλον ἐξέῤῥανε, καὶ καθαρπάσας
λάβρῳ μαχαίρᾳ σάρκας ἐξώπτα πυρί,
τὰ δ᾽ ἐς λέβητ᾽ ἐφῆκεν ἕψεσθαι μέλη.
ἐγὼ δ᾽ ὁ τλήμων δάκρυ᾽ ἀπ᾽ ὀφθαλμῶν χέων,
ἐχριμπτόμην Κύκλωπι καὶ διηκόνουν·
ἄλλοι δ᾽, ὅπως ὄρνιθες, ἐν μυχοῖς πέτρας
πτήξαντες εἶχον, αἷμα δ᾽ οὐκ ἐνῆν χροΐ.
ἐπεὶ δ᾽ ἑταίρων τῶν ἐμῶν πλησθεὶς βορᾶς
ἀνέπεσε, φάρυγγος αἰθέρ᾽ ἐξιεὶς βαρὺν,

386. ἔστησεν. 393. ξεστοὺς δ᾽ οὐ δρεπάνῳ, τἄλλα. 396. δίῳ. 403. τάδ᾽ εἰς λ.

ἐςῆλθέ μοί τι θεῖον· ἐμπλήσας σκύφος
Μάρωνος αὐτοῦ τῷδε προςφέρω πιεῖν,
λέγων τάδ'· ὦ παῖ ποντίου θεοῦ, Κύκλωψ,
σκέψαι, τόδ' οἷον Ἑλλὰς ἀμπέλων ἄπο
θεῖον κομίζει πῶμα, Διονύσου γάνος.
ὁ δ' ἔκπλεως ὢν τῆς ἀναισχύντου βορᾶς,
ἐδέξατ' ἔσπασέν τ' ἄμυστιν ἑλκύσας,
κἀπῄνεσ' ἄρας χεῖρα· φίλτατε ξένων,
καλὸν τὸ πῶμα δαιτὶ πρὸς καλῇ δίδως.
ἡσθέντα δ' αὐτὸν ὡς ἐπῃσθόμην ἐγὼ,
ἄλλην ἔδωκα κύλικα, γιγνώσκων, ὅτι
τρώσει νιν οἶνος, καὶ δίκην δώσει τάχα.
καὶ δὴ πρὸς ᾠδὰς εἷρπ'. ἐγὼ δ' ἐπεγχέων
ἄλλην ἐπ' ἄλλῃ, σπλάγχν' ἐθέρμαινον ποτῷ.
ᾄδει δὲ παρὰ κλαίουσι συνναύταις ἐμοῖς
ἄμουσ', ἐπηχεῖ δ' ἄντρον. ἐξελθὼν δ' ἐγὼ
σιγῇ, σε σῶσαι κἄμ', ἐὰν βούλῃ, θέλω.
ἀλλ' εἴπατ', εἴτε χρῄζετ', εἴτ' οὐ χρῄζετε,
φεύγειν ἄμικτον ἄνδρα καὶ τὰ Βακχίου
ναίειν μέλαθρα Ναιάδων νυμφῶν μέτα.
ὁ μὲν γὰρ ἔνδον σὸς πατὴρ τάδ' ᾔνεσεν.
ἀλλ' ἀσθενὴς γὰρ κἀποκερδαίνων ποτοῦ,
ὥςπερ πρὸς ἰξῷ, τῇ κύλικι λελημμένος
πτέρυγα σαλεύει· σὺ δὲ, νεανίας γὰρ εἶ,
σώθητι μετ' ἐμοῦ, καὶ τὸν ἀρχαῖον φίλον
Διόνυσον ἀνάλαβ', οὐ Κύκλωπι προςφερῆ.

ΧΟΡΟΣ.

ὦ φίλτατ', εἰ γὰρ τήνδ' ἴδοιμεν ἡμέραν,
Κύκλωπος ἐκφυγόντες ἀνόσιον κάρα!

425. ἐπήχει.

ὡς διὰ μακροῦ γε τὸν σίφωνα τὸν φίλον
χηρεύομεν, τὸν δ' οὐκ ἔχομεν κατεκφυγεῖν.

ΟΔΥΣΣΕΥΣ.

ἄκουε δή νυν, ἣν ἔχω τιμωρίαν
θηρὸς πανούργου, σῆς τε δουλείας φυγήν.

ΧΟΡΟΣ.

λέγ', ὡς Ἀσιάδος οὐκ ἂν ἥδιον ψόφον
κιθάρας κλύοιμεν, ἢ Κύκλωπ' ὀλωλότα.

ΟΔΥΣΣΕΥΣ.

ἐπὶ κῶμον ἕρπειν πρὸς κασιγνήτους θέλει
Κύκλωπας ἡσθεὶς τῷδε Βακχίου ποτῷ.

ΧΟΡΟΣ.

ξυνῆκ', ἔρημον ξυλλαβὼν δρυμοῖσί νιν
σφάξαι μενοινᾷς, ἢ πετρῶν ὦσαι κάτω.

ΟΔΥΣΣΕΥΣ.

οὐδὲν τοιοῦτον, δόλιος ἡ 'πιθυμία.

ΧΟΡΟΣ.

πῶς δαί; σοφόν τοί σ' ὄντ' ἀκούομεν πάλαι.

ΟΔΥΣΣΕΥΣ.

κώμου μὲν αὐτόν τοῦδ' ἀπαλλάξαι λέγων,
ὡς οὐ Κύκλωψι πῶμα χρὴ δοῦναι τόδε,
μόνον δ' ἔχοντα βίοτον ἡδέως ἄγειν.
ὅταν δ' ὑπνώσῃ Βακχίου νικώμενος,
ἀκρέμων ἐλαίας ἐστὶν ἐν δόμοισί τις,
ὃν φασγάνῳ τῷδ' ἐξαποξύνας ἄκρον,
ἐς πῦρ καθήσω· κᾆθ' ὅταν κεκαυμένον
ἴδω νιν, ἄρας θερμὸν, ἐς μέσην βαλῶ
Κύκλωπος ὄψιν, ὄμμα τ' ἐκτήξω πυρί.

439. καταφυγεῖν. 440. δὴ νῦν. 444. Βακχίῳ. 446. ῥυθμοῖσι. 458. ὄμματ' ἐκτ.

ναυπηγίαν δ' ὡς εἴ τις ἁρμόζων ἀνὴρ
διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρῳ
Κύκλωπος ὄψει, καὶ συναυανῶ κόρας.

ΧΟΡΟΣ.

(ἰοὺ, ἰού.) γέγηθα, μαινόμεσθα τοῖς εὑρήμασιν.

ΟΔΥΣΣΕΥΣ.

κἄπειτα καὶ σὲ καὶ φίλους γέροντά τε
νεὼς μελαίνης κοῖλον ἐμβήσας σκάφος,
διπλαῖσι κώπαις τῆσδ' ἀποστελῶ χθονός.

ΧΟΡΟΣ.

ἔστ' οὖν, ὅπως ἂν, ὥσπερ ἐκ σπονδῆς θεοῦ,
κἀγὼ λαβοίμην τοῦ τυφλοῦντος ὄμματα
δαλοῦ; φόνου γὰρ τοῦδε κοινωνεῖν θέλω.

ΟΔΥΣΣΕΥΣ.

δεῖ γοῦν· μέγας γὰρ δαλὸς, ὃν ξυλληπτέον.

ΧΟΡΟΣ.

ὡς κἂν ἁμαξῶν ἑκατὸν ἀραίμην βάρος,
εἰ τοῦ Κύκλωπος, τοῦ κακῶς ὀλουμένου,
ὀφθαλμὸν ὥσπερ σφηκίαν ἐκτρίψομεν.

ΟΔΥΣΣΕΥΣ.

σιγᾶτε νῦν· δόλον γὰρ ἐξεπίστασαι·
χὥταν κελεύω, τοῖσιν ἀρχιτέκτοσι
πείθεσθ'· ἐγὼ γὰρ ἄνδρας ἀπολιπὼν φίλους,
τοὺς ἔνδον ὄντας, οὐ μόνος σωθήσομαι.
καίτοι φύγοιμ' ἂν, κἀκβέβηκ' ἄντρου μυχῶν·
ἀλλ' οὐ δίκαιον, ἀπολιπόντ' ἐμοὺς φίλους,
ξὺν οἷσπερ ἦλθον δεῦρο, σωθῆναι μόνον.

471. ἀροίμην. 479. ἐμοῦ φίλους.

ΗΜΙΧΟΡΙΟΝ ά.

ἄγε, τίς πρῶτος; τίς δ' ἐπὶ πρώτῳ
ταχθεὶς, δαλοῦ κώπην ὀχμάσας,
Κύκλωπος ἔσω βλεφάρων ὤσας,
λαμπρὰν ὄψιν διακναίσει;

ΗΜΙΧΟΡΙΟΝ β'.

σίγα, σίγα. καὶ δὴ μεθύων
ἄχαριν κέλαδον μουσιζόμενος
σκαιὸς ἀπῳδὸς, καὶ κλαυσόμενος,
χωρεῖ πετρίνων ἔξω μελάθρων.
φέρε νιν κώμοις παιδεύσωμεν
τὸν ἀπαίδευτον.
πάντως μέλλει τυφλὸς εἶναι.

ΧΟΡΟΣ.

μακάριος, ὃς εὐϊάζει
βοτρύων φίλαισι πηγαῖς
ἐπὶ κῶμον ἐκπετασθεὶς,
φίλον ἄνδρ' ὑπαγκαλίζων,
ἐπὶ δεμνίοις τε ξανθὸν
χλιδανῆς ἔχων ἑταίρας
μυρόχριστον λιπαρὸν βό-
στρυχον. αὐδᾷ δὲ, θύραν τίς οἴξει μοι;

ΚΥΚΛΩΨ.

πᾶ, πᾶ, πᾶ· πλέως μὲν οἴνου,
γάνυμαι δὲ δαιτὸς ἥβης,
σκάφος ὁλκὰς ὣς γεμισθεὶς
ποτὶ σέλμα γαστρὸς ἄκρας.
ὑπάγει μ' ὁ χόρτος εὔφρων

488. χωρεῖ γε π. 498. μυρόχριστος λιπαρός. 499. deest τίς.

ἐπὶ κῶμον ἦρος ὥραις,
ἐπὶ Κύκλωπας ἀδελφούς.
φέρε μοι, ξεῖνε, φέρ' ἀσκὸν, ἔνδος μοι.

ΧΟΡΟΣ.

καλὸν ὄμμασιν δεδορκὼς,
καλὸν ἐκπερᾷ μέλαθρον.
* * φιλεῖ τις ἡμᾶς.
λύχνα δ' ἀμμένει δάϊα σὸν
χρόα, χ' ὡς τέρεινα Νύμφα
δροσερῶν ἔσωθεν ἄντρων.
στεφάνων δ' οὐ μία χροία
περὶ σὸν κρᾶτα τάχ' ἐξομιλήσει.

ΟΔΥΣΣΕΥΣ.

Κύκλωψ, ἄκουσον, ὡς ἐγὼ τοῦ Βακχίου
τούτου τρίβων εἴμ', ὃν πιεῖν ἔδωκά σοι.

ΚΥΚΛΩΨ.

ὁ Βάκχιος δὲ τίς θεὸς νομίζεται;

ΟΔΥΣΣΕΥΣ.

μέγιστος ἀνθρώποισιν ἐς τέρψιν βίου.

ΚΥΚΛΩΨ.

ἐρυγγάνω γοῦν αὐτὸν ἡδέως ἐγώ.

ΟΔΥΣΣΕΥΣ.

τοιόςδ' ὁ δαίμων· οὐδένα βλάπτει βροτῶν.

ΚΥΚΛΩΨ.

θεὸς δ' ἐν ἀσκῷ πῶς γέγηθ' οἴκους ἔχων;

ΟΔΥΣΣΕΥΣ.

ὅπου τιθῇ τις, ἐνθάδ' ἐστὶν εὐπετής.

510. sine notis lacunae. 511. ἀμμένα. 523. τιθεῖ.

ΚΥΚΛΩΨ.

οὐ τοὺς θεοὺς χρὴ δῶμ' ἔχειν ἐν δέρμασιν.

ΟΔΥΣΣΕΥΣ.

τί δ'; εἴ σε τέρπει γ', ἦ τὸ δέρμα σοι πικρόν;

ΚΥΚΛΩΨ.

μισῶ τὸν ἀσκόν· τὸ δὲ ποτὸν φιλῶ τόδε.

ΟΔΥΣΣΕΥΣ.

μένων νυν αὐτοῦ, πῖνε κεὐθύμει, Κύκλωψ.

ΚΥΚΛΩΨ.

οὐ χρή μ' ἀδελφοῖς τοῦδε προςδοῦναι ποτοῦ;

ΟΔΥΣΣΕΥΣ.

ἔχων γὰρ αὐτὸς τιμιώτερος φανεῖ.

ΚΥΚΛΩΨ.

διδοὺς δὲ τοῖς φίλοισι χρησιμώτερος.

ΟΔΥΣΣΕΥΣ.

πυγμὰς ὁ κῶμος λοίδορόν τ' ἔριν φιλεῖ.

ΚΥΚΛΩΨ.

μεθύωμεν· ἔμπας δ' οὔ τις ἂν ψαύσειέ μου.

ΟΔΥΣΣΕΥΣ.

ὦ 'τὰν, πεπωκότ' ἐν δόμοισι χρὴ μένειν.

ΚΥΚΛΩΨ.

ἠλίθιος, ὅςτις μὴ πιὼν κῶμον φιλεῖ.

ΟΔΥΣΣΕΥΣ.

ὃς δ' ἂν μεθυσθείς γ' ἐν δόμοις μείνῃ, σοφός.

ΚΥΚΛΩΨ.

τί δρῶμεν, ὦ Σιληνέ; σοὶ μένειν δοκεῖ;

ΣΙΛΗΝΟΣ.

δοκεῖ· τί γὰρ δεῖ συμποτῶν ἄλλων, Κύκλωψ;

524. σῶμ' ἔχ. 525. ἦ τὸ δ.

ΚΥΚΛΩΨ.

καὶ μὴν λαχνῶδές γ' οὖδας ἀνθηρᾶς χλόης.

ΣΙΛΗΝΟΣ.

καὶ πρός γε θάλπος ἡλίου πίνειν καλόν.
κλίθητι νῦν μοι, πλευρὰ θεὶς ἐπὶ χθονός.

ΚΥΚΛΩΨ.

(ἰδού·) τί δῆτα τὸν κρατῆρ' ὄπισθέ μου τίθης;

ΣΙΛΗΝΟΣ.

ὡς μὴ παρών τις καταλάβῃ.

ΚΥΚΛΩΨ.

πίνειν μὲν οὖν
κλέπτων σὺ βούλει· κάτθες αὐτὸν ἐς μέσον.
σὺ δ', ὦ ξέν', εἰπὲ τοὔνομ', ὅ τι σε χρὴ καλεῖν.

ΟΔΥΣΣΕΥΣ.

Οὖτιν· χάριν δὲ τίνα λαβών σ' ἐπαινέσω;

ΚΥΚΛΩΨ.

πάντων σ' ἑταίρων ὕστερον θοινάσομαι.

ΟΔΥΣΣΕΥΣ.

καλόν γε τὸ γέρας τῷ ξένῳ δίδως, Κύκλωψ.

ΚΥΚΛΩΨ.

οὗτος, τί δρᾷς; τὸν οἶνον ἐκπίνεις λάθρα;

ΣΙΛΗΝΟΣ.

οὔκ, ἀλλ' ἔμ' οὗτος ἔκυσεν, ὅτι καλὸν βλέπω.

ΚΥΚΛΩΨ.

κλαύσει, φιλῶν τὸν οἶνον οὐ φιλοῦντά σε.

ΣΙΛΗΝΟΣ.

ναὶ μὰ Δί', ἐπεί μου φησ' ἐρᾷν ὄντος καλοῦ.

538. λαχνῶδες τοὖδας.

ΚΥΚΛΩΨ.

ἔγχει· πλέων δὲ τὸν σκύφον δίδου μόνον.

ΣΙΛΗΝΟΣ.

πῶς οὖν κέκραται, φέρε διασκεψώμεθα.

ΚΥΚΛΩΨ.

ἀπολεῖς· δὸς οὕτω.

ΣΙΛΗΝΟΣ.

ναὶ μὰ Δί' οὐ πρὶν ἂν σέ γε
στέφανον ἴδω λαβόντα, γεύσωμαί τ' ἔτι.

ΚΥΚΛΩΨ.

'ῳνοχόος ἄδικος.

ΣΙΛΗΝΟΣ.

ναὶ μὰ Δί', ἀλλ' 'ῷνος γλυκύς.
ἀπομυκτέον δέ σοί γ', ὅπως λήψῃ πιεῖν.

ΚΥΚΛΩΨ.

ἰδού, καθαρὸν τὸ χεῖλος αἵ τρίχες τέ μου.

ΣΙΛΗΝΟΣ.

θὲς δὴ τὸν ἀγκῶν' εὐρύθμως, κᾆτ' ἔκπιε,
ὥσπερ μ' ὁρᾷς πίνοντα χὤσπερ οὐκ ἐμέ.

ΚΥΚΛΩΨ.

ἆ, ἆ. τί δράσεις;

ΣΙΛΗΝΟΣ.

ἡδέως ἠμύστισα.

ΚΥΚΛΩΨ.

λαβών, ξέν', αὐτὸς οἰνοχόος γέ μου γενοῦ.

ΟΔΥΣΣΕΥΣ.

γιγνώσκεται γοῦν ἡ 'μπελος τῇ 'μῇ χερί.

556. ὦ οἰνοχ.

ΚΥΚΛΩΨ.

φέρ', ἔγχεον νῦν.

ΟΔΥΣΣΕΥΣ.

ἐγχέω, σίγα μόνον.

ΚΥΚΛΩΨ.

χαλεπὸν τόδ' εἶπας, ὅςτις ἂν πίνῃ πολύν.

ΟΔΥΣΣΕΥΣ.

ἰδοὺ λαβὼν ἔκπιθι, καὶ μηδὲν λίπῃς.
συνεκθανεῖν δὲ σπῶντα χρὴ τῷ πώματι.

ΚΥΚΛΩΨ.

παπαί. σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.

ΟΔΥΣΣΕΥΣ.

κἂν μὲν σπάσῃ γε δαιτὶ πρὸς πολλῇ πολὺν,
τέγξας ἄδιψον νηδὺν, εἰς ὕπνον βαλεῖς·
ἢν δ' ἐκλίπῃς τι, ξηρανεῖ σ' ὁ Βάκχιος.

ΚΥΚΛΩΨ.

(ἰοὺ, ἰού.) ὡς ἐξένευσα μόγις, ἄκρατος ἡ χάρις.
ὅδ' οὐρανός μοι συμμεμιγμένος δοκεῖ
τῇ γῇ φέρεσθαι, τοῦ Διός τε τὸν θρόνον
λεύσσω, τὸ πᾶν τε δαιμόνων ἁγνὸν σέβας.
οὐκ ἂν φιλήσαιμ'· αἱ Χάριτες πειρῶσί με.
ἅλις Γανυμήδην τόνδ' ἔχων ἀναπαύσομαι
κάλλιστα νὴ τὰς Χάριτας. ἥδομαι δέ πως
τοῖς παιδικοῖσι μᾶλλον, ἢ τοῖς θήλεσιν.

ΣΙΛΗΝΟΣ.

ἐγὼ γὰρ ὁ Διός εἰμι Γανυμήδης, Κύκλωψ.

ΚΥΚΛΩΨ.

ναὶ μὰ Δί', ὃν ἁρπάζω γ' ἐγὼ 'κ τοῦ Γαργάρου.

567. δὲ σιγῶντα. 574. Διὸς δὲ. 581. Δαρδάνου.

ΣΙΛΗΝΟΣ.

ἀπόλωλα, παῖδες· σχέτλια πείσομαι κακά.

ΧΟΡΟΣ.

μέμφει τὸν ἐραστὴν κἀν τρυφαῖς πεπωκότα;

ΣΙΛΗΝΟΣ.

οἴ μοι! πικρότατον οἶνον ὄψομαι τάχα.

ΟΔΥΣΣΕΥΣ.

ἄγε δὴ, Διονύσου παῖδες, εὐγενῆ τέκνα,
ἔνδον μὲν ἁνήρ· τῷ δ' ὕπνῳ παρειμένος,
τάχ' ἐξ ἀναιδοῦς φάρυγος ὠθήσει κρέα.
δαλὸς δ' ἔσωθεν αὐλίων ὠθεῖ καπνόν.
παρευτρέπισται δ' οὐδὲν ἄλλο, πλὴν πυροῦν
Κύκλωπος ὄψιν· ἀλλ' ὅπως ἀνὴρ ἔσει.

ΧΟΡΟΣ.

πέτρας τὸ λῆμα κἀδάμαντος ἕξομεν.
χώρει δ' ἐς οἴκους, πρίν τι τὸν πατέρα παθεῖν
ἀπάλαμνον, ὥς σοι τἀνθάδ' ἐστὶν εὐτρεπῆ.

ΟΔΥΣΣΕΥΣ.

Ἥφαιστ' ἄναξ Αἰτναῖε, γείτονος κακοῦ
λαμπρὸν πυρώσας ὄμμ' ἀπαλλάχθηθ' ἅπαξ,
σύ τ', ὦ μελαίνης Νυκτὸς ἐκπαίδευμ', Ὕπνε,
ἄκρατος ἐλθὲ θηρὶ τῷ θεοστυγεῖ,
καὶ μὴ 'πὶ καλλίστοισι Τρωϊκοῖς πόνοις
αὐτόν τε ναύτας τ' ἀπολέσητ' Ὀδυσσέα
ὑπ' ἀνδρὸς, ᾧ θεῶν οὐδὲν ἢ βροτῶν μέλει.
ἢ τὴν τύχην μὲν δαίμον' ἡγεῖσθαι χρεὼν,
τὰ δαιμόνων δὲ τῆς τύχης ἐλάσσονα.

584. ὕπνον ὄψ. 585. ἀνήρ. 587. φάρυγγος.

ΧΟΡΟΣ.

Λήψεται τὸν τράχη-
λον ἐντόνως ὁ καρκίνος
τοῦ ξένων δαιτυμόνος· πυρὶ γὰρ τάχα
φωςφόρους ὀλεῖ κόρας
ἤδη δαλὸς ἠνθρακωμένος·
κρύπτεται εἰς σποδιὰν δρυὸς ἄσπετον ἔρνος.
ἀλλ' ἴτω Μάρων·
πρασσέτω μαινόμενος·
ἐξελέτω βλέφαρον
Κύκλωπος, ὡς πίῃ κακῶς.
κἀγὼ τὸν φιλοκισσοφόρον Βρόμιον
ποθεινὸν εἰςιδεῖν θέλω,
Κύκλωπος λιπὼν ἐρημίαν.
ἆρ' ἐς τοσόνδ' ἀφίξομαι;

ΟΔΥΣΣΕΥΣ.

σιγᾶτε πρὸς θεῶν, θῆρες, ἡσυχάζετε,
συνθέντες ἄρθρα στόματος· οὐδὲ πνεῖν ἐῶ,
οὐ σκαρδαμύσσειν, οὐδὲ χρέμπτεσθαί τινα,
ὡς μὴ 'ξεγερθῇ τὸ κακὸν, ἕς τ' ἂν ὄμματος
ὄψις Κύκλωπος ἐξαμιλληθῇ πυρί.

ΧΟΡΟΣ.

σιγῶμεν ἐγκάψαντες αἰθέρα γνάθοις.

ΟΔΥΣΣΕΥΣ.

ἄγε νῦν, ὅπως ἅψεσθε τοῦ δαλοῦ χεροῖν,
ἔσω μολόντες· διάπυρος δ' ἐστὶν καλῶς.

ΧΟΡΟΣ.

οὐκοῦν σὺ τάξεις, οὕςτινας πρώτους χρεὼν

καυστὸν μοχλὸν λαβόντας ἐκκάειν τὸ φῶς
Κύκλωπος, ὡς ἂν τῆς τύχης κοινώμεθα.

ΗΜΙΧΟΡΙΟΝ ά.

ἡμεῖς μὲν ἐσμὲν μακρότεροι πρὸ τῶν θυρῶν
ἑστῶτες, ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ.

ΗΜΙΧΟΡΙΟΝ β'.

ἡμεῖς δὲ χωλοί γ' ἀρτίως γεγενήμεθα.

ΗΜΙΧΟΡΙΟΝ ά.

ταυτὸν πεπόνθατ' ἆρ' ἐμοί.

ΗΜΙΧΟΡΙΟΝ β'.

τοὺς γὰρ πόδας
ἑστῶτες ἐσπάσθημεν, οὐκ οἶδ', ἐξ ὅτου.

ΗΜΙΧΟΡΙΟΝ ά.

ἑστῶτες ἐσπάσθητε;

ΗΜΙΧΟΡΙΟΝ β'.

καὶ τά γ' ὄμματα
μέστ' ἐστιν ἡμῶν κόνεος ἢ τέφρας ποθέν.

ΟΔΥΣΣΕΥΣ.

ἄνδρες πονηροὶ, κοὐδὲν οἵδε σύμμαχοι.

ΧΟΡΟΣ.

ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ' οἰκτείρομεν,
καὶ τοὺς ὀδόντας ἐκβαλεῖν οὐ βούλομαι
τυπτόμενος, αὕτη γίγνεται πονηρία.
ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
ὡς αὐτόματον τὸν δαλὸν ἐς τὸ κρανίον
στείχονθ' ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς.

626. καὶ τὸν μ. λ. ἐκκαίειν. 629. πρὸς τὸν ὀ. 631. 2. Eidem semichoro tribuuntur. 633. ΟΔ. ἑστ. ἐσπ. ΧΟΡ. καὶ τά γ' ὄμμ. 634. μέτεστιν ἡμ.

ΟΔΥΣΣΕΥΣ.

πάλαι μὲν ᾔδη σ᾽ ὄντα τοιοῦτον φύσει·
νῦν δ᾽ οἶδ᾽ ἄμεινον. τοῖσι δ᾽ οἰκείοις φίλοις
χρῆσθαί μ᾽ ἀνάγκη. χειρὶ δ᾽ εἰ μηδὲν σθένεις,
ἀλλ᾽ οὖν ἐπεγκέλευέ γ᾽, ὡς εὐψυχίαν
φίλων κελευσμοῖς τοῖσι σοῖς κτησώμεθα.

ΧΟΡΟΣ.

δράσω τάδ᾽. ἐν τῷ Καρὶ κινδυνεύσομεν.
κελευσμάτων δ᾽ ἕκατι τυφέσθω Κύκλωψ.
ἰώ! ἰώ!
γενναιότατ᾽ ὠθεῖτε, σπεύδετε·
ἐκκαίετε τὴν ὀφρὺν θηρὸς
τοῦ ξενοδαίτα.
τύφετ᾽ ὦ, καίετ᾽ ὦ.
τὸν Αἴτνας μηλονόμον
τόρνευ᾽, ἕλκε, μή σ᾽ ἐξοδυνηθεὶς
δράσῃ τι μάταιον.

ΚΥΚΛΩΨ.

ᾤμοι! κατηνθρακώμεθ᾽ ὀφθαλμοῦ σέλας.

ΧΟΡΟΣ.

καλός γ᾽ ὁ παιάν· μέλπε μοι τόνδ᾽, ὦ Κύκλωψ.

ΚΥΚΛΩΨ.

ᾤμοι μάλ᾽, ὡς ὑβρίσμεθ᾽, ὡς ὀλώλαμεν!
ἀλλ᾽ οὔτι μὴ φύγητε τῆσδ᾽ ἔξω πέτρας
χαίροντες, οὐδὲν ὄντες· ἐν πύλαισι γὰρ
σταθεὶς φάραγγος τάσδ᾽ ἐναρμόσω χέρας.

642. ᾔδειν σ᾽. 650. γενναιότατα ὠθ.

ΧΟΡΟΣ.

τί χρῆμ᾽ ἀϋτεῖς, ὦ Κύκλωψ;

ΚΥΚΛΩΨ.

ἀπωλόμην.

ΧΟΡΟΣ.

αἰσχρός γε φαίνει.

ΚΥΚΛΩΨ.

κἀπὶ τοῖσδέ γ᾽ ἄθλιος.

ΧΟΡΟΣ.

μεθύων κατέπεσες ἐς μέσους τοὺς ἄνθρακας;

ΚΥΚΛΩΨ.

Οὖτίς μ᾽ ἀπώλεσ᾽.

ΧΟΡΟΣ.

οὐκ ἄρ᾽ οὐδείς σ᾽ ἠδίκει.

ΚΥΚΛΩΨ.

Οὖτίς με τυφλοῖ βλέφαρον.

ΧΟΡΟΣ.

οὐκ ἄρ᾽ εἶ τυφλός.

ΚΥΚΛΩΨ.

ὡς δὴ σύ.

ΧΟΡΟΣ.

καὶ πῶς σ᾽ οὔτις ἂν θείη τυφλόν;

ΚΥΚΛΩΨ.

σκώπτεις· ὁ δ᾽ Οὖτις, ποῦ ᾽στιν;

ΧΟΡΟΣ.

οὐδαμοῦ, Κύκλωψ.

ΚΥΚΛΩΨ.

ὁ ξένος, ἵν᾽ ὀρθῶς ἐκμάθῃς, μ᾽ ἀπώλεσεν,
ὁ μιαρὸς, ὅς μοι δοὺς τὸ πῶμα κατέκλασεν.

666. ἀπώλεσεν. Ib. οὐδεὶς ἠδίκει. 671. κατέκαυσε,

ΧΟΡΟΣ.

δεινὸς γὰρ οἶνος, καὶ παλαίεσθαι βαρύς.

ΚΥΚΛΩΨ.

πρὸς θεῶν πεφεύγασ᾽, ἢ μένουσ᾽ εἴσω δόμων;

ΧΟΡΟΣ.

οὗτοι σιωπῇ τὴν πέτραν ἐπήλυγα
λαβόντες ἑστήκασι.

ΚΥΚΛΩΨ.

ποτέρας τῆς χερός;

ΧΟΡΟΣ.

ἐν δεξιᾷ σου.

ΚΥΚΛΩΨ.

ποῦ;

ΧΟΡΟΣ.

πρὸς αὐτῇ τῇ πέτρᾳ.
ἔχεις;

ΚΥΚΛΩΨ.

κακόν γε πρὸς κακῷ· τὸ κρανίον
παίσας κατέαγα.

ΧΟΡΟΣ.

καί σε διαφεύγουσί γε.

ΚΥΚΛΩΨ.

οὐ τῇδ᾽, ἐπεὶ τῇδ᾽ εἶπας.

ΧΟΡΟΣ.

οὐ ταύτῃ λέγω.

ΚΥΚΛΩΨ.

τῇ γάρ;

ΧΟΡΟΣ.

περιάγουσίν σε πρὸς τἀριστερά.

672. 3. Cyclopi continuantur. 676. deest σου.

ΚΥΚΛΩΨ.

οἴ μοι! γελῶμαι· κερτομεῖτέ μ᾽ ἐν κακοῖς.

ΧΟΡΟΣ.

ἀλλ᾽ οὐκ ἔτ᾽· ἀλλὰ πρόσθεν οὗτις ἐστί σου.

ΚΥΚΛΩΨ.

ὦ παγκάκιστε, ποῦ ποτ᾽ εἶ;

ΟΔΥΣΣΕΥΣ.

τηλοῦ σέθεν
φυλακαῖσι φρουρῶ σῶμ᾽ Ὀδυσσέως τόδε.

ΚΥΚΛΩΨ.

πῶς εἶπας; ὄνομα μεταβαλὼν καινὸν λέγεις;

ΟΔΥΣΣΕΥΣ.

ὅπερ γ᾽ ὁ φύσας μ᾽ ὠνόμαζ᾽ Ὀδυσσέα.
δώσειν δ᾽ ἔμελλες ἀνοσίου δαιτὸς δίκας·
κακῶς γὰρ ἂν Τροίαν γε διεπυρωσάμην,
εἰ μή σ᾽ ἑταίρων φόνον ἐτιμωρησάμην.

ΚΥΚΛΩΨ.

αἶ, αἶ! παλαιὸς χρησμὸς ἐκπεραίνεται.
τυφλὴν γὰρ ὄψιν ἐκ σέθεν σχήσειν μ᾽ ἔφη,
Τροίας ἀφορμηθέντος. ἀλλὰ καὶ σέ τοι
δίκας ὑφέξειν ἀντὶ τῶνδ᾽ ἐθέσπισεν,
πολὺν θαλάσσῃ χρόνον ἐναιωρούμενον.

ΟΔΥΣΣΕΥΣ.

κλάειν σ᾽ ἄνωγα· καὶ δέδραχ᾽, ὅπερ λέγω.
ἐγὼ δ᾽ ἐπ᾽ ἀκτὰς εἶμι, καὶ νεὼς σκάφος
ἥσω ᾽πὶ πόντον Σικελὸν ἔς τ᾽ ἐμὴν πάτραν.

ΚΥΚΛΩΨ.

οὐ δῆτ᾽, ἐπεί σε, τῆσδ᾽ ἀποῤῥήξας πέτρας,

687. deest δ᾽.

αὐτοῖσι σὺν ναύταισι συντρίψω βαλών.
ἄνω δ' ἐπ' ὄχθον εἶμι, καίπερ ὢν τυφλὸς,
δι' ἀμφιτρῆτος τῆσδε προσβαίνων ποδί.

ΧΟΡΟΣ.

ἡμεῖς δέ, συνναῦταί γε τοῦδ' Ὀδυσσέως
ὄντες, τὸ λοιπὸν Βακχίῳ δουλεύσομεν.

699. ναύτῃσι.

ΤΕΛΟΣ ΚΥΚΛΩΠΟΣ.

DATE BORROWED	DATE DUE	DATE BORROWED	DATE DUE

VOLUME 3

BIBLIOGRAPHIC IRREGULARITIES

MAIN ENTRY: Euripidis tragoediae... v.3

Bibliographic Irregularities in the Original Document

List volumes and pages affected; include name of institution if filming borrowed text.

______ Page(s) missing/not available: ______

______ Volumes(s) missing/not available: ______

✓ Illegible and/or damaged page(s): 49, 105

______ Page(s) or volumes(s) misnumbered: ______

______ Bound out of sequence: ______

______ Page(s) or illustration(s) filmed from copy borrowed from: ______

______ Other: ______

EURIPIDIS
TRAGOEDIAE
ET
FRAGMENTA.

RECENSUIT

INTERPRETATIONEM LATINAM CORREXIT

SCHOLIA GRAECA E CODICIBUS MANUSCRIPTIS

PARTIM SUPPLEVIT PARTIM EMENDAVIT

AUGUSTUS MATTHIAE.

TOMUS TERTIUS.

LIPSIAE

APUD IOA. AUG. GOTTL. WEIGEL

MDCCCXV.

IMPRESSIT BENEDICTUS GOTTHILF TEUBNER.

ΕΥΡΙΠΙΔΟΥ

ΠΕΝΘΕΥΣ ἢ ΒΑΚΧΑΙ.

ΥΠΟΘΕΣΙΣ.

Διόνυσος ἀποθεωθεὶς, μὴ βουλομένου Πενθέως τὰ ὄργια αὐτοῦ ἀναλαμβάνειν, εἰς μανίαν ἀγαγὼν τὰς τῆς μητρὸς ἀδελφὰς, Σεμέλης λέγω, ἠνάγκασεν αὐτὰς τὸν Πενθέα διασπάσασθαι. ἡ μυθοποιΐα κεῖται παρ' Αἰσχύλῳ ἐν ΠΕΝΘΕΙ. τὸ ὄνομα μόνον μεταπεποίηται Εὐριπίδῃ. Ὁ χορὸς μὲν συνέστηκεν ἐκ γυναικῶν Βακχῶν· ἡ δὲ σκηνὴ τοῦ δράματος ἐν Θήβαις.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΙΟΝΥΣΟΣ.
ΧΟΡΟΣ Βακχῶν.
ΤΕΙΡΕΣΙΑΣ.
ΚΑΔΜΟΣ.
ΠΕΝΘΕΥΣ.
ΘΕΡΑΠΩΝ.
ΑΓΓΕΛΟΣ.
ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.
ΑΓΑΥΗ.

ΕΥΡΙΠΙΔΟΥ ΠΕΝΘΕΥΣ ἢ ΒΑΚΧΑΙ.

ΔΙΟΝΥΣΟΣ.

Ἥκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα
Διόνυσος, ὃν τίκτει πόθ' ἡ Κάδμου κόρη,
Σεμέλη, λοχευθεῖσ' ἀστραπηφόρῳ πυρί·
μορφὴν δ' ἀμείψας ἐκ θεοῦ βροτησίαν,
πάρειμι Δίρκης νάματ' Ἰσμηνοῦ θ' ὕδωρ.
ὁρῶ δὲ μητρὸς μνῆμα τῆς κεραυνίας
τόδ' ἐγγὺς οἴκων, καὶ δόμων ἐρείπια
τυφόμενα δίου τ' ἔτι πυρὸς ζῶσαν φλόγα,
ἀθάνατον Ἥρας μητέρ' εἰς ἐμὴν ὕβριν.
αἰνῶ δὲ Κάδμον, ἄβατον ὃς πέδον τόδε
τίθησι, θυγατρὸς σηκόν· ἀμπέλου δέ νιν
πέριξ ἐγὼ 'κάλυψα βοτρυώδει χλόῃ.
λιπὼν δὲ Λυδῶν τὰς πολυχρύσους γύας
Φρυγῶν τε, Περσῶν θ' ἡλιοβλήτους πλάκας
Βάκτριά τε τείχη τήν τε δύςχειμον χθόνα
Μήδων ἐπελθὼν Ἀραβίαν τ' εὐδαίμονα
Ἀσίαν τε πᾶσαν, ἣ παρ' ἁλμυρὰν ἅλα

8. τυφ. δίου τέ πυρὸς ἔτι ζ.

κεῖται, μιγάσιν Ἕλλησι βαρβάροις θ' ὁμοῦ
πλήρεις ἔχουσα καλλιπυργώτους πόλεις,
κἀκεῖ χορεύσας καὶ καταστήσας ἐμὰς
τελετὰς, ἵν' εἴην ἐμφανὴς δαίμων βροτοῖς,
ἐς τήνδε πρῶτον ἦλθον Ἑλλήνων πόλιν.
πρώτας δὲ Θήβας τῆσδε γῆς Ἑλληνίδος
ἀνωλόλυξα, νεβρίδ' ἐξάψας χροὸς,
θύρσον τε δοὺς ἐς χεῖρα, κίσσινον βέλος,
ἐπεί μ' ἀδελφαὶ μητρὸς, ἃς ἥκιστ' ἐχρῆν,
Διόνυσον οὐκ ἔφασκον ἐκφῦναι Διός,
Σεμέλην δὲ, νυμφευθεῖσαν ἐκ θνητοῦ τινος,
ἐς Ζῆν' ἀναφέρειν τὴν ἁμαρτίαν λέχους,
Κάδμου σοφίσμαθ', ὧν νιν οὕνεκα κτανεῖν
Ζῆν' ἐξεκαυχῶνθ', ὅτι γάμους ἐψεύσατο.
τοιγάρ νιν αὐτὸς ἐκ δόμων οἴστρησ' ἐγὼ
μανίαις· ὄρος δ' οἰκοῦσι, παράκοποι φρενῶν·
σκευήν τ' ἔχειν ἠνάγκασ' ὀργίων ἐμῶν,
καὶ πᾶν τὸ θῆλυ σπέρμα Καδμείων, ὅσαι
γυναῖκες ἦσαν, ἐξέμηνα δωμάτων·
ὁμοῦ δὲ Κάδμου παισὶν ἀναμεμιγμέναι
χλωραῖς ὑπ' ἐλάταις ἀνορόφοις ἧνται πέτραις.
δεῖ γὰρ πόλιν τήνδ' ἐκμαθεῖν, κεἰ μὴ θέλει,
ἀτέλεστον οὖσαν τῶν ἐμῶν βακχευμάτων,
Σεμέλης τε μητρὸς ἀπολογήσασθαί μ' ὕπερ,
φανέντα θνητοῖς δαίμον', ὃν τίκτει Διΐ.
Κάδμος μὲν οὖν γέρας τε καὶ τυραννίδα
Πενθεῖ δίδωσι, θυγατρὸς ἐκπεφυκότι,
ὃς θεομαχεῖ τὰ κατ' ἐμὲ καὶ σπονδῶν ἄπο

20. sqq. hoc ordine: v. 22. 20. 21. 32. νῦν αὐτάς. 38. εἵνται.

ὠθεῖ μ', ἐν εὐχαῖς τ' οὐδαμοῦ μνείαν ἔχει.
ὧν οὕνεκ' αὐτῷ θεὸς γεγὼς ἐνδείξομαι
πᾶσίν τε Θηβαίοισιν. ἐς δ' ἄλλην χθόνα,
τἀνθένδε θέμενος εὖ, μεταστήσω πόδα,
δεικνὺς ἐμαυτόν· ἢν δὲ Θηβαίων πόλις
ὀργῇ ξὺν ὅπλοις ἐξ ὄρους Βάκχας ἄγειν
ζητῇ, ξυνάψω Μαινάσι στρατηλατῶν.
ὧν οὕνεκ' εἶδος θνητὸν ἀλλάξας ἔχω,
μορφήν τ' ἐμὴν μετέβαλον εἰς ἀνδρὸς φύσιν.
ἀλλ', ὦ λιποῦσαι Τμῶλον, ἔρυμα Λυδίας,
θίασος ἐμὸς, γυναῖκες, ἃς ἐκ βαρβάρων
ἐκόμισα παρέδρους καὶ ξυνεμπόρους ἐμοὶ,
αἴρεσθε τἀπιχώρι' ἐν πόλει Φρυγῶν
τύμπανα, Ῥέας τε μητρὸς ἐμά θ' εὑρήματα,
βασίλειά τ' ἀμφὶ δώματ' ἐλθοῦσαι τάδε
κτυπεῖτε Πενθέως, ὡς ὁρᾷ Κάδμου πόλις.
ἐγὼ δὲ Βάκχαις, ἐς Κιθαιρῶνος πτύχας
ἐλθὼν, ἵν' εἰσὶ, συμμετασχήσω χορῶν.

ΧΟΡΟΣ.

Ἀσίας ἀπὸ γᾶς ἱερὸν Τμῶλον ἀ-
μείψασα θοάζω Βρομίῳ,
πόνον ἡδὺν κάματόν τ' εὐκάματον,
τὸν Βάκχιον εὐαζομένα θεόν.
τίς ὁδῷ; τίς ὁδῷ;
τίς δὲ μελάθροις; ἔκτοπος ἔστω
στόμα τ' εὔφημον ἅπας ὁσιούσθω·
τὰ νομισθέντα γὰρ
αἰεὶ Διόνυσον ὑμνήσω.
Ὦ μάκαρ, ὅστις εὐδαίμων τελετὰς θεῶν (στρ. ά)

72. ἤδη Br. 73. ὅστις αἰδήμων Br.

εἰδὼς, βιοτὰν ἁγιστεύει,
καὶ θιασεύεται ψυχὰν, ἐν
ὄρεσι βακχεύων ὁσίοισι καθαρμοῖς,
τά τε ματρὸς μεγάλας ὄργια Κυβέλας θεμιτεύων,
ἀνὰ θύρσον τε τινάσσων, κισσῷ τε στεφανωθεὶς
Διόνυσον θεραπεύει.
ἴτε Βάκχαι, ἴτε Βάκχαι, Βρόμιον παῖδα θεὸν θεοῦ
Διόνυσον κατάγουσαι Φρυγίων ἐξ ὀρέων Ἑλ-
λάδος εἰς εὐρυχόρους ἀγυιὰς, τὸν Βρόμιον·
ὅν ποτ᾽ ἔχουσ᾽ ἐν ὠδίνων λοχίαις ἀνάγ-
(ἀντιστρ. ά.)
καισι, πταμένας Διὸς βροντᾶς,
νηδύος ἔκβολον μάτηρ ἔ-
τεκε, λιποῦσ᾽ αἰῶνα κεραυνίῳ πλαγᾷ·
λοχίοις δ᾽ αὐτίκα νιν δέξατο θαλάμοις Κρονίδα
Ζεύς·
κατὰ μηρῷ δὲ καλύψας χρυσέαισιν συνερείδει
περόναις κρυπτὸν ἀφ᾽ Ἥρας.
ἔτεκεν δ᾽, ἁνίκα Μοῖραι τέλεσαν ταυροκέρων
θεὸν,
στεφάνωσέν τε δρακόντων στεφάνοις, ἔνθεν ἄ-
γραν θυρ-
σοφόροι Μαινάδες ἀμφιβάλλονται πλοκάμοις.
ὦ Σεμέλας τροφοὶ Θῆβαι, (στρ. β΄.)
στεφανοῦσθε κισσῷ·
βρύετε, βρύετε χλοηρᾷ
σμίλακι καλλικάρπῳ,
καὶ καταβακχιοῦσθε δρυὸς

76. ὁσίοισιν. 77. θεμιστεύων. 87. Κρονίδας Br. 91. 2. θηροτρόφοι M. 92. ἀμφεβάλοντο Br.

ἢ ἐλάτας κλάδοισι,
στικτῶν τ᾽ ἐνδυτὰ νεβρίδων
στέφετε λευκοτρίχων πλοκάμων
μαλλοῖς· ἀμφὶ δὲ νάρθηκας ὑβριστὰς
ὁσιοῦσθ᾽· αὐτίκα γᾶ πᾶσα χορεύσει
Βρόμιον, ὅςτις ἄγει θιάσους
εἰς ὄρος, εἰς ὄρος, ἔνθα μένει
θηλυγενὴς ὄχλος
ἀφ᾽ ἱστῶν, παρὰ κερκίδων τ᾽
οἰστρηθεὶς Διονύσῳ.
ὦ θαλάμευμα Κουρήτων (ἀντ. β΄.)
ζάθεοί τε Κρῆτες
Διογενέτορες ἔναυλοι,
τρικόρυθές γ᾽ ἶν᾽ ἄντροις
βυρσότονον κύκλωμα τόδε
μοι Κορύβαντες εὗρον·
ἀνὰ δὲ βάκχια συντόνῳ
κέρασαν ἡδυβόᾳ Φρυγίων
αὐλῶν πνεύματι, θῆκάν τε Ῥέας εἰς
χέρα, καλλίκτυπον εὐάσμασι Βακχᾶν·
παρὰ δὲ μαινόμενοι Σάτυροι
ματέρος ἐξανύσαντο θεᾶς·
εἰς δὲ χορεύματα
συνῆψαν Τριετηρίδων,
αἷς χαίρει Διόνυσος,

98. ἢ ἐλάτας ἐν κλάδοις Br. 99. δ᾽ ἐνδυτὰ Br. 100. 101. λευκ. πλοκάμοις μαλλῶν Br. 102. 3. χορεύσει. Βρόμιος. 111. ἔνθα τρικόρυθες ἄντροις M. 114. Βακχεία M. βακχείαν σύντονον Br. 115. ἡδυβόα M. 116. ὁ. πν. ματρός τε Ῥ. εἰς M. 117. χέρα θῆκαν, κτύπον ἔν τ᾽ ᾄσμασι Βακχᾶν M.

ἡδὺς ἐν οὔρεσιν, ὅταν ἐκ θιάσων (ἐπῳδός.)
δρομαίων πέσῃ
πέδοσε, νεβρίδος ἔχων ἱερὸν ἔνδυτον, ἀγρεύων
αἷμα τραγοκτόνον, ὠμόφαγον χάριν,
ἱέμενος εἰς ὄρεα Φρύγια, Λύδια.
ὁ δ' ἔξαρχος Βρόμιος, εὐοῖ!
ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσᾶν
νέκταρι, Συρίας δ' ὡς λιβάνου καπνός.
ὁ Βακχεὺς δ' ἔχων
πυρσώδη φλόγα πεύκας
ἐκ νάρθηκος ἀΐσσει,
δρόμῳ καὶ χοροῖς ἐρεθίζων πλανάτας,
ἰαχαῖς τ' ἀναπάλλων,
τρυφερὸν πλόκαμον ἐς αἰθέρα ῥίπτων.
ἅμα δ' ἐπ' εὐάσμασιν ἐπιβρέμει
τοιάδ'· ὦ ἴτε Βάκχαι,
ὦ ἴτε Βάκχαι,
Τμώλου χρυσορόου χλιδᾷ,
μέλπετε τὸν Διόνυσον
βαρυβρόμων ὑπὸ τυμπάνων,
εὔϊα τὸν εὔϊον ἀγαλλόμεναι θεὸν
ἐν Φρυγίαισι βοαῖς ἐνοπαῖσι τε,
λωτὸς ὅταν εὐκέλαδος
ἱερὸς ἱερὰ παίγματα
βρέμῃ, σύνοχα φοιτάσιν
εἰς ὄρος, εἰς ὄρος· ἡδομένα δ' ἄρα
πῶλος ὅπως ἅμα ματέρι φορβάδι
κῶλον ἄγει ταχύπουν σκιρτήμασι Βάκχα.

123. ὄρεσιν M. 126. ὠμοφάγων M. 134. δρ. τοὺς χοροὺς Br. 135. πλ. εἰς M. 150. Βάκχου M.

ΤΕΙΡΕΣΙΑΣ.

Τίς ἐν πύλαισι Κάδμον ἐκκαλεῖ δόμων,
Ἀγήνορος παῖδ', ὅς, πόλιν Σιδωνίαν
λιπὼν, ἐπύργωσ' ἄστυ Θηβαίων τόδε;
ἴτω τις, εἰσάγγελλε, Τειρεσίας ὅτι
ζητεῖ νιν· οἶδε δ' αὐτὸς, ὧν ἥκω πέρι,
ἅ τε ξυνεθέμην πρέσβυς ὢν γεραιτέρῳ,
θύρσους ἀνάπτειν καὶ νεβρῶν δορὰς ἔχειν,
στεφανοῦν τε κρᾶτα κισσίνοις βλαστήμασιν.

ΚΑΔΜΟΣ.

ὦ φίλταθ', ὡς σὴν γῆρυν ἡδόμην κλύων,
σοφὴν σοφοῦ παρ' ἀνδρὸς, ἐν δόμοισιν ὤν!
ἥκω δ' ἕτοιμος, τήνδ' ἔχων σκευὴν θεοῦ.
δεῖ γάρ νιν, ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς,
Διόνυσον, ὃς πέφηνεν ἀνθρώποις θεὸς,
ὅσον καθ' ἡμᾶς δυνατὸν, αὔξεσθαι μέγαν.
ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα,
καὶ κρᾶτα σεῖσαι πολιόν; ἐξηγοῦ σύ μοι,
γέρων γέροντι, Τειρεσία· σὺ γὰρ σοφός.
ὡς οὐ κάμοιμ' ἂν οὔτε νύκτ', οὔθ' ἡμέραν,
θύρσῳ κροτῶν γῆν· ἐπιλελήσμεθ' ἡδέως
γέροντες ὄντες.

ΤΕΙΡΕΣΙΑΣ.

ταυτά μοι πάσχεις ἄρα.
κἀγὼ γὰρ ἡβῶ κἀπιχειρήσω χοροῖς.

ΚΑΔΜΟΣ.

οὐκοῦν ὄχοισιν εἰς ὄρος περάσομεν.

ΤΕΙΡΕΣΙΑΣ.

ἀλλ' οὐχ ὁμοίως ἂν ὁ θεὸς τιμὴν ἔχοι.

159. ἠσθόμην M. 169. ἡδέων M.

ΚΑΔΜΟΣ.

γέρων γέροντα παιδαγωγήσω σ᾽ ἐγώ.

ΤΕΙΡΕΣΙΑΣ.

ὁ θεὸς ἀμοχθεὶ κεῖσε νῷν ἡγήσεται.

ΚΑΔΜΟΣ.

μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;

ΤΕΙΡΕΣΙΑΣ.

μόνοι γὰρ εὖ φρονοῦμεν, οἱ δ᾽ ἄλλοι κακῶς.

ΚΑΔΜΟΣ.

μακρὸν τὸ μέλλειν· ἀλλ᾽ ἐμῆς ἔχου χερός.

ΤΕΙΡΕΣΙΑΣ.

ἰδοὺ, ξύναπτε καὶ ξυνωρίζου χέρα.

ΚΑΔΜΟΣ.

οὐ καταφρονῶ ᾽γὼ τῶν θεῶν, θνητὸς γεγώς.

ΤΕΙΡΕΣΙΑΣ.

οὐδὲν σοφιζώμεσθα τοῖσι δαίμοσιν.
πατρίους παραδοχὰς, ἅς θ᾽ ὁμήλικας χρόνῳ
κεκτήμεθ᾽, οὐδεὶς αὐτὰ καταβάλλει λόγος,
οὐδ᾽ εἰ δι᾽ ἄκρων τὸ σοφὸν εὕρηται φρενῶν.
ἐρεῖ τις, ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,
μέλλων χορεύειν, κρᾶτα κισσώσας ἐμόν;
οὐ γὰρ διῄρηχ᾽ ὁ θεὸς, εἴτε τὸν νέον
ἐχρῆν χορεύειν, εἴτε τὸν γεραίτερον·
ἀλλ᾽ ἐξ ἁπάντων βούλεται τιμὰς ἔχειν
κοινὰς, δι᾽ ἀριθμῶν δ᾽ οὐδὲν αὔξεσθαι θέλει.

ΚΑΔΜΟΣ.

ἐπεὶ σὺ φέγγος, Τειρεσία, τόδ᾽ οὐχ ὁρᾷς,
ἐγὼ προφήτης σοι λόγων γενήσομαι.

181. σοφιζόμεσθα M. 182. πατρὸς π. M. 184. οὐδ᾽ ἦν Br.

Πενθεὺς πρὸς οἴκους ὅδε διὰ σπουδῆς περᾷ,
᾽Εχίονος παῖς, ᾧ κράτος δίδωμι γῆς.
ὡς ἐπτόηται! τί ποτ᾽ ἐρεῖ νεώτερον;

ΠΕΝΘΕΥΣ.

ἔκδημος ὢν μὲν τῆσδ᾽ ἐτύγχανον χθονός,
κλύω δὲ νεοχμὰ τήνδ᾽ ἀνὰ πτόλιν κακὰ,
γυναῖκας ἡμῖν δώματ᾽ ἐκλελοιπέναι,
πλασταῖσι βακχείαισιν, ἐν δὲ δασκίοις
ὄρεσι θοάζειν, τὸν νεωστὶ δαίμονα
Διόνυσον, ὅστις ἐστὶ, τιμώσας χοροῖς·
πλήρεις δὲ θιάσοις ἐν μέσοισιν ἑστάναι
κρατῆρας, ἄλλην δ᾽ ἄλλοσ᾽ εἰς ἐρημίαν
πτώσσουσαν εὐναῖς ἀρσένων ὑπηρετεῖν,
πρόφασιν μὲν, ὡς δὴ Μαινάδας θυοσκόους,
τὴν δ᾽ ᾽Αφροδίτην πρόσθ᾽ ἄγειν τοῦ Βακχίου.
ὅσας μὲν οὖν εἴληφα, δεσμίους χέρας
σώζουσι πανδήμοισι πρόσπολοι στέγαις·
ὅσαι δ᾽ ἄπεισιν, ἐξ ὄρους θηράσομαι,
᾽Ινώ τ᾽ ᾽Αγαυήν θ᾽, ἥ μ᾽ ἔτικτ᾽ ᾽Εχίονι,
᾽Ακταίονός τε μητέρ᾽, Αὐτονόην λέγω.
καὶ σφᾶς σιδηραῖς ἁρμόσας ἐν ἄρκυσι,
παύσω κακούργου τῆσδε βακχείας τάχα.
λέγουσι δ᾽, ὥς τις εἰσελήλυθε ξένος
γόης, ἐπῳδὸς, Λυδίας ἀπὸ χθονὸς,
ξανθοῖσι βοστρύχοισιν εὔκοσμος κόμην,
οἰνωπὸς, ὄσσοις χάριτας ᾽Αφροδίτης ἔχων,
ὃς ἡμέρας τε κεὐφρόνας ξυγγίγνεται,
τελετὰς προτείνων εὐΐους νεάνισιν.
εἰ δ᾽ αὐτὸν εἴσω τῆσδε λήψομαι στέγης,

216. εὔοσμος Br.

παύσω κτυποῦντα θύρσον ἀνασείοντά τε
κόμας, τράχηλον σώματος χωρὶς τεμών.
ἐκεῖνος εἶναί φησι Διόνυσος θεὸς,
ἐκεῖνος ἐν μηρῷ ποτ' ἐῤῥάφη Διός·
ὃς ἐκπυροῦται λαμπάσιν κεραυνίαις
ξὺν μητρὶ, δίους ὅτι γάμους ἐψεύσατο.
ταῦτ' οὐχὶ δεινῆς ἀγχόνης ἔστ' ἄξια,
ὕβρεις ὑβρίζειν, ὅςτις ἐστὶν ὁ ξένος;
ἀτὰρ τόδ' ἄλλο θαῦμα, τὸν τερασκόπον
ἐν ποικίλαισι νεβρίσι Τειρεσίαν ὁρῶ,
πατέρα τε μητρὸς τῆς ἐμῆς, πολὺν γέλων,
νάρθηκι βακχεύοντ'· ἀναίνομαι, πάτερ,
τὸ γῆρας ὑμῶν εἰςορῶν νοῦν οὐκ ἔχον.
οὐκ ἀποτινάξεις κισσόν; οὐκ ἐλευθέραν
θύρσου μεθήσεις χεῖρ', ἐμῆς μητρὸς πάτερ;
σὺ ταῦτ' ἔπεισας, Τειρεσία; τόνδ' αὖ θέλεις
τὸν δαίμον' ἀνθρώποισιν εἰςφέρων νέον,
σκοπεῖν πτερωτοὺς κἀμπύρων μισθοὺς φέρειν;
εἰ μή σε γῆρας πολιὸν ἐξεῤῥύετο,
καθῆσ' ἂν ἐν Βάκχαισι δέσμιος μέσαις,
τελετὰς πονηρὰς εἰςάγων· γυναιξὶ γὰρ
ὅπου βότρυος ἐν δαιτὶ γίγνεται γάνος,
οὐχ ὑγιὲς οὐδὲν ἔτι λέγω τῶν ὀργίων.

ΧΟΡΟΣ.

τῆς εὐσεβείας! ὦ ξέν', οὐκ αἰδεῖ θεοὺς
Κάδμον τε, τὸν σπείραντα γηγενῆ στάχυν;
Ἐχίονος δ' ὢν παῖς, καταισχύνεις γένος;

223. Διόνυσον θεόν. 224. ἐν μηρῷ νιν ἐῤῥάφθαι Δ. Br. 239. ἐξερύετο Br. 240. κάθησ' ἄν. 244. τῆς εὐσεβείας, M. φεῦ τῆς ἀσεβίας Br.

ΤΕΙΡΕΣΙΑΣ.

ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν·
σὺ δ' εὔτροχον μὲν γλῶσσαν, ὡς φρονῶν, ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.
θρασὺς δὲ, δυνατὸς καὶ λέγειν οἷός τ' ἀνὴρ,
κακὸς πολίτης γίγνεται, νοῦν οὐκ ἔχων.
οὗτος δ' ὁ δαίμων ὁ νέος, ὃν σὺ διαγελᾷς,
οὐκ ἂν δυναίμην μέγεθος ἐξειπεῖν ὅσος
καθ' Ἑλλάδ' ἔσται· δύο γὰρ, ὦ νεανία,
τὰ πρῶτ' ἐν ἀνθρώποισι, Δημήτηρ θεὰ, —
Γῆ δ' ἐστίν· ὄνομα δ', ὁπότερον βούλει, κάλει· —
αὕτη μὲν ἐν ξηροῖσιν ἐκτρέφει βροτούς·
ὁ δ' ἦλθεν ἐπὶ τἀντίπαλον, ὁ Σεμέλης γόνος,
βότρυος ὑγρὸν πόμ' εὗρε κεἰςηνέγκατο
θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς,
ὕπνον τε, λήθην τῶν καθ' ἡμέραν κακῶν,
δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.
οὗτος θεοῖσι σπένδεται θεὸς γεγὼς,
ὥςτε διὰ τοῦτον τἀγάθ' ἀνθρώπους ἔχειν.
καὶ καταγελᾷς νιν, ὡς ἐνεῤῥάφη Διὸς
μηρῷ. διδάξω σ', ὡς καλῶς ἔχει τόδε.
ἐπεί νιν ἥρπασ' ἐκ πυρὸς κεραυνίου
Ζεὺς, ἐς δ' Ὄλυμπον βρέφος ἀνήγαγεν νέον,
Ἥρα νιν ἤθελ' ἐκβαλεῖν ἀπ' οὐρανοῦ·
Ζεὺς δ' ἀντεμηχανήσαθ', οἷα δὴ θεός.
ῥήξας μέρος τι τοῦ χθόν' ἐγκυκλουμένου

252. κακὸν πολίταις γ. Br. 259. ὃ δ' ἦ. Br. 263. καθημέραν.

παύσω κτυποῦντα θύρσον ἀνασείοντά τε
κόμας, τράχηλον σώματος χωρὶς τεμών.
ἐκεῖνος εἶναί φησι Διόνυσος θεὸς,
ἐκεῖνος ἐν μηρῷ ποτ᾽ ἐῤῥάφη Διός·
ὃς ἐκπυροῦται λαμπάσιν κεραυνίαις
ξὺν μητρὶ, δίους ὅτι γάμους ἐψεύσατο.
ταῦτ᾽ οὐχὶ δεινῆς ἀγχόνης ἔστ᾽ ἄξια,
ὕβρεις ὑβρίζειν, ὅςτις ἐστὶν ὁ ξένος;
ἀτὰρ τόδ᾽ ἄλλο θαῦμα, τὸν τερασκόπον
ἐν ποικίλαισι νεβρίσι Τειρεσίαν ὁρῶ,
πατέρα τε μητρὸς τῆς ἐμῆς, πολὺν γέλων,
νάρθηκι βακχεύοντ᾽· ἀναίνομαι, πάτερ,
τὸ γῆρας ὑμῶν εἰςορῶν νοῦν οὐκ ἔχον.
οὐκ ἀποτινάξεις κισσόν; οὐκ ἐλευθέραν
θύρσου μεθήσεις χεῖρ᾽, ἐμῆς μητρὸς πάτερ;
σὺ ταῦτ᾽ ἔπεισας, Τειρεσία; τόνδ᾽ αὖ θέλεις
τὸν δαίμον᾽ ἀνθρώποισιν εἰςφέρων νέον,
σκοπεῖν πτερωτοὺς κἀμπύρων μισθοὺς φέρειν;
εἰ μή σε γῆρας πολιὸν ἐξεῤῥύετο,
καθῆσ᾽ ἂν ἐν Βάκχαισι δέσμιος μέσαις,
τελετὰς πονηρὰς εἰςάγων· γυναιξὶ γὰρ
ὅπου βότρυος ἐν δαιτὶ γίγνεται γάνος,
οὐχ ὑγιὲς οὐδὲν ἔτι λέγω τῶν ὀργίων.

ΧΟΡΟΣ.

τῆς εὐσεβείας! ὦ ξέν᾽, οὐκ αἰδεῖ θεοὺς
Κάδμον τε, τὸν σπείραντα γηγενῆ στάχυν;
Ἐχίονος δ᾽ ὢν παῖς, καταισχύνεις γένος;

223. Διόνυσον θεόν. 224. ἐν μηρῷ νιν ἐῤῥάφθαι Δ. Br. 239. ἐξερύετο Br. 240. κάθησ᾽ ἄν. 244. τῆς εὐσεβείας, M. φεῦ τῆς ἀσεβίας Br.

ΤΕΙΡΕΣΙΑΣ.

ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
καλὰς ἀφορμὰς, οὐ μέγ᾽ ἔργον εὖ λέγειν·
σὺ δ᾽ εὔτροχον μὲν γλῶσσαν, ὡς φρονῶν, ἔχεις,
ἐν τοῖς λόγοισι δ᾽ οὐκ ἔνεισί σοι φρένες.
θρασὺς δὲ, δυνατὸς καὶ λέγειν οἷός τ᾽ ἀνὴρ,
κακὸς πολίτης γίγνεται, νοῦν οὐκ ἔχων.
οὗτος δ᾽ ὁ δαίμων ὁ νέος, ὃν σὺ διαγελᾷς,
οὐκ ἂν δυναίμην μέγεθος ἐξειπεῖν ὅσος
καθ᾽ Ἑλλάδ᾽ ἔσται· δύο γὰρ, ὦ νεανία,
τὰ πρῶτ᾽ ἐν ἀνθρώποισι, Δημήτηρ θεὰ, —
Γῆ δ᾽ ἐστίν· ὄνομα δ᾽, ὁπότερον βούλει, κάλει· —
αὕτη μὲν ἐν ξηροῖσιν ἐκτρέφει βροτούς·
ὁ δ᾽ ἦλθεν ἐπὶ τἀντίπαλον, ὁ Σεμέλης γόνος,
βότρυος ὑγρὸν πόμ᾽ εὗρε κεἰςηνέγκατο
θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς,
ὕπνον τε, λήθην τῶν καθ᾽ ἡμέραν κακῶν,
δίδωσιν, οὐδ᾽ ἔστ᾽ ἄλλο φάρμακον πόνων.
οὗτος θεοῖσι σπένδεται θεὸς γεγὼς,
ὥςτε διὰ τοῦτον τἀγάθ᾽ ἀνθρώπους ἔχειν.
καὶ καταγελᾷς νιν, ὡς ἐνεῤῥάφη Διὸς
μηρῷ. διδάξω σ᾽, ὡς καλῶς ἔχει τόδε.
ἐπεί νιν ἥρπασ᾽ ἐκ πυρὸς κεραυνίου
Ζεὺς, ἐς δ᾽ Ὄλυμπον βρέφος ἀνήγαγεν νέον,
Ἥρα νιν ἤθελ᾽ ἐκβαλεῖν ἀπ᾽ οὐρανοῦ·
Ζεὺς δ᾽ ἀντεμηχανήσαθ᾽, οἷα δὴ θεός.
ῥήξας μέρος τι τοῦ χθόν᾽ ἐγκυκλουμένου

252. κακὸν πολίταις γ. Br. 259. ὃ δ᾽ ἦ. Br. 263. καθημέραν.

αἰθέρος, ἔθηκε, τόνδ᾽ ὅμηρον ἐκδιδοὺς
Διόνυσον Ἥρας νεικέων· χρόνῳ δέ νιν
βροτοὶ τραφῆναί φασιν ἐν μηρῷ Διὸς,
ὄνομα μεταστήσαντες, ὅτι θεᾷ θεὸς
Ἥρᾳ πόθ᾽ ὡμήρευσε, συνθέντες λόγον.
μάντις δ᾽ ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον
καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει·
ὅταν γὰρ ὁ θεὸς ἐς τὸ σῶμ᾽ ἔλθῃ πολὺς,
λέγειν τὸ μέλλον τοὺς μεμηνότας ποιεῖ.
Ἄρεώς τε μοῖραν μεταλαβὼν ἔχει τινά·
στρατὸν γὰρ ἐν ὅπλοις ὄντα κἀπὶ τάξεσιν
φόβος διεπτόησε, πρὶν λόγχης θίγειν·
μανία δὲ καὶ τοῦτ᾽ ἐστι Διονύσου πάρα.
ἔτ᾽ αὐτὸν ὄψει κἀπὶ Δελφίσιν πέτραις
πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα,
βάλλοντα καὶ σείοντα βακχεῖον κλάδον,
μέγαν τ᾽ ἀν᾽ Ἑλλάδ᾽. ἀλλ᾽ ἐμοὶ, Πενθεῦ, πιθοῦ.
μὴ τὸ κράτος αὔχει δύναμιν ἀνθρώποις ἔχειν,
μηδ᾽, ἢν δοκῇς μὲν, (ἡ δὲ δόξα σου νοσεῖ,)
φρονεῖν δόκει τι· τὸν θεὸν δ᾽ ἐς γῆν δέχου,
καὶ σπένδε καὶ βάκχευε καὶ στέφου κάρα.
οὐχ ὁ Διόνυσος σωφρονεῖν ἀναγκάσει
γυναῖκας ἐς τὴν Κύπριν, ἀλλ᾽ ἐν τῇ φύσει
τὸ σωφρονεῖν ἔνεστιν ἐς τὰ πάντ᾽ ἀεί.
τοῦτο σκοπεῖν χρή· καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ᾽ ἥ γε σώφρων οὐ διαφθαρήσεται.
ὁρᾷς; σὺ χαίρεις, ὅταν ἐφεστῶσιν πύλαις

286. μανία δέ νιν κατέσχε Δ. π. Br. 289. Βάκχιον M. 292. νοσῇ M. ἡ δὲ sqq. sine uncis. 295. οὐχ ὁ Δ. μὴ σωφρ. M. οὐχ ὁ Δ. ἀφρονεῖν Br.

πολλοὶ, τὸ Πενθέως δ᾽ ὄνομα μεγαλύνῃ πόλις·
κἀκεῖνος, οἶμαι, τέρπεται τιμώμενος.
ἐγὼ μὲν οὖν καὶ Κάδμος, ὃν σὺ διαγελᾷς,
κισσῷ τ᾽ ἐρειψόμεσθα καὶ χορεύσομεν,
πολιὰ ξυνωρίς, ἀλλ᾽ ὅμως χορευτέον,
κοὐ θεομαχήσω, σῶν λόγων πεισθεὶς ὕπο:
μαίνει γὰρ ὡς ἄλγιστα, κοὔτε φαρμάκοις
ἄκη λάβοις ἂν, οὔτ᾽ ἄνευ τούτων νοσεῖς.

ΧΟΡΟΣ.

ὦ πρέσβυ, Φοῖβόν τ᾽ οὐ καταισχύνεις λόγοις,
τιμῶν τε Βρόμιον σωφρονεῖς, μέγαν θεόν.

ΚΑΔΜΟΣ.

ὦ παῖ, καλῶς σοι Τειρεσίας παρῄνεσεν·
οἴκει μεθ᾽ ἡμῶν, μὴ θύραζε τῶν νόμων.
νῦν γὰρ πέτει τε καὶ φρονῶν οὐδὲν φρονεῖς.
κεἰ μὴ γάρ ἐστιν ὁ θεὸς οὗτος, ὡς σὺ φὴς,
παρὰ σοὶ λεγέσθω· καὶ καταψεύδου καλῶς,
ὡς ἔστι, Σεμέλη θ᾽ ἵνα δοκῇ θεὸν τεκεῖν,
ἡμῖν τε τιμὴ παντὶ τῷ γένει προσῇ.
ὁρᾷς τὸν Ἀκταίωνος ἄθλιον μόρον;
ὃν ὠμόσιτοι σκύλακες, ἃς ἐθρέψατο,
διέσπασαν, τὸν κρείσσον᾽ ἐν κυναγίαις
Ἀρτέμιδος εἶναι κομπάσαντ᾽, ἐν ὀργάσιν.
ὃ μὴ πάθῃς σύ· δεῦρό σου στέψω κάρα
κισσῷ· μεθ᾽ ἡμῶν τῷ θεῷ τιμὴν δίδου.

ΠΕΝΘΕΥΣ.

οὐ μὴ προσοίσεις χεῖρα, βακχεύσεις δ᾽ ἰὼν,
μηδ᾽ ἐξομόρξῃ μωρίαν τὴν σὴν ἐμοί.

316. ὡς ἔστι Σεμέλης, ἵνα M. 320. κυνηγίαις. 324. βακχεύεις M.

τῆς σῆς δ' ἀνοίας τόνδε τὸν διδάσκαλον
δίκῃ μέτειμι. στειχέτω τις, ὡς τάχος,
ἐλθὼν δὲ θάκους τούςδ', ἵν' οἰωνοσκοπεῖ,
μοχλοῖς τριαίνου κἀνάτρεψον ἔμπαλιν,
ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ,
καὶ στέμματ' ἀνέμοις καὶ θυέλλαισιν μέθες.
μάλιστα γάρ νιν δήξομαι δράσας τάδε.
οἱ δ' ἀνὰ πόλιν στείχοντες, ἐξιχνεύσατε
τὸν θηλύμορφον ξένον, ὃς εἰςφέρει νόσον
καινὴν γυναιξὶ καὶ λέχη λυμαίνεται.
κἄνπερ λάβητε, δέσμιον πορεύσατε
δεῦρ' αὐτὸν, ὡς ἂν λευσίμου δίκης τυχὼν
θάνῃ, πικρὰν βάκχευσιν ἐν Θήβαις ἰδών.

ΤΕΙΡΕΣΙΑΣ.

ὦ σχέτλι', ὡς οὐκ οἶσθα, ποῦ ποτ' εἶ λόγων.
μέμηνας· ἤδη καὶ πρὶν ἐξέστης φρενῶν.
στείχωμεν ἡμεῖς, Κάδμε, κἀξαιτώμεθα
ὑπέρ τε τούτου, καίπερ ὄντος ἀγρίου,
ὑπέρ τε πόλεως, τὸν θεὸν μηδὲν νέον
δρᾶν. ἀλλ' ἕπου μοι κισσίνου βάκτρου μέτα·
πειρῶ δ' ἀνορθοῦν σῶμ' ἐμὸν, κἀγὼ τὸ σόν·
γέροντε δ' αἰσχρὸν δύο πεσεῖν· ἴτω δ' ὅμως.
τῷ Βακχίῳ γὰρ τῷ Διὸς δουλευτέον.
Πενθεὺς δ' ὅπως μὴ πένθος εἰςοίσει δόμοις
τοῖς σοῖσι, Κάδμε· μαντικῇ μὲν οὐ λέγω,
τοῖς πράγμασιν δέ· μῶρα γὰρ μῶρος λέγει.

ΧΟΡΟΣ.

Ὁσία, πότνα θεῶν, (στροφὴ ά.)
Ὁσία θ', ἃ κατὰ γᾶν

326. deest δ'. 328. θάκους τοῦδ' Br. 352. ὁσία δ'.

χρυσέαν πτέρυγα φέρεις,
τάδε Πενθέως ἀΐεις,
ἀΐεις οὐχ ὁσίαν
ὕβριν ἐς τὸν Βρόμιον,
τὸν Σεμέλας, τὸν παρὰ καλλιστεφάνοις εὐφροσύναις
δαίμονα πρῶτον μακάρων; ὃς τάδ' ἔχει,
θιασεύειν τε χοροῖς,
μετά τ' αὐλοῦ γελάσαι
ἀποπαῦσαί τε μερίμνας,
ὁπόταν βότρυος ἔλθῃ
γάνος ἐν δαιτὶ θεῶν,
κισσοφόροις δ' ἐν θαλίαις ἀνδράσι κρατὴρ ὕπνον
ἀμφιβάλλῃ.
ἀχαλίνων στομάτων (ἀντιστρ. ά.)
ἀνόμου τ' ἀφροσύνας
τὸ τέλος δυστυχία·
ὁ δὲ τᾶς ἡσυχίας
βίοτος καὶ τὸ φρονεῖν
ἀσάλευτόν τε μένει
καὶ συνέχει δῶμα· πρόσω γὰρ, ἀλλ' ὅμως αἰθέρα ναί-
οντες ὁρῶσιν τὰ βροτῶν οὐρανίδαι.
τὸ σοφὸν δ' οὐ σοφία,
τό τε μὴ θνητὰ φρονεῖν.
βραχὺς αἰών· ἐπὶ τούτῳ
δέ τις ἂν μεγάλα διώκων
τὰ παρόντ' οὐχὶ φέροι;

353. χρύσεα. Ib. πτερὰ φ. Br. 362. β. ἐπέλθῃ Br. 364. ἀμφιβάλῃ M. 370. τε om. M. 374. φρονεῖν, M. 375. ἐπὶ δ' αὐτῷ Br. 376. τίς ἂν μεγ. δ. Br. 377. φέρει M.

μαινομένων οἵδε τρόποι καὶ κακοβούλων παρ᾽ ἔμοι-
γε φωτῶν.
ἱκοίμαν ποτὶ τὰν Κύπρον, (στροφὴ β΄.)
νᾶσον τᾶς Ἀφροδίτας,
ἵνα θελξίφρονες νέμον-
ται θνατοῖσιν Ἔρωτες·
Πάφον θ᾽, ἃν ἑκατόστομοι
βαρβάρου ποταμοῦ ῥοαὶ
καρπίζουσιν ἄνομβρον·
χῶπου καλλιστευομένα
Πιερία μούσειος ἕδρα,
σεμνὰ κλιτὺς Ὀλύμπου.
ἐκεῖσ᾽ ἄγε με, Βρόμιε, Βρόμιε,
προβακχήϊε δαῖμον·
ἐκεῖ χάριτες, ἐκεῖ δὲ πόθος·
ἐκεῖ δὲ Βάκχαισι θέμις ὀργιάζειν.
ὁ δαίμων, ὁ Διὸς παῖς (ἀντιστρ. β΄.)
χαίρει μὲν θαλίαισιν,
φιλεῖ δ᾽ ὀλβοδότειραν Εἰ-
ρήναν, κουροτρόφον θεάν.
ἴσαν δ᾽ εἴς τε τὸν ὄλβιον
τόν τε χείρονα δῶκ᾽ ἔχειν
οἴνου τέρψιν ἄλυπον·
μισεῖ δ᾽ ᾧ μὴ ταῦτα μέλει,
κατὰ φάος νύκτας τε φίλας
εὐαίωνα διαζῆν·
σοφὰν δ᾽ ἀπέχειν πραπίδα φρένα τε,

383. ἵν᾽ οἱ θ. Br. 385. ἐρατόστομοι Br. 387. ἄνομβροι. 388. ὅπου M. 389. Πιερίᾳ Br. 395. παῖς. 403. σοφὸν δ᾽.

περισσῶν παρὰ φωτῶν.
τὸ πλῆθος ὅ τι τὸ φαυλότερον
ἐνόμισε χρῆταί τε, τόδε τοι λέγοιμ᾽ ἄν.

ΘΕΡΑΠΩΝ.

Πενθεῦ, πάρεσμεν, τήνδ᾽ ἄγραν ἠγρευκότες,
ἐφ᾽ ἣν ἔπεμψας, οὐδ᾽ ἄκρανθ᾽ ὡρμήσαμεν.
ὁ θὴρ δ᾽ ὅδ᾽ ἡμῖν πρᾶος, οὐδ᾽ ὑπέσπασεν
φυγῇ πόδ᾽, ἀλλ᾽ ἔδωκεν οὐκ ἄκων χέρας,
οὐδ᾽ ὠχρὸς, οὐδ᾽ ἤλλαξεν οἰνωπὸν γένυν,
γελῶν δὲ καὶ δεῖν κἀπάγειν ἐφίετο,
ἔμενέ τε, τοὐμὸν εὐτρεπὲς ποιούμενος.
κἀγὼ δι᾽ αἰδοῦς εἶπον· Ὦ ξέν᾽, οὐχ ἑκὼν
ἄγω σε, Πενθέως δ᾽, ὅς μ᾽ ἔπεμψ᾽, ἐπιστολαῖς.
ἃς δ᾽ αὖ σὺ Βάκχας εἷρξας, ἃς ξυνήρπασας
κἄδησας ἐν δεσμοῖσι πανδήμου στέγης,
φροῦδαί γ᾽ ἐκεῖναι λελυμέναι πρὸς ὀργάδας
σκιρτῶσι, Βρόμιον ἀνακαλούμεναι θεόν.
αὐτόματα δ᾽ αὐταῖς δεσμὰ διελύθη ποδῶν,
κλῇδες τ᾽ ἀνῆκαν θύρετρ᾽ ἄνευ θνητῆς χερός.
πολλῶν δ᾽ ὅδ᾽ ἁνὴρ θαυμάτων ἥκει πλέως
ἐς τάςδε Θήβας· σοὶ δὲ τἄλλα χρὴ μέλειν.

ΠΕΝΘΕΥΣ.

λάζυσθε χειρῶν τοῦδ᾽· ἐν ἄρκυσιν γὰρ ὢν
οὐκ ἔστιν οὕτως ὠκὺς, ὥςτε μ᾽ ἐκφυγεῖν.
ἀτὰρ τὸ μὲν σῶμ᾽ οὐκ ἄμορφος εἶ, ξένε,
ὡς ἐς γυναῖκας, ἐφ᾽ ὅπερ ἐς Θήβας πάρει·
πλόκαμός τε γάρ σου ταναὸς, οὐ πάλης ὕπο,
γένυν παρ᾽ αὐτὴν κεχυμένος, πόθου πλέως·

405. τὲ φαυλ. M. 406. ἐνόμισσε M. 413. εὐπρεπές. 420. αὐτοῖς M. 422. ἀνήρ.

λευκὴν δὲ χροιὰν ἐς παρασκευὴν ἔχεις,
οὐχ ἡλίου βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς,
τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος.
πρῶτον μὲν οὖν μοι λέξον, ὅςτις εἶ γένος.

ΔΙΟΝΥΣΟΣ.

οὐ κόμπος οὐδείς· ῥᾴδιον δ' εἰπεῖν τόδε·
τὸν ἀνθεμώδη Τμῶλον οἶσθά που κλύων;

ΠΕΝΘΕΥΣ.

οἶδ', ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.

ΔΙΟΝΥΣΟΣ.

ἐντεῦθεν εἰμί, Λυδία δέ μοι πατρίς.

ΠΕΝΘΕΥΣ.

πόθεν δὲ τελετὰς τάςδ' ἄγεις ἐς Ἑλλάδα;

ΔΙΟΝΥΣΟΣ.

Διόνυσος ἡμᾶς εἰςέβησ', ὁ τοῦ Διός.

ΠΕΝΘΕΥΣ.

Ζεὺς δ' ἔστ' ἐκεῖ τὶς, ὃς νέους τίκτει θεούς;

ΔΙΟΝΥΣΟΣ.

οὔκ· ἀλλ' ὁ Σεμέλην ἐνθάδε ζεύξας γάμοις.

ΠΕΝΘΕΥΣ.

πότερα δὲ νύκτωρ σ', ἢ κατ' ὄμμ', ἠνάγκασεν;

ΔΙΟΝΥΣΟΣ.

ὁρῶν ὁρῶντα, καὶ δίδωσιν ὄργια.

ΠΕΝΘΕΥΣ.

τὰ δ' ὄργι' ἐστὶ τίν' ἰδέαν ἔχοντά σοι;

ΔΙΟΝΥΣΟΣ.

ἄῤῥητ' ἀβακχεύτοισιν εἰδέναι βροτῶν.

439. εὐσέβησ' Μ. ἐξέπεισ' Br. 441. οὐκ, ἀλλ' ὃς Σεμέλης ἐνθάδ' ἔζευξεν γ. Μ.

ΠΕΝΘΕΥΣ.

ἔχει δ' ὄνησιν τοῖσι θύουσιν τινά;

ΔΙΟΝΥΣΟΣ.

οὐ θέμις ἀκοῦσαί σ', ἔστι δ' ἄξι' εἰδέναι.

ΠΕΝΘΕΥΣ.

εὖ τοῦτ' ἐκιβδήλευσας, ἵν' ἀκοῦσαι θέλω.

ΔΙΟΝΥΣΟΣ.

ἀσέβειαν ἀσκοῦντ' ὄργι' ἐχθαίρει θεοῦ.

ΠΕΝΘΕΥΣ.

τὸν θεὸν ὁρᾷν γὰρ φὴς σαφῶς, ποῖός τις ἦν;

ΔΙΟΝΥΣΟΣ.

ὁποῖος ἤθελ'· οὐκ ἐγὼ 'τασσον τόδε.

ΠΕΝΘΕΥΣ.

τοῦτ' αὖ παρωχέτευσας εὖ, κοὐδὲν λέγων.

ΔΙΟΝΥΣΟΣ.

δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν.

ΠΕΝΘΕΥΣ.

ἦλθες δὲ πρῶτα δεῦρ', ἄγων τὸν δαίμονα;

ΔΙΟΝΥΣΟΣ.

πᾶς ἀναχορεύει βαρβάρων τάδ' ὄργια.

ΠΕΝΘΕΥΣ.

φρονοῦσι γὰρ κάκιον Ἑλλήνων πολύ.

ΔΙΟΝΥΣΟΣ.

τάδ' εὖ γὲ μᾶλλον· οἱ νόμοι δὲ διάφοροι.

ΠΕΝΘΕΥΣ.

τὰ δ' ἱερὰ νύκτωρ, ἢ μεθ' ἡμέραν, τελεῖς;

ΔΙΟΝΥΣΟΣ.

νύκτωρ τὰ πολλά· σεμνότητ' ἔχει σκότος.

450. τὸν θ. γὰρ ὁρᾷν σὺ φὴς σ. π. τ. ἦ Μ. 452. ταῦτ' αὖ Μ.

ΠΕΝΘΕΥΣ.

τοῦτ᾽ ἐς γυναῖκας δόλιόν ἐστι καὶ σαθρόν.

ΔΙΟΝΥΣΟΣ.

κἀν ἡμέρᾳ τό γ᾽ αἰσχρὸν ἐξεύροι τις ἄν.

ΠΕΝΘΕΥΣ.

δίκην σε δοῦναι δεῖ σοφισμάτων κακῶν.

ΔΙΟΝΥΣΟΣ.

σὲ δ᾽ ἀμαθίας γε κἀσεβοῦντ᾽ ἐς τὸν θεόν.

ΠΕΝΘΕΥΣ.

ὡς θρασὺς ὁ Βάκχος κοὐκ ἀγύμναστος λόγων!

ΔΙΟΝΥΣΟΣ.

εἴφ᾽ ὅ τι παθεῖν δεῖ· τί με τὸ δεινὸν ἐργάσει;

ΠΕΝΘΕΥΣ.

πρῶτον μὲν ἁβρὸν βόστρυχον τεμῶ σέθεν.

ΔΙΟΝΥΣΟΣ.

ἱερὸς ὁ πλόκαμος· τῷ θεῷ δ᾽ αὐτὸν τρέφω.

ΠΕΝΘΕΥΣ.

ἔπειτα θύρσον τόνδε παράδος ἐκ χεροῖν.

ΔΙΟΝΥΣΟΣ.

αὐτός μ᾽ ἀφαιροῦ· τόνδε Διονύσου φορῶ.

ΠΕΝΘΕΥΣ.

εἱρκταῖσί τ᾽ ἔνδον σῶμα σὸν φυλάξομεν.

ΔΙΟΝΥΣΟΣ.

λύσει με δαίμων αὐτὸς, ὅταν ἐγὼ θέλω.

ΠΕΝΘΕΥΣ.

ὅταν γε καλέσῃς αὐτὸν, ἐν Βάκχαις σταθείς;

ΔΙΟΝΥΣΟΣ.

καὶ νῦν ἃ πάσχω, πλησίον παρὼν ὁρᾷ.

472. σταθείς.

ΠΕΝΘΕΥΣ.

καὶ ποῦ ᾽στιν; οὐ γὰρ φανερὸς ὄμμασίν γ᾽ ἐμοῖς.

ΔΙΟΝΥΣΟΣ.

παρ᾽ ἐμοί· σὺ δ᾽ ἀσεβὴς αὐτὸς ὢν, οὐκ εἰσορᾷς.

ΠΕΝΘΕΥΣ.

λάζυσθε, καταφρονεῖ με καὶ Θήβας ὅδε.

ΔΙΟΝΥΣΟΣ.

αὐδῶ με μὴ δεῖν, σωφρονῶν οὐ σώφροσιν.

ΠΕΝΘΕΥΣ.

ἐγὼ δὲ δεῖν γε, κυριώτερος σέθεν.

ΔΙΟΝΥΣΟΣ.

οὐκ οἶσθ᾽ ὅ τι ζῇς, οὐδ᾽ ὃ δρᾷς, οὐθ᾽ ὅστις εἶ.

ΠΕΝΘΕΥΣ.

Πενθεὺς, Ἀγαυῆς παῖς, πατρὸς δ᾽ Ἐχίονος.

ΔΙΟΝΥΣΟΣ.

ἐνδυστυχῆσαι τοὔνομ᾽ ἐπιτήδειος εἶ.

ΠΕΝΘΕΥΣ.

χώρει· καθείρξατ᾽ αὐτὸν ἱππικαῖς πέλας
φάτναισιν, ὡς ἂν σκότιον εἰσορᾷ κνέφας.
ἐκεῖ χόρευε· τάσδε δ᾽, ἃς ἄγων πάρει,
κακῶν ξυνεργοὺς ἢ διεμπολήσομεν,
ἢ, χεῖρα δούπου τοῦδε καὶ βύρσης κτύπου
παύσας, ἐφ᾽ ἱστοῖς δμωΐδας κεκτήσομαι.

ΔΙΟΝΥΣΟΣ.

στείχοιμ᾽ ἄν· ὅ τι γὰρ μὴ χρεὼν, οὔτοι χρεὼν
παθεῖν· ἀτάρ τοι τῶνδ᾽ ἄποιν᾽ ὑβρισμάτων
μέτεισι Διόνυσός σ᾽, ὃν οὐκ εἶναι λέγεις·
ἡμᾶς γὰρ ἀδικῶν, κεῖνον ἐς δεσμοὺς ἄγεις.

478. δεῖν σε M. 479. οὐδ᾽ ὁρᾷς. 488. οὔτι χρ.

ΧΟΡΟΣ.

* * * * (στροφή.)

Ἀχελώου θύγατερ,
πότνι', εὐπάρθενε Δίρκα,
σὺ γὰρ ἐν σαῖς ποτε παγαῖς τὸ Διὸς βρέφος ἔλαβες,
ὅτε μηρῷ πυρὸς ἐξ ἀθανάτου Ζεὺς
ὁ τεκὼν ἥρπασέ νιν, τάδ' ἀναβοήσας·
ἴθ', ὦ Διθύραμβ' ἐμὰν ἄρ-
σενα τάνδε βᾶθι νηδύν·
ἀναφανῶ σε τόδ', ὦ Βάκχιε, Θήβαις ὀνομάζειν.
σὺ δέ μ', ὦ μάκαιρα Δίρκα,
στεφανηφόρους ἀπωθῇ
θιάσους ἔχουσαν ἐν σοί.
τί μ' ἀναίνῃ; τί με φεύγεις;
ἔτι, ναὶ τὰν βοτρυώδη Διονύσου χάριν οἴνας,
ἔτι σοι τοῦ Βρομίου μελήσει.

οἵαν οἵαν ὀργὰν (ἀντιστροφή.)
ἀναφαίνει χθόνιον
γένος ἐκφύς τε δράκοντος
ποτε Πενθεὺς, ὃν Ἐχίων ἐφύτευσε χθόνιος,
ἀγριωπὸν τέρας, οὐ φῶτα βρότειον,
φόνιον δ' ὥστε γίγαντ' ἀντίπαλον θεοῖ-
σιν, ὅς με βρόχοισι, τὰν τοῦ
Βρομίου, τάχα ξυνάψει·
τὸν ἐμὸν ἐντὸς ἔχει δώματος ἤδη θιασώταν
σκοτίαις κρυπτὸν ἐν εἱρκταῖς.
ἐσορᾷς τάδ', ὦ Διὸς παῖ
Διόνυσε, σοὺς προφήτας

509. ἐφύτευσεν ὁ χθόνιος Br. 511. γίγαντά γ' ἀντ. Br. 513. τάχει συνάψει M. 517. σὰς προφ. M.

ἐν ἁμίλλαισιν ἀνάγκας;
μόλε, χρυσῶπα, τινάσσων ἀνὰ θύρσον κατ' Ὄ-
λυμπον·
φονίου τ' ἀνδρὸς ὕβριν κατάσχες.

πόθι Νύσης ἄρα θη- (ἐπῳδός.)
ροτρόφου θυρσοφορεῖς
θιάσους, ὦ Διόνυσ', ἢ κορυφαῖς Κωρυκίαις;
τάχα δ' ἐν τοῖς πολυδένδροισιν Ὀλύμπου
θαλάμοις, ἔνθα ποτ' Ὀρφεὺς κιθαρίζων
σύναγεν δένδρεα Μούσαις, σύναγεν θῆρας ἀγρώτας.
μάκαιρ' ὦ Πιερία,
σέβεταί σ' Εὔϊος, ἥξει τε χορεύσων
ἅμα βακχεύμασι, τόν τ' ὠκυρόαν
διαβὰς Ἀξιὸν εἱλισσομένας Μαινάδας ἄξει,
Λυδίαν τε, τὸν τᾶς εὐδαιμονίας
βροτοῖς ὀλβοδόταν, πατέρα τε, τὸν ἔκλυον
εὔιππον χώραν ὕδασιν
καλλίστοισι λιπαίνειν.

ΔΙΟΝΥΣΟΣ.

Ἰὼ κλύετ' ἐμᾶς κλύετ' αὐδᾶς,
ἰὼ Βάκχαι, ἰὼ Βάκχαι!

ΧΟΡΟΣ.

τίς ὅδε; τίς, πόθεν ὁ κέλαδος ἀνά μ' ἐ-
κάλεσεν Εὐΐου;

ΔΙΟΝΥΣΟΣ.

ἰὼ ἰώ! πάλιν αὐδῶ,
ὁ Σεμέλας, ὁ Διὸς παῖς.

520. φονίου δ' ἀν. M. 521. Νύσσης M. 524. ἐν ταῖς M. πολυδένδρεσσιν. 526. σύναγε bis M. 530. εἱλ. τε M. M. 539. ἰώ semel M.

ΧΟΡΟΣ.

ἰὼ ἰὼ δεσπότα, δεσπότα,
μόλε νῦν ἡμέτερον εἰς θίασον, ὦ Βρόμιε, Βρόμιε.
πέδον χθονὸς, ἔνοσι πότνια!
ἆ ἆ!
τάχα τὰ Πενθέως
μέλαθρα διατινάξεται πεσήμασιν.

ΔΙΟΝΥΣΟΣ.

ὁ Διόνυσος ἀνὰ μέλαθρα· σέβετέ νιν.

ΧΟΡΟΣ.

σέβομεν ὦ! ἴδετε
λάϊνα κίοσιν ἔμβολα
διάδρομα τάδε·
ὁ Βρόμιος ἀλαλάξεται στέγας ἔσω.

ΗΜΙΧΟΡΙΟΝ.

ἄπτε κεραύνιον αἴθοπα λαμπάδα·
σύμφλεγε, σύμφλεγε δώματα Πενθέως.

ΗΜΙΧΟΡΙΟΝ.

ἆ ἆ! πῦρ οὐ λεύσσεις, οὐδ᾽ αὐγάζῃ
Σεμέλας ἱερὸν ἀμφὶ τάφον, ἄν ποτε κεραυνοβόλος ἔλιπε φλόγα δίου βροντᾶς;
δίκετε πεδόσε τρομερὰ σώματα, δίκετε, Μαινάδες·
ὁ γὰρ ἄναξ ἄνω κάτω τιθεὶς ἔπεισι
μέλαθρα τάδε Διὸς γόνος Διόνυσος.

ΔΙΟΝΥΣΟΣ.

Βάρβαροι γυναῖκες, οὕτως ἐκπεπληγμέναι φόβῳ

543. πέδον, ὦ χθὼν, ἔνοθι, πότνια. Br. 547. contin. Choro M. V. σέβετέ νιν Baccho trib. Br. 551. ὁ deest. 556. Διὸς βροντᾶς M. Διὸς βροντά Br.

πρὸς πέδῳ πεπτώκατ᾽; ᾔσθησθ᾽, ὡς ἔοικε, Βακχίου
διατινάξαντος τὰ Πενθέως δώματ᾽· ἀλλ᾽ ἀνίστατε
σῶμα, καὶ θαρσεῖτε, σαρκὸς ἐξαμείψασαι τρόμον.

ΧΟΡΟΣ.

ὦ φάος μέγιστον ἡμῖν Εὐΐου βακχεύματος,
ὡς ἐσεῖδον ἀσμένη σε, μονάδ᾽ ἔχουσ᾽ ἐρημίαν.

ΔΙΟΝΥΣΟΣ.

εἰς ἀθυμίαν ἀφίκεσθ᾽, ἡνίκ᾽ εἰσεπεμπόμην
Πενθέως, ὡς ἐς σκοτεινὰς ὀρκάνας πεσούμενος.

ΧΟΡΟΣ.

πῶς γὰρ οὔ; τίς μοι φύλαξ ἦν, εἰ σὺ συμφορᾶς τύχοις;
ἀλλὰ πῶς ἠλευθερώθης, ἀνδρὸς ἀνοσίου τυχών;

ΔΙΟΝΥΣΟΣ.

αὐτὸς ἐξέσωσ᾽ ἐμαυτὸν ῥᾳδίως ἄνευ πόνου.

ΧΟΡΟΣ.

οὐδέ σου ξυνῆψε χεῖρα δεσμίοισιν ἐν βρόχοις;

ΔΙΟΝΥΣΟΣ.

ταῦτα καὶ καθύβρισ᾽ αὐτὸν, ὅτι, με δεσμεύειν δοκῶν,
οὔτ᾽ ἔθιγεν, οὔθ᾽ ἥψαθ᾽ ἡμῶν, ἐλπίσιν δ᾽ ἐβόσκετο.
πρὸς φάτναις δὲ ταῦρον εὑρὼν, οὗ καθεῖρξ᾽ ἡμᾶς ἄγων,
τῷδε περὶ βρόχους ἔβαλλε γόνασι καὶ χηλαῖς ποδῶν,
θυμὸν ἐκπνέων, ἱδρῶτα σώματος στάζων ἄπο,

561. ᾔσθηθ᾽ M. ᾔσθεσθ᾽ Br. 562. δ. δῶμα Π. ἀλλ᾽ ἐξανίστατε M. 563. θαρσεῖτε σάρκας, ἐξ. M. 568. τίς μου φ. Br. 569. ἐλευθ. M.

χείλεσιν διδοὺς ὀδόντας· πλησίον δ' ἐγὼ παρὼν,
ἥσυχος θάσσων, ἔλευσσον. ἐν δὲ τῷδε τῷ χρόνῳ
ἀνετίναξ' ἐλθὼν ὁ Βάκχος δῶμα καὶ μητρὸς τάφῳ
πῦρ ἀνῆψ'· ὁ δ', ὡς ἐςεῖδε, δώματ' αἴθεσθαι δοκῶν,
ᾖσσ' ἐκεῖσε, κᾆτ' ἐκεῖσε, δμωσὶν Ἀχελῷον φέρειν
ἐννέπων, ἅπας δ' ἐν ἔργῳ δοῦλος ἦν μάτην πονῶν.
διαμεθεὶς δὲ τόνδε μόχθον, ὡς ἐμοῦ πεφευγότος,
ἵεται, ξίφος κελαινὸν ἁρπάσας, δόμων ἔσω·
κᾆθ' ὁ Βρόμιος, ὡς ἔμοιγε φαίνεται, δόξαν λέγω,
φάσμ' ἐποίησεν κατ' αὐλήν· ὁ δ' ἐπὶ τοῦθ' ὡρμημένος
ᾖσσε κἀκέντει φαεννὸν αἰθέρ', ὡς σφάζων ἐμέ.
πρὸς δὲ τοῖςδ' αὐτῷ τάδ' ἄλλα Βάκχιος λυμαίνεται·
δῶμά τ' ἔῤῥηξεν χαμᾶζε· συντεθράνωται δ' ἅπαν
πικροτάτους ἰδόντι δεσμοὺς τοὺς ἐμούς· κόπου δ' ὕπο,
διαμεθεὶς ξίφος, παρεῖται. πρὸς θεὸν γὰρ, ὢν ἀνὴρ,
ἐς μάχην ἐλθεῖν ἐτόλμησ'· ἥσυχος Βάκχας δ' ἄγων
δωμάτων ἥκω πρὸς ὑμᾶς, Πενθέως οὐ φροντίσας.
ὡς δ' ἐμοὶ δοκεῖ, — ψοφεῖ γοῦν ἀρβύλη δόμων ἔσω, —
ἐς προνώπι' αὐτίχ' ἥξει. τί ποτ' ἂν ἐκ τούτων ἐρεῖ;
ῥᾳδίως γὰρ αὐτὸν οἴσω, κἂν πνέων ἔλθῃ μέγα·
πρὸς σοφοῦ γὰρ ἀνδρὸς, ἀσκεῖν σώφρον' εὐοργησίαν.

577. χείλεσι M. 586. φῶς. 592. ἐτόλμ'· ἥσυχος δ' ἐκ Βάκχας ἄγων M. ἐτόλμησ'· ἥσυχος δὲ δωμάτων Br. 593. ἐξάγω Βάκχας πρὸς ὑμ. Br. 595. τί ποτ' ἄρ' M. 596. ῥ. ἄρ' Br.

ΠΕΝΘΕΥΣ.

πέπονθα δεινά· διαπέφευγέ μ' ὁ ξένος,
ὃς ἄρτι δεσμοῖς ἦν κατηναγκασμένος.
ἔα, ἔα.
ὅδ' ἐστὶν ἁνήρ. τί τάδε; πῶς προνώπιος
φαίνει πρὸς οἴκοις τοῖς ἐμοῖς, ἔξω βεβώς;

ΔΙΟΝΥΣΟΣ.

στῆσον πόδ', ὀργῇ δ' ὑπόθες ἥσυχον πόδα.

ΠΕΝΘΕΥΣ.

πόθεν σὺ δεσμὰ διαφυγὼν ἔξω περᾷς;

ΔΙΟΝΥΣΟΣ.

οὐκ εἶπον, ἢ οὐκ ἤκουσας, ὅτι λύσει μέ τις;

ΠΕΝΘΕΥΣ.

τίς; τοὺς λόγους γὰρ ἐςφέρεις καινοὺς ἀεί.

ΔΙΟΝΥΣΟΣ.

ὃς τὴν πολύβοτρυν ἄμπελον φύει βροτοῖς.

ΠΕΝΘΕΥΣ.

ὠνείδισας δὴ τοῦτο Διονύσῳ καλόν.
κλείειν κελεύω πάντα πύργον ἐν κύκλῳ.

ΔΙΟΝΥΣΟΣ.

τί δ'; οὐχ ὑπερβαίνουσι καὶ τείχη θεοί;

ΠΕΝΘΕΥΣ.

σοφὸς, σοφός γ' εἶ, πλὴν ἃ δεῖ σ' εἶναι σοφόν.

ΔΙΟΝΥΣΟΣ.

ἃ δεῖ μάλιστα, ταῦτ' ἔγωγ' ἔφυν σοφός·
κείνου δ' ἀκούσας πρῶτα τοὺς λόγους μάθε,

601. ὁ δ' ἐστὶν ἀνήρ· M. ὅδ' ἐ. ἀνήρ Br. 602. τοῖς om. M. 603. ἥσ. τρόπον Br. 605. ἢ om. M. 609. Διόν. M. 610. Πεν. M. τί δ' οὐχ; ὑπ. γὰρ τ. θ. M. 611. Διό. M. 612. Πεν. M. 613. Διό. M.

ὃς ἐξ ὄρους πάρεστιν ἀγγελῶν τί σοι·
ἡμεῖς δέ σοι μενοῦμεν, οὐ φευξούμεθα.

ΑΓΓΕΛΟΣ.

Πενθεῦ, κρατύνων τῆσδε Θηβαίας χθονὸς,
ἥκω, Κιθαιρῶν' ἐκλιπὼν, ἵν' οὔ ποτε
λευκῆς χιόνος ἀνεῖσαν εὐαυγεῖς βολαί.

ΠΕΝΘΕΥΣ.

ἥκεις δ' ὁποίαν προστιθεὶς σπουδὴν λόγου;

ΑΓΓΕΛΟΣ.

Βάκχας ποτνιάδας εἰσιδὼν, αἳ τῆσδε γῆς
οἴστροισι λευκὸν κῶλον ἐξηκόντισαν,
ἥκω, φράσαι σοὶ καὶ πόλει χρῄζων, ἄναξ,
ὡς δεινὰ δρῶσι θαυμάτων τε κρείσσονα.
θέλω δ' ἀκοῦσαι, πότερά σοι παῤῥησίᾳ
φράσω τὰ κεῖθεν, ἢ λόγον στειλώμεθα.
τὸ γὰρ τάχος σου τῶν φρενῶν δέδοικ', ἄναξ,
καὶ τοὐξύθυμον καὶ τὸ βασιλικὸν λίαν.

ΠΕΝΘΕΥΣ.

λέγ', ὡς ἀθῷος ἐξ ἐμοῦ πάντως ἔσει·
τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.
ὅσῳ δ' ἂν εἴπῃς δεινότερα Βακχῶν πέρι,
τοσῷδε μᾶλλον τὸν ὑποθέντα τὰς τέχνας
γυναιξὶ τόνδε τῇ δίκῃ προσθήσομεν.

ΑΓΓΕΛΟΣ.

ἀγελαῖα μὲν βοσκήματ' ἄρτι πρὸς λέπας
μόσχων ὑπεξήκριζον, ἡνίχ' ἥλιος
ἀκτῖνας ἐξίησι θερμαίνων χθόνα.
ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν,
ὧν ἦρχ', ἑνὸς μὲν, Αὐτονόη, τοῦ δευτέρου,

618. εὐαγεῖς M. 630. εἴποις M.

μήτηρ Ἀγαυὴ σή, τρίτου δ' Ἰνὼ χοροῦ.
εὗδον δὲ πᾶσαι σώμασιν παρειμέναι,
αἱ μὲν, πρὸς ἐλάτης νῶτ' ἐρείσασαι φόβην,
αἱ δ', ἐν δρυὸς φύλλοισι πρὸς πέδῳ κάρα
εἰκῇ βαλοῦσαι σωφρόνως, οὐχ, ὡς σὺ φῂς
οἰνωμένας κρατῆρι καὶ λωτοῦ ψόφῳ
θηρᾷν καθ' ὕλην Κύπριν ἠρημωμένας.
ἡ σὴ δὲ μήτηρ ὠλόλυξεν ἐν μέσαις
σταθεῖσα Βάκχαις, ἐξ ὕπνου κινεῖν δέμας,
μυκήμαθ' ὡς ἤκουσε κεροφόρων βοῶν.
αἱ δ', ἀποβαλοῦσαι θαλερὸν ὀμμάτων ὕπνον,
ἀνῇξαν ὀρθαὶ, θαῦμ' ἰδεῖν εὐκοσμίας,
νέαι, παλαιαὶ, παρθένοι τ' ἔτ' ἄζυγες.
καὶ πρῶτα μὲν καθεῖσαν εἰς ὤμους κόμας,
νεβρίδας τ' ἀνεστείλανθ', ὅσαισιν ἁμμάτων
σύνδεσμ' ἐλέλυτο, καὶ καταστίκτους δορὰς
ὄφεσι κατεζώσαντο λιχμῶσιν γένυν.
αἱ δ' ἀγκάλαισι δορκάδ', ἢ σκύμνους λύκων
ἀγρίους ἔχουσαι, λευκὸν ἐδίδοσαν γάλα,
ὅσαις νεοτόκοις μαζὸς ἦν σπαργῶν ἔτι,
βρέφη λιπούσαις· ἐπὶ δ' ἔθεντο κισσίνους
στεφάνους δρυός τε σμίλακός τ' ἀνθεσφόρου.
θύρσον δέ τις λαβοῦσ', ἔπαισεν ἐς πέτραν,
ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς·
ἄλλη δὲ νάρθηκ' ἐς πέδον καθῆκε γῆς,
καὶ τῇδε κρήνην ἐξανῆκ' οἴνου θεός·
ὅσαις δὲ λευκοῦ πώματος πόθος παρῆν,
ἄκροισι δακτύλοισι διαμῶσαι χθόνα,

641. πρὸς πέδον M. 654. λιχμῶσαν M. 657. μαστὸς Br. 659. μίλακος M.

γάλακτος ἑσμοὺς εἶχον· ἐκ δὲ κισσίνων
θύρσων γλυκεῖαι μέλιτος ἔσταζον ῥοαί.
ὥστ', εἰ παρῆσθα, τὸν θεὸν, τὸν νῦν ψέγεις,
εὐχαῖσιν ἂν μετῆλθες, εἰσιδὼν τάδε.
ξυνήλθομεν δὲ βουκόλοι καὶ ποιμένες,
καινῶν λόγων δώσοντες ἀλλήλοις ἔριν,
ὡς δεινὰ δρῶσι θαυμάτων τ' ἐπάξια·
καί τις πλάνης κατ' ἄστυ καὶ τρίβων λόγων
ἔλεξεν εἰς ἅπαντας· Ὦ σεμνὰς πλάκας
ναίοντες ὀρέων, θέλετε θηρασώμεθα
Πενθέως Ἀγαυὴν μητέρ' ἐκ βακχευμάτων,
χάριν τ' ἄνακτι θῶμεν; εὖ δ' ἡμῖν λέγειν
ἔδοξε, θάμνων δ' ἐλλοχίζομεν φόβαις,
κρύψαντες αὐτούς· αἱ δὲ τὴν τεταγμένην
ὥραν ἐκίνουν θύρσον ἐς βακχεύματα,
Ἴακχον ἀθρόῳ στόματι, τὸν Διὸς γόνον,
Βρόμιον καλοῦσαι· πᾶν δὲ συνεβάκχευσ' ὄρος
καὶ θῆρες, οὐδὲν δ' ἦν ἀκίνητον δρόμῳ.
'κύρει δ' Ἀγαυὴ πλησίον θρώσκουσά μου·
κἀγὼ 'ξεπήδησ', ὡς συναρπάσαι θέλων,
λόχμην κενώσας, ἔνθ' ἐκρύπτομεν δέμας.
ἡ δ' ἀνεβόησεν· Ὦ δρομάδες ἐμαὶ κύνες,
θηρώμεθ' ἀνδρῶν τῶνδ' ὕπ'· ἀλλ' ἕπεσθέ μοι,
ἕπεσθε, θύρσοις διὰ χερῶν ὡπλισμέναι.
ἡμεῖς μὲν οὖν φεύγοντες, ἐξηλύξαμεν
Βακχῶν σπαραγμόν, αἱ δὲ νεμομέναις χλόην
μόσχοις ἐπῆλθον χειρὸς ἀσιδήρου μέτα.
καὶ τὴν μὲν ἂν προσεῖδες εὔθηλον πόριν
μυκωμένην ἔχουσαν ἐν χεροῖν δίχα·

666. ἑσμοὺς M. 686. ἐκρυπτόμην Br. 694. χ. δίχα M.

ἄλλαι δὲ δαμάλας διεφόρουν σπαράγμασιν.
εἶδες δ' ἂν ἢ πλευρ'. ἢ δίχηλον ἔμβασιν,
ῥιπτόμεν' ἄνω τε καὶ κάτω· κρεμαστὰ δὲ
ἔσταζ' ὑπ' ἐλάταις ἀναπεφυρμέν' αἵματι.
ταῦροι δ' ὑβρισταὶ κεἰς κέρας θυμούμενοι
τὸ πρόσθεν, ἐσφάλλοντο πρὸς γαῖαν δέμας,
μυριάσι χειρῶν ἀγόμενοι νεανίδων.
θᾶσσον δὲ διεφοροῦντο σαρκὸς ἐνδυτὰ,
ἢ σὲ ξυνάψαι βλέφαρα βασιλείοις κόραις.
χωροῦσι δ', ὥστ' ὄρνιθες ἀρθεῖσαι δρόμῳ,
πεδίων ὑποτάσεις, αἳ παρ' Ἀσωποῦ ῥοαῖς
εὔκαρπον ἐκβάλλουσι Θηβαίων στάχυν,
Ὑσίας δ' Ἐρυθράς θ', αἳ Κιθαιρῶνος λέπας
νέρθεν κατῳκήκασιν, ὥστε πολέμιοι,
ἐπεσπεσοῦσαι πάντ' ἄνω τε καὶ κάτω
διέφερον· ἥρπαζον μὲν ἐκ δόμων τέκνα,
ὁπόσα δ' ἐπ' ὤμοις ἔθεσαν, οὐ δεσμῶν ὕπο
προσείχετ', οὐδ' ἔπιπτεν ἐς μέλαν πέδον,
οὐ χαλκὸς, οὐ σίδηρος· ἐπὶ δὲ βοστρύχοις
πῦρ ἔφερον, οὐδ' ἐκάεθ'. οἱ δ' ὀργῆς ὕπο
ἐς ὅπλ' ἐχώρουν, φερόμενοι Βακχῶν ὕπο·
οὗπερ τὸ δεινὸν ἦν θέαμ' ἰδεῖν, ἄναξ.
τῶν μὲν γὰρ οὐχ ᾕμασσε λογχωτὸν βέλος,
κεῖναι δὲ, θύρσους ἐξανιεῖσαι χερῶν,
ἐτραυμάτιζον κἀπενώτιζον φυγῇ
γυναῖκες ἄνδρας, οὐκ ἄνευ θεῶν τινος.
πάλιν δ' ἐχώρουν ὅθεν ἐκίνησαν πόδα,

703. ἢ σὺ ξυνάψαις. 706. Θηβαῖον στ. M. 717. τοὺς μὲν γ. M.

κρήνας ἐπ' αὐτὰς, ἃς ἀνῆκ' αὐταῖς θεός.
νίψαντο δ' αἷμα, σταγόνα δ' ἐκ παρηΐδων
γλώσσῃ δράκοντες ἐξεφαίδρυνον χροός.
τὸν δαίμον' οὖν τόνδ', ὅστις ἔστ', ὦ δέσποτα,
δέχου πόλει τῇδ', ὡς τά τ' ἄλλ' ἔστιν μέγας,
κἀκεῖνό φασιν αὐτὸν, ὡς ἐγὼ κλύω,
τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.
οἴνου δὲ μηκέτ' ὄντος, οὐκ ἔστιν Κύπρις,
οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.

ΧΟΡΟΣ.

ταρβῶ μὲν εἰπεῖν τοὺς λόγους ἐλευθέρους
ἐς τὸν τύραννον, ἀλλ' ὅμως εἰρήσεται·
Διόνυσος ἥσσων οὐδενὸς θεῶν ἔφυ.

ΠΕΝΘΕΥΣ.

ἤδη τόδ' ἐγγὺς, ὥστε πῦρ, ἐφάπτεται
ὕβρισμα Βακχῶν, ψόγος ἐς Ἕλληνας μέγας.
ἀλλ' οὐκ ὀκνεῖν δεῖ· στεῖχ' ἐπ' Ἠλέκτρας ἰὼν
πύλας· κέλευε πάντας ἀσπιδηφόρους
ἵππων τ' ἀπαντᾷν ταχυπόδων ἐπεμβάτας,
πέλτας θ' ὅσοι πάλλουσι, καὶ τόξων χερὶ
ψάλλουσι νευρὰς, ὡς ἐπιστρατεύσομεν
Βάκχαισιν. οὐ γὰρ ἀλλ' ὑπερβάλλει τάδε,
εἰ πρὸς γυναικῶν πεισόμεσθ', ἃ πάσχομεν.

ΔΙΟΝΥΣΟΣ.

πείθει μὲν οὐδὲν, τῶν ἐμῶν λόγων κλύων,
Πενθεῦ· κακῶς δὲ πρὸς σέθεν πάσχων, ὅμως
οὔ φημι χρῆναί σ' ὅπλ' ἐπαίρεσθαι θεῷ,

722. κρήναις ἐπ' αὐταῖς M. 724. δράκοντος M. 743. Ubi in sqq. Διόν. adscriptum est, in M. est Ἀγγ.

ἀλλ' ἡσυχάζειν· Βρόμιος οὐκ ἀνέξεται
κινοῦντα Βάκχας εὐΐων ὀρῶν ἄπο.

ΠΕΝΘΕΥΣ.

οὐ μὴ φρενώσεις μ', ἀλλὰ δέσμιος φυγὼν
σώσει τόδ' ἢ σοὶ πάλιν ἀναστρέψω δίκην.

ΔΙΟΝΥΣΟΣ.

θύοιμ' ἂν αὐτῷ μᾶλλον, ἢ θυμούμενος
πρὸς κέντρα λακτίζοιμι, θνητὸς ὢν θεῷ.

ΠΕΝΘΕΥΣ.

θύσω, φόνον γε θῆλυν, ὥσπερ ἄξιαι,
πολὺν ταράξας ἐν Κιθαιρῶνος πτυχαῖς.

ΔΙΟΝΥΣΟΣ.

φευξεῖσθε πάντες, καὶ τόδ' αἰσχρὸν, ἀσπίδας
θύρσοισι Βακχῶν ἐκτρέπειν χαλκηλάτους.

ΠΕΝΘΕΥΣ.

ἀπόρῳ γε τῷδε συμπεπλέγμεθα ξένῳ,
ὡς οὔτε πάσχων, οὔτε δρῶν σιγήσεται.

ΔΙΟΝΥΣΟΣ.

ὦ τᾶν, ἔτ' ἔστιν εὖ καταστῆσαι τάδε.

ΠΕΝΘΕΥΣ.

τί δρῶντα; δουλεύοντα δουλείαις ἐμαῖς;

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ γυναῖκας δεῦρ' ὅπλων ἄξω δίχα.

ΠΕΝΘΕΥΣ.

οἴ μοι! τόδ' ἤδη δόλιον ἔς με μηχανᾷ.

ΔΙΟΝΥΣΟΣ.

ποῖόν τι, σῶσαί σ' εἰ θέλω τέχναις ἐμαῖς;

ΠΕΝΘΕΥΣ.

ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.

754. 5. Pentheo contin. M. 758. ὅταν ἔτ' ἔστιν M.

ΔΙΟΝΥΣΟΣ.

καὶ μὴν ξυνεθέμην, τοῦτό γ' ἴσθι, τῷ θεῷ.

ΠΕΝΘΕΥΣ.

ἐκφέρετέ μοι δεῦρ' ὅπλα· σὺ δὲ παῦσαι λέγων.

ΔΙΟΝΥΣΟΣ.

(ἆ·) βούλει σφ' ἐν ὄρεσι συγκαθημένας ἰδεῖν;

ΠΕΝΘΕΥΣ.

μάλιστα, μυρίον γε δοὺς χρυσοῦ σταθμόν.

ΔΙΟΝΥΣΟΣ.

τί δ' εἰς ἔρωτα τοῦδε πέπτωκας μέγαν;

ΠΕΝΘΕΥΣ.

λυπρῶς νιν εἰςίδοιμ' ἂν ἐξοινωμένας.

ΔΙΟΝΥΣΟΣ.

ὅμως δ' ἴδοις ἂν ἡδέως, ἅ σοι πικρά;

ΠΕΝΘΕΥΣ.

σάφ' ἴσθι, σιγῇ γ' ὑπ' ἐλάταις καθήμενος.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ἐξιχνεύσουσίν σε, κἂν θέλῃς λάθρα.

ΠΕΝΘΕΥΣ.

ἀλλ' ἐμφανῶς· καλῶς γὰρ ἐξεῖπας τάδε.

ΔΙΟΝΥΣΟΣ.

ἄγω μὲν οὖν σε, κἀπιχειρήσεις ὁδῷ;

ΠΕΝΘΕΥΣ.

ἄγ' ὡς τάχιστα, τοῦ χρόνου δέ σ' οὐ φθονῶ.

ΔΙΟΝΥΣΟΣ.

στεῖλαί νυν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.

ΠΕΝΘΕΥΣ.

τί δὴ τόδ'; ἐς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;

764. τοῦτό γ' ἴστι M. 768. τί δ'; εἰς ἔ. Br. 769. τερπνῶς νιν εἰςίδ. Br. 772. κἂν ἔχῃς λ. Br. 774. ἄγωμεν.

ΔΙΟΝΥΣΟΣ.

μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.

ΠΕΝΘΕΥΣ.

εὖ γ' εἶπας αὐτό, καί τις εἶ πάλαι σοφός.

ΔΙΟΝΥΣΟΣ.

Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.

ΠΕΝΘΕΥΣ.

πῶς οὖν γένοιτ' ἄν, ἃ σύ με νουθετεῖς, καλῶς;

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ στελῶ σε, δωμάτων ἔσω μολών.

ΠΕΝΘΕΥΣ.

τίνα στολήν; ἦ θῆλυν; ἀλλ' αἰδώς μ' ἔχει.

ΔΙΟΝΥΣΟΣ.

οὐκέτι θεατὴς Μαινάδων πρόθυμος εἶ.

ΠΕΝΘΕΥΣ.

στολὴν δὲ τίνα φῂς ἀμφὶ χρῶτ' ἐμὸν βαλεῖν;

ΔΙΟΝΥΣΟΣ.

κόμην μὲν ἐπὶ σῷ κρατὶ ταναὸν ἐκτενῶ.

ΠΕΝΘΕΥΣ.

τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι;

ΔΙΟΝΥΣΟΣ.

πέπλοι ποδήρεις· ἐπὶ κάρᾳ δ' ἔσται μίτρα.

ΠΕΝΘΕΥΣ.

ἦ καί τι πρὸς τοῖςδ' ἄλλο προςθήσεις ἐμοί;

ΔΙΟΝΥΣΟΣ.

θύρσον τε χειρὶ καὶ νεβροῦ στικτὸν δέρας.

ΠΕΝΘΕΥΣ.

οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' αἷμα θήσεις, ξυμβαλὼν Βάκχαις μάχην.

ΠΕΝΘΕΥΣ.

ὀρθῶς· μολεῖν χρὴ πρῶτον ἐς κατασκοπήν.

ΔΙΟΝΥΣΟΣ.

σοφώτερον γοῦν, ἢ κακοῖς θηρᾷ[illegible] κακά.

ΠΕΝΘΕ[illegible]Σ.

καὶ πῶς δι' ἄστεος εἶμι Κα[illegible]μείους λαθών;

ΔΙΟΝΥΣΟΣ.

ὁδοὺς ἐρήμους ἴμεν· ἐγὼ δ' ἡγήσομαι.

ΠΕΝΘΕΥΣ.

πᾶν κρεῖσσον, ὥστε μὴ 'γγελᾷν Βάκχας ἐμοί.
ἐλθόντ' ἐς οἴκους, ἃ ἂν δοκῇ, βουλεύσομεν.

ΔΙΟΝΥΣΟΣ.

ἔξεστι πάντη· τό γ' ἐμὸν εὐτρεπὲς πάρα.

ΠΕΝΘΕΥΣ.

στείχοιμ' ἄν· ἢ γὰρ ὅπλ' ἔχων πορεύσομαι,
ἢ τοῖσι σοῖσι πείσομαι βουλεύμασιν.

ΔΙΟΝΥΣΟΣ.

γυναῖκες, 'ἀνὴρ ἐς βόλον καθίσταται·
ἥξει δὲ Βάκχας, οὗ θανὼν δώσει δίκην.
Διόνυσε, νῦν σὸν ἔργον, οὐ γὰρ εἶ πρόσω·
τισώμεθ' αὐτόν. πρῶτα δ' ἔκστησον φρενῶν,
ἐνεὶς ἐλαφρὰν λύσσαν· ὡς, φρονῶν μὲν εὖ,
οὐ μὴ θελήσει θῆλυν ἐνδῦναι στολὴν,
ἔξω δ' ἐλαύνων τοῦ φρονεῖν, ἐνδύσεται.
χρῄζω δέ νιν γέλωτα Θηβαίοις ὄφλειν,
γυναικόμορφον ἀγόμενον δι' ἄστεος
ἐκ τῶν ἀπειλῶν τῶν πρὶν, αἷσι δεινὸς ἦν.
ἀλλ' εἶμι κόσμον, ὅνπερ εἰς Ἅιδου λαβὼν

797. μὴ γελᾷν. 802. ἀνήρ. In M. primum est v. 803, tum 802. 807. θελήσῃ M.

ἄπεισι, μητρὸς ἐκ χεροῖν κατασφαγεὶς,
Πενθεῖ προσάψων· γνώσεται δὲ τὸν Διὸς
Διόνυσον, ὃς πέφυκεν ἐν τέλει θεὸς
δεινότατος, ἀνθρώποισι δ' ἠπιώτατος.

ΧΟΡΟΣ.

Ἆρ' ἐν παννυχίοις χοροῖς (στροφή.)
θήσω ποτὲ λευκὸν πόδ' ἀ-
ναβακχεύουσα δέρην
εἰς αἰθέρα δροσερὸν
ῥίπτουσ'; ὡς νεβρὸς χλοεραῖς
ἐμπαίζουσα λείμακος ἡ-
δοναῖς, ἡνίκ' ἂν φοβερὸν φύγῃ
θήραμ' ἔξω φυλακᾶς
εὐ-λέκτων ὑπὲρ ἀρκύων,
θωΰσσων δὲ κυναγέτας
συντείνῃ δρόμημα κυνῶν,
μόχθοις τ' ὠκυδρόμοις τ'
ἀέλλαις θρώσκῃ πεδίον
παραποτάμιον, ἡδομένα
βροτῶν ἐρημίαις,
σκιαροκόμου τ' ἐν ἔρνεσιν ὕλας.
τί τὸ σοφὸν, ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς,
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν, φίλον αἰεί.
ὁρμᾶται μόλις, ἀλλ' ὅμως (ἀντιστρ.)
πιστόν τό γε θεῖον σθένος·

815. 16. Δ. ὃς πέφ. ἀνοσίοις βροτοῖς δεινὸς, φρονοῦσι δ', ἠπιώτατος θεῶν Br. 830. παρὰ ποτάμιον M.

ἀπευθύνει δὲ βροτῶν
τούς τ' ἀγνωμοσύναν
τιμῶντας καὶ μὴ τὰ θεῶν
αὔξοντας σὺν μαινομένᾳ
δόξᾳ· κρυπτεύουσι δὲ ποικίλως
δαρὸν χρόνου πόδα καὶ
θηρῶσιν τὸν ἄσεπτον· οὐ
γὰρ κρεῖσσόν ποτε τῶν νόμων
γιγνώσκειν χρὴ καὶ μελετᾷν.
κοῦφα γὰρ δαπάνα
νομίζειν ἰσχὺν τόδ' ἔχειν,
ὅ τι ποτ' ἄρα τὸ δαιμόνιον·
τό τ' ἐν χρόνῳ μακρῷ
νόμιμον ἀεὶ φύσει τὸ πεφυκός.
τί τὸ σοφὸν ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς,
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν, φίλον αἰεί.
εὐδαίμων μὲν, ὃς ἐκ θαλάσσας (ἐπῳδός.)
ἔφυγε κῦμα, λιμένα δ' ἔκιχεν·
εὐδαίμων δ', ὃς ὕπερθε μόχθων
ἐγένεθ'· ἑτέρᾳ δ' ἕτερος ἕτερον
ὄλβῳ καὶ δυνάμει παρῆλθεν.
μυρίαι μυρίοισιν ἔτ' εἰσὶν
ἐλπίδες· αἱ μὲν
τελευτῶσιν ἐν ὄλβῳ
βροτοῖς, αἱ δ' ἀπέβησαν·

843. συμμαινομένᾳ M. 850. ἰσχύν τ' ἔχειν M. 853. τὶ πεφ. Br. 862. ἐγίνεθ' M. ἐγίγνεθ' Br.

τὸ δὲ κατ' ἦμαρ ὅτῳ βίοτος
εὐδαίμων, μακαρίζω.

ΔΙΟΝΥΣΟΣ.

Σὲ, τὸν πρόθυμον ὄνθ', ἃ μὴ χρεὼν, ὁρᾷν
σπεύδοντά τ' ἀσπούδαστα, Πενθέα λέγω,
ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι,
σκευὴν γυναικὸς Μαινάδος Βάκχης ἔχων,
μητρός τε τῆς σῆς καὶ λόχου κατάσκοπος·
πρέπεις δὲ Κάδμου θυγατέρων μορφῇ μιᾷ.

ΠΕΝΘΕΥΣ.

καὶ μὴν ὁρᾷν μοι δύο μὲν ἡλίους δοκῶ,
δισσὰς δὲ Θήβας καὶ πόλισμ' ἑπτάστομον·
καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς,
καὶ σῷ κέρατε κρατὶ προσπεφυκέναι.
ἀλλ' ἦ ποτ' ἦσθα θήρ; τεταύρωσαι γὰρ οὖν.

ΔΙΟΝΥΣΟΣ.

ὁ θεὸς ὁμαρτεῖ, πρόσθεν ὢν οὐκ εὐμενὴς,
ἔνσπονδος ἡμῖν νῦν· ὁρᾷς, ἃ χρή σ' ὁρᾷν.

ΠΕΝΘΕΥΣ.

τί φαίνομαι δῆτ'; οὐχὶ τὴν Ἰνοῦς στάσιν,
ἢ τὴν Ἀγαυῆς ἑστάναι μητρός γ' ἐμῆς;

ΔΙΟΝΥΣΟΣ.

αὐτὰς ἐκείνας εἰσορᾷν δοκῶ, σ' ὁρῶν.
ἀλλ' ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ' ὅδε,
οὐχ ὡς ἐγώ νιν ὑπὸ μίτρᾳ καθήρμοσα.

ΠΕΝΘΕΥΣ.

ἔνδον προσείων αὐτὸν ἀνασείων τ' ἐγὼ
καὶ βακχιάζων ἐξ ἕδρας μεθώρμισα.

868. τὸν δέ. 875. μορφῇ δὲ Κ. θ. πρέπεις μιᾷ. Br. 881. Pentheo contin. M. ὁμαρτεῖ πρόσθεν, ὢν M.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ᾽ αὐτὸν ἡμεῖς, οἷς σε θεραπεύειν μέλει,
πάλιν καταστελοῦμεν· ἀλλ᾽ ὄρθου κάρα.

ΠΕΝΘΕΥΣ.

ἰδού, σὺ κόσμει· σοὶ γὰρ ἀνακείμεσθα δή.

ΔΙΟΝΥΣΟΣ.

ζῶναί τέ σοι χαλῶσι, κοὐχ ἑξῆς πέπλων
στολίδες ὑπὸ σφυροῖσι τείνουσιν σέθεν.

ΠΕΝΘΕΥΣ.

κἀμοὶ δοκοῦσι παρά γε δεξιὸν πόδα·
τἀνθένδε δ᾽ ὀρθῶς παρὰ τένοντ᾽ ἔχει πέπλος.

ΔΙΟΝΥΣΟΣ.

ἦπού με τῶν σῶν πρῶτον ἡγήσει φίλων,
ὅταν παρὰ λόγον σώφρονας Βάκχας ἴδῃς;

ΠΕΝΘΕΥΣ.

πότερα δὲ θύρσον δεξιᾷ λαβὼν χερί,
ἢ τῇδε, Βάκχῃ μᾶλλον εἰκασθήσομαι;

ΔΙΟΝΥΣΟΣ.

ἐν δεξιᾷ χρὴ χἄμα δεξιῷ ποδὶ
αἴρειν νιν· αἰνῶ δ᾽, ὅτι μεθέστηκας φρενῶν.

ΠΕΝΘΕΥΣ.

ἆρ᾽ ἂν δυναίμην τὰς Κιθαιρῶνος πτύχας
αὐταῖσι Βάκχαις τοῖς ἐμοῖς ὤμοις φέρειν;

ΔΙΟΝΥΣΟΣ.

δύναι᾽ ἄν, εἰ βούλοιο· τὰς δὲ πρὶν φρένας
οὐκ εἶχες ὑγιεῖς, νῦν δ᾽ ἔχεις οἵας σε δεῖ.

ΠΕΝΘΕΥΣ.

μοχλοὺς φέρωμεν, ἢ χεροῖν ἀνασπάσω,
κορυφαῖς ὑποβαλὼν ὦμον ἢ βραχίονα;

ΔΙΟΝΥΣΟΣ.

μή σύ γε τὰ Νυμφῶν διολέσῃς ἱδρύματα
καὶ Πανὸς ἕδρας, ἔνθ᾽ ἔχει συρίγματα.

ΠΕΝΘΕΥΣ.

καλῶς ἔλεξας. οὐ σθένει νικητέον
γυναῖκας· ἐλάταισιν δ᾽ ἐμὸν κρύψω δέμας.

ΔΙΟΝΥΣΟΣ.

κρύψει σὺ κρύψιν, ἥν σε κρυφθῆναι χρεὼν,
ἐλθόντα δόλιον Μαινάδων κατάσκοπον.

ΠΕΝΘΕΥΣ.

καὶ μὴν δοκῶ σφᾶς ἐν λόχμαις, ὄρνιθας ὥς,
λέκτρων ἔχεσθαι φιλτάτοις ἐν ἕρκεσιν.

ΔΙΟΝΥΣΟΣ.

οὐκοῦν ἐπ᾽ αὐτὸ τοῦτ᾽ ἀποστέλλει φύλαξ·
λήψει δ᾽ ἴσως σφᾶς, ἢν σὺ μὴ ληφθῇς πάρος.

ΠΕΝΘΕΥΣ.

κόμιζε διὰ μέσης με Θηβαίας χθονός·
μόνος γάρ εἰμ᾽ αὐτῶν ἀνὴρ τολμῶν τάδε.

ΔΙΟΝΥΣΟΣ.

μόνος σὺ πόλεως τῆσδ᾽ ὑπερκάμνεις, μόνος·
τοιγάρ σ᾽ ἀγῶνες ἀναμένουσιν, οὓς ἐχρῆν.
ἕπου δέ· πομπὸς δ᾽ εἴμ᾽ ἐγὼ σωτήριος.
κεῖθεν δ᾽ ἀπάξει σ᾽ ἄλλος.

ΠΕΝΘΕΥΣ.

ἡ τεκοῦσά γε;

ΔΙΟΝΥΣΟΣ.

ἐπίσημον ὄντα πᾶσιν.

ΠΕΝΘΕΥΣ.

ἐπὶ τόδ᾽ ἔρχομαι.

916. ἴλλεσθαι Br.

ΔΙΟΝΥΣΟΣ.

φερόμενος ἥξεις.

ΠΕΝΘΕΥΣ.

ἁβρότητ᾽ ἐμὴν λέγεις.

ΔΙΟΝΥΣΟΣ.

ἐν χερσὶ μητρός.

ΠΕΝΘΕΥΣ.

καὶ τρυφᾷν μ᾽ ἀναγκάσει;

ΔΙΟΝΥΣΟΣ.

τρυφάς γε τοιάσδ᾽.

ΠΕΝΘΕΥΣ.

ἀξίων μὲν ἅπτομαι.

ΔΙΟΝΥΣΟΣ.

δεινὸς σὺ, δεινὸς, κἀπὶ δείν᾽ ἔρχει πάθη,
ὥστ᾽ οὐρανῷ στηρίζον εὑρήσεις κλέος.
ἔκτειν᾽, Ἀγαυὴ, χεῖρας, αἵ θ᾽ ὁμόσποροι
Κάδμου θυγατέρες· τὸν νεανίαν ἄγω
τόνδ᾽ εἰς ἀγῶνα μέγαν· ὁ νικήσων δ᾽ ἐγὼ
καὶ Βρόμιος ἔσται· τἄλλα δ᾽ αὐτὸ σημανεῖ.

ΧΟΡΟΣ.

Ἴτε, θοαὶ Λύσσης κύνες, ἴτ᾽ εἰς οὖρος, (στρ.)
θίασον ἔνθ᾽ ἔχουσι Κάδμου κόραι,
ἀνοιστρήσατέ νιν
ἐπὶ τὸν ἐν γυναικομίμῳ στολᾷ
* * Μαινάδων σκοπὸν λυσσώδη.
μάτηρ πρῶτά νιν λευρᾶς ἀπὸ πέτρας
ἢ σκόλοπος ὄψεται
δοκεύοντα· Μαινάσιν δ᾽ ἀπύσει·

939. M. κατάσκοπον et sine notis lacunae. Ib. λυσσώδεα Br.

τίς δ᾽ ὅδε Καδμείων μαστὴρ οὔριον
δρόμον ἐς ὄρος, ἐς ὄρος ἔμολεν, ὦ Βάκχαι;
τίς ἄρα νιν ἔτεκεν;
οὐ γὰρ ἐξ αἵματος γυναικῶν ἔφυ·
λεαίνας δέ γε τινὸς, ἢ Γοργόνων
Λιβυσσᾶν γένος.
ἴτω δίκα φανερὸς, ἴτω ξιφηφόρος,
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον, ἄνομον, ἄδικον Ἐχίονος
γόνον γηγενῆ·
ὃς ἀδίκῳ γνώμᾳ παρανόμῳ τ᾽ ὀργᾷ (ἀντ.)
περὶ σὰ, Βάκχι᾽, ὄργια ματρός τε σᾶς
μανείσᾳ πραπίδι
παρακόπῳ τε λήματι στέλλεται,
τὸν ἀνίκατον ὡς κρατήσων βίᾳ.
γνώμαν σώφρον᾽ ἀθάνατον ἀπροφάσιστ᾽
εἰς τά τε θεῶν ἔφυ
βροτείων τ᾽ ἔχειν ἄλυπος βίος.
τὸ σοφὸν οὐ φθόνῳ χαίρω θηρεύουσα, τὰ δ᾽ ἕτερα μεγάλα φανερὰ τῶν ἀεὶ
ἐπὶ τὰ καλὰ βίον
ἦμαρ εἰς νύκτα τ᾽ εὖ ἄγοντ᾽ εὐσεβεῖν·
τὰ δ᾽ ἔξω νόμιμα δίκας ἐκβαλόντα τιμᾷν θεούς.
ἴτω δίκα φανερὸς, ἴτω ξιφηφόρος
φονεύουσα λαιμῶν διαμπὰξ

943. 4. οὐριοδρόμων M. οὐρειδρόμων Br. 944. ἰὼ B. Br. 950. δαίμων. 957. τόν γ᾽ ἀνίκ. Br. 958. σώφρονα θάνατος ἀπροφάσιστος. 959. εἰ τά τε Br. 960. βροτείῳ. 961. τὸν σοφὸν. 962. αἰεί.

τὸν ἄθεον, ἄνομον, ἄδικον Ἐχίονος
τόκον γηγενῆ.
φάνηθι ταῦρος, ἢ πολύκρανός γ' ἰδεῖν (ἐπ.)
δράκων ἢ πυριφλέγων
ὁρᾶσθαι λέων.
ἴθ', ὦ Βάκχε, θηραγρέταν Βακχᾶν
γελῶντι προςώπῳ περίβαλε βρόχον ἐπὶ θανάσι-
μον ἀγέλαν πεσόντα τὰν Μαινάδων.

ΑΓΓΕΛΟΣ.

Ὦ δῶμ', ὃ πρίν ποτ' εὐτύχεις ἀν' Ἑλλάδα,
Σιδωνίου γέροντος, ὃς τὸ γηγενὲς
δράκοντος ἔσπειρ' ὄφεος ἐν γαίᾳ θέρος,
ὥς σε στενάζω, δοῦλος ὢν μέν, ἀλλ' ὅμως
χρηστοῖσι δούλοις συμφορὰ τὰ δεσποτῶν.

ΧΟΡΟΣ.

τί δ' ἔστιν; ἐκ Βακχῶν τί μηνύεις νέον;

ΑΓΓΕΛΟΣ.

Πενθεὺς ὄλωλε, παῖς Ἐχίονος πατρός.

ΧΟΡΟΣ.

ὦ 'ναξ Βρόμιε· καὶ γὰρ θεὸς φαίνει μέγας.

ΑΓΓΕΛΟΣ.

πῶς φῄς; τί τοῦτ' ἔλεξας; ἢ 'πὶ τοῖς ἐμοῖς
χαίρεις κακῶς πράσσουσι δεσπόταις, γύναι;

ΧΟΡΟΣ.

εὐάζω ξένα μέλεσι βαρβάροις·
οὐκέτι γὰρ δεσμῶν ὑπὸ φόβῳ πτήσσω.

ΑΓΓΕΛΟΣ.

Θήβας δ' ἀνάνδρους ὧδ' ἄγεις * * *

974. θηραγρέτα M. θηραγρέτᾳ Br. 976. πεσόντι Br.
977. εὐτύχεις Br. 982. τι μην. Br.

ΧΟΡΟΣ.

ὁ Διόνυσος, ὁ Διόνυσος, οὐ Θῆβαι
κράτος ἔχουσ' ἐμόν.

ΑΓΓΕΛΟΣ.

ξυγγνωστὰ μέν σοι· πλὴν ἐπ' ἐξειργασμένοις
κακοῖσι χαίρειν, ὦ γυναῖκες, οὐ καλόν.

ΧΟΡΟΣ.

ἔννεπέ μοι, φράσον, τίνι μόρῳ θνήσκει
ἄδικος ἄδικά τ' ἐκπορίζων ἀνήρ.

ΑΓΓΕΛΟΣ.

ἐπεί, θεράπνας τῆςδε Θηβαίας χθονὸς
λιπόντες, ἐξέβημεν Ἀσωποῦ ῥοὰς,
λέπας Κιθαιρώνειον εἰςεβάλλ[illegible]
Πενθεύς τε κἀγὼ, — δεσπότῃ γὰρ εἰπόμην, —
ξένος θ', ὃς ἡμῖν πομπὸς ἦν θεωρ[illegible]
πρῶτον μὲν οὖν ποιηρὸν [illegible]ιος,
τά τ' ἐκποδὼν σιγηλὰ καὶ γλώσσης ἄπο
σώζοντες, ὡς ὁρῷμεν οὐχ ὁρωμενοι.
ἦν δ' ἄγκος ἀμφίκρημνον, ὕδασι διάβροχον,
πεύκαισι συσκιάζον, ἔνθα Μαινάδες
κάθηντ', ἔχουσαι χεῖρας ἐν τερπνοῖς πόνοις.
αἱ μὲν γὰρ αὐτῶν θύρσον ἐκλελοιπότα
κισσῷ κομήτην αὖθις ἐξανέστεφον,
αἱ δ', ἐκλιποῦσαι ποικίλ' ὡς πῶλοι ζυγὰ,
βακχεῖον ἀντέκλαζον ἀλλήλαις μέλος.
Πενθεὺς δ' ὁ τλήμων, θῆλυν οὐχ ὁρῶν ὄχλον,
ἔλεξε τοιάδ'· ὦ ξέν', οὗ μὲν ἔσταμεν,
οὐκ ἐξικνοῦμαι Μαινάδων ὄποι μόθων·

996. Θεράπνας. 1013. ὅσοι μ. M.

ὄχθον δ' ἐπεμβὰς, ἢ 'λάτην ὑψαύχενα
ἴδοιμ' ἂν ὀρθῶς Μαινάδων αἰσχρουργίαν.
τοὐντεῦθεν ἤδη τοῦ ξένου τι θαῦμ' ὁρῶ·
λαβὼν γὰρ ἐλάτης οὐράνιον ἄκρον κλάδον,
κατῆγεν, ἦγεν, ἦγεν ἐς μέλαν πέδον·
κυκλοῦτο δ', ὥστε τόξον, ἢ κυρτὸς τροχὸς
τόρνῳ γραφόμενος περιφορὰς ἕλκει δρόμου·
ὣς κλῶν' ὄρειον ὁ ξένος χεροῖν ἄγων
ἔκαμπτεν ἐς γῆν, ἔργματ' οὐχὶ θνητὰ δρῶν.
Πενθέα δ' ἱδρύσας ἐλατίνων ὄζων ἔπι,
ὀρθὸν μεθίει διὰ χερῶν βλάστημ' ἄνω
ἀτρέμα, φυλάσσων μὴ 'ναχαιτίσειέ νιν.
ὀρθὴ δ' ἐς ὀρθὸν αἰθέρ' ἐστηρίζετο,
ἔχουσα νώτοις δεσπότην ἐφήμενον.
ὤφθη δὲ μᾶλλον, ἢ κατεῖδε Μαινάδας·
ὅσον γὰρ οὔπω δῆλος ἦν θάσσων ἄνω,
καὶ τὸν ξένον μὲν οὐκέτ' εἰσορᾶν παρῆν,
ἐκ δ' αἰθέρος φωνή τις, ὡς μὲν εἰκάσαι,
Διόνυσος ἀνεβόησεν· Ὦ νεάνιδες,
ἄγω τὸν ὑμᾶς κἀμὲ τἀμά τ' ὄργια
γέλων τιθέμενον· ἀλλὰ τιμωρεῖσθέ νιν.
καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πρὸς οὐρανὸν
καὶ γαῖαν ἐστήριζε φῶς σεμνοῦ πυρός.
σίγησε δ' αἰθὴρ, σῖγα δ' εὔλειμος νάπη
φύλλ' εἶχε, θηρῶν δ' οὐκ ἂν ἤκουσας βοήν.
αἱ δ', ὠσὶν ἠχὴν οὐ σαφῶς δεδεγμέναι,
ἔστησαν ὀρθαὶ καὶ διήνεγκαν κόρας.

1014. εἰς ἐλάτην M. 1019. ἐκυκλοῦτο Br. 1020. περιφορὰν ἕλκε δρόμον M. περιφορὰν ἕλκῃ δραμών Br. 1036. ἐστήριξε.

ὁ δ' αὖθις ἐπεκέλευσεν· ὡς δ' ἐγνώρισαν
σαφῆ κελευσμὸν Βακχίου Κάδμου κόραι,
ἦξαν, πελείας ὠκύτητ' οὐχ ἥσσονες
ποδῶν ἔχουσαι συντόνοις δρομήμασιν,
μήτηρ Ἀγαυὴ ξύγγονοί θ' ὁμόσποροι
πᾶσαί τε Βάκχαι· διὰ δὲ χειμάῤῥου νάπης
ἀγμῶν τ' ἐπήδων θεοῦ πνοαῖσιν ἐμμανεῖς.
ὡς δ' εἶδον ἐλάτῃ δεσπότην ἐφήμενον,
πρῶτον μὲν αὐτοῦ χερμάδας κραταιβόλους
ἔῤῥιπτον, ἀντίπυργον ἐπιβᾶσαι πέτραν·
ὄζοισι δ' ἐλατίνοισιν ἠκοντίζετο·
ἄλλαι δὲ θύρσους ἵεσαν δι' αἰθέρος
Πενθέως, στόχον δύστηνον· ἀλλ' οὐκ ἤνυτον.
κρεῖσσον γὰρ ὕψος τῆς προθυμίας ἔχων
καθῆσθ' ὁ τλήμων, ἀπορίᾳ λελημμένος.
τέλος δὲ, δρυΐνους συγκεραυνοῦσαι κλάδους,
ῥίζας ἀνεσπάρασσον ἀσιδήροις μοχλοῖς.
ἐπεὶ δὲ μόχθων τέρματ' οὐκ ἐξήνυτον,
ἔλεξ' Ἀγαυή· φέρε, περιστᾶσαι κύκλῳ,
πτόρθου λάβεσθε, Μαινάδες, τὸν ἀμβάτην
θῆρ' ὡς ἕλωμεν, μηδ' ἀπαγγείλῃ θεοῦ
χορους κρυφαίους. αἱ δὲ μυρίαν χέρα
προσέθεσαν ἐλάτῃ κἀξανέσπασαν χθονός·
ὑψοῦ δὲ θάσσων, ὑψόθεν χαμαιπετὴς
πίπτει πρὸς οὖδας μυρίοις οἰμώγμασι

1043. ἥσσονα Br. 1049. κραταβόλους M. 1051. hoc ordine: 1052. 1051. 1053. Br. 1051. ἠκόντιζέ τις Br. 1053. Πενθέως τ' ὄχον M. Πενθέως ὄχον Br. 1055. καθῆστο τλήμων M. λελησμένος M. 1056. ξυγκρατύνουσαι Br.

Πενθεύς· κακοῦ γὰρ ἐγγὺς ὢν ἐμάνθανεν.
πρώτη δὲ μήτηρ ἦρξεν ἱέρεια φόνου,
καὶ προςπιτνεῖ νιν· ὁ δὲ μίτραν κόμης ἄπο
ἔῤῥιψεν, ὥς νιν γνωρίσασα μὴ κτάνῃ
τλήμων Ἀγαυὴ, καὶ λέγει, παρηΐδος
ψαύων· ἐγώ τοι, μῆτερ, εἰμὶ παῖς σέθεν
Πενθεὺς, ὃν ἔτεκες ἐν δόμοις Ἐχίονος·
οἴκτειρε δ', ὦ μῆτέρ, με, μηδὲ ταῖς ἐμαῖς
ἁμαρτίαισι παῖδα σὸν κατακτάνῃς·
ἡ δ', ἀφρὸν ἐξιεῖσα καὶ διαστρόφους
κόρας ἑλίσσουσ', οὐ φρονοῦσ' ἃ χρῆν φρονεῖν,
ἐκ Βακχίου κατείχετ', οὐδ' ἔπειθέ νιν.
λαβοῦσα δ' ὠλέναις ἀριστερὰν χέρα,
πλευραῖσιν ἀντιβᾶσα τοῦ δυςδαίμονος,
ἀπεσπάραξεν ὦμον, οὐχ ὑπὸ σθένους,
ἀλλ' ὁ θεὸς εὐμάρειαν ἐπεδίδου χεροῖν.
Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο,
ῥηγνῦσα σάρκας, Αὐτονόη τ' ὄχλος τε πᾶς
ἐπεῖχε Βακχῶν· ἦν δὲ πᾶσ' ὁμοῦ βοή,
ὁ μὲν στενάζων, ὅσον ἐτύγχανε πνέων,
αἱ δ' ἠλάλαζον. ἔφερε δ' ἡ μὲν ὠλένην,
ἡ δ' ἴχνος αὐταῖς ἀρβύλαις· γυμνοῦντο δὲ
πλευραὶ σπαραγμοῖς· πᾶσα δ', ᾑματωμένη
χεῖρας, διεσφαίριζε σάρκας Πενθέως.
κεῖται δὲ χωρὶς σῶμα, τὸ μὲν ὑπὸ στυφλοῖς
πέτραις, τὸ δ' ὕλης ἐν βαθυξύλῳ φόβῃ,
οὐ ῥᾴδιον ζήτημα· κρᾶτα δ' ἄθλιον,
ὅπερ λαβοῦσα τυγχάνει μήτηρ χεροῖν,
πήξασ' ἐπ' ἄκρον θύρσον ὡς ὀρεστέρου

1068. κόμας M. 1069. κτάνοι Br. 1076. χρὴ M.

φέρει λέοντος διὰ Κιθαιρῶνος μέσου,
λιποῦσ' ἀδελφὰς ἐν χοροῖσι Μαινάδων.
χωρεῖ δὲ, θήρᾳ δυςπότμῳ γαυρουμένη,
τειχέων ἔσω τῶνδ', ἀνακαλοῦσα Βάκχιον,
τὸν ξυγκύναγον, τὸν ξυνεργάτην ἄγρας,
τὸν καλλίνικον, ᾗ δάκρυα νικηφορεῖ.
ἐγὼ μὲν οὖν τῇδ' ἐκποδὼν τῇ ξυμφορᾷ
ἄπειμ', Ἀγαυὴν πρὶν μολεῖν πρὸς δώματα.
τὸ σωφρονεῖν δὲ καὶ σέβειν τὰ τῶν θεῶν,
κάλλιστον οἶμαι ταὐτὸ καὶ σοφώτατον
θνητοῖσιν εἶναι χρῆμα τοῖσι χρωμένοις.

ΧΟΡΟΣ.

Ἀναχορεύσωμεν Βακχεῖον,
ἀναβοάσωμεν ξυμφορὰν
τὰν τοῦ δράκοντος ἐκγενέτα τοῦ Πενθέως,
ὃς τὰν θηλυγενῆ στολὰν
νάρθηκά τε, πικρὸν ἀΐδαν,
ἔλαβεν εὔθυρσον,
ταῦρον προηγητῆρα συμφορᾶς ἔχων.
Βάκχαι Καδμεῖαι,
τὸν καλλίνικον κλεινὸν ἐξεπράξατο
εἰς γόον, εἰς δάκρυα.
καλὸς ἀγὼν, ἐν αἵματι στάζουσαν
χέρα περιβαλεῖν τέκνου.
Ἀλλ' εἰςορῶ γὰρ ἐς δόμους ὁρμωμένην
Πενθέως Ἀγαυὴν μητέρ' ἐν διαστρόφοις
ὄσσοις· δέχεσθε κῶμον εὐΐου θεοῦ.

1101. ἐγὼ μὲν οὖν ἐκπ. τῇ ξ. M. οὐκοῦν ἐγὼ μὲν ἐκπ. τῇ ξ. 1104. οἶμαί γ' αὐτό. 1110. πιστὸν ἀΐδαν. 1112. ξυμφορᾶς. 1113. Βάκχα Καδμεία Br. 1119. 20. μητέρ', ἐν διαστρόφοις ὄσσοις δέχ. Br.

ΑΓΑΥΗ.

Ἀσιάδες Βάκχαι. (στροφή.)

ΧΟΡΟΣ.

τί με δὴ ὀρθοῖς ὦ;

ΑΓΑΥΗ.

φέρομεν ἐξ ὀρέων
ἕλικα νεότομον ἐπὶ μέλαθρα,
μακαρίαν θήραν.

ΧΟΡΟΣ.

ὁρῶ γε καί σε δέξομαι σύγκωμον ὦ.

ΑΓΑΥΗ.

ἔμαρψα τόνδ' ἄνευ βρόχων
* * *
νέον λίν, ὡς ὁρᾶν πάρα.

ΧΟΡΟΣ.

πόθεν ἐρημίας;

ΑΓΑΥΗ.

Κιθαιρὼν —

ΧΟΡΟΣ.

τί Κιθαιρών;

ΑΓΑΥΗ.

κατεφόνευσέ νιν.

ΧΟΡΟΣ.

τίς ἁ βαλοῦσα πρῶτά γ';

ΑΓΑΥΗ.

ἐμὸν τὸ γέρας.

1121. τί με δῆτ' ὄρσεις ὦ. Br. 1124. μακάριον θήραμ' M. 1127. λῖν M.

ΧΟΡΟΣ.

μάκαιρ' Ἀγαυή.

ΑΓΑΥΗ.

κληζόμεθ' ἐν θιάσοις.

ΧΟΡΟΣ.

τίς ἄλλα; τὰ Κάδμου —

ΧΟΡΟΣ.

τί Κάδμου;

ΑΓΑΥΗ.

γένεθλα
μετ' ἐμέ, μετ' ἐμὲ τοῦδ'
ἔθιγε θηρός.

ΧΟΡΟΣ.

εὐτυχεῖς τᾷδ' ἄγρᾳ.

ΑΓΑΥΗ.

μέτεχε νῦν θοίνας. (ἀντιστρ.)

ΧΟΡΟΣ.

τί μετέχω τλάμων;

ΑΓΑΥΗ.

νέος ὁ μόσχος ἄρ-
τι γένυν ὑπὸ κόρυθ' ἁπαλότριχα
κατάκομον βάλλει.

ΧΟΡΟΣ.

πρέπει γάρ, ὥςτε θηρὸς ἀγραύλου φόβη.

ΑΓΑΥΗ.

ὁ Βάκχιος κυναγέτας
σοφὸς σοφὸς ἀνέπηλεν
ἐπὶ θῆρα τόνδε Μαινάδας.

1133. τίς ἄλλα τὰ K. et γένεθλα bis M. 1142. σοφὸς σοφῶς Br.

ΧΟΡΟΣ.

ὁ γὰρ ἄναξ ἀγρεύς.

ΑΓΑΥΗ.

ἐπαινεῖς;

ΧΟΡΟΣ.

τί δ' ἐπαινῶ;

ΑΓΑΥΗ.

τάχα δὲ Καδμεῖοι
καὶ παῖς γε Πενθεὺς ματέρ' ἐπαινέσεται,
λαβοῦσαν ἄγραν τάνδε λεοντοφυῆ
περισσὰν περισσῶς.

ΧΟΡΟΣ.

ἀγάλλῃ;

ΑΓΑΥΗ.

γέγηθα
μεγάλα μεγάλα καὶ
φανερὰ καινὰ δ' ἔργματ' εἰργασμένα.

ΧΟΡΟΣ.

δεῖξόν νυν, ὦ τάλαινα, σὴν νικηφόρον
ἀστοῖσιν ἄγραν, ἣν φέρουσ' ἐλήλυθας.

ΑΓΑΥΗ.

ὦ καλλίπυργον ἄστυ Θηβαίας χθονὸς
ναίοντες, ἔλθεθ', ὡς ἴδητε τήνδ' ἄγραν,
Κάδμου θυγατέρες θηρὸς ἣν ἠγρεύσαμεν,
οὐκ ἀγκυλωτοῖς Θεσσαλῶν στοχάσμασιν,
οὐ δικτύοισιν, ἀλλὰ λευκοπήχεσιν
χειρῶν ἀκμαῖσι. κᾆτα κομπάζειν χρεὼν,

1150. 1. μεγάλα μεγάλα φανερὰ καὶ τάδ' ἔργα κατειργασμένα M. μεγ. μεγ. καὶ φαν. δὴ τάδ' ἔργ' ἐπειργασμένα Br. 1152. δ. νῦν M.

καὶ λογχοποιῶν ὄργανα κτᾶσθαι μάτην·
ἡμεῖς δὲ ταύτῃ χειρὶ τόνδε θ' εἵλομεν
χωρίς τε θηρὸς ἄρθρα διεφορήσαμεν.
ποῦ μοι πατὴρ ὁ πρέσβυς; ἐλθέτω πέλας.
Πενθεύς τ' ἐμὸς παῖς ποῦ 'στιν; αἰρέσθω λαβὼν
πηκτῶν πρὸς οἶκον κλιμάκων προσαμβάσεις,
ὡς πασσαλεύσῃ κρᾶτα τριγλύφοις τόδε
λέοντος, ὃν πάρειμι θηράσασ' ἐγώ.

ΚΑΔΜΟΣ.

ἕπεσθέ μοι φέροντες ἄθλιον βάρος
Πενθέως, ἕπεσθε, πρόσπολοι, δόμων πάρος,
οὗ σῶμα μοχθῶν μυρίοις ζητήμασι
φέρω τόδ' εὑρὼν ἐν Κιθαιρῶνος πτυχαῖς,
διασπαρακτὸν, κοὐδὲν ἐν ταυτῷ πέδῳ
λαβὼν, ἐν ὕλῃ κείμενον δυσευρέτῳ.
ἤκουσα γάρ που θυγατέρων τολμήματα,
ἤδη κατ' ἄστυ τειχέων ἔσω βεβὼς
σὺν τῷ γέροντι Τειρεσίᾳ, Βακχῶν πέρι·
πάλιν δὲ κάμψας εἰς ὄρος, κομίζομαι
τὸν κατθανόντα παῖδα Μαινάδων ὕπο.
καὶ τὴν μὲν Ἀκταίων' Ἀρισταίῳ ποτὲ
τεκοῦσαν εἶδον Αὐτονόην Ἰνώ θ' ἅμα
ἔτ' ἀμφὶ δρυμοῖς οἰστροπλῆγας ἀθλίας,
τὴν δ' εἶπέ τίς μοι δεῦρο βακχείῳ ποδὶ
στείχειν Ἀγαυὴν, οὐδ' ἄκραντ' ἠκούσαμεν·
λεύσσω γὰρ αὐτῆς ὄψιν οὐκ εὐδαίμονα.

1160. μάτην; Br. 1165. πλεκτῶν M. 1174. γάρ του. 1176. B. πάρα Br. 1179. Ἀκταίων' ἀριστέα M. 1184. αὐτὴν, ὄψιν Br.

ΑΓΑΥΗ.

πάτερ, μέγιστον κομπάσαι πάρεστί σοι,
πάντων ἀρίστας θυγατέρας σπεῖραι μακρῷ
θνητῶν· ἁπάσας εἶπον, ἐξόχως δ᾽ ἐμὲ,
ἣ τὰς παρ᾽ ἱστοῖς ἐκλιποῦσα κερκίδας
ἐς μεῖζον᾽ ἥκω, θῆρας ἀγρεύειν χεροῖν.
φέρω δ᾽ ἐν ὠλέναισιν, ὡς ὁρᾷς, τάδε
λαβοῦσα τἀριστεῖα, σοῖσι πρὸς δόμοις
ὡς ἂν κρεμασθῇ· σὺ δὲ, πάτερ, δέξαι χεροῖν·
γαυρούμενος δὲ τοῖς ἐμοῖς ἀγρεύμασι,
κάλει φίλους ἐς δαῖτα· μακάριος γὰρ εἶ,
μακάριος, ἡμῶν τοιάδ᾽ ἐξειργασμένων.

ΚΑΔΜΟΣ.

ὦ πένθος οὐ μετρητὸν, οὐδ᾽ οἷόν τ᾽ ἰδεῖν,
φόνον ταλαίναις χερσὶν ἐξειργασμένον.
καλὸν τὸ θῦμα καταβαλοῦσα δαίμοσιν,
ἐπὶ δαῖτα Θήβας τάσδε κἀμὲ παρακαλεῖς.
οἴ μοι κακῶν μὲν πρῶτα σῶν, ἔπειτ᾽ ἐμῶν!
ὡς ὁ θεὸς ἡμᾶς ἐνδίκως μὲν, ἀλλ᾽ ἄγαν,
Βρόμιος ἄναξ ἀπώλεσ᾽ οἰκεῖος γεγώς!

ΑΓΑΥΗ.

ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ
ἔν τ᾽ ὄμμασι σκυθρωπόν! εἴθε παῖς ἐμὸς
εὔθηρος εἴη, μητρὸς εἰκασθεὶς τρόποις
ὅτ᾽ ἐν νεανίαισι Θηβαίοις ἅμα
θηρῶν ὀριγνῷτ᾽! ἀλλὰ θεομαχεῖν μόνον
οἷός τ᾽ ἐκεῖνος. νουθετητέος, πάτερ,
σοί τ᾽ ἐστὶ κἀμοὶ, μὴ σοφοῖς χαίρειν κακοῖς.

1197. φόνου — ἐξειργασμένου Br. 1205. φιλόθηρος Br.
1206. ἦτ᾽ ἂν Br.

ποῦ ᾽στιν; τίς αὐτὸν δεῦρ᾽ ἂν ὄψιν εἰς ἐμὴν
καλέσειεν, ὡς ἴδῃ με τὴν εὐδαίμονα.

ΚΑΔΜΟΣ.

φεῦ, φεῦ! φρονήσασαι μὲν, οἷ᾽ ἐδράσατε,
ἀλγήσετ᾽ ἄλγος δεινόν· εἰ δὲ διὰ τέλους
ἐν τῷδ᾽ ἀεὶ μενεῖτ᾽, ἐν ᾧ καθέστατε,
οὐκ εὐτυχοῦσαι, δόξετ᾽ οὐχὶ δυστυχεῖν.

ΑΓΑΥΗ.

τί δ᾽ οὐ καλῶς τῶνδ᾽, ἢ τί λυπηρῶς ἔχει;

ΚΑΔΜΟΣ.

πρῶτον μὲν ἐς τόνδ᾽ αἰθέρ᾽ ὄμμα σὸν μέθες.

ΑΓΑΥΗ.

ἰδού· τί μοι τόνδ᾽ ἐξυπεῖπας εἰσορᾶν;

ΚΑΔΜΟΣ.

ἔθ᾽ αὑτὸς, ἤ σοι μεταβολὰς ἔχειν δοκεῖ;

ΑΓΑΥΗ.

λαμπρότερος ἢ πρὶν καὶ διϊπετέστερος.

ΚΑΔΜΟΣ.

τὸ δὲ πτοηθὲν τόδ᾽ ἔτι σῇ ψυχῇ πάρα;

ΑΓΑΥΗ.

οὐκ οἶδα τοὔπος τοῦτο, γίγνομαι δέ πως
ἔννους, μετασταθεῖσα τῶν πάρος φρενῶν.

ΚΑΔΜΟΣ.

κλύοις ἂν οὖν τι, κἀποκρίναι᾽ ἂν σοφῶς;

ΑΓΑΥΗ.

ὡς ἐκλέλησμαί γ᾽, ἃ πάρος εἴπομεν, πάτερ.

ΚΑΔΜΟΣ.

ἐς ποῖον ἦλθες οἶκον ὑμεναίων μέτα;

1221. τόδ᾽ om. M. 1224. σαφῶς Br.

ΑΓΑΥΗ.

σπαρτῷ μ' ἔδωκας, ὡς λέγουσ', Ἐχίονι.

ΚΑΔΜΟΣ.

τίς οὖν ἐν οἴκοις παῖς ἐγένετο σῷ πόσει;

ΑΓΑΥΗ.

Πενθεὺς, ἐμῇ τε καὶ πατρὸς κοινωνίᾳ.

ΚΑΔΜΟΣ.

τίνος πρόςωπον δῆτ' ἐν ἀγκάλαις ἔχεις;

ΑΓΑΥΗ.

λέοντος, ὥς γ' ἔφασκον αἱ θηρώμεναι.

ΚΑΔΜΟΣ.

σκέψαι νυν ὀρθῶς, βραχὺς ὁ μόχθος εἰςιδεῖν.

ΑΓΑΥΗ.

ἔα, τί λεύσσω; τί φέρομαι τόδ' ἐν χεροῖν;

ΚΑΔΜΟΣ.

ἄθρησον αὐτὸ καὶ σαφέστερον μάθε.

ΑΓΑΥΗ.

ὁρῶ μέγιστον ἄλγος, ἡ τάλαιν' ἐγώ!

ΚΑΔΜΟΣ.

μῶν σοι λέοντι φαίνεται προςεικέναι;

ΑΓΑΥΗ.

οὐκ· ἀλλὰ Πενθέως ἡ τάλαιν' ἔχω κάρα.

ΚΑΔΜΟΣ.

οἰμωγμένον γε πρόςθεν, ἢ σε γνωρίσαι.

ΑΓΑΥΗ.

τίς ἔκτανέν νιν; πῶς ἐμὰς ἦλθ' ἐς χέρας;

ΚΑΔΜΟΣ.

δύστην' ἀλήθει', ὡς ἐν οὐ καιρῷ πάρει!

1236. προςεοικέναι M.

ΑΓΑΥΗ.

λέγ', ὡς τὸ μέλλον καρδίᾳ πήδημ' ἔχει.

ΚΑΔΜΟΣ.

σύ νιν κατέκτας, καὶ κασίγνηται σέθεν.

ΑΓΑΥΗ.

ποῦ δ' ὤλετ'; ἦ κατ' οἶκον, ἢ ποίοις τόποις;

ΚΑΔΜΟΣ.

οὗπερ πρὶν Ἀκταίωνα διέλαχον κύνες.

ΑΓΑΥΗ.

τί δ' ἐς Κιθαιρῶν' ἦλθε δυςδαίμων ὅδε;

ΚΑΔΜΟΣ.

ἐκερτόμει θεὸν σάς τε βακχείας μολών.

ΑΓΑΥΗ.

ἡμεῖς δ' ἐκεῖσε τίνι τρόπῳ κατήραμεν;

ΚΑΔΜΟΣ.

ἐμάνητε, πᾶσά τ' ἐξεβακχεύθη πόλις.

ΑΓΑΥΗ.

Διόνυσος ἡμᾶς ὤλεσ'· ἄρτι μανθάνω.

ΚΑΔΜΟΣ.

ὕβριν γ' ὑβρισθείς. θεὸν γὰρ οὐχ ἡγεῖσθέ νιν.

ΑΓΑΥΗ.

τὸ φίλτατον δὲ σῶμα ποῦ παιδὸς, πάτερ;

ΚΑΔΜΟΣ.

ἐγὼ μόλις τόδ' ἐξερευνήσας φέρω.

ΑΓΑΥΗ.

ἦ πᾶν ἐν ἄρθροις συγκεκλεισμένον καλῶς;

* * *

Πενθεῖ δὲ τί μέρος ἀφροσύνης προςῆκ' ἐμῆς;

1241. καρδία M. 1242. ἢ καὶ κασιγνήτη M. 1243. ἢ κατ' οἶ. M. 1250. ὕβριν ὑβρ. 1253. ΑΓ. om. et οὐ πᾶν Br. Post hunc v. desunt signa lacunae.

ΚΑΔΜΟΣ.

ὑμῖν ἐγένεθ' ὅμοιος, οὐ σέβων θεόν.
τοιγὰρ ξυνῆψε πάντας ἐς μίαν βλάβην,
ὑμᾶς τε τόνδε θ', ὥστε διολέσαι δόμους
κἄμ', ὅστις ἄτεκνος ἀρσένων παίδων γεγὼς,
τῆς σῆς τόδ' ἔρνος, ὦ τάλαινα, νηδύος
αἴσχιστα καὶ κάκιστα κατθανόνθ' ὁρῶ,
ᾧ δῶμ' ἀνέβλεπεν, ὃς συνεῖχες, ὦ τέκνον,
τοὐμὸν μέλαθρον, παιδὸς ἐξ ἐμῆς γεγὼς,
πόλει τε τάρβος ἦσθα· τὸν γέροντα δὲ
οὐδεὶς ὑβρίζειν ἤθελ', εἰσορῶν τὸ σὸν
κάρα· δίκην γὰρ ἀξίαν ἐλάμβαν' ἄν.
νῦν δ' ἐκ δόμων ἄτιμος ἐκβεβλήσομαι
ὁ Κάδμος ὁ μέγας, ὃς τὸ Θηβαίων γένος
ἔσπειρα, κἀξήμησα κάλλιστον θέρος.
ὦ φίλτατ' ἀνδρῶν, — καὶ γὰρ οὐκέτ' ὢν, ὅμως
τῶν φιλτάτων ἔμοιγ' ἀριθμήσει τέκνων —
οὐκ ἔτι γενείου τοῦδε θιγγάνων χερὶ,
τὸν μητρὸς αὐδῶν πατέρα, προσπτύξει, τέκνον,
λέγων· τίς ἀδικεῖ, τίς σ' ἀτιμάζει, γέρον,
τίς σὴν ταράσσει καρδίαν λυπηρὸς ὤν;
λέγ', ὡς κολάζω τὸν ἀδικοῦντά σ', ὦ πάτερ.
νῦν δ' ἄθλιος μὲν εἴμ' ἐγὼ, τλήμων δὲ σὺ,
οἰκτρὰ δὲ μήτηρ, τλήμονες δὲ σύγγονοι.
εἰ δ' ἔστιν, ὅστις δαιμόνων ὑπερφρονεῖ,
ἐς τοῦδ' ἀθρήσας θάνατον, ἡγείσθω θεούς.

ΧΟΡΟΣ.

τὸ σὸν μὲν ἀλγῶ, Κάδμε· σὸς δ' ἔχει δίκην
παῖς παιδὸς, ἀξίαν μὲν, ἀλγεινὴν δὲ σοί.

1261. ὃν δ. Br. 1265. ἐλάμβανεν M. 1280. σῆς δ' ἔχει.

ΑΓΑΥΗ.

ὦ πάτερ, ὁρᾷς γὰρ τἄμ' ὅσῳ μετεστράφη,
* * * * * *

ΔΙΟΝΥΣΟΣ.

* * *

δράκων γενήσει μεταβαλὼν, δάμαρ τε σὴ
ἐκθηριωθεῖσ', ὄφεος ἀλλάξει τύπον,
ἣν Ἄρεος ἔσχες Ἁρμονίαν, θνητὸς γεγώς.
ὄχον δὲ μόσχων, χρησμὸς ὡς λέγει Διὸς,
ἐλᾷς μετ' ἀλόχου, βαρβάρων ἡγούμενος.
πολλὰς δὲ πέρσεις ἀναρίθμῳ στρατεύματι
πόλεις· ὅταν δὲ Λοξίου χρηστήριον
διαρπάσωσι, νόστον ἄθλιον πάλιν
σχήσουσι· σὲ δ' Ἄρης Ἁρμονίαν τε ῥύσεται,
μακάρων τ' ἐς αἶαν σὸν καθιδρύσει βίον.
ταῦτ' οὐχὶ θνητοῦ πατρὸς ἐκγεγὼς λέγω
Διόνυσος, ἀλλὰ Ζηνός· εἰ δὲ σωφρονεῖν
ἔγνωθ', ὅτ' οὐκ ἠθέλετε, τὸν Διὸς γόνον
εὐδαιμονοῖτ' ἂν σύμμαχον κεκτημένοι.

ΚΑΔΜΟΣ.

Διόνυσε, λισσόμεσθά σ', ἠδικήκαμεν.

ΔΙΟΝΥΣΟΣ.

ὄψ' ἐμάθεθ' ἡμᾶς· ὅτε δ' ἐχρῆν, οὐκ ᾔδετε.

ΚΑΔΜΟΣ.

ἔγνωκα μὲν ταῦτ'· ἀλλ' ἐπεξέρχει λίαν.

ΔΙΟΝΥΣΟΣ.

καὶ γὰρ πρὸς ὑμῶν, θεὸς γεγὼς, ὑβριζόμην.

ΚΑΔΜΟΣ.

ὀργὰς πρέπει θεοὺς οὐχ ὁμοιοῦσθαι βροτοῖς.

1283. deest. 1284. ἐκθηριωθεῖσ'. 1292. σὸν om. M.
1296. εὐδαιμονοῖτ' ἂν Br. 1298. εἴδετε Br.

ΔΙΟΝΥΣΟΣ.

πάλαι τάδε Ζεὺς οὑμὸς ἐπένευσεν πατήρ.

ΑΓΑΥΗ.

αἶ, αἶ! δέδοκται, πρέσβυ, τλήμονες φυγαί.

ΚΑΔΜΟΣ.

ὦ τέκνον, ὡς ἐς δεινὸν ἤλθομεν κακὸν,
σύ θ' ἡ τάλαινα, σύγγονοί τε σαὶ φίλαι,
ἐγώ θ' ὁ τλήμων. βαρβάρους ἀφίξομαι
γέρων μέτοικος· ἔτι δέ μοι τὸ θέσφατον,
ἐς Ἑλλάδ' ἀγαγεῖν μιγάδα βάρβαρον στρατόν.
καὶ τὴν Ἄρεως παῖδ' Ἁρμονίαν, δάμαρτ' ἐμὴν,
δράκων, δρακαίνης φύσιν ἔχουσαν ἀγρίαν,
ἄξω 'πὶ βωμοὺς καὶ τάφους Ἑλληνικοὺς,
ἡγούμενος λόγχαισιν, οὐδὲ παύσομαι
κακῶν ὁ τλήμων, οὐδὲ τὸν καταιβάτην
Ἀχέροντα πλεύσας, ἥσυχος γενήσομαι.

ΑΓΑΥΗ.

ὦ πάτερ, ἐγὼ δέ σου στερεῖσα φεύξομαι.

ΚΑΔΜΟΣ.

τί μ' ἀμφιβάλλεις χερσὶν, ὦ τάλαινα παῖ,
ὄρνις ὅπως κηφῆνα πολιόχρως κύκνος;

ΑΓΑΥΗ.

ποῖ γὰρ τράπωμαι, πατρίδος ἐκβεβλημένη;

ΚΑΔΜΟΣ.

οὐκ οἶδα, τέκνον· μικρὸς ἐπίκουρος πατήρ.

ΑΓΑΥΗ.

χαῖρ', ὦ μέλαθρον, χαῖρ', ὦ πατρῴα
πόλις· ἐκλείπω σ' ἐπὶ δυστυχίᾳ,
φυγὰς ἐκ θαλάμων.

1317. ὄρνιθ' ὅπ. Br.

ΚΑΔΜΟΣ.

στεῖχέ νυν, ὦ παῖ, τὸν Ἀρισταίου

ΑΓΑΥΗ.

στέρομαί σε, πάτερ.

ΚΑΔΜΟΣ.

κἀγώ σε, τέκνον,
καὶ σὰς ἐδάκρυσα κασιγνήτας.

ΑΓΑΥΗ.

δεινῶς, δεινῶς τάνδ' αἰκίαν
Διόνυσος ἄναξ
τοὺς σοὺς εἰς οἴκους ἔφερεν.

ΔΙΟΝΥΣΟΣ.

καὶ γὰρ ἔπασχον δεινὰ πρὸς ὑμῶν,
ἀγέραστον ἔχων ὄνομ' ἐν Θήβαις.

ΑΓΑΥΗ.

χαῖρε, πάτερ, μοι.

ΚΑΔΜΟΣ.

χαῖρ', ὦ μελέα καὶ σύ γε θύγατερ·
χαλεπῶς εἰς τόδ' ἂν ἥκοις.

ΑΓΑΥΗ.

ἄγετ', ὦ πομποί, με, κασιγνήτας
ἵνα συμφυγάδας λήψομαι οἰκτράς.
ἔλθοιμι δ', ὅπου
μήτε Κιθαιρὼν μιαρός μ' ἐσίδοι,
μήτε Κιθαιρῶν' ὄσσοισιν ἐγὼ,
μήθ' ὅθι θύρσος μνῆμ' ἀνάκειται·
Βάκχαις δ' ἄλλαισι μέλοιεν.

1323. χθόν' Ἀρ. Br. 1324. σε om. M. 1325. κασιγνήτους M. 1326. δεινῶς γὰρ, δεινῶς M. 1335. λήψωμ', οἰκτράς M. 1337. μ' ἐσίδοι deest M. 1338. ὄσσοισίν μ' ἐγώ M. 1339. θύρσων Br.

ΧΟΡΟΣ.

πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη·
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

ΤΕΛΟΣ ΒΑΚΧΩΝ.

ΕΥΡΙΠΙΔΟΥ
ΗΡΑΚΛΕΙΔΑΙ.

ΥΠΟΘΕΣΙΣ.

Ἰόλαος υἱὸς μὲν ἦν Ἰφικλέους, ἀδελφιδοῦς δὲ Ἡρακλέους· ἐν νεότητι δ᾽ ἐκείνῳ συστρατευσάμενος, ἐν γήρᾳ τοῖς ἐξ ἐκείνου βοηθὸς εὔνους παρέστη. Τῶν γὰρ παίδων ἐξ ἁπάσης ἐλαυνομένων γῆς ὑπ᾽ Εὐρυσθέως, ἔχων αὐτοὺς ἦλθεν εἰς Ἀθήνας, κἀκεῖ προσφυγὼν τοῖς θεοῖς, ἔσχε τὴν ἀσφάλειαν, Δημοφῶντος τῆς πόλεως κρατοῦντος. Κοπρέως δὲ, τοῦ Εὐρυσθέως κήρυκος, ἀποσπᾷν θέλοντος τοὺς ἱκέτας, ἐκώλυσεν αὐτόν. ὁ δὲ ἀπῆλθε, πόλεμον ἀπειλήσας προσδέχεσθαι. Δημοφῶν δὲ τούτου μὲν ὠλιγώρει· χρησμῶν δὲ αὐτῷ νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεστάτην παρθένων σφάξῃ, τοῖς λόγοις βαρέως ἔσχεν· οὔτε γὰρ ἰδίαν, οὔτε τῶν πολιτῶν τινος θυγατέρα χάριν τῶν ἱκετῶν ἀποκτεῖναι, δίκαιον ἡγεῖται. τὴν μαντείαν δὲ προγνοῦσα μία τῶν Ἡρακλεους παίδων, Μακαρία, τὸν θάνατον ἑκουσίως ὑπέστη. ταύτην μὲν οὖν εὐγενῶς ἀποθανοῦσαν ἐτίμησεν· αὐτοὶ δὲ τοὺς πολεμίους ἐπιγνόντες παρόντας, εἰς τὴν μάχην ὥρμησαν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΟΛΑΟΣ.
ΚΟΠΡΕΥΣ.
ΧΟΡΟΣ.
ΔΗΜΟΦΩΝ.
ΜΑΚΑΡΙΑ.
ΘΕΡΑΠΩΝ.
ΑΛΚΜΗΝΗ.
ΑΓΓΕΛΟΣ.
ΕΥΡΥΣΘΕΥΣ.

ΕΥΡΙΠΙΔΟΥ ΗΡΑΚΛΕΙΔΑΙ.

ΙΟΛΑΟΣ.

Πάλαι ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον·
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ,
ὁ δ' ἐς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
πόλει τ' ἄχρηστος καὶ συναλλάσσειν βαρὺς,
αὑτῷ δ' ἄριστος· οἶδα δ' οὐ λόγῳ μαθών.
ἐγὼ γὰρ αἰδοῖ καὶ τὸ συγγενὲς σέβων,
ἐξὸν κατ' Ἄργος ἡσύχως ναίειν, πόνων
πλείστων μετέσχον εἷς ἀνὴρ Ἡρακλέει,
ὅτ' ἦν μεθ' ἡμῶν· νῦν δ' ἐπεὶ κατ' οὐρανὸν
ναίει, τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς
σώζω τάδ', αὐτὸς δεόμενος σωτηρίας.
ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπηλλάχθη πατὴρ,
πρῶτον μὲν ἡμᾶς ἤθελ' Εὐρυσθεὺς κτανεῖν·
ἀλλ' ἐξέδραμεν. καὶ πόλις μὲν οἴχεται,
ψυχὴ δ' ἐσώθη. φεύγομεν δ' ἀλώμενοι,
ἄλλην ἀπ' ἄλλης ἐξορίζοντες πόλιν.
πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ' Εὐρυσθεὺς κακοῖς
ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι·

8. Ἡρακλεῖ.

πέμπων, ὅπη γῆς πυνθάνοιθ' ἱδρυμένους,
κήρυκας, ἐξαιτεῖ τε κἀξείργει χθονὸς,
πόλιν προτείνων Ἄργος οὐ σμικρὰν φίλων
ἔχθραν γε θέσθαι, χαὐτὸν εὐτυχοῦνθ' ἅμα.
οἱ δ', ἀσθενῆ μὲν τἀπ' ἐμοῦ δεδορκότες,
σμικροὺς δὲ τούσδε καὶ πατρὸς τητωμένους,
τοὺς κρείσσονας σέβοντες ἐξείργουσι γῆς.
ἐγὼ δὲ σὺν φεύγουσι συμφεύγω τέκνοις,
καὶ σὺν κακῶς πράσσουσι συμπράσσω κακῶς,
ὀκνῶν προδοῦναι, μή τις ὧδ' εἴπῃ βροτῶν·
ἴδεσθ', ἐπειδὴ παισὶν οὐκ ἔστιν πατὴρ,
Ἰόλαος οὐκ ἤμυνε συγγενὴς γεγώς.
πάσης δὲ χώρας Ἑλλάδος τητώμενοι,
Μαραθῶνα καὶ σύγκληρον ἐλθόντες χθόνα,
ἱκέται καθεζόμεσθα βώμιοι θεῶν,
προσωφελῆσαι· πεδία γὰρ τῆσδε χθονὸς
δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος,
κλήρῳ λαχόντας, ἐκ γένους Πανδίονος,
τοῖσδ' ἐγγὺς ὄντας· ὧν ἕκατι, τέρμονας
κλεινῶν Ἀθηνῶν τήνδ' ἀφικόμεσθ' ὁδόν.
δυοῖν γερόντοιν δὲ στρατηγεῖται φυγή·
ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνω τέκνοις,
ἡ δ' αὖ τὸ θῆλυ παιδὸς Ἀλκμήνη γένος,
ἔσωθε ναοῦ τοῦδ' ὑπηγκαλισμένη,
σώζει· νέας γὰρ παρθένους αἰδούμεθα
ὄχλῳ πελάζειν κἀπιβωμιοστατεῖν.
Ὕλλος δ' ἀδελφοί θ', οἷσι πρεσβεύει γένος,
ζητοῦσ', ὅπη γῆς πύργον οἰκιούμεθα,
ἢν τῆσδ' ἀπωθώμεσθα πρὸς βίαν χθονός.

22. ἐχθρὰν γενέσθαι. 42. ἀπηγκαλισμένη. 46. ὅπου.

ὦ τέκνα, τέκνα, δεῦρο, λαμβάνεσθ' ἐμῶν
πέπλων· ὁρῶ κήρυκα τόνδ' Εὐρυσθέως
στείχοντ' ἐφ' ἡμᾶς, οὗ διωκόμεσθ' ὕπο,
πάσης ἀλῆται γῆς ἀπεστερημένοι.
ὦ μῖσος, εἴθ' ὄλοιο χὡ πέμψας σ' ἀνήρ!
ὡς πολλὰ δὴ καὶ τῶνδε γενναίῳ πατρὶ
ἐκ τοῦδε ταὐτοῦ στόματος ἤγγειλας κακά!

ΚΟΠΡΕΥΣ.

ἦπου καθῆσθαι τήνδ' ἕδραν καλὴν δοκεῖς
πόλιν τ' ἀφῖχθαι σύμμαχον, κακῶς φρονῶν·
οὐ γάρ τις ἐστὶν, ὃς πάροιθ' αἱρήσεται
τὴν σὴν ἀχρεῖον δύναμιν ἀντ' Εὐρυσθέως·
χώρει· τί μοχθεῖς ταῦτ'; ἀνίστασθαί σε χρὴ
ἐς Ἄργος, οὗ σε λεύσιμος μένει δίκη.

ΙΟΛΑΟΣ.

οὐ δῆτ'· ἐπεί μοι βωμὸς ἀρκέσει θεοῦ
ἐλευθέρα τε γαῖ', ἐν ᾗ βεβήκαμεν.

ΚΟΠΡΕΥΣ.

βούλει πόνον μοι τῇδε προσθεῖναι χερί;

ΙΟΛΑΟΣ.

οὔτοι βίᾳ γέ μ', οὐδὲ τούσδ' ἄξεις λαβών.

ΚΟΠΡΕΥΣ.

γνώσει σύ· μάντις δ' ἦσθ' ἄρ' οὐ καλὸς τάδε.

ΙΟΛΑΟΣ.

οὐκ ἂν γένοιτο τοῦτ' ἐμοῦ ζῶντός ποτε.

ΚΟΠΡΕΥΣ.

ἄπαιρ'· ἐγὼ δὲ τούσδε, κἂν σὺ μὴ θέλῃς,
ἄξω, νομίζων, οὗπέρ εἰσ', Εὐρυσθέως.

56. καλῶς φρονῶν; 58. ἀχρείαν δ.

ΙΟΛΑΟΣ.

ὦ τὰς Ἀθήνας δαρὸν οἰκοῦντες χρόνον,
ἀμύνεθ᾽· ἱκέται δ᾽ ὄντες Ἀγοραίου Διὸς,
βιαζόμεσθα, καὶ στέφη μιαίνεται,
πόλει τ᾽ ὄνειδος καὶ θεῶν ἀτιμία.

ΧΟΡΟΣ.

ἔα! ἔα! τίς ἡ βοὴ βωμοῦ πέλας
ἕστηκε; ποίαν συμφορὰν δείξει τάχα;

ΙΟΛΑΟΣ.

ἴδετε τὸν γέροντ᾽ ἀμαλὸν ἐπὶ πέδῳ (στροφὴ ά.)
χύμενον· ὦ τάλας.

ΧΟΡΟΣ.

πρὸς τοῦ ποτ᾽ ἐν γῇ πτῶμα δύστηνον πιτνεῖς;
* * *

ΙΟΛΑΟΣ.

ὅδ᾽, ὦ ξένοι, με, σοὺς ἀτιμάζων θεοὺς (στροφὴ β΄.)
ἕλκει βιαίως Ζηνὸς ἐκ προβωμίων.

ΧΟΡΟΣ.

ὅδ᾽ ἐκ τίνος γῆς, ὦ γέρον, τετράπτολιν
ξύνοικον ἦλθες λαόν;
ἢ πέραθεν ἁλίῳ πλάτᾳ
κατέχετ᾽ ἐκλιπόντες Εὐβοΐδ᾽ ἀκτάν;

ΙΟΛΑΟΣ.

οὐ νησιώτην, ὦ ξένοι, τρίβω βίον,
ἀλλ᾽ ἐκ Μυκηνῶν σὴν ἀφίγμεθα χθόνα.

ΧΟΡΟΣ.

ὄνομα τί σε, γέρον, Μυκηναῖος ὠ-
νόμαζεν λαός;

80. ὅδ᾽; ἐκ τίν. γ. 83. κατέσχετ᾽. 87. ὠνόμαζε λαός.

ΙΟΛΑΟΣ.

τὸν Ἡράκλειον ἴστε που παραστάτην
Ἰόλαον; οὐ γὰρ σῶμ᾽ ἀκήρυκτον τόδε.

ΧΟΡΟΣ.

οἶδ᾽ εἰσακούσας καὶ πρίν· ἀλλὰ τοῦ ποτ᾽ ἐν
(μεσῳδός.)
χειρὶ σᾷ κομίζεις κόρους
νεοτρεφεῖς, φράσον.

ΙΟΛΑΟΣ.

Ἡρακλέους οἵδ᾽ εἰσὶ παῖδες, ὦ ξένοι,
ἱκέται σέθεν τε καὶ πόλεως ἀφιγμένοι.

ΧΟΡΟΣ.

τί χρέος; ἦ λόγων πόλεως, ἔνεπέ μοι (ἀντιστρ. ά.)
μελόμενοι τυχεῖν;

ΙΟΛΑΟΣ.

μήτ᾽ ἐκδοθῆναι, μήτε πρὸς βίαν θεῶν
τῶν σῶν ἀποσπασθέντες εἰς Ἄργος μολεῖν.

ΚΟΠΡΕΥΣ.

ἀλλ᾽ οὔτι τοῖς σοῖς δεσπόταις τάδ᾽ ἀρκέσει,
(ἀντιστρ. β΄.)
οἵ σοῦ κρατοῦντες ἐνθάδ᾽ εὑρίσκουσί σε.

ΧΟΡΟΣ.

εἰκὸς θεῶν ἱκτῆρας αἰδεῖσθαι, ξένε,
καὶ μὴ βιαίῳ χειρὶ
δαιμόνων ἀπολιπεῖν σ᾽ ἕδη·
πότνια γὰρ Δίκα τάδ᾽ οὐ πείσεται.

ΚΟΠΡΕΥΣ.

ἔκπεμπέ νυν γῆς τούσδε τοὺς Εὐρυσθέως,
κοὐδὲν βιαίῳ τῇδε χρήσομαι χερί.

91. 92. κομ. νεοτρεφεῖς κόρους. 95. ἔννεπέ μοι. 104. ἀπολείπειν σ᾽.

ΧΟΡΟΣ.

ἄθεον ἱκεσίαν μεθεῖναι πόλει
ξένων προστροπάν.

ΚΟΠΡΕΥΣ.

καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα,
εὐβουλίας τυχόντα τῆς ἀμείνονος.

ΧΟΡΟΣ.

οὐκοῦν τυράννῳ τῆσδε γῆς φράσαντά σε
χρῆν ταῦτα τολμᾷν, ἀλλὰ μὴ βίᾳ ξένους
θεῶν ἀφέλκειν, γῆν σέβοντ' ἐλευθέραν.

ΚΟΠΡΕΥΣ.

τίς δ' ἐστὶ χώρας τῆσδε καὶ πόλεως ἄναξ;

ΧΟΡΟΣ.

ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως.

ΚΟΠΡΕΥΣ.

πρὸς τόνδ' ἀγὼν τις ἆρα τοῦδε τοῦ λόγου
μάλιστ' ἂν εἴη· τἄλλα δ' εἴρηται μάτην.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' αὐτὸς ἔρχεται σπουδὴν ἔχων
Ἀκάμας τ' ἀδελφὸς, τῶνδ' ἐπήκοοι λόγων.

ΔΗΜΟΦΩΝ.

ἐπείπερ ἔφθης, πρέσβυς ὢν, νεωτέρους,
βοηδρομήσας τήνδ' ἐπ' ἐσχάραν Διὸς,
λέξον, τίς ὄχλον τόνδ' ἀθροίζεται τύχη.

ΧΟΡΟΣ.

ἱκέται κάθηνται παῖδες οἵδ' Ἡρακλέους,
βωμὸν καταστέψαντες, ὡς ὁρᾷς, ἄναξ,
πατρός τε πιστὸς Ἰόλεως παραστάτης.

116. ἄρα.

ΔΗΜΟΦΩΝ.

τί δῆτ' ἰϋγμῶν ἥδ' ἐδεῖτο συμφορά;

ΧΟΡΟΣ.

βίᾳ νιν οὗτος τῆσδ' ἀπ' ἐσχάρας ἄγειν
ζητῶν, βοὴν ἔστησε, κἄσφηλεν γόνυ
γέροντος, ὥστ' ἐμοὶ βαλεῖν οἴκτῳ δάκρυ.

ΔΗΜΟΦΩΝ.

καὶ μὴν στολήν γ' Ἕλληνα καὶ ῥυθμὸν πέπλων
ἔχει· τὰ δ' ἄλλα βαρβάρου χερὸς τάδε.
σὸν δὴ τὸ φράζειν ἐστὶ, μὴ μέλλειν τ', ἐμοὶ,
ποίας ἀφῖξαι δεῦρο γῆς ὅρους λιπών.

ΚΟΠΡΕΥΣ.

Ἀργεῖός εἰμι· τοῦτο γὰρ θέλεις μαθεῖν.
ἐφ' οἷσι δ' ἥκω, καὶ παρ' οὗ, λέγειν θέλω.
πέμπει Μυκηνῶν δεῦρό μ' Εὐρυσθεὺς ἄναξ,
ἄξοντα τούσδε· πολλὰ δ' ἦλθον, ὦ ξένε,
δίκαι' ὁμαρτῇ δρᾷν τε καὶ λέγειν ἔχων.
Ἀργεῖος ὢν γὰρ αὐτὸς Ἀργείους ἄγω,
ἐκ τῆς ἐμαυτοῦ δραπέτας τούτους ἔχων,
νόμοισι τοῖς ἐκεῖθεν ἐψηφισμένους
θανεῖν· δίκαιοι δ' ἐσμὲν οἰκοῦντες πόλιν
αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας.
πολλῶν δὲ κἄλλων ἑστίας ἀφιγμένων,
ἐν τοῖσιν αὐτοῖς τοισίδ' ἕσταμεν λόγοις,
κοὐδεὶς ἐτόλμησ' ἴδια προσθέσθαι κακά.
ἀλλ' εἴ τιν' ἐς σὲ μωρίαν ἐσκεμμένοι
δεῦρ' ἦλθον, ἐς κίνδυνον ἐξ ἀμηχάνων
ῥιπτοῦντες, εἴτ' οὖν, εἴτε μὴ, γενήσεται —
οὐ γὰρ φρενήρη γ' ὄντα σ' ἐλπίζουσί που

145. ἐν τοῖσιδ' αὐτοῖς τοῖσιν ἕστ.

μόνον τοσαύτης, ἣν ἐπῆλθον, Ἑλλάδος
τὰς τῶνδ' ἀβούλους ξυμφορὰς κατοικτιεῖν —
φέρ', — ἀντίθες γὰρ, — τούςδε τ' ἐς γαῖαν παρεὶς,
ἡμᾶς τ' ἐάσας ἐξάγειν, τί κερδανεῖς;
τὰ μὲν παρ' ἡμῶν τοιάδ' ἐστι σοι λαβεῖν·
Ἄργους τοσήνδε χεῖρα τήν τ' Εὐρυσθέως
ἰσχὺν ἅπασαν τῇδε προςθέσθαι πόλει.
ἢν δ' ἐς λόγους τε καὶ τὰ τῶνδ' οἰκτίσματα
βλέψας πεπανθῇς, ἐς πάλην καθίσταται
δορὸς τὸ πρᾶγμα· μὴ γὰρ ὡς μεθήσομεν
δόξῃς ἀγῶνα τόνδ' ἄτερ χαλυβδικοῦ.
τί δῆτα φήσεις, ποῖα πεδί' ἀφαιρεθεὶς,
Τιρυνθίοις θεὶς πόλεμον Ἀργείοις τ' ἔχειν,
ποίοις δ' ἀμύνων συμμάχοις, τίνος δ' ὕπερ
θάψεις νεκροὺς πεσόντας; ἢ κακὸν λόγον
κτήσει πρὸς ἀστῶν, εἰ γέροντος οὕνεκα
τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,
παίδων τε τῶνδ' ἐς ἄντλον ἐμβήσεις πόδα.
ἐρεῖς, τὸ λῷστον, ἐλπίδ' εὑρήσειν μόνον.
καὶ τοῦτο πολλῷ τοῦ παρόντος ἐνδεές·
κακῶς γὰρ Ἀργείοισιν οἵδ' ὡπλισμένοι
μάχοιντ' ἂν ἡβήσαντες, εἴ τι τοῦτό σε
ψυχὴν ἐπαίρει, χὠὐν μέσῳ πολὺς χρόνος,
ἐν ᾧ διεργασθεῖτ' ἄν. ἀλλ' ἐμοὶ πιθοῦ·
δοὺς μηδὲν, ἀλλὰ τἄμ' ἐῶν ἄγειν ἐμὲ,
κτῆσαι Μυκήνας, μήδ', ὅπερ φιλεῖτε δρᾷν,
πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν
φίλους ἑλέσθαι, τοὺς κακίονας λάβῃς.

152. κατοικτίσειν. 153. τούςδε γ' εἰς γ. 163. Τ. θῇς πολ. Ἀργείοις ἔχ. 168. ἐμβήσῃ πόδα. 172. εἴπερ τ. 173. χ' ὡ 'ν. 175. δὺς μηδέν·

ΔΗΜΟΦΩΝ.

τίς ἂν δίκην κρίνειεν, ἢ γνοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;

ΙΟΛΑΟΣ.

ἄναξ, ὑπάρχει μὲν τόδ' ἐν τῇ σῇ χθονὶ,
εἰπεῖν ἀκοῦσαί τ' ἐν μέρει πάρεστί μοι,
κοὐδείς μ' ἀπώσει πρόςθεν, ὥςπερ ἄλλοθεν.
ἡμῖν δὲ καὶ τῷδ' οὐδέν ἐστιν ἐν μέρει·
ἐπεὶ γὰρ Ἄργους οὐδέν ἐσθ' ἡμῖν ἔτι,
ψήφῳ δοκῆσαν, ἀλλὰ φεύγομεν πάτραν,
πῶς ἂν δικαίως ὡς Μυκηναίους ἄγοι
ὅδ' ὄντας ἡμᾶς, οὓς ἀπήλασαν χθονός;
ξένοι γὰρ ἐσμέν. ἢ τὸν Ἑλλήνων ὅρον
φεύγειν δικαιοῦτ', ὅςτις ἂν τἄργος φύγῃ;
οὔκουν Ἀθήνας γ'· οὐκ ἄρ' Ἀργείων φόβῳ
τοὺς Ἡρακλείους παῖδας ἐξελῶσι γῆς.
οὐ γάρ τι Τραχίς ἐστιν, οὐδ' Ἀχαϊκὸν
πόλισμ', ὅθεν σὺ τούςδε, τῇ δίκῃ μὲν οὔ,
τὸ δ' Ἄργος ὀγκῶν, οἷάπερ καὶ νῦν λέγεις,
ἤλαυνες ἱκέτας βωμίους καθημένους.
εἰ γὰρ τόδ' ἔσται καὶ λόγους κρινοῦσι σοὺς,
οὐκ οἶδ' Ἀθήνας τάςδ' ἐλευθέρας ἔτι.
ἀλλ' οἶδ' ἐγὼ τὸ τῶνδε λῆμα καὶ φύσιν·
θνήσκειν θελήσουσ'· ἡ γὰρ αἰσχύνη βαρος
τοῦ ζῆν παρ' ἐσθλοῖς ἀνδράσιν νομίζεται.
πόλιν μὲν ἀρκεῖ· καὶ γὰρ οὖν ἐπίφθονον
λίαν γ' ἐπαινεῖν ἐστί· πολλάκις δὲ δὴ
καὐτὸς βαρυνθεὶς οἶδ' ἄγαν γ' αἰνούμενος.

188. ὧδ' ὄντ. — ἀπήλασε. 190. φύγοι. 191. οὐ γαρ Ἀργ. φ. 192. Ἡρακλέους.

σοὶ δ' ὡς ἀνάγκη τούσδε, βούλομαι φράσαι,
σώζειν, ἐπείπερ τῆσδε προστατεῖς χθονός·
Πιτθεὺς μέν ἐστι Πέλοπος, ἐκ δὲ Πιτθέως
Αἴθρα, πατὴρ δ' ἐκ τῆσδε γεννᾶται σέθεν
Θησεύς. πάλιν δὲ τῶνδ' ἄνειμί σοι γένος.
Ἡρακλέης ἦν Ζηνὸς Ἀλκμήνης τε παῖς,
κείνη δὲ Πέλοπος θυγατρός· αὐτανεψίω
πατὴρ ἂν εἴη σός τε καὶ τούτων γεγώς.
γένους μὲν ἥκεις ὧδε τοῖσδε, Δημοφῶν·
ἃ δ' ἐκτὸς ἤδη τοῦ προσήκοντός σε δεῖ
τίσαι, λέγω σοι, παισί· φημὶ γάρ ποτε
σύμπλους γενέσθαι, τῶνδ' ὑπασπίζων πατρὶ,
ζωστῆρα Θησεῖ τὸν πολυκτόνον μέτα,
Ἅιδου τ' ἐρεμνῶν ἐξανήγαγεν μυχῶν
πατέρα σόν· Ἑλλὰς πᾶσα τοῦτο μαρτυρεῖ.
ὧν ἀντιδοῦναί σ' οἵδ' ἀπαιτοῦσιν χάριν,
μήτ' ἐκδοθῆναι, μήτε πρὸς βίαν θεῶν
τῶν σῶν ἀποσπασθέντες, ἐκπεσεῖν χθονός.
σοὶ γὰρ τόδ' αἰσχρὸν χωρὶς, ἔν τε τῇ πόλει [κακὸν]
ἱκέτας ἀλήτας, συγγενεῖς, — οἴμοι κακῶν!
βλέψον πρὸς αὐτοὺς, βλέψον, — ἕλκεσθαι βίᾳ.
ἀλλ' ἄντομαί σε, καὶ καταστέφω, χεροῖν
καὶ πρὸς γενείου, μηδαμῶς ἀτιμάσῃς
τοὺς Ἡρακλείους παῖδας ἐς χέρας λαβών.
γενοῦ δὲ τοῖσδε συγγενὴς, γενοῦ φίλος,
πατὴρ, ἀδελφὸς, δεσπότης· ἅπαντα γὰρ
ταῦτ' ἐστὶ κρείσσω, πλὴν ὑπ' Ἀργείοις πεσεῖν.

ΧΟΡΟΣ.

ᾤκτειρ' ἀκούσας τάσδε συμφορὰς, ἄναξ.

223. deest τῇ et κακόν sine uncis.

τὴν δ' εὐγένειαν τῆς τύχης νικωμένην
νῦν δὴ μάλιστ' ἐσεῖδον· οἵδε γὰρ πατρὸς
ἐσθλοῦ γεγῶτες δυστυχοῦσ' ἀναξίως.

ΔΗΜΟΦΩΝ.

τρισσαί μ' ἀναγκάζουσι συμφορᾶς ὁδοί,
Ἰόλαε, τοὺς σοὺς μὴ παρώσασθαι ξένους·
τὸ μὲν μέγιστον, Ζεὺς, ἐφ' οὗ σὺ βώμιος
θακεῖς, νεοσσῶν τήνδ' ἔχων πανήγυριν,
τὸ συγγενές τε καὶ τὸ προὐφείλειν καλῶς
πράσσειν παρ' ἡμῶν τούσδε πατρῴαν χάριν,
τό τ' αἰσχρὸν, οὗπερ δεῖ μάλιστα φροντίσαι·
εἰ γὰρ παρήσω τόνδε συλᾶσθαι βίᾳ
ξένου πρὸς ἀνδρὸς βωμὸν, οὐκ ἐλεύθερον
οἰκεῖν δοκήσω γαῖαν, Ἀργείοις δ' ὄκνῳ
ἱκέτας προδοῦναι· καὶ τάδ' ἀγχόνης πέλας.
ἀλλ' ὤφελες μὲν εὐτυχέστερον μολεῖν·
ὅμως δὲ καὶ νῦν μὴ τρέσῃς, ὅπως σέ τις
σὺν παισὶ βωμοῦ τοῦδ' ἀποσπάσει βίᾳ.
σὺ δ' Ἄργος ἐλθὼν, ταῦτά τ' Εὐρυσθεῖ φράσον,
πρὸς τοῖσδέ τ', εἴ τι τοισίδ' ἐγκαλεῖ ξένοις,
δίκης κυρήσει· τούσδε δ' οὐκ ἄξεις ποτέ.

ΚΟΠΡΕΥΣ.

οὐκ, ἢν δίκαιον ᾖ τι καὶ νικῶ λόγῳ;

ΔΗΜΟΦΩΝ.

καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;

ΚΟΠΡΕΥΣ.

οὔκουν ἐμοὶ τόδ' αἰσχρὸν, ἀλλὰ σοὶ, βλάβος.

249. ἀποσπάσῃ. 251. τοῖσί γ' ἐγκ.

ΔΗΜΟΦΩΝ.
ἐμοί γ', ἐάν σοι τούσδ' ἐφέλκεσθαι μεθῶ.
ΚΟΠΡΕΥΣ.
σὺ δ' ἐξόριζε, κᾆτ' ἐκεῖθεν ἄξομεν.
ΔΗΜΟΦΩΝ.
σκαιὸς πέφυκας, τοῦ θεοῦ πλείω φρονῶν.
ΚΟΠΡΕΥΣ.
δεῦρ', ὡς ἔοικε, τοῖς κακοῖσι φευκτέον.
ΔΗΜΟΦΩΝ.
ἅπασι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.
ΚΟΠΡΕΥΣ.
ταῦτ' οὐ δοκήσει τοῖς Μυκηναίοις ἴσως.
ΔΗΜΟΦΩΝ.
οὐκοῦν ἐγὼ τῶν ἐνθάδ' εἰμὶ κύριος;
ΚΟΠΡΕΥΣ.
βλάπτων ἐκείνους μηδὲν, ἢν σὺ σωφρονῇς.
ΔΗΜΟΦΩΝ.
βλάπτεσθ', ἐμοῦ γε μὴ μιαίνοντος θεούς;
ΚΟΠΡΕΥΣ.
οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.
ΔΗΜΟΦΩΝ.
κἀγὼ τοιοῦτος· τῶνδε δ' οὐ μεθήσομαι.
ΚΟΠΡΕΥΣ.
ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.
ΔΗΜΟΦΩΝ.
οὐκ ἆρ' ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.
ΚΟΠΡΕΥΣ.
πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴσομαι.

258. πλεῖον φρ. 262. τῶνδ' ἐνθάδ'. 263. ἂν σὺ σ.

ΔΗΜΟΦΩΝ.
κλάων ἄρ' ἅψει τῶνδε, κοὐκ ἐς ἀμβολάς.
ΧΟΡΟΣ.
μὴ πρὸς θεῶν κήρυκα τολμήσῃς θένειν.
ΔΗΜΟΦΩΝ.
εἰ μή γ' ὁ κῆρυξ σωφρονεῖν μαθήσεται.
ΧΟΡΟΣ.
ἄπελθε· καὶ σὺ τοῦδε μὴ θίγῃς, ἄναξ.
ΚΟΠΡΕΥΣ.
στείχω· μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη.
ἥξω δὲ πολλὴν Ἄρεος Ἀργείου λαβὼν
πάγχαλκον αἰχμὴν δεῦρο. μυρίοι δέ με
μένουσιν ἀσπιστῆρες, Εὐρυσθεύς τ' ἄναξ
αὐτὸς στρατηγῶν· Ἀλκάθου δ' ἐπ' ἐσχάτοις
καραδοκῶν τἀνθένδε τέρμασιν μένει.
λαμπρὸς δ', ἀκούσας σὴν ὕβριν, φανήσεται
σοὶ καὶ πολίταις γῇ τε τῇδε καὶ φυτοῖς·
μάτην γὰρ ἥβην ὧδέ γ' ἂν κεκτῴμεθα
πολλὴν ἐν Ἄργει, μή σε τιμωρούμενοι.
ΔΗΜΟΦΩΝ.
φθείρου· τὸ σὸν γὰρ Ἄργος οὐ δέδοικ' ἐγώ.
ἐνθένδε δ' οὐκ ἔμελλες, αἰσχύνας ἐμὲ,
ἄξειν βίᾳ τούσδ'· οὐ γὰρ Ἀργείων πόλει
ὑπήκοον τήνδ', ἀλλ' ἐλευθέραν, ἔχω.
ΧΟΡΟΣ.
ὥρα προνοεῖν, πρὶν ὅροις πελάσαι
στρατὸν Ἀργείων· μάλα δ' ὀξὺς Ἄρης
ὁ Μυκηναίων,

271. τολμήσεις. 282. κεκτώμεθα.

ἐπὶ τοῖσι δὲ δὴ μᾶλλον ἔτ', ἢ πρίν.
πᾶσι γὰρ οὗτος κήρυξι νόμος,
δὶς τόσα πυργοῦν τῶν γιγνομένων.
πόσα νιν λέξειν βασιλεῦσι δοκεῖς;
ὡς δείν' ἔπαθεν, καὶ παρὰ μικρὸν
ψυχὴν ἦλθεν διακναῖσαι.

ΙΟΛΑΟΣ.

οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
γαμεῖν τ' ἀπ' ἐσθλῶν· ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπών.
τὸ δυστυχὲς γὰρ ηὑγένει' ἀμύνεται
τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ, κακῶν
ἐς τοὔσχατον πεσόντες, εὕρομεν φίλους
καὶ ξυγγενεῖς τούσδ', οἳ, τοσῆσδ' οἰκουμένης
Ἑλληνίδος γῆς, τῶνδε προὔστησαν μόνοι.
δότ', ὦ τέκν', αὐτοῖς χεῖρα δεξιὰν, δότε,
ὑμεῖς τε παισὶ, καὶ πέλας προσέλθετε,
ὦ παῖδες· ἐς μὲν πεῖραν ἤλθομεν φίλων.
ἢν δ' οὖν ποθ' ὑμῖν νόστος ἐς πάτραν φανῇ,
καὶ δώματ' οἰκήσητε καὶ τιμὰς πατρὸς,
σωτῆρας αἰεὶ καὶ φίλους νομίζετε,
καὶ μή ποτ' ἐς γῆν ἐχθρὸν αἴρεσθαι δόρυ,
μεμνημένοι τῶνδ', ἀλλὰ φιλτάτην πόλιν
πασῶν νομίζετ'. ἄξιόν γ' ὑμῖν σέβειν,
οἳ γῆν τοσήνδε καὶ Πελασγικὸν λεὼν
ἡμῶν ἐνηλλάξαντο πολεμίους ἔχειν,

301. λιπεῖν. 310. ἡμῖν. 315. ἄξιοί γ' ὑμῖν. 317. ἀπηλλάξαντο.

πτωχοὺς ἀλήτας εἰσορῶντες· ἀλλ' ὅμως
οὐκ ἐξέδωκαν, οὐδ' ἀπήλασαν χθονος.
ἐγὼ δὲ καὶ ζῶν καὶ θανὼν, ὅταν θάνῃς,
πολλῷ σ' ἐπαίνῳ Θησέως, ὦ τὰν, πέλας,
ὑψηλὸν αἴρω, καὶ λέγων τάδ', εὐφρανῶ,
ὥς εὖ τ' ἐδέξω καὶ τέκνοισιν ἤρκεσας
τοῖς Ἡρακλείοις, εὐγενὴς δ' ἀν' Ἑλλάδα
σώζεις πατρῴαν δόξαν, ἐξ ἐσθλῶν δὲ φὺς,
οὐδὲν κακίων τυγχάνεις γεγὼς πατρὸς,
παύρων μετ' ἄλλων· ἕνα γὰρ ἐν πολλοῖς ἴσως
εὕροις ἂν, ὅστις ἐστὶ μὴ χείρων πατρός.

ΧΟΡΟΣ.

ἀεί ποθ' ἥδε γαῖα τοῖς ἀμηχάνοις
σὺν τῷ δικαίῳ βούλεται προσωφελεῖν.
τοίγαρ πόνους δὴ μυρίους ὑπὲρ φίλων
ἤνεγκε, καὶ νῦν τόνδ' ἀγῶν' ὁρῶ πέλας.

ΔΗΜΟΦΩΝ.

σοί τ' εὖ λέλεκται, καὶ τὰ τῶνδ' αὐχῶ, γέρον,
τοιαῦτ' ἔσεσθαι· μνημονεύσεται χάρις.
κἀγὼ μὲν ἀστῶν σύλλογον ποιήσομαι,
τάξω δ', ὅπως ἂν τὸν Μυκηναίων στρατὸν
πολλῇ δέχωμαι χειρί. πρῶτα μὲν σκοποὺς
πέμψω πρὸς αὐτὸν, μὴ λάθῃ με προσπεσών· —
ταχὺς γὰρ Ἄργει πᾶς ἀνὴρ βοηδρόμος —
μάντεις τ' ἀθροίσας θύσομαι. σὺ δ' ἐς δόμους
σὺν παισὶ χώρει, Ζηνὸς ἐσχάραν λιπών.
εἰσὶν γὰρ οἵ σου, κἂν ἐγὼ θυραῖος ὦ,
μέριμναν ἕξουσ'. ἀλλ' ἴθ' ἐς δόμους, γέρον.

320. ὅταν θάνω. 334. μνημονεύσεθ' ἡ χ.

ΙΟΛΑΟΣ.

οὐκ ἂν λίποιμι βωμόν· ἑζόμεσθα δὴ
ἱκέται μένοντες ἐνθάδ' εὖ πρᾶξαι πόλιν·
ὅταν δ' ἀγῶνος τοῦδ' ἀπαλλαχθῇς καλῶς,
ἴμεν πρὸς οἴκους· θεοῖσι δ' οὐ κακίοσι
χρώμεσθα συμμάχοισιν Ἀργείων, ἄναξ·
τῶν μὲν γὰρ Ἥρα προστατεῖ, Διὸς δάμαρ,
ἡμῶν δ' Ἀθηνᾶ. φημὶ δ', εἰς εὐπραξίαν
καὶ τοῦθ' ὑπάρχειν, θεῶν ἀμεινόνων τυχεῖν·
νικωμένη γὰρ Παλλὰς οὐκ ἀνέξεται.

ΧΟΡΟΣ.

Εἰ σὺ μέγ' αὐχεῖς, ἕτεροι (στροφή.)
σοῦ πλέον οὐ μέλονται,
ξεῖν', Ἀργόθεν ἐπελθών·
μεγαληγορίαισι δέ γ' ἐμὰς
φρένας οὐ φοβήσεις.
μήπω ταῖς μεγάλαισιν οὕτω
καὶ καλλιχόροις Ἀθάναις
εἴη! σύ τ' ἄφρων ὅ τ' Ἄργει
Σθενέλου τύραννος·
ὃς πόλιν ἐλθὼν ἑτέραν, (ἀντιστρ.)
οὐδὲν ἐλάσσον' Ἄργους,
θεῶν ἵκτορας ἀλάτας
καὶ ἐμᾶς χθονὸς ἀντεχομένους
ξένος ὢν βιαίως
ἕλκεις, οὐ βασιλεῦσιν εἴξας,
οὐκ ἄλλο δίκαιον εἰπών.
ποῦ ταῦτα καλῶς ἂν εἴη
παρά γ' εὖ φρονοῦσιν.
εἰρήνα μὲν ἔμοιγ' ἀρέσκει· (ἐπῳδός.)

364. ἱκτῆρας.

σοὶ δ', ὦ κακόφρων ἄναξ,
λέγω, εἰ πόλιν ἥξεις,
οὐχ οὕτως, ἃ δοκεῖς, κυρήσεις.
οὐ σοὶ μόνῳ ἔγχος, οὐδ'
ἰτέα κατάχαλκός ἐστιν.
ἀλλ' ὦ πολέμων ἐραστὰ,
μή μοι δορὶ συνταράξῃς
τὰν εὐχαρίτως ἔχουσαν
πόλιν, ἀλλ' ἀνάσχου.

ΙΟΛΑΟΣ.

ὦ παῖ, τί μοι σύννοιαν ὄμμασιν φέρων
ἥκεις; νέον τι πολεμίων λέγεις πέρι;
μέλλουσιν, ἢ πάρεισιν, ἢ τί πυνθάνει;
οὐ γάρ τι μὴ ψεύσει γε κήρυκος λόγος·
ὁ γὰρ στρατηγὸς εὐτυχὴς τὰ πρὸς θεῶν
ἐστὶν, σάφ' οἶδα, καὶ μάλ' οὐ σμικρὸν φρονῶν
ἐς τὰς Ἀθήνας. ἀλλὰ τῶν φρονημάτων
ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.

ΔΗΜΟΦΩΝ.

ἥκει στράτευμ' Ἀργεῖον Εὐρυσθεύς τ' ἄναξ·
ἐγώ νιν αὐτὸς εἶδον. ἄνδρα γὰρ χρεὼν,
ὅστις στρατηγεῖν φήσ' ἐπίστασθαι καλῶς,
οὐκ ἀγγέλοισι τοὺς ἐναντίους ὁρᾷν.
πεδία μὲν οὖν γῆς ἐς τάδ' οὐκ ἐφῆκέ πω
στρατὸν, λεπαίαν δ' ὀφρύην καθήμενος
σκοπεῖ, — δόκησιν δὴ τόδ' ἂν λέγοιμί σοι, —
ποίᾳ προσάξει στρατόπεδον τὰ νῦν δορὸς,
ἐν ἀσφαλεῖ τε τῆσδ' ἱδρύσεται χθονός.

372. σὺ δ'. 377. ἀλλ' οὐ π. ἐραστάς. 378. συναράξῃς 379. εὐχαρίστως. 381. ὄμμασι φ. 384. ψεύσῃ. 390. ἄνδρα δὲ χρ. 397. τῇδ' ἱδρ.

καὶ τἀμὰ μέντοι πάντ᾽ ἄραρ᾽ ἤδη καλῶς·
πόλις τ᾽ ἐν ὅπλοις σφάγιά θ᾽ ἡτοιμασμένα
ἕστηκεν, οἷς χρὴ ταῦτα τέμνεσθαι θεῶν,
θυηπολεῖται δ᾽ ἄστυ μάντεων ὕπο,
τροπαῖά τ᾽ ἐχθρῶν καὶ πόλει σωτήρια.
χρησμῶν δ᾽ ἀοιδοὺς πάντας εἰς ἓν ἁλίσας
ἤλεγξα καὶ βέβηλα καὶ κεκρυμμένα
λόγια παλαιὰ, τῇδε γῇ σωτήρια.
καὶ τῶν μὲν ἄλλων διάφορ᾽ ἐστὶ θεσφάτων
πόλλ᾽· ἓν δὲ πάντων γνῶμα ταὐτὸν ἐμπρέπει·
σφάξαι κελεύουσίν με παρθένον κόρῃ
Δήμητρος, ἥτις ἐστὶ πατρὸς εὐγενοῦς.
ἐγὼ δ᾽ ἔχω μὲν, ὡς ὁρᾷς, προθυμίαν
τοσήνδ᾽ ἐς ὑμᾶς· παῖδα δ᾽ οὔτ᾽ ἐμὴν κτενῶ,
οὔτ᾽ ἄλλον ἀστῶν τῶν ἐμῶν ἀναγκάσω
ἄκονθ᾽· ἑκὼν δὲ τίς κακῶς οὕτω φρονεῖ,
ὅςτις τὰ φίλτατ᾽ ἐκ χερῶν δώσει τέκνα;
καὶ νῦν πικρὰς ἂν συστάσεις ἂν εἰςίδοις,
τῶν μὲν λεγόντων, ὡς δίκαιον ἦν ξένοις
ἱκέταις ἀρήγειν, τῶν δὲ μωρίαν ἐμὴν
κατηγορούντων. εἰ δὲ δὴ δράσω τόδε,
οἰκεῖος ἤδη πόλεμος ἐξαρτύεται.
ταῦτ᾽ οὖν ὅρα σὺ καὶ συνεξεύρισχ᾽, ὅπως
αὐτοί τε σωθήσεσθε καὶ πέδον τόδε,
κἀγὼ πολίταις μὴ διαβληθήσομαι.
οὐ γὰρ τυραννίδ᾽ ὥςτε βαρβάρων ἔχω·
ἀλλ᾽ ἢν δίκαια δρῶ, δίκαια πείσομαι.

398. ἄρηρ᾽. 402. σωτηρία. 408. κόρην. 409. Δήμητρί γ᾽. 411. κτανῶ. 415. πικρὸν ὂν σ. 416. δίκ. ᾖ. 418. ἢν δὲ μὴ δρ.

ΧΟΡΟΣ.

ἀλλ᾽ ἦ πρόθυμον οὖσαν οὐκ ἐᾷ θεὸς
ξένοις ἀρήγειν τήνδε χρῄζουσαν πόλιν.

ΙΟΛΑΟΣ.

ὦ τέκν᾽, ἔοιγμεν ναυτίλοισιν, οἵτινες
χειμῶνος ἐκφυγόντες ἄγριον μένος
ἐς χεῖρα γῇ συνῆψαν, εἶτα χερσόθεν
πνοαῖσιν ἠλάθησαν ἐς πόντον πάλιν.
οὕτω δὲ χἠμεῖς τῆςδ᾽ ἀπωθούμεσθα γῆς,
ἤδη πρὸς ἀκταῖς ὄντες, ὡς σεσωσμένοι.
οἴμοι! τί δῆτ᾽ ἔτερψας, ὦ τάλαινά, με
ἐλπὶς τότ᾽, οὐ μέλλουσα διατελεῖν χάριν;
συγγνωστὰ γάρ τοι καὶ τὰ τοῦδ᾽, εἰ μὴ θέλοι
κτείνειν πολιτῶν παῖδας. αἰνέσας δ᾽ ἔχω
καὶ τἀνθάδ᾽· εἰ θεοῖσι δὴ δοκεῖ τάδε
πράσσειν ἔμ᾽, οὔτοι σοί γ᾽ ἀπόλλυται χάρις.
ὦ παῖδες, ὑμῖν δ᾽ οὐκ ἔχω τί χρήσομαι.
ποῖ τρεψόμεσθα; τίς γὰρ ἄστεπτος θεῶν;
ποῖον δὲ γαίας ἕρκος οὐκ ἀφίγμεθα;
ὀλούμεθ᾽, ὦ τέκν᾽, ἐκδοθησόμεσθα δή.
κἀμοὶ μὲν οὐδὲν, εἴ με χρὴ θανεῖν, μέλει,
πλὴν εἴ τι τέρψω τοὺς ἐμοὺς ἐχθροὺς θανών.
ὑμᾶς δὲ κλάω καὶ κατοικτείρω, τέκνα,
καὶ τὴν γεραιὰν μητέρ᾽ Ἀλκμήνην πατρός.
ὦ δυςτάλαινα τοῦ μακροῦ βίου σέθεν!
τλήμων δὲ κἀγὼ, πολλὰ μοχθήσας μάτην!
χρῆν, χρῆν ἄρ᾽ ἡμᾶς ἀνδρὸς εἰς ἐχθροῦ χέρας
πεσόντας αἰσχρῶς καὶ κακῶς λιπεῖν βίον.
ἀλλ᾽ οἶσθ᾽, ὅ μοι σύμπραξον; οὐχ ἅπασα γὰρ

438. πρ. ἔμ᾽· οὔτοι. 451. ἅπασι.

πέφευγεν ἐλπὶς τῶνδέ μοι σωτηρίας.
ἐμ᾽ ἔκδος Ἀργείοισιν ἀντὶ τῶνδ᾽, ἄναξ,
καὶ μήτε κινδύνευε, σωθήτω τέ μοι
τέκν᾽· οὐ φιλεῖν δεῖ τὴν ἐμὴν ψυχήν· ἴτω.
μάλιστα δ᾽ Εὐρυσθεύς με βούλοιτ᾽ ἂν λαβὼν
τὸν Ἡράκλειον σύμμαχον καθυβρίσαι·
σκαιὸς γὰρ ἁνήρ. τοῖς σοφοῖς δ᾽ εὐκτὸν σοφῷ
ἔχθραν συνάπτειν, μὴ ᾽μαθεῖ φρονήματι·
πολλῆς γὰρ αἰδοῦς καὶ δίκης τις ἂν τύχοι.

ΧΟΡΟΣ.

ὦ πρέσβυ, μὴ νῦν τήνδ᾽ ἐπαιτιῶ πόλιν·
τάχ᾽ ἂν γὰρ ἡμῖν κέρδος, ἀλλ᾽ ὅμως κακὸν
γένοιτ᾽ ὄνειδος, ὡς ξένους προὐδώκαμεν.

ΔΗΜΟΦΩΝ.

γενναῖα μὲν τάδ᾽ εἶπας, ἀλλ᾽ ἀμήχανα.
οὐ σοῦ χατίζων, δεῦρ᾽ ἄναξ στρατηλατεῖ.
τί γὰρ γέροντος ἀνδρὸς Εὐρυσθεῖ πλέον
θανόντος; ἀλλὰ τούσδε βούλεται κτανεῖν.
δεινὸν γὰρ ἐχθροῖς βλαστάνοντες εὐγενεῖς
νεανίαι τε καὶ πατρὸς μεμνημένοι
λύμας· ἃ κεῖνον πάντα προσκοπεῖν χρεών.
ἀλλ᾽ εἴ τιν᾽ ἄλλην οἶσθα καιριωτέραν
βουλὴν, ἑτοίμαζ᾽, ὡς ἔγωγ᾽ ἀμήχανος,
χρησμῶν ἀκούσας, εἰμὶ καὶ φόβου πλέως.

ΜΑΚΑΡΙΑ.

ξένοι, θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς
πρόσθητε· πρῶτον γὰρ τόδ᾽ ἐξαιτήσομαι.
γυναικὶ γὰρ σιγή τε καὶ τὸ σωφρονεῖν

458. σκ. γὰρ ἀνήρ. 460. καὶ τύχης τις ἂν τύχῃ.

κάλλιστον, εἴσω δ᾽ ἥσυχον μένειν δόμων.
τῶν σῶν δ᾽ ἀκούσασ᾽, Ἰόλεως, στεναγμάτων,
ἐξῆλθον, οὐ ταχθεῖσα πρεσβεύειν γένους.
ἀλλ᾽ εἰμὶ γάρ πως πρόσφορος· μέλει δέ μοι
μάλιστ᾽ ἀδελφῶν τῶνδε, κἀμαυτῆς πέρι
θέλω πυθέσθαι, μὴ ᾽πὶ τοῖς πάλαι κακοῖς
προσκείμενόν τι πῆμα σὴν δάκνει φρένα.

ΙΟΛΑΟΣ.

ὦ παῖ, μάλιστά σ᾽ οὐ νεωστὶ δὴ τέκνων
τῶν Ἡρακλείων ἐνδίκως αἰνεῖν ἔχω.
ἡμῖν δὲ δόξας εὖ προχωρῆσαι δόμος
πάλιν μεθέστηκ᾽ αὖθις εἰς ἀμήχανον·
χρησμῶν γὰρ ᾠδοὺς φησὶ σημαίνειν ὅδε,
οὐ ταῦρον, οὐδὲ μόσχον, ἀλλὰ παρθένον
σφάξαι κελεύειν, πατρὸς ἥτις εὐγενοῦς,
εἰ χρῆν μὲν ἡμᾶς, χρῆν δὲ τήνδ᾽ εἶναι πόλιν.
ταῦτ᾽ οὖν ἀμηχανοῦμεν· οὔτε γὰρ τέκνα
σφάζειν ὅδ᾽ αὑτοῦ φησιν, οὔτ᾽ ἄλλου τινός.
κἀμοὶ λέγει μὲν οὐ σαφῶς, λέγει δέ πως,
εἰ μή τι τούτων μῆχαρ ἐξευρήσομεν,
ἡμᾶς μὲν ἄλλην γαῖαν εὑρίσκειν τινὰ,
αὐτὸς δὲ σῶσαι τήνδε βούλεται χθόνα.

ΜΑΚΑΡΙΑ.

ἐν τῷδε κεισόμεσθα σωθῆναι λόγῳ;

ΙΟΛΑΟΣ.

ἐν τῷδε, τἄλλα γ᾽ εὐτυχῶς πεπραγότες.

ΜΑΚΑΡΙΑ.

μὴ νῦν τρέσῃς ἔτ᾽ ἐχθρὸν Ἀργεῖον δόρυ·

490. μητρὸς ἥτις εὐγενής. 495. τούτων ἐξαμηχανήσομεν.
498. κευχόμεσθα.

ἐγὼ γὰρ αὐτὴ, πρὶν κελευσθῆναι, γέρον,
θνήσκειν ἑτοίμη καὶ παρίστασθαι σφαγῇ.
τί φήσομεν γὰρ, εἰ πόλις μὲν ἀξιοῖ
κίνδυνον ἡμῶν οὕνεχ᾽ αἱρεῖσθαι μέγαν,
αὐτοὶ δὲ, προστιθέντες ἄλλοισιν πόνους,
παρὸν σεσῶσθαι, φευξόμεσθα μὴ θανεῖν;
οὐ δῆτ᾽, ἐπεί τοι καὶ γέλωτος ἄξια,
στένειν μὲν ἱκέτας δαιμόνων καθημένους,
πατρὸς δ᾽ ἐκείνου φύντας, οὗ πεφύκαμεν,
κακοὺς ὁρᾶσθαι· ποῦ τάδ᾽ ἐν χρηστοῖς πρέπει;
κάλλιον, οἶμαι, τῆσδ᾽, ἃ μὴ τύχοι ποτὲ,
πόλεως ἁλούσης, χεῖρας εἰς ἐχθρῶν πεσεῖν,
κἄπειτα δεινὰ, πατρὸς οὖσαν εὐγενοῦς,
παθοῦσαν, Ἅιδην μηδὲν ἧσσον εἰσιδεῖν.
ἀλλ᾽ ἐκπεσοῦσα τῆσδ᾽ ἀλητεύσω χθονός,
κοὐκ αἰσχυνοῦμαι δῆτ᾽, ἐὰν δή τις λέγῃ;
τί δεῦρ᾽ ἀφίκεσθ᾽ ἱκεσίοισι σὺν κλάδοις,
αὐτοὶ φιλοψυχοῦντες; ἔξιτε χθονός·
κακοὺς γὰρ ἡμεῖς οὐ προσωφελήσομεν.
ἀλλ᾽ οὐδὲ μέντοι, τῶνδε μὲν τεθνηκότων,
αὐτὴ δὲ σωθεῖσ᾽, ἐλπίδ᾽ εὖ πράξειν ἔχω·
πολλοὶ γὰρ ἤδη τῇδε προὔδοσαν φίλους.
τίς γὰρ κόρην ἔρημον ἢ δάμαρτ᾽ ἔχειν,
ἢ παιδοποιεῖν ἐξ ἐμοῦ βουλήσεται;
οὐκοῦν θανεῖν ἄμεινον, ἢ τούτων τυχεῖν
ἀναξίαν. ἄλλῃ δὲ καὶ πρέπει τινὶ
μᾶλλον τάδ᾽, ἥτις μὴ ᾽πίσημος, ὡς ἐγώ.
ἡγεῖσθ᾽, ὅπου δεῖ σῶμα κατθανεῖν τόδε,
καὶ στεμματοῦτε, καὶ κατάρχεσθ᾽, εἰ δοκεῖ,

502. ἑτοίμα. 513. κἄπειτα δέ τινα.

νικᾶτε δ᾽ ἐχθρούς· ἥδε γὰρ ψυχὴ πάρα
ἑκοῦσα, κοὐκ ἄκουσα· κἀξαγγέλλομαι
θνήσκειν ἀδελφῶν τῶνδε κἀμαυτῆς ὕπερ.
εὕρημα γάρ τοι μὴ φιλοψυχοῦσ᾽ ἐγὼ
κάλλιστον εὕρηκ᾽, εὐκλεῶς λιπεῖν βίον.

ΧΟΡΟΣ.

φεῦ, φεῦ! τί λέξω, παρθένου μέγαν λόγον
κλύων, ἀδελφῶν ἣ πάρος θέλει θανεῖν;
τούτων τίς ἂν λέξειε γενναίους λόγους
μᾶλλον; τίς ἂν δράσειεν ἀνθρώπων ἔτι;

ΙΟΛΑΟΣ.

ὦ τέκνον, οὐκ ἔστ᾽ ἄλλοθεν τὸ σὸν κάρα,
ἀλλ᾽ ἐξ ἐκείνου σπέρμα τῆς θείας φρενὸς
πέφυκας Ἡρακλῆος· οὐδ᾽ αἰσχύνομαι
τοῖς σοῖς λόγοισι, τῇ τύχῃ δ᾽ ἀλγύνομαι.
ἀλλ᾽ ᾗ γένοιτ᾽ ἂν ἐνδικωτέρως, φράσω·
πάσας ἀδελφὰς τῆσδε δεῦρο χρὴ καλεῖν,
κᾆθ᾽ ἡ λαχοῦσα θνησκέτω γένους ὕπερ·
σὲ δ᾽ οὐ δίκαιον κατθανεῖν ἄνευ πάλου.

ΜΑΚΑΡΙΑ.

οὐκ ἂν θάνοιμι τῇ τύχῃ λαχοῦσ᾽ ἐγώ·
χάρις γὰρ οὐ πρόσεστι· μὴ λέξῃς, γέρον.
ἀλλ᾽ εἰ μὲν ἐνδέχεσθε, καὶ βούλεσθέ μοι
χρῆσθαι προθύμῳ, τὴν ἐμὴν ψυχὴν ἐγὼ
δίδωμ᾽ ἑκοῦσα τοῖσδ᾽, ἀναγκασθεῖσα δ᾽ οὔ.

ΙΟΛΑΟΣ.

(φεῦ!) ὅδ᾽ αὖ λόγος σοὶ τοῦ πρὶν εὐγενέστερος·
κἀκεῖνος ἦν ἄριστος, ἀλλ᾽ ὑπερφέρεις
τόλμῃ τε τόλμαν καὶ λόγῳ χρηστῷ λόγον.

539. οὐκ ἔτ᾽. 550. προθύμως. 552. ὁ δ᾽ αὖ λ.

οὐ μὴν κελεύω γ᾽, οὐδ᾽ ἀπεννέπω, τέκνον,
θνήσκειν σ᾽· ἀδελφοὺς δ᾽ ὠφελεῖς θανοῦσα σούς.

ΜΑΚΑΡΙΑ.

σοφῶς κελεύεις· μὴ τρέσῃς μιάσματος
τοὐμοῦ μετασχεῖν, ἀλλ᾽ ἐλευθέρως θάνω.
ἕπου δὲ, πρέσβυ· σῇ γὰρ ἐνθανεῖν χερὶ
θέλω· πέπλοις δὲ σῶμ᾽ ἐμὸν κρύψον παρών·
ἐπεὶ σφαγῆς γε πρὸς τὸ δεινὸν εἶμ᾽ ἐγὼ,
εἴπερ πέφυκα πατρὸς, οὗπερ εὔχομαι.

ΙΟΛΑΟΣ.

οὐκ ἂν δυναίμην σῷ παρεστάναι μόρῳ.

ΜΑΚΑΡΙΑ.

σὺ δ᾽ ἀλλὰ τοῦδε χρῇζε, μή μ᾽ ἐν ἀρσένων,
ἀλλ᾽ ἐν γυναικῶν χερσὶν ἐκπνεῦσαι βίον.

ΧΟΡΟΣ.

ἔσται τάδ᾽, ὦ τάλαινα παρθένων· ἐπεὶ
κἀμοὶ τόδ᾽ αἰσχρὸν, μή σε κοσμῆσαι καλῶς,
πολλῶν ἕκατι, τῆς τε σῆς εὐψυχίας,
καὶ τοῦ δικαίου· τλημονεστάτην δέ σε
πασῶν γυναικῶν εἶδον ὀφθαλμοῖς ἐγώ.
ἀλλ᾽ εἴ τι βούλει τούσδε τὸν γέροντά τε,
χώρει προσειποῦσ᾽ ὕστατον πρόσφθεγμά μοι.

ΜΑΚΑΡΙΑ.

ὦ χαῖρε, πρέσβυ, χαῖρε, καὶ δίδασκέ μοι
τοιούσδε τούσδε παῖδας, ἐς τὸ πᾶν σοφοὺς,
ὥσπερ σύ· μηδὲν μᾶλλον· ἀρκέσουσι γάρ.
πειρῶ δὲ σῶσαι, μὴ θανεῖν πρόθυμος ὤν·
σοὶ παῖδες ἐσμέν· σαῖν χεροῖν τεθράμμεθα.
ὁρᾷς δὲ κἀμὲ, τὴν ἐμὴν ὥραν γάμου

556. θνήσκειν γ᾽. 566. Praefigitur Ἰόλ.

διδοῦσαν ἀντὶ τῶνδε κατθανουμένην.
ὑμεῖς τ᾽, ἀδελφῶν ἡ παροῦσ᾽ ὁμιλία,
εὐδαιμονοῖτε, καὶ γένοιθ᾽ ὑμῖν, ὅσων
ἡ ᾽μὴ πάροιθεν καρδία σφαγήσεται.
καὶ τὸν γέροντα τήν τ᾽ ἔσω γραῖαν δόμων
τιμᾶτε πατρὸς μητέρ᾽ Ἀλκμήνην ἐμοῦ
ξένους τε τούσδε. κἂν ἀπαλλαγὴ πόνων
καὶ νόστος ὑμῖν εὑρεθῇ ποτ᾽ ἐκ θεῶν,
μέμνησθε, τὴν σώτειραν ὡς θάψαι χρεών·
κάλλιστά τοι δίκαιον· οὐ γὰρ ἐνδεὴς
ὑμῖν παρέστην, ἀλλὰ προὔθανον γένους·
τάδ᾽ ἀντὶ παίδων ἐστί μοι κειμήλια
καὶ παρθενείας, εἴ τι δὴ κατὰ χθονός·
εἴη γε μέντοι μηδέν! εἰ γὰρ ἕξομεν
κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν,
οὐκ οἶδ᾽, ὅποι τις τρέψεται· τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται.

ΙΟΛΑΟΣ.

ἀλλ᾽ ὦ μέγιστον ἐκπρέπουσ᾽ εὐψυχίᾳ,
πασῶν γυναικῶν ἴσθι τιμιωτάτη,
καὶ ζῶσ᾽ ὑφ᾽ ἡμῶν καὶ θανοῦσ᾽ ἔσει πολύ·
καὶ χαῖρε· δυσφημεῖν γὰρ ἅζομαι θεὰν,
ᾗ σὸν κατῆρκται σῶμα, Δήμητρος κόρην.
ὦ παῖδες, οἰχόμεσθα· λύεται μέλη
λύπῃ· λάβεσθε, κεἰς ἕδραν μ᾽ ἐρείσατε
αὐτοῦ, πέπλοισι τοῖσδε κρύψαντες, τέκνα.
ὡς οὔτε τούτοις ἥδομαι πεπραγμένοις,
χρησμοῦ τε μὴ κρανθέντος, οὐ βιώσιμον·
μείζων γὰρ ἄτη· συμφορὰ δὲ καὶ τάδε.

596. εὐψυχίας. 602. 3. ἐρείσατε, αὐτοῦ π.

ΧΟΡΟΣ.

Οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον (στροφή.)
ἄνδρα γενέσθαι,
οὐδὲ τὸν αὐτὸν ἀεὶ βεβάναι δόμον
εὐτυχίᾳ· παρὰ δ᾽ ἄλλαν ἄλλα
μοῖρα διώκει·
τὸν μὲν ἀφ᾽ ὑψηλ ν βραχὺν ᾤκισε,
τὸν δ᾽ ἀλήταν εὐδαίμονα τεύχει.
μόρσιμα δ᾽ οὔτι φυγεῖν θέμις· οὐ σοφίᾳ τις ἀπώσεται·
ἀλλὰ μάταν ὁ πρόθυμος ἀεὶ πόνον ἕξει.
ἀλλὰ σὺ μὴ προπίτνει τὰ θεῶν * * μήδ᾽ ὑπεράλγει (ἀντιστρ.)
φροντίδα λύπᾳ·
εὐδόκιμον γὰρ ἔχει θανάτου μέρος
ἁ μελέα πρό τ᾽ ἀδελφῶν καὶ γᾶς,
οὐδ᾽ ἀκλεής νιν
δόξα πρὸς ἀνθρώπων ὑποδέξεται·
ἁ δ᾽ ἀρετὰ βαίνει διὰ μόχθων.
ἄξια μὲν πατρὸς, ἄξια δ᾽ εὐγενίας τάδε γίγνεται·
εἰ δὲ σέβεις θανάτους ἀγαθῶν, μετέχω σοι.

ΘΕΡΑΠΩΝ.

ὦ τέκνα, χαίρετ᾽. Ἰόλεως δὲ ποῦ γέρων,
μήτηρ τε πατρὸς τῆσδ᾽ ἕδρας ἀποστατεῖ;

ΙΟΛΑΟΣ.

πάρεσμεν, οἵα δή γ᾽ ἐμοῦ παρουσία.

610. παρὰ δ᾽ ἄλλον γ᾽ ἄλλα. 615. ἕξει γ᾽. 616. προσπίτνει et loco lacunae ὕπερ. 624. εἰ δὲ σέβεις σύ γε θ. 626. μήτηρ δέ. 627. οἷα.

ΘΕΡΑΠΩΝ.

τί χρῆμα κεῖσαι καὶ κατηφὲς ὄμμ᾽ ἔχεις;

ΙΟΛΑΟΣ.

φροντίς τις ἦλθ᾽ οἰκεῖος, ᾗ συνεσχόμην.

ΘΕΡΑΠΩΝ.

ἔπαιρε νῦν σεαυτόν, ὄρθωσον κάρα.

ΙΟΛΑΟΣ.

γέροντες ἐσμὲν, κοὐδαμῶς ἐῤῥώμεθα.

ΘΕΡΑΠΩΝ.

ἥκω γε μέντοι χάρμα σοὶ φέρων μέγα.

ΙΟΛΑΟΣ.

τίς δ᾽ εἶ σύ; ποῦ σοι συντυχὼν ἀμνημονῶ;

ΘΕΡΑΠΩΝ.

Ὕλλου πενέστης· οὔ με γιγνώσκεις ὁρῶν;

ΙΟΛΑΟΣ.

ὦ φίλταθ᾽, ἥκεις ἆρα νῷν σωτὴρ βλάβης;

ΘΕΡΑΠΩΝ.

μάλιστα· καὶ πρός γ᾽ εὐτυχεῖς τὰ νῦν τάδε.

ΙΟΛΑΟΣ.

ὦ μῆτερ ἐσθλοῦ παιδὸς, Ἀλκμήνην λέγω,
ἔξελθ᾽, ἄκουσον τούσδε φιλτάτους λόγους.
πάλαι γὰρ ὠδίνουσα τῶν ἀφιγμένων
ψυχὴν ἐτήκου, νόστος εἰ γενήσεται.

ΑΛΚΜΗΝΗ.

τί χρῆμ᾽ ἀϋτῆς πᾶν τόδ᾽ ἐπλήσθη στέγος;
Ἰόλαε, μῶν τίς σ᾽ αὖ βιάζεται παρὼν
κήρυξ ἀπ᾽ Ἄργους; ἀσθενὴς μὲν ἥ γ᾽ ἐμὴ
ῥώμη, τοσόνδε δ᾽ εἰδέναι σ᾽ ἐχρῆν, ξένε·
οὐκ ἔστ᾽ ἄγειν σε τούσδ᾽, ἐμοῦ ζώσης, ποτέ.

635. σωτὴρ νῷν βλ. 641. τί χρῆμ᾽; ἀϋτῆς — στέγος.

ἢ τἄρ' ἐκείνου μὴ νομιζοίμην ἐγὼ
μήτηρ ἔτ'· εἰ δὲ τῶνδε προσθίξεις χερὶ,
δυοῖν γερόντοιν οὐ καλῶς ἀγωνιεῖ.

ΙΟΛΑΟΣ.

θάρσει, γεραιὰ, μὴ τρέσῃς, οὐκ Ἀργόθεν
κήρυξ ἀφῖκται, πολεμίους λόγους ἔχων.

ΑΛΚΜΗΝΗ.

τί γὰρ βοὴν ἔστησας, ἄγγελον φόβου;

ΙΟΛΑΟΣ.

σὲ, πρόσθε ναοῦ τοῦδ' ὅπως βαίης πέλας.

ΑΛΚΜΗΝΗ.

οὐκ ᾔσμεν ἡμεῖς ταῦτα· τίς γὰρ ἐσθ' ὅδε;

ΙΟΛΑΟΣ.

ἥκοντα παῖδα παιδὸς ἀγγέλλει σέθεν.

ΑΛΚΜΗΝΗ.

ὦ χαῖρε καὶ σὺ τοῖσδε τοῖς ἀγγέλμασιν.
ἀτὰρ τί, χώρᾳ τῇδε προσβαλὼν πόδα,
ποῦ νῦν ἄπεστι; τίς νιν εἶργε συμφορὰ,
σὺν σοὶ φανέντα δεῦρ' ἐμὴν τέρψαι φρένα;

ΘΕΡΑΠΩΝ.

στρατὸν καθίζει τάσσεταί θ', ὃν ἦλθ' ἔχων.

ΑΛΚΜΗΝΗ.

τοῦδ' οὐκ ἔθ' ἡμῖν τοῦ λόγου μέτεστι δή.

ΙΟΛΑΟΣ.

μέτεστιν· ἡμῶν δ' ἔργον ἱστορεῖν τάδε.

ΘΕΡΑΠΩΝ.

τί δῆτα βούλει τῶν πεπραγμένων μαθεῖν;

ΙΟΛΑΟΣ.

πόσον τι πλῆθος συμμάχων πάρεστ' ἔχων;

652. σὺ πρ. 653. οὐκ ἴσμεν. 656. ἀτὰρ τί; 660. μέτεστι δή;

ΘΕΡΑΠΩΝ.

πολλούς· ἀριθμὸν δ' ἄλλον οὐκ ἔχω φράσαι.

ΙΟΛΑΟΣ.

ἴσασιν, οἶμαι, ταῦτ' Ἀθηναίων πρόμοι.

ΘΕΡΑΠΩΝ.

ἴσασι· καὶ δὴ λαιὸν ἕστηκεν κέρας.

ΙΟΛΑΟΣ.

ἤδη γὰρ ὡς ἐς ἔργον ὥπλισται στρατός.

ΘΕΡΑΠΩΝ.

καὶ δὴ παρῆκται σφάγια τάξεων ἑκάς.

ΙΟΛΑΟΣ.

πόσον τι δ' ἐστ' ἄπωθεν Ἀργεῖον δόρυ;

ΘΕΡΑΠΩΝ.

ὥστ' ἐξορᾶσθαι τὸν στρατηγὸν ἐμφανῶς.

ΙΟΛΑΟΣ.

τί δρῶντα; μῶν τάσσοντα πολεμίων στίχας;

ΘΕΡΑΠΩΝ.

ᾐκάζομεν ταῦτ'· οὐ γὰρ ἐξηκούομεν.
ἀλλ' εἶμ'· ἐρήμους δεσπότας τοὐμὸν μέρος
οὐκ ἂν θέλοιμι πολεμίοισι συμβαλεῖν.

ΙΟΛΑΟΣ.

κἄγωγε σὺν σοί· ταὐτὰ γὰρ φροντίζομεν,
φίλοις παρόντες, ὡς ἔοιγμεν, ὠφελεῖν.

ΘΕΡΑΠΩΝ.

ἥκιστα πρὸς σοῦ μῶρον ἦν εἰπεῖν ἔπος.

ΙΟΛΑΟΣ.

καὶ μὴ μετασχεῖν γ' ἀλκίμου μάχης φίλοις;

675. ταῦτα. 677. σοῦ· μῶρον.

ΘΕΡΑΠΩΝ.

οὐκ ἔστ' ἐν ὄψει τραῦμα, μὴ δρώσης χερός.

ΙΟΛΑΟΣ.

τί δ'; οὐ θένοιμι κἂν ἐγὼ δι' ἀσπίδος;

ΘΕΡΑΠΩΝ.

θένοις ἂν, ἀλλὰ πρόςθεν αὐτὸς ἂν πέσοις.

ΙΟΛΑΟΣ.

οὐδεὶς ἔμ' ἐχθρῶν προςβλέπων ἀνέξεται.

ΘΕΡΑΠΩΝ.

οὐκ ἔστιν, ὦ 'τὰν, ἥ ποτ' ἦν ῥώμη σέθεν.

ΙΟΛΑΟΣ.

ἀλλ' οὖν μαχοῦμαί γ' ἀριθμὸν οὐκ ἐλάσσοσι.

ΘΕΡΑΠΩΝ.

σμικρὸν τὸ σὸν σήκωμα προςτίθης φίλοις.

ΙΟΛΑΟΣ.

μή τοί μ' ἔρυκε δρᾷν παρεσκευασμένον.

ΘΕΡΑΠΩΝ.

δρᾷν μὲν σύ γ' οὐχ οἷός τε, βούλεσθαι δ' ἴσως.

ΙΟΛΑΟΣ.

ὡς μὴ μενοῦντα, τἄλλα σοι λέγειν πάρα.

ΘΕΡΑΠΩΝ.

πῶς οὖν ὁπλίταις τευχέων ἄτερ φανεῖ;

ΙΟΛΑΟΣ.

ἔστ' ἐν δόμοισιν ἔνδον αἰχμάλωθ' ὅπλα
τοῖςδ', οἷσι χρησόμεσθα κἀποδώσομεν
ζῶντες· θανόντας δ' οὐκ ἀπαιτήσει θεός.
ἀλλ' εἴσιθ' εἴσω κἀπὸ πασσάλων ἑλὼν
ἔνεγκ' ὁπλίτην κόσμον ὡς τάχιστά μοι.

680. σθένοιμι. 681. σθένοις. 684. μαχοῦμ' ἀρ. 685. προςτιθεῖς.

αἰσχρὸν γὰρ οἰκούρημα γίγνεται τόδε,
τοὺς μὲν μάχεσθαι, τοὺς δὲ δειλίᾳ μένειν.

ΧΟΡΟΣ.

λῆμα μὲν οὔπω στόρνυσι χρόνος
τὸ σὸν, ἀλλ' ἡβᾷ· σῶμα δὲ φροῦδον.
τί πονεῖς ἄλλως; ἃ σὲ μὲν βλάψει,
σμικρὰ δ' ὀνήσει πόλιν ἡμετέραν.
χρὴ γνωσιμαχεῖν σὴν ἡλικίαν,
τὰ δ' ἀμήχαν' ἐᾷν. οὐκ ἔστιν ὅπως
ἥβην κτήσῃ πάλιν αὖθις.

ΑΛΚΜΗΝΗ.

τί χρῆμα μέλλεις σῶν φρενῶν οὐκ ἔνδον ὢν,
λιπεῖν μ' ἔρημον σὺν τέκνοισι τοῖς ἐμοῖς;

ΙΟΛΑΟΣ.

ἀνδρῶν γὰρ ἀλκή· σοὶ δὲ χρὴ τούτων μέλειν.

ΑΛΚΜΗΝΗ.

τί δ', ἢν θάνῃς σὺ, πῶς ἐγὼ σωθήσομαι;

ΙΟΛΑΟΣ.

παιδὸς μελήσει παισὶ τοῖς λελειμμένοις.

ΑΛΚΜΗΝΗ.

ἢν δ' οὖν, ὃ μὴ γένοιτο, χρήσωνται τύχῃ;

ΙΟΛΑΟΣ.

οἵδ' οὐ προδώσουσίν σε, μὴ τρέσῃς, ξένοι.

ΑΛΚΜΗΝΗ.

τοσόνδε γάρ τοι θάρσος, οὐδὲν ἄλλ' ἔχω.

ΙΟΛΑΟΣ.

καὶ Ζηνὶ τῶν σῶν, οἶδ' ἐγὼ, μέλει πόνων.

ΑΛΚΜΗΝΗ.

(φεῦ·) Ζεὺς ἐξ ἐμοῦ μὲν οὐκ ἀκούσεται κακῶς·
εἰ δ' ἐστὶν ὅσιος, αὐτὸς οἶδεν, εἰς ἐμέ.

701. τὴν ἡλ.

ΘΕΡΑΡΩΝ.

ὅπλων μὲν ἤδη τήνδ᾽ ὁρᾷς παντευχίαν,
φθάνοις δ᾽ ἂν οὐκ ἂν τοῖςδε συγκρύπτων δέμας.
ὡς ἐγγὺς ἀγὼν, καὶ μάλιστ᾽ Ἄρης στυγεῖ
μέλλοντας· εἰ δὲ τευχέων φοβεῖ βάρος,
νῦν μὲν πορεύου γυμνὸς, ἐν δὲ τάξεσιν
κόσμῳ πυκάζου τῷδ᾽· ἐγὼ δ᾽ οἴσω τέως.

ΙΟΛΑΟΣ.

καλῶς ἔλεξας· ἀλλ᾽ ἐμοὶ πρόχειρ᾽ ἔχων
τεύχη κόμιζε, χειρὶ δ᾽ ἔνθες ὀξύην,
λαιόν τ᾽ ἔπαιρε πῆχυν, εὐθύνων πόδα.

ΘΕΡΑΠΩΝ.

ἦ παιδαγωγεῖν γὰρ τὸν ὁπλίτην χρεών;

ΙΟΛΑΟΣ.

ὄρνιθος οὕνεκ᾽ ἀσφαλῶς πορευτέον.

ΘΕΡΑΠΩΝ.

εἴθ᾽ ἦσθα δυνατὸς δρᾷν, ὅσον πρόθυμος εἶ!

ΙΟΛΑΟΣ.

ἔπειγε· λειφθεὶς δεινὰ πείσομαι μάχης.

ΘΕΡΑΠΩΝ.

σύ τοι βραδύνεις, κοὐκ ἐγὼ, δοκῶν τι δρᾷν.

ΙΟΛΑΟΣ.

οὐκοῦν ὁρᾷς μου κῶλον, ὡς ἐπείγεται;

ΘΕΡΑΠΩΝ.

ὁρῶ δοκοῦντα μᾶλλον, ἢ σπεύδοντά σε.

ΙΟΛΑΟΣ.

οὐ ταῦτα λέξεις, ἡνίκ᾽ ἂν λεύσσῃς μ᾽ ἐκεῖ. —

ΘΕΡΑΠΩΝ.

τί δρῶντα; βουλοίμην δ᾽ ἂν εὐτυχοῦντά γε.

716. οὐκ ἐν τοῖςδε. 717. ἀγών. 728. κοὐκ ἐγὼ δοκῶ. 731. σύ τ.

ΙΟΛΑΟΣ.

δι᾽ ἀσπίδος θένοντα πολεμίων τινά.

ΘΕΡΑΠΩΝ.

εἰ δή ποθ᾽ ἥξομέν γε. τοῦτο γὰρ φόβος.

ΙΟΛΑΟΣ.

(φεῦ!) εἴθ᾽, ὦ βραχίων, οἷον ἡβήσαντά σε
μεμνήμεθ᾽ ἡμεῖς, ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι
τοιοῦτος, οἷος ἂν τροπὴν Εὐρυσθέως
θείην! ἐπεί τοι καὶ κακὸς μένειν δόρυ.
ἔστιν δ᾽ ἐν ὄλβῳ καὶ τόδ᾽ οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ,
τὸν εὐτυχοῦντα πάντ᾽ ἐπίστασθαι καλῶς.

ΧΟΡΟΣ.

Γᾶ καὶ παννύχιος σελάνα (στροφὴ ά.)
καὶ λαμπρόταται θεοῦ
φαεσίμβροτοι αὐγαὶ,
ἀγγελίαν μοι ἐνέγκατε,
ἰακχήσατε δ᾽ οὐρανῷ,
καὶ παρὰ θρόνον ἀρχέταν
γλαυκᾶς ἐν Ἀθάνας.
μέλλω τᾶς πατριώτιδος γᾶς,
μέλλω περὶ τῶν δόμων,
ἱκέτας ὑποδεχθεὶς,
κίνδυνον πολιῷ τεμεῖν σιδάρῳ.
δεινὸν μὲν, πόλιν, ὡς Μυκήνας, (ἀντιστρ. ά.)
εὐδαίμονα καὶ δορὸς
πολυαίνετον ἀλκᾷ
μῆνιν ἐμᾷ χθονὶ κεύθειν·

734. ἤδη πόθ᾽. 747. ἰαχήσατε. 749. γλαυκᾶ τ᾽ ἐν Ἀθάνᾳ.

κακὸν δ', ὦ πόλις, εἰ ξένους
ἱκτῆρας παραδώσομεν
κελεύσμασιν Ἄργους·
Ζεύς μοι ξύμμαχος, οὐ φοβοῦμαι,
Ζεύς μοι χάριν ἐνδίκως
ἔχει· οὔ ποτε θνατῶν
ἥσσονες ποτ' ἄν, οὔτ' ἐμοῦ φανοῦνται.
ἀλλ', ὦ πότνια — σὸν γὰρ οὖδας (στροφὴ β'.)
γᾶς σὸν καὶ πόλις, ἇς σὺ μάτηρ
δέσποινά τε καὶ φύλαξ —
πόρευσον ἄλλᾳ τὸν οὐ δικαίως
τᾷδ' ἐπάγοντα δορύσσοντα
στρατὸν Ἀργόθεν· οὐ γὰρ ἐμᾷ γ' ἀρετᾷ
δίκαιός εἰμ' ἐκπεσεῖν μελάθρων.
ἀλλ' ἐπί σοι πολύθυτος ἐξαιεὶ (ἀντιστρ. β'.)
τιμὰ κραίνεται, οὐδὲ λήθει
μηνῶν φθινὰς ἁμέρα
ναῶν τ' ἀοιδαὶ χορῶν τε μολπαί.
ἀνεμόεντι δὲ γᾶς ὄχθῳ
ὀλολύγματα παννυχίοις ὑπὸ παρ-
θένων ἰακχεῖ ποδῶν κρότοισιν.

ΘΕΡΑΠΩΝ.

δέσποινα, μύθους σοί τε συντομωτάτους
κλύειν, ἐμοί τε τῷδε καλλίστους, φέρω.
νικῶμεν ἐχθρούς, καὶ τροπαῖ' ἱδρύεται,
παντευχίαν ἔχοντα πολεμίων σέθεν.

760. καὶ λεύσιμον Ἄργος. 764. εἴτ' ἐμοῦ. 766. μήτηρ. 769. δορύσοντα. 772. πολύθ. αἰεί. 776. ἀν. δέ γ' ἐπ' ὄχθῳ. 778. ἰαχεῖ.

ΑΛΚΜΗΝΗ.

ὦ φίλταθ', ἥδε σ' ἡμέρα διήλασεν
ἠλευθερῶσθαι τοῖσδε τοῖς ἀγγέλμασιν.
μιᾶς δέ μ' οὔπω συμφορᾶς ἐλευθεροῖς·
φόβος γάρ, εἴ μοι ζῶσιν, οὓς ἐγὼ θέλω.

ΘΕΡΑΠΩΝ.

ζῶσιν μέγιστόν γ' εὐκλεεῖς κατὰ στρατόν.

ΑΛΚΜΗΝΗ.

ὁ μὲν γέρων οὐκ ἔστιν Ἰόλεως ὅδε;

ΘΕΡΑΠΩΝ.

μάλιστα, πράξας δ' ἐκ θεῶν κάλλιστα δή.

ΑΛΚΜΗΝΗ.

τί δ' ἐστι; μῶν τι κεδνὸν ἠγωνίζετο;

ΘΕΡΑΠΩΝ.

νέος μεθέστηκ' ἐκ γέροντος αὖθις αὖ.

ΑΛΚΜΗΝΗ.

θαύμαστ' ἔλεξας· ἀλλά σ' εὐτυχῆ φίλων
μάχης ἀγῶνα πρῶτον ἀγγεῖλαι θέλω.

ΘΕΡΑΠΩΝ.

εἷς μου λόγος σοι πάντα σημαίνει τάδε·
ἐπεὶ γὰρ ἀλλήλοισιν ὁπλίτην στρατὸν
κατὰ στόμ' ἐκτείνοντες ἀντετάξαμεν,
ἐκβὰς τεθρίππων Ὕλλος ἁρμάτων πόδα,
ἔστη μέσοισιν ἐν μεταιχμίοις δορός.
κἄπειτ' ἔλεξεν· Ὦ στρατήγ', ὃς Ἀργόθεν
ἥκεις, ἐπεὶ τήνδ' αἶαν οὐκ εἰάσαμεν

* * *

καὶ τὰς Μυκήνας οὐδὲν ἐργάσει κακόν,

800. ἥκεις ἐπὶ τήνδε γαῖαν, οὐκ εἴα σὰ μὲν. Post hunc vs. nulla lacunae signa.

ἀνδρὸς στερήσας· ἀλλ' ἐμοὶ μόνος μόνῳ
μάχην συνάψας, ἢ κτανὼν, ἄγου λαβὼν
τοὺς Ἡρακλείους παῖδας, ἢ θανὼν, ἐμοὶ
τιμὰς πατρῴους καὶ δόμους ἔχειν ἄφες.
στρατὸς δ' ἐπῄνεσ', ἔς τ' ἀπαλλαγὰς πόνων
καλῶς λελέχθαι μῦθον ἔς τ' εὐψυχίαν.
ὁ δ' οὔτε τοὺς κλύοντας αἰδεσθεὶς λόγων,
οὔτ' αὐτὸς αὑτοῦ δειλίαν, στρατηγὸς ὢν,
ἐλθεῖν ἐτόλμησ' ἐγγὺς ἀλκίμου δορός·
ἀλλ' ἦν κάκιστος· εἶτα τοιοῦτος γεγὼς,
τοὺς Ἡρακλείους ἦλθε δουλώσων γόνους.
Ὕλλος μὲν οὖν ἀπῴχετ' ἐς τάξιν πάλιν·
μάντεις δ', ἐπειδὴ μονομάχου δι' ἀσπίδος
διαλλαγὰς ἔγνωσαν οὐ τελουμένας,
ἔσφαζον, οὐκ ἔμελλον, ἀλλ' ἀφίεσαν
λαιμῶν βροτείων εὐθὺς οὔριον φόνον.
οἱ δ' ἅρματ' εἰσέβαινον, οἱ δ' ὑπ' ἀσπίδων
πλευραῖς ἔκρυπτον πλεύρ'· Ἀθηναίων δ' ἄναξ
στρατῷ παρήγγειλ', οἷα χρὴ τὸν εὐγενῆ·
ὦ ξυμπολῖται, τῇ τε βοσκούσῃ χθονὶ
καὶ τῇ τεκούσῃ νῦν τιν' ἀρκέσαι χρεών.
ὁ δ' αὖ τό τ' Ἄργος μὴ καταισχῦναι θέλων
καὶ τὰς Μυκήνας, συμμάχους ἐλίσσετο.
ἐπεὶ δ' ἐσήμην' ὄρθιον Τυρσηνικῇ
σάλπιγγι, καὶ συνῆψαν ἀλλήλοις μάχην,
πόσον τίν' αὐχεῖς πάταγον ἀσπίδων βρέμειν,
πόσον τινὰ στεναγμὸν οἰμωγήν θ' ὁμοῦ;
τὰ πρῶτα μέν νυν πίτυλος Ἀργείου δορὸς
ἐῤῥήξαθ' ἡμᾶς· εἶτ' ἐχώρησαν πάλιν.

803. μάχῃ. 829. μὲν νῦν.

τὸ δεύτερον δὲ ποὺς ἐπαλλαχθεὶς ποδὶ,
ἀνὴρ δ' ἐπ' ἀνδρὶ στὰς, ἐκαρτέρει μάχῃ.
πολλοὶ δ' ἔπιπτον. ἦν δὲ τοῦ κελεύσματος·
ὦ τὰς Ἀθήνας, ὦ τὸν Ἀργείων γύην
σπείροντες, οὐκ ἀρήξετ' αἰσχύνην πόλει;
μόλις δὲ πάντα δρῶντες, οὐκ ἄτερ πόνων,
ἐτρεψάμεσθ' Ἀργεῖον ἐς φυγὴν δόρυ.
κἀνταῦθ' ὁ πρέσβυς Ὕλλον ἐξορμώμενον
ἰδὼν, ὀρέξας ἱκέτευσε δεξιὰν
Ἰόλαος, ἐμβῆσαί νιν ἵππειον δίφρον.
λαβὼν δὲ χερσὶν ἡνίας, Εὐρυσθέως
πώλοις ἐπεῖχε. τἀπὸ τοῦδ' ἤδη κλύων
λέγοιμ' ἂν ἄλλου, δεῦρο δ' αὐτὸς εἰσιδών.
Παλληνίδος γὰρ σεμνὸν ἐκπερῶν πάγον
δίας Ἀθάνας, ἅρμ' ἰδὼν Εὐρυσθέως,
ἠράσαθ' Ἥβῃ Ζηνί θ', ἡμέραν μίαν
νέος γενέσθαι κἀποτίσασθαι δίκην
ἐχθρούς· κλύειν δὴ θαύματος πάρεστί σοι.
δισσὼ γὰρ ἀστέρ' ἱππικοῖς ἐπὶ ζυγοῖς
σταθέντ' ἔκρυψαν ἅρμα λυγαίῳ νέφει.
σὸν δὴ λέγουσι παῖδά γ' οἱ σοφώτεροι
Ἥβην θ'· ὁ δ' ὄρφνης ἐκ δυσαιθρίου νέων
βραχιόνων ἔδειξεν ἡβητὴν τύπον.
αἱρεῖ δ' ὁ κλεινὸς Ἰόλεως Εὐρυσθέως
τέτρωρον ἅρμα πρὸς πέτραις Σκειρωνίσιν.
δεσμοῖς τε δήσας χεῖρας ἀκροθίνιον
κάλλιστον ἥκει τὸν στρατηλάτην ἄγων,
τὸν ὄλβιον πάροιθε· τῇ δὲ νῦν τύχῃ

833. κελεύματος. 849. ὑπὸ ζ. 851. παῖδά σ' οἱ σ. 855. πρὸ π. 858. πάροιθεν· ἡ δὲ νῦν τύχη.

βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,
τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν
θανόντ' ἴδῃ τις· ὡς ἐφήμεροι τύχαι.

ΧΟΡΟΣ.

ὦ Ζεῦ τροπαῖε, νῦν ἐμοὶ δεινοῦ φόβου
ἐλεύθερον πάρεστιν ἦμαρ εἰςιδεῖν.

ΑΛΚΜΗΝΗ.

ὦ Ζεῦ, χρόνῳ μὲν τἄμ' ἐπεσκέψω κακά·
χάριν δ' ὅμως σοι τῶν πεπραγμένων ἔχω.
καὶ παῖδα τὸν ἐμὸν πρόςθεν οὐ δοκοῦσ' ἐγὼ
θεοῖς ὁμιλεῖν, νῦν ἐπίσταμαι σαφῶς.
ὦ τέκνα, νῦν δὴ, νῦν ἐλεύθεροι πόνων,
ἐλεύθεροι δὲ τοῦ κακῶς ὀλουμένου
Εὐρυσθέως ἔσεσθε, καὶ πόλιν πατρὸς
ὄψεσθε, κλήρους δ' ἐμβατεύσετε χθονὸς,
καὶ θεοῖς πατρῴοις θύσεθ', ὧν ἀπειργμένοι
ξένοι πλανήτην εἴχετ' ἄθλιον βίον.
ἀτὰρ τί κεύθων Ἰόλεως σοφόν ποτε
Εὐρυσθέως ἐφείσαθ', ὥςτε μὴ κτανεῖν,
λέξον· παρ' ἡμῖν μὲν γὰρ οὐ σοφὸν τόδε,
ἐχθροὺς λαβόντα, μὴ 'ποτίσασθαι δίκην.

ΘΕΡΑΠΩΝ.

τὸ σὸν προτιμῶν, ὥς νιν ὀφθαλμοῖς ἴδοις
κρατοῦντα καὶ σῇ δεσποτούμενον χερί.
οὐ μὴν ἑκόντα γ' αὐτόν, ἀλλὰ πρὸς βίαν
ἔζευξ' ἀνάγκῃ· καὶ γὰρ οὐκ ἐβούλετο
ζῶν ἐς σὸν ἐλθεῖν ὄμμα καὶ δοῦναι δίκην.
ἀλλ', ὦ γεραιὰ, χαῖρε, καὶ μέμνησό μοι,
ὃ πρῶτον εἶπας, ἡνίκ' ἠρχόμην λόγου·

883. μέμνησό μου.

ἐλευθέρωσόν μ'· ἐν δὲ τοῖς τοιοῖςδε χρὴ
ἀψευδὲς εἶναι τοῖσι γενναίοις στόμα.

ΧΟΡΟΣ.

Ἐμοὶ χορὸς μὲν ἡδὺς, εἰ λίγεια (στροφὴ ά.)
λωτοῦ χάρις ἐνί γε δαιτί.
εἴη δ' εὔχαρις Ἀφροδίτα.
τερπνὸν δέ τι καὶ φίλων ἄρ'
εὐτυχίαν ἰδέσθαι
τῶν πάρος οὐ δοκούντων.
πολλὰ γὰρ τίκτει
Μοῖρα τελεσσιδώτειρ',
αἰών τε Κρόνου παῖς.
ἔχεις ὁδόν τίν', ὦ πόλις, δίκαιον· (ἀντιστρ. ά.)
οὐ χρή ποτε τόδ' ἀφελέσθαι,
τιμᾶν θεούς· ὁ δὲ μή σε φάσκων
ἐγγὺς μανιῶν ἐλαύνει,
δεικνυμένων ἐλέγχων
τῶνδ'· ἐπίσημα γάρ τοι
θεὸς παραγγέλλει,
τῶν ἀδίκων παραιρῶν
φρονήματος αἰεί.
ἔστιν ἐν οὐρανῷ βεβακὼς (στροφὴ β'.)
τεὸς γόνος, ὦ γεραιὰ, —
φεύγει λόγον, ὡς τὸν ᾅδα
δόμον κατέβα, πυρὸς
δεινᾷ φλογὶ σῶμα δαισθείς —
Ἥβας τ' ἐρατὸν χροΐζει λέχος
χρυσέαν κατ' αὐλάν.
ὦ Ὑμέναιε, δισσοὺς

888. ἐνὶ δαί. 898. σε deest. 909. δαϊσθείς.

παῖδας Διὸς ἠξίωσας.
συμφέρεται τὰ πολλὰ πολλοῖς· (ἀντιστρ. β΄.)
καὶ γὰρ πατρὶ τῶνδ᾽ Ἀθάναν
λέγουσ᾽ ἐπίκουρον εἶναι,
καὶ τούσδε θεᾶς πόλις
καὶ λαὸς ἔσωσε κείνας,
ἔσχεν δ᾽ ὕβριν ἀνδρὸς, ᾧ θυμὸς ἦν
πρὸς δίκας βιαίως.
μή ποτ᾽ ἐμοὶ φρόνημα
ψυχά τ᾽ ἀκόρεστος εἴη!

ΑΓΓΕΛΟΣ.

δέσποιν᾽, ὁρᾷς μὲν, ἀλλ᾽ ὅμως εἰρήσεται,
Εὐρυσθέα σοι τόνδ᾽ ἄγοντες ἥκομεν,
ἄελπτον ὄψιν, τῷδέ τ᾽ οὐχ ἧσσον τυχεῖν·
οὐ γάρ ποτ᾽ ηὔχει χεῖρας ἵξεσθαι σέθεν,
ὅτ᾽ ἐκ Μυκηνῶν πολυπόνῳ σὺν ἀσπίδι
ἔστειχε, μείζω τῆς τύχης φρονῶν πολὺ,
πέρσων Ἀθήνας. ἀλλὰ τὴν ἐναντίαν
δαίμων ἔθηκε καὶ μετέστησεν τύχην.
Ὕλλος μὲν οὖν ὅ τ᾽ ἐσθλὸς Ἰόλεως βρέτας
Διὸς τροπαίου καλλίνικον ἔστασαν·
ἐμοὶ δὲ πρὸς σὲ τόνδ᾽ ἐπιστέλλουσ᾽ ἄγειν,
τέρψαι θέλοντες σὴν φρέν᾽. ἐκ γὰρ εὐτυχοῦς
ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ᾽ ὁρᾶν.

ΑΛΚΜΗΝΗ.

ὦ μῖσος, ἥκεις; εἷλέ σ᾽ ἡ Δίκη χρόνῳ;
πρῶτον μὲν οὖν μοι δεῦρ᾽ ἐπίστρεψον κάρα,
καὶ τλῆθι τοὺς σοὺς προσβλέπειν ἐναντίον

918. ἔσωσ᾽ ἐκείνας. 919. ὕβρεις. 920. πρὸ δίκας. 925. τῶνδε. 927. πολυπόνων σὺν ἀσπίσιν. 930. τύχας. 938. ἐναντίους.

ἐχθρούς· κρατεῖ γὰρ νῦν γε, κοὐ κρατεῖς ἔτι·
ἐκεῖνος εἶ σύ — βούλομαι γὰρ εἰδέναι —
ὃς πολλὰ μὲν τὸν ὄνθ᾽, ὅπου ᾽στὶ νῦν, ἐμὸν
παῖδ᾽ ἠξίωσας, ὦ πανοῦργ᾽, ἐφυβρίσαι;
τί γὰρ σὺ κεῖνον οὐκ ἔτλης καθυβρίσαι;
ὃς καὶ παρ᾽ ᾅδην ζῶντά νιν κατήγαγες,
ὕδρας λεοντάς τ᾽ ἐξαπολλύναι λέγων
ἔπεμπες; ἄλλα δ᾽, οἷ᾽ ἐμηχανῶ, κακὰ
σιγῶ· μακρὸς γὰρ μῦθος ἂν γένοιτό μοι.
κοὐκ ἤρκεσέν σοι ταῦτα τολμῆσαι μόνον,
ἀλλ᾽ ἐξ ἁπάσης κἀμὲ καὶ τέκν᾽ Ἑλλάδος
ἤλαυνες, ἱκέτας δαιμόνων καθημένους,
τοὺς μὲν γέροντας, τοὺς δὲ νηπίους ἔτι.
ἀλλ᾽ εὗρες ἄνδρας καὶ πόλισμ᾽ ἐλεύθερον,
οἵ σ᾽ οὐκ ἔδεισαν. δεῖ σε κατθανεῖν κακῶς.
καὶ κερδανεῖς ἅπαντα· χρῆν γὰρ οὐχ ἅπαξ
θνήσκειν σὲ, πολλὰ πήματ᾽ ἐξειργασμένον.

ΑΓΓΕΛΟΣ.

οὐκ ἔστ᾽ ἀνυστὸν τόνδε σοι κατακτανεῖν.

ΑΛΚΜΗΝΗ.

ἄλλως ἄρ᾽ αὐτὸν αἰχμάλωτον εἵλομεν;
εἴργει δὲ δὴ τίς τόνδε μὴ θανεῖν νόμος;

ΑΓΓΕΛΟΣ.

τοῖς τῆσδε χώρας προστάταισιν οὐ δοκεῖ.

ΑΛΚΜΗΝΗ.

τί δὴ τόδ᾽, ἐχθροὺς τοῖσιδ᾽ οὐ καλὸν κτανεῖν;

ΑΓΓΕΛΟΣ.

οὐχ, ὅντιν᾽ ἂν γε ζῶνθ᾽ ἕλωσιν ἐν μάχῃ.

943. ἐφυβρίσαι. 954. χρὴ γάρ. 956. sqq. Χο. pro Ἀγγ. et Ἀγγ. pro Ἀλκμ.

ΑΛΚΜΗΝΗ.

καὶ ταῦτα δόξανθ' Ὕλλος ἐξηνέσχετο;

ΑΓΓΕΛΟΣ.

χρῆν δ' αὐτὸν, οἶμαι, τῆδ' ἀπιστῆσαι χθονί;

ΑΛΚΜΗΝΗ.

χρῆν τόνδε μὴ ζῆν, μηδὲ φάος ὁρᾷν ἔτι.

ΑΓΓΕΛΟΣ.

τότ' ἠδικήθη πρῶτον, οὐ θανὼν ὅδε.

ΑΛΚΜΗΝΗ.

οὐκοῦν ἔτ' ἐστιν ἐν καλῷ δοῦναι δίκην.

ΑΓΓΕΛΟΣ.

οὐκ ἔστι, τοῦτον ὅςτις ἂν κατακτάνοι.

ΑΛΚΜΗΝΗ.

ἔγωγε· καίτοι φημὶ κἄμ' εἶναί τινα.

ΑΓΓΕΛΟΣ.

πολλὴν ἄρ' ἕξεις μέμψιν, εἰ δράσεις τόδε.

ΑΛΚΜΗΝΗ.

φιλῶ πόλιν τήνδ'· οὐδὲν ἀντιλεκτέον.
τοῦτον δ', ἐπείπερ χεῖρας ἦλθεν εἰς ἐμὰς,
οὐκ ἔστι θνητῶν ὅςτις ἐξαιρήσεται.
πρὸς ταῦτα τὴν θρασεῖαν, ὅςτις ἂν θέλῃ,
καὶ τὴν φρονοῦσαν μεῖζον, ἢ γυναῖκα χρὴ,
λέξει· τὸ δ' ἔργον τοῦτ' ἐμοὶ πεπράξεται.

ΧΟΡΟΣ.

δεινόν τι καὶ συγγνωστὸν, ὦ γύναι, σ' ἔχειν
νεῖκος πρὸς ἄνδρα τόνδε· γιγνώσκω καλῶς.

ΕΥΡΥΣΘΕΥΣ.

γύναι, σάφ' ἴσθι μή με θωπεύσοντά σε,

963. χθονί. 964. μήδ' ὁρᾷν φάος ἔτι. 968. ἔγωγε μέν τί φημι κἂν μεῖναί τινα. 973. θέλοι.

μηδ' ἄλλο μηδὲν τῆς ἐμῆς ψυχῆς πέρι
λέξονθ', ὅθεν χρὴ δειλίαν ὄφλειν τινά.
ἐγὼ δὲ νεῖκος οὐχ ἑκὼν τόδ' ἠράμην·
ᾔδη γε σοὶ μὲν αὐτανέψιος γεγὼς,
τῷ σῷ δὲ παιδὶ συγγενὴς Ἡρακλέει.
ἀλλ' εἴτ' ἔχρῃζον, εἴτε μὴ, — θεὸς γὰρ ἦν, —
Ἥρα με κάμνειν τήνδ' ἔθηκε τὴν νόσον.
ἐπεὶ δ' ἐκείνῳ δυςμένειαν ἠράμην,
κἄγνων ἀγῶνα τόνδ' ἀγωνιούμενος,
πολλῶν σοφιστὴς πημάτων ἐγιγνόμην,
καὶ πόλλ' ἔτικτον νυκτὶ συνθακῶν ἀεὶ,
ὅπως, διώσας καὶ κατακτείνας ἐμοὺς
ἐχθροὺς, τὸ λοιπὸν μὴ συνοικοίην φόβῳ;
εἰδὼς μὲν οὐκ ἀριθμὸν, ἀλλ' ἐτητύμως
ἄνδρ' ὄντα τὸν σὸν παῖδα· καὶ γὰρ ἐχθρὸς ὢν,
ἀκούσεται τά γ' ἐσθλὰ, χρηστὸς ὢν ἀνήρ.
κείνου δ' ἀπαλλαχθέντος, οὐκ ἐχρῆν μ' ἄρα,
μισούμενον πρὸς τῶνδε καὶ ξυνειδότα
ἔχθραν πατρῴαν, πάντα κινῆσαι πέτρον,
κτείνοντα κἀκβάλλοντα καὶ τεχνώμενον;
τοιαῦτα δρῶντι, τἄμ' ἐγίγνετ' ἀσφαλῆ.
οὔκουν σύ γ', ἀναλαβοῦσα τὰς ἐμὰς τύχας,
ἐχθροῦ λέοντος δυςμενῆ βλαστήματα
ἤλαυνες ἂν κακοῖσιν, ἀλλὰ σωφρόνως
εἴασας οἰκεῖν Ἄργος; οὔ τιν' ἂν πίθοις.
νῦν οὖν, ἐπειδή μ' οὐ διώλεσαν τότε
πρόθυμον ὄντα, τοῖσιν Ἑλλήνων νόμοις,
οὐχ ἁγνός εἰμι τῷ κτανόντι κατθανών.

982. ᾔδη. 983. Ἡρακλεῖ. 990. δηώσας. 999. τἀμὰ γίγνετ' ἀ.

πόλις τ' ἀφῆκε σωφρονοῦσα, τὸν θεὸν
μεῖζον τίουσα τῆς ἐμῆς ἔχθρας πολύ.
[πρὸς] ἄγ' εἶπας, ἀντήκουσας· ἐντεῦθεν δὲ χρὴ
τὸν προστρόπαιον τόν τε γενναῖον καλεῖν.
οὕτω γε μέντοι τἄμ' ἔχει· θανεῖν μὲν οὐ
χρῄζω, λιπὼν δ' ἂν οὐδὲν ἀχθοίμην βίον.

ΧΟΡΟΣ.

παραινέσαι σοι σμικρὸν, Ἀλκμήνη, θέλω,
τὸν ἄνδρ' ἀφεῖναι τόνδ', ἐπεὶ πόλει δοκεῖ.

ΑΛΚΜΗΝΗ.

τί δ', ἢν θάνῃ τε καὶ πόλει πειθώμεθα;

ΧΟΡΟΣ.

τὰ λῷστ' ἂν εἴη· πῶς τάδ' οὖν γενήσεται;

ΑΛΚΜΗΝΗ.

ἐγὼ διδάξω ῥᾳδίως· κτανοῦσα γὰρ
τόνδ', εἶτα νεκρὸν τοῖς μετελθοῦσιν φίλων
δώσω· τὸ γὰρ σῶμ', οὐκ ἀπιστήσω χθονί·
οὗτος δὲ δώσει τὴν δίκην θανὼν ἐμοί.

ΕΥΡΥΣΘΕΥΣ.

κτεῖν', οὐ παραιτοῦμαί σε· τὴν δὲ δὴ πόλιν,
ἐπεί μ' ἀφῆκε καὶ κατῃδέσθη κτανεῖν,
χρησμῷ παλαιῷ Λοξίου δωρήσομαι,
ὃς ὠφελήσει μεῖζον, ἢ δοκεῖν, χρόνῳ.
θανόντα γάρ με θάψεθ', οὗ τὸ μόρσιμον,
δίας πάροιθε παρθένου Παλληνίδος.
καὶ σοὶ μὲν εὔνους καὶ πόλει σωτήριος
μέτοικος ἀεὶ κείσομαι κατὰ χθονός,
τοῖς τῶνδε δ' ἐκγόνοισι πολεμιώτατος,
ὅταν μόλωσι δεῦρο σὺν πολλῇ χερί,

1013. μικρόν. 1015. ἂν θ. 1021. τήνδε δὴ π.

χάριν προδόντες τήνδε· τοιούτων ξένων
προὔστητε. πῶς οὖν ταῦτ' ἐγὼ πεπυσμένος,
δεῦρ' ἦλθον, ἀλλ' οὐ χρησμὸν ᾐδούμην θεοῦ;
Ἥραν νομίζων θεσφάτων κρείσσω πολὺ,
κοὐκ ἂν προδοῦναί μ'. ἀλλὰ μήτε μοι χοὰς,
μήθ' αἷμ' ἐάσῃς εἰς ἐμὸν στάξαι τάφον.
κακὸν γὰρ αὐτοῖς νόστον ἀντὶ τῶνδ' ἐγὼ
δώσω· διπλοῦν δὲ κέρδος ἕξετ' ἐξ ἐμοῦ·
ὑμᾶς τ' ὀνήσω, τούσδε τε βλάψω θανών.

ΑΛΚΜΗΝΗ.

τί δῆτα μέλλετ', εἰ πόλει σωτηρίαν
κατεργάσασθαι τοῖσί τ' ἐξ ὑμῶν χρεὼν,
κτείνειν τὸν ἄνδρα τόνδ', ἀκούοντες τάδε;
δείκνυσι γὰρ κέλευθον ἀσφαλεστάτην.
ἐχθρὸς μὲν ἀνὴρ, ὠφελεῖ δὲ κατθανών.
κομίζετ' αὐτὸν, δμῶες, εἶτα χρὴ κυσὶν
δοῦναι κτανόντας· μὴ γὰρ ἐλπίσῃς, ὅπως
αὖθις πατρῴας ζῶν ἔμ' ἐκβαλεῖς χθονός.

ΧΟΡΟΣ.

ταῦτα δοκεῖ μοι, στείχετ', ὀπαδοί.
τὰ γὰρ ἐξ ἡμῶν,
καθαρῶς ἔσται βασιλεῦσιν.

1033. ᾐρόμην. 1034. μείζω π.

ΤΕΛΟΣ ΗΡΑΚΛΕΙΔΩΝ.

ΕΥΡΙΠΙΔΟΥ

Ε Λ Ε Ν Η.

ΥΠΟΘΕΣΙΣ.

(E COD. FLORENTINO NR. XVIII.)

Ἡρόδοτος (II, 112 sqq.) ἱστορεῖ περὶ Ἑλένης καὶ φησὶν, ἐλθεῖν μὲν αὐτὴν εἰς Αἴγυπτον, καὶ τοῦτο φάσκειν καὶ τὸν Ὅμηρον, ποιοῦντα τὴν Ἑλένην παρέχειν τῷ Τηλεμάχῳ ἐν Ὀδυσσείᾳ τὸ λαθικηδὲς φάρμακον, τό οἱ πόρε Πολυδάμνα Θῶνος παράκοιτις, (Od. δ'. 228.) οὐ μὴν δὲ οὕτως, ὡς Εὐριπίδης φησίν. οἱ μὲν γὰρ πλανωμένην φασὶν αὐτὴν μετὰ τοῦ Μενελάου μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καὶ εἰς Αἴγυπτον παραγενέσθαι, κἀκεῖθεν πεπορίσθαι τὰ φάρμακα· ὁ δὲ τὴν μὲν ἀληθῶς Ἑλένην φησὶ μηδ᾽ ὁπωςοῦν ἐλθεῖν εἰς Τροίαν, τὸ εἴδωλον δὲ αὐτῆς. κλέψας γὰρ αὐτὴν ὁ Ἑρμῆς Ἥρας βουλῇ Πρωτεῖ τῷ βασιλεῖ τῆς Αἰγύπτου φυλάττειν παρέδωκε. τούτου δὲ θανόντος, ὁ υἱὸς αὐτοῦ Θεοκλύμενος ἐπειρᾶτο γαμεῖν αὐτήν. ἡ δὲ ἱκέτις παρεκάθητο τῷ τοῦ Πρωτέως μνημείῳ, ὅθεν αὐτῇ ἐπιφαίνεται Μενέλεως, τὰς μὲν ναῦς ἐν τῇ θαλάσσῃ ἀπολέσας, ὀλίγους δέ τινας τῶν ἑταί-

ρων ἐν ἄντρῳ καθειργμένους σώζων. εἰς λόγους δὲ ἐλθόντες καὶ μηχανοῤῥαφήσαντες ἀπατῶσι μὲν τὸν Θεοκλύμενον, αὐτοὶ δὲ νηῒ ἐμβάντες, ὡς δὴ τῷ Μενέλεῳ θανόντι κατὰ θάλατταν θύσοντες, εἰς τὴν ἰδίαν διασώζονται.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΕΛΕΝΗ.
ΤΕΥΚΡΟΣ.
ΧΟΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΓΡΑΥΣ.
ΑΓΓΕΛΟΣ.
ΘΕΟΝΟΗ.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
[ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.]
ΔΙΟΣΚΟΥΡΟΙ.

Προλογίζει δὲ ἡ Ἑλένη.

ΕΥΡΙΠΙΔΟΥ ΕΛΕΝΗ.

ΕΛΕΝΗ.

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψεκάδος Αἰγύπτου πέδον,
λευκῆς τακείσης χιόνος, ὑγραίνει γύας.
Πρωτεὺς δ', ὅτ' ἔζη, τῆσδε γῆς τύραννος ἦν,
Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ' ἄναξ,
ὃς τῶν κατ' οἶδμα παρθένων μίαν γαμεῖ,
Ψαμάθην, ἐπειδὴ λέκτρ' ἀφῆκεν Αἰακοῦ.
τίκτει δὲ τέκνα δισσὰ τοῖσδε δώμασιν,
Θεοκλύμενον μὲν ἄρσεν', ὅτι δὴ θεοὺς σέβων
βίον διήνεγκ', εὐγενῆ τε παρθένον
Εἰδὼ, τὸ μητρὸς ἀγλάϊσμ', ὅτ' ἦν βρέφος,
ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραίαν γάμων,
καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ,
τά τ' ὄντα καὶ μέλλοντα πάντ' ἠπίστατο,
προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
λόγος τις, ὡς Ζεὺς μητέρ' ἔπτατ' εἰς ἐμὴν

7. Αἰόλου. 9. μὲν deest. 11. εἶδος. 12. ὡραίων γ.

Λήδαν, κύκνου μορφώματ' ὄρνιθος λαβὼν,
ὃς δόλιον εὐνὴν ἐξέπραξ' ὑπ' αἰετοῦ
δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος.
Ἑλένη δ' ἐκλήθην· ἃ δὲ πεπόνθαμεν κακὰ,
λέγοιμ' ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν' Ἀλέξανδρον πάρα,
Ἥρα Κύπρις τε Διογενής τε παρθένος,
μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχὲς,
Κύπρις προτείνασ' ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾷ· λιπὼν δὲ βούσταθμ' Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ', ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ', οὕνεκ' οὐ νικᾷ θεὰς,
ἐξηνέμωσε τἄμ' Ἀλεξάνδρῳ λέχη,
δίδωσι δ' οὐκ ἔμ', ἀλλ' ὁμοιώσασ' ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ' ὕπο
Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ' ἔχειν,
κενὴν δόκησιν, οὐκ ἔχων. τὰ δ' αὖ Διὸς
βουλεύματ' ἄλλα τοῖςδε συμβαίνει κακοῖς·
πόλεμον γὰρ εἰςήνεγκεν Ἑλλήνων χθονὶ
καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν
πλήθους τε κουφίσειε μητέρα χθόνα,
γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ' ἐς ἀλκὴν προὐθέμην — ἐγὼ μὲν οὔ,
τὸ δ' ὄνομα τοὐμὸν — ἆθλον Ἕλλησιν δορός.
λαβὼν δέ μ' Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος,
νεφέλῃ καλύψας, — οὐ γὰρ ἠμέλησέ μου
Ζεὺς, — τόνδ' ἐς οἶκον Πρωτέως ἱδρύσατο,
πάντων προκρίνας σωφρονέστατον βροτῶν,

20. αἰετοῦ, 32. Ἀλεξάνδρου.

ἀκέραιον ὡς σώσαιμι Μενέλεῳ λέχος.
κἀγὼ μὲν ἐνθάδ' εἴμ', ὁ δ' ἄθλιος πόσις,
στράτευμ' ἀθροίσας, τὰς ἐμὰς ἀναρπαγὰς
θηρᾷ, πορευθεὶς Ἰλίου πυργώματα.
ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ' ἐγὼ
κατάρατός εἰμι, καὶ δοκῶ, προδοῦσ' ἐμὸν
πόσιν, συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
τί δῆτ' ἔτι ζῶ; θεοῦ τόδ' εἰςήκουσ' ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρὶ, γνόντος, ὡς ἐς Ἴλιον
οὐκ ἦλθον, ἵνα μὴ λέκτρ' ὑποστρώσω τινί.
ἕως μὲν οὖν φῶς ἡλίου τόδ' ἔβλεπεν
Πρωτεὺς, ἄσυλος ἦν γάμων· ἐπεὶ δὲ γῆς
σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
θηρᾷ γαμεῖν με. τὸν πάλαι δ' ἐμὸν πόσιν
τιμῶσα, Πρωτέως μνῆμα προςπιτνῶ τόδε
ἱκέτις, ἵν' ἀνδρὶ τἀμὰ διασώσω λέχη,
ὡς, εἰ καθ' Ἑλλάδ' ὄνομα δυςκλεὲς φέρω,
μή μοι τὸ σῶμά γ' ἐνθάδ' αἰσχύνην ὄφλῃ.

ΤΕΥΚΡΟΣ.

τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος;
Πλούτου γὰρ οἶκος ἄξιος προςεικάσαι,
βασίλειά τ' ἀμφιβλήματ' εὔθριγκοί θ' ἕδραι.
ἔα.
ὦ θεοὶ, τίν' εἶδον ὄψιν; ἐχθίστην ὁρῶ
γυναικὸς εἰκὼ φόνιον, ἥ μ' ἀπώλεσεν
πάντας τ' Ἀχαιούς. θεοί σ', ὅσον μίμημ' ἔχεις
Ἑλένης, ἀποπτύσαιεν. εἰ δὲ μὴ 'ν ξένῃ

49. εἰμί· ὁ δ'.

γαίᾳ πόδ' εἶχον, τῷδ' ἂν εὐστόχῳ πέτρῳ
ἀπόλαυσιν εἰκοῦς ἔθανες ἂν Διὸς κόρης.

ΕΛΕΝΗ.

τί δ', ὦ ταλαίπωρ', ὅστις ὤν μ' ἀπεστράφης,
καὶ ταῖς ἐκείνης συμφοραῖς ἐμὲ στυγεῖς;

ΤΕΥΚΡΟΣ.

ἥμαρτον· ὀργῇ δ' εἶξα μᾶλλον, ἢ μ' ἐχρῆν·
μισεῖ γὰρ Ἑλλὰς πᾶσα τὴν Διὸς κόρην.
σύγγνωθι δ' ἡμῖν τοῖς λελεγμένοις, γύναι.

ΕΛΕΝΗ.

τίς δ' εἶ; πόθεν γῆς τῆσδ' ἐπεστράφης πέδον;

ΤΕΥΚΡΟΣ.

εἷς τῶν Ἀχαιῶν, ὦ γύναι, τῶν ἀθλίων.

ΕΛΕΝΗ.

οὐκ ἆρά σ', Ἑλένην εἰ στυγεῖς, θαυμαστέον.
ἀτὰρ τίς εἶ; πόθεν; τίνος; ἐξαυδᾷν σε χρή.

ΤΕΥΚΡΟΣ.

ὄνομα μὲν ἡμῖν Τεῦκρος, ὁ δὲ φύσας πατὴρ
Τελαμὼν, Σαλαμὶς δὲ πατρὶς, ἡ θρέψασά με.

ΕΛΕΝΗ.

τί δῆτα Νείλου τάσδ' ἐπιστρέφει γύας;

ΤΕΥΚΡΟΣ.

φυγὰς πατρῴας ἐξελήλαμαι χθονός.

ΕΛΕΝΗ.

τλήμων ἂν εἴης· τίς δέ σ' ἐκβάλλει πάτρας;

ΤΕΥΚΡΟΣ.

Τελαμὼν ὁ φύσας. τίν' ἂν ἔχοις μᾶλλον φίλον;

ΕΛΕΝΗ.

ἐκ τοῦ; τὸ γάρ τοι πρᾶγμα συμφορὰν ἔχει.

76. τόδ' εἶχον. 77. ἀπώλλυσ', ἵν' εἰκ.

ΤΕΥΚΡΟΣ.

Αἴας μ' ἀδελφὸς ὤλεσ', ἐν Τροίᾳ θανών.

ΕΛΕΝΗ.

πῶς; οὔτι που σῷ φασγάνῳ βίον στερείς;

ΤΕΥΚΡΟΣ.

οἰκεῖον αὐτὸν ὤλεσ' ἅλμ' ἐπὶ ξίφος.

ΕΛΕΝΗ.

μανέντ'; ἐπεὶ τίς σωφρονῶν τλαίη τάδ' ἄν;

ΤΕΥΚΡΟΣ.

τὸν Πηλέως τίν' οἶσθ' Ἀχιλλέα γόνον;

ΕΛΕΝΗ.

μνηστήρ ποθ' Ἑλένης ἦλθεν, ὡς ἀκούομεν.

ΤΕΥΚΡΟΣ.

θανὼν ὅδ' ὅπλων ἔριν ἔθηκε συμμάχοις.

ΕΛΕΝΗ.

καὶ δὴ τί τοῦτ' Αἴαντι γίγνεται κακόν;

ΤΕΥΚΡΟΣ.

ἄλλου λαβόντος ὅπλ', ἀπηλλάχθη βίου.

ΕΛΕΝΗ.

σὺ τοῖς ἐκείνου δῆτα πήμασιν νοσεῖς;

ΤΕΥΚΡΟΣ.

ὅθ' οὕνεκ' αὐτῷ γ' οὐ ξυνωλόμην ὁμοῦ.

ΕΛΕΝΗ.

ἦλθες γὰρ, ὦ ξέν', Ἰλίου κλεινὴν πόλιν;

ΤΕΥΚΡΟΣ.

καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην.

ΕΛΕΝΗ.

ἤδη γὰρ ἧπται καὶ κατείργασται πυρί;

ΤΕΥΚΡΟΣ.

ὥστ' οὐδ' ἴχνος γε τειχέων εἶναι σαφές.

ΕΛΕΝΗ.

ὦ τλῆμον Ἑλένη, διὰ σ᾽ ἀπόλλυνται Φρύγες!

ΤΕΥΚΡΟΣ.

καὶ πρός γ᾽ Ἀχαιοί· μεγάλα δ᾽ εἴργασται κακά.

ΕΛΕΝΗ.

πόσον χρόνον γὰρ διαπεπόρθηται πόλις;

ΤΕΥΚΡΟΣ.

ἑπτὰ σχεδόν τι καρπίμους ἐτῶν κύκλους.

ΕΛΕΝΗ.

χρόνον δ᾽ ἐμείνατ᾽ ἄλλον ἐν Τροίᾳ πόσον;

ΤΕΥΚΡΟΣ.

πολλὰς σελήνας, δέκα διελθούσας ἔτη.

ΕΛΕΝΗ.

ἦ καὶ γυναῖκα Σπαρτιᾶτιν εἵλετε;

ΤΕΥΚΡΟΣ.

Μενέλαος αὐτὴν ἦγ᾽ ἐπισπάσας κόμης.

ΕΛΕΝΗ.

εἶδες σὺ τὴν δύστηνον; ἢ κλύων λέγεις;

ΤΕΥΚΡΟΣ.

ὥσπερ σέ γ᾽, οὐδὲν ἧσσον, ὀφθαλμοῖς ὁρῶ.

ΕΛΕΝΗ.

σκοπεῖτε, μὴ δόκησιν εἴχετ᾽ ἐκ θεῶν.

ΤΕΥΚΡΟΣ.

ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.

ΕΛΕΝΗ.

οὕτω δοκεῖτε τὴν δόκησιν ἀσφαλῆ;

ΤΕΥΚΡΟΣ.

αὐτὸς γὰρ ὄσσοις εἰδόμην καὶ νοῦς ὁρᾷ.

ΕΛΕΝΗ.

ἤδη δ᾽ ἐν οἴκοις σὺν δάμαρτι Μενέλεως;

ΤΕΥΚΡΟΣ.

οὔκουν ἐν Ἄργει γ᾽, οὐδ᾽ ἐπ᾽ Εὐρώτα ῥοαῖς.

ΕΛΕΝΗ.

αἶ, αἶ! κακὸν τόδ᾽ εἶπας, οἷς κακὸν λέγεις.

ΤΕΥΚΡΟΣ.

ὡς κεῖνος ἀφανὴς σὺν δάμαρτι κλῄζεται.

ΕΛΕΝΗ.

οὐ πᾶσι πορθμὸς αὑτὸς Ἀργείοισιν ἦν;

ΤΕΥΚΡΟΣ.

ἦν· ἀλλὰ χειμὼν ἄλλοσ᾽ ἄλλον ὥρισεν.

ΕΛΕΝΗ.

ποίοισιν ἐν νώτοισι ποντίας ἁλός;

ΤΕΥΚΡΟΣ.

μέσον περῶσι πέλαγος Αἰγαίου πόρου.

ΕΛΕΝΗ.

κἀκ τοῦδε Μενέλεων οὔτις οἶδ᾽ ἀφιγμένον;

ΤΕΥΚΡΟΣ.

οὐδείς· θανὼν δὲ κλῄζεται καθ᾽ Ἑλλάδα.

ΕΛΕΝΗ.

ἀπωλόμεσθα· Θεστιὰς δ᾽ ἔστιν κόρη;

ΤΕΥΚΡΟΣ.

Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.

ΕΛΕΝΗ.

ἤπου νιν Ἑλένης αἰσχρὸν ὤλεσεν κλέος;

ΤΕΥΚΡΟΣ.

φασίν, βρόχῳ γ᾽ ἅψασαν εὐγενῆ δέρην.

ΕΛΕΝΗ.

οἱ Τυνδάρειοι δ᾽ εἰσίν, ἢ οὐκ εἰσὶν κόροι;

124. γ᾽ deest. 127. αὐτός. 135. οὔπω.

ΤΕΥΚΡΟΣ.

τεθνᾶσι, κοὐ τεθνᾶσι· δύο δ' ἐστὸν λόγοι.

ΕΛΕΝΗ.

πότερος ὁ κρείσσων; ὦ τάλαιν' ἐγὼ κακῶν!

ΤΕΥΚΡΟΣ.

ἄστροις σφ' ὁμοιωθέντε φάσ' εἶναι θεώ.

ΕΛΕΝΗ.

καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;

ΤΕΥΚΡΟΣ.

σφαγαῖς ἀδελφῆς οὕνεκ' ἐκπνεῦσαι βίον.
ἅλις δὲ μύθων· οὐ διπλᾶ χρῄζω στένειν.
ὧν δ' οὕνεκ' ἦλθον τούσδε βασιλείους δόμους,
τὴν θεσπιῳδὸν Θεονόην χρῄζων ἰδεῖν,
συμπροξένησον, ὡς τύχω μαντευμάτων,
ὅπῃ νεὼς στείλαιμ' ἂν οὔριον πτερὸν
ἐς γῆν ἐναλίαν Κύπρον, οὗ μ' ἐθέσπισεν
οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν
Σαλαμῖνα θέμενον τῆς ἐκεῖ χάριν πάτρας.

ΕΛΕΝΗ.

πλοῦς, ὦ ξέν', αὐτὸς σημανεῖ· σὺ δ' ἐκλιπὼν
γῆν τήνδε φεῦγε, πρίν σε παῖδα Πρωτέως
ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεστι δέ,
κυσὶν πεποιθὼς, ἐν φοναῖς θηροκτόνοις·
κτείνει γὰρ Ἕλλην', ὅντιν' ἂν λάβῃ, ξένον.
ὅτου δ' ἕκατι, μήτε σὺ ζήτει μαθεῖν,
ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;

ΤΕΥΚΡΟΣ.

καλῶς ἔλεξας, ὦ γύναι. θεοὶ δέ σοι
ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο!
Ἑλένῃ δ' ὅμοιον σῶμ' ἔχουσ', οὐ τὰς φρένας

ἔχεις ὁμοίας, ἀλλὰ διαφόρους πολύ.
κακῶς δ' ὄλοιτο, μηδ' ἐπ' Εὐρώτα ῥοὰς
ἔλθοι· σὺ δ' εἴης εὐτυχὴς ἀεὶ, γύναι!

ΕΛΕΝΗ.

ὦ μεγάλων ἀχέων καταβαλλομένα μέγαν οἶκτον,
ποῖον ἁμιλλαθῶ γόον; ἢ τίνα μοῦσαν ἐπέλθω,
δάκρυσιν, ἢ θρήνοις, ἢ πένθεσιν; —
ἒ, ἔ!
πτεροφόροι νεάνιδες, (στροφὴ ά.)
παρθένοι, Χθονὸς κόραι,
Σειρῆνες, εἴθ' ἐμοῖς γόοις
μόλοιτ' ἔχουσαι τὸν Λίβυν
λωτὸν, ἢ σύριγγας, αἰλίνοις κακοῖς
τοῖς ἐμοῖσι σύνοχα δάκρυα,
πάθεσι πάθεα, μέλεσι μέλεα,
μουσεῖά τε θρηνήμασι ξυνῳδὰ
πέμψειε Φερσέφασσα
φόνια, φόνια, χάριτας ἵν' ἐπὶ δάκρυσι
παρ' ἐμέθεν ὑπὸ μέλαθρα νύχια, παιᾶνας
νέκυσιν ὀλομένοις, λάβῃ.

ΧΟΡΟΣ.

κυανοειδὲς ἀμφ' ὕδωρ (ἀντιστρ. ά.)
ἔτυχον ἕλικά τ' ἀνὰ χλόαν
φοίνικας ἁλίου πέπλους
αὐγαῖσιν ἐν ταῖς χρυσέαις
ἀμφιθάλπουσ' ἔν τε δόνακος ἔρνεσιν·
ἔνθεν οἰκτρὸν ἀνεβόασεν,

177. παρ' ἐμὲ θ'. 183. θάλπουσ' ἀμφί τ' ἐν δόνακ. ἔρν.

ὅμαδον ἔκλυον ἄλυρον, ἔλεγον,
ὅ τι ποτ᾽ ἔλακεν αἰάγμασι στένουσα,
Νύμφα τις οἷα Ναΐς
ὄρεσι φυγάδα νόμον ἱεῖσα γοερόν·
ὑπὸ δὲ πέτρινα μύχατα γύαλα * * *
Πανὸς ἀναβοᾷ γάμους.

ΕΛΕΝΗ.

ἰώ! ἰώ! (στροφὴ β΄.)
θήραμα βαρβάρου πλάτας,
Ἑλλανίδες κόραι,
ναύτας Ἀχαιῶν τις ἔμολεν, ἔμολε,
δάκρυα δάκρυσί μοι φέρων,
Ἰλίου κατασκαφὰν,
πυρὶ μέλουσαν δαΐῳ
δι᾽ ἐμὲ τὰν πολύκτονον,
δι᾽ ἐμὸν ὄνομα πολύπονον.
Λήδα δ᾽ ἐν ἀγχόναις
θάνατον ἔλαβεν αἰσχύ-
νας ἐμᾶς ὑπ᾽ ἀλγέων.
ὁ δ᾽ ἐμὸς ἐν ἁλὶ πολυπλανὴς
πόσις ὀλόμενος οἴχεται,
Κάστορός τε συγγόνου τε
διδυμογενὲς ἄγαλμα πατρίδος
ἀφανὲς, ἀφανὲς ἱππόκροτα λέλοιπε δάπεδα
γυμνάσιά τε δονακόεντος Εὐ-
ρώτα, νεανίαν πόνον.

ΧΟΡΟΣ.

αἶ αἶ αἶ αἴ! (ἀντιστρ. β΄.)

186. ὅτι. 188. γάμον. 189. sine notis lacunae. 193. ἔμολεν, ἔμολεν. 197. μέλ. Ἰδαίῳ. 199. πουλυπόνον.

ὦ δαίμονος πολυστόνου
μοίρας τε σᾶς, γύναι!
αἰὼν δυσαίων τίς ἔλαχεν, ἔλαχεν,
ὅτε σε τέκετο ματρόθεν
Ζεὺς πρέπων δι᾽ αἰθέρος
χιονόχρως κύκνου πτερῷ;
τί γὰρ ἄπεστί σοι κακῶν;
τίνα δὲ βίοτον οὐκ ἔτλας;
μάτηρ μὲν οἴχεται,
δίδυμά τε Διὸς οὐκ εὐ-
δαιμονεῖ τέκεα φίλα,
χθόνα δὲ πάτριον οὐχ ὁρᾷς,
διὰ δὲ πόλεας ἔρχεται
βάξις, ἅ σε βαρβάροισι
λέχεσι, πότνια, παραδίδωσιν,
ὁ δὲ σὸς ἐν ἁλὶ κύμασί τε λέλοιπε βίοτον,
οὐδέ ποτ᾽ ἔτι πάτρια μέλαθρα καὶ
τὰν Χαλκίοικον ὀλβιεῖς.

ΕΛΕΝΗ.

φεῦ φεῦ! τίς ἦν Φρυγῶν; (ἐπῳδός.)
ἢ τίς Ἑλλανίας ἀπὸ χθονὸς
ἔτεμε τὰν δακρυόεσσαν Ἰλίῳ
πεύκαν; ἔνθεν ὀλόμενον
σκάφος συναρμόσας
ὁ Πριαμίδας ἔπλευσε βαρβάρῳ πλάτᾳ
τὰν ἐμὰν ἐφ᾽ ἑστίαν,
ἐπὶ τὸ δυστυχὲς
κάλλος, ὡς ἕλοι γάμον ἐμόν.
ἁ δὲ δόλιος, ἁ πολύκτονος Κύπρις

226. λέλοιπεν. 228. τὰν deest.

Δαναΐδαις ἄγουσα θάνατον Πριαμίδαις τε.
ὢ τάλαινα συμφορᾶς!
ἡ δὲ χρυσέοις θρόνοις
Διὸς ὑπαγκάλισμα σεμνὸν Ἥρα
τὸν ὠκύπουν ἔπεμψε Μαιάδος γόνον,
ὅς με, χλοερὰ δρεπομέναν ἔσω πέπλων
ῥόδεα πέταλα, χαλκίοικον ὡς Ἀθάναν
μόλοιμ', ἀναρπάσας δι' αἰθέρος
τάνδε γαῖαν εἰς ἄνολβον
ἔριν, ἔριν τάλαιναν ἔθετο
Πριαμίδαισιν Ἑλλάδος.
τὸ δ' ἐμὸν ὄνομα παρὰ Σιμουντίοις ῥοαῖσι
ματψίδιον ἔχει φάτιν.

ΧΟΡΟΣ.

ἔχεις μὲν ἀλγείν', οἶδα· συμφέρον δέ σοι
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

ΕΛΕΝΗ.

φίλαι γυναῖκες, τίνι πότμῳ συνεζύγην;
ἆρ' ἡ τεκοῦσά μ' ἔτεκεν ἀνθρώποις τέρας;
γυνὴ γὰρ οὔθ' Ἑλληνὶς, οὔτε βάρβαρος
τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.
τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ' ἐστί μοι,
τὰ μὲν δι' Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
εἴθ' ἐξαλειφθεῖσ', ὡς ἄγαλμ', αὖθις πάλιν,
αἴσχιον εἶδος ἀντὶ τοῦ καλοῦ λαβεῖν!
καὶ τὰς τύχας μὲν τὰς κακὰς, ἃς νῦν ἔχω,
Ἕλληνες ἐπελάθοντο· τὰς δὲ μὴ κακὰς
ἔσωζον, ὥσπερ τὰς κακὰς σώζουσί μου.

263. λάβοι.

ὅστις μὲν οὖν, ἐς μίαν ἀποβλέπων τύχην,
πρὸς θεῶν κακοῦται, βαρὺ μὲν, οἰστέον δ' ὅμως·
ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.
πρῶτον μὲν, οὐκ οὖσ' ἄδικος, εἰμὶ δυσκλεής.
καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακὸν,
ὅστις τὰ μὴ προσόντα κέκτηται κακά.
ἔπειτα πατρίδος θεοί μ' ἀφιδρύσαντο γῆς
ἐς βάρβαρ' ἤθη· καὶ φίλων τητωμένη
δούλη καθέστηκ', οὖσ' ἐλευθέρων ἄπο·
τὰ βαρβάρων γὰρ δοῦλα πάντα, πλὴν ἑνός.
ἄγκυρα δή μου τὰς τύχας ὀχεῖ μόνη,
πόσιν ποθ' ἥξειν καί μ' ἀπαλλάξαι κακῶν·
οὗτος τέθνηκεν, οὗτος οὐκ ἔτ' ἐστὶ δή.
μήτηρ δ' ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγὼ,
ἀδίκως μὲν, ἀλλὰ τἄδικον τοῦτ' ἔστ' ἐμόν·
ὃ δ' ἀγλάϊσμα δωμάτων ἐμοῦ τ' ἔφυ,
θυγάτηρ ἄνανδρος πολιὰ παρθενεύεται·
τὼ τοῦ Διὸς δὲ λεγομένω Διοσκόρω
οὐκ ἐστόν. ἀλλὰ πάντ' ἔχουσα δυστυχῆ,
τοῖς πράγμασιν τέθνηκα, τοῖς δ' ἔργοισιν οὔ.
τὸ δ' ἔσχατον τοῦτ', εἰ μόλοιμεν ἐς πάτραν,
κλείθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ' Ἰλίῳ
δοκοῦντες Ἑλένην Μενέλεω μ' ἐλθεῖν μέτα.
εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἂν
ἐς ξύμβολ' ἐλθόντες, ἃ φανερὰ μόνοις ἂν ἦν.
νῦν δ' οὔτε τοῦτ' ἔστ', οὔτε μὴ σωθῇ ποτε.
τί δῆτ' ἔτι ζῶ; τίν' ὑπολείπομαι τύχην;
γάμους ἑλομένη τῶν κακῶν ἀπαλλαγὰς,
μετ' ἀνδρὸς οἰκεῖν βαρβάρου, πρὸς πλουσίαν

289. Μενέλεῳ. 294. ὑπαλλαγάς.

τράπεζαν ἵζουσ'; ἀλλ' ὅταν πόσις πικρὸς
ξυνῇ γυναικὶ, καὶ τὸ σώζεσθαι πικρόν.
θανεῖν κράτιστον· πῶς θάνοιμ' ἂν οὖν καλῶς;
ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,
κἀν τοῖσι δούλοις δυςπρεπὲς νομίζεται,
σφαγαὶ δ' ἔχουσιν εὐγενές τι καὶ καλὸν,
σμικρὸν δ' ὁ καιρὸς ἄρτ' ἀπαλλάξαι βίου.
ἐς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
γυναῖκες, ἡμᾶς δ' αὐτὸ τοῦτ' ἀπώλεσεν.

ΧΟΡΟΣ.

Ἑλένη, τὸν ἐλθόνθ', ὅςτις ἐστὶν ὁ ξένος,
μὴ πάντ' ἀληθῆ δοξάσῃς εἰρηκέναι.

ΕΛΕΝΗ.

καὶ μὴν σαφῶς γ' ἔλεξ', ὀλωλέναι πόσιν.

ΧΟΡΟΣ.

πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη.

ΕΛΕΝΗ.

καὶ τἄμπαλίν γε τῶν δι' ἀληθείας σαφῆ.

ΧΟΡΟΣ.

ἐς συμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρει.

ΕΛΕΝΗ.

φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ' ἄγει.

ΧΟΡΟΣ.

πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις;

ΕΛΕΝΗ.

πάντες φίλοι μοι, πλὴν ὁ θηρεύων γάμους.

ΧΟΡΟΣ.

οἶσθ' οὖν, ὃ δρᾶσον; μνήματος λιποῦσ' ἕδραν —

297. καὶ τὸ σῶμ' ἐστὶ π.

ΕΛΕΝΗ.

ἐς ποῖον ἕρπεις μῦθον, ἢ παραίνεσιν;

ΧΟΡΟΣ.

ἐλθοῦσ' ἐς οἴκους, ἣ τὰ πάντ' ἐπίσταται,
τῆς ποντίας Νηρῆδος ἐκγόνου κόρης,
πυθοῦ πόσιν σὸν Θεονόης, εἴτ' ἔστ' ἔτι,
εἴτ' ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ' εὖ,
πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχε.
πρὶν δ' οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον
λυπουμένῃ γένοιτ' ἄν; ἀλλ' ἐμοὶ πιθοῦ.
τάφον λιποῦσα τόνδε, σύμμιξον κόρῃ,
ὅθεν περ εἴσει πάντα. τἀληθῆ φράσαι
ἔχουσ' ἐν οἴκοις τοῖςδε, τί βλέπεις πρόσω;
θέλω δὲ κἀγώ σοι συνειςελθεῖν δόμους,
καὶ συμπυθέσθαι παρθένου θεσπίσματα·
γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.

ΕΛΕΝΗ.

φίλαι, λόγους ἐδεξάμαν.
βᾶτε, βᾶτε δ' εἰς δόμους,
ἀγῶνας ἐντὸς οἴκων
ὡς πύθησθε τοὺς ἐμούς.

ΧΟΡΟΣ.

θέλουσαν οὐ μόλις καλεῖς.

ΕΛΕΝΗ.

ἰὼ μέλεος ἁμέρα!
τίν' ἄρα τάλαινα, τίνα δακρυό-
εντα λόγον ἀκούσομαι;

332. δόμων.

ΧΟΡΟΣ.

μὴ πρόμαντις ἀλγέων
προλάμβαν', ὦ φίλα, γόους.

ΕΛΕΝΗ.

τί μοι πόσις μέλεος ἔτλα;
πότερα δέρκεται φάος
τέθριππά τ' ἀελίου
ἐς κέλευθά τ' ἀστέρων,
ἦ 'ν νέκυσι κατὰ χθονὸς
τὰν χθόνιον ἔχει τύχαν;

ΧΟΡΟΣ.

εἰς τὸ φέρτερον τίθει
τὸ μέλλον, ὅ τι γενήσεται.

ΕΛΕΝΗ.

σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατώμοσα,
τὸν ὑδρόεντα δόνακι χλωρὸν
Εὐρώταν, θανόντος εἰ βάξις ἔτυ-
μος ἀνδρὸς ἅδε μοι.

ΧΟΡΟΣ.

τί τάδ' ἀσύνετα;

ΕΛΕΝΗ.

φόνιον αἰώρημα διὰ δέρης ὀρέξομαι,
ἢ ξιφοκτόνον δίωγμα
λαιμορύτου σφαγᾶς
αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν,
θῦμα τριζύγοις θεαῖσι
τῷ τε σύριγγ' ἀν' Ἴδην σεβίζοντι Πρια-
μίδᾳ ποτ' ἀμφὶ βουστάθμους.

344. ἢ νέκυσι. 356. σάρκας, ἅμιλλα. 358. 9. σύριγγ' ἀοιδαὶ σέβιζον Πριαμίδας.

ΧΟΡΟΣ.

ἄλλοσ' ἀποτροπὰ κακῶν γένοιτο, τὸ δὲ σὸν εὐτυ-
χές.

ΕΛΕΝΗ.

ἰὼ Τροία τάλαινα!
δι' ἔργ' ἄνεργ' ὄλλυσαι, μέλεά τ' ἔτλας·
τὰ δ' ἐμὰ δῶρα Κύπρις ἔτεκε
πολὺ μὲν αἷμα, πολὺ δὲ δάκρυον, ἄχεά τ' ἄχεσι,
δάκρυα δάκρυσιν ἔλαβε πάθεα·
ματέρες τε παῖδας ὤλεσαν,
ἀπὸ δὲ παρθένοι κόμας
ἔθεντο σύγγονοι νεκρῶν, Σκαμάνδριον
ἀμφὶ Φρύγιον οἶδμα.
βοὰν, βοὰν δ' Ἑλλὰς
κελάδησε κἀνωτότυξεν,
ἐπὶ δὲ κρατὶ χέρας ἔθηκεν,
ὄνυχι δ' ἁπαλόχροα γένυν
ἔδευσε φονίαισι πλαγαῖς.
ὦ μάκαρ Ἀρκαδίᾳ ποτὲ παρθένε Καλλιστοῖ, Διὸς
ἃ λεχέων ἐπέβας τετραβάμοσι γυίοις,
ὡς πολὺ ματρὸς ἐμᾶς ἔλαχες πλέον!
ἃ μορφᾷ θηρῶν, λάχνᾳ γυίων,
ὄμματι λάβρῳ σχῆμα λεαίνης
ἐξάλλαξας ἄχεα λύπης·
ἅν τέ ποτ' Ἄρτεμις ἐξεχορεύσατο,
χρυσοκέρωτ' ἔλαφον, Μέροπος Τιτανίδα κούραν
καλλοσύνας ἕνεκεν· τὸ δ' ἐμὸν δέμας
ὤλεσεν, ὤλεσε Πέργαμα Δαρδανίας ὀλο-
μένους τ' Ἀχαιούς.

378. θηρᾶν. 380. ἐξαλλάξασ' ἄχ.

ΜΕΝΕΛΑΟΣ.

ὦ τὰς τεθρίππους Οἰνομάῳ Πίσαν κάτα
Πέλοψ ἁμίλλας ἐξαμιλληθείς ποτε,
εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον ἐς θεοὺς
πρισθεὶς ἐποίεις, ἐν θεοῖς λιπεῖν βίον,
πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,
ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο
Ἀγαμέμνον' ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν·
πλεῖστον γὰρ οἶμαι, — καὶ τόδ' οὐ κόμπῳ λέγω, —
στράτευμα κώπῃ διορίσαι Τροίαν ἔπι
τύραννος, οὐδὲν πρὸς βίαν στρατηλατῶν,
ἑκοῦσι δ' ἄρξας Ἑλλάδος νεανίαις.
καὶ τοὺς μὲν οὐκ ἔτ' ὄντας ἀριθμῆσαι πάρα,
τοὺς δ' ἐκ θαλάσσης ἀσμένως πεφευγότας,
νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους πάλιν.
ἐγὼ δ' ἐπ' οἶδμα πόντιον γλαυκῆς ἁλὸς
τλήμων ἀλῶμαι χρόνον ὅσονπερ Ἰλίου
πύργους ἔπερσα, κεἰς πάτραν χρῄζων μολεῖν,
οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν.
Λιβύης τ' ἐρήμους ἀξένους τ' ἐπιδρομὰς
πέπλευκα πάσας· χὤταν ἐγγὺς ὦ πάτρας,
πάλιν μ' ἀπωθεῖ πνεῦμα, κοὔποτ' οὔριον
εἰςῆλθε λαῖφος, ὥςτε μ' ἐς πάτραν μολεῖν.
καὶ νῦν τάλας ναυαγὸς, ἀπολέσας φίλους,
ἐξέπεσον ἐς γῆν τήνδε· ναῦς δὲ πρὸς πέτρας
πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
τρόπις δ' ἐλείφθη ποικίλων ἁρμοσμάτων,
ἐφ' ἧς ἐσώθην μόλις ἀνελπίστῳ τύχῃ
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω.

386. Οἰνομάου.

ὄνομα δὲ χώρας, ἥτις ἥδε καὶ λεὼς,
οὐκ οἶδ'· ὄχλον γὰρ ἐςπεσεῖν ᾐσχυνόμην,
ὥςθ' ἱστορῆσαι τὰς ἐμὰς δυςχλαινίας,
κρύπτων ὑπ' αἰδοῦς τὰς τύχας. ὅταν δ' ἀνὴρ
πράξῃ κακῶς ὑψηλὸς, εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυςδαίμονος.
χρεία δὲ τείρει μ'· οὔτε γὰρ σῖτος πάρα,
οὔτ' ἀμφὶ χρῶτ' ἐσθῆτες· αὐτὰ δ' εἰκάσαι
πάρεστι· ναὸς ἐκβόλοις ἀμπίσχομαι.
πέπλους δὲ τοὺς πρὶν λαμπρά τ' ἀμφιβλήματα
χλιδάς τε πόντος ἥρπασ'· ἐν δ' ἄντρου μυχοῖς
κρύψας γυναῖκα, τὴν κακῶν πάντων ἐμοὶ
ἄρξασαν, ἥκω, τούς γε περιλελειμμένους
φίλων φυλάσσειν τἄμ' ἀναγκάσας λέχη.
μόνος δὲ νοστῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
τὰ πρόςφορ', ἤν πως ἐξερευνήσας λάβω.
ἰδὼν δὲ δῶμα περιφερές θριγκοῖς τόδε
πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινὸς,
προςῆλθον· ἐλπὶς δ' ἔκ γε πλουσίων δόμων
λαβεῖν τι ναύταις, ἐκ δὲ μὴ 'χόντων βίον,
οὐδ' εἰ θέλοιεν, ὠφελεῖν ἔχοιεν ἄν.
ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
ὅςτις διαγγείλειε τἄμ' εἴσω κακά;

ΓΡΑΥΣ.

τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξει δόμων,
καὶ μὴ πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις,
ὄχλον παρέξεις δεσπόταις; ἦ κατθανεῖ
Ἕλλην πεφυκὼς, οἷσιν οὐκ ἐπιστροφαί.

432. ἔκ τε πλ. 440. σῖτον.

ΜΕΝΕΛΑΟΣ.

ὦ γραῖα, ταῦτα πάντ᾽ ἔπη καλῶς λέγεις.
ἔξεστι· πείσομαι γάρ· ἀλλ᾽ ἄνες λόγον.

ΓΡΑΥΣ.

ἄπελθ᾽· ἐμοὶ γὰρ τοῦτο πρόςκειται, ξένε,
μηδένα πελάζειν τοισίδ᾽ Ἑλλήνων δόμοις.

ΜΕΝΕΛΑΟΣ.

ἆ· μὴ πρόσειε χεῖρα, μηδ᾽ ὤθει βίᾳ.

ΓΡΑΥΣ.

πείθει γὰρ οὐδέν, ὧν λέγω· σὺ δ᾽ αἴτιος.

ΜΕΝΕΛΑΟΣ.

ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς.

ΓΡΑΥΣ.

πικρῶς ἂν οἶμαί γ᾽ ἀγγελεῖν τοὺς σοὺς λόγους.

ΜΕΝΕΛΑΟΣ.

ναυαγὸς ἥκω, ξένος, ἀσύλητον γένος.

ΓΡΑΥΣ.

οἶκον πρὸς ἄλλον νύν τιν᾽ ἀντὶ τοῦδ᾽ ἴθι.

ΜΕΝΕΛΑΟΣ.

οὔκ, ἀλλ᾽ ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.

ΓΡΑΥΣ.

ὀχληρὸς ἴσθ᾽ ὤν· καὶ τάχ᾽ ὠσθήσει βίᾳ.

ΜΕΝΕΛΑΟΣ.

αἶ, αἶ! τὰ κλεινὰ ποῦ ᾽στί μοι στρατεύματα;

ΓΡΑΥΣ.

οὐκοῦν ἐκεῖ που σεμνὸς ἦσθ᾽, οὐκ ἐνθάδε.

ΜΕΝΕΛΑΟΣ.

ὦ δαῖμον, ὡς ἀνάξἰ ἠτιμώμεθα!

445. προσεῖλα. 450. νῦν. 454. ποῦ.

ΓΡΑΥΣ.

τί βλέφαρα τέγγεις δάκρυσι; πρὸς τίν᾽ οἰκτρὸς εἶ;

ΜΕΝΕΛΑΟΣ.

πρὸς τὰς πάροιθεν συμφορὰς εὐδαίμονας.

ΓΡΑΥΣ.

ουκοῦν ἀπελθὼν δάκρυα σοῖς δώσεις φίλοις.

ΜΕΝΕΛΑΟΣ.

τίς δ᾽ ἥδε χώρα; τοῦ δὲ βασίλειοι δόμοι;

ΓΡΑΥΣ.

Πρωτεὺς τάδ᾽ οἰκεῖ δώματ᾽, Αἴγυπτος δὲ γῆ.

ΜΕΝΕΛΑΟΣ.

Αἴγυπτος; ὦ δύστηνος, οἷ πέπλευκ᾽ ἄρα!

ΓΡΑΥΣ.

τί δὴ τὸ Νείλου μεμπτόν ἐστί σοι γένος;

ΜΕΝΕΛΑΟΣ.

οὐ τοῦτ᾽ ἐμέμφθην· τὰς ἐμὰς στένω τύχας.

ΓΡΑΥΣ.

πολλοὶ κακῶς πράσσουσιν, οὐ σὺ δὴ μόνος.

ΜΕΝΕΛΑΟΣ.

ἔστ᾽ οὖν ἐν οἴκοις, ὅντιν᾽ ὀνομάζεις, ἄναξ;

ΓΡΑΥΣ.

τόδ᾽ ἐστιν αὐτοῦ μνῆμα, παῖς δ᾽ ἄρχει χθονός.

ΜΕΝΕΛΑΟΣ.

ποῦ δῆτ᾽ ἂν εἴη; πότερον ἐκτὸς, ἢ ᾽ν δόμοις;

ΓΡΑΥΣ.

οὐκ ἔνδον· Ἕλλησιν δὲ πολεμιώτατος.

ΜΕΝΕΛΑΟΣ.

τίν᾽ αἰτίαν σχὼν, ἧς ἐπηυρόμην ἐγώ;

ΓΡΑΥΣ.

Ἑλένη κατ᾽ οἴκους ἐστὶ τούςδ᾽, ἡ τοῦ Διός.

ΜΕΝΕΛΑΟΣ.

πῶς φής; τίν' εἶπας μῦθον; αὖθίς μοι φράσον.

ΓΡΑΥΣ.

ἡ Τυνδαρὶς παῖς, ἣ κατὰ Σπάρτην ποτ' ἦν.

ΜΕΝΕΛΑΟΣ.

πόθεν μολοῦσα; τίνα τὸ πρᾶγμ' ἔχει λόγον;

ΓΡΑΥΣ.

Λακεδαίμονος γῆς δεῦρο νοστήσασ' ἄπο.

ΜΕΝΕΛΑΟΣ.

πότ'; οὔτι που λελήσμεθ' ἐξ ἄντρων λέχος;

ΓΡΑΥΣ.

πρὶν τοὺς Ἀχαιοὺς, ὦ ξέν', ἐς Τροίαν μολεῖν.
ἀλλ' ἕρπ' ἀπ' οἴκων· ἔστι γάρ τις ἐν δόμοις
τύχη, τύραννος ᾗ ταράσσεται δόμος.
καιρὸν γὰρ οὐδέν' ἦλθες· ἢν δὲ δεσπότης
λάβῃ σε, θάνατος ξένιά σοι γενήσεται.
εὔνους γάρ εἰμ' Ἕλλησιν, οὐχ ὅσον πικροὺς
λόγους ἔδωκα, δεσπότην φοβουμένη.

ΜΕΝΕΛΑΟΣ.

τί φῶ; τί λέξω; συμφορὰς γὰρ ἀθλίας
ἐκ τῶν πάροιθεν τὰς παρεστώσας κλύω,
εἰ τὴν μὲν αἱρεθεῖσαν ἐκ Τροίας ἄγων
ἥκω δάμαρτα, καὶ κατ' ἄντρα σώζεται,
ὄνομα δὲ ταυτὸν τῆς ἐμῆς ἔχουσά τις
δάμαρτος ἄλλη τοισίδ' ἐνναίει δόμοις.
Διός γ' ἔλεξε παῖδά νιν πεφυκέναι.
ἀλλ' ἦ τίς ἐστι Ζηνὸς ὄνομ' ἔχων ἀνὴρ
Νείλου παρ' ὄχθας; εἷς γὰρ ὅγε κατ' οὐρανόν.
Σπάρτη δὲ ποῦ γῆς ἐστὶ, πλὴν ἵνα ῥοαὶ

475. λέχους. 479. οὐδὲν. 491. ὄχθαις. 492. ἵν' αἱ ῥοαί.

τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνου;
ἁπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται.
Λακεδαίμονος δὲ γαῖά τις ξυνώνυμος
Τροίας τ'; ἐγὼ μὲν οὐκ ἔχω, τί χρὴ λέγειν.
πολλοὶ γὰρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονὶ
ὀνόματα ταὔτ' ἔχουσι, καὶ πόλις πόλει
γυνὴ γυναικί τ'· οὐδὲν οὖν θαυμαστέον,
οὐδ' αὖ τὸ δεινὸν προσπόλου φευξούμεθα.
ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας,
ὃς, ὄνομ' ἀκούσας τοὐμὸν, οὐ δώσει βοράν.
κλεινὸν τὸ Τροίας πῦρ, ἐγώ θ', ὃς ἧψά νιν,
Μενέλαος, οὐκ ἄγνωστος ἐν πάσῃ χθονί.
δόμων ἄνακτα προσμενῶ γ'· ἔχει δέ μοι
δισσὰς φυλάξεις· ἢν μὲν ὠμόφρων τις ᾖ,
κρύψας ἐμαυτὸν, εἶμι πρὸς ναυάγια·
ἢν δ' ἐνδιδῷ τι μαλθακὸν, τὰ πρόσφορα
τῆς νῦν παρούσης συμφορᾶς αἰτήσομαι.
κακῶν δέ γ' ἡμῖν ἔσχατον τοῖς ἀθλίοις,
ἄλλους τυράννους, αὐτὸν ὄντα βασιλέα,
βίον προσαιτεῖν· ἀλλ' ἀναγκαίως ἔχει.
λόγος γάρ ἐστιν οὐκ ἐμὸς, σοφῶν δ' ἔπος,
δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.

ΧΟΡΟΣ.

Ἤκουσα τᾶς θεσπιῳδοῦ κόρας,
ἃ χρῄζουσ' ἐφάνη τυράννοις
δόμοις, ὡς Μενέλαος οὔπω
μελαμφαὲς οἴχεται
δι' ἔρεβος, χθονὶ κρυφθεὶς,

498. ταὔτ'. 510. δέ θ' ἡμῖν.

ἀλλ᾽ ἔτι κατ᾽ οἶδμ᾽ ἅλιον
τρυχόμενος οὔπω λιμένων
ψαύσειε πατρίας γᾶς,
ἀλατείᾳ βιότου
ταλαίφρων, ἄφιλος φίλων,
παντοδαπᾶς ἐπὶ γᾶς
πόδα χριμπτόμενος ἐναλίῳ
κώπᾳ Τρῳάδος ἐκ γᾶς.

ΕΛΕΝΗ.

ἥδ᾽ αὖ τάφου τοῦδ᾽ εἰς ἕδρας ἐγὼ πάλιν
στείχω, μαθοῦσα Θεονόης φίλους λόγους,
ἣ πάντ᾽ ἀληθῶς οἶδε· φησὶ δ᾽ ἐν φάει
πόσιν τὸν ἁμὸν ζῶντα φέγγος εἰσορᾷν,
πορθμοὺς δ᾽ ἀλᾶσθαι μυρίους πεπλευκότα
ἐκεῖσε κἀκεῖσ᾽, οὐδ᾽ ἀγύμναστον πλάνοις
ἥξειν, ὅταν δὴ πημάτων λάβῃ τέλος.
ἓν δ᾽ οὐκ ἔλεξεν, εἰ μολὼν σωθήσεται.
ἐγὼ δ᾽ ἀπέστην τοῦτ᾽ ἐρωτῆσαι σαφῶς,
ἡσθεῖσ᾽, ἐπεί νιν εἶπέ μοι σεσωσμένον.
ἐγγὺς δέ νίν που τῆσδ᾽ ἔφασκ᾽ εἶναι χθονὸς,
ναυαγὸν ἐκπεσόντα σὺν παύροις φίλοις.
ὥς μοι πόθ᾽ ἥξεις! ὡς ποθεινὸς ἂν μόλοις!
ἔα, τίς οὗτος; οὔτι που κρυπτεύομαι
Πρωτέως ἀσέπτου παιδὸς ἐκ βουλευμάτων;
οὐχ ὡς δρομαία πῶλος, ἢ Βάκχη θεοῦ,
τάφῳ ξυνάψω κῶλον; ἄγριος δέ τις
μορφὴν ὅδ᾽ ἐστιν, ὅς με θηρᾶται λαβεῖν.

ΜΕΝΕΛΑΟΣ.

σὲ τὴν ὄρεγμα δεινὸν ἡμιλλημένην

532. πεπλωκότα.

τύμβου ᾽πὶ κρηπῖδ᾽ ἐμπύρους τ᾽ ὀρθοστάτας·
μεῖνον· τί φεύγεις; ὡς δέμας δείξασα σὸν,
ἔκπληξιν ἡμῖν ἀφασίαν τε προστίθης.

ΕΛΕΝΗ.

ἀδικούμεθ᾽, ὦ γυναῖκες· εἰργόμεσθα γὰρ
τάφου πρὸς ἀνδρὸς τοῦδε, καί μ᾽ ἑλὼν, θέλει
δοῦναι τυράννοις, ὧν ἐφεύγομεν γάμους.

ΜΕΝΕΛΑΟΣ.

οὐ κλῶπές ἐσμεν, οὐχ ὑπηρέται κακῶν.

ΕΛΕΝΗ.

καὶ μὴν στολήν γ᾽ ἄμορφον ἀμφὶ σῶμ᾽ ἔχεις.

ΜΕΝΕΛΑΟΣ.

στῆσον, φόβου μεθεῖσα λαιψηρὸν πόδα.

ΕΛΕΝΗ.

ἵστημ᾽, ἐπεί γε τοῦδ᾽ ἐφάπτομαι τόπου.

ΜΕΝΕΛΑΟΣ.

τίς εἶ; τίν᾽ ὄψιν σὴν, γύναι, προσδέρκομαι;

ΕΛΕΝΗ.

σὺ δ᾽ εἶ τίς; αὑτὸς γὰρ σὲ κἄμ᾽ ἔχει λόγος.

ΜΕΝΕΛΑΟΣ.

οὐ πώποτ᾽ εἶδον προσφερεστέραν δέμας.

ΕΛΕΝΗ.

ὦ θεοί! θεὸς γὰρ καὶ τὸ γιγνώσκειν φίλους.

ΜΕΝΕΛΑΟΣ.

Ἑλληνὶς εἶ τις, ἢ ᾽πιχωρία γυνή;

ΕΛΕΝΗ.

Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.

549. προστιθεῖς.

ΜΕΝΕΛΑΟΣ.

Ἑλένῃ σ᾽ ὁμοίαν δὴ μάλιστ᾽ εἶδον, γύναι.

ΕΛΕΝΗ.

ἐγὼ δὲ Μενελάῳ γε σ᾽· οὐδ᾽ ἔχω, τί φῶ.

ΜΕΝΕΛΑΟΣ.

ἔγνως γὰρ ὀρθῶς ἄνδρα δυστυχέστατον.

ΕΛΕΝΗ.

ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.

ΜΕΝΕΛΑΟΣ.

ποίας δάμαρτος; μὴ θίγῃς ἐμῶν πέπλων.

ΕΛΕΝΗ.

ἥν σοι δίδωσι Τυνδάρεως, ἐμὸς πατήρ.

ΜΕΝΕΛΑΟΣ.

ὦ φωσφόρ᾽ Ἑκάτη, πέμπε φάσματ᾽ εὐμενῆ.

ΕΛΕΝΗ.

οὐ νυκτίφαντον πρόπολον Ἐνοδίας μ᾽ ὁρᾷς.

ΜΕΝΕΛΑΟΣ.

οὐ μὴν γυναικῶν γ᾽ εἷς δυοῖν ἔφυν πόσις.

ΕΛΕΝΗ.

ποίων δὲ λέκτρων δεσπότης ἄλλων ἔφυς;

ΜΕΝΕΛΑΟΣ.

ἣν ἄντρα κεύθει κἀκ Φρυγῶν κομίζομαι.

ΕΛΕΝΗ.

οὐκ ἔστιν ἄλλη σή τις ἀντ᾽ ἐμοῦ γυνή.

ΜΕΝΕΛΑΟΣ.

ἦ που φρονῶ μὲν εὖ, τὸ δ᾽ ὄμμα μου νοσεῖ;

ΕΛΕΝΗ.

οὐ γάρ με λεύσσων σὴν δάμαρθ᾽ ὁρᾷν δοκεῖς;

ΜΕΝΕΛΑΟΣ.

τὸ σῶμ᾽ ὅμοιον, τὸ δὲ σαφές μ᾽ ἀποστερεῖ.

ΕΛΕΝΗ.

σκέψαι· τί δ᾽, εἴ τις ἐστί σου σοφώτερος;

ΜΕΝΕΛΑΟΣ.

ἔοικας· οὔ τοι τοῦτό γ᾽ ἐξαρνήσομαι.

ΕΛΕΝΗ.

τίς οὖν διδάξει σ᾽ ἄλλος, ἢ τὰ σ᾽ ὄμματα;

ΜΕΝΕΛΑΟΣ.

ἐκεῖ νοσοῦμεν, ὅτι δάμαρτ᾽ ἄλλην ἔχω.

ΕΛΕΝΗ.

οὐκ ἦλθον ἐς γῆν Τρῳάδ᾽, ἀλλ᾽ εἴδωλον ἦν.

ΜΕΝΕΛΑΟΣ.

καὶ τίς βλέποντα σώματ᾽ ἐξεργάζεται;

ΕΛΕΝΗ.

Αἰθὴρ, ὅθεν σὺ θεοπόνητ᾽ ἔχεις λέχη.

ΜΕΝΕΛΑΟΣ.

τίνος πλάσαντος θεῶν; ἄελπτα γὰρ λέγεις.

ΕΛΕΝΗ.

Ἥρας διάλλαγμ᾽, ὡς Πάρις με μὴ λάβοι.

ΜΕΝΕΛΑΟΣ.

πῶς οὖν ἂν ἐνθάδ᾽ ἦσθά τ᾽ ἐν Τροίᾳ θ᾽ ἅμα;

ΕΛΕΝΗ.

τοὔνομα γένοιτ᾽ ἂν πολλαχοῦ, τὸ σῶμα δ᾽ οὔ.

ΜΕΝΕΛΑΟΣ.

μέθες με, λύπας ἅλις ἔχων ἐλήλυθα.

ΕΛΕΝΗ.

λείψεις γὰρ ἡμᾶς, τὰ δὲ κέν᾽ ἐξάξεις λέχη;

ΜΕΝΕΛΑΟΣ.

καὶ χαῖρέ γ᾽, Ἑλένῃ προσφερὴς ὅθ᾽ οὕνεκ᾽ εἶ.

578. σκ. τί σου δεῖ; τίς ἐστι. 580. τὰ σά γ᾽ ὄμμ. 581. ἐκεῖνο, σοῦ μὲν, ὅτι. 587. ἦσθ᾽ ἐνὶ Τρ.

ΕΛΕΝΗ.

ἀπωλόμην· λαβοῦσά σ' οὐχ ἕξω πόσιν.

ΜΕΝΕΛΑΟΣ.

τοὐκεῖ με μέγεθος τῶν πόνων πείθει, σὺ δ' οὔ.

ΕΛΕΝΗ.

οἴ 'γώ! τίς ἡμῶν ἐγένετ' ἀθλιωτέρα;
οἱ φίλτατοι λείπουσιν· οὐδ' ἀφίξομαι
Ἕλληνας, οὐδὲ πατρίδα τὴν ἐμήν ποτε.

ΑΓΓΕΛΟΣ.

Μενέλαε, μαστεύων σε κιγχάνω μόλις,
πᾶσαν πλανηθεὶς τήνδε βάρβαρον χθόνα,
πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο.

ΜΕΝΕΛΑΟΣ.

τί δ' ἐστιν; ἦ που βαρβάρων συλᾶσθ' ὕπο;

ΑΓΓΕΛΟΣ.

θαυμάστ', ἔλασσον τοὔνομ', ἢ τὸ πρᾶγμ', ἔχων.

ΜΕΝΕΛΑΟΣ.

λέγ', ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον.

ΑΓΓΕΛΟΣ.

λέγω, πόνους σε μυρίους τλῆναι μάτην.

ΜΕΝΕΛΑΟΣ.

παλαιὰ θρηνεῖς πήματ'· ἀγγέλλεις δὲ τί;

ΑΓΓΕΛΟΣ.

βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτύχας
ἀρθεῖσ' ἄφαντος· οὐρανῷ δὲ κρύπτεται,
λιποῦσα σεμνὸν ἄντρον, οὗ σφ' ἐσώζομεν,
τοσόνδε λέξασ'· ὦ ταλαίπωροι Φρύγες
πάντες τ' Ἀχαιοί, δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνήσκετε,

592. λαβοῦσά τ' οὐχ. 597. κιχάνω.

δοκοῦντες Ἑλένην οὐκ ἔχοντ' ἔχειν Πάριν.
ἐγὼ δ', ἐπειδὴ χρόνον ἔμειν', ὅσον μ' ἐχρῆν,
τὸ μόρσιμον σώσασα, πατέρ' ἐς οὐρανὸν
ἄπειμι· φήμας δ' ἡ τάλαινα Τυνδαρὶς
ἄλλως κακὰς ἤκουσεν, οὐδὲν αἰτία. —
ὦ χαῖρε, Λήδας θύγατερ, ἐνθάδ' ἦσθ' ἄρα;
ἐγὼ δέ σ' ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
ἤγγελλον, εἰδὼς οὐδέν, ὡς ὑπόπτερον
δέμας φοροίης. οὐκ ἐῶ σε κερτομεῖν
ἡμᾶς τόδ' αὖθις, ὡς μάτην ἐν Ἰλίῳ
πόνους παρεῖχες σῷ πόσει καὶ συμμάχοις.

ΜΕΝΕΛΑΟΣ.

τοῦτ' ἔστ' ἐκεῖνο· ξυμβεβᾶσιν οἱ λόγοι
οἱ τῆσδ' ἀληθεῖς· ὦ ποθεινὸς ἡμέρα,
ἥ σ' εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν!

ΕΛΕΝΗ.

ὦ φίλτατ' ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
παλαιός, ἡ δὲ τέρψις ἀρτίως πάρα.
Ἔλαβον ἀσμένα πόσιν ἐμόν, φίλαι,
περιπετάσασα χέρα
φίλιον ἐν μακρᾷ φλογὶ φαεσφόρῳ.

ΜΕΝΕΛΑΟΣ.

κἀγὼ σέ· πολλοὺς δ' ἐν μέσῳ λόγους ἔχων
οὐκ οἶδ', ὁποίου πρῶτον ἄρξομαι τανῦν.

ΕΛΕΝΗ.

γέγηθα, κρατὶ δ' ὀρθίους ἐθείρας
ἀνεπτέρωκα, καὶ δάκρυ σταλάσσω,
περὶ δὲ γυῖα χεῖρας ἔβαλον * *

620. ὡς ᾄδην. 634. sine notis lacunae.

ἡδονὰν ὡς λάβω.
ὦ πόσις, ὦ φιλτάτη πρόςοψις!

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἐμέμφθην· ἔχω
τὰ τοῦ Διὸς λέκτρα Λήδας θ',
ἅν ὑπὸ λαμπάδων κόροι
λεύκιπποι, ξυνομαίμονες ὤλβισαν, ὤλβισαν
τοπρόσθ', ἐκ δόμων δ' ἐνόσφισαν θεοί σ' ἐμοῦ.

ΕΛΕΝΗ.

πρὸς ἄλλαν δ' ἐλαύνει θεὸς συμφορὰν
τᾶςδε κρείσσω· τὸ κακὸν δ' ἀγαθὸν
σέ τε κἀμὲ συνάγαγε, πόσι,
χρόνιον, ἀλλ' ὅμως ὀναίμαν τύχας.

ΜΕΝΕΛΑΟΣ.

ὄναιο δῆτα! ταυτὰ δὴ ξυνεύχομαι·
δυεῖν γὰρ ὄντοιν οὐχ ὁ μὲν τλήμων, ὁ δ' οὔ.

ΕΛΕΝΗ.

φίλαι, φίλαι, τὰ πάρος
οὐκέτι στένομεν, οὐδ' ἀλγῶ.
πόσιν ἐμὸν ἐμὸν ἔχομεν, ἔχομεν, ὅν ἔμενον,
ἔμενον ἐκ Τροίας πολυετῆ μολεῖν.

ΜΕΝΕΛΑΟΣ.

ἔχεις μ', ἔχω τέ σ'· ἡλίους δὲ μυρίους
μόγις διελθὼν ᾐσθόμην τὰ τῆς θεοῦ.
ἐμὰ δὲ δάκρυα χαρμονὰ πλέον ἔχει
χάριτος ἢ λύπας.

ΕΛΕΝΗ.

τί φῶ; τίς ἂν τόδ' ἤλπισεν βροτῶν ποτε;
ἀδόκητον ἔχω σε πρὸς στέρνοις.

638. Λήδας τε. 641. τοπρόσθεν. 644. πόσιν. 650. ἐμὸν semel. 652. μ' deest. 656. ἤλπισε.

ΜΕΝΕΛΑΟΣ.

κἀγὼ σὲ τὴν δοκοῦσαν Ἰδαίαν πόλιν
μολεῖν Ἰλίου τε μελέους πύργους.
πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης;

ΕΛΕΝΗ.

ἒ ἔ! πικρὰς ἐς ἀρχὰς βαίνεις·
ἒ ἔ! πικρὰν δ' ἐρευνᾷς φάτιν.

ΜΕΝΕΛΑΟΣ.

λέγ', ὡς ἀκουστὰ πάντα δῶρα δαιμόνων.

ΕΛΕΝΗ.

ἀπέπτυσα μὲν λόγον, οἷον [οἷον] ἐσοίσομαι.

ΜΕΝΕΛΑΟΣ.

ὅμως δὲ λέξον· ἡδύ τοι μόχθων κλύειν.

ΕΛΕΝΗ.

οὐκ ἐπὶ λέκτρον βαρβάρου νεανία,
πετομένας κώπας,
πετομένου δ' ἔρωτος ἀδίκων γάμων.

ΜΕΝΕΛΑΟΣ.

τίς γάρ σε δαίμων ἢ πότμος συλᾷ πάτρας;

ΕΛΕΝΗ.

ὁ Διὸς, ὁ Διὸς, ὦ πόσι, παῖς
μ' ἐπέλασεν Νείλῳ.

ΜΕΝΕΛΑΟΣ.

θαυμαστὰ τοῦ πέμψαντος· ὦ δεινοὶ λόγοι!

ΕΛΕΝΗ.

κατεδάκρυσα καὶ βλέφαρον ὑγραίνω
δάκρυσιν· ἁ Διός μ' ἄλοχος ὤλεσεν

669. γὰρ deest. 671. ἐπέλασε.

Ἥρα.

ΜΕΝΕΛΑΟΣ.

τίνων χρῄζουσα προσθεῖναι κακῶν;

ΕΛΕΝΗ.

ὤμοι ἐμῶν δεινῶν, λουτρῶν καὶ κρηνῶν,
ἵνα θεαὶ μορφὰν ἐφαίδρυναν, ἔν-
θεν ἔμολεν κρίσις.

ΜΕΝΕΛΑΟΣ.

τάδ' εἰς κρίσιν σοι τῶνδ' ἔθηχ' Ἥρα κακῶν;

ΕΛΕΝΗ.

Κύπριν ὡς ἀφέλοιτο.

ΜΕΝΕΛΑΟΣ.

πῶς; αὔδα.

ΕΛΕΝΗ.

Πάριν, ᾧ μ' ἐπένευσ'.

ΜΕΝΕΛΑΟΣ.

ὦ τλᾶμον!

ΕΛΕΝΗ.

τλάμων, τλάμων! ὧδ' ἐπέλασ' Αἰγύπτῳ.

ΜΕΝΕΛΑΟΣ.

εἶτ' ἀντέδωκ' εἴδωλον, ὡς σέθεν κλύω.

ΕΛΕΝΗ.

τὰ δὲ κατὰ μέλαθρα πάθεα, πάθεα, μᾶ-
τερ, οἴ 'γώ!

ΜΕΝΕΛΑΟΣ.

τί φής!

ΕΛΕΝΗ.

οὐκ ἔστι μάτηρ· ἀγχόνειον δὲ βρόχον
δι' ἐμὲ κατεδήσατο, δύσγαμον αἰσχύναν.

678. ἔμολε. 680. Κύπρις. 681. τλῆμον.

ΜΕΝΕΛΑΟΣ.

ὤμοι! θυγατρὸς δ' Ἑρμιόνης ἐστὶν βίος;

ΕΛΕΝΗ.

ἄγαμος, ἄτεκνος, ὦ πόσι, καταστένει
γάμον ἄγαμον αἰσχύνᾳ.

ΜΕΝΕΛΑΟΣ.

ὦ πᾶν κατ' ἄκρας δῶμ' ἐμὸν πέρσας, Πάρις,
τάδε καὶ σὲ διώλεσε μυριάδας τε
χαλκεόπλων Δαναῶν.

ΕΛΕΝΗ.

ἐμὲ δὲ πατρίδος ἄπο κακόποτμον ἀραίαν
ἔβαλε θεὸς ἀπό τε πόλεος ἀπό τε σέθεν,
ὅτι μέλαθρα λέχεά τ' ἔλιπον οὐ λιποῦσ'
ἐπ' αἰσχροῖς γάμοις.

ΧΟΡΟΣ.

εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
τύχοιτε, πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν.

ΑΓΓΕΛΟΣ.

Μενέλαε, κἀμοὶ πρόσδοτέ τι τῆς ἡδονῆς,
ἣν μανθάνω μὲν καὐτὸς, οὐ σαφῶς δ' ἔχω.

ΜΕΝΕΛΑΟΣ.

ἀλλ', ὦ γεραιὲ, καὶ σὺ κοινώνει λόγων.

ΑΓΓΕΛΟΣ.

οὐχ ἥδε μόχθων τῶν ἐν Ἰλίῳ βραβεύς;

ΜΕΝΕΛΑΟΣ.

οὐχ ἥδε, πρὸς θεῶν δ' ἦμεν ἠπατημένοι,
νεφέλης ἄγαλμ' ἔχοντες ἐν χεροῖν λυγρόν.

695. ἔβαλλε et prius τε deest. 704. δ' deest.

ΑΓΓΕΛΟΣ.

τί φής;
νεφέλης ἄρ' ἄλλως εἴχομεν πόνους πέρι;

ΜΕΝΕΛΑΟΣ.

Ἥρας τάδ' ἔργα, καὶ θεῶν τρισσῶν ἔρις.

ΑΓΓΕΛΟΣ.

ἡ δ' οὖσ' ἀληθῶς ἐστὶν ἥδε σὴ δάμαρ;

ΜΕΝΕΛΑΟΣ.

αὕτη· λόγοις δ' ἐμοῖσι πίστευσον τάδε.

ΑΓΓΕΛΟΣ.

ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
καὶ δυςτέκμαρτον! εὖ δέ πως ἀναστρέφει,
ἐκεῖσε κἀκεῖσ' ἀναφέρων· ὁ μὲν πονεῖ,
ὁ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
σὺ γὰρ πόσις τε σὸς πόνων μετέσχετε,
σὺ μὲν λόγοισιν, ὁ δὲ δορὸς προθυμίᾳ.
σπεύδων δ', ὅτ' ἔσπευδ', οὐδὲν εἶχε· νῦν δ' ἔχει,
αὐτόματα πράξας τἀγάθ' εὐτυχέστατα.
οὐκ ἄρα γέροντα πατέρα καὶ Διοςκόρω
ᾔσχυνας, οὐδ' ἔδρασας, οἷα κλῄζεται.
νῦν ἀνανεοῦμαι τὸν σὸν ὑμέναιον πάλιν,
καὶ λαμπάδων μεμνήμεθ', ἃς τετραόροις
ἵπποις τροχάζων παρέφερον· σὺ δ' ἐν δίφροις
σὺν τῷδε νύμφη δῶμ' ἔλειπες ὄλβιον.
κακὸς γὰρ, ὅςτις μὴ σέβει τὰ δεσποτῶν
καὶ ξυγγέγηθε καὶ ξυνωδίνει κακοῖς.
ἐγὼ μὲν εἴην, κεἰ πέφυχ' ὅμως λάτρις,
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος

723. καὶ deest. 728. καί.

δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ. κρεῖσσον γὰρ τόδ', ἢ δυοῖν κακοῖν
ἕν' ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς
ἄλλων τ' ἀκούειν, δοῦλον ὄντα τῶν πέλας.

ΜΕΝΕΛΑΟΣ.

ἄγ', ὦ γεραιέ· πολλὰ μὲν παρ' ἀσπίδα
μοχθήματ' ἐξέπλησας ἐκ πόνων ἐμῶν.
καὶ νῦν μετασχὼν τῆς ἐμῆς εὐπραξίας,
ἄγγειλον ἐλθὼν τοῖς λελειμμένοις φίλοις
τάδ', ὡς ἔχονθ' εὕρηκας, οἷ τ' ἐσμὲν τύχης,
μένειν τ' ἐπ' ἀκταῖς τούς τ' ἐμοὺς καραδοκεῖν
ἀγῶνας, οἳ μένουσιν, οὓς ἐλπίζομεν,
καὶ τῆςδε πῶς δυναίμεθ' ἐκπλεῦσαι χθονὸς,
φρουρεῖν, ὅπως ἂν εἰς ἓν ἐλθόντες τύχης,
ἐκ βαρβάρων σωθῶμεν, ἢν δυνώμεθα.

ΑΓΓΕΛΟΣ.

ἔσται τάδ', ὦ 'ναξ. ἀλλά τοι τὰ μάντεων
ἐςεῖδον, ὡς φαῦλ' ἐστὶ καὶ ψευδῶν πλέα.
οὐδ' ἦν ἄρ' ὑγιὲς οὐδὲν ἐμπύρου φλογὸς,
οὔτε πτερωτῶν φθέγματ'· εὔηθες δέ τοι
τὸ καὶ δοκεῖν ὄρνιθας ὠφελεῖν βροτούς.
Κάλχας γὰρ οὐκ εἶπ', οὐδ' ἐσήμηνε στρατῷ,
νεφέλης ὕπερ θνήσκοντας εἰςορῶν φίλους·
οὐδὲν γὰρ, ἀλλὰ πόλις ἀνηρπάσθη μάτην.
εἴποις ἂν, οὕνεχ' ὁ θεὸς οὐκ ἠβούλετο.
τί δῆτα μαντευόμεθα; τοῖς θεοῖσι χρὴ
θύοντας αἰτεῖν ἀγαθὰ, μαντείας δ' ἐᾶν·
βίου γὰρ ἄλλως δέλεαρ εὑρέθη τόδε,

735. ἐκπονῶν ἐμήν. 751. οὐδέν γε· ἀλλά.

κοὐδεὶς ἐπλούτησ' ἐμπύροισιν, ἀργὸς ὤν.
γνώμη δ' ἀρίστη μάντις ἥ τ' εὐβουλία.

ΧΟΡΟΣ.

ἐς ταυτὸ κἀμοὶ δόξα μάντεων πέρι
χωρεῖ γέροντι· τοὺς θεοὺς ἔχων τὶς ἂν
φίλους ἀρίστην μαντικὴν ἔχοι δόμοις.

ΕΛΕΝΗ.

εἶεν· τὰ μὲν δὴ δεῦρ' ἀεὶ καλῶς ἔχει.
ὅπως δ' ἐσώθης, ὦ τάλας, Τροίας ἄπο,
κέρδος μὲν οὐδὲν εἰδέναι, πόθος δέ τις
τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά.

ΜΕΝΕΛΑΟΣ.

ἦ πόλλ' ἀνήρου μ' ἑνὶ λόγῳ μιᾷ θ' ὁδῷ.
τί σοι λέγοιμ' ἂν τὰς ἐν Αἰγαίῳ φθορὰς,
τὰ Ναυπλίου τ' Εὐβοϊκὰ πυρπολήματα,
Κρήτην τε Λιβύην θ', ἃς ἐπεστράφην πόλεις,
σκοπιάς τε Περσέως; οὐ γὰρ ἐμπλήσαιμί σε
μύθων. λέγων τ' ἂν σοι κάκ' ἀλγοίην ἔτι,
πάσχων τ' ἔκαμνον· δὶς δὲ λυπηθεῖμεν ἄν.

ΕΛΕΝΗ.

κάλλιον εἶπας, ἤ σ' ἀνηρόμην ἐγώ.
ἓν δ' εἰπὲ, πάντα παραλιπὼν, πόσον χρόνον
πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον;

ΜΕΝΕΛΑΟΣ.

ἐνιαύσιον πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα
ἔτεσι· διῆλθον δ' ἑπτὰ περιδρομὰς ἐτῶν.

ΕΛΕΝΗ.

φεῦ, φεῦ! μακρόν γ' ἔλεξας, ὦ τάλας, χρόνον.
σωθεὶς δ' ἐκεῖθεν ἐνθάδ' ἦλθες ἐς σφαγάς.

765. ἀνήρου μ' ὀλίγῳ.

ΜΕΝΕΛΑΟΣ.

πῶς φής; τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.

ΕΛΕΝΗ.

[φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός·]
θανεῖ πρὸς ἀνδρὸς, οὗ τάδ' ἐστι δώματα.

ΜΕΝΕΛΑΟΣ.

τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;

ΕΛΕΝΗ.

ἥκεις ἄελπτος, ἐμποδὼν τ' ἐμοῖς γάμοις.

ΜΕΝΕΛΑΟΣ.

ἦ γὰρ γαμεῖν τις τἀμ' ἐβουλήθη λέχη;

ΕΛΕΝΗ.

ὕβριν θ' ὑβρίζειν εἰς ἔμ', ἣν ἔτλην ἐγώ.

ΜΕΝΕΛΑΟΣ.

ἰδίᾳ σθένων τις, ἢ τυραννεύων χθονός;

ΕΛΕΝΗ.

ὃς γῆς ἀνάσσει τῆσδε Πρωτέως γόνος.

ΜΕΝΕΛΑΟΣ.

τόδ' ἐστ' ἐκεῖν' αἴνιγμ', ὃ προσπόλου κλύω.

ΕΛΕΝΗ.

ποίοις ἐπιστὰς βαρβάροις πυλώμασιν;

ΜΕΝΕΛΑΟΣ.

τοῖσδ', ἔνθεν ὥσπερ πτωχὸς ἐξηλαυνόμην.

ΕΛΕΝΗ.

ἦπου προσῄτεις βίοτον; ὦ τάλαιν' ἐγώ!

ΜΕΝΕΛΑΟΣ.

τοὖργον μὲν ἦν τοῦτ', ὄνομα δ' οὐκ εἶχεν τόδε.

ΕΛΕΝΗ.

πάντ' οἶσθ' ἄρ', ὡς ἔοικας, ἀμφ' ἐμῶν γάμων.

792. ἦ τοῦτ' — εἶχον.

ΜΕΝΕΛΑΟΣ.

οἶδ'· εἰ δὲ λέκτρα διέφυγες τάδ', οὐκ ἔχω.

ΕΛΕΝΗ.

ἄθικτον εὐνὴν ἴσθι σοι σεσωσμένην.

ΜΕΝΕΛΑΟΣ.

τίς τοῦδε πειθώ; φίλα γὰρ, εἰ σαφῆ λέγεις.

ΕΛΕΝΗ.

ὁρᾷς τάφου τοῦδ' ἀθλίους ἕδρας ἐμάς;

ΜΕΝΕΛΑΟΣ.

ὁρῶ, τάλαινα, στιβάδας, ὧν τί σοι μέτα;

ΕΛΕΝΗ.

ἐνταῦθα λέκτρων ἱκετεύομεν φυγάς.

ΜΕΝΕΛΑΟΣ.

βωμοῦ σπανίζουσ', ἢ νόμοισι βαρβάροις;

ΕΛΕΝΗ.

ἐῤῥύεθ' ἡμᾶς τοῦτ' ἴσον ναοῖς θεῶν.

ΜΕΝΕΛΑΟΣ.

οὐδ' ἄρα πρὸς οἴκους ναυστολεῖν σ' ἔξεστί μοι;

ΕΛΕΝΗ.

ξίφος μένει σε μᾶλλον, ἢ τοὐμὸν λέχος.

ΜΕΝΕΛΑΟΣ.

οὕτως ἂν εἴην ἀθλιώτατος βροτῶν.

ΕΛΕΝΗ.

μὴ νῦν καταιδοῦ· φεῦγε δ' ἐκ τῆσδε χθονός.

ΜΕΝΕΛΑΟΣ.

λιπών σε; Τροίαν ἐξέπερσα σὴν χάριν.

ΕΛΕΝΗ.

κρεῖσσον γὰρ, ἤ σε τἄμ' ἀποκτεῖναι λέχη.

802. σ' deest.

ΜΕΝΕΛΑΟΣ.

ἄνανδρ' ἄρ' εἶπας Ἰλίου τ' οὐκ ἄξια.

ΕΛΕΝΗ.

οὐκ ἂν κτάνοις τύραννον, ὃν σπεύδεις ἴσως.

ΜΕΝΕΛΑΟΣ.

οὕτω σιδήρῳ τρωτὸν οὐκ ἔχει δέμας;

ΕΛΕΝΗ.

εἴσει. τὸ τολμᾷν δ' ἀδύνατ' ἀνδρὸς οὐ σοφοῦ.

ΜΕΝΕΛΑΟΣ.

σιγῇ παράσχω δῆτ' ἐμὰς δῆσαι χέρας;

ΕΛΕΝΗ.

ἐς ἄπορον ἥκεις· δεῖ δὲ μηχανῆς τινος.

ΜΕΝΕΛΑΟΣ.

δρῶντας γὰρ, ἢ μὴ δρῶντας, ἥδιον θανεῖν.

ΕΛΕΝΗ.

μί' ἐστιν ἐλπὶς, ᾗ μόνῃ σωθεῖμεν ἄν.

ΜΕΝΕΛΑΟΣ.

ὠνητὸς, ἢ τολμητὸς, ἢ λόγων ὕπο;

ΕΛΕΝΗ.

εἰ μὴ τύραννος σ' ἐκπύθοιτ' ἀφιγμένον.

ΜΕΝΕΛΑΟΣ.

ἐρεῖ δὲ τίς μ'; οὐ γνώσεταί γ', ὅς εἰμ' ἐγώ.

ΕΛΕΝΗ.

ἔστ' ἔνδον αὐτῷ ξύμμαχος θεοῖς ἴση.

ΜΕΝΕΛΑΟΣ.

Φήμη τις οἴκων ἐν μυχοῖς ἱδρυμένη;

ΕΛΕΝΗ.

οὐκ, ἀλλ' ἀδελφή· Θεονόην καλοῦσί νιν.

809. κτάνῃς. 814. θανεῖν; 817. σ' deest.

ΜΕΝΕΛΑΟΣ.

χρηστήριον μὲν τοὔνομ'· ὅ τι δὲ δρᾷ, φράσον.

ΕΛΕΝΗ.

πάντ' οἶδ', ἐρεῖ τε συγγόνῳ παρόντα σε.

ΜΕΝΕΛΑΟΣ.

θνήσκοιμεν ἄν· λαθεῖν γὰρ οὐχ οἷόν τέ μοι.

ΕΛΕΝΗ.

εἴ πως ἂν ἀναπείσαιμεν ἱκετεύοντέ νιν.

ΜΕΝΕΛΑΟΣ.

τί χρῆμα δρᾶσαι; τίν' ὑπάγεις μ' ἐς ἐλπίδα;

ΕΛΕΝΗ.

παρόντα γαίᾳ μὴ φράσαι σε συγγόνῳ.

ΜΕΝΕΛΑΟΣ.

πείσαντε δ', ἐκ γῆς διορίσαιμεν ἂν πόδα;

ΕΛΕΝΗ.

κοινῇ γ' ἐκείνῃ ῥᾳδίως, λάθρ' οὐδαμοῦ.

ΜΕΝΕΛΑΟΣ.

σὸν ἔργον, ὡς γυναικὶ πρόςφορον γυνή.

ΕΛΕΝΗ.

ὡς οὐκ ἄχρωστα γόνατ' ἐμῶν ἕξει χερῶν.

ΜΕΝΕΛΑΟΣ.

φέρ', ἢν δὲ δὴ νῷν μὴ 'ποδέξηται λόγους;

ΕΛΕΝΗ.

θανεῖ· γαμοῦμαι δ' ἡ τάλαιν' ἐγὼ βίᾳ.

ΜΕΝΕΛΑΟΣ.

προδότις ἂν εἴης· τὴν βίαν σκήψασ' ἔχεις.

ΕΛΕΝΗ.

ἀλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα.

829. κοινῇ τ' ἐκ. 834. τήνδε β.

ΜΕΝΕΛΑΟΣ.

τί φής; θανεῖσθαι, κοὔποτ' ἀλλάξειν λέχη;

ΕΛΕΝΗ.

ταυτῷ ξίφει γε· κείσομαι δέ σου πέλας.

ΜΕΝΕΛΑΟΣ.

ἐπὶ τοῖςδε τοίνυν δεξιᾶς ἐμῆς θίγε.

ΕΛΕΝΗ.

ψαύω, θανόντος σου, τόδ' ἐκλείψειν φάος.

ΜΕΝΕΛΑΟΣ.

κἀγὼ στερηθείς σου τελευτήσω βίον.

ΕΛΕΝΗ.

πῶς οὖν θανούμεθ', ὥςτε καὶ δόξαν λαβεῖν;

ΜΕΝΕΛΑΟΣ.

τύμβου 'πὶ νώτῳ σε κτανὼν, ἐμὲ κτενῶ.
πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιούμεθα
λέκτρων ὑπὲρ σῶν· ὁ δὲ θέλων, ἴτω πέλας·
τὸ Τρωϊκὸν γὰρ οὐ καταισχυνῶ κλέος,
οὐδ' Ἑλλάδ' ἐλθὼν λήψομαι πολὺν ψόγον,
ὅςτις Θέτιν μὲν ἐστέρησ' Ἀχιλλέως,
Τελαμωνίου δ' Αἴαντος εἰςεῖδον σφαγὰς,
τὸν Θησέως τε παῖδα· διὰ δὲ τὴν ἐμὴν
οὐκ ἀξιώσω κατθανεῖν δάμαρτ' ἐγώ;
μάλιστά γ'· εἰ γάρ εἰσιν οἱ θεοὶ σοφοὶ,
εὔψυχον ἄνδρα, πολεμίων θανόνθ' ὕπο,
κούφῃ καταμπίσχουσιν ἐν τύμβῳ χθονὶ,
κακοὺς δ' ὑφ' ἕρμα στερεὸν ἐκβάλλουσι γῆς.
ὦ θεοὶ, γενέσθω δή ποτ' εὐτυχὲς γένος
τὸ Ταντάλειον, καὶ μεταστήτω κακῶν!

838. ἐμᾶς. 842. ἐμὲ κτανεῖ.

ΕΛΕΝΗ.

οἴ 'γὼ τάλαινα! τῆς τύχης γὰρ ὧδ' ἔχω·
Μενέλαε, διαπεπράγμεθ'· ἐκβαίνει δόμων
ἡ θεσπιῳδὸς Θεονόη. κτυπεῖ δόμος,
κλῄθρων λυθέντων· φεῦγ'. ἀτὰρ τί φευκτέον;
ἀποῦσα γάρ σε καὶ παροῦσ' ἀφιγμένον
δεῦρ' οἶδεν· ὦ δύστηνος, ὡς ἀπωλόμην!
Τροίας δὲ σωθεὶς κἀπὸ βαρβάρου χθονὸς,
ἐς βάρβαρ' ἐλθὼν φάσγαν' αὖθις ἐμπεσεῖ.

ΘΕΟΝΟΗ.

ἡγοῦ σύ μοι φέρουσα λαμπτήρων σέλας,
θεῖον δὲ σέμνου θεσμὸν αἰθέρος μυχῶν,
ὡς πνεῦμα καθαρὸν οὐρανοῦ δεξώμεθα.
σὺ δ' αὖ κέλευθον, εἴ τις ἔβλαψεν ποδὶ
στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογί,
κροῦσον δὲ πεύκην, ἵνα διεξέλθω, πυρός.
νόμον δὲ τὸν ἐμὸν θεοῖσιν ἀποδοῦσαι, πάλιν
ἐφέστιον φλόγ' ἐς δόμους κομίζετε. —
Ἑλένη, τί τἀμὰ, πῶς ἔχει, θεσπίσματα;
ἥκει πόσις σοι Μενέλεως ὅδ' ἐμφανὴς,
νεῶν στερηθεὶς τοῦ τε σοῦ μιμήματος.
ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,
οὐδ' οἶσθα νόστον οἴκαδ', εἴτ' αὐτοῦ μενεῖς·
ἔρις γὰρ ἐν θεοῖς σύλλογός τε σοῦ πέρι
ἔσται πάρεδρος Ζηνὶ τῷδ' ἐν ἤματι.
Ἥρα μὲν, ἥ σοι δυσμενὴς πάροιθεν ἦν,
νῦν ἐστὶν εὔνους, κεἰς πάτραν σῶσαι θέλει
ξὺν τῇδ', ἵν' Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους,
δώρημα Κύπριδος, ψευδονυμφεύτους μάθῃ·

867. δεξαίμεθα.

Κύπρις δὲ νόστον σὸν διαφθεῖραι θέλει,
ὡς μήτ' ἐλεγχθῇ, μηδὲ πριαμένη φανῇ
τὸ κάλλος, Ἑλένης οὕνεκ', ἀνονήτοις γάμοις.
τέλος δ' ἐφ' ἡμῖν, εἴθ', ἃ βούλεται Κύπρις,
λέξασ' ἀδελφῷ σ' ἐνθάδ' ὄντα διολέσω,
εἴτ' αὖ μεθ' Ἥρας στᾶσα σὸν σώσω βίον,
κρύψασ' ὁμαίμον', ὅς με προστάσσει τάδε
εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχῃς.
τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ
παρόνθ', ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ;

ΕΛΕΝΗ.

ὦ παρθέν', ἱκέτις ἀμφὶ σὸν πιτνῶ γόνυ,
καὶ προςκαθίζω θᾶκον οὐκ εὐδαίμονα
ὑπέρ τ' ἐμαυτῆς τοῦδέ θ', ὃν, μόλις ποτὲ
λαβοῦσ', ἐπ' ἀκμῆς εἰμὶ κατθανόντ' ἰδεῖν·
μή μου κατείπῃς σῷ κασιγνήτῳ πόσιν
τόνδ' εἰς ἐμὰς ἥκοντα φιλτάτας χέρας·
σῶσον δὲ, λίσσομαί σε· συγγόνῳ δὲ σῷ
τὴν εὐσέβειαν μὴ προδῷς τὴν σήν ποτε,
χάριτας πονηρὰς κἀδίκους ὠνουμένη.
μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτητὰ δὲ
κτᾶσθαι κελεύει πάντας, οὐκ ἐς ἁρπαγάς.
ἐατέος δ' ὁ πλοῦτος, ἄδικος ὥς τις ὤν·
κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς
καὶ γαῖ', ἐν ᾗ χρὴ δώματ' ἀναπληρουμένους,
τἀλλότρια μὴ 'χειν, μηδ' ἀφαιρεῖσθαι βίᾳ.
ἡμᾶς δὲ μακαρίως μὲν, ἀθλίως δ' ἐμοὶ,
Ἑρμῆς ἔδωκε πατρὶ σῷ σώζειν πόσει
τῷδ', ὃς πάρεστι κἀπολάζυσθαι θέλει.

886. ὠνητοῖς γ. 888. ἀδελφῷ γ' ἐνθάδ'. 892. τίς εἶς; ἀδ. τ. σημανῶ γ' ἐμῷ. 905. πλοῦτος, ἄδικός τις ὤν.

πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς
τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτ᾽ ἄν;
ἤδη τὰ τοῦ θεοῦ καὶ τὰ τοῦ πατρὸς σκόπει,
πότερον ὁ δαίμων χὠ θανὼν τὰ τῶν πέλας
βούλοιντ᾽ ἂν, ἢ οὐ βούλοιντ᾽ ἂν ἀποδοῦναι πάλιν.
δοκῶ μέν. οὔκουν χρή σε συγγόνῳ πλέον
νέμειν ματαίῳ, μᾶλλον ἢ χρηστῷ πατρί.
εἰ δ᾽, οὖσα μάντις καὶ τὰ θεῖ᾽ ἡγουμένη,
τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,
τῷ δ᾽ οὐ δικαίῳ συγγόνῳ δώσεις χάριν,
αἰσχρὸν, τὰ μέν σε θεῖα πάντ᾽ ἐξειδέναι,
τά τ᾽ ὄντα καὶ μὴ, τὰ δὲ δίκαια μὴ εἰδέναι.
τὴν δ᾽ ἀθλίαν ἔμ᾽, οἷσιν ἔγκειμαι κακοῖς,
ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης·
Ἑλένην γὰρ οὐδεὶς ὅστις οὐ στυγεῖ βροτῶν·
ἣ κλῄζομαι καθ᾽ Ἑλλάδ᾽ ὡς, προδοῦσ᾽ ἐμὸν
πόσιν, Φρυγῶν ᾤκησα πολυχρύσους δόμους.
ἢν δ᾽ Ἑλλάδ᾽ ἔλθω κἀπιβῶ Σπάρτης πάλιν,
κλύοντες, εἰσιδόντες, ὡς τέχναις θεῶν
ὤλοντ᾽, ἐγὼ δὲ προδότις οὐκ ἄρ᾽ ἦν φίλων,
πάλιν μ᾽ ἀνάξουσ᾽ ἐς τὸ σῶφρον αὖθις αὖ,
ἐδνάσομαί τε θυγατέρ᾽, ἣν οὐδεὶς γαμεῖ,
τὴν δ᾽ ἐνθάδ᾽ ἐκλιποῦσ᾽ ἀλητείαν πικρὰν,
ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.
κεὶ μὲν θανὼν ὅδ᾽ ἐν πυρᾷ κατεσφάγη,
πρόσω σφ᾽ ἀπόντα δακρύοις ἂν ἠγάπων·
νῦν δ᾽ ὄντα καὶ σωθέντ᾽ ἀφαιρεθήσομαι.
μὴ δῆτα, παρθέν᾽, ἀλλά σ᾽ ἱκετεύω τόδε·

913. θανοῦσ᾽ ἂν ἀποδοίη ποτέ. 916. ἢ βούλοιντ᾽ ἄν. 921. δώσεις δίκην. 924. τήν τ᾽ ἀθλ. 932. αὖθις ἄν.

δὸς τὴν χάριν μοι τήνδε, καὶ μιμοῦ τρόπους
πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς,
ἐς ταυτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.

ΘΕΟΝΟΗ.

οἰκτρὸν μὲν οἱ παρόντες ἐν μέσῳ λόγοι,
οἰκτρὰ δὲ καὶ σύ. τοῦ δὲ Μενέλεω ποθῶ
λόγους ἀκοῦσαι, τίνας ἐρεῖ ψυχῆς πέρι.

ΜΕΝΕΛΑΟΣ.

ἐγὼ σὸν οὔτ᾽ ἂν προσπεσεῖν τλαίην γόνυ,
οὔτ᾽ ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν,
δειλοὶ γενόμενοι, πλεῖστον αἰσχύνοιμεν ἄν.
καίτοι λέγουσιν, ὡς πρὸς ἀνδρὸς εὐγενοῦς,
ἐν ξυμφοραῖσι δάκρυ᾽ ἀπ᾽ ὀφθαλμῶν βαλεῖν.
ἀλλ᾽ οὐχὶ τοῦτο τὸ καλὸν, εἰ καλὸν τόδε,
αἱρήσομαι τοπρόσθε τῆς εὐψυχίας.
ἀλλ᾽ εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον,
ζητοῦντά γ᾽ ὀρθῶς ἀπολαβεῖν δάμαρτ᾽ ἐμὴν,
ἀπόδος τε καὶ πρὸς σῶσον· εἰ δὲ μὴ δοκεῖ,
ἐγὼ μὲν οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις,
ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανεῖ.
ἃ δ᾽ ἄξι᾽ ἡμῶν καὶ δίκαι᾽ ἡγούμεθα,
καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,
λέξω τόδ᾽ ἀμφὶ μνῆμα σοῦ πατρὸς πόθῳ.
ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάϊνον τάφον,
ἀπόδος, ἀπαιτῶ τὴν ἐμὴν δάμαρτά σε,
ἣν Ζεὺς ἔπεμψε δεῦρό σοι, σώζειν ἐμοί.
οἶδ᾽, οὕνεχ᾽ ἡμῖν οὔ ποτ᾽ ἀποδώσεις θανών·

941. παιδὶ γάρ. 953. τῆς εὐδαιμονίας.

ἀλλ᾽ ἥδε πατέρα νέρθεν ἀνακαλούμενον
οὐκ ἀξιώσει τὸν πρὶν εὐκλεέστατον
κακῶς ἀκοῦσαι· κυρία γάρ ἐστι νῦν.
ὦ νέρτερ᾽ Ἅιδη, καὶ σὲ σύμμαχον καλῶ,
ὃς πόλλ᾽ ἐδέξω τῆσδ᾽ ἕκατι σώματα,
πεσόντα τῷ ᾽μῷ φασγάνῳ, μισθὸν δ᾽ ἔχεις·
ἢ νῦν ἐκείνους ἀπόδος ἐμψύχους πάλιν,
ἢ τήνδ᾽ ἀνάγκασόν ποτ᾽, εὐσεβοῦς πατρὸς
κρείσσω φανεῖσαν, τἀμά γ᾽ ἀποδοῦναι λέχη.
εἰ δέ με γυναῖκα τὴν ἐμὴν συλήσετε,
ἅ σοι παρέλιπεν ἥδε τῶν λόγων, φράσω.
ὅρκοις κεκλήμεθ᾽, ὡς μάθῃς, ὦ παρθένε,
πρῶτον μὲν ἐλθεῖν διὰ μάχης σῷ συγγόνῳ·
κἀκεῖνον, ἢ ᾽μὲ, δεῖ θανεῖν· ἁπλοῦς λόγος.
ἢν δ᾽ ἐς μὲν ἀλκὴν μὴ πόδ᾽ ἀντιθῇ ποδὶ,
λιμῷ δὲ θηρᾷ τύμβον ἱκετεύοντε νῷ,
κτανεῖν δέδοκται τήνδ᾽ ἐμοὶ, κἄπειτ᾽ ἐμὸν
πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε,
τύμβου ᾽πὶ νώτοις τοῦδ᾽, ἵν᾽ αἵματος ῥοαὶ
τάφου καταστάζωσι· κεισόμεσθα δὲ
νεκρὼ δύ᾽ ἑξῆς τῷδ᾽ ἐπὶ ξεστῷ τάφῳ,
ἀθάνατον ἄλγος σοὶ, ψόγος δὲ σῷ πατρί.
οὐ γὰρ γαμεῖ τήνδ᾽ οὔτε σύγγονος σέθεν,
οὔτ᾽ ἄλλος οὐδείς· ἀλλ᾽ ἐγώ σφ᾽ ἀπάξομαι,
εἰ μὴ πρὸς οἴκους δυνάμεθ᾽, ἀλλὰ πρὸς νεκρούς.
τί ταῦτα; δακρύοις ἐς τὸ θῆλυ τρεπόμενος,
ἐλεεινὸς ἦν ἂν μᾶλλον, ἢ δραστήριος.
κτεῖν᾽, εἰ δοκεῖ σοι· δυσκλεῶς γὰρ οὐ κτενεῖς.
μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πείθου λόγοις,
ἵν᾽ ᾖς δικαία, καὶ δάμαρτ᾽ ἐγὼ λάβω.

ΧΟΡΟΣ.

ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους.
οὕτω δὲ κρῖνον, ὡς ἅπασιν ἁνδάνῃς.

ΘΕΟΝΟΗ.

ἐγὼ πέφυκά τ᾽ εὐσεβεῖν καὶ βούλομαι·
φιλῶ τ᾽ ἐμαυτὴν, καὶ κλέος τοὐμοῦ πατρὸς
οὐκ ἂν μιάναιμ᾽, οὐδὲ συγγόνῳ χάριν
δοίην ἂν, ἐξ ἧς δυσκλεὴς φανήσομαι.
ἔνεστι δ᾽ ἱερὸν τῆς δίκης ἐμοὶ μέγα
ἐν τῇ φύσει· καὶ τοῦτο Νηρέως πάρα
ἔχουσα, σώζειν Μενέλεων πειράσομαι.
Ἥρα δ᾽ ἐπείπερ βούλεταί σ᾽ εὐεργετεῖν,
ἐς ταὐτὸν οἴσω ψῆφον· ἡ Κύπρις δέ μοι
ἵλεως μὲν εἴη, συμβέβηκε δ᾽ οὐδαμοῦ·
πειράσομαι δὲ παρθένος μένειν ἀεί.
ἃ δ᾽ ἀμφὶ τύμβῳ τῷδ᾽ ὀνειδίζεις πατρὶ,
ἡμῖν ὅδ᾽ αὑτὸς μῦθος· ἀδικοίημεν ἂν,
εἰ μὴ ᾽ποδώσω· καὶ γὰρ ἂν κεῖνος βλέπων
ἀπέδωκεν ἂν σοὶ τήνδ᾽ ἔχειν, ταύτῃ δὲ σέ.
καὶ γὰρ τίσις τῶνδ᾽ ἐστὶ τοῖς τε νερτέροις,
καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις. ὁ νοῦς
τῶν κατθανόντων ζῇ μὲν οὐ, γνώμην δ᾽ ἔχει
ἀθάνατον, εἰς ἀθάνατον αἰθέρ᾽ ἐμπεσών.
ὡς οὖν περαίνω μὴ μακρὰν, σιγήσομαι,
ἅ μου καθικετεύσατ᾽, οὐδὲ μωρίᾳ
ξύμβουλος ἔσομαι τοῦ κασιγνήτου ποτέ.
εὐεργετῶ γὰρ κεῖνον οὐ δοκοῦσ᾽ ὅμως,
ἐκ δυσσεβείας ὅσιον εἰ τίθημί νιν.
αὐτοὶ μὴν οὖν τὴν ἔξοδόν γ᾽ εὑρίσκετε,

1010. αὐτός. 1012. τήν γ᾽. 1021. τίθημι νῦν.

ἐγὼ δ' ἀποστᾶσ' ἐκποδὼν, σιγήσομαι.
ἐκ τῶν θεῶν δ' ἄρχεσθε, χ' ἱκετεύετε
τὴν μέν σ' ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῷ μένειν,
ἣν ἐς σὲ καὶ σὸν πόσιν ἔχει σωτηρίας.
σὺ δ' αὖ θανών μοι, πάτερ, ὅσον γ' ἐγὼ σθένω,
οὔποτε κεκλήσει δυςσεβὴς ἀντ' εὐσεβοῦς.

ΧΟΡΟΣ.

οὐδείς ποτ' εὐτύχησεν, ἔκδικος γεγώς,
ἐν τῷ δικαίῳ δ' ἐλπίδες σωτηρίας.

ΕΛΕΝΗ.

Μενέλαε, πρὸς μὲν παρθένου σεσώσμεθα.
τοὐνθένδε δὴ σὲ τοὺς λόγους φέροντα χρὴ
κοινὴν ξυνάπτειν μηχανὴν σωτηρίας.

ΜΕΝΕΛΑΟΣ.

ἄκουε δή νυν· χρόνιος εἶ κατὰ στέγας,
καὶ συντέθραψαι προςπόλοισι βασιλέως.

ΕΛΕΝΗ.

τί τοῦτ' ἔλεξας; εἰςφέρεις γὰρ ἐλπίδας,
ὡς δή τι δράσων χρηστὸν ἐς κοινόν γε νῷν.

ΜΕΝΕΛΑΟΣ.

πείσειας ἄν τιν', οἵτινες τετραζύγων
ὄχων ἀνάσσουσ', ὥςτε νῷν δοῦναι δίφρους;

ΕΛΕΝΗ.

πείσαιμ' ἄν· ἀλλὰ τίνα φυγὴν φευξούμεθα,
πεδίων ἄπειροι βαρβάρου τ' ὄντες χθονός;

ΜΕΝΕΛΑΟΣ.

ἀδύνατον εἶπας. φέρε, τί δ', εἰ κρυφθεὶς δόμοις
κτάνοιμ' ἄνακτα τῷδε διστόμῳ ξίφει;

1035. δὴ νῦν. 1043. Verba ἀδύν. εἶπ. continuantur Helenae.

ΕΛΕΝΗ.

οὐκ ἄν σ' ἀνάσχοιτ' οὐδὲ σιγήσειεν ἂν
μέλλοντ' ἀδελφὴ σύγγονον κατακτανεῖν.

ΜΕΝΕΛΑΟΣ.

ἀλλ' οὐδὲ μὴν ναῦς ἐστὶν, ᾗ σωθεῖμεν ἂν
φεύγοντες· ἣν γὰρ εἴχομεν, θάλασσ' ἔχει.

ΕΛΕΝΗ.

ἄκουσον, ἤν τι καὶ γυνὴ λέξῃ σοφόν.
βούλει λέγεσθαι, μὴ θανὼν, λόγῳ θανεῖν;

ΜΕΝΕΛΑΟΣ.

κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ λέγων,
ἕτοιμός εἰμι, μὴ θανὼν, λόγῳ θανεῖν.

ΕΛΕΝΗ.

καὶ μὴν γυναικείοις ἂν οἰκτισαίμεθα
κουραῖσι καὶ θρήνοισι πρὸς τὸν ἀνόσιον.

ΜΕΝΕΛΑΟΣ.

σωτηρίας δὲ τοῦτ' ἔχει τί νῷν ἄκος;
παλαιότης γὰρ τῷ λόγῳ γ' ἔνεστί τις.

ΕΛΕΝΗ.

ὡς δὴ θανόντα σ' ἐνάλιον κενῷ τάφῳ
θάψαι τύραννον τῆςδε γῆς αἰτήσομαι.

ΜΕΝΕΛΑΟΣ.

καὶ δὴ παρεῖκεν· εἶτα πῶς ἄνευ νεὼς
σωθησόμεσθα κενοταφοῦντ' ἐμὸν δέμας;

ΕΛΕΝΗ.

δοῦναι κελεύσω πορθμίδ', ᾗ καθήσομαι
κόσμον τάφῳ σῷ πελαγίας ἐς ἀγκάλας.

1056. tribuitur Helenae.

ΜΕΝΕΛΑΟΣ.

ὡς εὖ τόδ' εἶπας, πλὴν ἕν· εἰ χέρσῳ ταφὰς
θεῖναι κελεύει σ', οὐδὲν ἡ σκῆψις φέρει.

ΕΛΕΝΗ.

ἀλλ' οὐ νομίζειν φήσομεν καθ' Ἑλλάδα,
χέρσῳ καλύπτειν τοὺς θανόντας ἐναλίους.

ΜΕΝΕΛΑΟΣ.

τοῦτ' αὖ κατορθοῖς· εἶτ' ἐγὼ συμπλεύσομαι,
καὶ συγκαθήσω κόσμον ἐν ταυτῷ σκάφει.

ΕΛΕΝΗ.

σὲ καὶ παρεῖναι δεῖ μάλιστα τούς τε σοὺς
πλωτῆρας, οἵπερ ἔφυγον ἐκ ναυαγίας.

ΜΕΝΕΛΑΟΣ.

καὶ μὴν, ἐάνπερ ναῦν ἐπ' ἀγκύρας λάβω,
ἀνὴρ παρ' ἄνδρα στήσεται ξιφηφόρος.

ΕΛΕΝΗ.

σὲ χρὴ βραβεύειν πάντα· πόμπιμοι μόνον
λαίφει πνοαὶ γένοιντο καὶ νεὼς δρόμος.

ΜΕΝΕΛΑΟΣ.

ἔσται· πόνους γὰρ δαίμονες παύσουσί μου.
ἀτὰρ θανόντα τοῦ μ' ἐρεῖς πεπυσμένη;

ΕΛΕΝΗ.

σοῦ· καὶ μόνος γε φάσκε διαφυγεῖν μόρον,
Ἀτρέως πλέων σὺν παιδὶ, καὶ θανόνθ' ὁρᾶν.

ΜΕΝΕΛΑΟΣ.

καὶ μὴν τάδ' ἀμφίβληστρα σώματος ῥάκη
ξυμμαρτυρήσει ναυτικῶν ἐρειπίων.

ΕΛΕΝΗ.

ἐς καιρὸν ἦλθε, τότε δ' ἄκαιρ' ἀπώλλυτο.
τὸ δ' ἄθλιον κεῖν' εὐτυχὲς τάχ' ἂν πέσοι.

ΜΕΝΕΛΑΟΣ.

πότερα δ' ἐς οἴκους σοι συνειςελθεῖν με χρὴ,
ἢ πρὸς τάφῳ τῷδ' ἥσυχοι καθώμεθα;

ΕΛΕΝΗ.

αὐτοῦ μέν'· ἢν γὰρ καί τι πλημμελές σε δρᾷ,
τάφος σ' ὅδ' ἂν ῥύσαιτο φάσγανόν τε σόν.
ἐγὼ δ' ἐς οἴκους βᾶσα βοστρύχους τεμῶ,
πέπλων τε λευκῶν μέλανας ἀνταλλάξομαι,
παρῇδί τ' ὄνυχα φόνιον ἐμβαλῶ χροός.
μέγας γὰρ ἁγὼν, καὶ βλέπω δύο ῥοπάς·
ἢ γὰρ θανεῖν δεῖ μ', ἢν ἁλῶ τεχνωμένη,
ἢ πατρίδα τ' ἐλθεῖν καὶ σὸν ἐκσῶσαι δέμας.
ὦ πότνι', ἣ δίοισιν ἐν λέκτροις πιτνεῖς,
Ἥρα, δύ' οἰκτρὼ φῶτ' ἀνάψυξον πόνων,
αἰτούμεθ', ὀρθὰς ὠλένας πρὸς οὐρανὸν
ῥιπτοῦνθ', ἵν' οἰκεῖς ἀστέρων ποικίλματα.
σύ θ', ἣ 'πὶ τῷ 'μῷ κάλλος ἐκτήσω γάμῳ,
κούρη Διώνης, Κύπρι, μή μ' ἐξεργάσῃ.
ἅλις δὲ λύμης, ἥν μ' ἐλυμήνω πάρος,
τοὔνομα παρασχοῦσ', οὐ τὸ σῶμ', ἐν βαρβάροις.
θανεῖν δ' ἔασόν μ', εἰ κατακτεῖναι θέλεις,
ἐν γῇ πατρῴᾳ. τί ποτ' ἄπληστος εἶ κακῶν,
ἔρωτας, ἀπάτας, δόλιά τ' ἐξευρήματα
ἀσκοῦσα φίλτρα θ' αἱματηρὰ δωμάτων;
εἰ δ' ἦσθα μετρία, τἄλλα γ' ἡδίστη θεῶν
πέφυκας ἀνθρώποισιν· οὐκ ἄλλως λέγω.

ΧΟΡΟΣ.

Σὲ τὰν ἐναυλείοις ὑπὸ δενδροκόμοις (στρ. ά.)

1090. μ. γὰρ ὁ ἀγὼν — δύω. 1091. δεῖ deest. 1092. πατρίδ' ἀπελθεῖν. 1099. μ' deest.

μουσεῖα καὶ θάκους ἐνίζουσαν ἀναβοάσω,
σὲ τὰν ἀοιδοτάταν ὄρνιθα μελῳδὸν
ἀηδόνα δακρυόεσσαν,
ἔλθ᾽ ὦ διὰ ξουθᾶν γενύων ἐλελιζομένα,
θρήνοις ἐμοῖς ξυνεργὸς,
Ἑλένας μελέας πόνους,
τὸν Ἰλιάδων τ᾽ ἀεί-
δουσα δακρυόεντα πόνον
Ἀχαιῶν ὑπὸ λόγχαις,
ὅς ἔμολεν, ἔμολε πεδία βαρβάρῳ πλάτᾳ,
ὅς ἔδραμε ῥόθια μέλεα Πριαμίδαις ἄγων
Λακεδαίμονος ἄπο λέχεα
σέθεν ὡς εἷλεν Πάρις αἰνόγαμος
πομπαῖσιν Ἀφροδίτας.
πολλοὶ δ᾽ Ἀχαιῶν ἐν δορὶ καὶ πετρίναις
(ἀντιστρ. ά.)
ῥιπαῖσιν ἐκπνεύσαντες αἴδαν μέλεον ἔχουσιν,
τάλαιναν ὧν ἀλόχων κείραντες ἔθειραν·
ἄνυμφα δὲ μέλαθρα κεῖται·
πολλοὺς δὲ πυρσεύσας φλογερὸν σέλας ἀμφὶ ῥυ-
τὰν
Εὔβοιαν εἷλ᾽ Ἀχαιῶν
μονόκωπος ἀνὴρ, πέτραις
Καφηρίσιν ἐμβαλὼν
Αἰγαίαις τ᾽ ἐνάλοις ἀκταῖς,
δόλιον ἀστέρα λάμψας
ἀλίμεν᾽ ἂν ὄρεα μέλεα βαρβάρου στολᾶς,

1107. ἐναύλοις. 1111. ἐλθὲ διὰ ξ. 1119. 20. λέχε᾽, ἅ, σέθεν ὡς, εἷλε Π. 1124. τῶν ἀλ. 1129. Καφηρίαις. 1130. ἐναλίοις. 1132. ἀλίμενα δ᾽ ὄρεα.

ὅτε σύτο πατρίδος ἀποπρὸ χειμάτων πνοᾷ
τέρας, οὐ τέρας, ἀλλ᾽ ἔριν
Δαναῶν νεφέλαν ἐπὶ ναυσὶν ἄγων,
εἴδωλον ἱερὸν Ἥρας.
ὅτι θεὸς, ἢ μὴ θεὸς, ἢ τὸ μέσον, (στρ. β΄.)
τίς φησὶν ἐρευνήσας
βροτῶν μακρότατον πέρας εὑ-
ρεῖν, ὃς τὰ θεῶν ἐσορᾷ
δεινὰ καὶ αὖθις ἐκεῖσε
καὶ πάλιν ἀντιλόγοις
πηδῶντ᾽ ἀνελπίστοις τύχαις.
σὺ Διὸς ἔφυς, ὦ Ἑλένα, θυγάτηρ·
πτανὸς γὰρ ἐν κόλποις σε Λή-
δας ἐτέκνωσε πατήρ.
καὶ ἰαχὴ σέθεν καθ᾽ Ἑλλανίαν
ἄδικος, προδότις, ἄπιστος, ἄθεος· οὐδ᾽
ἔχω,
τί τὸ σαφὲς, ὅ τι ποτ᾽ ἐν βροτοῖς.
τὸ θεῶν ἔπος ἀλαθὲς εὗρον.
ἄφρονες, ὅσοι τὰς ἀρετὰς πολέμῳ (ἀντ. β΄.)
κτᾶσθ᾽, ἐν δορὸς ἀλκαίου
λόγχαισιν καταπαυόμενοι
πόνους θνατῶν ἀμαθῶς.
εἰ γὰρ ἅμιλλα κρινεῖ νιν
αἵματος, οὔποτ᾽ ἔρις
λείψει κατ᾽ ἀνθρώπων πόλεις·
αἳ Πριαμίδος γᾶς ἔλιπον θαλάμους,

1133. ὅτε σὺ τὸ π. ἄπο, προχευμάτων. 1138. τίς φαίη; ἐρ. 1147. ἰαχὴ σέθεν. 1152. κτᾶσθε, δορός. 1154. ἀπαθῶς. 1155. κρίνει.

ἐξὸν διορθῶσαι λόγοις
σὰν ἔριν, ὦ Ἑλένα.
νῦν δ᾽ οἱ μὲν ἀΐδᾳ μέλονται κάτω,
τείχεα δὲ, φλογμὸς ὥστε Διὸς, ἐπέσυτο φλὸξ,
ἐπὶ πάθεα πάθεσιν φέρουσ᾽
[ἀθλίοις] ἐν συμφοραῖς Ἰλίοισιν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

Ὦ χαῖρε, πατρὸς μνῆμ᾽· ἐπ᾽ ἐξόδοισι γὰρ
ἔθαψα, Πρωτεῦ, σ᾽ ἕνεκ᾽ ἐμῆς προσρήσεως·
ἀεὶ δέ σ᾽ ἐξιών τε κεἰσιὼν δόμους
Θεοκλύμενος παῖς ὅδε προσεννέπει, πάτερ.
ὑμεῖς μὲν οὖν κύνας τε καὶ θηρῶν βρόχους,
δμῶες, κομίζετ᾽ ἐς δόμους τυραννικούς·
ἐγὼ δ᾽ ἐμαυτὸν πόλλ᾽ ἐλοιδόρησα δή·
οὐ γάρ τι θανάτῳ τοὺς κακοὺς κολάζομεν.
καὶ νῦν πέπυσμαι, φανερὸν Ἑλλήνων τινὰ
ἐς γῆν ἀφῖχθαι καὶ λεληθέναι σκοπούς,
ἤτοι κατόπτην, ἢ κλοπαῖς θηρώμενον
Ἑλένην· θανεῖται δ᾽, ἤν γε δὴ ληφθῇ μόνον.
(ἔα·) ἀλλ᾽, ὡς ἔοικε, πάντα διαπεπραγμένα
εὕρηκα· τύμβου γὰρ κενὰς λιποῦσ᾽ ἕδρας
ἡ Τυνδαρὶς παῖς ἐκπεπόρθμευται χθονός.
ὠὴ, χαλᾶτε κλῇθρα, λύεθ᾽ ἱππικὰς
φάτνας, ὀπαδοὶ, κἀκκομίζεθ᾽ ἅρματα,
ὡς ἂν πόνου γ᾽ ἕκατι μὴ λάθῃ με γῆς
τῆσδ᾽ ἐκκομισθεῖσ᾽ ἄλοχος, ἧς ἐφίεμαι.
ἐπίσχετ᾽· εἰσορῶ γὰρ, οὓς διώκομεν,
παρόντας ἐν δόμοισι κοὐ πεφευγότας.
αὕτη, τί πέπλους μέλανας ἐξήψω χροὸς

1164. ἀθλίοις sine uncis. Ἰλίοις. 1176. ἤν γε συλληφθῇ μ.

λευκῶν ἀμείψασ᾽, ἔκ τε κρατὸς εὐγενοῦς
κόμας, σίδηρον ἐμβαλοῦσ᾽, ἀπέθρισας,
χλωροῖς τε τέγγεις δάκρυσι σὴν παρηΐδα
κλάουσα; πότερον ἐννύχοις πεπεισμένη
στένεις ὀνείροις, ἢ φάτιν τιν᾽ οἴκοθεν
κλύουσα, λύπῃ σὰς διέφθαρσαι φρένας;

ΕΛΕΝΗ.

ὦ δέσποτ᾽, — ἤδη γὰρ τόδ᾽ ὀνομάζω σ᾽ ἔπος, —
ὄλωλα· φροῦδα τἀμὰ, κοὐδέν εἰμ᾽ ἔτι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐν τῷ δὲ κεῖσαι συμφορᾶς; τίς ἡ τύχη;

ΕΛΕΝΗ.

Μενέλαος — οἴ μοι! πῶς φράσω; — τέθνηκέ μοι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐδέν τι χαίρω σοῖς λόγοις, τὰ δ᾽ εὐτυχῶ.
πῶς οἶσθα; μῶν σοι Θεονόη λέγει τάδε;

ΕΛΕΝΗ.

κείνη τέ φησιν ὅ τε παρὼν, ὅτ᾽ ὤλλυτο.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἥκει γὰρ, ὅστις καὶ τάδ᾽ ἀγγέλλει σαφῆ;

ΕΛΕΝΗ.

ἥκει· μόλοι γὰρ, ὡς ἐγὼ χρῄζω μολεῖν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τίς ἐστι; ποῦ ᾽στιν; ἵνα σαφέστερον μάθω.

ΕΛΕΝΗ.

ὅδ᾽, ὃς κάθηται τῷδ᾽ ὑποπτήξας τάφῳ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

Ἄπολλον, ὡς ἐσθῆτι δυσμόρφῳ πρέπει!

1195. ἐν τῷδε.

ΕΛΕΝΗ.

οἴ μοι! δοκῶ μὲν κἀμὸν ὧδ' ἔχειν πόσιν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ποδαπὸς δ' ὅδ' ἁνὴρ, καὶ πόθεν κατέσχε γῆν;

ΕΛΕΝΗ.

Ἕλλην, Ἀχαιῶν εἷς, ἐμῷ σύμπλους πόσει.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

θανάτῳ δὲ ποίῳ φησὶ Μενέλεων θανεῖν;

ΕΛΕΝΗ.

οἰκτρότατ', ἐν ὑγροῖσιν κλυδωνίοις ἁλός.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ποῦ; βαρβάροισι πελάγεσιν ναυσθλούμενον;

ΕΛΕΝΗ.

Λιβύης ἀλιμένοις ἐκπεσόντα πρὸς πέτραις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

καὶ πῶς ὅδ' οὐκ ὄλωλε κοινωνῶν πλάτης;

ΕΛΕΝΗ.

ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

λιπὼν δὲ ναὸς ποῦ πάρεστιν ἔκβολα;

ΕΛΕΝΗ.

ὅπου κακῶς ὄλοιτο, Μενέλεως δὲ μή.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὄλωλ' ἐκεῖνος· ἦλθε δ' ἐν ποίῳ σκάφει;

ΕΛΕΝΗ.

ναῦταί σφ' ἀνεῖλον ἐντυχόντες, ὡς λέγει.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ποῦ δὴ τὸ πεμφθὲν ἀντὶ σοῦ Τροίᾳ κακόν;

1205. δοκῶ μοι. 1206. ὅδ' ἀνήρ. 1209. οἰκτρότατον, ὑγροῖσι κλ.

ΕΛΕΝΗ.

νεφέλης λέγεις ἄγαλμ'; ἐς αἰθέρ' οἴχεται.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ Πρίαμε καὶ γῆ Τρῳὰς, ὡς ἔῤῥεις μάτην.

ΕΛΕΝΗ.

κἀγὼ μετέσχον Πριαμίδαις δυςπραξίας.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πόσιν δ' ἄθαπτον ἔλιπεν, ἢ κρύπτει χθονί;

ΕΛΕΝΗ.

ἄθαπτον· οἲ 'γὼ τῶν ἐμῶν τλήμων κακῶν!

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τῶνδ' οὕνεκ' ἔταμες βοστρύχους ξανθῆς κόμης;

ΕΛΕΝΗ.

φίλος γάρ ἐστιν, ὅς ποτ' ἐστὶν, ἐνθάδ' ὤν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὀρθῶς μὲν ἥδε συμφορὰ δακρύεται;

ΕΛΕΝΗ.

ἐν εὐμαρεῖ γοῦν σὴν κασιγνήτην θανεῖν;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐ δῆτα. πῶς οὖν; τόνδ' ἔτ' οἰκήσεις τάφον;

ΕΛΕΝΗ.

τί κερτομεῖς με, τὸν θανόντα δ' οὐκ ἐᾷς;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πιστὴ γὰρ εἶ σὺ σῷ πόσει φεύγουσά με.

ΕΛΕΝΗ.

ἀλλ' οὐκέτ'· ἤδη δ' ἆρχε τῶν ἐμῶν γάμων.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

χρόνια μὲν ἦλθες, ἀλλ' ὅμως αἰνῶ τάδε.

1228. πῶς οὖν τόνδ'. 1230. ἐσσί.

ΕΛΕΝΗ.

οἶσθ' οὖν, ὃ δρᾶσον; τῶν πάρος λαθώμεθα.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐπὶ τῷ; χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.

ΕΛΕΝΗ.

σπονδὰς τέμωμεν, καὶ διαλλάχθητί μοι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

μεθίημι νεῖκος τὸ σόν, ἴτω δ' ὑπόπτερον.

ΕΛΕΝΗ.

πρὸς νῦν σε γονάτων τῶνδ', ἐπείπερ εἶ φίλος —

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί χρῆμα θηρῶσ', ἱκέτις ὠρέχθης ἐμοῦ;

ΕΛΕΝΗ.

τὸν κατθανόντα πόσιν ἐμὸν θάψαι θέλω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τίς δ' ἔστ' ἀπόντων τύμβος; ἦ θάψεις σκιάν;

ΕΛΕΝΗ.

Ἕλλησίν ἐστι νόμος, ὃς ἂν πόντῳ θάνῃ, —

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί δρᾷν; σοφοί τοι Πελοπίδαι τὰ τοιάδε.

ΕΛΕΝΗ.

κενοῖσι θάπτειν ἐν πέπλων ὑφάσμασιν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

κτέριζ'· ἀνίστη τύμβον, οὗ χρῄζεις χθονός.

ΕΛΕΝΗ.

οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πῶς δαί; λέλειμμαι τῶν ἐν Ἕλλησιν νόμων.

1235. λαθοίμεθα. 1240. ἦ θ. 1243. ἐν πέπλοις ὑφ.

ΕΛΕΝΗ.

ἐς πόντον, ὅσα χρὴ νέκυσιν, ἐξορμίζομεν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί σοι παράσχω δῆτα τῷ τεθνηκότι;

ΕΛΕΝΗ.

οὐκ οἶδ'· ἐγὼ δ' ἄπειρος, εὐτυχοῦσα πρίν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ ξένε, λόγων μὲν κληδόν' ἤνεγκας φίλην.

ΜΕΝΕΛΑΟΣ.

οὔκουν ἐμαυτῷ γ', οὐδὲ τῷ τεθνηκότι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πῶς τοὺς θανόντας θάπτετ' ἐν πόντῳ νεκρούς;

ΜΕΝΕΛΑΟΣ.

ὡς ἂν παρούσης οὐσίας ἕκαστος ᾖ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πλούτου λέγ' οὕνεχ', ὅ τι θέλεις, ταύτης χάριν.

ΜΕΝΕΛΑΟΣ.

προσφάζεται μὲν αἷμα πρῶτα νερτέροις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τίνος; σύ μοι σήμαινε, πείσομαι δ' ἐγώ.

ΜΕΝΕΛΑΟΣ.

αὐτὸς σὺ γίγνωσκ'· ἀρκέσει γὰρ, ἃν διδῷς.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐν βαρβάροις μὲν ἵππον, ἢ ταῦρον, νόμος.

ΜΕΝΕΛΑΟΣ.

διδούς γε μὲν δὴ, δυςγενὲς μηδὲν δίδου.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐ τῶνδ' ἐν ἀγέλαις ὀλβίαις σπανίζομεν.

ΜΕΝΕΛΑΟΣ.

καὶ στρωτὰ φέρεται λέκτρα σώματος κενά.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἔσται· τί δ' ἄλλο προςφέρειν νομίζεται;

ΜΕΝΕΛΑΟΣ.

χαλκήλαθ' ὅπλα· καὶ γὰρ ἦν φίλος δορί.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἄξια τάδ' ἔσται Πελοπιδῶν, ἃ δώσομεν.

ΜΕΝΕΛΑΟΣ.

καὶ τἄλλ', ὅσα χθὼν καλὰ φέρει βλαστήματα.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πῶς οὖν; ἐς οἶδμα τίνι τρόπῳ καθίετε;

ΜΕΝΕΛΑΟΣ.

ναῦν δεῖ παρεῖναι κἀρετμῶν ἐπιστάτας.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πόσον δ' ἀπείργει μῆκος ἐκ γαίας δόρυ;

ΜΕΝΕΛΑΟΣ.

ὥςτ' ἐξορᾶσθαι ῥόθια χερσόθεν μόλις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί δή, τόδ' Ἑλλὰς νόμιμον ἐκ τίνος σέβει;

ΜΕΝΕΛΑΟΣ.

ὡς μὴ πάλιν γῇ λύματ' ἐκβάλλῃ κλύδων.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

Φοίνισσα κώπη ταχύπορος γενήσεται.

ΜΕΝΕΛΑΟΣ.

καλῶς ἂν εἴη, Μενέλεῳ γε πρὸς χάριν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐκοῦν σὺ χωρὶς τῆςδε δρῶν ἀρκεῖς τάδε;

ΜΕΝΕΛΑΟΣ.

μητρὸς τόδ' ἔργον, ἢ γυναικὸς, ἢ τέκνων.

1267. καὶ 'ρετμῶν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ταύτης ὁ μόχθος, ὡς λέγεις, θάπτειν πόσιν.

ΜΕΝΕΛΑΟΣ.

ἐν εὐσεβεῖ γοῦν, νόμιμα μὴ κλέπτειν νεκρῶν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἴτω· πρὸς ἡμῶν, ἄλοχον εὐσεβῆ τρέφειν.
ἐλθὼν δ' ἐς οἴκους ἐξελῶ κόσμον νεκρῷ,
καί σ' οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ,
δράσαντα τῇδε πρὸς χάριν. φήμας δέ μοι
ἐσθλὰς ἐνεγκὼν γ', ἀντὶ τῆς ἀχλαινίας
ἐσθῆτα λήψει σῖτά τ', ὥςτε σ' ἐς πάτραν
ἐλθεῖν, ἐπεὶ νῦν γ' ἀθλίως ἔχονθ' ὁρῶ.
σὺ δ', ὦ τάλαινα, μὴ 'πὶ τοῖς ἀνηνύτοις
τρύχου σὺ σαυτήν· Μενέλεως δ' ἔχει πότμον,
κοὐκ ἂν δύναιτο ζῆν ὁ κατθανὼν πόσις.

ΜΕΝΕΛΑΟΣ.

σὸν ἔργον, ὦ νεᾶνι· τὸν παρόντα μὲν
στέργειν πόσιν χρὴ, τὸν δὲ μηκέτ' ὄντ' ἐᾷν·
ἄριστα γάρ σοι ταῦτα πρὸς τὸ τυγχάνον.
ἢν δ' Ἑλλάδ' ἔλθω καὶ τύχω σωτηρίας,
παύσω ψόγου σε τοῦ πρὶν, ἢν γυνὴ γένῃ,
οἵαν γενέσθαι χρή σε σῷ ξυνευνέτῃ.

ΕΛΕΝΗ.

ἔσται τάδ'· οὐδὲ μέμψεται πόσις ποτὲ
ἡμῖν· σὺ δ' αὐτὸς ἐγγὺς ὢν, εἴσει τάδε.
ἀλλ', ὦ τάλας, εἴςελθε καὶ λουτρῶν τύχε
ἐσθῆτά τ' ἐξάλλαξον. οὐκ ἐς ἀμβολὰς
εὐεργετήσω σ'. εὐμενέστερον γὰρ ἂν
τῷ φιλτάτῳ μοι Μενέλεῳ τὰ πρόςφορα
δρῴης ἂν, ἡμῶν τυγχάνων, οἵων σε χρῆν.

ΧΟΡΟΣ.

Ὀρεία ποτὲ δρομάδι κώλῳ (στροφὴ ά.)
μάτηρ θεῶν ἐσύθη
ἀν᾽ ὑλάεντα νάπη
ποτάμιόν τε χεῦμ᾽ ὑδάτων
βαρύβρομόν τε κῦμ᾽ ἅλιον
πόθῳ τὰς ἀποιχομένας
ἀῤῥήτου κούρας·
(κρόταλα δὲ Βρόμια διαπρύσιον
ἱέντα κέλαδον ἀνεβόα,
θηρῶν ὅτε ζυγίους
ζεύξασα θεὰ σατίνας,
τὰν ἁρπασθεῖσαν κυκλίων
χορῶν ἔξω παρθενίων·)
μετὰ κουρᾶν δ᾽ ἀελλόποδες
ἁ μὲν τόξοις Ἄρτεμις, ἁ δ᾽
ἐν ἔγχει Γοργῶ πάνοπλος·
αὐγάζων δ᾽ ἐξ οὐρανίων
ἄλλαν μοῖραν ἔκραινε *
δρομαίων δ᾽ ὅτε πολυπλανήτων (ἀντιστρ. ά.)
μάτηρ ἔπαυσε πόνων,
* μαστεύουσ᾽ ἀπόρους
θυγατρὸς ἁρπαγὰς δολίους,
χιονοθρέμμονάς γ᾽ ἐπέρασ᾽
Ἰδαιᾶν Νυμφᾶν σκοπιάς·
ῥίπτει δ᾽ ἐν πένθει
πέτρινα κατὰ δρία πολυνιφέα·
βροτοῖσι δ᾽ ἄχλοα πεδία γᾶς

1311. σατίναν. 1316. ἐν deest. 1321. μαστεύουσα πόρους.

οὐ καρπίζουσ᾽ ἀρότοις
λαῶν [δὲ] φθείρει γενεάν·
ποίμναις δ᾽ οὐχ ἵει θαλερὰς
βοσκὰς εὐφύλλων ἑλίκων·
πολέων δ᾽ ἀπέλειπε βίος,
οὐδ᾽ ἦσαν θεῶν θυσίαι,
βωμοῖς τ᾽ ἄφλεκτοι πέλανοι·
πηγάς τ᾽ ἀμπαύει δροσερὰς
λευκῶν ἐκβαλεῖν ὑδάτων.
ἐπεὶ δ᾽ ἔπαυσ᾽ εἰλαπίνας (στροφὴ β'.)
θεοῖς βροτείῳ τε γένει,
Ζεὺς μειλίσσων στυγίους
ματρὸς ὀργὰς ἐνέπει·
βᾶτε, σεμναὶ Χάριτες,
ἴτε, τὰν περὶ παρθένῳ
Δηοῖ θυμωσαμένᾳ
λύπαν ἀλλάξαιτ᾽ ἀλαλᾷ,
Μοῦσαί θ᾽ ὕμνοισι χορῶν·
χαλκοῦ δ᾽ αὐδὰν χθονίαν,
τύμπανα [τε] λάβετε βυρσοτενῆ.
καλλίστα τότε πρώτα μακάρων
Κύπρις γέλασέ τε θεὰ
δέξατο τ᾽ εἰς χέρας
βαρύβρομον αὐλὸν
τερφθεῖσ᾽ ἀλαλαγμῷ.
ὧν οὐ θέμις οὔθ᾽ ὅσια, (ἀντιστρ. β'.)
ἐπύρωσας ἐν θαλάμοις,

1329. δὲ sine uncis et γένναν pro γενεάν. 1344. λ. ἐξαλλάξατ᾽ ἀλαλᾷ. 1345. χορόν. 1347. τε sine uncis. 1348. κάλλιστα τότε πρῶτα μ.

μῆνιν δ' ἔχεις μεγάλας
ματρὸς, ὦ παῖ, θυσίας
οὐ σεβίζουσα θεοῖς.
μέγα τοι δύνανται νεβρῶν
παμποίκιλοι στολίδες,
κισσοῦ τε στεφθεῖσα χλόα
νάρθηκας εἰς ἱεροὺς,
ῥόμβου θ' ἑλισσομένα
κύκλιος ἔνοσις αἰθερία,
βακχεύουσά τ' ἔθειρα Βρομίῳ
καὶ παννυχίδες θεᾶς.
εὖ δέ νιν ἄμασιν
ὑπέρβαλε σελάνα.
μορφᾷ μόνον ηὔχεις.

ΕΛΕΝΗ.

τὰ μὲν κατ' οἴκους εὐτυχοῦμεν, ὦ φίλαι·
ἡ γὰρ συνεκκλέπτουσα Πρωτέως κόρη,
πόσιν παρόντα τὸν ἐμὸν ἱστορουμένη,
οὐκ εἶπ' ἀδελφῷ· κατθανόντα δ' ἐν χθονὶ
οὔ φησιν αὐγὰς εἰσορᾷν ἐμὴν χάριν.
κάλλιστα δῆτ' ἀνήρπασεν τεύχη πόσις·
ἃ γὰρ καθήσειν ὅπλ' ἔμελλεν εἰς ἅλα,
ταῦτ', ἐμβαλὼν πόρπακι γενναίαν χέρα,
αὐτὸς κομίζει, δόρυ τε δεξιᾷ λαβὼν,
ὡς τῷ θανόντι χάριτα δὴ συνεκπονῶν.
προὔργου δ' ἐς ἀλκὴν σῶμ' ὅπλοις ἠσκήσατο,
ὡς βαρβάρων τρόπαια μυρίων χερὶ
θήσων, ὅταν κωπῆρες εἰςβῶμεν σκάφος.

1356. μητρὸς. 1360. κισσῷ. 1361. ἐς ἱ. 1362. ῥόμβῳ. 1364. Βρομίων. 1374. ἀν. ἐν τύχῃ τε

πέπλους δ' ἀμείψασ' ἀντὶ ναυφθόρου στολῆς
ἐγώ νιν ἐξήσκησα, καὶ λουτροῖς χρόα
ἔδωκα, χρόνια νίπτρα ποταμίας δρόσου.
ἀλλ' ἐκπερᾷ γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς
γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν δοκῶν·
σιγητέον μοι· καὶ σὲ προςποιούμεθα
εὔνουν, κρατοῦντα στόματος, ἢν δυνώμεθα,
σωθέντες αὐτοὶ, καὶ σὲ συσσῶσαί ποτε.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

χωρεῖτ' ἐφεξῆς, ὡς ἔταξεν ὁ ξένος,
δμῶες, φέροντες ἐνάλια κτερίσματα.
Ἑλένη, σὺ δ', ἤν σοι μὴ κακῶς δόξω λέγειν,
πείθου, μέν' αὐτοῦ· ταυτὰ γὰρ παροῦσά τε
πράξεις τὸν ἄνδρα τὸν σὸν, ἤν τε μὴ παρῇς.
δέδοικα γάρ σε μή τις ἐμπεσὼν πόθος
πείσῃ μεθεῖναι σῶμ' ἐς οἶδμα πόντιον,
τοῦ πρόςθεν ἀνδρὸς χάρισιν ἐκπεπληγμένην·
ἄγαν γὰρ αὐτὸν οὐ παρόνθ' ὅμως στένεις.

ΕΛΕΝΗ.

ὦ κλεινὸς ἡμῖν πόσις, ἀναγκαίως ἔχει,
τὰ πρῶτα λέκτρα νυμφικάς θ' ὁμιλίας
τιμᾷν· ἐγὼ δὲ, διὰ τὸ μὲν στέργειν πόσιν,
καὶ ξυνθάνοιμ' ἄν· ἀλλὰ τίς κείνῳ χάρις,
ξὺν κατθανόντι κατθανεῖν; ἔα δέ με
αὐτὴν μολοῦσαν ἐντάφια δοῦναι νεκρῷ.
θεοὶ δὲ σοί τε δοῖεν, οἷ' ἐγὼ θέλω,
καὶ τῷ ξένῳ τῷδ', ὅτι συνεκπονεῖ τάδε.
ἕξεις δέ μ', οἵαν χρή σ' ἔχειν ἐν δώμασιν

1382. ἀμείψας. 1383. κἀγώ. 1388. κρατεῖν τε στ. 1395. σοι. 1407. χρῆν ἔχ.

γυναῖκ᾽, ἐπειδὴ Μενέλεων εὐεργετεῖς
κἄμ᾽· ἔρχεται γὰρ δή τιν᾽ ἐς τύχην τάδε·
ὅστις δὲ δώσει ναῦν, ἐν ᾗ τάδ᾽ ἄξομεν,
πρόσταξον, ὡς ἂν τὴν χάριν πλήρη λάβω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

χώρει σὺ, καὶ ναῦν τοῖσδε πεντηκόντορον
Σιδωνίαν δὸς, κἀρετμῶν ἐπιστάτας.

ΕΛΕΝΗ.

οὐκοῦν ὅδ᾽ ἄρξει ναὸς, ὃς κοσμεῖ τάφον;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

μάλιστ᾽ ἀκούειν τοῦδε χρὴ ναύτας ἐμούς.

ΕΛΕΝΗ.

αὖθις κέλευσον, ἵνα σαφῶς μάθωσί σου.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

αὖθις κελεύω, καὶ τρίτον γ᾽, εἴ σοι φίλον.

ΕΛΕΝΗ.

ὄναιο! κἀγὼ τῶν ἐμῶν βουλευμάτων.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

μὴ νῦν ἄγαν σὸν δάκρυσιν ἐκτήξῃς χρόα.

ΕΛΕΝΗ.

ἥδ᾽ ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τὰ τῶν θανόντων οὐδὲν, ἀλλ᾽ ἁπλῶς πόνος.

ΕΛΕΝΗ.

ἐστίν τι κἀκεῖ κἀνθάδ᾽, ὧν ἐγὼ λέγω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐδὲν κακίω Μενέλεώ μ᾽ ἕξεις πόσιν.

ΕΛΕΝΗ.

οὐδὲν σὺ μεμπτός· τῆς τύχης μέλει μόνον.

1413. καὶ ᾿ρετμῶν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐν σοὶ τόδ᾽, ἣν σὴν εἰς ἔμ᾽ εὔνοιαν διδῷς.

ΕΛΕΝΗ.

οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

βούλει ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;

ΕΛΕΝΗ.

ἥκιστα· μὴ δούλευε σοῖς δούλοις, ἄναξ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀλλ᾽ εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους·
καθαρὰ γὰρ ἡμῖν δώματ᾽· οὐ γὰρ ἐνθάδε
ψυχὴν ἀφῆκε Μενέλεως. ἴτω δέ τις
φράσων ὑπάρχοις τοῖς ἐμοῖς, φέρειν γάμων
ἀγάλματ᾽ οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴ
γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις
ὑμέναιον Ἑλένης κἀμὸν, ὡς ζηλωτὸς ᾖ.
σὺ δ᾽, ὦ ξέν᾽, ἐλθὼν, πελαγίους ἐς ἀγκάλας
τῷ τῆσδε πρίν ποτ᾽ ὄντι δοὺς πόσει τάδε,
πάλιν πρὸς οἴκους σπεῦδ᾽, ἐμὴν δάμαρτ᾽ ἔχων,
ὡς, τοὺς γάμους τοὺς τῆσδε συνδαίσας ἐμοὶ,
στέλλῃ πρὸς οἴκους, ἢ μένων εὐδαιμονῇς.

ΜΕΝΕΛΑΟΣ.

ὦ Ζεῦ, πατήρ τε καὶ σοφὸς κλῄζει θεός·
βλέψον πρὸς ἡμᾶς καὶ μετάστησον κακῶν.
ἕλκουσι δ᾽ ἡμῖν πρὸς λέπας τὰς συμφορὰς
σπουδῇ σύναψαι· κἂν ἄκρᾳ θίγῃς χερὶ,
ἥξομεν, ἵν᾽ ἐλθεῖν βουλόμεσθα τῆς τύχης.
ἅλις δὲ μόχθων, οὓς ἐμοχθοῦμεν πάρος.
κέκλησθέ μοι, θεοὶ, πολλὰ χρήστ᾽ ἐμοῦ κλύειν,

1433. χρῆν. 1443. πρὸς λύπας.

καὶ λύπρ'. ὀφείλω δ' οὐκ ἀεὶ πράσσειν κακῶς,
ὀρθῷ δὲ βῆναι ποδί. μίαν δ' ἐμοὶ χάριν
δόντες, τὸ λοιπὸν εὐτυχῆ με θήσετε.

ΧΟΡΟΣ.

Φοίνισσα Σιδωνιὰς ὦ (στροφὴ ά.)
ταχεῖα κώπα, ῥοθίοισι μάτηρ,
εἰρεσία φίλα,
χοραγὲ τῶν καλλιχόρων
δελφίνων, ὅταν αὔραις
πέλαγος νήνεμον ᾖ,
γλαυκὰ δὲ Πόντου θυγάτηρ
Γαλάνεια τάδ' εἴπῃ·
κατὰ μὲν ἱστία πετάσατ' αὔραις
λιπόντες ἐναλίαις,
λάβετε δ' εἰλατίνας πλάτας,
ὦ ναῦται! ἰὼ ναῦται!
πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ' ἀκτάς.
ἦπου κόρας ἂν ποταμοῦ (ἀντιστρ. ά.)
παρ' οἶδμα Λευκιππίδας, ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοις
χρόνῳ ξυνελθοῦσα χοροῖς
ἢ κώμοις Ὑακίνθου,
νυχίαν εὐφροσύναν —
ὃν ἐξαμιλλησάμενος
τρόχῳ τέρμονα δίσκου
ἔκανε Φοῖβος, [τᾷ] Λακαίνᾳ γᾷ

1448. καὶ λυπρά γ'· ὀφείλω. 1452. μήτηρ. 1470. νύχιον εἰς εὐφρόναν. 1472. τέρμονι. 1473. τᾷ sine uncis.

δὲ βούθυτον ἁμέραν
ὁ Διὸς εἶπε σέβειν γόνος —
μόσχον θ', ἂν λιπόντ' οἴκοις
* * * *
ἃς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.
δι' ἀέρος εἰ ποτανοὶ (στροφὴ β'.)
γενοίμεσθα Λίβυες
οἰωνοὶ στολάδες
ὄμβρον λείπουσαι χειμέριον
νίσσονται πρεσβυτάτᾳ
σύριγγι πειθόμεναι
ποιμένος, ὅς τ' ἄβροχα
πεδία καρποφόρα τε γᾶς
ἐπιπετόμενος ἰακχεῖ.
ὦ ποταναὶ δολιχαύχενες,
σύννομοι νεφέων δρόμου,
βᾶτε Πελειάδας ὑπὸ μέσας
Ὠρίωνά τ' ἐννύχιον,
καρύξατ' ἀγγελίαν,
Εὐρώταν ἐφεζόμεναι,
Μενέλαος ὅτι Δαρδάνου
πόλιν ἑλὼν δόμον ἥξει.
μόλοιτέ ποθ' ἵππειον ἅρμα (ἀντιστρ. β'.)
δι' αἰθέρος ἱέμενοι
παῖδες Τυνδαρίδαι,
λαμπρῶν ἄστρων ὑπ' ἀέλλαισιν
οἳ ναίετ' οὐράνιοι,
σωτῆρες τᾶς Ἑλένας

1474. δὲ deest. 1476. λίποιτ'. 1481. λιποῦσαι. 1484. ὃς ἄβρ. 1486. ἰαχεῖ. 1500. σωτῆρε.

γλαυκὸν ἐπ᾽ οἶδμ᾽ ἅλιον
κυανόχροά τε κυμάτων
ῥόθια πολιὰ θαλάσσας,
ναύταις εὐαεῖς ἀνέμων
πέμποντες διόθεν πνοάς·
δύςκλειαν δ᾽ ἀπὸ συγγόνου
βάλλετε βαρβάρων λεχέων,
ἃν Ἰδαίων ἐρίδων
πονηθεῖσ᾽ ἐκτήσατο, τὰν
οὐκ ἐλθοῦσαν Ἰλίου
Φοιβείους ἐπὶ πύργους.

ΑΓΓΕΛΟΣ.

Ἄναξ, κάκιστα τἀν δόμοις εὑρήκαμεν·
ὡς καίν᾽ ἀκούσει πήματ᾽ ἐξ ἐμοῦ τάχα.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί δ᾽ ἐστίν;

ΑΓΓΕΛΟΣ.

ἄλλης ἐκπόνει μνηστεύματα
γυναικός· Ἑλένη γὰρ βέβηκ᾽ ἔξω χθονός.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πτεροῖσιν ἀρθεῖσ᾽, ἢ πεδοστιβεῖ ποδί;

ΑΓΓΕΛΟΣ.

Μενέλαος αὐτὴν ἐκπεπόρθμευται χθονὸς,
ὃς αὐτὸς αὑτὸν ἦλθεν ἀγγέλλων θανεῖν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ δεινὰ λέξας! τίς δέ νιν ναυκληρία
ἐκ τῆςδ᾽ ἀπῆρε χθονός; ἄπιστα γὰρ λέγεις.

1506. δ᾽ deest. 1511. φοιβείας. 1512. τὰ κάκιστ᾽ ἐν δ.

ΑΓΓΕΛΟΣ.

ἥν γε ξένῳ δίδως σύ, τούς τε σοὺς ἔχων
ναύτας βέβηκεν, ὡς ἂν ἐν βραχεῖ μάθῃς.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πῶς; εἰδέναι πρόθυμος· οὐ γὰρ ἐλπίδων
εἴσω βέβηκα, μίαν ὑπερδραμεῖν χέρα
τοσούςδε ναύτας, ὧν ἀπεστάλης μέτα.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ λιποῦσα τούςδε βασιλείους δόμους
ἡ τοῦ Διὸς παῖς πρὸς θάλασσαν ἐστάλη,
σοφώταθ᾽ ἁβρὸν πόδα τιθεῖσ᾽, ἀνέστενε
πόσιν πέλας παρόντα κοὐ τεθνηκότα.
ὡς δ᾽ ἤλθομεν σῶν περίβολον νεωρίων,
Σιδωνίαν ναῦν πρωτόπλουν καθείλκομεν,
ζυγῶν τε πεντήκοντα, κἀρετμῶν μέτρα
ἔχουσαν· ἔργου δ᾽ ἔργον ἐξημείβετο·
ὁ μὲν γὰρ ἱστὸν, ὁ δὲ πλάτην καθίστατο
ταρσόν τε χειρὶ, λευκά θ᾽ ἱστί᾽ εἰς ἓν ἦν,
πηδάλιά τε ζεύγλαισι παρακαθίετο.
κἀν τῷδε μόχθῳ τοῦτ᾽ ἄρα σκοπούμενοι,
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι
προςῆλθον ἀκταῖς, ναυφθόροις ἠσθημένοι
πέπλοισιν, εὐειδεῖς μὲν, αὐχμηροὶ δ᾽ ὁρᾷν.
ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος,
προςεῖπε, δόλιον οἶκτον ἐς μέσον φέρων·
ὦ τλήμονες, πῶς, ἐκ τίνος νεὼς ποτε
Ἀχαΐδος θραύσαντες ἥκετε σκάφος;
ἆρ᾽ Ἀτρέως παῖδ᾽ ὀλόμενον συνθάπτετε,
ὃν Τυνδαρὶς παῖς ἥδ᾽ ἀπόντα κενοταφεῖ;

1532. καὶ ᾽ρετμῶν. 1544. Ἀχαΐδος.

οἱ δ', ἐκβαλόντες δάκρυα ποιητῷ τρόπῳ,
ἐς ναῦν ἐχώρουν, Μενέλεῳ ποντίσματα
φέροντες. ἡμῖν δ' ἦν μὲν ἦδ' ὑποψία,
λόγος δ' ἐν ἀλλήλοισι, τῶν ἐπειςβατῶν
ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ' ὅμως,
τοὺς σοὺς λόγους σώζοντες· ἄρχειν γὰρ νεὼς
ξένον κελεύσας πάντα συνέχεας τάδε.
καὶ τἄλλα μὲν δὴ ῥαδίως εἴσω νεὼς
ἐθέμεθα κουφίζοντα· ταύρειος δὲ ποῦς
οὐκ ἤθελ' ὀρθὸς σανίδα προςβῆναι κάτα,
ἀλλ' ἐξεβρυχᾶτ' ὄμμ' ἀναστρέφων κύκλῳ,
κυρτῶν τε νῶτα κεἰς κέρας παρεμβλέπων
μὴ θιγγάνειν ἀπεῖργεν. ὁ δ' Ἑλένης πόσις
ἐκάλεσεν· ὦ πέρσαντες Ἰλίου πόλιν,
οὐκ εἶ' ἀναρπάσαντες Ἑλλήνων νόμῳ
νεανίαις ὤμοισι ταύρειον δέμας
ἐς πρῶραν ἐμβαλεῖτε, φάσγανόν θ' ἅμα
πρόχειρον ὤσει σφάγια τῷ τεθνηκότι;
οἱ δ' ἐς κέλευσμ' ἐλθόντες, ἐξανήρπασαν
ταῦρον φέροντές τ' εἰςέθεντο σέλματα.
μονάμπυκον δὲ Μενέλεως ψήχων δέρην
μέτωπά τ', ἐξέπεισεν ἐςβῆναι δόρυ.
τέλος δ', ἐπειδὴ ναῦς τὰ πάντ' ἐδέξατο,
πλήσασα κλιμακτῆρας εὐσφύρου ποδὸς
Ἑλένη, καθέζετ' ἐν μέσοις ἑδωλίοις,
ὅ τ' οὐκ ἔτ' ὢν λόγοισι Μενέλεως πέλας.
ἄλλοι δὲ τοίχους δεξιοὺς λαιούς τ' ἴσοι,
ἀνὴρ παρ' ἄνδρ' ἕζονθ', ὑφ' εἵμασι ξίφη
λαθραῖ' ἔχοντες, ῥόθιά τ' ἐξεπίμπλατο

1555. ἐθέμεσθα. 1575. ὄρθιά τ' ἐξεπ.

βοῆς, κελευστοῦ φθέγμαθ' ὡς ἠκούσαμεν.
ἐπεὶ δὲ γαίας ἦμεν οὔτ' ἄγαν πρόσω,
οὔτ' ἐγγὺς, οὕτως ἤρετ' οἰάκων φύλαξ·
ἔτ', ὦ ξέν', ἐς τὸ πρόςθεν, ἢ καλῶς ἔχει,
πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλουσί μοι.
ὁ δ' εἶφ', ἅλις μοι· δεξιᾷ δ' ἑλὼν ξίφος,
ἐς πρῶραν εἷρπε, κἀπὶ ταυρείῳ σφαγῇ
σταθεὶς, νεκρῶν μὲν οὐδενὸς μνήμην ἔχων,
τέμνων δὲ λαιμὸν εὔχετ'· ὦ ναίων ἅλα
πόντιε Πόσειδον Νηρέως θ' ἁγναὶ κόραι,
σώσατέ μ' ἐπ' ἀκτὰς Ναυπλίας δάμαρτά τε
ἄσυλον ἐκ γῆς. αἵματος δ' ἀποῤῥοαὶ
ἐς οἶδμ' ἐςηκόντιζον οὔρια ξένῳ.
καί τις τόδ' εἶπε· δόλιος ἡ ναυκληρία·
πάλιν πλέωμεν Ναξίαν· κέλευε σύ·
σὺ δὲ στρέφ' οἴακ'. ἐκ δὲ ταυρείου φόνου
Ἀτρέως σταθεὶς παῖς, ἀνεβόησε συμμάχους·
τί μέλλετ', ὦ γῆς Ἑλλάδος λωτίσματα,
σφάζειν, φονεύειν βαρβάρους, νεώς τ' ἄπο
ῥίπτειν ἐς οἶδμα; ναυβάταις δὲ τοῖσι σοῖς
βοᾷ κελευστὴς τὴν ἐναντίαν ὄπα·
οὐκ εἶ' ὁ μέν τις λοῖσθον αἱρεῖται δόρυ,
ὁ δὲ ζύγ' ἄξας, ὁ δ' ἀφελὼν σκαλμοῦ πλάτην,
καθαιματώσει κρᾶτα πολεμίων ξένων;
ὀρθοὶ δ' ἀνῇξαν πάντες, οἱ μὲν ἐν χεροῖν
κορμοὺς ἔχοντες ναυτικοὺς, οἱ δὲ ξίφη.
φόνῳ δὲ ναῦς ἐῤῥεῖτο. παρακέλευσμα δ' ἦν

1576. βοῆς κελεύθου φθέγμαθ', ὡς. 1595. ναυάταις.

πρύμνηθεν Ἑλένης· ποῦ τὸ Τρωϊκὸν κλέος;
δείξατε πρὸς ἄνδρας βαρβάρους· σπουδῆς δ' ὕπο
ἔπιπτον, οἱ δ' ὠρθοῦντο, τοὺς δὲ κειμένους
νεκροὺς ἂν εἶδες. Μενέλεως δ' ἔχων ὅπλα,
ὅποι νοσοῖεν ξύμμαχοι κατασκοπῶν,
ταύτῃ προςῆγε χειρὶ δεξιᾷ ξίφος,
ὥςτ' ἐκκολυμβᾷν ναός· ἠρήμωσε δὲ
σῶν ναυβατῶν ἐρέτμ'. ἐπ' οἰάκων δὲ βὰς
ἄναξ, ἐς Ἑλλάδ' εἶπεν εὐθύνειν δόρυ.
οἱ δ' ἱστὸν ἦρον, οὔριαι δ' ἧκον πνοαί,
βεβᾶσι δ' ἐκ γῆς· διαφυγὼν δ' ἐγὼ φόνον,
καθῆκ' ἐμαυτὸν εἰς ἅλ', ἄγκυραν πάρα.
ἤδη δὲ κάμνονθ' ὁρμιὰν τείνων μέ τις
ἀνείλετ', ἐς δὲ γαῖαν ἐξέβησέ σοι
τάδ' ἀγγελοῦντα. σώφρονος δ' ἀπιστίας
οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.

ΧΟΡΟΣ.

οὐκ ἄν ποτ' ηὔχουν οὔτε σ', οὔθ' ἡμᾶς λαθεῖν
Μενέλαον, ὦ 'ναξ, ὡς ἐλάνθανεν παρών.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ γυναικείαις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας!
ἐκπεφεύγασιν γάμοι με. κεἰ μὲν ἦν ἁλώσιμος
ναῦς διώγμασιν, πονήσας εἷλον ἂν τάχα ξένους·
νῦν δὲ τὴν προδοῦσαν ἡμᾶς τισόμεσθα σύγγονον,
ἥτις, ἐν δόμοις ὁρῶσα Μενέλεων, οὐκ εἶπέ μοι.
τοίγαρ οὔποτ' ἄλλον ἄνδρα ψεύσεται μαντεύμασιν.

ΧΟΡΟΣ.

οὗτος ὦ, ποῖ σὸν πόδ' αἴρεις, δέσποτ', ἐς ποῖον φόνον;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οἷπερ ἡ δίκη κελεύει μ'. ἀλλ' ἀφίστασ' ἐκποδών.

ΧΟΡΟΣ.

οὐκ ἀφήσομαι πέπλων σῶν· μεγάλα γὰρ σπεύδεις κακά.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀλλὰ δεσποτῶν κρατήσεις δοῦλος ὤν;

ΧΟΡΟΣ.

φρονῶ γὰρ εὖ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐκ ἐμοί γ', εἰ μή μ' ἐάσεις —

ΧΟΡΟΣ.

οὐ μὲν οὖν σ' ἐάσομεν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

σύγγονον κτανεῖν κακίστην.

ΧΟΡΟΣ.

εὐσεβεστάτην μὲν οὖν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἥ με προὔδωκεν;

ΧΟΡΟΣ.

καλήν γε προδοσίαν δίκαια δρᾷν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τἀμὰ λέκτρ' ἄλλῳ διδοῦσα;

ΧΟΡΟΣ.

τοῖς γε κυριωτέροις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

κύριος δὲ τῶν ἐμῶν τίς;

ΧΟΡΟΣ.

ὃς ἔλαβεν πατρὸς πάρα.

1628. ἀφίστασθ'.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀλλ' ἔδωκεν ἡ τύχη μοι.

ΧΟΡΟΣ.

τὸ δὲ χρεὼν ἀφείλετο.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐ σὲ τἀμὰ χρὴ δικάζειν.

ΧΟΡΟΣ.

ἤν γε βελτίω λέγω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀρχόμεσθ' ἄρ', οὐ κρατοῦμεν.

ΧΟΡΟΣ.

ὅσια δρᾶν, τὰ δ' ἔκδικ' οὔ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

κατθανεῖν ἐρᾶν ἔοικας.

ΧΟΡΟΣ.

κτεῖνε· σύγγονον δὲ σὴν
οὐ κτενεῖς, ἡμῶν ἑκόντων, ἀλλ' ἔμ', ὡς πρὸ δε-
σποτῶν
τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν.

ΔΙΟΣΚΟΥΡΟΙ.

ἐπίσχες ὀργὰς, αἷσιν οὐκ ὀρθῶς φέρει,
Θεοκλύμενε, γῆς τῆσδ' ἄναξ· δισσοὶ δέ σε
Διόςκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ
ἔτικτεν, Ἑλένην θ', ἣ πέφευγε σοὺς δόμους·
οὐ γὰρ πεπρωμένοισιν ὀργίζει γάμοις,
οὐδ' ἡ θεᾶς Νηρῆδος ἔκγονος κόρη
ἀδικεῖ σ', ἀδελφὴ Θεονόη, τὰ τῶν θεῶν
τιμῶσα πατρός τ' ἐνδίκους ἐπιστολάς.

1638. ὅσ. δρᾶν τάνδ' ἐκδικῶ. 1640. ἀλλ' ἐμέ· πρὸ δ.
1647. ἐκγόνη.

ἐς μὲν γὰρ ἀεὶ τὸν παρόντα νῦν χρόνον
κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν·
ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα,
καὶ τοῖς θεοῖς παρέσχε τοὔνομ', οὐκέτι
ἐν τοῖσιν αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις,
ἐλθεῖν δ' ἐς οἴκους καὶ συνοικῆσαι πόσει.
ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,
νόμιζε δ', αὐτὴν σωφρόνως πράττειν τάδε.
πάλαι δ' ἀδελφὴν κἂν πρὶν ἐξεσώσαμεν,
ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς·
ἀλλ' ἥσσον' ἦμεν τοῦ πεπρωμένου θ' ἅμα
καὶ τῶν θεῶν, οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν.
σοὶ μὲν τάδ' αὐδῶ· συγγόνῳ δ' ἐμῇ λέγω,
πλεῖν ξὺν πόσει σῷ. πνεῦμα δ' ἕξετ' οὔριον·
σωτῆρε δ' ἡμεῖς σὼ κασιγνήτω διπλὼ,
πόντον παριππεύοντε, πέμψομεν πάτραν.
ὅταν δὲ κάμψῃς καὶ τελευτήσῃς βίον,
θεὸς κεκλήσει, καὶ Διοςκόρων μέτα
σπονδῶν μεθέξεις, ξένιά τ' ἀνθρώπων πάρα
ἕξεις μεθ' ἡμῶν· Ζεὺς γὰρ ὧδε βούλεται.
οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος,
Σπάρτης ἀπάρας, τῶν κατ' οὐρανὸν δόμων
κλέψας δέμας σὸν, μὴ Πάρις γήμειέ σε,
φρουρὰ παρ' Ἀκτὴν τεταμένη, νῆσον λέγω,
Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
ἐπεὶ κλοπὰς σὰς ἐκ δόμων ἐδέξατο.
καὶ τῷ πλανήτῃ Μενέλεῳ θεῶν πάρα
μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον·

1658. καὶ πρίν. 1670. οὐδ' ὥρισεν.

τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες,
τῶν δ' ἀναριθμήτων μᾶλλόν εἰσιν οἱ πόνοι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ παῖδε Λήδας καὶ Διὸς, τὰ μὲν πάρος
νείκη μεθήσω σφῶν κασιγνήτης πέρι.
ἐγὼ δ' ἀδελφὴν οὐκέτ' ἂν κτάνοιμ' ἐμήν.
κείνη δ' ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ.
ἴστον δ' ἀρίστης σωφρονεστάτης θ' ἅμα
γεγῶτ' ἀδελφῆς μονογενοῦς ἀφ' αἵματος,
καὶ χαίρεθ', Ἑλένης οὕνεκ' εὐγενεστάτης
γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.

ΧΟΡΟΣ.

πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη·
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

ΤΕΛΟΣ ΕΛΕΝΗΣ.

ΕΥΡΙΠΙΔΟΥ

ΙΩΝ.

ΥΠΟΘΕΣΙΣ.

Κρέουσαν τὴν Ἐρεχθέως Ἀπόλλων φθείρας, ἔγκυον ἐποίησεν ἐν Ἀθήναις· ἡ δὲ τὸ γεννηθὲν ὑπὸ τὴν ἀκρόπολιν ἐξέθηκε, τὸν αὐτὸν τόπον καὶ τοῦ ἀδικήματος καὶ τῆς λοχείας μάρτυρα λαβοῦσα. τὸ μὲν οὖν βρέφος Ἑρμῆς ἀνελόμενος εἰς Δελφοὺς ἤνεγκεν· εὑροῦσα δ' ἡ προφῆτις ἀνέθρεψε· τὴν Κρέουσαν δὲ Ξοῦθος ἔγημε· συμμαχήσας γὰρ Ἀθηναίοις, κατὰ τῶν ἐν Εὐβοίᾳ Χαλκωδοντιδῶν, τὴν βασιλείαν καὶ τὸν τῆς προειρημένης γάμον ἔλαβε δῶρον. τούτῳ μὲν οὖν οὐκ ἄλλος παῖς ἐγένετο· τὸν δ' ἐκτραφέντα ὑπὸ τῆς προφήτιδος οἱ Δελφοὶ νεωκόρον ἐποίησαν. ὁ δὲ ἀγνοῶν ἐδούλευσε τῷ πατρί. Ἀπόλλων δὲ χρησομένῳ τῷ Ξούθῳ περὶ παιδογονίας δῶρον ἔδωκε τὸν αὑτοῦ καὶ τῆς Κρεούσης, Ἴωνα καλούμενον, τὸν πρὶν αὐτῷ δουλεύσαντα. ἡ μὲν μήτηρ ἀγνοοῦσα, ἐπιβουλεύει τῷ παιδὶ αὑτῆς· καταληφθεῖσα δὲ, θανατοῦσθαι κατὰ τὸν νόμον ἤμελλεν. ἐνταῦθα δὲ ἀναγνωρισμοῦ γενομένου, ἡδέως τὸ δρᾶμα ἀποτελεῖται.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Δελφοῖς.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΕΡΜΗΣ.
ΙΩΝ.
ΧΟΡΟΣ θεραπαινίδων Κρεούσης.
ΚΡΕΟΥΣΑ.
ΞΟΥΘΟΣ.
ΠΡΕΣΒΥΤΗΣ ἢ ΠΑΙΔΑΓΩΓΟΣ.
ΘΕΡΑΠΩΝ ΚΡΕΟΥΣΗΣ.
ΠΥΘΙΑ ἤτοι ΠΡΟΦΗΤΙΣ.
ΑΘΗΝΑ.

ΕΥΡΙΠΙΔΟΥ ΙΩΝ.

ΕΡΜΗΣ.

Ἄτλας, ὁ χαλκέοισι νώτοις οὐρανὸν,
θεῶν παλαιὸν οἶκον, ἐκτρίβων, θεῶν
μιᾶς ἔφυσε Μαῖαν, ἥ μ' ἐγείνατο
Ἑρμῆν, μεγίστῳ Ζηνὶ δαιμόνων λάτριν.
ἥκω δὲ Δελφῶν τήνδε γῆν, ἵν' ὀμφαλὸν
μέσον καθίζων Φοῖβος ὑμνῳδεῖ βροτοῖς,
τά τ' ὄντα καὶ μέλλοντα θεσπίζων ἀεί.
ἔστιν γὰρ οὐκ ἄσημος Ἑλλήνων πόλις,
τῆς χρυσολόγχου Παλλάδος κεκλημένη,
οὗ παῖδ' Ἐρεχθέως Φοῖβος ἔζευξεν γάμοις
βίᾳ Κρέουσαν, ἔνθα προσβόῤῥους πέτρας
Παλλάδος ὑπ' ὄχθῳ τῆς Ἀθηναίων χθονὸς
Μακρὰς καλοῦσι γῆς ἄνακτες Ἀτθίδος.
ἀγνὼς δὲ πατρὶ, — τῷ θεῷ γὰρ ἦν φίλον, —
γαστρὸς διήνεγκ' ὄγκον· ὡς δ' ἦλθεν χρόνος,
τεκοῦσ' ἐν οἴκοις παῖδ', ἀπήνεγκεν βρέφος
ἐς ταὐτὸν ἄντρον, οὗπερ εὐνάσθη θεῷ,
Κρέουσα, κἀκτίθησιν ὡς θανούμενον
κοίλης ἐν ἀντίπηγος εὐτρόχῳ κύκλῳ,
προγόνων νόμον σώζουσα τοῦ τε γηγενοῦς

Ἐριχθονίου· κείνῳ γὰρ ἡ Διὸς κόρη
φρουρὼ παραζεύξασα φυλακὰς σώματος
δισσὼ δράκοντε, παρθένοις Ἀγραυλίσι
δίδωσι σώζειν. ὅθεν Ἐρεχθείδαις ἐκεῖ
νόμος τίς ἐστιν, ὄφεσιν ἐν χρυσηλάτοις
τρέφειν τέκν᾽. ἀλλ᾽ ἣν εἶχε παρθένος χλιδὴν,
τέκνῳ προσάψασ᾽ ἔλιπεν, ὡς θανουμένῳ.
καί μ᾽ ὢν ἀδελφὸς Φοῖβος αἰτεῖται τάδε·
ὦ σύγγον᾽, ἐλθὼν λαὸν εἰς αὐτόχθονα
κλεινῶν Ἀθηνῶν, — οἶσθα γὰρ θεᾶς πτόλιν, —
λαβὼν βρέφος νεογνὸν ἐκ κοίλης πέτρας
αὐτῷ σὺν ἄγγει σπαργάνοισί θ᾽, οἷς ἔχει,
ἔνεγκ᾽ ἀδελφῷ τἀμὰ πρὸς χρηστήρια,
καὶ θὲς πρὸς αὐταῖς εἰσόδοις δόμων ἐμῶν.
τὰ δ᾽ ἄλλ᾽, — ἐμὸς γάρ ἐστιν, ὡς εἰδῇς, ὁ παῖς, —
ἡμῖν μελήσει. Λοξίᾳ δ᾽ ἐγὼ χάριν
πράσσων ἀδελφῷ πλεκτὸν ἐξάρας κύτος
ἤνεγκα, καὶ τὸν παῖδα κρηπίδων ἔπι
τίθημι ναοῦ τοῦδ᾽, ἀναπτύξας κύτος
εἱλικτὸν ἀντίπηγος, ὡς ὁρῷθ᾽ ὁ παῖς.
κυρεῖ δ᾽ ἅμ᾽ ἱππεύοντος ἡλίου κύκλῳ
προφῆτις ἐσβαίνουσα μαντεῖον θεοῦ·
ὄψιν δὲ προσβαλοῦσα παιδὶ νηπίῳ
ἐθαύμασ᾽, εἴ τις Δελφίδων τλαίη κόρη
λαθραῖον ὠδῖν᾽ ἐς θεοῦ ῥίψαι δόμον.
ὑπὲρ δὲ θυμέλας διορίσαι πρόθυμος ἦν,
οἴκτῳ δ᾽ ἀφῆκεν ὠμότητα, καὶ θεὸς
συνεργὸς ἦν τῷ παιδὶ, μὴ ᾽κπεσεῖν δόμων.
τρέφει δέ νιν λαβοῦσα· τὸν σπείραντα δὲ

40. ὁρᾶσθ᾽. 41. ἀνιππεύοντος.

οὐκ οἶδε Φοῖβον, οὐδὲ μητέρ᾽, ἧς ἔφυ,
ὁ παῖς τε τοὺς τεκόντας οὐκ ἐπίσταται.
νέος μὲν οὖν ὢν ἀμφὶ βωμίους τροφὰς
ἠλᾶτ᾽ ἀθύρων· ὡς δ᾽ ἀπηνδρώθη δέμας,
Δελφοί σφ᾽ ἔθεντο χρυσοφύλακα τοῦ θεοῦ
ταμίαν τε πάντων πιστὸν, ἐν δ᾽ ἀνακτόροις
θεοῦ καταζῇ δεῦρ᾽ ἀεὶ σεμνὸν βίον.
Κρέουσα δ᾽, ἡ τεκοῦσα τὸν νεανίαν,
Ξούθῳ γαμεῖται συμφορᾶς τοιᾶσδ᾽ ὕπο·
ἦν ταῖς Ἀθήναις τοῖς τε Χαλκωδοντίδαις,
οἳ γῆν ἔχουσ᾽ Εὐβοΐδα, πολέμιος κλύδων·
ὃν συμπονήσας καὶ ξυνεξελὼν δορὶ,
γάμων Κρεούσης ἀξίωμ᾽ ἐδέξατο,
οὐκ ἐγγενὴς ὢν, Αἰόλου δὲ τοῦ Διὸς
γεγὼς Ἀχαιός· χρόνια δὲ σπείρας λέχη,
ἄτεκνός ἐστι, καὶ Κρέουσ᾽· ὧν οὕνεκα
ἥκουσι πρὸς μαντεῖ᾽ Ἀπόλλωνος τάδε,
ἔρωτι παίδων. Λοξίας δὲ τὴν τύχην
ἐς τοῦτ᾽ ἐλαύνει, κού λέληθεν, ὡς δοκεῖ.
δώσει γὰρ εἰσελθόντι μαντεῖον τόδε
Ξούθῳ τὸν αὑτοῦ παῖδα, καὶ πεφυκέναι
κείνου σφε φήσει, μητρὸς ὡς ἐλθὼν δόμους
γνωσθῇ Κρεούσῃ, καὶ γάμοι τε Λοξίου
κρυπτοὶ γένωνται παῖς τ᾽ ἔχῃ τὰ πρόσφορα.
Ἴωνα δ᾽ αὐτὸν, κτίστορ᾽ Ἀσιάδος χθονὸς,
ὄνομα κεκλῆσθαι θήσεται καθ᾽ Ἑλλάδα.
ἀλλ᾽ ἐς δαφνώδη γύαλα βήσομαι τάδε,
τὸ κρανθὲν ὡς ἂν ἐκμάθω παιδὸς πέρι.
ὁρῶ γὰρ ἐκβαίνοντα Λοξίου γόνον
τόνδ᾽, ὡς πρὸ ναοῦ λαμπρὰ θῇ πυλώματα

δάφνης κλάδοισιν. ὄνομα δ', οὗ μέλλει τυχεῖν,
Ἴων' ἐγώ νιν πρῶτος ὀνομάζω θεῶν.

Ι Ω Ν.

ἅρματα μὲν τάδε λαμπρὰ τεθρίππων
ἥλιος ἤδη λάμπει κατὰ γῆν,
ἄστρα δὲ φεύγει πυρὶ τῷδ' αἰθέρος
ἐς νύχθ' ἱεράν,
Παρνησιάδες δ' ἄβατοι κορυφαὶ
καταλαμπόμεναι τὴν πραεῖάν γ'
ἁψῖδα βροτοῖσι δέχονται.
σμύρνης δ' ἀνύδρου καπνὸς ἐς ὀρόφους
Φοίβου πέτεται.
θάσσει δὲ γυνὴ τρίποδα ζάθεον
Δελφὶς, ἀείδουσ' Ἕλλησι βοὰς,
ἃς ἂν Ἀπόλλων κελαδήσῃ.
ἀλλ', ὦ Φοίβου Δελφοὶ θέραπες,
τὰς Κασταλίας ἀργυροειδεῖς
βαίνετε δίνας, καθαραῖς δὲ δρόσοις
ἀφυδρανάμενοι, στείχετε ναούς·
στόμα τ' εὔφημον φρουρεῖτ' ἀγαθὸν,
φήμας τ' ἀγαθὰς τοῖς ἐθέλουσι
μαντεύεσθαι
γλώσσης ἰδίας ἀποφαίνειν.
ἡμεῖς δὲ, πόνους οὓς ἐκ παιδὸς
μοχθοῦμεν ἀεὶ, πτόρθοισι δάφνης
στέφεσί θ' ἱεροῖς ἐσόδους Φοίβου
καθαρὰς θήσομεν ὑγραῖς τε πέδον
ῥανίσιν νοτερὸν, πτηνῶν τ' ἀγέλας,
αἳ βλάπτουσιν

87. τὴν ἡμέραν. 107. ἃ βλ.

σέμν' ἀναθήματα, τόξοισιν ἐμοῖς
φυγάδας θήσομεν· ὡς γὰρ ἀμήτωρ
ἀπάτωρ τε γεγὼς, τοὺς θρέψαντας
Φοίβου ναοὺς θεραπεύω.
Ἄγ' ὦ νεηθαλὲς ὦ (στροφή.)
καλλίστας προπόλευμα δάφνας,
ἃ τὰν Φοίβου θυμέλαν
σαίρεις ὑπὸ ναοῖς
κήπων ἐξ ἀθανάτων,
ἵνα δρόσοι τέγγουσ' ἱεραὶ,
τὰν ἀένναον παγὰν
ἐκπροιεῖσαι,
μυρσίνας ἱερὰν φόβαν,
ᾇ σαίρω δάπεδον θεοῦ
παναμέριος ἅμ' ἡλίου πτέρυγι θοῇ
λατρεύων τὸ καθ' ἦμαρ.
ὦ Παιὰν, ὦ Παιὰν,
εὐαίων, εὐαίων
εἴης, ὦ Λατοῦς παῖ!
καλόν γε τὸν πόνον, ὦ (ἀντιστρ.)
Φοῖβέ, σοι πρὸ δόμων λατρεύω,
τιμῶν μαντεῖον ἕδραν·
κλεινὸς δ' ὁ πόνος μοι,
θεοῖσιν δούλαν χέρ' ἔχειν,
οὐ θνατοῖς, ἀλλ' ἀθανάτοις·
εὐφάμοις πόνοις μοχθεῖν
οὐκ ἀποκάμνω.
Φοῖβός μοι γενέτωρ πατήρ·

122. ἠελίου. 131. θεοῖσι.

τὸν βόσκοντα γὰρ εὐλογῶ.
τὸ δ' ὠφέλιμον ἐμοὶ πατέρος ὄνομα λέγω
Φοίβου τοῦ κατὰ ναόν.
ὦ Παιὰν, ὦ Παιὰν,
εὐαίων, εὐαίων
εἴης, ὦ Λατοῦς παῖ!

Ἀλλ' ἐκπαύσω γὰρ μόχθους
δάφνας ὁλκοῖς, χρυσέων δ' ἐκ
τευχέων ῥίψω γαίας παγὰν,
ἃν ἀποχεύονται Κασταλίας
δῖναι, νοτερὸν ὕδωρ
βάλλων, ὅσιος ἀπ' εὐνᾶς ὤν.
εἴθ' οὕτως ἄρα Φοίβῳ
λατρεύων μὴ παυσαίμαν,
ἢ παυσαίμαν ἀγαθᾷ μοίρᾳ!
ἔα, ἔα!
φοιτῶσ' ἤδη λείπουσίν τε
πτανοὶ Παρνασοῦ κοίτας·
αὐδῶ μὴ χρίμπτειν θριγκοῖς
μήδ' εἰς χρυσήρεις οἴκους.
μάρψω σ' αὖ τόξοις, ὦ Ζηνὸς
κῆρυξ, ὀρνίθων γαμφηλαῖς
ἰσχὺν νικῶν.
ὅδε πρὸς θυμέλας ἄλλος ἐρέσσει
κύκνος· οὐκ ἄλλᾳ
φοινικοφαῆ πόδα κινήσεις;
οὐδέν σ' ἁ φόρμιγξ ἁ Φοίβου

137. τὸν δ' ὠφέλ.

σύμμολπος τόξων ῥύσαιτ' ἄν·
πάραγε πτέρυγας,
λίμνας τ' ἐπίβα τᾶς Δηλιάδος·
αἱμάξεις, εἰ μὴ πείσῃ,
τὰς καλλιφθόγγους ᾠδάς.
ἔα, ἔα!
τίς ὅδ' ὀρνίθων καινὸς προσέβα;
μῶν ὑπὸ θριγκοὺς εὐναίας
καρφηρὰς θήσων τέκνοις;
ψαλμοί σ' εἴρξουσιν τόξων.
οὐ πείσῃ; χωρῶν ἐν δίναις
ταῖς Ἀλφειοῦ παιδούργει
ἢ νάπος Ἴσθμιον,
ὡς ἀναθήματα μὴ βλάπτηται
ναοί θ' οἱ Φοίβου.
κτείνειν δ' ὑμᾶς αἰδοῦμαι,
τοὺς θεῶν ἀγγέλλοντας φήμας
θνατοῖς· οἷς δ' ἔγκειμαι μόχθοις,
Φοίβῳ δουλεύσω, κοὐ λήξω
τοὺς βόσκοντας θεραπεύων.

ΧΟΡΟΣ.

Οὐκ ἐν ταῖς ζαθέαις Ἀθάναις (στροφὴ ά.)
εὐκίονες ἦσαν αὐλαὶ
θεῶν μόνον, οὐδ' ἀγυιάτιδες θεραπεῖαι·
ἀλλά γε καὶ παρὰ Λοξίᾳ
τῷ Λατοῦς διδύμων προσώ-
πων καλλιβλέφαρον φῶς.

164. παρά τε πτ. 188. καλλίφαρον.

ΗΜΙΧΟΡΙΟΝ Α'.

ἰδοὺ τάνδ' ἄθρησον,
Λερναῖον ὕδραν ἐναίρει
χρυσέαις ἅρπαις ὁ Διὸς παῖς·
φίλα, πρόσιδ' ὄσσοις.

ΗΜΙΧΟΡΙΟΝ Β'.

ὁρῶ· καὶ πέλας ἄλλος αὐτοῦ (ἀντιστρ. α'.)
πανὸν πυρίφλεκτον αἴρει.

ΗΜΙΧΟΡΙΟΝ Α'.

τίς; ἆρ' ὃς ἐμαῖσι μυθεύεται παρὰ πήναις
ἀσπιστὰς Ἰόλαος, ὃς
κοινοὺς αἰρόμενος πόνους
δίῳ παιδὶ συναντλεῖ;

ΗΜΙΧΟΡΙΟΝ Β'.

καὶ μὰν τόνδ' ἄθρησον
πτεροῦντος ἔφεδρον ἵππου·
τὰν πυριπνέουσαν ἐναίρει
τρισώματον ἀλκάν.

ΗΜΙΧΟΡΙΟΝ Α'.

παντᾷ τοι βλέφαρον διώκω. (στροφὴ β'.)

ΗΜΙΧΟΡΙΟΝ Β'.

σκέψαι κλόνον ἐν τείχεσι
λαΐνοισι Γιγάντων.

ΗΜΙΧΟΡΙΟΝ Α'.

ὧδε δερκώμεσθ', ὦ φίλαι.

189. ῎ΙΩΝ. 192. ὄσσοισιν. 193. ΧΟ. ὁρῶ. ῎ΙΩΝ. καὶ π. 194. ΧΟ. Ib. τις ἄρ', ὃς ἐμαῖς μ. π. πήναισιν. 196. ῎ΙΩΝ. 199. sqq. Ioni contin. 203. ΧΟ. 204. ῎ΙΩΝ. 206. ΧΟ.

ΗΜΙΧΟΡΙΟΝ Β'.

λεύσσεις οὖν ἐπ' Ἐγκελάδῳ
γοργωπὸν πάλλουσαν ἴτυν;

ΗΜΙΧΟΡΙΟΝ Α'.

λεύσσω Παλλάδ' ἐμὰν θεόν.

ΗΜΙΧΟΡΙΟΝ Β'.

τί γὰρ κεραυνὸν ἀμφίπυρον
ὄμβριμον ἐν Διὸς ἑκηβόλοισι χερσίν;

ΗΜΙΧΟΡΙΟΝ Α'.

ὁρῶ, τὸν δάϊον
Μίμαντα πυρὶ καταιθαλοῖ.

ΗΜΙΧΟΡΙΟΝ Β'.

καὶ Βρόμιος ἄλλον
ἀπολέμοισι κισσίνοισι βάκτροις
ἐναίρει Γᾶς τέκνον ὁ Βακχεύς.

ΧΟΡΟΣ.

σέ τοι τὸν παρὰ ναὸν αὐδῶ, (ἀντιστρ. β'.)
θέμις γυάλων ὑπερβῆ-
ναι λευκῷ ποδί γ' * *;

ΙΩΝ.

οὐ θέμις, ὦ ξέναι.

ΧΟΡΟΣ.

οὐδ' ἂν ἐκπυθοίμαν σέθεν [αὐδάν];

ΙΩΝ.

τίνα δῆτα θέλεις;

207. ῎ΙΩΝ. 209. ΧΟ. 210. ῎ΙΩΝ. 212. ΧΟ. 214. sqq. contin. Choro. 219. desunt notae lacunae. 220. sqq. Ionis verba, litteris diductis scripta, sunt extra Chori responsionem. 221. οὐδ' ἂν ἐκ σέθεν ἂν πυθ. et αὐδάν sine uncis. 222. τίνα δὲ θέλεις;

ΧΟΡΟΣ.

ἆρ᾽ ὄντως μέσον ὀμφαλὸν
γᾶς Φοίβου κατέχει δόμος;

ΙΩΝ.

στέμμασί γ᾽ ἐνδυτὸν, ἀμφὶ δὲ Γοργόνες.

ΧΟΡΟΣ.

οὕτω καὶ φάτις αὐδᾷ.

ΙΩΝ.

εἰ μὲν ἐθύσατε πέλανον πρὸ δόμων
καί τι πυθέσθαι χρῄζετε Φοίβου,
πάριτ᾽ εἰς θυμέλας, ἐπὶ δ᾽ ἀσφάκτοις
μήλοισι δόμων μὴ πάριτ᾽ εἰς μυχόν.

ΧΟΡΟΣ.

ἔχω μαθοῦσα· θεοῦ δὲ νόμον
οὐ παραβαίνομεν· ἃ δ᾽ ἐκτὸς, ὄμμα τέρψει.

ΙΩΝ.

πάντα θεᾶσθ᾽, ὅ τι καὶ θέμις, ὄμμασι.

ΧΟΡΟΣ.

μεθεῖσαν δεσπόται
θεοῦ με γύαλα τάδ᾽ ἐςιδεῖν.

ΙΩΝ.

δμωαὶ δὲ τίνων κλῄζεσθε δόμων;

ΧΟΡΟΣ.

Παλλάδος ἔνοικα
τρόφιμα μέλαθρα τῶν ἐμῶν τυράννων.
παρούσας δ᾽ ἀμφὶ τάδ᾽ ἐρωτᾷς.

ΙΩΝ.

γενναιότης σοι, καὶ τρόπων τεκμήριον
τὸ σχῆμ᾽ ἔχεις τόδ᾽, ἥτις εἶ ποτ᾽, ὦ γύναι.

225. ἐνδυτός. 233. ὅτι. 235. εἰςιδεῖν.

γνοίη δ᾽ ἂν ὡς τὰ πολλά γ᾽ ἀνθρώπου πέρι
τὸ σχῆμ᾽ ἰδών τις, εἰ πέφυκεν εὐγενής.
(ἔα.) ἀλλ᾽ ἐξέπληξάς μ᾽, ὄμμα συγκλῄσασα σὸν
δακρύοις θ᾽ ὑγράνασ᾽ εὐγενῆ παρηΐδα,
ὡς εἶδες ἁγνὰ Λοξίου χρηστήρια.
τί ποτε μερίμνης ἐς τόδ᾽ ἦλθες, ὦ γύναι;
οὗ πάντες ἄλλοι, γύαλα λεύσσοντες θεοῦ,
χαίρουσιν, ἐνταῦθ᾽ ὄμμα σὸν δακρυῤῥοεῖ.

ΚΡΕΟΥΣΑ.

ὦ ξένε, τὸ μὲν σὸν οὐκ ἀπαιδεύτως ἔχει,
ἐς θαύματ᾽ ἐλθεῖν δακρύων ἐμῶν πέρι·
ἐγὼ δ᾽, ἰδοῦσα τούςδ᾽ Ἀπόλλωνος δόμους,
μνήμην παλαιὰν ἀνεμετρησάμην τινά·
οἴκοι δὲ τὸν νοῦν ἔχομεν, ἐνθάδ᾽ οὖσά που.
ὦ τλήμονες γυναῖκες! ὦ τολμήματα
θεῶν! τί δῆτα; ποῖ δίκην ἀνοίσομεν,
εἰ τῶν κρατούντων ἀδικίαις ὀλούμεθα;

ΙΩΝ.

τί χρῆμα δ᾽ ἀνερεύνητα δυςθυμεῖ, γύναι;

ΚΡΕΟΥΣΑ.

οὐδέν· μεθῆκα τόξα· τἀπὶ τῷδε δὲ
ἐγώ τε σιγῶ καὶ σὺ μὴ φρόντιζ᾽ ἔτι.

ΙΩΝ.

τίς δ᾽ εἶ; πόθεν γῆς ἦλθες; ἐκ ποίας πάτρας
πέφυκας; ὄνομα τί σε καλεῖν ἡμᾶς χρεών;

ΚΡΕΟΥΣΑ.

Κρέουσα μέν μοι τοὔνομ᾽, ἐκ δ᾽ Ἐρεχθέως
πέφυκα, πατρὶς γῆ δ᾽ Ἀθηναίων πόλις.

254. νοῦν ἔσχον ἐνθ. 256. ἀνήσομεν. 257. ὀλοίμεθα.
258. τί χρῆμ᾽ ἀνερ.

Ι Ω Ν.

ὦ κλεινὸν οἰκοῦσ' ἄστυ, γενναίων τ' ἀπὸ
τραφεῖσα πατέρων, ὥς σε θαυμάζω, γύναι!

ΚΡΕΟΥΣΑ.

τοσαῦτα κεὐτυχοῦμεν, ὦ ξέν', οὐ πέρα.

Ι Ω Ν.

πρὸς θεῶν ἀληθῶς, ὡς μεμύθευται βροτοῖς;

ΚΡΕΟΥΣΑ.

τί χρῆμ' ἐρωτᾷς, ὦ ξέν'; ἐκμαθεῖν θέλω.

Ι Ω Ν.

ἐκ γῆς πατρός σου πρόγονος ἔβλαστεν πατήρ;

ΚΡΕΟΥΣΑ.

'Εριχθόνιός γε· τὸ δὲ γένος μ' οὐκ ὠφελεῖ.

Ι Ω Ν.

ἦ καί σφ' 'Αθάνα γῆθεν ἐξανείλετο;

ΚΡΕΟΥΣΑ.

ἐς παρθένους γε χεῖρας, οὐ τεκοῦσά νιν.

Ι Ω Ν.

δίδωσι δ', ὥςπερ ἐν γραφῇ νομίζεται;

ΚΡΕΟΥΣΑ.

Κέκροπός γε σώζειν παισὶν οὐχ ὁρώμενον.

Ι Ω Ν.

ἤκουσα, λῦσαι παρθένους τεῦχος θεᾶς.

ΚΡΕΟΥΣΑ.

τοιγὰρ θανοῦσαι σκόπελον ᾕμαξαν πέτρας.

Ι Ω Ν.

(εἶεν·) τί δαὶ τόδ'; ἆρ' ἀληθὲς, ἢ μάτην λόγος;

ΚΡΕΟΥΣΑ.

τί χρῆμ' ἐρωτᾷς; καὶ γὰρ οὐ κάμνω σχολῇ.

Ι Ω Ν.

πατὴρ 'Ερεχθεὺς σὰς ἔθυσε συγγόνους;

ΚΡΕΟΥΣΑ.

ἔτλη πρὸ γαίας σφάγια παρθένους κτανεῖν.

Ι Ω Ν.

σὺ δ' ἐξεσώθης πῶς κασιγνήτων μόνη;

ΚΡΕΟΥΣΑ.

βρέφος νεογνὸν μητρὸς ἦν ἐν ἀγκάλαις.

Ι Ω Ν.

πατέρα δ' ἀληθῶς χάσμα σὸν κρύπτει χθονός;

ΚΡΕΟΥΣΑ.

πληγαὶ τριαίνης Ποντίου σφ' ἀπώλεσαν.

Ι Ω Ν.

Μακραὶ δὲ χῶρός ἐστ' ἐκεῖ κεκλῃσμένος;

ΚΡΕΟΥΣΑ.

τί δ' ἱστορεῖς τόδ'; ὥς μ' ἀνέμνησας τινός.

Ι Ω Ν.

τιμᾷ σφε Πύθιος ἀστραπαί τε Πύθιαι;

ΚΡΕΟΥΣΑ.

τιμᾷ; τί μήν; ὡς μή ποτ' ὤφελόν σφ' ἰδεῖν;

Ι Ω Ν.

τί δέ; στυγεῖς σὺ τοῦ θεοῦ τὰ φίλτατα;

ΚΡΕΟΥΣΑ.

οὐδέν· ξύνοιδ' ἄντροισιν αἰσχύνην τινά.

Ι Ω Ν.

πόσις δὲ τίς σ' ἔγημ' 'Αθηναίων, γύναι;

ΚΡΕΟΥΣΑ.

οὐκ ἀστὸς, ἀλλ' ἐπακτὸς ἐξ ἄλλης χθονός.

289. τιμᾷ, τιμᾷ, ὡς μή ποτ' ὤφ. σ' εἰσιδεῖν. 291. οὐδέν, ξέν'· οἶδ' ἄντρ.

Ι Ω Ν.

τίς; εὐγενῆ νιν δεῖ πεφυκέναι τινά.

ΚΡΕΟΥΣΑ.

Ξοῦθος, πεφυκὼς Αἰόλου Διός τ' ἄπο.

Ι Ω Ν.

καὶ πῶς ξένος σ' ὢν ἔσχεν, οὖσαν ἐγγενῆ;

ΚΡΕΟΥΣΑ.

Εὔβοι' Ἀθήναις ἐστί τις γείτων πόλις.

Ι Ω Ν.

ὅροις ὑγροῖσιν, ὥς λέγουσ', ὡρισμένη;

ΚΡΕΟΥΣΑ.

ταύτην ἔπερσε Κεκροπίδαις κοινῷ δορί.

Ι Ω Ν.

ἐπίκουρος ἐλθὼν, κᾆτα σὸν γαμεῖ λέχος;

ΚΡΕΟΥΣΑ.

φερνάς γε πολέμου καὶ δορὸς λαβὼν γέρας.

Ι Ω Ν.

σὺν ἀνδρὶ δ' ἥκεις, ἢ μόνη, χρηστήρια;

ΚΡΕΟΥΣΑ.

σὺν ἀνδρί. σηκοὺς δ' ἐνστρέφει Τροφωνίου.

Ι Ω Ν.

πότερα θεατὴς, ἢ χάριν μαντευμάτων;

ΚΡΕΟΥΣΑ.

κείνου τε Φοίβου θ' ἓν θέλων μαθεῖν ἔπος.

Ι Ω Ν.

καρποῦ δ' ὕπερ γῆς ἥκετ', ἢ παίδων πέρι;

ΚΡΕΟΥΣΑ.

ἄπαιδές ἐσμεν, χρόνι' ἔχοντ' εὐνήματα.

Ι Ω Ν.

οὐδ' ἔτεκες οὐδὲν πώποτ', ἀλλ' ἄτεκνος εἶ;

ΚΡΕΟΥΣΑ.

ὁ Φοῖβος οἶδε τὴν ἐμὴν ἀπαιδίαν.

Ι Ω Ν.

ὦ τλῆμον, ὡς τἄλλ' εὐτυχοῦσ', οὐκ εὐτυχεῖς!

ΚΡΕΟΥΣΑ.

σὺ δ' εἶ τίς; ὥς σου τὴν τεκοῦσαν ὤλβισα.

Ι Ω Ν.

τοῦ θεοῦ καλοῦμαι δοῦλος εἰμί τ', ὦ γύναι.

ΚΡΕΟΥΣΑ.

ἀνάθημα πόλεως, ἤ τινος πραθεὶς ὕπο;

Ι Ω Ν.

οὐκ οἶδα, πλὴν ἓν, Λοξίου κεκλήμεθα.

ΚΡΕΟΥΣΑ.

ἡμεῖς σ' ἄρ' αὖθις, ὦ ξέν', ἀντοικτείρομεν.

Ι Ω Ν.

ὡς μὴ εἰδόθ', ἥτις μ' ἔτεκεν, ἐξ ὅτου τ' ἔφυν.

ΚΡΕΟΥΣΑ.

ναοῖσι δ' οἰκεῖς τοῖσδέ γ', ἢ κατὰ στέγας;

Ι Ω Ν.

ἅπαν θεοῦ μοι δῶμ', ἵν' ἂν λάβῃ μ' ὕπνος.

ΚΡΕΟΥΣΑ.

παῖς δ' ὢν ἀφίκου ναὸν, ἢ νεανίας;

Ι Ω Ν.

βρέφος λέγουσιν οἱ δοκοῦντες εἰδέναι.

ΚΡΕΟΥΣΑ.

καί τις γάλακτί σ' ἐξέθρεψε Δελφίδων;

Ι Ω Ν.

οὐ πώποτ' ἔγνων μαστόν· ἣδ' ἔθρεψέ με.

313. τίνος. 322. ἢ δ' ἔθρ.

ΚΡΕΟΥΣΑ.
τίς, ὦ ταλαίπωρ'; ὡς νοσοῦσ' εὗρον νόσους!
ΙΩΝ.
Φοίβου προφῆτις, μητέρ' ὡς νομίζομεν.
ΚΡΕΟΥΣΑ.
ἐς δ' ἄνδρ' ἀφίκου τίνα τροφὴν κεκτημένος;
ΙΩΝ.
βωμοί μ' ἔφερβον οὑπιών τ' ἀεὶ ξένος.
ΚΡΕΟΥΣΑ.
τάλαινά σ' ἡ τεκοῦσ', ἥτις ποτ' ἦν ἄρα.
ΙΩΝ.
ἀδίκημά του γυναικὸς ἐγενόμην ἴσως.
ΚΡΕΟΥΣΑ.
ἔχεις δὲ βίοτον; εὖ γὰρ ἤσκησαι πέπλοις.
ΙΩΝ.
τοῖς τοῦ θεοῦ κοσμούμεθ', ᾧ δουλεύομεν.
ΚΡΕΟΥΣΑ.
οὐδ' ᾖξας εἰς ἔρευναν ἐξευρεῖν γονάς;
ΙΩΝ.
ἔχω γὰρ οὐδέν, ὦ γύναι, τεκμήριον.
ΚΡΕΟΥΣΑ.
(φεῦ·) πέπονθέ τις σῇ μητρὶ ταὔτ' ἄλλη γυνή.
ΙΩΝ.
τίς; εἰπον· εἴ μοι ξυλλάβοις, χαίροιμεν ἄν.
ΚΡΕΟΥΣΑ.
ἧς οὕνεκ' ἦλθον δεῦρο, πρὶν πόσιν μολεῖν.
ΙΩΝ.
ποῖόν τι χρῄζουσ'; ὡς ὑπουργήσω, γύναι

333. ταῦτ'. 334. ξυλλάβῃ.

ΚΡΕΟΥΣΑ.
μάντευμα κρυπτὸν δεομένη Φοίβου μαθεῖν.
ΙΩΝ.
λέγοις ἄν· ἡμεῖς τἄλλα προξενήσομεν.
ΚΡΕΟΥΣΑ.
ἄκουε δὴ τὸν μῦθον. — ἀλλ' αἰδούμεθα.
ΙΩΝ.
οὔτ' ἆρα πράξεις οὐδέν· ἀργὸς ἡ θεός.
ΚΡΕΟΥΣΑ.
Φοίβῳ μιγῆναί φησί τις φίλων ἐμῶν.
ΙΩΝ.
Φοίβῳ γυνὴ γεγῶσα; μὴ λέγ', ὦ ξένη.
ΚΡΕΟΥΣΑ.
καὶ παῖδά γ' ἔτεκε τῷ θεῷ λάθρα πατρός.
ΙΩΝ.
οὐκ ἔστιν· ἀνδρὸς ἀδικίαν αἰσχύνεται.
ΚΡΕΟΥΣΑ.
ὅ φησιν αὐτή· καὶ πέπονθεν ἄθλια.
ΙΩΝ.
τί χρῆμα δράσασ', εἰ θεῷ συνεζύγη;
ΚΡΕΟΥΣΑ.
τὸν παῖδ', ὃν ἔτεκεν, ἐξέθηκε δωμάτων.
ΙΩΝ.
ὁ δ' ἐκτεθεὶς παῖς ποῦ 'στιν; εἰσορᾷ φάος;
ΚΡΕΟΥΣΑ.
οὐκ οἶδεν οὐδείς· ταῦτα καὶ μαντεύομαι.
ΙΩΝ.
εἰ δ' οὐκέτ' ἔστι, τίνι τρόπῳ διεφθάρη;

345. ἀθλία. 348. ὅδ' ἐκτ.

ΚΡΕΟΥΣΑ.

θηράς σφε τὸν δύστηνον ἐλπίζει κτανεῖν.

ΙΩΝ.

ποίῳ τόδ᾽ ἔγνω χρωμένη τεκμηρίῳ;

ΚΡΕΟΥΣΑ.

ἐλθοῦσ᾽, ἵν᾽ αὐτὸν ἐξέθηκ᾽, οὐχ εὗρ᾽ ἔτι.

ΙΩΝ.

ἦν δὲ σταλαγμὸς ἐν στίβῳ τις αἵματος;

ΚΡΕΟΥΣΑ.

οὔ φησι· καίτοι πόλλ᾽ ἐπεστράφη πέδον.

ΙΩΝ.

χρόνος δὲ τίς τῷ παιδὶ διαπεπραγμένῳ;

ΚΡΕΟΥΣΑ.

σοὶ ταὐτὸν ἥβης, εἴπερ ἦν, εἶχ᾽ ἂν μέτρον.

ΙΩΝ.

ἀδικεῖ νιν ὁ θεός· ἡ τεκοῦσα δ᾽ ἀθλία.

ΚΡΕΟΥΣΑ.

οὔκουν ἔτ᾽ ἄλλον ὕστερον τίκτει γόνον.

ΙΩΝ.

τί δ᾽, εἰ λάθρα νιν Φοῖβος ἐκτρέφει λαβών;

ΚΡΕΟΥΣΑ.

τὰ κοινὰ χαίρων, οὐ δίκαια δρᾷ, μόνος.

ΙΩΝ.

οἴ μοι! προςῳδὸς ἡ τύχη τῷ 'μῷ πάθει.

ΚΡΕΟΥΣΑ.

καὶ σ᾽, ὦ ξέν᾽, οἶμαι μητέρ᾽ ἀθλίαν ποθεῖν.

ΙΩΝ.

ναί· μή γ᾽ ἐπ᾽ οἶκτόν μ᾽ ἔξαγ᾽, οὗ λελήσμεθα.

364. καὶ μή γ᾽.

ΚΡΕΟΥΣΑ.

σιγῶ· πέραινε δ᾽ ὧν σ᾽ ἀνιστορῶ πέρι.

ΙΩΝ.

οἶσθ᾽ οὖν, ὃ κάμνει τοῦ λόγου μάλιστά σοι;

ΚΡΕΟΥΣΑ.

τί δ᾽ οὐκ ἐκείνῃ τῇ ταλαιπώρῳ νοσεῖ;

ΙΩΝ.

πῶς ὁ θεὸς, ὃ λαθεῖν βούλεται, μαντεύσεται;

ΚΡΕΟΥΣΑ.

εἴπερ καθίζει τρίποδα κοινὸν Ἑλλάδος.

ΙΩΝ.

αἰσχύνεται τὸ πρᾶγμα· μὴ 'ξέλεγχέ νιν.

ΚΡΕΟΥΣΑ.

ἀλγύνεται δέ γ᾽ ἡ παθοῦσα τῇ τύχῃ.

ΙΩΝ.

οὐκ ἔστιν, ὅςτις σοι προφητεύσει τάδε.
ἐν τοῖς γὰρ αὑτοῦ δώμασιν κακὸς φανεὶς
Φοῖβος δικαίως τὸν θεμιστεύοντά σοι
δράσειεν ἄν τι πῆμ᾽· ἀπαλλάσσου, γύναι·
τῷ γὰρ θεῷ τἀναντί᾽ οὐ μαντευτέον.
ἐς γὰρ τοσοῦτον ἀμαθίας ἔλθοιμεν ἄν,
εἰ τοὺς θεοὺς ἄκοντας ἐκπονήσομεν
φράζειν, ἃ μὴ θέλουσιν, ἢ προβωμίοις
σφαγαῖσι μήλων, ἢ δι᾽ οἰωνῶν πτεροῖς.
ἂν γὰρ βίᾳ σπεύδωμεν ἀκόντων θεῶν,
οὐκ ὄντα κεκτήμεσθα τἀγάθ᾽, ὦ γύναι·
ἃ δ᾽ ἂν διδῶσ᾽ ἑκόντες, ὠφελούμεθα.

ΧΟΡΟΣ.

πολλαί γε πολλοῖς εἰσὶ συμφοραὶ βροτῶν,

382. ἀνόνητα κεκτήμεθα.

μορφαὶ δὲ διαφέρουσιν. ἓν δ' ἂν εὐτυχὲς
μόλις ποτ' ἐξεύροι τις ἀνθρώπων βίῳ.

ΚΡΕΟΥΣΑ.

ὦ Φοῖβε, κἀκεῖ κἀνθάδ' οὐ δίκαιος εἶ
ἐς τὴν ἀποῦσαν, ἧς πάρεισιν οἱ λόγοι.
σύ γ' οὐκ ἔσωσας τὸν σὸν, ὃν σῶσαί σ' ἐχρῆν,
οὔθ' ἱστορούσῃ μητρὶ, μάντις ὢν, ἐρεῖς,
ὡς, εἰ μὲν οὐκέτ' ἔστιν, ὀγκωθῇ τάφῳ,
εἰ δ' ἐστὶν, ἔλθῃ μητρὸς εἰς ὄψιν ποτέ.
ἀλλ' οὖν ἐᾶν χρὴ τἄδικ', εἰ πρὸς τοῦ θεοῦ
κωλυόμεσθα μὴ μαθεῖν, ἃ βούλομαι.
ἀλλ', ὦ ξέν', — εἰσορῶ γὰρ εὐγενῆ πόσιν
Ξοῦθον πέλας δὴ τόνδε, τὰς Τροφωνίου
λιπόντα θαλάμας, — τοὺς λελεγμένους λόγους
σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβω,
διακονοῦσα κρυπτὰ, καὶ προβῇ λόγος,
οὐχ ᾗπερ ἡμεῖς αὐτὸν ἐξειλίσσομεν.
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
κἀν ταῖς κακαῖσιν αἱ 'γαθαὶ μεμιγμέναι,
μισούμεθ'· οὕτω δυστυχεῖς πεφύκαμεν.

ΞΟΥΘΟΣ.

πρῶτον μὲν ὁ θεὸς τῶν ἐμῶν προσφθεγμάτων
λαβὼν ἀπαρχὰς χαιρέτω, σύ τ', ὦ γύναι.
μῶν χρόνιος ἐλθών σ' ἐξέπληξ' ὀῤῥωδίᾳ;

ΚΡΕΟΥΣΑ.

οὐδέν γ'· ἀφίκου δ' ἐς μέριμναν. ἀλλά μοι
λέξον, τί θέσπισμ' ἐκ Τροφωνίου φέρεις,
παίδων ὅπως νῷν σπέρμα συγκραθήσεται.

393. ἀλλ' ἐᾶν χρὴ τάδ', εἰ. 409. συγκαθήσεται.

ΞΟΥΘΟΣ.

οὐκ ἠξίωσε τοῦ θεοῦ προλαμβάνειν
μαντεύμαθ'· ἓν γοῦν εἶπεν, οὐκ ἄπαιδά με
πρὸς οἶκον ἥξειν, οὐδὲ σ', ἐκ χρηστηρίων.

ΚΡΕΟΥΣΑ.

ὦ πότνια Φοίβου μῆτερ, εἰ γὰρ αἰσίως
ἔλθοιμεν, ἅ τε νῷν συμβόλαια πρόσθεν ἦν,
ἐς παῖδα τὸν σὸν μεταπέσοι βελτίονα!

ΞΟΥΘΟΣ.

ἔσται τάδ'· ἀλλὰ τίς προφητεύει θεοῦ;

ΙΩΝ.

ἡμεῖς τά γ' ἔξω, τῶν ἔσω δ' ἄλλοις μέλει,
οἳ πλησίον θάσσουσι τρίποδος, ὦ ξένε,
Δελφῶν ἀριστεῖς, οὓς ἐκλήρωσεν πάλος.

ΞΟΥΘΟΣ.

καλῶς· ἔχω δὴ πάνθ', ὅσων ἐχρῄζομεν.
στείχοιμ' ἂν εἴσω· καὶ γὰρ, ὡς ἐγὼ κλύω,
χρηστήριον πέπτωκε τοῖς ἐπήλυσι
κοινὸν πρὸ ναοῦ· βουλόμεσθ' ἐν ἡμέρᾳ
τῇδ', αἰσία γὰρ, θεοῦ λαβεῖν μαντεύματα.
σὺ δ' ἀμφὶ βωμοὺς, ὦ γύναι, δαφνηφόρους
λαβοῦσα κλῶνας, εὐτέκνους εὔχου θεοῖς
χρησμούς μ' ἐνεγκεῖν ἐξ Ἀπόλλωνος δόμων.

ΚΡΕΟΥΣΑ.

ἔσται τάδ', ἔσται. Λοξίας δ' ἐὰν θέλῃ
νῦν ἀλλὰ τὰς πρὶν ἀναλαβεῖν ἁμαρτίας,
ἅπας μὲν οὐ γένοιτ' ἂν εἰς ἡμᾶς φίλος,
ὅσον δὲ χρῄζει, θεὸς γάρ ἐστι, δέξομαι.

ΙΩΝ.

τί ποτε λόγοισιν ἡ ξένη πρὸς τὸν θεὸν

κρυπτοῖσιν ἀεὶ λοιδοροῦσ' αἰνίσσεται;
ἤ τοι φιλοῦσα γ' ἧς ὕπερ μαντεύεται,
ἢ καί τι σιγῶσ', ὧν σιωπᾶσθαι χρεών;
ἀτὰρ θυγατρὸς τῆς Ἐρεχθέως τί μοι
μέλει; προσῆκε δ' οὐδέν. ἀλλὰ χρυσέαις
πρόχουσιν, ἐλθὼν εἰς ἀποῤῥαντήρια,
δρόσον καθήσω. νουθετητέος δέ μοι
Φοῖβος, τί πάσχων, παρθένους βίᾳ γαμῶν,
προδίδωσι, παῖδας τ' ἐκτεκνούμενος λάθρα
θνήσκοντας ἀμελεῖ. μὴ σύ γ'· ἀλλ' ἐπεὶ κρατεῖς,
ἀρετὰς δίωκε. καὶ γὰρ, ὅστις ἂν βροτῶν
κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί.
πῶς οὖν δίκαιον, τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας αὐτοὺς ἀνομίαν ὀφλισκάνειν;
εἰ δ' (οὐ γὰρ ἔσται, τῷ λόγῳ δὲ χρήσομαι,)
δίκας βιαίων δώσετ' ἀνθρώποις γάμων,
σὺ καὶ Ποσειδῶν Ζεύς θ', ὃς οὐρανοῦ κρατεῖ,
ναοὺς τίνοντες ἀδικίας κενώσετε.
τὰς ἡδονὰς γὰρ τῆς προμηθίας πάρος
σπεύδοντες, ἀδικεῖτ'. οὐκέτ' ἀνθρώπους κακῶς
λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν κακὰ
μιμούμεθ', ἀλλὰ τοὺς διδάσκοντας τάδε.

ΧΟΡΟΣ.

Σὲ, τὰν ὠδίνων λοχιᾶν (στροφή.)
ἀνειλείθυιαν, ἐμὰν
Ἀθάναν ἱκετεύω,
Προμηθεῖ Τιτᾶνι λοχευ-
θεῖσαν κατ' ἀκροτάτας

437. προσήκει τ' οὐδας. 440. πάσχει. 441. τ' deest. 450. τίνοντες δ' ἀδ. 455. λοχίαν. 456. Εἰλείθυιαν τε ἐμάν.

κορυφᾶς Διός· ὦ πότνα Νίκα,
μόλε Πύθιον οἶκον,
Ὀλύμπου χρυσέων θαλάμων
πταμένα πρὸς ἀγυιάς,
Φοιβήιος ἔνθα γᾶς
μεσόμφαλος ἑστία
παρὰ χορευομένῳ τρίποδι
μαντεύματα κραίνει,
σὺ καὶ παῖς ἁ Λατογενὴς
δύο θεαὶ, δύο παρθένοι
κασίγνηται σεμναὶ τοῦ Φοίβου.
ἱκετεύσατε δ', ὦ κόραι,
τὸ παλαιὸν Ἐρεχθέως
γένος εὐτεκνίας χρονίου καθαροῖς
μαντεύμασι κῦρσαι.
ὑπερβαλλούσας γὰρ ἔχει (ἀντιστρ.)
θνατοῖς εὐδαιμονίας
ἀκίνητον ἀφορμὰν,
τέκνων οἷς ἂν καρποτρόφοι
λάμπωσιν ἐν θαλάμοις
πατρίοισι νεανίδες ἧβαι,
διαδέκτορα πλοῦτον
ὡς ἕξοντες γ' ἐκ πατέρων
ἑτέροις ἐπὶ τέκνοις·
ἀλκά τε γὰρ ἐν κακοῖς
σύν τ' εὐτυχίαις φίλον,
δορί τε γᾷ πατρίᾳ φέρει
σωτήριον ἀλκάν.

460. κορυφάς. 464. γᾶ. 466. παραχορευομένῳ una voce.

ἐμοὶ μὲν πλούτου τε πάρος
βασιλικῶν θαλάμων τ᾽ εἶεν
τροφαὶ κήδειοι κεδνῶν τέκνων.
τὸν ἄπαιδα δ᾽ ἀποστυγῶ
βίον· ᾧ τε δοκεῖ, ψέγω·
μετὰ δὲ κτεάνων μετρίων βιοτᾶς
εὔπαιδος ἐχοίμαν.
ὦ Πανὸς θακήματα καὶ (ἐπῳδός.)
παραυλίζουσα πέτρα
μυχάταισι Μακραῖς,
ἵνα χοροὺς στείβουσι ποδοῖν
Ἀγραύλου κόραι τρίγονοι
στάδια χλοερὰ πρὸ Παλλάδος
ναῶν, συρίγγων
ὑπ᾽ αἰόλας ἰαχᾶς ὕμνων,
ὅταν αὐλείοις συρίζῃς,
ὦ Πάν, τοῖσι σοῖς ἐν ἄντροις,
ἵνα τεκοῦσά τις
παρθένος — ὦ μελέα! — βρέφος Φοίβῳ
πτανοῖς ἐξώρισεν θοίναν
θηρσί τε φοινίαν δαῖτα, πικρῶν γάμων
ὕβριν. οὔτ᾽ ἐπὶ κερκίσιν, οὔτε λόγοις
φάτιν ἄϊον, εὐτυχίας μετέχειν
θεόθεν τέκνα θνατοῖς.

Ι Ω Ν.

Πρόςπολοι γυναῖκες, αἳ τῶνδ᾽ ἀμφὶ κρηπίδας δόμων
θυοδόκων φρούρημ᾽ ἔχουσαι δεσπότην φυλάσσετε,

497. μυχοὶ δαισὶ μακραῖς. 503. αὐλίοις. 508. φονίαν.

ἐκλέλοιπ᾽ ἤδη τὸν ἱερὸν τρίποδα καὶ χρηστήριον
Ξοῦθος, ἢ μίμνει κατ᾽ οἶκον ἱστορῶν ἀπαιδίαν;

ΧΟΡΟΣ.

ἐν δόμοις ἔστ᾽, ὦ ξέν᾽· οὔπω δῶμ᾽ ὑπερβαίνει τόδε.
ὡς δ᾽ ἐπ᾽ ἐξόδοισιν ὄντος, τῶνδ᾽ ἀκούομεν πυλῶν
δοῦπον, ἐξιόντα τ᾽ ἤδη δεσπότην ὁρᾷν πάρα.

ΞΟΥΘΟΣ.

ὦ τέκνον, χαῖρ᾽· ἡ γὰρ ἀρχὴ τοῦ λόγου πρέπουσά μοι.

Ι Ω Ν.

χαίρομεν· σὺ δ᾽ εὖ φρόνει γε, καὶ δύ᾽ ὄντ᾽ εὖ πράξομεν.

ΞΟΥΘΟΣ.

δὸς χερὸς φίλημά μοι σῆς σώματός τ᾽ ἀμφιπτυχάς.

Ι Ω Ν.

εὖ φρονεῖς μέν, ἤ σ᾽ ἔμηνε θεοῦ τις, ὦ ξένε, βλάβη;

ΞΟΥΘΟΣ.

σωφρονῶ, τὰ φίλταθ᾽ εὑρὼν εἰ φιλεῖν ἐφίεμαι.

Ι Ω Ν.

παῦε, μὴ ψαύσας τὰ τοῦ θεοῦ στέμματα ῥήξῃς χερί.

ΞΟΥΘΟΣ.

ἅψομαι· κοὐ ῥυσιάζω, τἀμὰ δ᾽ εὑρίσκω φίλα.

Ι Ω Ν.

οὐκ ἀπαλλάξει, πρὶν εἴσω τόξα πνευμόνων λαβεῖν;

ΞΟΥΘΟΣ.

ὡς τί δὴ φεύγεις με, σαυτοῦ γνωρίσας τὰ φίλτατα;

520. εὐφρόνει. 524. ῥήξεις. 527. φεύγεις ἐμέ.

ΙΩΝ.

οὐ φιλῶ φρενοῦν ἀμούσους καὶ μεμηνότας ξένους.

ΞΟΥΘΟΣ.

κτεῖνε καὶ πίμπρη· πατρὸς γάρ, ἢν κτάνῃς, ἔσει φονεύς.

ΙΩΝ.

ποῦ δέ μοι πατὴρ σύ; ταῦτ' οὖν οὐ γέλως κλύειν ἐμοί;

ΞΟΥΘΟΣ.

οὔ· τρέχων ὁ μῦθος ἄν σοι τἀμὰ σημήνειεν ἄν.

ΙΩΝ.

καὶ τί μοι λέξεις;

ΞΟΥΘΟΣ.

πατὴρ σός εἰμι, καὶ σὺ παῖς ἐμός.

ΙΩΝ.

τίς λέγει τάδ';

ΞΟΥΘΟΣ.

ὅς σ' ἔθρεψεν ὄντα Λοξίας ἐμόν.

ΙΩΝ.

μαρτυρεῖς σαυτῷ.

ΞΟΥΘΟΣ.

τὰ τοῦ θεοῦ γ' ἐκμαθὼν χρηστήρια.

ΙΩΝ.

ἐσφάλης αἴνιγμ' ἀκούσας.

ΞΟΥΘΟΣ.

οὐκ ἄρ' ὄρθ' ἀκούομεν;

ΙΩΝ.

ὁ δὲ λόγος τίς ἐστι Φοίβου;

ΞΟΥΘΟΣ.

τὸν συναντήσαντά μοι —

528. ὀφείλω φρ.

ΙΩΝ.

τίνα συνάντησιν;

ΞΟΥΘΟΣ.

δόμων τῶνδ' ἐξιόντι τοῦ θεοῦ —

ΙΩΝ.

συμφορᾶς τίνος κυρῆσαι;

ΞΟΥΘΟΣ.

παῖδ' ἐμὸν πεφυκέναι.

ΙΩΝ.

σὸν γεγῶτ', ἢ δῶρον ἄλλως;

ΞΟΥΘΟΣ.

δῶρον, ὄντα δ' ἐξ ἐμοῦ.

ΙΩΝ.

πρῶτα δῆτ' ἐμοὶ ξυνάπτεις πόδα σόν;

ΞΟΥΘΟΣ.

οὐκ ἄλλῳ, τέκνον.

ΙΩΝ.

ἡ τύχη πόθεν ποθ' ἥκει;

ΞΟΥΘΟΣ.

δύο μίαν θαυμάζομεν.

ΙΩΝ.

ἔα· τίνος δέ σοι πέφυκα μητρός;

ΞΟΥΘΟΣ.

οὐκ ἔχω φράσαι.

ΙΩΝ.

οὐδὲ Φοῖβος εἶπε;

ΞΟΥΘΟΣ.

τερφθεὶς τοῦτο, κεῖν' οὐκ ἠρόμην.

539. δῶρον ὄντα σ' ἐξ ἐ.

Ι Ω Ν.

γῆς ἄῤ ἐκπέφυκα μητρός.

Ξ Ο Υ Θ Ο Σ.

οὐ πέδον τίκτει τέκνα.

Ι Ω Ν.

πῶς ἂν οὖν εἴην σός;

Ξ Ο Υ Θ Ο Σ.

οὐκ οἶδ', ἀναφέρω δ' ἐς τὸν θεόν.

Ι Ω Ν.

φέρε, λόγων ἁψώμεθ' ἄλλων.

Ξ Ο Υ Θ Ο Σ.

ταῦτ' ἄμεινον, ὦ τέκνον.

Ι Ω Ν.

ἦλθες ἐς νόθον τι λέκτρον;

Ξ Ο Υ Θ Ο Σ.

μωρίᾳ γε τοῦ νέου.

Ι Ω Ν.

πρὶν κόρην λαβεῖν Ἐρεχθέως;

Ξ Ο Υ Θ Ο Σ.

οὐ γὰρ ὕστερόν γέ πω.

Ι Ω Ν.

ἆρα δῆτ' ἐκεῖ μ' ἔφυσας;

Ξ Ο Υ Θ Ο Σ.

τῷ χρόνῳ γε συντρέχει.

Ι Ω Ν.

κᾆτα πῶς ἀφικόμεσθα δεῦρο;

Ξ Ο Υ Θ Ο Σ.

ταῦτ' ἀμηχανῶ.

Ι Ω Ν.

διὰ μακρᾶς ἐλθὼν κελεύθου;

Ξ Ο Υ Θ Ο Σ.

τοῦτο κἄμ' ἀπαιολᾷ.

Ι Ω Ν.

Πυθίαν δ' ἦλθες πέτραν πρίν;

Ξ Ο Υ Θ Ο Σ.

ἐς φανάς γε Βακχίου.

Ι Ω Ν.

προξένων δ' ἐν τῷ κατέσχες;

Ξ Ο Υ Θ Ο Σ.

ὅς με Δελφίσιν κόραις —

Ι Ω Ν.

ἐθιάσευσ', ἢ πῶς τάδ' αὐδᾷς;

Ξ Ο Υ Θ Ο Σ.

Μαινάσιν τε Βακχίου —

Ι Ω Ν.

ἔμφρον', ἢ κάτοινον ὄντα;

Ξ Ο Υ Θ Ο Σ.

Βακχίου πρὸς ἡδοναῖς —

Ι Ω Ν.

τοῦτ' ἐκεῖ νυν ἐσπάρημεν.

Ξ Ο Υ Θ Ο Σ.

ὁ πότμος σ' ἐξεῦρεν, τέκνον.

Ι Ω Ν.

πῶς δ' ἀφικόμεσθα ναούς;

Ξ Ο Υ Θ Ο Σ.

ἔκβολον κόρης ἴσως.

554. ἐθίασέν σ'.

Ι Ω Ν.

ἐκπεφεύγαμεν τὸ δοῦλον.

Ξ Ο Υ Θ Ο Σ.

πατέρα νῦν δέχου, τέκνον.

Ι Ω Ν.

τῷ θεῷ γοῦν οὐκ ἀπιστεῖν εἰκός.

Ξ Ο Υ Θ Ο Σ.

εὖ φρονεῖς ἆρα.

Ι Ω Ν.

καὶ τί βουλόμεσθά γ' ἄλλο; —

Ξ Ο Υ Θ Ο Σ.

νῦν ὁρᾷς, ἃ χρή σ' ὁρᾷν.

Ι Ω Ν.

ἦ Διὸς παιδὸς γενέσθαι παῖς;

Ξ Ο Υ Θ Ο Σ.

ἢ σοί γε γίγνεται.

Ι Ω Ν.

ἦ θίγω δῆθ', οἵ μ' ἔφυσαν;

Ξ Ο Υ Θ Ο Σ.

πιθόμενός γε τῷ θεῷ.

Ι Ω Ν.

χαῖρέ μοι, πάτερ.

Ξ Ο Υ Θ Ο Σ.

φίλον γε φθέγμ' ἐδεξάμην τόδε.

Ι Ω Ν.

ἡμέρα θ' ἡ νῦν παροῦσα —

Ξ Ο Υ Θ Ο Σ.

μακάριόν γ' ἔθηκέ με.

562. πειθόμενος.

Ι Ω Ν.

ὦ φίλη μῆτερ, πότ' ἆρα καὶ σὸν ὄψομαι δέμας;
νῦν ποθῶ σε μᾶλλον, ἢ πρὶν, ἥτις εἶ ποτ', εἰσιδεῖν.
ἀλλ' ἴσως τέθνηκας, ἡμεῖς δ' οὐδὲν ἂν δυναίμεθα.

Χ Ο Ρ Ο Σ.

κοιναὶ μὲν ἡμῖν δωμάτων εὐπραξίαι·
ὅμως δὲ καὶ δέσποιναν ἐς τέκν' εὐτυχεῖν
ἐβουλόμην ἂν τούς τ' Ἐρεχθέως δόμους.

Ξ Ο Υ Θ Ο Σ.

ὦ τέκνον, ἐς μὲν σὴν ἀνεύρεσιν θεὸς
ὀρθῶς ἔκρανε, καὶ συνῆψ' ἐμοί τέ σε,
σύ τ' αὖ τὰ φίλταθ' εὗρες, οὐκ εἰδὼς πάρος.
ὃ δ' ἦξας ὀρθῶς, τοῦτο κἀμ' ἔχει πόθος,
ὅπως σύ τ', ὦ παῖ, μητέρ' εὑρήσεις σέθεν,
ἐγώ θ', ὁποίας μοι γυναικὸς ἐξέφυς.
χρόνῳ δὲ δόντες ταῦτ', ἴσως εὕροιμεν ἄν.
ἀλλ', ἐκλιπὼν θεοῦ δάπεδ' ἀλητείαν τε σὴν,
ἐς τὰς Ἀθήνας στεῖχε κοινόφρων πατρὶ,
οὗ σ' ὄλβιον μὲν σκῆπτρον ἀναμένει πατρὸς,
πολὺς δὲ πλοῦτος· οὐδὲ, θάτερον νοσῶν
δυοῖν, κεκλήσει δυςγενὴς πένης θ' ἅμα,
ἀλλ' εὐγενής τε καὶ πολυκτήμων βίου.
σιγᾷς; τί πρὸς γῆν ὄμμα σὸν βαλὼν ἔχεις,
ἐς φροντίδας δ' ἀπῆλθες, ἐκ δὲ χαρμονῆς
πάλιν μεταστὰς, δεῖμα προςβάλλεις πατρί;

Ι Ω Ν.

οὐ ταὐτὸν εἶδος φαίνεται τῶν πραγμάτων,
πρόςωθεν ὄντων ἐγγύθεν θ' ὁρωμένων.
ἐγὼ δὲ τὴν μὲν συμφορὰν ἀσπάζομαι,
πατέρα σ' ἀνευρών· ὧν δὲ γιγνώσκω πέρι,

ἄκουσον. εἶναί φασι τὰς αὐτόχθονας
κλεινὰς Ἀθήνας οὐκ ἐπείςακτον γένος,
ἵν' ἐςπεσοῦμαι δύο νόσω κεκτημένος,
πατρός τ' ἐπακτοῦ καὐτὸς ὢν νοθαγενής.
καὶ τοῦτ' ἔχων τοὔνειδος, ἀσθενὴς μὲν ὤν,
ὁ μηδὲν ὢν κἀξ οὐδένων κεκλήσομαι·
ἢν δ' ἐς τὰ πρῶτον πόλεος ὁρμηθεὶς ζυγὸν
ζητῶ τις εἶναι, τῶν μὲν ἀδυνάτων ὕπο
μισησόμεσθα· λυπρὰ γὰρ τὰ κρείσσονα·
ὅσοι δὲ χρηστοὶ δυνάμενοί τ' εἶναι σοφοὶ
σιγῶσι, κοὐ σπεύδουσιν ἐς τὰ πράγματα,
γέλωτ' ἐν αὐτοῖς μωρίαν τε λήψομαι,
οὐχ ἡσυχάζων ἐν πόλει ψόφου πλέᾳ.
τῶν δ' αὖ λογίων τε χρωμένων τε τῇ πόλει
ἐς ἀξίωμα βὰς, πλέον φρουρήσομαι
ψήφοισιν. οὕτω γὰρ τάδ', ὦ πάτερ, φιλεῖ·
οἳ τὰς πόλεις ἔχουσι κἀξιώματα,
τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι.
ἐλθὼν δ' ἐς οἶκον ἀλλότριον, ἔπηλυς ὢν,
γυναῖκά θ' ὡς ἄτεκνον, ἣ κοινουμένη
τὰς συμφοράς σοι πρόσθεν, ἀπολαχοῦσα νῦν,
αὐτὴ καθ' αὑτὴν τὴν τύχην οἴσει πικρῶς —
πῶς δ' οὐχ ὑπ' αὐτῆς εἰκότως μισήσομαι,
ὅταν παραστῶ σοὶ μὲν ἐγγύθεν ποδὸς,
ἡ δ', οὖσ' ἄτεκνος, τὰ σὰ φίλ' εἰςορᾷ πικρῶς,
κᾆτ' ἢ προδοὺς σύ μ' ἐς δάμαρτα σὴν βλέπῃς,
ἢ τἀμὰ τιμῶν, δῶμα συγχέας ἔχῃς;
ὅσας σφαγὰς δὴ φαρμάκων τε θανασίμων
γυναῖκες εὗρον ἀνδράσιν διαφθοράς!

596. μ. καὶ οὐδὲν ὢν κεκλ. 613. deest δ'. 618. deest τε.

ἄλλως τε τὴν σὴν ἄλοχον οἰκτείρω, πάτερ,
ἄπαιδα γηράσκουσαν· οὐ γὰρ ἀξία,
πατέρων ἀπ' ἐσθλῶν οὖσ', ἀπαιδίαν νοσεῖν.
τυραννίδος δὲ τῆς μάτην αἰνουμένης
τὸ μὲν πρόςωπον ἡδὺ, τἀν δόμοισι δὲ
λυπηρά· τίς γὰρ μακάριος, τίς εὐτυχὴς,
ὅςτις δεδοικὼς καὶ περιβλέπων βίαν
αἰῶνα τείνει; δημότης δ' ἂν εὐτυχὴς
ζῆν ἂν θέλοιμι μᾶλλον, ἢ τύραννος ὢν,
ᾧ τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν,
ἐσθλοὺς δὲ μισεῖ, κατθανεῖν φοβούμενος.
εἴποις ἂν, ὡς ὁ χρυσὸς ἐκνικᾷ τάδε,
πλουτεῖν τε τερπνόν· οὐ φιλῶ ψόφους κλύειν,
ἐν χερσὶ σώζων ὄλβον, οὐδ' ἔχειν πόνους.
εἴη γ' ἐμοὶ ζῆν μέτρια μὴ λυπουμένῳ.
ἃ δ' ἐνθάδ' εἶχον ἀγάθ', ἄκουσόν μου, πάτερ·
τὴν φιλτάτην μὲν πρῶτον ἀνθρώπων σχολὴν
ὄχλον τε μέτριον· οὐδέ μ' ἐξέπληξ' ὁδοῦ
πονηρὸς οὐδείς. κεῖνο δ' οὐκ ἀνασχετὸν,
εἴκειν ὁδοῦ χαλῶντα τοῖς κακίοσιν.
θεῶν δ' ἐν εὐχαῖς ἢ λόγοισιν ἐν βροτῶν
ὑπηρέτουν χαίρουσιν, οὐ γοωμένοις.
καὶ τοὺς μὲν ἐξέπεμπον, οἱ δ' ἧκον ξένοι,
ὥςθ' ἡδὺς ἀεὶ, καινὸς ὢν, καινοῖσιν ἦν.
ὃ δ' εὐκτὸν ἀνθρώποισι, κἂν ἄκουσιν ᾖ,
δίκαιον εἶναί μ' ὁ νόμος ἡ φύσις θ' ἅμα
παρεῖχε τῷ θεῷ. ταῦτα συννοούμενος,
κρείσσω νομίζω τἀνθάδ', ἢ τἀκεῖ, πάτερ.

628. τύρ. ἄν. 640. εὐχαῖς, ἢ γόοισιν, ἢ βρ. 641. γοώμενος.

ἔα δ᾽ ἐμαυτῷ ζῆν· ἴση γὰρ ἡ χάρις,
μεγάλοισι χαίρειν, σμικρά θ᾽ ἡδέως ἔχειν.

ΧΟΡΟΣ.

καλῶς ἔλεξας, εἴπερ, οὓς ἐγὼ φιλῶ,
ἐν τοῖσι σοῖσιν εὐτυχήσουσιν λόγοις.

ΞΟΥΘΟΣ.

παῦσαι λόγων τῶνδ᾽, εὐτυχεῖν δ᾽ ἐπίστασο·
θέλω γὰρ, οὗπέρ σ᾽ εὗρον, ἄρξασθαι, τέκνον,
κοινῆς τραπέζης δαῖτα πρὸς κοινὴν πεσὼν,
θῦσαί θ᾽, ἅ σου πρὶν γενέθλι᾽ οὐκ ἐθύσαμεν.
καὶ νῦν μὲν ὡς δὴ ξένον ἄγων σ᾽ ἐφέστιον,
δείπνοισι τέρψω· τῆς δ᾽ Ἀθηναίων χθονὸς
ἄξω θεατὴν δῆθεν, ὡς οὐκ ὄντ᾽ ἐμόν.
καὶ γὰρ γυναῖκα τὴν ἐμὴν οὐ βούλομαι
λυπεῖν ἄτεκνον οὖσαν, αὐτὸς εὐτυχῶν.
χρόνῳ δὲ καιρὸν λαμβάνων προςάξομαι
δάμαρτ᾽, ἐᾶν σε σκῆπτρα τἀμ᾽ ἔχειν χθονός.
Ἴωνα δ᾽ ὀνομάζω σε, τῇ τύχῃ πρέπον,
ὅθ᾽ οὕνεκ᾽ ἀδύτων ἐξιόντι μοι θεοῦ
ἴχνος συνῆψας πρῶτος. ἀλλὰ τῶν φίλων
πλήρωμ᾽ ἀθροίσας, βουθύτῳ σὺν ἡδονῇ
πρόςειπε, μέλλων Δελφίδ᾽ ἐκλιπεῖν πόλιν.
ὑμῖν δὲ σιγᾶν, δμωΐδες, λέγω τάδε,
ἢ θάνατον εἰπούσαισι πρὸς δάμαρτ᾽ ἐμήν.

ΙΩΝ.

στείχοιμ᾽ ἄν· ἓν δὲ τῆς τύχης ἄπεστί μοι·
εἰ μὴ γὰρ, ἥτις μ᾽ ἔτεκεν, εὑρήσω, πάτερ,
ἀβίωτον ἡμῖν· εἰ δ᾽ ἐπεύξασθαι χρεὼν,
ἐκ τῶν Ἀθηνῶν μ᾽ ἡ τεκοῦσ᾽ εἴη γυνὴ,
ὥς μοι γένηται μητρόθεν παῤῥησία.

καθαρὰν γὰρ ἤν τις ἐς πόλιν πέσῃ ξένος,
κἂν τοῖς λόγοισιν ἀστὸς ᾖ, τό γε στόμα
δοῦλον πέπαται, κοὐκ ἔχει παῤῥησίαν.

ΧΟΡΟΣ.

Ὁρῶ δάκρυα μὲν καὶ πενθίμους (στροφή.)
ἄλλας γε στεναγμάτων εἰςβολὰς,
ὅταν ἐμὰ τύραννος εὐπαιδίαν
πόσιν ἔχοντ᾽ ἴδῃ,
αὐτὴ δ᾽ ἄπαις ᾖ καὶ λελειμμένη τέκνων.
τίν᾽, ὦ παῖ πρόμαντι Λατοῦς ἔχρη-
σας ὑμνῳδίαν;
πόθεν ὁ παῖς ὅδ᾽ ἀμφὶ ναοὺς σέθεν
τρόφιμος ἐξέβα, γυναικῶν τίνος;
οὐ γάρ με σαίνει θέσφατα,
μή τιν᾽ ἔχῃ δόλον.
δειμαίνω συμφορὰν,
ἐφ᾽ ὅ ποτε βάσεται
ἄτοπος· ἄτοπα γὰρ παραδίδωσί μοι,
τῳδί ποτ᾽ εὔφημα.
ἔχει δόλον τύχαν θ᾽ ὁ παῖς
ἄλλων τραφεὶς ἀφ᾽ αἱμάτων.
τίς οὐ τάδε ξυνοίσεται;
φίλαι, πότερ᾽ ἐμᾷ δεσποίνᾳ (ἀντιστρ.)
τάδε τορῶς ἐς οὖς γεγωνήσομεν,
πόσιν, ἐν ᾧ τὰ πάντ᾽ ἔχουσ᾽ ἐλπίδων
μέτοχος ἦν τλάμων;
νῦν δ᾽ ἡ μὲν ἔῤῥει συμφοραῖς, ὁ δ᾽ εὐτυχεῖ,

679. στεναγμῶν. 684. εἰς ὑμν. 691. ἄτοπα μέν. 697. εἰς οὖς.

πολ ὸν εἰςπεσοῦσα γῆρας, πόσις δ'
' ἀτίετος φίλων.
μέλεος, ὃς θυραῖος ἐλθὼν δόμους
μέγαν ἐς ὄλβον οὐκ ἔσωσεν τύχας.
ὄλοιτ', ὄλοιθ' ὁ πότνιαν
ἐξαπαφὼν ἐμάν·
καὶ θεοῖσιν μὴ τύχοι
καλλίφλογα πέλανον ἐπὶ
πυρὶ καθαγνίσας· τὸ δ' ἐμὸν εἴσεται
τυραννίδος, τυραννίδος
** * * φίλα.*
ἦ δὴ πέλας δείπνων κυρεῖ
παῖς καὶ πατὴρ νέος νέων,
ἵνα τε δειράδες Παρνασοῦ πέτρας (ἐπῳδός.)
ἔχουσαι σκόπελον οὐράνιόν θ' ἕδραν,
ἵνα Βάκχιος, ἀμφιπύρους ἀνέχων πεύ-
κας, λαιψηρὰ πη-
δᾷ νυκτιπόλοις ἅμα σὺν Βάκχαις.
μήποθ' ὅδ' εἰς ἐμὰν πόλιν ἵκοιθ' ὁ παῖς,
νέαν δ' ἁμέραν ἀπολιπὼν θάνοι!
στενομένα γὰρ ἂν πόλις ἔχοι σκῆψιν
ξενικὸν εἰςβολάν.
ἅλις ἅλις ὁ πάρος ποτ' ἀρχαγὸς ὢν
Ἐρεχθεὺς ἄναξ.

ΚΡΕΟΥΣΑ.

Ὦ πρέσβυ παιδαγώγ' Ἐρεχθέως, πατρὸς

704. ἔσωσε. 705. ὄλοιτ' ὦ, π. 710. 11. * * * φίλα τυρ. τυρ. 712. πελάσας. Ab hoc v. incipit ἐπῳδός. 714. τε deest. 719. ὅδ' deest. 723. ἅλις, ἃς ὁ πάρος ἀρχ. ὤν.

τοὐμοῦ ποτ' ὄντος, ἡνίκ' ἦν ἔτ' ἐν φάει,
ἔπαιρε σαυτὸν πρὸς θεοῦ χρηστήρια,
ὥς μοι συνησθῇς, εἴ τι Λοξίας ἄναξ
θέσπισμα παίδων ἐς γονὰς ἐφθέγξατο·
σὺν τοῖς φίλοις γὰρ ἡδὺ μὲν πράσσειν καλῶς,
ὃ μὴ γένοιτο δ', εἴ τι τυγχάνοι κακὸν,
ἐς ὄμματ' εὔνου φωτὸς ἐςβλέψαι γλυκύ.
ἐγὼ δέ σ', ὥςπερ καὶ σὺ πατέρ' ἐμόν ποτε,
δέσποιν' ὅμως οὖσ' ἀντικηδεύω πατρός.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ θύγατερ, ἄξι' ἀξίων γεννητόρων
ἤθη φυλάσσεις, κοὐ καταισχύνασ' ἔχεις
τοὺς σοὺς, παλαιοῦ γ' ἐκ γένους αὐτόχθονος.
ἕλχ', ἕλκε πρὸς μέλαθρα καὶ κόμιζέ με.
αἰπεινά μοι μαντεῖα· τοῦ γήρως δέ μοι
συνεκπονοῦσα κῶλον ἰατρὸς γενοῦ.

ΚΡΕΟΥΣΑ.

ἕπου νυν· ἴχνος δ' ἐκφύλασσ', ὅπου τιθῇς.

ΠΑΙΔΑΓΩΓΟΣ.

(ἰδού.) τὸ τοῦ ποδὸς μὲν βραδὺ, τὸ τοῦ δὲ νοῦ
ταχύ.

ΚΡΕΟΥΣΑ.

βάκτρῳ δ' ἐρείδου περιφερῆ στίβον χθονός.

ΠΑΙΔΑΓΩΓΟΣ.

καὶ τοῦτο τυφλὸν, ὅταν ἐγὼ βλέπω βραχύ.

ΚΡΕΟΥΣΑ.

ὀρθῶς ἔλεξας· ἀλλὰ μὴ πάρες κόπῳ.

737. τοὺς σοὺς παλαιοὺς ἐκγόνους αὐτόχθονας. 739. αἰπ. δέ μοι. 741. ἕπ. νῦν — τιθεῖς. 743. μὴ 'παρεσκέ πω.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὔκουν ἑκών γε, τοῦ δ' ἄκοντας οὐ κρατῶ.

ΚΡΕΟΥΣΑ.

γυναῖκες, ἱστῶν τῶν ἐμῶν καὶ κερκίδος
δούλευμα πιστὸν, τίνα τύχην λαβὼν πόσις
βέβηκε παίδων, ὧνπερ οὕνεχ' ἥκομεν;
σημήνατ'· εἰ γὰρ ἀγαθά μοι μηνύσετε,
οὐκ εἰς ἀπίστους δεσπότας βαλεῖς χαράν.

ΧΟΡΟΣ.

ἰὼ δαῖμον!

ΚΡΕΟΥΣΑ.

τὸ φροίμιον μὲν τῶν λόγων οὐκ εὐτυχές.

ΧΟΡΟΣ.

ἰὼ τλᾶμον!
ἀλλ' ἦ τι θεσφάτοισι δεσποτῶν νοσῶ;
εἶεν· τί δρῶμεν, θάνατος ὧν κεῖται πέρι;

ΚΡΕΟΥΣΑ.

τίς ἥδε μοῦσα, χὡ φόβος τίνων πέρι;

ΧΟΡΟΣ.

εἴπωμεν, ἢ σιγῶμεν, ἢ τί δράσομεν;

ΚΡΕΟΥΣΑ.

εἴφ'· ὡς ἔχεις γε συμφοράν τιν' εἰς ἐμέ.

ΧΟΡΟΣ.

εἰρήσεταί τοι, κεἰ θανεῖν μέλλω διπλῇ.
οὐκ ἔστι σοι, δέσποιν', ἐπ' ἀγκάλας λαβεῖν
τέκν', οὐδὲ μαστῷ σῷ προσαρμόσαι τάδε.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὤ μοι, θάνοιμι, θύγατερ!

ΚΡΕΟΥΣΑ.

ὦ τάλαιν' ἐγώ!

συμφορᾶς ἔλαβον, ἔπαθον ἄχος,
βίοτον, ὦ φίλαι.

ΠΑΙΔΑΓΩΓΟΣ.

διοιχόμεσθα, τέκνον.

ΚΡΕΟΥΣΑ.

αἶ αἶ αἶ αἶ!
διανταῖος ἔτυπεν ὀδύνα με πνευ-
μόνων τῶνδ' ἔσω.

ΠΑΙΔΑΓΩΓΟΣ.

μή πω στενάξῃς —

ΚΡΕΟΥΣΑ.

ἀλλὰ πάρεισι γόοι.

ΠΑΙΔΑΓΩΓΟΣ.

πρὶν ἂν μάθωμεν —

ΚΡΕΟΥΣΑ.

ἀγγελίαν τίνα μοι;

ΠΑΙΔΑΓΩΓΟΣ.

εἰ ταὐτὰ πράσσων δεσπότης τῆς συμφορᾶς
κοινωνός ἐστιν, ἢ μόνη σὺ δυστυχεῖς.

ΧΟΡΟΣ.

κείνῳ μὲν, ὦ γεραιὲ, παῖδα Λοξίας
ἔδωκεν, ἰδίᾳ δ' εὐτυχεῖ ταύτης δίχα.

ΚΡΕΟΥΣΑ.

τόδ' ἐπὶ τῷδε κακὸν ἄκρον ἔλακες ἔλακες,
ἄχος ἐμοὶ στένειν.

ΠΑΙΔΑΓΩΓΟΣ.

πότερα δὲ φῦναι δεῖ γυναικὸς ἔκ τινος
τὸν παῖδ', ὃν εἶπας, ἢ γεγῶτ' ἐθέσπισεν;

765. ἀβίωτον, ὦ φ. 772. ταῦτα. 776. τὸ δ' ἐπὶ et ἔλακες semel.

ΧΟΡΟΣ.

ἤδη πεφυκότ' ἐκτελῆ νεανίαν
δίδωσιν αὐτῷ Λοξίας· παρῆν δ' ἐγώ.

ΚΡΕΟΥΣΑ.

πῶς φῄς;
ἄφατον, ἄφατον, ἀναύδητον λόγον ἐμοὶ θροεῖς.

ΠΑΙΔΑΓΩΓΟΣ.

κἄμοιγε.

ΚΡΕΟΥΣΑ.

πῶς δ' ὁ χρησμὸς ἐκπεραίνεται;
σαφέστερόν μοι φράζε, χὤστις ἔσθ' ὁ παῖς.

ΧΟΡΟΣ.

ὅτῳ ξυναντήσειεν, ἐκ θεοῦ συθείς,
πρώτῳ πόσις σός, παῖδ' ἔδωκ' αὐτῷ θεός.

ΚΡΕΟΥΣΑ.

ὀτοτοτοτοῖ!
τὸ δ' ἐμὸν ἄτεκνον, ἄτεκνον ἔλαβεν ἄρα βίοτον,
ἐρη-
μίᾳ δ' ὀρφανοὺς δόμους οἰκήσω.
τίς οὖν ἐχρήσθη; τῷ συνῆψ' ἴχνος ποδὸς
πόσις ταλαίνης; πῶς δέ, ποῦ νιν εἰσιδών;

ΧΟΡΟΣ.

οἶσθ', ὦ φίλη δέσποινα, τὸν νεανίαν,
ὃς τόνδ' ἔσαιρε ναόν; οὗτός ἐσθ' ὁ παῖς.

ΚΡΕΟΥΣΑ.

ἀν' ὑγρὸν ἀμπταίην
αἰθέρα πρόσσω γαίας Ἑλλανίας,
ἀστέρας ἑσπερίους,
οἷον οἷον ἄλγος ἔπαθον!

792. πῶς δέ που νιν. 795. ἂν πταίην. 796. πρόσω.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὄνομα δὲ ποῖον αὐτὸν ὀνομάζει πατήρ,
οἶσθ', ἢ σιωπῇ τοῦτ' ἀκύρωτον μένει;

ΧΟΡΟΣ.

Ἴων', ἐπείπερ πρῶτος ἤντησεν πατρί.

ΠΑΙΔΑΓΩΓΟΣ.

μητρὸς δὲ ποίας ἐστίν;

ΧΟΡΟΣ.

οὐκ ἔχω φράσαι.
φροῦδος δ', ἵν' εἰδῇς πάντα τἀπ' ἐμοῦ, γέρον,
παιδὸς προθύσων ξένια καὶ γενέθλια,
σκηνὰς ἐς ἱερὰς τῆςδε λαθραίως πόσις,
κοινῇ ξυνάψων δαῖτα παιδὶ τῷ νέῳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

δέσποινα, προδεδόμεσθα — σὺν γάρ σοὶ νοσῶ —
τοῦ σοῦ πρὸς ἀνδρός, καὶ μεμηχανημένως
ὑβριζόμεσθα, δωμάτων τ' Ἐρεχθέως
ἐκβαλλόμεσθα. καὶ σὸν οὐ στυγῶν πόσιν
λέγω, σὲ μέντοι μᾶλλον, ἢ κεῖνον, φιλῶν,
ὅςτις σε γήμας ξένος ἐπειςελθὼν πόλιν
καὶ δῶμα, καὶ σὴν παραλαβὼν παγκληρίαν,
ἄλλης γυναικὸς παῖδας ἐκκαρπούμενος
λάθρα πέφηνεν· ὡς λάθρα δ', ἐγὼ φράσω·
ἐπεί σ' ἄτεκνον ᾔσθετ', οὐκ ἔστεργέ σοι
ὅμοιος εἶναι, τῆς τύχης τ' ἴσον φέρειν,
λαβὼν δὲ δοῦλα λέκτρα, νυμφεύσας λάθρα,
τὸν παῖδ' ἔφυσεν, ἐξενωμένον δέ τῳ
Δελφῶν δίδωσιν ἐκτρέφειν· ὁ δ' ἐν θεοῦ
δόμοισιν ἄφετος, ὡς λάθοι, παιδεύεται.
νεανίαν δ' ὡς ᾔσθετ' ἐκτεθραμμένον,

ἐλθεῖν σ᾽ ἔπεισε δεῦρ᾽ ἀπαιδίας χάριν.
κᾆθ᾽ ὁ θεὸς οὐκ ἐψεύσαθ᾽, ὅδε δ᾽ ἐψεύσατο,
πάλαι τρέφων τὸν παῖδα, κἄπλεκεν πλοκὰς
τοιάςδ᾽· ἁλοὺς μὲν ἀνέφερ᾽ ἐς τὸν δαίμονα,
ἑλὼν δὲ καὶ τὸν χρόνον ἀμύνεσθαι θέλων,
τυραννίδ᾽ αὐτῷ περιβαλεῖν ἔμελλε γῆς.
καινὸν δὲ τοὔνομ᾽ ἀνὰ χρόνον πεπλασμένον,
Ἴων, ἰόντι δῆθεν ὅτι συνήντετο.
οἴμοι, κακούργους ἄνδρας ὡς ἀεὶ στυγῶ,
οἳ συντιθέντες τἄδικ᾽, εἶτα μηχαναῖς
κοσμοῦσι! φαῦλον χρηστὸν ἂν λαβεῖν φίλον
θέλοιμι μᾶλλον, ἢ κακὸν σοφώτερον.
καὶ τῶνδ᾽ ἁπάντων ἔσχατον πείσει κακὸν,
ἀμήτορ᾽, ἀναρίθμητον, ἐκ δούλης τινὸς
γυναικὸς, ἐς σὸν δῶμα δεσπότην ἄγειν.
ἁπλοῦν ἂν ἦν γὰρ τὸ κακὸν, εἰ παρ᾽ εὐγενοῦς
μητρὸς, πιθών σε, σὴν λέγων ἀπαιδίαν,
ἐςῴκισ᾽ οἴκους· εἰ δέ σοι τόδ᾽ ἦν πικρὸν,
τῶν Αἰόλου νιν χρῆν ὀρεχθῆναι γάμων.
ἐκ τῶνδε δεῖ σε δὴ γυναικεῖόν τι δρᾷν·
ἢ γὰρ ξίφος λαβοῦσαν, ἢ δόλῳ τινὶ,
ἢ φαρμάκοισι, σὸν κατακτεῖναι πόσιν
καὶ παῖδα, πρίν σοι θάνατον ἐκ κείνων μολεῖν.
εἰ γάρ γ᾽ ὑφήσεις τοῦδ᾽, ἀπαλλάξει βίου·
δυοῖν γὰρ ἐχθροῖν εἰς ἓν ἐλθόντοιν στέγος,
ἢ θάτερον δεῖ δυςτυχεῖν, ἢ θάτερον.
ἐγὼ μὲν οὖν σοι καὶ συνεκπονεῖν θέλω,
καὶ συμφονεύειν παῖδ᾽, ὑπειςελθὼν δόμους,
οὗ δαῖθ᾽ ὁπλίζει, καὶ τροφεῖα δεσπόταις

827. ἐλθών.

ἀποδοὺς θανεῖν τε, ζῶν τε φέγγος εἰςορᾷν.
ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει,
τοὔνομα· τὰ δ᾽ ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδεὶς κακίων δοῦλος, ὅςτις ἐσθλὸς ᾖ.

ΧΟΡΟΣ.

κἀγὼ, φίλη δέσποινα, συμφορὰν θέλω
κοινουμένη τήνδ᾽, ἢ θανεῖν, ἢ ζῆν καλῶς.

ΚΡΕΟΥΣΑ.

Ὦ ψυχὰ, πῶς σιγάσω;
πῶς δὲ σκοτίας ἀναφήνω
εὐνὰς, αἰδοῦς δ᾽ ἀπολειφθῶ;
τί γὰρ ἐμπόδιον κώλυμ᾽ ἔτι μοι;
πρὸς τίν᾽ ἀγῶν᾽ αὖ τιθέμεσθ᾽ ἀρετῆς;
οὐ πόσις ἡμῶν προδότης γέγονεν;
στέρομαι δ᾽ οἴκων, στέρομαι παίδων,
φροῦδαι δ᾽ ἐλπίδες, ἃς διαθέσθαι
χρῄζουσα καλῶς οὐκ ἐδυνάσθην,
σιγῶσα γάμους,
σιγῶσα τόκους πολυκλαύτους.
ἀλλ᾽ οὐ, τὸ Διὸς πολύαστρον ἕδος
καὶ τὴν ἐπ᾽ ἐμοῖς σκοπέλοισι θεὰν
λίμνης τ᾽ ἐνύδρου Τριτωνιάδος
πότνιαν ἀκτὰν,
οὐκέτι κρύψω λέχος, ὡς στέρνων
ἀπονησαμένη ῥάων ἔσομαι.
στάζουσι κόραι δακρύοισιν ἐμαὶ,
ψυχὰ δ᾽ ἀλγεῖ, κακοβουλευθεῖσ᾽
ἔκ τ᾽ ἀνθρώπων ἔκ τ᾽ ἀθανάτων,
οὓς ἀποδείξω

860. deest δ᾽. 862. ἀγῶνά τιθ. 874. ἀπονισαμένη.

λέκτρων προδότας ἀχαρίστους.
ὦ τᾶς ἑπταφθόγγου μέλπων
κιθάρας ἐνοπὰν, ἅτ᾽ ἀγραύλοις
Μουσᾶν ὕμνους εὐαχήτους
κέρασιν ἐν ἀψύχοις ἀχεῖ,
σοὶ μομφὰν, ὦ Λατοῦς παῖ,
πρὸς τάνδ᾽ αὐγὰν αὐδάσω. (στροφή.)
ἦλθές μοι χρυσῷ χαίταν
μαρμαίρων, εὖτ᾽ εἰς κόλπους
κρόκεα πέταλα φάρεσιν ἔδρεπον
ἀνθίζειν χρυσανταυγῆ·
λευκοῖς δ᾽ ἐμφύσας καρποῖς
χειρῶν εἰς ἄντρου κοίτας
κραυγὰν, ὦ μᾶτερ, μ᾽ αὐδῶσαν
θεὸς ὁμευνέτας
Κύπριδι χάριν πράσσων
ἆγες ἀναιδείᾳ.
τίκτω δ᾽ ἁ δύστανός σοι (ἀντιστρ.)
κοῦρον, τὸν φρίκᾳ ματρὸς
εἰς εὐνὰν βάλλω τὰν σὰν,
ἵνα με λέχεσι μέλεα μελέοις
ἐζεύξω τὰν δύστανον.
οἴμοι μοι! καὶ νῦν ἔῤῥει
πτανοῖς ἁρπασθεὶς θοίνα
παῖς μοι [καὶ] σὸς τλάμων * *
* * *
σὺ δὲ κιθάρᾳ κλάζεις

881. ἅ τ᾽. 882. 3. inverso ordine. 887. εὖ τ᾽ εἰς. 892. κραυγάν μ᾽, ὦ. 894. 5. ordine inverso. 896. δύστηνος. 899. μελέαν μ. 903. καὶ sine uncis, et desunt notae lacunae.

παιᾶνας μέλπων.
ὠή! τὸν Λατοῦς αὐδῶ, (ἐπῳδός.)
ὅς γ᾽ ὀμφὰν κληροῖς
πρὸς χρυσέους θάκους καὶ
γαίας μεσσήρεις ἕδρας·
εἰς οὖς αὐδὰν καρύξω·
ἰώ! κακὸς εὐνάτωρ,
ὃς τῷ μὲν ἐμῷ νυμφεύτᾳ
χάριν οὐ προλαβὼν
παῖδ᾽ εἰς οἴκους οἰκίζεις·
ὁ δ᾽ ἐμὸς γενέτας καὶ σός γ᾽ ἀμαθὴς
οἰωνοῖς ἐῤῥει συλαθεὶς
οἰκεῖα σπάργανα ματρὸς
ἐξαλλάξας.
μισεῖ σ᾽ ἁ Δᾶλος καὶ δάφνας
ἔρνεα φοίνικα παρ᾽ ἁβροκόμαν,
ἔνθα λοχεύματα σέμν᾽ ἐλοχεύσατο
Λατὼ δίοισί σε καρποῖς.

ΧΟΡΟΣ.

οἴμοι, μέγας θησαυρὸς ὡς ἀνοίγνυται
κακῶν, ἐφ᾽ οἷσι πᾶς ἂν ἐκβάλοι δάκρυ!

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ θύγατερ, οὔτοι σὸν βλέπων ἐμπίπλαμαι
πρόςωπον, ἔξω δ᾽ ἐγενόμην γνώμης ἐμῆς.
κακῶν γὰρ ἄρτι κῦμ᾽ ὑπεξαντλῶν φρενὶ,
πρύμνηθεν αἴρει μ᾽ ἄλλο σῶν λόγων ὕπο,
οὓς ἐκβαλοῦσα τῶν παρεστώτων κακῶν
μετῆλθες ἄλλων πημάτων καινὰς ὁδούς.

912. νυμφέτᾳ. 914. ἐς οἴκ. 917. ματέρος. 925. ὦ deest. 930. κακὰς ὁδ.

τί φής; τίνα λόγον Λοξίου κατηγορεῖς;
ποῖον τεκεῖν φῂς παῖδα; ποῦ θεῖναι πόλεως
θηρσὶν φίλον τύμβευμ'; ἄνελθέ μοι πάλιν.

ΚΡΕΟΥΣΑ.

αἰσχύνομαι μέν σ', ὦ γέρον, λέξω δ' ὅμως.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὡς συστενάζειν γ' οἶδα γενναίως φίλοις.

ΚΡΕΟΥΣΑ.

ἄκουε τοίνυν· οἶσθα Κεκροπίας πέτρας
πρόςβοῤῥον ἄντρον, ἃς Μακρὰς κικλήσκομεν;

ΠΑΙΔΑΓΩΓΟΣ.

οἶδ', ἔνθα Πανὸς ἄδυτα καὶ βωμοὶ πέλας.

ΚΡΕΟΥΣΑ.

ἐνταῦθ' ἀγῶνα δεινὸν ἠγωνίσμεθα.

ΠΑΙΔΑΓΩΓΟΣ.

τίν'; ὡς ἀπαντᾷ δάκρυά μοι τοῖς σοῖς λόγοις.

ΚΡΕΟΥΣΑ.

Φοίβῳ ξυνῆψ' ἄκουσα δύστηνον γάμον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ θύγατερ, ἆρ' ἦν ταῦθ', ἅ γ' ᾐσθόμην ἐγώ;

ΚΡΕΟΥΣΑ.

οὐκ οἶδ'· ἀληθῆ δ' εἰ λέγεις, φαίημεν ἄν.

ΠΑΙΔΑΓΩΓΟΣ.

νόσον κρυφαίαν ἡνίκ' ἔστενες λάθρᾳ;

ΚΡΕΟΥΣΑ.

τοῦτ' ἦν, ἃ νῦν σοι φανερὰ σημαίνω κακά.

ΠΑΙΔΑΓΩΓΟΣ.

κᾆτ' ἐξέκλεψας πῶς Ἀπόλλωνος γάμους;

932. πόλεος. 941. συνῆψ'.

ΚΡΕΟΥΣΑ.

ἔτεκον· ἀνάσχου ταῦτ' ἐμοῦ κλύων, γέρον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ποῦ; τίς λοχεύει σ'; ἢ μόνη μοχθεῖς τάδε;

ΚΡΕΟΥΣΑ.

μόνη κατ' ἄντρον, οὗπερ ἐζεύχθην γάμοις.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὁ παῖς δὲ ποῦ 'στιν; ἵνα σὺ μηκέτ' ἦς ἄπαις.

ΚΡΕΟΥΣΑ.

τέθνηκεν, ὦ γεραιέ, θηρσὶν ἐκτεθείς.

ΠΑΙΔΑΓΩΓΟΣ.

τέθνηκ'; Ἀπόλλων δ' ὁ κακὸς οὐδὲν ἤρκεσεν;

ΚΡΕΟΥΣΑ.

οὐκ ἤρκεσ', Ἅιδου δ' ἐν δόμοις παιδεύεται.

ΠΑΙΔΑΓΩΓΟΣ.

τίς γάρ νιν ἐξέθηκεν; οὐ γὰρ δὴ σύ γε.

ΚΡΕΟΥΣΑ.

ἡμεῖς ἐν ὄρφνῃ σπαργανώσαντες πέπλοις.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὐδὲ ξυνῄδει σοί τις ἔκθεσιν τέκνου;

ΚΡΕΟΥΣΑ.

αἱ ξυμφοραί γε καὶ τὸ λανθάνειν μόνον.

ΠΑΙΔΑΓΩΓΟΣ.

καὶ πῶς ἐν ἄντρῳ παῖδα σὸν λιπεῖν ἔτλης;

ΚΡΕΟΥΣΑ.

πῶς δ'; οἰκτρὰ πολλὰ στόματος ἐκβαλοῦσ' ἔπη.

ΠΑΙΔΑΓΩΓΟΣ.

(φεῦ.) τλήμων σὺ τόλμης, ὁ δὲ θεὸς μᾶλλον σέθεν.

ΚΡΕΟΥΣΑ.

εἰ παῖδά γ' εἶδες χεῖρας ἐκτείνοντά μοι —

ΠΑΙΔΑΓΩΓΟΣ.

μαστὸν διώκοντ᾽, ἢ πρὸς ἀγκάλαις πεσεῖν;

ΚΡΕΟΥΣΑ.

ἐνταῦθ᾽, ἵν᾽ οὐκ ὢν ἄδικ᾽ ἔπασχεν ἐξ ἐμοῦ.

ΠΑΙΔΑΓΩΓΟΣ.

σοὶ δ᾽ ἐς τί δόξης ἦλθεν ἐκβαλεῖν τέκνον;

ΚΡΕΟΥΣΑ.

ὡς τὸν θεὸν σώζοντα τόν γ᾽ αὑτοῦ γόνον.

ΠΑΙΔΑΓΩΓΟΣ.

οἴμοι! δόμων σῶν ὄλβος ὡς χειμάζεται!

ΚΡΕΟΥΣΑ.

τί κρᾶτα κρύψας, ὦ γέρον, δακρυῤῥοεῖς;

ΠΑΙΔΑΓΩΓΟΣ.

σὲ καὶ πατέρα σὸν δυστυχοῦντας εἰσορῶν.

ΚΡΕΟΥΣΑ.

τὰ θνητὰ τοιαῦτ᾽· οὐδὲν ἐν ταὐτῷ μένει.

ΠΑΙΔΑΓΩΓΟΣ.

μὴ νῦν ἔτ᾽ οἴκτων, θύγατερ, ἀντεχώμεθα.

ΚΡΕΟΥΣΑ.

τί γάρ με χρὴ δρᾷν; ἀπορία τὸ δυστυχεῖν.

ΠΑΙΔΑΓΩΓΟΣ.

τὸν πρῶτον ἀδικήσαντά σ᾽ ἀποτίνου θεόν.

ΚΡΕΟΥΣΑ.

καὶ πῶς τὰ κρείσσω, θνητὸς οὖσ᾽, ὑπερδράμω;

ΠΑΙΔΑΓΩΓΟΣ.

πίμπρη τὰ σεμνὰ Λοξίου χρηστήρια.

ΚΡΕΟΥΣΑ.

δέδοικα· καὶ νῦν πημάτων ἅδην ἔχω.

ΠΑΙΔΑΓΩΓΟΣ.

τὰ δυνατὰ νῦν τόλμησον, ἄνδρα σὸν κτανεῖν.

ΚΡΕΟΥΣΑ.

αἰδούμεθ᾽ εὐνὰς τὰς τόθ᾽, ἡνίκ᾽ ἐσθλὸς ἦν.

ΠΑΙΔΑΓΩΓΟΣ.

νῦν δ᾽ ἀλλὰ παῖδα τὸν ἐπὶ σοὶ πεφηνότα.

ΚΡΕΟΥΣΑ.

πῶς; εἰ γὰρ εἴη δυνατόν! ὡς θέλοιμί γ᾽ ἄν.

ΠΑΙΔΑΓΩΓΟΣ.

ξιφηφόρους σοὺς ὁπλίσασ᾽ ὀπάονας.

ΚΡΕΟΥΣΑ.

στείχοιμ᾽ ἄν· ἀλλὰ ποῦ γενήσεται τόδε;

ΠΑΙΔΑΓΩΓΟΣ.

ἱεραῖσιν ἐν σκηναῖσιν, οὗ θοινᾷ φίλους.

ΚΡΕΟΥΣΑ.

ἐπίσημον ὁ φόνος, καὶ τὸ δοῦλον ἀσθενές.

ΠΑΙΔΑΓΩΓΟΣ.

οἴμοι! κακίζει. φέρε, σὺ νῦν βούλευέ τι.

ΚΡΕΟΥΣΑ.

καὶ μὴν ἔχω γε δόλια καὶ δραστήρια.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἀμφοῖν ἂν εἴην τοῖνδ᾽ ὑπηρέτης ἐγώ.

ΚΡΕΟΥΣΑ.

ἄκουε τοίνυν· οἶσθα γηγενῆ μάχην;

ΠΑΙΔΑΓΩΓΟΣ.

οἶδ᾽, ἣν Φλέγρᾳ Γίγαντες ἔστησαν θεοῖς.

ΚΡΕΟΥΣΑ.

ἐνταῦθα Γοργόν᾽ ἔτεκε Γῆ, δεινὸν τέρας.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἦ παισὶν αὑτῆς σύμμαχον, θεῶν πόνον;

ΚΡΕΟΥΣΑ.

ναί· καί νιν ἔκτειν᾽ ἡ Διὸς Παλλὰς θεά.

ΠΑΙΔΑΓΩΓΟΣ.

ποῖόν τι μορφῆς σχῆμ᾽ ἔχουσαν ἀγρίας;

ΚΡΕΟΥΣΑ.

θώρακ᾽ ἐχίδνης περιβόλοις ὡπλισμένον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἆρ᾽ οὗτος ἔσθ᾽ ὁ μῦθος, ὃν κλύω πάλαι;

ΚΡΕΟΥΣΑ.

ταύτης Ἀθάναν δέρος ἐπὶ στέρνοις ἔχειν.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἣν αἰγίδ᾽ ὀνομάζουσι, Παλλάδος στολήν;

ΚΡΕΟΥΣΑ.

τόδ᾽ ἔσχεν ὄνομα, θεῶν ὅτ᾽ ἦλθεν ἐς δόρυ.

ΠΑΙΔΑΓΩΓΟΣ.

τί δῆτα, θύγατερ, τοῦτο σοῖς ἐχθροῖς βλάβος;

ΚΡΕΟΥΣΑ.

Ἐριχθόνιον οἶσθ᾽; ἢ τί γ᾽ οὐ μέλλεις, γέρον;

ΠΑΙΔΑΓΩΓΟΣ.

ὃν πρῶτον ὑμῶν πρόγονον ἐξανῆκε γῆ;

ΚΡΕΟΥΣΑ.

τούτῳ δίδωσι Παλλὰς ὄντι νεογόνῳ —

ΠΑΙΔΑΓΩΓΟΣ.

τί χρῆμα; μέλλον γάρ τι προσφέρεις ἔπος.

ΚΡΕΟΥΣΑ.

δισσοὺς σταλαγμοὺς αἵματος Γοργοῦς ἄπο.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἰσχὺν ἔχοντ᾽ ἂν τίνα πρὸς ἀνθρώπου φύσιν;

ΚΡΕΟΥΣΑ.

τὸν μὲν θανάσιμον, τὸν δ᾽ ἀκεσφόρον νόσων.

1004. ἔχοιτ᾽ ἄν.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἐν τῷ καθάψας ἀμφὶ παιδὶ σώματος;

ΚΡΕΟΥΣΑ.

χρυσοῖσι δεσμοῖς· ὁ δὲ δίδωσ᾽ ἐμῷ πατρί.

ΠΑΙΔΑΓΩΓΟΣ.

κείνου δὲ κατθανόντος ἐς σ᾽ ἀφίκετο;

ΚΡΕΟΥΣΑ.

ναί· κἀπὶ καρπῷ γ᾽ αὐτὸ τῆς χερὸς φέρω.

ΠΑΙΔΑΓΩΓΟΣ.

πῶς οὖν κέκρανται δίπτυχον δῶρον θεᾶς;

ΚΡΕΟΥΣΑ.

κοίλης μὲν ὅστις φλεβὸς ἀπέσταξεν φόνου —

ΠΑΙΔΑΓΩΓΟΣ.

τί τῷδε χρῆσθε, δύνασιν ἐκφέρει τίνα;

ΚΡΕΟΥΣΑ.

νόσους ἀπείργει καὶ τροφὰς ἔχει βίου.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὁ δεύτερος δ᾽ ἀριθμὸς, ὃν λέγεις, τί δρᾷ;

ΚΡΕΟΥΣΑ.

κτείνει, δρακόντων ἰὸς ὢν τῶν Γοργόνων.

ΠΑΙΔΑΓΩΓΟΣ.

εἰς ἓν δὲ κραθέντ᾽ αὐτὸν, ἢ χωρὶς φορεῖς;

ΚΡΕΟΥΣΑ.

χωρίς· κακῷ γὰρ ἐσθλὸν οὐ συμμίγνυται.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ φιλτάτη παῖ, πάντ᾽ ἔχεις, ὅσων σε δεῖ.

ΚΡΕΟΥΣΑ.

τούτῳ θανεῖται παῖς· σὺ δ᾽ ὁ κτείνων ἔσει.

1009. αὐτὸ ᾽γώ. 1011. φόνος. 1016. αὐτὸν ἰχῶρ᾽ εἰςφορεῖς.

ΠΑΙΔΑΓΩΓΟΣ.

ποῦ; καὶ τί δράσας; σὸν λέγειν, τολμᾶν δ' ἐμόν.

ΚΡΕΟΥΣΑ.

ἐν ταῖς Ἀθήναις, δῶμ' ὅταν τοὐμὸν μόλῃ.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὐκ εὖ τόδ' εἶπας· καὶ σὺ γὰρ τοὐμὸν ψέγεις.

ΚΡΕΟΥΣΑ.

πῶς; ἆρ' ὑπείδου τοῦθ', ὃ κἄμ' εἰςέρχεται;

ΠΑΙΔΑΓΩΓΟΣ.

σὺ παῖδα δόξεις διολέσαι, κεἰ μὴ κτενεῖς.

ΚΡΕΟΥΣΑ.

ὀρθῶς· φθονεῖν γάρ φασι μητρυιὰς τέκνοις.

ΠΑΙΔΑΓΩΓΟΣ.

αὐτοῦ νυν αὐτὸν κτεῖν', ἵν' ἀρνήσῃ φόνους.

ΚΡΕΟΥΣΑ.

προλάζυμαι γοῦν τῷ χρόνῳ τῆς ἡδονῆς.

ΠΑΙΔΑΓΩΓΟΣ.

καὶ σόν γε λήσεις πόσιν, ἅ σε σπεύδει λαθεῖν.

ΚΡΕΟΥΣΑ.

οἶσθ' οὖν, ὃ δρᾶσον; χειρὸς ἐξ ἐμῆς λαβὼν
χρύσωμ' Ἀθάνας τόδε, παλαιὸν ὄργανον,
ἐλθὼν, ἵν' ἡμῖν βουθυτεῖ λάθρα πόσις,
δείπνων ὅταν λήγωσι καὶ σπονδὰς θεοῖς
μέλλωσι λείβειν, ἐν πέπλοις ἔχων τόδε,
κάθες βαλὼν ἐς πῶμα τῷ νεανίᾳ,
ἰδίᾳ δὲ, μὴ γὰρ πᾶσι, χωρίσας ποτὸν
τῷ τῶν ἐμῶν μέλλοντι δεσπόζειν δόμων.
κἄνπερ διέλθῃ λαιμὸν, οὔποθ' ἵξεται
κλεινὰς Ἀθήνας, κατθανὼν δ' αὐτοῦ μενεῖ.

1026. αὐτοῦ νῦν. 1035. μὴ πᾶσι.

ΠΑΙΔΑΓΩΓΟΣ.

σὺ μέν νυν εἴσω προξένων μέθες πόδα·
ἡμεῖς δ', ἐφ' ᾧ τετάγμεθ', ἐκπονήσομεν.
ἄγ', ὦ γεραιὲ ποῦς, νεανίας γενοῦ
ἔργοισι, κεἰ μὴ τῷ χρόνῳ πάρεστί σοι.
ἐχθρὸν δ' ἐπ' ἄνδρα στεῖχε δεσποτῶν μέτα,
καὶ συμφόνευε καὶ συνεξαίρει δόμων.
τὴν δ' εὐσέβειαν εὐτυχοῦσι μὲν καλὸν
τιμᾶν, ὅταν δὲ πολεμίους δρᾶσαι κακῶς
θέλῃ τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος.

ΧΟΡΟΣ.

Εἰνοδία θύγατερ Δάματρος, ἃ τῶν (στροφὴ ά.)
νυκτιπόλων ἐφόδων ἀνάσσεις
καὶ μεθαμερίων, ὅδωσον
δυςθανάτων κρατήρων πλη-
ρώματ', ἐφ' οἷσι πέμπει
πότνια, πότνι' ἐμὰ
χθονίας Γοργοῦς λαιμοτόμων
ἀπὸ σταλαγμῶν
τῷ τῶν Ἐρεχθειδᾶν
δόμων ἐφαπτομένῳ·
μηδέ ποτ' ἄλλος ἄλλων ἀπ' οἴκων
πόλεως ἀνάσσοι
πλὴν τῶν εὐγενετᾶν Ἐρεχθειδᾶν.
Εἰ δ' ἀτελὴς θάνατος σπουδαί τε δεσποί- (ἀντιστρ. ά.)
νας, ὅ τε καιρὸς ἄπεισι τόλμας,
ἅ τε νῦν φέρετ' ἐλπὶς, ἢ θη-

κτὸν ξίφος, ἢ λαιμῶν ἐξά-
ψει βρόχον ἀμφὶ δειρήν,
πάθεσι πάθεα δ' ἐξ-
ανύτουσ' εἰς ἄλλας βιότου
μορφὰς κάτεισιν·
οὐ γὰρ δόμων γ' ἑτέρους
ἄρχοντας ἀλλοδαποὺς
ζῶσά ποτ' ὀμμάτων ἐν φανναῖς
ἀνέχοιτ' ἂν αὐγαῖς
ἁ τῶν εὐπατριδᾶν γεγῶσ' οἴκων.
αἰσχύνομαι τὸν πολύϋμνον (στροφὴ β'.)
θεὸν, εἰ περὶ Καλλιχόροισι παγαῖς
λαμπάδα θεωρὸν εἰκάδων
ὄψεται ἐννύχιος ἄϋπνος ὢν,
ὅτε καὶ Διὸς ἀστερωπὸς
ἀνεχόρευσεν αἰθὴρ,
χορεύει δὲ Σελάνα
καὶ πεντήκοντα κόραι
Νηρέος, αἱ κατὰ πόντον
ἀενάων τε ποταμῶν
δίνας χορευόμεναι
τὰν χρυσοστέφανον κόραν
καὶ ματέρα σεμνάν·
ἵν' ἐλπίζει βασιλεύσειν,
ἄλλων πόνον εἰςπεσὼν,
ὁ Φοίβειος ἀλάτας.
ὁρᾶθ', ὅσοι δυςκελάδοισι (ἀντιστρ. β'.)

1064. 5. δαίμων ἐξάψειν. 1065. δέρην. 1081. κοῦραι. 1085. χρυσεοστέφ. 1088. πόνον τ' εἰςπεσεῖν. 1090. ὁρᾶσθ'.

κατὰ Μοῦσαν ἰόντες ἀείδεθ' ὕμνοις
ἁμέτερα λέχεα καὶ γάμους
Κύπριδος ἀθέμιτας ἀνοσίους,
ὅσον εὐσεβίᾳ κρατοῦμεν
ἄδικον ἄροτρον ἀνδρῶν.
παλίμφαμος ἀοιδὰ
καὶ Μοῦσ' εἰς ἄνδρας ἴτω
δυςκέλαδος περὶ λέκτρων.
δείκνυσιν γὰρ ὁ Διὸς ἐκ
παίδων ἀμνημοσύναν,
οὐ κοινὰν τεκέων τύχαν
οἴκοισι φυτεύσας
δεσποίνᾳ· πρὸς δ' Ἀφροδίταν
ἄλλαν θέμενος χάριν
νόθου παιδὸς ἔκυρσεν.

ΘΕΡΑΠΩΝ.

Κλειναὶ γυναῖκες, ποῦ κόρην Ἐρεχθέως
δέσποιναν εὕρω; πανταχῆ γὰρ ἄστεος
ζητῶν νιν ἐξέπλησα, κοὐκ ἔχω λαβεῖν.

ΧΟΡΟΣ.

τί δ' ἔστιν, ὦ ξύνδουλε; τίς προθυμία
ποδῶν ἔχει σε, καὶ λόγους τίνας φέρεις;

ΘΕΡΑΠΩΝ.

θηρώμεθ'· ἀρχαὶ δ' αἱ 'πιχώριοι χθονὸς
ζητοῦσιν αὐτὴν, ὡς θάνῃ πετρουμένη.

ΧΟΡΟΣ.

οἴμοι, τί λέξεις! οὔτι που λελήμμεθα

1094. εὐσεβείᾳ. 1097. καὶ Μούσιος ἄνδρας ἴστω. 1098. ἀμφὶ λ. 1099. δείκνυσι.

κρυφαῖον ἐς παῖδ' ἐκπορίζουσαι φόνον;

ΘΕΡΑΠΩΝ.

ἐγνώσμεθ' ἐξ ἴσου κἂν ὑστάτοις κακοῖς.

ΧΟΡΟΣ.

ὤφθη δὲ πῶς τὰ κρυπτὰ μηχανήματα;

ΘΕΡΑΠΩΝ.

τὸ μὴ δίκαιον τῆς δίκης ἡσσώμενον
ἐξεῦρεν ὁ θεὸς, οὐ μιανθῆναι θέλων.

ΧΟΡΟΣ.

πῶς; ἀντιάζω σ' ἱκέτις ἐξειπεῖν τάδε.
πεπυσμέναι γὰρ, εἰ θανεῖν ἡμᾶς χρεὼν,
ἥδιον ἂν θάνοιμεν, εἴθ' ὁρᾶν φάος.

ΘΕΡΑΠΩΝ.

ἐπεὶ θεοῦ μαντεῖον ᾤχετ' ἐκλιπὼν
πόσις Κρεούσης, παῖδα τὸν καινὸν λαβὼν,
πρὸς δεῖπνα θυσίας θ', ἃς θεοῖς ὡπλίζετο,
Ξοῦθος μὲν ᾤχετ', ἔνθα πῦρ πηδᾷ θεοῦ
βακχεῖον, ὡς σφαγαῖσι Διονύσου πέτρας
δεύσειε δισσὰς παιδὸς ἀντ' ὀπτηρίων,
λέξας· σὺ μὲν νῦν, τέκνον, ἀμφήρεις μένων
σκηνὰς ἀνίστη τεκτόνων μοχθήμασιν.
θύσας δὲ γενέταις θεοῖσιν ἢν μακρὸν χρόνον
μένω, παροῦσι δαῖτες ἔστωσαν φίλοις.
λαβὼν δὲ μόσχους, ᾤχεθ'. ὁ δὲ νεανίας
σεμνῶς ἀτοίχους περιβολὰς σκηνωμάτων
ὀρθοστάταις ἱδρύεθ' ἡλίου φλογὸς,
καλῶς φυλάξας, οὔτε πρὸς μέσας βολὰς,
ἀκτῖνας οὔτ' αὖ πρὸς τελευτώσας βίον,
πλέθρου σταθμήσας μῆκος εἰς εὐγώνιον,

1131. μενῶ.

μέτρημ' ἔχουσαν τοὐν μέσῳ γε μυρίων
ποδῶν ἀριθμὸν, ὡς λέγουσιν οἱ σοφοὶ,
ὡς πάντα Δελφῶν λαὸν ἐς θοίνην καλῶν.
λαβὼν δ' ὑφάσμαθ' ἱερὰ θησαυρῶν πάρα,
κατεσκίαζε, θαύματ' ἀνθρώποις ὁρᾶν.
πρῶτον μὲν ὀρόφῳ πτέρυγα περιβάλλει πέπλων,
ἀνάθημα δίου παιδὸς, οὓς Ἡρακλέης
Ἀμαζόνων σκυλεύματ' ἤνεγκεν θεῷ.
ἐνῆν δ' ὑφανταὶ γράμμασιν τοιαίδ' ὑφαί·
Οὐρανὸς ἀθροίζων ἄστρ' ἐν αἰθέρος κύκλῳ·
ἵππους μὲν ἤλαυν' εἰς τελευταίαν φλόγα
Ἥλιος, ἐφέλκων λαμπρὸν Ἑσπέρου φάος.
μελάμπεπλος δὲ Νὺξ ἀσείρωτον ζυγοῖς
ὄχημ' ἔπαλλεν· ἄστρα δ' ὡμάρτει θεᾷ.
Πλειὰς μὲν ᾔει μεσοπόρου δι' αἰθέρος,
ὅ τε ξιφήρης Ὠρίων· ὕπερθε δὲ
Ἄρκτος στρέφουσ' οὐραῖα χρυσήρει πόλῳ.
κύκλος δὲ πανσέληνος ἠκόντιζ' ἄνω
μηνὸς διχήρης, Ὑάδες τε ναυτίλοις
σαφέστατον σημεῖον, ἥ τε φωσφόρος
Ἕως διώκουσ' ἄστρα. τοίχοισιν δ' ἔπι
ἤμπισχεν ἄλλα βαρβάρων ὑφάσματα,
εὐηρέτμους ναῦς ἀντίας Ἑλληνίσιν,
καὶ μιξόθηρας φῶτας ἱππείας τ' ἄγρας,
ἐλάφων λεόντων τ' ἀγρίων θηράματα.
κατ' εἰσόδους δὲ Κέκροπα θυγατέρων πέλας
σπείρας συνειλίσσοντ', Ἀθηναίων τινὸς
ἀνάθημα, χρυσέους τ' ἐν μέσῳ συσσιτίῳ
κρατῆρας ἔστησ'. ἐν δ' ἄκροισι βὰς ποσὶ

1154. οὐραία. 1166. κρητῆρας.

κήρυξ ἀνεῖπε τὸν θέλοντ᾽ ἐγχώριον
ἐς δαῖτα χωρεῖν. ὡς δ᾽ ἐπληρώθη στέγη,
στεφάνοισι κοσμηθέντες, εὐόχθου βορᾶς
ψυχὴν ἐπλήρουν. ὡς δ᾽ ἀνεῖσαν ἡδονὴν,
* παρελθὼν πρέσβυς ἐς μέσον πέδον,
ἔστη, γέλων δ᾽ ἔθηκε συνδείπνοις πολὺν,
πρόθυμα πράσσων· ἔκ τε γὰρ κρωσσῶν ὕδωρ
χεροῖν ἔπεμπε νίπτρα, κἀξεθυμία
σμύρνης ἱδρῶτα, χρυσέων τ᾽ ἐκπωμάτων
ἦρχ᾽, αὐτὸς αὑτῷ τόνδε προστάξας πόνον.
ἐπεὶ δ᾽ ἐς αὐλοὺς ἧκεν ἐς κρατῆρά τε
κοινὸν, γέρων ἔλεξ᾽, ἀφαρπάζειν χρεὼν
οἰνηρὰ τεύχη σμικρὰ, μεγάλα δ᾽ ἐςφέρειν,
ὡς θᾶσσον ἔλθωσ᾽ οἵδ᾽ ἐς ἡδονὰς φρενῶν.
ἦν δὴ φερόντων μόχθος ἀργυρηλάτους
χρυσέας τε φιάλας· ὁ δὲ, λαβὼν ἐξαίρετον,
ὡς τῷ νέῳ δὴ δεσπότῃ χάριν φέρων,
ἔδωκε πλῆρες τεῦχος, εἰς οἶνον βαλὼν,
ὅ φασι δοῦναι φάρμακον δραστήριον
δέσποιναν, ὡς παῖς ὁ νέος ἐκλίποι φάος·
κοὐδεὶς τάδ᾽ ᾔδειν. ἐν χεροῖν ἔχοντι δὲ
σπονδὰς μετ᾽ ἄλλων παιδὶ τῷ πεφηνότι
βλασφημίαν τις οἰκετῶν ἐφθέγξατο·
ὁ δ᾽, ὡς ἐν ἱερῷ μάντεσίν τ᾽ ἐσθλοῖς τραφεὶς,
οἰωνὸν ἔθετο, κἀκέλευσ᾽ ἄλλον νέον
κρατῆρα πληροῦν· τὰς δὲ πρὶν σπονδὰς θεοῦ
δίδωσι γαίᾳ, πᾶσί τ᾽ ἐκσπένδειν λέγει.
σιγὴ δ᾽ ὑπῆλθεν. ἐκ δ᾽ ἐπίμπλαμεν δρόσου
κρατῆρας ἱεροὺς Βιβλίνου τε πώματος.

1170. ἀνῆσαν. 1178. καινόν. 1179. οἰν. σκεύη.

κἀν τῷδε μόχθῳ πτηνὸς ἐςπίπτει δόμοις
κῶμος πελειῶν· Λοξίου γὰρ ἐν δόμοις
ἄτρεστα ναίουσ᾽. ὡς δ᾽ ἀπέσπεισαν μέθυ,
* * *
κεἰς αὐτὸ χείλη πώματος κεχρημέναι
καθῆκαν, εἷλκον δ᾽ εὐπτέρους ἐς αὐχένας.
καὶ ταῖς μὲν ἄλλαις ἄνοσος ἦν λοιβὴ θεοῦ·
ἣ δ᾽ ἕζετ᾽, ἔνθ᾽ ὁ καινὸς ἔσπεισεν γόνος,
ποτοῦ τ᾽ ἐγεύσατ᾽, εὐθὺς εὔπτερον δέμας
ἔσεισε κἀβάκχευσεν, ἐκ δ᾽ ἔκλαγξ᾽ ὄπα
ἀξύνετον αἰάζουσ᾽· ἐθάμβησεν δὲ πᾶς
θοινατόρων ὅμιλος ὄρνιθος πόνους·
θνήσκει δ᾽ ἀπασπαίρουσα, φοινικοσκελεῖς
χηλὰς παρεῖσα. γυμνὰ δ᾽ ἐκ πέπλων μέλη
ὑπὲρ τραπέζης ἦχ᾽ ὁ μαντευτὸς γόνος,
βοᾷ δέ· τίς μ᾽ ἔμελλεν ἀνθρώπων κτανεῖν;
σήμαινε, πρέσβυ· σὴ γὰρ ἡ προθυμία,
καὶ πῶμα χειρὸς σῆς ἐδεξάμην πάρα.
εὐθὺς δ᾽ ἐρευνᾷ γραῖαν ὠλένην λαβὼν,
ἐπ᾽ αὐτοφώρῳ πρέσβυν ὡς ἔχονθ᾽ ἕλοι.
ὤφθη δὲ, καὶ κατεῖπ᾽ ἀναγκασθεὶς μόγις
τόλμας Κρεούσης πώματός τε μηχανάς.
θεῖ δ᾽ εὐθὺς ἔξω, συλλαβὼν θοινάτορας,
ὁ πυθόχρηστος Λοξίου νεανίας,
κἀν κοιράνοισι Πυθικοῖς σταθεὶς, λέγει·
ὦ γαῖα σεμνὴ, τῆς Ἐρεχθέως ὕπο
ξένης γυναικὸς φαρμάκοισι θνήσκομεν.
Δελφῶν δ᾽ ἄνακτες ὥρισαν πετροῤῥιφῆ
θανεῖν ἐμὴν δέσποιναν οὐ ψήφῳ μιᾷ,

1202. ἡ δ᾽ ἕζετ᾽. 1209. ἧκεν ὁ.

τὸν ἱερὸν ὡς κτείνουσαν ἔν τ' ἀνακτόροις
φόνον τιθεῖσαν. πᾶσα δὲ ζητεῖ πόλις
τὴν ἀθλίως σπεύσασαν ἀθλίαν ὁδόν·
παίδων γὰρ ἐλθοῦσ' εἰς ἔρον Φοίβου πάρα,
τὸ σῶμα κοινῇ τοῖς τέκνοις ἀπώλεσεν.

ΧΟΡΟΣ.

Οὐκ ἔστ', οὐκ ἔστιν θανάτου
παρατροπὰ μελέᾳ μοι·
φανερὰ γὰρ, φανερὰ τάδ' ἤδη,
σπονδὰς ἐκ Διονύσου βοτρύων θοᾶς
Ἐχίδνας σταγόσιν μιγνυμένας φόνῳ,
φανερὰ θύματα νερτέρων,
συμφοραὶ μὲν ἐμῷ βίῳ,
λεύσιμοι δὲ καταφθοραί.
δέσποινα, τίνα φυγὰν πτερόεσσαν, ἢ
χθονὸς ὑπὸ σκοτίων μυχῶν πορευθῶ,
θανάτου λεύσιμον
ἄταν ἀποφεύγουσα, τεθρίππων
ὠκίσταν χαλὰν ἐπιβᾶσ', ἢ
πρύμνας ἐπὶ ναῶν;
οὐκ ἔστι λαθεῖν, ὅτε μὴ χρῄζων
θεὸς ἐκκλέπτει.
τί ποτ', ὦ μελέα δέσποινα, μένει
ψυχῇ σε παθεῖν; ἆρα θέλουσαι
δρᾶσαί τι κακὸν τοὺς πέλας αὐταὶ
πεισόμεθ', ὥσπερ τὸ δίκαιον.

ΚΡΕΟΥΣΑ.

πρόσπολοι, διωκόμεσθα θανασίμους ἐπὶ σφαγὰς,

1227. Φοῖβον πάρα. 1229. οὐκ ἔστι θαν. 1245. μέλει. 1246. ἄρα.

Πυθίᾳ ψήφῳ κρατηθεῖσ', ἔκδοτος δὲ γίγνομαι.

ΧΟΡΟΣ.

ἴσμεν, ὦ τάλαινα, τὰς σὰς συμφορὰς, ἵν' εἶ τύχης.

ΚΡΕΟΥΣΑ.

ποῖ φύγω δῆτ'; ἐκ γὰρ οἴκων προὔλαβον μόγις πόδα,
μὴ θανεῖν· κλοπῇ δ' ἀφῖγμαι, διαφυγοῦσα πολεμίους.

ΧΟΡΟΣ.

ποῖ δ' ἂν ἄλλοσ', ἢ 'πὶ βωμόν;

ΚΡΕΟΥΣΑ.

καὶ τί μοι πλέον τόδε;

ΧΟΡΟΣ.

ἱκέτιν οὐ θέμις φονεύειν.

ΚΡΕΟΥΣΑ.

τῷ νόμῳ δέ γ' ὄλλυμαι.

ΧΟΡΟΣ.

χειρία γ' ἁλοῦσα.

ΚΡΕΟΥΣΑ.

καὶ μὴν οἵδ' ἀγωνισταὶ πικροὶ
δεῦρ' ἐπείγονται ξιφήρεις.

ΧΟΡΟΣ.

ἷζε νῦν πυρᾶς ἔπι.
κἂν θάνῃς γὰρ ἐνθάδ' οὖσα, τοῖς ἀποκτείνασί σε προστρόπαιον αἷμα θήσεις· οἰστέον δὲ τὴν τύχην.

ΙΩΝ.

ὦ ταυρόμορφον ὄμμα Κηφισοῦ πατρὸς,

1250. Πυθίῳ. 1252. ἐκ κακῶν γάρ.

οἵαν ἔχιδναν τήνδ᾽ ἔφυσας, ἢ πυρὸς
δράκοντ᾽ ἀναβλέποντα φοινίαν φλόγα;
ᾗ τόλμα πᾶσ᾽ ἔνεστιν, οὐδ᾽ ἥσσων ἔφυ
Γοργοῦς σταλαγμῶν, οἷς ἔμελλέ με κτανεῖν.
λάζυσθ᾽, ἵν᾽ αὐτῆς τοὺς ἀκηράτους πλόκους
κόμης καταξήνωσι Παρνασοῦ πλάκες,
ὅθεν πετραῖον ἅλμα δισκευθήσεται.
ἐσθλοῦ δ᾽ ἔκυρσα δαίμονος, πρὶν ἐς πόλιν
μολεῖν Ἀθηνῶν χὐπὸ μητρυιὰν πεσεῖν.
ἐν συμμάχοις γὰρ ἀνεμετρησάμην φρένας
τὰς σὰς, ὅσον μοι πῆμα δυσμενής τ᾽ ἔφυς·
εἴσω γὰρ ἄν με περιβαλοῦσα δωμάτων
ἄρδην ἂν ἐξέπεμψας εἰς Ἅιδου δόμους.
ἀλλ᾽ οὔτε βωμὸς, οὔτ᾽ Ἀπόλλωνος δόμος,
σώσει σ᾽, ὁ δ᾽ οἶκτος ὁ σὰς ἐμοὶ κρείσσων πάρα
καὶ μητρὶ τῇ ᾽μῇ· καὶ γὰρ εἰ τὸ σῶμά μοι
ἄπεστιν αὐτῆς, τοὔνομ᾽ οὐκ ἄπεστί πω.
ἴδεσθε τὴν πανοῦργον, ἐκ τέχνης τέχνην
οἵαν ἔπλεξ᾽· αὐ βωμὸν ἔπτηξεν θεοῦ,
ὡς αὐ δίκην δώσουσα τῶν εἰργασμένων;

ΚΡΕΟΥΣΑ.

ἀπεννέπω σε μὴ κατακτείνειν ἐμὲ
ὑπέρ τ᾽ ἐμαυτῆς τοῦ θεοῦ θ᾽, ἵν᾽ ἕσταμεν.

ΙΩΝ.

τί δ᾽ ἐστι Φοίβῳ σοί τε κοινὸν ἐν μέσῳ;

ΚΡΕΟΥΣΑ.

ἱερὸν τὸ σῶμα τῷ θεῷ δίδωμ᾽ ἔχειν.

ΙΩΝ.

κἄπειτ᾽ ἔκαινες φαρμάκοις τὸν τοῦ θεοῦ;

1266. Παρνησοῦ. 1279. ἔπλεξ᾽, οὐ β. 1280. εἰργασμένων. 1285. ἔκτανες.

ΚΡΕΟΥΣΑ.

ἀλλ᾽ οὐκέτ᾽ ἦσθα Λοξίου, πατρὸς δὲ σοῦ.

ΙΩΝ.

ἀλλ᾽ ἐγενόμεσθα, πατρὸς οὐσίαν λέγω.

ΚΡΕΟΥΣΑ.

οὐκοῦν τότ᾽ ἦσθα· νῦν δ᾽ ἐγὼ, σὺ δ᾽ οὐκέτ᾽ εἶ.

ΙΩΝ.

οὐκ εὐσεβεῖς γε, τἀμὰ δ᾽ εὐσεβῆ τότ᾽ ἦν.

ΚΡΕΟΥΣΑ.

ἔκτεινα δ᾽ ὄντα πολέμιον δόμοις ἐμοῖς.

ΙΩΝ.

αὔτοι σὺν ὅπλοις ἦλθον ἐς τὴν σὴν χθόνα;

ΚΡΕΟΥΣΑ.

μάλιστα· κἀπίμπρας γ᾽ Ἐρεχθέως δόμους.

ΙΩΝ.

ποίαισι πανοῖς, ἢ πυρὸς ποίᾳ φλογί;

ΚΡΕΟΥΣΑ.

ἔμελλες οἰκεῖν τἄμ᾽, ἐμοῦ βίᾳ λαβών.

ΙΩΝ.

πατρός γε γῆν διδόντος, ἣν ἐκτήσατο.

ΚΡΕΟΥΣΑ.

τοῖς Αἰόλου δὲ πῶς μετῆν τῆς Παλλάδος;

ΙΩΝ.

ὅπλοισιν αὐτὴν, οὐ λόγοις, ἐῤῥύσατο.

ΚΡΕΟΥΣΑ.

ἐπίκουρος οἰκήτωρ γ᾽ ἂν οὐκ εἴη χθονός.

ΙΩΝ.

κἄπειτα τοῦ μέλλειν μ᾽ ἀπέκτεινες φόβῳ;

1287. πατρὸς δ᾽ οὐσίαν. 1291. ὅπλοισιν. 1293. π. δαλοῖς.

ΚΡΕΟΥΣΑ.

ὡς μὴ θάνοιμί γ', εἰ σὺ μὴ μέλλων τύχοις.

ΙΩΝ.

φθονεῖς, ἄπαις οὖσ', εἰ πατὴρ ἐξεῦρέ με;

ΚΡΕΟΥΣΑ.

σὺ τῶν ἀτέκνων δῆτ' ἀναρπάσεις δόμους;

ΙΩΝ.

ἡμῖν δέ γ' ἀλλὰ πατρικῆς οὐκ ἦν μέρος;

ΚΡΕΟΥΣΑ.

ὅσ' ἀσπὶς ἔγχος θ'· ἥδε σοι παμπησία.

ΙΩΝ.

ἔκλειπε βωμὸν καὶ θεηλάτους ἕδρας.

ΚΡΕΟΥΣΑ.

τὴν σὴν ὅπου σοι μητέρ' ἐστι, νουθέτει.

ΙΩΝ.

σὺ δ' οὐχ ὑφέξεις ζημίαν, κτείνουσ' ἐμέ;

ΚΡΕΟΥΣΑ.

ἤν γ' ἐντὸς ἀδύτων τῶνδέ με σφάξαι θέλῃς.

ΙΩΝ.

τίς ἡδονή σοι θεοῦ θανεῖν ἐν στέμμασιν;

ΚΡΕΟΥΣΑ.

λυπήσομέν τιν', ὧν λελυπήμεσθ' ὕπο.

ΙΩΝ.

(φεῦ.) δεινόν γε, θνητοῖς τοὺς νόμους ὡς οὐ κα-
λῶς
ἔθηκεν ὁ θεὸς, οὐδ' ἀπὸ γνώμης σοφῆς·
τοὺς μὲν γὰρ ἀδίκους βωμὸν οὐχ ἵζειν ἐχρῆν,
ἀλλ' ἐξελαύνειν· οὐδὲ γὰρ ψαύειν καλὸν
θεῶν πονηρὰν χεῖρα, τοῖσι δ' ἐνδίκοις

1304. ἔγχος θ', ἢ δέ σοι π.

ἱερὰ καθίζειν, ὅςτις ἠδικεῖτ', ἐχρῆν,
καὶ μὴ 'πὶ ταὐτὸ τοῦτ' ἰόντ' ἔχειν ἴσον
τόν τ' ἐσθλὸν ὄντα τόν τε μὴ θεῶν πάρα.

ΠΥΘΙΑ.

ἐπίσχες, ὦ παῖ· τρίποδα γὰρ χρηστήριον
λιποῦσα, θριγκοῦ τοῦδ' ὑπερβάλλω ποδὶ
Φοίβου προφῆτις, τρίποδος ἀρχαῖον νόμον
σώζουσα, πασῶν Δελφίδων ἐξαίρετος.

ΙΩΝ.

χαῖρ', ὦ φίλη μοι μῆτερ, οὐ τεκοῦσά περ.

ΠΥΘΙΑ.

ἀλλ' οὖν λεγώμεθ'· ἡ φάτις δ' οὔ μοι πικρά.

ΙΩΝ.

ἤκουσας, ὥς μ' ἔκτεινεν ἥδε μηχαναῖς;

ΠΥΘΙΑ.

ἤκουσα· καὶ σύ γ', ὠμὸς ὢν, ἁμαρτάνεις.

ΙΩΝ.

οὐ χρή με τοὺς κτείνοντας ἀνταπολλύναι;

ΠΥΘΙΑ.

προγόνοις δάμαρτες δυσμενεῖς ἀεί ποτε.

ΙΩΝ.

ἡμεῖς δὲ μητρυιαῖς γε, πάσχοντες κακῶς.

ΠΥΘΙΑ.

μὴ ταῦτα· λείπων ἱερὰ καὶ στείχων πάτραν —

ΙΩΝ.

τί δή με δρᾶσαι νουθετούμενον χρεών;

ΠΥΘΙΑ.

καθαρῶς 'Αθήνας ἔλθ' ὑπ' οἰωνῶν καλῶν.

1329. μητρ. τε.

Ι Ω Ν.

καθαρὸς ἅπας τοι, πολεμίους ὃς ἂν κτάνῃ.

Π Υ Θ Ι Α.

μὴ σύ γε· παρ' ἡμῶν δ' ἔκλαβ' οὓς ἔγω λόγους.

Ι Ω Ν.

λέγοις ἄν· εὔνους δ' οὖσ' ἐρεῖς, ὅσ' ἂν λέγῃς.

Π Υ Θ Ι Α.

ὁρᾷς τόδ' ἄγγος χερὸς ὑπ' ἀγκάλαις ἐμαῖς;

Ι Ω Ν.

ὁρῶ παλαιὰν ἀντίπηγ' ἐν στέμμασιν.

Π Υ Θ Ι Α.

ἐν τῇδέ σ' ἔλαβον νεογόνον βρέφος ποτέ.

Ι Ω Ν.

τί φής; ὁ μῦθος εἰσενήνεκται νέος.

Π Υ Θ Ι Α.

σιγῇ γὰρ εἶχον αὐτά, νῦν δὲ δείκνυμεν.

Ι Ω Ν.

πῶς οὖν ἔκρυπτες τόδε, λαβοῦσ' ἡμᾶς πάλαι;

Π Υ Θ Ι Α.

ὁ θεός σ' ἐβούλετ' ἐν δόμοις ἔχειν λάτριν.

Ι Ω Ν.

νῦν δ' οὐχὶ χρῄζει; τῷ τόδε γνῶναί με χρή;

Π Υ Θ Ι Α.

πατέρα κατειπὼν τῆσδέ σ' ἐκπέμπει χθονός.

Ι Ω Ν.

σὺ δ' ἐκ κελευσμῶν, ἢ πόθεν, σώζεις τάδε;

Π Υ Θ Ι Α.

ἐνθύμιόν μοι τόδε τίθησι Λοξίας.

Ι Ω Ν.

τί χρῆμα δράσειν; λέγε, πέραινε σοὺς λόγους.

Π Υ Θ Ι Α.

σῶσαι τόδ' εὕρημ' ἐς τὸν ὄντα νῦν χρόνον.

Ι Ω Ν.

ἔχει δέ μοι τί κέρδος, ἢ τίνα βλάβην;

Π Υ Θ Ι Α.

ἐνθάδε κέκρυπται σπάργαν', οἷς ἐνῆσθα σύ.

Ι Ω Ν.

μητρὸς τάδ' ἡμῖν ἐκφέρεις ζητήματα.

Π Υ Θ Ι Α.

ἐπεί γ' ὁ δαίμων βούλεται, πάροιθε δ' οὔ.

Ι Ω Ν.

ὦ μακαρίων μοι φασμάτων ἥδ' ἡμέρα!

Π Υ Θ Ι Α.

λαβών νυν αὐτά, τὴν τεκοῦσαν ἐκπόνει.
πᾶσαν δ' ἐπελθὼν Ἀσιάδ' Εὐρώπης θ' ὅρους,
γνώσει τάδ' αὐτός. τοῦ θεοῦ δ' ἕκατί σε
ἔθρεψά τ', ὦ παῖ, καὶ τάδ' ἀποδίδωμί σοι,
ἃ κεῖνος ἀκέλευστόν μ' ἐβουλήθη λαβεῖν
σῶσαί θ'· ὅτου δ' ἐβούλεθ', οὐκ ἔχω λέγειν.
ᾔδει δὲ θνητῶν οὔτις ἀνθρώπων τάδε
ἔχοντας ἡμᾶς, οὐδ' ἵν' ἦν κεκρυμμένα.
καὶ χαῖρ'· ἴσον γάρ σ' ὡς τεκοῦσ' ἀσπάζομαι.
ἄρξαι δ', ὅθεν σὴν μητέρα ζητεῖν σε χρή·
πρῶτον μέν, εἴ τις Δελφίδων τεκοῦσά σε
ἐς τούσδε ναοὺς ἐξέθηκε παρθένος,
ἔπειτα δ', εἴ τις Ἑλλάς· ἐξ ἡμῶν δ' ἔχεις
ἅπαντα Φοίβου θ', ὃς μετέσχε τῆς τύχης.

Ι Ω Ν.

φεῦ, φεῦ! κατ' ὄσσων ὡς ὑγρὸν βάλλω δάκρυ,

1350. σπαργάνοισιν· οἶσθα σύ; 1354. νῦν. 1355. Ἀσίαν.

ἐκεῖσε τὸν νοῦν δοὺς, ὅθ' ἡ τεκοῦσά με,
κρυφαῖα νυμφευθεῖσ', ἀπημπόλα λάθρα,
καὶ μαστὸν οὐχ ὑπέσχεν· ἀλλ' ἀνώνυμος
ἐν θεοῦ μελάθροις εἶχον οἰκέτην βίον.
τὰ τοῦ θεοῦ μὲν χρηστὰ, τοῦ δὲ δαίμονος
βαρέα· χρόνον γὰρ, ὅν μ' ἐχρῆν ἐν ἀγκάλαις
μητρὸς τρυφῆσαι καί τι τερφθῆναι βίου,
ἀπεστερήθην φιλτάτης μητρὸς τροφῆς.
τλήμων δὲ χἠ τεκοῦσά μ', ὡς ταὐτὸν πάθος
πέπονθε, παιδὸς ἀπολέσασα χαρμονάς.
καὶ νῦν λαβὼν τήνδ' ἀντίπηγ', οἴσω θεῷ
ἀνάθημ', ἵν' εὕρω μηδὲν, ὧν οὐ βούλομαι.
εἰ γάρ με δούλη τυγχάνει τεκοῦσά τις,
εὑρεῖν κάκιον μητέρ', ἢ σιγῶντ' ἐᾷν.
ὦ Φοῖβε, ναοῖς ἀνατίθημι τήνδε σοῖς.
καίτοι τί πάσχω; τοῦ θεοῦ προθυμίᾳ
πολεμῶ, τὰ μητρὸς σύμβολ' ὅς γ' ἔσωσέ μοι.
ἀνοικτέον τάδ' ἐστι καὶ τολμητέον.
τὰ γὰρ πεπρωμέν' οὐδ' ὑπερβαίην ποτ' ἄν.
ὦ στέμμαθ' ἱερὰ, τί ποτέ μοι κεκεύθατε,
καὶ σύνδεθ', οἷσι τἄμ' ἐφρουρήθη φίλα;
ἰδοὺ περίπτυγμ' ἀντίπηγος εὐκύκλου,
ὡς οὐ γεγήρακ' ἔκ τινος θεηλάτου,
εὐρώς τ' ἄπεστι πλεγμάτων· ὁ δ' ἐν μέσῳ
χρόνος πολὺς δὴ τοῖσδε θησαυρίσμασιν.

ΚΡΕΟΥΣΑ.

τί δῆτα φάσμα τῶν ἀνελπίστων ὁρῶ;

ΙΩΝ.

σιγᾶν σὺ πολλὰ καὶ πάροιθεν οἶσθά μοι.

1377. τλ. δὲ θ' ἡ τεκ. 1380. μηθέν.

ΚΡΕΟΥΣΑ.

οὐκ ἐν σιωπῇ τἀμά· μή με νουθέτει.
ὁρῶ γὰρ ἄγγος, οὑξέθηκ' ἐγώ ποτε,
σέ γ', ὦ τέκνον μοι, βρέφος ἔτ' ὄντα νήπιον,
Κέκροπος ἐς ἄντρα καὶ Μακρὰς πετρηρεφεῖς.
λείψω δὲ βωμὸν τόνδε, κεἰ θανεῖν με χρή.

ΙΩΝ.

λάζυσθε τήνδε· θεομανὴς γὰρ ἥλατο,
βωμοῦ λιποῦσα ξόανα· δεῖτε δ' ὠλένας.

ΚΡΕΟΥΣΑ.

σφάζοντες οὐ λήγοιτ' ἄν· ὡς ἀνθέξομαι
καὶ τῆσδε καὶ σοῦ τῶν τ' ἔσω κεκρυμμένων.

ΙΩΝ.

τάδ' οὐχὶ δεινά; ῥυσιάζομαι λόγῳ.

ΚΡΕΟΥΣΑ.

οὐκ· ἀλλὰ σοῖς φίλοισιν εὑρίσκει φίλος.

ΙΩΝ.

ἐγὼ φίλος σός; κᾆτά μ' ἔκτεινες λάθρα;

ΚΡΕΟΥΣΑ.

παῖς γ', εἰ τόδ' ἐστὶ τοῖς τεκοῦσι φίλτατον.

ΙΩΝ.

παῦσαι πλέκουσα· λήψομαί σ' ἐγὼ καλῶς.

ΚΡΕΟΥΣΑ.

ἐς τοῦθ' ἱκοίμην, τοῦδε τοξεύω, τέκνον.

ΙΩΝ.

κενὸν τόδ' ἄγγος, ἢ στέγει πλήρωμά τι;

ΚΡΕΟΥΣΑ.

σά γ' ἔνδυθ', οἷσί σ' ἐξέθηκ' ἐγώ ποτε.

1397. ᾧ 'ξέθηκ'. 1404. τῶν τε σῶν κεκρ. 1409. λήψομαι δ' ἐγώ.

Ι Ω Ν.

καὶ τοὔνομ᾽ αὐτῶν ἐξερεῖς, πρὶν εἰσιδεῖν;

Κ Ρ Ε Ο Υ Σ Α.

κἂν μὴ φράσω γε, κατθανεῖν ὑφίσταμαι.

Ι Ω Ν.

λέγ᾽· ὡς ἔχει τι δεινὸν ἥ τόλμα γέ σου.

Κ Ρ Ε Ο Υ Σ Α.

σκέψασθ᾽, ὃ παῖς ποτ᾽ οὖσ᾽ ὕφασμ᾽ ὕφην᾽ ἐγώ.

Ι Ω Ν.

ποῖόν τι; πολλὰ παρθένων ὑφάσματα.

Κ Ρ Ε Ο Υ Σ Α.

οὐ τέλεον, οἷον δ᾽ ἐκδίδαγμα κερκίδος.

Ι Ω Ν.

μορφὴν ἔχον τίν᾽; ὥς με μὴ ταύτῃ λάβῃς.

Κ Ρ Ε Ο Υ Σ Α.

Γοργὼν μὲν ἐν μέσοισιν ἠτρίοις πέπλων.

Ι Ω Ν.

ὦ Ζεῦ, τίς ἡμᾶς ἐκκυνηγετεῖ πότμος;

Κ Ρ Ε Ο Υ Σ Α.

κεκρασπέδωταί τ᾽ ὄφεσιν, αἰγίδος τρόπον.

Ι Ω Ν.

(ἰδού.) τόδ᾽ ἔσθ᾽ ὕφασμα δέσμα θ᾽ ὡς εὑρίσκομεν.

Κ Ρ Ε Ο Υ Σ Α.

ὦ χρόνιον ἱστῶν παρθένευμα τῶν ἐμῶν.

Ι Ω Ν.

ἔστιν τι πρὸς τῷ γ᾽, ἢ μόνῳ τῷδ᾽ εὐτυχεῖς;

Κ Ρ Ε Ο Υ Σ Α.

δράκοντες ἀρχαῖόν τι πάγχρυσοι γένυν.

1420. ἠτρίων. 1423. θέσφαθ᾽, ὡς. 1426. παγχρύσῳ γένυ.

Ι Ω Ν.

δώρημ᾽ Ἀθάνας, ἣ τέκν᾽ ἐντρέφειν λέγει;

Κ Ρ Ε Ο Υ Σ Α.

Ἐριχθονίου γε τοῦ πάλαι μιμήματα.

Ι Ω Ν.

τί δρᾶν, τί χρῆσθαι; φράζε μοι χρυσώματα.

Κ Ρ Ε Ο Υ Σ Α.

δέραια παιδὶ νεογόνῳ φέρειν, τέκνον.

Ι Ω Ν.

ἔνεισιν οἵδε· τὸ δὲ τρίτον ποθῶ μαθεῖν.

Κ Ρ Ε Ο Υ Σ Α.

στέφανον ἐλαίας ἀμφέθηκά σοι τότε,
ἣν πρῶτ᾽ Ἀθάνας σκόπελος ἐξηνέγκατο.
ὅς, εἴπερ ἐστὶν, οὔποτ᾽ ἐκλείπει χλόην,
θάλλει δ᾽ ἐλαίας ἐξ ἀκηράτου γεγώς.

Ι Ω Ν.

ὦ φιλτάτη μοι μῆτερ, ἄσμενός σ᾽ ἰδὼν
πρὸς ἀσμένας πέπτωκα σὰς παρηΐδας.

Κ Ρ Ε Ο Υ Σ Α.

ὦ τέκνον, ὦ φῶς μητρὶ κρεῖσσον ἡλίου, —
συγγνώσεται γὰρ ὁ θεὸς — ἐν χεροῖν σ᾽ ἔχω,
ἄελπτον εὕρημ᾽, ὃν κατὰ γᾶς ἐνέρων
χθόνιον μετὰ Περσεφόνας τ᾽ ἐδόκουν ναίειν!

Ι Ω Ν.

ἀλλ᾽, ὦ φίλη μοι μῆτερ, ἐν χεροῖν σέθεν
ὁ κατθανών τε κοὐ θανὼν φαντάζομαι.

Κ Ρ Ε Ο Υ Σ Α.

ἰὼ ἰὼ, λαμπρᾶς αἰθέρος ἀμπτυχαί,

S 2

1433. εἰσηνέγκατο. 1444. ἀναπτυχαί.

τίν' αὐδὰν ἀΰσω,
βοάσω; πόθεν μοι
συνέκυρσ' ἀδόκητος ἀδονά; πόθεν
ἐλάβομεν χαράν;

ΙΩΝ.

ἐμοὶ γενέσθαι πάντα μᾶλλον ἄν ποτε,
μῆτερ, παρέστη τῶνδ', ὅπως σός εἰμ' ἐγω.

ΚΡΕΟΥΣΑ.

ἔτι φόβῳ τρέμω.

ΙΩΝ.

μῶν οὐκ ἔχειν μ' ἔχουσα;

ΚΡΕΟΥΣΑ.

τὰς γὰρ ἐλπίδας ἀπέβαλον πρόσω.
ἰὼ γύναι, πόθεν πόθεν ἔλαβες ἐ-
μῶν βρέφος ἀγκαλῶν;
τίν' ἀνὰ χεῖρα δόμους ἔβα Λοξίου;

ΙΩΝ.

θεῖον τόδ'· ἀλλὰ τἀπίλοιπα τῆς τύχης
εὐδαιμονοῖμεν, ὡς τὰ πρόσθε δυστυχῆ.

ΚΡΕΟΥΣΑ.

τέκνον, οὐκ ἀδάκρυτος ἐκλοχεύῃ,
γόοις δὲ ματρὸς ἐκ χερῶν ὁρίζῃ·
νῦν δὲ γενειάσιν παρὰ σέθεν πνέω,
μακαριωτάτας τυχοῦσ' ἀδονᾶς.

ΙΩΝ.

τοὐμὸν λέγουσα καὶ τὸ σὸν κοινῶς λέγεις.

ΚΡΕΟΥΣΑ.

ἄπαιδες οὐκέτ' ἐσμὲν οὐδ' ἄτεκνοι·
δῶμα δ' ἑστιοῦται, τάδε δ' ἔχει τυράννους·

1454. πόθεν semel. 1461. γενειάσι. 1462. ἡδονᾶς.

ἀνηβᾷ δ' Ἐρεχθεὺς,
ὅ τε γηγενέτας δόμος οὐκέτι
νύκτας δέρκεται,
ἀλίου δ' ἀναβλέπει λαμπάσιν.

ΙΩΝ.

μῆτερ, παρών μοι καὶ πατὴρ μετασχέτω
τῆς ἡδονῆς τῆσδ', ἧς ἔδωχ' ὑμῖν ἐγώ.

ΚΡΕΟΥΣΑ.

ὦ τέκνον, τί φής; οἷον οἷον ἀνελέγχομαι!

ΙΩΝ.

πῶς εἶπας;

ΚΡΕΟΥΣΑ.

ἄλλοθεν γέγονας ἄρ', ἄλλοθεν.

ΙΩΝ.

ὤμοι! νόθον με παρθένευμ' ἔτικτε σόν.

ΚΡΕΟΥΣΑ.

οὐχ ὑπὸ λαμπάδων, οὐδὲ χορευμάτων
ὑμέναιος ἐμὸς,
τέκνον, ἔτικτε σὸν κάρα.

ΙΩΝ.

αἶ αἶ! πέφυκα δυσγενὴς, μῆτερ, πόθεν;

ΚΡΕΟΥΣΑ.

ἴστω Γοργοφόνα —

ΙΩΝ.

τί τοῦτ' ἔλεξας;

ΚΡΕΟΥΣΑ.

ἃ σκοπέλοις ἐπ' ἐμοῖς
τὸν ἐλαιοφυῆ πάγον θάσσει.

1469. λαμπάσι. 1472. Verba: οἷον — et rel. dantur Ioni. 1473. Totus vs. datur Creusae. Ib. γέγονας γάρ.

Ι Ω Ν.

λέγεις μοι δόλια, κοὐ σαφῆ τάδε.

Κ Ρ Ε Ο Υ Σ Α.

παρ' ἀηδόνιον πέτραν Φοίβῳ —

Ι Ω Ν.

τί Φοῖβον αὐδᾷς;

Κ Ρ Ε Ο Υ Σ Α.

κρυπτόμενον λέχος ηὐνάσθην.

Ι Ω Ν.

λέγ'· ὡς ἐρεῖς τι κεδνὸν εὐτυχές τέ μοι.

Κ Ρ Ε Ο Υ Σ Α.

δεκάτῳ δέ σε μηνὸς ἐν κύκλῳ
κρύφιόν γ' ὠδῖν' ἔτεκον Φοίβῳ.

Ι Ω Ν.

ὦ φίλτατ' εἰποῦσ', εἰ λέγεις ἐτήτυμα.

Κ Ρ Ε Ο Υ Σ Α.

παρθένια δ' ἐμᾶς ματέρας
σπάργαν' ἀμφιβολά σοι τάδε
ἐνῆψα, κερκίδος ἐμᾶς πλάνους.
γάλακτι δ' οὐκ ἐπέσχον, οὐδὲ μαστῷ
τροφεῖα ματρὸς, οὐδὲ λουτρὰ χειροῖν,
ἀνὰ δ' ἄντρον ἔρημον οἰωνῶν
γαμφηλαῖς φόνευμα θοίναμά τ' εἰς
ᾅδαν ἐκβάλλῃ.

Ι Ω Ν.

ὦ δεινὰ τλᾶσα μῆτερ!

Κ Ρ Ε Ο Υ Σ Α.

ἐν φόβῳ καταδεθεῖσα σὰν

1488. deest γ'. 1494. χεροῖν. 1497. ἀΐδαν.

ψυχὰν ἀπέβαλον, τέκνον·
ἔκτεινά σ' ἄκουσ'.

Ι Ω Ν.

ἐξ ἐμοῦ τ' οὐχ ὅσι' ἔθνησκες.

Κ Ρ Ε Ο Υ Σ Α.

ἰώ! δειναὶ μὲν αἱ τότε τύχαι,
δειλαιὰ δὲ καὶ τάδ'· ἑλισ-
σόμεσθ' ἐκεῖθεν ἐνθάδε δυστυχίαις
εὐτυχίαις τε πάλιν,
μεθίσταται δὲ πνεύματα.
μενέτω· τὰ πάροιθεν ἅλις κακά· νῦν δ'
ἐγένετό τις οὖρος ἐκ κακῶν, ὦ παῖ.

Χ Ο Ρ Ο Σ.

μηδεὶς δοκείτω μηδὲν ἀνθρώπων ποτὲ
ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν.

Ι Ω Ν.

ὦ μεταβαλοῦσα μυρίους ἤδη βροτῶν
καὶ δυστυχῆσαι καὖθις αὖ πρᾶξαι καλῶς,
Τύχη, παρ' οἵαν ἤλθομεν στάθμην βίου,
μητέρα φονεῦσαι καὶ παθεῖν ἀνάξια.
(φεῦ!) ἆρ' ἐν φαενναῖς ἡλίου περιπτυχαῖς
ἔνεστι πάντα τάδε καθ' ἡμέραν μαθεῖν;
φίλον μὲν οὖν σ' εὕρημα, μῆτερ, εὕρομεν,
καὶ τὸ γένος οὐδὲν μεμπτὸν ὡς ἡμῖν τόδε·
τὰ δ' ἄλλα πρὸς σὲ βούλομαι μόνην φράσαι.
δεῦρ' ἔλθ'· ἐς οὖς γὰρ τοὺς λόγους εἰπεῖν θέλω,
καὶ περικαλύψαι τοῖσι πράγμασι σκότον.
ὅρα σὺ, μῆτερ, μὴ σφαλεῖσ', ἃ παρθένοις

1503. deest αἱ. 1505. ἑλισσόμεσθ' — δυστυχίαισιν. 1515. καὖθις εὖ. 1517. μαθεῖν. 1523. σφαλεῖσα παρθένος.

ἐγγίγνεται νοσήματ᾽, ἐς κρυπτοὺς γάμους,
ἔπειτα τῷ θεῷ προστιθῇς τὴν αἰτίαν,
καὶ τοὐμὸν αἰσχρὸν ἀποφυγεῖν πειρωμένη,
Φοίβῳ τεκεῖν με φῄς, τεκοῦσ᾽ οὐκ ἐκ θεοῦ.

ΚΡΕΟΥΣΑ.

μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε
Νίκην Ἀθάναν Ζηνὶ γηγενεῖς ἔπι,
οὐκ ἔστιν ὅστις σοι πατὴρ θνητῶν, τέκνον,
ἀλλ᾽ ὅσπερ ἐξέθρεψε Λοξίας ἄναξ.

ΙΩΝ.

πῶς οὖν τὸν αὑτοῦ παῖδ᾽ ἔδωκ᾽ ἄλλῳ πατρὶ,
Ξούθου τέ φησι παῖδά μ᾽ ἐκπεφυκέναι;

ΚΡΕΟΥΣΑ.

πεφυκέναι μὲν οὐχὶ, δωρεῖται δέ σε
αὑτοῦ γεγῶτα· καὶ γὰρ ἂν φίλος φίλῳ
δοίη τὸν αὑτοῦ παῖδα δεσπότην δόμων.

ΙΩΝ.

ὁ θεὸς ἀληθὴς, ἢ μάτην μαντεύεται,
ἐμοῦ ταράσσει, μῆτερ, εἰκότως φρένα.

ΚΡΕΟΥΣΑ.

ἄκουε δή νυν, ἅμ᾽ ἐςῆλθεν, ὦ τέκνον·
εὐεργετῶν σε Λοξίας ἐς εὐγενῆ
δόμον καθίζει· τοῦ θεοῦ δὲ λεγόμενος,
οὐκ ἔσχες ἂν ποτ᾽ οὔτε παγκλήρους δόμους,
οὔτ᾽ ὄνομα πατρός. πῶς γὰρ, οὗ γ᾽ ἐγὼ γάμους
ἔκρυπτον αὐτὴ καί σ᾽ ἀπέκτεινον λάθρα;
ὁ δ᾽ ὠφελῶν σε προστίθησ᾽ ἄλλῳ πατρί.

1524. νοσήματ᾽ εἰς. 1526. προστιθεῖς. 1527. φῄς.
1529. Ἀθηνᾶν. 1539. δὴ νῦν.

ΙΩΝ.

οὐχ ὧδε φαύλως αὔτ᾽ ἐγὼ μετέρχομαι,
ἀλλ᾽ ἱστορήσω Φοῖβον εἰςελθὼν δόμους,
εἴτ᾽ εἰμὶ θνητοῦ πατρὸς, εἴτε Λοξίου.
ἔα· τίς οἴκων θυοδόκων ὑπερτελὴς
ἀνθήλιον πρόςωπον ἐκφαίνει θεῶν;
φεύγωμεν, ὦ τεκοῦσα, μὴ τὰ δαιμόνων
ὁρῶμεν, εἰ μὴ καιρός ἐσθ᾽ ἡμᾶς ὁρᾶν.

ΑΘΗΝΑ.

μὴ φεύγετ᾽· οὐ γὰρ πολεμίαν με φεύγετε,
ἀλλ᾽ ἔν τ᾽ Ἀθήναις κἀνθάδ᾽ οὖσαν εὐμενῆ.
ἐπώνυμος δὲ σῆς ἀφικόμην χθονὸς,
Παλλὰς, δρόμῳ σπεύσασ᾽ Ἀπόλλωνος πάρα,
ὃς ἐς μὲν ὄψιν σφῷν μολεῖν οὐκ ἠξίου,
μὴ τῶν πάροιθε μέμψις ἐς μέσον μόλῃ,
ἡμᾶς δὲ πέμπει τοὺς λόγους ὑμῖν φράσαι,
ὡς ἥδε τίκτει σ᾽ ἐξ Ἀπόλλωνος πατρὸς,
δίδωσι δ᾽ οἷς ἔδωκεν, οὐ φύσασί σε,
ἀλλ᾽ ὡς κομίζῃς οἶκον εὐγενέστατον.
ἐπεὶ δ᾽ ἀνεῴχθη πρᾶγμα μηνυθὲν τόδε,
θανεῖν σε δείσας μητρὸς ἐκ βουλευμάτων
καὶ τήνδε πρὸς σοῦ, μηχαναῖς ἐῤῥύσατο.
ἔμελλε δ᾽, αὐτὰ διασιωπήσας ἄναξ,
ἐν ταῖς Ἀθήναις γνωριεῖν ταύτην τε σὴν
σέ θ᾽, ὡς πέφυκας τῆςδε καὶ Φοίβου πατρός.
ἀλλ᾽ ὡς περαίνω πρᾶγμα καὶ χρησμοὺς θεῷ,
ἐφ᾽ οἷς ἐζεύξαθ᾽ ἅρματ᾽, εἰςακούσατον.
λαβοῦσα τόνδε παῖδα, Κεκροπίαν χθόνα
χώρει, Κρέουσα, κεἰς θρόνους τυραννικοὺς

1558. μέμψιν. 1562. κομίζεις. 1563. ἀνῴχθη. 1570. ἐζεύξασθ᾽.

ἵδρυσον· ἐκ γὰρ τῶν Ἐρεχθέως γεγὼς,
δίκαιος ἄρχειν τῆς γ' ἐμῆς ὅδε χθονός.
ἔσται τ' ἀν' Ἑλλάδ' εὐκλεής· οἱ τοῦδε γὰρ
παῖδες γενόμενοι τέσσαρες ῥίζης μιᾶς,
ἐπώνυμοι γῆς κἀπιφυλίου χθονὸς
λαῶν ἔσονται, σκόπελον οἳ ναίουσ' ἐμόν.
Τελέων μὲν ἔσται πρῶτος· εἶτα δεύτερον
Ὅπλητες Ἀργαδεῖς τ' ἐμῆς τ' ἀπ' Αἰγίδος
ἔμφυλον ἕξουσ' Αἰγικορεῖς. οἱ τῶνδε δ' αὖ
παῖδες γενόμενοι σὺν χρόνῳ πεπρωμένῳ
Κυκλάδας ἐποικήσουσι νησαίας πόλεις
χέρσους τε παράλους, ὃ σθένος τῇ 'μῇ χθονὶ
δίδωσιν· ἀντίπορθμα δ' ἠπείροιν δυοῖν
πεδία κατοικήσουσιν, Ἀσιάδος τε γῆς
Εὐρωπίας τε· τοῦδε δ' ὀνόματος χάριν
Ἴωνες ὀνομασθέντες ἕξουσιν κλέος.
Ξούθῳ δὲ καὶ σοὶ γίγνεται κοινὸν γένος,
Δῶρος μὲν, ἔνθεν Δωρὶς ὑμνηθήσεται
πόλις κατ' αἶαν Πελοπίαν γ'· ὁ δεύτερος
Ἀχαιὸς, ὃς γῆς παραλίας Ῥίου πέλας
τύραννος ἔσται, κἀπισημανθήσεται
κείνου κεκλῆσθαι λαὸς ὄνομ' ἐπώνυμος.
καλῶς δ' Ἀπόλλων πάντ' ἔπραξε· πρῶτα μὲν
ἄνοσον λοχεύει σ', ὥςτε μὴ γνῶναι φίλους·
ἐπεὶ δ' ἔτικτες τόνδε παῖδα κἀπέθου
ἐν σπαργάνοισιν, ἁρπάσαντ' ἐς ἀγκάλας
Ἑρμῆν κελεύει δεῦρο πορθμεῦσαι βρέφος,
ἔθρεψέ τ', οὐδ' εἴασεν ἐκπνεῦσαι βίον.

1580. Ἐργαδεῖς.

νῦν οὖν σιώπα, παῖς ὅδ' ὡς πέφυκε σὸς,
ἵν' ἡ δόκησις Ξοῦθον ἡδέως ἔχῃ,
σύ τ' αὖ τὰ σαυτῆς ἀγάθ' ἔχουσ' εἴης, γύναι.
καὶ χαίρετ'· ἐκ γὰρ τῆσδ' ἀναψυχῆς πόνων
εὐδαίμον' ὑμῖν πότμον ἐξαγγέλλομαι.

Ι Ω Ν.

ὦ Διὸς Παλλὰς μεγίστου θύγατερ, οὐκ ἀπιστίᾳ
σοὺς λόγους ἐνδεξόμεσθα· πείθομαι δ' εἶναι πατρὸς
Λοξίου καὶ τῆσδε· καὶ πρὶν τοῦτο δ' οὐκ ἄπιστον ἦν.

Κ Ρ Ε Ο Υ Σ Α.

τἀμὰ νῦν ἄκουσον· αἰνῶ Φοῖβον οὐκ αἰνοῦσα πρὶν,
οὕνεχ', οὗ ποτ' ἠμέλησε παιδὸς, ἀποδίδωσί μοι.
αἵδε δ' εὐωποὶ πύλαι μοι καὶ θεοῦ χρηστήρια,
δυςμενῆ πάροιθεν ὄντα. νῦν δὲ καὶ ῥόπτρων χέρας
ἡδέως ἐκκρημνάμεσθα, καὶ προςεννέπω πύλας.

Α Θ Η Ν Α.

ἤνεσ', οὕνεκ' εὐλογεῖς θεὸν μεταβαλοῦσ'· ἀεί δέ που
χρόνια μὲν τὰ τῶν θεῶν πως, ἐς τέλος δ' οὐκ ἀσθενῆ.

Κ Ρ Ε Ο Υ Σ Α.

ὦ τέκνον, στείχωμεν οἴκους.

Α Θ Η Ν Α.

στείχεθ', ἕψομαι δ' ἐγώ.

Κ Ρ Ε Ο Υ Σ Α.

ἀξία γ' ἡμῶν ὁδουρὸς καὶ φιλοῦσά γε πτόλιν.

ΑΘΗΝΑ.

ἐς θρόνους δ' ἵζου παλαιούς.

ΚΡΕΟΥΣΑ.

ἄξιον τὸ κτῆμά μοι.

ΧΟΡΟΣ.

ὦ Διὸς Λητοῦς τ' Ἄπολλον, χαῖρ'· ὅτῳ δ' ἐλαύνεται
συμφοραῖς οἶκος, σέβοντα δαίμονας θαῤῥεῖν χρεών·
ἐς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
οἱ κακοὶ δ', ὥςπερ πεφύκασ', οὔποτ' εὖ πράξειαν ἄν.

1618. γ' ἵζου.

ΤΕΛΟΣ ΙΩΝΟΣ.

ΕΥΡΙΠΙΔΟΥ

ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἡρακλῆς, γήμας Μεγάραν τὴν Κρέοντος, παῖδας ἐξ αὐτῆς ἐγέννησε· καταλιπὼν δὲ τούτους ἐν ταῖς Θήβαις, αὐτὸς εἰς Ἄργος ἦλθεν, Εὐρυσθεῖ τοὺς ἄθλους ἐκπονήσων. πάντων δὲ περιγενόμενος, ἐπὶ πᾶσιν εἰς Ἅιδου κατῆλθε. καὶ πολὺν ἐκεῖ διατρίψας χρόνον, δόξαν ἀπέλιπε παρὰ τοῖς ζῶσιν, ὡς εἴη τεθνηκώς· στασιάσαντες δὲ οἱ Θηβαῖοι πρὸς τὸν δυνάστην Κρέοντα, Λύκον ἐκ τῆς Εὐβοίας κατήγαγον. * * *

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΜΦΙΤΡΥΩΝ.
ΜΕΓΑΡΑ.
ΛΥΚΟΣ.
ΙΡΙΣ.
ΛΥΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΗΡΑΚΛΗΣ.
ΘΗΣΕΥΣ.
ΧΟΡΟΣ Θηβαίων γερόντων.

Προλογίζει δὲ ὁ Ἀμφιτρύων.

ΕΥΡΙΠΙΔΟΥ ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ.

ΑΜΦΙΤΡΥΩΝ.

Τίς τὸν Διὸς σύλλεκτρον οὐκ οἶδεν βροτῶν,
Ἀργεῖον Ἀμφιτρύων', ὃν Ἀλκαῖός ποτε
ἔτιχθ' ὁ Περσέως, πατέρα τόνδ' Ἡρακλέους;
ὃς τάσδε Θήβας ἔσχεν, ἔνθ' ὁ γηγενὴς
Σπαρτῶν στάχυς ἔβλαστεν, ὧν γένους Ἄρης
ἔσωσ' ἀριθμὸν ὀλίγον, οἳ Κάδμου πόλιν
πυργοῦσι παίδων παισίν. ἔνθεν ἐξέφυ
Κρέων, Μενοικέως παῖς, ἄναξ τῆσδε χθονός.
Κρέων δὲ Μεγάρας τῆσδε γίγνεται πατὴρ,
ἣν πάντες ὑμεναίοισι Καδμεῖοί ποτε
λωτῷ συνηλάλαξαν, ἡνίκ' εἰς ἐμοὺς
δόμους ὁ κλεινὸς Ἡρακλῆς νιν ἤγετο.
λιπὼν δὲ Θήβας, οὗ κατῳκίσθην ἐγὼ,
Μεγάραν τε τήνδε πενθεροὺς τε παῖς ἐμὸς,
Ἀργεῖα τείχη καὶ Κυκλωπείαν πόλιν
ὠρέξατ' οἰκεῖν, ἣν ἐγὼ φεύγω, κτανὼν

1. οἶδε M. 3. ἔτικτεν ὁ M. Ib. Ἡρακλέος M. 5. στάχυς γ' M. 14. Μεγ. δὲ M.

Ἠλεκτρύωνα· συμφορὰς δὲ τὰς ἐμὰς
ἐξευμαρίζων καὶ πάτραν οἰκεῖν θέλων,
καθόδου δίδωσι μισθὸν Εὐρυσθεῖ μέγαν
ἐξημερῶσαι γαῖαν, εἴθ᾽ Ἥρας ὕπο
κέντροις δαμασθεὶς, εἴτε του χρεὼν μέτα.
καὶ τοὺς μὲν ἄλλους ἐξεμόχθησεν πόνους·
τὸ λοίσθιον δὲ, Ταινάρου διὰ στόμα
βέβηκ᾽ ἐς Ἅιδου, τὸν τρισώματον κύνα
ἐς φῶς ἀνάξων, ἔνθεν οὐχ ἥκει πάλιν.
γέρων δὲ δή τίς ἐστι Καδμείων λόγος,
ὡς ἦν πάρος Δίρκης τις εὐνήτωρ Λύκος,
τὴν ἑπτάπυργον τήνδε δεσπόζων πόλιν,
τὼ λευκοπώλω πρὶν τυραννῆσαι χθονὸς
Ἀμφίον᾽ ἠδὲ Ζῆθον, ἐκγόνω Διός.
οὗ ταὐτὸν ὄνομα παῖς πατρὸς κεκλημένος,
Καδμεῖος οὐκ ὢν, ἀλλ᾽ ἀπ᾽ Εὐβοίας μολὼν,
κτείνει Κρέοντα, καὶ κτανὼν ἄρχει χθονὸς,
στάσει νοσοῦσαν τήνδ᾽ ἐπεσπεσὼν πόλιν.
ἡμῖν δὲ κῆδος ἐς Κρέοντ᾽ ἀνηγμένον
κακὸν μέγιστον, ὡς ἔοικε, γίγνεται.
τοὐμοῦ γὰρ ὄντος παιδὸς ἐν μυχοῖς χθονὸς,
ὁ κλεινὸς οὗτος τῆσδε γῆς ἄρχων Λύκος
τοὺς Ἡρακλείους παῖδας ἐξελεῖν θέλει
κτανὼν δάμαρτά θ᾽, ὡς φόνῳ σβέσῃ φόνον,
κἄμ᾽, εἴ τι δὴ χρὴ κἄμ᾽ ἐν ἀνδράσιν λέγειν,
γέροντ᾽ ἀχρεῖον, μή ποθ᾽ οἵδ᾽ ἠνδρωμένοι,
μήτρωσιν ἐκπράξωσιν αἵματος δίκην.
ἐγὼ δὲ. — λείπει γάρ με τοῖσδ᾽ ἐν δώμασιν
τροφὸν τέκνων οἰκουρὸν, ἡνίκα χθονὸς
μέλαιναν ὄρφνην εἰσέβαινε παῖς ἐμὸς, —

σὺν μητρὶ, τέκνα μὴ θάνωσ᾽ Ἡρακλέους,
βωμὸν καθίζω τόνδε σωτῆρος Διὸς,
ὃν καλλινίκου δορὸς ἄγαλμ᾽ ἱδρύσατο
Μινύας κρατήσας οὑμὸς εὐγενὴς τόκος.
πάντων δὲ χρεῖοι τάσδ᾽ ἕδρας φυλάσσομεν,
σίτων, ποτῶν, ἐσθῆτος, ἀστρώτῳ πέδῳ
πλευρὰς τιθέντες· ἐκ γὰρ ἐσφραγισμένοι
δόμων καθήμεθ᾽ ἀπορίᾳ σωτηρίας.
φίλων δὲ τοὺς μὲν οὐ σαφεῖς ὁρῶ φίλους,
οἱ δ᾽ ὄντες ὀρθῶς ἀδύνατοι προσωφελεῖν.
τοιοῦτον ἀνθρώποισιν ἡ δυσπραξία,
ἧς μή ποτ᾽, ὅστις καὶ μέσως εὔνους ἐμοὶ,
τύχοι, φίλων ἔλεγχον ἀψευδέστατον.

ΜΕΓΑΡΑ.

ὦ πρέσβυ, Ταφίων ὅς ποτ᾽ ἐξεῖλες πόλιν,
στρατηλατήσας κλεινὰ Καδμείων δορὸς,
ὡς οὐδὲν ἀνθρώποισι τῶν θεῶν σαφές!
ἐγὼ γὰρ οὔτ᾽ ἐς πατέρ᾽ ἀπηλάθην τύχης,
ὃς οὕνεκ᾽ ὄλβου μέγας ἐκομπάσθη ποτὲ,
ἔχων τυραννίδ᾽, ἧς μακραὶ λόγχαι πέρι
πηδῶσ᾽ ἔρωτι σώματ᾽ εἰς εὐδαίμονα,
ἔχων δὲ τέκνα· κἀμ᾽ ἔδωκε παιδὶ σῷ,
ἐπίσημον εὐνὴν Ἡρακλεῖ συνοικίσας.
καὶ νῦν ἐκεῖνα μὲν θανόντ᾽ ἀνέπτατο·
ἐγὼ δὲ καὶ σὺ μέλλομεν θνήσκειν, γέρον,
οἵ θ᾽ Ἡράκλειοι παῖδες, οὓς ὑπὸ πτεροῖς
σώζω νεοσσοὺς, ὄρνις ὥς, ὑφειμένη.
οἱ δ᾽ εἰς ἔλεγχον ἄλλος ἄλλοθεν πιτνῶν,

71. ὑποπτέρους M.

ὦ μῆτερ, αὐδᾷ, ποῖ πατὴρ ἄπεστι γῆς;
τί δρᾷ; πόθ' ἥξει; τῷ νέῳ δ' ἐσφαλμένοι,
ζητοῦσι τὸν τεκόντ'· ἐγὼ δὲ διαφέρω
λόγοισι μυθεύουσα. θαυμάζω δ', ὅταν
πύλαι ψοφῶσι, πᾶς τ' ἀνίστησιν πόδα,
ὡς πρὸς πατρῷον προςπεσούμενοι γόνυ.
νῦν οὖν τίν' ἐλπίδ' ἢ πόρον σωτηρίας
ἐξευμαρίζει, πρέσβυ; πρὸς σὲ γὰρ βλέπω·
ὡς οὔτε γαίας ὅρι' ἂν ἐκβαῖμεν λάθρα· —
φυλακαὶ γὰρ ἡμῶν κρείσσονες κατ' ἐξόδους· —
οὔτ' ἐν φίλοισιν ἐλπίδες σωτηρίας
ἔτ' εἰσὶν ἡμῖν. ἥντιν' οὖν γνώμην ἔχεις,
λέγ' ἐς τὸ κοινὸν, μὴ θανεῖν ἕτοιμον ᾖ,
χρόνον δὲ μηκύνωμεν ὄντες ἀσθενεῖς.

ΑΜΦΙΤΡΥΩΝ.

ὦ θύγατερ, οὔτοι ῥᾴδιον τὰ τοιάδε
φαύλως παραινεῖν σπουδάσαντ' ἄνευ πόνου.

ΜΕΓΑΡΑ.

λύπης τι προςδεῖς; ἢ φιλεῖς οὕτω φάος;

ΑΜΦΙΤΡΥΩΝ.

καὶ τῷδε χαίρω, καὶ φιλῶ τὰς ἐλπίδας.

ΜΕΓΑΡΑ.

κἀγώ· δοκεῖν δὲ τἀδόκητ' οὐ χρὴ, γέρον.

ΑΜΦΙΤΡΥΩΝ.

ἐν ταῖς ἀναβολαῖς τῶν κακῶν ἔνεστ' ἄκη.

ΜΕΓΑΡΑ.

ὁ δ' ἐν μέσῳ με, λυπρὸς ὢν, δάκνει χρόνος.

80. ἢ πέδον σωτ. M. 83. κρέσσονες M. 90. τί προςδεῖ σ' M. 93. τῶν deest M.

ΑΜΦΙΤΡΥΩΝ.

γένοιτ' ἂν, ὦ θύγατερ, ἔτ' οὔριος δρόμος
ἐκ τῶν παρόντων τῶνδ' ἐμοὶ καὶ σοὶ κακῶν,
ἔλθοι τ' ἔτ' ἂν παῖς οὑμὸς, εὐνήτωρ δὲ σός.
ἀλλ' ἡσύχαζε καὶ δακρυῤῥόους τέκνων
πηγὰς ἀφαίρει καὶ παρευκήλει λόγοις,
κλέπτουσα μύθοις ἀθλίους κλοπὰς ὅμως.
κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ συμφοραὶ,
καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει,
οἵ τ' εὐτυχοῦντες διὰ τέλους οὐκ εὐτυχεῖς·
μεθίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα.
οὗτος δ' ἀνὴρ ἄριστος, ὅςτις ἐλπίσιν
πέποιθεν ἀεί· τὸ δ' ἀπορεῖν, ἀνδρὸς κακοῦ.

ΧΟΡΟΣ.

Ὑπώροφα μέλαθρα (στροφή.)
καὶ γεραιὰ δέμνι', ἀμφὶ βάκτροις
ἔρεισμα θέμενος, ἐστάλην ἰηλέμων
γόων ἀοιδὸς, ὥςτε πολιὸς ὄρνις,
ἔπεα μόνον καὶ δόκημα νυκτερωπὸν
ἐννύχων ὀνείρων,
τρομερὰ μὲν, ἀλλ' ὅμως πρόθυμα.
ὦ τέκεα, τέκεα, πατρὸς ἀπάτορ',
ὦ γεραιὲ, σύ τε, τάλαινα μᾶ-
τερ, ἃ τὸν Ἀίδα δόμοις
πόσιν ἀναστενάζεις!
μὴ προκάμητε πόδα (ἀντιστρ.)
βαρύ τε κῶλον, ὥςτε πρὸς πετραῖον

95. γένοιτ' ἂν, ὦ [μοι] θύγ. M. γένοιτό τἂν, ω θ. οὔρ. δ. H. 104. ἐξίσταται M. 113. τρ. μόνον M. 114. ἰὼ τέκεα π. M. Alterum τέκεα om. H.

λέπας ζυγηφόρον πῶλον ἀνέντες· ὡς
βάρος φέρων τροχηλάτοιο κώλου,
λαβοῦ χερῶν καὶ πέπλων, ὅτου λέλοιπε
ποδὸς ἀμαυρὸν ἴχνος·
γέρων γέροντα παρακόμιζε,
τὸ πάρος ἐν ἡλίκων πόνοις
ᾧ ξύναπλα δόρατα νέα νέῳ
ξυνῆν ποτ᾽, εὐκλεεστάτας
πατρίδος οὐκ ὀνείδη.
ἴδετε, πατρὸς ὡς (ἐπῳδός.)
γοργῶπες αἵδε προσφερεῖς
ὀμμάτων αὐγαί.
τὰ δὲ δὴ κακοτυχὲς οὐ λέλοιπεν ἐκ τέκνων,
οὐδ᾽ ἀποίχεται χάρις.
Ἑλλὰς ὦ ξυμμάχους
οἵους οἵους ὀλέσασα
τούςδ᾽ ἀποστερήσῃ!

ΛΥΚΟΣ.

τὸν Ἡράκλειον πατέρα καὶ ξυνάορον,
εἰ χρή μ᾽, ἐρωτῶ· χρὴ δ᾽, ἐπείγε δεσπότης
ὑμῶν καθέστηχ᾽, ἱστορεῖν, ἃ βούλομαι.
τίν᾽ ἐς χρόνον ζητεῖτε μηκῦναι βίον;
τίν᾽ ἐλπίδ᾽ ἀλκήν τ᾽ εἰςορᾶτε μὴ θανεῖν;
ἢ τὸν παρ᾽ Ἅιδῃ πατέρα τῶνδε κείμενον
πιστεύεθ᾽ ἥξειν; ὡς ὑπὲρ τὴν ἀξίαν
τὸ πένθος αἴρεσθ᾽, εἰ θανεῖν ὑμᾶς χρεών,
σὺ μὲν καθ᾽ Ἑλλάδ᾽ ἐκβαλὼν κόμπους κενοὺς,

120. λ. ζυγοφόρον πῶλον, .. ἀνέντες H. 121. φέρω H. 126. δούρατα M. 142. ἢ. 143. ὥςθ᾽ ὑπὲρ.

ὡς σύγγαμός σοι Ζεὺς τέκοι νέον θεὸν,
σὺ δ᾽, ὡς ἀρίστου φωτὸς ἐκλήθης δάμαρ·
τί δὴ τὸ σεμνὸν σῷ κατείργασται πόσει,
Ὕδραν ἕλειον εἰ διώλεσε κτανὼν,
ἢ τὸν Νέμειον θῆρ᾽; ὃν ἐν βρόχοις ἑλὼν,
βραχίονός φησ᾽ ἀγχόναισιν ἐξελεῖν.
τοῖςδ᾽ ἐξαγωνίζεσθε; τῶνδ᾽ ἆρ᾽ οὕνεκεν
τοὺς Ἡρακλείους παῖδας οὐ θνήσκειν χρεών;
ὃς ἔσχε δόξαν, οὐδὲν ὢν, εὐψυχίας,
θηρῶν ἐν αἰχμῇ, τἄλλα δ᾽ οὐδὲν ἄλκιμος,
ὃς οὔποτ᾽ ἀσπίδ᾽ ἔσχε πρὸς λαιᾷ χερὶ,
οὐδ᾽ ἦλθε λόγχης ἐγγὺς, ἀλλὰ τόξ᾽ ἔχων,
κάκιστον ὅπλον, τῇ φυγῇ πρόχειρος ἦν.
ἀνδρὸς δ᾽ ἔλεγχος οὐχὶ τόξ᾽ εὐψυχίας,
ἀλλ᾽ ὃς μένων βλέπει τε κἀντιδέρκεται
δορὸς ταχεῖαν ἄλοκα, τάξιν ἐμβεβώς.
ἔχει δὲ τοὐμὰν οὐκ ἀναίδειαν, γέρον,
ἀλλ᾽ εὐλάβειαν· οἶδα γὰρ κατακτανὼν
Κρέοντα, πατέρα τῆςδε, καὶ θρόνους ἔχων.
οὔκουν. τραφέντων τῶνδε, τιμωροὺς ἐμοὺς
χρῄζω λιπέσθαι τῶν δεδραμένων δίκην.

ΑΜΦΙΤΡΥΩΝ.

τῷ τοῦ Διὸς μὲν Ζεὺς ἀμυνέτω μέρει
παιδός· τὸ δ᾽ εἰς ἔμ᾽, Ἡράκλεις, ἐμοὶ μέλει
λόγοισι τὴν τοῦδ᾽ ἀμαθίαν ὑπὲρ σέθεν
δεῖξαι· κακῶς γάρ σ᾽ οὐκ ἐατέον κλύειν.
πρῶτον μὲν οὖν τἀῤῥητ᾽, — ἐν ἀῤῥήτοισι γὰρ
τὴν σὴν νομίζω δειλίαν, Ἡράκλεες, —
σὺν μάρτυσιν θεοῖς δεῖ μ᾽ ἀπαλλάξαι σέθεν.

146. deest θεὸν M. 148. τί δῆτα σ. H.

Διὸς κεραυνὸν δ' ἠρόμην τέθριππά τε,
ἐν οἷς βεβηκὼς τοῖσι γῆς βλαστήμασιν
Γίγασι πλευροῖς πτήν' ἐναρμόσας βέλη,
τὸν καλλίνικον μετὰ θεῶν ἐκώμασεν·
τετρασκελές θ' ὕβρισμα, Κενταύρων γένος,
Φολόην ἐπελθὼν, ὦ κάκιστε βασιλέων,
ἐροῦ, τίν' ἄνδρ' ἄριστον ἐγκρίναιεν ἄν.
ἦ οὐ παῖδα τὸν ἐμὸν, ὃν σὺ φῂς εἶναι δοκεῖν;
Δίρφυν δ' ἐρωτῶν, ἥ σ' ἔθρεψ', Ἀβαντίδα,
οὐκ ἄν σ' ἐπαινέσειεν· οὐ γὰρ ἔσθ' ὅπου
ἐσθλόν τι δράσας μάρτυρ' ἂν λάβοις πάτραν.
τὸ πάνσοφον δ' εὕρημα, τοξήρη σάγην,
μέμφει· κλύων νῦν τἀπ' ἐμοῦ, σοφὸς γενοῦ.
ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων,
καὶ τοῖσί συνταχθεῖσιν οὖσι μὴ 'γαθοῖς
αὐτὸς τέθνηκε, δειλίᾳ τῇ τῶν πέλας,
θραύσας τε λόγχην, οὐκ ἔχει τῷ σώματι
θάνατον ἀμῦναι, τήνδ' ἔχων ἀλκὴν μόνον.
ὅσοι δὲ τόξοις χεῖρ' ἔχουσιν εὔστοχον,
ἓν μὲν τὸ λῷστον, μυρίους οἰστοὺς ἀφεὶς,
ἄλλοις τὸ σῶμα ῥύεται μὴ κατθανεῖν·
ἑκὰς δ' ἀφεστὼς, πολεμίους ἀμύνεται,
τυφλοῖς ὁρῶντας οὐτάσας τοξεύμασιν,
τὸ σῶμά τ' οὐ δίδωσι τοῖς ἐναντίοις,
ἐν εὐφυλάκτῳ δ' ἐστί· τοῦτο δ' ἐν μάχῃ
σοφὸν μάλιστα, δρῶντα πολεμίους κακῶς,
σώζειν τὸ σῶμα, μὴ 'κ τύχης ὡρμισμένους.
λόγοι μὲν οἵδε τοῖσι σοῖς ἐναντίαν

182. Δίρφυν τ' ἐρ. M. 183. ἄν γ' ἐπ. 191. ἀμῦναί γ' ἂν, ἔχ. M. ἀμῦναι, μίαν ἔχ. H.

γνώμην ἔχουσι τῶν καθεστώτων πέρι.
παῖδας δὲ δὴ τί τούσδ' ἀποκτεῖναι θέλεις;
τί σ' οἵδ' ἔδρασαν; ἓν τί σ' ἡγοῦμαι σοφὸν,
εἰ τῶν ἀρίστων τἄκγον', αὐτὸς ὢν κακὸς,
δέδοικας. ἀλλὰ τοῦθ' ὅμως ἡμῖν βαρὺ,
εἰ δειλίας σῆς κατθανούμεθ' οὕνεκα,
ὃ χρῆν σ' ὑφ' ἡμῶν τῶν ἀμεινόνων παθεῖν,
εἰ Ζεὺς δικαίας εἶχεν εἰς ἡμᾶς φρένας.
εἰ δ' οὖν ἔχειν γῆς σκῆπτρα τῆσδ' αὐτὸς θέλεις,
ἔασον ἡμᾶς φυγάδας ἐξελθεῖν χθονός·
βίᾳ δὲ δράσῃς μηδὲν, ἢ πείσει βίαν,
ὅταν θεός σοι πνεῦμα μεταβαλὼν τύχῃ.
(φεῦ·) ὦ γαῖα Κάδμου,— καὶ γὰρ ἐς σ' ἀφίξομαι,
λόγους ὀνειδιστῆρας ἐνδατούμενος, —
τοιαῦτ' ἀμύνεθ' Ἡρακλεῖ τέκνοισί τε;
ὃς εἷς Μινύαισι πᾶσι διὰ μάχης μολὼν,
Θήβαις ἔθηκεν ὄμμ' ἐλεύθερον βλέπειν.
οὐδ' Ἑλλάδ' ᾔνεσ', οὐδ' ἀνέξομαί ποτε
σιγῶν, κακίστην λαμβάνων ἐς παῖδ' ἐμὸν,
ἣν χρῆν νεοσσοῖς τοῖσδε πῦρ, λόγχας, ὅπλα
φέρουσαν ἐλθεῖν, ποντίων καθαρμάτων
χέρσου τ' ἀμοιβὰς, ὧν ἐμόχθησεν χάριν.
τὰ δ' οὐ, τέκν', ὑμῖν οὔτε Θηβαίων πόλις,
οὔθ' Ἑλλὰς ἀρκεῖ· πρὸς δ' ἔμ' ἀσθενῆ φίλον
δεδόρκατ', οὐδὲν ὄντα, πλὴν γλώσσης ψόφον.
ῥώμη γὰρ ἐκλέλοιπεν, ἣν πρὶν εἴχομεν·
γήρᾳ δὲ τρομερὰ γυῖα κἀμαυρὸν σθένος.
εἰ δ' ἦν νέος τε κἄτι σώματος κρατῶν,

207. εἵνεκα M. 212. βίαν δὲ δρ. μ. ἢ πείσῃ λίαν M. 224. τάδ' οὐ, τέκν'.

λαβὼν ἂν ἔγχος τοῦδε τοὺς ξανθοὺς πλόκους
καθημάτωσ᾽ ἄν, ὥστ᾽ Ἀτλαντικῶν πέρα
φεύγειν ὅρων ἂν δειλίᾳ τοὐμὸν δόρυ.

ΧΟΡΟΣ.

ἆρ᾽ οὐκ ἀφορμὰς τοῖς λόγοισιν ἁγαθοὶ
θνητῶν ἔχουσι, κἂν βραδύς τις ᾖ λέγειν;

ΛΥΚΟΣ.

σὺ μὲν λέγ᾽ ἡμᾶς, οἷς πεπύργωσαι λόγοις,
ἐγὼ δὲ δράσω σ᾽ ἀντὶ τῶν λόγων κακῶς.
ἄγ᾽, οἱ μὲν Ἑλικῶν᾽, οἱ δὲ Παρνασοῦ πτύχας
τέμνειν ἄνωχθ᾽ ἐλθόντας ὑλουργοὺς δρυὸς
κορμούς· ἐπειδὰν δ᾽ ἐσκομισθῶσιν πόλει,
βωμὸν πέριξ νήσαντες ἀμφήρη ξύλα,
ἐμπίπρατ᾽ αὐτῶν καὶ πυροῦτε σώματα
πάντων, ἵν᾽ εἰδῶσ᾽, οὕνεκ᾽ οὐχ ὁ κατθανὼν
κρατεῖ χθονὸς τῆσδ᾽, ἀλλ᾽ ἐγὼ τανῦν τάδε.
ὑμεῖς δὲ πρέσβεις ταῖς ἐμαῖς ἐναντίοι
γνώμαισιν ὄντες, οὐ μόνον στενάξετε
τοὺς Ἡρακλείους παῖδας, ἀλλὰ καὶ δόμου
τύχας, ὅταν πάσχῃ τι, μεμνήσεσθε δὲ
δοῦλοι γεγῶτες τῆς ἐμῆς τυραννίδος.

ΧΟΡΟΣ.

ὦ γῆς λοχεύμαθ᾽, οὓς Ἄρης σπείρει ποτέ,
λάβρον δράκοντος ἐξερημώσας γένυν,
οὐ σκῆπτρα, χειρὸς δεξιᾶς ἐρείσματα,
ἀρεῖτε, καὶ τοῦδ᾽ ἀνδρὸς ἀνόσιον κάρα
καθαιματώσεθ᾽; ὅστις οὐ Καδμεῖος ὢν,
ἄρχει κάκιστος τῶν νέων, ἔπηλυς ὤν;
ἀλλ᾽ οὐκ ἐμοῦ σὺ δεσπόσεις χαίρων ποτέ,

245. στενάζετε. M.

οὐδ᾽, ἁπόνησα πόλλ᾽ ἐγὼ καμὼν χερί,
ἕξεις, ἀπέρρων δ᾽, ἔνθεν ἦλθες, ἐνθάδε,
ὕβριζ᾽· ἐμοῦ γὰρ ζῶντος, οὐ κτενεῖς ποτε
τοὺς Ἡρακλείους παῖδας· οὐ τοσόνδε γῆς
ἔνερθ᾽ ἐκεῖνος κρύπτεται λιπὼν τέκνα.
ἐπεὶ σὺ μὲν γῆν τήνδε διολέσας ἔχεις,
ὁ δ᾽ ὠφελήσας ἀξίων οὐ τυγχάνει·
κἄπειτα πράσσω πόλλ᾽ ἐγὼ, φίλους ἐμοὺς
θανόντας εὖ δρῶν, οὗ φίλων μάλιστα δεῖ;
ὦ δεξιὰ χεὶρ, ὡς ποθεῖς λαβεῖν δόρυ,
ἐν δ᾽ ἀσθενείᾳ τὸν πόθον διώλεσας.
ἐπεί σ᾽ ἔπαυσ᾽ ἂν δοῦλον ἐννέποντά με,
καὶ τάσδε Θήβας εὐκλεῶς ᾠκήσαμεν,
ἐν αἷς σὺ χαίρεις. οὐ γὰρ εὖ φρονεῖ πόλις
στάσει νοσοῦσα καὶ κακοῖς βουλεύμασιν:
οὐ γάρ ποτ᾽ ἄν σε δεσπότην ἐκτήσατο.

ΜΕΓΑΡΑ.

γέροντες, αἰνῶ· τῶν φίλων γὰρ οὕνεκα
ὀργὰς δικαίας τοὺς φίλους ἔχειν χρεών:
ἡμῶν δ᾽ ἕκατι δεσπόταις θυμούμενοι,
πάθητε μηδέν. τῆς δ᾽ ἐμῆς, Ἀμφιτρύων,
γνώμης ἄκουσον, ἤν τί σοι δοκῶ λέγειν.
ἐγὼ φιλῶ μὲν τέκνα· — πῶς γὰρ οὐ φιλῶ,
ἅτικτον, ἁμόχθησα; — καὶ τὸ κατθανεῖν
δεινὸν νομίζω· τῷ δ᾽ ἀναγκαίῳ τρόπῳ
ὃς ἀντιτείνει, σκαιὸν ἡγοῦμαι βροτόν.
ἡμᾶς δ᾽ ἐπειδὴ δεῖ θανεῖν, θνήσκειν χρεὼν,
μὴ πυρὶ καταξανθέντας, ἐχθροῖσιν γέλων
διδόντας, οὑμοὶ τοῦ θανεῖν μεῖζον κακόν·

268. ὠνήσαμεν H.

ὀφείλομεν γὰρ πολλὰ δώμασιν καλά.
σὲ μὲν δόκησις ἔλαβεν εὐκλεὴς δορὸς,
ὥςτ' οὐκ ἀνεκτὸν δειλίας θανεῖν σ' ὕπο,
ὁὐμὸς δ' ἀμαρτύρητος εὐκλεὴς πόσις,
ὃς τούςδε παῖδας οὐκ ἂν ἐκσῶσαι θέλοι,
δόξαν κακὴν λαβόντας· οἱ γὰρ εὐγενεῖς
κάμνουσι τοῖς αἰσχροῖσι τῶν τέκνων ὕπερ,
ἐμοί τε μίμημ' ἀνδρὸς οὐκ ἀπωστέον.
σκέψαι δὲ τὴν σὴν ἐλπίδ', ᾗ λογίζομαι.
ἥξειν νομίζεις παῖδα σὸν γαίας ὕπο;
καὶ τίς θανόντων ἦλθεν ἐξ Ἅιδου πάλιν;
ἀλλ' ὡς λόγοισι τόνδε μαλθάξαιμεν ἄν;
ἥκιστα· φεύγειν σκαιὸν ἄνδρ' ἐχθρὸν χρεὼν,
σοφοῖσι δ' εἴκειν καὶ τεθραμμένοις καλῶς·
ῥᾷον γὰρ αἰδοῦς, ὑποβαλὼν φίλ', ἂν τύχοις.
ἤδη δ' ἐςῆλθέ μ', εἰ παραιτησαίμεθα
φυγὰς τέκνων τῶνδ'· ἀλλὰ καὶ τόδ' ἄθλιον,
πενίᾳ σὺν οἰκτρᾷ περιβαλεῖν σωτηρίαν·
ὡς τὰ ξένων πρόςωπα φεύγουσιν φίλοι,
ἓν τ' ἦμαρ ἡδὺ βλέμμ' ἔχειν φασὶν μόνον.
τόλμα μεθ' ἡμῶν θάνατον, ὃς μένει σ' ὅμως.
προκαλούμεθ' εὐγένειαν, ὦ γέρον, σέθεν·
τὰς τῶν θεῶν γὰρ ὅςτις ἐκμοχθεῖν τύχας
πρόθυμός ἐστιν· ἡ προθυμία γ' ἄφρων·
ὃ χρὴ γὰρ, οὐδεὶς μὴ χρεὼν θήσει ποτέ.

ΧΟΡΟΣ.

εἰ μὲν, σθενόντων τῶν ἐμῶν βραχιόνων,

284. δαίμοσιν H. 286. σ' om. H. 298. ὑπολαβὼν M. 306. ἐκμοχθεῖ M. 307. προθυμία δ' ἄφρ. M. 308. μὴ θεῶν M. 309. τῶν om. M.

ἦν τίς σ' ὑβρίζων, ῥᾳδίως ἐπαύσατ' ἄν·
νῦν δ' οὐδέν ἐσμεν. σὸν δὲ τοὐντεῦθεν σκοπεῖν,
ὅπως διώσει τὰς τύχας, Ἀμφιτρύων.

ΑΜΦΙΤΡΥΩΝ.

οὔτοι τὸ δειλὸν, οὐδὲ τοῦ βίου πόθος
θανεῖν ἐρύκει μ', ἀλλὰ παιδὶ βούλομαι
σῶσαι τέκν', ἄλλως δ' ἀδυνάτων ἔοικ' ἐρᾶν.
ἰδοὺ πάρεστιν ἥδε φασγάνῳ δέρη,
κεντεῖν, φονεύειν, ἱέναι πέτρας ἄπο·
μίαν δὲ νῷν δὸς χάριν, ἄναξ, ἱκνούμεθα.
κτεῖνόν με καὶ τήνδ' ἀθλίαν παίδων πάρος,
ὡς μὴ τέκν' εἰςίδωμεν, ἀνόσιον θέαν,
ψυχοῤῥαγοῦντα καὶ καλοῦντα μητέρα
πατρός τε πατέρα· τἄλλα δ', ᾗ πρόθυμος εἶ,
πρᾶσσ'· οὐ γὰρ ἀλκὴν ἔχομεν, ὥςτε μὴ θανεῖν.

ΜΕΓΑΡΑ.

κἀγώ σ' ἱκνοῦμαι, χάριτι προςθεῖναι χάριν,
ἡμῖν ἵν' ἀμφοῖν εἷς ὑπουργήσῃς διπλᾶ·
κόσμον πάρες μοι παισὶ προςθεῖναι νεκρῶν,
δόμους ἀνοίξας· νῦν γὰρ ἐκκεκλείσμεθα·
ὡς ἀλλὰ ταῦτά γ' ἀπολάχωσ' οἴκων πατρός.

ΛΥΚΟΣ.

ἔσται τάδ'· οἴγειν κλῇθρα προςπόλοις λέγω.
κοσμεῖσθ' ἔσω μολόντες· οὐ φθονῶ πέπλων.
ὅταν δὲ κόσμον περιβάλησθε σώμασιν,
ἥξω πρὸς ὑμᾶς νερτέρᾳ δώσων χθονί.

ΜΕΓΑΡΑ.

ὦ τέκν', ὁμαρτεῖτ' ἀθλίῳ μητρὸς ποδὶ
πατρῷον ἐς μέλαθρον, οὗ τῆς οὐσίας

322. τἄλλα δ', εἰ πρόθ. 325. ὑπουργήσῃ.

ἄλλοι κρατοῦσι, τὸ δ' ὄνομ' ἔσθ' ἡμῶν ἔτι.

ΑΜΦΙΤΡΥΩΝ.

ὦ Ζεῦ, μάτην ἄρ' ὁμόγαμόν σ' ἐκτησάμην,
μάτην δὲ παιδὸς τοι νεὼν ἐκλήζομεν.
σὺ δ' ἦσθ' ἄρ' ἥσσων, ἢ 'δόκεις εἶναι, φίλος.
ἀρετῇ σε νικῶ, θνητὸς ὢν, θεὸν μέγαν.
παῖδας γὰρ οὐ προὔδωκα τοὺς Ἡρακλέους.
σὺ δ' ἐς μὲν εὐνὰς κρύφιος ἠπίστω μολεῖν,
τἀλλότρια λέκτρα, δόντος οὐδενὸς, λαβών·
σώζειν δὲ τοὺς σοὺς οὐκ ἐπίστασαι φίλους.
ἀμαθής τις εἶ θεὸς, ἢ δίκαιος οὐκ ἔφυς.

ΧΟΡΟΣ.

Αἴλινον μὲν ἐπ' εὐτυχεῖ (στροφὴ ά.)
μολπᾷ Φοῖβος ἰαχχεῖ,
τὰν καλλίφθογγον κιθάραν
ἐλαύνων πλήκτρῳ χρυσέῳ·
ἐγὼ δὲ τὸν γᾶς ἐνέρων τ' ἐς ὄρφναν
μολόντα, παῖδ' εἴτε Διός νιν εἴπω,
εἴτ' Ἀμφιτρύωνος ἶνιν,
ὑμνῆσαι, στεφάνωμα μό-
χθων, δι' εὐλογίας θέλω.
γενναίων δ' ἀρεταὶ πόνων
τοῖς θανοῦσιν ἄγαλμα.
πρῶτον μὲν Διὸς ἄλσος
ἠρήμωσε λέοντος,
πυρσοῦ δ' ἀμφεκαλύφθη,
ξανθὸν κρᾶτ' ἐπινωτίσας,
δεινῷ χάσματι θηρός·
τάν τ' ὀρεινόμον ἀγρίων (ἀντιστρ. ά.)

346. ἰαχεῖ M.

Κενταύρων ποτὲ γένναν
ἔτρωσεν τόξοις φονίοις,
ἐναίρων πτανοῖς βέλεσιν.
ξύνοιδε Πηνειὸς ὁ καλλιδίνας,
μακραί τ' ἄρουραι πεδίων ἄκαρποι,
καὶ Πηλιάδες θεράπναι,
σύγχορτοί θ' Ὁμόλας ἔναυ-
λοι, πεύκαισιν ὅθεν χέρας
πληροῦντες χθόνα Θεσσαλῶν
ἱππείαις ἐδάμαζον·
τάν τε χρυσοκάρανον
δόρκαν ποικιλόνωτον,
συλήτειραν ἀγρωστᾶν
κτείνας, θηροφόνον θεὰν
Οἰνωᾶτιν ἀγάλλει·
τεθρίππων τ' ἐπέβα (στροφὴ β'.)
καὶ ψαλίοις ἐδάμασε πώλους
Διομήδεος, αἳ φονίαισι φάτναις
ἀχάλιν' ἐθόαζον
κάθαιμα σῖτα γένυσι, χαρ-
μοναῖσιν ἀνδροβρῶσι δυστράπεζοι·
πέραν δ' ἀργυροῤῥύταν Ἕβρον
ἐκπέρασεν ὄχθαν,
Μυκηναίῳ πονῶν τυράννῳ,
τάν τε Πηλιάδ' ἀκτὰν
Ἀναύρου παρὰ πηγάς·
Κύκνον τε ξενοδαίκταν

368. τ' Ὁμόλας M. 384. ἐξεπέρασ' ὄχθον M. ἐξεπείρασ' ὄχθαν H. 386. τάνδε Π. M. τάν τε Μηλιάδ' ἀ. H. 387. παρὰ πύλας M. 388. Κίκνον δέ.

τόξοις ὤλεσεν, Ἀμφαναί-
ας οἰκήτορ᾽ ἄμικτον·
ὑμνῳδούς τε κόρας (ἀντιστρ. β΄.)
ἤλυθεν ἑσπέριον ἐς αὐλὰν,
χρυσέων πετάλων ἄπο μηλοφόρον
χερὶ καρπὸν ἀμέρξων,
δράκοντα πυρσόνωτον, ὃς
ἄπλατον ἀμφελικτὸς ἕλικ᾽ ἐφρούρει,
κτανών· ποντίας θ᾽ ἁλὸς μυχοὺς
εἰσέβαινε, θνατοῖς
γαλανείας τιθεὶς ἐρετμοῖς·
οὐρανοῦ θ᾽ ὑπὸ μέσσαν
ἐλαύνει χέρας ἕδραν,
Ἄτλαντος δόμον ἐλθών·
ἀστρωπούς τε κατέσχεν οἴ-
κους εὐανορίᾳ θεῶν·
τὸν ἱππευτάν τ᾽ Ἀμαζόνων στρατὸν (στροφὴ γ΄.)
Μαιῶτιν ἀμφὶ πολυπόταμον
ἔβα δι᾽ Εὔξεινον οἶδμα λίμνας,
(τίν᾽ οὐκ ἀφ᾽ Ἑλλανίας
ἄγορον ἁλίσας φίλων;)
κόρας Ἀρείας πέπλων
χρυσεόστολον φάρος,
ζωστῆρος ὀλεθρίους ἄγρας.
τὰ κλεινὰ δ᾽ Ἑλλὰς ἔλαβε βαρβάρου κόρας
λάφυρα, καὶ σώζετ᾽ ἐν Μυκήναις.
τάν τε μυριόκρανον
πολύφονον κύνα Λέρνας
ὕδραν ἐξεπύρωσεν

399. ταλανίας M. 400. μέσαν M. 413. κόρης H.

βέλεσί τ᾽ ἀμφέβαλλε,
τὸν τρισώματον οἷσιν ἔ-
κτα βοτῆρ᾽ Ἐρυθείας.
δρόμων τ᾽ ἄλλων ἀγάλματ᾽ εὐτυχῆ (ἀντιστρ. γ΄.)
διῆλθε· τὸν πολυδάκρυον
ἔπλευσ᾽ ἐς Ἅιδαν, πόνων τελευτὰν,
ἵν᾽ ἐκπεραίνει τάλας
βίοτον, οὐδ᾽ ἔβα πάλιν.
στέγαι δ᾽ ἔρημοι φίλων,
τὰν δ᾽ ἀνόστιμον τέκνων
Χάρωνος ἐπιμένει πλάτα
βίου κέλευθον ἄθεον, ἄδικον· εἰς δὲ σὰς
χέρας βλέπει δώματ᾽ οὐ παρόντος.
εἰ δ᾽ ἐγὼ σθένος ἥβων
δόρυ τ᾽ ἔπαλλον ἐν αἰχμᾷ,
Καδμείων τε σύνηβοι,
τέκεσιν ἂν παρέσταν
ἀλκᾷ· νῦν δ᾽ ἀπολείπομαι
τᾶς εὐδαίμονος ἥβας.

Ἀλλ᾽ ἐσορῶ γὰρ τούσδε φθιμένων
ἔνδυτ᾽ ἔχοντας, τοὺς τοῦ μεγάλου
δή ποτε παῖδας τὸ πρὶν Ἡρακλέους,
ἄλοχόν τε φίλην, ὑπὸ σειραίοις
ποσὶν ἕλκουσαν τέκνα, καὶ γεραιὸν
πατέρ᾽ Ἡρακλέους. δύστηνος ἐγώ!
δακρύων ὡς οὐ δύναμαι κατέχειν
γραίας ὄσσων ἔτι πηγάς.

418. ἀμφέβαλε M. 422. τόν τε π. H. πολυδάκρυτον M. 424. ἐκπεράνῃ M. 430. σῶμα τοῦ παρόντος M. 438. ἔνδυμ᾽ ἔχ.

ΜΕΓΑΡΑ.

Εἶεν· τίς ἱερεὺς, τίς σφαγεὺς τῶν δυσπότμων,
ἢ τῆς ταλαίνης τῆσδ' ἐμῆς ψυχῆς φονεύς;
ἕτοιμ' ἄγειν τὰ θύματ' εἰς Ἅιδου τάδε.
ὦ τέκν', ἀγόμεθα ζεῦγος οὐ καλὸν νεκρῶν,
ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες.
ὦ μοῖρα δυστάλαιν' ἐμοῦ τε καὶ τέκνων
τῶνδ', οὓς πανύστατ' ὄμμασιν προσδέρκομαι!
ἔτεκον μὲν ὑμᾶς, πολεμίοις δ' ἐθρεψάμην
ὕβρισμα κἀπίχαρμα καὶ διαφθοράν.
(φεῦ·) ἦ πολύ με δόξης ἐξέπαισαν ἐλπίδες,
ἣν πατρὸς ὑμῶν ἐκ λόγων ποτ' ἤλπισα. —
σοὶ μὲν γὰρ Ἄργος ἔνεμ' ὁ κατθανὼν πατὴρ,
Εὐρυσθέως δ' ἔμελλες οἰκήσειν δόμους,
τῆς καλλικάρπου κράτος ἔχων Πελασγίας,
στολήν τε θηρὸς ἀμφέβαλλε σῷ κάρᾳ
λέοντος, ᾗπερ αὐτὸς ἐξωπλίζετο·
σὺ δ' ἦσθα Θηβῶν τῶν φιλαρμάτων ἄναξ,
ἔγκληρα πεδία τἀμὰ γῆς κεκτημένος,
ὡς ἐξέπειθες τὸν κατασπείραντά σε·
ἐς δεξιὰν δὲ σὴν ἀλεξητήριον
ξύλον καθίει, Δαιδάλου ψευδῆ δόσιν.
σοὶ δ', ἣν ἔπερσε τοῖς ἑκηβόλοις ποτὲ
τόξοισι, δώσειν Οἰχαλίαν ὑπέσχετο.
τρεῖς δ' ὄντας ὑμᾶς τριπτύχοις τυραννίσιν
πατὴρ ἐπύργου, μέγα φρονῶν ἐπ' ἀνδρίᾳ.
ἐγὼ δὲ νύμφας ἠκροθινιαζόμην,
κήδη συνάψουσ', ἔκ τ' Ἀθηναίων χθονὸς

446. ἢ τίς τ. τῆς ἐμ. M. 448. ἀγόμεσθα M. 463. ὡς ἐξέπειθε M. 465. καθίει δαίδαλον, ψ. δ. H.

Σπάρτης τε Θηβῶν θ' ὡς ἀνημμένοι κάλῳς
πρυμνησίοισι βίον ἔχοιτ' εὐδαίμονα.
καὶ ταῦτα φροῦδα· μεταβαλοῦσα δ' ἡ τύχη
νύμφας μὲν ὑμῖν Κῆρας ἀντέδωκ' ἔχειν,
ἐμοὶ δὲ δάκρυα λουτρά· — δύστηνος φρενῶν! —
πατὴρ δὲ πατρὸς ἑστιᾷ γάμους ὅδε,
Ἅιδην νομίζων πενθερὸν, κῆδος πατρός.
ὤμοι! τίν' ὑμῶν πρῶτον, ἢ τίν' ὕστατον
πρὸς στέρνα θῶμαι; τῷ προσαρμόσω στόμα;
τίνος λάβωμαι; πῶς ἂν, ὡς ξουθόπτερος
μέλισσα, συνενέγκαιμ' ἂν ἐκ πάντων γόους,
εἰς ἓν δ' ἐνεγκοῦσ', ἀθρόον ἀποδοίην δάκρυ;
ὦ φίλτατ', εἴ τις φθόγγον εἰσακούσεται
θνητῶν παρ' Ἅιδῃ, σοὶ τάδ', Ἡράκλεις, λέγω,
θνήσκει πατὴρ σὸς καὶ τέκν', ὄλλυμαι δ' ἐγὼ,
ἣ πρὶν μακαρία διὰ σ' ἐκληζόμην βροτοῖς.
ἄρηξον, ἐλθὲ, καὶ σκιὰ φάνηθί μοι·
ἅλις γὰρ ἐλθὼν ἱκανὸς ἂν γένοιο σὺ,
κακοὶ γὰρ ἐς σέ γ', οἳ τέκνα κτείνουσι σά.

ΑΜΦΙΤΡΥΩΝ.

σὺ μὲν τὰ νέρθεν εὐτρεπῆ ποιοῦ, γύναι·
ἐγὼ δέ σ', ὦ Ζεῦ, χεῖρ' ἐς οὐρανὸν δικὼν,
αὐδῶ, τέκνοισιν, εἴ τι τοισίδ' ὠφελεῖν
μέλλεις, ἀμύνειν, ὡς τάχ' οὐδὲν ἀρκέσεις·
καίτοι κέκλησαι πολλάκις· μάτην πονῶ·
θανεῖν γὰρ, ὡς ἔοικ', ἀναγκαίως ἔχει.
ἀλλ', ὦ γέροντες, μικρὰ μὲν τὰ τοῦ βίου·
τοῦτον δ' ὅπως ἥδιστα διαπεράσετε,

478. κ. πικρὸν H. 489. ἱκανὸν M.

ἐξ ἡμέρας ἐς νύκτα μὴ λυπούμενοι.
ὡς ἐλπίδας μὲν ὁ χρόνος οὐκ ἐπίσταται
σώζειν, τὸ δ' αὑτοῦ σπουδάσας διέπτατο.
ὁρᾶτέ μ', ὅςπερ ἦν περίβλεπτος βροτοῖς,
ὀνομαστὰ πράσσων, καί μ' ἀφείλεθ' ἡ τύχη,
ὥςπερ πτερὸν πρὸς αἰθέρ', ἡμέρᾳ μιᾷ.
ὁ δ' ὄλβος ὁ μέγας ἥ τε δόξ', οὐκ οἶδ', ὅτῳ
βέβαιός ἐστι· χαίρετ'· ἄνδρα γὰρ φίλον
πανύστατον νῦν, ἥλικες, δεδόρκατε.

ΜΕΓΑΡΑ.

(ἔα.) ὦ πρέσβυ, λεύσσω τἀμὰ φίλτατ'; ἢ τί φῶ;

ΑΜΦΙΤΡΥΩΝ.

οὐκ οἶδα, θύγατερ· ἀφασία δὲ κἄμ' ἔχει.

ΜΕΓΑΡΑ.

ὅδ' ἐστὶν, ὃν γῆς νέρθεν εἰςηκούομεν,
εἰ μή γ' ὄνειρον ἐν φάει τι λεύσσομεν.
τί φημί; ποῖ' ὄνειρα κηραίνουσ' ὁρῶ;
οὐκ ἔσθ' ὅδ' ἄλλος ἀντὶ σοῦ παιδὸς, γέρον.
δεῦρ', ὦ τέκν', ἐκκρήμνασθε πατρῴων πέπλων.
ἴτ', ἐγκονεῖτε, μὴ μεθῆτ', ἐπεὶ Διὸς
σωτῆρος ὑμῖν οὐδέν ἐσθ' ὅδ' ὕστερος.

ΗΡΑΚΛΗΣ.

ὦ χαῖρε, μέλαθρον πρόπυλά θ' ἑστίας ἐμῆς,
ὡς ἄσμενός σ' ἐςεῖδον ἐς φάος μολών.
ἔα· τί χρῆμα; τέκν' ὁρῶ πρὸ δωμάτων
στολμοῖσι νεκρῶν κρᾶτας ἐξεστεμμένα,
ὄχλῳ τ' ἐν ἀνδρῶν τὴν ἐμὴν ξυνάορον
πατέρα τε δακρύοντα συμφορᾶς τινός.

510. ὁ δ' ἐστιν M.

φέρ', ἐκπύθωμαι τῶνδε πλησίον σταθείς·
γύναι, τί καινὸν ἦλθε δώμασιν χρέος;

ΜΕΓΑΡΑ.

ὦ φίλτατ' ἀνδρῶν, ὦ φάος μολὼν πατρὶ,
ἥκεις, ἐσώθης, εἰς ἀκμὴν ἐλθὼν φίλοις.

ΗΡΑΚΛΗΣ.

τί φής; τίν' ἐς ταραγμὸν ἥκομεν, πάτερ;

ΜΕΓΑΡΑ.

διολλύμεσθα· σὺ δὲ, γέρον, σύγγνωθί μοι,
εἰ πρόσθεν ἥρπασ', ἃ σὲ λέγειν πρὸς τόνδ' ἐχρῆν·
τὸ θῆλυ γάρ πως μᾶλλον οἰκτρὸν ἀρσένων,
καὶ τἄμ' ἔθνησκε τέκν', ἀπωλλύμην δ' ἐγώ.

ΗΡΑΚΛΗΣ.

Ἄπολλον, οἵοις φροιμίοις ἄρχει λόγου!

ΜΕΓΑΡΑ.

τεθνᾶσ' ἀδελφοὶ καὶ πατὴρ οὑμὸς γέρων.

ΗΡΑΚΛΗΣ.

πῶς φής; τί δράσας, ἢ δορὸς ποίου τυχών;

ΜΕΓΑΡΑ.

Λύκος σφ', ὁ κλεινὸς γῆς ἄναξ, διώλεσεν.

ΗΡΑΚΛΗΣ.

ὅπλοις ἀπαντῶν, ἢ νοσησάσης χθονός;

ΜΕΓΑΡΑ.

στάσει τὸ Κάδμου γ' ἑπτάπυλον ἔχει κράτος.

ΗΡΑΚΛΗΣ.

τί δῆτα πρὸς σὲ καὶ γέροντ' ἦλθεν φόβος;

ΜΕΓΑΡΑ.

κτείνειν ἔμελλε πατέρα κἀμὲ καὶ τέκνα.

Η Ρ Α Κ Λ Η Σ.

τί φής; τί ταρβῶν ὀρφάνευμ' ἐμῶν τέκνων;

Μ Ε Γ Α Ρ Α.

μή ποτε Κρέοντι θάνατον ἐκτισαίατο.

Η Ρ Α Κ Λ Η Σ.

κόσμος δὲ πέπλων τίς ὅδε νερτέροις πρέπων;

Μ Ε Γ Α Ρ Α.

θανάτου τάδ' ἤδη περιβόλαι' ἀνήμμεθα.

Η Ρ Α Κ Λ Η Σ.

καὶ πρὸς βίαν ἐθνήσκετ'; ὦ τλήμων ἐγώ!

Μ Ε Γ Α Ρ Α.

φίλων ἔρημοι· σὲ δὲ θαν'ντ' ἠκούομεν.

Η Ρ Α Κ Η Σ.

πόθεν δ' ἐς ὑμᾶς ἦδ' ἐσῆλθ' ἀθυμία;

Μ Ε Γ Α Ρ Α.

Εὐρυσθέως κήρυκες ἤγγελλον τάδε.

Η Ρ Α Κ Λ Η Σ.

τί δ' ἐξελείπετ' οἶκον ἑστίαν τ' ἐμήν;

Μ Ε Γ Α Ρ Α.

βίᾳ πατὴρ μὲν ἐκπεσὼν στρωτοῦ λέχους.

Η Ρ Α Κ Λ Η Σ.

κοὐκ ἔσχεν αἰδῶ τὸν γέροντ' ἀτιμάσαι;

Μ Ε Γ Α Ρ Α.

αἰδώς γ' ἀποικεῖ τῆσδε τῆς θεοῦ πρόσω.

Η Ρ Α Κ Λ Η Σ.

οὕτω δ' ἀπόντες ἐσπανίζομεν φίλων;

Μ Ε Γ Α Ρ Α.

φίλοι γάρ εἰσιν ἀνδρὶ δυστυχεῖ τίνες;

Η Ρ Α Κ Λ Η Σ.

μάχας δὲ Μινυῶν, ἅς ἔτλην, ἀπέπτυσαν;

Μ Ε Γ Α Ρ Α.

ἄφιλον, ἵν' αὖθίς σοι λέγω, τὸ δυστυχές.

Η Ρ Α Κ Λ Η Σ.

οὐ ῥίψεθ' Ἅιδου τάσδε περιβολὰς κόμης,
καὶ φῶς ἀναβλέψεσθε, τοῦ κάτω σκότους
φίλας ἀμοιβὰς ὄμμασιν δεδορκότες;
ἐγὼ δέ, — νῦν γὰρ τῆς ἐμῆς ἔργον χερὸς, —
πρῶτον μὲν εἶμι καὶ κατασκάψω δόμους
καινῶν τυράννων, κρᾶτα δ' ἀνόσιον τεμὼν,
ῥίψω κυνῶν ἕλκημα· Καδμείων δ' ὅσους
κακοὺς ἐφεῦρον, εὖ παθόντας ἐξ ἐμοῦ,
τῷ καλλινίκῳ τῷδ' ὅπλῳ χειρώσομαι,
τοὺς δὲ πτερωτοῖς διαφορῶν τοξεύμασιν,
νεκρῶν ἅπαντ' Ἰσμηνὸν ἐμπλήσω φόνου,
Δίρκης τε νᾶμα λευκὸν αἱμαχθήσεται.
τῷ γάρ μ' ἀμύνειν μᾶλλον, ἢ δάμαρτι, χρὴ
καὶ παισὶ καὶ γέροντι; χαιρόντων πόνοι·
μάτην γὰρ αὐτοὺς τῶνδε μᾶλλον ἤνυσα.
καὶ δεῖ μ' ὑπὲρ τῶνδ', εἴπερ οἵδ' ὑπὲρ πατρὸς,
θνήσκειν ἀμύνοντ'· ἢ τί φήσομεν καλὸν,
ὕδρᾳ μὲν ἐλθεῖν ἐς μάχην λέοντί τε
Εὐρυσθέως πομπαῖσι, τῶν δ' ἐμῶν τέκνων
οὐκ ἐκπονήσω θάνατον; οὐκ ἄρ' Ἡρακλῆς
ὁ καλλίνικος, ὡς πάροιθεν, λέξομαι.

Χ Ο Ρ Ο Σ.

δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα
πατέρα τε πρέσβυν τήν τε κοινωνὸν γάμων.

Α Μ Φ Ι Τ Ρ Υ Ω Ν.

πρὸς σοῦ μέν, ὦ παῖ, τοῖς φίλοις εἶναι φίλον

577. sq. Herculi contin. M.

τά τ' ἐχθρὰ μισεῖν· ἀλλὰ μὴ 'πείγου λίαν.

ΗΡΑΚΛΗΣ.

τί δ' ἐστὶ τῶνδε θᾶσσον, ἢ χρεὼν, πάτερ;

ΑΜΦΙΤΡΥΩΝ.

πολλοὺς πένητας, ὀλβίους δὲ τῷ λόγῳ
δοκοῦντας εἶναι, συμμάχους ἄναξ ἔχει,
οἳ στάσιν ἔθηκαν καὶ διώλεσαν πόλιν
ἐφ' ἁρπαγαῖσι τῶν πέλας, τὰ δ' ἐν δόμοις
δαπάναισι φροῦδα, διαφυγόνθ' ὑπ' ἀργίας.
ὤφθης ἐπελθὼν πόλιν· ἐπεὶ δ' ὤφθης, ὅρα,
ἐχθροὺς ἀθροίσας, μὴ παρὰ γνώμην πέσῃς.

ΗΡΑΚΛΗΣ.

μέλει μὲν οὐδὲν, εἴ με πᾶσ' εἶδεν πόλις·
ὄρνιν δ' ἰδών τιν' οὐκ ἐν αἰσίοις ἕδραις,
ἔγνων πόνον τιν' ἐς δόμους πεπτωκότα·
ὥστ' ἐκ προνοίας κρύφιος εἰσῆλθον χθόνα.

ΑΜΦΙΤΡΥΩΝ.

καλῶς προσελθὼν νῦν πρόσειπέ θ' ἑστίαν,
καὶ δὸς πατρῴοις δώμασιν σὸν ὄμμ' ἰδεῖν.
ἥξει γὰρ αὐτὸς, σὴν δάμαρτα καὶ τέκνα
ἕλξων, φονεύσων, κἄμ' ἐπισφάξων, ἄναξ.
μένοντι δ' αὐτοῦ πάντα σοι γενήσεται,
τῇ τ' ἀσφαλείᾳ κερδανεῖς· πόλιν τε σὴν
μὴ πρὶν ταράξῃς, πρὶν τόδ' εὖ θέσθαι, τέκνον.

ΗΡΑΚΛΗΣ.

δράσω τάδ'· εὖ γὰρ εἶπας· εἶμ' εἴσω δόμων.
χρόνῳ δ' ἀνελθὼν ἐξ ἀνηλίων μυχῶν
Ἅιδου Κόρης ἔνερθεν, οὐκ ἀτιμάσω
θεοὺς προσειπεῖν πρῶτα τοὺς κατὰ στέγας.

ΑΜΦΙΤΡΥΩΝ.

ἦλθες γὰρ ὄντως δώματ' εἰς Ἅιδου, τέκνον;

ΗΡΑΚΛΗΣ.

καὶ θῆρά γ' ἐς φῶς τὸν τρίκρανον ἤγαγον.

ΑΜΦΙΤΡΥΩΝ.

μάχῃ κρατήσας, ἢ θεᾶς δωρήμασιν;

ΗΡΑΚΛΗΣ.

μάχῃ· τὰ μυστῶν δ' ὄργι' εὐτύχησ' ἰδών.

ΑΜΦΙΤΡΥΩΝ.

ἦ καὶ κατ' οἴκους ἐστὶν Εὐρυσθέως ὁ θήρ.

ΗΡΑΚΛΗΣ.

Χθονίας νιν ἄλσος Ἑρμιών τ' ἔχει πόλις.

ΑΜΦΙΤΡΥΩΝ.

οὐδ' οἶδεν Εὐρυσθεύς σε γῆς ἥκοντ' ἄνω;

ΗΡΑΚΛΗΣ.

οὐκ οἶδ'· ἵν' ἐλθὼν τἀνθάδ' εἰδείην πάρος.

ΑΜΦΙΤΡΥΩΝ.

χρόνον δὲ πῶς τοσοῦτον ἦσθ' ὑπὸ χθονί;

ΗΡΑΚΛΗΣ.

Θησέα κομίζων ἐχρόνεσ' ἐξ Ἅιδου, πάτερ.

ΑΜΦΙΤΡΥΩΝ.

καὶ ποῦ 'στιν; ἢ γῆς πατρίδος οἴχεται πέδον;

ΗΡΑΚΛΗΣ.

βέβηκ' Ἀθήνας, νέρθεν ἄσμενος φυγών.
ἀλλ' εἶ', ὁμαρτεῖτ', ὦ τέκν', ἐς δόμους πατρί.
καλλίονές τἄρ' εἴσοδοι τῶν ἐξόδων
πάρεισιν ὑμῖν. ἀλλὰ θάρσος ἴσχετε,
καὶ νάματ' ὄσσων μηκέτ' ἐξανίετε,
σύ τ', ὦ γύναι, μοι σύλλογον ψυχῆς λάβε

605. τρικάρηνον M. 610. οὐκ οἶδεν· ἐλθ. 619. ἐξανίετε M.

τρόμου τε παῦσαι, καὶ μέθεσθ᾽ ἐμῶν πέπλων·
οὐ γὰρ πτερωτὸς, οὐδὲ φευξείω φίλους.
(ἆ) οἵδ᾽ οὐκ ἀφιᾶσ᾽, ἀλλ᾽ ἀνάπτονται πέπλων
τοσῷδε μᾶλλον· ὧδ᾽ ἔβητ᾽ ἐπὶ ξυροῦ.
ἄξω, λαβών γε τούσδ᾽ ἐφολκίδας χεροῖν,
ναῦς δ᾽ ὣς ἐφέλξω· καὶ γὰρ οὐκ ἀναίνομαι
θεράπευμα τέκνων. πάντα τἀνθρώπων ἴσα.
φιλοῦσι παῖδας οἵ τ᾽ ἀμείνονες βροτῶν
οἵ τ᾽ οὐδὲν ὄντες. χρήμασιν δὲ διάφοροι·
ἔχουσιν, οἱ δ᾽ οὔ· πᾶν δὲ φιλότεκνον γένος.

ΧΟΡΟΣ.

Ἁ νεότας μοι φίλον· ἄχθος δὲ τὸ γῆρας αἰεὶ
(στροφὴ ά.)
βαρύτερον Αἴτνας σκοπέλων ἐπὶ κρατὶ κεῖται,
βλεφάρων σκοτεινὸν φάρος ἐπικαλύψαν.
μή μοι μήτ᾽ Ἀσιήτιδος
τυραννίδος ὄλβος εἴη,
μὴ χρυσοῦ δώματα πλήρη
τᾶς ἥβας ἀντιλαβεῖν!
ἃ καλλίστα μὲν ἐν ὄλβῳ,
καλλίστα δ᾽ ἐν πενίᾳ.
τὸ δὲ λυγρὸν φόνιόν τε γῆ-
ρας μισῶ· κατὰ κυμάτων δ᾽
ἐῤῥοι! μηδέ ποτ᾽ ὤφελεν
θνατῶν δώματα καὶ πόλεις
ἐλθεῖν, ἀλλὰ κατ᾽ αἰθέρ᾽ αἰ-
εὶ πτεροῖσι φορείσθω.

622. φευξιῶ M. 623. ἀφιᾶσιν M. 631. φίλον ἄχθος· τὸ δὲ γ. M. 633. φάος H. 644. sq. ἀεὶ M.

εἰ δὲ θεοῖς ἦν ξύνεσις καὶ σοφία, κατ᾽ ἄνδρας
(ἀντιστρ. ά.)
δίδυμον ἂν ἥβαν ἔφερον, φανερὸν χαρακτῆρ᾽
ἀρετᾶς, ὅσοισιν μέτα, καὶ θανόντες
εἰς αὐγὰς πάλιν ἁλίου
δισσοὺς ἂν ἔβαν διαύλους,
ἁ δυσγένεια δ᾽ ἁπλοῦν ἂν
εἶχε ζωᾶς βιοτάν.
καὶ τῷδ᾽ ἦν τούς τε κακοὺς ἂν
γνῶναι καὶ τοὺς ἀγαθοὺς,
ἴσον ἅτ᾽ ἐν νεφέλαισιν ἄ-
στρων ναύταις ἀριθμὸς πέλει.
νῦν δ᾽ οὐδεὶς ὅρος ἐκ θεῶν
χρηστοῖς οὐδὲ κακοῖς σαφὴς,
ἀλλ᾽ είλισσόμενός τις αἰ-
ὼν πλοῦτον μόνον αὔξει.
οὐ παύσομαι τὰς Χάριτας (στροφὴ β΄.)
Μούσαις συγκαταμιγνὺς,
ἡδίσταν συζυγίαν.
μὴ ζώην μετ᾽ ἀμουσίας,
αἰεὶ δ᾽ ἐν στεφάνοισιν εἴην!
ἔτι τοι γέρων ἀοιδὸς
κελαδεῖ Μναμοσύναν·
ἔτι τὰν Ἡρακλέους
καλλίνικον ἀείσω
παρά τε Βρόμιον οἰνοδόταν
παρά τε χέλυος ἑπτατόνου
μολπὰν καὶ Λίβυν αὐλόν·

648. μέτα· καὶ θνατοὶ ἐς M. 649. τὰς αὐγὰς M. 653. καὶ τῳδὶ M. καὶ τῷδε H.

οὔπω καταπαύσομεν
Μούσας, αἵ μ' ἐχόρευσαν.
παιᾶνα μὲν Δηλιάδες (ἀντιστρ.
ὑμνοῦσ', ἀμφὶ πύλας τὸν
Λατοῦς εὔπαιδα γόνον
εἱλίσσουσαι καλλίχορον·
παιᾶνας δ' ἐπὶ σοῖς μελάθροις,
κύκνος ὣς, γέρων ἀοιδὸς
πολιᾶν ἐκ γενύων
κελαδήσω· τὸ γὰρ εὖ
τοῖς ὕμνοισιν ὑπάρχει
Διὸς ὁ παῖς· τᾶς δ' εὐγενίας
πλέον ὑπερβάλλων * * *
μοχθήσας τὸν ἄκυμον
θῆκεν βίοτον βροτοῖς
πέρσας δείματα θηρῶν.

ΛΥΚΟΣ.

Ἐς καιρὸν οἴκων, Ἀμφιτρύων, ἔξω περᾷς·
χρόνος γὰρ ἤδη δαρὸς, ἐξ ὅτου πέπλοις
κοσμεῖσθε σῶμα καὶ νεκρῶν ἀγάλμασιν.
ἀλλ' εἶα, παῖδας καὶ δάμαρθ' Ἡρακλέους
ἔξω κέλευε τῶνδε φαίνεσθαι δόμων,
ἐφ' οἷς ὑπέστητ' αὐτεπάγγελτοι θανεῖν.

ΑΜΦΙΤΡΥΩΝ.

ἄναξ, διώκεις μ' ἀθλίως πεπραγότα,
ὕβριν θ' ὑβρίζεις ἐπὶ θανοῦσι τοῖς ἐμοῖς·
ἃ χρῆν σε μετρίως, κεἰ κρατεῖς, σπουδὴν ἔχειν.

676. ὑμνοῦσ' ἀμφίπολοι H. 684. εὐγενείας M. 685. desunt signa lacunae M. 689. περᾷ M. 694. ὑπέστητέ γ' αὐτ. M.

ἐπεὶ δ' ἀνάγκην προστίθης ἡμῖν θανεῖν,
στέργειν ἀνάγκη, δραστέον δ', ἃ σοι δοκεῖ.

ΛΥΚΟΣ.

ποῦ δῆτα Μεγάρα; ποῦ τέκν' Ἀλκμήνης γόνου;

ΑΜΦΙΤΡΥΩΝ.

δοκῶ μὲν αὐτὴν, ὡς θύραθεν εἰκάσαι —

ΛΥΚΟΣ.

τί χρῆμα δόξης τῆσδ' ἔχεις τεκμήριον;

ΑΜΦΙΤΡΥΩΝ.

ἱκέτιν πρὸς ἁγνοῖς ἑστίας θάσσειν βάθροις.

ΛΥΚΟΣ.

ἀνόνητά γ' ἱκετεύουσαν ἐκσῶσαι βίον.

ΑΜΦΙΤΡΥΩΝ.

καὶ τὸν θανόντα γ' ἀνακαλεῖ μάτην πόσιν.

ΛΥΚΟΣ.

ὅδ' οὐ πάρεστιν, οὐδὲ μὴ μόλῃ ποτέ.

ΑΜΦΙΤΡΥΩΝ.

οὐκ, εἴγε μή τις θεῶν ἀναστήσειέ νιν.

ΛΥΚΟΣ.

χώρει πρὸς αὐτὴν, καὶ κόμιζ' ἐκ δωμάτων.

ΑΜΦΙΤΡΥΩΝ.

μέτοχος ἂν εἴην τοῦ φόνου, δράσας τόδε.

ΛΥΚΟΣ.

ἡμεῖς, ἐπειδή σοι τόδ' ἔστ' ἐνθύμιον,
οἱ δειμάτων ἔξωθεν, ἐκπορεύσομεν
σὺν μητρὶ παῖδας. δεῦρ' ἕπεσθε, πρόσπολοι,
ὡς ἂν σχολὴν λεύσσωμεν ἄσμενοι πόνων.

ΑΜΦΙΤΡΥΩΝ.

σὺ δ' οὖν ἴθ', ἔρχει δ', οἷ χρεών· τὰ δ' ἄλλ' ἴσως

702. τί χρῆμα; δόξ. H. 705. ἀνακαλεῖν H. 713. σχ. λύσωμεν.

ἄλλῳ μελήσει. προςδόκα δὲ, δρῶν κακῶς,
κακόν τι πράξειν. ὦ γέροντες, ἐς καλὸν
στείχει, βρόχοισι δ' ἀρκύων γενήσεται
ξιφηφόροισι, τοὺς πέλας δοκῶν κτενεῖν,
ὁ παγκάκιστος. εἶμι δ', ὡς ἴδω νεκρὸν
πίπτοντ'· ἔχει γὰρ ἡδονὰς θνήσκων ἀνὴρ
ἐχθρὸς τίνων τε τῶν δεδραμένων δίκην.

ΗΜΙΧΟΡΙΟΝ Α.

Μεταβολὰ κακῶν· μέγας ὁ πρόσθ' ἄναξ
(στροφὴ ά.)
πάλιν ὑποστρέφει βίοτον εἰς Ἅιδαν.
ἰώ! δίκα καὶ θεῶν παλίῤῥους πότμος!

ΗΜΙΧΟΡΙΟΝ Β.

ἦλθες χρόνῳ μὲν, οὗ δίκην δώσεις θανὼν,
ὕβρεις ὑβρίζων εἰς ἀμείνονας σέθεν.

ΗΜΙΧΟΡΙΟΝ Α.

χαρμοναὶ δακρύων ἔδοσαν ἐκβολάς· (στρ. β'.)
πάλιν ἔμολεν, ἃ πάρος οὔποτε διὰ φρενὸς
ἤλπισεν παθεῖν γῆς ἄναξ.

ΗΜΙΧΟΡΙΟΝ Β.

ἀλλ', ὦ γεραιέ, καὶ τὰ δωμάτων ἔσω
σκοπῶμεν, εἰ πράσσει τις, ὡς ἐγὼ θέλω.

ΛΥΚΟΣ.

ἰώ μοί μοι!

ΗΜΙΧΟΡΙΟΝ Α.

τόδε κατάρχεται μέλος ἐμοὶ κλύειν (ἀντ. ά.)
φίλιον ἐν δόμοις· θάνατος οὐ πρόσω.
βοᾷ φόνου φροίμιον στενάζων ἄναξ.

724. ἰώ bis H. 729. ἐπήλπισεν H. 735. βοᾷ, βοᾷ στενάζων φροίμιόν γ' ἄναξ φόνου.

ΛΥΚΟΣ.

ὦ πᾶσα Κάδμου γαῖ', ἀπόλλυμαι δόλῳ.

ΗΜΙΧΟΡΙΟΝ Β.

καὶ γὰρ διώλλυς· ἀντάποινα δ' ἐκτίνων
τόλμα, διδούς γε τῶν δεδραμένων δίκην.

ΗΜΙΧΟΡΙΟΝ Α.

τίς ὁ θεοὺς ἀνομίᾳ χραίνων, θνητὸς ὤν, (ἀντ. β'.)
ἄφρονα λόγον οὐρανίων μακάρων κατέβαλ',
ὡς ἄρ' οὐ σθένουσιν θεοί;

ΗΜΙΧΟΡΙΟΝ Β.

γέροντες, οὐκέτ' ἔστι δυςσεβὴς ἀνήρ.
σιγᾷ μέλαθρα· πρὸς χοροὺς τραπώμεθα·
φίλοι γὰρ εὐτυχοῦσιν, οὓς ἐγὼ θέλω.

ΧΟΡΟΣ.

Χοροὶ, χοροὶ καὶ θαλίαι μέλουσι (στρ. ά.)
Θήβας ἱερὸν κατ' ἄστυ.
μεταλλαγαὶ γὰρ δακρύων,
μεταλλαγαὶ συντυχίας
ἔτεκον ἀοιδάς.
βέβακ' ἄναξ ὁ καινὸς, ὁ δὲ παλαίτερος
κρατεῖ, λιμένα λιπών γε τὸν Ἀχερόντιον·
δοκημάτων ἐκτὸς ἦλθεν ἐλπίς.
θεοὶ, θεοὶ τῶν ἀδίκων μέλουσι (ἀντιστρ. ά.)
καὶ τῶν ὁσίων ἐπάειν.
ὁ χρυσὸς ἅ τ' εὐτυχία
φρονεῖν βροτοὺς ἐξάγεται,
δύνασιν [ἄδικον] ἐφέλκων.

737. ἀντίποινα M. 750. βέβακεν M. ὁ κλεινός. 753. μέλλουσι M. 754. ἐπαΐειν M. 757. ἄδικον om. H. sine uncis M.

χρόνου γὰρ ἔτλα τὸ πάλιν οὔτις εἰσορᾷν,
νόμον παρέμενος, ἀνομίᾳ χάριν διδούς·
ἔθραυσε δ' ὄλβου κελαινὸν ἅρμα.
Ἰσμηνῷ στεφανοφορίαν, (στροφὴ β'.)
ξεσταί θ' ἑπταπύλου πόλεως,
ἀναχορεύσατ', ἀγυιαὶ
Δίρκα θ' ἁ καλλιῤῥέεθρος,
σύν τ' Ἀσωπιάδες κόραι,
πατρὸς ὕδωρ βᾶτε λιποῦ-
σαι * συναοιδοὶ
Νύμφαι τὸν Ἡρακλέους
καλλίνικον ἀγῶν'· ὦ
Πυθίου δενδρῶτι πέτρα
Μουσῶν θ' Ἑλικωνιάδων δώματα,
ἥξετ' εὐγαθεῖ κελάδῳ
ἐμὰν πόλιν, ἐμὰ τείχη,
Σπαρτῶν ἵνα γένος ἐφάνη,
χαλκασπίδων λόχος, ὃς γᾶν
τέκνων τέκνοις μεταμείβει,
Θήβαις ἱερὸν φῶς.
ὦ λέκτρων δύο συγγενεῖς (ἀντιστρ. β'.)
εὐναὶ, θνατογενοῦς τε καὶ
Διὸς, ὃς ἦλθεν ἐς εὐνὰς
Νύμφας τᾶς Περσῆδος· καὶ
πιστόν μοι τὸ παλαιὸν ἤ-

758. χρόνον γὰρ ἔ. M. χρόνου γὰρ οὔτις ἔ. H. Ib. τὸ πάλιν εἰσορᾷν. 760. ἔθραυσεν ὄ. M. 761. Ἰσμήν', ὦ H. στεφανοφορία M. 762. ἑπτάπυλοι H. 764. καλλιρέεθρος. 765. Ἀσωπίδες M. 767. desunt notae lacunae M. 771. Ἑλικωνίδων M. 773. ἐμά τε τ. M. 774. ἔφανε M. 781. Περσηΐδος M. Περσεΐδος H.

δη λέχος, ὦ Ζεῦ, τὸ σὸν οὐκ
ἐπ' ἐλπίδι φάνθη,
λαμπρὰν δ' ἔδειξ' ὁ χρόνος
τὰν Ἡρακλέος ἀλκάν·
ὃς γᾶς ἐξέβα θαλάμων,
Πλούτωνος δῶμα λιπὼν νέρτερον.
κρείσσων μοι τύραννος ἔφυς,
ἢ δυσγένει' ἀνάκτων.
ἃ νῦν ἐσορᾷν φαίνει
ξιφηφόρων ἐς ἀγώνων
ἅμιλλαν, εἰ τὸ δίκαιον
θεοῖς ἔτ' ἀρέσκει.
ἔα, ἔα.
ἆρ' ἐς τὸν αὐτὸν πίτυλον ἥκομεν φόβου,
γέροντες, οἷον φάσμ' ὑπὲρ δόμων ὁρῶ;
φυγῇ, φυγῇ
νωθὲς πέδαιρε κῶλον, ἐκποδὼν ἔλα.
ὦ ἄναξ Παιὰν,
ἀπότροπος γένοιό μοι τῶν πημάτων.

ΙΡΙΣ.

θαρσεῖτε, Νυκτὸς τήνδ' ὁρῶντες ἔκγονον
Λύσσαν, γέροντες, κἀμὲ τὴν θεῶν λάτριν,
Ἶριν· πόλει γὰρ οὐδὲν ἥκομεν βλάβος,
ἑνὸς δ' ἐπ' ἀνδρὸς δώματα στρατεύομεν,
ὃν φασιν εἶναι Ζηνὸς Ἀλκμήνης τ' ἄπο.
πρὶν μὲν γὰρ ἄθλους ἐκτελευτῆσαι πικροὺς,
τὸ χρεών νιν ἐξέσωζεν, οὐδ' εἴα πατὴρ
Ζεύς νιν κακῶς δρᾷν οὔτ' ἔμ', οὔθ' Ἥραν ποτέ.

805. σώματα M.

ἐπεὶ δὲ μόχθους διεπέρασ᾽ Εὐρυσθέως,
Ἥρα προσάψαι καινὸν αἷμ᾽ αὐτῷ θέλει,
παῖδας κατακτείναντι, συνθέλω δ᾽ ἐγώ.
ἀλλ᾽ εἶ᾽, ἄτεγκτον συλλαβοῦσα καρδίαν,
Νυκτὸς κελαινῆς ἀνυμέναιε παρθένε,
μανίας τ᾽ ἐπ᾽ ἀνδρὶ τῷδε καὶ παιδοκτόνους
φρενῶν ταραγμοὺς καὶ ποδῶν σκιρτήματα
ἔλαυνε, κίνει, φόνιον ἐξίει κάλων,
ὡς ἂν, πορεύσας δι᾽ Ἀχερούσιον πόρον
τὸν καλλίπαιδα στέφανον αὐθέντῃ φόνῳ,
γνῷ μὲν τὸν Ἥρας οἷός ἐστ᾽ αὐτῷ χόλος,
μάθῃ δὲ τὸν ἐμόν· ἢ θεοὶ μὲν οὐδαμοῦ,
τὰ θνητὰ δ᾽ ἔσται μεγάλα, μὴ δόντος δίκην.

ΛΥΣΣΑ.

ἐξ εὐγενοῦς μὲν πατρὸς ἔκ τε μητέρος
πέφυκα, Νυκτὸς Οὐρανοῦ τ᾽ ἀφ᾽ αἵματος·
τιμὰς δ᾽ ἔχω τάσδ᾽, οὐκ ἀγασθῆναι φίλοις,
οὐδ᾽ ἥδομαι φοιτῶσ᾽ ἐπ᾽ ἀνθρώπων φίλους·
παραινέσαι δὲ, πρὶν σφαλεῖσαν εἰσιδεῖν,
Ἥρᾳ θέλω σοί τ᾽, ἢν πίθησθ᾽ ἐμοῖς λόγοις.
ἀνὴρ ὅδ᾽ οὐκ ἄσημος, οὔτ᾽ ἐπὶ χθονὶ,
οὔτ᾽ ἐν θεοῖσιν, οὗ γέ μ᾽ εἰσπέμπεις δόμους·
ἄβατον δὲ χώραν καὶ θάλασσαν ἀγρίαν
ἐξημερώσας, θεῶν ἀνέστησεν μόνος
τιμὰς, πιτνούσας ἀνοσίων ἀνδρῶν ὕπο·
ὥστ᾽ οὐ παραινῶ μεγάλα βούλεσθαι κακά.

ΙΡΙΣ.

μὴ σὺ νουθέτει τά θ᾽ Ἥρας κἀμὰ μηχανήματα.

811. κοινὸν αἷμ᾽ H. 834. σοί τ᾽ οὐ M.

ΛΥΣΣΑ.

ἐς τὸ λῷστον ἐμβιβάζω σ᾽ ἴχνος ἀντὶ τοῦ κακοῦ.

ΙΡΙΣ.

οὐχὶ σωφρονεῖν γ᾽ ἔπεμψε δεῦρό σ᾽ ἡ Διὸς δάμαρ.

ΛΥΣΣΑ.

Ἥλιον μαρτυρόμεσθα δρῶσ᾽, ἃ δρᾶν οὐ βούλομαι.
εἰ δὲ δή μ᾽ Ἥρᾳ θ᾽ ὑπουργεῖν σοί τ᾽ ἀναγκαίως ἔχει
τάχος ἐπιῤῥοίβδην θ᾽ ὁμαρτεῖν, ὡς κυνηγέτῃ κύνας,
εἶμί γ᾽· οὔτε πόντος οὕτω κύμασι στένων λάβρος,
οὔτε γῆς σεισμὸς, κεραυνοῦ τ᾽ οἶστρος ὠδῖνας πνέων,
οἷ᾽ ἐγὼ σταδιοδραμοῦμαι στέρνον εἰς Ἡρακλέος,
καὶ καταῤῥήξω μέλαθρα, καὶ δόμους ἐπεμβαλῶ,
τέκν᾽ ἀποκτείνασα πρῶτον· ὁ δὲ κανὼν οὐκ εἴσεται
παῖδας, οὓς ἔτικτ᾽, ἐναίρων, πρὶν ἂν ἐμὰς λύσσας ἀφῇ.
ἣν ἰδού· καὶ δὴ τινάσσει κρᾶτα βαλβίδων ἄπο,
καὶ διαστρόφους ἑλίσσει σῖγα γοργωποὺς κόρας.
ἀμπνοὰς δ᾽ οὐ σωφρονίζει, ταῦρος ὣς ἐς ἐμβολὴν,
δεινὰ μυκᾶται δὲ, Κῆρας ἀνακαλῶν τὰς Ταρτάρου.
τάχα σ᾽ ἐγὼ μᾶλλον χορεύσω καὶ καταυλήσω φόβῳ.
στεῖχ᾽ ἐς Οὔλυμπον πεδαίρουσ᾽, Ἶρι, γενναῖον πόδα·
ἐς δόμους δ᾽ ἡμεῖς ἄφαντοι δυσόμεσθ᾽ Ἡρακλέος.

836. Iridi continuat M. 836. ἐμβιβάζουσ᾽ M. 841. λάβρως.
846. ἐμᾶς M. ἐμῆς λύσσης ὑφῇ H.

ΧΟΡΟΣ.

Ὀτοτοτοῖ! στέναξον· ἀποκείρεται
σὸν ἄνθος, πόλις, ὁ Διὸς ἔκγονος.
μέλεος Ἑλλὰς, ἃ τὸν εὐεργέταν
ἀποβαλεῖς, ὀλεῖς μανίαισιν Λύσσας
χορευθέντ᾽ ἀναύλοις.
βέβακεν ἐν δίφροισιν ἁ πολύστονος,
ἅρμασι δ᾽ ἐνδίδωσι κέντρον,
ὡς ἐπὶ λώβᾳ, Νυκτὸς Γοργὼν
ἑκατογκεφάλοις
ὄφεων ἰαχήμασι, Λύσσα μαρμαρωπός.
ταχὺ τὸν εὐτυχῆ μετέβαλεν δαίμων,
ταχὺ δὲ πρὸς πατρὸς τέκν᾽ ἐκπνεύσεται.
ἰώ μοι μέλεος! ἰὼ Ζεῦ, τὸ σὸν
γένος ἄγονον αὐτίκα
λυσσάδες ὠμοβρῶτες ἀποινόδικοι δίκαι
κακοῖσιν ἐκπατάσσουσιν.
ἰὼ στέγαι!
κατάρχεται χορεύματ᾽ ἄτερ τυπάνων,
οὐ Βρομίῳ κεχαρισμένα θύρσῳ.
ἰὼ δόμοι!
πρὸς αἵματ᾽, οὐχὶ τᾶς Διονυσιάδος
ἐκ βοτρύων ἐπὶ χεύμασι λοιβᾶς.
φυγῇ, τέκν᾽, ἐξορμᾶτε· δάϊον τόδε,
δάϊον μέλος ἐπαυλεῖται.

857. μανίαισι M. μανιάσιν H. 858. ἐναύλοις M. ἐν αὐλοῖς H. 862. ἑκατὸν κεφαλαῖς M. 864. μετέβαλε M. 865. πατρὸς, τέκν᾽, ἐκπνεύσετε. 868. Λύσσα δέ σ᾽ ὠμοβρῶτος M. 871. χόρευμα τυμπάνων ἄτερ M. 874. τὰς Διονυσιάδας. 875. ἐκ deest M. Pro eo σύν H. Ib. ἐπιχεύμασι H. Ib. λοιβάς.

κυναγετεῖ [τε] τέκνων διωγμόν·
οὔποτ᾽ ἄκραντα δόμοισι Λύσσα βακχεύσει.
αἶ αἶ κακῶν!
αἶ αἶ δῆτα τὸν γεραιὸν ὡς στένω
πατέρα τάν τε παιδοτρόφον, ᾇ μάταν
τέκεα γεννᾶται.
ἰδού! ἰδού!
θύελλα σείει δῶμα, συμπίπτει στέγη·
ἢ ἤ! τί δρᾷς, ὦ παῖ Διὸς, μελάθρῳ;
τάραγμα ταρτάρειον, ὡς ἐπ᾽
Ἐγκελάδῳ ποτε Παλλὰς, εἰς δόμους πέμπεις.

ΑΓΓΕΛΟΣ.

ὦ λευκὰ γήρᾳ σώματ᾽ —

ΧΟΡΟΣ.

ἀνακαλεῖς τίνα με τίνα βοάν;

ΑΓΓΕΛΟΣ.

ἄλαστα τἀν δόμοισι.

ΧΟΡΟΣ.

μάντιν οὐχ ἕτερον ἄξομαι.

ΑΓΓΕΛΟΣ.

τεθνᾶσι παῖδες· αἶ! αἶ!
στενάζεθ᾽, ὡς στενακτά· δάϊοι φόνοι,
δάϊοι δὲ τοκέων χεῖρες.
οὐκ ἂν τις εἴποι μᾶλλον, ἢ πεπόνθαμεν.

ΧΟΡΟΣ.

πῶς παισὶ στενακτὰν ἄταν, ἄταν
πατέρος ἀμφαίνεις;

878. τε om. H. sine uncis M. 882. ᾇ deest M. 886. Διός; μελάθρῳ τάρ. 889. σώματα. 890. Prius τίνα om. M.

λέγε, τίνα τρόπον ἔσσυτο θεόθεν ἐπὶ
μέλαθρα κακὰ τάδε τλήμονάς
τε παίδων τύχας.

ΑΓΓΕΛΟΣ.

ἱερὰ μὲν ἦν πάροιθεν ἐσχάρας Διὸς
καθάρσι᾽ οἴκων, γῆς ἄνακτ᾽ ἐπεὶ κτανὼν
ἐξέβαλε τῶνδε δωμάτων Ἡρακλέης·
χορὸς δὲ καλλίμορφος εἱστήκει τέκνων,
πατήρ τε Μεγάρα τ᾽· ἐν κύκλῳ δ᾽ ἤδη κανοῦν
εἵλικτο βωμοῦ, φθέγμα δ᾽ ὅσιον εἴχομεν.
μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν,
εἰς χέρνιβ᾽ ὡς βάψειεν, Ἀλκμήνης τόκος,
ἔστη σιωπῇ. καὶ χρονίζοντος πατρὸς,
παῖδες προσέσχον ὄμμ᾽· ὁ δ᾽ οὐκέθ᾽ αὑτὸς ἦν,
ἀλλ᾽ ἐν στροφαῖσιν ὀμμάτων ἐφθαρμένος,
ῥίζας τ᾽ ἐν ὄσσοις αἱματωποὺς ἐκβαλὼν,
ἀφρὸν κατέσταζ᾽ εὐτρίχου γενειάδος.
ἔλεξε δ᾽ ἅμα γέλωτι παραπεπληγμένῳ·
πάτερ, τί θύω, πρὶν κτανεῖν Εὐρυσθέα,
καθάρσιον πῦρ, καὶ πόνους διπλοῦς ἔχω,
ἐξὸν μιᾶς μοι χειρὸς εὖ θέσθαι τάδε;
ὅταν δ᾽ ἐνέγκω δεῦρο κρᾶτ᾽ Εὐρυσθέως,
ἐπὶ τοῖσι νῦν θανοῦσιν ἁγνιῶ χέρας.
ἐκχεῖτε πηγὰς, ῥίπτετ᾽ ἐκ χειρῶν κανᾶ.
τίς μοι δίδωσι τόξα; τίς δ᾽ ὅπλον χερός;
πρὸς τὰς Μυκήνας εἶμι· λάζυσθαι χρεὼν
μοχλοὺς δικέλλας θ᾽, ὡς τὰ Κυκλώπων βάθρα,
φοίνικι κανόνι καὶ τύκοις ἡρμοσμένα,

899. ἴσυτο H. 911. αὐτὸς M. 913. αἱματῶπας H. 922. δ᾽ deest M. 924. ὥστε M.

στρεπτῷ σιδήρῳ συντριαινώσω πόλιν.
ἐκ τοῦδε βαίνων, ἅρματ᾽ οὐκ ἔχων, ἔχειν
ἔφασκε, δίφρου τ᾽ εἰσέβαινεν ἄντυγα,
κἄθεινε, κέντρῳ δῆθεν ὡς θένων χερί.
διπλοῦς δ᾽ ὀπαδοῖς ἦν γέλως φόβος θ᾽ ὁμοῦ.
καί τις τόδ᾽ εἶπεν, ἄλλος εἰς ἄλλον δρακών·
παίζει πρὸς ἡμᾶς δεσπότης, ἢ μαίνεται;
ὁ δ᾽ εἷρπ᾽ ἄνω τε καὶ κάτω κατὰ στέγας,
μέσον δ᾽ ἐς ἀνδρῶν᾽ ἐσπεσὼν, Νίσου πόλιν
ἥκειν ἔφασκε, δωμάτων εἴσω βεβώς.
κλιθεὶς δ᾽ ἐς οὖδας, ὡς ἐκεῖ, σκευάζεται
θοίνην. διελθὼν δ᾽ ἐς βραχὺν χρόνον μονῆς,
Ἰσθμοῦ ναπαίας ἔλεγε προσβαίνειν πλάκας,
κἀνταῦθα γυμνὸν σῶμα θεὶς πορπαμάτων,
πρὸς οὐδέν᾽ ἡμιλλᾶτο, κἀκηρύσσετο
αὐτὸς πρὸς αὑτοῦ καλλίνικος, οὐδενὸς
ἀκοὴν ὑπειπών. δεινὰ δ᾽ Εὐρυσθεῖ βρέμων,
ἦν ἐν Μυκήναις τῷ λόγῳ. πατὴρ δέ νιν
θίγων κραταιᾶς χειρὸς, ἐννέπει τάδε·
ὦ παῖ, τί πάσχεις; τίς ὁ τρόπος ξενώσεως
τῆσδ᾽; οὔτι που φόνος σ᾽ ἐβάκχευσεν νεκρῶν,
οὓς ἄρτι καίνεις; ὁ δέ νιν Εὐρυσθέως δοκῶν
πατέρα προταρβοῦνθ᾽ ἱκέσιον ψαύειν χερὸς,
ὠθεῖ, φαρέτραν δ᾽ εὐτρεπῆ σκευάζεται
καὶ τόξ᾽ ἑαυτοῦ παισὶ, τοὺς Εὐρυσθέως
δοκῶν φονεύειν. οἱ δὲ ταρβοῦντες φόβῳ,
ὤρουον ἄλλος ἄλλοσ᾽, ἐς πέπλους ὁ μὲν
μητρὸς ταλαίνης, ὁ δ᾽ ὑπὸ κίονος σκιὰν,
ἄλλος δὲ βωμὸν, ὄρνις ὥς, ἔπτηξ᾽ ὕπο.

936. κλινθείς.

λέγε, τίνα τρόπον ἔσσυτο θεόθεν ἐπὶ
μέλαθρα κακὰ τάδε τλήμονάς
τε παίδων τύχας.

ΑΓΓΕΛΟΣ.

ἱερὰ μὲν ἦν πάροιθεν ἐσχάρας Διὸς
καθάρσι᾽ οἴκων, γῆς ἄνακτ᾽ ἐπεὶ κτανὼν
ἐξέβαλε τῶνδε δωμάτων Ἡρακλέης·
χορὸς δὲ καλλίμορφος εἱστήκει τέκνων,
πατήρ τε Μεγάρα τ᾽· ἐν κύκλῳ δ᾽ ἤδη κανοῦν
εἵλικτο βωμοῦ, φθέγμα δ᾽ ὅσιον εἴχομεν.
μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν,
εἰς χέρνιβ᾽ ὡς βάψειεν, Ἀλκμήνης τόκος,
ἔστη σιωπῇ. καὶ χρονίζοντος πατρὸς,
παῖδες προσέσχον ὄμμ᾽· ὁ δ᾽ οὐκέθ᾽ αὑτὸς ἦν,
ἀλλ᾽ ἐν στροφαῖσιν ὀμμάτων ἐφθαρμένος,
ῥίζας τ᾽ ἐν ὄσσοις αἱματωποὺς ἐκβαλὼν,
ἀφρὸν κατέσταζ᾽ εὐτρίχου γενειάδος.
ἔλεξε δ᾽ ἅμα γέλωτι παραπεπληγμένῳ·
πάτερ, τί θύω, πρὶν κτανεῖν Εὐρυσθέα,
καθάρσιον πῦρ, καὶ πόνους διπλοῦς ἔχω,
ἐξὸν μιᾶς μοι χειρὸς εὖ θέσθαι τάδε;
ὅταν δ᾽ ἐνέγκω δεῦρο κρᾶτ᾽ Εὐρυσθέως,
ἐπὶ τοῖσι νῦν θανοῦσιν ἁγνιῶ χέρας.
ἐκχεῖτε πηγὰς, ῥίπτετ᾽ ἐκ χειρῶν κανᾶ.
τίς μοι δίδωσι τόξα; τίς δ᾽ ὅπλον χερός;
πρὸς τὰς Μυκήνας εἶμι· λάζυσθαι χρεὼν
μοχλοὺς δικέλλας θ᾽, ὡς τὰ Κυκλώπων βάθρα,
φοίνικι κανόνι καὶ τύκοις ἡρμοσμένα,

899. ἴσυτο H. 911. αὐτὸς M. 913. αἱματῶπας H. 922. δ᾽ deest M. 924. ὥστε M.

στρεπτῷ σιδήρῳ συντριαινώσω πόλιν.
ἐκ τοῦδε βαίνων, ἅρματ᾽ οὐκ ἔχων, ἔχειν
ἔφασκε, δίφρου τ᾽ εἰςέβαινεν ἄντυγα,
κἄθεινε, κέντρῳ δῆθεν ὡς θένων χερί.
διπλοῦς δ᾽ ὀπαδοῖς ἦν γέλως φόβος θ᾽ ὁμοῦ.
καί τις τόδ᾽ εἶπεν, ἄλλος εἰς ἄλλον δρακών·
παίζει πρὸς ἡμᾶς δεσπότης, ἢ μαίνεται;
ὁ δ᾽ εἷρπ᾽ ἄνω τε καὶ κάτω κατὰ στέγας,
μέσον δ᾽ ἐς ἀνδρῶν᾽ ἐςπεσὼν, Νίσου πόλιν
ἥκειν ἔφασκε, δωμάτων εἴσω βεβώς.
κλιθεὶς δ᾽ ἐς οὖδας, ὡς ἐκεῖ, σκευάζεται
θοίνην. διελθὼν δ᾽ ἐς βραχὺν χρόνον μονῆς,
Ἰσθμοῦ ναπαίας ἔλεγε προσβαίνειν πλάκας.
κἀνταῦθα γυμνὸν σῶμα θεὶς πορπαμάτων,
πρὸς οὐδέν᾽ ἡμιλλᾶτο, κἀκηρύσσετο
αὐτὸς πρὸς αὑτοῦ καλλίνικος, οὐδενὸς
ἀκοὴν ὑπειπών. δεινὰ δ᾽ Εὐρυσθεῖ βρέμων,
ἦν ἐν Μυκήναις τῷ λόγῳ. πατὴρ δέ νιν
θίγων κραταιᾶς χειρὸς, ἐννέπει τάδε·
ὦ παῖ, τί πάσχεις; τίς ὁ τρόπος ξενώσεως
τῆσδ᾽; οὔτι που φόνος σ᾽ ἐβάκχευσεν νεκρῶν,
οὓς ἄρτι καίνεις; ὁ δέ νιν Εὐρυσθέως δοκῶν
πατέρα προταρβοῦνθ᾽ ἱκέσιον ψαύειν χερὸς,
ὠθεῖ, φαρέτραν δ᾽ εὐτρεπῆ σκευάζεται
καὶ τόξ᾽ ἑαυτοῦ παισὶ, τοὺς Εὐρυσθέως
δοκῶν φονεύειν. οἱ δὲ ταρβοῦντες φόβῳ,
ὤρουον ἄλλος ἄλλοσ᾽, ἐς πέπλους ὁ μὲν
μητρὸς ταλαίνης, ὁ δ᾽ ὑπὸ κίονος σκιὰν,
ἄλλος δὲ βωμὸν, ὄρνις ὣς, ἔπτηξ᾽ ὕπο.

936. κλινθείς.

βοᾷ δὲ μήτηρ· ὦ τεκὼν, τί δρᾷς; τέκνα
κτείνεις; βοᾷ δὲ πρέσβυς οἰκετῶν τ' ὄχλος.
ὁ δ' ἐξελίσσων παῖδα κίονος κύκλῳ,
τόρευμα δεινὸν ποδὸς, ἐναντίον σταθεὶς,
βάλλει πρὸς ἧπαρ· ὕπτιος δὲ λαΐνους
ὀρθοστάτας ἔδευσεν, ἐκπνέων βίον.
ὁ δ' ἠλάλαξε κἀπεκόμπασεν τάδε·
εἷς μὲν νεοσσὸς ὅδε θανὼν Εὐρυσθέως,
ἔχθραν πατρῴαν ἐκτίνων, πέπτωκέ μοι.
ἄλλῳ δ' ἐπεῖχε τόξ', ὃς ἀμφὶ βωμίαν
ἔπτηξε κρηπῖδ', ὡς λεληθέναι δοκῶν.
φθάνει δ' ὁ τλήμων γόνασι προςπεσὼν πατρὸς,
καὶ πρὸς γένειον χεῖρα καὶ δέρην βαλὼν,
ὦ φίλτατ', αὐδᾷ, μή μ' ἀποκτείνῃς, πάτερ·
σός εἰμι, σὸς παῖς· οὐ τὸν Εὐρυσθέως ὀλεῖς.
ὁ δ' ἀγριωπὸν ὄμμα Γοργόνος στρέφων,
ὡς ἐντὸς ἔστη παῖς λυγροῦ τοξεύματος,
μυδροκτύπον μίμημ', ὑπὲρ κάρα βαλὼν
ξύλον καθηκε παιδὸς ἐς ξανθὸν κάρα,
ἔῤῥηξε δ' ὀστᾶ. δεύτερον δὲ παῖδ' ἑλὼν,
χωρεῖ τρίτον θῦμ' ὡς ἐπισφάξων δυοῖν.
ἀλλὰ φθάνει νιν ἡ τάλαιν' εἴσω δόμων
μήτηρ ὑπεκλαβοῦσα, καὶ κλῄει πύλας.
ὁ δ' ὡς ἐπ' αὐτοῖς δὴ Κυκλωπείοισιν ὢν,
σκάπτει, μοχλεύει θύρετρα· κἀκβαλὼν σταθμὰ,
δάμαρτα καὶ παῖδ' ἑνὶ κατέστρωσεν βέλει.
κἀνθένδε πρὸς γέροντος ἱππεύει φόνον·
ἀλλ' ἦλθεν εἰκὼν, ὡς ὁρᾷν ἐφαίνετο,
[Παλλὰς κραδαίνουσ' ἔγχος ἐπὶ λόφῳ κέαρ,]

958. πόρευμα H. 970. τρέφων M. 972. μυδροκτύπων M.

κἄῤῥιψε πέτρον στέρνον εἰς Ἡρακλέους,
ὅς νιν φόνου μαργῶντος ἔσχε, κεἰς ὕπνον
καθῆκε· πιτνεῖ δ' ἐς πέδον, πρὸς κίονα
νῶτον πατάξας, ὃς πεσήμασι στέγης
διχοῤῥαγὴς ἔκειτο κρηπίδων ἔπι.
ἡμεῖς δ' ἐλευθεροῦντες ἐκ δρασμῶν πόδα,
σὺν τῷ γέροντι δεσμὰ σειραίων βρόχῳ
ἀνήπτομεν πρὸς κίον', ὡς, λήξας ὕπνου,
μηδὲν προςεργάσαιτο τοῖς δεδραμένοις.
εὕδει δ' ὁ τλήμων ὕπνον οὐκ εὐδαίμονα,
παῖδας φονεύσας καὶ δάμαρτ'. ἐγὼ μὲν οὖν
οὐκ οἶδα, θνητῶν ὅςτις ἀθλιώτερος.

ΧΟΡΟΣ.

Ὁ φόνος ἦν, ὃν Ἀργολὶς ἔχει πάτρα,
τότε μὲν περισαμότατος καὶ ἄριστος,
Ἑλλάδι τῶν [τοῦ] Δαναοῦ παίδων·
τὰ δ' ὑπερέβαλε, παρέδραμε τὰ τότε κακά.
τάλανι διογενεῖ κόρῳ μονοτέκνου Πρόκνης
φόνον ἔχω λέξαι θυόμενον Μούσαις·
σὺ δὲ τέκνα τρίγονα τεκόμενος, ὦ δάϊε,
λυσσάδι συγκατειργάσω μοίρᾳ.
ἐς τίνα στεναγμὸν,
ἢ γόον, ἢ φθιτῶν ᾠδὰν ἢ τὸν Ἅι-
δα χορὸν ἰαχήσω;
φεῦ φεῦ!
ἴδεσθε, διάνδιχα κλῇθρα κλίνεται
ὑψιπύλων δόμων.
ὤ μοι!

989. sq. ordine inverso M. 990. σειρεύων M. 997. ἄπι-
στος H. 998. τοῦ om. H. sine uncis M.

ἴδεσθε τὰ τέκνα πρὸ πατρὸς ἄθλια
κείμενα δυστάνου,
εὕδοντος ὕπνον δεινὸν ἐκποδὼν φόνου.
περὶ δὲ δεσμὰ καὶ πολύβροχ' ἀμμάτων
ἐρείσμαθ' Ἡράκλειον ἀμφὶ δέμας, τὰ δὲ λα-
ΐνοις ἀνημμέν' ἀμφὶ κίοσιν οἴκων.
ὁ δ', ὥς τις ὄρνις ἄπτερον καταστένων
ὠδῖνα τέκνων, πρέσβυς ὑστέρῳ ποδὶ,
πικρὰν διώκων ἤλυσιν, πάρεσθ' ὅδε.

ΑΜΦΙΤΡΥΩΝ.

Καδμεῖοι γέροντες, οὐ σῖγα, σῖ-
γα τὸν ὕπνῳ παρειμένον ἐάσετ' ἐκ-
λαθέσθαι κακῶν;

ΧΟΡΟΣ.

κατά σε δακρύοις στένω, πρέσβυ, καὶ
τέκεα καὶ τὸ καλλίνικον κάρα.

ΑΜΦΙΤΡΥΩΝ.

ἑκαστέρω πρόβατε, μὴ κτυπεῖτε, μὴ
βοᾶτε, μὴ τὸν εὖ διαύοντα ὑπνώδεα τ'
εὐνᾶς ἐγείρετε.

ΧΟΡΟΣ.

οἴμοι!
φόνος ὅσος ὅδ'!

ΑΜΦΙΤΡΥΩΝ.

ἆ ἆ! διά μ' ὀλεῖτε· κεχυ-
μένος ἐπαντέλλει.

1015. sq. δέμας τάδε λαΐνοισιν ἀνημμένα τ' ἀμφὶ H. 1021. ἐάσατ'. 1021. sq. λαθέσθαι M. 1023. καί σε δ. M. καί σέ γε δ. H. 1029. διαμολεῖτε M.

οὐκ ἀτρεμαῖα θρῆνον αἰάξετ', ὦ γέροντες;
μὴ δέσμ' ἀνεγειρόμενος χαλάσας ἀπολεῖ πόλιν,
ἀπὸ δὲ πατέρα μέλαθρά τε καταράξῃ.

ΧΟΡΟΣ.

ἀδύνατ' ἀδύνατά μοι.

ΑΜΦΙΤΡΥΩΝ.

σῖγα· πνοὰς μάθω· φέρε πρὸς οὖς βάλω.

ΧΟΡΟΣ.

εὕδει;

ΑΜΦΙΤΡΥΩΝ.

ναὶ, εὕδει ὕπνον ὀλόμενον, ὃς ἔ-
καν' ἄλοχον, ἔκανε δὲ τέκεα, τοξήρει
ψαλμῷ τοξεύσας.

ΧΟΡΟΣ.

στέναζε νῦν —

ΑΜΦΙΤΡΥΩΝ.

στενάζω.

ΧΟΡΟΣ.

τέκνων ὄλεθρον,

ΑΜΦΙΤΡΥΩΝ.

ἰώ μοι!

ΧΟΡΟΣ.

σέθεν τε παιδός.

ΑΜΦΙΤΡΥΩΝ.

αἶ αἶ!

1031. ἀτρεμέα — αἰάζετ' M. 1033. καταῤῥήξῃ H. 1034. ᾆ δυνατὰ, δυνατά μοι H. 1036. ὕπνον bis M. 1037. ἔκανεν ἄλ. 1040. Verba τέκνων ὄλ. Amphitryoni, ἰώ μοι Choro trib. M. 1041. Verba αἶ αἶ choro continuat M.

ΧΟΡΟΣ.

ὦ πρέσβυ —

ΑΜΦΙΤΡΥΩΝ.

σῖγα, σῖγα·
παλίντροπος ἐξεγειρόμενος στρέφεται· φέρε,
ἀπόκρυφον δέμας ὑπὸ μέλαθρον κρύψω.

ΧΟΡΟΣ.

θάρσει· νὺξ ἔχει βλέφαρα παιδὶ σῷ.

ΑΜΦΙΤΡΥΩΝ.

ὁρᾶθ', ὁρᾶτε.
τὸ [μὲν] φάος ἐκλιπεῖν ἐπὶ κακοῖσιν οὐ
φεύγω τάλας· ἀλλ' εἴ με κανεῖ πατέρ' ὄντα,
πρὸς δὲ κακοῖς κακὰ μήσεται,
πρὸς Ἐριννύσι θ' αἷμα σύγγονον ἕξει.

ΧΟΡΟΣ.

τότε θανεῖν σ' ἐχρῆν, ὅτε δάμαρτι σᾷ
φόνον ὁμοσπόρων ἔμελλες ἐκπράξειν
Ταφίων περίκλυστον ἄστυ πέρσας.

ΑΜΦΙΤΡΥΩΝ.

φυγᾷ, φυγᾷ, γέροντες, ἀποπρὸ δωμάτων
διώκετε, φεύγετε μάρ-
γον ἄνδρ' ἐπεγειρόμενον.
τάχα φόνον ἕτερον ἐπὶ φόνῳ βαλὼν
ἀναβακχεύσει Καδμείων πόλιν.

ΧΟΡΟΣ.

ὦ Ζεῦ, τί παῖδ' ἤχθηρας ὧδ' ὑπερκότως
τὸν σὸν, κακῶν δὲ πέλαγος ἐς τόδ' ἤγαγες;

1042. σίγα, σίγα M. 1045. ἐξανεγειρόμενος H. 1047. μὲν om. H. 1057. τάχα δὲ φ. H. 1058. ὅδ' ἀναβ. 1059. ΗΡΑΚΛ. M.

ΗΡΑΚΛΗΣ.

(ἔα.) ἔμπνους μέν εἰμι καὶ δέδορχ', ἅπερ με δεῖ,
αἰθέρα τε καὶ γῆν τόξα θ' ἡλίου τάδε·
ὡς δ' ἐν κλύδωνι καὶ φρενῶν ταράγματι
πέπτωκα δεινῷ, καὶ πνοὰς θερμὰς πνέω,
μετάρσι', οὐ βέβαια, πνευμόνων ἄπο.
ἰδοὺ, τί δεσμοῖς, ναῦς ὅπως, ὡρμισμένος,
νεανίαν θώρακα καὶ βραχίονα
πρὸς ἡμιθραύστῳ λαΐνῳ τειχίσματι;
ἦ μὴν νεκροῖσι γείτονας θάκους ἔχω,
πτερωτά τ' ἔγχη τόξα τ' ἔσπαρται πέδῳ,
ἃ πρὶν παρασπίζοντ' ἐμοῖς βραχίοσιν
ἔσωζε πλευρὰς, ἐξ ἐμοῦ τ' ἐσώζετο.
ἦπου κατῆλθον αὖθις εἰς Ἅιδου πάλιν
Εὐρυσθέως δίαυλον εἰς Ἅιδου μολών;
ἀλλ' οὔτε Σισύφειον εἰσορῶ πέτρον
Πλούτωνά τ', οὐδὲ σκῆπτρα Δήμητρος κόρης.
ἔκ τοι πέπληγμαι· ποῦ ποτ' ὢν ἀμηχανῶ;
ὠή! τὶς ἐγγὺς, ἢ πρόσω φίλων ἐμῶν,
δύσγνοιαν ὅστις τὴν ἐμὴν ἰάσεται;
σαφῶς γὰρ οὐδὲν οἶδα τῶν εἰωθότων.

ΑΜΦΙΤΡΥΩΝ.

γέροντες, ἔλθω τῶν ἐμῶν κακῶν πέλας;

ΧΟΡΟΣ.

κἄγωγε σὺν σοὶ, μὴ προδοὺς τὰς συμφοράς.

ΗΡΑΚΛΗΣ.

πάτερ, τί κλάεις καὶ συναμπίσχει κόρας,
τοῦ φιλτάτου σοι τηλόθεν παιδὸς βεβώς;

1063. δ' om. M. 1069. ἦ μὲν M. 1070. πτερωτὰ δ' ἔ. H. 1078. τίς ἐγγὺς M. 1082. προδῶς H.

ΑΜΦΙΤΡΥΩΝ.
ὦ τέκνον! εἴ γὰρ καὶ κακῶς πράσσων ἐμός.
ΗΡΑΚΛΗΣ.
πράσσω δ' ἐγὼ τί λυπρὸν, οὗ δακρυῤῥοεῖς;
ΑΜΦΙΤΡΥΩΝ.
ἃ κἂν θεῶν τις, εἰ πάθοι, καταστένοι.
ΗΡΑΚΛΗΣ.
μέγας γ' ὁ κόμπος, τὴν τύχην δ' οὔπω λέγεις.
ΑΜΦΙΤΡΥΩΝ.
ὁρᾷς γὰρ αὐτὸς, εἰ φρονῶν ἤδη κυρεῖς.
ΗΡΑΚΛΗΣ.
εἴπ', εἴ τι καινὸν ὑπογράφει τῷ 'μῷ βίῳ.
ΑΜΦΙΤΡΥΩΝ.
εἰ μηκέθ' Ἅιδου Βάκχος, ἐκφράσαιμεν ἄν.
ΗΡΑΚΛΗΣ.
παπαί! τόδ' ὡς ὕποπτον ᾐνίξω πάλιν!
ΑΜΦΙΤΡΥΩΝ.
καί σ', εἰ βεβαίως εὖ φρονεῖς, ἤδη σκοπῶ.
ΗΡΑΚΛΗΣ.
οὐ γάρ τι βακχεύσας γε μέμνημαι φρένας.
ΑΜΦΙΤΡΥΩΝ.
λύσω, γέροντες, δεσμὰ παιδὸς, ἢ τί δρῶ;
ΗΡΑΚΛΗΣ.
καὶ τόν γε δήσαντ' εἴπ'· ἀναινόμεσθα γάρ.
ΑΜΦΙΤΡΥΩΝ.
τοσοῦτον ἴσθι τῶν κακῶν· τὰ δ' ἄλλ' ἔα.
ΗΡΑΚΛΗΣ.
ἀρκεῖ σιωπὴ γὰρ μαθεῖν, ὃ βούλομαι;

1091. εἰ μὴ καθ' ᾅδου M. 1098. ἀρκεῖ· σιωπῇ γάρ μ. οὐ β. M.

ΑΜΦΙΤΡΥΩΝ.
ὦ Ζεῦ, παρ' Ἥρας ἆρ' ὁρᾷς θρόνων τάδε;
ΗΡΑΚΛΗΣ.
ἀλλ' ἦ τι κεῖθεν πολέμιον πεπόνθαμεν;
ΑΜΦΙΤΡΥΩΝ.
τὴν θεὸν ἐάσας, τὰ σὰ περιστέλλου κακά.
ΗΡΑΚΛΗΣ.
ἀπωλόμεσθα· συμφορὰν λέξεις τίνα;
ΑΜΦΙΤΡΥΩΝ.
ἰδοὺ, θέασαι τάδε τέκνων πεσήματα.
ΗΡΑΚΛΗΣ.
οἴμοι! τίν' ὄψιν τήνδε δέρκομαι τάλας;
ΑΜΦΙΤΡΥΩΝ.
ἀπόλεμον, ὦ παῖ, πόλεμον ἔσπευσας τέκνοις.
ΗΡΑΚΛΗΣ.
τί πόλεμον εἶπας; τούςδε τίς διώλεσεν;
ΑΜΦΙΤΡΥΩΝ.
σὺ καὶ σὰ τόξα καὶ θεῶν ὅς αἴτιος.
ΗΡΑΚΛΗΣ.
τί φής; τί δράσας; ὦ κάκ' ἀγγέλλων πάτερ.
ΑΜΦΙΤΡΥΩΝ.
μανείς· ἐρωτᾷς δ' ἄθλι' ἑρμηνεύματα.
ΗΡΑΚΛΗΣ.
ἦ καὶ δάμαρτός εἰμ' ἐγὼ φονεὺς ἐμῆς;
ΑΜΦΙΤΡΥΩΝ.
μιᾶς ἅπαντα χειρὸς ἔργα σῆς τάδε.
ΗΡΑΚΛΗΣ.
αἶ, αἶ! στεναγμῶν γάρ με περιβάλλει νέφος.

1102. ἕξεις τίνα M. ἕξεις τινά H.

ΑΜΦΙΤΡΥΩΝ.

τούτων ἕκατι σὰς καταστένω τύχας.

ΗΡΑΚΛΗΣ.

ἦ γὰρ συνήραξ᾽ οἶκον, ἢ ᾽βάκχευσ᾽, ἐμόν;

ΑΜΦΙΤΡΥΩΝ.

οὐκ οἶδα, πλὴν ἕν, πάντα δυστυχῆ τὰ σά.

ΗΡΑΚΛΗΣ.

ποῦ δ᾽ οἶστρος ἡμᾶς ἔλαβε; ποῦ διώλεσεν;

ΑΜΦΙΤΡΥΩΝ.

ὅτ᾽ ἀμφὶ βωμὸν χεῖρας ἡγνίζου πυρί.

ΗΡΑΚΛΗΣ.

οἴμοι! τί δή γε φείδομαι ψυχῆς ἐμῆς,
τῶν φιλτάτων μοι γενόμενος παίδων φονεὺς,
κοὐκ εἶμι πέτρας λισσάδος πρὸς ἅλματα,
ἢ φάσγανον πρὸς ἧπαρ ἐξακοντίσας,
τέκνοις δικαστὴς αἵματος γενήσομαι;
ἢ σάρκα τὴν ἐμὴν κατεμπρήσας πυρὶ,
δύσκλειαν, ἥ μένει μ᾽, ἀπώσομαι βίου;
ἀλλ᾽ ἐμποδών μοι θανασίμων βουλευμάτων
Θησεὺς ὅδ᾽ ἕρπει, συγγενὴς φίλος τ᾽ ἐμός.
ὀφθησόμεσθα, καὶ τεκνοκτόνον μύσος
ἐς ὄμμαθ᾽ ἥξει φιλτάτων ξένων ἐμῶν.
οἴμοι! τί δράσω; ποῖ κακῶν ἐρημίαν
εὕρω; πτερωτὸς, ἢ κατὰ χθονὸς μολών;
φέρ᾽, ἐν πέπλοισι κρατὶ περιβάλω σκότος.
αἰσχύνομαι γὰρ τοῖς δεδραμένοις κακοῖς,
καὶ τῷδε προστρόπαιον ὄμμα προσβαλὼν,
οὐδέν κακῶσαι τοὺς ἀναιτίους θέλω.

1114. ἢ ᾽βάκχευσ᾽. 1115. δυστυχεῖ H. 1129. ποῦ κ. H. 1131. φέρ᾽ ἂν π. M. 1133. προσλαβὼν M.

ΘΗΣΕΥΣ.

ἥκω σὺν ἄλλοις, οἳ παρ᾽ ᾽Ασωποῦ ῥοὰς
μένουσ᾽ ἔνοπλοι γῆς ᾽Αθηναίων κόροι,
σῷ παιδὶ, πρέσβυ, σύμμαχον φέρων δόρυ.
κληδὼν γὰρ ἦλθεν εἰς ᾽Ερεχθειδῶν πόλιν,
ὡς σκῆπτρα χώρας τῆσδ᾽ ἀναρπάσας Λύκος
ἐς πόλεμον ὑμῖν καὶ μάχην καθίσταται.
τίνων δ᾽ ἀμοιβὰς, ὧν ὑπῆρξεν ῾Ηρακλῆς
σώσας με νέρθεν, ἦλθον, εἴ τι δεῖ, γέρον,
ἢ χειρὸς ὑμᾶς τῆς ἐμῆς, ἢ συμμάχων.
ἔα· τί νεκρῶν τῶνδε πληθύει πέδον;
ἦ που λέλειμμαι καὶ νεωτέρων κακῶν
ὕστερος ἀφῖγμαι; τίς τάδ᾽ ἔκτεινεν τέκνα;
τίνος γεγῶσαν τήνδ᾽ ὁρῶ συνάορον;
οὐ γὰρ δορός γε παῖδες ἵστανται πέλας,
ἀλλ᾽ ἄλλο τοί που καινὸν εὑρίσκω κακόν.

ΑΜΦΙΤΡΥΩΝ.

῏Ω τὸν ἐλαιοφόρον ὄχθον ἔχων * *

ΘΗΣΕΥΣ.

τί χρῆμά μ᾽ οἰκτροῖς ἐκάλεσας προοιμίοις;

ΑΜΦΙΤΡΥΩΝ.

ἐπάθομεν πάθεα μέλεα πρὸς θεῶν.

ΘΗΣΕΥΣ.

οἱ παῖδες οἵδε τίνες, ἐφ᾽ οἷς δακρυῤῥοεῖς;

ΑΜΦΙΤΡΥΩΝ.

ἔτεκε μὲν οὑμὸς ἶνις τάλας,
τεκόμενος δ᾽ ἔκανε, φόνιον αἷμα τλάς.

1145. οὔπω τι λέλ. M. οὔτοι λέλ. H. 1154. ἔτεκεν ἔτεκεν οὑμὸς H. 1155. φοίνιον.

ΘΗΣΕΥΣ.
εὔφημα φώνει.
ΑΜΦΙΤΡΥΩΝ.
βουλομένοισιν ἐπαγγέλλει.
ΘΗΣΕΥΣ.
ὦ δεινὰ λέξας.
ΑΜΦΙΤΡΥΩΝ.
οἰχόμεθ', οἰχόμεθα πτανοί.
ΘΗΣΕΥΣ.
τί φῄς; τί δράσας;
ΑΜΦΙΤΡΥΩΝ.
μαινομένῳ πιτύλῳ πλαγχθεὶς
ἑκατογκεφάλου βαφαῖς ὕδρας.
ΘΗΣΕΥΣ.
Ἥρας ὅδ' ἁγών· τίς δ' ὅδ' οὗν νεκροῖς, γέρον;
ΑΜΦΙΤΡΥΩΝ.
ἐμὸς, ἐμὸς ὅδε γόνος ὁ πολύπονος, ὃς ἐπὶ
δόρυ γιγαντοφόνον ἦλθεν σὺν θεοῖ-
σι Φλεγραῖον εἰς πεδίον ἀσπιστάς.
ΘΗΣΕΥΣ.
φεῦ φεῦ! τίς ἀνδρῶν ὧδε δυσδαίμων ἔφυ!
ΑΜΦΙΤΡΥΩΝ.
οὐκ ἂν γ' εἰδείης ἕτερον
πολυμοχθότερον πολυπλαγκτότερόν τε θνα-
τῶν.
ΘΗΣΕΥΣ.
τί γὰρ πέπλοισιν ἄθλιον κρύπτει κάρα;

1159. οἰχόμεθα, οἰχόμεσθα πτ. M. 1162. Inter βαφαῖς et ὕδρας signa lacunae H. 1163. ἀγών τις δόλου ν. M. 1164. ὃς om. M. 1165. ἦλθε. Ib. θεοῖς M.

ΑΜΦΙΤΡΥΩΝ.
αἰδόμενος τὸ σὸν ὄμμα καὶ
φιλίαν ὁμόφυλον
αἷμά τε παιδοφόνον.
ΘΗΣΕΥΣ.
ἀλλ' εἰς συναλγοῦντ' ἦλθον· ἐκκάλυπτέ νιν.
ΑΜΦΙΤΡΥΩΝ.
ὦ τέκνον, πάρες ἀπ' ὀμμάτων
πέπλον, ἀπόδικε, ῥέθος ἀελίῳ δεῖξον·
βάρος ἀντίπαλον δακρύοις συναμιλλᾶται.
ἱκετεύομεν ἀμφὶ σὰν
γενειάδα καὶ γόνυ καὶ χέρα προσπιτνῶν,
πολιόν τε δάκρυον ἐκβαλών.
ἰὼ παῖ! κατά-
σχεθε λέοντος ἀγρίου θυμόν, ὡς
δρόμον ἐπὶ φόνιον, ἀνόσιον ἐξάγει,
κακὰ θέλων κακοῖς συνάψαι, τέκνον.
ΘΗΣΕΥΣ.
εἶεν· σὲ τὸν θάσσοντα δυστήνους ἕδρας
αὐδῶ, φίλοισιν ὄμμα δεικνύναι τὸ σόν.
οὐδεὶς σκότος γὰρ ὧδ' ἔχει μέλαν νέφος,
ὅστις κακῶν σῶν συμφορὰν κρύψειεν ἄν.
τί μοι προσείων χεῖρα σημαίνεις φόνον;
ὡς μὴ μύσος με σῶν βάλῃ προσφθεγμάτων;
οὐδέν μέλει μοι σύν γε σοὶ πράσσειν κακῶς·

1171. αἰδούμενος M. 1174. ἦλθεν H. 1177. βάρος δ' ἀντ. δακρύοισιν ἁμιλλᾶται H. 1178. ἱκετεύομεν γὰρ ἀμφί. 1181. 2. κατάσχε. 1182. θυμόν γ', ὅπως [μὴ] M. κατ. λ. ὅπως ἀγρίου θυμόν H. 1183. βρόμον. 1190. βαλεῖ M.

καὶ γάρ ποτ' εὐτύχησ'· ἐκεῖσ' ἀνοιστέον,
ὅτ' ἐξέσωσάς μ' ἐς φάος νεκρῶν πάρα.
χάριν δὲ γηράσκουσαν ἐχθαίρω φίλων,
καὶ τῶν καλῶν μὲν ὅςτις ἀπολαύειν θέλει,
συμπλεῖν δὲ τοῖς φίλοισι δυςτυχοῦσιν οὔ.
ἀνίστασ', ἐκκάλυψον ἄθλιον κάρα,
βλέψον πρὸς ἡμᾶς. ὅςτις εὐγενὴς βροτῶν,
φέρει τὰ θεῶν γε πτώματ', οὐδ' ἀναίνεται.

ΗΡΑΚΛΗΣ.

Θησεῦ, δέδορκας τόνδ' ἀγῶν' ἐμῶν τέκνων;

ΘΗΣΕΥΣ.

ἤκουσα, καὶ βλέποντι σημαίνεις κακά.

ΗΡΑΚΛΗΣ.

τί δῆτά μου κρᾶτ' ἀνεκάλυψας ἡλίῳ;

ΘΗΣΕΥΣ.

τί δ' οὔ; μιαίνεις, θνητὸς ὢν, τὰ τῶν θεῶν;

ΗΡΑΚΛΗΣ.

φεῦγ', ὦ ταλαίπωρ', ἀνόσιον μίασμ' ἐμόν.

ΘΗΣΕΥΣ.

οὐδεὶς ἀλάστωρ τοῖς φίλοις ἐκ τῶν φίλων.

ΗΡΑΚΛΗΣ.

ἐπῄνεσ'. εὖ δράσας δέ σ' οὐκ ἀναίνομαι.

ΘΗΣΕΥΣ.

ἐγὼ δὲ πάσχων εὖ τότ' οἰκτείρω σε νῦν.

ΗΡΑΚΛΗΣ.

οἰκτρὸς γάρ εἰμι, τἄμ' ἀποκτείνας τέκνα.

ΘΗΣΕΥΣ.

κλάω χάριν σὴν ἐφ' ἑτέραισι συμφοραῖς.

1195. καλῶν μ' ὅςτις M. 1203. τί δ'; οὐ μ. — θεῶν. H.
1208. οἰκτρὸς πάρειμι M.

ΗΡΑΚΛΗΣ.

εὗρες δέ γ' ἄλλους ἐν κακοῖσι μείζοσιν;

ΘΗΣΕΥΣ.

ἅπτει κάτωθεν οὐρανοῦ δυςπραξίᾳ.

ΗΡΑΚΛΗΣ.

τοιγὰρ παρεσκευάσμεθ', ὥςτε κατθανεῖν.

ΘΗΣΕΥΣ.

δοκεῖς ἀπειλῶν σῶν μέλειν τι δαίμοσιν;

ΗΡΑΚΛΗΣ.

αὔθαδες ὁ θεός· πρὸς δὲ τοὺς θεοὺς, ἐγώ.

ΘΗΣΕΥΣ.

ἴσχε στόμ', ὡς μὴ μέγα λέγων μεῖζον πάθῃς.

ΗΡΑΚΛΗΣ.

γέμω κακῶν δή, κοὐκέτ' ἔσθ' ὅπῃ τεθῇ.

ΘΗΣΕΥΣ.

δράσεις δὲ δὴ τί; ποῖ φέρει θυμούμενος;

ΗΡΑΚΛΗΣ.

θανὼν, ὅθεν περ ἦλθον, εἶμι γῆς ὕπο.

ΘΗΣΕΥΣ.

εἴρηκας ἐπιτυχόντος ἀνθρώπου λόγους.

ΗΡΑΚΛΗΣ.

σύ δ', ἐκτὸς ὢν γε συμφορᾶς, με νουθετεῖς.

ΘΗΣΕΥΣ.

ὁ πολλὰ δὴ τλὰς Ἡρακλῆς λέγει τάδε;

ΗΡΑΚΛΗΣ.

οὔκουν τοσαῦτά γ', εἰ μέτρῳ μοχθητέον.

ΘΗΣΕΥΣ.

εὐεργέτης βροτοῖσι καὶ μέγας φίλος;

1220. σὺ δ'. M. 1222. τοσαῦτά γ'· ἐν μ. μ. H.

ΗΡΑΚΛΗΣ.

οἶδ' οὐδέν ὠφελοῦσί μ', ἀλλ' Ἥρα κρατεῖ.

ΘΗΣΕΥΣ.

οὐκ ἄν σ' ἀνάσχοιθ' Ἑλλὰς ἀμαθίᾳ θανεῖν.

ΗΡΑΚΛΗΣ.

ἄκουε δή νυν, ὡς ἁμιλληθῶ λόγοις
πρὸς νουθετήσεις σάς· ἀναπτύξω δέ σοι
ἀβίωτον ἡμῖν νῦν τε καὶ πάροιθεν ὄν.
πρῶτον μὲν ἐκ τοῦδ' ἐγενόμην, ὅστις κτανὼν
μητρὸς γεραιὸν πατέρα, προστρόπαιος ὤν,
ἔγημε τὴν τεκοῦσαν Ἀλκμήνην ἐμέ.
ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Ζεὺς δ', ὅστις ὁ Ζεύς, πολέμιόν μ' ἐγείνατο
Ἥρᾳ· (σὺ μέντοι μηδὲν ἀχθεσθῇς, γέρον·
πατέρα γὰρ ἀντὶ Ζηνὸς ἡγοῦμαί σ' ἐγώ.)
ἔτ' ἐν γάλακτί τ' ὄντι γοργωποὺς ὄφεις
ἐπεισέφρησε σπαργάνοισι τοῖς ἐμοῖς
ἡ τοῦ Διὸς σύλλεκτρος, ὡς ὀλοίμεθα.
ἐπεὶ δὲ σαρκὸς περιβόλαι' ἐκτησάμην
ἡβῶντα, μόχθους, οὓς ἔτλην, τί δεῖ λέγειν;
ποίους ποτ' ἢ λέοντας, ἢ τρισωμάτους
Τυφῶνας, ἢ Γίγαντας, ἢ τετρασκελῆ
κενταυροπληθῆ πόλεμον οὐκ ἐξήνυσα;
τήν τ' ἀμφίκρανον καὶ παλιμβλαστῆ κύνα
Ὕδραν φονεύσας, μυρίων τ' ἄλλων πόνων
διῆλθον ἀγέλας, κεἰς νεκροὺς ἀφικόμην,
Ἅιδου πυλωρὸν κύνα τρίκρανον ἐς φάος

1226. δὴ νῦν. 1227. νουθεσίας σάς M. 1243. τετρασκελεῖς.

ὅπως πορεύσαιμ', ἐντολαῖς Εὐρυσθέως.
τὸν λοίσθιον δὲ τόνδ' ἔτλην τάλας πόνον,
παιδοκτονήσας, δῶμα θριγκῶσαι κακοῖς.
ἥκω δ' ἀνάγκης ἐς τόδ'· οὔτ' ἐμαῖς φίλαις
Θήβαις ἐνοικεῖν, ὅσιον· ἢν δὲ καὶ μένω,
ἐς ποῖον ἱερὸν, ἢ πανήγυριν φίλων
εἶμ'; οὐ γὰρ ἄτας εὐπροσηγόρους ἔχω.
ἀλλ' Ἄργος ἔλθω; πῶς, ἐπεὶ φεύγω πάτραν;
φέρ', ἀλλ' ἐς ἄλλην δή τιν' ὁρμήσω πόλιν;
κἄπειθ' ὑποβλεπώμεθ' ὡς ἐγνωσμένοι,
γλώσσης πικροῖς κέντροισι κληδουχούμενοι·
οὐχ οὗτος ὁ Διὸς, ὃς τέκν' ἔκτεινέν ποτε
δάμαρτά τ'; οὐ γῆς τῆσδ' ἀποφθαρήσεται;
κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ
αἱ μεταβολαὶ λυπηρόν· ᾧ δ' ἀεὶ κακῶς
ἔστ', οὐδὲν ἀλγεῖ, συγγενῶς δύστηνος ὤν.
ἐς τοῦτο δ' ἥξειν συμφορᾶς οἶμαί ποτε·
φωνὴν γὰρ ἥσει χθὼν, ἀπεννέπουσά με
μὴ θιγγάνειν γῆς, καὶ θάλασσα μὴ περᾶν,
πηγαί τε ποταμῶν, καὶ τὸν ἁρματήλατον
Ἰξίον' ἐν δεσμοῖσιν ἐκμιμήσομαι.
καὶ ταῦτ' ἄριστα, μηδέν' Ἑλλήνων μ' ὁρᾶν,
ἐν οἷσιν εὐτυχοῦντες, ἦμεν ὄλβιοι.
τί δῆτά με ζῆν δεῖ; τί κέρδος ἕξομεν,
βίον γ' ἀχρεῖον ἀνόσιον κεκτημένοι;
χορευέτω δὲ Ζηνὸς ἡ κλεινὴ δάμαρ,
κρούουσ' Ὀλυμπίου Ζηνὸς ἀρβύλῃ πόδα·

1250. φόνον. 1263. ὧδ' αἰεί M. 1264. συγγενῶν M. 1268. ἁρματηλάτην M. 1273. βίον τ' ἀχρ. M. 12[illegible] χορ. δὴ H.

ἔπραξε γὰρ βούλησιν, ἣν ἐβούλετο,
ἄνδρ' Ἑλλάδος τὸν πρῶτον αὐτοῖσιν βάθροις
ἄνω κάτω στρέψασα. τοιαύτῃ θεῷ
τίς ἂν προσεύχοιθ'; ἣ γυναικὸς οὕνεκα
λέκτρων φθονοῦσα Ζηνὶ, τοὺς εὐεργέτας
Ἑλλάδος ἀπώλεσ', οὐδὲν ὄντας αἰτίους.

ΘΗΣΕΥΣ.

οὐκ ἔστιν ἄλλου δαιμόνων ἀγὼν ὅδε,
ἢ τῆς Διὸς δάμαρτος· εὖ τόδ' αἰσθάνει.

* * *

παραινέσαιμ' ἂν μᾶλλον, ἢ πάσχειν κακῶς.
οὐδεὶς δὲ θνητῶν ταῖς τύχαις ἀκήρατος,
οὐ θεῶν, ἀοιδῶν εἴπερ ἀψευδεῖς λόγοι.
οὐ λέκτρα τ' ἀλλήλοισιν, ὧν οὐδεὶς νόμος,
συνῆψαν; οὐ δεσμοῖσι διὰ τυραννίδας
πατέρας ἐκηλίδωσαν; ἀλλ' οἰκοῦσ' ὅμως
Ὄλυμπον ἠνέσχοντό θ' ἡμαρτηκότες.
καίτοι τί φήσεις, εἰ σὺ μὲν, θνητὸς γεγὼς,
φέρεις ὑπέρφευ τὰς τύχας, θεοὶ δὲ μή;
Θήβας μὲν οὖν ἔκλειπε τοῦ νόμου χάριν·
ἕπου δ' ἅμ' ἡμῖν πρὸς πόλισμα Παλλάδος.
ἐκεῖ χέρας σὰς ἁγνίσας μιάσματος,
δόμους τε δώσω χρημάτων τ' ἐμῶν μέρος.
ἃ δ' ἐκ πολιτῶν δῶρ' ἔχω, σώσας κόρους
δὶς ἑπτὰ, ταῦρον Κνώσσιον κατακτανὼν,
σοὶ ταῦτα δώσω· πανταχοῦ δέ μοι χθονὸς
τεμένη δέδασται. ταῦτ' ἐπωνομασμένα
σέθεν τὸ λοιπὸν ἐκ βροτῶν κεκλήσεται

1283. Post hunc vs. desunt signa lacunae M. 1286. εἴπερ οὐ ψευδ.

ζῶντος· θανόντος δ', εὖτ' ἂν εἰς Ἅιδου μόλῃς,
θυσίαισι λαΐνοισί τ' ἐξογκώμασιν
τίμιόν σ' ἀνάξει πᾶσ' Ἀθηναίων πόλις.
καλὸς γὰρ ἀστοῖς στέφανος Ἑλλήνων ὕπο,
ἄνδρ' ἐσθλὸν ὠφελοῦντας, εὐκλείας τυχεῖν.
κἀγὼ χάριν σοι τῆς ἐμῆς σωτηρίας
τήνδ' ἀντιδώσω· νῦν γὰρ εἶ χρεῖος φίλων.
θεοὶ δ' ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων.
ἅλις γὰρ ὁ θεὸς ὠφελῶν, ὅταν θέλῃ.

ΗΡΑΚΛΗΣ.

οἴμοι! πάρεργά τοι τάδ' ἐστ' ἐμῶν κακῶν.
ἐγὼ δὲ τοὺς θεοὺς οὔτε λέκτρ', ἃ μὴ θέμις,
στέργειν νομίζω, δεσμά τ' ἐξάπτειν χεροῖν
οὔτ' ἠξίωσα πώποτ', οὔτε πείσομαι,
οὐδ' ἄλλον ἄλλου δεσπότην πεφυκέναι.
δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἐστ' ὄντως θεὸς,
οὐδενός· ἀοιδῶν οἵδε δύστηνοι λόγοι.
ἐσκεψάμην δὲ, καίπερ ἐν κακοῖσιν ὢν,
μὴ δειλίαν ὄφλω τίν', ἐκλιπὼν φάος.
τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται,
θνητὸς πεφυκὼς, ὃν τρόπον χρεὼν, φέρειν,
οὐδ' ἀνδρὸς ἂν δύναιθ' ὑποστῆναι βέλος.
ἐγκαρτερήσω θάνατον· εἶμι δ' ἐς πόλιν
τὴν σὴν, χάριν τε μυρίων δώρων ἔχω.
ἀτὰρ πόνων δὴ μυρίων ἐγευσάμην·
ὧν οὔτ' ἀπεῖπον οὐδὲν, οὔτ' ἀπ' ὀμμάτων
ἔσταξα πηγὰς, οὐδ' ἂν ᾠόμην ποτὲ
ἐς τοῦθ' ἱκέσθαι, δάκρυ' ἀπ' ὀμμάτων βαλεῖν.

1320. ταῖς συμφοραῖς — ὑφίσταται M. 1321. deest M.

νῦν δ', ὡς ἔοικε, τῇ τύχῃ δουλευτέον.
εἶεν· γεραιὲ, τὰς ἐμὰς φυγὰς ὁρᾷς,
ὁρᾷς δὲ παίδων ὄντα μ' αὐθέντην ἐμῶν.
δὸς τούσδε τύμβῳ καὶ περίστειλον νεκροὺς
δακρύοισι τιμῶν, (ἐμὲ γὰρ οὐκ ἐᾷ νόμος·)
πρὸς στέρν' ἐρείσας μητρὶ δούς τ' ἐς ἀγκάλας,
κοινωνίαν δύστηνον, ἣν ἐγὼ τάλας
διώλεσ' ἄκων. γῇ δ' ἐπὴν κρύψῃς νεκροὺς,
οἴκει πόλιν τήνδ', ἀθλίως μὲν, ἀλλ' ὅμως
ψυχὴν βιάζου τἀμὰ συμφέρειν κακά.
ὦ τέκν', ὁ φύσας χὡ τεκὼν ὑμᾶς πατὴρ
ἀπώλεσ', οὐδ' ὤνασθε τῶν ἐμῶν καλῶν,
ἁγὼ παρεσκεύαζον, ἐκμοχθῶν βίᾳ
εὔκλειαν ὑμῖν, πατρὸς ἀπόλαυσιν καλήν.
σέ τ' οὐχ ὁμοίως, ὦ τάλαιν', ἀπώλεσα,
ὥςπερ σὺ τἀμὰ λέκτρ' ἔσωζες ἀσφαλῶς,
μακρὰς διαντλοῦσ' ἐν δόμοις οἰκουρίας.
οἴμοι δάμαρτος καὶ τέκνων! οἴμοι δ' ἐμοῦ!
ὡς ἀθλίως πέπραγα, κἀποζεύγνυμαι
τέκνων γυναικός τ'. ὦ λυγραὶ φιλημάτων
τέρψεις, λυγραί τε τῶνδ' ὅπλων κοινωνίαι!
ἀμηχανῶ γὰρ, πότερ' ἔχω τάδ', ἢ μεθῶ,
ἃ πλευρὰ τἀμὰ προςπιτνάντ' ἐρεῖ τάδε·
ἡμῖν τέκν' εἷλες καὶ δάμαρθ'· ἡμᾶς ἔχεις
παιδοκτόνους σούς. εἶτ' ἐγὼ τάδ' ὠλέναις
οἴσω; τί φάσκων; ἀλλὰ γυμνωθεὶς ὅπλων,
ξὺν οἷς τὰ κάλλιστ' ἐξέπραξ' ἐν Ἑλλάδι,

1336. ἐπὰν M. 1341. ἐκ μόχθων M. 1349. λ. δὲ H.

ἐχθροῖς ἐμαυτὸν ὑποβαλὼν, αἰσχρῶς θάνω;
οὐ λειπτέον τάδ', ἀθλίως δὲ σωστέον.
ἕν μοί τι, Θησεῦ, σύγκαμ' ἀθλίῳ· κυνὸς
κόμιστρ' ἐς Ἄργος συγκατάστησον μολὼν,
λύπῃ τι παίδων μὴ πάθω μονούμενος.
ὦ γαῖα Κάδμου πᾶς τε Θηβαῖος λεὼς,
κείρασθε, συμπενθήσατ', ἔλθετ' ἐς τάφον
παίδων, ἅπαντος δ' ἑνὶ λόγῳ πενθήσατε
νεκρούς τε κἀμέ· πάντες ἐξολώλαμεν,
Ἥρας μιᾷ πληγέντες ἀθλίῳ τύχῃ.

ΘΗΣΕΥΣ.

ἀνίστασ', ὦ δύστηνε· δακρύων δ' ἅλις.

ΗΡΑΚΛΗΣ.

οὐκ ἂν δυναίμην· ἄρθρα γὰρ πέπηγέ μου.

ΘΗΣΕΥΣ.

καὶ τοὺς σθένοντας γὰρ καθαιροῦσιν τύχαι.

ΗΡΑΚΛΗΣ.

(φεῦ!) αὐτοῦ γενοίμην πέτρος ἀμνήμων κακῶν!

ΘΗΣΕΥΣ.

παῦσαι· δίδου δὲ χεῖρ' ὑπηρέτῃ φίλῳ.

ΗΡΑΚΛΗΣ.

ἀλλ' αἷμα μὴ σοῖς ἐξομόρξωμαι πέπλοις.

ΘΗΣΕΥΣ.

ἔκμασσε, φείδου μηδέν· οὐκ ἀναίνομαι.

ΗΡΑΚΛΗΣ.

παίδων στερηθεὶς, παῖδ' ὅπως ἔχω σ' ἐμόν.

1363. ἅπαντες H.

ΘΗΣΕΥΣ.

δίδου δέρῃ σὴν χεῖρ', ὁδηγήσω δ' ἐγώ.

ΗΡΑΚΛΗΣ.

ζεῦγός γε φίλιον· ἅτερος δὲ δυςτυχής.
ὦ πρέσβυ, τοιόνδ' ἄνδρα χρὴ κτᾶσθαι φίλον.

ΑΜΦΙΤΡΥΩΝ.

ἡ γὰρ τεκοῦσα τόνδε πατρὶς εὔτεκνος.

ΗΡΑΚΛΗΣ.

Θησεῦ, πάλιν με στρέψον, ὡς ἴδω τέκνα.

ΘΗΣΕΥΣ.

ὡς δή τι φίλτρον τοῦτ' ἔχων ῥάων ἔσει;

ΗΡΑΚΛΗΣ.

ποθῶ, πατρός τε στέρνα προςθέσθαι θέλω.

ΑΜΦΙΤΡΥΩΝ.

ἰδοὺ τάδ', ὦ παῖ· τἀμὰ γὰρ σπεύδεις φίλα.

ΘΗΣΕΥΣ.

οὕτω πόνων σῶν οὐκέτι μνήμην ἔχεις;

ΗΡΑΚΛΗΣ.

ἅπαντ' ἐλάσσω κεῖνα τῶνδ' ἔτλην κακά.

ΘΗΣΕΥΣ.

εἴ σ' ὄψεταί τις θῆλυν ὄντ', οὐκ αἰνέσει.

ΗΡΑΚΛΗΣ.

ζῶ σοὶ ταπεινός· ἀλλὰ προςθεῖναι δοκῶ.

ΘΗΣΕΥΣ.

ἄγαν γ'· ὁ κλεινὸς Ἡρακλῆς ποῦ κεῖνος ὤν;

ΗΡΑΚΛΗΣ.

σὺ ποῖος ἦσθα, νέρθεν ἐν κακοῖσιν ὤν;

1375. ζεῦγος δὲ M. 1384. εἰςόψεται — ὄντα, κοὐκ ἂν αἰνέσῃ M. 1387. ἧς ἂν νέρθεν M.

ΘΗΣΕΥΣ.

ὡς ἐς τὸ λῆμα, παντὸς ἦν ἥσσων ἀνήρ.

ΗΡΑΚΛΗΣ.

πῶς οὖν ἔτ' εἴπῃς, ὅτι συνέσταλμαι κακοῖς;

ΘΗΣΕΥΣ.

πρόβαινε.

ΗΡΑΚΛΗΣ.

χαῖρ', ὦ πρέσβυ.

ΑΜΦΙΤΡΥΩΝ.

καὶ σύ μοι, τέκνον.

ΗΡΑΚΛΗΣ.

θάφθ', ὥςπερ εἶπον, παῖδας.

ΑΜΦΙΤΡΥΩΝ.

ἐμὲ δὲ τίς, τέκνον;

ΗΡΑΚΛΗΣ.

ἐγώ.

ΑΜΦΙΤΡΥΩΝ.

πότ' ἐλθών;

ΗΡΑΚΛΗΣ.

ἡνίκ' ἂν θάψῃς τέκνα.

ΑΜΦΙΤΡΥΩΝ.

πῶς;

ΗΡΑΚΛΗΣ.

ἐς Ἀθήνας πέμψομαι Θηβῶν ἄπο.
ἀλλ' ἐςκόμιζε τέκνα δυςκόμιστα γῇ.
ἡμεῖς δ' ἀναλώσαντες αἰσχύναις δόμον,
Θησεῖ πανώλεις ἑψόμεσθ' ἐφολκίδες.

1390. πρόςβαινε M.

ὅστις δὲ πλοῦτον, ἢ σθένος, μᾶλλον φίλων
ἀγαθῶν πεπᾶσθαι βούλεται, κακῶς φρονεῖ.

ΧΟΡΟΣ.

στείχομεν οἰκτροὶ καὶ πολύκλαυτοι,
τὰ μέγιστα φίλων ὀλέσαντες.

ΤΕΛΟΣ ΗΡΑΚΛΕΟΥΣ ΜΑΙΝΟΜΕΝΟΥ.

ΕΥΡΙΠΙΔΟΥ

Η Λ Ε Κ Τ Ρ Α.

ΥΠΟΘΕΣΙΣ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν ὁρίοις τῆς Ἀργείας γῆς· ὁ δὲ Χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γυναικῶν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΥΤΟΥΡΓΟΣ ΜΥΚΗΝΑΙΟΣ.
ΗΛΕΚΤΡΑ.
ΟΡΕΣΤΗΣ.
ΠΥΛΑΔΗΣ. (κωφὸν πρόσωπον.)
ΧΟΡΟΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΠΡΕΣΒΥΣ.
ΑΓΓΕΛΟΣ.
ΔΙΟΣΚΟΥΡΟΙ.

Προλογίζει δὲ ὁ αὐτουργός.

ΕΥΡΙΠΙΔΟΥ ΗΛΕΚΤΡΑ.

ΑΥΤΟΥΡΓΟΣ.

Ὦ γῆς παλαιὸν Ἄργος, Ἰνάχου ῥοαί,
ὅθεν ποτ' ἄρας ναυσὶ χιλίαις Ἄρην
ἐς γῆν ἔπλευσε Τρῳάδ' Ἀγαμέμνων ἄναξ.
κτείνας δὲ τὸν κρατοῦντ' ἐν Ἰλιάδι χθονὶ
Πρίαμον, ἑλών τε Δαρδάνου κλεινὴν πόλιν,
ἀφίκετ' εἰς τόδ' Ἄργος, ὑψηλῶν δ' ἐπὶ
ναῶν τέθεικε σκῦλα πλεῖστα βαρβάρων.
κἀκεῖ μὲν εὐτύχησεν· ἐν δὲ δώμασιν
θνήσκει γυναικὸς πρὸς Κλυταιμνήστρας δόλῳ
καὶ τοῦ Θυέστου παιδὸς Αἰγίσθου χερί.
χὠ μὲν παλαιὰ σκῆπτρα Ταντάλου λιπὼν,
ὄλωλεν· Αἴγισθος δὲ βασιλεύει χθονὸς,
ἄλοχον ἐκείνου Τυνδαρίδα κόρην ἔχων.
οὓς δ' ἐν δόμοισιν ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
ἄρσενά τ' Ὀρέστην θῆλύ τ' Ἠλέκτρας θάλος,
τὸν μὲν πατρὸς γεραιὸς ἐκκλέπτει τροφεὺς,
μέλλοντ' Ὀρέστην χερὸς ὑπ' Αἰγίσθου θανεῖν,
Στροφίῳ τ' ἔδωκε Φωκέων ἐς γῆν τρέφειν·

Z 2

2. Ἄρη M. 14. δόμοις ἔλιπεν M.

ἣ δ' ἐν δόμοις ἔμεινεν Ἠλέκτρα πατρὸς,
ταύτην ἐπειδὴ θαλερὸς εἶχ' ἥβης χρόνος,
μνηστῆρες ᾔτουν Ἑλλάδος πρῶτοι χθονός.
δείσας δὲ, μή τῳ παῖδας Ἀργείων τέκοι,
Ἀγαμέμνονος ποινάτορας, σφ' εἶχ' ἐν δόμοις
Αἴγισθος, οὐδ' ἥρμοζε νυμφίῳ τινί.
ἐπεὶ δὲ καὶ τοῦτ' ἦν φόβου πολλοῦ πλέων,
μή τῳ λαθραίως τέκνα γενναίῳ τέκοι,
κτανεῖν σφ' ἐβούλευσ'· * * ὠμόφρων δ' ὅμως
μήτηρ νιν ἐξέσωσεν Αἰγίσθου χερός.
ἐς μὲν γὰρ ἄνδρα σκῆψιν εἶχ' ὀλωλότα,
παίδων δ' ἔδεισε μὴ φθονηθείη φόνῳ.
ἐκ τῶνδε δὴ τοιόνδ' ἐμηχανήσατο
Αἴγισθος· ὃς μὲν γῆς ἀπηλλάχθη φυγὰς
Ἀγαμέμνονος παῖς, χρυσὸν εἶφ', ὃς ἂν κτάνῃ,
ἡμῖν δὲ δὴ δίδωσιν Ἠλέκτραν ἔχειν
δάμαρτα, πατέρων μὲν Μυκηναίων ἄπο
γεγῶσιν· — οὐ δὴ τοῦτό γ' ἐξελέγχομαι·
λαμπροὶ γὰρ ἐς γένος γε, χρημάτων δὲ δὴ
πένητες, ἔνθεν ηὑγένει' ἀπόλλυται· —
ὡς, ἀσθενεῖ δοὺς, ἀσθενῆ λάβοι φόβον.
εἰ γάρ νιν ἔσχεν ἀξίωμ' ἔχων ἀνὴρ,
εὕδοντ' ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος
φόνον, δίκη τ' ἂν ἦλθεν Αἰγίσθῳ τότε.
ἣν οὔποθ' ἁνὴρ ὅδε, σύνοιδέ μοι Κύπρις,
ᾔσχυνεν εὐνῇ· παρθένος δ' ἔτ' ἔστι δή.

19. ἡ δ' — πατρός· M. 22. μή τῳ παῖδ' ἀριστέων τ. S. 23. σφ' om. M. ποινάτορ' εἶχεν ἐν δ. S. 27. κτ. σφ' ἐβουλεύσατ' ὠμόφρων· ἡ δ' ὅμως M. κτ. σφε βουλεύσαντος ὠμόφρων δ' ὅμως S. 33. εἶπεν, ὃς ἂν κτ. 43. ἀνὴρ M.

αἰσχύνομαι γὰρ ὀλβίων ἀνδρῶν τέκνα
λαβὼν ὑβρίζειν, οὐ κατάξιος γεγώς.
στένω δὲ τὸν λόγοισι κηδεύοντ' ἐμοὶ
ἄθλιον Ὀρέστην, εἴ ποτ', εἰς Ἄργος μολὼν,
γάμους ἀδελφῆς δυστυχεῖς ἐσόψεται.
ὅστις δέ μ' εἶναί φησι μῶρον, εἰ λαβὼν
νέαν ἐς οἴκους παρθένον μὴ θιγγάνω,
γνώμης πονηροῖς κανόσιν ἀναμετρούμενος
τὸ σῶφρον ἴστω, καὐτὸς αὖ τοιοῦτος ὤν.

ΗΛΕΚΤΡΑ.

ὦ νὺξ μέλαινα, χρυσέων ἄστρων τροφὲ,
ἐν ᾗ τόδ' ἄγγος τῷδ' ἐφεδρεῦον κάρᾳ
φέρουσα πηγὰς ποταμίας μετέρχομαι,
οὐ δή τι χρείας ἐς τοσόνδ' ἀφιγμένη,
ἀλλ' ὡς ὕβριν δείξωμεν Αἰγίσθου θεοῖς,
γόους τ' ἀφείην αἰθέρ' ἐς μέγαν πατρί.
ἡ γὰρ πανώλης Τυνδαρὶς, μήτηρ ἐμὴ,
ἐξέβαλέ μ' οἴκων, χάριτα τιθεμένη πόσει·
τεκοῦσα δ' ἄλλους παῖδας Αἰγίσθῳ πάρα
πάρεργ' Ὀρέστην κἀμὲ ποιεῖται δόμων.

ΑΥΤΟΥΡΓΟΣ.

τί γὰρ τάδ', ὦ δύστην', ἐμὴν μοχθεῖς χάριν,
πόνους ἔχουσα, πρόσθεν εὖ τεθραμμένη,
καὶ, ταῦτ' ἐμοῦ λέγοντος, οὐκ ἀφίστασαι;

ΗΛΕΚΤΡΑ.

ἐγώ σ' ἴσον θεοῖσιν ἡγοῦμαι φίλον·
ἐν τοῖς ἐμοῖς γὰρ οὐκ ἐνύβρισας κακοῖς.
μεγάλη δὲ θνητοῖς μοῖρα, συμφορᾶς κακῆς
ἰατρὸν εὑρεῖν, ὡς ἐγώ σε λαμβάνω.

59. ἀφίημ' M. ἀφίην S.

δεῖ δή με κἀκέλευστον, εἰς ὅσον σθένω,
μόχθου ’πικουφίζουσαν, ὡς ῥᾷον φέρῃς,
συνεκκομίζειν σοι πόνους. ἅλις δ' ἔχεις
τἄξωθεν ἔργα· τἀν δόμοις δ' ἡμᾶς χρεὼν
ἐξευτρεπίζειν. εἰσιόντι δ' ἐργάτῃ
θύραθεν ἡδὺ τἄνδον εὑρίσκειν καλῶς.

ΑΥΤΟΥΡΓΟΣ.

εἴ τοι δοκεῖ σοι, στεῖχε· καὶ γὰρ οὐ πρόσω
πηγαὶ μελάθρων τῶνδ'. ἐγὼ δ' ἅμ' ἡμέρᾳ
βοῦς εἰς ἀρούρας ἐσβαλὼν, σπερῶ γύας.
ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ στόμα,
βίον δύναιτ' ἂν ξυλλέγειν ἄνευ πόνου.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, σὲ γὰρ δὴ πρῶτον ἀνθρώπων ἐγὼ
πιστὸν νομίζω καὶ φίλον ξένον τ' ἐμοί·
μόνος δ' Ὀρέστην τόνδ' ἐθαύμαζες φίλων,
πράσσονθ', ἃ πράσσω, δείν' ὑπ' Αἰγίσθου παθὼν,
ὅς μου κατέκτα πατέρα χἠ πανώλεθρος
μήτηρ. ἀφῖγμαι δ' ἐκ θεοῦ μυστηρίων
Ἀργεῖον οὖδας, οὐδενὸς ξυνειδότος,
φόνον φονεῦσι πατρὸς ἀλλάξων ἐμοῦ.
νυκτὸς δὲ τῆσδε πρὸς τάφον μολὼν πατρὸς
δάκρυά τ' ἔδωκα καὶ κόμης ἀπηρξάμην
πυρᾷ τ' ἐπέσφαξ' αἷμα μηλείου φόνου,
λαθὼν τυράννους, οἳ κρατοῦσι τῆσδε γῆς.
καὶ τειχέων μὲν ἐντὸς οὐ βαίνω πόδα,
δυεῖν δ' ἅμιλλαν ξυντιθεὶς, ἀφικόμην
πρὸς τέρμονας γῆς τῆσδ', ἵν' ἐκβάλω ποδὶ
ἄλλην ἐπ' αἶαν, εἴ μέ τις γνοίη σκοπῶν
ζῃ τοὔντ' ἀδελφήν, — φασὶ γάρ νιν ἐν γάμοις

ζευχθεῖσαν οἰκεῖν, οὐδὲ παρθένον μένειν, —
ὡς συγγένωμαι καὶ φόνου συνεργάτιν
λαβὼν τά γ' εἴσω τειχέων σαφῶς μάθω.
νῦν οὖν, Ἕως γὰρ λευκὸν ὄμμ' ἀναίρεται,
ἔξω τρίβου τοῦδ' ἴχνος ἀλλαξώμεθα.
ἢ γάρ τις ἀροτὴρ, ἤ τις οἰκέτις γυνὴ,
φανήσεται νῷν, ἥντιν' ἱστορήσομεν,
εἰ τούσδε ναίει σύγγονος τόπους ἐμή.
ἀλλ' εἰσορῶ γὰρ τήνδε προσπόλων τινὰ,
πηγαῖον ἄχθος ἐγκεκαρμένῳ κάρᾳ
φέρουσαν· ἑζώμεσθα κἀκπυθώμεθα
δούλης γυναικὸς, ἤν τι δεξώμεσθ' ἔπος
ἐφ' οἷσι, Πυλάδη, τήνδ' ἀφίγμεθα χθόνα.

ΗΛΕΚΤΡΑ.

Σύντειν', ὥρα, ποδὸς ὁρμάν· (στροφὴ ά.)
ὦ ἔμβα, ἔμβα κατακλαίουσ'·
ἰώ μοί μοι!
ἐγενόμαν Ἀγαμέμνονος
κούρα, καί με τέκεν Κλυταιμνήστρα,
στυγνὰ Τυνδαρέου κόρα·
κικλήσκουσι δέ μ' ἀθλίαν
Ἠλέκτραν πολιῆται.
φεῦ, φεῦ, τῶν σχετλίων πόνων
καὶ στυγερᾶς ζωᾶς!
ὦ πάτερ, σὺ δ' ἐν ἅδᾳ δὴ
κεῖσαι, σᾶς ἀλόχου σφαγεὶς
Αἰγίσθου τ', Ἀγάμεμνον.
ἴθι, τὸν αὐτὸν ἔγειρε γόον, (μεσῳδός.)

113. κατακλαίουσα. Sic etiam 128. 116. τέκε.

ἄναγε πολύδακρυν ἀδονάν.
σύντειν', ὥρα, ποδὸς ὁρμάν· (ἀντιστρ. ά.)
ὦ ἔμβα, ἔμβα κατακλαίουσ'·
ἰώ μοί μοι!
τίνα πόλιν, τίνα δ' οἶκον, ὦ
τλᾶμον, τλᾶμον σύγγονε, λατρεύεις
οἰκτρὰν ἐν θαλάμοις λιπὼν
πατρῴοις ἐπὶ συμφοραῖς
ἀλγίσταισιν ἀδελφεάν;
ἔλθοις τῶνδε πόνων ἐμοὶ
τᾷ μελέᾳ λυτήρ,
ὦ Ζεῦ, Ζεῦ, πατρί θ' αἱμάτων
ἐχθίστων ἐπίκουρος, Ἄρ-
γει κέλσας πόδ' ἀλάταν.
θὲς τόδε τεῦχος, ἐμῆς ἀπὸ κρατὸς ἑ- (στροφὴ β'.)
λοῦσ', ἵνα πατρὶ γόους νυχίους
ἐπορθοβοάσω,
ἰακχὰν ἀοιδὰν, μέλος ἀΐδα.
πάτερ, σοὶ κάτω γᾶς ἐνέπω γόους,
οἷς ἀεὶ τὸ κατ' ἦμαρ
διέπομαι, κατὰ μὲν φίλαν
ὄνυχι τεμνομένα δέραν,
χέρα τε κρᾶτ' ἐπὶ κούριμον
τιθεμένα θανάτῳ σῷ.
ἒ ἔ! δρύπτε κάρα· (μεσῳδός.)
οἵα δέ τις κύκνος ἀχέτας
ποταμίοις παρὰ χεύμασιν

126. Post hunc v. signa lacunae M. 131. τλᾶμον semel. 138. αἰσχίστων S. 143. ἰαχὰν M. 144. κατὰ γᾶς ἐννέπω M. 148. κρᾶτ' ἀποκούριμον M.

πατέρα φίλτατον καλεῖ,
ὀλόμενον δολίοις βρόχων
ἕρκεσιν, ὡς σὲ τὸν ἄθλιον
πατέρ' ἐγὼ κατακλαίομαι,
λουτρὰ πανύσταθ' ὑδρανάμενον χροΐ, (ἀντιστρ. β'.)
κοίτᾳ ἐν οἰκτροτάτᾳ θανάτου.
ἰώ μοι, ἰώ μοι
πικρᾶς [μὲν] πελέκεως τομᾶς σᾶς, πάτερ,
πικρᾶς δ' ἐκ Τροίας * * ὁδοῦ βουλᾶς!
οὐ μίτραισι γυνή σε
δέξατ', οὐδ' ἐπὶ στεφάνοις·
ξίφεσι δ' ἀμφιτόμοις λυγρὰν
Αἰγίσθου λώβαν θεμένα,
δόλιον ἔσχεν ἀκοίταν.

ΧΟΡΟΣ.

Ἀγαμέμνονος ὦ κόρα, (στροφὴ γ'.)
ἤλυθον, Ἠλέκτρα, ποτὶ σὰν ἀγρότειραν αὐλάν.
ἔμολέ τις, ἔμολε γαλακτοπότας ἀνὴρ
Μυκηναῖος ὀρειβάτας·
ἀγγέλλει δ', ὅτι νῦν τριταί-
αν καρύσσουσιν θυσίαν
Ἀργεῖοι, πᾶσαι δὲ παρ' Ἥ-
ραν μέλλουσι παρθενικαὶ στείχειν.

ΗΛΕΚΤΡΑ.

οὐκ ἐπ' ἀγλαΐαις, φίλαι, (στροφὴ δ'.)
θυμὸν, οὐδ' ἐπὶ χρυσέοις

159. ἰώ μοί μοι M. 160. μὲν sine uncis M. om. S. 161. desunt notae lacunae. 162. οὐ μίτραις σε γυνή M. 168. ἀγροτέραν M. 169. ἔμολεν γαλ. S. 170. οὐρειβάτας M.

ὅρμοις ἐκπεπόταμαι
τάλαιν', οὐδὲ στᾶσα χοροῖς
Ἀργείαις ἅμα νύμφαις
ἑλικτὸν κρούσω πόδ' ἐμάν.
δάκρυσι χεύω, δακρύων δέ μοι μέλει
δειλαίᾳ τὸ κατ' ἦμαρ.
σκέψαι μου πιναρὰν κόμαν
καὶ τρύχη τάδ' ἐμῶν πέπλων,
εἰ πρέποντ' Ἀγαμέμνονος
κούρᾳ τᾷ βασιλείᾳ τᾷ
Τροίᾳ θ', ἃ πού μου πατέρος
μέμναταί ποθ' ἁλοῦσα.

ΧΟΡΟΣ.

μεγάλα θεός· ἀλλ' ἴθι, (ἀντιστρ. γ'.)
καὶ παρ' ἐμοῦ χρῆσαι πολύπηνά τε φάρεα δῦναι,
χρύσεά τε χάρισιν προσθήματ' ἀγλαΐας.
δοκεῖς τοῖς σοῖσιν δακρύοις,
μὴ τιμῶσα θεοὺς, κρατή-
σειν ἐχθρῶν; οὔτοι στοναχαῖς,
ἀλλ' εὐχαῖσι θεοὺς σεβί-
ζουσ' ἕξεις εὐαμερίαν, ὦ παῖ.

ΗΛΕΚΤΡΑ.

οὐδεὶς θεῶν ἐνοπὰς κλύει (ἀντιστρ. δ'.)
τᾶς δυςδαίμονος, οὐ παλαι-
ῶν πατρὸς σφαγιασμῶν.

178. χορούς M. 179. Ἀργείοις M. 180. κρ. πόλεμον M. 181. δάκρυσι δὲ χ. S. 185. εἴπέρ ποτ' Ἀ. M. 186. κούρας, τὰ, βασιλεία M. βασιληΐᾳ S. 187. που deest. 190. τε deest. 191. χάρισαι. 195. ἀλλ' εὐχαῖς τοὺς θεούς γε σεβ. M.

οἴμοι τοῦ καταφθιμένου
τοῦ τε ζῶντος ἀλάτα!
ὅς που γᾶν ἄλλαν κατέχει
μέλεος ἀλαίνων ποτὶ θῆσσαν ἑστίαν,
τοῦ κλεινοῦ πατρὸς ἐκφύς.
αὐτὰ δ' ἐν χέρνησι δόμοις
ναίω ψυχὰν τακομένα,
δωμάτων πατρῴων φυγὰς,
οὐρείας ναίουσ' ἐρίπνας.
μάτηρ δ' ἐν λέκτροις φονίοις
ἄλλῳ σύγγαμος οἰκεῖ.

ΧΟΡΟΣ.

Πολλῶν κακῶν Ἕλλησιν αἰτίαν ἔχει
σῆς μητρὸς Ἑλένη σύγγονος δόμοις τε σοῖς.

ΗΛΕΚΤΡΑ.

οἴμοι, γυναῖκες! ἐξέβην θρηνημάτων·
ξένοι τινὲς παρ' οἶκον οἵδ' ἐφεστίους
εὐνὰς ἔχοντες ἐξανίστανται λόχου·
φυγῇ, σὺ μὲν κατ' οἶμον, ἐς δόμους δ' ἐγὼ,
φῶτας κακούργους ἐξαλύξωμεν ποδί.

ΟΡΕΣΤΗΣ.

μέν, ὦ τάλαινα· μὴ τρέσῃς ἐμὴν χέρα.

ΗΛΕΚΤΡΑ.

ὦ Φοῖβ' Ἄπολλον, προςπιτνῶ σε μὴ θανεῖν.

ΟΡΕΣΤΗΣ.

ἄλλους κτάνοιμι μᾶλλον ἐχθίους σέθεν.

ΗΛΕΚΤΡΑ.

ἄπελθε, μὴ ψαῦ', ὧν σὲ μὴ ψαύειν χρεών.

209. φόνιος M. 220. κτάνοιμ' ἄν.

ΟΡΕΣΤΗΣ.

οὐκ ἔσθ᾽, ὅτου θίγοιμ᾽ ἂν ἐνδικώτερον.

ΗΛΕΚΤΡΑ.

καὶ πῶς ξιφήρης πρὸς δόμοις λοχᾷς ἐμέ;

ΟΡΕΣΤΗΣ.

μείνασ᾽ ἄκουσον, καὶ τάχ᾽ οὐκ ἄλλως ἐρεῖς.

ΗΛΕΚΤΡΑ.

ἕστηκα· πάντως δ᾽ εἰμὶ σή· κρείσσων γὰρ εἶ.

ΟΡΕΣΤΗΣ.

ἥκω φέρων σοι σοῦ κασιγνήτου λόγους.

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατ᾽, ἆρα ζῶντος, ἢ τεθνηκότος;

ΟΡΕΣΤΗΣ.

ζῇ· πρῶτα γάρ σοι τἀγάθ᾽ ἀγγέλλειν θέλω.

ΗΛΕΚΤΡΑ.

εὐδαιμονοίης, μισθὸν ἡδίστων λόγων.

ΟΡΕΣΤΗΣ.

κοινῇ δίδωμι τοῦτο νῷν ἀμφοῖν ἔχειν.

ΗΛΕΚΤΡΑ.

ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχων;

ΟΡΕΣΤΗΣ.

οὐχ ἕνα νομίζων φθείρεται πόλεως νόμον.

ΗΛΕΚΤΡΑ.

ἦ που σπανίζων τοῦ καθ᾽ ἡμέραν βίου;

ΟΡΕΣΤΗΣ.

ἔχει μὲν, ἀσθενὴς δὲ δὴ φεύγων ἀνήρ.

ΗΛΕΚΤΡΑ.

λόγον δὲ δὴ τίν᾽ ἦλθες ἐκ κείνου φέρων;

223. λ. ἐμοῖς.

ΟΡΕΣΤΗΣ.

εἰ ζῇς, ὅπου τε ζῶσα συμφορὰς ἔχεις.

ΗΛΕΚΤΡΑ.

οὐκοῦν ὁρᾷς μου πρῶτον ὡς ξηρὸν δέμας.

ΟΡΕΣΤΗΣ.

λύπαις γε συντετηκὸς, ὥστε με στένειν.

ΗΛΕΚΤΡΑ.

καὶ κρᾶτα πλόκαμόν τ᾽ ἐσκυθισμένον ξυρῷ.

ΟΡΕΣΤΗΣ.

δάκνει σ᾽ ἀδελφὸς ὅ τε θανὼν ἴσως πατήρ;

ΗΛΕΚΤΡΑ.

οἴμοι! τί γάρ μοι τῶνδέ γ᾽ ἔστι φίλτερον;

ΟΡΕΣΤΗΣ.

φεῦ, φεῦ! τί δαὶ σὺ σῷ κασιγνήτῳ δοκεῖς;

ΗΛΕΚΤΡΑ.

ἀπὼν ἐκεῖνος, οὐ παρὼν ἡμῖν φίλος.

ΟΡΕΣΤΗΣ.

ἐκ τοῦ δὲ ναίεις ἐνθάδ᾽ ἄστεως ἑκάς;

ΗΛΕΚΤΡΑ.

ἐγημάμεσθ᾽, ὦ ξεῖνε, θανάσιμον γάμον.

ΟΡΕΣΤΗΣ.

ᾤμωξ᾽ ἀδελφὸν σόν. Μυκηναίων τινί;

ΗΛΕΚΤΡΑ.

οὐχ, ᾧς πατήρ μ᾽ ἤλπιζεν ἐκδώσειν ποτέ.

ΟΡΕΣΤΗΣ.

εἴφ᾽, ὡς ἀκούσας σῷ κασιγνήτῳ λέγω.

ΗΛΕΚΤΡΑ.

ἐν τοῖσδ᾽ ἐκείνου τῆλ᾽ ὅρος ναίω δόμοις.

236. συμφορᾶς S. 238. λ. τε συντέτηκας M. 246. τινά M.
249. ἐκ. τηλορός M.

ΟΡΕΣΤΗΣ.

σκαφεύς τις, ἢ βουφορβὸς ἄξιος δόμων.

ΗΛΕΚΤΡΑ.

πένης ἀνὴρ γενναῖος ἔς τ' ἔμ' εὐσεβής.

ΟΡΕΣΤΗΣ.

ἡ δ' εὐσέβεια τίς πρόσεστι σῷ πόσει;

ΗΛΕΚΤΡΑ.

οὐ πώποτ' εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν.

ΟΡΕΣΤΗΣ.

ἅγνευμ' ἔχων τι θεῖον, ἢ σ' ἀπαξιῶν;

ΗΛΕΚΤΡΑ.

γονέας ὑβρίζειν τοὺς ἐμοὺς οὐκ ἠξίου.

ΟΡΕΣΤΗΣ.

καὶ πῶς γάμον τοιοῦτον οὐχ ἥσθη λαβών;

ΗΛΕΚΤΡΑ.

οὐ κύριον τὸν δόντα μ' ἡγεῖται, ξένε.

ΟΡΕΣΤΗΣ.

ξυνῆκ'· Ὀρέστῃ μή ποτ' ἐκτίσῃ δίκην.

ΗΛΕΚΤΡΑ.

τοῦτ' αὐτὸ ταρβῶν, πρὸς δὲ καὶ σώφρων ἔφυ.

ΟΡΕΣΤΗΣ.

(φεῦ!) γενναῖον ἄνδρ' ἔλεξας, εὖ τε δραστέον.

ΗΛΕΚΤΡΑ.

εἰ δή ποθ' ἥξει γ' ἐς δόμους ὁ νῦν ἀπών.

ΟΡΕΣΤΗΣ.

μήτηρ δέ σ' ἡ τεκοῦσα ταῦτ' ἠνέσχετο;

ΗΛΕΚΤΡΑ.

γυναῖκες ἀνδρῶν, ὦ ξέν', οὐ παίδων, φίλαι.

250. δόμων; M. 254. ἀναξιῶν.

ΟΡΕΣΤΗΣ.

τίνος δέ σ' οὕνεχ' ὕβρισ' Αἴγισθος τάδε;

ΗΛΕΚΤΡΑ.

τεκεῖν μ' ἐβούλετ' ἀσθενῆ, τοιῷδε δούς.

ΟΡΕΣΤΗΣ.

ὡς δῆθε παῖδας μὴ τέκοις ποινάτορας;

ΗΛΕΚΤΡΑ.

τοιαῦτ' ἐβούλευσ', ὧν ἐμοὶ δοίη δίκην.

ΟΡΕΣΤΗΣ.

οἶδεν δέ σ' οὖσαν παρθένον μητρὸς πόσις;

ΗΛΕΚΤΡΑ.

οὐκ οἶδε· σιγῇ τοῦθ' ὑφαιρούμεσθά νιν.

ΟΡΕΣΤΗΣ.

αἵδ' οὖν φίλαι σοι τούσδ' ἀκούουσιν λόγους;

ΗΛΕΚΤΡΑ.

ὥστε στέγειν γε τἀμὰ καὶ σ' ἔπη καλῶς.

ΟΡΕΣΤΗΣ.

τί δῆτ' Ὀρέστης, πρὸς τόδ' Ἄργος ἢν μόλῃ;

ΗΛΕΚΤΡΑ.

ἤρου τόδ'; αἰσχρόν γ' εἶπας· οὐ γὰρ νῦν ἀκμή;

ΟΡΕΣΤΗΣ.

ἐλθὼν δὲ δὴ πῶς φονέας ἂν κτάνοι πατρός;

ΗΛΕΚΤΡΑ.

τολμῶν, ὑπ' ἐχθρῶν οἷ' ἐτολμήθη πατήρ.

ΟΡΕΣΤΗΣ.

ἦ καὶ μετ' αὐτοῦ μητέρ' ἂν τλαίης κτανεῖν;

ΗΛΕΚΤΡΑ.

ταυτῷ γε πελέκει, τῷ πατὴρ ἀπώλετο.

265. με βούλετ' M.

ΟΡΕΣΤΗΣ.

λέγω τάδ' αὐτῷ, καὶ βέβαια τἀπὸ σοῦ;

ΗΛΕΚΤΡΑ.

θάνοιμι, μητρὸς αἷμ' ἐπισφάξασ' ἐμῆς.

ΟΡΕΣΤΗΣ.

(φεῦ.) εἴθ' ἦν Ὀρέστης πλησίον κλύων τάδε!

ΗΛΕΚΤΡΑ.

ἀλλ', ὦ ξέν', οὐ γνοίην ἂν εἰσιδοῦσά νιν.

ΟΡΕΣΤΗΣ.

νέα γὰρ, οὐδὲν θαῦμ', ἀπεζεύχθης νέον.

ΗΛΕΚΤΡΑ.

εἷς ἂν μόνος νιν τῶν ἐμῶν γνοίη φίλων.

ΟΡΕΣΤΗΣ.

ἆρ' ὃν λέγουσιν αὐτὸν ἐκκλέψαι φόνου;

ΗΛΕΚΤΡΑ.

πατρός γε παιδαγωγὸς ἀρχαῖος γέρων.

ΟΡΕΣΤΗΣ.

ὁ κατθανὼν δὲ σὸς πατὴρ τύμβου κυρεῖ;

ΗΛΕΚΤΡΑ.

ἔκυρσεν, ὡς ἔκυρσεν, ἐκβληθεὶς δόμων.

ΟΡΕΣΤΗΣ.

οἴμοι, τόδ' οἷον εἶπας! αἴσθησις γὰρ οὖν
κἀκ τῶν θυραίων πημάτων δάκνει βροτούς.
λέξον δ', ἵν' εἰδὼς σῷ κασιγνήτῳ φέρω
λόγους ἀτερπεῖς, ἀλλ' ἀναγκαίους κλύειν·
ἔνεστι δ' οἶκτος, ἀμαθίᾳ μὲν οὐδαμοῦ,
σοφοῖσι δ' ἀνδρῶν· καὶ γὰρ οὐδ' ἀζήμιον,
γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.

ΧΟΡΟΣ.

κἀγὼ τὸν αὐτὸν τῷδ' ἔρον ψυχῆς ἔχω·

πρόσω γὰρ ἄστεος οὖσα, τἀν πόλει κακὰ
οὐκ οἶδα, νῦν δὲ βούλομαι κἀγὼ μαθεῖν.

ΗΛΕΚΤΡΑ.

λέγοιμ' ἂν, εἰ χρή. χρὴ δὲ πρὸς φίλον λέγειν
τύχας βαρείας τὰς ἐμὰς κἀμοῦ πατρός.
ἐπεὶ δὲ κινεῖς μῦθον, ἱκετεύω, ξένε,
ἄγγελλ' Ὀρέστῃ τἀμὰ καὶ κείνου κακά,
πρῶτον μὲν οἵοις ἐν πέπλοις αὐλίζομαι,
πίνῳ θ' ὅσῳ βέβριθ', ὑπὸ στέγαισί τε
οἵαισι ναίω βασιλικῶν ἐκ δωμάτων,
αὐτὴ μὲν ἐκμοχθοῦσα κερκίσιν πέπλους,
ἢ γυμνὸν ἕξω σῶμα καὶ στερήσομαι,
αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη,
ἀνέορτος ἱερῶν καὶ χορῶν τητωμένη,
ἀναίνομαι γυναῖκας, οὖσα παρθένος,
ἀναίνομαι δὲ Κάστορ', ᾧ, πρὶν ἐς θεοὺς
ἐλθεῖν, ἔμ' ἐμνήστευον, οὖσαν ἐγγενῆ.
μήτηρ δ' ἐμὴ Φρυγίοισιν ἐν σκυλεύμασιν
θρόνῳ κάθηται, πρὸς δ' ἕδρας Ἀσιήτιδες
δμωαὶ στατίζουσ', ἃς ἔπερσ' ἐμὸς πατὴρ,
Ἰδαῖα φάρη χρυσέαις ἐζευγμέναι
πόρπαισιν. αἷμα δ' ἔτι πατρὸς κατὰ στέγας
μέλαν σέσηπεν· ὃς δ' ἐκεῖνον ἔκτανεν,
ἐς ταὐτὰ βαίνων ἅρματ' ἐκφοιτᾷ πατρί,
καὶ σκῆπτρ', ἐν οἷς Ἕλλησιν ἐστρατηλάτει,
μιαιφόνοισι χερσὶ γαυροῦται λαβών.
Ἀγαμέμνονος δὲ τύμβος ἠτιμασμένος,
οὐ πώποτε χοὰς, οὐδὲ κλῶνα μυρσίνης

309. ἀν. δὲ γυν. M. 311. ἐμὲ μνήστευον M. 322. οὐ πώποτ' οὐ χ. M. οὔπω χοάς ποτ' οὐδὲ S.

ἔλαβε, πυρὰ δὲ χέρσος ἀγλαϊσμάτων.
μέθῃ δὲ βρεχθεὶς τῆς ἐμῆς μητρὸς πόσις
ὁ κλεινὸς, ὡς λέγουσιν, ἐνθρώσκει τάφῳ,
πέτροις τε λεύει μνῆμα λάϊνον πατρὸς,
καὶ τοῦτο τολμᾷ τοὔπος εἰς ἡμᾶς λέγειν·
ποῦ παῖς Ὀρέστης; ἆρά σοι τύμβῳ καλῶς
παρὼν ἀμύνει; ταῦτ᾽ ἀπὼν ὑβρίζεται.
ἀλλ᾽, ὦ ξέν᾽, ἱκετεύω σ᾽, ἀπάγγειλον τάδε.
πολλοὶ δ᾽ ἐπιστέλλουσιν, ἑρμηνεὺς δ᾽ ἐγὼ,
αἱ χεῖρες, ἡ γλῶσσ᾽ ἡ ταλαίπωρός τε φρὴν
κάρα τ᾽ ἐμὸν ξυρῆκες ὅ τ᾽ ἐκείνου τεκών.
αἰσχρὸν γὰρ, εἰ πατὴρ μὲν ἐξεῖλεν Φρύγας,
ὁ δ᾽ ἄνδρ᾽ ἕν᾽ εἷς ὢν οὐ δυνήσεται κτανεῖν,
νέος πεφυκὼς κἀξ ἀμείνονος πατρός.

ΧΟΡΟΣ.

καὶ μὴν δέδορκα τόνδε, σὸν λέγω πόσιν,
λήξαντα μόχθου πρὸς δόμους ὡρμημένον.

ΑΥΤΟΥΡΓΟΣ.

ἔα· τίνας τούσδ᾽ ἐν πύλαις ὁρῶ ξένους;
τίνος δ᾽ ἕκατι τάσδ᾽ ἐπ᾽ ἀγραύλους πύλας
προσῆλθον; ἦ μου δεόμενοι; γυναικί τοι
αἰσχρὸν, μετ᾽ ἀνδρῶν ἑστάναι νεανιῶν.

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατ᾽, εἰς ὕποπτα μὴ μόλῃς ἐμοί.
τὸν ὄντα δ᾽ εἴσει μῦθον· οἵδε γὰρ ξένοι
ἥκουσ᾽ Ὀρέστου πρός με κήρυκες λόγων.
ἀλλ᾽, ὦ ξένοι, σύγγνωτε τοῖς εἰρημένοις.

ΑΥΤΟΥΡΓΟΣ.

τί φασιν; ἁνὴρ ἔστι καὶ λεύσσει φάος;

347. ἀνήρ ἐστι M.

ΗΛΕΚΤΡΑ.

ἔστιν λόγῳ γοῦν· φασὶ δ᾽ οὐκ ἄπιστ᾽ ἐμοί.

ΑΥΤΟΥΡΓΟΣ.

ἦ καί τι πατρὸς σῶν τε μέμνηται κακῶν;

ΗΛΕΚΤΡΑ.

ἐν ἐλπίσιν ταῦτ᾽· ἀσθενὴς φεύγων ἀνήρ.

ΑΥΤΟΥΡΓΟΣ.

ἦλθον δ᾽ Ὀρέστου τίν᾽ ἀγορεύοντες λόγον;

ΗΛΕΚΤΡΑ.

σκοποὺς ἔπεμψε τούσδε τῶν ἐμῶν κακῶν.

ΑΥΤΟΥΡΓΟΣ.

οὐκοῦν τὰ μὲν λεύσσουσι, τὰ δὲ σύ που λέγεις.

ΗΛΕΚΤΡΑ.

ἴσασιν, οὐδὲν τῶνδ᾽ ἔχουσιν ἐνδεές.

ΑΥΤΟΥΡΓΟΣ.

οὐκοῦν πάλαι χρῆν τοῖσδ᾽ ἀνεπτύχθαι πύλας.
χωρεῖτ᾽ ἐς οἴκους· ἀντὶ γὰρ χρηστῶν λόγων
ξενίων κυρήσεθ᾽, οἷ᾽ ἐμὸς κεύθει δόμος.
αἴρεσθ᾽, ὀπαδοὶ, τῶνδ᾽ ἔσω τεύχη δόμων·
καὶ μηδὲν ἀντείπητε, παρὰ φίλου φίλοι
μολόντες ἀνδρός· καὶ γὰρ εἰ πένης ἔφυν,
οὔ τοι τόγ᾽ ἦθος δυσγενὲς παρέξομαι.

ΟΡΕΣΤΗΣ.

πρὸς θεῶν, ὅδ᾽ ἁνὴρ, ὃς συνεκκλέπτει γάμους
τοὺς σοὺς, Ὀρέστην οὐ καταισχύνειν θέλων;

ΗΛΕΚΤΡΑ.

οὗτος κέκληται πόσις ἐμὸς τῆς ἀθλίας.

362. ὅδ᾽ ἀνήρ M.

Ο Ρ Ε Σ Τ Η Σ.

(φεῦ.) οὐκ ἔστ' ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.
ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστά τ' ἐκ κακῶν τέκνα,
λιμόν τ' ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην τε μεγάλην ἐν πένητι σώματι.
πῶς οὖν τις αὐτὰ διαλαβὼν ὀρθῶς κρινεῖ;
πλούτῳ; πονηρῷ γ' ἆρα χρήσεται κριτῇ.
ἢ τοῖς ἔχουσι μηδέν; ἀλλ' ἔχει νόσον
πενία, διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.
ἀλλ' εἰς ὅπλ' ἔλθω; τίς δὲ πρὸς λόγχην βλέπων
μάρτυς γένοιτ' ἄν, ὅςτις ἐστὶν ἀγαθός;
κράτιστον εἰκῆ ταῦτ' ἐᾶν ἀφειμένα.
οὗτος γὰρ ἁνὴρ οὔτ' ἐν Ἀργείοις μέγας,
οὔτ' αὖ δοκήσει δωμάτων ὠγκωμένος,
ἐν τοῖς τε πολλοῖς ὤν, ἄριστος εὑρέθη.
οὐ μὴ φρονήσεθ', οἳ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
κρινεῖτε καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς;
οἱ γὰρ τοιοῦτοι τὰς πόλεις οἰκοῦσιν εὖ
καὶ δώμαθ', αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν
ἀγάλματ' ἀγορᾶς εἰσίν. οὐδὲ γὰρ δόρυ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει·
ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ.
ἀλλ', ἄξιος γὰρ ὅ τε παρὼν ὅ τ' οὐ παρὼν
Ἀγαμέμνονος παῖς, οὗπερ οὕνεχ' ἥκομεν,
δεξώμεθ' οἴκων καταλύσεις· χωρεῖν χρεὼν,

368. χρηστὰ δ' ἐκ κ. S. 372. πον. δ' ἄρα M. 376. ἀγαθός M. 378. ἀνήρ M. 386. δορὶ M.

δμῶες, δόμων τῶνδ' ἐντός. ὡς ἐμοὶ πένης
εἴη πρόθυμος πλουσίου μᾶλλον ξένος!
αἰνῶ μὲν οὖν τοῦδ' ἀνδρὸς ἐςδοχὰς δόμων·
ἐβουλόμην δ' ἂν, εἰ κασίγνητός με σὸς
ἐς εὐτυχοῦντας ἦγεν εὐτυχῶν δόμους.
ἴσως δ' ἂν ἔλθοι· Λοξίου γὰρ ἔμπεδοι
χρησμοὶ, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ.

Χ Ο Ρ Ο Σ.

νῦν, ἢ πάροιθεν, μᾶλλον, Ἠλέκτρα, χαρᾷ
θερμαινόμεσθα καρδίαν· ἴσως γὰρ ἂν
μόλις προβαίνουσ' ἡ τύχη σταίη καλῶς.

Η Λ Ε Κ Τ Ρ Α.

ὦ τλῆμον, εἰδὼς δωμάτων χρείαν σέθεν,
τί τούςδ' ἐδέξω μείζονας σαυτοῦ ξένους;

Α Υ Τ Ο Υ Ρ Γ Ο Σ.

τί δ'; εἴπερ εἰσὶν, ὡς δοκοῦσιν, εὐγενεῖς,
οὐκ ἔν τε μικροῖς ἔν τε μὴ στέρξουσ' ὅμως;

Η Λ Ε Κ Τ Ρ Α.

ἐπεί νυν ἐξήμαρτες ἐν σμικροῖσιν ὤν,
ἔλθ' ὡς παλαιὸν τροφὸν ἐμοῦ φίλου πατρός·
ὃς ἀμφὶ ποταμὸν Ταναὸν Ἀργείας ὅρους
τέμνοντα γαίας Σπαρτιάτιδός τε γῆς
ποίμναις ὁμαρτεῖ, πόλεος ἐκβεβλημένος·
κέλευε δ' αὐτὸν, εἰς δόμους ἀφιγμένον,
ἐλθεῖν ξένων τ' ἐς δαῖτα πορσῦναι τινά.
ἡσθήσεταί τοι καὶ προςεύξεται θεοῖς,
ζῶντ' εἰςακούσας παῖδ', ὃν ἐκσώζει ποτέ.
οὐ γὰρ πατρῴων ἐκ δόμων μητρὸς πάρα
λάβοιμεν ἄν τι· πικρὰ δ' ἀγγείλαιμεν ἂν,
εἰ ζῶντ' Ὀρέστην ἡ τάλαιν' αἴσθοιτ' ἔτι.

ΑΥΤΟΥΡΓΟΣ.

ἀλλ', εἰ δοκεῖ σοι, τούσδ' ἀπαγγελῶ λογους
γέροντι· χώρει δ' ἐς δόμους ὅσον τάχος,
καὶ τἄνδον ἐξάρτυε. πολλά τοι γυνὴ
χρῄζουσ' ἂν εὕροι δαιτὶ προσφορήματα.
ἔστιν δὲ δὴ τοσαῦτα τἀν δόμοις ἔτι,
ὥςθ' ἕν γ' ἐπ' ἦμαρ τούςδε πληρῶσαι βορᾶς.
ἐν τοῖς τοιούτοις δ' ἡνίκ' ἂν γνώμη πέσῃ,
σκοπῶ τὰ χρήμαθ', ὡς ἔχει μέγα σθένος,
φίλοις τε δοῦναι, σῶμά τ' ἐς νόσον πεσὸν
δαπάναισι σῶσαι· τῆς δ' ἐφ' ἡμέραν βορᾶς
ἐς μικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
ὁ πλούσιός τε χὠ πένης ἴσον φέρει.

ΧΟΡΟΣ.

Κλειναὶ νᾶες, αἵ ποτ' ἔμβατε Τροίαν (στροφὴ α'.)
τοῖς ἀμετρήτοις ἐρετμοῖς,
πέμπουσαι χοροὺς μετὰ Νηρήδων,
ἵν' ὁ φίλαυλος ἔπαλλε δελ-
φὶς πρώραις κυανεμβόλοι-
σιν εἱλισσόμενος,
πορεύων τὸν τᾶς Θέτιδος
κοῦφον ἅλμα ποδῶν Ἀχιλῆ
σὺν Ἀγαμέμνονι Τρωϊκὰς
ἐπὶ Σιμουντίδας ἀκτάς.
Νηρῆδες δ' Εὐβοΐδας ἀκτὰς λιποῦσαι (ἀντ. α'.)

422. τοσαῦτά γ' ἐν δόμοις S. 424. πέσοι M. γνώμη πέσω S. 426. ξένοις τε δ. 429. πλούσιός γε M. 437. Ἀχιλλῆ M. 438. Τροίας M. Τρωΐας S. 440. Εὐβοΐδας

Ἡφαίστου χρυσέων ἀκμόνων
μόχθους ἀσπιστὰς ἔφερον τευχέων,
ἀνά τε Πήλιον ἀνά τε πρύ-
μνας Ὄσσας ἱερὰς νάπας,
Νυμφαίας σκοπιὰς,
κόρας μάτευσ'· ἔνθα πατὴρ
ἱππότας τρέφεν Ἑλλάδι φῶς,
Θέτιδος εἰνάλιον γόνον,
ταχύπορον πόδ' Ἀτρείδαις.
Ἰλιόθεν δ' ἔκλυον τινὸς ἐν λιμέσιν (στροφὴ β'.)
Ναυπλίοισι βεβῶτος
τᾶς σᾶς, ὦ Θέτιδος παῖ,
κλεινᾶς ἀσπίδος ἐν κύκλῳ
τοιάδε σήματα, δείματα
Φρύγια τετύχθαι·
περιδρόμῳ μὲν ἴτυος ἕδρᾳ
Περσέα λαιμοτόμον ὑπὲρ
ἁλὸς ποτανοῖσι πεδίλοι-
σι φυὰν Γοργόνος ἴσχειν,
Διὸς ἀγγέλῳ σὺν Ἑρμᾷ,
τῷ Μαίας ἀγροτῆρι κούρῳ·
ἐν δὲ μέσῳ κατέλαμπε σάκει φαέθων (ἀντιστρ. β'.)
κύκλος ἀελίοιο
ἵπποις ἂν πτεροέσσαις,
ἄστρων τ' αἰθέριοι χοροὶ,
Πλειάδες, Ὑάδες, Ἕκτορος
ὄμμασι τροπαῖοι·
ἐπὶ δὲ χρυσοτύπῳ κράνει
Σφίγγες ὄνυξιν ἀοίδιμον

448. ἰνάλιον M. 457. λαιμοτόμαν S. 468. χρυσεοτύπῳ M.

ἄγραν φέρουσαι· περιπλεύρῳ
δὲ κύτει πύρπνοος ἔσπευ-
δε δρόμῳ λέαινα χαλαῖς
Πειρηναῖον θορῶσα πῶλον.
ἐν δὲ δόρει φονίῳ τετραβάμονες ἵπποι ἔπαλλον,
(ἐπῳδός.)
κελαινὰ δ' ἀμφὶ νῶθ' ἵετο κόνις.
τοιῶνδ' ἄνακτα δοριπόνων
ἔκανεν ἀνδρῶν Τυν-
δαρὶς, ἃ λέχεα, κακόφρων κούρα.
τοίγαρ σέ ποτ' οὐρανίδαι
πέμψουσιν θανάτοισι· κἂν
ἔτ' ἔτι φόνιον ὑπὸ δέραν
ὄψομαι αἷμα χυθὲν σιδάρῳ.

ΠΡΕΣΒΥΣ.

Ποῦ, ποῦ νεᾶνις πότνι' ἐμὴ δέσποινά τε,
'Αγαμέμνονος παῖς, ἥν ποτ' ἐξέθρεψ' ἐγώ;
ὡς πρόςβασιν τῶνδ' ὀρθίαν οἴκων ἔχει
ῥυσσῷ γέροντι τῷδε προςβῆναι ποδί.
ὅμως δὲ πρός γε τοὺς φίλους ἐξελκτέον
διπλῆν ἄκανθαν καὶ παλλίρροπον γόνυ.
ὦ θύγατερ, ἄρτι γάρ σε πρὸς δόμοις ὁρῶ,
ἥκω φέρων σοι τῶν ἐμῶν βοσκημάτων
ποίμνης νεογνὸν θρέμμ' ὑποσπάσας τόδε,
πελάνους τε, τευχέων τ' ἐξελὼν τυρεύματα,
παλαιόν τε θησαύρισμα Διονύσου τόδε
ὀσμῇ κατῆρες, μικρὸν, ἀλλ' ἐπειςβαλεῖν
ἡδὺ σκύφον τοῦδ' ἀσθενεστέρῳ ποτῷ.

474. δορὶ M. 477. ἔκανες S. 478. Τυνδαρὶ, σὰ λέχεα S. 480. πέμψουσι. 481. ἔτι ἔτι M. 482. ὄψομ' M. 495. τῷδ' ἀσθ. M.

ἴτω φέρων τις τοῖς ξένοις τάδ' ἐς δόμους·
ἐγὼ δὲ τρύχει τῷδ' ἐμῶν πέπλων κόρας
δακρύοισι τέγξας ἐξομόρξασθαι θέλω.

ΗΛΕΚΤΡΑ.

τί δ', ὦ γεραιὲ, διάβροχον τόδ' ὄμμ' ἔχεις;
μῶν τἀμὰ διὰ χρόνου σ' ἀνέμνησαν κακά;
ἢ τὰς 'Ορέστου τλήμονας φυγὰς στένεις
καὶ πατέρα τὸν ἐμὸν, ὅν ποτ' ἐν χεροῖν ἔχων
ἀνόνητ' ἔθρεψας σοί τε καὶ τοῖς σοῖς φίλοις;

ΠΡΕΣΒΥΣ.

ἀνόνηθ'· ὅμως γοῦν τοῦτό γ' οὐκ ἠνεσχόμην.
ἦλθον γὰρ αὐτοῦ πρὸς τάφον, πάρεργ' ὁδοῦ,
καὶ προςπεσὼν ἔκλαυσ', ἐρημίας τυχὼν,
σπονδάς τε, λύσας ἀσκὸν, ὃν φέρω ξένοις,
ἔσπεισα, τύμβῳ δ' ἀμφέθηκα μυρσίνας.
πυρᾶς δ' ἐπ' αὐτῆς οἶν μελάγχιμον πόκῳ
σφάγιον ἐςεῖδον αἷμά τ' οὐ πάλαι χυθὲν
ξανθῆς τε χαίτης βοστρύχους κεκαρμένους.
κἀθαύμασ', ὦ παῖ, τίς ποτ' ἀνθρώπων ἔτλη
πρὸς τύμβον ἐλθεῖν· οὐ γὰρ 'Αργείων γέ τις.
ἀλλ' ἦλθ' ἴσως που σὸς κασίγνητος λάθρα,
μολὼν δ' ἐθαύμασ' ἄθλιον τύμβον πατρός.
σκέψαι δὲ χαίτην, προςτιθεῖσα σῇ κόμῃ,
εἰ χρῶμα ταὐτὸ κουρίμης ἔσται τριχός.
φιλεῖ γὰρ, αἷμα ταὐτὸν οἷς ἂν ᾖ πατρὸς,
τὰ πόλλ' ὅμοια σώματος πεφυκέναι.

ΗΛΕΚΤΡΑ.

οὐκ ἄξι' ἀνδρὸς, ὦ γέρον, σοφοῦ λέγεις,
εἰ κρυπτὸν ἐς γῆν τήνδ' ἂν Αἰγίσθου φόβῳ

509. ὄϊν M. 517. εἰ χρῶμα ταὐτῃ S.

δοκεῖς ἀδελφὸν τὸν ἐμὸν εὐθαρσῆ μολεῖν.
ἔπειτα χαίτης πῶς συνοίσεται πλόκος;
ὁ μὲν παλαίστραις ἀνδρὸς εὐγενοῦς τραφεὶς,
ὁ δὲ κτενισμοῖς θῆλυς· ἀλλ' ἀμήχανον.
πολλοῖς δ' ἂν εὕροις βοστρύχους ὁμοπτέρους,
καὶ μὴ γεγῶσιν αἵματος ταὐτοῦ, γέρον.

ΠΡΕΣΒΥΣ.

σὺ δ' εἰς ἴχνος βᾶσ' ἀρβύλης σκέψαι βάσιν,
εἰ σύμμετρος σῷ ποδὶ γενήσεται, τέκνον.

ΗΛΕΚΤΡΑ.

πῶς δ' ἂν γένοιτ' ἂν ἐν κραταιλέῳ πέδῳ
γαίας ποδῶν ἔκμακτρον; εἰ δ' ἔστιν τόδε,
δυεῖν ἀδελφοῖν ποὺς ἂν οὐ γένοιτ' ἴσος,
ἀνδρός τε καὶ γυναικὸς, ἀλλ' ἄρσην κρατεῖ.

ΠΡΕΣΒΥΣ.

οὐκ ἔστιν, εἰ καὶ γῆν κασίγνητος μολὼν,
κερκίδος ὅτῳ γνοίης ἂν ἐξύφασμα σῆς,
ἐν ᾧ ποτ' αὐτὸν ἐξέκλεψα μὴ θανεῖν;

ΗΛΕΚΤΡΑ.

οὐκ οἶσθ', Ὀρέστης ἡνίκ' ἐκπίπτει χθονὸς,
νέαν μ' ἔτ' οὖσαν; εἰ δὲ κἄκρεκον πέπλους,
πῶς ἂν, τότ' ὢν παῖς, νῦν ἔχοι ταῦτ' ἂν φάρη,
εἰ μὴ ξυναύξοινθ' οἱ πέπλοι τῷ σώματι;
ἀλλ' ἤ τις αὐτοῦ τάφον ἐποικτείρας ξένος
ἐκείρατ', ἢ τῆςδε σκότος λαβὼν χθονός.

ΠΡΕΣΒΥΣ.

οἱ δὲ ξένοι ποῦ; βούλομαι γὰρ, εἰςιδὼν
αὐτοὺς, ἔρεσθαι σοῦ κασιγνήτου πέρι.

542. τῆςδε σκοποὺς λαθὼν χθ. M.

ΗΛΕΚΤΡΑ.

οἵδ' ἐκ δόμων βαίνουσι λαιψηρῷ ποδί.

ΠΡΕΣΒΥΣ.

ἀλλ' εὐγενεῖς μὲν, ἐν δὲ κιβδήλῳ τόδε·
πολλοὶ γὰρ ὄντες εὐγενεῖς εἰσὶν κακοί·
ὅμως δὲ χαίρειν τοὺς ξένους προςεννέπω.

ΟΡΕΣΤΗΣ.

χαῖρ', ὦ γεραιέ. τοῦ ποτ', Ἠλέκτρα, τόδε
παλαιὸν ἀνδρὸς λείψανον φίλων κυρεῖ;

ΗΛΕΚΤΡΑ.

οὗτος τὸν ἀμὸν πατέρ' ἔθρεψεν, ὦ ξένε.

ΟΡΕΣΤΗΣ.

τί φῄς; ὅδ' ὃς σὸν ἐξέκλεψε σύγγονον;

ΗΛΕΚΤΡΑ.

ὅδ' ἔσθ' ὁ σώσας κεῖνον, εἴπερ ἔστ' ἔτι.

ΟΡΕΣΤΗΣ.

(ἔα·) τί μ' εἰςδέδορκεν, ὥςπερ ἀργύρου σκοπῶν
λαμπρὸν χαρακτῆρ'; ἢ προςεικάζει μέ τῳ;

ΗΛΕΚΤΡΑ.

ἴσως Ὀρέστου σ' ἥλιχ' ἥδεται βλέπων.

ΟΡΕΣΤΗΣ.

φίλου γε φωτός· τί δὲ κυκλεῖ πέριξ πόδα;

ΗΛΕΚΤΡΑ.

καὐτὴ τόδ' εἰςορῶσα θαυμάζω, ξένε.

ΠΡΕΣΒΥΣ.

ὦ πότνι', εὔχου, θύγατερ Ἠλέκτρα, θεοῖς —

ΗΛΕΚΤΡΑ.

τί; τῶν ἀπόντων, ἤ τι τῶν ὄντων πέρι;

552. ἐξέθρεψε M. 560. ἤ τί τῶν ὄ. M. τί τῶν ἀπ. S.

ΠΡΕΣΒΥΣ.

λαβεῖν φίλον θησαυρὸν, ὃν φαίνει θεός.

ΗΛΕΚΤΡΑ.

ἰδοὺ, καλῶ θεούς. ἢ τί δὴ λέγεις, γέρον;

ΠΡΕΣΒΥΣ.

βλέψόν νυν ἐς τόνδ', ὦ τέκνον, τὸν φίλτατον.

ΗΛΕΚΤΡΑ.

πάλαι δέδοικα, μὴ σύ γ' οὐκ ἔτ' εὖ φρονῇς.

ΠΡΕΣΒΥΣ.

οὐκ εὖ φρονῶ 'γὼ σὸν κασίγνητον βλέπων;

ΗΛΕΚΤΡΑ.

πῶς εἶπας, ὦ γεραί', ἀνέλπιστον λόγον;

ΠΡΕΣΒΥΣ.

ὁρᾷν 'Ορέστην τόνδε τὸν 'Αγαμέμνονος.

ΗΛΕΚΤΡΑ.

ποῖον χαρακτῆρ' εἰςιδὼν, ᾧ πείσομαι;

ΠΡΕΣΒΥΣ.

οὐλὴν παρ' ὀφρὺν, ἥν ποτ' ἐν πατρὸς δόμοις
νεβρὸν διώκων σοῦ μέθ' ἡμάχθη πεσών.

ΗΛΕΚΤΡΑ.

πῶς φής; ὁρῶ μὲν πτώματος τεκμήριον.

ΠΡΕΣΒΥΣ.

ἔπειτα μέλλεις προςπιτνεῖν τοῖς φιλτάτοις;

ΗΛΕΚΤΡΑ.

ἀλλ' οὐκ ἔτ', ὦ γεραιέ· συμβόλοισι γὰρ
τοῖς σοῖς πέπεισμαι θυμόν. ὦ χρόνῳ φα-
νεὶς,

567. ὁρῶν 'Ορ. M.

ἔχω σ' ἀέλπτως —

ΟΡΕΣΤΗΣ.

κἀξ ἐμοῦ γ' ἔχει χρόνῳ.

ΗΛΕΚΤΡΑ.

οὐδέποτε δόξασ'.

ΟΡΕΣΤΗΣ.

οὐδ' ἐγὼ γὰρ ἤλπισα.

ΗΛΕΚΤΡΑ.

ἐκεῖνος εἶ σύ;

ΟΡΕΣΤΗΣ.

σύμμαχός γέ σοι μόνος,
ἢν ἐκσπάσωμαί γ', ὃν μετέρχομαι, βόλον.
πέποιθα δ'. ἢ χρὴ μηκέθ' ἡγεῖσθαι θεοὺς,
εἰ τἄδικ' ἔσται τῆς δίκης ὑπέρτερα.

ΧΟΡΟΣ.

Ἔμολες, ἔμολες, ὦ χρόνιος ἁμέρα,
κατέλαμψας, ἔδειξας ἐμφανῆ
πόλει πυρσὸν, ὃς παλαιᾷ φυγᾷ
πατρῴων ἀπὸ δωμάτων
τάλας ἀλαίνων ἔβα.
θεὸς αὖ θεὸς ἁμετέραν τις ἄγει
νίκαν, ὦ φίλα.
ἄνεχε χέρας, ἄνεχε λόγον, ἵει λιτὰς,
λιτὰς εἰς θεοὺς, τύχᾳ σοι, τύχᾳ
κασίγνητον ἐμβατεῦσαι πόλιν.

ΟΡΕΣΤΗΣ.

εἶεν· φίλας μὲν ἡδονὰς ἀσπασμάτων

576. οὐδέποτ' ἐδόξασ' M. 578. ἢν δ' ἐκσπ. M. 579. trib. Electrae M. 585. 6. ἔβασε. θεός M. ἔβα. σὲ θεός S. 588. 9. λιτάς semel. 599. τύχα σοι τύχα M.

ἔχω, χρόνῳ δὲ καὖθις αὐτὰ δώσομεν.
σὺ δ', ὦ γεραιὲ, καίριος γὰρ ἤλυθες,
λέξον, τί δρῶν ἂν φονέα τισαίμην πατρὸς
μητέρα τε τὴν κοινωνὸν ἀνοσίων γάμων.
ἔστιν τί μοι κατ' Ἄργος εὐμενὲς φίλων;
ἢ πάντ' ἀνεσκευάσμεθ', ὥσπερ αἱ τύχαι;
τῷ συγγένωμαι; νύχιος, ἢ καθ' ἡμέραν;
ποίαν ὁδὸν τραπώμεθ' εἰς ἐχθροὺς ἐμούς;

ΠΡΕΣΒΥΣ.

ὦ τέκνον, οὐδεὶς δυστυχοῦντί σοι φίλος.
εὕρημα γὰρ τὸ χρῆμα γίγνεται τόδε,
κοινῇ μετασχεῖν τἀγαθοῦ καὶ τοῦ κακοῦ.
σὺ δ', (ἐκ βάθρων γὰρ πᾶς ἀνῄρησαι φίλοις,
οὐδ' ἐλλέλοιπας ἐλπίδ') ἴσθι μου κλύων·
ἐν χειρὶ τῇ σῇ πάντ' ἔχεις καὶ τῇ τύχῃ,
πατρῷον οἶκον καὶ πόλιν λαβεῖν σέθεν.

ΟΡΕΣΤΗΣ.

τί δῆτα δρῶντες τοῦδ' ἂν ἐξικοίμεθα;

ΠΡΕΣΒΥΣ.

κτανὼν Θυέστου παῖδα σήν τε μητέρα.

ΟΡΕΣΤΗΣ.

ἥκω 'πὶ τόνδε στέφανον, ἀλλὰ πῶς λάβω;

ΠΡΕΣΒΥΣ.

τειχέων μὲν ἐλθὼν ἐντὸς οὐδ' ἂν εἰ θέλοις.

ΟΡΕΣΤΗΣ.

φρουραῖς κέκασται δεξιαῖς τε δορυφόρων;

ΠΡΕΣΒΥΣ.

ἔγνως· φοβεῖται γάρ σε, κοὐχ εὕδει σαφῶς.

ΟΡΕΣΤΗΣ.

εἶεν· σὺ δὴ τοὐνθένδε βούλευσον, γέρον.

ΠΡΕΣΒΥΣ.

κἀμοῦ γ' ἄκουσον· ἄρτι γάρ μ' ἐσῆλθέ τι.

ΟΡΕΣΤΗΣ.

ἐσθλόν τι μηνύσειας, αἰσθοίμην δ' ἐγώ.

ΠΡΕΣΒΥΣ.

Αἴγισθον εἶδον, ἡνίχ' εἷρπον ἐνθάδε —

ΟΡΕΣΤΗΣ.

προσηκάμην τὸ ῥηθέν. ἐν ποίοις τόποις;

ΠΡΕΣΒΥΣ.

ἀγρῶν πέλας τῶνδ' ἱπποφορβίων ἔπι.

ΟΡΕΣΤΗΣ.

τί δρῶνθ'; ὁρῶ γὰρ ἐλπίδ' ἐξ ἀμηχάνων.

ΠΡΕΣΒΥΣ.

Νύμφαις ἐπόρσυν' ἔροτιν, ὡς ἔδοξέ μοι.

ΟΡΕΣΤΗΣ.

τροφεῖα παίδων, ἢ πρὸ μέλλοντος τόκου;

ΠΡΕΣΒΥΣ.

οὐκ οἶδα, πλὴν ἕν, βουσφαγεῖν ὡπλίζετο.

ΟΡΕΣΤΗΣ.

πόσων μετ' ἀνδρῶν; ἢ μόνος δμώων μέτα;

ΠΡΕΣΒΥΣ.

οὐδεὶς παρῆν Ἀργεῖος, οἰκεία δὲ χείρ.

ΟΡΕΣΤΗΣ.

ἦ πού τις, ὅστις γνωριεῖ μ' ἰδὼν, γέρον;

ΠΡΕΣΒΥΣ.

δμῶες μὲν εἰσιν, οἳ σέ γ' οὐκ εἶδόν ποτε.

ΟΡΕΣΤΗΣ.

ἡμῖν δ' ἂν εἶεν, εἰ κρατοῖμεν, εὐμενεῖς;

ΠΡΕΣΒΥΣ.

δούλων γὰρ ἴδιον τοῦτο, σοὶ δὲ σύμφορον.

ΟΡΕΣΤΗΣ.

πῶς οὖν ἂν αὐτῷ πλησιασθείην ποτέ;

ΠΡΕΣΒΥΣ.

στείχων, ὅθεν σε βουθυτῶν ἐσόψεται.

ΟΡΕΣΤΗΣ.

ὁδὸν παρ' αὐτὴν, ὡς ἔοικ', ἀγροὺς ἔχει.

ΠΡΕΣΒΥΣ.

ὅθεν γ' ἰδών σε δαιτὶ κοινωνὸν καλεῖ.

ΟΡΕΣΤΗΣ.

πικρόν γε συνθοινάτορ', ἢν θεὸς θέλῃ.

ΠΡΕΣΒΥΣ.

τοὐνθένδε πρὸς τὸ πίπτον αὐτὸς ἐννόει.

ΟΡΕΣΤΗΣ.

καλῶς ἔλεξας. ἡ τεκοῦσα δ' ἐστὶ ποῦ;

ΠΡΕΣΒΥΣ.

Ἄργει· παρέσται δ' ἐν πόσει θοίνην ἔπι.

ΟΡΕΣΤΗΣ.

τί δ' οὐχ ἅμ' ἐξωρμᾶτ' ἐμὴ μήτηρ πόσει;

ΠΡΕΣΒΥΣ.

ψόγον τρέμουσα δημοτῶν ἐλείπετο.

ΟΡΕΣΤΗΣ.

ξυνῆχ'· ὕποπτος οὖσα γιγνώσκει πόλει.

ΠΡΕΣΒΥΣ.

τοιαῦτα· μισεῖται γὰρ ἀνόσιος γυνή.

ΟΡΕΣΤΗΣ.

πῶς οὖν ἐκείνην τόνδε τ' ἐν ταὐτῷ κτενῶ;

ΗΛΕΚΤΡΑ.

ἐγὼ φόνον γε μητρὸς ἐξαρτύσομαι.

641. ὁδὸν γὰρ αὐτὴν M. 642. γ' deest M. 643. πικρόν τε M.

ΟΡΕΣΤΗΣ.

καὶ μὴν ἐκεῖνά γ' ἡ τύχη θήσει καλῶς.

ΗΛΕΚΤΡΑ.

ὑπηρετείτω μὲν, δυεῖν ὄντοιν, ὅδε.

ΠΡΕΣΒΥΣ.

ἔσται τάδ'· εὑρίσκεις δὲ μητρὶ πῶς φόνον;

ΗΛΕΚΤΡΑ.

λέγ', ὦ γεραιὲ, τάδε Κλυταιμνήστρᾳ μολών·
λεχώ μ' ἀπάγγελλ' οὖσαν ἄρσενος τόκῳ.

ΠΡΕΣΒΥΣ.

πότερα πάλαι τεκοῦσαν, ἢ νεωστὶ δή;

ΗΛΕΚΤΡΑ.

λέγ' ἡλίους, ἐν οἷσιν ἁγνεύει λεχώ.

ΠΡΕΣΒΥΣ.

καὶ δὴ τί τοῦτο μητρὶ προσβάλλει φόνον;

ΗΛΕΚΤΡΑ.

ἥξει κλύουσα λόχι' ἐμοῦ νοσήματα.

ΠΡΕΣΒΥΣ.

πόθεν τι δ' αὐτῇ σοῦ μέλειν δοκεῖς, τέκνον;

ΗΛΕΚΤΡΑ.

ναί· καὶ δακρύσει γ' ἀξίωμ' ἐμῶν τόκων.

ΠΡΕΣΒΥΣ.

ἴσως· πάλιν τοι μῦθον ἐς καμπὴν ἄγω.

ΗΛΕΚΤΡΑ.

ἐλθοῦσα μέντοι δῆλον ὡς ἀπόλλυται.

ΠΡΕΣΒΥΣ.

καὶ μὴν ἐπ' αὐτάς γ' εἰσίτω δόμων πύλας.

654. τόδε M. 662. πόθεν; τί δ' αὐτῇ M. πόθεν; τὶ δ' α. S. 664. ἄγε S. 666. εἰσίω M. εἰσιῶ S.

ΗΛΕΚΤΡΑ.

οὐκοῦν τραπέσθαι σμικρὸν εἰς Ἅιδου τόδε;

ΠΡΕΣΒΥΣ.

εἰ γὰρ θάνοιμι τοῦτ᾽ ἰδὼν ἐγώ ποτε!

ΗΛΕΚΤΡΑ.

πρώτιστα μὲν νῦν τῷδ᾽ ὑφήγησαι, γέρον.

ΠΡΕΣΒΥΣ.

Αἴγισθος ἔνθα νῦν θυηπολεῖ θεοῖς;

ΗΛΕΚΤΡΑ.

ἔπειτ᾽ ἀπαντῶν μητρὶ τἀπ᾽ ἐμοῦ φρασον.

ΠΡΕΣΒΥΣ.

ὥς ταῦτά γ᾽ ἐκ σοῦ στόματος εἰρῆσθαι δοκεῖν.

ΗΛΕΚΤΡΑ.

σὸν ἔργον ἤδη· πρόςθεν εἴληχας φόνου.

ΟΡΕΣΤΗΣ.

στείχοιμ᾽ ἄν, εἴ τις ἡγεμὼν γίγνοιθ᾽ ὁδοῦ.

ΠΡΕΣΒΥΣ.

καὶ μὴν ἐγὼ πέμποιμ᾽ ἂν οὐκ ἀκουσίως.

ΟΡΕΣΤΗΣ.

ὦ Ζεῦ πατρῷε καὶ τροπαῖ᾽ ἐχθρῶν ἐμῶν,
οἴκτειρέ θ᾽ ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν· —

ΗΛΕΚΤΡΑ.

οἴκτειρε δῆτα σοῦ γε φύντας ἐκγόνους.

ΟΡΕΣΤΗΣ.

Ἥρα τε, βωμῶν ἣ Μυκηναίων κρατεῖς,
νίκην δὸς ἡμῖν, εἰ δίκαι᾽ αἰτούμεθα.

ΗΛΕΚΤΡΑ.

δὸς δῆτα πατρὸς τοῖςδε τιμωρὸν δίκην.

670. θεοῖς. S. 677. οἴκτειρ᾽ ἔθ᾽ ἡμᾶς M.

ΟΡΕΣΤΗΣ.

σύ τ᾽, ὦ κάτω γῆς ἀνοσίως οἰκῶν, πάτερ,
[καὶ Γῆ τ᾽ ἄνασσα, χεῖρας ᾗ δίδωμ᾽ ἐμὰς]
ἄμυν᾽, ἄμυνε τοῖςδε φιλτάτοις τέκνοις.
νῦν πάντα νεκρὸν ἐλθὲ σύμμαχον λαβών,
οἵπερ γε σὺν σοὶ Φρύγας ἀνάλωσαν δορί,
χὤσοι στυγοῦσιν ἀνοσίους μιάστορας.
ἤκουσας, ὦ δεἰν᾽ ἐξ ἐμῆς μητρὸς παθών;

ΗΛΕΚΤΡΑ.

πάντ᾽, οἶδ᾽, ἀκούει τάδε πατήρ· στείχειν δ᾽ ἀκμή.
καὶ σοὶ προφωνῶ πρὸς τάδ᾽, Αἴγισθον θανεῖν·
ὡς, εἰ παλαισθεὶς πτῶμα θανάσιμον πεσεῖ,
τέθνηκα κἀγώ, μηδέ με ζῶσαν λέγε·
παίσω κάρα γὰρ τοὐμὸν ἀμφήκει ξίφει.
δόμων δ᾽ ἔσω βᾶσ᾽, εὐτρεπὲς ποιήσομαι.
ὡς, ἢν μὲν ἔλθῃ πύστις εὐτυχὴς σέθεν,
ὀλολύξεται πᾶν δῶμα· θνήσκοντος δέ σου,
τἀναντί᾽ ἔσται τῶνδε· ταῦτά σοι λέγω.

ΟΡΕΣΤΗΣ.

πάντ᾽ οἶδα.

ΗΛΕΚΤΡΑ.

πρὸς τάδ᾽ ἄνδρα γίγνεσθαί σε χρή.
ὑμεῖς δέ μοι, γυναῖκες, εὖ πυρσεύετε
κραυγὴν ἀγῶνος τοῦδε. φρουρήσω δ᾽ ἐγώ,
πρόχειρον ἔγχος χειρὶ βαστάζουσ᾽ ἐμῇ·
οὐ γάρ ποτ᾽ ἐχθροῖς τοῖς ἐμοῖς νικωμένη
δίκην ὑφέξω σῶμ᾽ ἐμὸν καθυβρίσαι.

685. ante 682. S. 686. ἀνήλωσαν M. 687. post 688. M.

ΧΟΡΟΣ.

Ἀταλᾶς ὑπὸ ματέρος, (στροφὴ ά.)
Ἀργείων ὀρέων ποτὲ κληδὼν
ἐν πολιαῖσι μένει φήμαις,
εὐαρμόστοις ἐν καλάμοις
Πᾶνα μοῦσαν ἡδύθροον
πνέοντ', ἀγρῶν ταμίαν,
χρυσέαν ἄρνα καλλιπλόκαμον πορεῦσαι·
πετρίνοις τ' ἐπιστὰς
κάρυξ ἰάχει βάθροις·
ἀγορὰν, ἀγορὰν, Μυκηναῖοι,
στείχετε μακαρίων ὀψόμενοι τυράννων
φάσματα, δείματα.
χοροὶ δ' Ἀτρειδᾶν ἐγέραιρον οἴκους·
Θυμέλαι δ' ἐπίτναντο χρυ- (ἀντιστρ. ά.)
σήλατοι, σελαγεῖτο δ' ἀν' ἄστυ
πῦρ ἐπιβώμιον Ἀργείων·
λωτὸς δὲ φθόγγον κελάδει
κάλλιστον, Μουσᾶν θεράπων·
μολπαὶ δ' ηὔξοντ' ἐραταὶ
χρυσέας ἀρνὸς, ὡς ἐπίλογοι Θυέστου·
κρυφίαις γὰρ εὐναῖς
πείσας ἄλοχον φίλαν
Ἀτρέως, τέρας ἐκκομίζει πρὸς
δώματα· νεόμενος δ' εἰς ἀγόρους ἀΰτει
τὰν κερόεσσαν ἔ-
χειν χρυσόμαλλον κατὰ δῶμα ποίμναν.
τότε δὴ τότε φαεν- (στροφὴ β'.)

715. φάσματ' ἀδείματα M. 723. deest ὡς M. ὡς ἐστὶ λόγος, Θ. S. 729. χρυσεόμαλλον M.

νὰς ἄστρων μετέβασ' ὁδοὺς
Ζεὺς καὶ φέγγος ἀελίου
λευκόν τε πρόσωπον ἀ-
οῦς, τὰ δ' ἕσπερα νῶτ' ἐλαύ-
νει θερμᾷ φλογὶ θεοπύρῳ,
νεφέλαι δ' ἔνυδροι πρὸς ἄρ-
κτον ξηραί τ' Ἀμμωνίδες ἕ-
δραι φθίνουσ' ἀπειρόδροσοι,
καλλίστων ὄμβρων διόθεν στερεῖσαι.
λέγεται (τὰν δὲ πί- (ἀντιστρ. β'.)
στιν σμικρὰν παρ' ἐμοί γ' ἔχει)
στρέψαι θερμὰν ἀελίου
χρυσωπὸν ἕδραν ἀλλά-
ξαντα δυστυχίᾳ βροτεί-
ῳ θνατᾶς ἕνεκεν δίκας.
φοβεροὶ δὲ βροτοῖσι μῦ-
θοι κέρδος πρὸς θεῶν θεραπεί-
αις· ὧν οὐ μνασθεῖσα πόσιν
κτείνεις, κλεινῶν συγγενέτειρ' ἀδελφῶν.
ἔα, ἔα·
φίλαι, βοῆς ἠκούσατ', ἢ δοκὼ κενὴ
ὑπῆλθέ μ', ὥστε νερτέρα βροντὴ Διός;
ἰδού· τάδ' οὐκ ἄσημα πνεύματ' αἴρεται·
δέσποιν', ἄμειψον δώματ', Ἠλέκτρα, τάδε.

ΗΛΕΚΤΡΑ.

φίλαι, τί χρῆμα; πῶς ἀγῶνος ἥκομεν;

ΧΟΡΟΣ.

οὐκ οἶδα, πλὴν ἕν, φόνιον οἰμωγὴν κλύω.

731. μεταβάλλει ὁδ. M. 738. ἄπειροι δρόσου M. 747. θεῶν deest M.

ΗΛΕΚΤΡΑ.

ἤκουσα κἀγὼ, τηλόθεν μὲν, ἀλλ᾽ ὅμως.

ΧΟΡΟΣ.

μακρὰν γὰρ ἕρπει γῆρυς, ἐμφανής γε μήν.

ΗΛΕΚΤΡΑ.

Ἀργεῖος ὁ στεναγμὸς, ἢ φίλων ἐμῶν;

ΧΟΡΟΣ.

οὐκ οἶδα· πᾶν γὰρ μίγνυται μέλος βοῆς.

ΗΛΕΚΤΡΑ.

σφαγὴν ἀϋτεῖς τήνδε μοι· τί μέλλομεν;

ΧΟΡΟΣ.

ἔπισχε, τρανῶς ὡς μάθῃς τύχας σέθεν.

ΗΛΕΚΤΡΑ.

οὐκ ἔστι· νικώμεσθα· ποῦ γὰρ ἄγγελοι;

ΧΟΡΟΣ.

ἥξουσιν· οὔτοι βασιλέα φαῦλον κτανεῖν.

ΑΓΓΕΛΟΣ.

ὦ καλλίνικοι παρθένοι Μυκηνίδες,
νικῶντ᾽ Ὀρέστην πᾶσιν ἀγγέλλω φίλοις,
Ἀγαμέμνονος δὲ φονέα κείμενον πέδῳ
Αἴγισθον· ἀλλὰ θεοῖσιν εὔχεσθαι χρεών.

ΗΛΕΚΤΡΑ.

τίς δ᾽ εἶ σύ; πῶς μοι πιστὰ σημαίνεις τάδε;

ΑΓΓΕΛΟΣ.

οὐκ οἶσθ᾽ ἀδελφοῦ μ᾽ εἰσορῶσα πρόσπολον;

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατ᾽, ἔκ τοι δείματος δυσγνωσίαν
εἶχον προσώπου· νῦν δὲ γιγνώσκω σὲ δή.
τί φής; τέθνηκε πατρὸς ἐμοῦ στυγνὸς φονεύς;

773. πατρός γ᾽ ἐμοῦ M.

ΑΓΓΕΛΟΣ.

τέθνηκε· δίς σοι ταῦθ᾽, ἃ γοῦν βούλει, λέγω.

ΧΟΡΟΣ.

ὦ θεοὶ, Δίκη τε πάνθ᾽ ὁρῶσ᾽, ἦλθές ποτε.

ΗΛΕΚΤΡΑ.

ποίῳ τρόπῳ δὲ καὶ τίνι ῥυθμῷ φόνου
κτείνει Θυέστου παῖδα, βούλομαι μαθεῖν.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ μελάθρων τῶνδ᾽ ἀπήραμεν πόδα,
εἰςβάντες ἦμεν δίκροτον εἰς ἁμαξιτὸν,
ἔνθ᾽ ἦν ὁ κλεινὸς τῶν Μυκηναίων ἄναξ.
κυρεῖ δὲ κήποις ἐν καταῤῥύτοις βεβὼς,
δρέπων τερείνης μυρσίνης κάρᾳ πλόκους·
ἰδών τ᾽ ἀϋτεῖ· χαίρετ᾽, ὦ ξένοι· τίνες;
πόθεν πορεύεσθ᾽ ἐστέ τ᾽ ἐκ ποίας χθονός;
ὁ δ᾽ εἶπ᾽ Ὀρέστης, Θεσσαλοί· πρὸς δ᾽ Ἀλφεὸν
θύσοντες ἐρχόμεσθ᾽ Ὀλυμπίῳ Διΐ.
κλύων δὲ ταῦτ᾽ Αἴγισθος, ἐννέπει τάδε·
νῦν μὲν παρ᾽ ἡμῖν χρὴ συνεστίους ἐμοὶ
θοίνῃ γενέσθαι· τυγχάνω δὲ βουθυτῶν
Νύμφαις· ἑῷοι δ᾽ ἐξαναστάντες λέχους,
ἐς ταυτὸν ἥξετ᾽. ἀλλ᾽ ἴωμεν ἐς δόμους,
(καὶ ταῦθ᾽ ἅμ᾽ ἠγόρευε, καὶ χερὸς λαβὼν
παρῆγεν ἡμᾶς,) οὐδ᾽ ἀπαρνεῖσθαι χρεών.
ἐπεὶ δ᾽ ἐν οἴκοις ἦμεν, ἐννέπει τάδε·
λουτρ᾽ ὡς τάχιστα τοῖς ξένοις τις αἰρέτω,
ὡς ἀμφὶ βωμὸν στῶσι χερνίβων πέλας.

774. ταῦθ᾽ M. 784. πόθεν πορεύεσθέ τ᾽ ἐκ π. 789. θοίνην M. 791. δόμους. 792. 3. desunt signa parentheseos.

ἀλλ' εἶπ' Ὀρέστης· ἀρτίως ἡγνίσμεθα
λουτροῖσι καθαροῖς ποταμίων ῥείθρων ἄπο.
εἰ δὲ ξένους ἀστοῖσι συνθύειν χρεὼν,
Αἴγισθ', ἕτοιμοι, κοὐκ ἀπαρνούμεσθ', ἄναξ.
τοῦτον μὲν οὖν μεθεῖσαν ἐκ μέσου λόγον·
λόγχας δὲ θέντες, δεσπότου φρουρήματα,
δμῶες, πρὸς ἔργον πάντες ἵεσαν χέρας.
οἱ μὲν σφαγεῖ' ἐνέφερον, οἱ δ' ἦρον κανᾶ,
ἄλλοι δὲ πῦρ ἀνῆπτον ἀμφί τ' ἐσχάρας
λέβητας ὤρθουν· πᾶσα δ' ἐκτύπει στέγη.
λαβὼν δὲ προχύτας μητρὸς εὐνέτης σέθεν
ἔβαλλε βωμοὺς, τοιάδ' ἐννέπων ἔπη·
Νύμφαι πετραῖαι, πολλάκις με βουθυτεῖν
καὶ τὴν κατ' οἴκους Τυνδαρίδα δάμαρτ' ἐμὴν,
πράσσοντας, ὡς νῦν, τοὺς δ' ἐμοὺς ἐχθροὺς κακῶς·
λέγων Ὀρέστην καὶ σέ. δεσπότης δ' ἐμὸς
τἀναντί' εὔχετ', οὐ γεγωνίσκων λόγους,
λαβεῖν πατρῷα δώματ'. ἐκ κανοῦ δ' ἑλὼν
Αἴγισθος ὀρθὴν σφαγίδα, μοσχίαν τρίχα
τεμὼν, ἐφ' ἁγνὸν πῦρ ἔθηκε δεξιᾷ,
κἄσφαξ' ἐπ' ὤμων μόσχον, ὡς ἦραν χεροῖν
δμῶες· λέγει δὲ σῷ κασιγνήτῳ τάδε·
ἐκ τῶν καλῶν κομποῦσι τοῖσι Θεσσαλοῖς
εἶναι τόδ', ὅστις ταῦρον ἀρταμεῖ καλῶς
ἵππους τ' ὀχμάζει. λάβε σίδηρον, ὦ ξένε,
δεῖξόν τε φήμην ἔτυμον ἀμφὶ Θεσσαλῶν.
ὁ δ' εὐκρότητον Δωρίδ' ἁρπάσας χεροῖν,
ῥίψας ἀπ' ὤμων εὐπρεπῆ πορπάματα,

804. σφάγι' ἐνέφ. M. σφαγεῖον ἔφερον S.

Πυλάδην μὲν εἵλετ' ἐν πόνοις ὑπηρέτην,
δμῶας δ' ἀπωθεῖ· καὶ λαβὼν μόσχου πόδα,
λευκὰς ἐγύμνου σάρκας, ἐκτείνων χέρα·
θᾶσσον δὲ βύρσαν ἐξέδειρεν, ἢ δρομεὺς
δισσοὺς διαύλους ἵππιος διήνυσεν,
κἀνεῖτο λαγόνας. ἱερὰ δ' ἐς χεῖρας λαβὼν
Αἴγισθος ἤθρει. καὶ λοβὸς μὲν οὐ προσῆν
σπλάγχνοις, πύλαι δὲ καὶ δοχαὶ χολῆς πέλας
κακὰς ἔφαινον τῷ σκοποῦντι προσβολάς.
χὼ μὲν σκυθράζει, δεσπότης δ' ἀνιστορεῖ·
τί χρῆμ' ἀθυμεῖς; ὦ ξέν', ὀῤῥωδῶ τινὰ
δόλον θυραῖον. ἔστι δ' ἔχθιστος βροτῶν
Ἀγαμέμνονος παῖς πολέμιός τ' ἐμοῖς δόμοις.
ὁ δ' εἶπε· φυγάδος δῆτα δειμαίνεις δόλον,
πόλεως ἀνάσσων; οὐχ, ὅπως πευστηρίαν
θοινασόμεσθα, Φθιάδ' ἀντὶ Δωρικῆς
οἴσει τις ἡμῖν κοπίδ', ἀποῤῥῆξαι χέλυν;
λαβὼν δὲ κόπτει. σπλάγχνα δ' Αἴγισθος λαβὼν
ἤθρει διαιρῶν. τοῦ δὲ νεύοντος κάτω,
ὄνυχας ἐπ' ἄκρους στὰς κασίγνητος σέθεν,
ἐς σφονδύλους ἔπαισε, νωτιαῖα δὲ
ἔῤῥηξεν ἄρθρα. πᾶν δὲ σῶμ' ἄνω κάτω
ἤσπαιρεν, ἠλάλαζε δυσθνῆσκον φόνῳ.
δμῶες δ' ἰδόντες εὐθὺς ἦξαν ἐς δόρυ,
πολλοὶ μάχεσθαι πρὸς δύ'. ἀνδρίας δ' ὕπο
ἔστησαν ἀντίπρωρα σείοντες βέλη
Πυλάδης Ὀρέστης τ'. εἶπε δ'· οὐχὶ δυσμενὴς
ἥκω πόλει τῇδ', οὐδ' ἐμοῖς ὀπάοσιν,
φονέα δὲ πατρὸς ἀντετιμωρησάμην

841. κοπίδ'; ἀποῤῥήξω. 853. φονέα τε.

τλήμων Ὀρέστης. ἀλλὰ μή με κτείνετε,
πατρὸς παλαιοὶ δμῶες. οἱ δ', ἐπεὶ λόγων
ἤκουσαν, ἔσχον κάμακας· ἐγνώσθη δ' ὕπο
γέροντος ἐν δόμοισιν ἀρχαίου τινός.
στέφουσι δ' εὐθὺς σοῦ κασιγνήτου κάρα
χαίροντες, ἀλαλάζοντες. ἔρχεται δέ σοι
κάρα 'πιδείξων, οὐχὶ Γοργόνος φέρων,
ἀλλ' ὃν στυγεῖς Αἴγισθον· αἷμα δ' αἵματος
πικρὸς δανεισμὸς ἦλθε τῷ θανόντι νῦν.

ΧΟΡΟΣ.

Θὲς εἰς χορὸν, ὦ φίλα, ἴχνος, (στροφή.)
ὡς νεβρὸς, οὐράνιον
πήδημα κουφίζουσα σὺν ἀγλαΐᾳ.
νίκας στεφανηφορίαν
κρείσσω [τῆς] παρ' Ἀλφειοῦ ῥεέθροις τελέσας
κασίγνητος σέθεν· ἀλλ' ἐπάειδε
καλλίνικον ᾠδὰν ἐμῷ χορῷ.

ΗΛΕΚΤΡΑ.

ὦ φέγγος, ὦ τέθριππον ἡλίου σέλας,
ὦ γαῖα, καὶ νὺξ, ἣν ἐδερκόμην πάρος,
νῦν ὄμμα τοὐμὸν ἀμπτυχαί τ' ἐλεύθεροι,
ἐπεὶ πατρὸς πέπτωκεν Αἴγισθος φονεύς.
φέρ', οἷα δὴ 'γὼ καὶ δόμοι κεύθουσί μου
κόμης ἀγάλματ', ἐξενέγκωμαι, φίλαι,
στέψω τ' ἀδελφοῦ κρᾶτα τοῦ νικηφόρου.

ΧΟΡΟΣ.

Σὺ μέν νυν ἀγάλματ' ἄειρε (ἀντιστρ.)
κρατί· τὸ δ' ἁμέτερον

860. κάρα γ' ἐπιδ. M. 866. στεφανοφορίαν M. στεφανηφοριᾶν S. 867. τῆς sine uncis. 877. νῦν M.

χωρήσεται Μούσαισι χόρευμα φίλον.
νῦν οἱ πάρος ἁμέτεροι
γαίας τυραννεύσουσι φίλοι βασιλῆς,
δικαίως τοὺς ἀδίκους καθελόντες.
ἀλλ' ἴτω ξύναυλος βοὰ χαρᾷ.

ΗΛΕΚΤΡΑ.

ὦ καλλίνικε, πατρὸς ἐκ νικηφόρου
γεγὼς, Ὀρέστα, τῆς ὑπ' Ἰλίῳ μάχης,
δέξαι κόμης σῆς βοστρύχῳ 'ναδήματα.
ἥκεις γὰρ οὐκ ἀχρεῖον ἔκπλεθρον δραμὼν
ἀγῶν' ἐς οἴκους, ἀλλὰ πολέμιον κτανὼν
Αἴγισθον, ὃς σὸν πατέρα κἀμὸν ὤλεσε.
σύ τ', ὦ παρασπίστ', ἀνδρὸς εὐσεβεστάτου
παίδευμα, Πυλάδη, στέφανον ἐξ ἐμῆς χερὸς
δέχου· φέρει γὰρ καὶ σὺ τῷδ' ἴσον μέρος
ἀγῶνος· ἀεὶ δ' εὐτυχεῖς φαίνοισθέ μοι.

ΟΡΕΣΤΗΣ.

θεοὺς μὲν ἡγοῦ πρῶτον, Ἠλέκτρα, τύχης
ἀρχηγέτας τῆσδ', εἶτα κἄμ' ἐπαίνεσον,
τὸν τῶν θεῶν τε τῆς τύχης θ' ὑπηρέτην.
ἥκω γὰρ οὐ λόγοισιν, ἀλλ' ἔργοις, κτανὼν
Αἴγισθον· ὡς δέ τῳ σάφ' εἰδέναι τάδε
προθῶμεν, αὐτὸν τὸν θανόντα σοι φέρω,
ὃν, εἴτε χρῄζεις, θηρσὶν ἁρπαγὴν πρόθες,
ἢ σκῦλον οἰωνοῖσιν, αἰθέρος τέκνοις,
πήξασ' ἔρεισον σκόλοπι· σὸς γὰρ ἔστι νῦν
δοῦλος, πάροιθε δεσπότης κεκλημένος.

879. Μούσαισιν M. 881. τυραννεύσουσιν φ. βασιλῆες M. 882. τούσδ' ἀδ. 886. βοστρύχων ἀναδ. M. βοστρύχων ἀγάλματα S. 898. τῷ M. 899. προσθῶμεν M.

ΗΛΕΚΤΡΑ.

αἰσχύνομαι μὲν, βούλομαι δ' εἰπεῖν ὅμως.

ΟΡΕΣΤΗΣ.

τί χρῆμα; λέξον, ὡς φόβου γ' ἔξωθεν εἶ.

ΗΛΕΚΤΡΑ.

νεκροὺς ὑβρίζειν, μή μέ τις φθόνῳ βάλῃ.

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστιν οὐδεὶς, ὅςτις ἂν μέμψαιτό σοι.

ΗΛΕΚΤΡΑ.

δυςάρεστος ἡμῶν καὶ φιλόψογος πόλις.

ΟΡΕΣΤΗΣ.

λέγ', εἴ τι χρῄζεις, σύγγον'· ἀσπόνδοισι γὰρ
νόμοισιν ἔχθραν τῷδε συμβεβλήκαμεν.

ΗΛΕΚΤΡΑ.

εἶεν· τίν' ἀρχὴν πρῶτά σ' ἐξείπω κακῶν;
ποίας τελευτάς; τίνα μέσον τάξω λόγον;
καὶ μὴν δι' ὄρθρων γ' οὔποτ' ἐξελίμπανον
θρυλλοῦσ', ἅ γ' εἰπεῖν ἤθελον κατ' ὄμμα σὸν,
εἰ δὴ γενοίμην δειμάτων ἐλευθέρα
τῶν πρόςθε· νῦν οὖν ἐσμέν· ἀποδώσω δέ σοι
ἐκεῖν', ἅ σε ζῶντ' ἤθελον λέξαι κακά.
ἀπώλεσάς με κὠρφανὴν φίλου πατρὸς
καὶ τόνδ' ἔθηκας, οὐδὲν ἠδικημένος,
κἄγημας αἰσχρῶς μητέρ', ἄνδρα τ' ἔκτανες
στρατηλατοῦνθ' Ἕλλησιν, οὐκ ἐλθὼν Φρύγας.
ἐς τοῦτο δ' ἦλθες ἀμαθίας, ὥςτ' ἤλπισας,
ὡς ἐς σὲ μὲν δὴ μητέρ' οὐχ ἕξεις κακὴν
γήμας, ἐμοῦ δὲ πατρὸς ἠδίκεις λέχη.
ἴστω δ', ὅταν τις, διολέσας δάμαρτά του
κρυπταῖσιν εὐναῖς, εἶτ' ἀναγκασθῇ λαβεῖν,

δύστηνός ἐστιν, εἰ δοκεῖ τὸ σωφρονεῖν
ἐκεῖ μὲν αὐτὴν οὐκ ἔχειν, παρ' οἷ δ' ἔχειν.
ἄλγιστα δ' ᾤκεις, οὐ δοκῶν οἰκεῖν κακῶς·
ᾔδησθα γὰρ δῆτ' ἀνόσιον γήμας γάμον,
μήτηρ δέ σ' ἄνδρα δυςσεβῆ κεκτημένη.
ἄμφω πονηρὼ δ' ὄντ' ἀφαιρεῖσθον τύχην,
κείνη τε τὴν σὴν, καὶ σὺ τοὐκείνης κακόν.
πᾶσιν δ' ἐν Ἀργείοισιν ἤκουες τάδε·
ὁ τῆς γυναικὸς, οὐχὶ τἀνδρὸς ἡ γυνή.
καίτοι τόδ' αἰσχρὸν, προστατεῖν γε δωμάτων
γυναῖκα, μὴ τὸν ἄνδρα· κἀκείνους στυγῶ
τοὺς παῖδας, ὅςτις τοῦ μὲν ἄρσενος πατρὸς
οὐκ ὠνόμασται, τῆς δὲ μητρὸς ἐν πόλει.
ἐπίσημα γὰρ γήμαντι καὶ μείζω λέχη,
τἀνδρὸς μὲν οὐδεὶς, τῶν δὲ θηλειῶν λόγος.
ὃ δ' ἠπάτα σε πλεῖστον οὐκ ἐγνωκότα,
ηὔχεις τις εἶναι, τοῖσι χρήμασι σθένων·
τὰ δ' οὐδὲν, εἰ μὴ βραχὺν ὁμιλῆσαι χρόνον.
ἡ γὰρ φύσις βέβαιος, οὐ τὰ χρήματα.
ἡ μὲν γὰρ ἀεὶ παραμένουσ' αἴρει κάρα·
ὁ δ' ὄλβος ἄδικος καὶ μετὰ σκαιῶν ξυνὼν,
ἐξέπτατ' οἴκων, σμικρὸν ἀνθήσας χρόνον.
ἃ δ' ἐς γυναῖκας, — παρθένῳ γὰρ οὐ καλὸν
λέγειν, — σιωπῶ, γνωρίμως δ' αἰνίξομαι.
ὕβριζες, ὡς δὴ βασιλικοὺς ἔχων δόμους,
κάλλει τ' ἀραρώς. ἀλλ' ἐμοί γ' εἴη πόσις
μὴ παρθενωπὸς, ἀλλὰ τἀνδρείου τρόπου.
τὰ γὰρ τέκν' αὐτῶν Ἄρεος ἐκκρεμάννυται,

929. οἰκεῖς M. 930. ᾔδεισθα M. 946. αἴρ. κακά. 952. ἀραρὼν M.

τὰ δ' εὐπρεπῆ δὴ κόσμος ἐν χοροῖς μόνον.
ἔῤῥ', οὐδὲν εἰδὼς, ὧν, ἐφευρεθεὶς χρόνῳ,
δίκην δέδωκας, ὧδέ τις κακοῦργος ὤν.
μή μοι, τὸ πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς,
νικᾷν δοκείτω τὴν δίκην, πρὶν ἂν πέλας
γραμμῆς ἵκηται, καὶ τέλος κάμψῃ βίου.

ΧΟΡΟΣ.

ἔπραξε δεινά· δεινὰ δ' ἀντέδωκέ σοι
καὶ τῷδ'. ἔχει γὰρ ἡ Δίκη μέγα σθένος.

ΟΡΕΣΤΗΣ.

εἶεν· κομίζειν τοῦδε σῶμ' ἔσω χρεὼν
σκότῳ τε δοῦναι, δμῶες, ὡς, ὅταν μόλῃ
μήτηρ, σφαγῆς πάροιθε μὴ 'σίδῃ νεκρόν.

ΗΛΕΚΤΡΑ.

ἐπίσχες· ἐμβάλωμεν εἰς ἄλλον λόγον.

ΟΡΕΣΤΗΣ.

τί δ'; ἐκ Μυκηνῶν μῶν βοηδρόμους ὁρᾷς;

ΗΛΕΚΤΡΑ.

οὐκ, ἀλλὰ τὴν τεκοῦσαν, ἥ μ' ἐγείνατο.

ΟΡΕΣΤΗΣ.

καλῶς ἄρ' ἄρκυν ἐς μέσην πορεύεται.

ΗΛΕΚΤΡΑ.

καὶ μὴν ὄχοις γε καὶ στολῇ λαμπρύνεται.

ΟΡΕΣΤΗΣ.

τί δῆτα δρῶμεν; μητέρ' ἦ φονεύσομεν;

ΗΛΕΚΤΡΑ.

μῶν σ' οἶκτος εἷλε, μητρὸς ὡς εἶδες δέμας;

963. εἴσω χρ. M. 964. σκότῳ γε δ. M. 965. μ' εἰσίδῃ M. 967. ὁρῶ M. 970. ὄχοις τε S.

ΟΡΕΣΤΗΣ.

(φεῦ.) πῶς γὰρ κτάνω νιν, ἥ μ' ἔθρεψε κἄτε-
κεν;

ΗΛΕΚΤΡΑ.

ὥςπερ πατέρα σὸν ἥδε κἀμὸν ὤλεσεν.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβε, πολλήν γ' ἀμαθίαν ἐθέσπισας, —

ΗΛΕΚΤΡΑ.

ὅπου δ' Ἀπόλλων σκαιὸς ᾖ, τίνες σοφοί;

ΟΡΕΣΤΗΣ.

ὅςτις μ' ἔχρησας μητέρ', ἣν οὐ χρῆν, κτανεῖν.

ΗΛΕΚΤΡΑ.

βλάπτει δὲ δὴ τί πατρὶ τιμωρῶν σέθεν;

ΟΡΕΣΤΗΣ.

μητροκτόνος νῦν φεύξομαι, τόθ' ἁγνὸς ὤν.

ΗΛΕΚΤΡΑ.

καὶ, μή γ' ἀμύνων πατρὶ, δυςσεβὴς ἔσει.

ΟΡΕΣΤΗΣ.

ἐγὼ δὲ μητρὶ τοῦ φόνου δώσω δίκας.

ΗΛΕΚΤΡΑ.

τῷ δ' αὖ πατρῴαν διαμεθεὶς τιμωρίαν;

ΟΡΕΣΤΗΣ.

ἆρ' αὔτ' ἀλάστωρ εἶπ' ἀπεικασθεὶς θεῷ;

ΗΛΕΚΤΡΑ.

ἱερὸν καθίζων τρίποδ'; ἐγὼ μὲν οὐ δοκῶ.

ΟΡΕΣΤΗΣ.

οὐδ' ἂν πιθοίμην εὖ μεμαντεῦσθαι τάδε.

980. καὶ μήν γ' ἀμ. M. 981. μητρός M. 982. τῷ δαὶ-διαμεθίης M. 985. τόδε.

ΗΛΕΚΤΡΑ.

οὐ μὴ κακισθεὶς εἰς ἀνανδρίαν πέσῃς.

ΟΡΕΣΤΗΣ.

ἀλλ' ἦ τὸν αὐτὸν τῇδ' ὑποστήσω δόλον;

ΗΛΕΚΤΡΑ.

ᾧ καὶ πόσιν καθεῖλες Αἴγισθον κτανών.

ΟΡΕΣΤΗΣ.

εἴσειμι· δεινοῦ δ' ἄρχομαι προβλήματος.
καὶ δεινὰ δράσω γ'· εἰ θεοῖς δοκεῖ τάδε,
ἔστω· πικρὸν δὲ χἡδὺ τἀγώνισμά μοι.

ΧΟΡΟΣ.

βασίλεια γύναι χθονὸς Ἀργείας,
παῖ Τυνδαρέου,
καὶ τοῖν ἀγαθοῖν ξύγγονε κούροιν
Διὸς, οἳ φλογερὰν αἰθέρ' ἐν ἄστροις
ναίουσι, βροτῶν ἐν ἁλὸς ῥοθίοις
τιμὰς σωτῆρας ἔχοντες·
χαῖρε, σεβίζω σ' ἴσα καὶ μάκαρας
πλούτου μεγάλης τ' εὐδαιμονίας.
τὰς σὰς δὲ τύχας θεραπεύεσθαι
καιρὸς, * ὦ βασίλεια.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔκβητ' ἀπήνης, Τρῳάδες, χειρὸς δ' ἐμῆς
λάβεσθ', ἵν' ἔξω τοῦδ' ὄχου στήσω πόδα.
σκύλοισι μὲν γὰρ θεῶν κεκόσμηνται δόμοι
Φρυγίοις, ἐγὼ δὲ τάσδε, Τρῳάδος χθονὸς
ἐξαίρετ', ἀντὶ παιδὸς, ἣν ἀπώλεσα,
σμικρὸν γέρας, καλὸν δὲ κέκτημαι δόμοις.

987. ἄλλ' ἤ. 992. ἰὼ· βασ.

ΗΛΕΚΤΡΑ.

οὔκουν ἐγὼ, — δούλη γὰρ ἐκβεβλημένη
δόμων πατρῴων δυστυχεῖς οἰκῶ δόμους —
μῆτερ, λάβωμαι μακαρίας τῆς σῆς χερός;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δοῦλαι πάρεισιν αἵδε, μὴ σύ μοι πόνει.

ΗΛΕΚΤΡΑ.

τί δ'; αἰχμάλωτόν τοι μ' ἀπῴκισας δόμων.
ᾑρημένων δὲ δωμάτων ᾑρήμεθα,
ὡς αἵδε πατρὸς ὀρφαναὶ λελειμμέναι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τοιαῦτα μέντοι σὸς πατὴρ βουλεύματα,
ἐς οὓς ἐχρῆν ἥκιστ', ἐβούλευσεν φίλων.
λέξω δὲ, καίτοι δόξ' ὅταν λάβῃ κακὴ
γυναῖκα, γλώσσῃ πικρότης ἔνεστί τις,
ὡς μὲν παρ' ἡμῖν, οὐ καλῶς, τὸ πρᾶγμα δὲ
μαθόντας, ἢν μὲν ἀξίως μισεῖν ἔχῃ,
στυγεῖν δίκαιον· εἰ δὲ μὴ, τί δεῖ στυγεῖν;
ἡμᾶς δ' ἔδωκε Τυνδάρεως τῷ σῷ πατρὶ,
οὐχ ὥστε θνήσκειν, οὐδ' ἃ γειναίμην ἐγώ.
κεῖνος δὲ παῖδα τὴν ἐμὴν, Ἀχιλλέως
λέκτροισι πείσας, ᾤχετ' ἐκ δόμων ἄγων
πρυμνοῦχον Αὖλιν· ἔνθ' ὑπερτείνας πυρᾶς,
λευκὴν διήμησ' Ἰφιγόνης παρηΐδα.
κεἰ μὲν πόλεως ἅλωσιν ἐξιώμενος,
ἢ δῶμ' ὀνήσων τἄλλα τ' ἐκσώζων τέκνα,
ἔκτεινε πολλῶν μίαν ὕπερ, σύγγνωστ' ἂν ἦν·

1011. δοῦναι πάρ. M. 1012. τί δ' αἰχμ. — δόμων; M. 1018. τις. M. 1020. μαθόντα σ', ἢν — ἔχεις M. 1023. ἃ 'γεινάμην M. 1026. ὑπ. πύλας M.

νῦν δ', οὕνεχ' Ἑλένη μάργος ἦν, ὅ τ' αὖ λαβὼν
ἄλοχον κολάζειν προδότιν οὐκ ἠπίστατο,
τούτων ἕκατι παῖδ' ἐμὴν διώλεσεν.
ἐπὶ τοῖςδε τοίνυν, καίπερ ἠδικημένη,
οὐκ ἠγριούμην, οὐδ' ἂν ἔκτανον πόσιν·
ἀλλ' ἦλθ' ἔχων μοι Μαινάδ' ἔνθεον κόρην,
λέκτροις τ' ἐπειςέφρησε, καὶ νύμφα δύο
ἐν τοῖσιν αὐτοῖς δώμασιν κατεῖχ' ὁμοῦ.
μῶρον μὲν οὖν γυναῖκες, οὐκ ἄλλως λέγω·
ὅταν δ', ὑπόντος τοῦδ', ἁμαρτάνῃ πόσις,
τἄνδον παρώσας λέκτρα, μιμεῖσθαι θέλει
γυνὴ τὸν ἄνδρα χἄτερον κτᾶσθαι φίλον.
κἄπειτ' ἐν ἡμῖν ὁ ψόγος λαμπρύνεται,
οἱ δ' αἴτιοι τῶνδ' οὐ κλύουσ' ἄνδρες κακῶς.
εἰ δ' ἐκ δόμων ἥρπαστο Μενέλεως λάθρα,
κτανεῖν μ' Ὀρέστην χρῆν, κασιγνήτης πόσιν
Μενέλαον ὡς σώσαιμι; σὸς δὲ πῶς πατὴρ
ἠνέσχετ' ἂν ταῦτ'; εἶτα τὸν μὲν οὐ θανεῖν
κτείνοντα χρῆν τἄμ', ἐμὲ δὲ πρὸς κείνου πα-
θεῖν;
ἔκτειν', ἐτρέφθην, ᾗπερ ἦν πορεύσιμον,
πρὸς τοὺς ἐκείνῳ πολεμίους. φίλων γὰρ ἂν
τίς ἂν πατρός σου φόνον ἐκοινώνησέ μοι;
λέγ', εἴ τι χρῄζεις, κἀντίθες παῤῥησίᾳ,
ὅπως τέθνηκε σὸς πατὴρ οὐκ ἐνδίκως.

ΗΛΕΚΤΡΑ.

δίκαι' ἔλεξας· ἡ δίκη δ' αἰσχρῶς ἔχει·
γυναῖκα γὰρ χρῆν πάντα συγχωρεῖν πόσει,

1031. Ἑλένης M. 1032. ἠπίστατο. M. 1037. δύω M.
1038. κατεῖχομεν M. 1046. κτ. δ' Ὀρ. M.

ἥτις φρενήρης. εἰ δὲ μὴ δοκεῖ τάδε,
οὐδ' εἰς ἀριθμὸν τῶν ἐμῶν ἥκεις λόγων.
μέμνησο, μῆτερ, οὓς ἔλεξας ὑστάτους
λόγους, διδοῦσα πρὸς σέ μοι παῤῥησίαν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ νῦν γε φημὶ, κοὐκ ἀπαρνοῦμαι, τέκνον.

ΗΛΕΚΤΡΑ.

ἆρα κλύουσα, μῆτερ, εἶτ' ἔρξεις κακῶς;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἔστι, τῇ σῇ δ' ἡδὺ προςθήσω φρενί.

ΗΛΕΚΤΡΑ.

λέγοιμ' ἂν· ἀρχὴ δ' ἥδε μοι προοιμίου.
εἶθ' εἶχες, ὦ τεκοῦσα, βελτίους φρένας!
τὸ μὲν γὰρ εἶδος αἶνον ἄξιον φέρει
Ἑλένης τε καὶ σοῦ, δύο δ' ἔφυτε συγγόνω,
ἄμφω ματαίω Κάστορός τ' οὐκ ἀξίω.
ἡ μὲν γὰρ ἁρπασθεῖσ' ἑκοῦσ' ἀπώχετο·
σὺ δ' ἄνδρ' ἄριστον Ἑλλάδος διώλεσας,
σκῆψιν προτείνουσ', ὡς ὑπὲρ τέκνου πόσιν
ἔκτεινας· οὐ γὰρ, ὡς ἔγωγ', ἴσασιν εὖ,
ἥ, τῆς θυγατρὸς πρὶν κεκυρῶσθαι σφαγὰς,
νέον τ' ἀπ' οἴκων ἀνδρὸς ἐξωρμημένου,
ξανθὸν κατόπτρῳ πλόκαμον ἐξήσκεις κόμης.
γυνὴ δ' ἀπόντος ἀνδρὸς ἥτις ἐκ δόμων
ἐς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν.
οὐδὲν γὰρ αὐτὴν δεῖ θύραισιν εὐπρεπὲς
φαίνειν πρόςωπον, ἤν τι μὴ ζητῇ κακόν.
μόνην δὲ πασῶν οἶδ' ἐγώ σ' Ἑλληνίδων,

1058. λόγων, 1069. ἀπώλετο M.

εἰ μὲν τὰ Τρῷ' ἦν εὐτυχῆ, κεχαρμένην,
εἰ δ' ἧσσον' εἴη, συννεφοῦσαν ὄμματα,
'Αγαμέμνον' οὐ χρῄζουσαν ἐκ Τροίας μολεῖν.
καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι·
ἄνδρ' εἶχες οὐ κακίον' Αἰγίσθου πόσιν,
ὃν Ἑλλὰς αὑτῆς εἵλετο στρατηλάτην·
Ἑλένης δ' ἀδελφῆς τοιάδ' ἐξειργασμένης,
ἐξῆν κλέος σοι μέγα λαβεῖν· τὰ γὰρ κακὰ
παράδειγμα τοῖς ἐσθλοῖσιν εἴσοψίν τ' ἔχει.
εἰ δ', ὡς λέγεις, σὴν θυγατέρ' ἔκτεινεν πατὴρ,
ἐγὼ τί σ' ἠδίκησ' ἐμός τε σύγγονος;
πῶς οὐ, πόσιν κτείνασα, πατρῴους δόμους
ἡμῖν προσῆψας, ἀλλ' ἀπηνέγκω λέχη
τἀλλότρια, μισθοῦ τοὺς γάμους ὠνουμένη;
κοὔτ' ἀντιφεύγει παιδὸς ἀντὶ σοῦ πόσις,
οὔτ' ἀντ' ἐμοῦ τέθνηκε, δὶς τόσως ἐμὲ
κτείνας ἀδελφῆς ζῶσαν· εἰ δ' ἀμείψεται
φόνον δικάζων φόνος, ἀποκτενῶ σ' ἐγὼ,
καὶ παῖς 'Ορέστης, πατρὶ τιμωρούμενοι·
εἰ γὰρ δίκαι' ἐκεῖνα, καὶ τάδ' ἔνδικα.
ὅστις δὲ, πλοῦτον ἢ 'υγένειαν εἰσιδὼν,
γαμεῖ πονηρὰν, μῶρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρον' ἐν δόμοις λέχη.

ΧΟΡΟΣ.

τύχη γυναικῶν ἐς γάμους· τὰ μὲν γὰρ εὖ,
τὰ δ' οὐ καλῶς πίπτοντα δέρκομαι βροτῶν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ παῖ, πέφυκας πατέρα σὸν στέργειν ἀεί.
ἔστιν δὲ καὶ τόδ'· οἱ μέν εἰσὶν ἀρσένων,

1081. εἰ μὲν πατρῷ' ἦν εὐτ. M.

οἱ δ' αὖ φιλοῦσι μητέρας μᾶλλον πατρός.
συγγνώσομαί σοι· καὶ γὰρ οὐχ οὕτως ἄγαν
χαίρω τι, τέκνον, τοῖς δεδραμένοις ἐμοί.
σὺ δ' ὧδ' ἄλουτος καὶ δυσείματος χρόα
λεχὼ, νεογνῶν ἐκ τόκων πεπαυμένη;
οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων!
ὡς μᾶλλον, ἢ χρῆν, ἤλασ' εἰς ὀργὴν πόσιν!

ΗΛΕΚΤΡΑ.

ὀψὲ στενάζεις, ἡνίκ' οὐκ ἔχεις ἄκη.
πατὴρ μὲν οὖν τέθνηκε· τὸν δ' ἔξω χθονὸς
πῶς οὐ κομίζει παῖδ' ἀλητεύοντα σόν;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δέδοικα· τοὐμὸν δ', οὐχὶ τοὐκείνου, σκοπῶ.
πατρὸς γὰρ, ὡς λέγουσι, θυμοῦται φόνῳ.

ΗΛΕΚΤΡΑ.

τί δαὶ πόσιν σὸν ἄγριον εἰς ἡμᾶς ἔχεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τρόποι τοιοῦτοι· καὶ σὺ δ' αὐθάδης ἔφυς.

ΗΛΕΚΤΡΑ.

ἀλγῶ γάρ· ἀλλὰ παύσομαι θυμουμένη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ μὴν ἐκεῖνος οὐκ ἔτ' ἔσται σοι βαρύς.

ΗΛΕΚΤΡΑ.

φρονεῖ μέγ'· ἐν γὰρ τοῖς ἐμοῖς ναίει δόμοις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὁρᾷς ἂν αὖ σὺ ζωπυρεῖς νείκη νέα;

ΗΛΕΚΤΡΑ.

σιγῶ· δέδοικα γάρ νιν, ὡς δέδοικ' ἐγώ.

1125. ὁρᾷς, ἃ νῦν σὺ ζ. M.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

παῦσαι λόγων τῶνδ᾽· ἀλλὰ τί μ᾽ ἐκάλεις, τέ-
κνον;

ΗΛΕΚΤΡΑ.

ἤκουσας, οἶμαι, τῶν ἐμῶν λοχευμάτων·
τούτων ὑπέρ μοι θῦσον, οὐ γὰρ οἶδ᾽ ἐγὼ,
δεκάτῃ σελήνῃ παιδὸς ὡς νομίζεται·
τρίβων γὰρ οὐκ εἴμ᾽, ἄτοκος οὖσ᾽ ἐν τῷ πάρος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἄλλης τόδ᾽ ἔργον, ἥ σ᾽ ἔλυσεν ἐκ τόκων.

ΗΛΕΚΤΡΑ.

αὐτὴ ᾽λόχευον κἄτεκον μόνη βρέφος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὕτως ἀγείτον᾽ οἶκον ἵδρυται φίλων;

ΗΛΕΚΤΡΑ.

πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ᾽ εἶμι, παιδὸς ἀριθμὸν ὡς τελεσφόρον
θύσω θεοῖσι· σοὶ δ᾽ ὅταν πράξω χάριν
τήνδ᾽, εἶμ᾽ ἐπ᾽ ἀγρὸν, οὗ πόσις θυηπολεῖ
Νύμφαισιν. ἀλλὰ τούσδ᾽ ὄχους, ὀπάονες,
φάτναις ἄγοντες πρόσθεθ᾽. ἡνίκ᾽ ἂν δέ με
δοκῆτε θυσίας τῆσδ᾽ ἀπηλλάχθαι θεοῖς,
πάρεστε· δεῖ γὰρ καὶ πόσει δοῦναι χάριν.

ΗΛΕΚΤΡΑ.

χώρει πένητας ἐς δόμους· φρούρει δέ μοι,
μή σ᾽ αἰθαλώσῃ πολύκαπνον στέγος πέπλους·
θύσεις γὰρ, οἷα χρή σε δαίμοσιν θύειν.

1129. μου θ. M. 1130. δεκάτη σελήνη S. 1134. ἀγείτων οἶκος M. Ib. ἵδρυσαι S.

κανοῦν δ᾽ ἐνῆρκται, καὶ τεθηγμένη σφαγὶς,
ἥπερ καθεῖλε ταῦρον, οὗ πέλας πεσεῖ
πληγεῖσα· νυμφεύσει δὲ κἀν Ἅιδου δόμοις,
ᾧπερ ξυνηῦδες ἐν φάει· τόσην δ᾽ ἐγὼ
δώσω χάριν σοι· σὺ δέ γ᾽ ἐμοὶ δίκην πατρός.

ΧΟΡΟΣ.

Ἀμοιβαὶ κακῶν· μετάτροποι πνέου- (στροφή)
σιν αὖραι δόμων. τότε μὲν ἐν λουτροῖς
ἔπεσεν ἐμὸς, ἐμὸς ἀρχέτας,
ἰάκχησε δὲ στέγα, λάϊνοί
τε θριγκοὶ δόμων, τάδ᾽ ἐνέποντος· ὦ
σχετλία, τί με, γύναι, φονεύεις, φίλαν
πατρίδα δεκέτεσιν σποραῖ-
σιν ἐλθόντ᾽ ἐμάν;
παλίῤῥους δὲ τάνδ᾽ ὑπάγεται δίκα (ἀντιστρ.)
διαδρόμου λέχους, μέλεον ἃ πόσιν
χρόνιον ἱκόμενον εἰς οἴκους
Κυκλώπειά τ᾽ οὐράνια τείχε᾽ ὀ-
ξυθήκτῳ βέλει κατέκαν᾽ αὐτόχειρ,
πέλεκυν ἐν χεροῖν λαβοῦσα. τλάμων
πόσις, ὅτι ποτὲ τὰν τάλαι-
ναν ἔσχεν κακόν.
ὀρεία τις ὣς λέαιν᾽ ὀργάδων (ἐπῳδ.)
δρύοχα νεμομένα, τάδε κατήνυσεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τέκνα, πρὸς θεῶν μὴ κτάνητε μητέρα.

1152. ἐν om. M. 1154. ἰάχησε M. 1155. ἐννέποντος M. 1155. 6. ὦ σχέτλια S. 1157. δεκ. ἐν σπορ. 1160. λέχους μελέαν· ἅ. 1163. βέλει ἔκανεν M. 1167. ὀρεί᾽ ἅτις M.

ΧΟΡΟΣ.

κλύεις ὑπώροφον βοάν;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἰώ μοί μοι!

ΧΟΡΟΣ.

ᾤμωξα κἀγὼ πρὸς τέκνων χειρουμένης.
νέμει τοι δίκαν θεὸς, ὅταν τύχῃ·
σχέτλια μὲν ἔπαθες, ἀνόσια δ' εἰργάσω,
τάλαιν', εὐνέταν.
ἀλλ' οἵδε μητρὸς νεοφόνοις ἐν αἵμασιν
πεφυρμένοι βαίνουσιν ἐξ οἴκων πόδα,
τρόπαια δείγματ' ἀθλίων προσφθεγμάτων.
οὐκ ἔστιν οὐδεὶς οἶκος ἀθλιώτερος
τῶν Ταντάλειων οὐδ' ἔφυ ποτ' ἐκγόνων.

ΟΡΕΣΤΗΣ.

Ἰὼ Γᾶ καὶ Ζεῦ,
πανδερκέτα βροτῶν, ἴδετε
τάδ' ἔργα φόνια μυσαρὰ, δίγονα σώματ' ἐν
χθονὶ κείμενα, πλαγᾷ
χερὸς [ὑπ'] ἐμᾶς, ἄποιν' ἐμῶν πημάτων.

ΗΛΕΚΤΡΑ.

δακρύτ' ἄγαν, ὦ σύγγον', αἰτία δ' ἐγώ.
διὰ πυρὸς ἔμολον ἁ τάλαινα ματρὶ τᾷδ',
ἅ μ' ἔτικτε κούραν.
ἰὼ τύχας, τᾶς σᾶς τύχας, μᾶτερ τεκοῦσ',
ἄλαστα, μέλεα καὶ πέρα
[γε] παθοῦσα σῶν τέκνων ὕπαί.

1182. βροτῶν πανδερκέτα, ἴδετ' ἴδετε S. 1185. ὑπ' sine uncis. 1189. τᾶς om. M. Ib. ἰὼ τεκοῦσα μᾶτερ. S. 1191. γε sine uncis M. παθοῦσά γε S.

πατρὸς δ' ἔτισας φόνον δικαίως.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβ' ἀνύμνησας δίκαν,
ἄφατα φανερὰ δ' ἐξέπραξας
ἄχεα, φόνια δ' ὤπασας
λέχε' ἀπὸ γᾶς Ἑλλανίδος.
τίνα δ' ἑτέραν μόλω πόλιν; τίς δὲ ξένος,
τίς εὐσεβὴς ἐμὸν κάρα προσόψεται
ματέρα κτανόντος;

ΗΛΕΚΤΡΑ.

ἰώ! ἰώ μοι! ποῖ δ' ἐγώ; τίν' εἰς χορόν,
τίνα γάμον εἶμι; τίς πόσις με δέξεται
νυμφικὰς ἐς εὐνάς;

ΟΡΕΣΤΗΣ.

πάλιν, πάλιν φρόνημα σὸν
μετεστάθη πρὸς αὖραν·
φρονεῖς γὰρ ὅσια νῦν, τότ' οὐ φρονοῦσα γ' εὖ,
δεινὰ δ' εἰργάσω,
φίλα, κασίγνητον οὐ θέλοντα.
κατεῖδες, οἷον ἁ τάλαιν' ἑῶν πέπλων
ἔβαλεν, ἔδειξε μαστὸν ἐν φοναῖσιν —
ἰώ! ἰώ μοι! — πρὸς πέδῳ
τιθεῖσα γόνιμα μέλεα; τακόμαν δ' ἐγώ.

ΗΛΕΚΤΡΑ.

σάφ' οἶδα, δι' ὀδύνας ἔβας,

1193. ἰὼ Φοῖβ' M. S. sqq. signis lacunae S. 1195. φοίνια M. 1196. γᾶς τᾶς Ἑλλ. 1197. τίς ξένος; 1200. ἰώ μοί μοι M. 1207. κασ. οὐκ ἐθέλοντα M. 1209. φοναῖς M. 1210. ἰώ μοί μοι M. 1211. τὰν κόμαν δ' ἐγώ M.

ἰήϊον κλύων γόον
ματρὸς, ἅ σ᾽ ἔτικτεν.

ΟΡΕΣΤΗΣ.

βοὰν δ᾽ ἔλασκε τάνδε, πρὸς γένυν ἐμὰν
τιθεῖσα χεῖρας· τέκος ἐμὸν, λιταίνω·
παρηΐδων τέ γ᾽ ἐξ ἐμᾶν
ἐκρήμναθ᾽, ὥστε χέρας ἐμὰς λιπεῖν βέλος.

ΗΛΕΚΤΡΑ.

τάλαινα! πῶς ἔτλας φόνον
δι᾽ ὀμμάτων ἰδεῖν σέθεν
ματρὸς ἐκπνεούσας.

ΟΡΕΣΤΗΣ.

ἐγὼ μὲν ἐπιβαλὼν φάρη κόραις ἐμαῖ-
σι φασγάνῳ κατηρξάμαν
ματέρος ἔσω δέρας μεθείς.

ΗΛΕΚΤΡΑ.

ἐγὼ δέ γ᾽ ἐπεκέλευσά σοι,
ξίφους τ᾽ ἐφηψάμαν ἅμα.

ΧΟΡΟΣ.

δεινότατον παθέων ἔρεξας.
λαβοῦ, κάλυπτε μέλεα ματέρος πέπλοις,
καθάρμοσον σφαγάς·
φονέας ἔτικτες ἆρα σοι.

ΗΛΕΚΤΡΑ.

ἰδοὺ, φίλαν τε κοὐ φίλαν
φάρεα σέ γ᾽ ἀμφιβάλλομεν,

1216. χέρας M. 1217. παρηΐδων τ᾽ ἐξ ἐμᾶν M. παρήδων τ᾽ ἐξ ἐμᾶν S. 1222. ἐμαῖς S. 1226. ἐγὼ δ᾽ ἐπεκέλ. M. ἔγωγε δ᾽ ἐπεκ. S. 1227. Electrae contin. S. 1228. sqq. Oresti tribuit S. 1229. καὶ καθάρμὶ S. 1230. ἄρα M. 1231. φίλαι τε κοὐ φίλαι.

τέρμα κακῶν μεγάλων δόμοισιν.

ΧΟΡΟΣ.

ἀλλ᾽ οἵδε δόμων ὕπερ ἀκροτάτων
φαίνουσι τινὲς δαίμονες, ἢ θεῶν
τῶν οὐρανίων· οὐ γὰρ θνητῶν γ᾽
ἥδε κέλευθος· τί ποτ᾽ εἰς φανερὰν
ὄψιν βαίνουσι βροτοῖσιν;

ΔΙΟΣΚΟΥΡΟΙ.

Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι δέ σε
καλοῦσι μητρὸς σύγγονοι Διόσκοροι,
Κάστωρ κασίγνητός τε Πολυδεύκης ὅδε.
δεινὸν δὲ ναυσὶν ἀρτίως πόντου σάλον
παύσαντ᾽ ἀφίγμεθ᾽ Ἄργος, ὡς ἐσείδομεν
σφαγὰς ἀδελφῆς τῆσδε μητέρος δὲ σῆς.
δίκαια μέν νυν ἥδ᾽ ἔχει· σὺ δ᾽ οὐχὶ δρᾷς,
Φοῖβός τε, Φοῖβος — ἀλλ᾽, ἄναξ γάρ ἐστ᾽ ἐμὸς,
σιγῶ· σοφὸς δ᾽ ὢν, οὐκ ἔχρησέ σοι σοφά.
αἰνεῖν δ᾽ ἀνάγκη ταῦτα. τἀντεῦθεν δὲ χρὴ
πράσσειν, ἃ Μοῖρα Ζεύς τ᾽ ἔκρανε σοῦ πέρι.
Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον ἐς δόμους,
σὺ δ᾽ Ἄργος ἔκλιπ᾽· οὐ γάρ ἐστι σοι πόλιν
τήνδ᾽ ἐμβατεύειν, μητέρα κτείναντα σήν.
δειναὶ δὲ Κῆρες, αἱ κυνώπιδες θεαὶ,
τροχηλατήσουσ᾽ ἐμμανῆ πλανώμενον.
ἐλθὼν δ᾽ Ἀθήνας, Παλλάδος σεμνὸν βρέτας
πρόσπτυξον· εἵρξει γάρ νιν ἐπτοημένας
δεινοῖς δράκουσιν, ὥστε μὴ ψαύειν σέθεν,
γοργῶφ᾽ ὑπερτείνουσά σου κάρᾳ κύκλον.

1239. δέ σοι M. 1245. μὲν νῦν. Ib. δρᾷς M. δρᾷς Φ. S. 1246. Φοῖβός τε. Φ. S.

ἔστιν δ᾽ Ἄρεός τις ὄχθος, οὗ πρῶτον θεοὶ
ἕζοντ᾽ ἐπὶ ψήφοισιν αἵματος πέρι,
Ἁλιῤῥόθιον ὅτ᾽ ἔκταν᾽ ὠμόφρων Ἄρης,
μῆνιν θυγατρὸς ἀνοσίων νυμφευμάτων,
πόντου κρέοντος παῖδ᾽· ἵν᾽ εὐσεβεστάτη
ψῆφος βεβαία τ᾽ ἐστὶν ἔκ γε τοῦ θεοῖς.
ἐνταῦθα καὶ σὲ δεῖ δραμεῖν φόνου πέρι.
ἴσαι δέ σ᾽ ἐκσώζουσι μὴ θανεῖν δίκῃ
ψῆφοι τεθεῖσαι· Λοξίας γὰρ αἰτίαν
ἐς αὑτὸν οἴσει, μητέρος χρήσας φόνον.
καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,
νικᾷν ἴσαις ψήφοισι τὸν φεύγοντ᾽ ἀεί.
δειναὶ μὲν οὖν θεαὶ, τῷδ᾽ ἄχει πεπληγμέναι,
πάγον παρ᾽ αὐτὸν χάσμα δύσονται χθονὸς,
σεμνὸν βροτοῖσιν εὐσεβὲς χρηστήριον.
σὲ δ᾽ Ἀρκάδων χρὴ πόλιν ἐπ᾽ Ἀλφειοῦ ῥοαῖς
οἰκεῖν Λυκαίου πλησίον σηκώματος·
ἐπώνυμος δέ σου πόλις κεκλήσεται.
σοὶ μὲν τάδ᾽ εἶπον· τόνδε δ᾽ Αἰγίσθου νέκυν
Ἄργους πολῖται γῆς καλύψουσιν τάφῳ.
μητέρα δὲ τὴν σὴν ἄρτι Ναυπλίαν παρὼν
Μενέλαος, ἐξ οὗ Τρωϊκὴν εἷλε χθόνα,
Ἑλένη τε θάψει· Πρωτέως γὰρ ἐκ δόμων
ἥκει λιποῦσ᾽ Αἴγυπτον, οὐδ᾽ ἦλθεν Φρύγας.
Ζεὺς δ᾽, ὡς ἔρις γένοιτο καὶ φόνος βροτῶν,
εἴδωλον Ἑλένης ἐξέπεμψ᾽ εἰς Ἴλιον.
Πυλάδης μὲν οὖν κόρην τε καὶ δάμαρτ᾽ ἔχων,
Ἀχαΐδος γῆς οἴκαδ᾽ ἐσπορευέτω,
καὶ τὸν λόγῳ σὸν πενθερὸν κομιζέτω

1264. ἔκ τε τοῦ M.

Φωκέων ἐς αἶαν, καὶ δότω πλούτου βάρος.
σὺ δ᾽ Ἰσθμίας γῆς αὐχέν᾽ ἐμβαίνων ποδὶ,
χώρει πρὸς οἶκον Κεκροπίας εὐδαίμονα.
πεπρωμένην γὰρ μοῖραν ἐκπλήσας φόνου,
εὐδαιμονήσεις τῶνδ᾽ ἀπαλλαχθεὶς πόνων.

ΧΟΡΟΣ.

ὦ παῖδε Διὸς, θέμις ἐς φθογγὰς
τὰς ὑμετέρας ἡμῖν πελάθειν;

ΔΙΟΣΚΟΥΡΟΙ.

θέμις, οὐ μυσαροῖς τοῖσδε σφαγίοις.

ΟΡΕΣΤΗΣ.

κἀμοὶ μύθου μέτα, Τυνδαρίδαι;

ΔΙΟΣΚΟΥΡΟΙ.

καὶ σοί· Φοίβῳ τήνδ᾽ ἀναθήσω
πρᾶξιν φονίαν.

ΧΟΡΟΣ.

πῶς, ὄντε θεὼ τῆσδέ τ᾽ ἀδελφὼ,
κᾆτα φθιμένης,
οὐκ ἠρκέσατον κῆρας μελάθροις;

ΔΙΟΣΚΟΥΡΟΙ.

μοῖραν ἀνάγκης ἦγεν τὸ χρεὼν,
Φοίβου τ᾽ ἄσοφοι γλώσσης ἐνοπαί.

ΗΛΕΚΤΡΑ.

τίς δ᾽ ἔμ᾽ Ἀπόλλων, ποῖοι χρησμοὶ
φονίαν ἔδοσαν μητρὶ γενέσθαι;

ΔΙΟΣΚΟΥΡΟΙ.

κοιναὶ πράξεις, κοινοὶ δὲ πότμοι,
μία δ᾽ ἀμφοτέρους

1300. καὶ καταφθιμένης M. 1302. μοίρας ἀν. ἡγεῖτο χρ. M.
1304. τί δαί μ᾽ Ἀπ. M.

ἄτη πατέρων διέκναισεν.

ΟΡΕΣΤΗΣ.

ὦ σύγγονέ μοι, χρονίαν σ' ἐσιδὼν,
τῶν σῶν εὐθὺς φίλτρων στέρομαι,
καὶ σ' ἀπολείψω σοῦ λειπόμενος.

ΔΙΟΣΚΟΥΡΟΙ.

πόσις ἔστ' αὐτῇ καὶ δόμος· οὐχ ἥδ'
οἰκτρὰ πέπονθεν, πλὴν ὅτι λείπει
πόλιν Ἀργείων.

ΟΡΕΣΤΗΣ.

καὶ τίνες ἄλλαι στοναχαὶ μείζους,
ἢ γῆς πατρῴας ὅρον ἐκλείπειν;
ἀλλ' ἐγὼ οἴκων ἔξειμι πατρὸς,
καὶ ἐπ' ἀλλοτρίαις ψήφοισι φόνον
μητρὸς ὑφέξω.

ΔΙΟΣΚΟΥΡΟΙ.

θάρσει· Παλλάδος ὁσίαν ἥξεις
πόλιν· ἀλλ' ἀνέχου.

ΗΛΕΚΤΡΑ.

περί μοι στέρνοις στέρνα πρόσαψον,
σύγγονε φίλτατε·
διὰ γὰρ ζευγνῦσ' ἡμᾶς πατρῴων
μελάθρων μητρὸς φόνιοι κατάραι.

ΟΡΕΣΤΗΣ.

βάλε, πρόσπτυξον σῶμα· θανόντος δ'
ὡς ἐπὶ τύμβῳ καταθρήνησον.

ΔΙΟΣΚΟΥΡΟΙ.

φεῦ, φεῦ· δεινὸν τόδ' ἐγηρύσω
καὶ θεοῖσι κλύειν.

1320. ἥξεις ὁσίαν S.

ἔνι γὰρ κἀμοὶ τοῖς τ' οὐρανίδαις
οἶκτοι θνητῶν πολυμόχθων.

ΟΡΕΣΤΗΣ.

οὐκ ἔτι σ' ὄψομαι.

ΗΛΕΚΤΡΑ.

οὐδ' ἐγὼ εἰς σὸν βλέφαρον πελάσω.

ΟΡΕΣΤΗΣ.

τάδε λοίσθιά μοι προσφθέγματά σου.

ΗΛΕΚΤΡΑ.

ὦ χαῖρε, πόλις·
χαίρετε δ' ὑμεῖς πολλὰ, πολίτιδες.

ΟΡΕΣΤΗΣ.

ὦ πιστοτάτη, στείχεις ἤδη;

ΗΛΕΚΤΡΑ.

στείχω, βλέφαρον τέγγουσ' ἁπαλόν.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, χαίρων ἴθι· νυμφεύου
δέμας Ἠλέκτρας.

ΔΙΟΣΚΟΥΡΟΙ.

τοῖσδε μελήσει γάμος· ἀλλὰ κύνας
τάσδ' ὑποφεύγων, στεῖχ' ἐπ' Ἀθηνῶν·
δεινὸν γὰρ ἴχνος βάλλουσ' ἐπὶ σοὶ
χειροδράκοντες, χρῶτα κελαιναὶ,
δεινῶν ὀδυνῶν καρπὸν ἔχουσαι·
νὼ δ' ἐπὶ πόντον Σικελὸν σπουδῇ
σώσοντε νεῶν πρῴρας ἐνάλους.
διὰ δ' αἰθερίας στείχοντε πλακὸς,
τοῖς μὲν μυσαροῖς οὐκ ἐπαρήγομεν,
οἷσιν δ' ὅσιον καὶ τὸ δίκαιον
φίλον ἐν βιότῳ, τούτους χαλεπῶν

ἐκλύοντες μόχθων, σώζομεν.
οὕτως ἀδικεῖν μηθεὶς θελέτω,
μηδ᾽ ἐπιόρκων μέτα συμπλείτω·
θεὸς ὢν θνητοῖς ἀγορεύω.

ΧΟΡΟΣ.

χαίρετε· χαίρειν δ᾽ ὅστις δύναται,
καὶ ξυντυχίᾳ μή τινι κάμνει
θνητῶν, εὐδαίμονα πράσσει.

ΤΕΛΟΣ ΗΛΕΚΤΡΑΣ.

DATE BORROWED	DATE DUE	DATE BORROWED	DATE DUE

88EI E14
v.3

VOLUME 4

BIBLIOGRAPHIC IRREGULARITIES

MAIN
ENTRY: Euripidis tragoediae... v. 4

Bibliographic Irregularities in the Original Document
List volumes and pages affected; include name of institution if filming borrowed text.

_____ Page(s) missing/not available: _____

_____ Volumes(s) missing/not available: _____

✓ Illegible and/or damaged page(s): 385-387, 448-450

_____ Page(s) or volumes(s) misnumbered: _____

_____ Bound out of sequence: _____

_____ Page(s) or illustration(s) filmed from copy borrowed from: _____

_____ Other: _____

EURIPIDIS
TRAGOEDIAE
ET
FRAGMENTA.

RECENSUIT
INTERPRETATIONEM LATINAM CORREXIT
SCHOLIA GRAECA E CODICIBUS MANUSCRIPTIS
PARTIM SUPPLEVIT PARTIM EMENDAVIT
AUGUSTUS MATTHIAE.

TOMUS QUARTUS.

LIPSIAE
APUD IOA. AUG. GOTTL. WEIGEL
MDCCCXVII.

PRAEFATIO.

In scholiis concinnandis et recensendis pro fundamento mihi fuit editio Basileensis ap. Hervagium 1544. collata tamen illa cum antiquiore Veneta ex officina Lucae Antonii Juntae 1534. huius enim editionis principis neglectus effecit, ut haud pauca vitia Hervagianae per sequentes editiones propagarentur, vel editores in iis tollendis a vero aberrarent. A primis illis editionibus in eo etiam recesserunt Kingius, Musgravius, alii, quod paraphrasin et scholia metrica a reliquis seiunxerunt; quod imitari nolui, ne diversis locis quaerere cogerentur lectores, quae ad unum omnia locum pertinerent. Nam paraphrasis illa nec ad omnia loca spectat, et e glossis ac scholiis minoribus ab Arsenio conflata esse videtur; cuius exemplum secutus Kingius, glossis iis, quas in MS. Coll. Corp. Christi

vel in Barocc. invenerat, cum verbis poetae commixtis aliam etiam paraphrasin procudit.

Scholiis ab Arsenio collectis addenda erant ea, quae e Cod. Colleg. Corp. Christi Cantabrig. primus Barnesius dedit, plura Kingius, tum quae hic e Cod. Bibl. Bodlei. Baroc. 74. recepit. In Scholiis ad Phoenissas accesserunt ea, quae ex Augustano codice a Tryllitschio excerpta Reiskius Valckenaerio edenda concesserat. Mihi ad septem fabulas praesto fuerunt scholia codicum Florentinorum, ad tres priores et Andromachen Guelpherbytani, ad Phoenissas et Andromachen Taurinensis, quibus accedunt scholia cod. Havn. ad versus 264 priores Phoenissarum. E Florentinis scholia tantum continent cod. 9. sec. XV. plut. 31. cod. 21. pl. ei. et cod. 33. pl. 32. ad Hecubam, Orestem et Phoen. cod. 17. ad Hec. et Orest. cod. 10. ad Hecub. Medeam cod. 15. ad Med. Hippol. Alcest. cod. 2. ad Hippol. et pauca quaedam ad Suppl. Iphig. utramque, Rhes. Bacch. Cycl. Heracl. Hel. Herc. f. Electr. pauciora etiam cod. 1. ad Suppl. et sqq. Cod. 6. sola scholia continet. Codd. 56. 59. 76. sunt Ab-

batiae Cassinensium. vid. Praef. T. I. p. VI. De Guelpherbytano et Taurinensi vid. Praef. T. I. p. VI. sq.

Horum codicum sine controversia copiosissimus est Guelph. nam et e scholiis Arsenianis multa habet, et e Florentinis ea, quae alicuius pretii sunt, et omnia fere, quae MS. C. C. C. et Barocc. 74. Kingio subministrarunt, illa prima manu, haec secunda plerumque scripta; tum alia etiam propria continet. Accedit, quod scholia emendatissime scripta sunt, ut saepius ex eo cod. Arseniana vel ea, quae ex Anglicis codicibus vulgata sunt, emendari potuerint. Augustano codici, lacunoso et multis scripturae vitiis inquinato, opportune saepe subvenit Taurinensis, et, qui cum eo in plurimis conspirat, Havniensis. Leviora et nullius fere momenti sunt scholia Florentina, eademque, ut videtur, recentissima, imprimis quae Cod. 33. suppeditavit, saepe ne graeca quidem. Dedi tamen haec etiam futiliora, ne meo de his codd. iudicio sibi standum fuisse lectores quererentur. Sed codd. illorum comparandorum et exscribendorum studio

districtus prorsus oblitus sum eorum, quae Beckius e Mosqu. D. Hermannus ex August. dederunt. Negligentiam tamen consolatur hoc, quod eadem prorsus, paucis exceptis, habet Gu. Quae discrepant, cum nonnullis aliis in appendice ad calcem scholiorum subiiciam.

Non vereor autem, ne quis me reprehendat, quod scholia undique congesta Arsenianis interserere, et ad suum quodque locum referre, quam cuiusque codicis scholia seorsim ponere, ut ab alio ad aliud transcurrere lectores cogerentur, maluerim. Quae nunc primum edita sunt, ea satis habui, ita exhibere, ut in codicibus legebantur, verbo tantum monens, quid legendum esse videretur, ubi probabilis emendatio succurrebat; nam saepe vera lectio latebat; Arseniana et Barocc. saepe ex aliis codicibus collatis, imprimis Guelph. saepe e coniectura, emendata sunt, ita tamen, ut multa restent, quae correctione indigeant, quaeque intacta relinquere, donec certa emendandi ratio inveniretur, satius erat.

Τῷ παναγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ καὶ κυρίῳ ἡμετέρῳ, κυρίῳ Παύλῳ τρίτῳ τῆς ἁγίας τοῦ θεοῦ Ῥωμαϊκῆς καὶ καθολικῆς ἐκκλησίας ἄκρῳ ἀρχιερεῖ, Ἀρσένιος ὁ Μονεμβασίας ἀρχιεπίσκοπος ἐν κυρίῳ χαίρειν πάντοτε.

Εἰ καὶ πρὶν περιττῶς, μακαριώτατε πάτερ, τὸ τῶν Ἑλλήνων γένος ἐξευτελίζων καὶ ταλανίζων ἐτύγχανον, ὑποπεσὸν ἤδη μυρίοις χειμῶσιν ἀνιαροῖς, ἀλλὰ τόγε νῦν ἔχον, αὐτὸ εὔδαιμον ἥγημαι καὶ μακαριστὸν, ἅτε δή σε ἀρχιερέα μέγαν ἔναγχος κληρωσάμενον, κλεινόν τε καὶ ἀξιάγαστον, καὶ τὰ τῶν Ἑλλήνων ἐκ σπαργάνων τὸ δὴ λεγόμενον θαυμάζοντά τε καὶ ἐκθειάζοντα, καὶ τοῖς ἐκείνων προστετηκότα καὶ προσηρτημένον μαθήμασιν, ὅθεν καὶ πρὸ τοῦ λόγου τὼ χεῖρε κροτῶ, καὶ μεθ' ἡδονῆς ὑψόθι μετεωρίζομαι καὶ συνε-

παίρομαί σοι τῷ ἐπιβάντι τῆς ἄκρας ἀρχῆς ἐπ᾽ ἀγαθῷ κοινῷ τοῦ τῆς ἐκκλησίας πληρώματος, καὶ ἰδίᾳ τοῦ γένους ἡμῶν. ὁρῶ γὰρ αὐτὸ διὰ σοῦ ὅσον τάχος εὐδαιμονῆσον, καὶ τοὺς λόγους αὖθις εἰς ἐπίδοσιν ἥξοντας. τίς οὖν τοιαῦτα θεώμενος οὐ σκιρτήσει; τίς οὐ χαιρήσει, καὶ οὐ σωφρόνως χορεύσει, καὶ μέγιστον τὸν ἴακχον ᾄσεται; νῦν πᾶσα πόλις τῇ Ῥώμῃ συνήδεται, νῦν πᾶς τις συντίθησι τὰ ἐγκώμια, καί σοι μεγαληγόρως τοὺς ὕμνους ἀναφωνεῖ, καὶ πάνδημον εὐτρεπίζει τὸν θρίαμβον· νῦν δέον νενόμικα καὶ αὐτὸς μὴ σιγῇ παρελθεῖν τά γε μὴ σιγῆς ἄξια, ἀλλά τι τῶν πρὸς τὴν σὴν εὐφημίαν ἡκόντων διεξελθεῖν κατὰ δύναμιν. ἐπείγε καὶ ει παρῆσαν Ὀρφεῖς καὶ Μουσαῖοι Ὅμηροί τε καὶ Πίνδαροι, οὐδὲ πρὸς πολλοστημόριόν τι τῶν σῶν εὐφημιῶν ἠδυνήθησαν ἐφικέσθαι τὸ σύνολον. ἀρκτέον τοίνυν μοι κατὰ δύναμιν, ἐπεὶ οὐχ οἷόν τε εἰπεῖν κατὰ ἔφεσίν τε καὶ βούλησιν. Σὺ μὲν, παναγιώτατε πάτερ, ἐξ ἁπαλῶν ὀνύχων, τοῦτο δὴ τὸ τοῦ λόγου, τὴν Ὁμηρικὴν πραγματείαν καὶ τὴν Ἀριστοτέ-

λους σοφίαν, οὐ μόνον ὅση περὶ τὰ φυσικὰ καὶ ὅση περὶ συλλογισμοὺς καταγίνεται, ἀλλὰ παντοίαν καὶ πᾶσαν τὴν ἐκείνων παιδείαν ἀπομαξάμενος ἔτυχες, καὶ τοῦτό μοι Φλωρεντία καὶ αὐτὴ Ῥώμη συμμαρτυρήσετον. οὐ μὴν ἀλλὰ καὶ πρὸς τὰ βάθη τῆς θεολογίας αὐτῆς καταδὺς, κἀκεῖ ἔλαιον οὐκ ὀλίγον καταναλώσας, ἀνέκυψας φέρων τὰ πρῶτα τῶν ἐν θεολογίᾳ καταβαλόντων πολλὴν φροντίδα τε καὶ σπουδήν. τῷ τοι καὶ ἀρετῆς πᾶν εἶδος κατωρθωκὼς ἁπασῶν ὁρμητήριον γέγονας, καὶ μετὰ περιουσίας ὅτι πλείστης, ἐπαινετοῦ παντὸς καὶ σωτηριώδους ἔφθασας ἐπὶ τὸ ἀκρότατον. ἐπαινετοὶ μὲν καὶ οἱ πρὸ σοῦ ἀρχιερατεύσαντες, καὶ ὕμνων ἐπάξιοι καὶ εὐφημιῶν· σὺ δ᾽ ὁ τοῦ Παύλου συνώνυμός τε ὁμοῦ καὶ ὁμότροπος, καὶ μᾶλλον ἐκείνων ἐπαινετέος καὶ ἀξιάγαστος. οἷς γὰρ ἀληθοῦς πολιτείας κατεβάλου τὴν ὑποβάθραν καὶ βίου θεαρέστου ὑπέδειξας ὑποτύπωσιν, καὶ εὐφημεῖσθαι τὰ μέγιστα ὑπὸ τούτων καὶ μέγα κροτεῖσθαι παρὰ πάντων οὐκ ἀπεικός. τοιγαροῦν ὁ μέν σου τὸ ἦθος, ὁ δὲ τὸν βίον,

ἕτερος δέ σου τὸ ἐπιτήδευμα ὑμνῶν διεξέρχε-
ται, τὸ μὲν, ὅπως συνεσταλμένον διατελεῖ τε
καὶ μέτριον, καί σε πρὸς τἄνω ἐκ τῆς κάτω
περιδινήσεως ἀποσπώμενον, τὸ δὲ, ὡς οὐρά-
νιον ὄντα καὶ ἄϋλον καὶ τοῖς ἀγγέλοις μικροῦ
δεῖν παραπλήσιον· τὸ ἐπιτήδευμα δὲ, ὡς κα-
λοῦ παντὸς μεταχείρησις καὶ θεοεικέλων πρα-
κτέων συμφόρησις. ταῦτ' οὖν ἅπαντα λόγῳ
περιλαβεῖν καὶ εὐκρινῶς συντάξαι ἀνέφικτον·
τὸ δέ γε τῶν οἰκτιρμῶν πελαγίζον τε καὶ ἀκέ-
νωτον ἀπορώτερον αὖθις πρὸς ἔκφανσιν. ἀλ-
λὰ τίς σου τῶν θαυμασίων ἔργων ἀνήκοος,
ὧν πᾶσα μὲν πόλις μεστὴ, πάντων δ' ἀν-
θρώπων ἀγυιαί; ἐῶ φάναι τὸ πρὸς ἐπικου-
ρίαν ὀξὺ, τὸ πρόχειρον πρὸς τὸν τῶν ἐπη-
ρεαζομένων συνασπισμὸν, τὸ πρὸς σύναρσιν
τῶν ἀδικουμένων ταχύτατον, τὸ ἑτοιμότα-
τον πρὸς τὴν τῶν ἀνιωμένων παραψυχὴν, τὸ
πρὸς πᾶσαν ἐπίκλησιν ἐκ θεαρέστου προηγμέ-
νην σκοποῦ κατεπειγμένον καὶ σπουδαιότα-
τον. τίς ἂν σου τὰ λοιπὰ ἀριδήλως ἐκφρά-
σειε, καὶ πρὸς τοὐμφανὲς καθηκόντως ἀγά-
γοι; ἀλλ' οὖν ἀρκεῖ καὶ ταῦτα, φασὶν, ἐξ ὄνυ-

χος δεικνύναι τὸν λέοντα. ἀλλὰ τούτων οὕ-
τως ἐχόντων, μικράν τινα ῥῆσιν τοῦ θεοφάν-
τορος Βασιλείου, εἴ μοι συγγνοίης, (συγγνοίης
δ' ἂν, εὖ οἶδα, μακαριώτατε, παῤῥησιαζομένῳ
δὴ τὴν ἀλήθειαν) ἡδέως ἂν παρῳδήσαιμι.
ἐκεῖνος γὰρ ἔν τινι τῶν ἑαυτοῦ λόγων προ-
οιμιαζόμενος ἔλεγε· μάχεται Ἰουδαϊσμὸς Ἑλ-
ληνισμῷ, καὶ ἀμφότεροι Χριστιανισμῷ. ἐγὼ
δὲ παρῳδῶν τὴν ῥῆσιν, οὕτω φημί· μάχονται
Ἀγαρηνοὶ Χριστιανοῖς, ἀμφότεροι δὲ τοῖς τα-
λαιπώροις Γραικοῖς. ἐκεῖνοι μὲν γὰρ τὸ ἡμέ-
τερον βασίλειον ἀνηλεῶς ἠνδραπόδισαν, καὶ
τὰς πόλεις κατέσκαψαν, καὶ τὸ γένος ἡμῶν
εἰς τὰ γῆς πέρατα, ὥςπερ τινὰς Αἰγυπτίους
ἀγύρτας περιπλανᾶσθαι καὶ περιέρχεσθαι διε-
σκέδασαν, τῶν δ' ἑσπερίων τινὲς, οὐχ' ὅπως
οὐκ ἀνίστανται πρὸς ἐκδίκησιν τοῦ γένους
ἡμῶν, ἀλλ' εἴ τι καὶ πόπανον ὑπὸ τῶν θεοστυ-
γῶν ἐκείνων εἴη που καταλελειμμένον ἐν τῇ
Ἑλλάδι, κἀκεῖν' ἁρπάζοντες κατεσθίουσι, πέμ-
ποντες ἡμῖν ἀνηλεεῖς τινας ἐπιτρόπους, μᾶλ-
λον δ' εἰπεῖν τελώνας, οἷς τῶν ἐπισκοπῶν
πωλοῦσι τὰ εἰσοδήματα, οἷς οὐκ ἀρκεῖ κου-

ρεύειν ἐν χρῷ τὰ ταλαίπωρα πρόβατα, καὶ τὰ γάλ' ἐκπίνειν, καὶ κατεσθίειν γε τὸν τυρὸν, ἀλλ' οὐδ' αὐτῶν τῶν δερμάτων ἀπέχονται. αἱ ἐκκλησίαι δὲ τῶν ἐπισκοπῶν πτῶσιν φεῦ ἀπειλοῦσιν οὐκ εἰς μακράν. αἱ μάνδραι δ' ἀτημελεῖς οὖσαι, τῶν ποιμένων ἀποδημούντων, ὑπὸ μυρίων λύκων ἐπιβουλεύονται. ταυτὶ μὲν Ἰταλῶν τινων ὑπάρχει τἀνδραγαθήματα. καὶ οὐ λέγω περὶ ἁπάντων, (μὴ γὰρ οὕτω μανείην) ἀλλ' οἷς πεττὸς ἤρεσεν οὐκ ἔχων στάσιν, καὶ δεῖπνα συχνὰ, καὶ χρονίζοντες πότοι, καὶ κυμβάλων κρούσματα ῥαστώνης χάριν, θυμὸς, φθόνος, ἔριδες, ἡδονὴ, χ' ἅπας ὁ πικρὸς ἐσμὸς κοσμικῆς ἀπληστίας, ἀφ' ὧν τὸ σεπτὸν φεῦ σμικρύνεται κράτος. καὶ ταῦτα μὲν δὴ ταύτῃ. ἡμεῖς δὲ δύστηνοι Μεγαρῆες, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ. τίνος χάριν, παναγιώτατε; οὐ καὶ αὐτοὶ πρεσβεύομεν τὰ Χριστιανῶν; οὐ τῇ ἱεροαγίᾳ ἐκκλησίᾳ τῆς Ῥώμης διατελοῦμεν πειθήνιοι; οὐ σὲ τὸν μέγαν ἀρχιερέα καὶ ποιμένα, πατέρα καὶ διδάσκαλον οἰκουμενικὸν ὁμολογοῦμέν τε καὶ ἀνακηρύττομεν; τί

τοίνυν, ὥσπερ τινὰς ὑποβολιμαίους, τῆς πατρικῆς κληρονομίας ἀποστερεῖς; τὰ πατρῷα αἰτοῦμεν, παναγιώτατε, καὶ ταῦτα μέρος ἐκείνων πολλοστημόριον. οὐκ αἰτοῦμεν σκιάδιον πορφυρόβαφον, πολυτελές τε καὶ πολυπρόσοδον· (καίτοι γε οὐδ' ἀπεικὸς ἦν, ἕνα ἢ δύο τῶν Ἑλλήνων ἐν τοσούτοις παντοδαποῖς ἐναριθμεῖσθαι τῶν καρδηνάλεων·) οὐδὲ ζητοῦμεν πολυταλάντους ἀρχιεπισκοπὰς, οὐδ' ἐπισκοπὰς καὶ ἀββαδείας τῶν παχειῶν, ἀλλ' ὀλίγον τε φίλον τε. ταῦτα δὲ καὶ τοιαῦτ' ἐν Ῥώμῃ πεντεκαιδέκατον ἔτος οἶμαι τουτὶ γονυπετῶν ἐνώπιον Λέοντος τοῦ παναγιωτάτου κατετραγῴδησα γοερῶς· ὃς οἴκτῳ τινὶ συσχεθεὶς προμήθειάν τινα γραφῆναι προστέταχεν, ἥτις ἐς τόδε μένει νεκρά. οἶσθα γὰρ ἀκριβῶς, ὡς ὁ καλός που ῥήτωρ φησὶν, ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν. ταύτην πέμπω τῇ ὑμετέρᾳ παναγιότητι, ὥστε ζῶσαι αὐτὴν, ἐμπνεύσας ζῶσαν ψυχὴν τῷ παναγιωτάτῳ σοῦ στόματι. καὶ τότε δὴ τότε τοὺς τῶν Ἑλλήνων λόγους ἀναζωπυρήσεις τὰ

λοίσθια πνέοντας, καὶ δείξεις ἐν Ἑλλάδι Ἰταλοὺς ἑλληνίζοντας καὶ Ἕλληνας ἰταλίζοντας, ἑκατέρους ἀρίστους ἑκατέραιν ταῖν γλώτταιν, οἵ σε καὶ ὑμνήσουσι λόγοις, καὶ ἐπαινέσουσιν ἐγκωμίοις, τὴν ἀληθῆ σου σοφίαν, τὴν ἀρίστην σου φρόνησιν, τὴν τῆς ἀληθείας τιμὴν, τὸ ἱλαρόν σου καὶ κόσμιον καὶ φιλάνθρωπον, τὸ ἐλευθέριον τῆς οὐρανίου σου καὶ μεγαλόνου ψυχῆς, ἄλλα τε πολλὰ καὶ ἀγαθὰ, καὶ τοῖς χρῄζουσι τὴν ἐπάρκειαν, ἃ σοι μεγίστην δόξαν ἐς τὸν ἐσόμενον σώσει, καὶ ἀπαθανατήσει τὴν μνήμην, παιδὸς δεχομένου παρὰ πατρός. καὶ ταῦτα μὲν ἐκβαίη, ᾗ ἂν φίλον δόξοι θεῷ, καὶ σοὶ τῷ θειοτάτῳ γε ἀρχιποίμενι. ἐπεὶ δ᾽ ἔθος ἐστὶ παλαιὸν, διδόναι δῶρα ὀπτήρια, ἐγὼ δὲ ὑπό τε ποδάγρας καὶ πενίας, δυοῖν ἐξωλεστάτοιν θηρίοιν, κωλύομαι ἰδεῖν μὲν τὴν σὴν ἀρχιεροπρεπεστάτην καὶ θεοείκελον πρόσοψιν, προσκύσαι δὲ καὶ προσπτύξασθαι καὶ τοὺς ἱεροαγίους σου πόδας, τὰ εἰς ἑπτὰ τραγῳδίας τοῦ Εὐριπίδου σποράδην εὑρισκόμενα σχόλια, ἃ δή γε οἷά τις μέλισσα ἐνιζάνων αἷς ἐνέτυχον

βίβλοις τῶν παλαιῶν ἔν τε τῇ Μίνωος πόλει καὶ Ῥαδαμάνθυος Ἐνετίῃσί τε κἀν Φλωρεντίᾳ ἠρανισάμην ἐπιμελῶς, καὶ οἷόν τινα συνηρμολογησάμην σειρὰν, πέμπω δῶρον ὀπτήριον τῇ ὑμετέρᾳ παναγιότητι. οἶδα γάρ σε, μακαριώτατε, Ὁμηρικώτατον ὄντα, καὶ ποιηταῖς οὐχ᾽ ἧττον ἢ καὶ τοῖς φιλοσόφοις προσκείμενον. ὅτι δὲ καὶ οἱ τραγικοὶ τοῖς μετ᾽ ἐπιστασίας διεξιοῦσι τἀκείνων οὐκ ὀλίγην παρέχουσι τὴν ὠφέλειαν, Τιμοκλέους ἄκουσον· *)

ὦ ᾽τὰν ἄκουσον, ἤν τί σοι δοκῶ λέγειν.
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπήρ᾽ ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ᾽ ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι πάντας· ὢν μὲν γὰρ πένης,
πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει·

*) Cf. Athen. p. 223. B. C. Stob. p. 508. Grot. ex quo sumsisse haec videtur Arsenius: conspirat enim in omnibus, etiam in ἴσιφιν ἴδε τυφλὸν v. 13.

ὁ νοσῶν τι μανικὸν Ἀλκμαίων᾽ ἐσκέψατο·
ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι τυφλοί·
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικε·
χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ·
γέρων τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα·
ἅπαντα γὰρ τὰ μείζον᾽, ἢ πέπονθέ τις,
ἀτυχήματ᾽ ἄλλοις γεγονότ᾽ ἐννοούμενος,
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

καὶ ταῦτα μὲν Τιμοκλέης. σὺ δὲ, μακαριώτατε πάτερ, τὰ τοῦ Εὐριπίδου ἀσπασίως ὑποδεξάμενος, προςδόκα καὶ ἄλλα τῶν χρησιμωτάτων μετ᾽ οὐ πολὺ, ἃ Λουκᾶς Ἀντώνιος Ἰούντας ὁ τά τε ἄλλα ἐπιεικὴς, κἀν τῷ τυποῦν ἐπιμελείᾳ καὶ δεξιότητι χρώμενος· ἑτοιμάζει δεύτερον ὀπτήριον τῇ ὑμετέρᾳ παναγιότητι.

Οὖλέ τε καὶ μέγα χαῖρε.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΕΚΑΒΗΝ.

Ἡ εἴςθεσις τοῦ δράματος ἄρχεται ἐκ μονοστροφικῆς περιόδου· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι νη, ὧν ὁ τελευταῖος, Φθείρει θεῶν τις τῆς πάροιθ᾽ εὐπραξίας. ἐπὶ τῷ τέλει κορωνίς. Ἀφεὶς ὁ Πολύδωρος τὸ σῶμα ἑαυτοῦ καὶ μόνη ψυχὴ ὢν αἰωρεῖται ἐπάνω τῆς μητρὸς αὐτοῦ καὶ λέγει εἰς ἐπήκοον αὐτῆς τήν τε σφαγὴν αὐτοῦ [1]) καὶ τὴν ἐσομένην τῇ ἀδελφῇ αὐτοῦ Πολυξένῃ ὑφ᾽ Ἑλλήνων· ἐποίησε δὲ τοῦτο ὁ ποιητὴς ἐξεπίτηδες, ἵνα δῆλα πᾶσι ποιήσῃ τὰ κατὰ τὸν Πολύδωρον, ὃ καὶ ἐν ἀρχῇ πάντων τῶν αὐτοῦ δραμάτων ποιεῖν εἴωθεν.

Τῶν σωμάτων μὲν Πλάτων γοῦν ἐν τῷ Φαίδωνι τὰ ἐν τοῖς τάφοις φαινόμενα σκιοειδῆ πλάσματα ψυχὰς φιλοσωμάτους ὠνόμασεν, ὡς μηδὲ μετὰ τὴν ἐνταῦθα ἀποδημίαν πρὸς τὸ καθαρὸν ἀνιούσας φῶς, ἀλλ᾽ ἔτι τῶν σωμάτων ἐχομένας, ὃ δὴ διὰ τὰς ἀνδραποδώδεις ἠγαπήκασιν ἡδονάς· διὰ ταῦτα μὲν οὖν εἴδωλον σωμάτων ἡ ψυχὴ, αὖθις δὲ σῶμα ψυχῆς εἴδωλον, ὅτι περ ὃ τούτῳ ὀφθαλμὸς, ἐκείνῃ ὁ νοῦς, καὶ ὃ τούτῳ ἁφὴ, ἐκείνῃ πάλιν ἐξεταστική· καλλίων δὲ νοῦς ὀφθαλμοῦ καὶ νοερὰ ἐξέτασις δυνάμεως ἁπτικῆς· διὰ ταῦτα πάλιν εἴδωλον τὸ σῶμα ψυχῆς. τὸ δὲ ὄνομα τοῦτο ὁ Χριστιανῶν ἐμυσάχθη θεσμός, ὅ τι δὴ τοῖς Ἑλληνικοῖς θεοῖς ἐπεφημίσθη εἴκασμα. Gu.

V. 1. ΗΚΩ. τὸ ἥκω Ἀττικόν ἐστιν· οἱ γὰρ Ἀττικοὶ ἀντὶ τοῦ εἰπεῖν ἧκον ἥκω λέγουσιν. ῥέπει δὲ τοῦτο [2]) πρὸς τὸ παρεληλυθὸς, καθόσον τὸ εἶμι πρὸς τὸ μέλλον.

ΗΚΩ. οἱ ῥήτορες τὸν ἐνεστῶτα ἀντὶ παρῳχημένου λαμβάνουσιν. ἢ διὰ τὸ ἀεικίνητον τῆς ψυχῆς. [3]) Flor. 25.

1) Basil. αὐτῆς. τὴν δὲ σφ. αὐτοῦ. Junt. τήν τε σφ.

2) Gu. tantum ἥκω ἀντὶ τοῦ ἦλθον. πρέπει γὰρ τοῦτο.

3) Vide schol. Gu. ad v. 498.

ΚΕΥΘΜΩΝΑ, ἤγουν τὸν ἀπόκρυφον τόπον. gl. Gu.

ΣΚΟΤΟΥ. γράφεται καὶ τὸ σκότος οὐδετέρως καὶ ὁ σκότος· καὶ τῷ μὲν οὐδετέρῳ χρῶνται οἱ κοινοὶ, τῷ δ' ἀρσενικῷ οἱ Ἀττικοί.

Ib. καὶ σκότος κατὰ τὸ ἐντελὲς καὶ σκότου κλινόμενον. δηλοῖ δὲ τὸ μὴ διαλυόμενον σκότος τῆς νυκτός. Flor. 25. ἔρχομαι τῶν νεκρῶν τὸ κατοικητήριον ἀπολιμπάνων, τὰ τοῦ ᾅδου χωρία. Flor. 33.

ΣΚΟΤΟΥ ΠΥΛΑΣ. εἴτοι (l. ἤτοι) τὴν εἰς ᾅδου κατοίκησιν. gl. Gu.

V. 2. *ΑιΔΗΣ*, ἢ διὰ τὸν ἐν ᾅδου τόπον νοητέον, ἵν' ᾖ τὸ ᾤκισται ἀντὶ τοῦ κατῳκίσθη ὑπὸ τῶν νεκρῶν καὶ τοῦ Πλούτωνος καὶ Περσεφόνης, ἢ ἀντὶ τοῦ ὁ Πλούτων· Ἅιδης γὰρ καὶ Πλούτων ὁ αὐτὸς λέγεται. τὸ δὲ *ΩιΚΙΣΤΑΙ* ἢ ἀντὶ τοῦ κατῳκίσθη, ἢ ἀντὶ τοῦ κατοικεῖται, κατὰ ἀντιχρονισμὸν, ὅπερ κατοικεῖται εἴποις, εἰ τόπον τὸν ᾅδην μόνον νοήσεις.

ΑιΔΗΣ ὁ περὶ τὴν γῆν σκοτεινὸς ἀήρ. Fl. 34. 59. 76.

ΧΩΡΙΣ ΩιΚΙΣΤΑΙ, κεχωρισμένος ἤγουν ᾠκισμένος ἐστὶ τῶν οὐρανίων. gl. Gu.

V. 3. *ΓΕΓΩΣ*, γενηθείς. γίγνομαι, γενήσομαι, γέγονα, καὶ κατὰ συγκοπὴν γέγωα· ἡ μετοχὴ ὁ γεγὼς, τοῦ γεγονότος. Flor. 21.

V. 4. *ΟΣ Μ' ΕΠΕΙ.* ὅςτις ἀφ' οὗ τὴν τῶν Φρυγῶν πόλιν μοῖρα ἀπόνοια ἔλαβε ὑπὸ τῷ Ἑλληνικῷ ξίφει, φοβηθεὶς ἔπεμψέ με τῆς Τρωϊκῆς γῆς. Flor. 33. τὸ *ΕΠΕΙ* καὶ χρονικὸν καὶ Ἀττικόν (l. αἰτιατικόν) ἐστι. gl. Gu.

V. 5. *ΚΙΝΔΥΝΟΣ.* Κινδυνεύω ἀντὶ τοῦ ἐν δεινῷ εἰμι· καὶ κινδυνεύω ποιεῖν τόδε, ὅπερ οὐ θέλω δηλονότι, ἀλλ' ὑπὸ τῆς ἀνάγκης εἰς τοῦτο συνελκόμενος. καὶ κινδυνεύω πείσεσθαι τόδε, ἀφ' οὗ κίνδυνος ἐπὶ τῶν δύο τούτων σημαινομένων· κίνδυνος γὰρ αὐτὸ τὸ δεινὸν, καὶ κίνδυνος πείσεσθαι τινὰ τόδε, ὅπερ οὐκ αὐτὸ δηλοῖ τὸ δεινὸν, ἀλλὰ τὴν ἐπὶ τὸ δεινὸν συνελαύνουσαν ἀνάγκην.

ΚΙΝΔΥΝΟΣ, ἀνάγκη, ἐποψία (l. ὑποψία). *ΕΣΧΕ*, ἐκράτησε. *ΠΕΣΕΙΝ*, πολέμῳ καταστραφῆναι. gl. Gu. *ΔΟΡΙ*, ἤγουν δυνάμει Ἑλληνικῇ. Flor. 21.

V. 6. *ΥΠΕΞΕΠΕΜΨΕ*, ἤγουν λάθρα ἔπεμψεν.

Flor. 21. ἡ ὑπὸ τὸ λάθρα δηλοῖ, ἡ δὲ ἐξ τὸ ἔξω. Flor. 18. 76. gl. Gu. ὑπὸ καὶ ἡ ἐκ πρόθεσις δηλοῖ τὴν λαθραίαν ἐκ τῶν ἰδίων ὅρων πομπήν. Flor. 25.

V. 7. *ΔΩΜΑ*, πρὸς τὸ δῶμα τοῦ Θρακικοῦ φίλου, τὸ τοῦ βασιλέως τῆς Θρᾴκης. Flor. 21.

ΘΡΗιΚΙΟΥ. ὁ Θρᾷξ τοῦ Θρακὸς, καὶ ἀπὸ τούτου Θρηΐκιος, κατὰ παραγωγὴν ἐκφωνουμένου τοῦ ι, καὶ τρεπομένου τοῦ α εἰς η [4]). *ΞΕΝΟΥ.* ξένος κυρίως ὁ φίλος, ὃν ἐπὶ τῆς πατρίδος τις ποιήσεται ἀπὸ ξένης ἐλθόντα, ἁπλῶς δὲ καὶ ὁ φίλος.

V. 8. *ΠΛΑΚΑ.* πλὰξ οὐ μόνον ἡ πετρώδης γῆ, ἀλλὰ καὶ ἁπλῶς πᾶσα γῆ, ὥςπερ κἀνταῦθα· οὐ γὰρ οἷόν τε ἀρίστην αὐτὴν προςειπεῖν, εἰ πετρώδης ἦν, ἀλλ' ἔστι τὸ πλάκα ἀντὶ τοῦ γῆν. δῆλον δὲ ἐκ τοῦ σπείρει. *ΠΛΑΚΑ*, πεδιάδα γῆν. gl. Gu.

V. 8. 9. *ΟΣ — ΔΟΡΙ.* ὅςτις τὴν ἔνδοξον Χεῤῥόνησον γῆν διοικεῖ, ἰθύνει, κρατεῖ, καὶ τὸν πολεμικὸν λαὸν διευθύνων αἰχμῇ. Fl. 33.

V. 9. *ΣΠΕΙΡΕΙ*, γεωργεῖ, κατοικεῖ. gl. Gu. *ΦΙΛΙΠΠΟΝ*, ἱππικόν. gl. Gu.

V. 9. *ΦΙΛΙΠ. Λ. ΕΥΘ.* ἀντὶ τοῦ τὸν ἵππον φιλοῦντας παρορμῶν. Flor. 21. *ΕΥΘΥΝΩΝ*, τὸν στρατὸν διεξάγων ἐν τῷ πολέμῳ. Flor. 21. ἄγων. gl. Gu.

V. 10. *ΣΥΝ ΕΜΟΙ*, μετ' ἐμοῦ, χάριν ἐμοῦ. gl. Gu. *ΕΚΠΕΜΠΕΙ.* δηλονότι ὁ ἐμὸς πατὴρ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει κρυφίως, ὅπως, ἐάν ποτε τὰ τῆς Ἰλίου τείχη πέσῃ, ὑπάρχῃ τοῖς ζῶσιν αὐτοῦ παισὶν ὁ χρυσὸς, μὴ ὁ βίος ὀλιγοστὸς ᾖ. Flor. 33.

V. 11. *ΠΕΣΟΙ*, καταστραφῇ. gl. Gu.

V. 12. *ΤΟΙΣ ΖΩΣΙΝ.* τουτέστιν ἐμοί. Flor. 34. gl. Gu. *ΣΠΑΝΙΣ ΒΙΟΥ*, στέρησις, ἔνδεια ζωῆς. gl. Gu. *ΣΠΑΝΙΣ*, ὑστέρησις. *ΒΙΟΥ*, ζωῆς. Flor. 56. *ΒΙΟΥ*, περιουσίας. Flor. 21. *ΒΙΟΥ.* Βίος σημαίνει πέντε [5])· τὴν τέχνην, ὡς τὸ Ἐμπορικὸν βίον, ἢ φιλόσοφον

4) ἐκφων. τοῦ αἶ εἰς η. Gu.

5) ς́. Gu.

ζῇ [6]· τὸν τρόπον, ὡς τὸ Χρηστοῖ βίου ἐστί [7]· τὸν παρόντα ἑνὸς ἑκάστου χρόνον τῆς ζωῆς [8]· τὴν περιουσίαν [9]), καὶ τὰς πρὸς τὸ ζῆν συντελούσας τροφάς [10]).

V. 13. *ΝΕΩΤΑΤΟΣ.* μικρότατος δὲ ἥμην Πριαμιδῶν, τουτέστι τῶν ἐμῶν ἀδελφῶν, δι᾽ ὃ καὶ ἐξέπεμψεν ἐμὲ Τρωϊκῆς γῆς. Fl. 21. διὰ τὸ ὄντα με νεώτατον τῶν Πριάμου παίδων τῷ τοιούτῳ τρόπῳ κἀμὲ τῆς ἰδίας γῆς ὑπεξέπεμψεν. Fl. 33.

Ib. *Ο ΚΑΙ ΜΕ ΓΗΣ ΥΠΕΞΕΠ.* Τοῦτο οὕτω νοήσεις· ὅπερ, τὸ εἶναι μὲν (leg. εἶναί με) νεώτατον τῶν ἀδελφῶν, ὑπεξέπεμψε τῆς γῆς, ἀντὶ (τοῦ,) τοῦτο γέγονεν αἴτιον τοῦ ἐκπεμφθῆναί με. Baroc. 74. *Ο ΚΑΙ.* διό. Gu.

V. 14. 15. *ΟΥΤΕ ΓΑΡ.* καὶ γὰρ οὐκ ἦν οἷος, ἤγουν ἄξιος, δυνατός. Fl. 21. οὔτε ὅπλα οὔτε κοντάριον φέρειν ἴσχυον νέος ὤν. Fl. 33.

V. 14. *ΦΕΡΕΙΝ,* κινεῖν. φέρ. ὅπλα, ἤγουν ὁπλίζεσθαι. Gu. *ΟΠΛΑ,* τὰ φυλακτήρια, οἷον θώραξ, κράνος· ἔγχος δὲ καὶ σπάθη ἀμυντήρια.

V. 15. *ΕΓΧΟΣ,* ξίφος. Gu. *ΝΕΩι ΒΡΑΧΙΟΝΙ,* τῷ ἐμῷ βραχίονι, χειρί. Flor. 21. βρεφικῇ χειρί. Gu.

V. 16 — 20. Ἕως οὖν τῆς ἐμῆς γῆς σῶα ἦσαν τὰ τείχη καὶ οἱ πύργοι ἄθραυστοι τῆς Τρωϊκῆς γῆς, καὶ ὁ ἐμὸς ἀδελφὸς Ἕκτωρ εὐτύχει τῷ δορὶ ἐν τῷ πολέμῳ, καλῶς καὶ ἐγὼ ὁ τάλας ταῖς τροφαῖς, ὡς οἷά τις κλάδος νεαρὸς, ηὐξανόμην παρὰ τῷ Θρακικῷ ἀνδρὶ καὶ πατρῴῳ φίλῳ. Flor. 33.

6) ὡς τὸ-ζῇ om. Gu.

7) ὡς τὸ-ἐστί om. Gu.

8) Pro τὸν παρόντα-ζωῆς Gu. τὴν ζωὴν τινὸς ἑκάστου, ὁποῖον φασὶ καὶ ἐνταῦθα.

9) Gu. addit τὴν καθόλου ζωήν.

10) Gu. πρὸς τὸ ζῆν τεινούσας τροφάς, ὁποῖον εἶναι μᾶλλον εἰπεῖν ἐνταῦθα. His de suo addidit Barnes. καὶ δὴ καὶ τὸ γένος ἀνθρώπειον, ὡς Ἀριστοτέλης ἐν τῷ περὶ κόσμου, Συνεπιμαρτυρεῖ δὲ καὶ βίος ἅπας τὴν ἄνω χώραν ἀποδοὺς θεῷ. τὸ δὲ βιὸς βαρυτονούμενον τὸ τόξον σημαίνει.

V. 16. *ΕΩΣ,* μέχρις ὅτου. Flor. 21.

Ib. *ΕΩΣ ΜΕΝ ΟΥΝ ΓΗΣ.* δεύτερον προοίμιον [1]). Τὸ γῆς μὴ νομίσῃς διὰ τὴν περὶ τὴν Τροίαν γῆν, ὡς οἴονται τινὲς κακῶς, ἀλλὰ δι᾽ αὐτὴν τὴν Τροίαν, ἵνα ᾖ τὰ ὁρίσματα ἀντὶ τοῦ οἱ πύργοι· περιορισμὸς γὰρ τῆς ἐν τῇ πόλει γῆς οἱ πύργοι· ὥςτε τῆς γῆς ὁρίσματα καὶ πύργοι Τρωϊκῆς χθονὸς ταὐτόν ἐστιν. ὅτι δέ ἐστι ταὐτὸν καὶ οὐχ ὡς ἐκεῖνοι φασὶ, μαρτυρεῖ τὸ Ἐπεὶ δὲ Τροία, ὃ ἐπέφερε πρὸς τὰ δύο, δηλῶν ὡς ταυτοσήμαντά ἐστιν. *ΕΚΕΙΤΟ* δὲ εἶπεν, ἐπειδὴ οἱ θεμέλιοι τῶν τειχῶν ἐν τῇ γῇ κεῖνται.

Ib. *ΟΡΘ᾽,* ἄθραυστα καὶ ἀναρρητά (leg. ἀνάῤῥηκτα). Flor. 21. ὀρθίαν εἶχον θέσιν. Flor. 18. 34. 56. 59. 76. Gu. *ΕΚΕΙΘ,* ἵστατο. Fl. 10. *ΟΡΙΣΜΑΤΑ* ἀντὶ τοῦ τὰ τείχη καὶ ὁροθέσια. Flor. 21. οἱ ὅροι. Gu.

V. 17. *ΠΥΡΓΟΙ,* τὰ τείχη. *ΑΘΡΑΥΣΤΟΙ,* ἀσάλευτοι. Gu.

V. 18. *ΗΥΤΥΧΕΙ,* εὐοδοῦτο. *ΔΟΡΙ,* τῷ πολέμῳ. Gu.

V. 19. *ΚΑΛΩΣ,* ἐπίκρασις (?), ἐπιμελῶς. Gu.

V. 20. *ΤΡΟΦΑΙΣΙΝ ΗΥΞΟΜΗΝ,* ἀντὶ τοῦ ἀνετρεφόμην. *ΤΑΛΑΣ,* ἄθλιος. Flor. 21. Gu.

V. 21. *ΕΠΕΙ ΔΕ ΤΡΟΙΑ.* συνεκδοχή. gl. et in marg. τοῦτο λέγεται συνεκδοχὴ ἀπὸ τοῦ ἑπομένου τὸ προηγούμενον. Gu. *ΑΠΩΛΕΤΟ,* ἁλώθη, ἐφθάρη. Flor. 21. ἡ ἀπώλεια σημαίνει δύο, τὴν παντελῶς ἀφάνισιν, καὶ τὴν ἀπὸ τόπου εἰς τόπον μεταβολήν. Flor. 25. ἀφ᾽ οὗ δὴ ἡ Τροία καὶ ἡ τοῦ Ἕκτορος ψυχὴ ἀπώλετο, καὶ ἡ πατρικὴ οἰκία κατηδαφίσθη, καὶ ὁ ἐμὸς πατὴρ Πρίαμος ἐν τῷ θεοκτίστῳ βωμῷ πίπτει, σφαγεὶς δηλονότι ὑπὸ τοῦ μιαιφόνου παιδὸς τοῦ Ἀχιλλέως — Νεοπτόλεμος ἦν ὁ αὐτός· μετὰ γὰρ τὴν σφαγὴν Ἀχιλλέως, Πύῤῥος καὶ Νεοπτόλεμος ἐλθόντες ἐν Τροίᾳ πολλοὺς ἔκτειναν καὶ ἔν τινι ναῷ καταλαβὼν Νεοπτόλεμος τὸν Πρίαμον ἀνεῖλεν. Flor. 33.

V. 22. *ΠΑΤΡΩιΑ,* ἡ τοῦ πατρός· τὸ κτητικὸν ἀντὶ

1) Haec verba omis. King. et Musgr.

μόνης τῆς γενικῆς [2]), ἵν' ᾖ καλῶς ἔχον τὸ ἐπαγόμενον, αὐτὸς δέ.

Ib. *ΕΣΤΙΑ* λέγεται ἡ ὅλη κατοικία, ἀπὸ μέρους τὸ πᾶν, ἀπὸ τοῦ εὕω τὸ φωτίζω καὶ φλογίζω, ἢ ἀπὸ τοῦ ἕζω, τὸ κάθημαι. *ΕΣΤΙΑ*, ἤγουν ἡ οἰκία θεὰ τῆς ἠρίνης (sic). Flor. 21. ἑστία λέγεται ὁ τόπος, ἔνθα ἅπτεται τὸ πῦρ, ὅς ἐστι κυριώτερος παντὸς τοῦ οἴκου· ἀναφέρεται τοὔνομα τοῦτο τῇ θεᾷ τῇ Ἑστίᾳ. δῆλον καὶ οἱ παλαιοὶ ἐν αὐτῷ τὴν θυσίαν ἐτέλουν αὐτῇ. Flor. 25.

V. 23. *ΑΥΤΟΣ*, ὁ πατὴρ ὁ ἐμὸς ὁ Πρίαμος νεῷ βωμῷ λίθῳ κατεσκευασμένῳ πίπτει, ἐνταφιάζεται. Fl. 21.

Ib. *ΒΩΜΩι*. βωμὸς καλεῖται τόπος, ἐν ᾧ τὰ θύματα ἔσφαζον, τετραγωνοειδὴς ὢν καὶ μέρος τοῦ ἱεροῦ· ἐσχάρα δὲ ὁ λάκκος, ἐν ᾧ τὰ ἱερὰ ἔκαιον. Gu.

Ib. *ΘΕΟΔΜΗΤΩι*. οὐχ ὅτι θεόδμητος ἦν ὁ βωμὸς τῆς Ἀθηνᾶς [3]), διὰ τοῦτο θεοδμήτῳ λέγει, ἀλλὰ τῷ τῇ θεᾷ παρὰ τῶν Τρώων δομηθέντι· ἢ τῷ θείως καὶ θαυμαστῶς κτισθέντι. *ΘΕΟΔΜΗΤΩι*, θεοκατασκευάστῳ. Flor. 6. τῷ δομηθέντι διὰ τοὺς θεούς. Gu.

Ib. *ΠΙΤΝΕΙ*, ἀντὶ τοῦ ἔπεσε, τουτέστιν ἐφονεύθη.

V. 24. *ΑΧΙΛΕΩΣ*. διὰ τὸ μέτρον ἀφῃρέθη τὸ ἓν λ. ὅμως καὶ σὺν τοῖς δύο γράφεται, καὶ ἔστι συνίζησις.

Ib. *ΠΑΙΔΟΣ*, Πύῤῥου καὶ Νεοπτολέμου. Flor. 59.

Ib. *ΜΙΑΙΦΟΝΟΥ*, αἱμοχαροῦς. Fl. 6. τοῦ μιαροῦ. Fl. 21. παρανόμου. Gu.

V. 25. *ΚΤΕΙΝΕΙ*, ἀντὶ τοῦ φονεύει. Fl. 17. 18. ἀντὶ τοῦ ἔκτεινε. Gu. ἕνεκεν δηλονότι τοῦ χρυσοῦ ὁ πατρικὸς φίλος ἐμὲ τὸν ταλαίπωρον ἔκτεινε· καὶ κτείνας εἰς τὸ κῦμα τῆς θαλάσσης ἀφῆκεν, ὅπως αὐτὸς τὸν ἡμέτερον χρυσὸν ἐν τοῖς ἑαυτοῦ οἴκοις κατέχῃ. Fl. 33.

Ib. *ΤΑΛΑΙΠΩΡΟΝ*, τὸν ἄθλιον. Fl. 6. 17.

2) γενικῆς pro κτητικῆς est e Guelph. Flor. 18. 56. 59. 76. nisi quod Florr. utrumque coniungunt γενικῆς καὶ κτητικῆς. Iidem cum Gu. om. μόνης τῆς et pro ἵν' ᾖ κ. ἔχον legunt ἵνα κ. ἔχῃ.

3) ἢ τοῦ Διὸς ἑρκείου, ὥς ἔνιοι infersit Barnes.

V. 26. *ΚΤΑΝΩΝ*, φονεύσας εἰς τὸ κῦμα τῆς θαλάσσης ἔῤῥιψεν, ὅπως ὁ Πολυμήστωρ δηλονότι τὸν χρυσὸν ἐν τοῖς οἴκοις ἔχῃ. Fl. 21.

Ib. *ΟΙΔΜ'*. οἶδμα ἀπὸ τοῦ οἴδομαι τὸ ἐξογκοῦμαι. Fl. 9. εἰς τὴν θάλασσαν αὐτὸς ἔῤῥιψεν. Fl. 17. *ΟΙΔΜΑ*, κῦμα. Gu.

V. 27. *ΜΕΘΗΧ'*, ἤγουν ἔῤῥιψεν. Gu.

V. 28. *ΑΛΛΟΤ'*, ἐπίῤῥημα. Fl. 21. ἄλλοτε μέν· ἐπάγεται γὰρ τὸ νῦν δέ. Fl. 56. 59. 76. κατάκειμαι ἐν τοῖς αἰγιαλοῖς καὶ τῇ τῆς θαλάσσης ταραχῇ· πολλαῖς δὲ συστροφαῖς κυμάτων φερόμενος, καὶ ἄταφος καὶ ἄκλαυστος. Fl. 33. *ΑΛΛΟ—Τ'* (sic). ἐπάγεται γὰρ τὸ νῦν δέ. Gu.

V. 29. *Π. ΔΙΑΥΛΟΙΣ ΚΥΜ.* παλιῤῥοίαις καὶ στροφαῖς, ἤγουν δρόμοις [4]). ὥςπερ ἑρμηνεία ἐστὶ πρὸς τὸ *ΠΟΝΤΟΥ ΣΑΛΩι*· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ τῆς θαλάσσης ταραχὴ, ἀλλ' αἱ συνεχεῖς κυμάτων στροφαί. *ΔΙΑΥΛΟΙΣ*. δίαυλα λέγονται τὰ κύματα τὰ εἰςερχόμενα καὶ ἐξερχόμενα. διαύλους τὰς παλιῤῥοίας τῶν κυμάτων. κυρίως δὲ διαύλους, ὅσον οἱ δρομεῖς διέρχονται ἐν τῷ ἀπελθεῖν καὶ ἐλθεῖν, ὅθεν καὶ δίαυλοι τὰ ἔνθεν καὶ ἔνθεν τοῦ ἱππικοῦ. Fl. 25. 6.

Ib. *ΦΟΡΟΥΜΕΝΟΣ*, ἀπὸ μεταφορᾶς τῶν κυμάτων, ὁ πολλοὺς σταδίους τῶν κυμάτων τῇ βίᾳ ἀνύσας. δίαυλος ἐπὶ ξηρᾶς, κέλευθος ἐπὶ θαλάσσης. κυρίως δὲ λέγεται ὁ στενομήκης τόπος τοῦ ἱπποδρομίου, ἔνθα τὴν αὐτὴν καὶ ὁμοίαν ὁδὸν ἀνέρχονται καὶ κατέρχονται οἱ κέλητες. οὐκ ἀπεικότως δὲ εἰρήκει διαύλους τὰ κύματα τῆς θαλάσσης. Fl. 6. 25. ἀγόμενος. Fl. 17. 59. κομιζόμενος. Fl. 21.

V. 30. *ΑΚΛΑΥΣΤΟΣ*, χωρὶς κλαυθμοῦ καὶ τάφου εἰμὶ, χωρὶς ἐνταφιασμοῦ. Flor. 21.

Ib. *ΥΠΕΡ* ἀντὶ τοῦ ὑπεράνω τῆς μητρός. Gu. *ΦΙΛΗΣ*, τῆς ἠγαπημένης. Fl. 21. νῦν δὲ ὑπὸ (leg. ὑπὲρ) τῆς προςφιλεστάτης μου μητρὸς Ἑκάβης ὁρμῶ, ὅπως τὸ ἐμὸν σῶμα καταλείψω καὶ ἡσυχάσω, ἤγουν ταφῶ. Fl. 33.

V. 31. *ΑΙΣΣΩ*, ὁρμῶμαι. Flor. 2. ὁρμῶ. Gu.

Ib. *ΕΡΗΜΩΣΑΣ*, ἤγουν ἔρημον ἀφείς. Gu.

4) παλιῤῥ. — δρόμοις desunt in Basil. add. King. ἤγουν δρόμοις gl. est in Gu. supra διαύλοις scripta.

V. 32. *ΤΡΙΤΑΙΟΝ.* τὰ τρία καὶ τέτταρα καὶ ἑξῆς ὀνόματα ἀριθμοῦ δηλωτικά, τὸ τρίτον δὲ καὶ τέταρτον καὶ ἑξῆς ὀνόματα τάξεως δηλωτικά· ἔστι γὰρ τρίτον μὲν τὸ ἔχον ὄπισθεν ἑαυτοῦ [5]) πρῶτον καὶ δεύτερον, τέταρτον δὲ τὸ ἔχον ὄπισθεν πρῶτον καὶ δεύτερον καὶ τρίτον [5]). εἰσὶ δὲ ταῦτα τριγενῆ, ἀπὸ τῶν θηλυκῶν τούτων, τριταῖος καὶ τεταρταῖος παραγωγά, ὡς Ἀθηναῖος, Μυκηναῖος, ἢ τοιοῦτό τι. ἔστιν οὖν ἄλλο τρίτον καὶ ἄλλο τριταῖον, ὥςπερ ἄλλο Ἀθῆναι καὶ ἄλλο Ἀθηναῖος· ἐνταῦθα δὲ τὸ τριταῖον ἀντὶ τοῦ τρίτον λέγεται. λαμβάνεται δὲ τὸ τρίτον, τὸ τέταρτον καὶ τὰ τῆς ἀκολουθίας ταύτης καὶ ἐπὶ μορίων, ἃ ἁρμοδιώτερον λέγεται ἔχοντα ἐν συνθέσει τὸ μόριον, οἷον τριτημόριον, τεταρτημόριον καὶ ἑξῆς. ἔχουσι δὲ ἐρωτηματικὰ, τὸ πόσα, τὸ πόστον, τὸ ποσταῖον καὶ τὸ ποστημόριον. καὶ πρὸς μὲν τὸ πόσα ἀπαντᾷ τὸ τρία τυχὸν, ἢ τέσσαρα· πρὸς δὲ τὸ πόστον τὸ τρίτον ἢ τέταρτον ἐπὶ τάξεως· πρὸς δὲ τὸ ποσταῖον τὸ τριταῖον ἢ τεταρταῖον· οἷον πρὸς τὸ Ποσταῖος ἀπ' οὐρανοῦ πάρει; ἀπαντήσει τὸ τριταῖος τυχὸν ἢ τεταρταῖος, ἤγουν τρίτην ἡμέραν ἔχω, ἀφ' οὗ πάρειμι, ἢ τετάρτην· πρὸς δὲ τὸ ποστημόριον τὸ δυοστὸν, τὸ τρίτον, τὸ τέταρτον ἐπὶ μορίων, ἢ τὸ δυοστὸν, τὸ τριτημόριον, τὸ τεταρτημόριον. ζητεῖ δὲ τὸ μὲν πόσα διωρισμένον ποσόν, τὸ δὲ πόστον τάξιν, τὸ δὲ ποσταῖον συμβαῖνόν τι ἐν τάξει, τὸ δὲ ποστημόριον μέρος. ἐπεὶ δὲ τὸ ποσὸν διαιρεῖται, καὶ τὸ μὲν αὐτοῦ ἐστι συνεχὲς, τὸ δὲ διωρισμένον, εὗρεν ἡ φύσις καὶ ἐπὶ τοῦ συνεχοῦς ἕτερον ἐρωτηματικὸν, τὸ πηλίκον. ὥςτε πρὸς μὲν τὸ πόσα ἀπαντᾷ διωρισμένον ποσὸν, πρὸς δὲ τὸ πηλίκον συνεχές. *ΤΡΙΤΑΙΟΝ* ἤγουν τρίτον. Fl. 17. 34. 56. 59. 76. Gu. ἤγουν τρεῖς ἡμέρας, τῇ τρίτῃ ἡμέρᾳ ὑψούμενος καὶ φερόμενος ἢ φανταζόμενος. Fl. 21.

Ib. *ΗΔΗ*, ἄρτι. Fl. 56. *ΦΕΓΓΟΣ*, ἤγουν ἡμέραν. *ΑΙΩΡΟΥΜΕΝΟΣ*, κρεμάμενος. Gu. ἐν ἀέρι φερόμενος. Fl. 2. 6. τρία γὰρ νυχθήμερα τανῦν ἔχω ταλαιπωρούμενος. Fl. 33.

V. 33. *ΟΣΟΝ*, χρόνον. Fl. 59. *ΕΝ ΓΗι*, πάρεστιν, ἤγουν ἐλθοῦσα ἐστίν. Fl. 2. ἐνταῦθα. Fl. 59. τοσοῦτον ἐν τῇδε Χερσονησίᾳ γῇ. Fl. 33.

5) Verba ἑαυτοῦ et τέταρτον δὲ — τρίτον e cod. Guelph. accessere.

V. 34. *ΠΑΡΑ*, πάρεστι. ποιητικὸν δὲ τὸ πάρα. Fl. 21. ἡ ἐμὴ μήτηρ ἡ κακοτυχὴς ἐκ Τροίας πάρεστιν. Fl. 33.

V. 35. *ΑΧΑΙΟΙ*, οἱ Ἕλληνες. Fl. 21.

Ib. *ΕΧΟΝΤΕΣ*, ἐμπαρασκεύους δηλονότι, κρατοῦντες. Fl. 21. ἤγουν οἰκοῦντες. Gu. *ΗΣΥΧΟΙ*, ἡσύχως. Gu. οἱ δὲ πάντες Ἀχαιοὶ ἥσυχοι μένουσιν ἐν ταῖς ἑαυτῶν ναυσί. Fl. 33.

V. 36. *ΘΑΣΣΟΥΣ*, κάθηνται ἐν τοῖς αἰγιαλοῖς ταύτης τῆς Θρακικῆς γῆς. Fl. 33. προςμένουσι. Fl. 21. καθέζονται. Fl. 10. ἤγουν κάθηνται. Gu.

V. 37. *ΥΠΕΡ*, ὑπεράνω τοῦ τύμβου φαντασθείς. Fl. 21. ἄνω τοῦ τάφου αὐτοῦ. Gu.

V. 38. *ΚΑΤΕΣΧ'*, ἐκράτησεν τοῦ προςμεῖναι ὅλον. Fl. 21. καὶ ὁ τοῦ Πηλέως παῖς Ἀχιλλεὺς εἰς τὸν ἑαυτοῦ τάφον ἀναφανεὶς καὶ ἐκράτησεν ὅλον τὸν ἑλληνικὸν στρατόν. Fl. 33.

V. 39. *ΕΥΘΥΝΟΝΤΑΣ*, ἤγουν ἀπευθύνοντας· πρὸς τὸ σημαινόμενον δὲ ἀποδίδοται. *ΕΥΘ.* ταχέως κινοῦντας. Fl. 21. διεξάγοντας. Fl. 17. πρὸς οἶκον δι' ἰθύνοντας εἰς τὴν θαλασσίαν κώπην. Fl. 33.

V. 40. *ΑΙΤΕΙ*, ζητεῖ τοῦ σφαγῆναι. Fl. 21. καὶ δι' ὀνείρου αἰτεῖ τὴν ἐμὴν ἀδελφὴν Πολυξένην σφαγιασθῆναι, καὶ τὸν προςφιλέστατον αὐτοῦ τάφον ῥαντισθῆναι τῷ αἵματι, ἵνα λάβῃ γέρας παρ' αὐτῶν. Fl. 33.

V. 41. *ΦΙΛΟΝ*, ἠγαπημένον. Fl. 17. προςφιλές. Gu. *ΠΡΟΣΦΑΓΜΑ*, θῦμα. Fl. 2. ἤγουν σφάγιον. Gu. *ΓΕΡΑΣ*, τιμήν. Fl. 17. 21. 59. Gu.

V. 42. *ΤΕΥΞΕΤΑΙ*, λάβῃ, ἐπιτύχῃ. Fl. 21. 59. [6]) ἐπιτύχοι. 56. καὶ τεύξεται δῆλον τύχῃ τῆς τιμῆς παρὰ τῶν ἰδίων φίλων· καὶ ἔσται παρὰ τῶν ἀνδρῶν τιμημένος (sic). Fl. 33.

Ib. *ΑΔΩΡΗΤΟΣ*, ἄνευ δώρων. Fl. 21. χωρὶς δώρων. Fl. 33. ἤγουν ἀγέραστος. Gu. *ΦΙΛΩΝ*, Ἀγαμέμνονος καὶ Μενελάου. Fl. 21.

V. 43. *ΠΕΠΡΩΜΕΝΗ*, ἡ τύχη. Fl. 2. 17. 21. ἡ μοῖρα. Gu. *ΑΓΕΙ*, ἐλαύνει. Gu.

6) ἐπιτύχῃ etiam Gu.

V. 44. *ΘΑΝΕΙΝ ΔΔ.* ἀποθανεῖν τὴν Πολυξένην. Fl. 17. 21. καὶ ἡ ἐμὴ ἀδελφὴ τῇδε τῇ ἡμέρᾳ θανεῖται. Fl. 33.

V. 45. *ΔΥΟΙΝ.* καὶ ἡ ἐμὴ μήτηρ Ἑκάβη δύω νεκρὰ σώματα τῶν δύο παίδων αὐτῆς κατόψεται, ἐμοῦ τοῦ Πολυδώρου, καὶ τῆς ἐμῆς πολυστενάκτου ἀδελφῆς Πολυξένης. Fl. 33.

V. 46. *ΚΟΡΗΣ,* τῆς θυγατρός. Fl. 36. 59. 76.

V. 47. *ΦΑΝΗΣΟΜΑΙ,* ὀφθήσομαι, εὑρεθήσομαι, ἵνα τύμβου ἐγὼ ὁ ἄθλιος ἐπιτύχω. Fl. 21. ἐπιφανήσομαι, ὡς ἐκ τάφου ἐρχόμενος ὁ πολλὰ ὑπομείνας, ἵνα τύχω δηλονότι ταφῆς. Fl. 33. *ΩΣ ΤΑΦΟΥ,* ἵνα ἐνταφιασμοῦ. Gu.

V. 48. *ΕΝ ΚΛΥΔΩΝΙΩι.* κλυδώνιον, τὸ κῦμα τῆς θαλάσσης, ὃ παρὰ τῷ αἰγιαλῷ εὐδίας οὔσης ἐπικλύζεται.

Ib. *ΠΑΡΟΙΘΕΝ,* ἤγουν μακρὰν, ἔμπροσθεν ἐν τῷ αἰγιαλῷ τῷ παραθαλασσίῳ. Fl. 21. ἔμπροσθεν τῶν ποδῶν τῆς ἐμῆς μητρὸς, τῆς δούλης γενησομένης ἐν τῷ κλυδωνίῳ, δῆλον ἐπὶ τῇ ἁλώσει τῆς Τροίας. Fl. 33.

V. 49. *ΚΑΤΩ,* εἰς τὸν ᾅδην. Fl. 59. *ΣΘΕΝΟΝΤΑΣ,* τοὺς δυναμένους κάτω, ἤγουν τοὺς καταχθονίους ἐξῃτησα θεούς. Fl. 21. ἐγὼ τοίνυν ὁ Πολύδωρος τοὺς κάτω βασιλεύοντας, ἤγουν Πλούτωνα καὶ Περσεφόνην, αἰτήσας τάφου ἐπιτυχεῖν καὶ εἰς τὰς χεῖρας τῆς μητρὸς πεσεῖν. Fl. 33. *ΕΞΗιΤΗΣΑΜΗΝ,* καθικέτευσα. Gu.

V. 50. *ΚΥΡΗΣΑΙ,* τυχεῖν. Gu. *ΠΕΣΕΙΝ,* εὑρεθῆναι. Fl. 21.

V. 51. *ΤΟΥΜΟΝ,* βούλημα. Gu. τὸ ἐμὸν, ἤγουν τὸ τυχεῖν τάφου. Fl. 21. θέλημα. Fl. 59. κἀγὼ ὅσον ἤθελον εὑρεῖν, εἴληφα. Fl. 33.

Ib. *ΤΥΧΕΙΝ.* τὸ τυχεῖν ἀεὶ γενικῇ συντάσσεται. ἐνταῦθα δὲ τὸ ὅσον οὐ πρὸς τὸ τυχεῖν λέγεται, ἀλλὰ πρὸς τὸ προηγησάμενον τὸ ἐμόν.

V. 52. *ΓΕΡΑΙΑι.* τὸ γεραιᾷ οὐ πρὸς τὸ ἐκποδὼν ἐστὶν, ὡς οἴονταί τινες, ἀντίπτωσιν ποιοῦντες, ἐπειδὴ τὸ ἐκποδὼν γενικῇ συντάσσεται, ἀλλὰ πρὸς τὸ χωρήσομαι. ὥσπερ γὰρ φαμὲν, ἀφαιρῶ σοι χρήματα, οὐ πρὸς τὸ χρήματα συντάσσοντες τὸ σοί, ὥς τινες τῶν ἀμαθῶν οἴονται, ἀλλὰ πρὸς τὸ ἀφαιρῶ, — τὴν γὰρ ἀφαίρεσιν σοι ποιῶ· — οὕτω

καὶ τὸ χωρήσομαι τῇ Ἑκάβῃ ἐκποδὼν ἀντὶ τοῦ τὴν ὁρμὴν τῆς ἀποστασίας ποιῶ.

Ib. *ΕΚΠΟΔΩΝ,* ἐπίῤῥημα τοπικόν· μακρὰν δηλονότι. Fl. 21. τῇ δὲ γεραιᾷ μητρὶ ἐκποδὼν διαχωρισθήσομαι. Fl. 33. *ΧΩΡΗΣΟΜΑΙ,* ἀναχωρήσω, ἀπέλθω. Fl. 21. 56. 76. ἀντὶ τοῦ ὑποχωρήσω. Gu.

V. 53. *ΠΕΡΑι.* περᾷ δὲ ὑπὸ τὴν σκηνὴν τοῦ Ἀγαμέμνονος, ἵν᾽ αὐτόθι τῇ Κασάνδρᾳ ἐντύχῃ, ἥτις μαντεύσεται αὐτῇ περὶ τοῦδε τοῦ φαντάσματος.

Ib. *ΠΕΡΑι,* ἐκβάλει (sic) ἡ Ἑκάβη. Fl. 21. συνεκδοχὴ ἐστὶ περᾷ τὸν πόδα. Fl. 21. ἀπέρχεται γὰρ καὶ αὕτη καὶ τὸν πόδα κινεῖ πρὸς τὴν τοῦ Ἀγαμέμνονος σκηνήν. Fl. 33.

V. 54. *ΦΑΝΤΑΣΜΑ,* τὸν ὄνειρον. *ΕΜΟΝ,* ἤγουν ὅπερ εἶδε περὶ ἐμοῦ. Gu. *ΔΕΙΜΑΙΝΟΥΣ᾽,* φοβουμένη τὴν ἐμὴν φαντασίαν. καὶ γὰρ κατ᾽ ὄναρ ἐκείνῃ ὤφθη. Fl. 21. τὸ ἐμὸν φάντασμα φοβοῦσα, δειλιῶσα. Fl. 33.

V. 55. *ΦΕΥ.* θαυμαστικόν. Fl. 17. βαβαὶ ὦ μῆτερ, ἢ φεῦγε ὦ μῆτερ ἐκ τῶν βασιλικῶν οἴκων. Fl. 33. *ΗΤΙΣ,* σὺ οὖσα. Fl. 21. *ΕΚ ΤΥΡΑΝΝΙΚΩΝ ΔΟΜΩΝ,* ἤγουν μετὰ βασιλικοὺς οἴκους. Gu.

V. 56. *ΔΟΥΛΕΙΟΝ,* δουλικὴν ἡμέραν ἔγνως. Fl. 21. δουλοσύνης ἡμέραν ὑπέστης καὶ κακῶς πράττεις. Fl. 33. *ΩΣ,* λίαν δυςτυχήσεις. Fl. 21. *ΠΡΑΣΣΕΙΣ,* διάκεισαι. *ΠΡΑΣΣΕΙΣ ΚΑΚΩΣ* ἀντὶ τοῦ δυςτυχεῖς. Fl. 56. 59. 76. Gu.

V. 57. *ΟΣΟΝ ΠΕΡ,* ὅσον, ὁπόσον εὖ ποτε πρότερον ἔπραττες, νῦν κακῶς πράσσεις. Fl. 21.

ΑΝΤΙΣΗΚΩΣΑΣ, ἀντισταθμήσας. Gu. ἀνακουφίσας σέ τις θεῶν. Fl. 21. ἀναμετρήσας. Fl. 2. 6. ὅσον ποτὲ εὖ καὶ καλῶς εἶχες, νῦν δὲ δυςτυχίαν ὑπομένεις. τίς ἐκ τῶν θεῶν τῆς προτέρας ἡμῶν εὐπραξίας διέφθειρε καὶ ἠφάνισεν. Fl. 33.

V. 58. *ΦΘΕΙΡΕΙ,* ἀντὶ τοῦ ἔφθειρεν, ἔσφαλεν· φθείρειν γὰρ 7) τὸ ἀφανίζειν καὶ βλάπτειν· καθὸ λέγεται

7) γάρ Gu. δέ ed. Basil. Mox ed. Bas. ἀφανίζειν τὸ καὶ βλάπτειν, in quibus τὸ om. Gu.

ἔφθαρται τὰ δικαστήρια. *ΦΘΕΙΡΕΙ*, ἔβλαψεν. Fl. 17. 34. 56. 59. 76. Gu. *ΕΥΠΡΑΞΙΑΣ*, εὐπραγίας. Fl. 56. 59. 76. Gu. εὐτυχίας. Gu.

ΠΑΡΑΦΡΑΣΙΣ.

V. 1—58. Ἐγὼ ὁ Πολύδωρος, ὁ γεγονὼς υἱὸς τῆς Ἑκάβης, τῆς θυγατρὸς τοῦ Κισσέως, πατρός τε τοῦ Πριάμου, ἦλθον ἄρτι, ἀφεὶς τὸν ἀπόκρυφον τόπον τῶν νεκρῶν, καὶ τὰς πύλας τοῦ ἀφεγγοῦς τόπου, ὅπου ὁ ᾅδης ᾠκισμένος ἐστὶν, ὡς ἀπὸ μερισμοῦ δηλονότι, ἄνευ τῶν οὐρανίων θεῶν. ὅςτις ὁ Πρίαμος, ἐπεὶ κατέλαβε τὴν Τροίαν φόβος καὶ ὑποψία καταβληθῆναι ὑπὸ τοῦ Ἑλληνικοῦ πολέμου, φοβηθεὶς ἔξω ἔπεμψεν ἐμὲ τῆς Τρωϊκῆς γῆς πρὸς τὸ οἴκημα τοῦ Πολυμήστορος, τοῦ φίλου τοῦ Θρακικοῦς ὃς Πολυμήστωρ γεωργεῖ τὴν ἀρίστην καὶ ἐπαινετὴν πεδιάδα τῆς Χεῤῥονήσου, τὸν ἱππικὸν καὶ πολεμικὸν λαὸν διεξάγων διὰ τοῦ δόρατος. πολὺν δὲ χρυσὸν ἐξέπεμψεν ὁ πατὴρ σὺν ἐμοὶ κρυφίως, ἵνα, ἐάν ποτε καταβληθείη τὰ τείχη τῆς Τροίας, μὴ εἴη τοῖς ζῶσι παισὶ στέρησις καὶ ἔνδεια τοῦ βίου, ἤγουν τῶν συντελούντων πρὸς τὴν ζωήν. νεώτατος δ' ἦν τῶν παίδων τοῦ Πριάμου, διὸ καὶ κρυφίως ἔξω ἔπεμψεν ἐμὲ τῆς γῆς· οὔτε γὰρ δυνατὸς ἦν βαστάζειν ὅπλα, οὔτε ἔγχος, διὰ τοῦ ἁπαλοῦ καὶ τρυφεροῦ βραχίονος. ἐν ὅσῳ οὖν χρόνῳ τὴν ὀρθίαν εἶχον θέσιν τὰ ὁροθέσια τῆς γῆς, οἱ πύργοι τε τῆς Τρωϊκῆς χθονὸς ἦσαν ἀκατάβλητοι, καὶ ὁ Ἕκτωρ, ὁ ἐμὸς ἀδελφὸς, ηὐτύχει ἐν τῷ πολέμῳ, καλῶς παρὰ τῷ Πολυμήστορι, τῷ πατρικῷ φίλῳ, ἐν τροφαῖς, καθά τις κλάδος, ηὐξανόμην ὁ τάλας. ἐπεὶ δὲ ἡ Τροία ἀπώλετο, καὶ ἡ ζωὴ τοῦ Ἕκτορος ἀπώλετο, κατὰ κοινοῦ, καὶ ἡ οἰκία ἡ πατρικὴ ἠφανίσθη, αὐτός τε ὁ πατὴρ, ὁ Πρίαμος, ἔπεσεν, ἤτοι ἐφονεύθη, ἐν τῷ βωμῷ τῷ θεοκατασκευάστῳ, σφαγεὶς ἐκ τοῦ παιδὸς τοῦ Ἀχιλλέως τοῦ ἄγαν φονικοῦ, τοῦ Νεοπτολέμου δηλονότι, ἔκτεινεν ἐμὲ τὸν ταλαίπωρον ὁ πατρικὸς φίλος ἕνεκα τοῦ χρυσοῦ, καὶ κτανὼν ἔῤῥιψεν εἰς τὸ κῦμα τῆς θαλάσσης, ὅπως ἔχῃ τὸν χρυσὸν ἐν τοῖς δόμοις. κεῖμαι δὲ ἐν τῷ αἰγιαλῷ ἄλλοτε ἐν τῷ κλυδωνίῳ, καὶ τῇ ταραχῇ τοῦ πόντου, φερόμενος πολλοῖς δρόμοις κυμάτων, ἄταφος, ἤτοι ἐστερημένος ταφῆς. νῦν δὲ ὁρμῶ, ἤτοι φέρομαι, ἐπάνω τῆς μητρὸς τῆς Ἑκάβης τῆς προςφιλοῦς, ἔρημον ἀφεὶς τὸ ἐμὸν σῶμα, μετεωριζόμενος τρίτην ταύτην ἡμέραν ἤδη, ὅσον περ

ἦμαρ δηλονότι ἐν τῇδε τῇ γῇ τῇ Χεῤῥονησίᾳ πάρεστιν ἡ ἐμὴ μήτηρ ἐκ τῆς Τροίας ἡ ἀθλία. πάντες δὲ οἱ Ἀχαιοὶ, ἔχοντες καὶ οἰκοῦντες τὰς ναῦς, κάθηνται ἡσύχως ἐπὶ ταῖς ἀκταῖς τῆς χθονὸς τῆς Θρακικῆς. ὁ υἱὸς γὰρ τοῦ Πηλέως, ὁ Ἀχιλλεὺς, φανεὶς ἐπάνω τοῦ ἑαυτοῦ τάφου, ἐκράτησε πάντας τοὺς Ἕλληνας, κινοῦντας πρὸς τὸν οἶκον τὴν κώπην τὴν θαλασσίαν· ζητεῖ δὲ τὴν Πολυξένην σφάγιον ἐπὶ τῷ τάφῳ, ἤτοι ἐπάνω τοῦ τάφου, φίλον καὶ προςφιλὲς, αὐτῷ δηλονότι. καὶ ἐπιτυχὴς γενήσεται τοῦδε, οὐδὲ ἔσται ἀγέραστος παρὰ τῶν ἀνδρῶν τῶν φίλων, ἤτοι τῶν Ἑλλήνων. ἡ μοῖρα δὲ συνελαύνει καὶ φέρει θανεῖν ἀδελφὴν τὴν ἐμὴν κατὰ ταύτην τὴν ἡμέραν. θεάσεται δὲ ἡ μήτηρ δύο σώματα νεκρὰ δύο παίδων, ἐμοῦ καὶ τῆς κόρης τῆς δυστήνου. φανήσομαι δὲ ἐν τῷ αἰγιαλῷ ὁ ἄθλιος, ἔμπροσθεν τῶν ποδῶν τῆς δούλης, ἵνα τύχω ἐνταφιασμοῦ· τοὺς γὰρ ἐν τῷ ᾅδῃ δυναμένους Πλούτωνα καὶ Περσεφόνην ἐξῃτησάμην καὶ ἱκέτευσα ἐπιτυχεῖν τύμβου, ἤτοι ἐνταφιασμοῦ, καὶ πεσεῖν εἰς τὰς χεῖρας τῆς μητρός. τὸ ἐμὸν μὲν, ὅσον περ ἤθελον τυχεῖν, ἔσται, ὥςτε τυχεῖν τούτου δηλονότι. ὑποχωρήσω δὲ μακρὰν τῇ γεραιᾷ Ἑκάβῃ. διαπερᾷ γὰρ καὶ κινεῖ αὕτη τὸν πόδα ὑποκάτω τῆς σκηνῆς τοῦ Ἀγαμέμνονος, φοβουμένη τὸ ἐμὸν φάντασμα, τουτέστι τὸ ὄναρ, ὃ εἶδε περὶ ἐμοῦ. φεῦ, ὦ μῆτερ, ἥτις ἐκ τῶν βασιλικῶν οἴκων εἶδες ἦμαρ δούλειον, ἤτοι δουλείαν, λίαν δυςτυχεῖς, ὅσον περ ποτὲ ηὐτύχεις δηλονότι· ἀντισταθμήσας δέ τις τῶν θεῶν ἀπὸ τῆς πρότερον εὐτυχίας, ἔφθειρέ σε.

V. 59 sqq. Τὰ τοιαῦτα εἴδη καλεῖται συστήματα ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους. σύστημα δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶ, μέτρων συναγωγὴ ἤτοι δύο, ἢ πλειόνων, ἢ ὁμοίων, ἢ ἀνομοίων. ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν, Λακωνικὸν καλούμενον διὰ τὸ τὸν Λάκωνα Ἀλκμᾶνα τούτῳ πρῶτον χρήσασθαι. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων καταληκτικὰ δίμετρα, ἤτοι ἑφθημιμερῆ, ἢ μέτρον καλεῖται παροιμιακὸν, διὰ τὸ πολλὰς παροιμίας τούτῳ τῷ μέτρῳ γεγράφθαι. τὸ μέντοι ἑκκαιδέκατον κῶλον, τὸ λδ' καὶ τὸ τριακοστὸν ἕκτον μονόμετρά ἐστιν ἀκατάληκτα, ὃ καὶ ἀναπαιστικὴ ὀνομάζεται βάσις, τὰ δὲ πάντα κῶλα τοῦ συστήματος εἰσὶ λη, ὧν τελευταῖον, πέμ-

ψατε, δαίμονες, ἱκετεύω. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ τῷ τέλει κορωνίς.

Ib. *Ἐγερθεῖσα ἡ Ἑκάβη τεταραγμένη ἀπὸ τοῦ ὀνείρου ταῦτα φησίν.* Gu.

Ib. *ΑΓΕΤΕ, ἐπιῤῥηματικῶς, κομίσατε.* Fl. 21. *φέρετε.* Fl. 56. *ἐκβάλλετε.* Fl. 59. *ΠΑΙΔΕΣ, παιδίσκαι.* Fl. 56. *ΓΡΑΥΝ, τὴν ἀσθενήν.* Fl. 56. *ΠΡΟ ΔΟΜΩΝ, ἤγουν ἔξω τῶν σκηνῶν.* Fl. 21. *ἤγουν ἔξω τοῦ δόμου τοῦ ἐμοῦ καὶ ἔμπροσθεν τῶν δόμων τοῦ Ἀγαμέμνονος.* Fl. 59. *προϊοῦσα ἡ Ἑκάβη ἀπὸ τῆς σκηνῆς ταῦτα φησὶ χειραγωγουμένη ὑπὸ τῶν Τρωάδων δουλίων διὰ τὸ ἀδυνάτως βαδίζειν ὑπὸ τοῦ γήρως καὶ τῆς δυστυχίας.* Fl. 33.

V. 60. *ΟΡΘΟΥΣΑΙ, ὑψοῦσαι, ὑπερέουσαι* (an *ὑπηρετοῦσαι*?). Fl. 21. *ἤγουν ἐπὶ τῶν ποδῶν ἱστᾶσαι.* Fl. 17. *κουφίζουσαι.* Fl. 59. *ἀντὶ τοῦ ἀνορθοῦσαι.* Gu.

Ib. *ΟΜΟΔΟΥΛΟΝ. τὴν μεθ' ὑμῶν δοῦλον οὖσαν.* Fl. 21. *νῦν ὑποστηρίζεσθε τὴν ὁμόδουλον ὑμῖν, τὴν ἔμπροσθεν δὲ βασίλισσαν.* Fl. 33. *ἐμὲ δηλονότι, τήν ποτε μὲν δέσποιναν οὖσαν, νῦν διὰ τὴν αἰχμαλωσίαν ὁμόδουλον ὑμῖν. λέγει γὰρ ταῦτα πρὸς τὰς ἀπὸ τῆς Τροίας αἰχμαλώτους γυναῖκας.* Gu.

V. 61. *ΤΡΩιΑΔΕΣ, παῖδες ἐκ τῆς Τροίας.* Fl. 21. *ὦ γυναῖκες.* Fl. 56.

Ib. *ΠΡΟΣΘΕ, πρότερον δὲ οὖσαν ἄνασσαν ὑμῖν ἤγουν βασίλισσαν.* Fl. 21. *καὶ πρότερον δέσποιναν.* Fl. 17. *πρότερον οὖσαν δέσποιναν ὑμῶν.* Fl. 59.

V. 62. *ΛΑΒΕΤΕ, κρατήσατέ με.* Fl. 56. 59. Gu. *ΦΕΡΕΤΕ, βαστάζετε.* Fl. 56. 59. Gu. *ΠΕΜΠΕΤ', ἤγουν ἀποπέμπετε, ἔξω φέρετε.* Fl. 21. *ὁδοποιήσατε.* Fl. 6. *ὁδηγεῖτε.* Fl. 59. *ΑΕΙΡΑΤΕ, ἤγουν αἴρετε, ὑψώσατε, ἀναβαστάζετε.* Fl. 6. 59. *ΠΕΜΠΕΤ', ΑΕΙΡ. ἀνακουφίσατε. λείπει τὸ σῶμα.* Gu. *ΔΕΜΑΣ, σῶμα.* Fl. 17. 59. *ἐπιλάβετε καὶ ἐπάρατε, κουφήσατέ μου τῆς ἀδυναμίας.* Fl. 33.

V. 63. *ΓΕΡΑΙΑΣ ΧΕΙΡΟΣ, ἤγουν διὰ τῆς χειρὸς ἐμοῦ τῆς γεραιᾶς λαμβανόμεναι, ἐχόμεναι, ἁπτόμεναι.* Fl. 6. 21. [8]) Gu. *τὴν χεῖρα ἐμὴν τὴν γεραιάν.* Fl. 17. *χείρ, χειρὸς ἢ χερὸς Αἰολικῶς.* Gu.

8) In Gu. deest *διά* et *ἁπτόμεναι.*

Ib. *ΠΡΟΣΛΑΖΥΜΕΝΑΙ. ἔστι καὶ λάζυμαι καὶ λάζομαι, τὸ λαμβάνω, τὸ μὲν ἀπὸ τοῦ λάζυμι, τὸ δὲ ἀπὸ τοῦ λάζω. τὸ δὲ λάζω δύο σημαίνει, τὸ λαμβάνω καὶ τὸ ὑβρίζω. καὶ τὸ μὲν λαμβάνω γίνεται ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, καὶ τοῦ ἄγω ἄξω, ὃ δηλοῖ τὸ φέρω, καὶ τροπῇ τοῦ διπλοῦ εἰς διπλοῦν, ἑλάζω καὶ λάζω. τὸ δὲ ὑβρίζω ἀπὸ τοῦ ἐπιτατικοῦ μορίου καὶ τοῦ ξέω· ἔστι δὲ Αἰολικόν.* [9]) *ἀπὸ γοῦν τοῦ λάζομαι παθητικοῦ, τοῦ δηλοῦντος τὸ λαμβάνω, γίνεται τὸ λαζοίατο παρὰ τῷ ποιητῇ, οἷον ὀδὰξ λαζοίατο γαῖαν* (Il. β', 418). *καὶ δῆλον ἐντεῦθεν, ὅτι διαφορεῖται* (l. *διφορεῖται*) *κατὰ τὴν σύνταξιν. ΠΡΟΣΛΑΖΥΜΕΝΑΙ, ὑψούμεναι.* Fl. 21. *προσλαβόμεναι, Αἰολικῶς ἔτρεψε τὸ β εἰς ζ, τὸ δὲ ο εἰς υ.* Fl. 25. 6. *λήβω, ὁ μέλλων λήψω, καὶ ἐξ αὐτοῦ ἄλλο ῥῆμα* [10]) *λαβάζω, καὶ κατὰ συγκοπὴν λάζω, λάξω, τὸ λαμβάνω.* Fl. 6. 25.

V. 64. *ΣΚΟΛΙΩι ΣΚΙΜΠΩΝΙ, λοξῷ ῥάβδῳ.* Fl. 34. 56. 59. 76. Gu. *ἐν καμπτῷ ῥάβδῳ.* Fl. 21. *ἐπερειστικὴ βακτηρία.* Gu. *σκίπων λέγεται ἡ ῥάβδος. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ σκιὰν ποιεῖν, ἢ ἀπὸ τοῦ σκεδαννύειν τὰ βλάπτοντα. δι' αὐτῆς γὰρ σκεδάννυμεν τὰ καθ' ἡμῶν διά τινα βλάβην ἐπερχόμενα.* Fl. 6. 25. *καὶ ἐγὼ ἐπικαμπεῖ βακτηρίᾳ διὰ χειρὸς λαβοῦσα.* Fl. 33.

V. 65. *ΔΙΕΡΕΙΔΟΜΕΝΑ, ἀναπαυομένη.* Fl. 21. *ἤγουν διὰ τῆς χειρὸς στηριζομένη.* Gu.

Ib. *ΒΡΑΔΥΠΟΥΝ. βραδύπους, ὁ βραδὺς τοὺς πόδας. ἐνταῦθα δὲ τὴν κίνησιν λέγει βραδύπουν, τὸν πόδα τιθεὶς* [1]) *ἀντὶ τῆς πορείας. ΒΡΑΔΥΠΟΥΝ, ἀργὴν διὰ τὸ γῆρας.* Baroc. 74. *ΒΡΑΔΥΠ. βραδεῖαν, τὴν βραδυκίνητον.* Fl. 59. *στηριζομένη σπουδάσω τὴν βραδεῖαν ἔλευσιν ἐνδυναμοῦσα.* Fl. 33.

V. 66. *ΗΛΥΣΙΝ, πορείαν. εἰώθασιν οἱ ποιηταὶ μετατιθέναι τοὺς χρόνους· τὸ γὰρ ὀλοημένην* (l. *ὀλουμένην*)

9) Verba *καὶ τὸ μὲν λαμβάνω — λάζω* sunt etiam in Flor. 6. 25. nisi quod in 6. *ἐλάζω καὶ λάζω*, in 25. tantum *ἐλάζω καὶ* desunt. Ex iisdem verba *τὸ δὲ ὑβρ. — Αἰολικόν* desumta sunt, quum in editis schol. tantum esset, *τὸ δὲ ὑβρίζειν ἀπὸ τοῦ λίαν ζέειν.*

10) Fl. 25. *καὶ ἐξ αὐτοῦ ἄλλος μέλλων λαβάζω.*

1) Musgr. *συντιθεὶς.* Gu. *συντεθεὶς.*

οὐλομένην λέγουσιν, οὕτω καὶ τὴν ἔλευσιν, ἤλυσιν. [2]) *ΗΛΥΣΙΝ*, πόρευσιν. Fl. 59. σπεύσω τὴν κίνησιν τὴν βραδύπουν διὰ τῶν ἐμῶν ποδῶν ἁρμονιῶν. Fl. 21. *ΠΡΟΤΙΘΕΙΣΑ*, ἐμαυτὴν καὶ διερειδομένη. Fl. 21. προβιβάζουσα. Fl. 6. 59. καὶ πορείαν τῶν ἐμῶν μελῶν προσθήσω διὰ τὴν συμφοράν. Fl. 33.

V. 67. *Ω ΣΤΕΡΟΠΗ Δ.* ἀντὶ τοῦ ὦ ἡμέρα, ἡ δίκην ἀστραπῆς λάμπουσα· ἢ ἐπειδὴ πρὸς τὴν τοιαύτην ὄψιν ἐδυσχέραινε, ποιεῖ τὸν λόγον πρὸς τὴν ἀστραπὴν τοῦ Διός, ἵνα ἀποτρέψῃ αὐτὴν καὶ ἀφανίσῃ. *Ω ΣΤΕΡΟΠΑ*, ἤγουν ὦ ὄνειρον. Fl. 59. αὐτὸν τὸν Δία ἐπικαλεῖται. Fl. 22. Gu. στεροπὴν ἐνταῦθα τὸν ὄνειρον κατὰ τὴν ἀστραπὴν * ταχέως ἀφανίζεται, ἢ διὰ τὸ καταπληκτικόν, ὥςπερ καὶ ἡ ἀστραπή. Fl. 59.

Ib. *ΣΚΟΤΙΑ*, μέλαινα. Fl. 21. ὦ ἀστραπὴ τοῦ Διός, ὦ σεβασμία νύξ· καὶ οὕτως· ὦ σελήνη, ἡ δίκην ἀστραπῆς καταυγάζουσα τὸν νυκτερινὸν καιρόν. Fl. 33.

V. 68. *ΤΙ ΠΟΤ'*, τίνος ἕνεκεν, πῶς. Fl. 17. 21. *ΑΙΡΟΜΑΙ*, ἀντὶ τοῦ ἐπαίρομαι καὶ μετεωρίζομαι καὶ ὥςπερ ἀνάστατός εἰμι· *ΕΝΝΥΧΟΣ* δ' εἶπε πρὸς τὸ αἴρομαι, δέον ἐννύχως εἰπεῖν. *ΑΙΩΡΟΥΜ'*, ἐπαίρομαι. Fl. 6. ἐκφοβοῦμαι. Fl. 59. φαντάζομαι, μετεωρίζομαι ἀπὸ τοῦ καθεστηκότος. Ib. διὰ τί ποτε φαντάζομαι ἐν τῇ νυκτὶ οὕτως. Fl. 33.

V. 69. *ΔΕΙΜΑΣΙ, ΦΑΣΜΑΣΙΝ*, φόβοις φασμάτων· ἡ δοτικὴ ἀντὶ γενικῆς. Fl. 6. 17. 56. 59. 76. [3]) ἐν δείμασι φαντασμάτων ἐχρῆν εἰπεῖν, ἀλλ' ὅμως ἀντὶ γενικῆς ἡ δυτικὴ φέρεται. Fl. 21. τὸ δείμασι φαντάσμασιν, ἢ ἐν φαντάσμασι καὶ ὀνείροις, δείμασι καὶ δειματοποιοῖς, ὥςπερ καὶ σχέτλιος ὁ σχετλιοποιός, συντακτέον, ἢ καὶ οὕτως, ἤγουν ἐν δείμασι καὶ φοβήμασι, καὶ ἐν φαντάσμασιν. Fl. 59. φοβερισμοῖς, φαντασίαις. Fl. 33. φοβήμασι, ἐνυπνίοις. Gu.

Ib. *Ω ΠΟΤΝΙΑ ΧΘΩΝ*, ὦ σεβασμία γῆ. Fl. 17. 21.

2) Excidit hoc scholion in Musgr.

3) Gu. οἷον φασμάτων. ἡ δοτικὴ ἀντὶ γενικῆς ὀνείρασι φάσμασιν ἔρωσιν. in quo scholio, rubrica scripto, verba φασμάτων — γενικῆς uncis atramento pictis seclusa sunt.

33. 59. Gu. ἢ οὕτως· ὦ μητρικὴ γῆ, τί δή μοι ὧδε τὰ σκοτεινὰ ὄνειρα καὶ δι' ὅλης νυκτὸς ἀποπλανῶμαι διὰ τὴν τῶν ὀνείρων θεωρίαν. Fl. 35.

V. 70. *ΜΕΛΑΝΟΠΤ. Μ. ΟΝ.* μητέρα τῶν ὀνείρων εἶπε τὴν γῆν, ἢ ὅτι ἐξ ἀντιφράξεως [4]) τῆς σκιᾶς αὐτῆς ἡ νὺξ γίνεται, καθ' ἣν οἱ ἄνθρωποι καθεύδοντες [5]) τοὺς ὀνείρους βλέπουσιν, ἢ καθ' ἑτέρους, ὅτι ἐκ μὲν τῆς γῆς αἱ τροφαί, ἐκ δὲ τῶν τροφῶν οἱ ὕπνοι, ἐκ δὲ τῶν ὕπνων οἱ ὄνειροι· τῆς γῆς ἄρα οἱ ὄνειροι [6]). *ΜΕΛΑΝΟΠΤ.* δὲ τοὺς ὀνείρους εἶπεν, ὅτι ἐν τῷ σκότει δοκοῦσιν ἵπτασθαι· ἄστατοι γάρ εἰσι. [7])

Ib. *ΜΕΛΑΝΟΠΤΕΡΥΓΩΝ*, διὰ τὸ τὴν νύκτα ἔρχεσθαι μέλανοι καλοῦνται. Fl. 21. τῶν μελαίνας πτέρυγας ἐχόντων. Fl. 17. μελάνων, ἀφανῶν καὶ σκοτεινῶν. Fl. 59. πτέρυγας τιθέασιν οἱ Ἕλληνες πᾶσι τοῖς σύντομον ἔχουσι κίνησιν. Gu.

Ib. *ΜΑΤΕΡ*, αἰτία. Fl. 17. δημιουργή. Fl. 6.

V. 71. *ΑΠΟΠΕΜΠΟΜΑΙ*, ἤγουν ἀποτροπιάζομαι. Fl. 6. 17. 34. 56. 76. 59. Gu. ἤγουν ὁρῶ καὶ κεῖμαι εἰς νυκτερινὸν φάντασμα. Fl. 21.

Ib. *ΟΨΙΝ*, θέαν. Fl. 17. ὄνειρον. Fl. 59.

V. 72. *ΤΟΥ ΣΩΖΟΜΕΝΟΥ.* οὐκ εἶπε τοῦ [8]) ὄντος, ἀλλὰ τοῦ [8]) σωζομένου· ὃ γὰρ ἠβούλετο, τὸ σώζεσθαι τὸν παῖδα δηλονότι, τοῦτο καὶ λέγει [9]). *ΤΟΥ ΣΩΖ.* ἤγουν τοῦ τρεφομένου. Fl. 21. *ΚΑΤΑ*, εἰς. Fl. 21. τοῦ κατὰ τὴν Θρήκην φυλαττομένου. Fl. 33.

V. 73. *ΑΜΦΙ*, ὁμοῦ καὶ περὶ τῆς Πολυξένης· ἀπὸ κοινοῦ ὑπακούεται τὸ εἶδον. ἀμφὶ ποιητικόν, ἢ περὶ κοινόν.

4) Gu. ἀντιφράσεως.

5) Gu. καθεύδ. οἱ ἄνθρ.

6) τῆς γ. — ὄν. om. Gu.

7) Post hoc scholion in Flor. 59. subiicitur huiusmodi figura:



8) Gu. om. τοῦ.

9) Gu. ὃ γὰρ ἠβ. τοῦτο καὶ λέγει, τὸ σώζ. δηλον. τὸν π.

Gu. *ΦΙΛΗΣ*, ἀγαπητικῆς. Fl. 59. καὶ περὶ τῆς προςφιλεστάτης μου θυγατρὸς Πολυξένης διὰ τῶν νῦν ὀνείρων καὶ φαντασμάτων. Fl. 33.

V. 74. *ΕΙΔΟΝ*, ἐθεασάμην. Fl. 59. ἐθεάθην γὰρ φοβερὰν θεωρίαν καὶ ἔγνω (l. ἔγνων). Fl. 33. τὸ *ΕΙΔΟΝ* τὸ ὄπισθεν καὶ τοῖς πρόσθεν ἐπεκτείνεται. Gu.

Ib. *ΦΟΒΕΡΑΝ*, φόβον ἐμποιοῦσαν. Fl. 6. 17. θαυμασίαν. Fl. 21. *ΕΜΑΘΟΝ*, ἐκ παραλλήλου ἐνόησα. Fl. 6. τί ἐστί. Fl. 21. *ΕΔΑΗΝ*, ἐδιδάχθην. Fl. 6. 21. τὸ αὐτό. Fl. 17. ἐδιδάχθην ἤγουν ἐπιστημονικῶς ἔμαθον. Fl. 59. ἔμαθον ἐπιστημόνως. Gu.

V. 75. *ΧΘΟΝΙΟΙ* καὶ [10]) οἱ ἐπιχθόνιοι, ἤτοι οἱ ἐπάνω τῆς γῆς, τουτέστιν οἱ ἐγχώριοι καὶ ἐντόπιοι, καὶ οἱ ὑποχθόνιοι, ἤτοι οἱ ὑποκάτω τῆς γῆς. *ΧΘΟΝΙΟΙ*, γηΐνοι. Fl. 21. Τρωϊκοί. Fl. 56. ὑπόγειοι. Gu. Πλούτων καὶ Περσεφόνη. Fl. 59. Gu. *ΣΩΣΑΤΕ*, (ζῶντα. Gu.) φυλάξατε. Fl. 17. 59. Gu. ὦ καταχθόνιοι θεοὶ, διασώσατε τὸν ἐμὸν παῖδα Πολύδωρον. Fl. 33.

V. 76. *ΟΣ ΜΟΝΟΣ*. Ἢ πρὸς τὸ μόνος ὑποστικτέον, ἵν' ᾖ τό τε οὐκ ἀργὸν, οὕτως· ὃς μόνος ὑπάρχων ἐμοὶ ἀπὸ τῶν ἐμῶν παίδων, καὶ ἄγκυρα τῶν ἐμῶν οἴκων, ἐπειδὴ εἰκός ἐστιν αὐτὸν ἀνακτίσασθαι (l. — κτήσασθαι) τὴν ἡμῶν ἀρχὴν, κατέχει τὴν χιονώδη Θρᾴκην· ἢ τὸ *ΑΓΚΥΡΑ* πρὸς τὸ οἴκων καὶ πρὸς τὸ ἐμῶν ἐκληπτέον, οὕτως· ὃς μόνος ἄγκυρα ὢν τῶν οἴκων, καὶ τῶν ἐμῶν, ἤτοι τῶν κατ' ἐμὲ πραγμάτων, κατέχει τὴν Θρᾴκην· ἢ *ΟΙΚΩΝ ΑΓΚΥΡΑ* [1]), τουτέστι τελευταία ἄγκυρα, ἀπὸ μεταφορᾶς τῶν ναυτιλλομένων, οἳ τὰς ἄλλας ῥίψαντες ἀγκύρας, ἂν μηδὲν δι' [2]) αὐτῶν ἀνύσωσιν, ἐπὶ τῇ τελευταίᾳ τὰς ἐλπίδας ἔχουσιν. *ΑΓΚΥΡΑ*, ἀσφάλεια, βασιλεία. Fl. 21. στερέωμα. Fl. 17. ἄγκυρα καὶ στήριγμα καὶ ῥίζα. Fl. 59. ὅστις μόνος, ἤλπιζον ὑπάρχειν τῶν ἡμετέρων οἴκων κληρονόμος. Fl. 33.

10) καί deest in King. et Musgr.

1) In cod. Guelph. praemissa sunt ista: ὃς καὶ ἄγκυρα ὢν μόνος τῶν ἐμῶν οἴκων τὴν χιονώδη Θρᾴκην κατοικεῖ· τοιαύτη γὰρ ἡ Θρᾴκη διὰ τὸ εἶναι βόρειος καὶ ὑψηλοτέρα· τουτέστι τελ. κ. τ. λ.

2) Sic Gu. Vulgo δή.

V. 77. *ΧΙΟΝΩΔΗ*, τὴν ψυχράν. Fl. 6. 17. 56. 59. 76. Gu. τὴν συνεχῶς χειμάζουσαν. Fl. 21. *ΚΑΤΕΧΕΙ*, οἰκεῖ. Fl. 6. 17. ἀντὶ τοῦ ἔχει (οἰκεῖ Gu.). ἡ κατὰ περισσή. Fl. 6. 56. 59. 76. Gu. κατέχων αὐτὸς καὶ φυλάττων εἰς τὴν χιονώδη Θρᾴκην. Fl. 33.

V. 78. *ΦΥΛΑΚΑΙΣΙΝ*, ἐν συντηρήσεσιν. Fl. 21. ἀσφαλείαις. Fl. 59. ἐν ταῖς τηρήσεσι τοῦ πατρικοῦ φίλου ἦν. Fl. 33. ἐπιτηρήσεσι. Gu.

V. 79. *ΗΞΕΙ ΤΙ ΝΕΟΝ*. νέον, τὸ νεαρὸν καὶ τὸ χαλεπὸν, ὡς ἐνταῦθα. *ΕΣΤΑΙ ΤΙ Ν.* γενήσεται ὃ οὐ γινώσκομεν. τὸ νέον λαμβάνεται καὶ ἐπὶ καινοῦ τινὸς καὶ ἐπὶ δεινοῦ. Fl. 6. 25. ἔσεται πρᾶγμα μάταιον. Fl. 21. νεοστόν. Fl. 56. γενήσεται καινόν. Fl. 59. τὸ νέον ἀντὶ τοῦ δεινόν· τὸ νεωστὶ, τὸ ἰσχυρὸν, τὸ ἁπαλὸν καὶ τὸ παράδοξον, ὅπερ καὶ ἐνταῦθα. Fl. 59.

V. 80. *ΓΟΕΡΟΝ*. τὸ γοερὸν καὶ ὁ γόος καὶ τὸ κωκύειν ποιαὶ φωναὶ εἰσὶ, καὶ ταὐτὰ (ταυτὸν Gu.) εἰσὶ τῇ τε ἐννοίᾳ καὶ τῇ προφορᾷ. συγγενῆ γάρ εἰσι τὸ γ (τό τε γ Gu.) καὶ τὸ κ. μέσον γάρ ἐστι τὸ γ τοῦ κ καὶ χ. *ΜΕΛΟΣ ΓΟΕΡΟΝ*, θρῆνος θρηνῶδες. Fl. 6. λυπηρὸν, θλιβερὸν ἐν ἡμῖν ταῖς ἀθλίαις. Fl. 21. ποιαὶ φωναί. Fl. 17. ἐλεύσεται θρῆνος θρηνητικὸν ἡμῖν ταῖς θρηνούσαις. Fl. 59. παραγενήσεταί τι μέλος θρηνητικὸν ἡμῖν. Fl. 33.

V. 81. *ΟΥΠΟΤ' ΕΜΑ ΦΡΗΝ*. οὔποτε, φησὶν, ἡ ἐμὴ φρὴν οὕτω φρίσσει. εἶτα ἐπάγει ἀλίαστος, ἤγουν ἄφυκτος [3]), τουτέστιν, ὃ φοβεῖται ἡ ἐμὴ φρὴν, οὐ δύναται τοῦτο φυγεῖν. τὸ ταρβεῖν δὲ ταυτὸν τῷ φρίσσειν. ἢ οὔποτε ὁ ἐμὸς λογισμὸς ταρβεῖ, ὡς ἔξω φόβων καὶ κακῶν εἶναι [4]). *ΟΥΠΟΤ*. φησὶν ἡ Ἑκάβη, ὅτι οὐδέποτε δεδίττω τι καὶ γίνομαι ἄφυκτος ἐκείνου. Ἄλλως. οὐδέποτε ἡ ἐμὴ ψυχὴ ἀχώριστος μένει φόβου, τουτέστιν, ἀεὶ ἐν κακοῖς εἰμί. Fl. 25. οὐδέποτε, φησὶν, ἡ ἐμὴ ψυχὴ ἢ ἐμοὶ (l. ἢ ἡ ἐμὴ) διάνοια ὧδε φόβου ἀχώριστός ἐστιν, ἀλλ' ἀεὶ τρέμει καὶ φοβεῖται. οἱονεὶ ὅτι φοβοῦμαι καὶ ὑπονοῶ λέγεται. Fl. 33. *ΑΛΙΑΣΤΟΣ*, ἀνέκφευκτος· ἀπὸ τοῦ λιάζω τὸ ἐκφεύγω, τουτέστιν, οὐδέποτε ἐκφεύγει ἡ δειλία ἀπὸ τῆς ἐμῆς ψυχῆς. Fl. 25. ἀμέτοχος. Fl. 17. ἤρεμος, ἀτάραχος. Gu.

3) Gu. ἀφύκτως φρίσσει.

4) Verba: τὸ ταρβεῖν — εἶναι om. Gu.

V. 82. *ΦΡΙΣΣΕΙ, ΤΑΡΒΕΙ,* θαυμάζει, δειμαίνει. Fl. 21. τὸ μὲν φρίσσει καὶ ταρβεῖ ταυτόν ἐστιν· ὁ δὲ νοῦς· οὐδέποτε ἡ ἐμὴ ψυχὴ ὑπονοεῖ τι καὶ τούτου ἀχώριστος γίνεται. Fl. 25.

V. 83. *ΘΕΙΑΝ,* ἀρίστην, τοῦ ἐμοῦ υἱοῦ τοῦ μάντεος ψυχήν. Fl. 21. ἄρα μαντικὴν, τουτέστι τὸν Ἕλενον· ἔζη γάρ. Fl. 6. 56. 59. 76. Gu. τουτέστι τὸν Ἕλενον. ἀπὸ τοῦ κρείττονος μέρους αὐτὸν ὀνομάζει, ὥςπερ καὶ ἡμεῖς ἀντὶ τοῦ τὸν δεῖνα εἰπεῖν τὴν ἱερὰν λέγομεν κεφαλήν. Fl. 59. ὁ Ἕλενος καὶ ἡ Κασάνδρα μαντικοὶ ἦσαν, δι' ὃ λέγει· ποῦ μοι ὁ Ἕλενος καὶ ἡ θεία αὐτοῦ ψυχὴ, καὶ ἡ Κασάνδρα, ἵνα μοι κρίνωσι τοὺς ὀνείρους. Fl. 33.

Ib. *ΕΛΕΝΟΥ Ψ.* Ἑλένου καὶ Κασάνδρας ἐν ναῷ Ἀπόλλωνος ὄντων, ἐλθόντες ὄφεις, καὶ τὰ αὐτῶν περιλείξαντες ὦτα, οὕτως ὀξυηκόους εἰργάσαντο, ὡς μόνους τὰς τῶν θεῶν ἀκούειν βουλὰς καὶ μάντεις ἄκρους εἶναι. εἶπε δὲ ψυχὴν Ἑλένου, ἐπειδὴ τεθνηκὼς ἦν, Κασάνδραν δὲ καὶ οὐ Κασάνδρας, ἐπειδὴ ζῶσα ἦν. 5)

V. 84. *ΚΑΣΑΝΔΡΑΣ,* τὴν θείαν ψυχήν. Fl. 59. θεάτης ἐμῆς θυγατρός. Fl. 21. *ΕΣΙΔΩ,* θεάσω. Fl. 6. θεάσομαι. Gu. ὄψομαι. Fl. 21. οὐκ εἶπεν ὄψομαι ὁριστικῶς, ἀλλ' ἐςίδω ὑποτακτικῶς· ἀεὶ γὰρ τὰ ἀπορηματικὰ, τουτέστι τὰ ἀπορίαν ἐμφαίνοντα, ὑποτακτικοῖς συντάσσονται, οἷον τίς γένωμαι, καὶ πῆ τράπωμαι. 6) οὕτω δὲ χρὴ γράφειν καὶ ταῦτα τὰ κῶλα, ἵν' ᾖ δίμετρα, ὡς τὰ πολλά. ἐν γὰρ τοῖς ἀναπαιστικοῖς μονόμετρα μόνον διὰ μέσου εὕρηται, οὐ μὴν καὶ δίμετρα καταληκτικὰ, ἀλλ' ἐν μόναις ταῖς ἀποθέσεσι. διὰ τοῦτο οὖν οὕτως ὠρθώθη παρ' ἡμῶν. εἰ δέ τις μέμφοιτο τὰς προθέσεις, ἀλλ' ἴστω, ὡς οὐκ ἂν ἔχοι τις ἄλλως ταυτὶ διορθώσασθαι.

5) His de suo allevit Barn. uncis tamen inclusa: ἐνταῦθα μὲν δὴ ὁ Ἀρσένιος λίαν ἐσφάλη, ἔτι γὰρ περιῆν ὁ Ἕλενος καὶ πολύ γε ὕστερον, οἷα μετὰ τὴν τοῦ Νεοπτολέμου ἀναίρεσιν τὴν Ἀνδρομάχην γεγαμηκώς.

6) Sqq. inter scholia metrica retulit Musgr. p. 532 et cum Kingio sq. scholio adiunxit: καὶ τόδε — φόβημά ἐστιν. idem pro ὡς τὰ πολλά dederunt ὡς τὰ λοιπά.

V. 85. *ΚΡΙΝΩΣΙΝ,* ἵνα διαλύσωσι, ἤγουν διακρίνωσιν, ὅθεν καὶ ὀνειροκρίτης. Fl. 6. 21. 56. 59. 76. διερμηνεύσωσιν· ὅθεν καὶ ὀνειροκρίτης. Gu.

V. 86. *ΕΙΔΟΝ ΓΑΡ.* ἐξήγησις τοῦ ὀνείρου. Fl. 21. ἐθεασάμην. Fl. 59. *ΒΑΛΙΑΝ.* βαλιὰ ἀπὸ τοῦ βάλλω. Fl. 9. τὴν ὀξεῖαν καὶ οἷον σύντονον τῷ σώματι, ἀπὸ τοῦ λίαν βαίνειν· ἢ βαλιὰν ἐνεργὸν τῷ βήματι, ἢ τὴν κατάστικτον καὶ ποικίλην. βαλιὰ ἡ κατάστικτος ἔλαφος λέγεται, καὶ βαλιὰ ἡ δρομικωτάτη, ἡ βαίνουσα λίαν. Fl. 25. τὸ βαλιὰν ἢ τὸ ταχεῖαν ἀπὸ τοῦ λίαν βαίνειν, ἢ τὴν κατάστικτον ὀξυτόνως, ἀπὸ τοῦ τὰς στίξεις αὐτῆς βολαῖς καὶ τρώσεσιν ἐοικέναι, ἤγουν αἱματώδεις καὶ κοκκίνους. Fl. 59. βαλιάν, ἔλαφος ἡ τελεία καὶ ὀξεῖα ἐκ τοῦ βαίνειν λίαν. Fl. 33.

Ib. *ΑΙΜΟΝΙ Χ.* αἱματηρῷ ὄνυχι. Fl. 17. 21. Gu. *ΧΑΛΑι.* διὰ ὄνυχος. Fl. 6. χεῖλος τὸ τοῦ ἀνθρώπου ἀπὸ τοῦ χέω διὰ διφθόγγου· χηλὴ δὲ ὁ ὄνυξ ἀπὸ τοῦ χαλῶ. Fl. 9.

V. 87. *ΣΦΑΖΟΜΕΝΑΝ.* συνάπτεται τοῦτο πρὸς τὸ οἰκτρῶς. Fl. 6. ὑπὸ λύκου κατάστικτον διὰ τῶν χηλῶν ἤγουν ὀνύχων σφαζομένην. Fl. 33.

Ib. *ΑΠ' ΕΜΩΝ.* τὸ σχῆμα πρωθύστερον. Fl. 59. *ΣΠΑΣΘΕΙΣΑΝ,* ἁρπασθεῖσαν μετὰ ἀνάγκης, βιαίως. Fl. 17. 21. 34. 56. 76. ἁρπασθεῖσαν καὶ ἑλκυσθεῖσαν, ἤγουν σὺν βίᾳ. Fl. 59. καὶ ἀπὸ τῶν ἐμῶν κόλπων ἀποσπασθεῖσαν δι' ἀνάγκης ὀδυνηρῶς. Fl. 33. ἤγουν ἁρπασθεῖσαν (ἀφαιρεθεῖσαν). Gu.

V. 88. *ΟΙΚΤΡΩΣ,* ἤγουν οὕτως, ὥστε ἐλεῆσαι τινὰ ἰδόντα καὶ καμφθῆναι. C. C. C. ἀνηλεῶς. Fl. 21. 56. ἐλεεινῶς. Gu.

Ib. *ΚΑΙ ΤΟΔΕ ΔΕΙΜΑ.* καὶ τόδε, ὃ μέλλω εἰπεῖν, φόβημά ἐστιν, τὸ φάντασμα τοῦ Ἀχιλλέως, τὸ φανὲν δηλονότι ὑπὲρ τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλθεν ἐμοί. 7) *ΔΕΙΜΑ,* τὸ φόβημα. Fl. 6. 17. καὶ

7) Huius scholii partem tantum, καὶ τόδε — φόβημά ἐστιν, inter scholia metrica dedit Musgr.: nam reliqua leguntur etiam in paraphrasi.

τοῦτο φάντασμα τοῦ Ἀχιλλέως πλέον με φοβεῖσθαι ποιεῖ· συντείνει γὰρ εἰς τὸν ὄνειρον. ἢ οὕτως· ἢ εἰς ἐμὲ ἐτράπη τὰ κακὰ Ἀχιλλέως, γέρας ζητοῦντος τοὺς Ἕλληνας μίαν τῶν Τρωϊκῶν γυναικῶν. ἰδικῶς τὴν πόλιν ᾐτήσατο, ἀλλὰ μίαν τῶν αἰχμαλώτων κάλλει ὑπερφέρουσαν. Fl. 25. ΤΟΔΕ, ὅπερ εἶδον. ΔΕΙΜΑ, φόβος. Gu.

V. 89. ΥΠΕΡ ΑΚΡΑΣ, ἄνω ὑπὲρ τοῦ ἄκρου τῆς κορυφῆς τοῦ τύμβου. Fl. 6. 21. 56. 59. 76. τοῦ ἐν Χεῤῥονήσῳ κενοταφίου. ἐτάφη γὰρ ἐν Τροίᾳ φονευθεὶς ὑπὸ Πάριδος ἐν τόξοις εἰς τὸν τῆς Ἀθηνᾶς νεὼν, ὅτε τοῦτον ἔμελλε Πρίαμος Πολυξένῃ συνάψαι. εἰκότως δὲ ταύτην σφάγιον ᾔτησεν, ὅτι δι' αὐτὴν πεφόνευται. τὸ δὲ ποιεῖν κενοτάφιον ἔθος ἦν τοῖς Ἕλλησιν εἰς τιμὴν καὶ μνήμην τῶν ἀποιχομένων. Gu.

V. 90. ΦΑΝΤΑΣΜ', τὸ φανὲν δηλονότι καὶ τὸ εἴδωλον. Fl. 17. 59. καὶ τὸ τοιοῦτον δεῖμα καὶ φόβισμα ἦλθεν ὑπὸ τῆς κορυφῆς καὶ ἄκρας τοῦ Ἀχιλλέως τάφου, δῆλον τὸ ὅραμα. Fl. 33. ΦΑΝΤΑΣΜΑ, διὰ τό. (εἴδωλον.) Gu.

V. 91. ΓΕΡΑΣ, τιμήν. Fl. 21. Gu. εἰς τιμήν. Fl. 17. ΠΟΛΥΜΟΧΘΩΝ, τῶν πολλὰ κοπιασάντων. Fl. 17. δυστυχῶν. Fl. 59. δυστυχεστάτων, (πολυπαθῶν.) Gu.

V. 92. ΤΡΩΙΑΔΩΝ, γυναικῶν δηλονότι. Fl. 21. καὶ ἐζήτει τιμὴν μίαν ἐκ τῶν Τρωϊκῶν γυναικῶν τῶν ὑπομενουσῶν πολλὰ κακά. Fl. 33.

V. 93. ΑΠ', μακράν. τὸ δευτερολογεῖν ἢ ἐπὶ χαρᾶς ἢ ἐπ' ἐκπλήξεως, ὡς ἐνταῦθα, ἢ ἐπὶ θλίψεως. Gu. ΤΟΔΕ, ἤγουν τὸ αἴτημα, (τὴν τοῦ γέρους [sic] αἴτησιν ἢ τὸ δεῖμα.) Gu. αἴτησιν τῆς Πολυξένης. Fl. 6. τὸ φάντασμα καὶ τὸ δεῖμα. Fl. 21. 56. τὸ ζήτημα τοῦ Ἀχιλλέως. Fl. 59.

V. 94. ΠΕΜΨΑΤΕ, ἀποστήσατε. Fl. 17. ἀποπέμψατε, ὦ θεοί. Fl. 21. 17. ἀποδιώξατε. Gu. ὦ θεοὶ, ἱκετεύω ἐκβῆναι τὸν ὄνειρον ἐπ' ἀγαθῷ. Fl. 33.

V. 59—94. ΠΑΡΑΦΡΑΣΙΣ. ὦ παῖδες, ὦ δοῦλαι, ἄγετε τὴν γραῦν, ἐμὲ δηλονότι, πρὸ τῶν δόμων, ἤτοι ἔξω τῶν οἴκων. ἄγετε, ὦ Τρῳάδες, ὀρθοῦσαι, ἀντὶ τοῦ ἀνορθοῦσαι καὶ ἀναβαστάζουσαι, τὴν ὁμόδουλον ὑμῖν νῦν, πρόσθεν δὲ καὶ πρότερον ἄνασσαν. λάβετε, ὡς γραῦν δηλονότι, φέρετε, ὡς ἄψυχον τρόπον τινά, πέμπετε, ἀντὶ τοῦ παραπέμπετε, ὡς ἄνασσαν δηλονότι, ἀείρετε, ἀντὶ τοῦ αἴρετε καὶ ἀνακουφίζετε, τὸ δέμας ἐμοῦ, προσλαζύμεναι, ἤτοι λαμβανόμεναι καὶ ἐχόμεναι, τῆς γεραιᾶς χειρὸς, ἐμοῦ δηλονότι. καὶ ἐγὼ ἐρειδομένη καὶ στηριζομένη διὰ τῆς χειρὸς σκίμπωνι σκολιῷ, ἤτοι ῥάβδῳ ἐπικαμπεῖ καὶ βακτηρίᾳ ἐπερειστικῇ, σπεύσω, προτιθεῖσα καὶ ποιοῦσα ἤλυσιν καὶ πορείαν τῶν ἄρθρων, καὶ τῶν ἁρμονικῶν (l. ἁρμονιῶν), ἤτοι τῶν ποδῶν, βραδύπουν καὶ ἀργήν. ὦ στεροπὰ καὶ ἀστραπὴ Διὸς, ἀντὶ τοῦ ὦ ἡμέρα, ὦ νὺξ σκοτία καὶ σκοτεινὴ, τί ποτε, ἀντὶ τοῦ διατί ἄρα, αἴρομαι καὶ μετεωρίζομαι ἔννυχος καὶ νυκτερινὴ ἐν δείμασι, καὶ ἐν φόβοις, ἐν φάσμασι, καὶ φαντάσμασιν. ὦ χθὼν πότνια καὶ σεβασμία, μῆτερ τῶν ὀνείρων τῶν μελανοπτερύγων καὶ ἀφανῶν, ἀποπέμπομαι καὶ ἀποδιώκω τὴν νυκτερινὴν ὄψιν (λέγει δὲ τὸ ὄναρ,) ἣν εἶδον διὰ τῶν ὀνείρων περὶ τοῦ παιδὸς, ἤγουν ἕνεκα τοῦ παιδὸς, τοῦ φυλαττομένου κατὰ τὴν Θρᾴκην, καὶ περὶ τῆς Πολυξένης, τῆς προσφιλοῦς θυγατρός. εἶδον γὰρ ὄψιν φοβερὰν, ἤτοι φόβου ποιητικήν, ἔμαθον, ἐδάην, ἀκριβῶς ἔγνων. ὦ θεοὶ χθόνιοι, ἀντὶ τοῦ καταχθόνιοι ἢ ἐγχώριοι, σώσατε τὸν ἐμὸν παῖδα, ἤγουν τὸν Πολύδωρον, ὃς ἄγκυρά τε ὢν μόνος, ἤτοι στήριγμα, καὶ φύλαξ τῶν ἐμῶν οἴκων, κατοικεῖ τὴν δυσχείμερον Θρᾴκην, ἐν ἐπιτηρήσεσι τοῦ φίλου τοῦ πατρῴου καὶ πατρικοῦ, ἤτοι τοῦ Πολυμήστορος. Ἔσται καὶ γενήσεταί τι παράδοξον, ἡμῖν δηλονότι. ἥξει τι μέλος γοερὸν, καὶ θρηνῶδες, ταῖς γοεραῖς, ἡμῖν δηλονότι. οὔποτε, ἀντὶ τοῦ οὐδέποτε, ἡ ἐμὴ γνῶσις οὕτως, ὑπῆρξε δηλονότι, ἄφυκτος φρίσσει, ταρβεῖ. ποῦ ἄρα θεάσομαι, ὦ Τρῳάδες, τὴν θείαν ψυχὴν τοῦ Ἑλένου, περιφραστικῶς ἀντὶ τοῦ τὸν Ἕλενον, ἢ τῆς Κασάνδρας, ἵνα διακρίνωσιν ἐμοὶ τοὺς ὀνείρους. εἶδον γὰρ ἔλαφον κατάστικτον, καὶ ταχεῖαν, σφαζομένην ἐν ὄνυχι λύκου αἱματηρᾷ, ἀποσπασθεῖσαν τῶν ἐμῶν γονάτων, ἀφαιρεθεῖσαν σὺν ἀνάγκῃ καὶ βίᾳ οἰκτρῶς, καὶ ἐλεεινῶς. καὶ τότε καὶ τοῦτο, λέγω τὸ φάντασμα τοῦ Ἀχιλλέως, ὑπὲρ τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλθεν ἐμοί. 8)

8) His addidit King.: ἐζήτει δὲ, ὥσπερ δῶρον, τινὰ ἀπὸ τῶν

V. 95 sqq. *ΕΚΑΒΗ.* Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται συστήματα ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους, ὡς εἴρηται. ἔστι δὲ καὶ τοῦτο τὸ μέτρον ἀναπαιστικὸν, Λακωνικὸν καλούμενον. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, ὃ μέτρον καλεῖται παροιμιακὸν, ὡς εἴρηται. τὸ μέντοι ἑκκαιδέκατον κῶλον, τὸ *ΚΕ*, τὸ *Μ*, τὸ *Ν* καὶ τὸ *ΝΕ* μονόμετρα εἰσὶν ἀκατάληκτα. τὰ δὲ πάντα κῶλα τοῦ συστήματος *ΝΣΤ*, ὧν τὸ τελευταῖον Δειρῆς νασμῷ μελαναυγεῖ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Ib. *ΕΚΑΒΗ.* ἔοικεν οὐ διασωθῆναι Ἑκάβην μέχρι τῆς σκηνῆς Ἀγαμέμνονος, ἐμποδισθεῖσαν παρὰ τοῦ χοροῦ, ἀλλ' ἀπελθεῖν εἰς τὴν σκηνὴν Πολυξένης. Gu. Χορὸς ἐκ Τρωϊάδων αἰχμαλωτίδων γυναικῶν. χορὸς διαιρεῖται εἰς τρία, εἰς στάσιμα, εἰς παροδικὰ καὶ εἰς κωμικά. Fl. 25. ὁ χορὸς ἐκ τῶν Τρωϊκῶν γυναικῶν τῶν αἰχμαλωτισθέντων συνέστη. Fl. 33. ὁ δὲ λόγος· ὦ Ἑκάβη, πρὸς σὲ ἐλιάσθην, ἤγουν ἐξώρμημαι καὶ παρεγενόμην, μετὰ σπουδῆς, τὰς δεσποτικὰς σκηνὰς τοῦ Ἀγαμέμνονος λιποῦσα. Fl. 25. *ΣΠΟΥΔΗι*, σπουδαίως. Fl. 59. ἀντὶ τοῦ μετὰ ταχυτῆτος, (σπουδαίως. ἀπὸ ὀνόματος τὸ ἐπίῤῥημα.) Gu. *ΕΛΙΑΣΘΗΝ*, προσέφυγον, ἦλθον. γίνεται δὲ ἀπὸ τοῦ ἁλῶ, τὸ πλανῶ καὶ ἐκκλίνω· ὅθεν ἁλίζω, καὶ κατὰ μετάθεσιν λιάζω· ὁ παθητικὸς πρῶτος ἀόριστος, ἐλιάσθην. *ΕΛΙΑΣΘΗΝ*, προσέφυγον, ἦλθον πρός σε, οὐδὲν ἀπὸ τῶν παθέων, ὧν ἔχεις δηλονότι, κουφίζουσα. [9]) Baroc. 74. προσῆλθόν σοι, προσέφυγον· σύναπτε δὲ τοῦτο πρὸς τὸ παθέων, τὰ δ' ἄλλα διὰ μέσου. Gu. *ΕΛ.* ἤγουν ἔφυγον. (ἀπὸ τοῦ λίαν, αἴσσω καὶ ὁρμῶ.) Gu. ἤγουν ἔφυγον, προσῆλθον. Fl. 6. 59. ἔφυγον, ἦλθον, ὁρμίσθην, ἐπαραγενόμην. ἔλομαι τὸ πλανοῦμαι. Fl. 21. ἦλθον συντόμως. Fl. 17. ἐκλίνθην. gl. Havn.

V. 96. *ΔΕΣΠΟΣΥΝΟΥΣ.* δεσπόσυνον κατὰ τοὺς ποιητὰς τὸ τοῦ δεσπότου κτῆμα, παρ' ἡμῖν ὁ τοῦ δεσπότου

πολυπαθῶν Τρωϊάδων. ἀπ' ἐμῆς οὖν, ἀπ' ἐμῆς τῆς θυγατρὸς τοῦτο ἀποδείξετε, ὦ δαίμονες, παρακαλῶ. dubito, an e codice.

9) Idem scholion a vv. πρὸς σὲ (sic) est in Gu. qui pro κουφίζουσα habet ἐλαφρύνουσα.

υἱός. Gu. [10]) *ΔΕΣΠΟΣ.* δεσποτείας. Fl. 21. plut. 32. τὰς δεσποτικάς. περιφραστικῶς τὰς τοῦ Ἀγαμέμνονος. Fl. 10. Gu. δεσπόσυνος δὲ κυρίως ὁ τοῦ δεσπότου υἱός. κατεχρήσατο οὖν δεσποσύνους τὰς τῶν δεσποτῶν σκηνάς· ἦν γὰρ Ἑκάβη ἐν τῇ τοῦ Ὀδυσσέως σκηνῇ, ὁ δὲ χορὸς ἐν τῇ τοῦ Ἀγαμέμνονος, τὸ πλεῖον δὲ, διότι ἦν ἡ Κασάνδρα ἐν τῇ τοῦ Ἀγαμέμνονος. διὰ τοῦτο οὖν λέγει τὰς δεσποσύνους, τουτέστι τοῦ Ἀγαμέμνονος. Fl. 25. *ΣΚΗΝΑΣ*, τέντας. Fl. 17. κατοικίας. Fl. 59. *ΠΡΟΛΙΠΟΥΣΑ*, ἀντὶ τοῦ λιποῦσα. λέγεται δὲ ἡ πρόθεσις περισσὴ [1]) καὶ ἐν πεζῷ λόγῳ. C. C. C. Gu. ἀφεῖσα. Fl. 59.

V. 97. *ΙΝ' ΕΚΛΗΡΩΘΗΝ*, ὅπου ἐκ κλήρου ἔλαχον. Fl. 6. 17. 56. 59. ὅπου, εἰς ἃς σκηνάς. Fl. 21. ὅπου διὰ κλήρου κατέστην. Fl. 21. plut. 32. Gu. *ΠΡΟΣΕΤΑΧΘΗΝ* ἀντὶ τοῦ ἐτάχθην καὶ ὡρίσθην εἶναι δηλονότι. Fl. 59. ὅπου εἰς κλῆρον ἐδόθης καὶ παρεδόθης δούλη. Fl. 33. καὶ ἐκληρώθην. (ἐγενόμην, ὡρίσθην. ἡ πρὸς ὑστεροχρόνιος ἐνταῦθα.) Gu.

V. 98. *ΑΠΕΛΑΥΝΟΜΕΝΑ*, διωκομένη τῆς σῆς πόλεως Ἰλιάδος. Fl. 33. ἐξελθοῦσα καὶ διωκομένη. Gu.

V. 99. *ΛΟΓΧΗΣ ΑΙΧΜΗι* ἤγουν τῷ δόρατι, [2]) τουτέστι τῷ πολέμῳ. C. C. C. *ΛΟΓΧΗΣ*, τοῦ λόχου, τοῦ πολέμου. Fl. 17. ἤγουν τοῦ δόρατος. Fl. 6. 21. 56. 59. 76. νόμῳ πολέμου. Fl. 21. *ΑΙΧΜΗι*, τῷ ξίφει. Fl. 6. 21. 56. 59. 76. διὰ τῶν Ἑλληνικῶν δοράτων αἰχμαλωτισθεῖσα. Fl. 33.

V. 100. *ΔΟΡΙΘΗΡΑΤΟΣ*, αἰχμάλωτος. Fl. 21. plut. 32. ἤγουν δοριάλωτος (αἰχμάλωτος γενομένη δηλονότι). Gu.

V. 101. *ΟΥΔΕΝ ΠΑΘΕΩΝ.* ἐλιάσθην πρὸς σὲ οὐδὲν ἀπὸ τῶν παθῶν, ὧν ἔχεις δηλονότι, κουφίζουσα. Fl. 6. 21. 56. 59. 76. οὐδὲ τῶν περιεχόντων ἀποκουφίζουσα, ἤγουν τῶν κακῶν θεραπεύουσα, ἐλαττοῦσα. Ἄλλως ἐν ὑπερ-

10) Brevius scholion e C. C. C. edidit King. δεσπόσυνος κυρίως λέγεται ὁ τοῦ δεσπότου υἱός.

1) Sic Gu. Fl. 59. (qui tantum habet: ἡ πρὸ πρόθεσις περισσὴ καὶ ἐν π. λ.) pro περιοῦσα.

2) Gu. ἤγουν τοῦ δόρατος. τῷ ξίφει, ἤγουν τῷ δόρ. τουτέστι τῷ πολέμῳ.

βατῷ· σπουδῇ προςελιάσθην. σπουδῇ, φησὶν, ἐχωρίσθην ἀπὸ τῆς σκηνῆς τοῦ Ἀγαμέμνονος. Fl. 25. καὶ οὐδὲν τῶν παθέων ἀνακωχὴν ἔχουσα. Fl. 33.

V. 102. *ΑΛΛ᾽ ΑΓΓΕΛΙΑΣ*, μᾶλλον δὲ μηνύματος φορτίον ἐπιφέρουσα. Fl. 17. διὰ τῆς φήμης. Fl. 59. μηνύσεως. Fl. 6.

Ib. *ΑΡΑΜΕΝΑ*, ἀντὶ τοῦ ἐπιτιθεῖσα μέγα βάρος. γέγραπται δὲ καὶ αἰρομένη, ἤγουν φέρουσα καὶ βαστάζουσα. Baroc. 74. *ΑΡΑΜΕΝΗ*, ἐπιτιθεῖσα. Fl. 6. 21. 56. 59. 76. ἀλλὰ βάρος μέγα φέρουσα ἀγγελίας. Fl. 33. ἐπιτιθεῖσα, ἤτοι ἕτερα πρὸς οἷς ἔχεις κακοῖς, ἀπαγγέλλω σοι κακά. Fl. 10. *ΑΙΡΟΜΕΝΗ*, κομίζουσα, φέρουσα. γρ. ἀραμένη, ἤγουν ἐπιτιθεῖσα. (προςτιθεῖσα, ἐπιτιθεῖσα, φορτίζουσα.) Gu.

V. 103. *ΣΟΙ ΤΕ*, καὶ ἦλθον. Gu. *ΓΥΝΑΙ, ΚΗΡΥΞ*, ὦ Ἑκάβη, ἐγενόμην κήρυξ σοι τῶν θλίψεων. Fl. 21. ἄγγελος λυπῶν καὶ θλίψεων. Fl. 6. 17. 56. 59. 76. Gu. *ΑΧΕΩΝ*, ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου καὶ τοῦ χάνω. Fl. 9. τοὐναντίον ἐπιτίθεις σαυτῆς. σὺ, ὦ γύναι, ὑπάρχεις κήρυξ τῶν Ἑλλήνων. Fl. 33.

V. 104. *ΠΛΗΡΕΙ ΞΥΝΟΔΩι*, συναθροίσει. Fl. 6. ἐν πεπληρωμένῃ ἐκκλησίᾳ. Fl. 21. ἐν τῇ συναγωγῇ. Fl. 56. πεπληρωμένῃ συνάξει. Fl. 59. τὴν πολὺ πλῆθος ἀνθρώπων ἔχουσαν. Fl. 17. ἐπὶ γὰρ τῶν Ἑλληνικῶν συνόδων σῶαι λέγονται εἶναι αἱ συμβουλαί. Fl. 33. *ΠΛΗΡΕΙ*, τῇ πολλῇ. (πεπληρωμένῃ καὶ τελέᾳ.) σύνοδος κυρίως ἡ ἀπὸ πάντων συνέλευσις· ἐκκλησία δὲ ἡ ἀπὸ τῶν ἐκλεκτῶν. Gu.

V. 105. *ΔΟΞΑΙ*, ψηφισθῆναι. Fl. 21. ἀρεστὸν φανῆναι ἤγουν κυρωθῆναι. Fl. 59. καὶ εἰνομισθεῖ (sic) τὴν σὴν παῖδα σφάγιον θῦσαι τῷ Ἀχιλλεῖ. Fl. 33. *ΔΟΞΑΙ* ἤγουν κυρωθῆναι. (ἀρεστὸν φανῆναι, ἐπεψηφίσθαι τῇ βουλῇ.) Gu.

V. 106. *ΣΦΑΓΙΟΝ*, πρόσφαγμα. Fl. 21. θυσίας γέρας. Fl. 59. *ΘΕΣΘΑΙ*, ἤγουν ποιῆσαι (ποιήσασθαι, γενέσθαι.) Gu. *ΤΥΜΒΟΥ*, τοῦ ἑαυτοῦ τύμβου γὰρ ἐπαναστάς. Fl. 6. τοῦ ἑαυτοῦ τύμβου γὰρ ἐπιβὰς καὶ πορευθείς. Fl. 59. τοῦ τάφου τοῦ ἑαυτοῦ στάς. Fl. 17. τὸ δὲ ἀντὶ τοῦ καὶ γὰρ ἐπαναβὰς ἐπὶ τοῦ αὐτοῦ τύμβου. Fl. 21. ἐπίβαινε ἐν τῷ τάφῳ αὐτοῦ δῆλον ὁ Ἀχιλλεὺς ὄναρ ἐπιστὰς

ἐζήτει τὸ αἴτημα. Fl. 33. ὅτι τὸ ἐπιβαίνειν ἐνίοτε μὲν γενικῇ συντάσσεται, ὡς ἐνταῦθα· τύμβου δ᾽ ἐπιβάς, ἐνίοτε δὲ δοτικῇ, ὡς ἐν τούτοις· τὸν πρῶτον ἐπιβάντα Ἀθηναίων τῇ νήσῳ ἄκριτον ἀποθνήσκειν. Gu.

V. 107. *ΟΙΣΘ᾽*, γινώσκεις τοῦτο δηλονότι. Fl. 17. 21. γινώσκεις ὅταν ὁ Ἀχιλλεὺς ἐπάνω στὰς τοῦ ἰδίου τύμβου σὺν ὅπλοις χρυσοῖς ἐπεῖχε τὰς ναῦς, οὔριον ἐχούσας τὸν πλοῦν, ταῦτα λέγων. Fl. 25. συντακτέον οὕτως· οἶσθα δὲ, ἤγουν οἶσθα γὰρ καὶ γινώσκεις, ὅτε καὶ ὁπότε ἐφάνη ὁ Ἀχιλλεὺς σὺν ὅπλοις χρυσέοις ἐπὶ τοῦ τύμβου καὶ ἐπάνω τοῦ τύμβου βὰς καὶ πορευθεὶς, καὶ τὰ ἑξῆς. Fl. 59. *ΕΦΑΝΗ*, ὁ Ἀχιλλεὺς δηλονότι. Fl. 17. 59.

V. 108. *ΤΑΣ ΠΟΝΤΟΠΟΡΟΥΣ*, τὰς ἐν τῷ πόντῳ τὴν πορείαν ποιουμένας, ἢ τὰς περώσας τὸν πόντον. Fl. 21. τὰς πορευομένας ἐν τῷ πόντῳ. Gu. *ΕΣΧΕ*, ἐκράτησεν. Fl. 21. ἐκώλυσεν. Fl. 6. 17. 36. 59. 76. Gu. κατέσχε. Gu. *ΣΧΕΔΙΑ*, ναῦς ἀκατασκεύαστος, ἀπὸ ξύλων μόνων ἀπερίττως [3]) συντεθειμένη· νῦν δὲ τὰς ναῦς λέγει τῶν Ἑλλήνων σχεδίας. σχεδία δὲ κατὰ τοὺς παλαιοὺς ἡ σὺν τάχει γενομένη ναῦς.

V. 109. *ΛΑΙΦΗ*, τὰ ἄρμενα τοῖς ἱστίοις ἐντεταμένα πρὸς τὸ πλεῖν. Fl. 6. 10. 25. ἤγουν διὰ τῆς λαίφης, μέρος νεώς. Fl. 21. *ΠΡΟΤΟΝΟΙΣ*. πρότονος, τὸ σχοινίον, δι᾽ οὗ δεσμοῦσι τὸν ἱστόν. τὸ δὲ *ΕΠΕΡΕΙΔΟΜΕΝΑΣ* ἀντὶ τοῦ ἐπερειδούσας σχοινίοις τὰ λαίφη [4]), στηριζομένας, ὡς ἤδη πλευσεῖσθαι. ἔστι δὲ τὸ λαίφη καὶ τὸ ἐπερειδομένας καθ᾽ ὅλον καὶ μέρος. οὐ γὰρ πᾶσα ἡ ναῦς ἐρείδεται τοῖς προτόνοις, ἀλλὰ μόνα τὰ λαίφη, δι᾽ ὧν αὐτὴ φέρεται ἀνέμου ἐπιπνέοντος. *ΕΠΕΡΕΙΔΟΜΕΝΑΣ*, συνδεδημένας, ἐκτεινώσας. Fl. 21. ἐπιστηριζομένας. Fl. 17. 56. μετὰ πολλοῦ στηριγμοῦ ἐχούσας. Fl. 59. τὰ ἄρμενα καὶ σχοινία τῶν πλοίων ἐντεταμένα ἔχουσι. Fl. 33.

3) ἀπερίττως in Gu. ab alia m. suprascriptum est. In eodem desunt vv. σχεδία δὲ κατὰ — ναῦς.

4) Verba σχοιν. τὰ λαίφη in King. et Musgr. exciderunt. Sqq. στηριζομένας — ἔστι δὲ e Guelph. addidi, e quo etiam postea dedi οὐ γὰρ πᾶσα ἡ ν. et δι᾽ ὧν αὐτὴ φ. pro αὕτη. Idem ἐμπίπτοντος pro ἐπιπνέοντος.

V. 110. *ΤΑΔΕ ΘΩΥΣΣΩΝ*, ταῦτα λέγων, ἤγουν βοῶν ὁ Ἀχιλλεύς. Fl. 6. 17. 21. 56. 59. 76. ταῦτα βοῶν, λέγων δηλονότι ὁ Ἀχιλλεύς. Fl. 33. κυρίως δὲ ὑλακτῶν. Fl. 10. ἤγουν θηριωδῶς (μεγάλως) βοῶν. Gu. βοῶν. gl. Havn.

V. 111. *ΔΑΝΑΟΙ* ἀπὸ Δαναοῦ τινὸς βασιλεύσαντος αὐτῶν. Fl. 17.

V. 112. *ΣΤΕΛΛΕΣΘΕ*, πορεύεσθε. τὸ στέλλω σημαίνει δ'· στέλλω τὸ κοσμῶ, ἀφ' οὗ καὶ στολή· στέλλω τὸ πέμπω, ἀφ' οὗ καὶ ἀποστολή· στέλλω τὸ πλέω, ἀφ' οὗ καὶ στόλος, ὁ πολλῶν ἀπόπλους νεῶν· στέλλω καὶ τὸ κρύπτω, ἀφ' οὗ καὶ τὸ περιστείλαντες, ἀντὶ τοῦ κατὰ γῆν (γῆς) κρύψαντες, ἤγουν θάψαντες. *ΣΤΕΛΛΕΣΘΕ*, ποῖ ἀποπλέετε. κυρίως δὲ τὸ ἀποστέλλεσθαι ἐπὶ νεώς. ἔστι δὲ καὶ τὸ δι' ἑτέρου, ἢ ἐκπλεῖν ἢ ἐκπέμπειν. Fl. 25. ὦ Ἕλληνες, τὸν ἐμὸν τάφον ἀποπλέετε καὶ ἄτιμον ἐᾶτε. Fl. 33. *ΑΓΕΡΑΣΤΟΝ*, ἄτιμον. *ΑΦΕΝΤΕΣ*, καταλείψαντες. Gu.

V. 113. *ΠΟΛΛΗΣ Δ' ΕΡ.* πολλῆς φιλονεικίας συνέκρουσε (συνέβη, συνῆλθε Gu.) ταραχή. (ζάλη). [5]) *ΣΥΝΕΠΕΣΕ*, ἤγουν συνέκρουσε, συνῆλθε μετὰ ταραχῆς. Fl. 59. τὸ *ΣΥΝΕΠΕΣΕΝ* ἤγουν συνῆλθεν, ἐγένετο. Fl. 59. συνέβη, συνῆλθε. μεταφορικῶς ὅρα διὰ τὸ δίυγρον τοῦ λόγου. Gu. *ΚΛΥΔΩΝ*, θόρυβος. Fl. 56. 59. μετὰ δὲ φιλονεικίας ἐγένετο ταραχή. Fl. 33.

V. 114. *ΔΟΞΑ*, δόγμα. Fl. 6. 17. 56. 59. 76. δόκησις. Fl. 10. 21. δόξα, ἤγουν δόκησις, βουλή. Fl. 59. ἤγουν δόγμα. (ὑπόληψις, θέλησις.) Gu. *ΕΧΩΡΕΙ*, ἐπορεύετο. Fl. 21. ἤγουν ἐκινεῖτο. (ἐφημίζετο, ὥρμα.) Gu. *ΔΙΧ'*, διχῶς. Fl. 6. 21. 76. διπλῶς. Fl. 56. 59. Gu. ὑπονοίᾳ ψῆφος ἐχώρει διπλῶς ἐν τοῖς Ἕλλησι, καὶ εἰς τὸν πολεμικὸν στρατόν. Fl. 33.

V. 115. *ΑΙΧΜΗΤΗΝ*, πολεμικόν. Fl. 6. 17. 21. 56. 76. Gu. πολεμικὸν, στρατιωτικόν. Fl. 59. *ΤΟΙΣ ΜΕΝ ΔΙΔΟΝΑΙ*, δοκοῦν καὶ ἀρέσκον ἦν κατὰ ἐπαναστροφὴν διδόναι σφάγιον τῷ τύμβῳ, τοῖς δὲ οὐχὶ δοκοῦν καὶ ἀρέσκον ἦν συνουσίαν. Fl. 59. καὶ οἱ μὲν διδόναι ἔθεντο τὸ

5) Simile est in Flor. 21.

σφάγιον πρὸς αἰτήσεως Ἀχιλλέως, οἱ δὲ οὔ· ἤγουν δόκησις διττὴ ἐγένετο περὶ τούτου. Fl. 33.

V. 116. *ΣΦΑΓΙΟΝ*, θῦμα. Fl. 17. *ΔΟΚΟΥΝ* ἀντὶ τοῦ δοκοῦντος καὶ οὐκ ἐδόκει. Fl. 56. ἀντὶ τοῦ δοκοῦντος, ἀρέσκον ἦν. Fl. 59. φαινομένου. Fl. 17. δοκοῦντος καὶ φαινομένου καὶ ἀρέσκοντος. Gu.

V. 117. *ΤΟ ΜΕΝ ΣΟΝ*, ἤγουν τὸ σοὶ σύμμετρον. Fl. 17. ἦν δὲ ὁ Ἀγαμέμνων εἰς τὸ σὸν συμφέρον σπεύδων. Fl. 25. *ΤΟ ΣΟΝ ΑΓΑΘΟΝ*, τὸ μὴ τὴν σὴν θυγατέρα σφαγῆναι, ἀλλὰ ἄλλην τινὰ τῶν αἰχμαλωτίδων. Gu. *ΣΠΕΥΔΩΝ*, σπουδὴν ποιούμενος, ἤτοι ἔσπευδεν. σπεύδω ἐγὼ, ἐπισπεύδω ἕτερον. *ΣΠΕΥΔΩΝ*, ἤγουν ὁ συντείνων καὶ σπουδάζων. Fl. 59. ἦν δὲ ὁ Ἀγαμέμνων εἰς τὸ σὸν συμφέρον, καὶ σπεύδει σῶσαι τὴν σὴν παῖδα Πολυξένην, διὰ τὸ ἔχειν λέκτρα, ἤγουν κοίτην, συνουσίαν, μετὰ τῆς Κασάνδρας, τῆς ἀδελφῆς αὐτῆς. Fl. 33. *ΣΠΕΥΔΩΝ*, σπουδάζων. σπεύδω ἐγώ· ἐπισπεύδω δὲ ἕτερον. (ἀγωνιζόμενος, συναγωνιζόμενος.) Gu.

V. 118. *ΤΗΣ ΜΑΝΤΙΠ. Β.* ἤγουν τῆς μαντικῆς βάκχης, ἤγουν τῆς Κασάνδρας [6]). βάκχην δὲ αὐτὴν λέγει, ἐπειδὴ οἱ μαντευόμενοι ἔνθεοι ὑπὸ θεῶν γενόμενοι μαντεύονται, καθάπερ αἱ Βάκχαι τῷ Διονύσῳ πληγεῖσαι ἄνω καὶ κάτω φέρονται, ὥςπερ μαινόμεναι. [7]) *ΜΑΝΤΙΠΟΛΟΥ*, τῆς ἀναστρεφομένης ἐκ τῆς μαντείας. Fl. 6. *ΒΑΚΧΗΣ*, ἡ ἐκκεχυμένη τὴν βάσιν ἢ τὴν βοήν. Gu. *ΑΝΕΧΩΝ*, τιμῶν καὶ περιποιούμενος. καὶ γὰρ οἱ ἀνέχοντές τι καὶ ἀνακουφίζοντες, φροντίδος τοῦτο ἀξιοῦντες, ἀνέχουσιν. [8]) ἀνέχω τὸ ἀναδίδωμι, ὡς τὸ ἀνέσχεν ἡ γῆ βοτάνας, καὶ ἀνέσχεν ὁ ἥλιος, ἀντὶ τοῦ ἀνέτειλε, καὶ ἀνέχειν ἐπὶ προςευχῆς [9]) τὰς χεῖρας ἀντὶ τοῦ ἀνατείνειν. *ΑΝΕΧΩΝ* ὁ τιμῶν τὴν κοίτην τῆς Κασάνδρας, τῆς μαν-

6) Sic Gu. Vulgo *τῆς μαντ. Κ.* Mox idem, sed ab alia manu, *τὸ δὲ βάκχην λέγει — — — ὑπὸ θεῶν γιγνόμενοι.*

7) Barn. de suo, ut videtur, addidit: *καὶ ὁ Λυκόφρων περὶ τῆς Κασάνδρας, Ἡ δ' ἔνθεον σχάσασα βακχεῖον στόμα.*

8) Haec usque ad *ἀνέχουσιν* sunt etiam in Gu.

9) Basil. *προςοχῆς*. Junt. *προςαχῆς*, ubi *ευ* in *α* abiit.

τιπόλου, τῆς περὶ τὰ μαντεῖα πολούσης. Fl. 25. μαντικὴν καὶ βάκχην τὴν Κασάνδραν λέγει, διότι αὕτη θυγάτηρ ἦν Ἑκάβης, καὶ πρὸ τοῦ ἁλωθῆναι τὴν Τροίαν ἐμαντεύετο τὰ γινόμενα. Fl. 33.

V. 119. *ΤΩ ΘΗΣΕΙΔΑ.* οἱ τοῦ Θησέως παῖδες, Ἀκάμας καὶ Δημοφῶν, οἳ ἦσαν Ἀθηναῖοι τὸ γένος, ἐστράτευσαν ἐπὶ τὸ Ἴλιον, οὐχ ἡγούμενοι τινῶν. δι᾽ ὃ καὶ Ὅμηρος λέγει τὸν Μενεσθέα μόνον ἡγεῖσθαι τῶν Ἀθηναίων, ἀλλ᾽ ἐπὶ τὴν ἀπολύτρωσιν τῆς Αἴθρας τούτους ἐστρατευκέναι φασίν. Ἑλλάνικος δὲ λέγει, διὰ τοῦτο αὐτοὺς ἀπελθεῖν ἐκεῖσε, ὥςτε, εἰ μὲν ἕλοιεν Ἕλληνες τὴν Τροίαν, λάφυρον αὐτὴν καὶ γέρας λαβεῖν [10]), εἰ δὲ μὴ, κἂν λυτρώσασθαι δώροις, καὶ μὴ ἐᾶσαι ταύτην ὑπὸ τούτων κατασκαφῆναι. ΟΖΩ, ἤγουν ὄζοι, ἤγουν οἱ κλάδοι. Fl. 6. 17. 21. 56. 59. 76. Gu. οἱ δὲ δύο υἱοὶ τοῦ Θησέως, οἱ κλάδοι τῶν Ἀθηνῶν. Fl. 33.

V. 121. *ΔΙΣΣΩΝ ΜΥΘΩΝ*, ἤγουν διπλῶν, ὡς οὔτε ἀνηλεῶς δεῖ πρὸς τὴν παῖδα διατεθεῖσθαι· — ἀρκεῖ γὰρ τὸ αἰχμάλωτον εἶναι· — οὔτ᾽ αὖ τὴν [1]) Ἀχιλλέως παριδεῖν αἴτησιν, μεγάλα τὸν στρατὸν ὠφεληκότος, ἀλλὰ προθύμως τελέσαι. *ΔΙΣΣΩΝ Μ.* διπλῶν· ἤγουν τῷ ἑνὶ ἐδόκει τὸ ναί, καὶ τῷ ἑτέρῳ τὸ οὐ. Fl. 21. *ΔΙΣΣΩΝ — ΣΥΝΕΧΩΡ.* ἤγουν οἱ μὲν λόγοι διττοὶ ἦσαν, ἐπεὶ καὶ δύο οἱ λέγοντες Θησεῖδαι· συνέτρεχον δὲ καὶ συνέβαλλον ἐν μιᾷ βουλῇ, ἤγουν τὴν Πολυξένην τῷ Ἀχιλλεῖ γέρας γενέσθαι ἔλεγον. Fl. 59.

V. 122. *ΓΝΩΜΗι ΔΕ ΜΙΑι*, μιᾷ διαθέσει, σκοπῷ, βουλήματι.[2]) *ΣΥΝΕΧΩΡΕΙΤΗΝ*, συνέτρεχον, συνήρχοντο, συνεφώνουν. [3])

V. 123. *ΣΤΕΦΑΝΟΥΝ*, ὥστε τιμᾷν (στεφανῶσαι καὶ

10) ὥςτε — λαβεῖν. Sic Guelph. pro ὅπως — λάβωσιν. Ex eodem ultima accesserunt καὶ μὴ ἐᾶσαι κ. τ. λ.

1) Sic Gu. Vulgo αὐτήν. Idem mox μεγάλα pro μεγάλως. Ex eodem addidi vv. ἀλλὰ πρ. τελ.

2) Ultimum addit Flor. 17. βουλῇ Gu.

3) Primum est in Florr. 10. 33. alterum in 2. 6. 56. 59. 76. Pro ultimo in Gu. est, sed ab alia m. συνεχώρουν.

κοσμεῖν [4])) ἀπὸ μεταφορᾶς τῶν νικώντων καὶ ἐστεφανωμένων. *ΣΤΕΦΑΝ.* ἀπὸ τοῦ πλεονάζοντος τοῦτο λέγεται, ὥςπερ τὸ καταλιθοῦν τοῖς μήλοις. Fl. 6. 21. 56. 59. 76. τὸν τοῦ Ἀχιλλέως τάφον στεφανῶσαι αἵματι νέας παιδός. Fl. 33.

V. 124. *ΧΛΩΡΩι*, προςφάτῳ, νεαρῷ. *ΧΛΩΡΩι*, νέῳ. Fl. 17. 59. νεαρὸν, ὑγρὸν, αὐξητικόν. Fl. 33. *ΧΛ.* ἤγουν νεάζοντι, (νέῳ καὶ παρθενικῷ, ὑγρῷ, νεοῤῥύτῳ νέας παρθένου.) Gu.

V. 124. 125. *ΤΑ ΔΕ ΚΑΣΑΝΔΡΑΣ*, τὸ συγκαθεύδειν τὴν Κασάνδραν τῷ Ἀγαμέμνονι (ἀπὸ τοῦ ὀργάνου τὸν ἐνεργοῦντα) οὐ δέον εἶναι ἔλεγον προτιμήσειν τῆς ἀνδρείας τοῦ Ἀχιλλέως. *ΤΑ ΔΕ ΚΑΣ.* ἤγουν οὐ συνεχώρησαν προτιμῆσαι τὴν Κασάνδραν τὴν κατεχομένην παρ᾽ Ἀγαμέμνονος εἰς ἄλοχον. Fl. 21. μηδαμῶς δὲ διὰ τῆς Κασάνδρας τὴν κοίτην ἄτιμον ἐάσομεν τὴν ἀνδρείαν καὶ γενναιότητα τοῦ Ἀχιλλέως. Fl. 33.

V. 126. *ΠΡΟΣΘΕΝ ΘΗΣΕΙΝ*, προτιμήσειν, ποιήσειν, ἤγουν προτιμήσασθαι. Fl. 59. [5]) προτιμῆσαι καὶ προκρῖναι. Fl. 21. *ΛΟΓΧΗΣ*, τῆς δυνάμεως τοῦ Ἀχιλλέως. Fl. 21. ἤγουν τῆς πολεμικῆς δυνάμεως (ἀπὸ συμβόλου τὸ κύριον.) Gu.

V. 127. *ΣΠΟΥΔΑΙ*, ἤγουν ἀντιλαβαί. Fl. 21. ἤγουν ἅμιλλαι, (ἀγῶνες, κρίσεις, μελέται.) Gu. *ΛΟΓΩΝ*, λέξεων. *ΚΑΤΑΤΕΙΝΟΜΕΝΩΝ*, ἤγουν ἀντιτεινόντων. Fl. 6. 21. 56. 76. γινομένων. Fl. 17. πολλαὶ δὲ σπουδαὶ λόγων διατεινομένων ἐν ἰσότητι πάντων εὑρέθησαν. Fl. 33. ἤγουν ἀντιτεινόντων. (σφοδρῶς καὶ σπουδαίως φερομένων, διϊσχυριζομένων καὶ ἐνστατικῶς λεγομένων, σπουδαζομένων.) Gu.

V. 128. *ΠΡΙΝ*, ἀντὶ τοῦ πρὸ τοῦ. Fl. 21. 17. ἀντὶ τοῦ πρὶν Ὀδυσσεὺς μιᾷ γνώμῃ καὶ ψήφῳ προςετέθη. Fl. 21.

4) Haec e Gu. accesserunt, in quibus haec et sqq. alia manu, quam praec. τιμᾷν, scripta sunt. Idem στεφανουμένων pro ἐστεφ.

5) Gu. προτιμήσειν, cujus ultimae syllabae ab al. m. suprascriptum est σασθαι.

Ib. *ΠΟΙΚΙΛΟΦΡΩΝ*, ἤγουν ὁ πολυμήχανος, (ὁ ποικίλος τὸν νοῦν καὶ φρόνιμος. ἰδίωμα τῶν ῥητόρων τὸ ποικίλως φρονεῖν.) Gu. [6]) *ΠΟΙΚΙΛ.* ὁ πανοῦργος. Fl. 17. πολύβουλος. Fl. 6. συνετόβουλος. Fl. 21. ποικιλόβουλος. Fl. ὁ ποικίλος τῇ φρονήσει καί. Fl. 33.

V. 129. *ΚΟΠΙΣ*, ῥήτωρ. [7]) *ΚΟΠΙΣ*, ὁ λάλος, ὅθεν καὶ κόβαλος, καὶ κομψὸς, κοβάλαι δὲ καὶ κωπιάδες αἱ τῶν ἀλόγων τέχναι. Baroc. 74. σύντομος, καὶ ὀξὺς, καὶ ἡδὺς τῶν λόγων (τῷ λόγῳ). Fl. 21. *ΗΔΥΛΟΓΟΣ*, ἡδύνων, γλυκαίνων τοῖς λόγοις. Fl. 17. γλυκυλόγος τῷ πλήθει. Gu. *ΔΗΜΟΧΑΡΙΣΤΗΣ*, τῷ δήμῳ χαριζόμενος ἐν τῷ λέγειν. ὁ τῷ δήμῳ κεχαρισμένα λέγων. [8]) *ΚΟΠ. ΗΔ. ΔΗΜ.* λάλος, ἡδυλόγος, καὶ τῷ δήμῳ κεχαρισμένος. Fl. 33.

V. 130. *ΛΑΕΡΤΙΑΔΗΣ*, ὁ υἱὸς τοῦ Λαερτίου. Fl. 6. 17. 21. 56. 59. 76. εἰώθασιν οἱ ποιηταὶ πατρωνυμικῶς. Fl. 56. *ΠΕΙΘΕΙ*, ἀντὶ τοῦ ἔπεισε. Fl. 6. 17. 56. 59. 76. πρὸ τοῦ πεῖσαι. Fl. 21.

V. 131. *ΤΟΝ ΑΡΙΣΤΟΝ*, ἤγουν τὸν κρείττονα, τὸν ἀνδρείον (sic) τῶν Ἑλλήνων. Fl. 17. τὸν ἀνδρειότατον. Fl. 56. μηδαμῶς τὸν ἔνδοξον Ἑλλήνων πάντων. Fl. 33. τὸν κρείττονα (εὐδοκιμώτερον). Gu.

V. 132. *ΔΟΥΛΩΝ*, αἰχμαλωτῶν (— ωτικῶν?). Fl. 59. *ΣΦΑΓΙΩΝ*, θυμάτων. Fl. 17. σφαγμάτων, ἤγουν τῆς Πολυξένης. Fl. 21. *ΑΠΩΘΕΙΝ*, ἀποδιώκειν ἀφ' ἡμῶν τὸν Ἀχιλλέα, ἤγουν μὴ ἐχθρὸν ἡμῖν αὐτὸν ποιῆσαι. Fl. 59. παραβλέπειν, (παραλογίζεσθαι, ἀποπέμπειν ἀγέραστον, ἀποστρέφεσθαι, ἀτιμάζειν). Gu.

V. 133. *ΠΑΡΑ*, ἀπέναντι τῆς Περσεφόνης. Fl. 21.

V. 134. *ΦΘΙΜΕΝΩΝ*, ἀπὸ τῶν τεθνηκότων ἐν Τροίᾳ. Fl. 6. 17. 56. 59. 76. Gu. τῶν ἀποθανόντων στάντα παρὰ τῇ θυγατρὶ τῆς Δήμητρος, τῇ ἀλόχῳ τοῦ καταχθονίου θεοῦ Πλούτου τοῦ κρίνοντος τοὺς τεθνηκότας. Fl. 21.

V. 135. *ΩΣ ΑΧΑΡΙΣΤΟΙ*, ὅτι ἀγνώμονες γενόμενοι. Fl. 6. 17. 21. 56. 59. 76. ὅτι ἀγνώμονες (γινόμενοι, μὴ διδόντες τὴν χάριν.) Gu. *ΔΑΝΑΟΙ.* ἰστέον, ὅτι Δαναοὶ, Ἀχαιοὶ καὶ Ἕλληνες ταὐτά ἐστι. Fl. 9. μηδὲ ἀχάριστοι γένοιντο οἱ Ἕλληνες τῶν φονευομένων καὶ ἀπολλυμένων Ἑλλήνων. Fl. 33.

V. 136. *ΟΙΧΟΜΕΝΟΙΣ*, φθαρεῖσιν. Fl. 59. τεθνηκόσιν. Fl. 21. τοῖς Ἕλλησι τοῖς φθειρομένοις ὑπὸ (l. ὑπὲρ) τῶν Ἑλλήνων. Fl. 33. τοῖς ἀποθανοῦσιν, (ἀπολωλόσιν). Gu.

V. 137. *ΤΡΟΙΑΣ ΠΕΔΙΩΝ* ἀντὶ τοῦ Τροίας περιφραστικῶς. ἀπὸ τῶν χωρίων ἀπῆλθον. Fl. 17. *ΠΕΔΙΩΝ*, τῶν ἀρουρῶν, χωρίων. Fl. 6. 21. 56. 59. 76. τῆς Τρωϊκῆς γῆς ἀπέβησαν. Fl. 33. *ΑΠΕΒΗΣΑΝ*, ἀπήλθοσαν (ἀπῆλθον, ἀπέπλευσαν, ἀπεχώρησαν.) Gu.

V. 138. *ΗΞΕΙ*, ἐλεύσεται ἐνταῦθα. Fl. 59. τὰ τοῦ χοροῦ ῥήματα. Fl. 21. *ΟΣΟΝ ΟΥΚ ΗΔΗ*, ἀντὶ τοῦ ὅσον οὔπω, ταχέως. Fl. 17. 21. 59. 76. ἀντὶ τοῦ ὅσον οὔπω, πρὸ ὀλίγου. Fl. 6. ἔρχεται Ὀδυσσεὺς οὐ μετὰ πολλὸν, ἀλλὰ ἀρτίως. Fl. 33. ἀντὶ τοῦ ὅσον οὔπω. (μετ' ὀλίγον, ταχέως, παραυτίκα.) Gu.

V. 139. *ΠΩΛΟΝ* τὴν παῖδα λέγει μεταφορικῶς. *ΠΩΛΟΝ* ἤγουν τὴν θυγατέρα. Fl. 59. *ΑΦΕΛΞΩΝ.* ἀφέλκω, ὁ μέλλων ἀφέλξω, καὶ ἡ μετοχὴ ὁ ἀφέλξων. Fl. 17. ἤγουν ἀποσπάσων (ἀφελκύσων). Gu. *ΜΑΖΩΝ.* εἰκότως πρὸς τὸ π ῶ λ ο ν [9]) ἐπήγαγε τὸ ἀ π ὸ μ α ζ ῶ ν· οἱ γὰρ πῶλοι γάλακτι τρέφονται. ἢ τὸ ἀπὸ μαζῶν ἀντὶ τοῦ ἀπὸ τοῦ σοῦ στήθους, καὶ τῆς σῆς πρὸς αὐτὴν φύσεως, ἢ [10]) φυσικῆς προσπαθείας. μαστὸς καὶ μασθὸς διαφέρει· μαστὸς ὁ γυναικεῖος ἀπὸ τοῦ μεστὸς εἶναι γάλακτος, μασθὸς δὲ ὁ

6) In edit. schol. Junt. Basil. Barn. nihil legitur nisi φρόνιμος. cui King. add. ὁ ποικ. τὸν νοῦν.

7) Barn. add. σοφιστής, παρὰ τὸ κόπτειν τοὺς λόγους. ἡ δὲ κοπὶς Περσικὸν ξίφος, ὃ ἀκινάκης λέγεται.

8) Ultima ὁ τῷ δ. κ. τ. λ. sunt e codd. Gu. Flor. 6. 21. 56. 59. 76. in his subiicitur τὸ εὔνοιαν ἐπισπᾶσθαι παρ' αὐτῶν.

9) Sic Gu. Vulgo πρὸς τὸ πάθος.

10) Verba φύσεως ἢ desunt in Gu. Idem om. sqq. μαστὸς καὶ — ἐσθίεσθαι.

τῶν ἀνδρῶν ἀπὸ τοῦ μὴ ἐσθίεσθαι. *ΜΑΖΩΝ*, ἤγουν
ἀπὸ τοῦ σοῦ κόλπου παρακινήσων. C. C. C. μαστὸς ἐπὶ
γυναικὸς, ὡς ὁ τοιοῦτος ἀλλαχοῦ λέγει· (Hec. 421) ὦ
στέρνα μαστοί μ' ἐθρέψαθ' ἡδέως· μαζὸς δὲ
ἐπὶ ἀνδρὸς, ὡς τὸν δρῦν μαζῷ πέλασε παρ' Ὁμήρῳ
(Il. δ', 123) εὕρηται, καὶ μαζὸς ἐπὶ θήλεος καταχρηστι-
κῶς καὶ ὡς ἐνταῦθα καὶ παρὰ Θεοκρίτῳ· (Id. 3, 15 sq.)
ἦ ῥὰ λεαίνης μαζὸς θήλασδε. φασὶ μὲν οἱ τεχνι-
κοὶ, ἐπὶ μὲν θήλεος διὰ τὸ στ ἐκφέρεται, οἱονεὶ μασητὸν,
ἐπὶ δὲ ἀνδρὸς διὰ τὸ σθ, οἷον ὁ μὴ ἐσθιόμενος. Fl. 56.
ἀντὶ τοῦ τὴν σὴν θυγατέρα, τὴν παρθένον, τὴν νεάνιδα,
ἀπὸ τῶν σῶν μαστῶν ἀποσπάσει, αἴρει. Fl. 33. μαζὸς
ἐπὶ ἀνδρὸς, ὡς παρ' Ὁμήρῳ, νευρὴν μὲν μαζῷ πέ-
λασεν· μαζὸς (l. μαστὸς) δὲ ἐπὶ γυναικὸς, οἱονεὶ μαση-
τός τις ὤν. ἐνταῦθα γοῦν ἀπὸ μαζῶν εἴρηκε ἀντὶ τοῦ
στήθους, δεικνὺς τὴν φυσικὴν προςπάθειαν ὁ ποιητής.
Gu. *ΑΠΟ Μ.* ἤγουν ἀπὸ τοῦ σοῦ κόλπου.

V. 140. *ΧΕΙΡΟΣ*, ἀπὸ τῆς σῆς ἐντίμης χειρὸς ἀφαιρήσει. Fl. 33. *ΟΡΜΗΣΩΝ*, παρορμήσων, παρακινήσων, ἀφαιρησόμενος. (ἔξω ἐκβαλῶν. Gu.) Baroc. 74. Gu. καὶ ἐλεύσεται συνεκδοχικῶς ἐξορμήσων καὶ μέλλων ἐκβαλεῖν ἀπὸ τῆς γεραιᾶς χερὸς τὴν πῶλον. Fl. 59.

V. 141. *ΑΛΛ' ΙΘΙ ΝΑΟΥΣ*, ἀλλὰ ἄπελθε εἰς τοὺς ναούς· ἐπαναφορὰ, ἄπιθι πρὸς τοὺς βωμούς. διαφέρει δὲ ναὸς βωμοῦ. ναὸς μὲν, ἔνθα τὰ εἴδωλά εἰσι, βωμὸς δὲ, ἔνθα αἱ θυσίαι γίνονται. *ΙΘΙ ΠΡΟΣ ΒΩΜΟΥΣ*, ἤγουν ἐπικαλοῦ τοὺς θεοὺς τοὺς βοηθῆσαι τὴν σὴν πῶλον. Fl. 21. ἔρχου πρὸς τοὺς ναοὺς καὶ εἰς τοὺς θεικοὺς βωμούς. Fl. 33. βωμοὺς, θυσιαστήρια. Fl. 59.

V. 142. *ΙΖ'*, πίπτε. Fl. 6. κάθισον. Fl. 17. κάθιζε καὶ δέου τοῦ Ἀγαμέμνονος. Fl. 21. 76. *ΙΚΕΤΙΣ*, ἱκετικῶς. Fl. 17. καὶ γίνου παρακλήτωρ τοῦ Ἀγαμέμνονος. Fl. 33. *ΓΟΝΑΤΩΝ*, ἁπτομένη δηλονότι. γονάτων ἥπτοντο οἱ καθικετεύοντες καὶ γενειάδος καὶ δεξιᾶς χειρός. (διά. οὕτω λαμβανομένη ἔξωθεν ἡ διὰ συντακτέον· οὐ γὰρ τὰ γόνατα ἔμελλε παρακαλεῖν, ἀλλὰ δι' ἐκείνων ἱκετεῦσαι ἐκεῖνον· οὕτω νοεῖται περὶ τούτου ὁ κύριος Μάξιμος.) Gu.

V. 143. *ΚΗΡΥΣΣΕ*, ἐπικαλοῦ. *ΚΗΡ.* εὔχου. Fl. 59. ἐπικαλοῦ, (ἀνακάλει, μεγάλως.) Gu. *ΟΥΡΑΝΙΔΑΣ*,

ἤγουν τοὺς οὐρανίους, τὸν Δία, τὸν Ἑρμῆν καὶ τοὺς ἄλλους. Fl. 59. καὶ ἐπικαλοῦ τοὺς οὐρανίους καὶ καταχθονίους θεοὺς, βοηθούς σοι γενέσθαι. Fl. 33. τοὺς οὐρανίους. (πατρωνυμικῶς ἤτοι τοὺς υἱοὺς τοῦ Οὐρανοῦ, τὸν Κρόνον καὶ τὴν Ῥέαν. πατρωνυμικὸν ἀντὶ τοῦ ἁπλοῦ.) Gu.

V. 144. *ΤΟΥΣ Θ' ΥΠΟ ΓΑΙΑΝ*, τοὺς ὑποχθονίους, τὸν Πλούτωνα καὶ Περσεφόνην. Fl. 59.

V. 145. *ΛΙΤΑΙ*, αἱ παρακλήσεις αἱ εἰς τοὺς θεούς. Fl. 17. 56. 59. αἱ ἱκεσίαι. Fl. 21. ὅπως αἱ σαὶ λιταὶ διακωλύσουσι τὴν σφαγὴν τῆς σῆς θυγατρός. Fl. 33. *ΔΙΑΚΩΛΥΣΟΥΣ'*, ἐὰν ποιήσῃς, ὅπερ λέγω. Fl. 59. ἐμποδίσουσιν. Gu.

V. 146. *ΟΡΦΑΝΟΝ*, ἀντὶ τοῦ ὀρφανὴν, Ἀττικῶς, ὡς καὶ Ἀριστοφάνης (*Νεφ.* 53.)· οὐ μὴν ἐρῶ γ', ὡς ἀργὸς ἦν. οὐ χρὴ τοίνυν ὀρφανὰν γράφειν, ὡς ἔν τισιν εὕρηται· οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ. *ΟΡΦΑΝΟΝ.* κατὰ τοὺς παλαιοὺς ὀρφανὸς ἐλέγετο καὶ πατὴρ ἐπὶ στερήσει παιδὸς, καὶ οἶκος ὀρφανὸς ἐπὶ στερήσει οἰκήτορος· παρ' ἡμῖν ὀρφανὸς ἐπὶ στερήσει γονέων, ὅθεν καὶ ὀρφανικὰ χρήματα τὰ εἰς παρακαταθήκην τιθέμενα ἀτελῆ ὄντος τοῦ παιδός. Gu.

V. 147. *Η.* τὸ ἢ διαλυτικὸν ἐστὶ ἀντὶ τοῦ εἰ δὲ μή. Fl. 21. *ΠΡΟΠΕΤΗ.* προκειμένην. *ΠΡΟΠ.* προνενευμένην. Fl. 21. προπετὴς, pronus. πρηνὴς, resupinus. Fl. 21. φανερῶς κειμένην, (ἔμπροσθεν κειμένην.) Gu.

V. 148. *ΦΟΙΝΙΣΣΟΜΕΝΑΝ*, ἡματωμένην. Fl. 59. ἐπὶ τὸν τάφον πορευομένην αἵματι φοινισσομένην. Fl. 33. ἤγουν βαπτομένην, (μολυνομένην). Gu.

V. 149. *ΧΡΥΣΟΦΟΡΟΥ*, τῆς ποτὲ χρυσοφόρου δειρῆς, ὡς τὸ εὐμελῶ προιάμοιο (sic v. Il. δ', 165). Fl. 21. τὴν νεάνιδα δεδεμένην ἐκ τῆς ποτε χρυσοκοσμημένης. Fl. 33.

V. 150. *ΔΕΙΡΗΣ*, τοῦ τραχήλου. Fl. 6. 21. 56. 59. Gu. δειρὴ τὸ ἔμπροσθεν τοῦ τραχήλου. λέγεται δὲ κυρίως ἐπὶ τῶν ἀλόγων ζώων διὰ τὸ ἐκεῖθεν ἐκδέρεσθαι. Gu. *ΝΑΣΜΩι*, ῥεύματι. *Ν. ΜΕΛΑΝΑΥΓΕΙ*, χύσει αἵματος μελανιεῖ. Fl. 57. τῇ ῥύσει (leg. ῥεύσει) τοῦ μέλανος αἵματος. Fl. 10. 21. ἤγουν μέλαιναν ὄψιν ἔχοντι,[1])

[1]) Hoc etiam est in schol. Basil. om. a Musgr.

(μέλανι, σκοτεινῷ. τὸ ἐρυθρὸν μᾶλλον πλησιάζει τῷ μέλανι ἢ ἄλλῳ ὁτῳοῦν χρώματι.) Gu.

V. 95 — 150. *ΠΑΡΑΦΡΑΣΙΣ.* ὦ Ἑκάβη, σὺν σπουδῇ ὥρμησα πρὸς σὲ, καταλιποῦσα τὰς δεσποτικὰς σκηνὰς, ὅπου διὰ κλήρου ἐδόθην καὶ ἐτάχθην δούλη, ἀποδιωκομένη ἀπὸ τῆς πόλεως τῆς Ἰλιάδος τῇ ὀξύτητι τοῦ δόρατος, δοριάλωτος γενομένη παρὰ τῶν Ἀχαιῶν. ἐλιάσθην δηλονότι κατὰ κοινοῦ, οὐδὲν ἀπὸ τῶν παθῶν ἐλαφρύνουσα καὶ ἐλαττοῦσα, ἀλλὰ ἐπιφέρουσα μέγα βάρος μηνύματος, σοί τε, ὦ γύναι, ἦλθον κῆρυξ καὶ ἄγγελος ἀχέων καὶ θλίψεων. ἐν γὰρ τῇ συνελεύσει τῶν Ἀχαιῶν τῇ πεπληρωμένῃ περιᾴδεται καὶ φημίζεται κυρωθῆναι, θέσθαι καὶ ποιῆσαι τὴν σὴν θυγατέρα θῦμα τῷ Ἀχιλλεῖ. γινώσκεις δὲ, ὅτε ἐπιβὰς, ὁ Ἀχιλλεὺς δηλονότι, τοῦ τύμβου τοῦ ἑαυτοῦ, ἐφάνη σὺν ὅπλοις χρυσοῖς, ἐπέσχε δὲ τὰς ναῦς τὰς ἐν τῷ πόντῳ τὴν πορείαν ποιουμένας, ἐπερειδούσας τὰ ἄρμενα ἐν σχοινίοις, τάδε βοῶν· ὦ Δαναοὶ, ποῦ πορεύεσθε, ἀφέντες τὸν ἐμὸν τύμβον ἄτιμον; συνέβη δὲ, καὶ ἐπῆλθε, ταραχὴ πολλῆς φιλονεικίας, δόξα δὲ, καὶ γνώμη καὶ ὑπόληψις, ἐχώρει καὶ ἐκινεῖτο εἰς τὸν στρατὸν τὸν πολεμιστήν. τοῖς μὲν δοκοῦν, ἦν δηλονότι, διδόναι σφάγιον τῷ τύμβῳ, τὴν θυγατέρα δηλονότι, τοῖς δὲ οὐχί. (οἱ δὲ νεώτεροι συντάσσουσιν οὕτως· τοῖς μὲν δοκοῦν ἀντὶ τοῦ δοκοῦντος, ἤτοι ἀρεστοῦ ὄντος, διδόναι τῷ τύμβῳ σφάγιον, τὴν Πολυξένην δηλονότι, τοῖς δὲ οὐχί.) ἦν δὲ ὁ μὲν σπεύδων εἰς τὸ σὸν ἀγαθὸν ὁ Ἀγαμέμνων, ἅτε τιμῶν τὴν κοίτην τῆς μαντικῆς Κασάνδρας· οἱ υἱοὶ δὲ τοῦ Θησέως, Ἀκάμας καὶ Δημοφῶν, οἱ κλάδοι τῶν Ἀθηνῶν, ἦσαν δημηγόροι λόγων διπλῶν. συνέτρεχον δὲ βουλῇ μιᾷ, ὥστε στεφανοῦν τὸν τάφον τοῦ Ἀχιλλέως ἐν αἵματι προσφάτῳ καὶ παρθενικῷ. τὴν δὲ κοίτην τῆς Κασάνδρας οὐκ ἔλεγον προτιμήσειν τῆς ἀνδρείας τοῦ Ἀχιλλέως. αἱ ἅμιλλαι δὲ τῶν κατατεινομένων λόγων, ἤτοι τῶν ἀγωνιστικῶς λεγομένων καὶ ἐριστικῶς, πῶς καὶ κατὰ τινὰ τρόπον ἦσαν ἴσαι, μέχρις οὗ κατέπεισε τὴν στρατιὰν ὁ Ὀδυσσεὺς ὁ ποικίλα φρονῶν, ὁ κόπις καὶ ὁ λάλος, ἤτοι ὁ ῥήτωρ ὁ ἡδὺς κατὰ τοὺς λόγους, ὁ τῷ δήμῳ χαριζόμενος, λέγων δηλονότι, μὴ τὸν ἄριστον πάντων τῶν Ἀχαιῶν, Ἀχιλλέα, ἀποδιώκειν καὶ παραβλέπειν χάριν σφαγίων δουλικῶν, μηδέ τινα τῶν

ἀποθανόντων στάντα πλησίον τῆς Περσεφόνης εἰπεῖν, ὅτι οἱ Δαναοὶ ἀπῆλθον τοῦ τόπου τῆς Τροίας, κακοὶ καὶ ἀχάριστοι φανέντες τοῖς Ἕλλησι, τοῖς ἀποθανοῦσιν ὑπὲρ τῶν Ἑλλήνων. παραγενήσεται δὲ συντόμως ὁ Ὀδυσσεὺς, ἀποσπάσων τὴν πῶλον, ἤτοι τὴν Πολυξένην, ἀπὸ τοῦ σοῦ κόλπου, καὶ παρορμήσων καὶ παρακινήσων ἐκ τῆς γεραιᾶς χειρὸς τῆς σῆς. ἀλλ' ἄπιθι πρὸς ναοὺς, ἴθι πρὸς βωμοὺς, κάθησο παρακλήτρια τοῦ Ἀγαμέμνονος διὰ τῶν γονάτων αὐτοῦ δηλονότι. ἐπικαλοῦ τούς τε ἐν τῷ οὐρανῷ θεοὺς, τούς τε ὑποκάτω τῆς γῆς. ἢ γὰρ αἱ λιταὶ ἐμποδίσουσιν ἔσεσθαι ἐστερημένην παιδὸς μελέας, καὶ ἀθλίας, ἢ ἀπόκειται ἰδεῖν τὴν παρθένον προκειμένην τοῦ τύμβου, βαπτομένην ἐκ τῆς χρυσοφόρου δειρῆς ἐν ῥεύματι μελαναυγεῖ, καὶ μέλαιναν ὄψιν ἔχοντι αἵματος.[2]

V. 151. *ΟΙ ΕΓΩ Μ.* σύστημα κατὰ περικοπὴν ὁμοιομερές· ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. ἔστι δὲ καὶ τοῦτο κατὰ περιορισμοὺς ἀνίσους. τὰ δὲ κῶλα πάντα αὐτοῦ κγ, ὧν τελευταῖον σ ᾶ ς ψ υ χ ᾶ ς ἀ ΐ ω φ ά μ α ν. εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά. τὸ μέντοι ζ κῶλον καὶ τὸ ιζ μονόμετρά ἐστιν ἀκατάληκτα, τὸ δὲ ιε τροχαϊκὸν ἰθυφαλλικόν[3]. τίθενται γὰρ καὶ τὰ τοιαῦτα συστήματα ἐν μέσῳ τῶν ἀναπαιστικῶν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει ὡσαύτως.

V. 151 — 158. *ΟΙ ΕΓΩ ΜΕΛΕΑ.* φεῦ μελέα εἰμὶ ἐγὼ δηλονότι, τί ἄρα βοήσω; ποίαν κραυγὴν, ποῖον θρῆνον; δειλαία εἰμὶ δηλονότι ἕνεκα τοῦ ἀθλίου γήρως, ἕνεκα τῆς δουλείας τῆς οὐ φορητῆς. ὤμοί μοι, τίς βοηθήσει

2) Quae leguntur a vv. *ἢ γὰρ αἱ λιταί*, eadem fere habet Guelph. ad v. 145 sqq. *ἢ γὰρ διακωλύσουσι καὶ ἐμποδίσουσι σὲ αἱ παρακλήσεις τοῦ εἶναί σε ὀρφανὴν τῆς ἀθλίας παιδὸς, ἢ ἀπόκειταί σοι θεάσασθαι τὴν παρθένον θυγατέρα προπετῆ καὶ ἔμπροσθεν κειμένην τοῦ τάφου τοῦ Ἀχιλλέως καὶ φοινισσομένην καὶ βαπτομένην ἐν νασμῷ καὶ ἐν ῥεύσει μελαναυγεῖ καὶ σκοτεινῷ τοῦ αἵματος τοῦ ἐκ τῆς χρυσοφόρου δειρῆς ἤγουν τοῦ χρυσᾶ φοροῦντος ποτὲ τραχήλου.*

3) Junt. Basil. *φαλικόν.*

ἐμοί; ποῖον τέκνον, ποία πόλις; ἀφανὴς ὁ Πρίαμος, ἀφανεῖς οἱ παῖδες. V. 151. *ΟΙ ΕΓΩ Μ.* φεῦ, οιμοι καὶ οἳ ἐμοὶ κοινὸν, οἳ ἐγὼ μετ᾽ εὐθείας ποιητικόν. ταῦτα λέγουσιν ἄνθρωποι δυςφοροῦντες, ὅτι πλῆθος κακῶν ἔχουσιν. Gu. *ΟΙ*, φεῦ μοι. Fl. 21. *ΜΕΛΕΑ*, ἀθλία. Fl. 6. 17. 21. 56. 59. 76. *ΑΠΥΣΩ*, εἴπω. Fl. 59. φρονήσω. Fl. 21. οὐαί μοι τῆς ἀθλίας, καὶ τί δὴ βοήσω. Fl. 33. ἤγουν βοήσω, (φωνήσω, πρὸς τὸ παρὸν ἄκουσμα). Gu.

V. 152. *ΑΧΩ*, θλίψιν. Fl. 59. φωνήν. Fl. 17. βοήν. Fl. 6. 21. τραγῳδίαν. Fl. 56. ἢ περισπωμένως, ἀχῶ. Fl. 10. *ΟΔΥΡΜΟΝ*, κλαυθμόν. Fl. 17. ποίαν ἠχὴν ἤγουν βοὴν καὶ ποῖον κλαυθμόν. Fl. 33. ἤγουν θρῆνον. Gu.

V. 153. *ΔΕΙΛΑΙΑ ΔΕΙΛΑΙΟΥ*, ἀθλία εἰμὶ ἀθλίου ἕνεκα. Fl. 6. 21. 56. 59. 76. ἀθλία εἰμὶ ἕνεκεν τοῦ δυςτυχοῦς καὶ ἀθλίου γήρως. Fl. 17. ἡ ἄθλιος καὶ ταλαίπωρος τοῦ δυςτυχουμένου καὶ ταλαιπώρου μου γήρως. Fl. 33.

V. 154. *ΤΛΑΤΑΣ*, τῆς ἀνυποίστου, τῆς οὐχ ὑπομονητῆς. Fl. 6. 17. 56. 59. 76. Gu. ἕνεκα τῆς ἀπίστου. Fl. 21. καὶ δουλοσύνης τῆς ἀνυπομονήτου καὶ ὑπερηφάνου ποτέ. Fl. 33.

V. 155. *ΟΥ ΦΕΡΤΑΣ*, οὐ φορητῆς. ποιητικὸν φερτὸν, κοινὸν φορητόν. φορυτὸς δὲ ὁ συρφετὸς ἤγουν ἡ πολλὴ ἀχρεία εἰς ἓν συνηγμένη. Gu.

V. 156. *ΑΜΥΝΗι*, ἤγουν βοηθήσῃ. Fl. 6. 21. 56. 59. 76. *ΑΜΥΝΕΙ*, ἤγουν βοηθήσει. ἀμύνω τὸ ἐκδικῶ καὶ βοηθῶ δοτικῇ, ἀμύνομαι τὸν ἐχθρόν μου ἀντὶ τοῦ κολάζω, ἀεὶ αἰτιατικῇ. ἐκ τούτου λέγεται καὶ ἄμυνα ἐπὶ θηλυκοῦ, καὶ ἀμυντήρια ὅπλα, οἷον ξίφος ἢ δόρυ ἢ τόξον ἢ ἄλλο τι τοιοῦτον, δι᾽ οὗ ἀναστέλλομεν μηκόθεν τὸν πόλεμον. (*ΑΜΥΝΕΙ*, βοηθεῖ. μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ τὸ τίς καλόν ἐστι.) Gu.

Ib. *ΠΟΙΑ ΓΕΝΝΑ*, τῶν τέκνων. Fl. 17. καὶ γὰρ καὶ τὰ πεντήκοντα φροῦδά εἰσιν. Fl. 21. τίς βρηθήσει μοι ἢ τίς ἀνταμείψεσθαι τοὺς ἠδικηκότας; ποία γενεά. Fl. 33. *ΓΕΝΝΑ* ἤγουν ποῖον τέκνον. γέννα ἡ ἐκ τῆς μήτρας ἔκπτωσις τοῦ ἐμβρύου καὶ τὸ γεννηθέν. οὕτω καὶ τόκος. Gu.

V. 157. *ΠΟΙΑ ΔΕ ΠΟΛΙΣ*, ἀμύνῃ μοι δηλονότι. Fl. 17. 21.

V. 158. *ΦΡΟΥΔΟΣ*, ἀφανὴς, πρὸ ὁδοῦ. Fl. 6. 21. 56. 59. 76. Gu. *ΠΡΕΣΒΥΣ*, ὁ γέρων ὁ Πρίαμος. Fl. 17. ἄφαντα, ἀβέβαια τὰ ἐμὰ πάντα, ἀφανὴς ὁ ἀνὴρ, ἤγουν ὁ Πρίαμος, οἱ παῖδες. Fl. 33.

V. 159 — 173. *ΠΟΙΑΝ*, ὁδὸν δηλονότι, πορευθῶ, ἢ ταύτην ἢ ἐκείνην; ποῖ δὲ ἥσω καὶ ὁρμήσω; ποῦ τις ἀπὸ τῶν θεῶν ἢ ἀπὸ τῶν δαιμόνων ἔσται βοηθός; ὦ Τρῳάδες, αἱ ἀπαγγείλασαι κακὰ, ὦ Τρῳάδες, αἱ ἐνεγκοῦσαι κακὰ πήματα, ὠλέσατε καὶ ἐφθείρατε ἐμὲ δηλονότι· οὐδαμῶς ἐστι μοι ἐν τῷ φωτὶ βίος θαυμαστός. ὦ τλῆμον ποῦς, ὁδηγὸς γενοῦ ἐμοὶ τῇ γραίᾳ πρὸς τὴν τῶν αἰχμαλώτων σκηνήν. ὦ τέκνον, ὦ παῖ μητρὸς ἀθλιωτάτης, ἔξελθε ἀπὸ τῶν οἴκων, ἄκουε, ὦ τέκνον, τὴν φωνὴν τῆς σῆς μητρὸς, ἵνα ἀκούσῃς, οἵαν ἀγγελίαν ἀκούω περὶ τῆς σῆς ψυχῆς, ἕνεκα τῆς σῆς ζωῆς.

V. 159. *ΠΟΙΑΝ Η Τ. Η. Κ.* τοῦτο λέγει ἀποροῦσα τί ποιήσει, καὶ τίνα θεῶν [4]) βοηθὸν πρὸς τὰ παρόντα ἐπικαλέσεται. οὕτω δὲ χρὴ γράφειν ταῦτα τὰ κῶλα καὶ τὰ ἑξῆς, ὡς διωρθώθη παρ᾽ ἡμῶν, ἵν᾽ ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. *ΠΟΙΑΝ.* εἰς ποίαν βοήθειαν παραγενήσομαι. Fl. 33. ὁδὸν δηλονότι. τοῦτο λέγουσιν ἐξαπορούμενοι καὶ ἐν ἀφύκτοις ὄντες πράγμασιν ἄνθρωποι. Gu.

V. 160. *ΣΤΕΙΧΩ*, ὁδεύσω. Fl. 17. βαδίσω. Fl. 59. ἤγουν πορευθῶ. (πορεύσομαι, ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος. in marg. ἰστέον ὅτι ὑποτακτικὸς ἐνεστὼς μέλλοντος καὶ ἐνεστῶτος σημασίαν ἔχει· τὸ στείχω γὰρ ἐνεστὼς ὢν ἐνταῦθα μέλλοντα ἐμφαίνει· ὁ δὲ παρακείμενος καὶ ἀόριστος μέλλοντα μόνον.) Gu.

Ib. *ΗΣΩ*, ὁρμήσω. ἵημι, τὸ ὁρμῶ καὶ πορεύομαι, ὁ μέλλων ἥσω, καὶ ψιλοῦται, ἵημι δὲ τὸ πέμπω δασύνεται. *ΗΣΩ*, ὁρμήσω εἰς ποίαν βοήθειαν. Fl. 21. ποῦ πέμψω ἤγουν εἰς τίνα ἄνθρωπον πέμψω ὥστε βοηθῆσαί με. Fl. 59. ποῦ ἔλθω· ποτὲ τίς ἐκ τῶν θεῶν βοηθήσει μοι. Fl. 33. ἥσω, ἤγουν πορευθῶ (ὁρμήσω. ἵημι, ἥσω.) Gu.

Ib. 161. *ΘΕΩΝ Η ΔΑΙΜΟΝΩΝ.* θεοὺς ὑψηλότερόν τι τάγμα ἡγοῦντο τῶν δαιμόνων· ὃν γὰρ λόγον ἔχου-

4) θεῶν add. e Guelph. in quo desunt sqq. οὕτω δέ κ. τ. λ.

σιν οἱ ἥρωες πρὸς τοὺς λοιποὺς ἀνθρώπους, ὑψηλότεροί τινες δοκοῦντες καὶ ὑπερέχοντες, τὸν αὐτὸν λόγον καὶ οἱ θεοὶ πρὸς τοὺς δαίμονας, ὑψηλότεροί τινες δοκοῦντες τούτων εἶναι. λέγονται δὲ καταχρηστικῶς θεοὶ καὶ οἱ δαίμονες. *ΘΕΩΝ Η Δ.* τοῦτο διὰ τὸν Δία λέγει· οὗτος γὰρ μόνος οὐ λέγεται δαίμων, ἀλλὰ θεός· οἱ δὲ ἕτεροι καὶ θεοὶ καὶ δαίμονες. Gu.

Ib. τὸ δὲ *ΕΣΤ' ΕΠΑΡΩΓΟΣ* δύναται καὶ ἀντὶ τοῦ ἔστιν εἶναι καὶ ἀντὶ τοῦ ἔσται· ἡ γὰρ ἀπόστροφος, ὥς φασὶ, καὶ ἀντὶ δύο τίθεται φωνηέντων, ὡς τὸ β ο ύ λ ο μ' ἐ γ ώ, καὶ ἀνθ' ἑνὸς, οἷον τ ο ῦ τ' ἐ σ τ ι ν. *ΕΠΑΡΩΓΟΣ*, ἤγουν βοηθὸς ἔσται δηλονότι. Gu.

V. 162. *ΚΑΚΑ*, δεινά. Fl. 17. *ΕΝΕΓΚΟΥΣΑΙ*, ὑπομένουσαι. Fl. 17. ἤγουν διακομίσασαι. Fl. 76. ἀπαγγείλασαι, ἢ ὑπομείνασαι καὶ παθοῦσαι. Fl. 10. ἤνεγκα ἀντὶ τοῦ ἐκόμισα καὶ ἤνεγκα ἀντὶ τοῦ ὑπέμεινα. Gu. *ΤΡΩΙΑΔΕΣ.* Τρὼς, ὃ κλίνεται Τρωὸς, καὶ Τρωαὶ γυναῖκες, αἳ καὶ Τρῳάδες λέγονται καὶ Τρωϊάδες ποιητικῶς. *ΤΡΩιΑΔΕΣ*, κόραι δηλονότι. Fl. 17. ὦ κακὰ πήματα καὶ βλάβας ἀπαγγείλασαί μοι, Τρωϊκαὶ γυναῖκες. Fl. 33.

V. 163. *ΠΗΜΑΤΑ*, βλάβας. Fl. 17. 21. 56. 59.

V. 164. *ΩΛΕΣΑΤ'.* ἀπώλεσα ἀντὶ τοῦ ἔφθειρα καὶ ἀντὶ τοῦ κοινῶς ἐχάωσα. Fl. 6. 21. 56. 59. 76. Gu. *ΟΥΚΕΤΙ*, εἰς τὸ ἑξῆς. Fl. 59. *ΒΙΟΣ*, ἤγουν διαγωγή. Fl. 59.

V. 165. *ΑΓΑΣΤΟΣ*, θαυμαστὸς, ἤγουν οὐκέτι μοι τὸ ζῆν περισπούδαστον. Fl. 6. Gu. θαυμαστὸς, ποθητὸς, ἀλλ' ἐκ τῶν ἐναντίων. Fl. 21. ἤγουν θαυμαστός. (ποθητὸς, ἀπόδεκτος, ζηλωτός.) Gu. *ΦΑΕΙ*, ἡμέρᾳ. Fl. 17. καὶ τῷ φωτὶ, τῇ ζωῇ. Fl. 21. 59. καὶ ἀμφότερα μικρὰ γράφει ὁ κύριος Μάξιμος. οὐκ εἰς τὸ μετὰ ταῦτα ὁ βίος καὶ ἡ διαγωγὴ ὁ ἐν τῷ φάει καὶ τῷ φωτὶ ἤγουν τῇ ζωῇ ἀγαστὸς καὶ ποθεινὸς, ἤγουν οὐ θέλω ζῆν, ἀλλὰ θανεῖν. Fl. 59. οὐδαμῶς μοι ὁ βίος θαυμαστὸς, καὶ φωτοφανεὶς, ἀλλ' ἐπαχθὴς καὶ ἀπολεσμένος. Fl. 33. *ΕΝ ΦΑΕΙ*, φωτὶ, (ἐν τῇ ἡμέρᾳ.) Gu.

V. 166. *ΤΛΑΜΟΝ*, ταλαίπωρε. Fl. 59. 76. ἀθλία. Fl. 17. ἔνδον ἐβούλετο εἰςελθεῖν πρὸς τὴν αἰχμαλωτίδων σκηνήν. βούλεται γὰρ συντυχεῖν τῇ Πολυξένῃ καὶ μηνῦσαι

τὸν ἐσόμενον αὐτῇ θάνατον. Fl. 10. *ΑΓΗΣΑΙ*, ἤγουν ἡγεμόνευσον. Fl. 6. 21. 56. 59. 76. ὁδηγὸς γενοῦ. Gu. ὑπούργησον. Fl. 17. ὦ τλῆμον, ἐλεινὴ, ἀθλία θύγατερ θανατοῦσαι ἢ μήνυσαι μοι τῇ γραίᾳ τὰ ἐπελθόντα σοι. Fl. 33.

V. 168. *ΠΡΟΣ - -* πρὸς τήνδε τὴν αὐλὴν, ὦ παῖ τῆς ἀθλιωτάτης καὶ ταλαιπώρου μητρός. Fl. 33. ἡ πρὸς καὶ ἐπὶ ἐμψύχου καὶ ἀψύχου. ὡςαύτως καὶ ἡ εἰς. Gu. *ΑΥΛΑΝ*, ἐν ᾗ πάρεστιν ἡ Πολυξένη. C. C. C. Gu.

Ib. *Ω ΤΕΚΝΟΝ, Ω ΠΑΙ*, ἐκ παραλλήλου τὸ αὐτό. λέγεται δὲ ἐκ παραλλήλου, ὅτε συνέλθωσι διάφοροι φωναὶ τῆς αὐτῆς ἐννοίας δηλωτικαί. Gu.

V. 169. 170. *ΕΞΕΛΘ', ΕΞΕΛΘ'*, ἐκ δευτέρου καὶ τρίτου λέγεται ὁ αὐτὸς λόγος, ἢ δι' ὑπερβάλλουσαν χαρὰν, ὡς ἐν τῷ ἐ γ κ α ί ν ι α ἐ γ κ α ί ν ι α, ἢ δι' ὑπερβάλλουσαν λύπην, ἢ διὰ κατεπείγουσαν ἀνάγκην. Gu. ἔξελθε ἐκ τῶν οἴκων καὶ ἄκουσον τῆς σῆς μητρὸς τὴν φωνὴν, ὦ τέκνον. Fl. 33.

V. 171. *ΕΙΔΗιΣ*, μάθῃς. Fl. 6. 21. 56. 59. 76. *ΊΔΗιΣ* ἤγουν μάθῃς, (ἀκούσῃς, αἴσθησις ἀντὶ αἰσθήσεως, ὃ καὶ μετάληψις αἰσθήσεως λέγεται, ἀντὶ τοῦ ἄκουε.) Gu.

V. 172 sq. *ΟΙΑΝ*, οἵαν ἤκουσα φωνὴν ἢ φήμην περὶ τῆς ψυχῆς, ἤγουν περὶ τοῦ σοῦ θανάτου. Fl. 21.

V. 173. *ΣΑΣ ΨΥΧΑΣ.* ψυχὴ λέξις ὁμώνυμος οὖσα σημαίνει τὴν ἐν τῷ ἀνθρώπῳ λογικὴν ψυχὴν, καὶ τὴν ἐν τοῖς ζώοις τοῖς ἀλόγοις καὶ τοῖς φυτοῖς, ἔτι δὲ τὴν ζωὴν, ὡς ἐνταῦθα Εὐριπίδης φησὶ, καὶ ἀλλαχοῦ· ἐ π ε ὶ δ ὲ Τ ρ ο ί α θ' Ἕ κ τ ο ρ ο ς τ' ἀ π ώ λ ε τ ο ψ υ χ ή, ἤγουν ἡ ζωή· καὶ τὴν φύσιν, ὡς παρὰ Σοφοκλεῖ· ὅ ς τ ι ς τ ῆ ς ἐ μ ῆ ς ψ υ χ ῆ ς γ ε γ ώ ς ἀντὶ τοῦ τῆς ἐμῆς φύσεως. *ΨΥΧΑΣ*, ζωῆς. Fl. 6. 21. 56. 59. 76. Gu. καθὼς ἤκουσα λόγον περὶ τῆς ψυχῆς, ἤγουν περὶ τοῦ σοῦ θανάτου. Fl. 33.

V. 174. *ΙΩ ΜΑΤΕΡ, ΜΑΤΕΡ.* σύστημα ἕτερον κατὰ περικοπὴν ἀμοιβαῖον, ὁμοιομερές· ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. εἰσὶ δὲ πάντα τὰ κῶλα λθ, ὧν τελευταῖον κ ρ ε ί σ σ ω ν σ υ ν τ υ χ ί' ἐ κ ύ ρ η σ ε ν. εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων

καταληκτικά. τὸ δὲ δ, καὶ τὸ ια, τὸ ιδ, τὸ ις, τὸ κζ, καὶ τὸ λγ μονόμετρα καὶ πενθημιμερῆ· τὸ μέντοι ε τροχαϊκόν ἐστι πενθημιμερὲς καὶ τὸ λδ ὁμοίως ἑφθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς· τέλος γὰρ ἔχει τὰ ἀναπαιστικά.

Ib. *ΙΩ*, ἀντὶ τοῦ ἰοὺ θρηνικὸν, ἢ οὐαὶ μῆτερ, τί βοᾷς. Fl. 33. *ΝΕΟΝ*, παράδοξον, (πρόςφατον, ὃ πρώην οὐκ ἐγινώσκομεν.) Gu.

V. 174—176. ὦ μῆτερ, διὰ τί βοᾷς, διὰ τί νεωστὶ κηρύξασα καὶ βοήσασα ἐκπτῆναι ἐποίησας, ἤτοι συντόμως ἐξελθεῖν ἐμὲ τῶν οἴκων τῷδε τῷ θάμβει καὶ ταύτῃ τῇ ἐκπλήξει, ὡς καὶ κατὰ ὄρνιν.

V. 175. *ΚΑΡΥΞΑΣ'*, εἰποῦσα. Fl. 59. τί δὴ νεωστὶ λόγον κηρύξας, καὶ ὥςπερ ὄρνιν. Fl. 33. βοήσασα. Gu.

V. 176. *ΘΑΜΒΕΙ*, τῷ θαύματι καὶ τῇ ἐκπλήξει, οἷς κατασχεθεῖσαν [5]) ὑπὸ τοῦ σοῦ λόγου πετασθῆναί με ἐποίησας. *ΘΑΜΒΕΙ*, ἀντὶ τοῦ φοβεῖσθαι ποιεῖς. Fl. 17. τῷ φόβῳ. Gu. *ΕΞΕΠΤΑΞΑΣ*, ἐφόβησας. Fl. 17. ἐδειλίασας. Fl. 10. τῷ τοιούτῳ φόβῳ ἐξέπτηξάς με καὶ καταπτῆξαι καὶ δειλιάσαι πεποίηκας. Fl. 33. *ΕΞΕΠΤΑΞΑΣ*, ἐξέπτηξας ἢ μᾶλλον σὺν φόβῳ ἐξέβαλες. οὕτω λέγεται καὶ ἐπὶ τοῦ ἐναντίου ὑποπτήσσει ἀντὶ τοῦ σὺν φόβῳ κρύπτεται. (πετασθῆναι ἐποίησας, ἐθρόησας, ἐφόβησας.) Gu.

V. 177 sq. *ΙΩ ΜΟΙ ΜΟΙ ΤΕΚΝΟΝ*, διὰ τί δυςφημεῖς καὶ ἐλεεινολογεῖς ἐμὲ, λέγουσα δηλονότι ἐμοὶ κακὰ προοίμια.

V. 177. *ΙΩ ΜΟΙ*. ὁ λόγος τῆς Ἑκάβης οὐ πρὸς τὴν ἐρώτησιν τῆς Πολυξένης, ἀλλὰ καθ' ἑαυτὴν κλαυθμός ἐστι διὰ τὴν ὑπερβάλλουσαν λύπην. Gu.

V. 178. *ΔΥΣΦΗΜΕΙΣ*, βοᾷς. Fl. 17. τί με δύςφημα φθέγγεις. Fl. 6. 21. 10. τί με δύςφημα καὶ κακόφημα φθέγγῃ; καὶ προοίμιά μοι κακὰ προλέγεις; Fl. 33. δυςφημῶ κυρίως τὸ κακῶς λέγω, ἐνταῦθα δὲ ἀντὶ τοῦ λέγω ἁπλῶς· οὕτω γὰρ συμβιβασθείη καλῶς. Fl. 59.

V. 179. *ΑΙ ΑΙ!* δυςφημῶ δηλονότι περὶ τῆς σῆς

5) Gu. ab al. m. tantum οἷς κατεσχέθην.

ψυχῆς, ἤτοι ἕνεκα τῆς σῆς ζωῆς. *ΑΙ ΑΙ*, οὐαὶ οὐαὶ τῆς σῆς ψυχῆς. Fl. 33.

V. 180. *ΕΞΑΥΔΑ*, ἐξάγγελλε καὶ φανερῶς λέγε, μὴ κρύψῃς ἐπὶ πολύ. *ΜΗ ΚΡΥΨΗιΣ*, ὅρα ἵνα. Fl. 6. 17. 21. 56. 59. 76. ἔξειπε, λέξον, μή μοι κρύψῃς ἐπὶ πολὺ, ἢ ἐπιδήλωσον. Fl. 33. τὸ μὴ μετὰ τῶν ἄλλων χρόνων προςτακτικῶς λέγεται, μὴ τύπτε, μετὰ δὲ τοῦ ἀορίστου ὑποτακτικῶς, μὴ τύψῃς ἀντὶ τοῦ μὴ τύψον. Gu.

V. 181 sq. *ΔΕΙΜΑΙΝΩ*, φοβοῦμαι, ὦ μῆτερ, διὰ τί ἄρα ἀναστενάζεις.

V. 181. *ΔΕΙΜΑΙΝΩ*, δέδοικα. Fl. 6. 21. 56. 59. 76. φοβοῦμαι, μῆτερ. Fl. 33.

V. 182. *ΑΝΑΣΤΕΝΕΙΣ*, στενάζεις. Fl. 17. 59. στένεις. Fl. 21. τί δήποτε στενάζεις, ὦ τέκνον ἀθλίας μητρός. Fl. 33. ἤγουν μεγάλως [6]) στενάζεις, ἐπειδὴ ἡ ἀνὰ τὸ ἐπάνω δηλοῖ, ἢ ἐκ δευτέρου στενάζεις, ἐπεὶ καὶ τὸ ἐκ δευτέρου δηλοῖ ἡ πρόθεσις. Gu.

V. 183. *Ω ΤΕΚΝΟΝ*, ὦ τέκνον μητρὸς ἀθλίας. *ΜΕΛΕΑΣ*, ἀθλίας, (ματαίας.) Gu.

V. 184. *ΤΙ ΤΟΔ' ΑΓΓΕΛΛΕΙΣ*, διὰ τί ἀγγέλλεις καὶ μηνύεις, ἤτοι λέγεις τόδε, τουτέστι τί ἐστι τόδε ὃ ἀγγέλλεις. *ΤΙ ΤΟΔ'*. τί ἐστι τόδε ὃ λέγεις. Fl. 17. τί ἐστι τόδε ὃ ἀγγέλλεις καὶ μηνύεις. Fl. 56. 59. 76. διὰ τί λέγεις τόδε. Fl. 6. διὰ τί φθέγγεις. Fl. 21. τί δὴ ὅπερ ἀγγέλλεις; Fl. 33. *ΑΓΓΕΔΛΕΙΣ*, λέγεις. Gu.

V. 185. *ΣΦΑΞΑΙ Σ'*. ἡ γέννα τοῦ Πηλείδου, ἤγουν ὁ υἱὸς τοῦ Ἀχιλλέως ὁ Νεοπτόλεμος, κοινῇ γνώμῃ τῶν Ἀργείων συντείνει καὶ σπεύδει σφάξαι σε πρὸς τὸν τάφον τοῦ πατρὸς αὐτοῦ δηλονότι. Ἄλλως. κοινὴ γνώμη τῶν Ἀργείων συντείνει [πρὸς τύμβον γνώμα, ἢ] σπεύδει [7]) σφάξαι σε πρὸς τὸν τύμβον τοῦ Πηλείδου, ἤγουν τοῦ Ἀχιλλέως. τὸ γέννα ἢ κλητικὴν διὰ τὴν Πολυξένην νοητέον, ἀντὶ τοῦ ὦ θύγατερ, ἢ δοτικὴν πρὸς τὸ Πηλείδα. κρεῖττον δὲ

6) Huic voci ab al. m. suprascr. est πολλαχῶς.

7) King. ed. συντείνει καὶ σπεύδει σφ. σε πρὸς τὸν τύμβον τοῦ Π.

τὸ πρῶτον. [8]) *ΚΟΙΝΑ*, ἡ κοινὴ τῶν Ἑλλήνων γνώμη συντείνει, ἤτοι προκρίνει τοῦ σφάξαι σε πρὸς τὸν τάφον τοῦ Πηλείδου, δῆλον τοῦ Ἀχιλλέως, ὅς ἐστι τοῦ Πηλέως γενεά. Fl. 33.

V. 186. *ΣΥΝΤΕΙΝΕΙ*, συνέρχεται, ὁμοφωνεῖ, (συντρέχει ἢ ἐπισπεύδει. ἡ κοινὴ γνώμη τῶν Ἀργείων συντείνει τῇ γέννᾳ τοῦ Πηλείδα σφάξαι σε πρὸς τύμβον.) Gu. *ΓΝΩΜΑι*, βουλῇ. ἀλλαχοῦ ἡ προαίρεσις. ὅθεν καὶ εὐγνώμων καὶ κακογνώμων. Gu.

V. 187. *ΓΕΝΝΑ*. τῇ γέννᾳ καὶ τῇ γενεᾷ τῶν Ἀργείων, ἤγουν τοῖς Ἀργείοις, συντείνει καὶ συντρέχει γνώμη καὶ βουλὴ καὶ αἵρεσις κοινὴ, ἤγουν τῶν ὅλων, ὥστε σφάξαι σε πρὸς τὸν τύμβον καὶ τὸν τάφον τοῦ Ἀχιλλέως δηλονότι τοῦ Πηλείδου καὶ τοῦ υἱοῦ τοῦ Πηλέως· ἢ ἡ γέννα τῶν Ἀργείων, ἤγουν οἱ Ἀργεῖοι, συντείνει καὶ συντρέχει ἐν κοινῇ γνώμῃ καὶ βουλῇ, λεγούσῃ, σφάξαι σε πρὸς τὸν τύμβον τοῦ Πηλείδου Ἀχιλλέως. Fl. 59. ὁ Πύῤῥος. Fl. 21.

V. 188—190. *ΟΙΜΟΙ ΜΑΤΕΡ*. οἴμοι, ὦ μῆτερ, πῶς φθέγγῃ ἀμέγαρτα καὶ ἀφθόνητα τῶν κακῶν — ἀφθόνητα διὰ τὸ εἶναι λίαν κακά· τοῖς γὰρ τοιούτοις οὐδεὶς φθονεῖ. — μήνυσόν μοι, ἀντὶ τοῦ εἰπὲ, ὦ μῆτερ.

V. 188. *ΦΘΕΓΓΗι*, λέγεις. Fl. 17. 56. 59.

V. 189. *ΑΜΕΓΑΡΤΑ*, ἀφθόνητα, οἷς οὐκ ἄν τις φθονήσειε. λέγονται καὶ ἀμέγαρτα τὰ μεγάλα, ἀπὸ τοῦ μὴ ἀγείρεσθαι. C. C. C. *ΑΜΕΓ*. ἀνέλπιστά μοι κακὰ, ἢ ἄφθονα κακά μοι ἐπαγγέλλεις· τὰ γὰρ κακὰ οὐδεὶς φθονεῖ. Fl. 33. *ΑΜΕΓ*. μέγιστα, ὅθεν καὶ μέγαρα, τὰ ἔνδοξα οἰκήματα, (ἀφθόνητα, ὧν οὐκ ἄν τις τοῖς ἔχουσι φθονῇ διὰ τὸ εἶναι κακά· τοῖς γὰρ κακοῖς οὐδεὶς ἐπίφθονος.) Gu.

Ib. *ΜΑΝΥΣΟΝ*, δήλωσον. Fl. 6. 17. 21. 56. 59. 76. φανέρωσον. Fl. 17. λέγε μοι, λέγε μοι. Fl. 33. τὸ μηνύειν παρὰ τοῖς ποιηταῖς ἀντὶ τοῦ ἁπλῶς λέγειν ἐστὶ, παρὰ δὲ τοῖς κοινοῖς τὸ πέμπειν μεθ᾽ ἑτέρου τινὸς πρός τινας

8) In Gu. tantum leguntur posteriora hoc modo: ἢ τὸ γέννα κλητικὴ διὰ τ. Π. ν. — ἢ δοτική. Ex eo accesserunt vv. ἀντὶ τοῦ ὦ θύγατερ. desunt autem ultima κρεῖττον δὲ etc.

λόγους περί τινος. καὶ μηνυτὴς ὁ τούτοις διακομίζων, ἀλλὰ καὶ ὁ πέμπων. εἰπέ. (ἄγγειλον ταῦτα τὰ κακά.) Gu.

V. 191—193. *ΑΥΔΩ, ΠΑΙ*. λέγω, παῖ, φήμας δυςφήμους, ἤτοι πράγματα κακὴν φήμην καὶ ἀγγελίαν ἔχοντα. ἀγγέλλουσιν ἐμοὶ, κυρωθῆναι τῇ ψήφῳ τῶν Ἀργείων ἕνεκα τῆς σῆς ζωῆς. *ΑΥΔΩ*, λέγω. Fl. 6. 17. 56. λέξω. Fl. 21. *ΑΥΔΗ* κυρίως ἐπὶ μόνων ἀνθρώπων λέγεται. σύγκειται δὲ ἐκ τοῦ αὔω τὸ φωνῶ, καὶ τοῦ δέω τὸ δεσμεύω, ἡ συνδεδεμένη καὶ ἔναρθρος φωνή. Gu. *ΔΥΣΦΗΜΟΥΣ ΦΑΜΑΣ*, οὐ καλὰς φήμας ἐχούσας. Fl. 17. ἤγουν πράγματα οὐ καλὴν φήμην ἔχοντα καὶ λόγους. Fl. 6. 9. 21. 56. 59. 76.

V. 192. *ΑΓΓΕΛΛΟΥΣ᾽*, μηνύουσιν. Fl. 17. 56. δόξαι καὶ βουλαὶ ἐκ τῶν Ἑλλήνων ἀγγέλλουσί μοι. Fl. 33. *ΔΟΞΑΙ ΨΗΦΩι*. ἤγουν ἐκκλησιάσαντες οἱ Ἀχαιοὶ κακὰ περὶ σοῦ ἐψηφίσαντο. *ΔΟΞΑΙ*, κυρωθῆναι. Gu.

V. 193. *ΨΗΦΩι*, τῇ κρίσει, τῇ ἀποφάσει. Fl. 6. 9. 17. 21. 56. 59. 76. ψήφῳ καὶ κρίσει περὶ τῆς σῆς ψυχῆς, ἤγουν περὶ τοῦ σοῦ θανάτου. Fl. 33. τὸ *ΜΟΙ* σχετικὸν, (περισσόν). Gu. *ΨΥΧΑΣ*, τῆς ζωῆς, οὐ περιποιήσασθαι, ἀλλ᾽ ἀφανίσαι· ἥρμοζε γὰρ εἰπεῖν μᾶλλον περὶ τοῦ σοῦ θανάτου. Gu.

V. 194 sq. *Ω ΔΕΙΝΑ Π*. ὦ παθοῦσα δεινὰ καὶ χαλεπὰ, ὦ παντλήμων καὶ παναθλία, ὦ μῆτερ, ἕνεκα τῆς δυστήνου καὶ ἀθλίας βιοτῆς καὶ ζωῆς. *Ω ΔΕΙΝΑ Π*. βαβαὶ, φοβερὰ ὑπομένουσα, ὦ παναθλία, ἐλεινή. Fl. 33. ὦ δυστυχεστάτη. Fl. 10. πολυπαθεστάτη. (ὑπομείνασα. γραμματικὸν τὸ ἦθος καὶ ῥητορικόν.) Gu.

V. 196—201. *ΟΙΑΝ, ΟΙΑΝ*. θαυμαστικόν. λώβην καὶ ὕβριν ἐχθίστην καὶ λίαν μεμισημένην, ἀῤῥήτην καὶ ἄῤῥητον, ἤτοι πολλὴν καὶ μεγάλην, ἐπήγαγέ σοι δαίμων τις. οὐδαμῶς ἔστι σοι ἡ παῖς ἥδε, ἤγουν ἐγώ, οὐκέτι δὴ συνδουλεύσω ἡ ἀθλία τῷ γήρᾳ τῷ σῷ δηλονότι. *ΟΙΑΝ, ΟΙΑΝ*, τίς δὲ ἐκ τῶν θεῶν πάλιν σοι βλάβην μεμισημένην καὶ ἐχθροτάτην καὶ ἀνέκφραστον διήγειρεν. Fl. 33. *ΛΩΒΑΝ*. οἱ γράφοντες λώβαν ἐχθίσταν ἀγνοοῦσι τὰ μέτρα. σὺ δὲ μαθὼν μὴ γράφε τοῦτο· δίμετρον γὰρ ὀφείλει εἶναι τὸ κῶλον, ὡς καὶ τὰ λοιπά· διὸ καὶ ἐξεβλήθη

παρ' ἐμοῦ. *ΛΩΒΗΝ*, βλάβην. τὴν ἑαυτῆς στέρησιν λώβην καλεῖ ἀπὸ μεταφορᾶς τῆς νόσου. Gu.

V. 197. *ΑΡΡΗΤΑΝ*, μὴ δυναμένην ῥηθῆναι. Fl. 17. μεγάλην, (ἣν οὐ δύναταί τις αἴρειν διὰ τὸ μέγεθος, μὴ δυναμένην ῥηθῆναι.) Gu.

V. 198. *ΩΡΣΕ*, ἐπήνεγκε. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐνέβαλεν. Fl. 21. διήγειρε, (ἐνέβαλε, παρώρμησε. ὄρω τὸ διεγείρω· ὁ μέλλων κοινῶς ὀρῶ, Αἰολικῶς δὲ ὄρσω, ὡς τὸ σπείρω, σπερῶ, σπέρσω, καὶ κείρω, κερῶ, κέρσω. ὄρσω γοῦν ὁ μέλλων, ὁ ἀόριστος ὦρσα, ὦρσας, ὦρσε.) Gu. *ΔΑΙΜΩΝ*, κακοποιὸς θεός. Fl. 59.

V. 199. *ΟΥΚΕΤΙ*, εἰς τὸ ἑξῆς. Fl. 59. οὐχ ὑπάρχει σοι παῖς αὕτη οὐδαμῶς. Fl. 33.

V. 200. *ΓΗΡΑι*, τῷ ταλαιπώρῳ γήρει (sic), καὶ οὐκέτι συνδουλεύσω σοι ἐγὼ ἡ ἀθλία. Fl. 33.

V. 201. *ΣΥΝΔΟΥΛΕΥΣΩ*, ἤγουν συγκακοπαθήσω, ἤγουν οὐκέτι σοι ἔσομαι γηρότροφος. Baroc. 74. Gu. οὐκέτι σοι συνδουλεύσω, οὐ μή σοι ἀποδώσω τὴν κεχρεωστημένην τοῖς πατράσι περὶ τῶν παίδων τιμήν. Gu.

V. 202. *ΣΚΥΜΝΟΝ ΓΑΡ*. σκύμνος τὸ τοῦ λέοντος γέννημα, μόσχος τὸ τῶν βοῶν, νεβρὸς τὸ τῶν ἐλάφων, ἀρνειὸς τὸ τῶν προβάτων. ὡς σκύμνον γὰρ καὶ ὡς οὐριθρέπτην μόσχον ὄψει με, ὦ δειλαία, τὴν δειλαίαν αἰφνιδίως ἀναρπασθεῖσαν τῆς σῆς χειρὸς, καὶ ὑπὸ τὸν σκότον τῆς γῆς τοῦ ᾅδου πεμπομένην, ἀποτετμημένην τὸν λαιμόν.[9]) *ΣΚΥΜΝΟΝ*, ὡς σκύμνον. τὸ ὡς ἀπὸ κοινοῦ. Fl. 6. 9. 21. 56. 59. 76. σκύμνον λέγει διὰ τὸ βασιλικὸν, διότι καὶ ὁ λέων τῶν ἄλλων ζώων βασιλεύει. Fl. 59. ὥςπερ τινὰ σκύμνον ἢ μόσχον ἐν ὄρει τρεφόμενον ὄψει με, ὦ δειλαία, τὴν ταλαίπωρον ἁρπαζομένην, καὶ λαιμοτόμον ὄψει· οἷον, ὄψει με τῷ ᾅδῃ πεμπομένην οὐ κοινῷ θανάτῳ, ἀλλὰ τῷ ξίφει θανατουμένην, καὶ ἀποπεμπομένην εἰς τὸν τῆς γῆς σκότον, κἀκεῖ μετὰ νεκρῶν ἀταλαιπωρήτως κατοικήσομαι. Fl. 33.

V. 203. *ΜΟΣΧΟΝ* ἢ πρὸς τὸ δειλαίαν σύναπτε, ἢ πρὸς τὸ σκύμνον, ἵν' ᾖ λεοντώδη μόσχον· εἶπε δὲ τὸ

9) Verba ὡς σκύμνον — λαιμόν sunt etiam in Gu.

μόσχον διὰ τὸ νέον [10]), σκύμνον δὲ διὰ τὸ βασιλικόν. ἔστι δὲ τὸ ἀΐδα καὶ τὸ σκότῳ τῆς γῆς τὸ αὐτό. *ΜΟΣΧΟΝ*, νέαν. Fl. 10. 59. οἱ παλαιοὶ ἐπὶ παντὸς νέου παρελάμβανον. Fl. 6. μοσχάριον. Fl. 11. *ΜΟΣΧΟΝ*. ἁπαλόν. μόσχος λέγεται παρ' ἡμῖν τὸ μοσχάριον, παρὰ δὲ τοῖς παλαιοῖς τὸ νεογνὸν γέννημα, ὡς ἐνταῦθα. Gu. *ΔΕΙΛΑΙΑ ΔΕΙΛΑΙΑΝ*, ἀθλία τὴν ἀθλίαν. Fl. 17.

V. 204. *ΕΙΣΟΨΕΙ*, θεάσει. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΝΑΡΠΑΣΤΑΝ*, ἡ ἀνὰ τὴν ἄνω σχέσιν δηλοῖ, ἤγουν ἐλαφρῶς, εὐκόλως ἁρπασθεῖσαν. Gu.

V. 205. *ΑΠΟΛΑΙΜΟΤΟΜΟΝ*. τὸ λαιμότομον ἤγουν τὸν λαιμὸν κεκομμένην, ὅ ἐστι πεφονευμένην. Fl. 59. ἐν τῷ λαιμῷ τμηθεῖσαν. Fl. 10. λαιμοτόμος, ὁ κόπτων τὸν λαιμόν, λαιμότομος δὲ ὁ τμηθεὶς τὸν λαιμόν. Gu. [1])

V. 206. *ΥΠΟΠΕΜΠΟΜΕΝΑΝ*, πορευομένην. Fl. 59. ὑπερβατόν. Gu. *ΣΚΟΤΟΝ*, τὸν σκοτεινὸν τόπον. Fl. 59. *ΕΝΘΑ*, εἰς ὃν τάφον, ὅπου. Fl. 21. ὅπου. Fl. 59.

V. 208. *ΚΑΙ ΣΕ ΜΕΝ*. καὶ σὲ μὲν, ὦ μῆτερ ἀθλία, κλαίω ἐν θρήνοις παγκλαύστοις· τὸν ἐμὸν δὲ βίον καὶ τὴν ζωὴν, ὕβριν καὶ βλάβην οὖσαν, οὐ θρηνῶ, ἀλλ' ἡ συντυχία, ἤγουν ἡ συνάντησις τοῦ θανεῖν, ἐκύρησε καὶ ὑπῆρξεν ἐμοὶ κρείσσων ταύτης τῆς ζωῆς.

Ib. *ΚΑΙ ΣΕ*. σὲ δὲ, μῆτερ ταλαίπωρε, θρηνῶ πανολεθρίοις κλαυθμοῖς. Fl. 33. θέσις ῥητορικὴ καὶ κατάφασις φιλόσοφος. Gu. [2])

V. 209. *ΠΑΝΟΔΥΡΤΟΙΣ*, τοῖς νικῶσι πάντα τὸν ὀδυρμόν. Fl. 6. πλείστοις, (παγκλαύστοις)· θρῆνος καὶ

10) Sic etiam Guelph. Vulgo ἵν' ᾖ λεοντώδη σκύμνον, διὰ τὸ νέον etc. E Guelph. etiam τὸ μόσχον et τὸ σκότῳ pro τῷ σκ. dedi. In fine idem ταυτόν.

1) In eodem vocis ἀπολαιμοτόμον duabus syllabis prioribus a m. pr. suprascriptum est ἀναστροφή.

2) Idem scholion adscriptum est v. 211. sed ibi legitur ἄρνησις ῥητ.

κλαυθμὸς τὸ αὐτό· πένθος ἡ διὰ λύπην μελανειμονία· καὶ ἡ κουρά· καὶ ἡ οἴκοι ἀπόκλεισις καὶ ὅσα τοιαῦτα. Gu.

V. 210. *ΤΟΝ ΕΜΟΝ ΔΕ Β.* τὴν ἐμὴν δὲ ζωὴν, ἀπολλυμένην δηλονότι, τὴν βλάβην καὶ τὴν φθορὰν τὴν ἐμὴν, οὐ μόνον οὐ μεταβαλλομένη κλαίω, ἀλλὰ καὶ τὸ ἀποθανεῖν παρ' ἐμοὶ συνάντημά ἐστι κρεῖττον τῆς ζωῆς δηλονότι. *ΤΟΝ ΕΜΟΝ ΔΕ Β.* τὸν δὲ ἐμὸν βίον, ἤγουν τὴν στέρησιν τῆς ἐμῆς ζωῆς, καὶ τὴν βλάβην καὶ τὴν λύμην τὴν ἐμὴν, ἤγουν τὴν στέρησιν τοῦ θανάτου, οὐ κλαίω. Fl. 59. τὸν δὲ ἐμὸν βίον τὸν βλαβερὸν καὶ ἐπικίνδυνον, οὐ θρηνῶ. Fl. 33. ἀπολλύμενον δηλονότι, (τὴν ἐμὴν ζωήν). Gu. *ΛΩΒΑΝ*, τὸν ὄντα ὕβριν καὶ βλάβην. Fl. 17. 21. 56. τὴν ἐμὴν βλάβην. Fl. 59. λώβη ἡ ὕβρις, λύμη ἡ βλάβη. Fl. 33. βλάβην (ὄντα). Gu.

V. 211. *ΜΕΤΑΚΛΑΙΟΜΑΙ*, οὐ κλαίομαι ἀντὶ τοῦ οὐκ ὀδύρομαι. Fl. 21. ἤγουν οὐ κλαίω μετὰ τὸ κλαίειν σέ. τὸ κλαίω, τὸ σφάττω, τὸ ὑβρίζω καὶ ἕτερα τοιαῦτα ῥήματα πάθος ἔχοντα ἐν τοῖς ἐνεργητικοῖς ἔμφυτον οὐκ ἔχουσι τὰ παθητικὰ ἀντ' ἐνεργητικῶν, οἷον κλαίομαι τὸν δεῖνα ἢ ὑβρίζομαι ἢ σφάττομαι τὸν δεῖνα, ἀλλὰ κλαίομαι ὑπὸ τοῦ δεῖνος ἢ σφάττομαι ἢ ὑβρίζομαι. παρὰ δὲ τῇ ποιητικῇ αὐτονομίᾳ λαμβάνονται καὶ τὰ τοιαῦτα παθητικὰ ἀντ' ἐνεργητικῶν, ὡς ἐνταῦθα, μετὰ προθέσεων, καὶ τὸ ἀνακλαίομαι, μετακλαίομαι, ἐπικλαίομαι καὶ ἀποκλαίομαι. Gu. [3])

V. 211 sq. *ΑΛΛΑ ΘΑΝΕΙΝ ΜΟΙ.* ἤγουν τὸ τοῦ νῦν θανάτου σύμβαμα προτιμότερον ἐμοὶ συνέβη τῆς ζωῆς. καὶ εἰ μὲν τὸ ἐκύρησε διὰ τοῦ υ ψιλοῦ καὶ η γράψεις, οὕτως ἐρεῖς· εἰ δὲ διὰ τοῦ η καὶ υ ψιλοῦ, οὕτως· ἀλλὰ ἡ συντυχία καὶ ἡ ξύμβασις ἐκήρυξε, καὶ δίκην κήρυκος προσέταξεν ἐμοὶ κρεῖττον τὸ θανεῖν. δέον δὲ ἐκήρυξεν εἰπεῖν [4]), ἐκήρυσσεν εἶπε κατὰ ἀντιχρονισμόν. οὕτω δὲ λέγων, ἢ ω μέγα τὸ κρείσσων γράψεις πρὸς τὸ πρῶτον, ἢ ο μικρὸν πρὸς τὸ δεύτερον. *ΣΥΝΤΥΧΙΑ*, δυςτυχία. Fl. 10. ἤγουν τὸ σὺν αὐτῇ μοι κρεῖσσον ὑπῆρξ' ἐμοὶ ὥστε θανεῖν. Fl. 17. ἤγουν ἡ συμφορὰ τοῦ θανάτου κρείσσων ὑπῆρξεν ἐμοὶ τῆς ζωῆς δηλονότι. Fl. 6. 9. 21. 56. 59. 76. ἀλλὰ κρείσσων ἐκύρησεν, ἤγουν κυρεῖ καὶ ὑπάρχει ἐμοὶ ἡ ξυντυχία, ἡ ἐπιτυχία, ἡ συνέλευσις τοῦ θανάτου τῆς ζωῆς δηλονότι. ἐπιτυγχάνει δέ τις τοῦ θανάτου, ἤγουν ἀποθνήσκει. τοῦ θανεῖν δὲ ἤγουν τοῦ θανάτου. Fl. 59. ἀλλὰ ἡ τοῦ θανάτου δυςτυχία κρείσσων μοι φαίνεται τοῦ ζῆν ἀτίμως. Fl. 33. ἡ συνάντησις (ἐπέλευσις). Gu. *ΕΚΥΡΗΣΕΝ*, ἤγουν ἐγένετό μοι κρείσσων ὁ θάνατος τῆς ἀτίμου ζωῆς. Fl. 33. ἐφάνη. Fl. 10. *ΕΚΗΡΥΣΣΕΝ*, ἐγένετο. κυρέω κυρῶ ποιητικῶς τὸ ὑπάρχω, κυρόω κυρῶ κοινῶς τὸ βεβαιῶ, ἐπὶ διαθήκαις καὶ ψήφου ἀποφάσει νόμου καὶ συμβολαίων τιθέμενον. (συνέπεσεν, ἐφάνη, ἐψηφίσθη.) Gu.

V. 213. *ΚΑΙ ΜΗΝ ΟΔ.* αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκη, ὧν τελευταῖος, αἴσχιστα Τροίαν εἷλε τὴν δυςδαίμονα. ἐπὶ τῷ τέλει μὲν τῶν ἀποθέσεων παράγραφος, ἐπὶ τῷ τέλει δὲ πάντων τῶν στίχων κορωνὶς, ἐξιόντων τῶν ὑποκριτῶν.

Ib. *ΚΑΙ ΜΗΝ.* καὶ μὴν, ὦ Ἑκάβη, ἔρχεται ὁ Ὀδυσσεὺς σὺν σπουδῇ ποδὸς, σημανῶν καὶ δηλώσων, ἤτοι λέξειν μέλλων πρὸς σὲ ἔπος τι νέον. *ΚΑΙ ΜΗΝ*, καὶ δὴ ἔρχεται ταχύδρομος. ὦ Ἑκάβη. Fl. 33. τὸ καὶ μὴν τίθεται ἐπὶ μεταπτώσει προςώπων καὶ ὑποθέσεων, ἢ ἐπὶ ἐναντιώσει, οἷον ὑβρίζεις με· καὶ μὴν ἐγὼ ἐπαινῶ σε. (τὸ μὴν βεβαιωτικὸν, ἔστι δὲ οὗ καὶ ἐναντιωματικόν.) Gu. *ΣΠΟΥΔΗι ΠΟΔΟΣ* ἀντὶ τοῦ ἐν σπουδῇ. Gu.

V. 214. *ΝΕΟΝ*, χαλεπόν. Fl. 6. δεινόν. Fl. 10. λυπηρόν, (καινὸν, κακὸν, δεινόν.) Gu. *ΣΗΜΑΝΩΝ ΕΠΟΣ*, λέξων λόγον. Fl. 33. δηλώσων λόγιον. Gu.

V. 215 sq. *ΓΥΝΑΙ.* νομίζω σε, ὦ γύναι, γινώσκειν τὴν ψῆφον καὶ τὴν ἀπόφασιν τοῦ στρατοῦ, τὴν κυρωθεῖσαν καὶ τελειωθεῖσαν. ἀλλ' ὅμως λέξω.

V. 215. *ΔΟΚΩ*, ὑπολαμβάνω, νομίζω. Fl. 6. Gu. *ΓΝΩΜΗΝ*, τὴν βουλήν. Fl. 9. 17. 21. Gu. τὴν δόξαν. Fl. 21. 56. 59. 76. Gu. ὦ γύναι, ὑπολαμβάνω γινώσκειν σε τὴν γνώμην καὶ βουλὴν τοῦ στρατοῦ. Fl. 33.

3) In eodem supra μετα scriptum est περισσή.

4) Sic etiam Guelph. In Basil. desunt verba καὶ δίκην κ. — δέον δὲ ἐκήρυξεν. Idem paulo ante ἐκήρυσε pro ἐκύρησε, γράψεις pro γράφεις et ἀλλὰ καὶ ἡ ξυντ. καὶ ἡ νῦν ξύμβ. Ex eodem δέον δὲ ἐκήρυξεν εἰπεῖν, ἐκήρυσσεν dedi pro vulg. ἐκήρυσσεν — ἐκήρυξεν, et ἢ ω μέγα — ἢ ο μικρόν, ubi vulgo duplex ἢ deest.

V. 216. ΨΗΦΟΝ, ἤγουν τὴν κρίσιν. Fl. 6. 9. 10. 17. 21. 56. 59. 76. καὶ τὴν προκριθεῖσαν ψῆφον, ἀλλ' ὅμως λέξω. Fl. 33. ΤΗΝ ΚΡΑΘΕΙΣΑΝ. κιρνῶ ἐνεστὼς, κεράσω μέλλων, κεκέρακα παρακείμενος, ἐκράθην δεύτερος ἀόριστος, κραθεὶς μετοχή. λέγεται δὲ κρᾶσις ἐπὶ τῶν ὑγρῶν, οἷον οἴνου καὶ ὕδατος καὶ τῶν τοιούτων, μίξις δὲ ἐπὶ ξηρῶν, σίτου, κριθῆς καὶ τῶν ὁμοίων. 5) ΚΡΑΘΕΙΣΑΝ, τὴν κυρωθεῖσαν, (τελειωθεῖσαν, et in marg. ἑνωθεῖσαν, ἀπὸ μεταφορᾶς τῶν συγκιρνωμένων καὶ εἰς ἓν ἡνωμένων ὑγρῶν, οἴνου καὶ ὕδατος, ὄξους καὶ μέλιτος. καὶ ἡ βουλὴ ἐξ ἐναντιουμένων καὶ ἀμφοτερογνωμόνων ἑνοῦται καὶ συνδοξάζεται.) Gu.

V. 217 — 221. ΕΔΟΞ' ΑΧΑΙΟΙΣ, ἀρεστὸν ἐφάνη τοῖς Ἕλλησι σφάξαι τὴν σὴν παῖδα πρὸς τὸν ὑψηλὸν τάφον τοῦ Ἀχιλλέως, ἐμὲ δὲ πομπὸν καὶ ἀγωγὸν τῆς κόρης ἔταξαν ὑπάρχειν· ἡγεμὼν δὲ καὶ σφαγεὺς τοῦ σφαγίου τοῦδε [ἐγώγε 6)] ὁ Νεοπτόλεμος, ὁ παῖς τοῦ Ἀχιλλέως.

V. 217. ΕΔΟΞ', ἐφάνη. Fl. 17. 33. ἤρεσε. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐκρίθη δίκαιον (ἐκυρώθη, ἤρεσε). Gu.

V. 218. ΟΡΘΟΝ, ὑψηλόν. ΧΩΜΑ, μνῆμα, τὸν τάφον. Gu. ΧΩΜ' ἤγουν πρὸς τὸν ὑψηλὸν τάφον, ἀντὶ τοῦ πρὸς τὸ μνῆμα. Fl. 21. θυσιάσαι πρὸς τὸ μέγα ἢ φανερὸν μνῆμα τοῦ Ἀχιλλέως. Fl. 33.

V. 219. ΠΟΜΠΟΥΣ, ὁδηγούς. Fl. 6. 9. 17. 21. 56. 59. 76. προπομποὺς, (ἀγωγοὺς, ὁδηγούς. π. καὶ κομ. ἐκ παραλλήλου.) Gu. ΚΟΜΙΣΤΗΡΑΣ, ἐκ παραλλήλου. Fl. 17. Gu. ἐπιμελητάς. Fl. 56. ἵνα κομίσομεν. Fl. 21. ΚΟΡΗΣ, τῆς Πολυξένης, ἢ τῆς παρθένου ἢ τῆς θυγατρός σου. Fl. 59. ἡμᾶς δὲ μανδαταφόρους καὶ ἀποκομιστὰς ἔταξαν εἶναι. Fl. 33. κόρη ἡ ἄγαμος καὶ ἡ γαμηθεῖσα, εἰ τύχῃ νέα εἶναι, καὶ τοῦ ὀφθαλμοῦ, τὰ μὲν πρῶτα ἀπὸ τοῦ κορῶ τὸ ἐπιμελοῦμαι, τὸ δὲ δεύτερον ἀπὸ τοῦ κορὸν τὸ μέλαν. κόῤῥη ἡ παρειὰ διὰ δύο ρρ. Gu. ΤΑΣΣΟΥΣΙΝ, καθιστῶσιν (ἔταξαν. ῥητορικῶς ἐνεστὼς ἀντὶ παρῳχημένου.) Gu.

5) Omissum est hoc scholion in ed. King. et Musgr.

6) ἐγώγε del. King.

V. 220. ΕΠΙΣΤΑΤΗΣ, οἰκονόμος. Fl. 17. ἡγεμὼν, πράκτης, ὁ τελειωτὴς ἤγουν ὁ Νεοπτόλεμος. Fl. 59. δεσπότης. Fl. 21. ἐνεργὸς, (οἰκονόμος, δεσπότης, ἡγεμών.) Gu.

V. 221. ΙΕΡΕΥΣ, σφαγεύς. (θύτης. κυρίως ἱερεὺς ὁ σφαγεὺς καὶ ἱέρευσις ἡ σφαγή. εἰκότως τὸν Νεοπτόλεμον θυτὴν τῆς Πολυξένης ἔταξαν, ὑπερπονοῦντα τοῦ πατρὸς καὶ λύπην ὑπὲρ τούτου ἔχοντα μείζονα.) Gu. ΕΠΕΣΤΗ, ἐτάχθη. Fl. 17. ἐτάγη, ἐχειροτονήθη. Fl. 21. Gu. ΠΑΙΣ ΑΧΙΛΛΕΩΣ, ὁ υἱὸς, ὁ Νεοπτόλεμος. Fl. 17. ἤγουν ὁ Νεοπτόλεμος ὁ καὶ Πύῤῥος. Fl. 6. 9. 21. 56. 59. 76. καὶ ἱερεὺς, ἤγουν θυσιαστὴς ἦλθεν ὁ Νεοπτόλεμος, ὁ τοῦ Ἀχιλλέως παῖς. Fl. 33.

V. 222 — 225. ΟΙΣΘ' ΟΥΝ. γίνωσκε οὖν ὃ ποιήσεις· 7) ὅρα ἵνα μὴ ἀφαιρεθῇς τὴν κόρην βίᾳ, μήτε ἔξω τοῦ πρέποντος εἰς ἀγῶνα καὶ ἔριν τῶν ἐμῶν χειρῶν ἔλθῃς. γίνωσκε δὲ τὴν δύναμιν τὴν ἐμὴν, ἢ τὴν τῶν ἀρχόντων ἰσχὺν καὶ τὴν ἐπέλευσιν τῶν σῶν κακῶν. συνετόν ἐστι καὶ ἐν τῇ δυστυχίᾳ φρονεῖν, ἃ πρέπει.

V. 222. ΟΙΣΘ' ΟΥΝ Ο ΔΡΑΣΟΝ. οἱ Ἀττικοὶ χρῶνται τοῖς προστακτικοῖς ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ αὐτοῖς τοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν. τοῦ μὲν οὖν πρώτου τὸ Ἀριστοφάνους ἐν Θεσμοφοριαζούσαις (877 Küst. 870 Br.) παράδειγμα· μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἡμέρας. 8) τοῦ δευτέρου δὲ Μένανδρος· οἶδ' ὅ τι ποίησον ἀντὶ τοῦ ὅ τι ποιήσεις. τὸν αὐτὸν τρόπον καὶ Εὐριπίδης, οἶσθ' οὖν ὃ δρᾶσον ἀντὶ τοῦ δράσεις ἐξήνεγκεν. ΟΙΣΘ', γινώσκεις. Fl. 17. ΔΡΑΣΟΝ, ποιήσεις. Fl. 17. πράξεις. Fl. 56. ἐν οἷς μέλλεις ποιήσει (ποιήσειν?), ἢ ὅπερ βούλῃ ποίει. Fl. 33. Ο ΔΡΑΣΕΙΣ. τί δρᾶσαι ὀφείλεις. τὰ ἀκριβέστερα τῶν ἀντιγράφων οἶσθ' οὖν ὃ δρᾶσον ἔχουσιν. Gu. ΑΠΟΣΠΑΣΘΗιΣ, γέγραπται καὶ ἀποσπαθῇς, ἤγουν ἀφαιρεθῇς, τὴν κόρην δηλονότι. C. C. C. ἀφαιρεθῇς, τῆς παιδός. Gu.

7) Vulgo ποιήσῃς.

8) King. et Musgr. τῆς ἐπ. ἐλπίδος, ut est in Aristoph. exemplaribus.

V. 223. *ΑΜΙΛΛΑΝ*, συνάντησιν. Fl. 56. μάχην (ἀγῶνα, ἔριν, βίαν. ἀπὸ τοῦ ἅμα καὶ τοῦ εἰλῶ τὸ συστρέφω.) Gu. *ΕΞΕΛΘΗιΣ ΕΜΟΙ*, ἔξω τοῦ προσήκοντος ἔλθοι. (ἔλθῃς) Fl. 6. 9. 21. 56. 59. 76. ἐξενέχθης (ἐξενεχθῇς) τοῦ προσήκοντος. Fl. 34. μήποτε ἐμοὶ εἰς τῶν ἐμῶν χειρῶν ἔριν καὶ ἀγῶνα ἔλθῃς. Fl. 33. ἀντιστῇς ἐμοὶ διὰ τῆς χειρὸς, ἔξω τοῦ προσήκοντος ἔλθοις. Gu.

V. 224. *ΑΛΚΗΝ*, τὴν ἐμὴν ἰσχύν. Fl. 17. τὴν σὴν δύναμιν δηλονότι. Fl. 21. γίνωσκε τὴν ἐμὴν δύναμιν. Fl. 33. Gu. ἀρχήν. Fl. 10. *ΠΑΡΟΥΣΙΑΝ ΚΑΚΩΝ*, καὶ τὰ παρόντα κακά. Fl. 21. καὶ σαυτῆς ἀσθένειαν. Fl. 10. ἐπιδημίαν (ἐπέλευσιν). Gu.

V. 225. *ΣΟΦΟΝ*, φρόνιμον. Fl. 17. γνῶσις (φρόνιμον ὑπάρχει, συνετόν.) Gu. *ΚΑΝ ΚΑΚΟΙΣ*, ἐν δυστυχήμασιν (συμφοραῖς). ὡς ἐπὶ τὸ πλεῖστον δυστυχοῦντες ἄνθρωποι ἐξίστανται τοῦ καλῶς φρονεῖν. Gu. *Α ΔΕΙ ΦΡΟΝΕΙΝ*, τὸ μὴ ἐπαίρεσθαι καὶ παροξύνεσθαι. Gu. μὴ παροξύνεσθαι. Fl. 10.

V. 226—230. *ΑΙ ΑΙ ΠΑΡΕΣΤΗΧ'*, φεῦ φεῦ! ἐνέστηκε καὶ ἐπῆλθεν, ὡς φαίνεται, ἀγωνία μεγάλη, ἔμπλεως θρήνων καὶ οὐκ ἀμέτοχος, ἀλλὰ πεπληρωμένη, δακρύων. καὶ γὰρ ἐγὼ οὐκ ἔθανον, ὅπου χρεία ἦν ἀποθανεῖν, ἤγουν εἰς τὴν εὐδαιμονίαν, ἣν εἶχον πρώην, οὐδ' ἔφθειρέ με ἡ μοῖρα, ἀλλὰ σώζει με, ὅπως βλέπω ἕτερα κακὰ μείζονα τῶν κακῶν ὧν εἶδον.

V. 226. *ΠΑΡΕΣΤΗΧ'*, φαίνεται. Fl. 17. οὐαὶ οὐαὶ ἐπέστη μοι μεγάλη ἀγωνία. Fl. 33. ἦλθε, ἐνέστηκεν. Gu. *ΑΓΩΝ Μ.* κίνδυνος (ἀγωνία μεγάλη). Gu.

V. 227. *ΠΛΗΡΗΣ*, πεπληρωμένος. Fl. 17. 21. γεγεμισμένος. Gu. [9]) *ΚΕΝΟΣ*, ἐστερημένος. Fl. 17. καὶ στεναγμάτων γέμουσα καὶ οὐκ ἄμοιρος δακρύων. Fl. 33. διὰ τοῦ στεναγμοῦ καὶ τῶν δακρύων τὸν θρῆνον δηλοῖ. Gu.

V. 228. *ΕΧΡΗΝ*, ἔπρεπεν. Fl. 17. 21. διὰ τί οὐ

9) In Gu. vocc. πληρ. στ. suprascr. θέσις, (κατὰ θέσιν,) vocc. οὐδὲ δ. ἄρσις, (κατὰ ἄρσιν).

κἀγὼ ἔθνησκον, ὅτε με ἔπρεπε ἀποθανεῖν, ἤγουν ὅτε ἐπολιορκήθη ἡ Τροία. Fl. 33. *ΘΑΝΕΙΝ*, ἐν τῇ Τροίᾳ. Fl. 10. Gu. ὅπου λέγω δὴ εἰς τὴν πρώτην εὐδαιμονίαν. Gu.

V. 229. *ΟΥΔ' ΩΛΕΣΕ*, εἰς τὸ τέλος τῆς ζωῆς ἔφερέ με. Gu. *ΖΕΥΣ*, ἡ μοῖρα. Gu. *ΤΡΕΦΕΙ*, φυλάσσει. (σώζει.) et in marg. τρέφει ἀντὶ τοῦ ἀνατρέφει καὶ παιδαγωγεῖ καὶ ἀντὶ τοῦ τροφὴν παρέχει καὶ ἀντὶ τοῦ φυλάσσειν, ὡς ἐνταῦθα. Gu. τρέφει εἶπεν ἀντὶ τοῦ διατηρεῖ με. Fl. 33. *ΟΠΩΣ*, ἵνα. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀλλὰ τρέφει με ὁ Ζεὺς, ἤγουν ἡ εἱμαρμένη, ὅπως βλέπω. Fl. 33.

V. 230. *ΚΑΚΩΝ*, τῶν προτέρων. Fl. 17. Gu. *ΤΑΛΑΙΝ'*, ἡ ἀθλία. Fl. 17. καὶ ἄλλα κακὰ μείζονα τῶν προτέρων κακῶν ἡ ταλαίπωρος ἐγώ. Fl. 33.

V. 231—234. *ΕΙ Δ' ΕΣΤΙ.* εἰ δ' ἔξεστι τοῖς δεδουλωμένοις ἐρωτῆσαι τοὺς ἐλευθέρους, ἤγουν τοὺς δεσπότας, μὴ λυπηρὰ καὶ τὴν καρδίαν δάκνοντα, σοὶ μὲν, ἤτοι πρὸς σὲ, χρεὼν καὶ πρέπον ἐστὶν εἰρῆσθαι ὑπ' ἐμοῦ δηλονότι, ἡμᾶς δὲ τοὺς ἐρωτῶντας ἀκοῦσαι ταῦτα. ἢ οὕτως· σοὶ μὲν κείνοις ἀποκρίνασθαι πρέπον ἐστὶ, ἡμᾶς δὲ ἀκροᾶσθαι τοὺς ἐρωτῶντας ταῦτα.

V. 231. *ΕΣΤΙ*, ὑπάρχει. Fl. 17. ἀντὶ τοῦ ἔξεστιν, ἐκδεδομένον ἐστίν. Fl. 3. 21. 56. 59. 76. Gu. *ΕΛΕΥΘΕΡΟΥΣ.* ἀντίκειται τῷ δούλῳ ὁ ἐλεύθερος. Fl. 6. 9. 21. 56. 59. 76. Gu. εἰ δὲ ἔξεστι τοῖς δούλοις λέγειν τοὺς ἐλευθέρους. Fl. 33. *ΤΟΙΣ ΔΟΥΛΟΙΣΙ*, (ἡμῖν) *ΤΟΥΣ ΕΛ.* τοὺς δεσπότας (ὑμᾶς. προδιόρθωσις καὶ προπαρασκευή.) Gu.

V. 232. *ΔΗΚΤΗΡΙΑ*, ἀπὸ τοῦ δάκνω. Fl. 21. ὅσα μὴ λυπεῖ τὴν καρδίαν, καὶ μὴ τιτρώσκει καὶ δάκνει. Fl. 33. δακνηρὰ (λυπηρά). Gu.

V. 233. *ΕΞΙΣΤΟΡΗΣΑΙ.* ἱστορῶ τὸ ἐρωτῶ, τὸ μανθάνω, τὸ διηγοῦμαι, τὸ βλέπω, καὶ τὸ ζωγραφῶ. C. C. C. ἱστορῆσαι. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἱστορῶ κατὰ τοὺς τραγικοὺς τὸ ἁπλῶς ἐρωτῶ, ὡς ἐνταῦθα· κατὰ δὲ τοὺς κοινοὺς τὸ παρελθοῦσαν ὑπόθεσιν γράφω, ὅθεν καὶ ἱστορικός· καὶ ἱστορῶ τὸ εἰκόνας γράφω, ὅθεν καὶ ἱστορογράφος. Gu. *ΣΟΙ ΜΕΝ*, πρὸς σέ. Gu. *ΕΙΡΗΣΘΑΙ*, ἀποκρίνεσθαι, (λεχθῆναι, ἀπολογεῖσθαι πρὸς τὰ ἐρωτώμενα

ὑπ' ἐμοῦ.) Gu. σοὶ μὲν πρέπει πρὸς τὸ ἐρώτημα ἀπολογήσασθαι. Fl. 21. σοὶ μὲν λέγειν ἁρμόζει, ἡμᾶς δὲ ἀκούειν τὰ παρὰ σοῦ λεγόμενα. Fl. 33. ἁρμόζει, ἤγουν ἀπολογεῖσθαι πρὸς τῶν ἐρωτωμένων. Fl. 10.

V. 235. *ΕΞΕΣΤ'*, ἐκδεδομένον ἐστὶν, ἐρώτα· τῆς βραδυτῆτος (sic etiam Gu.) γὰρ ἕνεκα οὐ φθονῶ σοι. *ΕΞΕΣΤ'*, ἄδεια ὑπάρχει. Fl. 17. *ΦΘΟΝΩ.* φθονῶ, τὸ μέμφομαι, καὶ τὸ βασκαίνω. Fl. 6. εἰ ἔξεστί σοι λέγειν· διὰ τὸν καιρὸν γὰρ οὐ μέμφομαί σοι. Fl. 33. αἰνίττεται, ὅτι χρόνον μόνον μέλλει ἡ Ἑκάβη καθικετεύουσα ἀναλῶσαι. (φθονῶ, μέμφομαί σοι. φθονῶ τὸ μέμφομαι — ἐξ οὗ καὶ ὁ ἄφθονος πλοῦτος, ὁ ἄμεμπτος, — καὶ τὸ βασκαίνω.) Gu.

V. 236—238. *ΟΙΣΘ' ΗΝΙΚΑ*, γινώσκεις ὁπότε ἦλθες τῆς Τροίας κατάσκοπος, δυςειμονίᾳ καὶ περιβολῇ εὐτελεστάτων ἐνδυμάτων, κακὴν ὄψιν ἔχων ἀπὸ τῶν ἱματίων, καὶ οἱ σταλαγμοὶ τοῦ φόνου κατέβρεχον τὴν σὴν γένυν, ἤτοι τὸν σὸν πώγωνα.

V. 236. *ΚΑΤΑΣΚΟΠΟΣ*, ὁ κοινὸς (κοινῶς Gu.) καταπατητής. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. γινώσκεις, ἐπίστασαι, ὁπόταν ἦλθες κατάσκοπος ἐν Τροίᾳ, ἤγουν συμβιβαστής. Fl. 33.

V. 237. *ΔΥΣΧΛΑΙΝΙΑι*, ἐν δυςειμονίᾳ, περιβολῇ φαύλων ἐνδυμάτων. Fl. 6. 9. 21. 56. 59. 76. Gu. κακοφορεσίᾳ, (εὐτελεστάτῃ στολῇ καὶ ἐνδύσει, ἵνα μὴ λαμπρὰ φορῶν νοηθείης.) Gu. *ΑΜΟΡΦΟΣ*, ἀκαλλώπιστος, (δύςμορφος). Gu. *ΟΜΜΑΤΩΝ Τ' ΑΠΟ.* ὁ Ὀδυσσεὺς, ἵνα κατασκοπήσῃ ἀπὸ τῶν ἐντὸς τὴν Τροίαν, καὶ προςέξει, πόθεν ἐστὶ τὸ δυςαλώτερον μέρος, ἔβαλεν ἱμάτια πενιχρὰ καὶ εἰςῆλθεν εἰς τὴν Τροίαν, ὡς πτωχός. ἰδοῦσα γοῦν τοῦτον ἡ Ἑλένη, ἐγνώρισεν αὐτὸν καὶ εἶπεν, ἵνα φονεύσωσιν αὐτόν. ὁ γοῦν Ὀδυσσεὺς φοβηθεὶς, μὴ φονευθῇ, παρεκάλεσε τὴν Ἑκάβην καὶ ἀφῆκεν αὐτόν. Fl. 59.

V. 238. *ΦΟΝΟΥ ΣΤΑΛΑΓΜΟΙ.* μὴ λάβῃς [10] εἰς τὸ φ ό ν ο υ ἔξωθεν τὸ ἕνεκα, ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ

10) Sic Iunt. Aug. c. et Gu. λάβῃ Basil. ex quo editores male fecerunt λάβε.

σ τ α λ α γ μ ο ί. τὰ γὰρ δάκρυα, ἃ τότε ὁ Ὀδυσσεὺς ἐδάκρυε φωραθεὶς, φόνου δάκρυα ἦν [1]· ἔκλαιε γὰρ, ἐπειδὴ τὸν περὶ ψυχῆς ἔτρεχεν. ὅθεν καὶ ἐν τῇ συνηθείᾳ αἱμάτινα δάκρυα φαμὲν, ἤγουν φονικά. ἀπίθανον δὲ τὸ πλάσμα καὶ οὐχ ἁρμόδιον· οὐ γὰρ ἂν ἐσίγησεν Ἑκάβη, πολέμιον θεασαμένη κατοπτεύοντα τὰ κατὰ τοὺς Τρῶας πράγματα. [2]) *ΦΟΝΟΥ ΣΤΑΛ.* ῥανίδες, δάκρυα, ὧν ἦν αἴτιος ὁ τοῦ θανάτου φόβος. Baroc. 74. [3]) ἔτρεχεν δάκρυα σημειωτικὰ φόνου, ἢ ἀντὶ τοῦ ἐπικειμένου σου (σοι) φόνου δακρύων σταλαγμοὶ κατέβρεχον τὴν σὴν γενειάδα. Fl. 33. ἀναιρέσεως δάκρυα, (ὑπὲρ τοῦ μὴ φονευθῆναι ἀγωνιῶν ἐδάκρυες). Gu. *ΚΑΤΕΣΤΑΖΟΝ*, ἔβρεχον, (κατέῤῥεον.) Gu.

V. 239. *ΟΙΔΑ*, γινώσκω· οὐ γὰρ ἐξ ἐπιπολῆς ἥψατο τῆς καρδίας μου τὸ πρᾶγμα. *ΟΙΔ'*, ὅπερ λέγεις, οὐκ ἂν εἰς ἄκρον ἥψατό μου ὁ φόβος. Fl. 33. *ΟΥ ΓΑΡ ΑΚΡΑΣ*, ἀλλ' ἔνδον. Fl. 10. οὐ γὰρ τοῦ ἄκρου τῆς καρδίας μου ἥψατο τὸ πρᾶγμα. Fl. 6. 9. 21. 56. 59. 76. *ΕΨΑΥΣΕ*, ἤγουν προςέψαυσεν. Fl. 17. ἥψατο (τὸ πρᾶγμα· ἵνα καὶ εἰς λήθην τούτου ἀφιξόμεθα.) Gu.

V. 240. *ΕΓΝΩ*, ἡ Ἑλένη δέ σε μόνη ἐγνώρισε καὶ ἀνήγγειλέ μοι. *ΜΟΝΗ*, ἐκείνη. Fl. 21. *ΚΑΤΕΙΠΕ* ἀντὶ τοῦ εἶπε. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ἐγίνωσκέ σε ἡ Ἑλένη καὶ εἶπέ μοι, ὅπως σε ἀνέλωσιν. Fl. 33.

V. 241. *ΜΕΜΝΗΜΕΘ'*, ἐνθυμούμεθα τὰ μέγιστα κινδυνεύσαντες. *ΜΕΜΝΗΜΕΘ'*, ἐνθυμοῦμαι, ὅτι εἰς κίνδυνον ἤλθομεν μέγαν. Fl. 33.

1) Gu. δ. ἦσαν· ἔκλαιε γὰρ, ἐπ. τὸν π. ψ. ἔθεεν, in quibus τὸν male om. King. et Musgr. quum in Basil. etiam exstaret.

2) Verba ἀπίθανον — πράγματα bis habet Gu. primum hoc loco a manu sec. deinde ad v. 240. a m. prima, et ibi quidem pro θεασαμένη — πράγματα legit ἰδοῦσα καὶ τοιοῦτον· ἡ Ἑλένη δὲ μᾶλλον εἰκότως.

3) Sic etiam August. b. c. ap. Herm. Praef. p. IX. Simile est in Fl. 6. 9. 17. 21. 56. 59. 76. et Gu. qui pro ῥανίδες, δάκρυα habent σταλαγμοὶ δακρύων, et αἴτιος φόνου φόβος.

V. 242. *ΗΨΩ*, ἔψαυσας δὲ τῶν ἐμῶν γονάτων ἐλεεινὸς ὤν. *ΗΨΩ*, ἐκράτησας ἱκετεύων με μὴ παραδοῦναί σε θανάτῳ. Fl. 17. Gu. τότε γὰρ τεταπεινωμένος ὑπῆρχες, καὶ ἥψω τῶν ἐμῶν γονάτων, ἤγουν ἐπροςκύνεις. Fl. 33. *ΓΟΝΑΤΩΝ*. οἱ δεόμενοι ἥπτοντο τῶν γονάτων, ἢ τῆς χειρὸς, ἢ τῶν παρειῶν.

V. 243. *ΩΣΤ' ΕΝΘΑΝΕΙΝ*. ναί, ἡψάμην οὕτως, ὥςτε δόξαι νεκρωθῆναι ἐν τοῖς σοῖς ἐνδύμασι τὴν ἐμὴν χεῖρα ὑπὸ τοῦ δέους. *ΩΣΤ' ΕΝΘΑΝΕΙΝ*, ναί, λέγω, ἡψάμην, ὥςτε καὶ ἐβουλήθην θανεῖν τὴν ἐμὴν χεῖρα ὑπὸ τοῦ δέους ἐν τοῖς σοῖς ἱματίοις, ἢ μᾶλλον ἐβουλήθην τὴν ἐμὴν χεῖρα θανεῖν ἢ ἀποσπασθῆναι ἀπὸ τῶν σῶν ἱματίων. Fl. 21. *ΕΝΘΑΝΕΙΝ*, νεκρωθῆναι, (μικροῦ καὶ ναρκῆσαι.) Gu. *ΧΕΙΡ' ΕΜΗΝ*. καὶ γὰρ διὰ τῆς χειρὸς τῶν ἐκείνης γονάτων ἥψατο παρακαλῶν ἐκείνην. Fl. 59. μήποτε θανατωθῶ ἐν τοῖς σοῖς οἴκοις. Fl. 33. *ΠΕΠΛΟΙΣΙ*, εὐστόλοις ἐνδύμασιν. καὶ παρ' ἡμῖν πέπλα λέγονται τὰ τίμια ὑφάσματα. Gu.

V. 244. *ΤΙ ΔΗΤ' ΕΛ*. τί λοιπὸν ἔλεξας, δοῦλος ὑπάρχων ἐμὸς τότε; *ΕΛΕΞΑΣ*, εἶπας. Fl. 17. τί δὴ τότε ἔλεξας, ὡς δοῦλος ὢν ἐμὸς τότε, εἰ μόνον ἤθελον. Fl. 33. πάντα τὰ γνωστικὰ ῥήματα καὶ τὰ ἐναντία τούτων μετὰ μετοχῆς συντάσσονται. Gu.

V. 245. *ΠΟΛΛΩΝ Λ. ΕΥΡ*. ἔλεξα δηλονότι πολλὰ ἐνθυμήματα καὶ μηχανὰς λόγων, ὥστε μὴ ἀποθανεῖν. *ΛΟΓΩΝ*, εἶπον σοι. Fl. 59. *ΕΥΡΗΜΑΘ'*, μηχανήματα. Fl. 17. Gu. ἐξευρήματα. Fl. 6. 9. 21. 34. 56. 59. 76. Gu.

V. 246. *ΕΣΩΣΑ*, ἐῤῥυσάμην σε, καὶ ἐξέπεμψά σε ἀπὸ τῆς πόλεως. *ΔΗΤΑ*, ἀληθῶς. Fl. 6. *ΕΞΕΠΕΜΨΑ*, ἐξέβαλον. Fl. 59. κἀγὼ δέ σ' ἔσωσα καὶ ἐξαπέστειλον τῆς ἐμῆς γῆς. Fl. 33.

V. 247. *ΩΣΤ' ΕΙΣΟΡΑιΝ*. ναὶ, ὥςτε βλέπειν τόδε τὸ φῶς τοῦ ἡλίου. *ΕΙΣΟΡΑιΝ*, ἀντὶ τοῦ ὁρᾶν. Fl. 6. 9. 21. 56. 59. 76.

V. 248—256. *ΟΥΚΟΥΝ ΚΑΚ*. οὐκοῦν κακὸς φαίνῃ κατὰ τάδε τὰ βουλεύματα, ὃς ἐξ ἐμοῦ ἔπαθες ὁποῖα λέγεις παθεῖν, ποιεῖς δὲ οὐδὲν καλὸν εἰς ἡμᾶς, ἀλλὰ κακὸν ὅσον δύνῃ. ἄγνωμον ὑπάρχει τὸ γένος ὑμῶν, ὅσοι μακαρίζετε τὰς ἀπὸ τοῦ δήμου συμβαινούσας τοῖς ῥήτορσι τιμὰς, δι' ὧν ἀρέσκειν αὐτῷ σπεύδετε ἐκ τοῦ τὰ συμφέροντα αὐτῷ ἀγορεύειν. εἴθε μηδὲ ἐγινώσκεσθε ὑπὸ ἐμοῦ, οἳ βλάπτοντες τοὺς φίλους οὐ φροντίζετε καὶ οὐκ ἐπιστρέφεσθε, ἐὰν λέγητε τῷ δήμῳ τὶ πρὸς ἡδονὴν καὶ ἀποδοχὴν αὐτῶν. Ἀτὰρ τί σοφισάμενοι καὶ ἐφευρόντες, ἔδοξεν ὑμῖν εἰκότως τὴν περὶ τῆς ἐμῆς παιδὸς σφαγὴν βουλεύσασθαι;

V. 248. *ΟΥΚΟΥΝ ΚΑΚΥΝΗι*, οὐκοῦν κακὸς φαίνῃ ἐξ ὧν νῦν δὴ [4]) ἐβουλεύσω κατὰ τῆς ἐμῆς θυγατρὸς, δι' ἐμὲ ζῶν, ὡς φῄς. Baroc. 74. Gu. *ΚΑΚΥΝΗι*, κακὸς γίνῃ καὶ φαίνῃ. Fl. 6. 9. 21. 56. 59. 76. κακῶς ἁλίσκει. ὁ δὲ λόγος· κακῶς φαίνῃ ἐξ ὧν νῦν ἐβουλεύσω κατὰ τῆς ἐμῆς θυγατρὸς, δι' ἐμοῦ ζῶν. Fl. 59. διαφέρει κάκυνσις καὶ κάκωσις. κάκυνσις μὲν ἐπὶ ψυχῆς, κάκωσις δὲ ἐπὶ σώματος. οὐκοῦν κακῶς φαίνῃ; ζῶν (l. φαίνῃ ἐξ ὧν) νῦν δὴ ἐβουλεύσω κατὰ τῆς ἐμῆς θυγατρὸς, δι' ἐμὲ ζῶν. διαφέρει τὸ ὡραῖον. ἀπόφασίς ἐστι, καταγομένη πρὸς πρόςωπον, ὡς τὸ, ἀχάριστον ἡμῶν τὸ σπέρμα, ὅσοι δημηγόρους ζηλοῦτε τιμάς. ἐπήγαγε δὲ τὸ ἡμῶν, ὃ καὶ κατὰ πάντα ἐστὶν, ὅτε ῥηθήσεται. τὸ δὲ γνωμικόν ἀπόφασίς ἐστι, μὴ ἀφορῶσα πρὸς πρόςωπον, ἀλλ' ἀπολύτως ἀεὶ λεγομένη κατὰ πάντα, ὡς τὸ, γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Fl. 56. κακίζω, ψέγω· κακύνομαι παθητικῶς τὸ κακὸς γίνομαι· κακόω, κακῶ, τὸ κακωτικὰ εἴς τινα ποιῶ. Gu.

Ib. *ΒΟΥΛΕΥΜΑΣΙΝ*, κατὰ ταῦτα τὰ βουλεύματα, ἃ δηλονότι ἐβουλεύσασθε κατὰ τῆς θυγατρός μου. Fl. 6. 21. 59. 76. Gu. ταῖς πανουργίαις. Fl. 59. διὸ μὴ κακύνῃς ἡμᾶς τοῖς τοιούτοις βουλεύμασιν, ὅςτις, ἀντὶ τοῦ σὺ, ἐξ ἐμοῦ οὐκ ἔπαθές τι τῶν κακῶν, καθὼς λέγεις σὺ παθεῖν ἡμᾶς. Fl. 33.

V. 249. *ΕΞ ΕΜΟΥ*, παρ' ἐμοῦ. Fl. 17. τοιούτων εὐεργεσιῶν παρ' ἐμοῦ παθεῖν. Fl. 21. *ΦΗΣ*, ὁμολογεῖς. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἔπαθε κακόν τι καὶ ἔπαθε καλόν. τοῦτο λέγεται ἀποσιώπησις. Gu.

4) Sic Gu. νῦν δὲ King. et Musgr.

V. 250. *ΟΥΔΕΝ*, ᾽οὐδαμῶς. Fl. 6. 9. 21. 56. 59.
76. ᾽Αττικοὶ τὸ οὖ ἀπαγορευτικὸν οὐδὲν λέγουσι. Gu. [5])
ποιεῖς δὲ ἡμῶν οὐδὲν καλὸν, κακὸν δὲ ὅσον ἰσχύεις. Fl. 33.
ΔΥΝΗι. τὸ κοινὸν δύνασαι, τὸ ᾽Αττικὸν δύνῃ. οἱ γὰρ
᾽Αττικοὶ ποιοῦσι τοῦτο καὶ ἐν ταῖς συζυγίαις τῶν εἰς μι. Gu.

V. 251. *ΑΧΑΡΙΣΤΟΝ*, τῶν δημαγωγῶν ὑμῶν τὸ
σπέρμα ἀχάριστόν ἐστιν· ἐπιθυμεῖτε γὰρ τὰς τιμὰς, ἀλλ᾽
οὐκ ἔχετε ἀνταμείβειν. Fl. 33. οὐ μνημονεῦον χάριτος
(ἄγνωμον). Gu. *ΣΠΕΡΜΑ*, γένος. Gu. *ΔΗΜΗΓΟ-
ΡΟΥΣ*, τὰς ἐκ τῆς δημηγορίας. εἰς τοὺς κατ᾽ αὐτὸν δη-
μηγοροῦντας ἀποτείνει τὸν λόγον, ὡς διὰ τὸ τοῦ δήμου
ἀρεστὸν βλάβην τοῖς φίλοις προξενοῦντας. κατατρέχει δὲ ὁ
Εὐριπίδης διὰ τῆς ῾Εκάβης τῶν τότε δημηγόρων. (τὰς ἀπὸ
τοῦ δήμου συμβαινούσας ὑμῖν δι᾽ ὧν ἀρέσκειν αὐτῷ σπεύ-
δετε ἐκ τοῦ τὰ συμφέροντα αὐτῷ ἀγορεύειν.) Gu. ῥητορι-
κὰς, τὰς δικανικάς. Fl. 59. [6]) εἰς τοὺς κατ᾽ αὐτὸν δημο-
κοποῦντας ῥήτορας τείνει. τὰ (ταῦτα?) εἰς τὴν κατ᾽ αὐ-
τῶν (κατ᾽ αὐτὸν?) πολιτείαν λέγεται. καὶ ἔστι τοιοῦτος ὁ
Εὐριπίδης, περιάπτων τὰ μεθ᾽ ἑαυτῶν (l. τὰ καθ᾽ ἑαυτὸν)
τοῖς ἥρωσι, καὶ τοὺς χρόνους συγμένων. (συγχέων.) Fl. 59.

V. 252. *ΖΗΛΟΥΤΕ*, ποθεῖτε. Fl. 17. ἀγαπᾶτε. Fl.
59. Gu. μακαρίζετε. Gu.

V. 253. *ΟΙ*, ὑμεῖς. Fl. 17. *ΦΡΟΝΤΙΖΕΤΕ*, λογί-
ζετε. Fl. 56. ἐπιστρέφεσθε. Gu. θέλοντες γὰρ δοξάζεσθαι
ἐν τῷ δημηγορεῖν προδίδοτε πολλάκις καὶ τοὺς φίλους. Gu.

V. 254. *ΙΙΝ ΤΟΙΣΙ ΠΟΛΛΟΙΣ*, ἐὰν τῷ δήμῳ
πρὸς ἀποδοχήν τι ἀφορῶν λέγητε. Baroc. 74. Gu. *ΠΡΟΣ
ΧΑΡΙΝ*, πρὸς ἀποδοχὴν τινὰ ἀφορῶντες. Fl. 17. ἡδο-
νήν. Gu.

V. 255—260. *ΑΤΑΡ*. τί δὴ σόφισμα, ἤτοι σοφὸν
καὶ φρόνιμον, ἡγούμενοι καὶ νομίζοντες τοῦτο οἱ ῞Ελληνες
ὥρισαν ἤτοι ἐψηφίσαντο καὶ ἔταξαν τὴν κρίσιν τοῦ φόνου

5) cf. ad v. 261.

6) ῥητορικὰς est etiam in 6. 9. 17. 21. 56. 76. Gu.

εἰς τήνδε τὴν παῖδα [7]); ἆρα τὸ πρέπον ἤγαγεν αὐτοὺς
ἐπὶ τὸ ἀνθρώπους κτείνειν πρὸς τὸν τάφον, ὅπου πρέπει
μᾶλλον βοῦς θύειν· ἢ θέλων ὁ ᾽Αχιλλεὺς ἀνταποκτεῖναι
τὸν κτανόντα αὐτὸν δηλονότι, δικαίως ἐπάγει τὸν φόνον
εἰς τήνδε;

V. 255. *ΑΤΑΡ*. ὁ ἀτάρ καὶ ὁ δέ σύνδεσμος αὐτὸ
(ταὐτὸ) δηλοῦσιν· διαφέρουσι δὲ κατὰ τοῦτο, ὅτι ὁ μὲν
ἀτάρ ποιητικόν ἐστι, ὁ δὲ δέ ὑποτέτακται. C. C. C. ὁ
ἀτάρ σύνδεσμος γράφεται καὶ παρὰ ποιηταῖς καὶ παρὰ τοῖς
κοινοῖς ἀντὶ δή ἀργοῦ. τίθεται δὲ εἰς ἀρχὴν κώλου, τὸ δὲ δή
εἰς τέλος. Gu. τί δέ. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀλλὰ τί
δὲ τοῦτο τὸ συμβόλιον, ὦ ἡγούμενοι καὶ ἄρχοντες τοῦ ῾Ελ-
ληνικοῦ στρατοῦ, εἰς τὴν τοιαύτην παῖδα ἐκρίνατε καὶ ὡρί-
σατε φόνου ψῆφον καὶ κρίσιν. Fl. 33. ἀτὰρ τί συμπέρασμα
συντελοῦν εἰς κρίσιν τὴν περὶ τῆς ᾽Αχιλλέως τιμῆς. Fl. 10.
59. [8]) αὐτοὺς τοὺς ἀνθρώπους κτείνειν ἤγαγε, τὸ δέον καὶ
ὀφείλειν αὐτοὺς εἰς προθυμίαν ἤγαγεν ἀνθρωποκτονεῖν εἰς
τάφους τῶν τελευτησάντων· οὐ γὰρ Πολυξένη αὐτῷ αἰτία
θανάτου γέγονεν. Fl. 59. *ΣΟΦΙΣΜΑ*, εὕρημα συντελοῦν
εἰς τὴν τοῦ ᾽Αχιλλέως τιμήν, (βούλευμα σοφὸν ἔργον,
φρόνημα δίκαιον, πιθανολόγημα· ἤτοι τί σοφισάμενοι καὶ
ἐφευρόντες δόξουσιν ἡμῖν εἰκότως τὴν περὶ τῆς ἐμῆς παιδὸς
σφαγὴν βεβουλεῦσθαι.) Gu.

V. 256. *ΨΗΦΟΝ*, ἀπόφασιν, κρίσιν, ἀποκύρωσιν. Gu.
κρίσιν. Fl. 6. 9. 17. 21. 56. 59. 76. ψῆφος ἀρσενικῶς
ὁ λογαριασμός. ἐκ τούτου καὶ ψηφίζω ἐνεργητικῶς. ψῆφος
δὲ θηλυκὸν ἐνίοτε μὲν ὁ καιρικὸς νόμος, ἄλλοτε ἡ ἀπόφα-
σις καὶ τὸ κῦρος. ἐκ τούτου καὶ ψηφίζομαι παθητικῶς ἀντὶ
τοῦ ἀποφαίνομαι. Gu. *ΩΡΙΣΑΝ*, ἔταξαν. Fl. 6. 9. 17.
21. 56. 76. προσέταξαν, ἀπεφήναντο, ἔταξαν. Gu. Fl. 59.

7) Haec verba τί δὴ σόφ. — παῖδα inter scholia, quae vero ad v. 248 — 256. adscripta sunt, ἀτὰρ τί — βουλεύσασθαι ad paraphrasin p. 562b retulit Musgr.

8) In cod. 59. hoc scholion cohaeret cum altero ad v. 251. εἰς τοὺς — συγμένων, et in eo legitur ἄρτι συμπέρ. eique nullo spatio relicto adhaerent verba αὐτοὺς τοὺς ἀνθρώπους etc. quae in 10. desunt.

V. 257. *ΠΟΤΕΡΑ*, τὸ πότερα ἀντὶ τοῦ πότερόν ἐστιν, ὡς ἔστιν καὶ τὸ οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους, (Or. 403) τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ. Fl. 9. *ΧΡΗΝ*. τὸ χρὴ νόμιμόν ἐστιν, ἐπιῤῥηματικῶς. Fl. 10. 21. ὁποῖον χρὴ ἐν ἑαυτοῖς τὸ ἀνθρωποκτονεῖν, ἢ τὸ βουθυτεῖν. τοῦτο γὰρ μᾶλλον πρέπει ἐπὶ τὸν τάφον ποιῆσαι. Fl. 33. *ΤΟ ΧΡΗΝ* καὶ πρέπειν, (τὸ πρέπον καὶ ὁ νόμος.) Gu. τὸ χρῆν κατὰ μὲν τοὺς παλαιοὺς κανονίζεται, κατὰ δὲ τοὺς νέους ῥῆμά ἐστιν ἀπρόσωπον. κανονίζεται δὲ κατὰ τοὺς παλαιοὺς χρῆμι, καὶ ὁ παρατατικὸς ἔχρην. Ἀττικῶς διὰ τοῦ η. August. c. ap. Herm. Praef. p. X.

V. 258. *ΕΝΘΑ*, ὅπου, ἤγουν ἐν τῷ τύμβῳ. Fl. 6. 9. 21. 56. 59. 76. *ΒΟΥΘΥΤΕΙΝ*. τὸ θύω λέγεται ἀντὶ τοῦ ἁπλῶς σφάττω· καὶ θύω τὸ εἰς θυσίαν σφάττω· καὶ θύω τὸ ἀτάκτως ὁρμῶ, ὅθεν καὶ θῦνος ὁ ἰχθὺς, καὶ θύρσοι οἱ μετὰ μέθης εἰς τὴν ἑορτὴν τοῦ Διονύσου βακχεύοντες. Gu.

V. 259. *Η ΤΟΥΣ*. ἡ γὰρ Πολυξένη αὐτῷ αἰτία θανάτου γέγονε. Fl. 10. ἢ ἡμᾶς τοὺς τεθανατωμένους δηλονότι ὑπὸ τῆς αἰχμαλώσεως πάλιν θανατῶσαι θέλετε. Fl. 33. τοὺς φονεύσαντας (αὐτόν. τοὺς θανάτου παραιτίους.) Gu.

V. 260. *ΤΗΝΔ'*, τὴν Πολυξένην. Fl. 17. *ΕΝΔΙΚΩΣ*. τὸ ἐνδίκως εἰς τὸ ἀνταποκτεῖναι σύνταξον. (ἐνδίκως λέγει, ὅτι καὶ αὐτὸς ἐφονεύθη.) Gu. *ΤΕΙΝΕΙ*. τείνει ὁ Ἀχιλλεὺς φόνον εἰς τήνδε ἀντὶ τοῦ ἐπάγει· καὶ τείνει ὁ λόγος εἰς τόδε ἀντὶ τοῦ ἀφορᾷ. [9])

V. 261—267. *ΑΛΛ' ΟΥΔΕΝ*. ἀλλ' οὐδὲν κακὸν πεποίηκεν αὐτὸν τὸν Ἀχιλλέα ἥδε ἡ Πολυξένη. τὴν Ἑλένην χρὴ αὐτὸν ζητεῖν σφάγιον τῷ τάφῳ· ἐκείνη γὰρ ὤλεσεν αὐτὸν τὸν Ἀχιλλέα, καὶ ἤγαγεν εἰς τὴν Τροίαν. εἰ δὲ πρέπει θανεῖν τινὰ ἐπίλεκτον, ὑπερφέρουσάν τε, ἤτοι τὸ πλέον ἔχουσαν τῶν αἰχμαλώτων κατὰ τὸ κάλλος, οὐχ ἡμῶν τόδε, τὸ ὑπερφέρειν τῷ κάλλει δηλονότι· ἡ θυγάτηρ τοῦ Τυνδάρεω Ἑλένη ὡραιοτάτη καὶ εὐειδεστάτη ἐστὶ κατὰ τὸ εἶδος, καὶ ἐφωράθη ἀδικοῦσα τὸν Ἀχιλλέα οὐδὲν ἔλαττον ἡμῶν.

9) Hoc scholion, quod habent etiam Flor. omnes et Gu., omisit Musgr. In eo pro ἀφορᾷ Basil. ἐφορᾷ.

V. 261. *ΟΥΔΕΝ*. οὐδὲν Ἀττικόν ἐστιν· οἱ γὰρ Ἀττικοὶ οὐκ ἀπαγορευτικὸν οὐδὲν λέγουσι. C. C. C. [10]) *ΗΔΕ*, αὕτη. Fl. 17. *ΕΙΡΓΑΣΤΑΙ*, ἀντὶ τοῦ εἰργάσατο. Fl. 17. ἀλλὰ οὐδαμῶς εἰς αὐτὸν αὕτη εἰργάσατο κακόν. Fl. 33.

V. 262. *ΝΙΝ*, αὐτὸν, τὸν Ἀχιλλέα. Fl. 6. 9. 21. 56. 59. 76. τὸ νιν καὶ ἐπὶ θηλυκοῦ καὶ ἐπὶ ἀρσενικοῦ. ἔστι δὲ ποιητικόν. Gu. *ΤΑΦΩι ΠΡΟΣΦΑΓΜΑΤΑ*, ἀντὶ τοῦ πρόσφαγμα ἢ σφάγιον τοῦ τάφου. Baroc. 74. Fll. Gu. [1]) θύματα τῷ τάφῳ. Fl. 17. Ἑλένην δὲ μᾶλλον αὐτὸν χρὴ αἰτεῖν σφαγιασθῆναι ἐν τῷ ἑαυτοῦ τάφῳ. Fl. 33.

V. 263. *ΩΛΕΣΕΝ*, ἔφθειρεν. Fl. 6. 9. 21. 56. 59. 76. *ΑΓΕΙ*. καὶ ἐκείνη δηλονότι ἤγαγεν εἰς τὴν Τροίαν αὐτόν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἐκείνη γὰρ ὤλεσεν αὐτὸν καὶ τοὺς λοιποὺς, οὓς ἐν τῇ Τροίᾳ ἤγαγεν. Fl. 33. πρωθύστερον. Gu.

V. 264. *ΕΚΚΡΙΤΟΝ*, ἐκλελεγμένον. Fl. 17. εὔμορφον. Fl. 21. εὐμορφίας ἕνεκα. Fl. 21. ἐὰν δέ τινα ἔντιμον ἐκ τῶν αἰχμαλώτων γυναικῶν χρὴ θανεῖν δι' αὐτόν. Fl. 33. ἐκλελεγμένην, (ἔξοχον, ἐπίλεκτον, ὡραίαν καὶ εὐγενίδα.) Gu.

V. 265. *ΥΠΕΡΦΕΡΟΥΣΑΝ*, ὑπερνικῶσαν. Fl. 17. καὶ κατὰ κάλλος ὑπερκειμένην, πλέον ἔχουσαν. [2]) Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΤΟΔΕ*, ἔστι. Fl. 6. 9. 21. 56. 59. 76. διαφέρουσαν τῶν λοιπῶν ἡμῶν πάντων ἐν κάλλει. Fl. 33. τὸ ἔκκριτον καὶ ὑπερφέρον, τὸ ὑπερφέρειν τῷ κάλλει. Gu.

V. 266. *Η ΤΥΝΔΑΡΙΣ*, ἡ Ἑλένη ἐστὶν ἡ εὐπρεπεστάτη εἰς κάλλος. Τυνδαρὶς γὰρ αὐτὸς λέγει, διότι Τυνδάρεω ἦν θυγάτηρ. Fl. 33.

V. 267. *ΑΔΙΚΟΥΣΑ*, ἀντὶ τοῦ ἠδίκησε. Fl. 59. ὑμᾶς δηλονότι. Fl. 21. *ΗΤΤΟΝ ΕΥΡΕΘΗ*, ἀλλὰ μᾶλλον ἐφωράθη. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἡ Τυνδαρὶς γὰρ

10) cf. ad v. 250.

1) Gu. θῦμα ἤγουν πρόσφ. ἤγουν σφ. Florr. etiam ἤγουν σφ. pro ἤ.

2) Flor. 17. κατὰ τὸ κ. τὸ ὑπερκείμενον πλ. ἔχ.

εὐειδεστάτη καὶ ἐφωράθη μᾶλλον ἡμῶν ἀδικοῦσα. Fl. 6. 9. 21. 56. 59. 76. Gu.

V. 268—275. *ΤΩι ΜΕΝ ΔΙΚΑΙΩι*, ἤτοι τῇ δικαιολογίᾳ καὶ κατὰ τὸ δίκαιον τόνδε τὸν λόγον κατὰ ἀγῶνος λέγω· ἅτινα δὲ πρέπει ἀντιδοῦναί σε, ἀπαιτούσης ἤτοι χρέος ζητούσης ἐμοῦ, ἄκουσον· ἔψαυσας τῆς ἐμῆς χειρὸς, ὡς λέγεις, καὶ τῆςδε γηραιᾶς παρείας προςπίπτων καὶ παρακαλῶν· ἐπίσης ἅπτομαι σου κἀγὼ τῶν γονάτων καὶ τῆς παρειᾶς, καὶ ἀπαιτῶ τὴν ὑπάρξασάν σοι παρ' ἐμοῦ τότε χάριν, καὶ ἱκετεύω καὶ παρακαλῶ σε, μὴ ἀφελκύσῃς τὸ τέκνον βιαίως ἐκ τῶν χειρῶν μου, μηδὲ κτάνητε· ἀρκούντως ἔχει τὸ πρᾶγμα ἕνεκα τῶν τεθνηκότων ἐν τῷ πολέμῳ δηλονότι.

V. 268. *ΤΩι ΜΕΝ ΔΙΚΑΙΩι*, ὅσον κατὰ τὸ δίκαιον. Fl. 17. 21. ἕνεκα τοῦ δικαίου, ὅτι οὐ χρὴ ἀνθρωποθυτεῖν τάφοις, ἢ ὅτι οὐκ ἐφονεύσαμεν, ἢ ὅτι οὐχ ὑπερφέρομεν κάλλει. (κατὰ τὴν δικαίαν ἐξέτασιν, τῇ δικαιολογίᾳ, δικαίως.) Gu. *ΑΜΙΛΛΩΜΑΙ*, παρατίθημι. Fl. 10. 17. 59. ἀγωνίζομαι. Fl. 9. 56. ἀνταγωνίζομαι. Fl. 6. ἐπιθήσω. Fl. 21. τῷ τοιούτῳ γάρ ἐστι δίκαιον καὶ τὸν τοιοῦτον λόγον ἀντιφιλονεικῶ. Fl. 33. ἀγωνίζομαι, (ἀγωνιστικῶς λέγω.) Gu.

V. 269. *ΑΝΤΙΔΟΥΝΑΙ*, ἀνταποδοῦναι. Fl. 6. 9. 21. 56. 59. 76. αὕτη ἀντιδοῦναι, πρέπει σοι ζητεῖν. Fl. 33. *ΔΕΙ*, ἀπόκειται. Fl. 17. *ΑΠΑΙΤΟΥΣΗΣ*, παρακαλούσης. Fl. 59. ὡς χρέος ζητούσης. Gu.

V. 270. *ΗΨΩ*, ἥψω προςπίπτων. Fl. 6. 9. 21. 59. 76. Gu. ἔλαβες. (—ου. Gu.) Fl. 17. 56. λάβε τῆς ἡμετέρας χειρός. Fl. 33. *ΦΗΣ*, ὁμολογεῖς. Fl. 6. 9. 21. 56. 59. 76.

V. 271. *ΠΑΡΕΙΑΔΟΣ*. ἡ παρειὰ κοινὸν, ἡ παρειὰς ποιητικόν. (ἀντὶ τοῦ εἰπεῖν πώγωνος παρειάδος εἶπεν ἀπὸ τοῦ συνεγγύς. εἰ καὶ οὐδὲν ἄνω αὐτολεξὶ εἶπεν, ὡς ἥψατο τῆς χειρὸς Ἑκάβης καὶ τῆς παρειᾶς, ἀλλὰ δι' ὧν ὡμολόγησεν, ὡς ἥψατο τῶν αὐτῆς γονάτων ἐπὶ τοσοῦτον, ὥςτ' ἐν τοῖς πέπλοις αὐτῆς νεκρωθῆναι μικροῦ καὶ ναρκῆσαι τὴν χεῖρα αὐτοῦ, διὰ τούτων καὶ τοῦτο ἐδήλωσεν. ὁ γάρ τινα

ἱκετεύων οὐ γονάτων αὐτοῦ μόνον, ἀλλὰ καὶ χειρὸς καὶ πώγωνος ἅπτεται, ἵνα κατανεύσῃ πρὸς τὴν αἴτησιν, (τοῦτο γὰρ ὁ πώγων βούλεται) καὶ ἐνεργήσῃ, (τοῦτο γὰρ τῆς χειρός) καὶ σπουδάσῃ τάχιστα ἐκτελέσαι· τῶν γὰρ ποδῶν ἐστι τὸ σπουδάζειν. τούτων δὲ οὕτως ἐχόντων, οὐδὲν δεῖ θαυμάζειν καὶ ἀπορεῖν, εἰ ὡς φής εἶπεν.) Gu.

Ib. *ΠΡΟΣΠΙΤΝΩΝ*, προςπίπτων, δεόμενος. Fl. 59.

V. 272. *ΑΝΘΑΠΤΟΜΑΙ*, ὁμοίως ἅπτομαι (ἀντιψαύω). Gu. *ΤΩΝΔΕ ΤΩΝ ΑΥΤΩΝ*, τῶν αὐτῶν τούτων, ἤγουν τῆς χειρὸς καὶ τῆς παρειᾶς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ὡς τῆς χειρὸς τῆς παρηΐδος. Fl. 59. κατασπάζομαί σου κἀγὼ τῶν αὐτῶν, δηλονότι χειρῶν. Fl. 33. ἤγουν γονάτων καὶ παρειᾶς. Gu. a m. pr.

V. 273. *ΑΠΑΙΤΩ*, ζητῶ. Fl. 56. ἀπαιτῶ σοι δηλονότι τὴν χάριν, ἣν ἀπήτησας τότε ἐμοὶ καὶ ἱκετεύω σέ. Fl. 21. ἱκετεύω γάρ σε καὶ αἰτῶ σοι τὴν τοιαύτην χάριν. Fl. 33. ὡς χρέος ζητῶ. Gu. *ΤΗΝ ΤΟΘ'*, γεγονυῖαν ὑπ' ἐμοῦ, ὅτι ἔσωσά σε τοῦ θανάτου. Gu. a m. pr.

V. 274. *ΜΗ ΜΟΥ*, μὴ τὸ ἡμέτερον τέκνον ἐξαρπάσῃς ἐκ τῶν ἐμῶν χειρῶν. Fl. 33.

V. 275. *ΜΗΔΕ ΚΤΑΝΗΤΕ*. ἐπειδὴ ὁ μὲν Ὀδυσσεὺς μόνος ἔμελλε λαβεῖν τὴν Πολυξένην ἐκ τῆς Ἑκάβης, τὸ δὲ θανεῖν αὐτὴν κοινῇ πᾶσι τοῖς Ἕλλησιν ἔδοξε, διὰ τοῦτο πρὸς μὲν τὸν Ὀδυσσέα ἑνικῶς εἶπε τὸ μὴ ἀποσπάσῃς, πρὸς δὲ τοὺς ἄλλους τὸ κτάνητε. [3]) *ΑΛΙΣ*, αὐτάρκεια τῶν ἀποθανόντων μου τέκνων. Fl. 21. μηδὲ αὐτὴν θανατώσητε· ἀρκετὸν γάρ ἐστι ὑμῖν τῶν τεθνεώτων ὁ ἀφανισμός. Fl. 33.

V. 276—278. *ΤΑΥΤΗι ΓΕΓΗΘΑ*. ἐπὶ ταύτῃ χαίρω καὶ ἐπιλανθάνομαι τῶν κακῶν· ἥδ' ἀντὶ πολλῶν, πραγμάτων δηλονότι, ἔστι μοι παραμυθία καὶ παρηγορία, πόλις, τροφὸς, βακτηρία, ἡγεμὼν καὶ ὁδηγὸς ὁδοῦ.

3) τὸ μὴ κτάνητε King. Musgr. μὴ Junt. Basil. hic omittunt, Guelph. etiam ante ἀποσπάσῃς omittit.

V. 276. *ΚΑΠΙΛΗΘΟΜΑΙ*, καὶ ἐπιλανθάνομαι τῶν (πρόσθεν) δυςτυχιῶν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἐν ταύτῃ γὰρ δηλονότι τῇ Πολυξένῃ κἀγὼ χαίρομαι καὶ ἐπιλέλησμαι τῶν προτέρων κακῶν. Fl. 33.

V. 277. *ΗΔ'*. ἀπέθανον (ἀπίθανον) ταῦτα· οὐ γὰρ ἔμελλον (—εν) γηροβοσκεῖν τὴν Ἑκάβην ἡ Πολυξένη. ὅμως μέντοι χρήζει μητρὸς ἱκεσίαν. Fl. 59. *ΑΝΤΙ ΠΟΛΛΩΝ*, ὧν εἶχον. Fl. 17. αὕτη γάρ μοι καὶ ἀναψυχὴ ἀντὶ τῶν πολλῶν κακῶν ὧν ἔπαθεν. Fl. 33. *ΠΑΡΑΨΥΧΗ*, παραμυθία (παράκλησις). Gu.

V. 278. *ΤΙΘΗΝΗ*, τροφὸς τοῦ γήρως. Fl. 21. *ΒΑΚΤΡΟΝ*, ῥάβδος ἐπερειστική. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἀσφάλεια. Fl. 17. κόσμος, τροφὸς, βακτηρία, παρηγορία τοῦ βίου. Fl. 33. βακτηρία (στήριγμα). Gu. *ΠΟΛΙΣ* ἐνίοτε τὸ τεῖχος, ἄλλοτε ἡ γῆ, ἄλλοτε ὁ λαός. οὕτω καὶ οἶκος. *ΟΔΟΣ* καὶ ἡ στρατὰ καὶ ἡ ἀφορμή, ὡς τὸ ἔσχε ὁδὸν τοιαύτην ποιῆσαι τόδε. Gu.

V. 279. 280. *ΟΥ ΤΟΥΣ ΚΡΑΤΟΥΝΤΑΣ*. τοὺς ἄρχοντας οὐ πρέπει κρατεῖν τῶν πραγμάτων ἐκείνων δηλονότι, ἃ μὴ χρεὼν, ἤτοι οὐ πρέπον κρατεῖσθαι, οὐδὲ τοὺς εὐτυχοῦντας δοκεῖν καὶ νομίζειν πράττειν ἀεὶ εὖ, ἤτοι εὐτυχεῖν. [4]) Ἄλλως. οὐ τοὺς κρατοῦντας καὶ ἄρχοντας ἀνόμου καὶ κακῆς βουλῆς χρὴ ἔχεσθαι, ἀλλὰ πρὸς τὸ δίκαιον πίπτειν ἀεὶ τῶν μὴ προσηκόντων ἀπεχομένους· οὐδὲ τοὺς εὐτυχοῦντας ὑπολαμβάνειν ἀεὶ εὐτυχήσειν. εἶπε δὲ ἄμφω διὰ τοὺς Ἕλληνας ὡς εὐτυχεῖς ὄντας καὶ ἄδικα περὶ τῆς Πολυξένης βουλευσαμένους.

V. 279. *ΤΟΥΣ ΚΡΑΤΟΥΝΤΑΣ*, τοὺς ἐν ἀρχαῖς ὄντας καὶ δυναμένους πράττειν, ἃ βούλονται, οὐ χρὴ εἰς κακὸν χρῆσθαι τῇ ἐξουσίᾳ, εἰδότες (—ότας) ὅτι οὐκ ἐν τῇ αὐτῇ μενοῦσι τύχῃ. Fl. 10. 59. οὐ χρὴ τοὺς ἡγεμόνας πράσσειν, ἅπερ μὴ πρέπει. Fl. 33. τοὺς δυναμένους, ὅθεν

4) Haec τοὺς ἄρχοντας — εὐτυχεῖν ad paraphrasin retulerunt King. et Musgr. Sequ. scholion est etiam in Guelph. sed in eo vv. καὶ ἄρχοντας pro glossa vv. τοὺς κρατοῦντας supra scripta sunt. Idem pro πρὸς τὸ δίκ. habet ἐπὶ τὸ δ.

καὶ κράτωρ ποιητικὸν, αὐτοκράτωρ κοινόν. κρατῶ τὸ δύναμαι, ποιητικὸν, αἰτιατικῇ, καὶ κρατῶ τὸ κατέχω, κοινόν· κρατῶ τὸ ἐξουσιάζω, γενικῇ, κρατεῖ γαστρός. Gu. *ΚΡΑΤΕΙΝ*, ἐξουσιάζειν. Fl. 17.

V. 280. *ΟΥΔ' ΕΥΤΥΧΟΥΝΤΑΣ*, οὐδὲ τοὺς εὐτυχοῦντας δοκεῖν ἀεὶ ἔχειν καλῶς. Fl. 33. *ΔΟΚΕΙΝ*, νομίζειν, (ὑπολαμβάνειν).

V. 281 sq. *ΚΑΓΩ ΓΑΡ ΗΝ*. καὶ ἐγὼ γὰρ ὑπῆρχον εὐδαίμων ποτὲ, ἀλλὰ νῦν οὐχ ὑπάρχω, πάντα δέ μοι τὸν πλοῦτον μία ἡμέρα ἀφείλετο.

V. 281. *ΗΝ*, εὐτυχὴς δηλονότι. Fl. 6. 9. 56. 59. 76. Gu. *ΟΥΚ ΕΙΜ' ΕΤΙ*. ἡ γὰρ [5]) εὐτυχία οὐκ ἔστιν ἄλλο, ἢ εἶναι, ἡ δὲ δυςτυχία οὐκ ἄλλο γ' οὐδὲν, ἢ μὴ εἶναι. τὸ ἔτι δὲ εἶπεν, ὡς πρὸς τὸν πρόσθεν χρόνον· τὰ γὰρ παρόντα τῶν πάλαι ὕστερά ἐστι καὶ ἐφεξῆς. *ΟΥΚ ΕΙΜ'*, οὐκέτι εἰμὶ, οὐδαμῶς εἰμί. Fl. 6. 9. 17. 21. 56. 59. 76. ποτὲ γὰρ καὶ ἐγὼ ὑπῆρχον βασιλὶς, ἀλλὰ νῦν οὐκ εἰμὶ τὶ. (εἰμὶ ἔτι?) Fl. 33.

V. 282. *ΗΜΑΡ ΕΝ*, ὅτε ἡ πόλις ἑάλω, ἡμέρα μία ἡ τῆς δυςτυχίας. Gu. *ΑΦΕΙΛΕΤΟ*, ἐστέρησε. Fl. 17. ὅλον γάρ μοι τὸν πλοῦτον μία ἡμέρα ἠφάνισε. Fl. 33. ἀφείλετό με τόδε, ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, Ἀττικόν· ἀφείλετο τόδε μου κοινόν, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Gu. a m. pr.

V. 283 — 287. *ΑΛΛ' Ω ΦΙΛΟΝ ΓΕΝΕΙΟΝ*. ἁπτομένη τοῦ γενείου τοῦτο φησί. [6]) ἀπὸ μέρους τὸ πᾶν· γένειον αἱ κατὰ τὰς σιαγόνας τρίχες, γένυς δὲ ἡ σιαγών. Ἀλλ', ὦ Ὀδυσσεῦ, οἰκτειρον καὶ ἐλέησον, ἀπελθὼν δ' εἰς τὸν στρατὸν τῶν Ἑλλήνων παραίνεσον καὶ

5) King. Musgr. ἡ μὲν εὐτ. In sqq. post χρόνον Gu. addit τὸ ἦν, et pro ἐστι legit εἰσι.

6) Haec desunt in Basil. addidit King. et exstant in Mosqu. D. et Guelph. cui etiam τοῦ γενείου pro τῶν γενείων debetur. Hic omittit vv. ἀπὸ μ. τὸ πᾶν. et habet γένεια δὲ λέγεται αἱ κ. τ. σ. τρ. In sqq. King. Musgr. αἱ ἐν τῇ σιαγόνι τρ. ut Gu.

εἰπὲ, ὅτι μέμψις καὶ δυςφημία ἐστὶν, ἀποκτείνειν καὶ φο- νεύειν τὰς γυναῖκας, ἃς καταρχὰς οὐκ ἐφονεύσατε, ἀφελ- κύσαντες ἀπὸ τῶν βωμῶν, ἀλλ' ἠλεήσατε.

V. 283. *ΦΙΛΟΝ*, προςφιλές. Fl. 17. *ΑΙΔΕΣΘΗΤΙ.* αἰδὼς καὶ αἰσχύνη διαφέρει. αἰδὼς γάρ ἐστιν, ὥς φησὶν Ἀριστόξενος ὁ μουσικὸς, ἡ ἐπ' ἀγαθοῖς βία καὶ ὑποστολὴ, αἰσχύνη δέ ἐστιν ἡ ἐξ αἰσχρῶν πραγμάτων ἀτιμία καὶ κα- τήφεια. C. C. C. *ΑΙΔΕΣΘΗΤΙ*, ἐντράπηθι. Fl. 17. 56. δυςωπήθητι. Fl. 6. 9. 21. 59. 76. Gu. ἀλλ', ὦ προςφι- λέστατοι, τὸ γῆρας αἰσχύνθητε τὸ ἐμόν. Fl. 33.

V. 284. *ΟΙΚΤΕΙΡΟΝ.* σὺ δὲ Ὀδυσσεὺς ἐλέησόν με καὶ πορεύθητι εἰς τὸν Ἑλληνικὸν στρατόν. Fl. 33.

V. 285. *ΠΑΡΗΓΟΡΗΣΟΝ*, παραίνεσον. ἔστιν ἀγο- ρὰ, ἀφ' οὗ ἀγορεύω ῥῆμα, ἐξ οὗ σύγκεινται τό τε δημη- γορῶ καὶ παρηγορῶ καὶ συνηγορῶ καὶ τὰ τοιαῦτα. *ΠΑ- ΡΗΓΟΡΗΣΟΝ*, ἀντὶ τοῦ παρηλειγμένα (παρηλλαγμένα) ἀγόρευσον. Fl. 59. ἐνηλλαγμένα εἰπέ. Fl. 17. παρηγορῶ τὸ παραμυθοῦμαι καὶ τὸ παραινῶ. Fl. 6. 9. 21. 56. 59. 76. Gu. παράπεισον, νουθέτησον. Fl. 21. 33. τὰ ἐναν- τία ἀγόρευσον, ἤγουν παρ' ὃ ἠγόρευσας, εἰπέ. 7) (ἡ παρά τὴν παραλλαγὴν ἐνταῦθα δηλοῖ.) Gu. *ΦΘΟΝΟΣ*, κατα- χρηστικῶς ἀντὶ τοῦ μέμψις. διαφέρει δὲ φθόνος μέμψεως, ὅτι ὁ μὲν φθόνος εἰς τοὺς καλοὺς καὶ ἀγαθοὺς ἀπὸ τῶν κακῶν, (φθονοῦνται γὰρ τὰ καλὰ τοῖς κακοῖς) ἡ δὲ μέμψις ἀπὸ τῶν καλῶν εἰς τοὺς κακούς τε καὶ πονηρούς. *ΦΘΟ- ΝΟΣ*, λύπη ἐπ' ἀλλοτρίων ἀγαθῶν, ἐνταῦθα δὲ μέμψις. (καὶ νέμεσις, καὶ φθόνου ἔργον ἐστί.) Gu. 8) ψόγος. Fl. 59. ἄδικον. Fl. 21. μὴ διαφθόνον ἀποκτείνειν τὰς γυ- ναῖκας. Fl. 33.

7) In eodem Cod. ab alia m. παραίν. παρ' ὃ πρόσθεν ἔφης, ἀγόρευσον.

8) In margine aliud scholion est ad v. 286. sed in eo litterae pleraeque evanuerunt. Finis hic est: διό τινες ἐνταῦθα συντομίᾳ χρώμενοι, ἢ μᾶλλον * * * φθόνον ἀντὶ τοῦ μέμψις εἰρήκασιν.

V. 286. *ΤΟΠΡΩΤΟΝ*, κατὰ τὴν γυναῖκα. Fl. 59. ἃς ἐν τῇ ἁλώσει τῆς Τροίας οὐκ ἐκτείνατε. Fl. 33.

V. 287. *ΒΩΜΩΝ*, ἀπὸ τῶν νεῶν. Fl. 59. ἡνίκα ἀπὸ τῶν βωμῶν ἐξάραντες, ἀλλ' ἠλεήσατε. Fl. 33.

V. 288—292. *ΝΟΜΟΣ Δ' ΕΝ ΥΜΙΝ.* νόμος δ' ἐν ὑμῖν τοῖς Ἕλλησι κεῖται περὶ φόνου, ὅμοιος τοῖς ἐλευ- θέροις καὶ τοῖς δούλοις. ἡ δὲ σὴ ἀξία, καὶ ἐὰν κακῶς λέγῃ, καταπείσει· λόγος γὰρ ὁ ἐξιὼν ἐκ τῶν ἀδοξούντων καὶ ἀτίμων, καὶ ἐκ τῶν δοκούντων, ἤτοι ἐξ ἐνδόξων καὶ ἐντίμων, οὐ τὴν αὐτὴν ἔχει δύναμιν.

V. 288. 289. *ΝΟΜΟΣ.* νόμος δὲ κεῖται ἐν ὑμῖν τοῖς Ἕλλησι περὶ φόνου ἴσος τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις, ἤγουν ἐν ἴσῳ κακῷ τάττων τὸν τοῦ δούλου φόνον, ὃν αὐ- τὸς δηλονότι ὑπό τινος φονευθήσεται, καὶ τὸν τοῦ ἐλευθέ- ρου. *ΝΟΜΟΣ*, ἤγουν τοῦτο τὸ τοὺς τοῖς βωμοῖς καταφυ- γόντας μὴ κτείνειν νόμιμον ἡγούμεθα ἐπίσης δοῦλοι καὶ ἐλεύθεροι. 9)

V. 288. *ΙΣΟΣ*, τάχα. Fl. 17. σημαίνει τὸ ἴσος, ὅτι ὁ μὲν Ὅμηρος περισπᾷ αὐτὸ καὶ μακρὸν δέχεται, οὗ- τος δὲ ὀξύνει καὶ βραχὺ δέχεται. Fl. 59.

V. 290. *ΑΞΙΩΜΑ*, ἡ τιμιότης, (τὸ μέγεθος, ἡ ἀξία ἡ σή.) Gu. *ΚΑΚΩΣ*, ἀδίκως. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. παραλόγως. Fl. 59. ἀσυμφόρως καὶ μὴ κατὰ γνώμην τῷ πλήθει. Gu. a m. sec. *ΤΟ ΣΟΝ*, στόμα. Fl. 59.

V. 291. *ΠΕΙΣΕΙ*. πόσῳ γε μᾶλλον, ὅτε καὶ ἔννομα. Fl. 10. *ΙΩΝ*, ἐρχόμενος. Fl. 6. 9. 17. 21. 56. 59. 76. λεγόμενος. Fl. 10.

V. 292. *ΔΟΚΟΥΝΤΩΝ*, ἐντίμων, (ἐνδόξων, τῶν φαινομένων τε καὶ λαμπρῶν· οἱ γὰρ ἄδοξοι ὥςπερ ἀφανείᾳ κρύπτονται.) Gu. *ΟΥ ΤΑΥΤΟΝ ΣΘΕΝΕΙ*, οὐ τὴν αὐ-

9) Hoc scholion recte ad hunc v. refert Guelph. quum in editis v. 287 adscriptum sit.

τὴν δύναμιν δύναται [φονευθησόμενος καὶ τοῦ ἐλευθέρου [10])]. Fl. 6. 9. 21. 56. 59. 76.

V. 293—295. ΟΥΚ ΕΣΤΙΝ ΟΥΤΩ ΣΤΕΡΡΟΣ. οὐκ ἔστι φύσις ἀνθρώπου οὕτω στεῤῥὰ καὶ σκληρὰ, ἥτις, ἀκούουσα τοὺς θρήνους τῶν σῶν γόων καὶ τῶν πολλῶν ὀδυρμάτων, οὐκ ἂν ἐκπέμψοι δάκρυον.

V. 293. ΣΤΕΡΡΟΣ. οἱ Ἀττικοὶ τὰς εἰς α καὶ εἰς η ληγούσας εὐθείας διὰ τοῦ ος λέγουσιν, οἷον ἡ οὐράνιος, ἡ θεὸς, ἡ στεῤῥός. ΣΤΕΡΡΟΣ. τὰ παρ' ἡμῖν ἐκφερόμενα εἰς α καὶ εἰς η, οἷον ἡ στεῤῥὰ καὶ ἡ λυπὴ, παρ' Ἀττικοῖς εἰς ος ἐκφέρεται, κλυτὸς Ἱπποδάμεια καὶ ἐνταῦθα στεῤῥὸς φύσις· τὰ δὲ παρ' ἡμῖν ἐκφερόμενα εἰς ος παρ' Ἀττικοῖς εἰς α ἐκφέρεται, οἷον λέγομεν ἡμεῖς ἡ οὐράνιος, ἐκεῖνοι φασὶν ἡ οὐρανία. Gu. τὸ ΟΥΤΩ πρὸς τὸ ΗΤΙΣ ἔχει τὴν ἀπόδοσιν. ἐπάγομεν γὰρ καὶ οὕτω τὰς ἀποδόσεις τοῦ οὕτως καὶ τοῦ τοσοῦτον, οὐ μόνον πρὸς ὡς. Gu. a m. sec. ΦΥΣΙΣ, προαίρεσις. Gu.

V. 294. ΓΟΩΝ, θρήνων. Fl. 17. 59. ΜΑΚΡΩΝ, ὑψηλῶν, ὀξυφώνων (πολλῶν). Gu. ὀδυρμάτων, θρηνημάτων. Fl. 59. τῶν σῶν θρήνων καὶ τῶν μεγάλων κλαυθμῶν εἰσακούουσα οὐχὶ δακρύσει. Fl. 33.

V. 295. ΘΡΗΝΟΥΣ, κλαυθμούς. Fl. 59.

V. 296 sq. ΕΚΑΒΗ, ΔΙΔΑΣΚΟΥ. ὦ Ἑκάβη, διδάσκου, ἤτοι μάνθανε, μηδὲ τῷ θυμουμένῳ, μέρει τῆς ψυχῆς δηλονότι, ποιοῦ δυςμενῆ καὶ ἐχθρὸν ἐν τῇ φρενὶ καὶ τῷ λογισμῷ.

V. 296. ΔΙΔΑΣΚΟΥ, μάνθανε παρ' ἐμοῦ. Fl. 21. ὑπ' ἐμοῦ, ὃ ἀγνοεῖς (γνῶσιν λάμβανε οἴκοθεν, μάνθανε, σωφρόνει). Gu. ΜΗΔΕ ΤΩι ΘΥΜΟΥΜΕΝΩι. εἰς τρία μεριζομένης τῆς ψυχῆς, εἰς λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικὸν, ὅτε μὲν ἔστι τὸ λογικὸν καθαρὸν, διακρίνει καὶ λογίζεται τὰ προςήκοντα καὶ καλῶς ἔχοντα, σκοτίζεται δὲ ὑπὸ τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ καὶ ὑπὸ ἄλλου τινὸς

10) Quae uncis inclusi, haud dubie e scholio ad v. 288 sq. huc retracta sunt. Cetera sunt etiam in Gu.

συναντήματος, κἀντεῦθεν οὐ συγχωρεῖται λογίζεσθαι τὰ δέοντα. ΤΩι ΘΥΜΟΥΜΕΝΩι. οἱ μὲν τῷ θυμουμένῳ τῷ θυμικῷ φασὶ τῆς ψυχῆς μέρει· τρία δὲ μέρη τῆς ψυχῆς, λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικόν. καὶ τὸ μὲν θυμικὸν ἔγκειται παρὰ τὴν καρδίαν, τὸ δὲ ἐπιθυμητικὸν παρὰ τὸ ἧπαρ, τὸ δὲ λογικὸν [1]) παρὰ τὸν ἐγκέφαλον, ὃ καὶ λόγον αὐτοκράτορα ἔχει [2]) πρὸς ἐκεῖνα, τὰς ἀτάκτους ὁρμὰς αὐτῶν καταστέλλον καὶ οὐκ ἐῶν ἀλόγως φέρεσθαι [3]). ἐγὼ δὲ ἐνταῦθα θυμουμένῳ λέγω τῷ θυμῷ· ὥςπερ γὰρ φαμὲν βουλόμενον οὐ μόνον τὸ θέλον τι [4]), ἀλλὰ καὶ τὴν βούλησιν αὐτὴν, καὶ μεμνημένον οὐ μόνον τὸ μνείαν ἔχον τινὸς [5]), ἀλλὰ καὶ τὴν μνήμην αὐτὴν, καὶ ὑπήκοον οὐ μόνον τὸ ὑπακοῦόν τινος, ἀλλὰ καὶ τὴν ὑπάκουσιν αὐτὴν [6]), οὕτω καὶ θυμούμενον οὐ μόνον τὸ θυμῷ κατεχόμενον, ἀλλὰ καὶ τὸν θυμὸν αὐτόν. ΘΥΜΟΥΜΕΝΩι, ὑπὸ τοῦ μέρους τοῦ θυμικοῦ. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. τῷ θυμωδεῖ μέρει τῆς ψυχῆς, ἤτοι τῷ θυμοειδεῖ. Fl. 10.

V. 297. ΕΥ ΛΕΓΟΝΤΑ, καλῶς συμβουλεύοντα. Fl. 17. συμβουλευόμενον. Fl. 6. 9. 21. 56. 59. 76. ΠΟΙΟΥ ΦΡΕΝΙ, νόμιζε κατὰ τὸν λογισμόν. Fl. 6. 9. 17. 21. 56. 76. νόμιζε, πράττε κατὰ τὸν λογισμὸν, κατὰ τὴν διάνοιαν. Fl. 59. τὸν καλῶς λέγοντα ποιεῖ τὸ περισσὸν φρόνημα [7]). Fl. 33. ΠΟΙΟΥ, ἡγοῦ, (νόμιζε, λογίζου). Gu. ΦΡΕΝΙ, νοΐ, (κατὰ τὸν λογισμόν· θυμὸς γὰρ τὰς φρένας ἐξίστησιν.) Gu.

V. 298—302. ΕΓΩ ΤΟ ΜΕΝ ΣΟΝ. οἱ μὲν τῆς

1) Sic Guelph. Vulgo λογιστικόν. Idem Cod. mox τὸν ἐγκ. pro τὸ ἐγκ.

2) Guelph. αὐτοκράτορος ἐπέχει.

3) Verba τὰς ἀτάκτους — φέρεσθαι suppeditavit cod. Guelph.

4) Sic Guelph. Vulgo τὸν θέλοντα.

5) Sic Guelph. et Junt. nisi quod haec om. τινός. Basil. τὸν μνείαν ἔχον. Musgr. τὸν μν. ἔχοντα.

6) Haec etiam vv. καὶ ὑπήκοον — αὐτήν e Guelph. accesserunt.

7) Scholion mutilum, sic fortasse supplendum: τὸν κ. λ. νόμιζε ἐχθρόν· τοῦτο γὰρ ποιεῖ τὸ περισσὸν φρόνημα vel simile quid.

Ἑκάβης λόγοι παρασκευῇ ἐοίκασιν, οἱ δὲ τοῦ Ὀδυσσέως ἀνασκευῇ [8]). *ἐγὼ τὸ μὲν σὸν σῶμα, ὑφ᾽ οὗπερ εὖ ἔπραττον, ἕτοιμός εἰμι καὶ πρόθυμος ῥύεσθαι· ἃ δ᾽ εἶπον ἐνώπιον πάντων οὐκ ἀρνήσομαι, λέγω, πορθηθείσης τῆς Τροίας, δοῦναι θῦμα τὴν σὴν παῖδα τῷ Ἀχιλλεῖ, αἰτοῦντι αὐτὴν δηλονότι.*

V. 298. *ΤΟ ΣΟΝ ΣΩΜ᾽, ἤγουν σέ.* Fl. 6. 9. 21. 56. 59. 76. *ΗΥΤΥΧΟΥΝ. καὶ γὰρ σοῦ σωσάσης με ηὐτύχουν ἐν τῷ φάει.* Fl. 21. *εὖ ἔπραττον (ἐσωζόμην. ὅτε ἐφωράθην κατασκοπος).* Gu.

V. 299. *ΕΤΟΙΜΟΣ ΕΙΜΙ, πρόχειρος ὑπάρχω.* Fl. 59. *ΑΛΛΩΣ. ὁ ἀλλοτρόπως λέγων, καὶ οὐχ ὡς δοκεῖ, τοῖς ἀκούουσι μάταια λέγει· ἄλλο γὰρ οἱ λόγοι αὐτοῦ βούλονται.* Baroc. 74. Gu. *ΑΛΛΩΣ, μάτην.* Fl. 6. 9. 17. 21. 56. 59. *ἀλλοτρόπως.* Fl. 76. *καὶ οὐ ματαίως λέγω.* Fl. 33. *μάτην, ἢ οὐκ ἄλλως ἢ φρονῶ.* Gu.

V. 300. *Α Δ᾽ ΕΙΠΟΝ πρὸς τὸ δοῦναι σύναπτε* [9]) *τῇ ἐννοίᾳ, τὸ δὲ οὐκ ἀρνήσομαι διὰ μέσου ἐτέθη.* Baroc. 74. Gu. *ΕΙΠΟΝ, ἔλεξα.* Fl. 59. *ΑΠΑΝΤΑΣ, ὅλους τοὺς Ἀχαιούς.* Fl. 59. *τοὺς Ἕλληνας.* Fl. 6. 9. *κατέναντι πάντων Ἑλλήνων.* Fl. 21. 56. *ΑΡΝΗΣΟΜΑΙ. τὸ ἀρνεῖσθαι ἐναντίον τοῦ ὁμολογεῖν, ὥςτε τὸ οὐκ ἀρνεῖσθαι ταὐτὸν τῷ ὁμολογεῖν. ΑΡΝΗΣΟΜΑΙ, ἀρνηθείην, τουτέστιν ὁμολογήσομαι.* Fl. 59. *τουτέστιν ὁμολογήσω.* Fl. 6. 9. 21. 56. 76. Gu. *ἀλλ᾽ ὁμολογήσω.* Fl. 17.

V. 301. *ΑΛΟΥΣΗΣ, κατασχεθείσης.* Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *κρατηθείσης.* Fl. 59. *δεικνύει τὸ ῥηθὲν παρ᾽ αὐτοῦ εἰς πάντας.* Fl. 21. *ΤΩι ΠΡΩΤΩι. τὸ πρῶτον λαμβάνεται ἐνίοτε μὲν ἐπὶ τάξεως, ἐνίοτε δὲ ἐπὶ ἀριθμήσεως·* [10]) *ἐνταῦθα δὲ ἐπὶ τάξεως λέγεται. ΠΡΩΤΩι, ἤγουν τῷ στρατῷ.* Fl. 17. *πολιορκουμένης δηλονότι τῆς Τροίας, τῷ ἀνδρὶ τῷ πρώτῳ καὶ ἐνδόξῳ Ἀχιλλεῖ ἐξαιτουμένῳ τὴν σὴν παῖδα Πολυξένην σφαγιασθῆναι.* Fl. 33.

8) Haec quoque exciderunt in Musgr.

9) Guelph. *συνάπτεται.*

10) Guelph. *ἐπὶ ἀπαριθμήσεως.*

V. 302. *ΣΦΑΓΙΟΝ, θυσίαν.* Fl. 59. *εἶπον ἐγὼ δηλονότι δοῦναι αὐτῷ.* Fl. 21.

V. 303—309. *ΕΝ ΤΩιΔΕ ΓΑΡ. διὰ τοῦτο γὰρ δυςπραγοῦσιν αἱ πλείους πόλεις, ὅταν τις ἀγαθὸς καὶ ἀνδρεῖος ἀνὴρ ἀπολαύῃ περισσότερον μηδὲν τῶν φαύλων τε καὶ δειλῶν. ἐν ἡμῖν δὲ ὁ Ἀχιλλεὺς ἄξιός ἐστι τιμῆς καὶ δόξης, ὦ γύναι, θανὼν ὑπὲρ τῆς Ἑλλάδος ἐνδοξότατα· ἐπεὶ ἄσχημον καὶ ἀπρεπές ἐστιν, εἰ ζῶντι μὲν ἐκείνῳ ἐχρώμεθα φίλῳ, ἀφ᾽ οὗ δ᾽ ἐφθάρη, μηκέτι χρώμεθα, φίλῳ δηλονότι.*

V. 303. *ΕΝ ΤΩιΔΕ, τῷ πράγματι.* Fl. 56. *ἐν τούτῳ γὰρ πάσχουσιν ἐμφανίζονται αἱ πλεῖσται πόλεις.* Fl. 33. *διὰ τόδε, (διὰ τοῦτο. τῷ μὴ τιμᾶσθαι δηλονότι τοὺς ἀγαθοὺς καὶ γενναίους ἄνδρας).* Gu. *ΚΑΜΝΟΥΣΙΝ, δυςτυχοῦσι.* Fl. 17. 21. 59. Gu. *ΠΟΛΛΑΙ, πλείονες.* Fl. 21. Gu.

V. 304. *ΠΡΟΘΥΜΟΣ, πρὸς πᾶν ἔργον, οἷος ὁ τοῦ Πηλέως.* Gu. *ΩΝ, ὑπάρχων.* Fl. 17. *ὅτι ὁ ἐσθλὸς καὶ ἀγαθὸς καὶ ἀνδρεῖος καὶ ἐμπρόθυμος ἄνδρας, ἵνα διαφέρει ἐπὶ πολὺ τῶν μικρῶν.* Fl. 33.

V. 305. *ΦΕΡΗΤΑΙ, ἀπολάβῃ.* Fl. 6. 9. 17. 21. 56. 59. 76. *ἔχῃ.* Fl. 59. *προτιμᾶται.* Gu. *ΚΑΚΙΟΝΩΝ, κακῶν ἤγουν δειλῶν.* Fl. 9. 17. 56. 76. *τῶν δειλῶν καὶ ἀνάνδρων, κακῶν.* Fl. 21. 59. *τῶν κακῶν, (ἢ δειλῶν, τῶν χειρόνων αὐτοῦ ἀνδρῶν).* Gu.

V. 306. *ΗΜΙΝ, παρ᾽.* Fl. 6. 9. 56. 76. *παρ᾽ ἡμῖν ὑπάρχει.* Fl. 59. *ΤΙΜΗΣ, δόξης. τιμὴ ἡ δόξα καὶ τὸ εἰς ὠνὴν διδόμενον.* Gu.

V. 307. *ΕΛΛΑΔΟΣ. οἱ Ἀττικοὶ λαμβάνουσι τὸ ἁπλοῦν ἀντὶ κτητικοῦ, οἷον Ἑλλάδος τῆς Ἑλληνικῆς· οἱ δὲ Ἴωνες τοὐναντίον, οἷον αἱ παρθενικαὶ ἀντὶ τοῦ αἱ παρθένοι.* Gu. *ΚΑΛΛΙΣΤΑ, καλλίστως, (ἐνδοξότατα).* Gu.

V. 308. *ΟΥΚΟΥΝ, τολοιπόν.* Fl. 59. *τὸ οὔκουν* (sic) *ποτὲ μὲν ἀντὶ τοῦ οὐδαμῶς νοεῖται, ποτὲ δὲ ἀντὶ τοῦ τοίνυν, ὡς ἐνταῦθα.* Gu. *ΒΛΕΠΟΝΤΙ, ζῶντι· (ὁ γὰρ βλέπων ζῇ, ὁ δ᾽ ἀποθανὼν οὔ).* Gu. *ΦΙΛΩι, προςφιλές.* Fl. 33.

V. 309. *ΕΠΕΙ Δ' ΟΛΩΛΕ*, ἐπειδὴ ἐφονεύθη. Fl. 33.

V. 310. *ΕΙΕΝ*, ἔστω ταῦτα. *ΕΙΕΝ* ἀντὶ τοῦ, ταῦτα μὲν οὕτως ἐχέτωσαν, ἔστω ταῦτα. Fl. 59. ἀντὶ τοῦ, ἔστω ταῦτα, ἃ εἰπομεν δηλονότι. Fl. 21. ἔσται. Fl. 33. ταῦτα οὕτως ἔχει. ἔστω ταῦτα. ἤγουν ταῦτα οὕτως ἔχουσιν. ἔστι δὲ τὸ εἶεν τῆς πρώτης ἐννοίας ἀποθετικὸν, ἀρκτικὸν δὲ τῆς μετὰ ταῦτα. ἔστι δὲ ἀπόθεσις τὸ σχῆμα Ἀττικὴ καὶ ῥητορική.) Gu.

V. 310—317. *ΤΙ ΔΗΤ' ΕΡΕΙ ΤΙΣ*. κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν, τί ἐρεῖ τις, ἐὰν πάλιν γένηται σύναγμα στρατοῦ καὶ ἀνάγκη τῶν πολεμίων; πότερον μαχεσόμεθα, ἢ φιλοζωήσομεν καὶ δειλιάσομεν, τὸν ἀποθανόντα βλέποντες οὐ δοξαζόμενον; ἀλλὰ καὶ ἐμοὶ, ἐν ὅσῳ μὲν ζῶ, κατὰ τὸν καιρὸν τῆς ζωῆς μου πάντα ἱκανὰ καὶ ἀρκοῦντα μέλλουσιν εἶναι, κἂν μικρὰ ταῦτα ὦσι· τὸν ἐμὸν δὲ τάφον βουλοίμην ἂν ὁρᾶσθαι τιμώμενον· ἐπὶ πολὺ γὰρ ἡ χάρις [1], ἤγουν ἡ τιμὴ διὰ μακροῦ γίνεται καὶ πολυχρονία, ταῖς διαδοχαῖς αὐξανομένη· ὁ γὰρ ὁρῶν τὸν τῆς τιμῆς ἀξιούμενον πρὸς τὸν ἐγκείμενον ἀνάγει τὸν νοῦν, ἡγούμενος αὐτὸν μήδ' ἂν μετὰ θάνατον οὕτω τιμᾶσθαι, εἰ μὴ πολλοῦ τινος ἄξιος ἦν περιών.

V. 310. *ΕΡΕΙ*, λέξει ὁ ἄνθρωπος ἐκεῖνος. Fl. 59. καὶ τί λοιπὸν εἴποι. Fl. 56. λέξει. Fl. 6. τί δὲ ἐρεῖ τὶς ἀνθρώπων. Fl. 21. *ΑΥ ΦΑΝΗι*, τὶς πάλιν φανερωθῇ. Fl. 33.

V. 311. *ΑΘΡΟΙΣΙΣ*, συναγωγὴ, σύναξις. Fl. 21. 59. *ΑΓΩΝΙΑ*, βία. Fl. 6. 9. 17. 21. 56. 59. 76. φόβος. Fl. 59. Gu. a m. sec. *ΑΓΩΝΙΑ*, ἀγών. ἀγὼν λέγεται ἡ μάχη, ἀγωνία δὲ φόβος ἀστοχίας γινομένου τινὸς πράγματος. καὶ ἀπὸ τοῦ πρώτου γίνεται ῥῆμα ἀγωνίζομαι, ἀπὸ δὲ τοῦ δευτέρου ἀγωνιῶ. κατὰ δὲ Ἀττικοὺς λέγεται

1) Seqq. King. et Musgr. inter scholia posuerunt, sed ita: διὰ μακροῦ γὰρ χρόνου ἡ τιμὴ ἡ διὰ τοῦ τύμβου· ἤγουν ἡ τιμή etc. Idem scholion est in Guelph., sed ἡ τιμὴ ἡ διὰ τοῦ τύμβου a man. pr. διὰ μακροῦ χρόνου sine γὰρ a m. sec. ἤγουν ἡ τιμὴ — αὐξανομένη desunt, ὁ γὰρ ὁρῶν — περιών sunt a m. sec. et legitur ὁ γὰρ ὁρῶν τοῦτον τιμῆς ἀξιούμενον recte.

ἀγωνία καὶ ὁ ἀγὼν, ὡς ἐνταῦθα. (ἅμιλλα, ἡ φόβος, βία, ἀνάγκη.) Gu.

V. 312. *ΠΟΤΕΡΑ* ἀντὶ τοῦ πότερον, Ἀττικῶς, μηχανησόμεθα. (μαχεσόμεθα.) Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΦΙΛΟΨΥΧΗΣΟΜΕΝ*, μὴ μαχόμενοι. Fl. 21. τὴν ζωὴν ἀγαπήσομεν, (φιλοζωήσομεν, δειλιάσομεν, δειλανδρήσομεν). Fl.

V. 313. *ΚΑΤΘΑΝΟΝΘ'*, τὸν φονευθέντα. τὸ κατθανεῖν ἐπὶ βιαίου θανάτου λέγεται, ὡς τὸ ἐκθανεῖν καὶ ἐξέθανε παρ' Ἀττικοῖς. Gu. *ΚΑΤΘΑΝΟΝΘ'*, τὸν τεθανατωμένον ὁρῶντες. Fl. 33. *ΤΙΜΩΜΕΝΟΝ*, οὐ τιμὴν λαμβάνοντα. Fl. 17. καὶ οὐ διὰ τιμῆς ἔχοντα. Fl. 59.

V. 314. *ΚΑΘ' ΗΜΕΡΑΝ*, κατὰ τὴν ζωήν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ἑκάστην, (τὴν παροῦσαν. Σωκρατικὸς καὶ οὗτος ὢν, καὶ τὴν ψυχὴν νομίζων καὶ μετὰ τὸν θάνατον ἐν τῷ ᾅδῃ ζῆν, διαστέλλων ἐκείνης τῆς ζωῆς ταῦτα φησίν· ζῶντι καθ' ἡμέραν, ἤγουν κατὰ ταύτην τὴν ἡμέραν, ἣν ὁ ἥλιος ποιεῖ, ἀντὶ τοῦ ἐν τούτῳ τῷ τόπῳ, ἔνθα ἡ ἡμέρα καὶ ὁ ἥλιος, καὶ οὐκ ἐν τῷ ᾅδῃ δηλονότι.) Gu.

V. 315. *ΕΧΟΙΜΙ*, ἔχω. Fl. 59. *ΚΕΙ ΣΜΙΚΡ' ΕΧ.* ἤγουν μικρὰν καὶ ὀλίγην τιμὴν ἔχω. Gu. *ΑΡΚΟΥΝΤΩΣ*, ἀρκετῶς, ἱκανῶς. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΧΟΙ*, διακέοιντο. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὅτι καθ' ἡμέραν καίπερ μικρὸν προστιθεὶς αὐξάνω τὴν δόξαν μου. Fl. 10.

V. 316. *ΑΞΙΟΥΜΕΝΟΝ*, ἔνδοξον. Fl. 6. 9. 17. 21. 56. 76. ἄξιον τιμῆς νομιζόμενον. Fl. 10. 59. τιμώμενον, ἔνδοξον. Gu. τὸ ἂν πρὸς τὸ ὁρᾶσθαι σύναπτε, οὐ πρὸς τὶ βουλοίμην. Gu.

V. 317. *ΟΡΑΣΘΑΙ*, κατανοεῖν. Fl. 59. φαίνεσθαι. Fl. 21. *ΔΙΑ ΜΑΚΡΟΥ*, πολυχρόνιος. Fl. 59. *ΧΑΡΙΣ*, δόξα. Fl. 59. ἐπὶ πολὺν γὰρ χρόνον μένει ἡ δόξα. Fl. 21.

V. 318—324. *ΕΙ Δ' ΟΙΚΤΡΑ ΠΑΣΧΕΙΝ*. εἰ δὲ λέγεις πάσχειν ἐλεεινὰ, ἀντάκουε εἴ μου [2]) τάδε· ὑπάρ-

2) Barn. Musgr. ἐκ μου. Equidem εἰ delendum puto.

χουσι παρ᾽ ἡμῖν γραῖαι γυναῖκες, οὐχ ἧσσον ἐλεεινότεραί σου [3]), καὶ νύμφαι στερόμεναι τῶν νυμφίων, οὓς ἡ Τρωϊκὴ γῆ καλύπτει. ὑπόμενε ταῦτα. ἡμεῖς δὲ εἰ κακῶς νόμους τιθέαμεν δοξάζειν τὸν ἀνδρεῖον, μωρίαν χρεωστήσομεν.

V. 318. *ΕΙ Δ'.* ἀντίθεσις ἐλέους ἀξία. Fl. 59. ἐὰν δὲ ἐλεεινὰ ὑπομένειν λέγεις, τάδε κἀμοῦ ἄκουσον. Fl. 33. *ΑΝΤΑΚΟΥΕ ΜΟΥ*, ἀποκρινομένου ἄκουέ μου [4]). Baroc. 74. Gu.

V. 319. *ΗΜΙΝ*, ἐν τῇ Ἑλλάδι δηλονότι. Fl. 10. 59. Ἕλλησι. Fl. 21. *ΟΥΔΕΝ ΗΣΣΟΝ*, μᾶλλον. Fl. 6. 9. 17. 21. 76. ἀλλὰ μᾶλλον. μᾶλλον καὶ ἔλαττον. Fl. 56. *ΑΘΛΙΑΙ*, ἐλεειναί. Fl. 59. εἰσὶ γὰρ καὶ παρ᾽ ἡμῖν τοῖς Ἕλλησιν, οὐδὲ ἐλείποντο τῆς ἀθλιωτάτης σου γυναῖκες γραῖαι ταλαιπωρούμεναι, γυναῖκες ἀρίστων ἀνδρῶν καὶ στερισκόμεναι τῶν ἰδίων ἀνδρῶν. Fl. 33.

V. 320. *ΓΡΑΙΑΙ.* ἀπὸ τοῦ ῥῶ, τὸ φθείρω, ῥέα καὶ γραῖα ἡ διεφθαρμένη ὑπὸ μακρῶν χρόνων. τὸ γὰρ ῥῶ πέντε σημαίνει. ῥῶ τὸ λέγω, ἐξ οὗ καὶ ῥῆμα καὶ ῥήτωρ· ῥῶ τὸ ὑγιαίνω, ἐξ οὗ καὶ ῥῶσις, ἡ ὑγίεια· ῥῶ τὸ πράττω, ἐξ οὗ καὶ ῥέζειν τὸ πράττειν· καὶ ῥῶ τὸ χέω, καὶ ῥέω, ἐξ οὗ ἔρεθρον (ῥέεθρον) καὶ ῥεῖθρον, καὶ ἐπὶ τοῦ ἄλλως σημαινομένου. Fl. 6. *ΗΔΕ*, καί. Fl. 56. 76. Gu. ἀλλά. Fl. 10. *ΠΡΕΣΒΥΤΑΙ* ἀντὶ τοῦ πρεσβύτεραι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. οὐχ, ὡς δοκοῦσι τινὲς, συγκριτικὸν ὂν πρεσβύτεραι κατὰ συγκοπὴν πρεσβύται γέγονεν, ἐθέλοντες συντάξαι τὸ σέθεν, ἀλλὰ τὸ πρεσβύται ἀντὶ τοῦ γέροντές ἐστι διὰ μέσου, τὸ δὲ σέθεν πρὸς τὸ ὄπισθεν ἧσσον συντάσσεται, ἵν᾽ οὕτως ἔχῃ· εἰσὶ παρ᾽ ἡμῖν γραῖαι γυναῖκες ἄθλιαι οὐχ ἧσσον σέθεν καὶ [5]) σοῦ, καὶ γέροντες καὶ τὰ ἑξῆς.

V. 321. *ΝΥΜΦΑΙ.* νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη, ἥτις ποιητικῶς νυὸς λέγεται. νύμφαι καὶ τὰ τῶν πηγῶν ὕδατα καὶ οἱ [6]) ἔφοροι τούτων δαίμονες παρ᾽ Ἕλ-

3) Musgr. inseruit καὶ πρεσβύται.

4) Gu. ἀποκρ. μου ἄκουσον.

5) σέθεν καὶ e Guelph. recepi.

6) Guelph. αἱ.

λησιν· ἐνταῦθα δὲ νύμφαι ἁπλῶς αἱ ἄνδρας ἔχουσαι γυναῖκες [7]). Καὶ νύμφιος ὁμοίως ὁ ἄρτι εἰς γάμον ἐρχόμενος, ἐνταῦθα δὲ νυμφίων [8]) ἀντὶ τοῦ [9]) ἀνδρῶν ἁπλῶς γυναῖκας ἐχόντων. *ΝΥΜΦΑΙ*, ἀντὶ τοῦ γυναῖκες. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *ΑΡΙΣΤΩΝ*, μεγάλων. Fl. 59. *ΝΥΜΦΙΩΝ*, ἀνδρῶν. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΤΗΤΩΜΕΝΑΙ* ἀντὶ τοῦ ἐστερημέναι. Fl. 6. 9. 21. 56. 59. 76. Gu. στερισκόμεναι. Fl. 17. Gu. στερηθεῖσαι. Fl. 10.

V. 322. *ΩΝ*, ἀφ᾽ ὧν. Fl. 59. νυμφίων, ἀνδρῶν. Fl. 10. 21. *ΗΔΕ*, αὕτη. Fl. 59. *ΚΕΥΘΕΙ*, κατέχει. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. κρύπτει. Gu. *ΙΔΑΙΑ.* ἡ Ἴδα ὄρος ἐν Τροίᾳ. Fl. 21. ὧντινων αὕτη ἡ Ἰδαία, ἤγουν ἡ Τρωϊκὴ κόνις, τὰ σώματα κρύπτει ἐν τάφοις. Fl. 33.

V. 323 sq. *ΤΟΛΜΑ.* ὑπόμενε, φησί, ταῦτα. ἡμεῖς δὲ ἐὰν οἰόμεθα κακῶς δοξάζειν τοὺς ἀγαθοὺς, ἀμαθεῖς δόξομεν [10]).

V. 323. *ΤΟΛΜΑ*, καρτέρει. Fl. 10. 21. 59. Gu. φέρε. Fl. 59. ὑπόμενε. Gu. *ΚΑΚΩΣ*, ἤγουν οὐκ ὀρθῶς. *ΝΟΜΙΖΟΜΕΝ*, ἤγουν νόμους τίθεμεν καὶ νομικῶς κρίνομεν νομίζοντες δηλονότι. Fl. 6. 9. 21. 59. λογιζόμεθα ἢ νόμιμον ἡγούμεθα, ὑπολαμβάνομεν, νομοθετοῦμεν. Gu.

V. 324. *ΑΜΑΘΙΑΝ ΟΦΛ.* ἀπαιδευσίαν λάβομεν. Fl. 59. ἐν ἀμαθίᾳ συγχωρήσομεν, ἐάσομεν. Fl. 10. μὴ τιμᾶν τὸν ἔνδοξον Ἀχιλλέα, ἀγνωσία ἐστὶ ἀλλὰ χρεώστημα. Fl. 33. μωρίαν. ἀσύνετοι λογισθησόμεθα. Gu.

V. 325—328. *ΟΙ ΒΑΡΒΑΡΟΙ ΔΕ.* ὑμεῖς δὲ, οἱ βάρβαροι, μήτε τοὺς φίλους ὑπολαμβάνετε φίλους, μήτε

7) Sic Junt. Basil. Guelph. nisi quod hic αἱ omittit. In Barn. King. et Musgr. γυναῖκες deest. Seqq. desunt in Junt. Basil. sed exstant etiam in Mosq. D. et Guelph.

8) Mosq. D. νύμφαι, pro quo Beck conii. νυμφίοι.

9) ἀντὶ τῶν ἀ. Mosq. D. Guelph.

10) Deest hoc scholion in King. Musgr. In Basil. ad v. 325 adscriptum est.

τοὺς ἐνδόξως καὶ καλῶς ἀποθανόντας τιμᾶτε. καὶ διὰ
τοῦτο ἡ μὲν Ἑλλὰς εὐδαιμονεῖ, (ταῖς γὰρ καλαῖς βουλαῖς
ἔργα καλὰ ἕπονται·) ὑμεῖς δὲ διάκεισθε κατὰ τὰ βουλεύ-
ματα ὑμῶν.

V. 325 sq. *ΟΙ ΒΑΡΒΑΡΟΙ.* ὑμεῖς δὲ οἱ Τρωαδί-
ται οὐχ ἡγεῖσθε τοῦτο, οὔτε εἰς τοὺς φίλους, οὔτε εἰς τοὺς
καλῶς τεθνηκότας. Fl. 33.

V. 326. *ΗΓΕΙΣΘΕ.* τὸ ἡγοῦμαι τρία σημαίνει, τὸ
νομίζω καὶ ὑπολαμβάνω, καὶ τὸ προοδοποιῶ, ὡς τὸ ἡγοῦ
μοι, γέρον, καὶ τὸ ἄρχω καὶ ἐξουσιάζω, ὅθεν καὶ ἡ-
γούμενος ὁ ἄρχων. C. C. C. *ΗΓΕΙΣΘΕ*, προςτακτικόν.
Fl. 21. νομίζετε. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.
τιμᾶσθε. Fl. 10. *ΚΑΛΩΣ*, ἐπαινετῶς. Fl. 56. χρησί-
μως, ἀνδρείως, ἐνδόξως. Gu. τεθνηκότας, ὑπὲρ ὑμῶν δη-
λονότι. Fl. 21. ἀνῃρημένους. Fl. 10.

V. 327. *ΘΑΥΜΑΖΕΘ'.* θαυμάζω τὸ ἐκπλήττομαι
καὶ τὸ ἐπαινῶ, ὡς ἐνταῦθα. Fl. 6. *ΘΑΥΜΑΖΕΘ'*, τι-
μᾶτε. Gu. *ΩΣ*, ἵνα. Fl. 9. 10. 21. 56. 59. 76. *ἙΛ-
ΛΑΣ*, ἡ γῆ τῶν Ἑλλήνων. Fl. 17. *ΕΥΤΥΧΗι*, κατὰ τοῦ-
το. Fl. 10. κατὰ τοῦτο, καὶ τοὺς βοηθοῦντας αὐτῇ ἔχῃ
πολλούς. Gu.

V. 328. *ΥΜΕΙΣ*, ἤγουν οἱ βάρβαροι. Fl. 59. *ΟΜΟΙΑ
ΤΟΙΣ ΒΟΥΛΕΥΜΑΣΙΝ*, ἤγουν δυςτυχῆτε· τῶν γὰρ
κακῶν βουλῶν τοιαῦτα καὶ τὰ ἔργα ἀπαντᾷ· οἱονεὶ τῷ
καταφρονῆσαι τῆς τιμῆς τῶν ἀρίστων ὁμοίαν ἕξετε ἀντά-
μειψιν [1]). Baroc. 74. Gu. *ΟΜΟΙΑ*, ὁμοίως. Fl. 59.
τὴν τύχην. Fl. 10. *ΒΟΥΛΕΥΜΑΣΙΝ*, ὑμῶν δηλονότι,
ἤγουν κακῶς πράξετε. Fl. 21.

V. 329. *ΑΙ ΑΙ ΤΟ ΔΟΥΛΟΝ.* ὅμοιον τῷ παρὰ
Σοφοκλεῖ, (Oed. T. 1368.) κρείσσων γὰρ ἦσθα μη-
κέτ' ὢν ἢ ζῶν τυφλός. ὥςπερ γὰρ ἐκεῖ, ὀφείλων
θεῖναι τὸ κρεῖττον ἐπὶ τοῦ ῥήματος, ἵν' ᾖ, κρεῖττον ἦν

1) Ultima οἱονεὶ etc. e Guelph. accesserunt. Ex eodem δυςτυ-
χῆτε pro δυςτυχεῖτε recepi.

μηκέτι εἶναι [2]) σὲ ἢ ζῆν τυφλὸν, ὁ δὲ τίθησιν ἐπὶ τοῦ
ὀνόματος, οὕτω κἀνταῦθα, ὀφείλων τάξαι τὸ πάνυ κακὸν
ἐπὶ τοῦ πεφυκέναι, ὁ δὲ τίθησιν ἐπὶ τοῦ ὀνόματος, καὶ
φησὶ τὸ δοῦλον πάνυ κακὸν, εἶτα ἐπάγει πεφυκέναι, ἤγουν
ὥςτε εἰς ὕπαρξιν ἐλθεῖν· δι' οὗ ὥςπερ ἐπανορθοῖ τὸν λό-
γον, ἵνα δείξῃ τὸ ὑπὸ τῆς δουλείας κακὸν εἰς ὕπαρξιν ἐλ-
θεῖν [3]), οὐ μέντοι γε κακὸν κατὰ τὴν ἑαυτοῦ φύσιν. γρά-
φεται καὶ πέφυκ' ἀεὶ, τὸ δοῦλον λίαν πέφυκε κακὸν ἀεί.
Ἄλλως. τὸ γενέσθαι τινὰ δοῦλον λίαν κακόν ἐστιν·
ὑπομένει γὰρ, ἃ μὴ πρέπει, ὁ ἄνθρωπος ἐκεῖνος ὑπὸ τῆς
ἀνάγκης νικώμενος. *ΠΕΦΥΚΕΝΑΙ.* τὸ πέφυκ' ἀεὶ
ἔν τινι λίαν παλαιῷ τῶν ἀντιγράφων εὕρηται, ὃ καὶ μά-
λιστα κρεῖττον εἶναί μοι δοκεῖ τοῦ τε πεφυκέναι καὶ
τοῦ πέφυκεν ἀεὶ καὶ ἔτι τοῦ πέφυκέ τι, ὃ πλανώ-
μενοί τινες ἔθεντο. Baroc. 74. *ΠΕΦΥΚ'*, ὥςτε εἰς ὕπαρ-
ξιν ἐλθεῖν. Fl. 6. 9. 21. 56. 59. 76. οὐαὶ οὐαὶ τῆς δου-
λοσύνης, ὅτι κακὸν ὑπάρχει. Fl. 33. *ΠΕΦΥΚΕΝΑΙ.*
εὕρηται καὶ πέφυκ' ἀεί. καὶ ἔστι καὶ τοῦτο χρήσιμον, ὥς-
περ καὶ τὸ πέφυκέ τι. εὕρηται γὰρ καὶ τοῦτο. Gu.

V. 330. *ΤΟΛΜΑι*, πράττει, ὑπομένει τὰ ἀνοίπιστα
(ἀνύποιστα). Fl. 59. *ΤΟΛΜΑι Θ'*, ὑπομένει τοι. Gu.
Α ΜΗ ΧΡΗ, τολμᾶσθαι. Fl. 21. τὰ μὴ πρέποντα, τὰ
ἀνύποιστα. Gu. *ΒΙΑι*, ὑπὸ βίας. Fl. 6. 9. 21. 56. 76.
ὑπὸ τῶν δυνατῶν. Gu. *ΝΙΚΩΜΕΝΟΝ*, ἀναγκαζόμενον.
Fl. 10. θαῤῥεῖ γὰρ εἰς ἅπερ μὴ πρέπει. Fl. 33. κρα-
τούμενον καὶ ἀναγκαζόμενον ὑπὸ τῆς τῶν δεσποτῶν βίας.
Gu.

V. 331—338. *Ω ΘΥΓΑΤΕΡ.* οἱ ἐμοὶ μὲν λόγοι οἱ
περὶ τοῦ σοῦ φόνου φροῦδοι καὶ ἀφανεῖς εἰσὶ, ῥιφθέντες

2) Sic Guelph. Aug. C. ap. Herm. Praef. p. X. Vulgo ἵν' ᾖ
κρεῖττον μὴ εἶναι σέ.

3) Verba δι' οὗ — ἐλθεῖν sunt etiam in Guelph. Aug. C. ap.
Herm. Praef. p. X. sq. et Mosqu. D. in hoc tamen pro ὥςπερ est
οὕτως, et ἵνα δηλοῖ pro ἵνα δείξῃ, tum τὸ ὑπὸ δουλείαν κακόν.
Aug. pro δ' οὗ legit διὸ et τῆς ante δουλείας omittit. In Basil.
exciderunt illa; ibidem est οὐ μέν τινες κακόν. In Junt. οὐ μὲν
τοινες. Contra King. et Musgr. omiserunt prius ἤγουν εἰς ὕπ. ἐλθ.
et quae sequuntur: γράφεται καί etc.

πρὸς τὸν ἀέρα· σὺ δὲ εἰ ἔχεις δύναμιν μείζονά τι καὶ κατά τι, παρὸ ἡ μήτηρ, σπούδαζε ὡς στόμα ἀηδόνος, ἀφιεῖσα πάσας φθογγὰς, ὥστε μὴ στερηθῆναι τῆς ζωῆς. πίπτε δὲ ἐλεεινῶς πρὸς τὸ γόνυ τοῦδε τοῦ Ὀδυσσέως, καὶ πεῖθε, ἤτοι πειρῶ πείθειν· ἔχεις δὲ πρόφασιν καὶ ἀφορμήν· ἔστι γὰρ καὶ τῷδε τέκνα, ὥςτε οἰκτεῖραι καὶ ἐλεῆσαι τὴν σὴν τύχην καὶ δυςτυχίαν.

V. 331. *ΟΙΜΟΙ*, οἱ ἐμοί· ἔκλειψις καὶ κράσις. Fl. 59. ὦ τέκνον, οἱ ἐμοὶ μὲν λόγοι πρὸς αἰθέρα ἠφανίσθησαν καὶ εἰς μάτην περὶ τοῦ σοῦ φόνου. Fl. 5[illegible]. τὸ *ΠΡΟΣ ΑΙΘΕΡΑ* πρὸς τὸ μάτην ῥιφέντες σύναπτε. Gu.

V. 332. *ΦΡΟΥΔΟΙ*. φροῦδος ὁ παρεληλυθὼς καὶ παρελθών· πρόοδος γάρ τίς ἐστι καὶ προῦδος καὶ φροῦδος. C. C. C. *ΦΡΟΥΔΟΙ*, ἀπῆλθον. Fl. 59. φροῦδος οἰκείως ὁ παρεληλυθὼς καὶ προαπελθὼν τῆς ὁδοῦ. Fl. 10. ἀφανεῖς εἰσίν, (κατ' οὐδὲν ἀνύσαι δύνανται). Gu. *ΜΑΤΗΝ*, διακενῆς. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ματαίως, εὐχερῶς. Fl. 17. *ΡΙΦΕΝΤΕΣ*, ἐκτοξευθέντες, ἀπὸ μεταφορᾶς τῶν βελῶν τῶν τοῦ σκοποῦ ἁμαρτόντων. Gu. *ΑΜΦΙ ΣΟΥ ΦΟΝΟΥ*, περὶ τοῦ σοῦ φόνου, ὃν ἐτάχθης σὺ δηλονότι φονευθήσεσθαι· φόνος γάρ τινος λέγεται, ἢ ὃν αὐτὸς φονεύει ἕτερον, ἢ ὃν αὐτὸς ὑφ' ἑτέρου φονεύεται.

V. 333. *ΜΕΙΖΩ*, τινά. Fl. 10. διὰ τὸ τῆς ἡλικίας ἀκμάζον. Gu. *ΕΧΕΙΣ*, κέκτησαι. Fl. 17. σὺ δὲ ἐάν τι ἔχεις δύναμιν λόγων. Fl. 33.

V. 334. *ΣΠΟΥΔΑΖΕ*, ἀγωνίζου, ἐπιμελοῦ. Fl. 17. 59. μελέτα. Fl. 56. σπεῦδε καθὼς στόμα εὐλάλου ἀηδόνος. Fl. 33. ἀγωνίζου, ἤγουν ἀγωνιστικῶς καὶ σπουδαίως λέγε. Gu. *ΠΑΣΑΣ* καὶ παντοίας, ἤγουν ἡδείας καὶ συνεχεῖς θρηνῳδίας. θρηνεῖ γὰρ αὕτη τὸν Ἴτυν. τοιαύτη γὰρ τῆς ἀηδόνος ἐστὶ φωνὴ, πυκνὴ, συνεχὴς, ἡδεῖά τε καὶ παμποίκιλος, πρὸς τούτοις καὶ κλαυθμηρά. Gu. *ΩΣΤ'*, καθά. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὅ τε παρέλκει. Fl. 21.

V. 335. *ΦΘΟΓΓΑΣ*, λαλίας. Fl. 59. λόγους. Fl. 56. *ΙΕΙΣΑ*, πέμπουσα. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ἀφιεῖσα. Gu. καὶ φθογγὰς λόγων πέμπε, μὴ στερηθεῖσα τοῦ βίου. Fl. 33.

V. 336. *ΠΡΟΣΠΙΠΤΕ*, παρακάλει. Fl. 17. πρὸς τὸ γόνυ τοῦ Ὀδυσσέως τοῦδε προςελθοῦσα πίπτε *ΟΙΚΤΡΩΣ* ἤγουν ἐλεεινῶς. Fl. 6. 9. 21. 56. 59. 76. Gu. πρόςπεσον ἐλεεινῶς ἐπὶ τοῖς γόνασι, ὡς ὑπολαμβάνῃ πεισθῆναί σοι. Fl. 33. πρόςπιπτε δὲ τῷ γόνυϊ, καὶ κατὰ ἀποκοπὴν γόνυ· τὸ γὰρ προςπίπτω δοτικῇ συντάσσεται. Gu. *ΤΟΥΔ' ΟΔΥΣΣΕΩΣ ΓΟΝΥ*. [4]) οἱ παλαιοὶ ἱκετεύοντες ἐδράττοντο τῆς γενειάδος καὶ τῆς χειρὸς καὶ τοῦ γόνυος [5])· τῆς μὲν γενειάδος, ὡς κατανεῦσαι, ἢ εἰπεῖν τι πρὸς ἄλλον [6]) ὑπὲρ τοῦ δεομένου, εἴγε δεήσει τοῦτο ποιεῖν, τῆς δὲ χειρὸς, ὡς ἐνεργῆσαι, τοῦ δὲ ποδὸς, ὡς βαδίσαι.

V. 337. *ΠΕΙΘ'*, πειρῶ πείθειν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. *ΕΧΕΙΣ ΔΕ ΠΡΟΦΑΣΙΝ*. πρόφασις κυρίως ὁ προτεινόμενος εὐπρόςωπος λόγος ἐπὶ κατηγορίᾳ τινὶ, ἀπὸ [7]) τούτου ἁπλῶς καὶ ἡ αἰτία. *ΠΡΟΦΑΣΙΝ*, αἰτίαν. Fl. 17. ἀφορμὴν τοῦ πείθειν. Gu.

V. 338. *ΤΩιΔΕ*, τῷ Ὀδυσσεῖ δηλονότι. Fl. 17. 21. 56. ὑπάρχουσι γὰρ καὶ τούτῳ τέκνα, ὥστ' ἐλεήσει σου τὴν ἡλικίαν. Fl. 33. εἰσὶ γὰρ καὶ αὐτῷ τέκνα, καὶ πτοηθήσεται, μὴ τὴν νεαρὰν ἡλικίαν ἀνοικτὶ φονευθέντα τῆς ὁμοίας ἐγκύρσωσιν. Gu. *ΤΥΧΗΝ*, ἀτυχίαν. Fl. 10. Gu. ἤγουν σὲ τὴν δυςτυχῆ καὶ αἰχμάλωτον. Gu.

V. 339—341. *ΟΡΩ*. ὁρῶ σε, Ὀδυσσεῦ, κρύπτοντα τὴν δεξιὰν χεῖρα ὑποκάτω τοῦ ἱματίου, καὶ τὸ πρόςωπον στρέφοντα εἰς τοὐπίσω, ἵνα μὴ ἅψωμαι τῆς γενειάδος σου.

V. 339. *ΟΡΩ Σ' ΟΔΥΣΣΕΥ*. ὁρῶ ἐπὶ σώματος, θεωρῶ ἐπὶ ψυχῆς. δηλοῖ δὲ δύο, τὸ τὰ θεῖα ὁρῶ καὶ τὸ σκέπτομαι [8]). Ἐνταῦθα ἐφύλαξεν ὁ Εὐριπίδης τὸ ἡρωϊκὸν ἦθος· οὐ γὰρ ταπεινῶς, ἀλλὰ μετὰ παῤῥησίας τὴν

4) In Guelph. hoc scholion adscriptum est ad v. 340.

5) Sic Junt. Basil. Guelph. γόνους Barn. King. Musgr.

6) Male King. Musgr. ἄλληλον.

7) Guelph. κατηγ. τινὸς, καὶ ἀπὸ τ.

8) Sqq. in Guelph. ab alia m. scripta sunt ad v. 342.

Πολυξένην λέγειν εἰσήνεγκεν [9]). *ΥΦ' ΕΙΜΑΤΟΣ*, ἀντὶ τοῦ ὑποκάτω τοῦ ἱματίου. Gu. bis.

V. 341. *ΠΡΟΣΘΙΓΩ*, προςψαύσω. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἱκετεύω σε. Fl. 10. ἱκετεύσω. Gu. μήποτε προςεγγίσω σου ἢ κατὰ πρόςωπόν σε ἴδω. Fl. 33.

V. 342. *ΘΑΡΣΕΙ*, ἤτοι ἄφοβος ἔσο, ἐκπέφευγας τὴν ἐμὴν ἱκεσίαν. Οἱ ἱκετεύοντες ἱκέσιον Δία προέτεινον [10]), οἱ δὲ συνοικοῦντες ἐφέστιον, οἱ δὲ φίλοι φίλιον, οἱ δ' ἐν μιᾷ τάξει καὶ συμμορίᾳ καταλεγόμενοι ἑταιρεῖον, οἱ δὲ ξένοι ξένιον, οἱ δ' ἐν ὅρκοις συμφωνίας ποιοῦντες ὅρκιον, οἱ δὲ ἀδελφοὶ ὁμόγνιον [1]). φησὶν οὖν ἐκπέφευγας τὸν ἐμὸν Ἱκέσιον Δία, ἤγουν ὃν ἐγὼ ἔμελλον προτείνειν ἱκετεύουσα, τουτέστιν ἐκπέφευγας την ἐμὴν ἱκεσίαν. *ΘΑΡΣΕΙ*, θαῤῥει. Fl. 21. μὴ φρόντιζε. Fl. 56. οὐχ ἱκετεύω γάρ σε τὴν δέησιν τὴν ἔχουσαν τὸ τῆς δίκης νόημα. Fl. 17. *ΠΕΦΕΥΓΑΣ*, ἐπεί. Fl. *ΕΜΟΝ*, παρ' ἐμοῦ τοῦτο τυχεῖν. Fl. 10. χαῖρε ὅτι τὸν ἐμὸν παρακλήτορα Δία πέφευγας, ἡνίκα ἦς ἐν τῇ Τροίᾳ. Fl. 33. ἦν γὰρ καὶ ἕτερος Ζεὺς εὔφορος (ἔφορος) τῆς ἱκεσίας. λέγει δὲ ἡ Πολυξένη, ὅτι πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία, ἤγουν οὐχ ἱκετεύσω σε περὶ τοῦ θανάτου, ἀλλὰ γενέως (γενναίως) ἄξω. Fl. 21. *ΤΟΝ ΕΜΟΝ ΙΚ. ΔΙΑ*, τὴν ἐμὴν ἱκεσίαν. (ὃν ἐβουλόμην θέσθαι σοι εἰς παράκλησιν· ὡς ἔστιν ὁ Ζεὺς ξένιος, φίλιος καὶ τὰ λοιπά. οὕτω καὶ ἱκέσιος.) Gu.

V. 343—351. *ΩΣ ΕΨΟΜΑΙ ΣΟΙ.* ὅτι ἀκολουθήσω σοι, καὶ χάριν τοῦ ἀπαραιτήτου, καὶ θέλουσα ἀποθανεῖν· εἰ δὲ μὴ θελήσω, φανοῦμαι γυνὴ δειλὴ καὶ φιλόζωος. κατὰ τί γάρ με πρέπει ζῆν, ἥτινι πατὴρ μὲν ἦν ἄναξ πάντων τῶν Φρυγῶν καὶ Τρώων· — τοῦτο πρῶτον

9) Quae hic vulgo sequuntur, cum Guelph. ad v. 346 retuli.

10) Sqq. οἱ δὲ συνοικ. — ὁμόγνιον desunt in Guelph.

1) Verba φησὶν — ἱκεσίαν desunt in Junt. Basil. addidit King. exstant etiam in Guelph. ex quo φησὶν pro vulg. φῆ, Δία ἤγουν ὃν pro διὰ ὃν et ἐκπέφευγας pro ἐκπέφυγας recepi.

καὶ ἐξαίρετον ἐμοὶ τοῦ βίου καὶ τῆς ζωῆς· — ἔπειτα ἀνετράφην ὑπὸ καλῶν ἐλπίδων, βασιλεῦσι νύμφη, ἐσομένη δηλονότι, ἔχουσα ζῆλον γάμου οὐ μικρὸν, εἰς οὗτινος ἑστίαν καὶ οἰκίαν παραγενήσομαι. *ΩΣ*, ὄντως. Fl. 17. λίαν. Fl. 10. *ΑΝΑΓΚΑΙΟΥ*, ἕνεκα τῶν ἀναγκῶν. Fl. 17. ἤγουν ἕνεκεν τῆς ἀνάγκης. Fl. 59. ἀπαραιτήτου· ἀπαραίτητος γάρ ἐστιν ἡ τῶν Ἑλλήνων κατ' ἐμοῦ ψῆφος. Gu.

V. 344. *ΘΑΝΕΙΝ ΤΕ ΧΡΗιΖΟΥΣ'*, ὡς λυτρωθῆναι σπουδάζουσα τῆς τυραννικῆς δουλείας τὴν κάκωσιν. Gu. *ΒΟΥΛΗΣΟΜΑΙ*, καὶ βουληθῶ ζῆν. Fl. 59. τοῦτο ποιῆσαι δηλονότι. Fl. 21. ὅτι ἐπακολουθήσω σὲ, καὶ δι' αὐτὸ τὸ ἀναγκαῖον, καὶ ὅτι βούλομαι ἀπολέσθαι. καὶ ἄλλως. ἕνεκα τῆς ἀνάγκης ἀκολουθήσω σοι, καὶ ὅτι ἀποθανεῖν βούλομαι, ἐπεὶ προτιμότερον ἐστὶ τοῦ ζῆν κακῶς. Fl. 10.

V. 345. *ΦΑΝΟΥΜΑΙ*, φανήσομαι. Fl. 21. 59. *ΦΙΛΟΨΥΧΟΣ*, φιλόζωος (δειλή). Gu.

V. 346. *ΔΕΙ*, τί με χρὴ ζῆν. Fl. 33. *Ηι*, καὶ ὅπου. Fl. 17. ἐμοί. Fl. 21. *ΗΝ*, ὑπῆρχε. Fl. 17. *ΑΝΑΞ*, βασιλεύς. Fl. 17. 21. [2]) ὅρα, ὅπως ὁ ποιητὴς εἰς τὸν κανόνα τῆς ἠθοποιΐας τῷ μὲν παρεληλυθότι χρόνῳ χρῆται ἐν τῷ λέγειν, ᾗ πατὴρ μὲν ἦν ἄναξ, τῷ δὲ ἐνεστῶτι ἐν τῷ [3]) νῦν δ' εἰμὶ δούλη, τῷ δὲ μέλλοντι, ὅταν λέγῃ, ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας τύχοιμ' ἄν, καὶ τὰ λοιπά.

V. 347. *ΑΠΑΝΤΩΝ*, ὅλων. Fl. 17. *ΠΡΩΤΟΝ*, τὸ κεφάλαιον. Fl. 10. 21. Gu. ἐπὶ ἀριθμήσεως. Fl. 6. 9. 21. 56. 59. 76. Gu. a m. pr. πρῶτον τριχῶς, ἢ κατὰ τὸ ἀξίωμα, ἢ κατὰ τάξιν, ἢ κατ' ἀπαριθμήσεως. Gu.

V. 348. *ΕΛΠΙΔΩΝ*, τοῦ γενέσθαι νύμφη βασιλέως. Fl. 17.

V. 349. *ΖΗΛΟΝ*, ἤγουν ζηλοτυπίαν οὐ σμικρὰν καὶ ἐλπίδα. Fl. 6. 9. 21. 56. 59. 76. ἔπαινον, μακαρισμόν. Fl. 10. ἔριν τιθεῖσα βασιλεῦσι πρὸς ποῖον ἀφίξομαι. Fl. 10.

2) vid. ad v. 339.

3) ἐν τῷ est e cod. Guelph.

V. 350. *ΕΣΤΙΑΝ Τ'*, καὶ εἰς τὴν θεάν. Fl. 21. ἔχουσα οἰκίαν καὶ πόλιν πεπαῤῥησιασμένην βασιλὶς ἡ ταλαίπωρος ταῖς Τρωϊκαῖς γυναιξὶν ἤμην. Fl. 33. νυμφῶνα. δῶμα τὸ ὅλον, ἑστία μέρος. ἀπὸ τοῦ εὑρεθῆναι ἀπό τινος γυναικὸς καλουμένης Ἑστίας. Gu.

V. 351—353. *ΔΕΣΠΟΙΝΑ Δ'*. ὑπῆρχον δὲ ἡ δύστηνος δέσποινα ἐν ταῖς Ἰδαίαις γυναιξὶν, ἐν παρθένοις τε περιφανὴς, ἰσότιμος τοῖς θεοῖς, πλὴν κατὰ τὸ θανεῖν μόνον.

V. 351. *ΙΔΑΙΑΙΣΙΝ*, Ἰδαιῶν. Fl. 6. 9. 21. 56. 59. 76. Τρωϊκῆς. Fl. 17. Τρωαῖσι. Fl. 21.

V. 352. *ΓΥΝΑΙΞΙ*, γυναικῶν. Fl. 6. 9. 21. 56. 76. *ΑΠΟΒΛΕΠΤΟΣ*, ἤγουν ἐξαίρετος διὰ τὸ κάλλος, καὶ τὰς ἁπάντων εἰς ἑαυτὴν πόῤῥωθεν ἐπιστρέφουσα ὄψεις. Baroc. 74. Gu. a m. sec. περιφανής. Gu. a m. pr. Fl. 33. περίβλεπτος, εὐδαίμων, ἔνδοξος. Gu. ab al. m. Fl. 17. 21. 59.

V. 353. *ΠΛΗΝ ΤΟ ΚΑΤΘΑΝΕΙΝ*. μὴ λάβῃς [4]) κατὰ ἔξωθεν εἰς τὸ πλὴν τὸ κατθ. ἀλλ' ὥςπερ φαμὲν, ἴσος ἐστὶν οὗτος ἐκείνῳ τὴν σύνεσιν, καὶ οὐ λαμβάνομεν ἔξωθεν τὸ κατά, καὶ πάλιν ἐρῶ σου ἔρωτα, οὕτω κἀνταῦθα, εἰ καὶ τὸ πλὴν ἀντὶ τοῦ χωρὶς ποιεῖ τὴν ἀσάφειαν, ἴση ταῖς θεαῖς, πλὴν τὸ κατθανεῖν μόνον, ἀντὶ τοῦ χωρὶς τοῦ κατθανεῖν ὑπάρχω ἐκείναις ἴση. ἄλλοι δὲ μὴ λαμβάνοντες κατὰ γράφουσι τοῦτο πρὸς τὸ πλὴν, ἀγνοοῦντες καὶ οὗτοι τὴν σύνταξιν. καὶ μὲν ἑτέρους ψυχρολόγους ἐστὶν ἰδεῖν, τὸ πλὴν ἀντὶ τοῦ εἰ μὴ λέγοντας, ἴση ταῖς θεαῖς, εἰ μὴ τὸ κατθανεῖν μόνον ὑπῆρχεν αὐτῇ. *ΠΛΗΝ*, χωρίς. Fl. 59. Gu. *ΚΑΤΘΑΝΕΙΝ*, τοῦ θανάτου δηλονότι. Fl. 17. ἐγὼ γὰρ ἦν θνητὴ, οἱ δὲ θεοὶ οὔ. Fl. 21. *ΠΛΗΝ ΤΟ ΚΑΤΘ.* οὐκ ἰσόθεος ἦν. οὐκ ἀποδίδοται δὲ τοῦτο πρὸς τὸ πλὴν, ἀλλὰ πρὸς τὸ ἴσος (in marg. καὶ Σοφοκλῆς ἐν Φιλοκτήτους δράματι (v. 299)· οἰκουμένη γὰρ στέγη πυρὸς μέτα πάντ' ἐκπορίζει πλὴν τὸ μὴ νοσεῖν ἐμέ. et ab al. m. τὸ πλὴν μετὰ πασῶν τῶν πτώσεων συντάσσεται πλὴν τῆς κλητικῆς.) Gu.

4) Sic Gu. Vulgo μὴ λάβε.

V. 354. *ΝΥΝ Δ' ΕΙΜΙ Δ.* νῦν δὲ ὑπάρχω δούλη. *ΠΡΩΤΑ ΜΕΝ* ἀντὶ τοῦ πρῶτον, ὡς τὸ πότερα ἀντὶ τοῦ πότερον [5]). *ΠΡΩΤΑ*, κατὰ πρῶτα. Fl. 17. καταρχάς. Gu. *ΤΟΥΝΟΜΑ*, ἤτοι τὸ καλεῖσθαι δούλην, οὐκ εἰωθὸς καὶ οὐ σύνηθες ὂν, ποιεῖ ἐμὲ ἐπιθυμεῖν θανεῖν. *ΤΟΥΝΟΜΑ*, τὸ ὀνομάζεσθαι. Fl. 17. τὸ ὄνομα τῆς δουλείας. Fl. 6. 9. 10. 21. 56. 59. 76. τοῦτο τὸ δούλη. Gu.

V. 355. *ΘΑΝΕΙΝ ΕΡΑιΝ*, ἀποθανεῖν. Fl. 17. κακοσύνθετον δὲ τὸν λόγον πεποιήκασι τὰ δύο ἀπαρέμφατα. Fl. 10. *ΕΡΑιΝ*, ἀγαπᾷν. Fl. 56. φιλεῖν. Fl. 21. ἐπιθυμεῖν. Gu. *ΤΙΘΗΣΙΝ*, ποιεῖ, (παραπείθει). Gu. *ΕΙΩΘΟΣ*. ἔθω, τὸ ἐξ ἔθους τι διαπράττω· ὁ μέλλων ἔσω, ὁ παρακείμενος ἦκα, ὁ μέσος ἦθα καὶ ἀττικῶς εἴωθα, ἡ μετοχὴ εἰωθὼς, τοῦ εἰωθότος, τὸ οὐδέτερον τὸ εἰωθός [6]). *ΟΥΚ ΕΙΩΘΟΣ ΟΝ*, οὐ σύνηθες ὂν τοῦτο τὸ ὄνομα τῆς δουλείας ἐν ἐμοί· καὶ γὰρ οὐκ ἦν ποτε δούλη. Fl. 21. πρόθυμός εἰμι εἰς τὸ θανεῖν· οὐκ εἴωθα τῆς δουλοσύνης τὰ ἔργα. Fl. 33.

V. 356—365. *ΕΠΕΙΤ' ΙΣΩΣ ΑΝ*. ἔπειτα ἴσως ἂν τύχοιμι δεσποτῶν τινῶν [7]) καὶ ἀπηνῶν κατὰ τὰς φρένας, ὅς τις, ἐκείνων λέγω, ἀγοράσει δι' ἀργυρίου ἐμὲ, τὴν ἀδελφὴν τοῦ Ἕκτορος καὶ ἑτέρων πολλῶν, προςθεὶς δὲ ἐν τοῖς δόμοις ἀνάγκην σιτοποιὸν, ἤτοι ἀρτοποιητικὴν, ἀναγκάσει ἐμὲ, ἄγουσαν ἡμέραν λυπηρὰν, καὶ σαροῦν τὸ δῶμα, καὶ ἐφεστάναι ταῖς κερκίσιν, ἀντὶ τοῦ ὑφάσμασιν (ἀπὸ μέρους τὸ πᾶν). τὰ ἐμὰ δὲ λέχη καὶ τὴν ἐμὴν κοίτην μιανεῖ δοῦλος ὠνητὸς ποθὲν, τυράννων καὶ βασιλέων πρόσθεν ἄξια ὄντα. οὐ δῆτα, ἤτοι οὐκ ἀνέξομαι ζῆν ἐν τούτοις, οὐ προτιμήσω ταῦτα τοῦ θανάτου· ἀφίημι τόδε τὸ φέγγος τῶν ὀμμάτων ἐλεύθερον, προςτιθεῖσα τῷ θανάτῳ τὸ ἐμὸν σῶμα. *ΙΣΩΣ ΑΝ*. οἱ Ἀττικοὶ πῇ μὲν ἐκλείπουσι τὸ ἂν, πῇ δὲ πλεονάζουσιν, ὡς ἐνταῦθα, ἴσως ἂν τύχοιμ' ἄν. Gu.

V. 356. *ΔΕΣΠΟΤΩΝ*, αὐθεντῶν. Fl. 17. *ΩΜΩΝ*,

5) Verba ὡς — πότερον e Florr. 6. 9. 21. 56. 59. 76. Gu. accesserunt.

6) Hoc scholion omissum est in King. et Musgr.

7) Excidisse videtur ὠμῶν. Musgr. in paraphr. om. καί.

σκληρικῶν (σκληρῶν. Gu.) κατὰ ψυχήν. Fl. 6. 9. 21. 56. 59. 76. ὠμῶν φρενῶν. Fl. 33.

V. 357. *ΤΥΧΟΙΜ' ΑΝ*, λέγω ἐκεῖνον. Fl. 6. 9. 21. 56. 59. 76. *ΟΣΤΙΣ*, δεσπότης. Fl. 21. ὅς τινα (ὅς ὥς τινα) ἀργυρώνητον δοῦλον. Fl. 33.

V. 358. *ΚΑΣΙΝ*. σημείωσαι, ὅτι τὴν θήλειαν κάσιν εἶπεν, εἰ μὴ ἀποκοπὴ κασιγνήτης. Fl. 10. τὴν Ἕκτορος καὶ ἑτέρων πολλῶν ἀδελφήν. Fl. 33.

V. 359. *ΠΡΟΣΘΕΙΣ*, ἐπιθείς. Fl. 6. 9. 56. 59. 76. Mosqu. D. G. ἐπιθεὶς δὲ ἐκεῖνος ὁ δεσπότης. Fl. 21. *ΑΝΑΓΚΗΝ*, δουλείαν. Fl. 59. *ΣΙΤΟΠΟΙΟΝ*, τὰ πρὸς ζωάρκειαν ποιοῦσαν. (ποιοῦντα, ut Mosqu. D. 8)) Fl. 6. 9. 21. 56. 59. 76. Gu. *ΑΝ. ΣΙΤΟΠ.* μαγειρικήν· σῖτα γὰρ καὶ σιτία τὰ βρώματα· ἢ ἀρτοποιητικήν. (ἤγουν ἀναγκάσας ἀλήθειν.) Gu.

V. 360. *ΣΑΙΡΕΙΝ*, φιλοκαλεῖν. Fl. 10. 17. 21. Gu. a m. 2. σαροῦν. Gu. a m. pr. *ΚΕΡΚΙΣΙΝ*, ἀντὶ τοῦ ταῖς ἱστουργίαις. (ἀπὸ μέρους τὸ πᾶν. κερκίδες κυρίως ὄργανά τινα, δι' ὧν συνέχονται τὰ ὑφάσματα, ἃ αἱ γυναῖκες ἰδιωτικὰς σαγίτας καλοῦσι. [κερκίδες γὰρ αἷς συντιθέασι τὴν κρόκην τῷ στήμονι.] Baroc. 74. Gu. 9)) *ΕΦΕΣΤΑΝΑΙ*, ἐπιστατεῖν. Fl. 6. 9. 21. 56. 59. 76. Mosq. D. ἐπιστάτην εἶναι. Fl. 17. καὶ σαίρειν, ἤγουν φιλοκαλεῖν τὰ οἰκήματα, καὶ παρειστήκειν καὶ κιρνᾶν, ἢ ἐν ὑβρίσμασιν παρειστήκειν. Fl. 33.

V. 361. *ΛΥΠΡΑΝ ΗΜΕΡΑΝ*, λυπηρὰν καὶ ἀλγεινὴν διάγουσα (—σαν. Gu.) ζωήν. Baroc. 74. Gu. λυπητικὴν ἐπιφέρειν ἡμέραν. Fl. 33. οἰκτρὸν καὶ ἄθλιον βίον. Gu. *ΑΝΑΓΚΑΣΕΙ*, ὁ ἐμὸς δεσπότης. Fl. 21.

V. 362. *ΛΕΧΗ*, ἤγουν τὴν ἐμὴν παρθενίαν. Fl. 21.

8) In Gu. ποιοῦσαν est ab al. m.

9) Tria scholia dedit King. credo, quia in Barocc. tribus manibus exarata erant, ut in Guelph. Ex hoc συνέχονται dedi pro συνέχοντο. Idem pro ὑφάσματα habet ὑφαινόμενα et om. verba ἃ —καλοῦσι. Mosqu. D. om. τὸ πᾶν. κερκίδες — καλοῦσι, et cum Gu. legit κερκίδες γάρ. Idem τὴν κρόκον.

ΩΝΗΤΟΣ, ἀγοραστός. Fl. 17. 56. Gu. *ΠΟΘΕΝ*, ἀπό τινος τόπου. Fl. 56. Gu. καὶ τὴν ἐμὴν κοίτην καὶ συνουσίαν ἤγουν μίξιν γαμικὴν δοῦλος ἀγορητός. Fl. 33.

V. 363. *ΧΡΑΝΕΙ*, φθείρει, μολύνει. Fl. 17. μιανεῖ, μολυνεῖ. Gu. *ΤΥΡ. ΠΡ. ΗΞ.* βασιλέων πρότερον ἄξια κεκριμένα. Fl. 6. 9. 21. 56. 59. 76. Gu. χρανεῖ καὶ μολύνει, ἔμπροσθεν τῶν τυράννων ἀξιωμένη. Fl. 33.

V. 364. *ΟΥ ΔΗΤ'*. οὐδαμῶς ἀφίημι ἐλεύθερον φῶς ἐκ τῶν ὀμμάτων. Fl. 33. οὐκ ἀνοίγω τοὺς ὀφθαλμούς μου ἐλευθέρως. Fl. 17. ταῦτα ὑποστήσομαι. Fl. 10. οὐκ ἀφίημι, διότι καὶ οἱ ὀφθαλμοὶ ἡμῶν ἀκτῖνας ἐκπέμπουσιν, αἳ προσομιλοῦσι ταῖς ἡλιακαῖς ἀκτῖσιν· οὐκ ἄλλως γὰρ ὁρῶμεν, ἀλλ' ἢ ἐκ τῆς πρὸς ἄλληλα σχέσεως· θατέρου γὰρ ἐπιλάμψαντος, κἂν τὸ ἓν ἐπικρατεῖ, σκότος ἡμῖν τὰ πάντα λελόγισται. Fl. 17. οὐκ ἀνέξομαι ζῆν ἐν τούτοις, οὐ προτιμήσω ταῦτα τοῦ θανάτου. (ἔσται τοῦτο.) Gu. *ΑΦΙΗΜΙ*, καταλιμπάνω. Gu. *ΕΛΕΥΘΕΡΟΝ*, ἤτοι ἐλεύθερον δουλείας· τουτέστιν ἐλευθέρα θέλω ἀποθανεῖν. Gu.

V. 365. *ΠΡΟΣΤΙΘΕΙΣ'*, δοῦσα, προςβαλοῦσα. Fl. 59. προςθήκην ποιήσασα, παραδοῦσα τὸ ἐμὸν σῶμα εἰς θάνατον. Fl. 6. ἀλλὰ τῷ ἄδῃ προςεγγίζημι τὸ ἐμὸν σκῆνος. Fl. 33.

V. 366—368. *ΑΓ' ΟΥΝ Μ', ΟΔ.* ἄγε ἐμὲ λοιπὸν, Ὀδυσσεῦ· οὔτε γὰρ θάῤῥος ἐλπίδος ὁρῶ οὔτε δόξης καὶ ὑπολήψεως τινὸς, ὅτι ἀπόκειται ποτὲ πρᾶξαι καλῶς καὶ εὐτυχῆσαι.

V. 366. *ΑΓ'*, ἄγαγε. Fl. 17. προηγοῦ μοι, ὦ Ὀδυσσεῦ, καὶ φέρε. Fl. 33. *ΔΙΕΡΓΑΣΑΙ*, φόνευσον. Fl. 6. 9. 10. 56. 59. 76. Gu. a m. pr. σφάξαι. Fl. 17. θῦσον, σφάξον. Gu. a m. 2. *ΑΓΩΝ*, ἀγαγών. Fl. 17. διὰ χειρός. Fl. 59.

V. 367. *ΤΟΥ*, τινὸς, θηλυκόν. Fl. 10. *ΔΟΞΗΣ*, ὑπονοίας. Fl. 17. 21. 59. βοηθείας. Fl. 6. τινὸς ὑπολήψεως. (*ΤΟΥ ΔΟΞΗΣ*. ἔδει εἰπεῖν τῆς πρὸς τὸ *ΕΛΠΙΔΟΣ*, νῦν δὲ ἀντὶ τοῦ τῆς τοῦ Ἀττικῶς λέγει· οὗτοι γὰρ τὰ θηλυκὰ ἄρθρα ἔσθ' ὅτε ἀρσενικῶς ἐκφέρουσιν, ὡς ἔχει τὸ τοῦ Σοφοκλέους τὸ οὔτε του σάλπιγγος καὶ

τὼ χεῖρε καὶ τοῖν πολέοιν παρ' Ἰσοκράτει καὶ Θουκυδίδῃ.) Gu. ἡ δόξα καὶ ἐγγὺς ἐλπίδος ἐστὶν, ἀλλ' οὐκ ἔχει τὸ πλέον, καὶ ὥςπερ προηγούμενόν ἐστι τῆς ἐλπίδος· ἔστι γάρ τι, ἀφ' οὗ τις δοξάζων περὶ αὐτοῦ τὰ βελτίω εἶτα ἐλπίζει. Gu.

V. 368. *ΘΑΡΣΟΣ*, εἶναι προςδοκίαν. Fl. 59. παρηγόρημα. Gu. *ΗΜΙΝ*, τοῖς Τρωσί. Fl. 21.

V. 369—375. *ΜΗΤΕΡ, ΣΥ Δ'*, ὦ μῆτερ, σὺ δὲ μηδαμῶς γένῃ ἐμπόδιον ἐμοὶ, μηδὲ λέγουσα, μηδὲ δρῶσα, σὺν ἐμοὶ δὲ βούλου θανεῖν ἐμὲ πρὸ τοῦ τυχεῖν αἰσχρῶν παρ' ἀξίαν· ὅστις γὰρ οὐ συνήθειαν ἔχει πεῖραν λαμβάνειν τῶν δυςτυχιῶν, φέρει μὲν τιθεὶς ἐν τῷ ζυγῷ τὸν αὐχένα, ἤγουν ἐν τῇ ἀνάγκῃ τῆς δυςτυχίας, ἄχθεται δὲ, ὥςπερ δηλονότι βοῦς ἀγύμναστος ὑπὸ ζυγὸν τιθεμένη [10]. θανὼν δὲ εἴη ἂν μᾶλλον εὐτυχέστερος ἢ ζῶν· τὸ γὰρ μὴ καλῶς ζῆν, μεγάλη ὀδύνη.

V. 369. *ΕΜΠΟΔΩΝ*, εἰς ἐμπόδισμα, ἐπιῤῥηματικῶς. Fl. 21. σὺ δὲ, μῆτερ, μηδαμῶς ἔμπροσθεν ἡμῖν γενοῦ, ἢ ἐμπόδιος ἡμῖν. Fl. 33.

V. 370. *ΛΕΓΟΥΣΑ*, μηδέ· ἀπὸ κοινοῦ τὸ μή. Fl. 6. 9. 10. 21. 56. 59. 76. Gu. [1]) μήτε. Fl. 17. φλυαροῦσα, μηδὲν ἀνύουσα. Fl. 10. *ΔΡΩΣΑ*, κωλύουσα. Fl. 59. πράττουσα. Fl. 10. *ΣΥΜΒΟΥΛΟΥ*, σύνθελε. Fl. 17. σὺν ἐμοὶ βούλου. Gu. a m. pr. ἢ λέγουσα ἢ ποιοῦσα συμβούλευσόν μοι θανεῖν, πρὶν ἀνάξιόν τι πάθω. Fl. 33. σύνελθέ μοι· (l. σύνθελέ μοι) σὺν ἐμοὶ βουλεύου ἀποθανεῖν. Fl. 10.

V. 371. *ΜΗ ΚΑΤ' ΑΞΙΑΝ*, ἀναξίως. Fl. 17. πρὸ τοῦ τυχεῖν αἰσχρῶν πραγμάτων, ἤγουν ἀσχήμων, οὐ κατ' ἀξίαν, τουτέστι παρὰ τὴν ἀξίαν, παρὰ τὸ πρέπον. Fl. 6. 9. 21. 56. 59. 76. Gu.

10) Verba ὅστις γὰρ — τιθεμένη sunt etiam in Guelph. a m. pr. ex quo ὥςπερ δηλονότι scripsi pro δηλονότι, ὥςπερ.

1) Similiter Mosq. D. vocab. λέγουσα suprascriptum habet: τὸ μὴ ἀπὸ κοινοῦ.

V. 372. *ΟΣΤΙΣ*. ὅστις οὖν οὐκ ἤθησε (sic. an: οὐκ ἤθησε) τῶν κακῶν, φέρει ἀκουσίως μέν· λυπεῖται γὰρ ὁ αὐχὴν ἐν τῷ καμάτῳ. Fl. 33. *ΓΕΥΕΣΘΑΙ ΚΑΚΩΝ*, πεῖραν λαμβάνειν (ἅπτεσθαι) δυςτυχιῶν. Gu.

V. 373. *ΦΕΡΕΙ*, ὑπομένει. Fl. 6. 9. 21. 56. 59. 76. Gu. *ΑΥΧΕΝ' ΕΝΤΙΘΕΙΣ ΖΥΓΩι*. τὸ αὐχέν' ἐντιθεὶς ζυγῷ σύναπτε πρὸς [2]) τὸ φέρει μὲν, οὐ πρὸς τὸ ἀλγεῖ δέ. Baroc. 74. Gu. *ΕΝΤΙΘΕΙΣ*, ὑποβαλών. Fl. 56. Gu. *ΖΥΓΩι*, ἤγουν ἀνάγκῃ. Gu.

V. 372. *ΘΑΝΩΝ*, ἤγουν ἀποθανών. Fl. 17. *ΜΑΛΛΟΝ*, ἐκ παραλλήλου. Fl. 6. 9. 21. 56. 59. 76. Gu. κρεῖττον ἂν εἴη θανεῖν ἐν εὐτυχίᾳ, ἢ ζῶν ἐν ἀτυχίᾳ ὑπάρχειν. Fl. 33.

V. 373. *ΜΗ ΚΑΛΩΣ*, ἀλλὰ δυςτυχῶς. Fl. 17. τὸ γὰρ μὴ ζῆν καλῶς, μέγας πόνος ἐστί. Fl. 33.

V. 376—378. *ΔΕΙΝΟΣ ΧΑΡΑΚΤΗΡ*. ἐκπλαγεὶς ὁ χορὸς [3]) πρὸς τοὺς τῆς Πολυξένης λόγους, ὡς μετὰ φρονήματος εἰρημένους μάλα [4]) γενναίου, φησί· μεγάλως χαρακτηρίζει καὶ δηλοποιεῖ τὸν εὐγενῆ ἡ εὐγένεια· πρὸς γὰρ τὴν εὐγενῆ αὐτοῦ φύσιν καὶ τοὺς λόγους ποιεῖται· καὶ δῆλος τοῖς οὐκ εἰδόσιν αὐτὸν γίνεται. Ἄλλως. ὅστις ἐστὶν εὐγενὴς καὶ γένους λαμπροῦ, χαρακτηρίζει ἑαυτὸν καλοῖς λόγοις καὶ ἤθεσι, καὶ δῆλος τοῖς οὐκ εἰδόσι τὴν ψυχὴν ἐντεῦθεν καθίσταται. καὶ τὸ τῆς εὐγενείας ὄνομα μέγιστον τότε [5]) γίνεται, ὅταν οἱ διαδεξάμενοι τοῦτο ἄξια τούτου δρῶσιν, ὁποῖόν τι καὶ νῦν γέγονεν. Ἄλλως. ἐπιτήδειος χαρακτὴρ, ἤτοι σφραγὶς καὶ σημεῖον, καὶ ἐπίσημος, ἤγουν διάδηλος, ἐν βροτοῖς, τὸ γενέσθαι τινὰ δηλονότι ἀπὸ ἐσθλῶν καὶ εὐγενῶν. καὶ ἐπὶ μεῖζον ἔρχεται, ἤτοι αὐξάνει καὶ πλέον γίνε-

2) Sic Gu. pro παρά.

3) ὁ χορὸς add. King. et est in Guelph.

4) μάλα e Guelph. addidi. Basil. εἰρημένους. γενναῖον, φησὶ μ. Junt. εἰρημένους γενναῖον, φησί. In Gu. verba μεγάλως — ποιεῖται aliud scholion per se constituunt; quae autem sequuntur καὶ δῆλος — ἄλλως, in eodem desunt.

5) E Guelph. addidi τὸ ante τῆς εὐγ. et τότε scripsi pro τοῦτο.

ται, τὸ ὄνομα τῆς εὐγενείας τοῖς ἀξίοις, ἢ ὑπὸ τῶν πραττόντων ἀνάξια τῆς εὐγενείας. *ΔΕΙΝΟΣ ΧΑΡ.* τὸ ἐξ ἀγαθῶν καὶ εὐγενῶν τινὰ γενέσθαι ἱκανόν ἐστιν εἰς γνωριμώτατον (f. γνώρισμα. Furia) καὶ χαρακτηρισμὸν ἐν τοῖς ἀνθρώποις· εἰ γάρ τοι καὶ ὁ γεννηθεὶς ἐξ εὐγενῶν μὴ ἔχῃ τινὰ ἀγαθὴν καὶ καλὴν πρᾶξιν, ὅμως ἐκ τῆς τῶν γονέων περιφανείας ἄριστος καὶ αὐτὸς εἶναι ὑπολαμβάνεται· εἰ δὲ καὶ τῆς εὐγενείας ἄξια πράττοι τι, ἐπὶ πλέον τῆς εὐγενείας αὐτῶν αὔξεται καὶ ἐνδοξότερος γίνεται. Fl. 17.

V. 376. *ΔΕΙΝΟΣ*, μέγας. Fl. 17. ἐπιτήδειος, (δεξιὸς, μέγας). Gu. *ΧΑΡΑΚΤΗΡ*, τύπος. Fl. 6. σφραγίς. Gu. *ΚΑΠΙΣΗΜΟΣ.* κυρίως ἐπίσημον ἀργύριον τὸ κεχαραγμένον, καὶ ἄσημον τὸ μὴ κεχαραγμένον, παράσημον τὸ παρακεχαραγμένον· ἀπὸ τούτων δὲ καὶ ἐπίσημος ὁ διάδηλος ἁπλῶς, καὶ ἄσημος ὁ ἄδηλος καὶ ἀφανής, καὶ παράσημος ὁ βεβλαμμένος τι μέρος. *ΚΑΠΙΣΗΜΟΣ*, κατάδηλος. Fl. 17. φοβερόν ἐστι τοῖς ἀνθρώποις καὶ ἄθλιον ὁ ὑψηλὸς χαρακτὴρ, ἤγουν ἄνθρωπος ἐξ ἀγαθῶν γονέων, τοῦ γενέσθαι ἄσημος καὶ ἀφανὴς, ὅτι τῆς εὐγενείας τὸ ὄνομα αἰσχύνηται. (—εται) Fl. 33. διάδηλος, (φανερός). Gu.

V. 377. *ΕΣΘΛΩΝ*, εὐγενῶν (γονέων). Gu. *ΓΕΝΕΣΘΑΙ*, γεννηθῆναι. Fl. 17. Gu. *ΚΑΠΙ ΜΕΙΖΟΝ ΕΡΧΕΤΑΙ*, αὐξάνει, (αὔξεται). Gu.

V. 378. *ΤΟΙΣΙΝ ΑΞΙΟΙΣ*, ὑπὸ (al. ἀπὸ) τῶν ἀξίων τῆς εὐγενείας. Fl. 17. 6. 9. 21. 56. 59. 76. Gu. καὶ ἐπὶ πολὺ θαυμαζόμενοι καὶ δοξαζόμενοι γίνονται οἱ παρασκευάζοντες ἑαυτοὺς ἀξίους τῆς εὐγενείας· οἷον τοῖς ἄξια τῆς εὐγενείας διαπραττομένοις ἐπεκτείνεται τὸ ὄνομα τῆς εὐγενείας ἐπὶ πλέον καὶ ἐνδοξότεροι γίνονται. Fl. 10. τοῖς ἠξιωμένοις ἐκείνου. ἐπὶ πλέον τὸ ὄνομα τῆς εὐγενείας αὐτῷ αὔξεται, καὶ ἀξιεπαινετώτερος καὶ ἐνδοξότερος γίνεται, εἰ καὶ τὰ τῆς εὐγενείας ἄξια διαπράττοιτο· πολλοὶ γὰρ εὐγενεῖς, ἀλλ' οὐκ ἐπὶ πλέον ἔρχεται τὸ ὄνομα τῶν μὴ τὰ τῆς εὐγενείας πραττόντων ἄξια. Gu.

V. 379—385. *ΚΑΛΩΣ ΜΕΝ.* ὦ θύγατερ, καλῶς μὲν εἶπας, ἀλλὰ τῷ καλῷ ἔνεστι καὶ λύπη. εἰ δὲ πρέπει

γενέσθαι τιμὴν [6]) τῷ Ἀχιλλεῖ καὶ φυγεῖν ὑμᾶς, ὦ Ὀδυσσεῦ, μέμψιν, τὴν Πολυξένην μὴ κτείνετε, ἐμὲ δὲ ἄγοντες πρὸς τὸν τάφον τοῦ Ἀχιλλέως, κεντεῖτε καὶ σφάζετε, μὴ φείδεσθε, ἐμοῦ δηλονότι· ἐγὼ γὰρ ἔτεκον τὸν Πάριν, ὃς ὤλεσε τὸν Ἀχιλλέα τρώσας διὰ τόξου.

V. 379. *ΚΑΛΩΣ ΜΕΝ.* τὸ καλῶς λέγειν ἐνίοτε μὲν τὸ κεκαλλιεπημένα [7]) ῥήματα λέγειν δηλοῖ, ἐνίοτε δὲ τὸ [8]) ὀρθῶς καὶ ἀληθῶς λέγειν, ὡς ἐνταῦθα. *ΚΑΛΩΣ* ἐνδεῶς σωφότερον (sic). Fl. 17. *ΕΙΠΑΣ*, ὅτι βούλῃ ἀποθανεῖν. Fl. 21.

V. 379 sq. *ΑΛΛΑ ΤΩι Κ. ΛΥΠΗ ΠΡΟΣΕΣΤΙΝ*, ἔνεστιν. (ἀλλὰ τῷ τοιούτῳ, ἤγουν τῷ νομιζομένῳ σοι καλῷ, τουτέστι τῷ θανάτῳ, λύπη.) Gu.

V. 381. *ΧΑΡΙΝ*, τιμήν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. Mosq. D. ἐὰν δὲ δεῖ καὶ πρέπει τῷ τοῦ Πηλέως υἱῷ Ἀχιλλεῖ γενηθῆναι χάριν, καὶ ἀποφυγεῖν τὸ ὄνειδος τοῦ στρατοῦ, τήνδε μὴ φονεύσητε. Fl. 33.

V. 382. *ΥΜΑΣ*, τοὺς Ἕλληνας. ἐπιστρέφει πρὸς τὸν Ὀδυσσέα. Fl. 21. *ΜΗ ΚΤΕΙΝΕΤΕ*, ἤγουν μὴ φονεύσετε. Fl. 17.

V. 383. *ΗΜΑΣ Δ'*, ἡμᾶς δὲ ἄγητε εἰς τὴν θυσίαν τοῦ Ἀχιλλέως. Fl. 33. *ΠΡΟΣ ΠΥΡΑΝ.* πυρὰ τὸ πῦρ τὸ ἐπὶ νεκρῷ ἁπτόμενον, καὶ ὁ τόπος, ἐν ᾧ τὸ πῦρ ἅπτεται. [9])

V. 384. *ΚΕΝΤΕΙΤΕ*, κτείνετε. Fl. 6. 9. 21. 56. 59. 76. κτείνετε, (σφάζετε). Gu. *ΜΗ ΦΕΙΔΕΣΘ'*, ἤγουν μὴ ἀκριβολογεῖσθε. Fl. 17. ἐλεήσετε. Fl. 21. 56. ἔλεον λαμβάνετε. Gu. *ΤΕΚΟΝ*, ἐγέννησα. Fl. 17. *ΠΑΡΙΝ*, ἤγουν

6) Vulgo τι μέν. Emendavit Beckius: „sic clare suprascriptum in cod. D. vocabulo χάριν."

7) Junt. Basil. καλλιεπημένα.

8) Sic recte Junt. Basil. et Guelph. In King. et Musgr. τὸ neglectum est.

9) Hoc quoque scholion neglexit King.

τὸν Ἀλέξανδρον. Fl. 17. ἐμὲ κτείνατε, μὴ ἐλεήσητε. ἐγὼ ἔτεκον τὸν Πάριν, ἤτοι τὸν Ἀλέξανδρον. Fl. 33.

V. 385. ΩΛΕΣΕΝ, ἔφθειρε. Fl. 17. ἐφόνευσεν. Fl. 2. 6. 9. 56. 59. 76. ΤΟΞΟΙΣ ΒΑΛΩΝ. λέγεται γὰρ κληθῆναι αὐτὸν πρὸς τοῦ Πριάμου ὡς φίλον, καὶ φονευθῆναι πρὸς Ἀλεξάνδρου διὰ βέλους. Baroc. 74. ΒΑΛΩΝ, τὸν παῖδα, τὸν Ἀχιλλέα. Fl. 17. τιτρώσας. Fl. 21. ὅστις ἐποίησε ταῦτα τὰ κακὰ, ὅστις καὶ διὰ τοξεύματος ἀνεῖλε τὸν παῖδα τῆς Θέτιδος, ἤγουν τὸν Ἀχιλλέα. Fl. 33. σημείωσαι, ὅτι εἰς Τροίαν ἐφονεύθη ὁ Ἀχιλλεὺς ὑπὸ τοῦ Ἀλεξάνδρου νυμφοστολικῶς πορευόμενος· περιπλεξάμενος γὰρ αὐτὸν ὁ Ἀλέξανδρος χάριν ἀσπασμοῦ διεχειρίσατο αὐτὸν μαχαίρᾳ. ἄλλοι δέ φασιν, ὡς ἀντικρὺς αὐτοῦ στὰς ἔτρωσεν αὐτὸν μετὰ βέλους. Gu.

V. 386 sq. ΟΥ Σ' Ω ΓΕΡ. οὐ σὲ ἀποθανεῖν, ὦ γεραιὰ, ᾐτήσατο (τοὺς Ἀχαιοὺς add. Gu.) τὸ φάντασμα τοῦ Ἀχιλλέως, ἀλλὰ ταύτην ᾐτήσατο. ΟΥ Σ', οὐχὶ σὲ τὸ τοῦ Ἀχιλλέως ὅραμα ᾐτήσατο τοὺς Ἕλληνας, ἀλλὰ ταύτην. Fl. 33.

V. 387. ΗιΤΗΣΑΤΟ, ἐξῄτησεν. Fl. 17.

V. 388—390. ΥΜΕΙΣ ΔΕ. ἀλλὰ κἂν ὑμεῖς σὺν τῇ θυγατρί με ἀποκτείνατε, καὶ διπλῆ πόσις αἵματος τῇ τε γῇ γενήσεται καὶ τῷ αἰτοῦντι Ἀχιλλεῖ.

V. 388. ΥΜΕΙΣ ΔΕ Μ' ΑΛΛΑ. οὐκ ἔστι τὸ ἀλλὰ ἀντὶ τοῦ κἄν, ὡς οἴονταί τινες, ἀλλὰ οὕτως ἔχει· εἰποῦσα γὰρ Ἑκάβη πρὸς Ὀδυσσέα τὸ ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως κεντεῖτε, ἐπεὶ παρ' αὐτοῦ ἤκουσεν, ὡς οὐκ αὐτὴν, ἀλλὰ τὴν θυγατέρα Ἀχιλλεὺς ᾐτήσατο, φησὶν, ὑμεῖς δὲ, ἐπεὶ οὐ βούλεσθε ἐμὲ μόνην ἀποκτεῖναι [10]), ἀλλὰ σὺν τῇ θυγατρὶ φονεύσατε. ΥΜΕΙΣ ΔΕ, εἰ καὶ τὸ φάντασμα ἐκείνην ᾔτησεν. Fl. 10.

V. 389. ΤΟΣΟΝ, ὁπόσον. Fl. 17. καὶ διπλὸν [1]) γενήσεται τὸ τῆς σφαγῆς αἷμα, ἢ διπλὸν πόμα τὸ αἷμα γενήσεται τῷ ζητουμένῳ νεκρῷ. Fl. 33. κατ' εἰρωνείαν. Gu.

10) Gu. ἀποκτιννύναι.

1) διπλοῦν. Gu.

V. 391 sq. ΑΛΙΣ ΚΟΡΗΣ ΣΗΣ. ἱκανῶς ἔχει ὁ θάνατος τῆς σῆς θυγατρός· οὐκ ἄξιον προσενεχθῆναι καὶ ἕτερον σφαγιάσαι· εἴθε μηδὲ τόνδε ὠφείλομεν ποιεῖσθαι.

V. 391. ΑΛΙΣ, ἀρκούντως. Fl. 6. 9. 17. 21. 56. 59. 76. ΠΡΟΣΟΙΣΤΕΟΣ, προσενεκτέος. Fl. 17. οὐκ ἄξιος προσφέρεσθαι. Fl. 6. 9. 21. 56. 59. 76. Gu. a m. pr. κομιστέος, ληπτέος. Gu. a m. 2. ἀρκετός ἐστι ὁ τῆς κόρης θάνατος, οὐκ ὠφείλομεν ἄλλον ὑπὲρ ἄλλου σφάξαι. Fl. 33.

V. 392. ΠΡΟΣ ΑΛΛΩι, ἐπ' ἄλλῳ θανάτῳ. Fl. 6. 9. 21. 56. 76. ΤΟΝΔ' ΩΦ. τὸν τῆς θυγατρός σου θάνατον ἐχρεωστοῦμεν. Fl. 6. 9. 21. 56. 76. ΜΗΔΕ ΤΟΝΔ' ΩΦ. εἴθε μηδὲ τοῦτον ἐχρεωστοῦμεν. Gu.

V. 393. ΠΟΛΛΗ Γ' ΑΝ. ἀνάγκη ἐστὶ συναποθανεῖν με τῇ θυγατρί. ΑΝΑΓΚΗ, ἐστὶν ἐμοὶ δηλονότι. Fl. 21. ἐπεὶ τὰ μετὰ ἀνάγκης δούλης. Fl. 10.

V. 394. ΠΩΣ; πῶς λέγεις συναποθανεῖν; οὐ γὰρ οἶδα, ὅτι κέκτημαι δεσπότην σὲ, τοῦτό με ποιῆσαι ἀναγκάσοντα. ΠΩΣ; ποιήσω τοῦτο δηλονότι; ἤγουν οὐ δύναμαι. καὶ γὰρ ἐγὼ κέκτημαι δεσπότας, ἤγουν κυρίους, τὸν Ἀγαμέμνονα καὶ τὸν Μενέλαον, καὶ οὐκ οἶδα τί βουλήσοντ' ἐκεῖνοι ἐν τούτῳ. Fl. 21. ΠΩΣ ἔστιν ἀνάγκη, θέλεις ἀποθανεῖν; οὐ γὰρ ἀναγκάσεις με συναποκτενεῖν σε τῇ σῇ θυγατρί· οὐ γὰρ ἔχω σε κυρίαν καὶ δεσπότριαν, ὡς τὸ προσταχθέν σοι πληρώσω καὶ ὑπακούσομαι. Gu. ΟΥ ΓΑΡ ΟΙΔΑ ΔΕΣΠ. ΚΕΚΤ. τὸ οἶδα κεκτημένος οὐκ ἔστι περίφρασις Ἀττικὴ ἀντὶ τοῦ κέκτημαι, ἀλλὰ οὕτω νόει· οὐ γὰρ οἶδα, ὅτι δεσπότας ἔχω. Gu. [2]) ΔΕΣΠΟΤΑΣ, ἤγουν αὐθέντας. Fl. 17. οὐ γὰρ οἶδα, ὅτι δεσπότας ἔχω. Fl. 6. ΚΕΚΤΗΜΕΝΟΣ, ἔχων. Fl. 56. οὐ δοῦλος εἰμί· ἵνα μετὰ ἀνάγκης δεσποτῶν διαπράττομαί τι. Fl. 10.

V. 395. ΟΠΟΙΑ ΚΙΣΣΟΣ, ὥσπερ ὁ κισσὸς ἔχεται τῆς [3]) δρυὸς, οὕτως ἕξομαι αὐτῆς. ΟΠΟΙΑ, καθά. Fl. 17.

2) Idem scholion est in Baroc. 74. sed mutilum et corruptum: τὸ οἶδα κεκτ. οὐ ἔστι περίφρασις, ἀλλ' Ἀττικὴ σύνταξις ἀντὶ τοῦ κέκτημαι.

3) Vulgo τοῦ δρ.

ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ ὡς. Fl. 6. 9. 56. 59. 76. Gu.
τοιαύτη ἔσομαι· ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ ὡς ἔχεται, οὕτω
τῆς Πολυξένης ἅψομαι. Fl. 21. *ΚΙΣΣΟΣ.* κισσός ἐστιν
εἶδος δένδρου. καίπερ ἐν ταῖς ἀμπέλοις συνεχῶς ἔρχεται
καὶ εἰλίσσεται ἐν αὐταῖς· ἀναφέρεται δὲ ἐν Διονύσῳ· ἐν τῷ
νάρθηκι γὰρ ἐπέπλεκτο αὐτὸ τὸ φυτὸν, καὶ οὕτως ἐχόρευον
αἱ Βάκχαι ἔμπροσθεν τῷ Διονύσῳ. Fl. 17. *ΟΠΩΣ*, οὕ-
τως. (τὸ ὅπως ἀντὶ τοῦ ὥςπερ, ἀντὶ τοῦ πῶς, ἀντὶ τοῦ
ἵνα, ἀντὶ τοῦ ἐπεί, καὶ ἀντὶ τοῦ οὕτως.) Gu. *ΕΞΟΜΑΙ*,
ἅψομαι, (περιπλακῶ). Gu.

V. 396. *ΟΥΚ*, οὐχ ἕξῃ, οὐ ποιήσεις τοῦτο, τὸ ἕξεσθαι
δηλονότι τῆς θυγατρὸς, ἣν πείθῃ τοῖς φρονιμωτέροις σου.
ΟΥΚ, μὴ οὕτως ποιήσῃς, μὴ ἅψῃ τῆς θυγατρός. Fl. 6. 9.
21. 56. 59. 76. Gu. μηδαμῶς τοῦτο ποιήσεις. Fl. 10.

V. 397. *ΩΣ — ΜΕΘΗΣΟΜΑΙ.* γίνωσκε, ὅτι οὐκ
ἀποστήσομαι τῆς παιδὸς, οὐδ' ἀπολύσω αὐτὴν ἐθελοντής.
ΩΣ. γίνωσκε ὅτι. (τὸ ὡς, εἰ μὲν συνάψεις πρὸς τὸ μ ε θ ή-
σ ο μ α ι, ἀντὶ τοῦ ὄντως ἐρεῖς, εἰ δὲ πρὸς τὸ ἑκοῦσα, ἀντὶ
τοῦ καθά.) Gu. *ΕΚΟΥΣΑ*, θέλουσα. Fl. 21. *ΜΕΘΗ-
ΣΟΜΑΙ*, καταλείψω. Fl. 17. χωρισθήσομαι. Fl. 6. 9. 21.
56. 59. 76. χωρ. ἀπολύσω (ἀπολειφθῶ). Gu. ταύτης μοι
δὲ τῆς παιδὸς ἑκοῦσα οὐ χωρισθήσομαι, οὐκ ἐάσομαι. Fl. 33.

V. 398. *ΑΛΛ' ΟΥΔ'.* ἀλλ' οὐδ' ἐγὼ ἀπελεύσομαι
ἀπολιπὼν τήνδε.

V. 399—413. *ΜΗΤΕΡ, ΠΙΘΟΥ ΜΟΙ.* ὦ μῆτερ,
πείσθητί μοι, καὶ σὺ, Ὀδυσσεῦ, ἐνδίδου τοῖς γεννήτορσιν
ὀργιζομένοις πρεπόντως, σύ τε, ὦ ἀθλία, τοῖς ἄρχουσι μὴ
πολέμει. θέλεις πεσεῖν πρὸς τὸ ἔδαφος, τραυματίσαι τὸ σὸν
γεροντικὸν σῶμα, βιαίως ἀποπεμπομένη, καὶ ἀτιμασθῆναι,
ὑπὸ νεανικοῦ βραχίονος σπαραχθεῖσα καὶ συρεῖσα. μὴ σύ
γε [4]) πάθῃς ταῦτα· οὐ γὰρ ἄξιον παθεῖν. ἀλλ' ὦ προςφι-
λὴς μῆτερ, δός μοι τὴν γλυκυτάτην σου χεῖρα καὶ τὴν πα-
ρειὰν, προςερεῖσαι τῇ ἐμῇ παρηΐδι, ὅτι οὐ μετὰ ταῦτα,
ἀλλὰ νῦν τελευταῖον θεάσομαι τὸν κύκλον τοῦ ἡλίου. τέλος

4) Junt. Basil. καὶ σύ γε π. Barn. et Musgr. καὶ σύ γε μὴ π. Sed γε indicat, ipsa Euripidis verba servata esse.

δὲ δὴ λαμβάνεις τῶν ἐμῶν προςαγορεύσεων καὶ λαλιῶν. ὦ μῆτερ, ὦ τεκοῦσα, ἀπέρχομαι εἰς τὸν ᾅδην ἀνύμφευτος καὶ ἄμοιρος ὑμεναίων, ὧν ἔπρεπεν ἐμὲ λαχεῖν δηλονότι. ὦ θύγατερ, ἐγὼ δὲ δουλεύσω ἐν τῇ παρούσῃ ζωῇ.

V. 400. *ΧΑΛΑ.* τὸ χ ά λ α ἐκ μεταφορᾶς τῶν τῆς νεὼς προτόνων εἴρηται, ἃ τεταμένα, ὅταν ἄνεμός τις συμβῇ, χαλῶσιν οἱ ναῦται, ἵνα μὴ τῇ τούτων τάσει καὶ τῇ τοῦ πνεύματος φορᾷ τὸ πλοῖον ὑποβρύχιον γένηται. Gu. a m. sec. σύγγνωθι γονοῖς (γονεῦσι). Fl. 21. ἐνδίδου, ἀπὸ μεταφορᾶς τῶν ὑποχαλώντων τὰ ἱστία διὰ πολλοῦ ὄντος ἀνέμου ἐν τῷ ἀρμένῳ τοῦ πλοίου. Fl. 10. [5]) ὑπόπιπτε, ὕπεικε. Gu. a m. 2. *ΘΥΜΟΥΜΕΝΟΙΣ*, τοῖς λυπουμένοις. Fl. 33. ὀργιζομένοις. Gu.

V. 401. *ΣΥ Τ'*, μῆτερ Ἑκάβη. Fl. 21. σὺ, ὦ τάλαινα, τοῖς βασιλεῦσι μὴ ἔριζε. Fl. 33. *ΚΡΑΤΟΥΣΙ*, ἐνδόξοις. Fl. 17. τοῖς ἄρχουσι, βασιλεῦσιν. Gu. *ΜΑΧΟΥ*, ἀντίτειναι. Fl. 6. *ΜΑΧΟΥ* κατὰ Ἀττικοὺς δοτικῇ, κατὰ δὲ κοινοὺς αἰτιατικῇ, ὥςπερ καὶ τὸ ναυμαχῶ. Gu.

V. 402. *ΒΟΥΛΕΙ*, βούλει καταπεσεῖν καὶ πρὸς ὁδὸν ἑλκωθῆναι. Fl. 33. *ΕΛΚΩΣΑΙ*, τραυματίσαι.

V. 403. *ΓΕΡΟΝΤΑ ΧΡ.* τὸ σὸν γεραιὸν σῶμα. Fl. 6. 9. 21. 56. 59. 76. Gu. [6]) τὴν δὲ γεγηρακυῖαν πρόσοψιν, μετὰ βίας πατουμένη. Fl. 33. *ΠΡΟΣ Β. ΩΘΟΥΜ.* βιαίως ἐκκρουομένη, βιαστικῶς διωκομένη. [7]) C. C. C.

V. 404. *ΑΣΧΗΜΟΝΗΣΑΙ*, ἄσχημον πρᾶγμα παθεῖν. C. C. C. Gu. a m. pr. ἀτιμασθῆναι. Gu. a m. sec. *ΝΕΟΥ.* νέος γάρ ἐστιν Ὀδυσσεύς. Fl. 21. καὶ ἀπὸ νεαροῦ βραχίονος ἀσχημονῆσαι. Fl. 33. *ΝΕΟΥ*, ἰσχυροῦ. Gu.

V. 405. *ΣΠΑΣΘΕΙΣ'*, συρεῖσα, (ἑλκυσθεῖσα. Fl. 33.) Gu. *Α ΠΕΙΣΗι*, ἅπερ πάθῃ, εἴθε μὴ πείσοις σύ [8]).

5) Brevius Baroc. 74. Gu. a m. pr. ἐνδ. ἀπὸ τῶν χαλώντων τὰ ἱστία.

6) Gu. ab al. m. addit τὸ ἁπλοῦν ἀντὶ κτητικοῦ.

7) Voci βιαίως in Guelph. a m. sec. suprascriptum est ἀττικόν: ab eadem m. sunt vv. βιαστικῶς ἀποπεμπομένη (sic pro διωκομένη).

8) Gu. πάθῃς, ἣν μή μοι πείθῃ.

ὑποτακτικὸν ἀντὶ εὐκτικοῦ. Fl. 21. *ΑΞΙΟΝ*, ἔστι παθεῖν σὲ ταῦτα δηλονότι. Fl. 21. ἅπερ μὴ πεισθεῖς (sic) οὐκ ἔστιν ἄξιον. Fl. 33.

V. 406. *ΦΙΛΗ*, ἀγαπητή. Fl. 21. *ΗΔΙΣΤΑΝ*, γλυκεῖαν. Fl. 21. εὐφραντήν. Gu.

V. 407. *ΠΡΟΣΒΑΛΕΙΝ*, τουτέστιν ἐρεῖσαι καὶ πλησιάσαι τῇ ἐμῇ. Fl. 59. περιπλακῆναι, προςμίξαι. Fl. 6. δός μοι τὴν παρειὰν τὴν σὴν προςεγγίσαι τῇ ἐμῇ. Fl. 33. ἐρεῖσαι, (πλησιάσαι). Gu.

V. 408. *ΩΣ ΟΥ ΠΟΤ'*, ὅτι οὐδέποτε. Fl. 6. 9. 21. 56. 59. 76. *ΝΥΝ*, ὁρῶ. Fl. 21. *ΠΑΝΥΣΤΑΤΑ* ἀντὶ τοῦ ὕστατον (τελευταῖον). Gu. ἀντὶ τοῦ ὕστατον, τέλειον· ὅτι οὔποτε ἐσόψομαι. Fl. 21. ὡς οὐδέποτε ὄψομαι τὸ ἡλιακὸν φῶς. νῦν δὲ ἔστι μοι τὸ ἔσχατον πάντων. Fl. 33.

V. 409. *ΑΚΤΙΝΑ*. τὸ φῶς. πρῶτον ἡ ἀκτὶς ὑποπίπτει τῇ ὄψει, εἶτα ὁ δίσκος. Gu. *ΚΥΚΛΟΝ*, τὸν ὅλον περιφραστικῶς. Fl. 17.

V. 410. *ΤΕΛΟΣ*, τὸ πλήρωμα. οὐ γὰρ προςομιλήσω σοι τοῦ λοιποῦ. Gu. *ΠΡΟΣΦΘΕΓΜΑΤΩΝ*, ἤγουν τῶν ῥημάτων, τῶν λέξεων. Fl. 17. ἀντὶ τοῦ τὰ ἐμὰ προςφθέγματα. Fl. 21. τῶν ἐμῶν λόγων τὸ τέλος εἴληφεν. Fl. 33.

V. 411. *Ω ΤΕΚΟΥΣΑ*, ἤγουν ἡ γεννήσασα. Fl. 17. *ΚΑΤΩ*, ἐν ᾅδῃ. Fl. 10. ἄπειμι, πορεύομαι ἐν τῷ θανάτῳ. Fl. 33.

V. 412. *ΕΝ ΦΑΕΙ*. ἐγὼ ἐν τῷ βίῳ δουλεύσω, δούλη ἔσομαι. Fl. 6. 9. 21. 56. 59. 76. ἐν τῷ βίῳ. (ἐν τῇ παρούσῃ ζωῇ.) Gu. Πολυξένη οὐκ ἀπεκρίθη πρὸς ταῦτα, ἀλλ' ἔχεται τῶν αὐτῶν λόγων ἀπὸ τῶν ὦ μῆτερ μέχρι τοῦ τί σοι πρὸς Ἕκτορ', κἂν ἀμοιβαῖοι φαίνωνται οἱ στίχοι. Gu.

V. 413. *ΑΝΥΜΦΟΣ*, χωρὶς γάμου. Fl. 17. ἕπεται τοῦ λόγου. Fl. 21. ἄπειμι κάτω. Fl. 10. *ΑΝΥΜΕΝΑΙΟΣ*, ἀμελῴδητος. Fl. 56. χωρὶς ὕμνων. Fl. 17. ἀπέρχομαι δηλονότι ἄμοιρος ὑμεναίων. (ἄνευ γάμου, θαλάμων.) Gu. ὑμένας λέγουσι τὰ περιλαμβάνοντα σπλάγχνον ἤ τι τοιοῦτο λεπτότατον, ὥςπερ δέρμα· ἐπεκράτησε δὲ ἰδίως λέγεσθαι

ὑμένα τὸν τῆς παρθενίας, οὗ διαῤῥηγνυμένου τῇ συνουσίᾳ οὐκέτι τὸ θῆλυ πρὸς παρθενίαν ἐστί. διὸ καὶ [τῆς παρθενίας ὁ ὑμὴν] λέγεται ἀπὸ τούτου ὑμέναιος ἡ ἐπιθαλάμιος ᾠδὴ, ἤτοι ἡ ἐπὶ τῷ γάμῳ καὶ τῇ διαῤῥήξει τούτου τοῦ ὑμένος ᾀδομένη, ἀφ' οὗ ὕμνος, ὃς ἐπὶ θεοῦ μὲν καὶ θείων ἀνδρῶν ὡς ἐπὶ τὸ πολὺ λέγεται, ἐτάχθη δὲ ὅμως λέγεσθαι καὶ ἐπὶ τῆς ἁπλῶς ᾠδῆς, καθὸ λέγουσιν ὑμνοπόλους τοὺς ποιητὰς ἤτοι τοὺς ἀναστρεφομένους περὶ τὴν ᾠδὴν ἁπλῶς, ἤγουν τὴν ἐμμελῆ συνθήκην καὶ ἔμμετρον. λέγεται ὕμνος καὶ ἡ φήμη καὶ διαλάλησις, καθὸ λέγεται παρὰ Σοφοκλεῖ τὸ βιὰ μὲν [9]) ἀεὶ δ' ὑμνούμενα. κατὰ τοῦτο τὸ τελευταῖον σημαινόμενον λέγεται τὸ προθέλυμνον ἔπεσε τὸ δένδρον, ἤγουν οὕτως ἔπεσεν, ὡς εἰς φῶς προαχθῆναι καὶ τὸ μέρος ἐκεῖνο αὐτοῦ, δι' οὗ θέλει τὸ ὄνομα καὶ τὴν μνήμην τουτέστι τὴν ῥίζαν. ταύτης γὰρ σωζομένης, εἰ καὶ πᾶν ἐκκοπείη τὸ δένδρον, βλαστήσειεν ἄν τι ἀπ' αὐτῆς, ὃ φυλάξει τοὔνομα καὶ τὴν μνήμην τοῦ δένδρου. εἰ δ' ἀπόλοιτο αὕτη, καὶ ἡ τοῦ δένδρου πᾶσα ἐλπὶς καὶ μνήμη συναπόλλυται. ὁσάκις δὲ λέγει ὁ Ὅμηρος προθέλυμνον, ὅτι τὸ προβεβλῆσθαι καὶ ῥύεσθαι ἐπισπᾶται ὄνομα καὶ μνήμην. λέγεται καὶ πρόῤῥιζον ἔπεσε τὸ δένδρον ὁμοίως, ἤτοι οὕτως ἔπεσεν, ὡς καὶ τὴν ῥίζαν αὐτοῦ ἀνασπασθῆναι καὶ εἰς φῶς προαχθῆναι. Gu.

Ib. *ΤΥΧΕΙΝ*, ἐπιτυχεῖν. Fl. 17. ἀνύμφευτος, μὴ τυχοῦσα ᾀσμάτων γαμικῶν. ὑμέναιον λέγεται ᾆσμα, ὃ ᾄδουσιν ἐν τοῖς γάμοις τοῖς νεογνοῖς νυμφίοις. Fl. 33.

V. 414. *ΟΙΚΤΡΑ*, ἐλεεινή. Fl. 6. 9. 21. 56. 59. 76. διαφέρει οἰκτρὸς τοῦ ἀθλίου· οἰκτρὸς γὰρ λέγεται ὁ ἄξιος ἐλέους, ἀπὸ τοῦ οἶκτος, ἡ ἐλεημοσύνη· ἄθλιος δὲ ὁ πολλὰ δεινὰ πάσχων καὶ ὑπομένων ἀπὸ τοῦ ἀθλῶ τὸ καρτερῶ. Fl. 17. ἐλεεινὴ (διὰ τὸ τοῦ θανάτου ἄωρον. ἀξία οἴκτου καὶ ἐλέους). Gu. *ΑΘΛΙΑ*, δυστυχής. Fl. 17. δυστ. διὰ τὴν σὴν στέρησιν. Gu.

V. 415. *ΕΚΕΙ*, ἐν τῷ τόπῳ. (τοῦ ᾅδου add. Gu.) Fl. 17. *ΕΝ ΑιΔΟΥ*, ἐλλειπτικῶς ἀντὶ τοῦ ἐν τῷ τόπῳ τοῦ ᾅδου. Fl. 21.

V. 416. *ΟΙ ΜΟΙ ΤΙ ΔΡΑΣΩ;* οἴμοι τί ποιήσω,

9) Leg. βαί' ἀεὶ δ' ὑμν. ap. Soph. Ai. 292.

εἰς ποίαν τύχην καταντήσω, ποῖον τέλος ἔξω τοῦ βίου, ποῦ πληρώσω τὸν βίον. ΠΟΙ, χρονικόν. Fl. 59. Gu. ΤΕ-ΛΕΥΤΗΣΩ, τελέσω, πληρώσω. Gu. ΠΟΙ ΤΕΛ. ΒΙΟΝ, ἤγουν μέχρι τίνος ζήσομαι; ἀχθομένη τῇ ἑαυτῆς ζωῇ τοῦτο φησίν. C. C. C. Gu.

V. 417. ΔΟΥΛΗ ΘΑΝΟΥΜΑΙ οὖσα πατρὸς· ἐλευ-θέρου, ἤτοι βασιλέως. ἐλεύθερος κατὰ ψυχὴν καὶ ἐλεύθερος κατὰ σῶμα, ὁ καλῶς ἐκτραφεὶς, ἤτοι εὐτυχῶς καὶ ἐλευθερίως· ὁμοίως καὶ δοῦλος· καὶ ἐπὶ μὲν τοῦ σώματος ὁ ἐωνημένος, ἐπὶ δὲ ψυχῆς ὁ κόλαξ. ἀπελεύθερος δὲ ὁ ἀργυρώνητος μὲν πρῶτον, εἶτα ἐλευθερωθεὶς, ὁ δὲ ἐλευθερώσας αὐτὸν πά-τρων, καὶ κλίνεται πάτρωνος. [10]) ΔΟΥΛΗ, ὡς δούλη θνήσκω ἡ πρόσθεν ὑπάρχουσα βασιλέως θυγάτηρ. Fl. 33. ΕΛΕΥΘΕΡΟΥ, κυρίου. Fl. 21. ἤγουν ἀκαταδουλώτου, ἢ εὐτυχῶς καὶ καλῶς τραφέντος ἤγουν βασιλέως. Gu.

V. 418. ΗΜΕΙΣ ΔΕ. ἡμεῖς δὲ ἄμοιροι καὶ ἐστερη-μένοι πεντήκοντα τέκνων. δεκαεννέα ἐγέννησεν αὕτη· αὔ-ξουσα δὲ τὸ πάθος ν [1]) λέγει, ἢ ὅτι συμπεριλαμβάνει καὶ τοὺς νόθους τοῦ Πριάμου παῖδας τοῖς παισὶν ἑαυτῆς διὰ τὴν διάθεσιν τοῦ ἀνδρός. ΠΕΝΤΗΚΟΝΤΑ αὔξουσα τὸ πάθος φησί· ιθ γὰρ μόνους παῖδας ἐγέννησεν. καὶ Ὅμηρος (Il. ω', 496)· ἐννέα καὶ δέκα μέν μοι * ἐκ νηδύος ἦσαν [2])· ἢ ὅτι ἐμπεριλαμβάνει τοὺς νόθους διὰ τὴν διάθεσιν τοῦ ἀν-δρός. Fl. 10. τί ν λέγει; ὅτι ν τέκνα ἐποίησεν ὁ Πρίαμος. Fl. 33. ΑΜΟΙΡΟΙ, ἀμέτοχοι. Fl. 21. ἐστερημένοι. Fl. 56.

V. 419 sq. ΤΙ ΣΟΙ ΠΡΟΣ ΕΚΤΟΡΑ. τί βούλει ἵνα εἴπω ἕνεκα σοῦ πρὸς τὸν Ἕκτορα, ἢ πρὸς τὸν γέροντα Πρίαμον τὸν σὸν ἄνδρα; μήνυε πασῶν γυναικῶν ἀθλιωτά-την. ΤΙ ΣΟΙ. τί εἴπω πρὸς τὸν Ἕκτορα καὶ τὸν σὸν ἄνδρα καὶ σύνοικον; Fl. 33. ΕΙΠΩ, ἀγορεύσω. Fl. 10.

V. 420. ΑΓΓΕΛΛΕ, ἐκείνοις. Fl. 17. εἰπέ. Fl. 21. ΑΘΛΙΩΤΑΤΗΝ, οὖσαν δυστυχεστάτην. Fl. 17. 56. εἶναι. Fl. 21. τὸ ὑπερθετικὸν ἀντὶ συγκριτικοῦ. Gu.

10) Hoc sch. deest in Gu.

1) Guelph. ταῦτα pro ν. mox τοῖς ἑαυτῆς, om. παισίν.

2) Ex Homero lacuna ita explenda: ἰῆς ἐκ ν.

V. 421 sq. Ω ΣΤΕΡΝΑ. περιπλεκομένη [3]) τὴν μητέρα ταῦτα φησίν. ὦ τῆς πρὶν τοῦ προσήκοντος καιροῦ ἀθλίας τύχης. ΣΤΕΡΝΑ, στήθη. Fl. 21. 59. περιπτυσσομένη τὴν μητέρα ταῦτα φησίν. Fl. 10. ΗΔΕΩΣ, γλυκέως. Fl. 21.

V. 422. Ω ΤΗΣ, φεῦ, ἕνεκα. Fl. 6. 9. 21. 56. 59. 76. Gu. χάριν, ἕνεκεν. Fl. 17. τῆς ἀθλίας καὶ προκαι-ροῦ σου τύχης. Fl. 33. ΑΩΡΟΥ, ἀκαίρου. Fl. 56. Gu. ταχυθανάτου. Fl. 10. ταχυθ. μήπω γηρασάσης τουτέστι νέας. Gu. ΤΥΧΗΣ, ἡμῶν δηλονότι. Fl. 21.

V. 423. ΧΑΙΡ' Ω ΤΕΚ. τὸ ἐμοὶ οὐ πρὸς τὸ Κασάνδρα ἐστίν, (εἰ γὰρ ἦν οὕτω, διὰ τοῦ η ὤφειλε γράφεσθαι) ἀλλὰ πρὸς τὸ χαῖρε· σύναπτε δὲ καὶ πρὸς ἀμφότερα, χαῖρέ μοι, ὦ τεκοῦσα, καὶ χαῖρέ μοι, ὦ Κασάνδρα. ΕΜΟΙ σχετικόν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ΤΕΚΟΥΣΑ, ἡ γεννήσασά με. Fl. 17. μῆτερ ἐμή. Fl. 21. ΚΑΣΑΝΔΡΑ, ἀδελφή. Fl. 21. 56. ἡ Κα-σάνδρα ἀδελφὴ ἦν τῆς Πολυξένης. Fl. 33.

V. 424 sq. ΧΑΙΡΟΥΣΙΝ ΑΛΛΟΙ, ΜΗΤΡΙ Δ' ΟΥΚ ΕΣΤΙ τὸ χαίρειν δηλονότι. χαῖρε καὶ ὁ ἐμὸς ἀδελ-φὸς Πολύδωρος, ὁ ὑπάρχων ἐν τοῖς ἱππικοῖς Θραξίν. ΧΑΙ-ΡΟΥΣΙΝ, οἱ φονεύοντες, οἱ Ἕλληνες. Gu.

V. 425. Ο Τ', ἀπὸ κοινοῦ τὸ χαῖρε. Fl. 10. ὅ τε ἐν τοῖς πολεμίοις Θραξὶν ὁ Πολύδωρος, ὁ ἐμὸς ἀδελφός. Fl. 33.

V. 426. ΕΙ ΖΗι Γ'· ΑΠΙΣΤΩ ΔΕ. τοῦ ὀνείρου γὰρ ἐμνημόνευσεν, ὃν εἶδε περὶ ἐκείνου ἐν τῇ ἀρχῇ τοῦ δρά-ματος. Gu. ΕΙ ΖΗι ΓΕ, χαιρήσεται δηλονότι· ἀπιστῶ δὲ, ὅτι οὕτω κατὰ πάντα δυστυχῶ. ΠΑΝΤΑ, ἐν πᾶσι. Fl. 21. ΔΥΣΤΥΧΩ, ὥστε ἀπιστεῖν εἰ ζῇ. Fl. 10.

V. 427. ΖΗι δηλονότι. Fl. 59. ἐκεῖνος. Fl. 17. ΘΑ-ΝΟΥΣΗΣ, σου. Fl. 17. 59. 76. ΣΥΓΚΛΕΙΣΕΙ, ἀσφα-λίσει. Fl. 17. καλύψει. Fl. 21. Gu.

V. 428. ΤΕΘΝΗΚ' ΕΓΩΓΕ — πρὸ τοῦ θανεῖν με

3) περιπτυσσομένη Gu.

τὸν φυσικὸν θάνατον, τέθνηκα ὑπὸ τῶν περιεχόντων με κακῶν. Gu. *ΠΡΙΝ*, πρὸ τοῦ. Fl. 56. Gu.

V. 429 sq. *ΚΟΜΙΖ', ΟΔΥΣΣΕΥ*, περικαλύψας τὴν κεφαλὴν ἱματίῳ, ὅτι πρὸ τοῦ σφαγῆναι ἐκτέτηκα τὴν καρδίαν. *ΚΟΜΙΖ'*, ἄπαγε πρὸς τὸν τάφον τοῦ Ἀχιλλέως. Gu. ἀντίπτωσις. ἄπαγε, ἀποκαλύψας τὴν κεφαλὴν τοῖς ἱματίοις. Fl. 10. ὦ Ὀδυσσεῦ, περιθεὶς τῇ ἐμῇ κάρᾳ τὰ βασιλικά μοι πέπλα, καὶ ἀποκόμισόν με. Fl. 33. *ΑΜΦΙΘΕΙΣ*, σκεπάσας. Fl. 6. 9. 21. 56. 59. 76. Gu. a m. pr. περικαλύψας διὰ τὸ κόσμιον. Gu. *ΚΑΡΑ*. κοινῶς μὲν ἡ κρὰς λέγεται, τῆς κρατός· ἡ δὲ τραγῳδία καὶ τὸ κρᾶτα λέγει οὐδετέρως, ὡς τὸ κάρα· ἡ δὲ κάρα τῶν νεωτέρων ἐστίν. 4) *ΠΕΠΛΟΙΣ*, ἐν. Fl. 17. σκεπάσμασιν. Fl. 21. τοῖς σοῖς ἢ τοῖς ἐμοῖς. Gu.

V. 430. *ΕΚΤΕΤΗΚΑ*. κυρίως τὸ τήκεσθαι ἐπὶ χιόνος λέγεται καὶ κηροῦ καὶ τῶν κατ' ὀλίγον ἀναλισκομένων, καὶ ἀπὸ τούτου ἐπὶ τῶν καταπιπτόντων ὑπὸ λύπης καὶ διαῤῥεομένων. 5) *ΕΚΤΕΤΗΚΑ*, δεδάμακα. Fl. 17. ἔλυσα, ἐξετάκην. Fl. 21. ἐδάμασα. Fl. 56. Gu. ἤτοι κατακέκομμαι τὴν ψυχὴν, ἐδαμάσθην. Gu. *ΚΑΡΔΙΑΝ*, τὴν ἐμαυτῆς καρδίαν. Fl. 6. 9. 21. 56. 59. 76. ἐμήν. Fl. 10. ἐξεπλάγην τῇ καρδίᾳ τοῖς θρήνοις τῆς ἐμῆς μητρός. Fl. 33.

V. 431. *ΘΡΗΝΟΙΣΙ*, ἐν. Fl. 10. *ΕΚΤΗΚΩ*, πάλιν. Fl. 10. δαμάζω. Fl. 17. 56. λύω. Fl. 21. *ΓΟΟΙΣ*, διὰ τῶν θρήνων. Fl. 17. θρήνοις. Fl. 56.

V. 432. *Ω ΦΩΣ· ΠΡΟΣΕΙΠΕΙΝ ΓΑΡ* τὸ σὸν ὄνομα ἔξεστί μοι, ἤγουν ὁ καιρὸς ἐνδίδωσί μοι προςφωνῆσαι καὶ καλέσαι τὸ σὸν ὄνομα. *ΕΞΕΣΤΙ ΜΟΙ*, ἄδεια δέδοταί μοι. Fl. 17.

V. 433 sq. *ΜΕΤΕΣΤΙ Δ' ΟΥΔΕΝ*, μετουσία δὲ ἔστι μοι σοῦ οὐδὲν πλέον, ἢ καθ' ὅσον χρόνον ἵσταμαι μεταξὺ τοῦ ξίφους καὶ τοῦ τάφου τοῦ Ἀχιλλέως. *ΜΕΤΕΣΤΙ*, μετέχει ἐμοί. Fl. 21.

4) Neglexerunt hoc quoque schol. King. Musgr.

5) Hoc schol. quod King. Musgr. tanquam e Baroc. 74. demum petitum ediderunt, est jam in Junt. et Basil. Idem habet Guelph. sed hoc ordine: τὸ τήκ. κυρίως ἐπὶ χ. λ.

V. 434. *ΒΑΙΝΩ*, περιπατῶ, πορεύομαι. Fl. 6. πορεύομαι μέσον ἐν τῇ θυσίᾳ τοῦ Ἀχιλλέως ἢ ἀνάμεσον τῶν Ἑλλήνων πορεύομαι, οἵτινες τῆς θυσίας τοῦ Ἀχιλλέως ἐγένοντο σύνεργοι. Fl. 33. οὐδέν ἐστι τὸ μεταξὺ τῆς πυρᾶς τοῦ Ἀχιλλέως καὶ τοῦ ξίφους. Fl. 10.

V. 435—440. *ΟΙ 'ΓΩ ΠΡΟΛΕΙΠΩ*. φεῦ ἐγὼ ἐκλείπω· τὰ δὲ μέλη μου λύεται, πρὸ τοῦ ἀποθανεῖν λείπω τὴν ζωὴν, αἱ δ' ἁρμονίαι λύονται τῶν μελῶν μου. ὦ θύγατερ, πρόςψαυσαι τῆς σῆς μητρὸς, δὸς τὴν χεῖρα· μή μ' ἄτεκνον καταλείψῃς. ἀπωλόμην, ὦ φίλαι γυναῖκες. οὕτω τὴν ἐκ τῆς Λακεδαιμονίας Ἑλένην θεασαίμην, τὴν ἀδελφὴν τοῦ Κάστορος καὶ Πολυδεύκους· διὰ γὰρ τῆς ὡραιότητος καὶ τοῦ προςόντος αὐτῇ κάλλους αἴσχιστως καθεῖλε καὶ κατέστρεψε τὴν πρὶν εὐδαίμονα Τροίαν.

V. 435. *ΠΡΟΛΕΙΠΩ*, ἤγουν ἀποψύχω. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. πρὸ τοῦ καιροῦ οἴχομαι, πρὸ τοῦ φυσικοῦ θανάτου λείπω τὴν ψυχὴν, ἀντὶ τοῦ ἤδη θνήσκω. Gu. *ΛΥΕΤΑΙ*, τήκεται, φθείρονται. Fl. 21.

V. 436. *ΑΨΑΙ*, κράτησαι. Fl. 17. ἐπιλαβοῦ. Fl. 56. ὦ θύγατερ, προςέγγισαι τῆς σῆς μητρός. Fl. 33. *ΕΚΤΕΙΝΟΝ*, ἅπλωσον. Fl. 56. ἐξάπλωσον, δός. Gu.

V. 437. *ΔΟΣ*, ἐπίδος μοι τὴν σὴν προςφίλην χεῖρα, μή μ' ἄτεκνον ἀπολείπῃς. Fl. 33. *ΜΗ ΛΙΠΗΙΣ*, μὴ ἐάσοις. Fl. 56. *ΑΠΩΛΟΜΗΝ*, ἐφθάρην. Fl. 17. 56. *ΦΙΛΑΙ*, γυναῖκες. πρὸς τὸν χορὸν τοῦτο φησί. Fl. 21.

V. 438. *ΩΣ*, εἴθε καὶ οὕτως. Fl. 59. καθὼς σὲ τέκνον ὁρῶ, οὕτω καὶ τὴν ἀπὸ Λακεδαιμονίας Ἑλένην, τὴν σύγγονον τῶν Διοςκούρων, διὰ τῶν ὀφθαλμῶν μου ἴδοιμι. Fl. 33. *ΛΑΚΑΙΝΑΝ*, Λακωνικήν. Fl. 59. Gu.

V. 439. *ΔΙΑ ΚΑΛΩΝ*. αἴσχιστος ὁ δύςμορφος· ἐναντία γὰρ αἰσχρὸς καὶ καλός 6), καὶ αἴσχιστος καὶ κάλλιστος·

6) King. Musgr. αἶσχρος καὶ κάλλος, i. e. αἶσχος κ. κ.

διὸ καὶ εἴρηται κατὰ σχῆμα ἀντίθετον τὸ *διὰ καλῶν γὰρ ὀμμάτων αἴσχιστα*. C. C. C. *ΔΙΑ ΚΑΛΩΝ ΟΜΜ.* δι᾽ εὐπρέπειαν. Fl. 21. 59. 76. ἤτοι διὰ τὴν εὐμορφίαν αὐτῆς. Fl. 56. διὰ τὴν εὐπρέπειαν ἑαυτῆς. Fl. 10. διὰ τῆς προσούσης αὐτῇ ὥρας. Gu.

V. 440. *ΑΙΣΧΙΣΤΑ*, αἰσχρά. Fl. 17. αἰσχρῶς. Fl. 56. κάκιστα. Fl. 21. *ΕΙΛΕ*, κατέλαβε. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἐκράτησε. Fl. 17. ἐπόρθησεν. Gu. *ΕΥΔΑΙΜΟΝΑ*, εὐτυχεστάτην. Fl. 56. ἥτις αἰσχίστως τὴν Τροίαν τὴν παμπλούσιον εἷλε καὶ ἠφάνισεν. Fl. 53.

V. 441 sqq. Τοῦ Ὀδυσσέως λαβόντος τὴν Πολυξένην καὶ ἀπερχομένου, ἀνακλαίεται αὐτὴν ὁ χορὸς διὰ τὸ ἄδηλον καὶ τὸ μὴ εἰδέναι, τί μέλλει παθεῖν αὐτή. ὁ δὲ χορὸς οὗτός ἐστιν ἐκ Τρῳάδων γυναικῶν, καὶ φησὶ πρὸς τὸν τῆς θαλάσσης ἄνεμον· [7] ἀπὸ ἑνικοῦ δὲ δηλοῖ πάσας τὰς γυναῖκας ὁ ποιητής. φησὶ δὲ ταῦτα ὁ χορός.

V. 441—465. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν [8] δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶν, ὅσα δουλεύων ὁ ποιητὴς ἀνταποδώσει καὶ ἀνακυκλήσει. εἰσὶ δὲ τὰ παρόντα δύο στροφαί. τῆς μὲν οὖν προτέρας στροφῆς τὰ κῶλα ια, καὶ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς Φερεκράτειον, ἐξ ἐπιτρίτου α καὶ βακχείου. τὸ β ὅμοιον δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δ, διάμβου καὶ συλλαβῆς ἀδιαφόρου. τὸ γ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, τροχαϊκῆς συζυγίας ἤτοι διτροχαίου, καὶ ἰωνικοῦ ἡμίσεως. ἐν μέντοι τῷ τῆς στροφῆς κώλῳ παίωνα β ἔχει ἀντὶ ἰωνικοῦ. τὸ δ δίμετρον ὑπερκατάληκτον· καλεῖται δὲ περίοδος διὰ τὸ συγκεῖσθαι ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας· ἔστι δὲ τῶν ἀσυναρτήτων.

7) In Guelph. priora usque ad *καί* desunt et scholion incipit ab his verbis: *τὸ εἶδος τοῦ χοροῦ ἐνταῦθα στάσιμον· πρὸς τὸν τῆς θαλ. ἄν. φησὶν ὁ χορὸς αὔρα*. deinde omittit *δέ* et verba *φησὶ δὲ ταῦτα ὁ χ.*

8) Sic recte King. pro *κατάσχεσις*. vid. Hephaest. p. 66. mox leg. *ἀνταποδόσει* et in fin. add. *γράφει*.

τὸ ε ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαϊκῆς συζυγίας ἤτοι διτροχαίου. τὸ ϛ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ ἰωνικὸν ὅμοιον τῷ ε. τὸ η ὅμοιον δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β καὶ συλλαβῆς μιᾶς. τὸ θ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς, ἐκ χοριάμβου καὶ ἀναπαίστου ἤτοι τριβραχέος διὰ τὴν ἀδιάφορον. τὸ ι χοριαμβικὸν ὅμοιον ἡμιόλιον, ἐκ χοριάμβου ἤγουν ἐπιτρίτου β καὶ τροχαίου διὰ τὴν ἀδιάφορον. τὸ ια τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ τῆς ἀντιστροφῆς παράγραφος μόνη.

V. 441—444. *ΑΥΡΑ*. ὦ πνοὴ θαλασσία, ἥτις τὰς ταχείας ναῦς, τὰς ἐν τῇ θαλάσσῃ τὴν πορείαν ποιουμένας, φέρεις ἐπὶ τὸ κῦμα τῆς θαλάσσης, ποῦ με τὴν ἀθλίαν ἄξεις, ἤτοι πορευθῆναι ποιήσεις; *ΑΥΡΑ*, ὦ πνοὴ ἀνέμου καὶ διὰ θαλάσσης κομίζουσα τοὺς πόντῳ πορευομένους, ἤγουν ἐν γιαλῷ (sic) καὶ τὰς ταχείας ναῦς ἐπὶ τὸ κῦμα τῆς θαλάσσης, ποῦ ἐμὲ τὴν ἀθλίαν διακομίσεις. Fl. 53.

V. 441. *ΑΥΡΑ* ἡ ἐξ ὑγροῦ φερομένη ἐκπνοὴ [9] διὰ τοῦ υ· ἄβρα δὲ ἡ δούλη διὰ τοῦ β. τὸ *αὔρα* εἰ καὶ ὁ κανὼν βραχύνει, ἀλλ᾽ οὗτος μακρὸν τοῦτο δέχεται, ὡς καὶ τὸ Φαίδρα ἐν ἑτέροις. καὶ Ἀριστοφάνης (Ran. 317), *αὔρα τις ἐξέπνευσε μυστικωτάτη* λέγων. ἅτις δὲ γράφεται διὰ τὸ μέτρον *ΑΤΕ* [10].

V. 443. *ΑΚΑΤΟΥΣ*. ἄκατοι τὰ μικρὰ πλοῖα· ἐνταῦθα δὲ τὰς ναῦς ἁπλῶς λέγει. Fl. 6. 9. 21. 56. 59. 76. Gu. *ΛΙΜΝΑΣ*. ἴδιόν ἐστι τῆς ποιητικῆς τὸ χρῆσθαι ταῖς λίμναις ἀντὶ θαλασσῶν, καὶ τῆς θαλάσσης ἀντὶ λιμνῶν. Fl. 17. λίμνην τὴν θάλασσαν φησὶν ὁ Ὅμηρος· *ἠέλιος δ᾽ ἀνόρουσε λιπὼν περικαλλέα λίμνην* (Od. γ', 1). Fl. 10.

V. 444. *ΠΟΡΕΥΣΕΙΣ*. πορεύομαι ἐγὼ καὶ πορεύω ἕτερον, ὡς ἐνταῦθα καὶ παρὰ Πλάτωνι· *ᾧ δὴ* [1] *προς-*

9) Sic Guelph. pro *ἐκφερομένη πνοή*, in quibus *πνοή* addidit King. In eodem desunt verba: *τὸ αὔρα — μέτρον ἄτε*.

10) *ἅτε* male omisit Musgr. Totum *ἅτις* etc. omisit King.

1) Sic recte Junt. Basil. Gu. Male Musgr. *ᾧ δέ*.

τέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι (Phaedon. p. 107. E.). *ΠΟΡΕΥΣΕΙΣ*, ἤγουν κομίσεις, ἄξεις. Fl. 6. 9. 21. 59. 76. Gu. διαβιβάσεις. Fl. 56.

V. 445 — 448. *ΤΩι ΔΟΥΛΟΣΥΝΟΣ*. πρὸς τίνος οἶκον δούλη κτηθεῖσα ἀφίξομαι; ἢ πορεύσεις με ἀπὸ κοινοῦ πρὸς τὸν ὅρμον τῆς Δωρίδος [2]), ἢ εἰς τὸν ὅρμον τῆς Θετταλικῆς γῆς, ἤγουν εἰς τὰ Φάρσαλα.

V. 445. *ΤΩι*, τίνι. Fl. 10. 59.

V. 446. *ΚΤΗΘΕΙΣΑ*, ὑποταγεῖσα, δοθεῖσα, πραθεῖσα. Fl. 56. *ΑΦΙΞΟΜΑΙ*, γενήσομαι. Fl. 17. ἔλθω. Fl. 56. ἢ πορεύσομαι ἢ παρησιάσομαι. Fl. 33. πορεύσομαι καὶ παραγενήσομαι. Gu.

V. 447. *Η ΔΩΡΙΔΟΣ*. οὐ πρὸς τὸ ἀφίξομαι τὸ ἢ Δωρίδος ἐστὶν, ἀλλὰ πρὸς τὸ πορεύσεις· εἰ γὰρ καὶ ἐνταῦθα τὸ ἀφίξομαι νοεῖται, ἀλλὰ μετ' ὀλίγον ἐλέγχεται, ὅταν λέγῃ τὸ ἢ νῆσον ἁλιήρει κώπᾳ πεμπομέναν τάλαιναν· [3]) ἔδει γὰρ, εἰ πρὸς τὸ ἀφίξομαι ἦν, εὐθεῖαν εἰπεῖν πεμπομένη τάλαινα. νῦν δὲ ἐκ τούτου φαίνεται, ὅτι πρὸς τὸ πορεύσεις ἐστὶ τὸ *Η ΔΩΡΙΔΟΣ*, τὸ δὲ τῷ δουλόσυνος πρὸς οἶκον κτηθεῖσ' ἀφίξομαι διὰ μέσου. τὸ *Η* δὲ τὸ πρὸ τῆς Δωρίδος ἢ ἀντὶ τοῦ ἆρα, ἢ διαζευκτικόν. [4]) *Η* ἀντὶ τοῦ ἆρα. Fl. 56. 59. *ΔΩΡΙΔΟΣ*, εἰς τὴν Πελοπόννησον. ἴσως διὰ τὸν Ἀγαμέμνονα. [5]) Fl. 10. ἢ ἐν τῇ Πελοποννήσῳ τὸν ὅρμον. Fl. 33. *ΑΙΑΣ*, γῆς. Fl. 10.

V. 448. *ΦΘΙΑΔΟΣ*, τῶν Φαρσάλων. Fl. 56. τῆς Θεσσαλίας διὰ τὸν Νεοπτόλεμον. Fl. 59. τῆς Θετταλίας, ἀπὸ μέρους τὸ πᾶν, διὰ τὸν Ἀχιλλέως υἱὸν Νεοπτόλεμον. Gu.

2) Guelph. (in quo desunt vv. πρὸς τίν. — ἀφίξ.) ἤτοι τῆς Πελοποννησιακῆς et mox pro Θετταλικῆς habet Φθιάδος.

3) Junt. Basil. πεμπομέναν. Τάλαιναν] ἔδει. Corr. King.

4) In Guelph. vv. τὸ ἢ (om. δέ) — διαζ. priori loco scripta sunt a m. pr. superiora οὐ πρὸς — διὰ μέσου altero loco a m. sec. Ceterum particula γ', quam post νᾶσον inseruit King., et Junt. ac Basil. et Guelph. carent; pro τὸ πρὸ τῆς Δωρ. Guelph. τὸ πρὸς τὸ Δωρ. fort. τὸ πρὸ τοῦ.

5) Gu. διὰ τὸν Ἀγαμέμνονα λέγει τοῦτο.

V. 448—457. *ΕΝΘΑ*, ὅπου τὸν Ἀπιδανὸν τὸν γεννήτορα τῶν καλλίστων ὑδάτων λέγουσιν ἀρδεύειν τὰ πεδία· ἢ πορεύσεις με τὴν τάλαιναν πεμπομένην θαλασσίᾳ κώπῃ, ἐλεεινὴν ζωὴν ἕξουσαν ἐν τοῖς οἴκοις τῶν δεσποτῶν, εἰς τὴν νῆσον τὴν Δῆλον, ὅπου πρωτοφανὴς φοίνιξ καὶ δάφνη πρωτογόνος ἱεροὺς ἀνεβλάστησαν κλάδους χάριν τῆς Λητοῦς τῆς φίλης, εἰς τιμὴν τῆς ὠδῖνος τῆς δίας [6]), ἢ τῆς ἀπὸ τοῦ Διὸς, ἢ τῆς θαυμαστῆς. [7])

V. 450. *ΑΠΙΔΑΝΟΝ*. ὄνομα ποταμοῦ. Fl. 6. 9. 21. 56. 59. 76. *ΛΙΠΑΙΝΕΙΝ*, ἀρδεύειν. Gu. a m. pr. ἤγουν ποτίζειν. Baroc. 74. Gu. a m. sec. οὐ χρὴ πεδία λιπαίνειν γράφειν, ἀλλὰ τὰς γυίας, ἵν' ᾖ τροχαϊκὸν τὸ κῶλον, ὡς καὶ τῆς ἀντιστροφῆς. Baroc. 74.

V. 451. *Η ΝΑΣΩΝ*. ἢ εἰς τὴν Δῆλον πορεύσεις. διὰ τὸν Ἀγαμέμνονα καὶ τοῦτο. Gu. καὶ τοῦτο ἴσως διὰ τὸν Ἀγαμέμνονα φησί. καὶ Ὅμηρος· πολλῇσι νήσοισι καὶ Ἄργει παντὶ ἀνάσσειν. (Il. β', 108.) Fl. 10. *ΑΛΙΗΡΕΙ*, ἐν τῇ θαλάσσῃ ἐρεσσομένῃ. Fl. 17. διὰ κώπης ἁλιήρους, ἤγουν ᾗ ἐρέσσουσι κατὰ τὴν θάλασσαν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. τῇ ἐν ἁλὶ ἐρεσσομένῃ κώπῃ. Fl. 10.

V. 452. *ΚΩΠΑι*. κώπη πόθεν ἐτυμολογεῖται; ἀπὸ τοῦ κινεῖν τοὺς ὦπας καὶ τοὺς ὀ. [8]) Fl. 56. *ΠΕΜΠΟΜΕΝΑΝ*, πορευομέναν ἐμέ. Fl. 6. *ΤΑΛΑΙΝΑΝ*, ἀθλίαν. Fl. 17.

V. 453. *ΟΙΚΤΡΑΝ*, ἐν οἷς ἀφίξομαι οἶκοι οἰκτρὰν ζωὴν ἔχουσαν. Fl. 59. ταλαίπωρον βιοτάν. Fl. 33. *ΕΧΟΥΣΑΝ*, ἀντὶ τοῦ ἕξουσαν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 454. *ΕΝΘΑ ΠΡΩΤΟΓΟΝΟΣ*. Φασὶ τὸν Δία πρὸς συνουσίαν ἐλθεῖν [9]) τῇ Λητοῖ. μαθοῦσαν δὲ τὴν Ἥραν τοῦτο, ζηλοτυπήσασαν κελεῦσαι μὴ ἐν τῇ γῇ γεννῆσαι δυνη-

6) Verba ἢ πορεύσεις — δίας repetuntur in Junt. Basil. cum varietate quadam: ἁλιήρει κώπῃ] ἢ πορ. τὴν Δῆλον deest; tum ἔνθα καὶ ὁ πρωτογόνος φοίνιξ ἱερ. ἀνεβλάστησε κλ. post τῆς δίας sequitur τουτέστιν εἰς τὴν Δῆλον.

7) Guelph. et Flor. 56. 76. ad v. 457. εἰς τιμὴν τῆς γέννας τῆς δίας, et, quae hic sequuntur. Florr. addunt etiam καὶ ἐνδόξου.

8) F. de Furia supplendum suspicatur καὶ τοὺς ὀφθαλμούς.

9) Guelph. συνελθεῖν. mox ἐν γῇ pro ἐν τῇ γῇ.

θῆναι τὴν Λητώ· βιαζομένης δὲ αὐτῆς πρὸς τὴν ἀποκύησιν, συνέταξεν ὁ Ζεὺς Ἑρμῆν λαβόντα αὐτὴν [10]) ἀπάξαι εἰς Δῆλον. ἡ δὲ Δῆλος ἦν νῆσος, ὥς τινες μὲν φασὶν, ἀναδοθεῖσα ἀπὸ θαλάσσης· ὡς δέ τινες, κινουμένη πρῶτον, τότε σταθεῖσα καὶ δήλη γενομένη. εἰς ἣν Δῆλον ἡ Λητὼ ἀφικομένη ἔτεκεν Ἄπολλωνα καὶ Ἄρτεμιν, δύο φυτῶν ὑπὸ Διὸς τότε ἀναφυέντων, φοίνικος καὶ δάφνης, οἷς ἐρειδομένη εὐκόλως τὸ ἔμβρυον ἐξήγαγε. [1]) ἐτιμᾶτο οὖν ἐν τῇ νήσῳ Ἀπόλλων καὶ Ἄρτεμις, ὡς ἐκεῖ γεννηθέντες. φασὶ δὲ ὡς ἡ Ἄρτεμις προεξέθορε τοῦ Ἀπόλλωνος, καὶ πρὸς τὸν τούτου τόκον Λητὼ ἐμαιεύσατο. [2]) *ΕΝΘΑ ΠΡΩΤΟΓ.* ἡ Λητοῦς ἀδελφὴ Ἀστερία, φεύγουσα τὴν Διὸς μίξιν, μετέβαλλεν ἑαυτὴν εἰς ὄρτυγα καὶ ἥλατο εἰς θάλασσαν, καὶ γέγονε νῆσος, ἥτις Ὀρτυγία καὶ Ἀστερία ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγενομένου Λητοῖ, καὶ ποιήσαντος αὐτὴν ἔγκυον Ἄρτεμιν καὶ Ἀπόλλωνα ζήλῳ τῆς Ἥρας μήτε ἐν γῇ μήτε θαλάσσῃ ὑποδεχομένη τῇ Λητοῖ πρὸς ἀπότεξιν [3]), κελεύσας τῷ Ποσειδῶνι Ζεὺς, καὶ ἀνέδωκε ταύτην τὴν Ὀρτυγίαν καὶ Ἀστερίαν καλουμένην, πρότερον κρυπτομένην τοῖς ὕδασιν, ἔτι καὶ ὑποτρέμουσαν· καὶ ἐκ τοῦ φανῆναι αὐτὴν Δῆλον ὠνόμασεν. ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ, καὶ δάφνης καὶ φοίνικος πρώτως ἐκεῖ φανέντων ἁψαμένη τὴν Ἄρτεμιν γεννᾷ. ἡ δὲ ταύτην μαιεύει, καὶ τίκτει καὶ τὸν Ἀπόλλωνα. καὶ Ἄρτεμις μὲν τὴν Δῆλον κατέσχεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν. Fl. 6. ὁ Ζεὺς τῇ Λητοῖ συμμιγεὶς, καὶ ζηλοτυπούσης ὑπὲρ τούτου τῆς Ἥρας, φοβούμενος ὁ Ζεὺς, μή τι κακὸν ἐπάγοι τῇ Λητοῖ ἡ Ἥρα, κατὰ τὸ μέσον τῆς θαλάσσης ἀνεδόθη ἡ Δῆλος

10) Pron. addidi e Guelph. sicut mox *ὡς τινὲς μὲν φ.* Idem habet *ἀναδοθεῖσαν — ὡς τινὲς δέ — κινουμένην — ἐν ᾗ ἀφικ.*

1) Verba *οἷς ἐρ. — ἐξήγ.* in Junt. et Basil. desunt. Addidit King.; eadem habet Gu.

2) *φασὶ δὲ — ἐμαιεύσ.* e Guelph. accesserunt. Quae sequuntur iu editis, Gu. secutus, ad suum quodque locum retuli, ne, quae ad idem argumentum spectant, disiungerentur.

3) Locum corruptum sic fortasse sanaveris: *μήτε γῆς μήτε θαλάσσης ὑποδεχομένης*, ut *Ἄρτεμιν καὶ Ἀπόλλωνα* ab *ὑποδεχ.* pendeant. Pro *ἔγκυον* in cod. erat *ἔγκυρον*. Nec sequentia sana sunt.

νῆσος, κἀκεῖσε ταύτην ὁ Ζεὺς ἔπεμψε. καὶ μὴ ἔχουσα παραμυθίαν τινὰ ἕνεκα τῆς γέννας αὐτῆς, τότε πρώτως ἀνέδωκε τόν τε φοίνικα καὶ τὴν δάφνην ἐκ τῆς γῆς εἰς παραμυθίαν αὐτῆς. τεκοῦσα δὲ τὸν Ἀπόλλωνα καὶ την Ἄρτεμιν, ἀφιερώθησαν τὰ τοιαῦτα φυτὰ τῷ Ἀπόλλωνι. διὰ τοῦτο καὶ ἱερὰ καλοῦνται. Fl. 59. *ΕΝΘΑ*, ἐν ᾗ νήσῳ εἰς τὴν μὲν ἐκείνην Δῆλον ἀνεβλάστησεν τὸν φοίνικά τε καὶ τὴν δάφνην. Fl. 21. καὶ Ὅμηρος· Δήλῳ δήποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα (Od. ζ′, 162). Fl. 10. *ΠΡΩΤΟΓΟΝΟΣ.* πρωτόγονον δὲ εἶπεν αὐτὸν, ὡς πρῶτον γεννηθέντα τῆς δάφνης, καὶ ἡ δάφνη κλάδους ἀνέφυσε, μελλούσης τεκεῖν τῆς Λητοῦς τὸν Ἀπόλλωνα. *ΠΡΩΤΟΓΟΝΟΣ*, ὁ τότε πρώτως γεννηθεὶς ἐκ τῆς γῆς ὁ φοίνιξ καὶ ἡ δάφνη. Fl. 59. κατὰ πρώτην γένεσιν, ἐπιῤῥηματικῶς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. πρωτοφυής. Gu. *ΦΟΙΝΙΞ.* τὸ φοίνιξ καὶ τὸ κῆρυξ μακρὰν ἔχει φύσει τὴν λήγουσαν, καὶ δῆλον ἀπὸ τῆς γενικῆς μακρὰν ἐχούσης τὴν παραλήγουσαν. [4])

V. 455. *ΔΑΦΝΑ*, πρωτόγονος δηλονότι. (ὡς ἀναδοθέντας τότε Ἀπόλλωνος καὶ Ἀρτέμιδος χάριν *ΙΕΡΟΥΣ* τοὺς *ΠΤΟΡΘΟΥΣ* φησίν. [5])) Gu. *ΑΝΕΣΧΕ*, ἀνεβλάστησε, (ἀνέδωκε). Gu.

V. 457. *ΑΓΑΛΜΑ.* λείπει ἡ εἰς. τιμήν. Fl. 10. εἰς τέρψιν. Fl. 59. εἰς ἄγαλμα καὶ καλλώπισμα τῆς Λητοῦς. ταῦτα μὲν κατέχουσα ἀπεκύησε τὸν Ἀπόλλωνα καὶ Ἄρτεμιν. Fl. 59. *ΑΓ.* καλλώπισμα. Gu. *ΔΙΑΣ*, ἢ τῆς ἀπὸ Διὸς γινομένης. [6]) Fl. 10. ἤγουν τῆς Ἀρτέμιδος. Fl. 21.

V. 459. *ΤΕ*, περισσόν. Fl. 17. *ΚΟΥΡΑΙΣΙΝ* ἀντὶ τοῦ γυναιξίν. Fl. 6. 9. 21. 56. 59. 76. *ΤΕ.* ὁ τε πλεονάζει. Fl. 21. τοῦτο τὸ *ΤΕ* πρὸς τὸ *χρυσέαν ἄμπυκα* σύναπτε. Gu.

V. 458 — 460. *ΣΥΝ ΔΗΛ.* σὺν ταῖς ἀπὸ Δήλου

4) Hoc scholion desideratur in King. et Musgr.

5) Haec sunt etiam in editis *ἱερ. δὲ τοὺς πτ. φησὶν ὡς ἀναδ.*

6) Excidisse videtur *ἢ τῆς θαυμαστῆς καὶ ἐνδόξου.* Vid. ad v. 448—457. not. 1.

νέαις τὸ χρυσοῦν κρήδεμνον καὶ τὰ τόξα ὑμνήσω τῆς Ἀρτέμιδος.

V. 460. *ΑΜΠΥΚΑ.* ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν· ἀφ᾽ οὗ κατὰ μεταφορὰν καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται. *ΑΜΠΥΚΑ,* κεφαλοδέσμιον. Fl. 10. περικεφαλαίαν. Fl. 17. 21. Gu. a m. sec. τὸ χρυσοῦν φάσμα (ὕφασμα). Fl. 21. ἄμπυξ γάρ ἐστι ἐπίδεσμος χρυσὸς (χρυσοῦς), ὃς εἰς κόσμησιν τῆς κεφαλῆς περιδέδηται (—δεται) τῇ τριχώσει ὡς στέφανος πεπλεγμένος. Fl. 33. κρήδεμνον. Gu. *ΕΥΛΟΓΗΣΩ,* μέλψω. Fl. 6. 9. 17. 21. 56. 76. Gu. ὅπως μέλψω καὶ εὐφημήσω, ὑμνήσω. Fl. 59.

V. 461 — 478. Τῆς β ταύτης στροφῆς τὰ κῶλα θ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α ἰωνικὸν δίμετρον καταληκτικὸν ἑφθημιμερές, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὸ β ὅμοιον κατὰ πάντα. τὸ γ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, Γλυκώνιον καλούμενον, ἐξ ἐπιτρίτου δ καὶ ἰαμβικῆς συζυγίας, ἤτοι διϊάμβου. τὸ δ δίμετρον ἀκατάληκτον, προσῳδιακὸν καλούμενον, ἀσυνάρτητον, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος. τὸ ε ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ δισπονδείου. τὸ ς χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ βακχείου. τὸ ζ ὅμοιον, ἐξ ἐπιτρίτου γ, ἢ δισπονδείου, καὶ ἀναπαίστου· δύναται δὲ εἶναι καὶ ἀντισπαστικόν. τὸ η ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον [7], ἐξ ἐπιτρίτου δ, εἰ δὲ βούλει σπονδείου, καὶ χοριάμβου· ἔχει δὲ τὸ τῆς ἀντιστροφῆς κῶλον τὸν πρῶτον πόδα πεντασύλλαβον. ἐπὶ μὲν τῷ τέλει τῆς στροφῆς κορωνὶς, δηλοῦσα τέλος σχεῖν τὰς τοῦ χοροῦ ᾠδὰς καὶ στροφάς.

V. 461 — 466. *Η ΠΑΛΛΑΔΟΣ.* ἢ πορεύσεις ἐμὲ ἐν ταῖς Ἀθήναις, ὅπως ἐμβεβαμμένῳ ἀπὸ κρόκου ὑφάσματι τοὺς πώλους τῆς περικαλλῆ δίφρον ἐχούσης Ἀθηνᾶς ἐζευγμένους ποιήσω διαφόρως ποικίλλουσα καὶ καλλωπίζουσα ἐν ποικίλαις μετάξαις ἀνθηραῖς. *Η ΠΑΛΛΑΔΟΣ,* ἢ τῆς πολεμικῆς Ἀθηνᾶς. Fl. 33. διὰ τοὺς Θησέως παῖδας Ἀκάμαντα καὶ Δημοφῶντα. Fl. 10. Gu.

7) King. dedit δίμετρον, καταληκτικόν. τὸ θ δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ, εἰ δὲ βούλει, δισπονδείου καὶ χοριάμβου, recte. Idem mox ἔχειν pro σχεῖν.

V. 462. *ΚΑΛΛΙΔΙΦΡΟΥ,* καλὰ ἅρματα ἐχούσης. Fl. 59. τὰ πολεμιστήρια Ἀριστοφάνους· Φειδ. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια; Στρεψ. ἐμὲ μὲν σὺ τὸν πατέρα πολλοὺς ἐλαύνεις δρόμους. Ἀτὰρ τί χρέος ἔβα με μετὰ τῶν Πασίας; τρεῖς μνᾶς διφρίσκου καὶ τρόχοιν Ἀμυνίᾳ. (Arist. Νεφ. 28 sqq.) Fl. 21. τῆς πολεμικῆς. Gu.

V. 463. *ΚΡΟΚΕΩι ΠΕΠΛΩι,* ἤγουν ἐν ἱματίῳ βεβαμμένῳ ἀπὸ τοῦ κρόκου. Fl. 6. 9. 21. 56. 59. 76. ἐν κοκκίνῳ βλατίῳ (sic). Fl. 33. κρόκη τὸ ἰδιωτικῶς καλούμενον ὑφάδιον, ὅπερ εἰλήγεται [8]) περὶ τὸν στήμονα, ὡς Ἡσίοδος φησὶ λέγων· στήμονι δ᾽ ἐν παύρῳ πολλὴν κρόκα μηρύσσασθαι. (ἔργ. 536.) Ἄλλως. ἀπὸ τοῦ κρόκους ὁ αἰγιαλὸς παρὰ τὸ κείρω τὸ κόπτω κερόκη καὶ κρόκη, εἰς ἃ κείρονται καὶ κυλῶνται τὰ κύματα. οὐ μόνον δὲ αἱ παρθένοι ὕφαινον, ὡς φησὶν Ἀπολλόδωρος ἐν τῇ περὶ θεῶν αὐλῇ [9]), ἀλλὰ καὶ γυναῖκες τέλειαι, ὡς Φιλοκράτης ἐν δουλοδιδασκάλοις. [10]) Fl. 6. 10. *ΚΡΟΚΕΩι,* ὑφαντῷ· κρόκη γὰρ τὸ ὑφάδιον· ἢ κροκοειδεῖ. Gu.

V. 464. *ΖΕΥΞΟΜΑΙ ΑΡΜ. Π.* ἔθος ἦν ἐν Ἀθήναις ὑφαίνειν τὰς παρθένους τῇ Ἀθηνᾷ πέπλον ἔχοντα [1]) τὰς ἀριστείας τῆς θεοῦ πολεμικῆς οὔσης, καὶ ἃ κατὰ τῶν Γιγάντων κατεπράξατο μετὰ τοῦ Διός. ὕφαινον δὲ ἐν τοῖς Παναθηναίοις. τὰ δὲ Παναθήναια ἦν ἑορτὴ τῆς Ἀθηνᾶς, πάντων Ἀθηναίων συνιόντων ἐκεῖσε καὶ τῶν ἄλλων Ἑλλήνων πολλὰς ἡμέρας πανηγυριζόντων. ἀνετίθετο δὲ ὁ πέπλος

8) de Furia coniic. εἱλίσσεται.

9) αὐλῇ quid sibi velit, non assequor. Apollodorum ἐν τῇ περὶ θεῶν ἑπτακαιδεκάτῃ laudat Schol. Soph. Oed. C. 502. Verba illa ἐν τῇ π. θ. α. desunt in Cod. 6.

10) Sic Cod. 10. In 6. corrupte ἐν Διὸς διδασκαλικῷ. Pro Φιλοκράτης Cod. 6. Φιλόστρατος. sed leg. Φερεκράτης. v. Fabric. Bibl. gr. T. II. p. 474. ed. Harl. Schweighaeus. Ind. auct. in Athen. p. 163.

1) Turpi errore in King. et Musgr. τὰς παρθ. τῇ Ἀθ. π. ἔχ. exciderunt. κατὰ τῶν Γίγ. et Παναθ. ἦν ἑορτή e Guelph. recepi. Idem Codex habet ὕφαινον γὰρ — τέσσαρας ἡμέρας — ὁ πέπλος τῇ θεῷ. Ex eodem πρὸς τὸ πώλους recepi pro πρὸς τοὺς π.

τῇ Ἀθηνᾷ. εἰκότως δὲ εἶπε τὸ ζεύξομαι πρὸς τὸ πώλους· ζεύγνυνται γὰρ οἱ πῶλοι· εἶτα προϊὼν εἰς τὸ ἢ Τιτάνων γενεάν, οὐ ζεύξομαι εἴποις, ἀλλὰ ὑφανῶ· καὶ γὰρ κἀνταῦθα ὑφανῶ ἔδει εἰπεῖν, ἀλλ' ἐτήρησε τὴν τροπήν, ὡς ἔφαμεν, πρὸς τὸ πώλους.

Ib. *ΖΕΥΞΟΜΑΙ*, κατασκευάσω καὶ ὑφανῶ. Fl. 59. ὑφάσματι συναρμόσω. Fl. 9. 17. ἤτοι ἵππους ἅρματι ἐζευγμένους ποιήσω, (διὰ τῆς ὑφάνσεως συζεύξω, ὑφανῶ.) Gu.

V. 465. *ΔΑΙΔΑΛΕΑΙΣΙ*, ποικίλως εἰργασμέναις. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἐν ποικίλοις καὶ πολυχρωμάτοις βάμμασι. Fl. 33. *ΠΟΙΚΙΛΛΟΥΣ'*, ζωγραφοῦσα. Fl. 56. καλλωπίζουσα. Gu.

V. 466. *ΠΗΝΑΙΣ*, κατασκευαῖς. Fl. 33. μετάξαις. Gu.

V. 467. *ΤΙΤΑΝΩΝ*, τῶν καταχθονίων γιγάντων. Baroc. 74. Gu. ἀπὸ κοινοῦ τὸ ζεύξομαι. Fl. 21. ἤγουν τὴν Γιγαντομαχίαν, ἐν ᾧ ἐγράφετο ἡ ἀναίρεσις τῶν Τιτάνων ἢ τῶν Γιγάντων. ὁ δὲ νοῦς· ἐλθοῦσα, φησὶν, εἰς τὰς Ἀθήνας ἢ τοὺς πώλους ζεύξομαι τοὺς ἐπὶ τῷ πέπλῳ, ἢ ἐπισκιάσω τὰς ἀριστείας αὐτῆς ὑφαίνουσα, ἢ τὴν Γιγαντομαχίαν. ἢ ἐν τῇ πόλει τῆς Παλλάδος ζεύξομαι καὶ ὑφανῶ ἐν τῷ κροκέῳ πέπλῳ καὶ ἱστοὺς (sic) τοὺς ἐν τῷ ἅρματι πώλους τῆς καλλιδίφρου Ἀθηνᾶς. ἐπεὶ γὰρ πολεμικὴ ἡ θεός, ἀφιέρουν ταύτῃ πέπλους ἔχοντας ὑφαντοὺς καὶ τοὺς πώλους αὐτῆς σὺν τῷ ἅρματι. ἢ ἐπεσκίαζον καὶ ἑτέρας ἐν τῷ πέπλῳ καὶ ἑτέρῳ αὐτῆς ἀριστείῳ. Fl. 59. τὴν Γιγαντομαχίαν· τούτους γὰρ πολεμήσασα ἐνίκησε. (in marg. σημαίνει, ὅτι Τιτᾶνες καὶ Γίγαντες οἱ αὐτοὶ ἐλέγοντο.) Gu.

V. 468 sq. *ΤΑΝ ΖΕΥΣ*. ἥντινα γενεὰν τῶν Τιτάνων θανατοῖ, ἤγουν ἐθανάτωσεν ὁ υἱὸς τοῦ Κρόνου κεραυνῷ καυστικῷ.

V. 469. *ΚΟΙΜΙΖΕΙ*, θανατοῖ ἀντὶ τοῦ ἐθανάτωσεν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. ἀφανίζει ὡς ἐπαναστᾶσαν κατ' αὐτοῦ. Gu. a m. 2.

V. 470—474. *Ω ΜΟΙ ΤΕΚΕΩΝ*. φεῦ ἕνεκα τῶν ἐμῶν τέκνων, φεῦ ἕνεκα τοῦ Πριάμου· πατέρα γὰρ τοῦτον τῶν τέκνων αὐτῆς καλεῖ· [2]) χθονός τε, ἤγουν τῆς πατρίδος, ἢ καταβέβληται καὶ ἀφανίζεται καιομένη, αἰχμάλωτος ὑπὸ τῶν Ἑλλήνων. *Ω ΜΟΙ ΤΕΚΕΩΝ*. ἐν γὰρ τῷ χορῷ καὶ παρθένοι εἰσὶν καὶ γυναῖκες. Fl. 10.

2) Verba ἕνεκα — καλεῖ sunt etiam in Gu. a m. pr.

V. 472. *ΚΑΠΝΩι ΚΑΤΕΡ*. ἀντὶ τοῦ πυρί. Gu. καθάπερ καπνῷ ἀφανίζεται. Fl. 33. πυρὶ καταβέβληται. Fl. 6. 9. 17. 56. 59. 76. *ΚΑΤΕΡΕΙΠΕΤΑΙ*, κατεστράφη. Fl. 10. 21. καταστρέφεται. Fl. 21. ἀντὶ τοῦ καταβέβληται (εἰς τὴν γῆν, ἀφανίζεται). Gu.

V. 473. *ΤΥΦΟΜΕΝΑ*, κεκαυμένη. Fl. 6. 9. 56. 59. ἀλαζονευόμενα, κενοδοξούμενα. Fl. 33. καιομένη (φλεγομένη). Gu. *ΔΟΡΙΚΤΗΤΟΣ*, δοριάλωτος, καὶ ὑπὸ τὴν κτῆσιν καὶ δεσποτείαν τῶν Ἑλλήνων γενομένη. Fl. 10. 21.

V. 475. *ΚΕΚΛΗΜΑΙ*, ἀντὶ τοῦ κεκλήσομαι. *ΔΟΥΛΗ* [3]), κατὰ ἀναχρονισμὸν, ἢ ἀντὶ τοῦ ἐκλήθην. ἀφ' οὗ γὰρ τῆς πατρίδος ἐξελήλαται πορθηθείσης, ἀπὸ τούτου τοῦ καιροῦ εἰς δουλείαν ἐτάχθη, εἰ καὶ μήπω ἐπέβη τοῦ τόπου, οὗ δουλεύειν ἔμελλεν. [4]) τὸ δ' *ΕΝ ΞΕΙΝΗι ΧΘΟΝΙ* ἢ οὗ ἔμελλεν, ὡς ἔφαμεν, ἀπελθεῖν νοητέον, ἢ διὰ τὴν Χεῤῥόνησον, ἐν ᾗ πρὸς τὸ παρὸν εὑρίσκεται, καταλιποῦσα τὴν Ἀσίαν, ἤγουν τὸν τόπον τῆς Τροίας, τὴν δούλην τῆς Ἑλλάδος· τὸ ὅλον ἀντὶ μέρους. *ΚΕΚΛΗΜΑΙ*, ἀντὶ τοῦ κληθήσομαι. Fl. 6. 9. 10. 17. 21. 56. 59. 76.

V. 476. *ΛΙΠΟΥΣ' ΑΣΙΑΝ*. ἐπειδὴ ἡ μὲν Τροία ἐν Ἀσίᾳ ἐστὶν, οἱ δὲ ταύτην πορθήσαντες [5]) Ἕλληνες ἐν Εὐρώπῃ, διὰ τοῦτο τὴν Ἀσίαν δούλην τῆς Εὐρώπης λελοιπέναι φησί. *ΑΣΙΑΝ*, τὴν Τροίαν, τὸ ὅλον ἀντὶ τοῦ μέρους. Fl. 6. 9. 21. 56. 59. 76. εἰς τρία διαιρεῖται πᾶσα ἡ γῆ, εἰς Ἀσίαν, εἰς Λιβύην καὶ εἰς Εὐρώπην. Fl. 17.

V. 477. *ΕΥΡΩΠΑΣ*, τῆς τῶν Ἑλλήνων γῆς. Fl. 6. 9. 21. 56. 59. 76. Ἑλλάδος. Fl. 17. *ΘΕΡΑΠΑΙΝΑΝ*, γενέσθαι δούλην. Fl. 56.

3) δούλη om. Gu. qui praeterea: ἢ τὸ κεκλ. ἀντὶ.

4) εἰ καὶ μήπω — ἔμελλεν e Guelph. sumta sunt. In sqq. idem Cod. ἢ, ὡς ἔφαμεν, ἐκτὸς νοητ. et εὑρίσκετο. Ultima καταλιπ. — Τροίας in paraphr. transtulit King. reliqua omisit.

5) Guelph. πεπορθηκότες. Quae post φησί sequuntur in editis, ad v. 478 adscripsi.

V. 478. *ΑΛΛΑΞΑΣ' ΑΙΔΑ ΘΑΛ.* ἀντιστρόφως λέ-
γεται ἀντὶ τοῦ ἀλλαξαμένη αἴδηι τῶν θαλάμων, ἤτοι ἀντὶ
τοῦ τῶν θαλάμων, [6]) τουτέστι τῶν οἴκων αἴδαν κληρωσα-
μένη, ὅμοιον τῷ ὠνοῦμαι δραχμῆς ἢ τοιούτου τινος τόδε,
ἤγουν διὰ δραχμῆς ὠνοῦμαι τόδε· καὶ τὸ ὠνεῖσθαι γὰρ
ἀνταλλάττειν ἐστίν. ἐν τοῖς τοιούτοις γὰρ τὸ μὲν κατὰ γενικὴν
προσφερόμενον (leg. προφερόμενον) ἀεί ἐστι τὸ διδόμενον,
τὸ δὲ κατὰ αἰτιατικὴν τὸ λαμβανόμενον. τὸ δὲ *ΘΑΛΑ-
ΜΟΥΣ* ἀντὶ τοῦ τὰς ἐμὰς εὐνάς, τουτέστι παλλακὶς ἐγε-
γόνειν, καὶ διὰ τοῦτο οὐκ ἀπέθανον. τοῦτο [7]) γάρ ἐστι τὸ
ἀλλ. αἴδα θαλ. ἀντὶ τοῦ δοῦσα τὸ ἐμὸν λέχος τῷ σκυ-
λεύσαντι καὶ βουληθέντι φονεῦσαί με. *ΑΛΛΑΞΑΣ'*, αλ-
λαξαμένη τοῦ θανάτου τὸ ζῆν. ἢ ἀνταλλαξαμένη, ἀντὶ τοῦ
θελήσασα ζῆν, ἤπερ τεθνάναι. Fl. 10. ἀνταλλαξαμένη τὸν
θάνατον τοῦ ζῆν. ἄλλως. ἀλλάξασ' αἴδα, ὅτι τὸν θάνατον
ἀνταλλαξαμένη, ἀντὶ τοῦ θελήσασα μᾶλλον τεθνάναι ἢ τὸ
ζῆν. Fl. 21. 59. ἀνταλλαξαμένη ᾄδου ἄκων. (leg. οἴκων.
vid. Pors. ad Med. 44.) Fl. 17. ἀντιδοῦσα. Fl. 56. κα-
ταλλάξασα αὐτῶν τῶν θαλάμων τὸν ᾅδην. Fl. 33. *ΑΛ-
ΛΑΞΑΣ' ΑιΔΑ ΘΑΛ.* πολλοὶ γὰρ Ἑλλήνων ἐφείσαντο
σφάξαι τὰς Τρῳάδας, ὡς παλλακίσιν αὐταῖς χρήσωνται. Fl.
10. 21. 59. [8]) *ΘΑΛΑΜΟΥΣ*, τὰ οἰκήματα τοῦ ᾅδου,
ἤγουν θάνατον. Fl. 59. *Κατὰ* τὸ σιωπώμενον ἐσφάγη ἡ
Πολυξένη· ἔθος γὰρ τοῖς τραγικοῖς χοροῖς τὸ μὴ ἐπ' ὄψει
τῶν θεατῶν ἀναιρεῖν· ἠνιάθησαν γὰρ ἂν ὁρῶντες τοιαύτην
θέαν. Fl. 10. 59.

V. 479 sq. *ΠΟΥ ΤΗΝ ΑΝ.* αἱ περίοδοι αὗται πᾶ-
σαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρμε,
ὧν ὁ τελευταῖος, ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν
κακόν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ τῷ τέλει κο-

6) Haec etiam omisit King. Musgr. Verba ἤτοι — θαλάμων e Gu. Florr. 6. 9. 21. 34. 56. 59. 76. addidi; sed Florr. habent ἤγουν ἀντὶ τῶν θαλ.

7) Verba οὐκ ἀπέθανον. τοῦτο om. Junt. Basil. addidit King. habet etiam Guelph. Ceterum vv. τὸ δὲ θ. — φονεῦσαί με in editis scholio ad v. 476 adhaerebant. Vid. not. 7.

8) In Flor. 59. est τοῦτο δέ φησιν, ἐπεὶ πολλοὶ ἐφείσ. σφ. τινὰς τῶν Τρ. ἀγαπῶντες αὐτὰς πολλάκις χρήσασθαι. In eodem et Cod. 10. hoc scholion vs. 476 adscriptum est.

ρωνίς, ἐξιόντων τῶν ὑποκριτῶν. *ΠΟΥ ΤΗΝ ΑΝ.* ὦ Τρωϊκαὶ γυναῖκες, ποῦ ἂν εὕροιμι τὴν Ἑκάβην, τὴν ἤδη ὑπάρχουσαν βασίλισσαν τῆς Τροίας. *ΠΟΥ ΤΗΝ ΑΝ.* ὦ κοῦραι καὶ νέαι Τρῳάδες, ποῦ τὴν ποτὲ οὖσαν βασιλίδα τῆς Τροίας Ἑκάβην εὕροιμι; Fl. 33.

V. 479. *ΑΝΑΣΣΑΝ*, δέσποιναν. Fl. 17.

V. 480. *ΕΞΕΥΡΟΙΜΙ.* περισσὴ ἡ ἐξ. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 481 sq. *ΑΥΤΗ Π.* αὕτη πέλας σου, ὦ Ταλθύβιε, ἐῤῥιμμένη κατὰ γῆς κεῖται, κεκαλυμμένη τοῖς ἱματίοις. *ΑΥΤΗ Π.* αὕτη ἐγγύς σού ἐστι, ἔχουσα ἐπὶ τὴν γῆν τὰ ἑαυτῆς νῶτα. Fl. 33.

V. 481. *ΑΥΤΗ*, δεικτικῶς. λειποθυμήσασα γὰρ διὰ τὴν τῆς θυγατρὸς ἀφαίρεσιν νεκροῦ δίκην κατὰ γῆς ἐῤῥιπτο. Gu. [9]) *ΠΕΛΑΣ ΣΟΥ*, ἔμπροσθέν σου κειμένη. Fl. 17. πλησίον. Fl. 21. 56.

V. 482. *ΣΥΓΚΕΚΛΕΙΣΜΕΝΗ*, συγκεκαλυμμένη διὰ πέπλων. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. ἐντετυλιγμένη. Gu. a m. 2.

V. 483 — 486. *Ω ΖΕΥ.* Ὁρῶν ὁ Ταλθύβιος τὴν Ἑκάβην οὕτως ἀθλίως [10]) διακειμένην, ἐκπληττόμενος λέγει πρὸς τὸν Δία· πότερον, ὦ Ζεῦ, σὺ τοὺς ἀνθρώπους ἐφορᾷς, ἢ δοκοῦντες οἱ ἄνθρωποι εἶναι θεούς, καὶ κήδεσθαι αὐτῶν [1]), ἔχουσι τὴν περὶ τούτου δόξαν ψευδῆ, τὸ δὲ τῆς τύχης διοικεῖ τὰ ἀνθρώπεια. οὕτω τὸ ψευδῆ πρὸς τὸ δόξαν συντακτέον, οὐ πρὸς τὸ δοκοῦντας [2]), καθὼς οἴονταί τινες ἀγνοήσαντες, καὶ ἀντὶ τοῦ ψευδῶς τὸ ψευδῆ ἐκλαβόντες. τὸ ψευδῆ δὲ μεθερμηνευτικόν ἐστι τοῦ μάτην καὶ τοῦ ἄλλως. *Ω ΖΕΥ.* φεῦ, ἆρα εἴπω σε ὁρᾶν τοὺς ἀνθρώπους, ἢ λέξω τοῖς ἀνθρώποις ὑπόνοιαν ψευδῆ ταύ-

9) Idem est hoc scholion, quod e Baroc. 74 ad v. 490 sq. adscripsit King. in quo male legitur ἀποθυμήσασα et ἀναίρεσιν. August. C. ap. Herm. Praef. ad Hec. p. XII. ad νῶτα v. 491. λιποθυμήσασα διὰ τὴν Πολυξένην.

10) Sic Gu. qui etiam ἐν γῇ κειμένην διακειμ.

1) Haec e Gu. addidi.

2) τὸ e Gu. addidi.

την κεκτῆσθαι τοὺς θεοὺς, τὴν τύχην δὲ εἶναι τήνδ' ὑπ' οὐράνιον τὴν σκοποῦσαν καὶ διοικοῦσαν αὐτούς. Fl. 17. ὦ Ζεῦ, ποῖα δὴ λέγειν πρότερον, ὁρᾷν ἀλληνάλλως τὴν δόξαν τῶν ἀνθρώπων μάτην γεγενημένην. ψευδὴ (sic) γὰρ οἱ θεοὶ τὴν τύχην ἐν τοῖς ἀνθρώποις ἐπισκοπεῖν. Fl. 33.

V. 483. *ΛΕΞΩ*, εἴπω. Fl. 17. 56. 59. Gu. *ΠΟΤΕΡΑ*, ἆρα λέξω ἐφορᾷν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *ΟΡΑιΝ*, τουτέστι ἐπισκοπεῖν τοὺς ἀνθρώπους. Fl. 17. διοικεῖν. Fl. 10. ἐφορᾷν. Gu.

V. 484. *Η*, λέξω. Fl. 59. *ΔΟΞΑΝ*, ὑπόνοιαν. Fl. 10. 21. 59. δόκησιν, ὑπόληψιν. Fl. 17. δόξα σημειοῖ γ. τὸ δόγμα, τὴν δόκησιν καὶ τὴν τύχην. Fl. 6. *ΑΛΛΩΣ*. τὸ ἄλλως καὶ τὸ μάτην ἐκ παραλλήλου. Fl. 6. 9. 21. 56. 59. 76. Gu.

V. 485. *ΨΕΥΔΗ*, ψευδῶς. Fl. 6. 9. 21. 56. 59. 76. τὸ ψευδῆ μεθερμηνευτικόν ἐστι τοῦ μάτην καὶ τοῦ ἄλλως. Gu. *ΔΟΚΟΥΝΤΑΣ*, νομίζοντας γένος εἶναι θεῶν τοὺς ἀνθρώπους. Fl. 59. 21. [3]) μὴ μέντοι γε εἶναι θεοὺς τοὺς ταῦτα ἐφορῶντας καὶ διέποντας. Gu.

V. 486. *ΤΥΧΗΝ*, μοῖραν. Fl. 17. τυχηρόν. Fl. 59. *ΤΑΝ ΒΡΟΤΟΙΣ*, πράγματα. Fl. 6. 9. 21. 56. 59. 76. *ΕΠΙΣΚΟΠΕΙΝ*, ἐφορᾷν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. ἐπιτηρεῖν. Fl. 59. Gu. a m. 2. διοικεῖν. Gu. a m. 2.

V. 487 — 491. *ΟΥΧ ΗΔ' ΑΝΑΣΣΑ.* ἥδε οὐκ ἦν δέσποινα τῶν πλουσίων Τρώων; ἥδε οὐκ ἦν γυνὴ Πριάμου τοῦ λίαν πλουσίου; καὶ νῦν ἡ μὲν πόλις ἀνάστατος γέγονεν ὑπὸ τοῦ πολέμου, αὕτη δὲ ἡ γραῦς Ἑκάβη δεδουλωμένη καὶ παίδων ἐστερημένη κεῖται ἐν τῇ γῇ, μολύνουσα τὴν ἀθλίαν κεφαλὴν διὰ τῆς κόνιος.

V. 487. *ΗΔ'*, αὕτη ὑπῆρχεν. Fl. 56. *ΑΝΑΣΣΑ*, βασίλισσα. Fl. 17. *ΠΟΛΥΧΡΥΣΩΝ*, εὐδαιμόνων. Fl. 17. οὐχὶ δὲ αὕτη βασιλὶς ἦν τῶν πολυχρυσοτάτων Τρώων; Fl. 33.

V. 488. *ΜΕΓ' ΟΛΒΙΟΥ*, μεγάλως μακαρίου. Fl. 6. 9. 21. 56. 59. 76. Gu. οὐχὶ δὲ αὕτη τοῦ μεγαλοπλουσίου Πριάμου σύνοικος; Fl. 33. *ΔΑΜΑΡ*, γυνὴ παρὰ τὸ δεδόσθαι ἀνδρί. Fl. 17. δάμαρ ἡ γυνὴ παρὰ τὸ δεδέσθαι

3) Corrupte 21. νομιζομένους γένος εἶναι τοὺς ἀνθρώπους.

ἅμα τῷ ἀνδρί. Fl. 6. δάμαρ ἐτυμολογεῖται ἀπὸ τοῦ δαμάζεσθαι ὑπὸ τοῦ ἀνδρὸς ἢ ἀπὸ τοῦ γάμος γάμαρ καὶ δάμαρ. Fl. 59.

V. 489. *ΠΟΛΙΣ*, ἡ Τροία. Fl. 59. *ΑΝΕΣΤΗΚΕΝ*, ἀνετράπη. Fl. 17. ἀνάστατος γέγονε τῷ πολέμῳ, ἤγουν ὑπὸ τοῦ πολέμου, (ἀνετράπη, ἠφανίσθη). Gu. καὶ νῦν ἡ αὐτὴ (αὐτῆς) πόλις πᾶσα ἠφάνισται δοριάλωτος. Fl. 33.

V. 490. *ΑΥΤΗ ΔΕ.* αὕτη δὲ δούλη καὶ ἄπαιδος (sic) καὶ γῆν τὴν ταλαίπωρον ἐπιπασομένη. [4]) Fl. 33.

V. 491. *ΚΕΙΤΑΙ*, ἀναπαύεται. Fl. 59. *ΦΥΡΟΥΣΑ*, ἀναδεύουσα. Fl. 10. *ΔΥΣΤΗΝΟΝ*, γεγηρακὸς, πεπαλαιωμένον. [5]) Fl. 59.

V. 492. *ΦΕΥ, ΦΕΥ, ΓΕΡΩΝ.* γέρων μὲν εἰμὶ καὶ διὰ τοῦτο οὐ δέδοικα τὸ δυςτυχεῖν, ὡς, εἰ καὶ συμβήσεταί μοι δυστυχία, ταχέως παρέλθοι διὰ τὸ ὀλίγον ἔτι εἶναι τὸ λοιπὸν τῆς ζωῆς· ὅμως δ' εὔχομαι θανεῖν πρὸ τῆς δυςτυχίας. ἢ τὸ γέρων μὲν εἰμί, διὰ τὸ τοῖς γέρουσι περισπουδαστότερον εἶναι τὸ ζῆν, ἐπειδὴ ὁρῶσιν, ὡς ἐγγύς εἰσι τοῦ θανάτου. [6]) *ΓΕΡΩΝ.* γέρων ὢν φιλόζωος εἰμί· ὅμως ἀποθανεῖν ἢ ἀτυχῆσαι εὔχομαι. Fl. 10. 21. ἔχρηζον ἀποθανεῖν ἐμὲ εὐτυχῆ ὄντα πρὸ τοῦ ἐμπεσεῖν εἰς δυςτυχίαν. Fl. 17. *ΟΜΩΣ ΔΕ ΜΟΙ.* τὸ ἐναντίον λέγει· οἱ γὰρ νέοι μᾶλλον φιλοῦσι ζῆν, οἱ δὲ γέροντες ἀποθανεῖν. λέγει δὲ, ἐπειδὰν μᾶλλον ὁ ἄνθρωπος ἐν γήρᾳ γένηται, τότε καὶ φιλοζωότερός ἐστι. τὸ αὐτὸ καὶ ὁ Ταλθύβιος γέρων μὲν εἰμι λέγων, ὅμως δὲ πρὶν περιπεσεῖν τοιαύτῃ δυςτυχίᾳ, γένοιτό μοι θανεῖν.

4) An: ἄπαις καὶ γραῦς κατὰ γῆν κεῖται, ἐπὶ τὴν ταλαίπωρον κεφαλὴν κόνιν ἐπιπασσομένη?

5) Spectat ad lectionem πάλλευκον κ. quam comm. Fl. 10.

6) Gu. καὶ διὰ τοῦτο — ὡς ταχέως παρέλθοι διὰ τὸ ὀλίγον τοῦ λοιποῦ βίου inter lineas, et post γέρων μέν εἰμ' statim subiicit: καὶ εἰ συμβ. μοι δυςτ. ταχ. παρ. διὰ τὸ τοῦ γήρως ὀλιγοχρόνιον· ὅμως δ' οὖν, εἰ καὶ γέρων εἰμὶ, καὶ ταχέως παρέλθοι ἡ ἐπελθοῦσά μοι δυςτυχία διὰ τὸ ὀλίγον ἔτι εἶναι τὸ λοιπὸν τῆς ζωῆς, εὐχ. θ. πρὸ τῆς δυςτ. ἢ τὸ γ. μ. εἰμ. νόει διὰ τό etc. Ex eo τὸ λοιπὸν pro τὸ λεῖπον recepi. In marg. interiore est: γέρων μέν εἰμι φιλόζωος· ἀλλ' ὅμως καίπερ φιλῶν τὸ ζῆν θάνοιμι πρίν.

V. 493. *ΕΙΗ*, εἴθε, πρότερον πρὶν περιπεσεῖν ἀσχήμῳ τινὶ τύχῃ, ἤτοι πρὸ τοῦ δυςτυχῆσαι. Fl. 6. 9. 21. 56. 59. 76. [7]) *ΠΕΡΙΠΕΣΕΙΝ*, ἐντυχεῖν. Fl. 59.

V. 494 sq. *ΑΝΙΣΤΑΣ' Ω.* ἐγέρθητι, ὦ ἀθλία, καὶ μετέωρον τὴν πλευρὰν ἔγειρε καὶ τὴν ἄγαν λευκὴν κεφαλήν. *ΑΝΙΣΤΑΣ'*, ἀνάστηθι, ἔγειραι.

V. 494. *ΜΕΤΑΡΣΙΟΝ*, εἰς ὕψος. Fl. 10. 17. 21. ἤγουν μετέωρον, ὀρθήν. Fl. 59. ὦ ἀθλία, ἀνάστα ἄνω. Fl. 33.

V. 495. *ΠΑΛΛΕΥΚΟΝ*, γεγηρακὸς, τὸ πεπαλαιωμένον. [8]) Fl. 17. λίαν λευκόν, τὸ πάνυ γηραιόν. Fl. 59. λίαν λευκὸν (δι' ὅλου λευκόν, ὁλόλευκον). Gu.

V. 496 sq. *ΕΑ.* τὸ ἔα ἢ ἀντὶ τοῦ ἄφες, ἢ ἐπὶ ἐκπλήξεως λάμβανε. [9]) Τίς ἐστιν οὗτος, ὅςτις οὐκ ἀφίησι τὸ ἐμὸν σῶμα κεῖσθαι; τί με ὀχλεῖς καὶ ταράττεις, ὅςτις ὑπάρχεις, λυπουμένην;

V. 496. *ΕΑ.* γράφεται ὤή. ἔστι δὲ κλητικὸν ἐπίῤῥημα. Fl. 21. 59. ἄφες. Fl. 33.

V. 497. *ΚΕΙΣΘΑΙ*, ἀναπαύεσθαι. Fl. 59. ἡσυχάζειν. Gu. *ΚΙΝΕΙΣ*, ταράττεις, ὀχλεῖς. Gu. *ΟΣΤΙΣ*, ὁποῖος. Fl. 17. Gu. *ΛΥΠΟΥΜΕΝΗΝ*, ὑπάρχουσαν. Fl. 56.

V. 498 sq. *ΤΑΛΘΥΒΙΟΣ.* Ταλθύβιος ὁ τῶν Ἀχαιῶν κήρυξ ἥκω, μετακαλεσαμένου σε, ὦ γύναι, τοῦ Ἀγαμέμνονος.

V. 498. *ΗΚΩ*, ἦλθον. Fl. 17. 56. ἤλυθον. Fl. 59. ἔρχομαι τῶν Ἑλλήνων ὁ δοῦλος. Fl. 33. ἀπὸ τούτου δ' ἔχομεν γνῶναι, ὅτι ἐν τῷ εἶπεν (εἰπεῖν) ἥκω νεκρῶν κευθμῶνα οὔ φησι διὰ τὸ ἀεικίνητον τῆς ψυχῆς, ἀλλὰ διότι ἐστὶν ἀττικόν· καὶ ἐνταῦθα γὰρ οὐχὶ ψυχή τις λέγει, ἀλλ' αὐτὸς ὁ Ταλθύβιος. Gu. *ΔΑΝΑΙΔΩΝ*, τῶν παίδων τῶν Δαναῶν. Fl. 6. 9. 21. 56. 59. Gu.

7) πρίν deest in 56.

8) γεγηρ. habet etiam 21. Pro πεπαλ. 10. πεπολιωμένον, λίαν λευκόν est etiam in 6. 9. 21. 56. 76.

9) Sic Gu. a m. pr. sed a m. 2. τὸ ἔα ἢ ἐκπληκτικὸν ἀντὶ τοῦ φεῦ, ἢ ἀντὶ τοῦ ἄφες προστακτικὸν ῥῆμα.

V. 499. *ΠΕΜΨΑΝΤΟΣ*, μετακαλέσαντος. Fl. 17. μετακαλεσαμένου (σε). Gu. μεταστειλαμένου. Fl. 59. τὸ μεταπέμψαντος ἤγουν μεταστειλαμένου, ἢ, ὃ καὶ κάλλιον, μετακαλεσαμένου καὶ ζητήσαντος σὲ τοῦ Ἀγαμέμνονος. Fl. 59.

V. 500. 1. 2. *Ω ΦΙΛΤΑΤ'*, ὦ φίλτατε, ἆρα καὶ ἐμὲ ἦλθες μετακαλέσων, ὥςτε ἐπισφάξαι τῷ τάφῳ κατὰ τὸ δοκοῦν τοῖς Ἕλλησιν; λίαν προςφιλὲς λέγεις. δεῦρο ἵνα σπεύσωμεν, ἐγείρωμεν κόνιν, προηγοῦ μοι καὶ προοδοποίει, γέρον.

V. 500. *ΔΟΚΟΥΝ*, κατὰ τὸ δοκοῦν. Fl. 6. 9. 21. 56. 76. δοκοῦντος, Ἀττικόν. Fl. 10. κατὰ τὸ δοκοῦντος; (l. κατὰ τὸ δοκοῦν, δοκοῦντος) ἀρέσαντος. Fl. 59. ἆρα δοκοῦντος καὶ ἀρέσαντος τοῖς Ἀχαιοῖς καὶ ἀρεστὸν φανέντος, ἦλθες ἐπαρεῖν καὶ ἐμὲ καὶ σφάξαι ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως μετὰ τῆς θυγατρός μου; εἰ οὕτως ἦλθες, λίαν λέγεις προςφιλέστατα. Fl. *ΦΙΛ*, ῥήματα. Fl. 6. 9. 21. 56. 59. 76. Gu.

V. 502. *ΕΓΚΟΝΩΜΕΝ.* ἐγκονῶ τὸ σπεύδω, τουτέστι τὸ κόνιν ἐγείρω· οἱ γὰρ σπουδάζοντες κόνιν εἰώθασιν ἀνιστᾷν τοῖς ποσί. τὸ δὲ σπεύδωμεν, καὶ ἐγκονῶμεν, καὶ τὸ ἡγοῦ μοι, γέρον, ἔμφασιν ἔχει τῆς πολλῆς προθυμίας, ἣν εἶχεν ἡ Ἑκάβη ἀποθανεῖν συνάμα τῇ θυγατρί. *ΕΙΚΟΝΩΜΕΝ.* οἱ γὰρ σπεύδοντες κονιορτοῦνται. Fl. 59. σπουδάζωμεν. Fl. 17. ἐτιμασθῶμεν (an: ἑτοιμασθῶμεν?) Fl. 56. ἐκ παραλλήλου τὸ αὐτό· οἱ γὰρ σπεύδοντες κονιορτεῖται τὰ γυμνὰ τοῦ σώματος. Fl. 21. ταυτολογία. Fl. 10. ἡ ταυτολογία τὴν προθυμίαν ἐμφαίνει τῆς Ἑκάβης. Gu.

V. 503—505. *ΣΗΝ ΠΑΙΔΑ.* τὴν σὴν θυγατέρα ἀποθανοῦσαν ἵνα θάψῃς, ὦ γύναι, ἦλθον μετακαλούμενος· πέμπουσι δέ με ὁ Ἀγαμέμνων καὶ ὁ Μενέλαος οἱ Ἀτρεῖδαι, καὶ ὁ στρατὸς τῶν Ἑλλήνων.

V. 504. *ΜΕΤΑΣΤΕΙΧΩΝ*, μετακαλέσων, μεταπορεύσων, μεταπεμπόμενος. Fl. 6. 9. 21. 56. 59. 76. μετακαλῶν. Fl. 10. μεταπεμπόμενος, (μετακαλούμενος). Gu. *ΠΕΜΠΟΥΣΙ* ἀντὶ τοῦ ἔπεμψαν. Fl. 6. 9. 21. 56. 59. 76.

V. 505. *ΔΙΣΣΟΙ*, οἱ δύο. Fl. 6. 9. 21. 56. 59 76. οἱ δύο υἱοὶ τοῦ Ἀτρέως, καὶ ὁ Ἑλληνικὸς λαός. Fl. 33. ἵνα μὴ τῷ τῶν ὀνομάτων πλήθει τὴν Ἑκάβην θορυβήσῃ, ἀνωτέρω παρ' Ἀγαμέμνονος μόνου πεμφθῆναι εἶπε. Gu.

V. 506 — 509. *ΟΙΜΟΙ ΤΙ ΛΕΞΕΙΣ*, ἀντὶ τοῦ τί λέγεις. λοιπὸν οὐχ ὡς μέλλουσαν τεθνήξεσθαι ἀφίκου πρὸς ἐμὲ, ἀλλὰ μηνύσων κακά; τέθνηκας, ὦ παῖ, ἀπὸ τῆς μητρὸς ἁρπασθεῖσα· ἐγὼ δ' ἄτεκνος, ὅσον τὸ κατὰ σέ.

V. 506. *ΤΙ ΛΕΞΕΙΣ*, ἀντὶ τοῦ τί λέγεις. Fl. 6. 9. 21. 33. 56. 59. ἀντιχρονισμὸς λέγεται ἀντὶ τοῦ λέγεις. Gu. *ΟΥΚ ΑΡΑ*. ἐνταῦθα οὐκ ἐρωτηματικὸν τὸ ἄρα, ἀλλὰ συμπερασματικὸν καὶ ἀποφαντικόν ἐστι, διὸ καὶ ὀξύνεται. τὸ ἆρα τὸ μὲν ἀπορηματικὸν, ἤτοι κατ' ἐρώτησιν τιθέμενον, περισπᾶται, καὶ μακρὸν ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκεται· τὸ δὲ ἄρα τὸ συμπερασματικὸν καὶ ἀποφαντικὸν ἀεὶ βαρύνεται καὶ βραχύνεται. εἴρηται δὲ ὡς ἐπὶ τὸ πλεῖστον, διότι καὶ βραχὺ σπανίως εὑρίσκεται. *ΟΥΚ ΑΡ'*. τὸ ἆρα ἐρωτηματικὸν ἢ συμπερασματικὸν καὶ ἀποφαντικόν, διὸ καὶ ὀξύνεται καὶ περισπᾶται. καὶ ἐρωτηματικὸν μὲν δοκεῖ πρὸς τὸ τί λέξεις, ἀποφαντικὸν δὲ πρὸς τὸ σὴν παῖδα κατθανοῦσαν. Gu.

V. 507. *ΜΕΤΗΛΘΕΣ*. ἡ μετὰ ἀντὶ τῆς εἰς. Fl. 17. εἰς ἐμὲ ἦλθες. Fl. 6. 9. 21. 56. 59. 76. μετακαλέσων ἦλθες. Fl. 59. *ΑΛΛΑ ΣΗΜ*. ἦλθες μηνύσων, ἀγγελῶν, δηλώσων, ἤτοι τὴν τῆς Πολυξένης σφαγήν. Fl. 59.

V. 508. *ΟΛΩΛΑΣ*, ἐφθάρης, ὦ παιδίον μου. Fl. 17. ἐφθάρης, ὦ θύγατερ. Fl. 56. ὦ τέκνον, ἀπωλέσθης, ἀπέθανες. Fl. 33. *ΑΡΠΑΣΘΕΙΣ'*, ἀποσπασθεῖσα. Fl. 6. 9. 21. (qui addit τοῦ κόλπου.) 56. 59. 76.

V. 509. *ΗΜΕΙΣ*, ἐσμέν. Fl. 59. ἡμεῖς δὲ ὅσον τὸ ἐπὶ σοὶ, ἤγουν τὸ κατὰ σέ, ἄτεκνοι ὑπάρχομεν. Fl. 6. 9. 21. 56. 59. 76. ὅσον τὸ κατὰ σὲ μέρος ἄπαιδες ἐσμέν. ὅσον τὸ κατὰ σὲ εἶπεν· ἔζη γὰρ Κασσάνδρα, ἡγεῖτο δὲ καὶ τὸν Πολύδωρον ζῆν. [10]) Fl. 10. 21. *ΤΟΥΠΙΣ'*, εἰς τὸ μετὰ ταῦτα, εἰς τὸ μέλλον. Fl. 59. οἱ Ἀττικοὶ τὸ μὲν παρεληλυθὸς καλοῦσιν ἔμπροσθεν, τὸ δὲ μέλλον ὀπίσω, ἀπὸ μεταφορᾶς τῆς βαδίσεως τῶν ζώων, προτιθεμένων τῶν ἐμπροσθίων ποδῶν εἴτε παρεληλυθότων, καὶ μετερχομένων τῶν ἔμπροσθεν (leg. ὄπισθεν) ἤτοι μελλόντων. Fl. 59.

V. 510 — 512. *ΠΩΣ ΚΑΙ ΝΙΝ*. πῶς αὐτὴν ἐφονεύσατε; ἆρα εὐλαβούμενοι, ἢ πρὸς τὸ ἀπηνὲς ἤλθετε, τουτέστι δεινῶς καὶ ἀπηνῶς ἐφονεύσατε, ὡς ἐχθρὰν φονεύοντες; [1])

10) Ultima ὅσον τὸ ἐπὶ (sic) σε· ἔζη γὰρ etc. sunt etiam in Gu.

V. 510. *ΕΞΕΠΡΑΞΑΤ'*, διεξεπράξατ'. Fl. 6. 9. 21. 56. 59. 76. διεχειρίσασθε. Fl. 59. Gu. διεχρήσατε. Fl. 17. πῶς δὴ ἐν αὐτῇ ἐποιήσατε. Fl. 33. *ΑΙΔΟΥΜΕΝΟΙ*, μετὰ τιμῆς. Fl. 6. μετὰ ἐντροπῆς. Fl. 56. Gu.

V. 511. *ΔΕΙΝΟΝ*, καὶ τὸ ἀναιδὲς καὶ τὸ ὠμὸν καὶ τὸ ἄγριον. Fl. 17. πρὸς τὸ χαλεπόν. Fl. 33. τὸ ἀπηνὲς, (ἄγριον καὶ ἀναιδές). Gu. ἢ πρὸς τὸ δεινὸν ἤλθετε, ἤγουν ἢ δεινῶς τουτέστιν ἀπηνῶς ἐφονεύσατε, ὡς ἐχθρὰν κτείνοντες. Gu. a m. pr.

V. 512. *ΛΕΞΩΝ*, μέλλων εἰπεῖν. Fl. 17. 59. *ΦΙΛΑ*, ἐμοί. Fl. 59. προσφιλῆ ἐμοί. Fl. 6. 17. καίπερ οὐ προσφιλῆ λέγεις. Fl. 33.

V. 513. *ΧΡΗΖΕΙΣ*, θέλεις. Gu. *ΚΕΡΔΑΝΑΙ*, ἐκχῆσαι. (sic) Fl. 21. κέρδος ἡγεῖται τὸ δὶς κλαῦσαι. Fl. 10. ὡς φιλόσοφος [2]) φησὶ τὸ κερδᾶναι· κέρδος γὰρ οἴεται τὸ κλαῦσαι καὶ δεύτερον περὶ τῆς Πολυξένης. οἱ γὰρ λυπούμενοι παραμυθίας ἔχουσι τὸ κλαίειν. τὸ κερδάναι (sic) γίνεται ἀπὸ τοῦ κέρδος, τὸ δὲ κέρδος ἀπὸ τοῦ τὸ κέαρ ἡδαίνειν (leg. ἡδύνειν) καὶ εὐφραίνειν. Fl. 59.

V. 514. *ΟΙΚΤΩι*, τῷ θανάτῳ. Fl. 21. τῷ φόνῳ, ἤγουν τῷ ἐλέῳ. Fl. 59. τῆς σῆς παιδὸς τῇ φιλανθρωπίᾳ καὶ ἐπικάμψῃ (— ψει). Fl. 33. *ΛΕΓΩΝ ΚΑΚΑ*, διηγούμενος ἀλγεινὰ, δυστυχῆ, ἤγουν τὸν φόνον αὐτῆς. Fl. 56. 59. 76. Gu. λέγων γὰρ τὰ συμβάντα βρέξω δι' ὀφθαλμῶν δάκρυα δολερά· τοῦτο γάρ ἐστι τὸ κερδάναι δάκρυα. Fl. 33.

V. 515. *ΤΕΓΞΩ*, κάθυγρον ποιήσω, δάκρυσι δηλονότι (βρέξω). Gu.

V. 516 sq. *ΠΑΡΗΝ ΜΕΝ Ο*. παρὸν ἦν πᾶν τὸ πλῆθος τῶν Ἑλλήνων (τὸ δὲ πᾶς καὶ τὸ πλήρης κατ' ἐπίτασιν λέγεται. [3])) ἔμπροσθεν τοῦ τάφου τοῦ Ἀχιλλέως πρὸς τὰς σφαγὰς τῆς σῆς θυγατρός.

1) Verba τουτέστι etc. habet etiam Guelph. ad v. 511; nisi quod ἤγουν δεινῶς τουτέστιν ἀπ. ἐφ. ὡς ἐ. κτείνοντες legit.

2) Fl. ὁ φίλος φησὶ τὸ κερδ. Gu. ὡς φιλόσοφος τὸ κερδ. E Gu. addidi etiam καὶ δεύτ. περὶ τῆς Π. reliqua in eo desunt.

3) Verba parenthesi inclusa sunt etiam in Flor. 6. 9. 21. 56. 59. 76. Gu.

V. 516. *ΠΑΡΗΝ.* διήγησις. Fl. 59. ἤρξατο τῆς διη-
γήσεως. Fl. 21. ὑπῆρχεν. Fl. 17. 59. ἐπαρουσίαζεν. Fl,
59. *ΑΧΑΙΚΟΥ,* Ἑλληνικοῦ. Fl. 59. ὅτι πρὸς τὸν τά-
φον ἔθνησκε, παρειστήκει πᾶς ὄχλος. Fl. 33.

V. 517. *ΠΛΗΡΗΣ,* πεπληρωμένος, ἅπας. Fl. 17. 59.
τὸ πᾶς καὶ τὸ πλήρης κατ' ἐπίτασιν λέγεται. Gu. *ΠΡΟ*
ΤΥΜΒΟΥ. πῶς, τοῦ Ἀχιλλέως ἐν Τροίᾳ ταφέντος, ὁ Ταλ-
θύβιος λέγει πρὸ τύμβου τοῦ Ἀχιλλέως ἵστασθαι τοὺς Ἕλ-
ληνας, ὄντας ἐν Χεῤῥονήσῳ; καὶ φαμὲν, ὅτι ἢ κενοτάφιον
ἐν Χεῤῥονήσῳ ἐποίησαν, ἢ εἰς Τροίαν ἀπῆλθον καὶ ἔθυσαν
τὴν κόρην. [4])

V. 518 sq. *ΛΑΒΩΝ Δ' ΑΧ.* λαβὼν δὲ ὁ τοῦ Ἀχιλ-
λέως παῖς Νεοπτόλεμος τὴν Πολυξένην ἀπὸ τῆς χειρὸς,
ἔστησεν ἐπὶ τοῦ ἀνωτάτου μέρους τοῦ τάφου. *ΛΑΒΩΝ*
κ. τ. λ. ὁ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος λαβὼν ἐκ τῆς
χειρὸς τὴν κόρην Πολυξένην ἔστησεν ἐπάνω τοῦ μνήματος,
ἐγγὺς δὲ ἐγώ. Fl. 33.

V. 518. *ΛΑΒΩΝ,* κρατήσας. Fl. 59. Gu. *ΠΑΙΣ,*
ἤγουν ὁ Πύῤῥος. Fl. 21.

V. 519. *ΕΠ' ΑΚΡΟΥ ΧΩΜ.* ἐπὶ καθέδρας γενι-
κῇ, ἐπὶ δὲ κινήσεως αἰτιατικῇ, ὅπερ οἱ Ἀττικοὶ τὸ ἐναν-
τίον ποιοῦσιν. Gu. *ΠΕΛΑΣ Δ' ΕΓΩ,* πλησίον ἦν καὶ
ἐγώ. Ἐπειδὴ κῆρυξ ἦν ὁ Ταλθύβιος, διὰ τοῦτο πλησίον
ἵστατο τοῦ Νεοπτολέμου, ἵνα, ὅταν βουληθῇ εἰπεῖν ὁ Νεο-
πτόλεμός τι τοῖς Ἀχαιοῖς, δι' ἐκείνου εἴπῃ [5]) κήρυκος
ὄντος καὶ δυναμένου λέγειν εἰς ἐπήκοον πάντων· αὐτὸς
γὰρ ἦν ὁ σιωπὴν παντὶ τῷ στρατῷ κηρύξας, ὡς καὶ αὐτὸς
παρακατιὼν λέγει, ὑπὸ Νεοπτολέμου προσταχθείς.

V. 520. *ΛΕΚΤΟΙ Τ' ΑΧΑΙΩΝ.* ἠκολούθουν δὲ
καὶ ἐπίλεκτοι, ἀπὸ τῶν Ἑλλήνων ἐκλελεγμένοι νέοι, τὸ
πήδημα τῆς σῆς παιδὸς καθέξοντες καὶ κρατήσοντες [6])
διὰ τῶν χειρῶν. *ΛΕΚΤΟΙ,* ἐπίλεκτοι, (ἐξειλεγμένοι). Gu.
ΕΚΚΡΙΤΟΙ, ἐκλελεγμένοι, εὐγενεῖς νέοι ἄνδρες. Fl. 59,

4) Flor. 10. ante hoc scholion habet αἴτημα σκηνικόν· πῶς γὰρ
τοῦ Ἀχ. Pro ἀπῆλθον Hermann. ad Hec. p. 61. em. ἀνῆλθον.

5) λέγῃ Gu.

6) Sic Junt. κρατήσαντες Bas.

μετὰ τοῦ Νεοπτολέμου ἐκλελεγμένοι ἄνδρες, μή πως ἰδοῦσα
τὸ ξίφος ἡ Πολυξένη τεινόμενον κατ' αὐτῆς καὶ φοβη-
θεῖσα σκιρτήσῃ ἤγουν ἐκφύγῃ, ἐκεῖνοι δὲ, ἵνα κρατήσωσι
ταύτην. Fl. 59. καὶ οἱ ἐκλελεγμένοι τῶν Ἀχαιῶν, καὶ
ἔγκριτοι, καὶ χρήσιμοι νέοι. Fl. 33.

V. 521. *ΣΚΙΡΤΗΜΑ,* τὸ κίνημα. Fl. 6. 10. 21.
59. περιφραστικῶς τὸ κίνημα. Fl. 17. καὶ ὡς βοὴ μό-
σχου ἐγένετο. Fl. 33. σπάραγμα, κίνημα. Gu. *ΜΟΣΧΟΥ,*
νέας. Fl. 10. *ΚΑΘΕΞΟΝΤΕΣ,* μέλλοντες κρατήσειν διὰ
τῶν χειρῶν. Fl. 6. 9. 21. 56. 59. 76.

V. 522. *ΕΣΠΟΝΤΟ,* ἠκολούθησαν. τὸ θέμα ἕσπω
ἄχρηστον, τὸ ἀκολουθῶ. ὁ β ἀόριστος ἕσπον, (καθ' ὁμοίω-
σιν τοῦ ἔχω, ὁ β ἀόριστος ἔσχον,) ὁ μέσος ἑσπόμην, τὸ γ
τῶν πληθυντικῶν ἕσποντο. [7]) *ΕΣΠΟΝΤΟ,* εἵποντο. Fl.
6. 9. 21. 56. 59. 76. εἵποντο, ἠκολούθουν (παρεγένοντο). Gu.

V. 522—524. *ΠΛΗΡΕΣ.* ὁ δὲ τοῦ Ἀχιλλέως παῖς
Νεοπτόλεμος, λαβὼν διὰ τῆς χειρὸς ποτήριον πάγχρυσον,
ἔῤῥεε θυσίας τῷ θανόντι πατρὶ, θυσίας, οἶνον δηλονότι,
μέλι, γάλα καὶ ἄλευρον. *ΠΛΗΡΕΣ,* μέγαν. Fl. 21. πε-
πληρωμένου (l. —μένον) οἴνου δηλονότι. Fl. 17. 59. καὶ
οἱ πάντες ἕποντο, ἠκολούθουν. Fl. 33.

V. 523. *ΠΑΓΧΡΥΣΟΝ,* ὁλόχρυσον. Fl. 39. *ΕΡΡΕΙ.*
διὰ τοῦτο πρὸ τοῦ θῦσαι τὴν Πολυξένην ἔῤῥει χοὰς, ἵνα
ἀναχθεῖσα (Gu. ἀχθεῖσα) ὑπὸ τῆς χοῆς ἡ ψυχὴ πίῃ τοῦ
αἵματος. *ΕΡΡΕΙ,* ἔῤῥει χοὰς, ὡς λέγω λόγον. Fl. 6. 9.
21. 56. 59. 76. Gu. προσφέρει τῷ πατρὶ τῷ Ἀχιλλεῖ
χοάς. Fl. 21. *ΧΕΙΡΙ,* ἐκτείνει διὰ τῆς χειρός. Fl. 21.

V. 524. *ΧΟΑΣ.* χοὴ λέγεται ἐπὶ ὑγρῶν, μέλιτος,
ἐλαίου καὶ ἀλεύρου καὶ τῶν ἑτέρων, θυσία δὲ ἐπὶ σφαγῆς
ζώων. [8]) *ΧΟΑΣ.* σπονδὴ, χοὴ, θυσία διαφέρουσι· σπον-
δὴ ἐπὶ τῶν ξηρῶν, οἷον σίτου καὶ κριθῆς· χοὴ ἐπὶ
ὑγρῶν, οἴνου, μέλιτος καὶ γάλακτος· θυσία δὲ ἐπὶ ζώων,

7) Desideratur hoc scholion in Musgr.

8) Hoc etiam scholion neglexit King. et Musgr. Idem est in
Flor. 59. sed ita: ἐπὶ τῶν ὑγρῶν, οἴνου, μέλιτος, ἐλαίου, θυσ.
etc. recte.

προβάτων, βοῶν [9]) καὶ τῶν ὁμοίων. ἄλλοι δὲ σπονδὴν καὶ χοὴν ταὐτὸ λέγουσιν, ὃ καὶ κρεῖττον. Baroc. 74. Gu. *ΧΟΑΣ*, σπονδάς. Fl. 10. ἤγουν θυσίας, χάριν τοῦ θανόντος πατρός. Fl. 6. 9. 21. 56. 59. 76.

V. 524 sq. *ΣΗΜΑΙΝΕΙ ΔΕ ΜΟΙ*, προστάσσει, παραδηλοῖ [10]) μοι κηρύξαι σιωπὴν παντὶ τῷ στρατῷ τῶν Ἑλλήνων. ἐπιτάσσει πως διὰ σημείων καὶ σχημάτων, οἷον ἔθος ἐστὶ τοῖς βασιλεῦσι διὰ νευμάτων πάθη τινὰ δηλοῦν, κατὰ μίμησιν τοῦ τῷ νεύματι καὶ βουλήματι τὸ πᾶν διοικονομοῦντος [1]). παρακατιὼν γάρ φησι· λ ο γ ά σ ι δ' Ἀ ρ γ ε ί ω ν σ τ ρ α τ ο ῦ ν ε α ν ί α ι ς ἔ ν ε υ σ ε π α ρ θ έ ν ο ν λ α β ε ῖ ν. *ΣΗΜΑΙΝΕΙ*, παραδηλοῖ ἀντὶ τοῦ παρεδήλωσεν. Fl. 6. 9. 21. 56. 76. εἰπὲ δέ μοι, σιγὴν παντὶ τῷ στρατῷ ἐπισημῆναι. Fl. 33.

V. 525. *ΣΙΓΗΝ*, ποιῆσαι. Fl. 21. *ΚΗΡΥΞΑΙ*, καταστῆσαι. Fl. 59.

V. 526. *ΜΕΣΟΙΣ*, τοῖς ἀνθρώποις, Ἀχαιοῖς δηλονότι. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ ἐ ν μ έ σ ο ι ς περισσόν· τὸ γὰρ π α ρ α σ τ ὰ ς τὴν ἔννοιαν δηλοῖ καθ' αὑτό. Gu.

V. 527. *ΣΙΓΑΤ', ΑΧΑΙΟΙ*, σιωπήσατε. *ΣΙΓΑ ΠΑΣ ΕΣΤΩ* λαός. μιμεῖται τὸ πολλάκις κηρύσσειν τὰ αὐτὰ τοὺς κήρυκας. τὸ σ ί γ α, εἰ μὲν ἐστι προστακτικὸν, ὀξύνεται, εἰ δὲ ἐπίῤῥημα, περισπᾶται. *ΣΙΓΑΤ'*, σιωπᾶτε. Fl. 17. τὸ μὲν σ ι γ ᾶ τ ε πρὸς τὸ πλῆθος, τὸ δὲ σ ῖ γ α, σ ι ώ π α καθ' ἕνα. τοιαῦτα γὰρ εἰώθασι ποιεῖν οἱ κήρυκες, πρῶτον μὲν προσφωνοῦντες δημοσίᾳ, εἶτα καθ' ἕνα ἕκαστον, σιγῶντες. Fl. 59. *ΣΙΓΑ*, ἐπίῤῥημα. Fl. 10. *ΣΙΓΑ* ἐν σιγῇ (καθολικῶς). Gu.

V. 528. *ΝΗΝΕΜΟΝ*, ἀθόρυβον. Fl. 6. 56. 59. 76. νήνεμος ἐτυμολογεῖται ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἀνέμου, ἡ ταραχή. Fl. 6. ἀντὶ τοῦ ἥσυχον, (ἀθόρυβον, ἀπὸ μεταφορᾶς τῶν ἀνέμων). Gu. *ΕΣΤΗΣ'*, ἔταξα.

9) βοῶν e Guelph. addidi; ex eodem est ταὐτό pro ταὐτόν. Ceterum hoc scholion in Junt. et Basil. ad v. 530 relatum est.

10) Utrumque habent Flor. 17. 59.

1) Imo Διὸς οἰκονομοῦντος.

Fl. 6. 56. 59. 76. ἐν ἡσυχίᾳ δὲ ἔστησα τὸν ὄχλον. Fl. 33. κατέστησα. (ὄχλος ἡ ὄχλησις καὶ τὸ πλῆθος τοῦ λαοῦ.) Gu.

V. 529. *Ο Δ'*, ὁ Νεοπτόλεμος. Fl. 17. 56. Πύῤῥος. Fl. 21. ὁ δὲ Νεοπτόλεμος εἶπεν· ὦ παῖ τοῦ Πηλέως καὶ πατὴρ ἐμός. Fl. 33. *ΠΑΤΗΡ Δ' ΕΜΟΣ* ἀντὶ τοῦ ἐμοῦ [2]), Ἀττικὸν, τὰς κτητικὰς ἀντωνυμίας οὐ δέον ἔχειν κλητικάς, διὰ τὸ μὴ τὰς αὐτὰς εἶναι ταῖς τῶν πρωτοτύπων αἰτιατικαῖς. λαμβάνονται γοῦν αἱ εὐθεῖαι Ἀττικῶς ἀντὶ τῶν κλητικῶν. αἱ δὲ κτητικαὶ πᾶσαι, εἴτε εὐθείας εἶεν, εἴτε γενικῆς, εἴτε ἡςτινοςοῦν ἄλλης πτώσεως, ἤτοι ἑνικῆς, ἢ δυϊκῆς, εἰ μὲν πρωτοτύπου [3]) προσώπου εἶεν, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ πρώτου προσώπου λαμβάνονται· εἰ δὲ δευτέρου, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ β προσώπου· εἰ δὲ τρίτου, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ τρίτου προσώπου. *ΕΜΟΣ*, ἀντὶ τοῦ ἐμὲ, Ἀττικόν. Fl. 6. 9. 21. 56. 59. 76. αἱ ἀντωνυμίαι οὐκ ἔχουσι κλητικάς. Fl. 59.

V. 530. *ΔΕΞΑΙ ΧΟΑΣ*, λάβε μου ταύτας τὰς θυσίας τὰς θελκτηρίους, τὰς ἡδυντηρίους, τὰς πραΰνούσας τὰς ψυχὰς τῶν νεκρῶν, ἢ τὰς κηλούσας τοὺς καταχθονίους δαίμονας. [4]) *ΧΟΑΣ*, σπονδάς. Fl. 59. τὰς ἀναφέρω τῶν νεκρῶν. Fl. 17. *ΚΗΛΗΤΗΡΙΟΥΣ*, τοὺς σοὶ ἐνηδόνους, τοὺς σοὶ θυμήρεις. Fl. 59. ἀπαιτητικάς. Fl. 21. εὐφραντικούς. Fl. 59. κατακηλούσας τὰς ψυχὰς [τῶν] νεκρῶν, ἢ τοὺς καταχθονίους δαίμονας. Fl. 10. 21. θελκτικὰς, τὰς σοὶ ἐνηδόνους καὶ ἀποδοχῆς ἀξίας. Gu.

V. 531. *ΝΕΚΡΩΝ ΑΓΩΓΟΥΣ*, ἀναφερούσας τὰς ψυχάς. ἄγω ῥῆμα τὸ κομίζω καὶ φέρω· ἀγωγὸς ὁ φέρων καὶ ὁ κομίζων, καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ· ἀγώγιμον, τὸ φερόμενον καὶ κομιζόμενον· ἀγωγὴ δὲ ἡ τοῦ κομίζειν ἐνέργεια. *ΝΕΚΡΩΝ ΑΓ.* τῶν τεθνεώτων τοὺς προπομπούς. ἐλθὲ, ὅπως λάβῃς αἷμα μελιχρὸν τῆς καθαρᾶς κόρης, ὅπερ σοι προςφέρομεν, κἀγὼ καὶ ὁ στρατός. Fl. 33.

V. 531—536. *ΕΛΘΕ Δ', ΩΣ ΠΙΗΙΣ.* ἐλθὲ δὲ, ἵνα

2) Legitur ἐμέ, ut in schol. Flor. Mox μὴ in διὰ τὸ μὴ τὰς αὐτὰς εἶναι delendum videtur.

3) Leg. εἰ μὲν πρώτου. Mox προσώπου Junt. Male King. πρόσωπα.

4) Verba θελκτ. τὰς πραΰνούσας — δαίμονας pro scholio ad hunc vs. habet etiam Gu. male tamen legit καλούσας pro κηλούσας.

πίης τὸ καθαρὸν αἷμα τῆς παρθένου, ὅπερ σοι χαριζόμεθα καὶ ὁ στρατὸς καὶ ἐγὼ, καὶ λῦσαι τὰς ναῦς καὶ τὰ σίδηρα (an: τὰς ἀγκύρας? King. λύσαι τὰ πρυμνήσια) καὶ τὰ σχοινία τῶν νεῶν, δὸς δὲ ἡμῖν, εὐμενοῦς ἀπὸ τῆς Τροίας ὑποστροφῆς ἀγαθῆς ἐπιτυχόντας ἡμᾶς εἰς τὴν πατρίδα ἀπελθεῖν. *Δὸς δὲ ἡμῖν* εἰπὼν ὤφειλε *τυχοῦσιν* ἐπάξειν· ὁ δὲ ὥςπερ ἐκ μεταμελείας ἀποδίδωσι τὸν λόγον κατ' αἰτιατικὴν πρὸς τὸ ἀπαρέμφατον.

V. 532. *ΚΟΡΗΣ ΑΚΡΑΙΦΝΕΣ*, παρθένου παρθενικὸν, καθαρὸν, ἄχραντον. Fl. 17. 56. 59. 76. καθαρὸν, ἀμόλυντον, ὡς παρθενικόν. Gu. *ΔΩΡΟΥΜΕΘΑ*, παρέχομεν. Fl. 59.

V. 533. *ΠΡΕΥΜΕΝΗΣ*, γαληνὸς, ἥσυχος ὁ λεώς (leg. ἵλεως). Fl. 17. πρᾶος καὶ εὐμενής. Fl. 6. 9. 21. 56. 59. 76. Gu. a m. pr. συμπαθὴς, ἵλεως. Gu. a m. 2. σὺ δὲ γενοῦ ἡμῖν πρᾶος, ἵλαος. Fl. 33. ἐκ τῶν β σύγκειται ἡ λέξις. τὸ πρευμενὴς ἐκ δύο ταυτοσημαντῶν γίνεται λέξεων, τοῦ πρᾶος καὶ εὐμενής. (cf. Schol. Guelph. ad v. 535.) γίνεται οὖν πραευμενὴς, εἶτα κατὰ κρᾶσιν πρευμενής. ἢ πρευμενὴς καὶ πρᾶος καὶ εὐμενὴς γενοῦ ἡμῖν, ὥςτε λῦσαι τὰς πρύμνας καὶ τὰ χαλινωτήρια τῶν νεῶν ἤγουν λυθῆναι, ἢ γενοῦ δὲ ἡμῖν πρευμενὴς καὶ ἔπειτα λῦσαι καὶ λυθῆναι ποίησον τὰς πρύμνας καὶ τὰ χαλινωτήρια τῶν νεῶν. στικτέον εἰς τὸ *πρευμενὴς δ' ἡμῖν γενοῦ*, εἶτα δὸς ἡμῖν λῦσαί τε τὰς πρύμνας καὶ τὰ χαλινωτήρια τῶν νεῶν. Fl. 59.

V. 534. *ΠΡΥΜΝΑΣ ΚΑΙ ΧΑΛ.* περίφρασις. Fl. 17. τὰ ἀπόγεια σχοινία. Fl. 10. *ΧΑΛΙΝΩΤΗΡΙΑ*, τὰ πρυμνήσια, (τὰς ἀγκύρας, τὰ ὑπόγεια [ἀπόγεια] σχοινία). Gu. καὶ ἡνίκα τὰ τῶν νεῶν δέματα λῦσαι θελήσομεν καὶ πορεύεσθαι βουληθῶμεν καὶ ἐπανελθεῖν εἰς τὰς πατρίδας, ἐπίδος ἡμῖν πραέως ἀπ' Ἰλίου ἐπαναζεῦξαι. Fl. 33.

V. 535. *ΠΡΕΥΜΕΝΟΥΣ*, γαληναίου. Fl. 59. πρᾴου. Fl. 10. ἀλύπου, γαληνοῦ. ἀπὸ δύο λέξεων ταυτοσημαντικῶν γίνεται, τοῦ πρᾶος καὶ τοῦ εὐμενής. Gu.

V. 536. *ΝΟΣΤΟΥ*, στροφῆς. Fl. 17. ἐπιστροφῆς. Fl. 21. ὑποστροφῆς. Fl. 56. καταστροφῆς. Fl. 6. *ΤΥΧΟΝΤΑΣ*, ἀντὶ τοῦ τυχεῖν. Fl. 21. καινόσχημον πρὸς

τὸ ἀπαρέμφατον, τυχοῦσι γὰρ ἔμελλεν εἰπεῖν πρὸς τὸ *ἡμῖν*. Gu. *ΜΟΛΕΙΝ*, ἀπελθεῖν δὸς ἡμῖν, ἀπὸ κοινοῦ τὸ δός. Fl. 21. 59.

V. 537. *ΤΟΣΑΥΤ' ΕΛΕΞΕ*, τοσαῦτα εἶπε, ὅλος δὲ ὁ στρατὸς εὐχὴν ἐποιήσατο, ἤτοι ἐπ' ἐκείνων [5]) ηὔξατο, ἤγουν μετὰ τὸ πληρῶσαι ἐκεῖνον τὴν εὐχὴν ἣν ηὔξατο.

V. 538 sq. *ΕΙΤ' ΑΜΦΙΧΡ.* ἔπειτα περικεχρυσωμένον ξίφος λαβὼν ἀπὸ τῆς λαβῆς ἐξεῖλκε τῆς θήκης. *ΕΙΤ' ΑΜΦΙΧΡ.* εἶτα περίχρυσον σπάθην λαβὼν παρὰ τοῦ πιέσματος ἔσυρεν ἐκ τῆς ξιφοθήκης καὶ τοῖς ἐγκρίτοις ἔνευσεν. Fl. 33. *ΦΑΣΓΑΝΟΝ*, τὸ ἐν σφαγαῖς γανύμενον, ἢ τὸ γεγανωμένον, ἤγουν στίλβον σκεῦος. *κουλεὸς* δὲ ἡ ξιφοθήκη ἀπὸ τοῦ ἐν αὐτῇ τὰ οὐλοὰ, ἤγουν τὰ ὀλέθρια ξίφη κεῖσθαι. [6])

V. 539. *ΕΞΕΙΛΚΕ*, ἀνέσπα. Fl. 59. ἐκ τοῦ Ὁμήρου τοῦτο ἔχει. Gu.

V. 539 sq. *ΛΟΓΑΣΙ Δ' ΑΡΓΕΙΩΝ*, καὶ τοῖς ἐπιλέκτοις νεανίαις τοῦ στρατοῦ τῶν Ἑλλήνων ἔνευσε τὴν κόρην κρατῆσαι.

V. 540. *ΕΝΕΥΣΕ*, ὥρισε (sic). Fl. 56. *ΛΑΒΕΙΝ*, ἤγουν κατασχεῖν. Fl. 10. 17. ὑπεσήμανε. Gu.

V. 541—546. *Η Δ' ΩΣ ΕΦΡΑΣΘΗ.* αὕτη δὲ ἐπεὶ ἐφράσατο καὶ ἐνόησε, τοῦτον τὸν λόγον ἐδήλωσεν· ὦ Ἕλληνες οἱ πορθήσαντες τὴν ἐμὴν πόλιν, ἐθελουσίως θέλω τεθνήξεσθαι. ὅρα ἵνα μήτις ἅψηται καὶ προςεγγίσῃ τοῦ ἐμοῦ σώματος· παρέξομαι γὰρ τὸν λαιμὸν εὐκαρδίως τε καὶ εὐψύχως. ἀπολελυμένην δέ με πρὸς θεῶν ἀφέντες κτείνατε, ἵνα ἐλευθέρα θάνω, καὶ μὴ δούλη δηλονότι. *Η Δ' ΩΣ ΕΦΡ.* ἡ δὲ Πολυξένη ὡς ἐνόησεν τὸν θάνατον, τοῦτον εἶπε τὸν λόγον· ὦ Ἕλληνες, οἱ τὴν ἐμὴν πόλιν πορθήσαντες, ἑκουσίως θνήσκω· καὶ μήτις ἐξ ὑμῶν τοῦ ἐμοῦ σώματος ἐφάπτηται. Fl. 33.

V. 541. *ΕΣΗΜΗΝΕΝ*, ἔλεγεν. Fl. 21. εἶπεν. Fl. 10.

5) Guelph. ἐπ' ἐκείνῳ et mox τελέσαι pro πληρῶσαι. omittit etiam vv. ἣν ηὔξατο.

6) Flor. 59. ἀπὸ τοῦ κ. ἐν αὐτῇ τὸ ὀλοὸν καὶ τὸ ὀλέθριον.

V. 542. *Ω ΤΗΝ ΕΜΗΝ.* ἐνταῦθα φαίνεται τὸ ἀνδρεῖον τῆς Πολυξένης. Gu.

V. 543. *ΕΚΟΥΣΑ*, εὐτόλμως. Fl. 6. 9. 10. 21. 56. 59. 76. *ΜΗ ΤΙΣ*, ὁρᾶτε ἵνα οὐδείς. Fl. 6. 9. 21. 56. 59. 76. *ΧΡΟΟΣ*, χρώματος. Fl. 17.

V. 544. *ΠΑΡΕΞΩ*, δώσω τὴν δειρὴν, ἤγουν τὸν λαιμὸν, τολμηρῶς, εὐτόλμως. δώσω, καὶ παρέχω καὶ παρέχομαι ἐπὶ τοῦ αὐτοῦ λέγεται. Fl. 6. 9. 21. 56. 59. 76. δωσω τράχηλον εὐτόλμως. Fl. 17. καθὼς δὲ εἰμὶ βασιλίς, τοσαυτικῶς θανῶ καὶ ὁλωεγκαρδίως (sic) παραδίδω τὸν ἐμὸν αὐχὴν (sic). Fl. 33. *ΕΥΚΑΡΔΙΩΣ*, τολμηρῶς, εὐτόλμως, (θαρσαλέως). Gu.

V. 545. *ΕΛΕΥΘΕΡΑΝ.* ἐλεύθερος ὁ ἀπολελυμένος καὶ μὴ ὑπό τινος κατεχόμενος καὶ ὁ μὴ [7]) ὑπὸ δουλείαν· ἀνελεύθερος δὲ ἐπὶ φειδωλίας [8]), ᾧ ἐναντίον ὁ ἐλευθέριος. ἡ δὲ σύνταξις οὕτω· πρὸς θεῶν, μεθέντες καὶ ἀφέντες ἐμὲ ἐλευθέραν καὶ ἄνετον, κτείνατε, ὅπως θάνω ὡς ἐλευθέρα καὶ οὐ δούλη. οὕτω τὸ [9]) μὲν ἐλευθέραν ἀντὶ τοῦ ἄνετον ἐκληπτέον, τὸ δὲ ἐλευθέρα ἀντὶ τοῦ οὐ δούλη, ὡς δηλοῖ καὶ τὸ τῆς κατασκευῆς· εἰ γὰρ ἁψαμένων τινῶν ταύτης ἀπέθνησκεν, δουλικῶς ἂν καὶ οὐκ ἐλευθέρως τεθνάναι ἔδοξεν. *ΕΛΕΥΘΕΡΑΝ*, ἀδέσμευτον. Fl. 10. κτείνετε, ἵνα ἐλευθέρως θάνω, καὶ μὴ δούλη δηλονότι. Gu.

V. 546. *ΠΡΟΣ ΘΕΩΝ*, διὰ τοὺς θ. Fl. 17. ἀντὶ τοῦ ἕνεκεν τῶν θεῶν. Fl. 21. *ΜΕΘΕΝΤΕΣ*, καταλείψαντες. Fl. 59. ἀφέντες, ἐάσαντες (ἀφέντες, καταλείψαντες). Gu.

V. 5[4]6 sq. *ΕΝ ΝΕΚΡΟΙΣΙ ΓΑΡ.* ἐν τοῖς νεκροῖς γὰρ καλεῖσθαι δεδουλωμένη, δέσποινα οὖσα, ἐντρέπομαι. *ΕΝ ΝΕΚΡ. ΓΑΡ.* κτεινόντα (sic) με γὰρ παρὰ τοῖς νεκροῖς μετὰ τῶν θεῶν ἐάσαντες κατοικεῖσθαι. Fl. 33. *ΕΝ*, παρὰ τῶν. Fl. 17.

7) Verba ὑπό τ. κ. καὶ ὁ μή e Guelph. addidi, in quo priora ἐλεύθερος — ἐλευθέριος a pr. m. scripta sunt, seqq. πρὸς θεῶν — ἔδοξεν a m. sec. media ἡ δὲ σύνταξις οὕτω desunt.

8) Sic Guelph. Vulgo φειδωλείας. Idem scholion usque ad ἐλευθέριος est in Flor. 6. 9. 21. 56. 59. 76.

9) Sic Guelph. qui etiam ἐλεύθερον.

V. 547. *ΔΟΥΛΗ.* δουλείαν γὰρ ἡγεῖτο καὶ τὸ δεδεσμημένην θανεῖν. Gu. *ΚΕΚΛΗΣΘΑΙ*, ὀνομασθῆναι. Fl. 56. *ΟΥΣΑ*, ὑπάρχουσα. Fl. 59. βασιλὶς γὰρ ὑπάρχουσα αἰσχύνομαι τοῦ εἶναί με δούλην. Fl. 33.

V. 548 sq. *ΛΑΟΙ Δ' ΕΠΕΡΡΟΘΗΣΑΝ.* ὁ δὲ λαὸς ἤχησεν, — ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν ῥοθίων· — ὁ δὲ βασιλεὺς Ἀγαμέμνων ἔλεξε τοῖς νέοις ἀφεῖναι τὴν παρθένον. *ΕΠΕΡΡΟΘΗΣΑΝ.* εἰκότως καὶ ἁρμοδίως εἴρηται ἐπὶ πλήθους, ἤγουν ἀσήμως ἤχησαν· ἐκ μεταφορᾶς δὲ τῶν κυμάτων ἡ λέξις· τὸ γὰρ πλῆθος ὁμοῦ βοῆσαν ἄγνωστον τοῖς ἀκούουσιν, ὅ τι καὶ λέγει. *ΕΠΕΡΡΟΘΗΣΑΝ*, ἐπεβόησαν, διὰ τὸ ἄσημον, ἤχησαν, ἀπὸ μεταφορᾶς τοῦ ἤχους τῶν ῥοθίων, ἤγουν τῶν κυμάτων. καὶ ἐπὶ μὲν τοῦ πλήθους οἰκείως τῇ λέξει ἐχρήσατο, ἐπὶ δὲ τοῦ Ἀγαμέμνονος τὸ εἶπεν. Baroc. 74. Gu. [10]) ἀπὸ μεταφορᾶς τῶν κυμάτων· οὐ γὰρ ἐξακούεται καθαρῶς ἡ τοῦ ὄχλου φωνὴ, ἀλλὰ τοιόνδε λόγον ἀποτελεῖ ἡ ῥόθα. Fl. 59.

V. 549. *ΜΕΘΕΙΝΑΙ*, ἀφεῖναι, ἐᾶσαι, ἐᾶν ἀκατάσχετον. Fl. 10. 17. 59. 76. Gu.

V. 550 sq. *ΟΙ Δ' ΩΣ ΤΑΧΙΣΤ'*, οὗτοι δὲ ἐπεὶ ταχέως ἤκουσαν τὴν ἐσχάτην φωνὴν τοῦ βασιλέως· — τέλος γὰρ πάσης ὑπεροχῆς ὁ βασιλεύς· καὶ Πίνδαρος· τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι (Ol. 1, 182.). [1]) ὤφειλε δὲ εἰπεῖν οὕτως· οἱ δ' ἐπεὶ ἤκουσαν τὴν ὑστέραν φωνὴν, ἤγουν τὴν βασιλικὴν, μεθ' ἣν οὐδενὶ ἄλλῳ λέγειν ἔξεστιν, οὗτινος βασιλέως μέγιστον ἦν κράτος, μεθῆκαν. ὁ δὲ ἀντιστρόφως, ἐπεὶ τάχιστα, φησίν, ἤκουσαν, μεθῆκαν. ἔστι δὲ ὁ σχηματισμὸς οὗτος οὐ ποιητικὸς, ἀλλ' Ἀττικὸς,

10) E Guelph. addidi διὰ τὸ ἄσημον et ἐπὶ δὲ τοῦ Ἀγ. τὸ ε. Praeterea vero in eo vv. καὶ ἐπὶ μὲν — εἶπεν superiori scholio adhaerent.

1) Flor. 59. ὑστέραν ὄπα, οὗπερ καὶ μέγ. ἦν κρ. αὐτοῦ τοῦ Ἀγαμέμνονος. ὑστέραν ὄπα τὴν τοῦ βασιλέως φωνήν· τέλος γὰρ — βασιλεῦσι. Quae sequuntur, sunt etiam in Gu. a m. pr. sic: *ΗΚΟΥΣΑΝ.* οὕτως ὤφειλεν· οἱ δὲ ἐπ. ἤκ. ὑστάτην ὄ. οὗπ. καὶ μέγ. ἦν κρ. τάχιστα μεθῆκαν. Seqq. ὁ δὲ ἀντιστρ. — μεθῆκαν sunt a secunda m. inter lineas adscr. Tum a m. pr. ἔστι δὲ etc.

καὶ συνήθης τοῖς ῥήτορσιν. 2) Ἄλλως. βουλόμενος οὕτως εἰπεῖν, οἱ δ' ὡς τάχιστα ἤκουσαν ὕστερον 3) τὴν ὄπα τοῦ Ἀγαμέμνονος, ὑστέραν ἐπήγαγε πρὸς τὴν ὄπα, ἀντὶ τοῦ ἐπιῤῥήματος ὄνομα θείς. σύναπτε δὲ τὸ τάχιστα πρὸς τὸ μεθῆκαν. Ἄλλως. οὕτως ὤφειλεν εἰπεῖν· οἱ δ' ἐπεὶ ἤκουσαν ὑστάτην ὄπα, οὗπερ καὶ μέγιστον ἦν κράτος, τάχιστα μεθῆκαν· ὁ δὲ ἀντιστρόφως, ἐπεὶ τάχιστ' ἤκουσαν, μεθῆκαν. ἔστι δὲ ὁ σχηματισμὸς μᾶλλον ῥήτορσι συνήθης ἢ ποιηταῖς. 4) ΥΣΤΑΤΗΝ ΟΠΑ, ἐσχάτην φωνὴν, μεθ' ἣν οὐδεὶς ἄλλος ἔλεγεν. Fl. 59. 5)

V. 551. *ΜΕΘΗΚΑΝ*, ἤγουν ἀφῆκαν. Fl. 17. ἔασαν. Fl. 76. *ΟΥΠΕΡ*, βασιλέως. Fl. 10. *ΚΡΑΤΟΣ*, ἐξουσία. Fl. 17.

V. 552—557. *ΚΑΠΕΙ ΤΟΔ' ΕΙΣΗΚΟΥΣΕ*. ἐπεὶ δὲ, ἀφ' οὗ δὲ ἤκουσε τοῦτο τὸ λόγιον τῶν δεσποτῶν, λαβοῦσα τὰ ἱμάτια, ἔσχισεν ἀπὸ τῆς ἄκρας ἐπωμίδος μέχρι τοῦ μέσου τῆς λαγόνος, καὶ ἔδειξε τὰ στήθη καθάπερ ἀγάλματα κάλλιστα, καὶ καταβαλοῦσα πρὸς γῆν τὸ γόνυ, εἶπε λόγον ἀθλιώτατον πάντων τῶν λόγων δηλονότι.

V. 552. *ΕΙΣΗΚΟΥΣΕ*, ἡ κόρη. Fl. 21.

V. 553. *ΛΑΒΟΥΣΑ*. λαβοῦσα τὰ τηλατία (sic) ἐκ τῆς ἄκρας τοῦ ὠμοφορίου οὗπερ ἐφόρει ὡς βασιλὶς, ἔσχισεν. Fl. 33. *ΑΚΡΑΣ*, ἀπὸ τοῦ ἄκρου τῆς ἐπωμίδος. Fl. 6. 9. 21. 56. 59. 76. τῆς περιτραχηλίου. Fl. 10. 17. *ΕΠΩΜΙΔΟΣ*. ἐπωμὶς τὸ ὑπερέχον τοῦ βραχίονος, καὶ εἶδος ἐνδύματος. ἐνταῦθα δὲ τὸ πρότερον δοκεῖ λέγειν.

V. 554. *ΛΑΓΟΝΟΣ*, ἤγουν τῶν λαγόνων. Fl. 6. 9.

2) In Guelph. nihil est nisi: ὑστέραν ὄπα, βασιλικὴν, μεθ' ἣν οὐδενὶ ἄλλῳ λέγειν ἔξεστιν, ἢ ὑστέραν· βουλόμενος γὰρ etc. quae in editis post ἄλλως sequuntur.

3) King. Musgr. ὑστέραν. Gu. ὕστατον.

4) Ultimum hoc scholion est etiam in Flor. 59. nisi quod post ὤφειλεν omittit εἰπεῖν, tum verba ὁ δὲ ἀντιστρ. — μεθῆκαν, quae etiam in Guelph. ab alia m. appicta sunt. Pro ἔστι δὲ ὁ σχ. in Flor. et Guelph. est, quod supra legimus: ἔ. δὲ ὁ σχ. οὐ. οὐ π. ἀλλ' Ἀττ. καὶ σ. τοῖς ῥ.

5) Fl. 17. τὴν τελευταίαν, μεθ' ἣν οὐ. ἄ. ἔλεξεν. 10. om. ἄλλος.

21. 56. 59. 76. μέχρι μέσης τῆς λαγόνος. Fl. 17. *ΕΙΣ ΜΕΣΟΝ*. τὸ εἰς ἀντὶ τοῦ ἕως· καὶ παρὰ Δημοσθένει (π. παραπρ. p. 411. 10. R.)· τούτῳ φιλανθρώπως ἐχρώμην εἰς τήνδε τὴν ἡμέραν 6), ἀντὶ τοῦ, μέχρι τῆσδε τῆς ἡμέρας. λάμβανε δὲ τοῦτο τὸ εἰς καὶ πρὸς τὸ λαγόνας κατὰ συνεκδοχήν 7). *ΠΑΡ' ΟΜΦΑΛΟΝ*, τὸ ἑξῆς εἰς λαγόνας. Fl. 21. μέχρι τῶν λαγόνων μέσων· εἶτ' ἐπάγει παρ' ὀμφαλὸν, δεικνὺς ὅτι τὸ μέσον τῶν λαγόνων ὀμφαλός ἐστιν. Gu.

V. 555. *ΜΑΣΤΟΥΣ*, καὶ ἔδειξεν τοὺς μαστοὺς, καὶ τὰ στέρνα τὰ κάλλιστα καὶ λαμπρά. Fl. 33. *ΩΣ ΑΓΑΛΜΑΤΟΣ*, ἀναθήματα. Fl. 17. καθὰ ὡς ἀνδριάντος τινός. Fl. 59. θείας μορφῆς. Fl. 21.

V. 556. *ΚΑΘΕΙΣΑ*, κλίνασα. Fl. 6. 9. 10. 21. 56. 59. 76. Gu. a m. pr. κατακλίνασα. Gu. a m. 2.

V. 557. *ΕΛΕΞΕ*, καὶ εἶπεν ἔμπροσθεν πάντων οἰκτρότατον λόγον καὶ θρηνητικόν. Fl. 33. *ΤΛΗΜΟΝΕΣΤΑΤΟΝ*, καρτερικώτατον, ὑπομονητικώτατον. Fl. 10. 17. 21. 59. ἀθλιώτατον, (οἰκτρότατον). Gu.

V. 558 — 560. *ΙΔΟΥ ΤΟΔΕ*. ἰδοὺ, ὦ νεανία, εἰ μὲν τόδε τὸ στέρνον παίειν προθυμῇ, παῖσον, εἰ δ' ὑπ' αὐχένα θέλεις, πάρεστι λαιμὸς εὐπρεπὴς ὅδε.

V. 558. *ΙΔΟΥ*, τόδε τὸ σῶμα δηλονότι. Fl. 10. 21. τὸ σῶμα ἢ τὸ στέρνον. Gu.

V. 559. *ΠΑΙΕΙΝ*, τύπτειν διὰ τοῦ ξίφους. Fl. 17. κεντεῖν. Gu. *ΠΡΟΘΥΜΗι*, θέλεις. Gu. *ΠΑΙΣΟΝ*, ἤγουν τύψον. Fl. 17. Gu. *ΥΠ' ΑΥΧΕΝΑ*, ἤγουν ὑπὸ τὸν τράχηλον, βούλει δηλονότι. Fl. 17. βαλεῖν τὸ ξίφος. Fl. 59. ἀρτηρίας. Fl. 10.

V. 560. *ΧΡΗΖΕΙΣ*, θέλεις παίειν δηλονότι. Fl. 6. 9. 21. 59. 76. Gu. *ΠΑΡΕΣΤΙ*, παίειν δηλονότι. Gu. *ΕΥΠΡΕΠΗΣ*, ἕτοιμος, (παρεσκευασμένος. Fl. 10. 59.) Gu. ἐὰν δὲ τὸν αὐχένα χρῄζεις, παῖσον καὶ τύψον· παρειστήκει σοι γὰρ ὁ εὔμορφος τράχηλος. Fl. 33.

6) In Dem. legitur τούτῳ πάνυ φιλ. ἐκεχρήμην ἐγὼ, καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν.

7) Guelph. κατὰ ἀντιστροφήν.

V. 561 sq. Ο Δ' ΟΥ ΘΕΛΩΝ. τὸ ἑξῆς, οὐ θέλων οἴκτῳ καὶ συμπαθείᾳ τῆς κόρης, τέμνει τὸν λαιμόν· ἐκ τούτου γὰρ πνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ αἷμα.

V. 561. ΟΥ ΘΕΛΩΝ τῷ οἴκτῳ τῆς κόρης, ἤγουν ἐλεῶν τὴν κόρην, ΚΑΙ ΘΕΛΩΝ, διὰ τὸν πατέρα αὐτοῦ, ὑπ' ἀνάγκης· ὅπερ καὶ παροιμιακῶς λέγεται, ἑκὼν ἄκων. Gu. Fl. 10. 59. 8) ΟΙΚΤΩι, τῷ ἐλέῳ. Fl. 56. ὁ δὲ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος ἄκων τε καὶ ἑκὼν τέμνει τῷ σιδήρῳ τὸν τράχηλον τῆς οἰκτρᾶς καὶ ταλαιπώρου κόρης. Fl. 33.

V. 562. ΔΙΑΡΡΟΑΣ, τὰς ἀρτηρίας καὶ φλέβας τὰς τῆς ἀναπνοῆς. διαῤῥοαὶ πνεύματος 9) αἱ φλέβες, ἐν αἷς τὸ πνεῦμα 10) διέρχεται ἐκ τῶν ἀρτηριῶν. διαφέρει δὲ ἀρτηρία φλεβὸς τῷ τὴν μὲν ἀρτηρίαν ἔχειν πνεῦμα πολὺ καὶ ὑποκάτω κεῖσθαι τῆς φλεβὸς, αἷμα δὲ ὀλίγον, τὴν δὲ φλέβα αἷμα μὲν πολὺ καὶ ἄνω κεῖσθαι τῆς ἀρτηρίας, πνεῦμα δὲ ὀλίγον. ΔΙΑΡΡΟΑΣ, δηλονότι τὰς φλέβας τοῦ πνεύματος ἔταμε. Fl. 33. τὰς ἀρτηρίας, τὰς διεξόδους, ἤγουν τὸν λαιμόν· διὰ τούτου γὰρ ἐκπνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ πνεῦμα. Fl. 6. 9. 21. 56. 59. 76. 1)

V. 563—565. ΚΡΟΥΝΟΙ. σταλαγμοὶ δὲ τοῦ αἵματος καὶ ἐκχύσεις προήρχοντο. ἡ δὲ καίπερ ἀποθνήσκουσα, προμήθειαν εἶχεν, ὥςτε εὐπρεπῶς καὶ εὐσχήμως πεσεῖν καὶ κρύπτειν, ἃ πρέπον κρύπτειν τὰ ὄμματα τῶν ἀῤῥένων. Τὸ κρύπτω μετὰ αἰτιατικῆς λέγεται, καὶ πρὸς τὸ πρόςωπον καὶ πρὸς τὸ πρᾶγμα, οἷον κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν.

8) Flor. om. ἤγουν ἐλ. τὴν κ. et ὑπ' ἀν. — ἄκων.

9) King. Musgr. αἵματος.

10) Sic Gu. Vulgo τὸ αἷμα. In eo incipit scholion a vv. διαῤῥοαὶ αἱ φλέβες, ἐν αἷς et omnia habet usque ad πνεῦμα δὲ ὀλίγον. Additum est aliud scholion ab al. m. πν. διαῤῥ. τὰς ἀρτηρίας καὶ φλέβας. διαφέρει δὲ ἀρτ. φλ. ταύτῃ, τῷ τὴν μὲν ἀρτ. ὀλίγον αἷμα ἔχ. πνεῦμα δὲ πολὺ, τὴν δὲ φλ. τὸ ἐναντίον τὸ μὲν αἷμα πολὺ, τὸ δὲ πν. ὀλ. πρὸς σύγκρισιν τοῦ ἐν τῇ ἀρτηρίᾳ ὑποκάτω κεῖται τῆς φλεβὸς, ἡ δὲ φλὲψ ἐπάνω τῆς ἀρτηρίας. εἰπὼν δὲ πνεύματος διαῤῥοὰς, ἔδειξεν, ὅτι αἱ φλέβες καὶ αἱ ἀρτηρίαι ἐτμήθησαν.

1) Idem scholion a vv. ἤγουν τὸν λ. exstat etiam in Gu. a m. pr. ab alia m. est διεξ. φλέβας.

V. 563. ΚΡΟΥΝΟΙ, διαῤῥοαί. Fl. 17. κρεύσεις (l. ἐκρεύσεις) τοῦ αἵματος ὥρμουν. Fl. 59. οἱ σταλαγμοὶ τοῦ αἵματος ἔῤῥεον. Fl. 33. ῥεύματα ἐφέροντο, ὥρμουν. Gu.

V. 564. ΠΡΟΝΟΙΑΝ, προμήθειαν (προςοχὴν, βούλευσιν, φροντίδα). Gu. ΠΟΛΛΗΝ ΠΡ. Ε. μεγάλην ἐπιμέλειαν εἶχεν. Fl. 33. ΕΥΣΧΗΜΩΣ, πρεπόντως τοῦ πεσεῖν ἐντίμως. Fl. 33. εὐπρεπῶς. (εὐσχημόνως, κοσμίως.) Gu.

V. 565. ΚΡΥΠΤΕΙΝ Δ' Α ΚΡΥΠΤΕΙΝ. Τὸ κρύπτω μετὰ αἰτιατικῆς λέγεται καὶ πρὸς τὸ πρόςωπον καὶ πρὸς τὸ πρᾶγμα, οἷον κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν. 2) οὐκ ὀλίγοι πειραθέντες ἑρμηνεῦσαι τὸ χωρίον τοῦτο, τοσοῦτον ἀπέσχοντο τοῦ τἀληθὲς εἰπεῖν 3) ἐξευρεῖν, ὅσον ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐπικεχειρηκότας φανῆναι κατὰ γνώμην σφίσιν ἐπῆλθε. δυοῖν γὰρ οὐσῶν τῶν αἰτιατικῶν, καὶ τοῦ γε νοῦ καθεστῶτος ἐντεῦθεν ἐν σκότῳ, βουλόμενοι συντεταχέναι, ἐναλλαγαῖς τε ἐχρήσαντο καὶ προθέσεσιν ἔξωθεν, εἰς ἃ χρεὼν τὰ ὄμματα τῶν ἀρσένων κρύπτεσθαι φάσκοντες. ἐγὼ δὲ οὔτ' ἐκείνοις μεμφόμενος καὶ τὸ δοκοῦν εἰπὼν ἐμαυτῷ, οἶμαι ἂν πάντας, ὅσοις ὀρθότητος ἐν λόγοις μέλει, ἐκ τοῦ εὐθέως ἀκούσαντας, ἦ μὴν 4) τοῦθ' οὕτως ἔχειν ψηφίσασθαι. λέγων γὰρ ὁ Ταλθύβιος τὰ περὶ τῆς κόρης, εἶτα ἐπήνεγκεν· ἡ δὲ καὶ θνήσκουσα ὅμως προὐνοεῖτο εὐσχημόνως 5) πεσεῖν, καὶ κρύπτειν ἐκεῖνα, ἃ χρεὼν ἐστι κρύπτειν τὰ ὄμματα τῶν ἀρσένων. 6) ὥςπερ γὰρ ἀφαιρῶ σὲ τὴν χλαμύδα φαμὲν, καὶ στερῶ σὲ τὸ ἀργύριον, ὄντα καὶ ἀμφότερα αἰτιατικὰ, καὶ ὁ ἀφαιρούμενος καὶ ὃ ἀφαιρεῖται, καὶ ὁ στερούμενος καὶ ὃ στερεῖται· οὕτω καὶ κρύπτω σὲ τόδε λέγομεν, οἷον ἔχων τις ὁτιοῦν 7) κτῆμα καὶ μόνος βουλόμενος ἀπολαύειν κρύπτει τοῦτο τοὺς ἄλλους. καὶ ἡ Πολυ-

2) In Junt. et Basil. haec paraphrasi ad v. 563—65. adhaerent. Seiunxit King.

3) εἰπεῖν om. King. Musgr. Iidem male ἀπέχοντο τοῦ ἀληθές.

4) King. Musgr. ἡμῖν.

5) Sic King. Musgr. εὐσχήμως Junt. Basil.

6) Haec omnia usque ad ἀρσένων in Guelph. desunt, addita, nisi fallor, a bono Arsenio. In sqq. γάρ om. Gu.

7) ὁτιοῦν e Gu. accessit.

ξένη γυνὴ οὖσα, εἰ καὶ τὸν περὶ τοῦ θανεῖν ἔθει, ἀλλ᾽ οὖν πρόνοιαν εἶχεν εὐσχημόνως πεσεῖν καὶ τὰ αἰδοῦς ἄξια κρύπτειν ἃ πρέπον ἐστὶ κρύπτειν τὰς τῶν ἀνδρῶν ὄψεις καὶ μὴ δεικνύναι. μαρτύριον [8]) δὲ τούτου ἄλλα τε πολλὰ, καὶ τὸ τοῦ Σοφοκλέους· *οὐδὲν* [9]) *γάρ σε δεῖ κρύπτειν μ᾽ ἔτι.* (El. 957.) καὶ Αἰσχύλος πάλιν [10])· *μήτοι με κρύψης τοῦθ᾽, ὅπερ μέλλω παθεῖν.* (Prom. 630.) *ΚΡΥΠΤΕΙΝ*, καλιζηλία (imo κακοζηλία). Fl. 17. οἱ δὲ ἄνδρες ἔκρυπτον τὰ ἑαυτῶν ὄμματα, καθὼς πρέπει ἀῤῥένων κρύπτειν. Fl. 33. *ΚΡΥΠΤΕΙΝ*, κρύπτεσθαι. Fl. 59. *ΑΡΣΕΝΩΝ*, μετάπτωσις. Fl. 17. ἔπεσεν εἰς τὸ κακόζηλον, ὅπερ κακίζουσιν οἱ ὀβελίζοντες. Gu.

V. 566 — 569. *ΕΠΕΙ Δ᾽ ΑΦΗΚΕ.* ἐπεὶ δ᾽ ἐξέπνευσε τὴν ψυχὴν ὑπὸ θανατηρᾶς σφαγῆς, οὐδεὶς ἀπὸ τῶν Ἀργείων εἶχε τὴν ὁμοίαν ἐργασίαν, ἀλλ᾽ οἱ μὲν αὐτῶν τιμῶντες αὐτὴν διὰ τὸ εὐθαρσὲς καὶ εὔψυχον φύλλοις καὶ ἄνθεσιν ἔβαλλον.

V. 566. *ΣΦΑΓΗι.* σφὰξ λέγεται τὸ κοῖλον τοῦ λαιμοῦ, ἐξ οὗ καὶ διάσφαγες τὰ κοιλώματα τῆς γῆς. ἀπὸ τούτου γοῦν λέγεται καὶ σφαγή. Fl. 59.

V. 567. *ΠΟΝΟΝ.* πόνος, ἡ ὀδύνη καὶ ἀπὸ τούτου ἡ ἐργασία. Fl. 9. 21. 56. 59. Gu. ἀφ᾽ οὗ δὲ ἀφῆκε τὸ πνεῦμα ἐν τῇ σφαγῇ, οὐδεὶς τῶν Ἑλλήνων εἶχε τὸν αὐτὸν πόνον. Fl. 33. ἐνέργειαν. Gu.

V. 569. *ΦΥΛΛΟΙΣ ΕΒΑΛΛΟΝ.* Ἐρατοσθένης φησὶ περὶ τῆς φυλλοβολίας, ὡς πάλαι χωρὶς ἄθλων ἀγωνιζομένων ἀνθρώπων, τῷ νικήσαντι καθάπερ ἔρανον εἰςφέροντες ἐῤῥίπτον τῶν θεατῶν ὅπως ἕκαστος ηὐπόρει. διὸ δὴ σύνηθες ἐγίνετο κύκλῳ περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον. οἱ μὲν οὖν ἐμπορευόμενοι διάφορα δῶρα τῶν λοιπῶν· οἱ μὲν ἐγγὺς καθήμενοι στεφάνους ἐπετίθεσαν, οἱ δὲ ἀνωτέρω, τοῦτο ὅπερ ἦν λοιπὸν, ἔβαλλον τοῖς

8) Sic Guelph. Vulgo μάρτυς δέ.

9) Sic Guelph. ut in Soph. Vulgo οὐ δὲ γάρ.

10) Αἰσχύλος est in Guelph. et sic corr. King. pro ἄλλος. πάλιν Porson. Add. ad Eur. Hec. p. 102. ed. Lips. ut clare legitur in Cantabr. et Gu.

ἄνθεσι καὶ φύλλοις. καὶ νῦν μὲν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις προβάλλουσι ζώνας, πέταλα, χιτωνίσκους, πετάσους, κρηπῖδας. διὸ σύνηθες κύκλῳ περινοστοῦντας ἀγείρειν τὰ διδόμενα. ἕως μὲν οὖν ἐναγώνισμα κατὰ τὴν Ὀλυμπίαν ἦν, δαψιλὴς ἐγίνετο ἡ τῶν δωρεῶν δόσις· πολυπλασιαζομένους δὲ τούτους, ταῦτα ἐμειοῦτο εἰς πολλὰ καταμεριζόμενα, καὶ τέλος ἡ φυλλοβολία κατελείφθη. ταῦτα οὖν περὶ τοὺς χρόνους Εὐριπίδου· ὀψὲ γάρ ποτε ὁ ἀγερμὸς τῆς φυλλβολίας ἀπεδείχθη. φυλλοβολεῖται δὲ Πολυξένη, ὥςπερ ἐν ἀγῶνι νικήσασα [1])· ἐφυλλοβολοῦντο γὰρ μετὰ τὸ νικῆσαι, καθὰ καὶ προείρηται. *ΦΥΛΛΟΙΣ ΕΒΑΛΛΟΝ*, ἐκαλλώπιζον, ἐστεφάνουν. Fl. 17. διὰ φύλλων ἄνθεσιν ἔπαττον. [2]) Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἐνίκησεν γὰρ ἐν ἀγῶνι Πολυξένη. Fl. 10. ἔστεφον, περιέσκεπον. Gu. *ΠΛΗΡΟΥΣΙ*, τελειοῦσι, ἔταττον. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΠΥΡΑΝ*, τὸν τάφον, τὸν τόπον, ἔνθα ἡ πυρὰ ἐγένετο. Gu.

V. 569—577. *ΟΙ ΔΕ.* τινὲς δὲ ἐπλήρουν τὸν τάφον, βαστάζοντες δᾷδας ἐκ πεύκης, ὁ δὲ μὴ φέρων παρὰ τοῦ φέροντος τοιάςδε κατηγορίας (l. κακηγ.) ἤκουε· ἕστηκας, ὦ κακότροπε, οὔτε πέπλον, οὔτε καλλωπισμόν τινα διὰ χειρὸς φέρων ὑπὲρ τῆς νεανίδος καὶ χάριν τῆς νεανίδος; οὐ πορεύσῃ δώσων τὶ τῇ μεγαλοψύχῳ καὶ εὐκαρδίῳ περισσῶς, καὶ κατὰ τὴν ψυχὴν ἀνδρείᾳ; τοιαῦτα ἔλεγον περὶ τῆς θυγατρός σου ἀποθανούσης. τὴν εὐγονωτάτην δὲ πασῶν γυναικῶν ἀθλιωτάτην βλέπω.

V. 570. *ΚΟΡΜΟΥΣ*, ξύλα. Fl. 6.

V. 571. *ΤΟΙΑΔ᾽*, ὑβριστικὰς τοιαύτας κατηγορίας. Fl. 17. *ΗΚΟΥΕ.* τὸ ἀΐω καὶ ἀκούω κατὰ Ἀττικοὺς αἰτιατικῇ, κατὰ δὲ κοινοὺς γενικῇ. Gu. *ΚΑΚΑ*, ὀνειδιστικὰ ῥήματα. Gu.

V. 572. *ΕΣΤΗΚΑΣ.* ἀπὸ τοῦ στήκω κανονίζεται εἰς παρακείμενον. Fl. 59. *ΚΑΚΙΣΤΕ*, δειλὲ, κακοτροπώτατε. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ὥςπερ τὸ τρίτος ἐπὶ μο-

1) In Gu. nihil ex his aliud legitur, nisi haec: φυλλοβ.—νικήσασα. et pro sqq. ἐφυλλ. etc. habet ἔθος γὰρ πάλαι τὸ τοὺς ἀριστέας φυλλοβολεῖν.

2) ἄνθεσιν deest in 59. et Gu.

ρίων, ἢ τὸ τέταρτον, ἢ τὶ ἕτερον τῆς ἀκολουθίας ταύτης
ἐνίοτε μὲν λέγεται μόνον, ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ
μορίου, ἤγουν τριτημόριον, ἢ τεταρτημόριον, οὕτω καὶ τὸ
κακὸν ἐπὶ τρόπου ἐνίοτε μὲν λέγεται μόνον, ἐνίοτε δὲ μετὰ
τῆς συνθέσεως τοῦ τρόπου, ἤγουν κακότροπον. Fl. 6. 9. 17.
56. 59. Gu.

V. 573. *ΚΟΣΜΟΝ* ἀντὶ τοῦ κόσμιον. Fl. 6. 9. 17.
21. 56. 59. 76. *ΕΧΩΝ*, φέρων (ἄγων. ὡς τὸ ἔχει τῷ λέ-
γοντι κίνδυνον ἤγουν ἄγει). Gu.

V. 574. *ΟΥΚ ΕΙ ΤΙ ΔΩΣΩΝ.* οἱ μὲν λέγουσι τὸ
εἶ ἀντὶ τοῦ πορεύσῃ [3]), οἱ δὲ ἀντὶ τοῦ ὑπάρχεις, οὕτως,
οὐκ εἶ καὶ οὐχ ὑπάρχεις δώσων τι, τουτέστιν οὐ δώσεις;
περίφρασις δὲ Ἀττική. βέλτιον δὲ τὸ πρῶτον. *ΕΙ*, ὑπάρ-
χεις ἐνταῦθα. Fl. 59. οὐ βαδίζεις δώσων τι τῇ περίσσῃ
εὐτόλμῳ. Fl. 10. οὐ πορεύσεις, οὐδὲ βαδίσεις, ἀπὸ τοῦ
ἴω. Fl. 21. *ΕΥΚΑΡΔΙΩι*, τολμηρᾷ. Fl. 6. 9. 21. 56. 59.
76. μεγαλοψύχῳ, τῇ τολμηρᾷ, (γενναίᾳ, εὐτόλμῳ). Gu.

V. 575. *ΛΕΓΟΝ*, ἔλεγον, ποιητικόν. Gu.

V. 576. *ΕΥΤΕΚΝΩΤΑΤΗΝ.* ὁ ποιητὴς ἐδέξατο με-
τὰ τῆς κ ν ω, ὡς μὴ ἐκτεινομένου τοῦ τ ε, ἐπείτοιγε τὸ μὲν
κ ἄφωνόν ἐστι, τὸ δὲ ν ἀμετάβαλλον (ἀμετάβολον), ἀναγ-
κασθεὶς διὰ τὸ μέτρον τοῦ στίχου, ἐπεὶ, εἰ μακρὸν ἔμελλε
δέξασθαι τὸ τ ε, ἐγένετο ἂν ὁ στίχος σφαλερός. οἱ δὲ γραμ-
ματικοὶ γράφουσι τοῦτο μικρὸν κατὰ τὸν λόγον, ὅτι τὸ κ
καὶ τὸ ν ἐκτείνουσι τὸ τ ε· τὰ γὰρ διὰ τοῦ ώ τ ε ρ ο ς καὶ
ώ τ α τ ο ς, εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ω συλλαβὴν βραχεῖαν,
διὰ τοῦ ω μεγάλου γράφουσιν, εἰ δὲ μικρὸν, διὰ τοῦ ο μι-
κροῦ, χωρὶς τοῦ ξενότατος καὶ στενότατος, ἅτινα ὁ Ὅμη-
ρος γράφει μικρὰ κἀκεῖνος διὰ τὴν τοῦ μέτρου ἀνάγκην,
ἐπεὶ, εἰ ἦν μέγα τὸ ν ω, ὤφειλεν ἐκτείνεσθαι καὶ ἡ πρὸ
τοῦ (l. τῆς) διπλοῦ συλλαβὴ, καὶ ἐγένετο ἀμφίμακρος, ὡς
πρὸ τῆς διπλοῦ συλλαβῆς μακρᾶς οὔσης, τὸ (l. τῆς) δὲ ξε
βραχείας καὶ τῆς ν ω μακρᾶς. ἦν γοῦν ἐκεῖ ν ω ἀχρήσιμος
εἰς τὸ τοῦ ἡρωϊκοῦ στίχου δακτυλικὸν μέτρον. ἡμεῖς τοίνυν
ἐκείνῳ ἀκολουθήσαντες ὡς ἀρχαιοτέρου καὶ τῶν ἑτέρων

3) Gu. πορεύῃ, qui addit: εἴσι γάρ ἐστι καὶ κατὰ συγκοπὴν*
οἱ δέ. Ultima βέλτιον δέ etc. desunt.

ποιητῶν κρείττονι κἀκείνων αὐτὸν ἀκολουθησάντων, γρά-
φομεν καὶ ἡμεῖς τοῦτο μικρὸν, διδάσκαλον ἐκεῖνον ἔχοντες
πάντων καὶ τῶν λέξεων Ἑλληνιστὴν ἀκριβέστατον, ὡς καὶ
τὸ ἴσον ἐκεῖνο (ἐκεῖνος) μὲν ἐδέξατο μακρὸν τὸ δε, (an:
τὸ ι?) προστιθεὶς καὶ περισπωμένην κατὰ τὸν κανόνα τὸν
λέγοντα, πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς, ὁ δέ γε
παρὼν ποιητὴς ἐδέξατο βραχὺ τὸ ι, προστιθεὶς καὶ ὀξεῖαν.
ἐπακολουθοῦντες οὖν καὶ ἡμεῖς τὸν Ὅμηρον, καὶ οὐ τὸν
Εὐριπίδην, ἢ ἕτερον τινὰ τῶν ποιητῶν, περισπῶμεν αὐτὸ,
ἐπεὶ ἐκεῖνος φυλάττει, ὡς εἴπομεν, τὴν τῶν λέξεων ἀκρί-
βειαν. οὗτοι δὲ λογοειδῆ γράφοντες — οἱ γὰρ ἰαμβογρά-
φοι ὡς λογοειδῆ γράφουσι — τὰ ἑαυτῶν κατελείψαμεν, γρά-
φοντες καὶ ἰσότατος ἐν ταῖς πεζογραφίαις μικρὸν τὸ σ ο, ὡς
ἐδηλώσαμεν τὸ ἴσον μακρὸν ἔχον τὸ ι. τὰ γὰρ ἔχοντα μα-
κρὰν τὴν πρὸ τοῦ ο συλλαβὴν σμικρύνονται. Fl. 59.

V. 578. *ΔΕΙΝΟΝ ΤΙ ΠΗΜΑ.* χαλεπή τις αὕτη
βλάβη τῶν θεῶν, ἤγουν ἧς αἴτιοι οἱ θεοὶ, ἀπαραίτητος —
λέγει δὲ τὴν [4]) ἑαυτῶν ἅλωσιν — ἐπῆλθε τοῖς Πριαμίδαις
καὶ τῇ πόλει [5]) τῇ ἐμῇ. τὸ δὲ ἐ π έ ζ ε σ ε ν ἀντὶ τοῦ ἐπήρθη
καὶ ηὐξήθη, ἀπὸ μεταφορᾶς τοῦ ζεόντος ὕδατος ἐν τοῖς λέ-
βησι καὶ ἐπαιρομένου ἐν τῷ ζέειν. *ΕΠΕΖΕΣΕ*, ἐπῆλθεν,
ἤγουν μετὰ σφοδρότητος ἐπῆλθεν, δίκην φλογός. Baroc. 74.
ΕΠΕΖΕΣΕΝ ἀντὶ τοῦ ἐπέβρασεν, ἐπήρθη, ἐξεχύθη, ἀπὸ
μεταφορᾶς τοῦ βραζομένου ὕδατος ἐν λέβητι. λέγεται δὲ
τοῦτο καὶ ἐπὶ τοῦ κύματος, ὅτε ὑπεράνω πηδᾷ τῶν τοίχων
τῆς νηός. ἐξέζεσε δὲ ἐπὶ σκωλήκων λέγεται, ὅταν ἀπὸ σή-
ψεως τῇ σαρκὶ γεννηθῶσι. λέγεται καὶ ἐπὶ τῶν ἑψημένων
ὕδατι. Gu.

V. 579. *ΘΕΩΝ*, παρὰ θεῶν, μετὰ ἀνάγκης δεδόμε-
ναν. Fl. 21. *ΑΝΑΓΚΑΙΟΝ*, ἀνάγκη. Fl. 10. ἀπαραί-
τητον τοῦτο ἦλθε. (ὡς πεπρωμέναν, ὅπερ συνέβη νῦν, τὸ
ἀναλωθῆναι τὴν Τροίαν.) Gu.

V. 580 — 586. *Ω ΘΥΓΑΤΕΡ*, οὐ γινώσκω, εἰς ὅπερ
τῶν κακῶν θεάσομαι, πολλῶν ὑπαρχόντων· ἐὰν γὰρ προς-
εγγίσω τινὸς, τὸ ἕτερόν με οὐκ ἀφίησιν, ἀφέλκεται δὲ ἀπὸ
τοῦ ἑτέρου μέρους δ ι ά δ ο χ ο ς κ α κ ῶ ν προτέρων δηλονότι

4) Sic Junt. Gu. ut ed. King. Musgr. τὸ τὴν Basil.
5) Junt. Basil. πόλ.

κακοῖς ἑτέροις ἐπαγομένοις. καὶ νῦν τὸ μὲν σὸν πάθος οὐκ ἂν δυναίμην ἐξαλεῖψαι ἀπὸ τῆς φρενὸς, ὥςτε μὴ στένειν αὐτὸ δηλονότι [6]· τὸ δὲ λίαν στένειν ἐμὲ καὶ θρηνεῖσθαι ἀφεῖλες ἀγγελθεῖσά μοι γενναία καὶ μεγαλόψυχος.

V. 580. *ΟΥΚ ΟΙΔ'.* αὕτη ἡ ἔννοια γράφεται καὶ ἐν τοῖς ἐγκωμίοις. Gu.

V. 581. *ΤΙΝΟΣ*, κακοῦ. Fl. 21. 59.

V. 582. *ΤΟΔ'.* τὸ ἕτερον κακόν. Fl. 6. 9. 21. 56. 59. Gu. *ΠΑΡΑΚΑΛΕΙ*, παρακινεῖ. Fl. 6. 9. 21. 33. 56. 76. παρακαλῶ τὸ καθικετεύω, τὸ παραμυθοῦμαι, ὅθεν καὶ παράκλησις, καὶ τὸ ἐφέλκομαι. Fl. 6. Gu. ἐφέλκεται. (παρασύρει, ἕλκει.) Gu.

V. 583. *ΛΥΠΗ ΤΙΣ ΑΛΛΗ*, ἄλλη κακὴ ἐναλλαγή. Fl. 33. *ΔΙΑΔΟΧΟΣ*, ἐγώ. Fl. 33. λύπης κακῶν, ἐν οἷς εἰμί. Gu.

V. 584. *ΣΤΕΝΕΙΝ*, θρηνεῖν. Fl. 59. *ΠΑΘΟΣ* τὴν σὴν συμφοράν. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 585. *ΕΞΑΛΕΙΨΑΣΘΑΙ*, ἀφελεῖν. Fl. 6. 9. 21. 56. 59. 76. ἐκβαλεῖν. Fl. 33. ἀντὶ τοῦ ἐξαλεῖψαι. Gu.

V. 586. *ΤΟ Δ' ΑΥ ΛΙΑΝ*, στένειν, ἀπὸ κοινοῦ τὸ κακὸν, ὑπερβολικῶς. Fl. 6. θρηνεῖν. Fl. 17. 33. λυπεῖσθαί με. Fl. 10. 21. 76. Gu. πλέον, τὸ πάνυ λυπεῖσθαι. Fl. 59. *ΠΑΡΕΙΛΕΣ*, παρέκοψας. Fl. 17. 76. Gu. ἐμοί. Fl. 10. ἀφεῖλες. Gu.

V. 587. *ΓΕΝΝΑΙΟΣ*, τολμηρά. Fl. 21. 59. ἀποθανοῦσα τολμηρά. Fl. 10. 17. γενναία, μεγαλόψυχος. (γενναῖος ἀντὶ τοῦ γενναία Ἀττικόν. τὸ γενναῖος οἱ παλαιοὶ ἀντὶ τοῦ εὐγενικοῦ ἔλεγον.) Gu.

V. 587—593. *ΟΥΚΟΥΝ ΔΕΙΝΟΝ.* οὐ θαυμαστὸν, φησὶν, ὅταν κακὴ γῆ τυχοῦσα εὐκρασίας ἀέρων, στάχυν φέρῃ καλὸν, ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα καρπὸν κακὸν φέρῃ, ἐν δὲ τοῖς ἀνθρώποις τοῦτο οὐκ ἔστιν ἰδεῖν, ὅτι τὸ ἐκ φύσεως οὐ μεθίσταται· ὁ γὰρ κακὸς ἀεὶ κακός ἐστι, καὶ ὁ ἀγαθὸς ἀεὶ ἀγαθὸς, κἂν ἀτυχήμασι περιπέσῃ. ταῦτα

6) Haec verba καὶ νῦν — δηλονότι sunt etiam in Guelph.

δὲ φησὶ, θαυμάζουσα τὴν Πολυξένην. [7]) *ΟΥΚΟΥΝ ΔΕΙΝΟΝ.* οὐδὲν ὑπάρχει θαυμαστὸν, εἰ ἡ γῆ μὲν κακὴ, τυχοῦσα καιροῦ καλοῦ ἢ ἐπιμελείας γεωργικῆς, φέρει καρπὸν καλὸν, ἡ δὲ καλὴ γῆ ἀμεληθεῖσα παρὰ τοῦ γεωργοῦντος αὐτὴν ἀποδώσει καρπὸν κακόν. ἐπὶ μὲν οὖν τῆς γῆς οὕτως ἔχει, ἐπὶ δὲ τῶν ἀνθρώπων ὁ ἀπὸ φύσεως ὑπάρχων πονηρὸς ἢ κακὸς ἢ ἀγεννὴς καὶ μέχρι τέλους οὕτω διαμένει, ὁ δὲ ἐσθλὸς ἢ ὁ εὐγενικὸς καὶ ἀπὸ φύσεως ὑπάρχων ἀγαθὸς, κἂν καὶ μυρίαι συμφοραὶ περικυκλώσουσι τοῦτον, οὐ πάλιν διέφθειρε τὴν εὐγένειαν αὐτοῦ, ἀλλ' εἰς τέλος διαμένει χρηστός. τὸ αὐτὸ πέπονθε καὶ ἡ Πολυξένη εὐγενὴς οὖσα, μὴ πτοηθεῖσα, μηδὲ δειλανδρήσασα ἐπὶ τὴν σφαγὴν, ἀλλὰ βασιλικῶς καὶ γενναίως ἀποθανοῦσα. Fl. 59. οὐχὶ δεινὸν, ὅταν κακῇ γῇ τὰ ἐκ θεοῦ αὐτῇ [8]) κατὰ καιρὸν ἀπαντήσῃ — λέγει δὲ τοὺς ὑετοὺς καὶ τὸν ἀέρα — φέρει στάχυν καλὸν, ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα κακὸν καρπὸν φέρει, τῶν δ' ἀνθρώπων ἀεὶ ὁ κακὸς κακός ἐστιν, ὁ δ' ἀγαθὸς ἀγαθὸς, κἂν ἀτυχήμασι περιτύχῃ. Fl. 21. *ΟΥΚΟΥΝ ΔΕΙΝΟΝ*, οὐκ ἔνι ἔπαινος. Fl. 17. *ΔΕΙΝΟΝ*, παράδοξον. (θαυμαστὸν καὶ μέγα.) Gu.

V. 588. *ΚΑΙΡΟΥ*, καλοῦ δηλονότι. Fl. 6. 9. 21. 56. 59. 76. Gu. a m. pr. ἐπιτηδείου. Gu. a m. sec. τουτέστιν εὐκρασίας ἀέρων. τοῦτο βούλεται λέγειν, ὅτι τὰ μὲν ἄλλα πράγματα ταῖς ἐπιμελείαις ἢ ἀμελείαις τῶν ἀνθρώπων οὕτως ἢ οὕτω γίνονται, οἱ ἄνθρωποι δὲ, ὡς ἔχουσι φύσεως, μένουσι καὶ οὐκ ἀλλάσσουσι τὴν προαίρεσιν τοῖς καιροῖς καὶ ταῖς πράξεσιν. Gu. a m. pr. *ΘΕΟΘΕΝ* παρὰ τῶν θεῶν. Fl. 21. *ΦΕΡΕΙ*, εὐφορεῖ κατὰ τοὺς καρπούς. Fl. 6. 9. 21. 56. 59. 76. Gu.

V. 589. *ΑΜΑΡΤΟΥΣ'.* ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, ἀμεταβάτως· ἁμαρτάνω δὲ τὸ ἀποτυγχάνω καὶ συντάσσεται γενικῶς (l. γενικῇ), ὡς τὸ ἥμαρτον τοῦ σκοποῦ. Fl. 17. ἀποτυχοῦσα, (ἀτυχήσασα). Gu. *ΧΡΕΩΝ*, πρέπον. Fl. 6. 9. 21. 56. 59. 76.

V. 592. *ΣΥΜΦΟΡΑΣ ΥΠΟ*, ὑπὸ τῆς δυςτυχίας. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἤγουν παθὼν τι λυπηρόν. Gu.

7) Haec paraphrasis est etiam in Gu.

8) F. εἰ κακὴ γῇ, ὅταν τὰ ἐκ θ. αὐτῇ.

V. 593. *ΦΥΣΙΝ ΔΙΕΦΘΕΙΡ'*, ἤγουν ἠλλοίωσε. Fl. 17. τὴν εὐγένειαν, τὴν γνώμην ἐπὶ τὸ χεῖρον μετέβαλεν, (ἠλλοίωσεν). Fl. 6. 9. 21. 56. 76. Gu. φύσις οὐσίας διαφέρει· οὐσία γὰρ λέγεται ἡ ὕπαρξις, φύσις δὲ ἡ ἐπιφαινομένη τῇ οὐσίᾳ ἐνέργεια, οἷον οὐσία πυρὸς τὸ εἶναι ξηρὸν καὶ θερμὸν, φύσις δὲ τὸ φωτίζειν καὶ τὸ καίειν, καὶ φύσις ἀνθρώπου τὸ εἶναι ἀνδρεῖον ἢ δειλὸν, οὐσία δὲ τούτου τὸ εἶναι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. Fl. 25. Gu. *ΑΕΙ*, διαπαντός. Fl. 17.

V. 594—597. *ΑΡ' ΟΙ ΤΕΚΟΝΤΕΣ.* ἆρα ἀπὸ φύσεως ἔχει τοῦτο ἤτοι ἀμετάβλητον τοῦ καλοῦ καὶ τῆς εὐγενείας, ἢ ἀπὸ παιδεύσεως καὶ ἀνατροφῆς; καὶ τὸ τραφῆναι καὶ παιδευθῆναι καλῶς ἔχει τινὰ δίδαξιν ἀγαθοῦ, πλέον δὲ ἀπὸ φύσεως ἔχει τοῦτο καὶ τὸ ἐξ εὐγενῶν εἶναι γονέων καὶ καλῶν. τοῦτο δὲ τὸ καλὸν ἐὰν μάθῃ τις, εἴτε ἀπὸ φύσεως, εἴτε ἀπὸ παιδεύσεως, οἶδεν ἀνάγκῃ καὶ τὸ καλόν· ὁ γὰρ γινώσκων τὸ καλὸν καὶ τὸ ἐναντίον τοῦτο (l. τούτου) γινώσκει, μαθὼν καὶ τοῦτο τῷ κανόνι τοῦ καλοῦ. Fl. 59.

V. 594. *ΑΡ' ΟΙ ΤΕΚΟΝΤΕΣ.* ἆρ' οἱ τεκόντες διαφορὰν ἔχουσιν, ἤτοι τὴν ἐναλλαγὴν ποιοῦσιν, ἢ αἱ ἀνατροφαί; [9]) ὥςπερ ἀποροῦσα ἡ Ἑκάβη τοῦτο φησίν· ἆρα τὸ γενέσθαι τινὰ ἀγαθῶν γονέων συντελεῖ πρὸς τὸ εἶναι τοῦτον χρηστὸν, ἢ τὸ πεπαιδεῦσθαι καὶ ἀγωγῆς οὐκ ἀγεννοῦς λαχεῖν. ἐκ δὲ τοῦ λέγειν, ἔχει γε μέντοι καὶ τὸ τραφῆναι καλῶς δίδαξιν ἐσθλοῦ, φαίνεται τὸ μὲν τῶν γονέων προτιμᾶν, τὸ δὲ τῆς παιδεύσεως ἐν δευτέρῳ τίθεσθαι. *ΑΡ' ΟΙ ΤΕΚΟΝΤΕΣ.* πότερον ἡ εὐγένεια τῶν τεκόντων προτιμητέα ἢ ἡ ἀνατροφή [10]), καὶ τοῦτο μὲν προτιμεύει (an: προτερεύει?), δευτερεύει δὲ ἡ ἀνατροφή. διὸ καί φησιν, ὡς καλὸν καὶ τὸ θρεφθῆναι καλῶς, τοῦ καὶ συνδέσμου προτίμησιν τῆς εὐγενείας ἐμφαίνοντος, Gu. *ΤΕΚΟΝΤΕΣ*, τεκνήσαντες. Fl. 17. γονεῖς. Fl. 21. *ΔΙΑΦΕΡΟΥΣΙΝ*, διαφορὰν ποιοῦσιν. (εἰς τὸ εἶναι τινὰ καλὸν ὠφελοῦσι, συντελοῦσιν.) Gu.

V. 595—597. *ΕΧΕΙ ΓΕ ΤΙ*, ἀντὶ τοῦ παρέχει κά-

9) Seqq. usque ad ἐν δευτέρῳ τίθεσθαι sunt etiam in Gu.

10) Haec etiam leguntur in Flor. 10, 21. sed pro προτιμητέον rectius προτιμοτέρα.

τά τι καὶ τὸ ἀνατραφῆναι καλῶς δίδαξιν καὶ γνῶσιν ἀγαθοῦ· τοῦτο δὲ ἤτοι τὸ καλῶς ἀνατραφῆναι ἢ τὸ ἐσθλὸν, ἐὰν μάθοι τις καλῶς, οἶδε τὸ ἀπρεπὲς, μαθὼν τῇ διδασκαλίᾳ τοῦ καλοῦ. *ΕΧΕΙ ΓΕ.* ἔχει γέ τοι τοῦτο, ἀπήνεγκεν δηλονότι· πολὺ δέ φησι τὸ ἐκ γονέων εἶναι καὶ καλῶν. Fl. 21.

V. 596. *ΔΙΔΑΞΙΝ*, μάθησιν. (διδασκαλίαν, γνῶσιν.) Gu. *ΤΟΥΤΟ Δ'.* τὸ καλὸν ἐάν τις μάθῃ, εὖ οἶδε καὶ τὸ κακὸν, μαθὼν τοῦ καλοῦ τὸν κανόνα. Fl. 21. τοῦτο, τὸ καλῶς ἀνατραφῆναι. (τὸ ἐσθλόν.) Gu. *ΜΑΘΗι*, γνωρίσῃ. Fl. 6. 9. 17. 21. 54. 56. 59. 76. Gu. τινὲς ἐπιλαμβάνονται τοῦ ποιητοῦ τῷ βάρβαρον εἰςάγειν καὶ λέγειν γνωρίσῃ περὶ φύσεως, ἀλλ' οὐ τὸ τυχὸν πρόσωπον ἡ Ἑκάβη, ἀξιοπρεπὲς δὲ ὡς ἀρχικόν. Gu. *ΤΟΥΤΟ Δ' ΗΝ Τ. ΕΥ Μ.* ὁ τὸ ὀρθὸν τῆς τέχνης μαθὼν οὐ χρείαν ἔχει μαθεῖν τὸ μὴ ὀρθόν· οἶδε γὰρ τῇ τέχνῃ τοῦ ὀρθοῦ, ὡς ὁ τὸ κατ' ἦχον μαθὼν οἶδε φυσικῶς τὸ παρ' ἦχον. Gu.

V. 597. *ΟΙΔΕ ΤΟ Γ' ΑΙΣΧΡ.* ὁ γὰρ μαθὼν τὸ καλὸν μανθάνει καὶ τὸ κακόν. Gu. *ΚΑΝΟΝΙ*, διὰ τοῦ κανόνος, ἰσότητι. (ἐν τῇ στάθμῃ, ἐπιστήμῃ, τῇ διδασκαλίᾳ, τῇ ἀκολουθίᾳ.) Gu. [1])

V. 598—603. *Καὶ ταῦτα μὲν ὁ νοῦς ἀπέῤῥιψε μάτην· σὺ δὲ, ὦ Ταλθύβιε, ἀπελθὲ καὶ εἰπὲ τοῖς Ἀργείοις τάδε, μὴ ἅπτεσθαι τῆς παιδός μου μηδένα, ἀλλὰ κωλύειν καὶ ἀποσοβεῖν τὸν ὄχλον· ἐν γὰρ πολλῷ στρατεύματι ὄχλος ἀκόλαστος καὶ ἀπαίδευτος, ἡ ναυτική τε ἀναρχία καὶ ἀνυποταξία κρείσσων καὶ ἰσχυροτέρα πυρός.*

V. 598. *ΚΑΙ ΤΑΥΤΑ ΜΕΝ ΔΗ.* ᾔσθετο Εὐριπίδης ἑαυτοῦ παρεκβεβηκότος ἀκαίρως, καὶ διὰ τοῦτο τεθεραπευκέναι τοῦτο βουλόμενος φησί· καὶ ταῦτα μὲν δὴ ν. ἐτ. μ. τοῦτ' ἐστὶν οὐ κατὰ καιρὸν εἴρηται. Baroc. 74. Gu. *ΝΟΥΣ*, ὁ ἐμός. Fl. 10. 17. 76. *ΕΤΟΞΕΥΣΕΝ ΜΑΤΗΝ*, ἀπέῤῥιψεν διὰ κενῆς. Fl. 6. 9. 21. 56. 59. 76. ἀπέῤῥιψε ματαίως. Fl. 17. εἶπεν. Fl. 10. καὶ ταῦτα μὲν ὁ ἡμέτερος νοῦς ἐστοχάσθη ματαίως, ἀπὸ μεταφορᾶς τῶν τοξοτῶν εὐστόχως βαλλόντων, ἤγουν ὅτι, εἰ καὶ οἱ λόγοι, οὓς

1) διὰ τοῦ καν. habent etiam Fl. 6. 9. 21. 56. 59. 76. δοκίμῃ στάθμῃ. 17. τῇ ἀκολ. 21.

εἶπον, εὔστοχοι εἰσὶ, καὶ ἀληθεῖς, ὥςπερ ἐν σκοπῷ τινι, ἤγουν τῇ ἀληθείᾳ, οὕτως ἐλέχθησαν οἱ λόγοι μου, ὅμως δὲ μάτην ἔλεξα τούτους μηδὲν ὠφελήσαντάς με. Fl. 59. ἡ ἐμὴ διάνοια μάτην ἐτόξευσεν, καὶ ὃ εἶπεν ἀντὶ τοῦ ἐξέπεμψεν, ἀπέβαλεν. Fl. 21. ἐνεθυμήθη. Fl. 33. *ΕΤΟΞΕΥΣΕ*, ἀπέῤῥιψε. (ἐξέπεμψεν, ἀπὸ μεταφορᾶς τῶν τοξοτῶν. ὡς ἀπὸ τῆς Ἑκάβης λέγει ὁ ποιητής.) Gu. *ΜΑΤΗΝ*, διακενῆς, ἀνωφελῶς, διὰ τὸ εἶναι παρὰ καιρὸν ἤγουν ἐν θρήνῳ. Gu.

V. 599. *ΣΥ Δ' ΕΛΘΕ*, εἴςελθε, ὦ Ταλθύβιε. Fl. 21. *ΑΡΓΕΙΟΙΣ*, ἀντὶ τοῦ τοῖς στρατηγοῖς. Fl. 21. *ΣΥ Δ' ΕΛΘΕ*. τὸ ἑξῆς, μὴ θιγγάνειν μου τῆς παιδὸς μηδένα. *ΟΧΛΟΝ* δὲ τὴν ὄχλησιν, ὡς τὸν (l. τὸ) ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι. (Med. 341) ἢ Ἀργείοις σήμηνον, ἀντὶ τοῦ στρατηγοῖς εἴργειν τὸν ὄχλον. ἐν τῷ πολλῷ πλήθει ἀπαίδευτος ὁ ὄχλος καὶ ἀκόλαστος καὶ ἀνεξέταστος. Fl. 33.

V. 600. *ΘΙΓΓΑΝΕΙΝ*, θίγειν. Fl. 10. κωλύειν ἅπτεσθαι. Fl. 17. μὴ ἅπτηταί τις ἐκείνων τῶν στρατηγῶν δηλονότι, τῆς παιδὸς, ἀλλὰ μᾶλλον κωλύειν καὶ τὸν ὄχλον τοῦ ψαύεσθαι ἐκείνης. Fl. 21. μὴ ψαύειν μου τῆς παιδὸς, ἤγουν τῆς θυγατρὸς, μηδένα, ἀλλ' εἴργειν, τουτέστι κωλύειν, τὸν ὄχλον. ἔστι δὲ τὸ ἀλλὰ ἀντὶ τοῦ καί, ἤγουν καὶ τὸν ὄχλον κωλύειν. Fl. 6. 9. 21. 56. 59. 76. Gu.

V. 601. *ΜΥΡΙΩι ΣΤΡΑΤΕΥΜΑΤΙ*. ἐν τῷ στρατῷ ὁ ὄχλος ἀκόλαστος ὑπάρχει, ἀπαίδευτος· ἐξαιρέτως δὲ ἡ ναυτικὴ ναυαρχία, ἤγουν οἱ τὴν θάλασσαν πλέοντες, αἰδοῦνται τούτους εἰπεῖν καὶ βασιλεῖς, καὶ οὐκ ἀνακόπτουσιν ἀπὸ τῶν κακῶν· ὅπου δ' ἂν πλησιάσωσι, κρεῖσσον πυρὸς καίωσι (l. καίουσι). τὸ αὐτὸ φοβηθεῖσα καὶ ἡ Ἑκάβη περὶ τῆς παρθένου κειμένης οὕτως ἐν μέσῳ τῷ πλήθει, μήπως τις ἀπὸ τῶν ἀκολάστων καὶ ἀπαιδεύτων, τῶν ὄντων ἐν τῷ πλήθει, ἢ ἁρπάσῃ τι τῶν ἱματίων αὐτῆς, ἤ τις τῶν πρὸς τὰς συνουσίας καταφορωτικῶν (sic) ἱστάμενος καθορᾷ τοὺς μαστοὺς καὶ τὴν αἰδῶ ταύτης, καὶ ἄτιμος φανῇ ἡ παρθένος· τοιαῦτα γὰρ εἰώθασι ποιεῖν οἱ ἐν τῷ ὄχλῳ ἀκόλαστοι· διὰ τοῦτο παραγγέλλει μὴ ψαύειν ταύτης τινός (l. τινάς). Fl. 59.

V. 602. *ΑΚΟΛΑΣΤΟΣ*, ἀνοητότατος. Fl. 17. κυρίως ἀκολασία ἡ λαχνεία λέγεται, ἀκόλαστος γλῶττα καὶ ἀκόλαστος βρῶσις. Fl. 6. 25. *ΑΝΑΡΧΙΑ*, ἀναίδεια. Fl. 17.

ἀνυποταξία. Fl. 6. 9. 21. 56. 59. 76. ὁ νοῦς· ἐν πολλῷ στρατῷ ἀπαίδευτος ὄχλος καὶ ἀκόλαστος καὶ ἀνεξέταστος. ἐπικρατεστέρα δὲ ἡ ναυτικὴ ἀναρχία καὶ τοῦ πυρὸς παρ' αὐτοῖς καὶ κακοῖς οὖσι· καὶ ὁ μηδὲν κακὸν ποιῶν κακὸς νομίζεται, ἤγουν παρὰ τῷ πλήθει τῶν ἀτάκτων ὁ εὔτακτος καὶ μηδὲν κακὸν ποιῶν κακὸς νομίζεται. Fl. 17. ναυτικὴ ἀναρχία λέγει οὐχ ὡς ἀνάρχων ὄντων τῶν Ἀργείων αὐτῶν, ἀλλ' ὅτι ἀνάρχοις ἐοίκασιν οἱ ναῦται, κἂν ὑπ' ἀρχὴν ὦσι, διὰ τὸ αὐτῶν ἀκόλαστον καὶ ἄτακτον. Gu.

V. 603—607. *ΚΑΚΟΣ Δ' Ο ΜΗ ΤΙ ΔΡΩΝ*. κακὸς ὀνομάζεται παρὰ τοῖς ναύταις ὁ μὴ σὺν αὐτοῖς δρῶν τι κακὸν, ἢ ὡς οὐχ ἑπόμενος αὐτοῖς καὶ τὰ αὐτῶν πράττων αἴσχιστα. [2]) σὺ δὲ, ὦ δούλη παλαιὰ, λαβοῦσα τὸ ἀγγεῖον, βάψασα, ἤγουν γεμίσασα, κόμισον ὧδε, ὕδωρ δηλονότι, ἀπὸ τοῦ ἐνδοτάτου μέρους τῆς θαλάσσης, ἵνα τὴν ἐμὴν τὴν κακόνυμφον νύμφην καὶ κακοπάρθενον παρθένον λούσω ἐν λουτροῖς πανυστάτοις.

V. 603. *ΚΡΕΙΣΣΩΝ*, ἐπικρατεστέρα ὑπάρχει. Fl. 6. 9. 10. 21. 33. 56. 59. 76. ἰσχυροτέρα (ἐπικρατεστέρα, δραστικωτέρα). κρείσσων ὁ καλλίων καὶ κρείσσων ὁ ἐπικρατέστερος, ὡς τὸ κρείσσων γέγονεν ἡ νόσος τῆς ὑγιείας, ἤγουν ἐπικρατεστέρα, νικήσασα τὴν ὑγίειαν. Gu. *ΚΑΚΟΣ*, δοκεῖ. Fl. 17. παρὰ τοῦ πλήθους κακὸς νομίζεται ὁ μή τι δρῶν κακόν. Fl. 25. νομίζεται παρ' ἐκείνοις, ὡς οὐχ ἑπόμενος αὐτοῖς καὶ τὰ αὐτῶν πράττων αἴσχιστα. Gu. παρὰ τοῖς κακοῖς νομίζεται. Fl. 10. εἰ δὲ καί ἐστί τις ἐσθλὸς ἐν ἐκείνοις ὃς μηδὲν ἰδὼν ἢ ποιήσων τῇ ἐκείνων κακοπραγίᾳ, πονηρὸς καὶ οὗτος καλεῖταί τε καὶ νομίζεται. Fl. 21.

V. 604. *ΑΡΧΑΙΑ ΛΑΤΡΙ*, παλαιὰ δούλη, ἀντὶ τοῦ γραῦ. λάτρις δὲ ἡ μετὰ φόβου δουλεύουσα, παρὰ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ τρεῖν τὸ φοβεῖσθαι. Fl. 6. 10. 25. φησὶν ἡ Ἑκάβη πρὸς τὴν θεράπαιναν, καὶ ἔστι Ἀττικόν· λείπει γὰρ τὸ μέρος ἕνεκα τῆς ποντίας ἁλός. Fl. 33.

V. 605. *ΒΑΨΑΣ'*. βάπτειν ἐστὶ τὸ χαλᾶν τι εἰς ὕδωρ, ἢ εἰς ἕτερόν τι ὑγρόν. ὅμοιον δὲ τοῦτο τὸ ἔφαγε τοῦ ἄρτου

2) Eadem sunt in Gu. νομίζεται παρ' ἐκείνοις οὐχ ὡς ἑπ. α. καὶ τὰ α. πρ. αἴσχ.

καὶ ἔπιε τοῦ οἴνου. [3]) *ΒΑΨΑΣ'*, πλήσασα. Fl. 17. ὠθήσασα κατὰ τοῦ ὕδατος. (πληρώσασα.) Gu. *ΔΕΥΡΟ*, ἐνταῦθα. Fl. 17. Gu. *ΠΟΝΤΙΑΣ ΑΛΟΣ*. ὅμοιον τὸ ἔφαγε τοῦ ἄρτου καὶ ἔπιε τοῦ ὕδατος. Gu.

V. 606. *ΠΑΝΥΣΤΑΤΟΙΣ*, ὑστέροις, τελευταίοις. Fl. 17. ἀντὶ τοῦ τοῖς ὑστάτοις. Fl. 6. 9. 21. 56. 59. 76. ἐσχάτοις. Fl. 33.

V. 607. *ΝΥΜΦΗΝ*, Ἀχιλλέως. Fl. 10. ὡς μνηστευθεῖσαν τῷ Ἀχιλλεῖ. Gu. *ΑΝΥΜΦΟΝ*, κακόνυμφον (ὡς μὴ τῆς μνηστείας τετελεσμένης). Gu. ἀπάρθενον, ἤγουν δυστυχῆ παρθένον. Fl. 6. 9. 10. 21. 56. 59. 76. σημειῶσαι τὸ τραγικὸν ἔθνος (ἔθος. Fur.) νύμφην ἄνυμφον ἔσεσθαι παρὰ τὸ πυκνότερον τοὺς ποιητὰς οὕτως κεχρῆσθαι, λέγοντας γάμον ἄγαμον, ἤτοι κακόγαμον, καὶ νῦν λέγειν νύμφην τ' ἄνυμφον καὶ παρθένον τ' ἀπάρθενον. Fl. 33. πρὸς τὸ στρατιωτικὸν (f. τραγικόν. Fur.) ἔθος. νύμφη, διότι ἔμελλε καλλωπίσαι ταύτην καὶ προθῆσαι (sic), ἄνυμφος δὲ διότι οὐκ ἔζη, ἀλλὰ ἀπέθανεν. Fl. 59. *ΑΠΑΡΘΕΝΟΝ*, ἤγουν δυστυχῆ παρθένον, κακοπάρθενον. (εἰς κακὸν τὴν παρθενίαν φυλάξασαν.) Gu. *ΠΑΡΘΕΝΟΝ Τ' ΑΠ.* οἱ μὲν τὸ ἀπάρθενον ἀντὶ τοῦ κακοπάρθενον φασίν· ἐμοὶ δὲ οὐχ οὕτω δοκεῖ, ἀλλ' εἰποῦσα [4]) νύμφην τ' ἄνυμφον, νύμφην μὲν ὡς μνηστευθεῖσαν τῷ Ἀχιλλεῖ, ἄνυμφον δὲ ὡς τῆς μνηστείας μὴ τελεσθείσης, ἐπήγαγε πρὸς μὲν τὴν νύμφην τὸ ἀπάρθενον, πρὸς δὲ τὸ ἄνυμφον τὸ παρθένον.

V. 608—610. *ΠΡΟΘΩΜΑΙ*, εἰς τὸ μέσον θήσω, ὡς μὲν ἀξία, ἐστὶ δηλονότι, πόθεν; οὐδαμῶς δυναίμην. (τὸ πόθεν καὶ τὸ οὐδαμῶς ταυτὸ σημαίνει· διαφέρουσι δὲ κατὰ τοῦτο, ὅτι τὸ μὲν πόθεν ἐμφαίνει ἐρώτησίν τινα, τὸ δὲ οὐδαμῶς τελείαν ἀπόφασιν.) ὡς δὲ ἔχω καὶ δύναμαι, ποιήσω. [5]) ταῦτα λέγει, ἀποβλέπουσα πρὸς τὴν πρόσθεν αὐτῇ προσοῦσαν εὐδαιμονίαν καὶ τὴν νῦν ἀπορίαν. τό τε τοῦ

3) Guelph. in quo vv. *βάπτειν — ὑγρόν* a sqq. disiuncta sunt, om. *δὲ τοῦτο* post *ὅμοιον* et pro *οἴνου* habet *ὕδατος*.

4) Guelph. *εἰπών*, et mox *τῆς μνηστείας μὴ τετελεσμένης*.

5) Junt. et Basil. hic inserunt *πόθεν*.

κόσμον [6]) τ' ἀγείρασ' πρὸς τὸ ὡς ἔχω ἐστίν, οὕτως· ὡς μὲν ἀξία, ὑπάρχει δηλονότι, οὐκ ἂν δυναίμην λοῦσαί τε καὶ προθέσθαι· ὡς δὲ ἔχω, ποιήσω τοῦτο καὶ ἀγείρασα κόσμον ἀπὸ τῶν αἰχμαλωτίδων. *ΠΡΟΘΩΜΑΙ*, προθήσω. Fl. 6. 10. ποιήσω. Fl. 56. προθήσω ἀντὶ τοῦ θάψω. Fl. 21. θάψω. Fl. 10. 17. νεκρὸν ἔμπροσθεν πολλῶν θήσω. (εἰς μέσον θήσω.) Gu. *ΩΣ*, καθά. Fl. 59. 76. *ΑΞΙΑ*, ὑπάρχει. Fl. 59. 76. ἐστί. Fl. 17. *ΠΟΘΕΝ*, οὐδαμῶς. γράφεται ποθέν, ἀντὶ τοῦ ἀπό τινος πράγματος. (πόθεν ἀντὶ τοῦ οὐδαμῶς, ἐπίῤῥημα ἀρνήσεως. Fl. 25.) Gu. *ΩΣ ΜΕΝ ΑΞΙΑ, ΠΟΘΕΝ*; κ. τ. λ. ὡς μὲν ἀξία ἐστὶν ἡ παρθένος προθῶμαι αὐτήν, κόσμον ἀγείρασα παρὰ τῶν αἰχμαλωτίδων, ἵν' ᾖ περιττὸς ὁ *ΤΕ*. [7]) ὡς μὲν ἀξία αὐτὴν προθῶμαι, οὐκ ἂν δυναίμην, ὡς δὲ ἔχω, οὕτως αὐτὴν προθῶμαι. [8]) Fl. 59. προςθήσω ἐπὶ τῷ κλαῦσαι αὐτήν. ὡς μὲν ἀξία, πόθεν· ἐπεὶ γὰρ βασιλὶς ἦν, ἀξία ἦν καλλωπισθῆναι ἐν τῷ θανάτῳ αὐτῆς, ὡς νύμφης, πολυτελῶς, οἷα τὰ τῶν βασιλέων. μὴ ἔχουσα δὲ ἡ Ἑκάβη λέγει πόθεν, ἀντὶ τοῦ οὐδαμῶς ἔχω τινὰ καλλωπίσματα ἁρμόζοντα τῇ θυγατρί μου. τοιοῦτον γάρ ἐστι τὸ πόθεν, ἤγουν πόθεν ἔχω εὑρεῖν ταῦτα; οὐδαμῶς· οὐκ ἂν δυναίμην, οὐκ ἔχω, οὐκ εὐπορῶ τῶν ἁρμοζόντων. ὡς δὲ ἔχω, προθήσω τὰ κατ' ἀξίαν μὴ ἔχουσα. τί γὰρ πάθω; εἰ πολλάκις ἀπὸ τῶν αἰχμαλωτίδων τινὲς λαθόντες ἑαυτῶν δεσπότας, ὅτε ἐν τῇ Τροίᾳ ἐσκύλευον, παρεκρύψαντό τινες κόσμους αὐτῶν, τούτους ἀραμένη, καὶ καλλωπίσασα προθήσω αὐτήν. Fl. 59.

V. 609. *ΔΥΝΑΙΜΗΝ*, κοσμῆσαι. Fl. 17. οὐ μὴ δυνηθῶ. Fl. 56. *ΩΣ Δ' ΕΧΩ*, καθὼς (καθὰ Gu.) δὲ δύναμαι προθῶμαι. Fl. 6. 9. 21. 56. 59. 76. Gu. προθήσω ὡς εὐπορῶ. Fl. 10. *ΤΙ ΓΑΡ ΠΑΘΩ*, ἤγουν τί ποιήσω; τὸ γὰρ ποιεῖν [9]) πάθος ἐστίν, ἐπειδὴ ὁ ποιῶν τι πάσχει τρόπον τινὰ κατ' αὐτὸ τὸ ποιεῖν.

6) Sic Junt. et Basil. nisi quod haec *κόσμου*. Male King. Musgr. *τὸ δὲ κόσμον* etc.

7) Guelph. etiam a m. sec. *περιττὸς ὁ ΤΕ*.

8) Rectius Fl. 25. *ὡς μὲν ἀξία αὐτὴν προθεῖναι, οὐκ ἂν δ. ὡς δὲ ἔ. οὕ. α. προτίθημι.*

9) Sic Junt. Gu. *ποιοῦν* Basil. Barn. King. Musgr.

V. 610—613. *ΚΟΣΜΟΝ Τ' ΑΓ.* καλλωπισμὸν ἀγείρασα παρὰ τῶν αἰχμαλωτίδων, αἳ οἰκοῦσιν ἔνδον τῶνδε τῶν σκηνῶν σύνοικοι ἐμοί, ἐάν τις λαθοῦσα τοὺς νεωστὶ δεσπότας, ἤγουν τοὺς Ἕλληνας, ἔχει τι κλέμμα τῶν ἑαυτῆς δόμων. κόσμον τῶν αἰχμαλωτίδων λέγει χρυσία, ἱμάτια καὶ ἄλλ' ἄττα. ἵνα δὲ [10]) μή τις αὐτῷ ἐναντιωθῇ, ὡς αἰχμαλώτιδες οὖσαι [1]) οὐδὲν οὐδ' ὁτιοῦν κέκτηνται, φησίν, εἴτις ἔλαθε τοὺς ἑαυτῆς δεσπότας καὶ ἔχει [2]) τι τῶν οἰκείων, κλέψασα τοῦτο τοὺς δεσπότας καὶ μὴ ὑπ' ἐκείνων ἀφαιρεθεῖσα. *ΚΟΣΜΟΝ.* κόσμος τὸ πᾶν, καὶ ὁ καλλωπισμὸς, καὶ τὸ κατὰ τάξιν, οἷον κατὰ κόσμον ἔκειντο τὰ ὅπλα. Fl. 25. Gu. ἐγκόσμια. Fl. 56. περιττὸς ὁ τε. Gu. a m. 2. τὸ τε τοῦ κόσμον τ' ἀγείρασα πρὸς τὸ ὡς δ' ἔχω. οὕτως ἐστίν· ἀξίως μὲν οὐκ ἂν δυναίμην αὐτὴν λοῦσαί τε καὶ προθέσθαι. ὡς δὲ ἔχω ποιήσω τοῦτο καὶ ἀγείρασα κόσμον ἀπὸ τῶν αἰχμαλωτίδων. *ΑΓΕΙΡΑΣ',* ἀθροίσασα. Fl. 6. 9. 21. 56. 59. 76. Gu. συνάξασα. Fl. 56. συναθροίσασα. Fl. 33.

V. 611. *ΠΑΡΕΔΡΟΙ,* ἐγκάτοικοι. Fl. 17. παρακαθήμεναι, παραμένουσαι. Fl. 6. 9. 21. 56. 59. 76. Gu. συγκάθεδροι. Gu. *ΣΚΗΝΩΜΑΤΩΝ,* τῶν σκηνῶν (κατοικιῶν). Gu. κατὰ τοῦτο λέγεται καὶ σκήνωμα τὸ τοῦ ἀνθρώπου σῶμα διὰ τὸ πρὸς χρόνον βραχὺν κατοίκησιν εἶναι τῆς ψυχῆς τοῦ ἀνθρώπου. σκηνὴ γὰρ καὶ σκήνωμα ἡ πρὸς χρόνον βραχὺν ὡς ἔτυχε γενομένη οἰκία ἢ τέντα ἢ ἄλλο τι τοιοῦτον. Fl. 25. Gu.

V. 612. *ΕΙ ΤΙΣ.* ἀπὸ πληθυντικοῦ μεταπίπτει εἰς ἑνικὸν, ἴσως διὰ τὸ μὴ ἔχειν ἁπάσας. Gu.

V. 616—623. *Ω ΣΧΗΜΑΤ' ΟΙΚΩΝ.* ὦ καλλωπισμοὶ τῶν οἴκων, ὦ δόμοι οἱ ποτὲ εὐτυχεῖς, ὦ Πρίαμε εὐτεκνώτατε, ὁ ἔχων πλεῖστα καὶ πολλὰ καὶ κάλλιστα, ἡ γεραιά τε ἐγὼ αὐτὴ ἡ μήτηρ τῶν τέκνων, λίαν ἤλθομεν εἰς τὸ μηδὲν, στερηθέντες τῆς πρώην ἐπάρσεως. εἶτα δῆτα καὶ ἐπαιρόμεθα, ὁ μέν τις ἐν δώμασι πλουσίοις, ὁ δὲ τίμιος κεκλημένος ἐν πολίταις. τὰ δὲ, ὁ πλοῦτος καὶ τὰ τοιαῦτα, οὐδέν εἰσι

10) Sic Gu. Vulgo δή.

1) οὖσαι e Gu. addidi.

2) Sic Gu. Vulg. ἔχειν.

δηλονότι· μάτην αἱ στροφαὶ τῶν λογισμῶν καὶ ἡ μεγαλορρημοσύνη. ἐκεῖνος δ' ἐστὶν εὐτυχέστατος, ᾧτινι καθ' ἡμέραν, ἤγουν κατὰ τὴν ζωὴν, μηδὲν ὑπάρχει κακόν. Ἄλλως. *Ω ΣΧΗΜΑΤ' ΟΙΚΩΝ.* ἀπιδοῦσα ἡ Ἑκάβη πρὸς τὴν προτέραν [3]) αὐτῆς τύχην, καὶ τὴν νῦν δουλείαν, φησί· τῶν πραγμάτων οὕτως ἐχόντων, καὶ τοῦ μὲν πρόσθεν εὐδαίμονος ὄντος [4]) νῦν δυστυχοῦς, τοῦ δὲ πρὶν δυστυχοῦς νῦν εὐδαίμονος, εἶτα ἐπαιρόμεθα, ὁ μὲν ἐν πλούτῳ, ὁ δὲ ἐν πολιτικῇ [5]) τιμῇ. ταῦτα δὲ πάντα, ὅ τε πλοῦτος καὶ ἡ δόξα τά τ' ἄλλα τἀνθρώπινα, οὐδέν ἐστιν, ἄνω καὶ κάτω τῆς τύχης εὐρίπου δίκην ἰούσης. τὸ δὲ εἶτα, ἢ κατ' ἐρώτησιν, ἢ ἀποφατικὸν καὶ συλλογιστικόν. τὸ δὲ ἄλλως φροντίδων βουλεύματα, ἤτοι διανοήματα, τουτέστι ματαίως φροντίζουσι περὶ τούτων οἱ ἄνθρωποι· τὸ γὰρ φροντίδων βουλεύματα, ἀντὶ τοῦ φροντίδες, περιφραστικῶς.

V. 614. *Ω ΣΧΗΜΑΤ' ΟΙΚΩΝ.* τύποι καλλωπισμάτων. Fl. 17. κάλλη, εὐπρέπειαι καὶ σχηματισμοί. Gu. ἐνθυμηθεῖσα ἡ Ἑκάβη, ὅντινα εἶχε πλοῦτον καὶ καλλωπισμὸν, νῦν δὲ μὴ ἔχουσα κοσμῆσαι τὴν Πολυξένην, ἀποκλαίεται. Fl. 59. λέγουσα περὶ κόσμου ἀνεμνήσθη ὧν εἶχε, καὶ περὶ ἐκείνων λόγον μετὰ θρήνου ποιεῖται, ἀφεῖσα τὸν προκείμενον αὐτῆς λόγον. (ταῦτα δὲ λέγει ἀποβλέπουσα πρὸς τὴν πρόσθεν αὐτῇ προσοῦσαν εὐδαιμονίαν καὶ τὴν νῦν ἀπορίαν.) Gu. *ΠΟΤ',* ὅτε ἐβασίλευον. Gu.

V. 615. *ΠΛΕΙΣΤΑ,* πολλά. Fl. 33. πράγματα. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. κτήματα ἢ τέκνα. Gu. a m. 2.

V. 616. *ΤΕΚΝΩΝ,* τῶν τέκνων τοῦ Πριάμου, ἤγουν καὶ ἐγὼ ἥδε ἡ γραῖα, ὡς συμμετέχουσα ἐκείνῳ τῆς εὐτεκνίας. Fl. 6. 9. 21. 56. 59. 76.

V. 617. *ΩΣ,* λίαν, (ὄντως. τὸ ὡς καὶ τὸ εἰς ἐκ παραλλήλου· τὸ γὰρ ὡς, ὅτε ἐπὶ κινήσεως τίθεται, ἀντὶ τῆς εἰς λαμβάνεται. οἱ δὲ τὸ ὡς ἀντὶ τοῦ ὄντως ἢ λίαν ἐνταῦθα λέγοντες καὶ οὗτοι δοκοῦσιν εὖ λέγειν). Gu. *ΤΟ ΜΗΔΕΝ,* ἤγουν εἰς τὸ εὐτελές. Fl. 10. 17. *ΗΚΟΜΕΝ,*

3) King. προτέρων, errore operarum, quem repetiit Musgr.

4) ὄντος e Gu. addidi.

5) Sic Gu. Vulgo πολλῇ.

κατέστημεν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *ΦΡΟΝΗΜΑΤΟΣ*, δόξης, πλούτου. Fl. 17. φρόνημα ἐνταῦθα τὴν ἐκ τοῦ πλούτου λέγει ἔπαρσιν καὶ τὴν δόξαν· φρόνησις δὲ κυρίως ὁ νοῦς καὶ ἡ καθεστηκυῖα σύνεσις. Gu. ἐπάρσεως, (ὑπερηφανίας πλούτου, βασιλείας, εὐτυχίας, τῆς πρόσθεν ὑπεροχῆς καὶ λαμπρότητος). Gu.

V. 618. *ΠΡΙΝ*, ἔμπροσθεν. Florr. πρώην. Gu. *ΣΤΕΡΕΝΤΕΣ*, στερηθέντες. (στέρημι Αἰολικῶς, καὶ ὁ παρατατικὸς ἐστέρην, ἡ μετοχὴ ὁ στερεὶς, τοῦ στερέντος.) Gu. *ΕΙΤΑ ΔΗΤ᾽ ΟΓΚΟΥΜΕΘΑ*. ἐν ἐρωτήσει ὁ λόγος καὶ ἤθει ἕως τοῦ τάδ᾽ οὐδὲν, ἄλλως. τοῦτο κατ᾽ ἰδίαν πεφώνηται. Fl. 33. 59. [6]) ὁ μέν τις ἀφ᾽ ἡμῶν ἠλαζονεύετο τοῖς πλουσίοις δώμασι ἤτοι τοῖς ποικίλοις, τοῖς λαμπροῖς, οἷς εἶχε πρότερον· ὁ δὲ ἠλαζονεύετο ἐν τῇ ἀρχῇ, ἐν τῇ ἐξουσίᾳ· οἱ γὰρ ἄρχοντες παρὰ τοῖς πολίταις ἤτοι τοῖς ἀρχομένοις, τίμιοι καλοῦνται. ταῦτα δὲ οὐδὲν εἰσί. Fl. 59. *ΟΓΚΟΥΜΕΘΑ*, ἐπαιρόμεθα, μεγαλαυχοῦμεν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. οἱ ἄνθρωποι. Fl. 33.

V. 619. *ΠΛΟΥΣΙΟΙΣ*, ὑπερηφάνοις. Gu.

V. 620. *ΤΙΜΙΟΣ*, ἔνδοξος. Gu. *ΚΕΚΛΗΜΕΝΟΣ*, πεφημισμένος. Fl. 17.

V. 621. *ΤΑΔ᾽ ΟΥΔΕΝ*, ταῦτα εἰσὶν (ὁ πλοῦτος, ἡ τιμὴ, τά τ᾽ ἄλλα. ἐνταῦθα λέγει καὶ τὰς βουλὰς καὶ τὰ πάντα τοῦ βίου ὡς μάτην ἔχουσιν.) Gu. *ΑΛΛΩΣ*. τὸ ἄλλως καὶ μάτην. εἰ μὲν ἓν λ γράφεται, ἀπὸ τοῦ ἄλη ἡ πλάνη γίνεται· οἱ γὰρ πλανώμενοι μάταιοι εἰσίν· εἰ δὲ δύο λλ, ἤγουν ἄλλως καὶ ἀλλοτρόπως ἔχει τὸ πρᾶγμα παρὸ λέγεις σὺ, ἤγουν οὐκ ἔχει οὕτως. ἀπὸ δὲ τούτου συνάγομεν τὸ ματαίως ἤγουν μάτην λέγεις. Fl. 59. *ΦΡΟΝΤΙΔΩΝ*, λογισμῶν. (φρ. βουλ. ἤγουν φροντίδες Ἀττικῶς.) Gu. *ΒΟΥΛΕΥΜΑΤΑ*, στροφαί, (ἐφευρήματα, διανοήματα). Gu. μάταια εἰσὶ τὰ βουλεύματα τῶν φροντίδων, ἤτοι οἱ ἐγκαυχώμενοι ἐπὶ τῷ πλούτῳ καὶ τῇ δόξῃ αὐτῶν μάτην καυχῶνται, μὴ γινώσκοντες, ποῦ μέλλει ἀποβῆναι ὁ βίος αὐτῶν καὶ ἡ ἀρχή. Fl. 59.

V. 622. *ΓΛΩΣΣΗΣ ΤΕ ΚΟΜΠΟΙ* καὶ μεγαλορρημοσύναι (ἐπάρσεις, μεγαλαυχήματα, ῥητορεῖαι). Gu. καυχήσεις. Fl. 10. 17. καυχήματα. Fl. 21. 59. μάτην εἰσὶ τὰ βουλεύματα καὶ ἐφευρέματα τῶν φροντίδων καὶ ἐπινοιῶν, οἱ κόμποι τε, καὶ αἱ μεγαλορρημονίαι, καὶ αἱ κενοδοξίαι, καὶ αἱ γαυριώσεις καὶ αἱ ῥητορεῖαι τῆς γλώσσης. Fl. 33. *ΟΛΒΙΩΤΑΤΟΣ*, εὐτυχέστατος (εὐδαίμων ὑπάρχει). Gu. ἐκεῖνος δὲ ὀλβιώτατος, πλουσιώτατος, μακαριστὸς, ᾧτινι μηδὲν ἐπέλθῃ λυπηρὸν παντὶ τῷ βίῳ αὐτοῦ, ἀλλὰ τυγχάνει χωρὶς τινὸς θλίψεως. Fl. 59.

V. 623. *ΚΑΤ᾽ ΗΜΑΡ*, καθ᾽ ἑκάστην ἡμέραν. Fl. 10. καθ᾽ ἡμέραν, ἤγουν κατὰ τὴν ζωήν, (κατὰ τὴν παροῦσαν ζωὴν, παρ᾽ ὅλην τὴν ζωήν). Gu. *ΜΗΔΕΝ ΚΑΚΟΝ*, μηδεμία δυστυχία. Fl. 6. 9. 21. 56. 59. 76. Gu. *ΤΥΓΧΑΝΕΙ*, ὑπάρχει, συμβαίνει. Gu.

V. 624 — 639. *ΕΜΟΙ ΧΡΗΝ ΣΥΜΦΟΡΑΝ*. τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικά. ἐπῳδικὰ δέ ἐστιν, ὡς Ἡφαιστίων (p. 68.) φησὶν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται· ἐπ᾽ ἔλαττον μέντοι [7]) τοῦ τῶν τριῶν ἀριθμοῦ, ἤτοι στροφῆς, ἀντιστροφῆς, καὶ ἐπῳδοῦ, οὐκ ἂν γένοιτο τὸ τοιοῦτον, ἐπὶ πλεῖον δὲ οὐδὲν κωλύει ἐκτείνεσθαι· γίνεται δὲ, ὥσπερ τριὰς ἐπῳδικὴ, οὕτω καὶ τετρὰς, καὶ πεντὰς, καὶ ἐπὶ πλεῖον. ἔστι δὲ τὰ παρόντα τριὰς ἐπῳδικὴ, καὶ εἰσὶ τῆς μὲν στροφῆς τὰ κῶλα θ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου α καὶ ἰάμβου. τὸ β ὅμοιον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α, διϊάμβου καὶ συλλαβῆς. τὸ γ ὅμοιον ἐξ ἐπιτρίτου [8]) καὶ διϊάμβου καὶ συλλαβῆς. τὸ δ δίμετρον ἀκατάληκτον πολυσχημάτιστον, πριάπειον καλούμενον, ἐξ ἀντισπάστου καὶ χοριάμβου. τὸ ε τροχαϊκὸν, διὰ τὸ ἑξῆς, πενθημιμερὲς, ἐκ δύο χορείων, ἤτοι τριβραχέων, καὶ συλλαβῆς. τὸ ς τροχαϊκὸν, ἰθυφαλλικὸν, ἤτοι δίμετρον βραχυκατάληκτον [9]). τὸ ζ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον

6) In Gu. ἐν ἤθει (καὶ ἐρωτήσει) ὁ λ. ἕως τοῦ τάδ᾽ οὐδέν.

7) King. Musgr. μέν.

8) ἐξ ἐπιτρίτου δ. King. Musgr.

9) Vulgo δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τρίτου, διϊάμβου καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων καὶ ἰάμβου· εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ κ. τ. λ. Correxit King, ad Battierii, nisi fallor, mentem.

ὑπερκατάληκτον, ἐκ παίωνος τρίτου, διϊάμβου καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων καὶ ἰάμβου καὶ συλλαβῆς. τὸ η [10]) ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ θ χοριαμβικὸν ἡμιόλιον, εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

V. 624—639. *ΕΜΟΙ ΧΡΗΝ ΣΥΜΦΟΡΑΝ.* ἤτοι ἀπέκειτο γενέσθαι βλάβην, ἐξ ἐκείνου τοῦ καιροῦ δηλονότι, ὅτε κατὰ τὴν ἀρχὴν ἔκοψεν ὁ Ἀλέξανδρος ὕλην ἀπὸ ἐλάτης δένδρου, πλεύσων ἐπὶ τὸ κῦμα τὸ θαλάσσιον διὰ τὰ λέκτρα τῆς Ἑλένης, ἣν ὡραιοτάτην ὁ λαμπρὸς βλέπει ἥλιος. [11]) πόνοι γὰρ καὶ ἀνάγκαι ἐπικρατέστεραι τῶν πόνων κυκλοῦσιν, ἡμᾶς δηλονότι. κοινὸν δὲ κακὸν ἀφανιστικὸν ἐξ ἰδίας μωρίας ἐπῆλθε τῇ Τρωϊκῇ γῇ, συμφοραί τε, ἀπ' ἄλλων συμφορῶν δηλονότι. ἐκρίθη δὲ, ἀντὶ τοῦ διεκρίθη, ἡ ἔρις, ἃν, ἀντὶ τοῦ δι' ἣν ἔριν ἐδίκασεν ἐν τῇ Ἴδῃ τὰς τρεῖς θυγατέρας τῶν θεῶν ὁ βουκόλος Ἀλέξανδρος, ἐπὶ πολέμῳ καὶ φόνῳ καὶ βλάβῃ τῶν ἐμῶν οἰκημάτων.

V. 624. *ΧΡΗΝ*, ἀπέκειτο, (εἱμαρμένον ἦν, χρεὼν ὑπῆρχε. ὁ Χορὸς ἑαυτὸν ἀνακλαίεται). Gu.

V. 625. *ΠΗΜΟΝΑΝ*, βλάβην. Gu. *ΓΕΝΕΣΘΑΙ*, παραγενέσθαι. Gu. ὑπάρξαι. Fl. 17.

10) Vulgo: καὶ ἰάμβου. εἰ δὲ βούλει.

11) King. et Musgr. dederunt: ἀπέκειτο ἐμοὶ συμφορὰν γενέσθαι, ἀπέκειτο ἐμοὶ βλάβην γενέσθαι, ὅτε πρῶτον ἐτάμετο τὴν Ἰδαίαν ὕλην τὴν ἀπὸ ἐλάτης δένδρου, στόλον νηῶν μέλλων κινήσειν ἐπὶ τὸ κῦμα τὸ θαλάσσιον ἐπὶ τὴν κοίτην τῆς Ἑλένης, ἣν εὐειδεστάτην λάμπει ὁ χρυσοφαὴς ἥλιος, haud dubie e Barocc. 74. nam eadem habet Guelph. nisi quod pro τὴν ἀπὸ ἐλάτης δένδρου legit τὴν εἰλατίνην, ἤγουν τὰ ἀπὸ τῆς Ἴδης τοῦ ὄρους δένδρα τὰ ἐλάτινα. Aliter Flor. 59. ἀπέκειτο καὶ εἱμαρμένον μοι ἦν παθεῖν συμφορὰν ἀπ' ἐκείνης τῆς ἡμέρας, ἧς πρῶτον καὶ κατὰ τὴν ἀρχὴν ἔκοψεν ὁ Ἀλέξανδρος ἀπὸ τῆς Ἴδης τὰ ἀπὸ ἐλάτων (sic) δένδρων ξύλα, μέλλων ἀπελθεῖν ἐπὶ τὰ λέκτρα τῆς Ἑλένης, ἥντινα τὴν Ἑλένην τὴν καλλίστην λαμπρύνει ὁ χρυσοφαὴς ἥλιος, ἤγουν τὴν ὡραιοτάτην· ἑτέραν γὰρ ὡραιοτάτην ταύτης ὁ χρυσοφαὴς ἥλιος οὐκ ἐθεάσατο. In fine King. male verba ἐπὶ πολέμῳ etc. maiori interpunctione a praecc. separavit.

V. 626. *Ἰδαίαν*, τὴν ἀπὸ τῆς Ἴδης (τοῦ ὄρους). Gu. Fl. 59. δύο Ἴδαι· μία ἐν τῇ Τροίᾳ, καὶ ἑτέρα ἐν τῇ Κρήτῃ. Gu. *ΟΤΕ*, ἀφ' οὗ καιροῦ. Gu. Fl. 17. *ΥΛΑΝ*, τὰ ξύλα λέγει τῶν καραβίων. Fl. 59. ὕλη ἤγουν τὰ δένδρα. Gu.

V. 627. *ΕΙΛΑΤΙΝΑΝ*, ἀπὸ ἐλάτης τῆς δένδρου. Fl. 6. 9. 21. 56. 59. 76. εἶδος δένδρου ἐπιτήδειον εἰς κατασκευὴν νηῶν· ὄρθιον γὰρ καὶ μακρόν. Fl. 59.

V. 628. *ΕΤΑΜΕΘ'*, ἔκοψεν, (ἔτεμεν). Gu. *ΝΑΥΣΤΟΛΗΣΩΝ*, πλεύσων. Gu. Fl. 6. 21. 33. μέλλων πλεῦσαι. Fl. 17.

V. 629. *ΕΠΙ ΛΕΚΤΡΑ*, ἐπὶ τὴν ἁρπαγὴν τῆς Ἑλένης. Fl. 59. διὰ στρωμνὰς (τὴν κοίτην). Gu. λέκτρα πόθεν ἐτυμολογεῖται; ἀπὸ τοῦ λήγω τὸ καταπαύω. Fl. 17.

V. 630. *ΚΑΛΛΙΣΤΑΝ*, κρείττω τῶν ἄλλων γυναικῶν. Fl. 59. ὡραιοτάτην (εὔμορφον). Gu. *ΧΡΥΣΟΦΑΗΣ*, ὁ χρυσᾶ φάη ἔχων (ὁ χρυσοῦ δίκην ἀστράπτων). Gu.

V. 631. *ΑΥΓΑΖΕΙ*, θεωρεῖ, λάμπει, (δεικνύει. διὰ τὸ κάλλος ταύτης τοῦτο εἴρηκεν). Gu.

V. 632. *ΠΟΝΟΙ*, ὀδύναι, (δυςτυχίαι). Gu. αὕτη ἡ κατασκευὴ πρὸς τὸ ἐ μ ο ὶ χ ρ ῆ ν σ υ μ φ ο ρ ά ν. Gu.

V. 633. *ΑΝΑΓΚΑΙ*, βίαι, (δυςτυχίαι). Gu. *ΚΡΕΙΣΣΟΝΕΣ*, ἐπικρατέστεραι τῆς ἡμῶν δυνάμεως, (μείζονες τῶν πρὸ αὐτῶν). Gu. μείζονες, χείρονες, χείρους. Fl. 59. 10. *ΚΥΚΛΟΥΝΤΑΙ*, περικυκλοῦσιν ἡμᾶς, (ἐπέρχονται, περιλαμβάνουσιν). Gu. ἐπιφέρονται, ἐπικυκλοῦνται. Fl. 10. 21. ἐπέρχονται. Fl. 33. κυκλοῦσι γὰρ ἡμᾶς ἀνάγκαι καὶ πόνοι μείζονες τῶν ὧν ἔχομεν πόνων. Fl. 59. ὅταν καὶ νῦν σφαξαμένης. Fl. 10. [12])

V. 634—636. *ΚΟΙΝΟΝ Δ' ΕΞ.* κοινὸν δὲ κακὸν ἀφανιστικὸν ἐπῆλθεν ἀπ' ἄλλων ἀνθρώπων τῇ Τρωϊκῇ γῇ ἐξ ἰδίας ἀφροσύνης τῆς γῆς δηλονότι· ἡ γὰρ τοῦ Πάριδος ἀφροσύνη οὐκ ἀλλοτρία τῶν Τρώων ἦν. Gu. Fl. 6. 9. 21. 56. 59. 76. ἢ καὶ οὕτως· ἐξ ἰδίας ἤγουν μερικῆς ἀνοίας, ἤτοι τοῦ Ἀλεξάνδρου μόνου κοινὸν κακὸν ἐπῆλθε τῇ Τρωϊκῇ γῇ. Gu. ab ead. m. ἐκ δὲ τοῦ Πάριδος τῆς ἰδίας ἀνοίας

12) Sic legendum videtur: intricata enim et manca est scriptura. Sequitur forsan de sacrificio Polyxenae. de Furia.

κοινὸν κακὸν ὄλεθρον (sic) ἔμολε τῇ Τρῳάδι γῇ, οὐκ ἰδίᾳ αὐτῷ τῷ Ἀλεξάνδρῳ, καίτοι αὐτοῦ παρανομήσαντος καὶ ἀδικήσαντος· ἔδει γὰρ μόνῳ τῷ ἐργασαμένῳ γενέσθαι τὸ δεινὸν [1]) ἐπὶ τῇ κρίσει τοῦ μήλου, ὅτε ἐν τῇ Ἴδῃ ἔκρινεν ὁ Ἀλέξανδρος ἔχειν τὸ μῆλον τὴν Ἀφροδίτην, τὰς ἄλλας δὲ θεὰς παραβλέψας. Fl. 33.

V. 634. *ΚΟΙΝΟΝ*, καθολικὸν (εἰς πάντας τοὺς Τρῶας). Gu. *ΙΔΙΑΣ*, οἰκείας ἢ μερικῆς (ἑνὸς ἀνθρώπου, ἤγουν ἐκ τοῦ Ἀλεξάνδρου). Gu. μονομεροῦς, ἤγουν τοῦ Ἀλεξάνδρου ἀγνωσίας. Fl. 6. *ΑΝΟΙΑΣ*, μωρίας, (ἀγνωσίας). Gu.

V. 635. *ΣΙΜΟΥΝΤΙΔΙ ΓΑι*. Σιμόεις ποταμὸς παραῤῥέει τῇ Τροίᾳ καὶ διὰ τοῦτο ἡ ἐκεῖ γῆ Σιμουντὶς καλεῖται. Baroc. 74. Gu. a m. sec. [2]) Σιμουντὶς δὲ λέγεται ἡ Τρωϊκὴ γῆ διὰ τὸ ῥεῖν ἐκεῖσε τὸν Σιμόεντα ποταμὸν ἤγουν τὸν Σκάμανδρον. Gu. a m. pr. Σιμουντὶς λέγεται ἡ Τροία ἀπὸ ποταμοῦ Σιμόεντος καλουμένου παρὰ ῥέας οὕτως (leg. παραῤῥέοντος) ἐκεῖσε. Gu. 25.

V. 636. *ΑΠ' ΑΛΛΩΝ* ἀνθρώπων (ἤτοι τῶν Ἑλλήνων. ἢ ἀπὸ τοῦ Φερέκλου). Gu. καὶ ἀπὸ ἑτέρων, ἤγουν τοῦ Πάριδος καὶ τῆς Ἑλένης ἔμολε κοινὴ συμφορά. Fl. 59. συμφορῶν. Fl. 33. μεγαλοτέρα τῶν ἄλλων, ἐξαίρετος καὶ μεγάλη, οἷον πρὸς τὰς ἄλλας συμφορὰς ἐξηλλαγμένη. Fl. 10. 21. 59.

V. 637. *ΕΚΡΙΘΗ Δ' ΕΡΙΣ*. ἐν Πηλέως καὶ Θέτιδος γάμῳ, τῶν τριῶν κεκλημένων θεῶν, Ἥρας, Ἀθηνᾶς, Ἀφροδίτης σὺν ἄλλοις θεοῖς [3]), ἐπεὶ τὴν Ἔριν οὐκ εἶχεν ὁ γάμος, δυσχεράνασα, μῆλον κατασκευάζει χρυσοῦν, ἐν ᾧ τῇ καλῇ τὸ μῆλον ἐπιγράψασα [4]), ἀναβᾶσα ἐπὶ τοῦ τέγους, ῥίπτει τοῦτο παρὰ ταῖς τρισὶ θεαῖς. αἱ δὲ [5]) ἀναγνοῦσαι τὸ μῆλον, ἤριζον πρὸς ἀλλήλας, ἑαυτὴν ἑκάστη καλλίω τῆς ἄλλης λέγουσα. ἀπελθοῦσαι οὖν παρὰ τῷ Διΐ, ἠξίουν αὐτὸν τῇ μᾶλλον ὡραίᾳ [6]) διδόναι τὸ μῆλον. ὁ δὲ τὴν κρίσιν ἀποφυγὼν, τῷ μὴ δόξαι πρὸς [7]) χάριν ταυτηνὶ πεποιῆσθαι καὶ οὐκ εἰκότως [8]) — εἴτε γὰρ ἐδεδώκει τῇ Ἥρᾳ, ὡς γυναικὶ ἂν δεδωκέναι ὑπείληπτο, εἴτε τῇ Ἀθηνᾷ, ὡς θυγατρὶ, εἴτε τῇ Ἀφροδίτῃ, ἀδελφὴν ἂν τιμῶν ἔδοξεν. — τοῦτο οὖν δεδοικὼς [9]), καὶ τῆς αἰτίας ἔξω γενέσθαι βουλόμενος, καθίζει κριτὴν ταῖς θεαῖς Ἀλέξανδρον τὸν Πριάμου, βουκόλον ὄντα τότε παρὰ τὴν Ἴδην, ὡς ἀνεπιφθόνως καὶ χάριτος ἔξω δικάσοντα. [10]) ἀπελθοῦσαι οὖν παρ' αὐτὸν αἱ θεαὶ σὺν Ἑρμῇ Διὸς ἐπιπέμψαντος ἐκέλευον τῇ κάλλει νικώσῃ τὸ μῆλον [1]) δωρήσασθαι, ἐπαγγελλόμεναι καὶ μείζους δώσειν αὐτῷ δωρεὰς, εἰ πρὸς ταύτην, καὶ μὴ πρὸς ἐκείνην, νεύσει [2]) τῇ κρίσει. ἡ μὲν γὰρ Ἥρα βασιλείαν, αὐτοῦ μὴ στερηθεῖσα [3]), ὑπέσχετο, ὡς ἔφορος ταύτης· Ἀθηνᾶ δὲ, ἐν πολέμῳ κρατεῖν, καὶ μηδενὶ τῶν ἀντιπάλων ἡττᾶσθαι· πολεμικὴ γὰρ ἡ θεός· Ἀφροδίτη δὲ τὴν Ἑλένην προτείνει, καὶ δι' ἐκείνης γοητεύει τὸν ἄνθρωπον, καὶ νικᾷ, καὶ λαμβάνει τὸ μῆλον ἆθλον ὧν ἐπηγγείλατο. τὰ δὲ ἦν, πεῖσαι τὴν ἄνθρωπον [4]) ἀκολουθῆσαι αὐτῷ, εἰ πρὸς Λακεδαίμονα ἀφίκοιτο. ναῦς οὖν Φερέκλου κατασκευάσαντος [5])

1) Sic Flor. 59. qui brevius scholion habet: ἐκ δὲ τῆς τοῦ Π. ἰδίας ἀνοίας κοινὸν κακὸν ἔμ. τῇ Τρ. γῇ· ἔδει γάρ etc. Fl. 10. κἂν καὶ ἔδει μόνῳ τῷ ἐργῳ. etc. Fl. 33. ἀδικήσαντος μόνῳ αὐτῷ τῷ ἐργ. γενέσθαι τῶν δεινῶν.

2) Gu. καὶ διὰ τοῦτο Σιμουντὶς ἡ ἐκεῖσε γῆ κέκληται.

3) σὺν ἄλλοις θεοῖς om. Gu.

4) γεγραφυῖα Gu. Idem mox ἐπί et τρισί om.

5) Sic Gu. Vulgo αἳ δή.

6) τῇ μᾶλλον ὥρᾳ λαμπούσῃ Gu. King. Musgr.

7) Sic Gu. qui etiam τὸ μὴ δόξαι. Vulgo τὴν χάριν.

8) King. Musgr. ἀπεικότως.

9) δεδιὼς Gu.

10) Verba παρὰ τὴν Ἴδην — ἀπελθοῦσαι οὖν om. Junt. et Basil. Addidit King. e Barocc. sed ita scripsit: ὡς ἀνεπιφθονήσεως καὶ χ. ἔ. ἐπιδικάζοντα. Quod dedi, est in Gu.

1) Gu. τὴν κάλλει νικῶσαν τῷ μήλῳ.

2) Sic Gu. Vulgo εἰ μὴ πρὸς ἐκείνην, καὶ μὴ πρὸς ταύτην, νεύσῃ.

3) Gu. om. αὐτοῦ μὴ στερηθεῖσα. King. dedit αὐτῷ, μὴ στερ. Mox Gu. ἐν πολέμοις et πολεμικὸς γάρ. Ex eodem addidi δέ post Ἀφροδίτη.

4) τὴν Ἑλένην King. Pro ἀκολουθῆσαι Gu. ἀκολουθήσειν.

5) κατασκευακότος Gu. e quo κατηρκὼς ἐκεῖσε recepi pro κατ. ἐκεῖ. Idem mox ἀπῆλθεν αὖθις εἰς Ἴλ.

αὐτῷ, ἐπιβὰς ἀνάγεται πρὸς τὴν *Σπάρτην*, καὶ κατηρκὼς ἐκεῖσε, καὶ τὴν *Ἑλένην* λαβὼν, ἀπῆλθε πάλιν εἰς *Ἴλιον*.

V. 637. *ΕΚΡΙΘΗ*; κατέστη. (ἐτελειώθη καὶ διεχωρίσθη, ἐτελέσθη, εἰς κρίσιν ἔβη. σύναπτε τὸ ἐκρίθη ἐπὶ δορί.) Gu. ὁ *ΔΕ* ἀντὶ τοῦ γάρ. Fl. 21. 59. *ΕΡΙΣ*, ἡ φιλονεικία δηλονότι τῶν θεῶν. Fl. 21. στάσις τῆς ἔριδος τῶν τριῶν θεῶν ἦν αὕτη· ἐν τῷ τῆς Θέτιδος γάμῳ παρῆσαν τρεῖς θεαὶ, Ἥρα, Ἀφροδίτη καὶ Ἀθηνᾶ. ἡ Ἔρις οὖν ἄκλητος οὖσα καὶ ζηλοτυποῦσα ἔῤῥιψε μῆλον ἐν μέσῳ τῶν ῥηθεισῶν θεῶν καθημένων ἐν τῷ γάμῳ ἐπιγεγραμμένον οὕτως, τῇ καλῇ τὸ μῆλον. Fl. 25. καὶ ἀφ' οὗ καιροῦ ἐκρίθη καὶ διεχωρίσθη, ἡ ἔρις, ἣν εἶχον περὶ τοῦ μήλου ἥ τε Ἀθηνᾶ, ἡ Ἥρα καὶ ἡ Ἀφροδίτη, ἐπιδώσας ὡς φιλήδονος τὴν Ἀφροδίτην τὸ μῆλον διὰ τὴν ὑπόσχεσιν τῆς Ἑλένης, ἀπ' ἐκείνου καιροῦ ἀπέκειντο ἡμῖν τὰ δεινά. ἐπὶ πολέμῳ τοίνυν καὶ φόνῳ ἡ βλάβη τῶν ἐμῶν οἴκων ἔκρινε τὰς θεὰς ὁ Ἀλέξανδρος, προτιμησάμενος τὴν Ἀφροδίτην. Fl. 59.

V. 638. *ΤΡΙΣΣΑΣ*. σύνταξις ἑρμηνευτική. Fl. 33.

V. 639. *ΒΟΥΤΑΣ*. μετὰ ποιμένων ἀνετράφη, ἤγουν ὁ Ἀλέξανδρος, ποιμανῶν κἀκεῖνος πρόβατα. Fl. 59.

V. 640—646. *ΕΠΙ ΔΟΡΙ ΚΑΙ ΦΟΝΩι*. τοῦτο καλεῖται ἐπῳδὸς, διὰ τὸ ἐπᾴδεσθαι τῇ τε στροφῇ καὶ τῇ ἀντιστροφῇ, ἤγουν μετὰ τὴν στροφὴν ᾄδεσθαι. ἰστέον δὲ, ὅτι τὴν μὲν στροφὴν κινούμενοι πρὸς τὰ δεξιὰ οἱ χορευταὶ ᾖδον, τὴν δὲ ἀντιστροφὴν πρὸς τὰ ἀριστερὰ, τὴν δὲ ἐπῳδὸν ἱστάμενοι ᾖδον. ἐδήλου δὲ, ὥς φασιν, ἡ μὲν στροφὴ, τὴν οὐρανοῦ ἐκ τῶν ἑῴων πρὸς τὰ δυτικὰ μέρη κίνησιν· ἡ δὲ ἀντιστροφὴ, τὴν τῶν πλανητῶν, ὡς ἀπὸ δυσμῶν πρὸς ἕω γινομένην [6]· ἡ δὲ ἐπῳδὸς τὴν τῆς γῆς στάσιν, ἱσταμένων τῶν χορευτῶν ᾀδομένων. ἔστι δὲ τῆς παρούσης ἐπῳδῆς τὰ κῶλα ια. τὸ α ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος γ ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας, ἤτοι διτροχαίου, καὶ ἰάμβου. τὸ β ἀναπαιστικὸν μονόμετρον. τὸ γ ἰαμβικὸν [7]) δίμετρον ἀκατάληκτον. τὸ δ δακτυλικὸν, ἢ ἀναπαιστικὸν πενθημιμερές. τὸ ε παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων δευτέρων δύο. τὸ ς τροχαϊκὸν πενθημιμερές. τὸ ζ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος γ ἀντὶ τοῦ ἰωνικοῦ ἀπ' ἐλάττονος, ἰαμβικῆς συζυγίας, ἤτοι διϊάμβου, καὶ συλλαβῆς. τὸ η ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ διϊάμβου, χοριάμβου καὶ ἰάμβου [8]) διὰ τὴν ἀδιάφορον. τὸ θ τροχαϊκὸν ἰθυφαλλικὸν ἤτοι [9]) δίμετρον βραχυκατάληκτον. τὸ ι ἰωνικὸν ἡμιόλιον, εἰ δὲ βούλει παιωνικὸν, ἐκ παίωνος β, καὶ δύο συλλαβῶν. τὸ ια ὅμοιον, δίμετρον καταληκτικὸν, ἐκ παίωνος δ καὶ βακχείου· εἰ δὲ βούλει, τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ α ποδὸς χορείου. ἐπὶ τῷ τέλει κορωνὶς, εἶτα παράγραφος. ταῦτα γὰρ τοῦ τέλους τῆς ἐπῳδοῦ σημεῖα.

6) King. κινομένων. Musgr. κινουμένων. quorum prius vitio typothetarum, alterum ex emendatione vitii ortum videtur.

7) Sic recte King. Vulgo ἰωνικόν.

V. 640. *ΕΠΙ ΔΟΡΙ*, ἐπὶ πολέμῳ. ἀσπὶς πλείστη καὶ χεὶρ ἰσχυρὰ ἐπὶ στρατοπέδου· δόρυ δὲ καὶ ξίφος ἐπὶ πολέμου. γράφεται καὶ δουρί· οἱ γὰρ παλαιοὶ δοῦρα ἐκάλουν τὰ ξύλα. λέγεται καὶ ξυστὸς ἀπὸ τοῦ ξύεσθαι. Gu. *ΛΩΒΑι*, βλάβῃ, φθορᾷ, (ἀπωλείᾳ). Gu. ἤγουν αἰχμαλώσας καὶ φόνῳ τῶν ἀνδρῶν καὶ ἐπὶ βλάβῃ τῶν ἐμῶν οἴκων. Fl. 33.

V. 641—646. *ΣΤΕΝΕΙ ΔΕ ΚΑΙ ΤΙΣ*. στενάζει δ' ἐν τοῖς οἴκοις καί τις κόρη τάλαινα πολύδακρυς εἰς τὸν *Εὐρώταν* ποταμὸν τὸν πολύῤῥουν, μήτηρ τε τίθεται χεῖρα ἐπὶ κρᾶτα λελευκασμένον, ἕνεκα τῶν θανόντων τέκνων, δρύπτεταί τε καὶ ξαίνεται τὴν παρειὰν, ποιοῦσα τὸν ὄνυχα ἡματωμένον διὰ τῶν σπαραγμῶν. *ΣΤΕΝΕΙ ΔΕ*. οὐ μόνον αἱ Τρῳάδες θρηνοῦσιν, ἀλλὰ καὶ τῶν Ἑλλήνων οὐκ ὀλίγαι γυναῖκες [10]), ἡ μὲν ὡς ἀποθανόντος τοῦ ἀνδρὸς αὐτῆς ἐν Τροίᾳ [1]), ἡ δὲ ὡς στερηθεῖσα τῶν τέκνων. δέον δὲ εἰπεῖν ἀμφὶ πᾶσαν τὴν Ἑλλάδα, ὁ δὲ ἀμφὶ τὸν εὔρουν Εὐρώταν εἶπεν, ἀπὸ μέρους τὸ πᾶν. ποταμὸς δὲ οὗτος ἐν Λακεδαιμονίᾳ [2]).

V. 641. *ΣΤΕΝΕΙ*, θρηνεῖ. Fl. 6. 9. 21. 56. 59. 76. Gu. οὐ μόνον δὲ εἰς τὸ κοινὸν τῇ Τροίᾳ τὰ τῆς ἀνοίας τοῦ Ἀλεξάνδρου προῆλθεν, ἀλλὰ καὶ αὐτῇ τῇ Ἑλ-

8) Sic recte King. Vulgo διϊάμβου.

9) ἤτοι addidit King.

10) Gu. τῶν Ἑλληνίδων οὐκ ὀλίγαι.

1) Sic Gu. Vulgo deest ὡς bis, et αὐτοῦ ἐν Τροίᾳ.

2) Λακεδαίμονι Gu.

λάδι, οἷον οὐ μόνον αἱ Τρωάδες ἀπώλλυντο καὶ θρηνοῦσιν; ἀλλὰ καὶ τῶν Ἑλλήνων τινές. Fl. 33. οὐ μόνον δὲ αἱ Τρωικαὶ θρηνοῦσι γυναῖκες, οὐ μόνον ἐπὶ τῇ Τροίᾳ ἦλθε τὸ κακὸν, ἀλλὰ καὶ ἐπὶ τοῖς Ἕλλησι. θρηνεῖ καί τις κόρη πολυδάκρυτος ἐν τῇ Λακεδαιμονίᾳ ἀμφὶ τὸν εὔῤῥουν Εὐρώταν — ἐκεῖσε γὰρ ῥέει ὁ Εὐρώτας ποταμὸς — ἤγουν καὶ αἱ τῶν Ἑλλήνων γυναῖκες θρηνοῦσι, αἱ μὲν τοὺς αὐτῶν ἄνδρας, αἱ δὲ τοὺς παῖδας, ἀλλὰ καὶ μητέρες θανόντων τῶν τέκνων αὐτῶν ξέουσι τὰς παρειὰς αὐτῶν ποιοῦσαι τὸν ὄνυχα αἱματώδη. Fl. 10. 59. *ΕΥΡΟΥΝ*, πολύῤῥουν. (παρήχησις.) Gu. *ΕΥΡΩΤΑΝ*, παράκλησις (leg. παρήχησις). ὄνομα ποταμοῦ περὶ τὴν Λακεδαιμονίαν. Fl. 17. σύνηθες τοῖς παλαιοῖς ἀπὸ ποταμῶν καὶ πηγῶν καλεῖν τοὺς τόπους, διὰ τὸ εἶναι ταῦτα ἀνεξάλειπτα. Gu.

V. 642. *ΠΟΛΥΔΑΚΡΥΤΟΣ*. πολυδακρύτως. Gu. Fl. 6. 9. 21. 56. 59. 76.

V. 643. *ΠΟΛΙΟΝ*, γηραιάν. Fl. 59. λελευκασμένον, (λευκήν). Gu. *ΚΡΑΤΑ*, κεφαλήν. Fl. 56. 59. κάρα. Fl. 21.

V. 644. *ΤΙΘΕΤΑΙ*, τίθησι. Gu. Fl. 21. 56.

V. 645. *ΔΡΥΠΤΕΤΑΙ*, ξένεται, (κόπτει, καταξέει, σπαράττει). Gu.

V. 646. *ΔΙΑΙΜΟΝ*, ἡματωμένον, (αἱματώδη. πᾶς γὰρ ὁ τὴν ἑαυτοῦ παρειὰν ξαίνων ἀνάγκῃ καὶ τὸν ὄνυχα αἱματοῖ). Gu. ἠλλαγμένην. Fl. 17. γράφε δίδυμον. Fl. 10. *ΤΙΘΕΜΕΝΑ*, ποιοῦσα. Gu. *ΣΠΑΡΑΓΜΟΙΣ*, ἐν ξέσεσι. Fl. 59. ἐν τοῖς σχίσμασι. Fl. 21.

V. 647 — 649. *ΓΥΝΑΙΚΕΣ, ΕΚΑΒΗ*, μία τῶν δούλων Ἑκάβης ἔρχεται, φέρουσα τὸ σῶμα τοῦ Πολυδώρου. ἦν γὰρ πεμφθεῖσα ὑπὸ τῆς Ἑκάβης ἐπὶ τὸ κομίσαι ὕδωρ εἰς τὰ λουτρὰ τῆς Πολυξένης. αὕτη οὖν ἡ δούλη ἀπελθοῦσα παρὰ θάλασσαν, εὑρίσκει τὸ σῶμα τοῦ Πολυδώρου. καὶ ἐλθοῦσα δείκνυσιν αὐτὸ τῇ Ἑκάβῃ. λέγει δὲ πρὸς τὸν χορὸν τῶν αἰχμαλωτίδων· ὦ γυναῖκες, ποῦ ἐστὶν ἡ ἀθλιωτάτη Ἑκάβη, ἡ νικῶσα ἐν ταῖς δυστυχίαις πάντα ἄνδρα καὶ θήλειαν γενεὰν, οὐδεὶς τὸν τῆς δυστυχίας στέφανον ἀντ' αὐτῆς λήψεται, οὐδεὶς μᾶλλον αὐτῆς ἀποίσει στέφανον, νικήσας αὐτὴν ἐν κακοῖς. ἐπεὶ γὰρ εἶπεν ἄνω, ὡς

πάντα ἄνδρα καὶ γυναῖκα νικᾷ ἐν τοῖς κακοῖς, ἐπήγαγε τοῦτο· ἕπονται γὰρ τῇ νίκῃ στέφανοι. [3])

V. 648. *ΘΗΛΥΝ ΣΠΟΡΑΝ*, θήλειαν γενεὰν (γυναῖκας πάσας). Gu.

V. 649. *ΣΤΕΦ. ΑΝΘΑΙΡΗΣΕΤΑΙ*, οὐδεὶς νικήσας ἐκείνην ἐν κακοῖς στέφανον λάβῃ, ἀλλ' ἐκείνη νικῶσα πάντας ἐν κακοῖς στεφανωθήσεται. Gu. Fl. 25. τοῦτο λέγει διὰ τὸ τοὺς νικῶντας ἐν τοῖς ἀγῶσι στεφανοῦσθαι. Gu.

V. 650. 651. *ΤΙ Δ' Ω ΤΑΛΑΙΝΑ*. τί ἐστι τὸ βούλημα τῆς σῆς κακοφήμου βοῆς; ὡς καὶ λίαν, ἢ ὅτι, οὐδέποτέ σου ἠρεμεῖ τὰ λυπηρὰ μηνύματα [4]).

V. 650. *ΤΙ Δ'*, τί ἐστιν, τί λέγεις. Fl. 59. *ΣΗΣ*, ἕνεκα σῆς κακοφήμου. Fl. 59.

V. 651. *ΩΣ*, ὄντως, (ὅτι, λίαν). Gu. *ΕΥΔΕΙ*, ἠρεμεῖ (ἡσυχάζουσιν, ἤγουν οὔποτε παύσῃ δυστυχῆ ἀγγέλλουσα). Gu. οὐδέποτε παύουσι τὰ λυπηρά σου κηρύγματα. Fl. 59.

V. 652. 653. *ΕΚΑΒΗι*. τῇ Ἑκάβῃ φέρω ταύτην τὴν λύπην. ἐν ταῖς δυστυχίαις δὲ οὐκ εὔκολον ἀνθρώποις εὐφημεῖν κατὰ τὸ στόμα, ἤτοι εὔφημα λέγειν καὶ ἀγαθά.

V. 652. *ΕΚΑΒΗι ΦΕΡΩ*. ἡ ἀπολογία εἰς τὸ τί δ' ὦ τάλαινα. Fl. 59. *ΕΝ ΚΑΚΟΙΣΙ*, πολλῶν κακῶν προκειμένων. Gu.

V. 653. *ΟΥ ΡΑιΔΙΟΝ*, οὐκ εὐχερῶς. Fl. 33. ὅταν καταλάβῃ τινά τι κακὸν, καὶ ἄλλα μείζονα ἐπακολουθοῦσι τούτῳ. ἐν τοῖς κακοῖς δὲ τοῖς καταλαβοῦσί τινα οὐκ εὔκολον ὑπάρχει εὐφημεῖν καὶ καλῶς λέγειν τοῖς βροτοῖς ἐπὶ παραμυθίᾳ τῆς λύπης αὐτὴν (sic), ἀλλὰ καὶ μᾶλλον ἐπιφέρειν καὶ ἕτερα λυπηρότερα. Fl. 59. *ΕΥΦΗΜΕΙΝ*, οὐ ῥᾴδιον τὸ τῶν ἀνθρώπων στόμα σιωπᾶν. Baroc. 74. Gu. (εὔφημα λέγειν, καλῶς λέγειν.) Gu.

V. 654. 655. *ΚΑΙ ΜΗΝ ΠΕΡΩΣΑ ΤΥΓΧΑΝΕΙ*,

3) Ultima: *οὐδεὶς μᾶλλον — στέφανοι* sunt etiam in Gu. a m. sec. priora ibidem inter lineas a m. pr. cum hac varietate: *οὐδεὶς μ. αὐτ. στέφ. λάβει. — ἄνωθεν* pro *ἄνω*.

4) *μηνύματα* recte Junt. Gu. pro gl. King. Musgr. *μνήματα* Basil.

ἀντὶ τοῦ περᾷ, ἀπὸ τῶν οἰκημάτων αὕτη. εὐκαίρως δὲ φαί-
νεται τοῖς σοῖς λόγοις.

V. 654. *ΚΑΙ ΜΗΝ*, ὄντως. Gu. *ΠΕΡΩΣΑ ΤΥΓΧ.*
ἐρχομένη, (ἤγουν περᾷ καὶ ἐξέρχεται). Gu. περᾶν καὶ ἐπὶ
θαλάσσης καὶ ἐπὶ ξηρᾶς, ὡς ἐνταῦθα· καὶ πόρος ἐπὶ θα-
λάσσης καὶ ἐπὶ ξηρᾶς λέγεται. οὕτω καὶ ὁδεύειν καὶ ἐπὶ
θαλάσσης καὶ ἐπὶ ξηρᾶς· καὶ ὁδὸς ἐπ' ἀμφοτέρων λέγεται·
ὁδοιπορεῖν δὲ ἐπὶ ξηρᾶς μόνον. Gu. Fl. 25. *ΔΟΜΩΝ ΑΠΟ*,
ἐπέκεινα ἤγουν ἔξω. Gu. ἔξω τῶν σκηνῶν. Fl. 59.

V. 655. *ΕΣ ΚΑΙΡΟΝ*, εἰς πρέπον, ἐγκαίρως. Fl. 6.
9. 17. 21. 56. 76.

V. 656—658. *Ω ΠΑΝΤΑΛΑΙΝΑ*. καὶ παναθλία,
καὶ ἔτι μᾶλλον παναθλία δηλονότι, ἢ καὶ παρὸ λέγω, ὦ
δέσποινα, ὄλωλας, καὶ ἐφθάρης, καὶ οὐκέτι ὑπάρχεις βλέ-
πουσα φῶς, χωρὶς παιδὸς, χωρὶς ἀνδρὸς, χωρὶς πόλεως,
ἐξεφθαρμένη. τὸ ὄλωλας πρὸς τὸ ἐξεφθαρμένη συν-
απτέον, τὸ δὲ οὐκέτ' εἶ βλέπουσα φῶς, διὰ μέσου,
οὕτως· ὄλωλας ἐξεφθαρμένη, ἄπαις, ἄνανδρος, ἄπολις.

V. 656. *Ω ΠΑΝΤΑΛΑΙΝΑ*, ὦ παναθλία δέσποινα,
καὶ ἔτι πλέον ἢ παναθλία. Gu. Fl. 6. 9. 21. 56. 59. 76.

V. 657. *ΟΛΩΛΑΣ*, ἐφθάρης, (ἀπωλέσθης. ὄλωλα
ἐγὼ, ὀλώλεκα δὲ ἕτερον). Gu. *ΚΟΥΚΕΤ' ΕΙ*, οὐδαμῶς
ὑπάρχεις, ἤγουν ἀπέθανες. Gu. γράφεται· οὐκ ἔως ἐζώ-
σας (sic) ζῇς. Fl. 33. οὐκέτι βλέπεις φάος καὶ ζῶσα οὐ
ζῇς. Fl. 17.

V. 658. *ΕΞΕΦΘΑΡΜΕΝΗ*, παντελῶς διεφθαρμένη.
Fl. 17. 33. κατὰ πολὺ ἀφανισθεῖσα. Gu.

V. 659—662. *ΟΥ ΚΑΙΝΟΝ ΕΙΠΑΣ*. οὐ νέον εἶ-
πας, εἰδόσι δ' ὠνείδισας, ἤτοι εἰς ὀνειδισμὸν προέ-
φερες. διὰ τί δὲ ἦλθές μοι φέρουσα τόνδε τὸν νεκρὸν τῆς
Πολυξένης, ἧς ὁ ἐνταφιασμὸς ἐδηλώθη ἡμῖν ὑπὸ πάντων τῶν
Ἑλλήνων σπουδάζεσθαι.

V. 659. *ΟΥ ΚΑΙΝΟΝ ΕΙΠΑΣ*. νομίζουσα ἡ Ἑκά-
βη, ὅτι ἡ θεράπαινα τὸν τῆς Πολυξένης φέρει νεκρὸν, καὶ
δι' ἐκεῖνον ἀποκλαίεται, καὶ τέλος δ' εἰς ταύτην αὐτὴν λέ-
γει· οὐ παράδοξόν τι λέγεις, γινώσκουσι δὲ ἡμῖν τὴν λύ-
πην λέγεις. διὰ τί δὲ φέρεις τὸν νεκρὸν τῆς Πολυξένης ἐν-
ταῦθα ταφῆναι ἀτίμως καὶ κρυφίως, ἧστινος ὁ τάφος ἀπηγ-

γέλθη γενέσθαι ἔμπροσθεν πάντων Ἀχαιῶν ἐνδόξως καὶ ἐν-
τίμως, πάντων τῶν Ἑλλήνων συνεργούντων ἐπὶ τῷ τάφῳ,
ἤγουν τῇ ταφῇ αὐτῆς. Fl. 59. *ΩΝΕΙΔΙΣΑΣ*, ἀνέμνησας.
Gu. τὴν σφαγὴν τῆς Πολυξένης ἀνέμνησας, εἶπας. Fl.
59. εἰδόσι προήγαγες τὰ δυστυχήματα. ὀνειδίζειν γάρ ἐστι
τὸ φέρειν δυστυχήματα. Fl. 21. 59. [5])

V. 660. *ΑΤΑΡ ΤΙ*. στικτέον εἰς τὸ τί καθ' ἀπό-
κρισιν (33. ὑπόκρ.) ἢ ἐρώτησις. Fl. 21. 33. τί δέ. Fl. 6.
9. 56. 59. 76. Gu. διὰ τί. Gu. a m. 2. *ΝΕΚΡΟΝ*.
ἐνόμισεν ἡ Ἑκάβη τὴν Πολυξένην εἶναι. Fl. 33.

V. 661. *ΑΠΗΓΓΕΛΘΗ*. ἐδηλώθη, (ἐμηνύθη μοι
παρὰ Ταλθυβίου). Gu.

V. 662. *ΔΙΑ ΧΕΡΟΣ*, κομισάντων εἰς τὴν πυρ-
καϊὰν φύλλα καὶ ξύλα. Fl. 10. *ΣΠΟΥΔΗΝ ΕΧΕΙΝ* (ἐπι-
μέλειαν) ἤγουν σπουδάζεσθαι. Gu. ἀγῶνα, ἤγουν σπουδά-
ζεσθαι. Fl. 59. τιμήν. Fl. 33. ἐπειδὴ ἤκουσεν, ὅτι οἱ
μὲν αὐτὴν ἐφυλλοβόλουν τιμῶντες, οἱ δὲ ξύλα παρεκόμισαν
εἰς τὴν πυρκαϊάν. Fl. 33. 59.

V. 663. 664. *ΗΔ' ΟΥΔΕΝ ΟΙΔΕ*. ἥδε ἡ Ἑκάβη
οὐδὲν γινώσκει, ἀλλὰ θρηνεῖ τὴν Πολυξένην μοι, νέων δὲ
πημάτων οὐκ αἰσθάνεται.

V. 663. *ΗΔ'*, ἡ αὕτη. Fl. 56. ἀποστροφὴ πρὸς τὰς
γυναῖκας. Fl. 21. καθ' ἑαυτὴν τοῦτο λέγει. Gu. *ΜΟΙ*,
ἕνεκά μου. Fl. 17. παρέλκον. Fl. 59. ὑπ' ἐμοῦ κινηθεῖ-
σα. Gu.

V. 664. *ΝΕΩΝ ΔΕ ΠΗΜΑΤΩΝ*. ἤγουν τῆς Πολυδώ-
ρου σφαγῆς καὶ τῆς ἐν θαλάσσῃ τούτου ἀποῤῥιφῆς. Gu. *ΟΥΧ
ΑΠΤΕΤΑΙ*, οὐκ αἰσθάνεται, (οὐ λαμβάνει αἴσθησιν). Gu.

V. 665. 666. *ΟΙ ΕΓΩ*. φεῦ, τάλαινα εἰμὶ ἐγώ. ἆρα
φέρεις δεῦρο τὸ βακχευτικὸν κάρα τῆς μάντεως Κασάνδρας.
βακχεῖον κάρα τῆς Κασάνδρας λέγει τὸ μανικὸν, ὡς μαντι-
κῆς [6])· οἱ γὰρ μάντεις θείᾳ μανίᾳ κατεχόμενοι μαντεύονται.
φησὶ γὰρ Πλάτων ἐν Γοργίᾳ, ὡς ἡ μαντικὴ μανικὴ οὖσα
πρῶτον, προστεθέντος τοῦ τ, μαντικὴ γέγονεν.

5) Fl. 33. τὸ προσφέρειν (leg. προφ.) τὰ δυστ. τῶν ἑτέρων.
Sic fere etiam 10. 25.

6) μαντικῆς. Sic Gu. Vulgo μανικῆς.

V. 665. *ΜΩΝ*, ἆρα. τὸ μῶν ἀντὶ τοῦ ἆρα, ἀπὸ τοῦ μὴν (leg. μὴ) οὖν γίνεται κατ' ἐκβολὴν τοῦ η, καὶ τροπῇ τοῦ οὖν εἰς ῶν. Gu. *ΒΑΚΧΕΙΟΝ*, μαντικόν. Fl. 17. 76. μανικόν. Fl. 10. 33. 59. τὸ *ΒΑΚΧ*. *Κ*. τὸ μαντικὸν [7]), τὸ ἐνθουσιαστικὸν κάρα, ἤγουν τὸ σῶμα, ἀπὸ τοῦ κρείττονος μέρους τὸ ὅλον, ὡς φαμὲν καὶ ἱερὰν κεφαλὴν, τῆς μάντεως Κασάνδρας φέρεις;

V. 666. *ΘΕΣΠΙΩιΔΟΥ*, τῆς μάντεως (τῆς μαντικῆς, χρησμῳδοῦ). Gu. τῆς ἐπὶ τὰς θυσίας μαντευομένης. Fl. 33. τῆς τὰ θεῖα λεγούσης. Fl. 33. θεσπιῳδὸς ἐτυμολογεῖται ἀπὸ τοῦ θεὸς καὶ τοῦ ἔπω τὸ λέγω, καὶ τοῦ ᾠδὴ ἡ τραγῳδία, ὁ τὰ θεῖα λέγων. Fl. 6. 25.

V. 667 — 669. *ΖΩΣΑΝ ΛΕΛΑΚΑΣ*. τὴν ζῶσαν εἶπας, τὸν θανόντα δὲ τόνδε οὐ θρηνεῖς. ἀλλ' ἄθρησαι καὶ ἴδε σῶμα νεκροῦ γυμνωθὲν, ἐπεὶ φανεῖταί σοι ἔκπληξις καὶ παρὰ προσδοκίαν.

V. 667. *ΛΕΛΑΚΑΣ*, εἴρηκας, (εἶπας. τὸ λέλακας ἐπὶ μόνων ὀρνίθων λέγεται, ὡς καὶ Ἡσίοδος, δαιμονίη, τί λέληκας; περὶ ἀηδόνος λέγων. ὁ δὲ παρὼν τραγῳδὸς καὶ ἐπὶ ἀνθρώπων ἐδέξατο τοῦτο.) [8]) Gu.

V. 668. *ΑΘΡΗΣΟΝ*, θέασαι, βλέψον. Fl. 6. 9. 21. 56. 59. 76. ἴδε, θέασαι. Gu. *ΓΥΜΝΩΘΕΝ*, ἀνακαλυφθέν. ἀνακαλύπτει τὸ σῶμα τοῦ Πολυδώρου ταῦτα λέγουσα. (περικεκάλυπτο γὰρ τῷ αὐτῆς πέπλῳ.) [9]) Gu.

V. 669. *ΕΙ*, ἵνα, ὅπως. Fl. 59. ἐπεί. Gu. *ΠΑΡ' ΕΛΠΙΔΑΣ*, ἐξαίφνης. Fl. 59. προσδοκίαν. Gu.

V. 670 — 676. *ΟΙΜΟΙ*. βλέπω δὲ τὸν ἐμὸν παῖδα Πολύδωρον τεθνηκότα, ὃν ἐφύλαττεν ἐμοὶ ἐν τοῖς οἴκοις ὁ Θρᾷξ Πολυμήστωρ. ἀπωλόμην ἡ δύστηνος, οὐκέτι δὴ εἰμί.

7) τὸ μαντικὸν e Gu. addidi, in quo desunt ultima: τὸ ὅλον etc. In his lacuna esse videtur post κεφαλήν, fortasse sic explenda: κεφαλήν. ἢ τὴν κεφαλὴν τῆς μ. Κ. φ. Ceterum in Junt. et Basil. hoc scholion sequitur demum post paraphrasin v. 670 — 76.

8) Priora usque ad τί λέλακας habet etiam Flor. 25.

9) Quae uncis inclusa sunt, e cod. etiam Baroc. 74. adscripsit King. Priora habent etiam Florr. 10. 33. ταῦτα λέγ. ἀνακ. τὸν νεκρὸν τοῦ Π. ἡ Πολύβοια.

ὦ τέκνον, αἶ αἶ, κατάρχομαι μελῶν μανικῶν, ἀρτιμαθὴς οὖσα δηλονότι κακῶν ἐξ ἐχθροῦ τινός.

V. 671. *ΜΟΙ*, ἕνεκα ἐμοῦ. Fl. 17. ἐξ ἐμοῦ. Gu.

V. 672. *ΑΠΩΛΟΜΗΝ*, ἐφθάρην. Fl. 17. 21. *ΔΥΣΤΗΝΟΣ*, ἤγουν ἡ ἀθλία. Fl. 17. ζητητέον ἐπὶ τοῦ οὐκέτ' εἰμὶ δὴ, ἀπωλόμην δύστηνος, διὰ τί Ἑκάβη, καὶ πρότερον ἔχουσα λύπας πολλὰς τῶν τε παίδων καὶ τοῦ ἀνδρὸς αὐτῆς, καὶ ἀλλοτρόπως θρηνοῦσα, οὐκ εἶπε καὶ τότε τὸ οὐκέτ' εἰμὶ δή· καὶ φαμὲν, ὅτι πρότερον πολλὰς ἔχουσα λύπας, ὅμως ἐθάῤῥει εἰς τὸν Πολύδωρον, ὅπως, ἀνατραφέντος τούτου, κρατήσῃ πάλιν τὴν Τροίαν, καὶ γενήσεται διάδοχος τοῦ πατρὸς αὐτῆς, καὶ ἔσται ἡ γενεὰ αὐτῆς, ὡς καὶ πρότερον· νῦν δὲ ἰδοῦσα καὶ τοῦτον σφαγέντα, ὡς μὴ ἔχουσα ἄλλον τινὰ παῖδα, εἰς ὃν ἔχει τὴν ἐλπίδα, ἀποκλαίουσα ἑαυτὴν λέγει, ἕως τοῦ νῦν εἶχον τινὰ ἐλπίδα εἰς τὸν Πολύδωρον, ἀπὸ τοῦ νῦν δὲ οὐκέτι ὑπάρξω ἔχουσα ἐλπίδα εἰς τὸ κρατῆσαι καὶ αὖθις τὴν Τροίαν. Fl. 59.

V. 674. *ΚΑΤΑΡΧΟΜΑΙ*. εὕρηται τὸ ἄρχω καὶ παρὰ Πινδάρῳ (Nem. 3, 16.) αἰτιατικῇ, ἄρχε δὲ οὐρανῷ πολυνεφέλα κρέοντι, θύγατερ, δόκιμον ὕμνον. εὕρηται δὲ καὶ ἔν τινι τῶν παλαιῶν ἀντιγράφων [10]) οὕτως. *ΚΑΤΑΡΧΟΜΑΙ*, ἀρχὴν ποιοῦμαι. Gu. *ΝΟΜΩΝ*, μελῶν. (νόμος γὰρ τοῖς μαινομένοις θρηνεῖν.) Gu. κατάρχομαι γόων ἤγουν θρηνητικῆς ᾠδῆς· νόμους γὰρ οἱ παλαιοὶ τὰς ᾠδὰς ἔλεγον. Fl. 17. 21. 25. καὶ γὰρ αὕτη ἡ λύπη ἀφόρητος οὖσα οὐκ ἐᾷ με τοῦτο φέρειν, ἀλλὰ ποιεῖν ὡς μαινομένη βάκχη. Fl. 21. ἀρχὴν ποιοῦμαι τοῦ θρήνου τὸν βακχεῖον νόμον· οἱ γὰρ βακχευόμενοι μαινομένοις ἐοίκασιν. ἦλθε δὲ εἰς ἡμᾶς ἡ ἀρχὴ τοῦ θρήνου τούτου ἐξ ἀλάστορός τινος, ἤγουν κακῆς τύχης, ἢ ἐκ τοῦ ἀλάστορος, ἤγουν τοῦ Πολυμήστορος, ἀρτίως μαθοῦσα τὰ νῦν κακά. Fl. 59. ἀρχομένη λέγει τὸ αἶ αἴ, ὅπερ ἐστὶ νόμος ἀπὸ τῶν Βακχῶν· αἱ γὰρ Βάκχαι πρῶτον τὸ αἶ ἐξεφάνησαν. Fl. 33.

V. 675. *ΒΑΚΧΕΙΟΝ*. Βάκχαι ἱέρειαι ἦσαν τοῦ Διονύσου, καὶ κατεχόμεναι ὑπ' ἐκείνου ἐδόκουν μαίνεσθαι, ἄνετοι οὖσαι τὰς κόμας, καὶ τὰ ἱμάτια περιεῤῥηγμέναι,

10) ἀντιγράφων addidit King. In loco Pindari Junt. Bas. πολυνεφέλω, Junt. sine ι subscripto, ut et οὐρανῶ, recte.

βοῶσαι τῷ Διονύσῳ ἴακχε ἴακχε· ἐντεῦθεν γὰρ καὶ Βάκχαι ἐκλήθησαν. Βακχείων οὖν ἐνταῦθα νόμων λέγει τῶν μανικῶν, καὶ οἷς χρῶνται αἱ Βάκχαι, ὑμνοῦσαι τὸν θεόν. γράφεται δὲ καὶ βακχείων γόων.

V. 675. *ΒΑΚΧΕΙΩΝ*, μανικῶν, (παραφρονεῖν ποι- οὔντων, ἢ θρηνητικῶν). Gu. ἤγουν τοῦ Διονύσου. Fl. 17. *ΒΑΚΧΕΙΟΝ* δὲ θρηνητικὸν ἢ κινητικὸν ἢ σύντονον, ἀλλ' οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακχεῖον νόμον, ἀλλὰ ἐξ ἀλάστορος, ἤγουν πονηροῦ δαίμονος· οἱ γὰρ γόοι τῶν βακ- χείων μεθ' ἡδονῆς γίνονται, ὁ δ' ἐμὸς οὐχ οὕτως. Fl. 25. κινητικὸν ἢ σύντονον, ἀντὶ τοῦ θρηνητικὸν, ἢ τὸν τῷ βακ- χείῳ διασυντιθέμενον, οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακ- χεῖον νόμον. Fl. 33. *ΕΞ ΑΛΑΣΤΟΡΟΣ*, ἐχθροῦ (τοῦ Πολυμήστορος). Gu. ἐξ ἐχθροῦ, φθονηροῦ (πονηροῦ, ut 6.). ἐξ ἐχθροῦ δαίμονος. Fl. 21. κακοποιοῦ δαίμονος. Fl. 17. ἐκ κακοῦ δαίμονος. Fl. 21. 59. ἀλάστωρ κυρίως λέγεται ὁ φονεὺς, ἢ ὁ ἄλαστα καὶ ἀλάθητα ἔργα ποιῶν· οὐδέποτε γὰρ δύναται κρυβῆναι ὁ φόνος· ἢ ἀπὸ τοῦ ἀλῶ τὸ πλα- νῶμαι· ὁ γὰρ φονεύσας τινὰ κατὰ τὴν παλαιὰν συνήθειαν ἐξήρχετο τοῦ τόπου αὐτοῦ, καὶ περιπατῶν κατὰ τόπους ἐπλανᾶτο ἔνθεν κἀκεῖθεν, ζητῶν τὴν ἴασιν τοῦ φόνου οὗ ἔπραξεν, ἕως οὗ ἔζη. μαρτυρεῖ δὲ τοῦτο καὶ Ὅμηρος, εἰς τὸν Βελλεροφῶντα πλανώμενον λέγων, ἤτοι ὁ καππεδίον τοῦ Ἀλήϊον οἶος ἀλᾶτο, (Il. ζ, 201.) ἤγουν μόνος. Ἀλήϊον δὲ ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶμαι. Fl. 59. ἀλάστωρ ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ λήθη, ὁ διάβολος, ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ, καὶ ὁ φθορεὺς ἀπὸ τοῦ ἁλίσκω. Fl. 33.

V. 676. *ΑΡΤΙΜΑΘΗΣ*. ἀρτίως ἀντὶ τοῦ νεωστὶ, καὶ ἀρτίως ἀντὶ τοῦ ὁλοκλήρως. ἐνταῦθα οὖν ἀρτι- μαθὴς κακῶν, ἀντὶ τοῦ ἀρτίως καὶ νεωστὶ ἕτερα μα- θοῦσα κακὰ, ἢ τελεία οὖσα εἰς μάθησιν. [1]) *ΑΡΤΙΜΑ- ΘΗΣ* ἡ μαθοῦσα τὰ κακὰ ἄρτι, ἡ πάντα τὰ κακὰ διελ- θοῦσα. Fl. 33. τῶν τοῦ υἱοῦ αὐτῆς ἀρτίως μαθοῦσα. Fl.

1) Ultima e Gu. accesserunt, in quo vv. *ἀρτίως καὶ νεωστὶ ἕτ. — μάθησιν* inter lineas scripta sunt. Idem scholion est in marg. ab eadem manu. e quo scripsi *ἀρτίως ἀντὶ τοῦ νεωστί, καὶ ἀρτ.* pro vulg. *ἀρτ. νεωστί.* In eo desunt ultima *ἢ τελεία* etc.

59. ὑπ' ὀνείρου. Fl. 6. ἀπηρτισμένη, μαθοῦσα ἀπὸ τῶν ὀνείρων. Fl. 10.

V. 677. *ΕΓΝΩΣ ΓΑΡ.* ἔγνως δὴ, ὦ δύστηνε, τὴν βλάβην τοῦ παιδός σου. *ΑΤΗΝ*, ἤγουν ὑπὸ τίνος πεφό- νευται. G. *Ω ΔΥΣΤΗΝΕ ΣΥ;* ἢ κατὰ ἀπόφασιν. Gu.

V. 678—681. *ΑΠΙΣΤ' ΑΠΙΣΤΑ.* τὰ τοιαῦτα εἴδη καλεῖται ἀνομοιόστροφα. ἀνομοιόστροφα δέ εἰσιν, ὡς Ἡφαι- στίων φησὶν (p. 69.), ὅσα πάντως διαιρεῖται, ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρι- σιν. καὶ διαιρεῖται εἰς δύο, ἢ εἰς πλείονα. εἰ μὲν οὖν εἰς δύο διαιρεῖται, καλεῖται ἑτερόστροφον, εἰ δὲ εἰς πλείω, ἀλλοιόστροφον. εἰσὶν οὖν τὰ παρόντα ἀλλοιόστροφα. τῆς πρώτης [2]) δὲ στροφῆς ταύτης τὰ κῶλα ϛ. τὸ α στίχος ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος πεντασυλλάβου καὶ ἰάμβου· διαιροῦνται γὰρ αἱ μακραὶ τῶν τοιούτων ποδῶν εἰς δύο βραχείας. τὸ γ ὅμοιον καθαρὸν, ἐκ παίωνος δ [3]) καὶ ἰάμβου. τὸ δ ὅμοιον, δί- μετρον καταληκτικὸν, ἐκ παίωνος α καὶ δακτύλου. τὸ ε τροχαϊκὸν ἀκατάληκτον. τὸ ϛ ὅμοιον τροχαϊκὸν ἐφθημιμε- ρές. οὕτω διῃρημένα χρὴ ταῦτα τὰ κῶλα, καὶ τὰ ἑξῆς, ὡς ἡμῖν διῄρηται, ἵν' εὐχερῶς καὶ τίνος εἴη μέτρου ἔχω- μεν [4]) γνῶναι· ἐπὶ τῷ τέλει παράγραφος.

V. 678—681. *ΑΠΙΣΤ' ΑΠΙΣΤΑ.* τουτέστιν, οὐ πι- στεύεσθαι δυνάμενα βλέπω, ἕτερα δὲ κακὰ ἀπὸ ἑτέρων κακῶν κυρεῖ, ἀντὶ τοῦ ἐντυγχάνει, ἡμῖν δηλονότι, οὐδέποτε κατα- λήψεται ἐμὲ ἡμέρα χωρὶς δακρύων, καὶ χωρὶς στεναγμῶν.

V. 678. *ΑΠΙΣΤΑ*, οὐ πιστεύεσθαι δυνάμενα, (ἀπροσ- δόκητα, ἃ εἰ ἔκ τινος ἤκουον, οὐκ ἐπίστευον). Gu. οὐ πι- στεύεσθαι δυνάμενα, παράδοξα, ἃ οὐκ ἤλπιζον μηδεμίαν ἔχοντα πίστιν, βλέπω. Fl. 59. 76. διττολογεῖ τὸ πάθος σφόδρα σχετλιαστικὸν ὁ τραγῳδὸς ἐν τῇ τραγῳδίᾳ ποιῶν. Fl. 33. τὸ ἐπαναλαμβάνειν τοὺς αὐτοὺς λόγους ἐν τῷ θρηνεῖν σφόδρα σχετλιαστικὸν καὶ πάθος ἀγεῖρον (ἐγεῖρον) ἐν τῇ τραγῳδίᾳ. Fl. 10. 21. *ΚΑΙΝΑ*, παράδοξα, (διὰ τὸ ἀνέλπιστον). Gu.

2) *πρώτης* ex emend. King. Vulgo *δευτέρας.*

3) *δ.* Sic recte King. Vulgo *δέ.*

4) Vulgo *μέτρον ἔχομεν.* Emendavit Barnes.

V. 679. *ΕΤΕΡΑ Δ' ΑΦ' ΕΤΕΡΩΝ*, μεθ' ἕτερα εὐθὺς κατὰ διαδοχήν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. *ΚΥΡΕΙ*, ἐντυγχάνει ἡμῖν, (καταλαμβάνει ἐμὲ, ἐπιγίνεται, ἐπέρχονται). Gu. ὑπάρχει. Fl. 17. κυκλεῖ ἡμᾶς. Fl. 21.

V. 680. *ΑΔΑΚΡΥΤΟΝ*, χωρὶς δακρύων. *ΑΣΤΕΝΑΚΤΟΝ*, χωρὶς στεναγμῶν. (πρὸς μὲν τὸ ἡμέρα τὸ ἀδάκρυτος καὶ ἀστένακτος ἀποδοτέον [5]), πρὸς δὲ τὸ ἐμὲ ἀδάκρυτον καὶ ἀστένακτον.) Gu. δακρύων, στεναγμῶν μήτε τυχοῦσα. Fl. 21. δακρύων καὶ στεναγμάτων μὴ μετέχουσα. Fl. 10. 33.

V. 681. *ΕΠΙΣΧΗΣΕΙ*, καταλήψεται (καταλάβη, κωλύσει). Gu. κατέλαβε. Fl. 59. παύσει ἢ σχήσει ἐμέ. Fl. 21.

V. 682. *ΔΕΙΝΑ*, χαλεπά. Gu. Fl. 6. 9. 21. 56. 59. 76. τὸ τῆς Ἑκάβης πάθος οἰκεῖον ὁ χορὸς λογίζεται, ὡς βασιλίδος οὔσης πρόσθεν αὐτῶν. Gu.

V. 683—685. *Ω ΤΕΚΝΟΝ ΤΑΛΑΙΝΑΣ*. δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ δ. τὸ α τροχαϊκὸν τρίμετρον, βραχυκατάληκτον. τὸ β καὶ γ παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ σπονδείου. τὸ δ δακτυλικὸν πενθημιμερές. Ὦ τέκνον ἀθλίας μητρὸς, τίνι μόρῳ ἔθανες, τίνι τύχῃ κεῖσαι, πρὸς τίνος ἀπὸ τῶν ἀνθρώπων; μόρῳ μὲν, τῷ θανάτῳ· πότμῳ δὲ, τῇ προφάσει. ἵν' ᾖ, ποίῳ θανάτῳ, καὶ ποίᾳ προφάσει; ἢ τίς ὁ ἀνελών σε; εἰπὲ, τέκνον. [6])

V. 683. *Ω ΤΕΚΝΟΝ*. ὁ λόγος πρὸς τὸν Πολύδωρον· (ὡς ἐμψύχῳ τῷ σώματι προςδιαλέγεται. Fl. 17.) Gu.

V. 684. *ΤΙΝΙ ΜΟΡΩι*, θανάτῳ, ἤγουν ποίῳ τρόπῳ θανάτου. (μόρος ἀπὸ τοῦ μερίζεσθαι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.) Gu. *ΘΝΗΣΚΕΙΣ* ἀντὶ τοῦ ἔθανες. Gu. *ΠΟΤΜΩι*, τύχῃ, (δυςτυχίᾳ), ἤγουν διὰ ποίαν αἰτίαν. Gu. προφάσει, δυςτυχίᾳ. Fl. 10. 21. *ΚΕΙΣΑΙ*, ἀποθνήσκεις. Fl. 17. ἔθανες. Fl. 21.

5) Quae uncis inclusa sunt usque ad ἀποδοτέον, leguntur etiam in scholiis vulgatis.

6) Haec inde a μόρῳ μὲν sunt etiam in Fl. 33. qui post προφάσει addit πρός τινος. καταλάβει δὲ ἵν' ᾖ – – – post ἀνελών σε autem εἴτε ὥστε διαφέρει πότμος καὶ μόρος. πότμος μὲν γάρ ἐστι τὸ αἴτιον.

V. 685. *ΠΡΟΣ ΤΙΝΟΣ*, ἀπὸ (παρὰ Fl. 56.) Gu. παρὰ τίνος ἀνθρώπων (ὑπὸ τίνος τῶν ἀ. Fl. 10. 21.) ἐφονεύθης. Fl. 10. 21. 59. παρὰ τίνος διώλλυσαι. Fl. 17.

V. 686—689. *ΟΥΚ ΟΙΔΑ*. σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, στίχων ἰαμβικῶν τριμέτρων τριῶν, καὶ κώλου, ὃ τρίτον κείμενον δακτυλικόν ἐστι πενθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. *ΟΥΚ ΟΙΔΑ*. οὐ γινώσκω· κυρῶ δὲ, ἀντὶ τοῦ εὗρον καὶ κατέλαβον αὐτὸν ἐπὶ τῷ αἰγιαλῷ. ἐκβεβλημένον ὑπὸ τῆς θαλάσσης, ἢ πτῶμα ὑπὸ δορὸς φονικοῦ, ἤτοι ὑπό τινος φονευθέντα; ἐξήνεγκεν αὐτὸν ὁ πελάγιος κλύδων τοῦ πόντου ἐν ψαμάθῳ λευρᾷ, ἤτοι πλατείᾳ καὶ ὁμαλῇ.

V. 686. *ΟΥΚ ΟΙΔ'*. ὁ τῆς θεραπαίνης λόγος πρὸς τὴν Ἑκάβην, τῆς Ἑκάβης πρὸς τὸν παῖδα λεγούσης. τοῦτο δὲ συμβαίνει οὕτω γίνεσθαι ἐν ταῖς λύπαις. Gu. *ΚΥΡΩ*, ἐντυγχάνω. Fl. 10.

V. 687. *ΕΚΒΛΗΤΟΝ*, πεπνιγμένον (ἐκπεπνιγμένον καὶ ἐκβεβλημένον ὑφ' ἁλός). Gu. τουτέστιν ἐκριφθέντα τῆς θαλάσσης. Fl. 17. ἤγουν τετρωμένον (om. 25.), ἤγουν ἀποπνιγέντα ὑπὸ (10. 21. ἀπὸ) θαλάσσης. Fl. 10. 21. 25. 59. *ΠΕΣΗΜΑ*, πτῶμα. (ἢ ὑπό τινος φονευθέντα.) Gu. ἢ ἀναιρεθέντα ἐν ξίφει (ἐκ ξίφους. 17. ξίφοις. 10. 21. ξίφει. 33. τῷ ξίφει. 10. 59.). πέσημα γὰρ τὸ πτῶμα. Fl. 25.

V. 688. *ΨΑΜΑΘΩι*, (ἄμμῳ. ἄμμος τὸ τῆς γῆς χῶμα παρὰ τὸ ἀμαθὲς καὶ ἀμέτρητον εἶναι.) ἄμμος ἡ ἐν ξηρᾷ, ὡς ἐν ἐρήμῳ, ψάμαθος ἡ ἐν θαλάσσῃ. Gu. *ΛΕΥΡΑι*, ὁμαλῇ, πλατείᾳ, (λεπτῇ). Gu.

V. 689. *ΕΞΗΝΕΓΚΕ*, ἔξω ἔφερε. Fl. 56. 59. ἐξήνεγκεν ἡ κρίσις λόγους, ἐξήνεγκεν ἡ θάλασσα Πολύδωρον. Fl. 33. *ΠΕΛΑΓΙΟΣ ΚΛΥΔΩΝ*, περιφραστικῶς τὸ πέλαγος. Fl. 17. τὸ ὕδωρ. Fl. 59.

V. 690—695. *ΩΜΟΙ ΑΙ ΑΙ*. ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ ζ. τὸ α τροχαϊκὸν μονόμετρον. τὸ β ὅμοιον ἑφθημιμερὲς [7]), ἐκ χορείων. τὸ γ ὅμοιον ἑφθημιμερὲς καθαρόν. τὸ δ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ε παιωνικὸν δίμετρον, ἐκ παίωνος α, καὶ παλιμβακχείου. τὸ ϛ ἀναπαιστι-

7) King. ὑπερκατάληκτον pro ἑφθημιμερές.

κὸν ἐφθημιμερὲς 8), τοῦ β ποδὸς δακτύλου. τὸ ζ παιωνι-
κὸν δίμετρον, ἐκ παίωνος α καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει
παράγραφος. *ΩΜΟΙ ΑΙ ΑΙ.* ἔμαθον τὴν νυκτερινὴν
ὄψιν τῶν ἐμῶν ὀφθαλμῶν, οὐ παρέβη με τὸ φάσμα τὸ
σκοτεινὸν καὶ ταχέως ἀφιστάμενον, ὃ ἐθεασάμην, ὦ τέκνον,
περὶ σοῦ, οὐδαμῶς ὄντος ἐν τῷ φωτὶ τοῦ Διός.

V. 691. *ΕΜΑΘΟΝ*, ἔγνων. Gu. Fl. 17. ἔγνωκα.
Fl. 6. 9. 21. 56. 59. 76. *ΤΟ ΕΝΥΠΝΙΟΝ.* ἢ πρὸς τὸ
ὄψιν συναπτέον, ἵν' ᾖ τὴν 9) ἐνύπνιον καὶ κατὰ τοὺς ὕ-
πνους φανεῖσαν μοι ὄψιν τῶν ἐμῶν ὀμμάτων, ἢ πρὸς τὸ
ἐνύπνιον ὑποστικτέον, ἵν' ᾖ τὸ ὄψιν τῶν ἐμῶν ὀμμά-
των, ὥσπερ ἑρμηνεία τοῦ ἐνύπνιον 10). κρεῖττον δὲ
ἐστι τὸ πρῶτον. *ΟΜΜΑΤΩΝ*, τουτέστιν ἣν (Gu. ἃ)
εἶδον τὰ ἐμὰ ὄμματα. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἔμα-
θον τὸ ἐνύπνιον τῶν ἐμῶν ὀμμάτων, διελύθη τὸ ὄναρ,
ὅπερ εἶδον· εἰς γὰρ τὴν ἀρχὴν τοῦ δράματος εἶδε τοῦτο ἡ
Ἑκάβη· οὐδὲ γὰρ ἦλθε τὸ φάντασμα ὡς οὐδὲν, οὐδὲ ἡ
μελανόπτερος ὄψις, ἣν εἶδον, ὦ παῖ, διὰ σὲ οὐκέτι μέλ-
λοντα ὁρᾷν τὸ φῶς, ἀλλὰ ἀληθὲς ἀπεδείχθη. μελανόπτερον
δὲ τὴν ὄψιν, καὶ τὰ μὲν πτερὰ διὰ τὴν ταχύτητα καὶ τὴν
ἀνυπόστασιν, ἣν ἔχει, καὶ ἀφανίζεται εὐθέως ἀποχωρήσαν-
τος τοῦ ὕπνου, μέλανα δὲ διὰ τὸ σκοτεινὸν τῆς νυκτός.
Fl. 59.

V. 692. *ΠΑΡΕΒΑ*, παρῆλθε, (παρέδραμε, ἀλλ' ἐγνώ-
σθη). Gu. φάσμα, φάντασμα. Fl. 6. 9. 21. 56. φαντα-
σία. Fl. 59. ὄνειρον. Fl. 17. τὸ βλεπόμενον. Fl. 33.

V. 693. *ΜΕΛΑΝΟΠΤΕΡΟΝ*, σκοτεινὸν καὶ ἄγνω-
στον. μεσεμβόλημα.

V. 694. Τὸ ἂν πρὸς τὴν ὄψιν ἐστὶ, τὸ δὲ οὔ με πα-
ρέβα μελανόπτερον φάσμα διὰ μέσου 1). *ΕΣΕΙ-
ΔΟΝ*, ἀντὶ τοῦ εἶδον. Gu. Fl. 6. 9. 21. 56. 59. 76. *ΑΜΦΙ
Σ'*, οἰκτρόν. Fl. 17. περὶ σοῦ (ἰωνικῶς). Gu.

8) King. τὸ ς τροχαϊκὸν ἰθυφαλλικόν.

9) τὴν Gu. Vulgo τὸ ἐνύπνιον.

10) ἐνύπνιον Gu. Vulgo ἐνυπνίου.

1) In editis hoc scholion cum superiori ad vs. 691. cohaeret: τὸ ἂν δὲ etc. in Gu. sejunctum.

V. 695. *ΟΝΤΑ*, πρὸς τὸ σημαινόμενον τοῦ, ὦ τέ-
κνον, ὦ παῖ, ἀπέδωκε τὸ ὄντα· εἰ γὰρ πρὸς τὸ τέκνον,
ὂν ἔδει εἰπεῖν. Gu. οὐκέτι μέλλοντα ἔσεσθαι. Fl. 59. λεί-
πει τὸ ὡς, ὡς οὐκέτ' ὄντα Διὸς ἐν φάει. Fl. 21. *ΔΙΟΣ*,
τοῦ ἀέρος. Fl. 6. 9. 21. 56. 59. 76. *ΦΑΕΙ*, ἐν τῷ πα-
ρόντι βίῳ. Fl. 56. ἤγουν οὐ ζῇς. Fl. 21.

V. 696. *ΤΙΣ ΚΑΙ ΝΙΝ ΕΚΤΑΝ'*; τίς αὐτὸν ἐφό-
νευσεν; γινώσκεις, ὦ ἐξ ὀνείρων φρονοῦσα καὶ διανοουμένη,
εἰπεῖν; *ΤΙΣ*, δέ. Fl. 59. *ΟΝΕΙΡΟΦΡΩΝ*, ὦ ἡ ἀπὸ τῶν
ὀνείρων διανοουμένη, (ἡ τοὺς ὀνείρους κρίνουσα, ἡ φρο-
νοῦσα καὶ πιστεύουσα τοῖς ὀνείροις). Τοῦτο λέγει ἡ θερά-
παινα διὰ τὸ εἰπεῖν τὴν Ἑκάβην, ἔμαθον ἐνύπνιον.
Gu. ἀκούσασα ἡ θεράπαινα τὴν Ἑκάβην λέγουσαν, ὅτι οὐ
παρῆλθε τὸ φάντασμα ψευδὲς, λέγει, ὦ ὀνειρόφρον, ἤγουν τὸ
ὄνειρον φρονοῦσα λέγειν τὴν ἀλήθειαν, καὶ τίς ἐφόνευσεν
αὐτόν. Fl. 59.

V. 697. 698. *ΕΜΟΣ ΕΜΟΣ.* ἡ δ αὕτη στροφὴ κώ-
λων ἐστὶ δ, ὧν τὸ α παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ
ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ β ὅμοιον δίμετρον ἀκατά-
ληκτον 2), ἐκ παίωνος α 3) καὶ κρητικοῦ. τὸ γ καὶ τὸ δ
ὅμοιον τῷ πρώτῳ· ἐπὶ τῷ τέλει παράγραφος. *ΕΜΟΣ* φί-
λος ἔκτεινεν Θρᾷξ, ὅπου ὁ πατὴρ ὁ γέρων ἔκρυψεν αὐτόν.
Ω ΚΑΤΑΡΑΤΕ. ἡ ε αὕτη στροφὴ κώλων ἐστὶν ἕξ. τὸ α
παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος καὶ σπονδείου. τὸ β χορι-
αμβικὸν ἡμιόλιον καθαρόν. τὸ γ ὅμοιον τῷ α ἐκ παίωνος
καὶ ἰάμβου. τὸ δ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον.
τὸ ε ὅμοιον τῷ τρίτῳ. τὸ ς ὅμοιον τῷ δ. οὕτω χρὴ γρά-
φειν καὶ ταῦτα ὡς διῄρηται, καὶ τὰ ἄνω, ἵν' εἴη καὶ τὰ
μέτρα εὔγνωστα. ἐπὶ τῷ τέλει παράγραφος.

V. 697. *ΞΕΝΟΣ*, φίλος. κατ' εἰρωνείαν λέγει τὸ φί-
λος ἡ Ἑκάβη. Gu. 4) *ΙΠΠΟΤΑΣ*, φίλιππος. Gu. Fl. 6.
9. 21. 56. 59. 76. φιλιππικός. Fl. 17. καβαλλάριος. Fl. 33.

2) King καταληκτικόν.

3) Ita edidit King. Vulgo ἐκ παίωνος δ.

4) κατ' εἰρωνείαν εἴρηται a sec. etiam m. adscriptum est. Florr. 21. 25. 33. κατ' εἰρωνείαν (εἴρηται addit 21.) ἡ ὀνομαζόμενος φίλος.

V. 699. *ΩΜΟΙ ΤΙ ΛΕΞΕΙΣ.* Οἴ μοι τί λέγεις; ἔ-
κτεινε δηλονότι, ἵνα κτανὼν ἔχῃ τὸν χρυσόν; *ΤΙ ΛΕΞΕΙΣ,*
λέγεις. (ἤγουν τίνα αἰτίαν ἐρεῖς τοῦ θανάτου;) Gu. τὸν
μέλλοντα ἀντὶ ἐνεστῶτος. Fl. 59.

V. 700 — 704. *ΑΡΡΗΤΑ.* οὐ δυνάμενα ῥηθῆναι,
περαιτέρω [5]), μείζονα, θαυμάτων, οὐχ ὅσια, οὐδὲ φορητά.
ποῦ ἐστὶν ἡ δικαιοσύνη τῶν φίλων [6]), ἢ ποῦ ἐστὶν ἡ Δίκη
τῶν ξένων, ἤγουν ἡ τούτους ἐφορῶσα θεὸς [7]) καὶ τιμω-
ρουμένη τοὺς αὐτοὺς ἀποκτείναντας, ὃ καὶ κρεῖττον ἐστὶν
τοῦ προτέρου [8]) [νοῦ]. ὦ καταρῶν ἄξιε ὑπὲρ πάντας ἀνθρώ-
πους, Πολυμήστωρ, μονονουχὶ καὶ εἰς μέρη διεῖλες τὰ τοῦ
παιδὸς μέλη, ὅςτις ἐμέρισας τὸ σῶμα, κόψας φασγάνῳ
σιδηρῷ.

V. 700. *ΑΡΡΗΤΑ.* οὐ δυνάμενα ῥηθῆναι· ὑπερβο-
λικῶς δὲ λέγεται. (τὰ καταλαβόντα ἡμᾶς πράγματα καὶ ἃ
ἐκεῖνος ἐποίησε.) Gu. μὴ δυνάμενα λεχθῆναι βλέπω. Fl.
59. ἀπόῤῥητα (καὶ ἀδιήγητα 33.) ταῦτα τὰ παρόντα (δη-
λονότι 33.) Fl. 10. 55. τὸ ἄῤῥητον λέγεται τριχῶς· ἐπὶ
ἀγαθοῦ, ὡς τὸ ἄῤῥητος ἡ φιλανθρωπία τοῦ θεοῦ· ἐπὶ κα-
κῆς τινος πράξεως, ἧς διὰ τὸ κακὸν οὐκ ἔστι καλὸν ῥηθῆ-
ναι ταύτην· καὶ ἐπὶ πολλῆς θλίψεως, (add. ὡς) καὶ νῦν.
Fl. 59. *ΑΝΩΝΟΜΑΣΤΑ,* μὴ δυνάμενα ὀνομασθῆναι.
Gu. τὸ ἀνωνόμαστα μεγεθύνεται, ὡς τὸ ἀνώνυμος καὶ τὰ
παρ' αὐτοῦ. Fl. 59. *ΠΕΡΑ,* ἐπέκεινα. Gu. Fl. 6. 9. 17.
56. 59. 76. περαιτέρω. Fl. 10. 21. 33. ὅτε μὲν δηλοῖ
τόπον, γράφεται μετὰ τοῦ ν, ὡς τὸ πέραν τοῦ χειμάῤῥου
τῶν κέδρων, ὅτε δὲ χωρὶς τοῦ ν, δηλοῖ τὸ ἐπέκεινα. Fl. 33.

V. 701. *ΟΣΙΑ,* δίκαια. Gu. Fl. 21. 56. τὸ ὅσιον
ἐπὶ θεοῦ, τὸ δὲ δίκαιον ἐπὶ ἀνθρώπου, τὸ κηδεμονικὸν ἐπὶ

5) Junt. Basil. περαιτέρω. Ω μείζονα θαυμ. King. Musgr. deleverunt περαιτέρω. Sed hoc est haud dubie gl. v. πέρα. Ω ex ultima syllaba praecedentis verbi adhaesit.

6) Haec pars scholii in Junt. Basil. jam ante vs. 697. adscripta legebatur, ubi delevit Barn. Eamdem ad paraphrasin, verba quae sequuntur, ad scholia retulit King. inepte.

7) θεὸς e Gu. addidi, ut et sequens τοὺς ante αὐτούς.

8) προτέρου. Sic Gu. qui νοῦ omittit. Vulgo πρώτου.

ζώων. Fl. 33. *ΑΝΕΚΤΑ,* φορητά, (ὑπομονητά) πάσχο-
μεν δηλονότι. Gu. *ΔΙΚΑ ΞΕΝΩΝ,* ἡ ἔφορος τῶν ξένων.
Gu. Fl. 6. 9. 21. 56. 59. 76. ποῦ τὸ δίκαιον τὸ ἐν τοῖς
ξένοις (ἐν τῷ ξένῳ. Fl. 21. τοῦ ξενίου Διός addit 10.) ἢ
ποῦ ἡ ἐκδίκησις τῶν ξένων. Gu. a m. sec. Fl. 10. 21. ποῦ
ἐστὶν ἡ δίκη τῶν φονευόντων τοὺς ξένους. Fl. 59.

V. 702. *Ω ΚΑΤΑΡΑΤ' Α.* ἀντὶ τοῦ καταρώτατε.
(Fl. 6. 9. 21. 56. 59. 76.) τοῦτο πρὸς τὸν Πολυμήστορα
(Fl. 17. 59.) λέγει ἡ Ἑκάβη, βλέπουσα τὰς τομάς. Gu.
ΔΙΕΜΟΙΡΑΣΩ, ἔκοψας, (εἰς μέρη διεῖλες). Gu. ἔταμες.
Fl. 17. ἤγουν εἶλες. Fl. 6.

V. 703. *ΦΑΣΓΑΝΩι,* ξίφει. Gu. Fl. 6. 9. 17. 21.
56. 59. 76.

V. 704. *ΜΕΛΕΑ,* εἰς μέλη. Gu. *ΩιΚΤΙΣΑΣ.* ᾤ-
κτειρας. Fl. 10. 17. 59. ἠλέησας. Gu.

V. 705. *ΩΣ,* λίαν. Gu. ὄντως, λίαν. Fl. 17. 59.
ΠΟΛΥΠΟΝΩΤΑΤΗΝ, πολυστένακτον. Fl. 33. πολύλυπον,
(ἀθλιωτάτην). Gu.

V. 706. *ΔΑΙΜΩΝ,* κακοποιὸς θεός. Fl. 17. θεὸς, (ἡ
τύχη). Gu. *ΒΑΡΥΣ,* κακός. Fl. 21. 56. κακωτικὸς, ἐπα-
χθὴς, (πολέμιος, κακοποιὸς, ἐπώδυνος.) Gu.

V. 707. *ΑΛΛ' ΕΙΣΟΡΩ ΓΑΡ.* τὸ ἀ λ λ ὰ πρὸς
τ ο ὐ ν θ έ ν δ ε συναπτέον. τὸ δὲ ε ἰ σ ο ρ ῶ γ ὰ ρ τ ο ῦ δ ε δ ε-
σ π ό τ ο υ δ έ μ α ς Ἀ γ α μ έ μ ν ο ν ο ς, διὰ μέσου. περιφρα-
στικῶς δὲ, τὸ τοῦ δεσπότου Ἀγαμέμνονος δέμας, ἀντὶ τοῦ,
τὸν δεσπότην Ἀγαμέμνονα. [9])

V. 708. *ΤΟΥΝΘΕΝΔΕ.* κατὰ τὸ ἀπὸ τοῦδε. *ΤΟΥΝ-
ΘΕΝΔΕ,* ἕνεκα τούτου. Fl. 17. ἀπεντεῦθεν, ἀπὸ τοῦ νῦν.
Fl. 6. 10. ἀπὸ τοῦ νῦν, τοπικὸν καὶ χρονικόν. Gu. *ΣΙ-
ΓΩΜΕΝ.* Αἰδεσθεῖσαι αἱ γυναῖκες τὴν παρουσίαν τοῦ

9) Omiserunt hoc scholion King. et Musgr. Ejus prior pars, τὸ ἀ λ λ ὰ — μέσου in Gu. est a m. sec. in margine; ex eo τοῦδε pro τοῦ scripsi; reliqua a prima manu sunt inter lineas, κατὰ περίφρασιν ἀντὶ τοῦ. In Florr. 10. 33. περιφραστικῶς τὸν δεσπότην. Praeterea aliud est scholion in Gu. a m. sec. supra εἰσορῶ γὰρ scriptum: τὸ γὰρ περισσὸν κατὰ συνήθειαν τραγικήν.

Ἀγαμέμνονος, σιγῶσιν, ὡς δεσπότην αὐτῶν ὄντα. Fl. 59. *ΦΙΛΑΙ*, γυναῖκες. Fl. 56. Τρωάδες δηλονότι. Fl. 21.

V. 709 sqq. *ΕΚΑΒΗ ΤΙ ΜΕΛΛΕΙΣ*. αἱ ἑξῆς αὗται συστηματικαὶ [10]) περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϱϛη [1]). ὧν τελευταῖος, κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν. μετὰ τῶν ϱνζ [2]) κώλων τμῆμα τὸ φεῦ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. καὶ ἐπὶ τῷ τέλει κορωνίς.

V. 709—715. *ΕΚΑΒΗ, ΤΙ ΜΕΛΛΕΙΣ*. Ἑκάβη, διὰ τί βραδύνεις τὴν σὴν θυγατέρα θάπτειν ἐλθοῦσα, καθάπερ ὁ Ταλθύβιος ἀνήγγειλέ μοι, μὴ ψαύειν μηδένα τῶν Ἀργείων τῆς σῆς θυγατέρος. ἡμεῖς μὲν οὖν εἰάσαμεν, οὐδὲ ἐψαύσαμεν· σὺ δὲ βραδύνεις, ὥστε με θαυμάζειν. μέλλω δὲ ἀποστελεῖν σε· τὰ ἀπ' ἐκείνου γὰρ μέρους καλῶς ἐπράχθησαν, εἴ τι τῶν πραχθέντων καλῶς ἐστι. [3])

V. 709. *ΤΙ ΜΕΛΛΕΙΣ*, διὰ τί βραδύνεις. (ὑπερτίθῃς.) Gu. μέλλειν τὸ βραδύνειν, τὸ ἀποκεῖσθαι, καὶ τὸ φαίνεσθαι. [4]) *ΚΡΥΠΤΕΙΝ ΤΑΦΩι*, θάπτειν. Gu.

V. 710. *ΕΛΘΟΥΣ'*. τὸ ἐλθοῦσα Ἀττικὴ σύνταξις· τὸ κοινὸν ἐλθεῖν. Gu. *ΕΦ' ΟΙΣΠΕΡ*, καθά. *ΕΦ' ΟΙΣΠΕΡ*, ὡς τοῦ Ταλθυβίου ἀναγγείλαντός μοι· καὶ γὰρ ἤγγειλέ μοι. Fl. 21. ὡς τοῦ Ταλθυβίου ἀπαγγείλαντος αὐτῷ, ἃ ἡ Ἑκάβη αὐτῷ ἐν τοῖς προλαβοῦσιν εἶπε. Fl. 25. 33. καθάπερ. Gu. *ΗΓΓΕΙΛΕ ΜΟΙ*, ἀνήγγειλέ μοι. Gu.

V. 711. *ΘΙΓΓΑΝΕΙΝ*, ψαύειν. *ΘΙΓΓ'*, ἅπτεσθαι. Fl. 59.

V. 712. *ΕΩΜΕΝ*, ἀντὶ τοῦ ἐάσωμεν. *ΕΩΜΕΝ*, ἀντὶ τοῦ εἰάσαμεν (κατὰ τὸν σὸν λόγον). Gu. ἤγουν ἀφίεμεν. Fl. 17. *ΨΑΥΟΜΕΝ*, ἐψαύσαμεν. Gu. ἤγουν προς-

10) Sic emend. Barn. Junt. Basil. συστικαί.

1) King. et Musgr. ϱοθ'.

2) King. Musgr. ϱλή. Quid seqq. sibi velint, non assequor.

3) Haec omnia desunt in Junt. Basil. Barn. Addidit King, non e codice, ut opinor, sed e glossis suprascriptis et scholiis editis a se concinnata, quod e comparatis scholiis, imprimis Guelpherbytanis, patebit.

4) Eadem sunt in Gu. a m. pr.

εγγίζομεν. Fl. 17. ἐθάψαμεν. Fl. 33. τοῦτο τὸ σχῆμα ἀντιχρονία λέγεται. Fl. 21. ἄρσις καὶ θέσις σημαίνουσα τὸ αὐτό. Fl. 59.

V. 713. *ΣΧΟΛΑΖΕΙΣ*, βραδύνεις. *ΣΧΟΛ*. σχολὴ ἡ ἐπιμονὴ καὶ ἡ ἀργία, καὶ ἡ βραδύτης. ὅθεν καὶ σχολαῖον βάδισμα. ἀπὸ τούτων καὶ ῥήματα· σχολάζει ἀντὶ τοῦ ἀργεῖ, καὶ ἀντὶ τοῦ βραδύνει, καὶ ἀντὶ τοῦ ἐπιμένει. Gu. *ΘΑΥΜΑΖΕΙΝ*, ἐκπλήττειν. Fl. 56. τὴν βραδυτῆτά σου. Fl. 59. ἐκπλήττεσθαι, διὰ θαύματος ἔχειν. Gu.

V. 714. *ΗΚΩ*, ἦλθον. Gu. Fl. 17. 59. *ΗΚΩ ΑΠΟΣΤ. ΣΕ*. ἀπὸ τοῦ εἰμι αὖθις ἐκεῖ πέμψων σε. Gu. μέλλω σε ἀποστελεῖν. [5]) *ΑΠΟΣΤΕΛΩΝ*, μεταπεμψόμενος. Fl. 33. *ΤΑΚΕΙΘΕΝ*. ἤτοι [6]) τὰ ἀπὸ τοῦ στρατοῦ πρέποντα γενέσθαι, πῦρ τε λέγω ποιῆσαι, καὶ ξύλα συνάξαι, καὶ τἄλλα τὰ πρὸς τὴν ταφὴν ἐπιτήδεια ἐγεγόνει καλῶς. λοιπὸν οὖν ἐστὶ, σέ τε ἐλθεῖν, καὶ κρύψαι τὴν παῖδα ἐν τῷ τάφῳ. οὕτω τὰ ἐκεῖθεν νοητέον, καὶ οὐχ ὡς ἐκεῖσε, ὡς οἴονταί τινες. [7]) τὸ δὲ εἴ τι τῶνδ' ἐστὶ καλῶς, διὰ τοῦτο λέγει· ἐπεὶ λυπηρὸς ἐδόκει τῇ Ἑκάβῃ ὁ τῆς θυγατρὸς θάνατος, οὕτως ἀθλίως ἀνῃρημένης, ἢ ὅτι καὶ τὰ πρὸς ταφὴν παρασκευαζόμενα ἐπιτήδεια λυπεῖ τοὺς ὁρῶντας, καὶ οὐκ ἔστιν ὃς ἰδὼν ταῦτα οὐ στενάξειεν. *ΤΑΚΕΙΘΕΝ*, τὰ ἀπ' ἐκείνου τοῦ μέρους. (τὰ ἀπὸ τοῦ στρατοῦ γενέσθαι πρέποντα.) Gu. τὰ κατὰ τὴν Πολυξένην. Fl. 10. 17. 21. ἤγουν τὰ ἐν τῇ ταφῇ καλῶς ἐπράχθησαν, ἐὰν δυνατόν ἐστι καλεῖν ταῦτα τὰ πραχθέντα καλῶς. ἐπεὶ γὰρ (f. ἔστι γὰρ) σφαγὴ καὶ τάφος τι κακόν· ἤγουν ἐὰν τέως ἄξιον ὑπάρχει καλεῖν ταῦτα τὰ πραχθέντα καλῶς. Fl. 59. ἐν τῷ στρατῷ πάντα εὐτρέπισται, ἤγουν ἡ πυρά. Fl. 25.

V. 715. *ΠΕΠΡΑΓΜΕΝ' ΕΣΤΙΝ*, καλῶς ἐπράχθησαν. Gu. *ΤΩΝΔΕ*, ἅτινα ἐπράχθησαν. Fl. 17. τῶν πραχθέντων. (πεπραγμένων, τῶν μετὰ τὴν ταφήν). κολάζει τὸν λόγον. Gu. *ΕΣΤΙΝ ΚΑΛΩΣ*, ἀντὶ τοῦ ἔχων ἐστὶ

5) Sic Guelph. Vulgo μέλλων.

6) Sic Gu. Junt. Basil. ἡ. Barn. ἤ. King. ἤγουν.

7) καὶ οὐχ–τινες e Gu. addidi. Ex eodem mox scripsi λυπεῖ pro vulg. λυπῇ, et supra τὰ πρὸς τὴν ταφήν.

καλῶς. Fl. 17. γινόμενα. Fl. 59. καὶ ἐὰν εἰσὶ καὶ τὰ ἐντεῦθεν ὄντως καλῶς εὐτρεπισμένα. ἢ οὕτως· ἐὰν δοκῇ σοι, Ἑκάβη, τῶν ἐκεῖσε πραχθέντων καλῶς. Fl. 25.

V. 716—718. *ΕΑ*, ἐπὶ ἐκπλήξεως. τίς ἐστιν οὗτος ὁ ἀποθανὼν ἀνὴρ τῶν Τρώων, ὃν εἰςορῶ ἐπὶ ταῖς σκηναῖς; οὐ γὰρ πέπλοι τῶν Ἀργείων τὸ σῶμα αὐτοῦ περικαλύπτοντες συμβάλλειν διδόασί μοι.

V. 716. *ΕΠΙ ΣΚΗΝΑΙΣ*, κείμενον δηλονότι βλέπω. Fl. 17.

V. 717 sq. *ΑΡΓΕΙΩΝ*, εἶναι δηλονότι. Fl. 17. ὅτι γὰρ οὐκ ἔστιν Ἑλληνικὸς ὁ νεκρὸς, φανερόν μοι ποιοῦσιν οἱ πέπλοι μὴ ὄντες Ἑλληνικοὶ, ἀλλὰ Τρωϊκοί. Fl. 10. 33. 59. οὐ γὰρ οἱ πέπλοι οἱ περιπτύσσοντες καὶ περισκέποντες τὸ σῶμα λέγουσιν ἐμοὶ εἶναι τὸν ἀποθανόντα Ἀργεῖον, ἤγουν Ἕλληνα. Fl. 25. οὐ γὰρ οἱ πέπλοι οἱ περικαλύπτοντες τὸ σῶμα αὐτοῦ λέγουσί μοι αὐτὸν συστέλλεσθαι. Fl. 59. *ΑΓΓΕΛΛΟΥΣΙ ΜΟΙ*, διδόασί μοι συμβάλλειν, (μηνύουσιν, ἑρμηνεύουσι, δηλοῦσιν) εἶναι Τρῶον, καὶ οὐκ Ἀργεῖον δηλονότι. Gu.

V. 719—721. *ΔΥΣΤΗΝΕ*. ταῦτα καθ' ἑαυτὴν λέγει ἡ Ἑκάβη· πότερον πρὸς τὸ γόνυ προςελθοῦσα τούτου πέσω, ἢ ὑπομένω διὰ σιγῆς τὰ κακά; Ἄλλως. ὦ δύστηνε Πολύδωρε, τί δράσω ἐγὼ ἡ Ἑκάβη. ἐγκύψασα [8]) δὲ διαλέγεται πρὸς τὸν νεκρὸν Πολύδωρον, καὶ πρὸς ἑαυτήν. ὅτι γὰρ ἀποστραφεῖσα ταῦτα λέγει, δῆλον ἐξ ὧν καὶ ὁ Ἀγαμέμνων λέγει πρὸς αὐτήν· τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν ὀδύρῃ. τὸ δὲ δύστηνε ὁ Δίδυμος φησὶ πρὸς τὸν Πολύδωρον λέγειν τὴν Ἑκάβην· ὦ δύστηνε Πολύδωρε, ἐμαυτὴν γὰρ λέγω, δύστηνον ἀποκαλοῦσα σέ. τί δράσω, πότερα ἱκετεύσω Ἀγαμέμνονα, ἢ σιωπήσω; Ἄλλως. τὸ δύστηνε οἱ μὲν διὰ τὸν Πολύδωρον φασὶ τὴν Ἑκάβην λέγειν οὕτω· ὦ δύστηνε Πολύδωρε· λέγουσα γὰρ ἐγὼ [9]) ἡ Ἑκάβη σὲ δύστηνον, ἐμαυτὴν λέγω, ἢ πρὸς ἑαυτὴν οὕτω,

8) Ante haec verba in Flor. 33. leguntur ista: *ταῦτα πρὸς ἑαυτὴν λέγει ἡ Ἑκάβη, τὸ δὲ δύστηνος πρὸς τὸν Πολύδωρον ἀποτείνεται, ὡς καὶ τοῦ* (leg. *τὸ*) *μέχρι τοῦ οὐδέν τι τούτων ὧν σὺ δοξάζεις, ἄναξ* (v. 742.) *ἐγκρύψασα* (sic) *διαλέγεται κ. τ. λ.*

9) *ἐγὼ* addidi e Gu. ex quo etiam paulo ante scripsi *λέγειν οὕτω* pro *οὕτω λέγ.*

ὦ Ἑκάβη δύστηνε. λέγουσα γάρ σε δύστηνον ἐμαυτὴν λέγω. οὗ [10]) γὰρ τὸ ὄνομα ἐπαινεῖται ἢ ψέγεται, οὗτος αὐτὸς ὁ τὸ ὄνομα ἔχων ἐπαινεῖται ἢ ψέγεται. ἰστέον δὲ, ὅτι οἱ ἐκλαμβάνοντες τὸ δύστηνον πρὸς τὸν Πολύδωρον, οἱ μὲν τὸ Ἑκάβη συντάσσουσιν ὡς ἡμεῖς ἔφαμεν, οἱ δὲ στίζουσι μὲν [1]) πρὸς τὸ σέ, τὸ δὲ Ἑκάβη πρὸς τὸ κάτω συνάπτουσι, λέγοντες τὴν Ἑκάβην πρὸς ἑαυτὴν ἠρέμα κοινολογεῖσθαι τὸ πότερον προσπέσω. διὸ καὶ κρεῖττον ἐστὶ τὸ δύστηνε πρὸς τὸν Πολύδωρον, καὶ οὐ πρὸς ἑαυτὴν λέγεσθαι. *ΔΥΣΤΗΝΕ*. καθ' ἑαυτὴν λέγει τὸν λόγον ἡ Ἑκάβη μέχρι πολλοῦ, μὴ ἀποκρινομένη τῷ Ἀγαμέμνονι. Gu. ὦ ἄθλιε Πολύδωρε. Fl. 33. *ΛΕΓΩ*, ὀνομάζω. Fl. 33.

V. 720. *ΕΚΑΒΗ*. ὥςπερ ἄλλη τις οὖσα λεγομένη Ἑκάβη. Gu. *ΠΡΟΣΠΕΣΩ ΓΟΝΥ*, πρὸς τὸ γόνυ προςελθοῦσα πέσω. (κατὰ διάλυσιν, ὅτι προςπίπτω δοτικῇ συντάσσεται.) Gu. τοῦτο ἀντίπτωσίς ἐστι. Fl. 21. ὑπέρβατον. Fl. 33.

V. 722. 723. *ΤΙ ΜΟΙ ΠΡΟΣΩΠΩι*. ἀπορούσης τῆς Ἑκάβης καθ' ἑαυτὴν, ἆρα προσπέσω τῷ Ἀγαμέμνονι, καὶ βοηθεῖν πείσω, ἢ οἴσω τὰ κακὰ ἐν σιγῇ, ἰδὼν ὁ Ἀγαμέμνων οὕτως αὐτὴν ἐνδοιάζουσαν, φησὶ, τί ἐγκλίνασα καὶ στρέψασα τὸ σὸν νῶτον ἐμοὶ θρηνεῖς, καὶ οὐ στρέψασα πρόσωπον πρὸς πρόσωπον λέγεις τὸ πραχθέν; τίς ἐστιν οὗτος ὁ νεκρός; τὸ δὲ ἐμοὶ καὶ τῷ προσώπῳ, καθ' ὅλον καὶ μέρος εἴρηται, τὸ μὲν ἐμοὶ, ὅλον, τὸ δὲ προσώπῳ, μέρος. μέρος γὰρ τοῦ παντὸς σώματος τὸ πρόσωπον. [2])

V. 722. *ΤΙ ΜΟΙ ΠΡΟΣΩΠΩι*, διὰ τί ἐν τῷ προςώπῳ μου κλίνασα ἤγουν τρέψασα τὸν σὸν νῶτον. Gu. τί τὸ πρὸς νῶτον πρόςωπον τὸν νῶτον δοῦσα (leg. τί τὸ πρόςωπον πρὸς τὸν νῶτον δ.) ὀδύρῃ καὶ θρηνεῖς; ἀντίπτωσις. τί τὸ πρόςωπόν σου κρύβεις καὶ στρέφεις ὀπίσω εἰς τὴν ῥάχιν, καὶ οὐ λαλεῖς. Fl. 33. *ΕΓΚΛΙΝΑΣΑ*, ὑποκύψασα. Fl. 59.

10) *οὗ*. Sic Gu. prout jam emend. King.

1) *μὲν* et paulo post *ἠρέμα* addidi e Gu.

2) Idem est in Gu. cum hac varietate: *ἆρα προςπέσει* (sic) — *βοηθεῖν αὐτῇ δεήσεται, ἢ φέρει — τρέψασα τὸν* (sic etiam King.) *σὸν νῶτον — τρέψασα πρ.*

V. 723. *ΟΔΥΡΗι.* τὸ ὀδυρῇ ἀντὶ τοῦ ὀδύρῃ, ὁ μέλλων ἀντὶ ἐνεστῶτος. ὁ γὰρ ἐνεστὼς μακρὸν ἔχει τὸ δυ, καὶ οὐ συμφωνεῖ τῷ μέτρῳ. Gu.

V. 724. *ΑΛΛ' ΕΙ ΜΕ.* καθ' ἑαυτὴν καὶ ταῦτα λέγει. Fl. 21. ἀλλ' ἐὰν εἴπω τοῦτον τὰ κακὰ τὰ ἐμὰ, ἢ κρατήσω τὸ γόνυ τούτου, φοβοῦμαι, μὴ ἡγησάμενος ἐμὲ εἶναι ποτὲ πολεμίαν, νῦν δὲ δούλην, ἀποδιώξει με τῶν γονάτων αὐτοῦ, καὶ ἀποδιωχθεῖσα προσθήσω ἐμαυτῇ πλειοτέραν θλίψιν. Fl. 59.

V. 725. *ΑΠΩΣΑΙΤ'*, ἀποδιώξει, εὐκτικὸν ἀντὶ ἐνεργητικοῦ. Fl. 59. ἀποδιώξει ἐμὲ δηλονότι. Fl. 21. *ΑΛΓΟΣ*, λύπην, (τὸ ἐκ τοῦ ἀπωσθῆναι.) Gu. *ΠΡΟΣΘΕΙΜΕΘ' ΑΝ*, τῷ ἄλγει δηλονότι. (τῷ περὶ τοῦ παιδὸς ἄλγει.) Gu. τῷ ἄλγει δηλονότι, ἤγουν τῇ λύπῃ. Fl. 6. 9. 21. 56. 59. 76. ἀλλ' ἐὰν ἀπώσαιτο καὶ ἀποδιώξῃ [καὶ] ὁ Ἀγαμέμνων, ἡγούμενος ἐμὲ ἐχθρὰν, προσθείμεθα καὶ προσθήσομεν ἄλγος ἐν τῷ ἄλγει, ἤγουν λύπην περισσοτέραν. προσθείμεθα κανόνισον· τίθημι, ὁ μέλλων θήσω, ὁ β ἀόριστος ἔθην, ὁ μέσος ἐθέμην, καὶ τὸ εὐκτικὸν θείμην θεῖο θεῖτο, τὸ πληθυντικὸν θείμεθα καὶ προσθείμεθα. Fl. 25.

V. 726. *ΚΛΥΩΝ*, ἀκούων (τί πάσχεις) ἐκ τοῦ κλύω τὸ ἀκούω γίνεται καὶ τὸ περίκλυτος, ὁ ἐξάκουστος ἤγουν ὁ περισσῶς ἀκουόμενος. Gu.

V. 727. *ΕΞΙΣΤΟΡΗΣΑΙ*, μαθεῖν (γνωρίσαι, γνῶναι). Gu. *ΟΔΟΝ*, μέθοδον, (τὴν θέλησιν, τὸν τρόπον). Gu. *ΒΟΥΛΕΥΜΑΤΩΝ*. βούλημα, τὸ θέλημα· βούλευμα δὲ τὸ ἀπὸ τῆς βουλῆς ἤγουν σκέψεως κατάντημα. Gu. *ΟΔΟΝ ΒΟΥΛ.* τὰ σὰ βουλεύματα περιφραστικῶς. Gu.

V. 728. 729. *ΑΡ' ΕΚΛΟΓΙΖΟΜΑΙ.* εἰποῦσα ἄνωθεν, ὡς πολεμίαν καὶ δούλην ἡγούμενος αὐτὴν Ἀγαμέμνων, τὴν ταύτης ἀπώσαιτο δέησιν, νῦν φησὶν, ἆρα ἐκλογίζομαι, καὶ ὑπολαμβάνω, τὰς φρένας τοῦδε πρὸς τὸ δυσμενὲς, καὶ τὸ ἐχθρὸν, μᾶλλον ἢ τὸ φιλάνθρωπον, οὐκ ὄντος δυσμενοῦς καὶ ἐχθροῦ. ἐκ δὲ τοῦ οὕτω διαπορεῖν, φαίνεται ἑαυτὴν μὲν [3]) μεμφομένη, ὡς οὐ τἀληθῆ περὶ ἐκείνου ὑπολαμβάνουσαν, ἐκεῖνον δὲ τῆς αἰτίας ἀπολύουσα. Ἄλλως. *ΑΡ'*

3) μὲν e Gu. recepi, e quo etiam μεμφομένη (quod jam habet Barnes.) οὐ τἀληθῆ et ἀπολύουσα scripsi. Pro διαπορεῖν King. male διαφορεῖν.

ΕΚΛΟΓΙΖΟΜΑΙ. [4]) ἐὰν στίξωμεν εἰς τὸ τοῦδε, νοητέον οὕτως· ἆρα χαλεπὰς καὶ ἐχθρὰς λογίζομαι τὰς φρένας τοῦ Ἀγαμέμνονος, οὐκ ὄντος αὐτοῦ δυσμενοῦς, ἵν' ᾖ τὸ πᾶν [5]) περὶ Ἀγαμέμνονος. ἢ εἰς τὸ μᾶλλον στικτέον, ἵν' ᾖ οὕτως· ἆρα πρὸς τὸ δυςμενὲς μᾶλλον ῥέπω, τούτου ὄντος οὐχὶ δυςμενοῦς τὰς φρένας.

V. 728. *ΕΚΛΟΓΙΖΟΜΑΙ*, ἀντὶ τοῦ συλλογίζομαι, ἤγουν νοῶ. Gu. a m. pr. Fl. 6. 9. 21. 56. 59. 76. ὑπολαμβάνω, διαλογίζομαι, ἔξω τοῦ νοὸς λογίζομαι, (Fl. 33. ἔξω τοῦ νοὸς κρίνω) ἔξω τοῦ καθήκοντος λογίζομαι καὶ τάττω, ὑποπτεύω. ἆρα παραλογίζομαι καὶ ἐκλαμβάνω τοῦτον δυςμενῆ. Gu. a m. sec. ἆρα χαλεπὰς καὶ ἐχθρὰς λογίζομαι τούτου τάς . . (φρένας add. 10.) Fl. 33. *ΔΥΣΜΕΝΕΣ*, ἐχθρῶδες. Fl. 21. Gu. πρὸς τὸ ἐχθρόν. Fl. 59. ἔχθος. Fl. 56. χαλεπόν. Fl. 33. Ἰδοῦσα ἡ Ἑκάβη τὸν Ἀγαμέμνονα πράως ὁμιλοῦντα ταύτην (leg. αὐτῇ) καὶ ὡς εἰπεῖν συλλυπούμενον λέγει· ἆρα ὑπολαμβάνω μᾶλλον τὰς φρένας τοῦ Ἀγαμέμνονος εἶναι πρὸς τὸ δυςμενὲς καὶ τὶ ἐχθρωδέστερον, μὴ ὄντος τοῦ Ἀγαμέμνονος οὐχὶ ἐχθροῦ, ἀλλὰ καὶ μᾶλλον φίλου; Fl. 59.

V. 730. 731. *ΕΙ ΤΙ ΜΕ ΒΟΥΛΕΙ.* εἰ μηδὲν ἀπὸ τούτων βούλει εἰδέναι με, συμφωνεῖς ἐμοί· καὶ γὰρ οὐδ' ἐγὼ βούλομαι ἀκούειν.

V. 730. *ΤΩΝΔΕ*, τῶν κακῶν. Fl. 56. *ΜΗΔΕΝ*, μήτι. ὄνομα γάρ ἐστιν ἐνταῦθα τὸ μηδέν. Gu. Fl. 6. 9. 21. 56. 59. 76.

V. 731. *ΕΣ ΤΑΥΤΟΝ*, (τὸ ἓν καὶ) ὅμοιον· ἤγουν ὅπερ θέλεις, ἐκεῖνο θέλω. (ἥκεις καὶ ἔρχῃ σὺ εἰς τὴν αὐτὴν γνώμην ἐμοί.) Gu. ἤγουν τὰ ἴσα μοι φρονεῖς· καὶ γὰρ οὐδὲ ἐγὼ θέλω κλύειν· ἢ εἰς τὴν αὐτὴν γνώμην ἥκεις ἐμοί. Fl. 25. εἰ θέλεις ἐμὲ μηδέν τι τούτων γινώσκειν, εἰς τὸ ὅμοιον ἐμοὶ ἦλθες· καὶ γὰρ οὐδὲ ἐγὼ θέλω ἀκούειν. Fl. 59.

V. 732—736. *ΟΥΚ ΑΝ.* οὐκ ἂν δυναίμην χωρὶς τοῦδε βοηθεῖν τοῖς ἐμοῖς τέκνοις. διατί στρέφω ἐπὶ νοῦν, καὶ διαλο-

4) Hoc scholion neglexerunt King. et Musgr.

5) Haec usque ad φρένας sunt etiam in Flor. 10. sic: καὶ ᾖ ὁ λόγος ἅπας περὶ Ἀγ. ἢ εἰς τὸ μ. κ. τ. λ.

γίζομαι τάδε; ἀνάγκη τολμᾶν, ἀντὶ τοῦ ἐπιχειρεῖν, εἰπεῖν. κἂν τύχω βοηθείας δηλονότι, κἂν μὴ τύχω. ὦ Ἀγαμέμνον, ἱκετεύω σε πρὸς τῶνδε τῶν γονάτων, καὶ πρὸς τοῦ σοῦ γενείου, καὶ πρὸς τῆς δεξιᾶς χειρὸς δηλονότι, τῆς εὐτυχοῦς καὶ εὐδαίμονος.

V. 732. *ΟΥΚ ΑΝ ΔΥΝΑΙΜΗΝ.* δυνηθῶ. Fl. 59. οὐ μὴ δυνηθῶ. Fl. 56. καθ' ἑαυτὴν λέγει ἡ Ἑκάβη, οὐ μέλλω δυνηθῆναι χωρὶς τοῦ Ἀγαμέμνονος βοηθῆσαι τοῖς τέκνοις μου, ἤγουν φονεῦσαι τὸν Πολυμήστορα. Fl. 59. *ΤΙΜΩΡΕΙΝ*, βοηθεῖν. τιμωροῦμαι τὸ ἁπλῶς κολάζω καὶ ἀνταμύνομαι· καὶ τιμωρῶ τὸ ἁπλῶς βοηθῶ καὶ τὸ ἐκδικῶ. τὰ πρῶτα αἰτιατικῇ, τὰ δεύτερα δοτικῇ. Gu. τιμωρῶ τὸ βοηθῶ δοτικῇ συντάσσεται, τιμωρῶ δὲ τὸ κολάζω αἰτιατικῇ. Fl. 25. 33. ἀπεκδικεῖν. Fl. 21.

V. 733. *ΤΙ ΣΤΡΕΦΩ ΤΑΔΕ;* διὰ τί. ἐπὶ νοῦν δηλονότι (Fl. 6. 9. 21. 56. 59. qui add. σκέπτομαι), ἢ στρέφω κατὰ νοῦν, ἢ στρέφω ἀπὸ τοῦ Ἀγαμέμνονος, κινοῦμαι πρὸς ἐκεῖνον. (τί τῇδε κἀκεῖσε ταῦτα φέρω, τί σκέπτομαι καὶ λογίζομαι, ἀναπεμπάζω καὶ κατὰ νοῦν περιφέρω.) Gu. τί σκέπτομαι λάθρα, καὶ οὐ λέγω ταῦτα. Fl. 59.

V. 734. *ΤΟΛΜΑΝ*, ἐπιχειρεῖν (τοῦτο τὸ εἰπεῖν. ὑπομένειν λέγειν. ἀνάγκη τολμᾶν καὶ θαῤῥεῖν προσπέσαι τοῖς γόνασι τοῦ Ἀγαμέμνονος, κἂν ἀκούσῃ μου κἂν οὔ.) τολμᾶν κατὰ κοινοὺς τὸ ὑπὲρ δύναμιν ἐπιχειρεῖν, κατὰ δὲ τοὺς ποιητὰς τὸ τὰ τυχόντα ἐπιχειρεῖν καὶ τὸ ὑφίστασθαι. Gu. ἀνάγκη ὑπάρχει τολμῆσαί με εἰπεῖν ταῦτα πρὸς τὸν Ἀγαμέμνονα, κἂν τύχω βοηθείας κἂν μὴ τύχω. Fl. 59. *ΑΝΑΓΚΗ*, ἀπαραίτητον ἐστίν. (ὑπάρχει. Fl. 59.) Gu. ἐμὲ ὁμιλεῖν τούτῳ δηλονότι. Fl. 21.

V. 735. *ΙΚΕΤΕΥΩ*, ἤγουν παρακαλῶ σε. Fl. 17. *ΤΩΝΔΕ*, πρὸς (ἁπτομένη. ἕνεκα). Gu. οἱ Ἕλληνες ὅταν ἔμελλον παρακαλέσαι τινὰ, εἰ μὲν ἐκάθητο, πρῶτον μὲν ἠσπάζοντο παρακαλῶτες (— λοῦντες) τὸ γόνυ αὐτοῦ. εἶτα τὴν χεῖρα, εἶτα ἐκράτουν τῆς γενειάδος αὐτοῦ, ἵνα διὰ μὲν τοῦ γόνατος βαδίσῃ ἕνεκεν τῆς αὐτοῦ βοηθείας πρὸς τὸν βασιλέα, διὰ δὲ τῆς χειρὸς, ἵνα διὰ τῆς αὐτοῦ βασιλείας χειραγωγήσῃ αὐτὸν πρὸς τὰ χρήζοντα, διὰ δὲ τῆς γενειάδος, ἐπεὶ ὁ νοῦς ἀφανὴς καὶ ἀκατάσχετός ἐστιν, ἀντὶ νοῦ τὴν γενειάδα κατεῖχον, ὡς μὴ ἐπιλήσμων τῆς ὑπομνήσεως

τάχα γένηται. Fl. 25. γενειάδος καὶ δεξιᾶς καὶ γονάτων ἥπτοντο οἱ παλαιοὶ καθικετεύοντες, διὰ τῆς γενειάδος τὸ τίμιον ὑπεμφαίνοντες, διὰ τῆς δεξιᾶς τὴν πρᾶξιν, διὰ τῶν γονάτων τὴν κίνησιν, πραγματικῶς, οἱονεὶ λέγοντες, κινηθεὶς πρᾶξον ἐντίμως εἰς ἐμέ. Gu.

V. 736. *ΕΥΔΑΙΜΟΝΟΣ*, εὐτυχοῦς, (βασιλικῆς). Gu. εὐδαίμων γὰρ ἦν, ὢν ἄναξ πάντων Ἑλλήνων. Fl. 21.

V. 737. 738. *ΤΙ ΧΡΗΜΑ.* τί πρᾶγμα ζητοῦσα, ἱκετεύεις δηλονότι; ποιῆσαι τὸν τῆς ζωῆς σου χρόνον ἐλεύθερον; ῥάδιον ἔστι σοι, τοῦτο δηλονότι.

V. 737. *ΤΙ ΧΡΗΜΑ ΜΑΣΤΕΥΟΥΣΑ.* τὸ μαστεύουσα μεταφορικῶς ἀπὸ τῶν βρεφῶν τῶν τοὺς μαστοὺς τοῖς χείλεσιν ἀνιχνευόντων. Gu. τί χρῆμα (ποῖον πρᾶγμα 59.) ἐπιζητοῦσα; μὴ οὖν ἐλεύθερον· ἐκ μεταφορᾶς τοῦ μαστοῦ. Fl. 33. ἆρα ζητεῖς ποιῆσαι τὴν σὴν ζωὴν ἐλευθέραν; μαστεύω τὸ ζητῶ καὶ παρακαλῶ· ἡ μεταφορὰ ἀπὸ τῶν νηπίων τῶν τὴν μητρὸς ἐπιζητοῦσαν μαστήν. Fl. 25. ἀμοιβαῖοι οἱ παρόντες στίχοι, διὰ δὲ τὴν γλυκύτητα συγκόπτει τοὺς λόγους τῶν προσώπων κατὰ μικρόν. Fl. 59. *ΜΩΝ*, ἄρα. Fl. 17. ἆρα. Gu. μὴ οὖν μαστεύεις, (Gu.) ἆρα θέλεις. Fl. 6. 9. 21. 56. 59. 76. *ΕΛΕΥΘΕΡΟΝ*, ἀκαταδούλωτον. Fl. 59. δοῦλαι γὰρ ἦσαν τῶν Ἑλλήνων αἱ αἰχμαλωτισθεῖσαι. Gu.

V. 738. *ΑΙΩΝΑ*, τὸν τῆς ζωῆς χρόνον, ἤγουν τὸν ἅπαντα βίον. (αἰὼν ὁ χρόνος καὶ ἡ ἑνὸς ἑκάστου ζωή.) Gu. *ΘΕΣΘΑΙ*, ποιῆσαι (ποιήσασθαι). Gu. *ΡΑΔΙΟΝ*, εὔκολον. Fl. 17. 59. Gu. a m. sec. *ΕΣΤΙ ΣΟΙ*, τὸ τυχεῖν τούτου δηλονότι. Fl. 21. ποιῆσαί σοι τοῦτο. Fl. 59.

V. 739. 740. *ΟΥ ΔΗΤΑ.* οὐδαμῶς βούλομαι δηλονότι ἐλευθερωθῆναι, τοὺς κακοὺς δὲ κολάζουσα, τὸν ἅπαντά μου βίον θέλω δουλεῦσαι.

V. 739. *ΟΥ ΔΗΤΑ*, οὐδαμῶς θέλω τοῦτο. Fl. 59. μαστεύω τοῦτο δηλονότι. Fl. 21. *ΤΙΜΩΡΟΥΜΕΝΗ*, κολάζουσα. Gu. τιμωρῶ τὸ βοηθῶ προφέρεται ἐνεργητικῶς, τιμωροῦμαι δὲ τὸ κολάζω παθητικῶς. Fl. 33.

V. 740. *ΔΟΥΛΕΥΣΑΙ*, δούλη εἶναι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. δούλη ἔσεσθαι. Fl. 59.

V. 741. *ΚΑΙ ΔΗ ΤΙΝ' ΗΜΑΣ.* καὶ δὴ εἴς τινα

ἐπάρκειαν καὶ βοήθειαν καλεῖς ἡμᾶς, ἤγουν ἐμέ; *ΚΑΙ ΔΗ ΤΙΝ'*, καὶ διὰ τίνα βοήθειαν λέγει ἡμᾶς ἐνταῦθα, τί θέλουσα. Fl. 59. τὸ εἰς ἀναστροφή, εἰς τίνα βοήθειαν ἡμᾶς καλεῖς. Gu.

V. 742. 743. *ΟΥΔΕΝ ΤΙ.* οὐδέν τι τούτων, ὧν σὺ ὑπονοεῖς, ἄναξ, θέλω δηλονότι. ὁρᾷς τόνδε τὸν νεκρὸν, καθ' οὗ στάζω δάκρυον;

V. 742. *ΟΥΔΕΝ ΤΙ.* εἰς οὐδέν τι τούτων καλῶ σε, ὦ ἄναξ, ὧν ὑπονοεῖς· ἃ ἔμελλεν εἰπεῖν, διὰ δὲ τὴν προηγησαμένην πτῶσιν εἶπεν ὧν. Fl. 17. αἰτῶ δηλονότι, ἐπιθυμῶ, τὸ ζητεῖν με ἐλευθέραν ζωήν. Gu. *ΔΟΞΑΖΕΙΣ*, ὑπονοεῖς, (ὑπολαμβάνεις). δοξάζει ἀντὶ τοῦ τιμᾷ, καὶ ἀντὶ τοῦ ὑπολαμβάνει, καὶ ἀντὶ τοῦ στέργει, οἷον τὰ τῶν Ἰουδαίων δοξάζει. Gu.

V. 743. *ΟΥ*, ὑπέρ. Fl. 10.

V. 744. *ΟΡΩ.* τὸ μέντοι μέλλον, ἤτοι ὃ μέλλεις περὶ τούτου εἰπεῖν, οὐ δύναμαι νοῆσαι. *ΤΟ ΜΕΝΤΟΙ Μ.* ἤγουν τί (ἥτις Gu.) ἐστιν ἡ δέησις περὶ τούτου (ἡ ὑπὲρ τούτου τοῦ νεκροῦ Gu.) οὐ δύναμαι νοῆσαι. Fl. 6. Gu. τὸ δὲ μέλλον, διὰ ποῖον τρόπον ἐφονεύθη, οὐ δύναμαι νοῆσαι. Fl. 59. ῥηθήσεσθαι, (ὃ περὶ τούτου μέλλεις εἰπεῖν. τὸ μέλλον καὶ ἐσόμενον διαφέρει, παρότι τὸ μὲν ἀμφίβολον, τὸ δὲ ἀναμφίβολον). Gu. *ΜΑΘΕΙΝ*, νοῆσαι (ἢ εἰπεῖν. γρ. φράσαι.) Gu.

V. 745. *ΤΟΥΤΟΝ ΠΟΤ'.* τοῦτον ἔτεκον ποτὲ, καὶ ἔφερον ὑπὸ τῆς ζώνης, τουτέστιν ἐν γαστρὶ εἶχον. καὶ ἔφερον ζώνης ὕπο, ἀντὶ τοῦ ὑπὸ κάτω τῆς ζώνης ἐβάσταζον ποτὲ τοῦτον, καὶ ἔτεκον ὑπὸ τῆς ζώνης, ὅμοιον τῷ ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος κρύπτοντα [τὴν] χεῖρα, καὶ τῷ περᾷ γὰρ ἤδ' ὑπὸ σκηνὴν πόδα. *ΕΤΕΚΟΝ ΚΑΦΕΡΟΝ.* πρωθύστερον, (ὑστερολογία) ἀντὶ τοῦ ὑποκάτω τῆς ζώνης ἐβάσταζον ποτὲ καὶ ἔτεκον. Gu. πρωθύστερον ποίησον, ἵνα γένηται σαφές· τοῦτον ποτὲ ἔφερον ζώνης ὕπο καὶ ἔτεκον. Καὶ ἄλλως. τοῦτον ποτὲ εἶχον κατὰ γαστρὸς ὑπὸ τῆς ζώνης (τὴν ζώνην. 33.) καὶ εἶτα (om. 33.) ἐγέννησα αὐτόν. (παρὰ σοῦ. τί ἄρα ἔστι οὐκ ἔχω ὑπονοῆσαι γαστρὸς ὑπὸ ζώνης 33.) Fl. 10. 21. 25. 33.

V. 746. *ΕΣΤΙ ΔΕ ΤΙΣ.* ἔστι δὲ, ὦ τλῆμον, οὗτος τὶς τῶν σῶν παίδων; *ΤΙΣ*, ποῖος. τὸ τί ἐπὶ τῆς οὐσίας

τίθεμεν ἐρωτῶντες, οἷον τί ἐστι τόδε; τὸ δὲ τίς ἐπὶ τῶν ὀνομάτων, οἷον τίς ἐστιν ὧδε; Gu. τίς δὲ καὶ ποῖος ἀπὸ τῶν σῶν τέκνων ὑπάρχει οὗτος, ὦ ἀθλία; Fl. 59.

V. 747. *ΟΥ ΤΩΝ ΘΑΝΟΝΤΩΝ*, οὐκ ἔειν [6]) ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου τῶν θανόντων ἐν Ἰλίῳ. *ΟΥ.* λείπει τὸ ναί. Fl. 33. *ΥΠ' ΙΛΙΩι*, ἐντὸς τῆς Ἰλίου. ἡ ὑπὸ δηλοῖ τὸ κάτω, οἷον ὑπὸ τὸ δένδρον. δηλοῖ δὲ καὶ τὸ ἐντὸς, ὡς ἐνταῦθα καὶ παρὰ Θουκυδίδῃ· ὑπὸ νύκτα ἔφυγον οἱ πολέμιοι. (ὑπὸ μετὰ δοτικῆς κατὰ Ἀττικούς· κατὰ δὲ κοινοὺς γενικῇ καὶ αἰτιατικῇ.) Gu.

V. 748. *Η ΓΑΡ.* Ἆρα ἔτεκες καὶ ἄλλόν τινα παρὸ [7]) ἐκείνους; *Η* ἐρωτηματικὸς ὁ η σύνδεσμος. ἆρα γάρ τινα ἄλλον ἐγέννησας παῖδα παρὸ (Florr. παρ') ἐκείνους (ἐκείνῳ 33.) ἐν (om. 33.) ἑτέρῳ τινί; Fl. 21. 25. 33. Gu. ἆρα, ὦ γύναι, ἐκείνους μόνους ἔτεκες, ἢ καὶ ἄλλον τινά; Fl. 59.

V. 749. *ΑΝΟΝΗΤΑ ΓΕ.* ἀνωφελῶς, ὡς φαίνεται, ἔτεκον καὶ τόνδε, ὃν ὁρᾷς. *ΑΝΟΝΗΤΑ*, ὡς φαίνεται, ἀνωφελῶς ἐγέννησα τοῦτον, ὃν βλέπεις, μηδεμίαν ὠφέλειαν παρέχοντά μοι. Fl. 59.

V. 750. *ΠΟΥ Δ' ΩΝ.* ποῦ δὲ ἦν, ἡνίκα ἐφθείρετο ἡ πόλις.

V. 751. *ΠΑΤΗΡ ΝΙΝ.* ὁ πατὴρ ἐξέπεμψε, φοβούμενος, μὴ καὶ αὐτὸς ἀποθάνῃ, ὥςπερ δηλονότι οἱ ἄλλοι, ἁλούσης τῆς Τροίας. *ΟΡΡΩΔΩΝ.* ὀῤῥωδῶ τὸ φοβοῦμαι, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων, τῶν τὴν οὐρὰν συστελλόντων διὰ φόβον ἐπὶ τὸν πρωκτὸν καὶ ἐν τοῖς αἰδοίοις δεσμοῦσι. Fl. 25. ἡ μεταφορὰ ἀπὸ τῶν κυνῶν τῶν φοβουμένων καὶ τῷ πρωκτῷ τὴν οὐρὰν βαλλόντων. Fl. 10.

V. 752. *ΠΟΙ ΤΩΝ ΤΟΤΕ.* ποῦ ἐξέπεμψε δηλονότι, χωρίσας μόνον τῶν τότε ὄντων τέκνων. *ΠΟΙ*, ποῦ ἐξαπέστειλεν αὐτὸν μόνον ἀποχωρίσας ἀπὸ τῶν ἄλλων τέκνων αὐτοῦ. Fl. 59. τοῦτον τὸν στίχον ἡ Ἑκάβη ἔμελλεν εἰπεῖν· τὸ γὰρ ποῖ μόνον μέλλει τῷ Ἀγαμέμνονι, ἀλλ' ἵνα σώσῃ ὁ στίχος καὶ τὴν ἔννοιαν τῆς Ἑκάβης. Gu. a m. 2.

6) King. Musgr. οὐκ ἔστιν, quod Gu. suprascriptum habet.

7) Junt. πασὸ, e quo Basil. fecit πᾶς ὁ, Barn. πῶς ὁ, King. παρά. παρὸ a m. pr. suprascr. habet Gu. et a sec. m. in paraphrasi hujus v.

V. 753. 754. *ΕΣ ΤΗΝΔΕ Χ.* εἰς τήνδε τὴν Χεῤῥόνησον, ὅπου εὑρέθη θανών. πρὸς ἄνδρα, τὸν Πολυμήστορα δηλονότι, ὃς ἄρχει τῆσδε τῆς χθονός; *ΠΡΟΣ ΑΝΔΡ'.* καὶ οὗτος ὁ λόγος τῆς Ἑκάβης. Gu. a m. 2. *ΑΡΧΕΙ* ἀντὶ τοῦ βασιλεύει, καὶ ἀντὶ τοῦ προηγεῖται, ὡς τὸ ἄρχει φιλίας, ἤγουν πρῶτος αἰνεῖται εἰς φιλίαν· ἄρχεται δὲ τοῦ ἔργου παθητικῶς ἀντὶ τοῦ ἀρχὴν τίθησι τῷ ἔργῳ, καὶ ἄρχεται ἀντὶ τοῦ ὑπ' ἀρχὴν ἐστὶν ἤγουν ἐξουσιάζεται. Gu. a m. pr.

V. 755. *ΕΝΤΑΥΘ'.* ναὶ, ἐνταῦθα ἐπέμφθη ὁ Πολύδωρος, φύλαξ χρυσοῦ πικροτάτου. πικρότατον λέγει τὸν χρυσὸν, ὡς αἴτιον τῷ Πολυδώρῳ τοῦ φονευθῆναι γενόμενον· αἴτιος γὰρ γέγονε πικρίας τῷ παιδὶ ὁ χρυσός. [8])

V. 756. *ΘΝΗΣΚΕΙ ΔΕ.* ἀντὶ τοῦ ἔθανε παρὰ τίνος, καὶ τίνος θανάτου τυχών.

V. 757. *ΤΙΝΟΣ.* ὑπὸ τίνος ἄλλου, ἔθανε δηλονότι. ὁ Θρᾷξ ὁ φίλος ὤλεσεν αὐτόν. *ΞΕΝΟΣ,* ὁ νομιζόμενος φίλος. Fl. 10. ξ. ὁ προςδεχθεὶς καὶ ὁ προςδεξάμενος, ὡς ἐνταῦθα. Gu.

V. 758. *Ω ΤΛΗΜΟΝ.* τοῦτο δύναται νοηθῆναι καὶ πρὸς τὴν Ἑκάβην διὰ τὸν φόνον τοῦ παιδὸς, πρός τε τὸν Πολυμήστορα, ὡς χρυσοῦ ἕνεκα φονέα γενόμενον, καὶ πρὸς τὸν Πολύδωρον, ὡς ἀδίκως φονευθέντα. *Ω ΤΛΗΜΟΝ,* ἀθλία Ἑκάβη, ἣ [9]) ὑπομονητικὴ ἐν τοῖς δεινοῖς. ἢ τὸν Πολυμήστορα τλήμονα καὶ ὑπομονητικὸν λέγει, διὰ τὸ κέρδος ἀσεβείᾳ κοινωνήσαντα. *ΗΡΑΣΘΗ,* ὁ Πολυμήστωρ. *ΗΡΑΣΘΗ,* ἐπεθύμησε, καὶ διὰ τοῦτο ἔκτεινε δηλονότι. Fl. 21.

V. 759. *ΤΟΙΑΥΤ'.* καὶ τοιαῦτα ἐποίησεν, ἀφ' οὗ τὴν συμβᾶσαν βλάβην ἔγνω τῶν Φρυγῶν, ἤτοι τῶν Τρώων. οἱ γὰρ νεώτεροι τὴν αὐτὴν Τροίαν καὶ Φρυγίαν φασίν. *ΤΟΙΑΥΤ'.* ναὶ οὕτως (ἐποίησεν, ἔπραξεν, εἰργάσατο). Gu. *ΦΡΥΓΩΝ.* ὅτι οἱ νεώτεροι τὴν αὐτὴν Φρυγίαν καὶ Τροίαν φασί. τὸ δὲ τοιαῦτα πληθυντικῶς ἀντὶ τοῦ ἐστι. Fl. 33.

8) Priora πικρότατον – γενόμενον in Gu. a m. sec. scripta sunt in margine; posteriora a m. pr. inter lineas.

9) Haec e Gu. addidi. Vulgo nihil nisi ὦ ὑπομον.

V. 760. *ΕΥΡΕΣ.* Ποῦ δὲ εὗρες αὐτόν; ἢ τίς ἔφερε νεκρόν; *ΕΥΡΕΣ.* τὸ εὑρεῖν ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν ζητουμένων λέγεται, τὸ δὲ ἐντυχεῖν ἐπὶ τῶν ἐξαίφνης καὶ ἀπροςδοκήτων. Gu.

V. 761. *ΗΔ'.* ἥδε ἡ θεράπαινα ἤνεγκεν ἐντυχοῦσα ἐπὶ τοῦ αἰγιαλοῦ.

V. 762. *ΤΟΥΤΟΝ ΜΑΤΕΥΟΥΣ'.* τοῦτον ζητοῦσα, ἢ ἐνεργοῦσα ἄλλην ἐνέργειαν. *ΠΟΝΟΥΣ',* Ἀττικῶς, ὡς τὸ γράφω γραφὴν καὶ λέγω λόγον, οὕτω καὶ πονοῦσα πονον. Gu. Fl. 28.

V. 763. *ΛΟΥΤΡ' ΩιΧΕΤ' ΟΙΣ.* ἐπορεύθη κομίσασα ὕδατα, λουτρὰ τῆς Πολυξένης. *ΛΟΥΤΡ' ΩιΧ.* ἤγουν ὕδατα ἐπὶ λουτρῷ ἐπορεύθη μέλλουσα οἴσειν (κομίσουσα [μέλλουσα κομίσαι] ἀπὸ τῆς θαλάσσης Gu.) χάριν τῆς Πολυξένης. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὕδωρ ὤφειλεν εἰπεῖν εἰς λουτρὰ τῆς Πολυξένης. διότι δὲ τὸ ὕδωρ διὰ τὰ λουτρὰ τῆς Πολυξένης ἔχρῃζον, αὐτὸ εἶπε λουτρά. Fl. 59. λουτρὰ τὰ ὕδατα, ὁ μισθὸς ὁ ἐπὶ τοῖς λουτροῖς διδόμενος, καὶ αὐτὸ τὸ κτίσμα. Gu.

V. 764. *ΚΤΑΝΩΝ ΝΙΝ.* κτανὼν αὐτὸν, ὡς φαίνεται, ἔῤῥιψεν ὁ φίλος. *ΕΚΒΑΛΛΕΙ,* ἀντὶ τοῦ ἐξέβαλεν, ἤγουν ἔῤῥιψεν. ἁρμοδία ἡ λέξις ἐπὶ θανάτου· καὶ ἔκβλητον γὰρ λέγεται, ὅπερ ῥιφῇ ὑπὸ θαλάσσης. Gu.

V. 765. *ΘΑΛΑΣΣΟΠΛΑΓΚΤΟΝ,* ὑπὸ τῆς θαλάσσης φέρεσθαι (πλάζεσθαι Gu.), οὕτω διακόψας τὸ σῶμα ἔῤῥιψεν. *ΩΔΕ,* οὕτως, (ὡς ὁρᾷς.) δεικνύει τὰς τομάς. Gu. *ΔΙΑΤΕΜΩΝ* (φονεύσας, διαμοιράσας, διαμελίσας τὸ σῶμα ὁ Πολυμήστωρ). Gu.

V. 766. *Ω ΣΧΕΤΛΙΑ.* ὦ οἰκτρὰ σὺ τῶν ἀναριθμήτων ἕνεκα θλίψεων. *ΣΧΕΤΛΙΑ,* οἰκτρὰ, (δυςτυχής). βλέπων τὰς τομὰς ταῦτα λέγει ὁ Ἀγαμέμνων. Gu.

V. 767. *ΟΛΩΛΑ.* ὄλωλα, φησὶν, ὑπὸ τῶν κακῶν καὶ τῶν συμφορῶν, καὶ εἰς τὸ μηδὲν ἥκω. ἢ ἐλλειπτικῶς φασίν· ὄλωλα, φησὶν, Ἀγάμεμνον, καὶ οὐδὲν λοιπὸν τῶν κακῶν ἄκος εὑρεῖν δύναμαι, ἢ οὐδὲν ὑπολείπεταί μοι κακὸν, ὃ οὐ πέπονθα [10]). *ΟΛΩΛΑ,* τελέως ἐφθάρην. Gu. ἐφθάρην. Fl.

10) Idem scholion est in Flor. 33. e quo ἐλλ. φασὶν recepi pro ἐλλειπτικῶς φησίν.

17. 21. ἀπὸ τοῦ νῦν ἐφθάρην, ὦ Ἀγάμεμνον; παντελῶς καὶ οὐδέν ἐστιν ἐπίλοιπον τῶν κακῶν, ἀλλὰ πάντα συνήλθοσαν εἰς ἐμέ. *ΚΟΥΔΕΝ ΛΟΙΠΟΝ*, ὑπόλοιπον, (ἐπίλοιπον, ὃ μέλλω πείσεσθαι,) ἤγουν οὐδὲν ἀπὸ τῶν κακῶν ἐναπέμεινεν, ὅπερ οὐκ ἔπαθον. Gu. τὸ λοιπὸν οἱ παλαιοὶ οὐ τιθεῖσιν ἀντὶ τοῦ διὰ τοῦτο· πεζὸν γάρ ἐστιν, εἰ μὴ ἀντὶ τοῦ ἐπίλοιπον. γίνεται δὲ ἀπὸ τοῦ λείπω λοιπὸς καὶ λοιπὸν τὰ ἔχοντα το ε. (an: τὸ ο). Fl. 59. *ΚΑΚΩΝ*, ὑπό. Fl. 10.

V. 768. **ΦΕΥ ΦΕΥ.** τίς ἄλλη γυνὴ σοῦ δυστυχεστέρα ἐγένετο;

V. 769—777. *ΟΥΚ ΕΣΤΙΝ.* οὐκ ἔστιν ἑτέρα δυστυχεστέρα ἐμοῦ δηλονότι, εἰ μή που αὐτὴν τὴν δυστυχίαν λέγεις. ἀλλ', ὧν χάριν προςπίπτω τοῖς σοῖς γόνασιν, ἄκουσον. καὶ εἰ μὲν δίκαιά σοι παθεῖν φαίνομαι, ἀγαπῴην ἄν· εἰ δὲ τὸ ἐναντίον, τουτέστιν ἀνόσια ἔπαθον, βοηθὸς ἐμοὶ γενοῦ ἕνεκα τοῦ ἀνοσιωτάτου ξένου, ὃς οὔτε τοὺς κάτω θεοὺς, ἤγουν τοὺς καταχθονίους, οὔτε τοὺς ἄνω, οὔτε (del.) τοὺς οὐρανίους δείσας, ἔργον ἀνοσιώτατον πεποίηκεν. (τοὺς μὲν κάτω θεοὺς, ὅτι ἄταφον αὐτὸν ἔῤῥιψεν, τοὺς δὲ ἄνω, ὡς ἐφόρους ὄντας φιλίας, οὐκ ἔδεισεν.) ἀλλ' ἐξειργάσατο τὸν φόνον τοῦ ἐμοῦ παιδὸς, τυχὼν ἐμοὶ κοινῆς τραπέζης, τουτέστι μετ' ἐμοῦ πολλάκις ἑστιαθεὶς, καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων τυγχάνων, καὶ οὐκ αἰδεσθεὶς οὔτε τοὺς κοινοὺς ἅλας, οὔτε τὴν φιλίαν αὐτήν [1]).

V. 769. *ΟΥΚ ΕΣΤΙΝ.* τίς γυνὴ δυςτυχεστέρα ἐμοῦ οὐκ ἐγένοντο (sic) πώποτε, εἰ μὴ καὶ μόνη αὐτὴ ἡ Δυςτυχία. σωματοποιεῖ τὴν Δυςτυχίαν. ἐκείνη πέμπει τὴν δυςτυχίαν εἰς τοὺς ἀνθρώπους. χωρὶς γοῦν αὐτῆς τῆς Δυςτυχίας ἑτέρα τις γυνὴ οὐκ ἐγένετο ἐμοῦ δυςτυχεστέρα. Fl. 59. ἐνταῦθα γὰρ προςωποποιεῖ τὴν Δυςτυχίαν. Gu.

V. 770. *ΟΥΝΕΚ'.* τὸ οὕνεκα λαμβάνεται καὶ ἀντὶ τοῦ ὅτι καὶ ἀντὶ τοῦ χάριν· ἀντὶ τοῦ ὅτι, ὡς τὸ Οὕνεκα τὸν Χρύσην· ἀντὶ τοῦ χάριν, ὡς καὶ ἐνταῦθα. τὸ δὲ ἕνεκα ἀντὶ τοῦ ἕνεκα (an: οὕνεκα?) οὐ λαμβάνεται πώποτε. Fl. 59.

1) Haec a verbis τοὺς μὲν κάτω (pro quo est θεοὺς δηλονότι τοὺς μὲν κάτω θεοὺς, ὅτι) sunt etiam in Gu. e quo recepi οὔτε ante τοὺς κοινοὺς ἅλας.

V. 771. *ΕΙ ΜΕΝ ΟΣΙΑ.* ὅσιον λέγεται τὸ δίκαιον. διαφέρει δὲ τοῦτο, ὅτι τὸ δίκαιον, ὥςπερ γένος ὂν, διαιρεῖται εἰς ὅσιον καὶ δίκαιον· καὶ τὸ μὲν πρὸς θεοὺς ἐξ ἀνθρώπων γενόμενον ὅσιον καλοῦμεν, τὸ δὲ πρὸς ἀνθρώπους, δίκαιον. ἐνταῦθα δὲ καταχρηστικῶς ἡ Ἑκάβη τὸ ὅσιον λέγει.

V. 772. *ΣΤΕΡΓΟΙΜ' ΑΝ.* ἀγαπῴην ἄν, (ὑπομένοιμι, ὑπομένω.) ὁ ἂν σύνδεσμος ἐν τέλει λέξεων κεῖται, καὶ εὐκτικῇ φωνῇ συντάσσεται, ὁριστικῇ δὲ σημασίᾳ. Gu. καρτερῶ. Fl. 10. *ΤΟΥΜΠΑΛΙΝ*, ἤγουν τὸ ἐναντίον τουτέστιν ἀνόσια (δοκῶ παθεῖν. δεξιὸν καὶ σύντομον ῥήτορος). Gu. ἤγουν ἐὰν δοκῶ παθεῖν ἀδίκως. Fl. 17. 59. 76. εἰ μὲν δοκῶ σοι παθεῖν δίκαια, ἔπαθον, ἵνα ὑπομενῶ τοῦτο· εἰ δὲ ἀδίκως δοκῶ σοι παθεῖν, σύ μοι γενοῦ βοηθός. Fl. 59.

V. 773. *ΤΙΜΩΡΟΣ*, κολαστής. Fl. 6. 10. 21. βοηθὸς, (ἐκδικητὴς, κολαστής). Gu. *ΑΝΟΣΙΩΤΑΤΟΥ*, ἀδικωτάτου, ἀκολάστου. Fl. 6. 10. 21. 59. 76.

V. 774. *ΤΟΥΣ ΓΗΣ ΝΕΡΘΕΝ*, κάτω, (ἔνερθεν. τὸν Πλούτωνα καὶ τὴν Περσεφόνην). Gu. διὰ τὸ ἄταφον αὐτὸν ἐᾶσαι φονεύσαντα. Fl. 10. 33. *ΤΟΥΣ ΑΝΩ*, τὸν Δία καὶ τοὺς λοιπούς. Gu. a m. sec. διὰ τὸν φίλιον καὶ ξένιον Δία. Fl. 10. τοὺς οὐρανίους, ἢ διὰ τὸν φίλον καὶ ξένιον Δία. Fl. 33.

V. 775. *ΔΕΙΣΑΣ*, φοβηθείς. δείδω τὸ φοβοῦμαι· καὶ δέδοικα καὶ δέδια τὸ αὐτό· δεδίττω δὲ τὸ φοβῶ ἕτερον. Gu.

V. 776. 777. *ΚΟΙΝΗΣ ΤΡ.* πολλάκις συγκοινωνήσας ἐμοὶ τραπέζης, ἀπολαύσας. Gu. Fl. 6. 9. 21. 56. πολλάκις φαγὼν καὶ πιὼν μετ' ἐμοῦ, καὶ ἐν τῷ ἀριθμῷ τῶν φίλων μου πρῶτος ὑπάρχων. Fl. 6. 9. 17. 21. 56. 59. 76. καὶ ἐν ἀριθμῷ, ἤγουν ἐν τάξει δεξιώσεως φίλων πρῶτος ταττόμενος δηλονότι τῶν ἐμῶν φίλων. Gu. Florr. iidem. [2]) λείπει ἡ ἐν πρόθεσις, ἐν τῷ ἀριθμῷ τῶν ἐμῶν φίλων πολλάκις τῆς κοινῆς τραπέζης καὶ τῆς ξενίας τὰ πρῶτα πρῶτος λαχών. Fl. 59. εἰ γὰρ τοὺς ἅπαξ κεκοινωνηκότας ἁλῶν καὶ ἄρτου μετά τινος οὐκ ἔξεστιν κτείνειν, πόσῳ μᾶλλον τοὺς πολλάκις τῆς αὐτῆς τυχόντας τραπέζης;

2) Quae in Gu. exstant, praeter verbum ἀπολαύσας, e Barocc. ed. etiam King, sed vitiosa, συνκοινώνησθέ μοι — τάξει δόξεως, quae fideliter repetiit Musgr.

καὶ τῆς ξενίας τὰ πρῶτα λαχὼν καὶ λαβὼν προμηθίαν, ὅ ἐστι χρήματα καὶ πᾶσαν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν τῶν κατ᾽ ἐμὲ πραγμάτων. Fl. 25. 33. 59. ἐν τῷ ἀριθμῷ τῶν ἐμῶν φίλων πολλάκις τῆς κοινῆς τραπέζης καὶ τῆς ξενίας τὰ πρῶτα τυχών. Fl. 10. *ΠΟΛΛΑΚΙΣ* ἀντὶ τοῦ πλειστάκις. καὶ ἅπαξ. (ἐν πολλοῖς καιροῖς.) Gu.

V. 777. *ΞΕΝΙΑΣ*, ὑποδοχῆς φιλικῆς, (φιλίας). ξενία ἡ ὑποδοχὴ καὶ κυβέρνησις ἡ εἰς τοὺς ξένους, καὶ ξενία ἡ ξενιτεία. Gu. *ΑΡΙΘΜΩι*. τὸ ἀριθμῶ ἐπὶ τοῦ τάττω, τὸ μετρῶ ἐπὶ τοῦ σκοπῶ. Fl. 53. *ΠΡΩΤΑ*, ἔχων (ὤν). Gu.

V. 778—783. *ΚΑΙ ΛΑΒΩΝ*. ἐπιτυχὼν δὲ, ὁπόσων πρέπει τυχεῖν φίλον, καὶ λαβὼν προμηθίαν (ὅ ἐστι τὰ χρήματα καὶ πᾶσαν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν· ἢ πρόνοιαν τῶν κατ᾽ ἐμὲ πραγμάτων,) ἐφόνευσε, τύμβου δ᾽ οὐκ ἠξίωσεν, ἐπεὶ φονεῦσαι ἤθελεν, ἀλλ᾽ ἔῤῥιψεν εἰς τὴν θάλασσαν. ἡμεῖς μὲν οὖν δεδουλωμένοι καὶ ἀδύνατοι εἰς ἐκδίκησιν ἐπίσης ὑπάρχομεν· ἀλλ᾽ οἱ θεοὶ ἰσχύουσι, καὶ ὁ νόμος ἐκείνων ὁ κρατῶν πάντων· νόμῳ γὰρ θεὸν ἴσμεν, τῷ σέβειν θεοῦ νόμους. τῷ γὰρ φυλάττειν τὰ ὑπὸ τοῦ θεοῦ νενομοθετημένα καὶ τὸ θεῖον νομίζομεν.

V. 778. *ΤΥΧΩΝ Δ᾽ ΟΣΩΝ ΔΕΙ*. νοητέον, ἢ ὅτι τυχὼν ἐξ ἡμῶν, ὅσων δεῖ τυγχάνειν τοὺς φίλους πρὸς φίλων, καὶ λαβὼν πρέπουσαν κηδεμονίαν, ἔκτεινε τὸν ἐμὸν υἱὸν, ἢ ὅτι τυχὼν δ᾽, ὅσων δεῖ τυγχάνειν τοὺς τῶν βασιλέων παῖδας τρέφοντας ἐν οἴκοις, χρημάτων λέγω καὶ λοιπῆς δαπάνης. καὶ τὸ μὲν πρῶτον νοεῖται ἐκ τοῦ κοινῆς τραπέζης τυχὼν ἐμοὶ, καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων ὤν. τὸ δὲ δεύτερον πρὸς τὸ ἔκτεινεν. [3]) *ΤΥΧΩΝ*, φιλίων πραγμάτων καὶ ἑτέρων. Fl. 59. *ΠΡΟΜΗΘΙΑΝ* Ἰωνικὸν, τὸ κοινὸν προμήθεια, ἀντὶ τοῦ ἐπιβουλήν. [4]) (πρόνοιαν, κηδεμονίαν.) Gu. τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν καὶ ὠφέλειαν, ὅ ἐστι χρήματα. Fl. 10. οἱ δὲ πεζόγραφοι προμήθειαν γράφουσιν. Fl. 59.

V. 779. *ΕΙ*. τὸ εἰ ἀντὶ τοῦ ἐπεί, σύνδεσμος συναπτικὸς ἀντὶ παρασυναπτικοῦ. Fl. 21.

V. 780. *ΟΥΚ ΗΞΙΩΣΕΝ*, ἄξιον ἔκρινεν. ἀξιῶ τὸ

3) Hoc scholion bis est in Junt. et Basil.

4) ἐπιβουλήν habet etiam King. fortasse e Barocc.

καθικετεύω αἰτιατικῇ· ἀξιῶ τὸ ἄξιον κρίνω καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ ἀπὸ αἰτιατικῆς εἰς γενικήν· καὶ ἀξιῶ τὸ τιμῶ, ὅθεν καὶ ἀπηξίωσεν. Gu. *ΑΦΗΚΕ*, ἔῤῥιψεν. Gu. *ΠΟΝΤΙΟΝ*, εἰς τὴν θάλασσαν. (θαλάσσιον.) Gu.

V. 781. *ΙΣΩΣ*, ἀντὶ τοῦ ἐπίσης, μὴ ἔχοντες παρὰ τινὸς τινὰ βοήθειαν. Fl. 6. 9. 21. 56. 59. 76. ἀντὶ τοῦ ἐπίσης, (ὁμοίως, ἐξίσης.) ἴσως δὲ λέγει, ἐπεὶ ἔχει ἔτι τινὰ ἐλπίδα τιμωρήσασθαι. Gu.

V. 782. *ΣΘΕΝΟΥΣΙ*, ἰσχύουσιν, καὶ ὁ νόμος ἐκείνων, ἤγουν τῶν θεῶν, ὁ κρατῶν τῶν ἀνθρώπων δηλονότι, ἐξουσιάζων. Fl. 6. 9. 21. 56. 59. 76. Gu. δύνανται, ὥςτε κολάσαι αὐτόν. Gu. a m. 2. *ΚΡΑΤΩΝ*, δυνάμενος, ἰσχύων. Gu. a m. 2.

V. 783. 784. *ΝΟΜΩι ΓΑΡ*. διὰ τοῦ νόμου γὰρ τοὺς θεοὺς γινώσκομεν (ἤγουν διὰ νόμου καταλαμβάνομεν εἶναι θεούς), καὶ ζῶμεν διὰ τοῦ νόμου τὰ δίκαια καὶ τὰ ἄδικα τάξαντες. τῶν νόμων ἐκ θεοῦ ὄντων τιμωμένων σώζεται καὶ ἡ εἰς ἐκεῖνον τιμὴ, μὴ τιμωμένων δὲ καταλύεται. Gu. ἐν νόμῳ γὰρ νομίζομεν ζῆν τοὺς θεοὺς, ἤγουν νομίμως καὶ δικαίως διεξάγειν καὶ διακερβενᾷν (διακυβερνᾷν) τὰ πάντα. ὑπὸ τῶν θεῶν δὲ διεξαγόμεθα ἡμεῖς τάξαντες ἡμᾶς ζῆν δίκαια. ἡμεῖς δὲ ζῶμεν ἄδικα καίπερ ὡρισμένοι τὴν δικαιοσύνην κρατεῖν καὶ δίκαια ζῆν. Fl. 59. ὑπολαμβάνομεν τοὺς θεοὺς ζῆν ἐννόμως. ἢ οὕτως· διὰ τοῦ θεοῦ γινώσκομεν τοὺς θεοὺς, καὶ ζῶμεν ἄδικα. Fl. 25. θεὸν ἴσμεν τῷ σέβειν θεοῦ νόμους. τῷ γὰρ φυλάττειν τὰ ὑπὸ θεοῦ νενομοθετημένα εἶναι καὶ τὸ θεῖον νομίζομεν. [5]) Fl. 10. 59. διπλῶς τοῦτο εἶπεν· ἢ ὅτι τοὺς θεοὺς ἐννόμως ἡγούμεθα καὶ νομίζομεν ζῆν, ἢ ὅτι ἐννόμως καὶ τοῖς νόμοις πειθόμενοι τοὺς θεοὺς σεβόμεθα. Fl. 10. 33. 59. *ΚΑΙ ΔΙΚΑΙ᾽ ΩΡΙΣΜΕΝΟΙ*. κακοσυνθέτως εἶπεν. ἔδει γὰρ

5) Verba τῷ γὰρ φ. sunt etiam in Gu. a m. 2. sed scriptum est τὸ pro τῷ et ἤδειν pro εἶναι. Idem scholion mancum est in Florr. 10. 33. 59. τὸ γὰρ φυλάττειν τὰ ὑπὸ θεοῦ νομίζομεν. Etiam superiora θεὸν ἴσμεν — νόμους sunt in iisdem codd. bis, sed ibi τὸ σέβειν scriptum est. Iidem exhibent sqq. κακοσυνθέτως κ. τ. λ. sed vitiose, δεῖ γὰρ οὔ. εἰπ. καὶ ζ. ἀδίκως τὰ δ. ὁρ. παρὰ τῶν θεῶν ἐν τοῖς πρ. τηρ. in quo παρὰ τῶν θεῶν fort. verum.

οὕτως εἰπεῖν, καὶ τὰ δίκαια ὁρισθέντες παρὰ τοῦ θεοῦ τη- ρεῖν ἐν τοῖς πράγμασιν, ἀδίκως βιοῦμεν. *ΩΡΙΣΜΕΝΟΙ*, ὁρίσαντες, τάξαντες. (ὑπὸ τῶν θεῶν. διακρίνοντες. ἤγουν ὁρισθέντες καὶ προσταχθέντες. ὥσπερ γὰρ φαμὲν προσετά- χθην τὰ καὶ τὰ, οὕτως ὡρίσθην δίκαια καὶ ἄδικα ὑπὸ τοῦ νόμου, ἵνα τὰ μὲν φεύγω, τὰ δὲ πράττω.) Gu.

V. 785—788. *ΟΣ ΕΙΣ Σ' ΑΝΕΛΘΩΝ*. ὁ θεῖος νό- μος ἀναχθεὶς εἰς σὲ, εἰ ἀκυρωθήσεται [6]), καὶ μὴ ποινὴν δώσουσιν, οἳ τοὺς φίλους φονεύουσι καὶ ἱεροσυλοῦσιν, οὐκ ἔστιν ἀπὸ τῶν πολιτευομένων πραγμάτων ἐν τοῖς ἀνθρώ- ποις ἐν ἰσότητι οὐδὲν, ἤγουν ἐν δικαιοσύνῃ. *ΟΣ ΕΣ Σ' ΑΝ*. ὃς ὁ νόμος ἀνελθὼν εἰς σὲ, ὡς σὺ ὑπάρχεις βασι- λεὺς, καὶ τὸ καταλῦσαι τὸν νόμον ἐν σοί ἐστιν καὶ τὸ συ- στῆσαι τοῦτον, εἰ διαφθήρεται (διαφθείρ. vel — φθερεῖται) καὶ μὴ δώσουσι δίκην, οἵτινες φονεύουσι τοὺς ξένους, ἢ τολμῶσι φέρειν, ἀντὶ τοῦ καταλύειν, τὰ ἱερὰ, ἤγουν τοὺς νόμους τῶν θεῶν, οὐ μὴ εἴπω, ὅτι ἔστι τι τῶν ἐν ἀν- θρώποις πραγμάτων δικαίως πραττόμενον, ἀλλὰ πάντα δη- λονότι ἄδικα. Fl. 59.

V. 785. *ΑΝΕΛΘΩΝ*. θαυμαστῶς ἐνταῦθα τὸ ἀνελ- θὼν κεῖται· διὰ γὰρ τὸ τῆς βασιλείας ὕψος ταύτῃ τῇ λέ- ξει ἐχρήσατο· τὸ γὰρ ἀνὰ τὴν ἄνω φορὰν δηλοῖ. *ΑΝΕΛ- ΘΩΝ*. ὡς λέγομεν ἀνῆλθε καὶ ἀνέδραμεν ὁ δεῖνα εἰς ὑπερ- έχον πρόσωπον, ἵνα λάβῃ ἐκδίκησιν, οὕτω λέγει καὶ τὸν νόμον ἐνταῦθα ἀνελθεῖν εἰς τὸν Ἀγαμέμνονα. Gu. *ΔΙ- ΑΦΘΑΡΗΣΕΤΑΙ*, παραβαθήσεται. Gu. a m. 2.

V. 786. *ΔΙΚΗΝ*, τιμωρίαν. Gu. Fl. 21. 56. 59.

V. 787. *ΘΕΩΝ ΙΕΡΑ*. ἱερὰ θεῶν λέγει ἢ τοὺς περὶ τῆς φιλίας γενομένους ὅρκους, καὶ αὐτὴν τὴν μετὰ σπονδῆς θεῶν ἀρχομένην [7]) φιλίαν, καὶ τὸ πρὸς τοὺς ξένους παρὰ τῶν θεῶν ταχθὲν δίκαιον. *ΙΕΡΑ ΤΟΛΜ. ΦΕΡ*. ἤγουν ἱεροσυλεῖν. Gu. Fl. 6. 9. 17. 21. 33. 56. 76. *ΦΕΡΕΙΝ*, ἀντὶ τοῦ κλέπτειν. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. ἔχειν, κινεῖν, καταλύειν, κλέπτειν ἢ παρακινεῖν. Gu. a m. 2.

6) ἀκυρωθήσεται. Sic Gu. Fl. 6. 17. 56. 59. 76. qui priora ista habent, cum explic. ἀτιμασθήσεται, ἀπολεῖται. Vulgo εἰ οὐ κυ- ρωθήσεται.

7) ἀρχομένην Gu. prout ed. King. Vulgo ἀρχομένων.

V. 788. *ΙΣΟΝ*, δίκαιον, ὑγιὲς, βέβαιον. Gu. a m. 2. ἴδιον τοῖς ἐπειγομένοις εἴς τι δι' οἰκείαν ὠφέλειαν ἀπὸ τῶν μερικῶν τὰ καθόλου κρίνειν, ἢ ἀπὸ τῶν ὑπερεχόντων προσ- ώπων ἢ πραγμάτων τὰ ἄλλα. Gu. a m. pr.

V. 789. *ΤΑΥΤ' ΟΥΝ*. ἀντὶ τοῦ τοῦτο, ἤγουν τὸ ἀκυρῶσαι καὶ μὴ πληρῶσαι τὸν θεῖον νόμον, αἰσχρὸν καὶ ἄδικον ἡγησάμενος, ἐντράπηθί με. *ΤΑΥΤ' ΟΥΝ*, ἅπερ εἶπον, διανοηθεὶς ὅτι εἰσὶν αἰσχρὰ καὶ κακὰ τὰ παρ' ἐκεί- νου πραχθέντα. Fl. 6. 25. ταῦτ' οὖν, ἅπερ σοι λέγω, θέ- μενος ἐν αἰσχρῷ, ἤγουν ἐν αἰσχύνῃ, αἰδέσθητί με, ποῦ μὲν καὶ διὰ τὸν νόμον αὐτὸν, ποῦ δὲ καὶ διότι ὑπάρχω μὴ ἔχουσα τινὰ ἕτερον εἰς βοήθειαν, Fl. 59. ἅπερ λέγω, τὸ κτείνειν τοὺς ξένους καὶ τῶν θεῶν ἱερὰ κινεῖν. Gu. m. 2. *ΕΝ ΑΙΣΧΡΩι ΘΕΜ*. ἤγουν αἰσχυνθείς. Gu. m. 1.

V. 790. 791. *ΩΣ ΓΡΑΦΕΥΣ Τ' ΑΠΟΣΤΑΘΕΙΣ*. ὡς ζωγράφος ἀποτέρω στὰς κατανοεῖ τὰς εἰκόνας, εἰ καλῶς ἐγράφησαν, οὕτω καὶ σύ με ἄθρησον, οἵοις κακοῖς περιέ- πεσον. τὸ δὲ ἴδου βαρυτονεῖται, ῥῆμα ὄν· ἐπίῤῥημα δὲ, ὀξύνεται. [8]) *ΑΠΟΣΤΑΘΕΙΣ*. οὐ πρὸς τὸν Ἀγαμέμνονα νοητέον, ἀλλὰ πρὸς τὸ γραφεύς, οὕτω· καὶ ἴδου με καὶ ἀνάθρησον, οἷα ἔχω κακὰ, ὥσπερ γραφεὺς τὴν εἰκόνα βλέ- πει, σταθεὶς ἄπο, ἵνα μὴ πλησίον ὢν, διαχεθείη τοὺς ὀ- φθαλμοὺς, καὶ οὐ κατάληψιν ἀκριβῶς ποιήσαιτο. οἱ δὲ πρὸς τὸν Ἀγαμέμνονα τὸ σταθεὶς λέγοντες, οὐ μόνον εὐήθεις εἰσὶν, ἀλλὰ καὶ τὸν Εὐριπίδην συμπαραλαμβάνουσι μετ' αὐτῶν. πῶς γὰρ οὐκ ἠλίθιός τις, λέγειν, (leg. λέγων) στα- θεὶς ἄπο, ὦ Ἀγάμεμνον, ὥσπερ γραφεύς. [9]) *ΑΠΟΣΤΑΘΕΙΣ*. τοῦτο ποιοῦσιν οἱ ζωγράφοι· ἡ αἴσθησις γὰρ ἀπρακτεῖ τῇ ἄκρᾳ ἐγγύτητι, ὡς τῷ λίαν πόῤῥω. Gu.

V. 791. *ΙΔΟΥ ΜΕ ΚΑΝΑΘΡ*. θέασαι καὶ ἀνασκό- πησον. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. πολ- λάκις θεώρησον καὶ ἐκ δευτέρου βλέψον καὶ ἀναλόγισαι. Gu. a m. sec.

8) Priora ὡς ζωγρ. — περιέπεσον habet etiam Flor. 33. Aliud scholion in eodem et 10. ὡς ζωγρ. πoῤῥοτέρω στὰς κατανοεῖ τὰς εἰκόνας, εἰ καλῶς γέγραπται τὸ ζώδιον, οὕτω καὶ σύ. Sequentia iidem Codd. sic: ἰδοὺ βαρυτόνως ῥῆμα, ὀξυτόνως ἐπίῤῥημα.

9) Gu. brevius: οἱ δὲ πρὸς τὸν Ἀ. τὸ στ. λ. οὐ καλῶς λέγου- σιν. Idem antea ἀκριβῆ pro ἀκριβῶς.

V. 792. *ΤΥΡΑΝΝΟΣ*, δέσποινα. (βασιλίς. ἐλέου εἰςβολή, σύγκρισις ἀπὸ τοῦ μείζονος.) Gu. *ΣΕΘΕΝ*, εἰμὶ δηλονότι, πρὸς ὃ ἀποδίδοται τὰ ἑξῆς. Fl. 6. 17. 21. 56. 59. 76.

V. 793. *ΕΥΠΑΙΣ ΠΟΤ' ΟΥΣΑ*. λάμβανε τὸ ἦν βασίλισσα ἀπὸ κοινοῦ, ἵν' οὕτως ᾖ [10]· εὔπαις ποτ' οὖσα ἦν βασίλισσα, νῦν δὲ γραῦς, καὶ ἄπαις. *ΕΥΠΑΙΣ*, πολλοὺς καὶ καλοὺς παῖδας ἔχουσα. Fl. 59. εὔπ. ὁ καλοὺς παῖδας ἔχων καὶ ὁ καλῶς ἔχων περὶ γένναν παίδων. Gu. *ΓΡΑΥΣ*. αἱ γὰρ γραῖαι οὐδὲ παιδοποιοῦσι. Fl. 59.

V. 794. *ΕΡΗΜΟΣ*, ἐστερημένη καλῶν (πάντων). Gu. Fl. 59. (qui om. καλῶν.)

V. 795. *ΟΙΜΟΙ ΤΑΛΑΙΝΑ*. παρεπιγραφὴ τὸ σχῆμα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. κρατοῦσα τὰ γόνατα τοῦ Ἀγαμέμνονος ᾔσθετο τοὺς πόδας κινοῦντα, ὥςτε ἐκβαλεῖν τῶν χειρῶν αὐτῆς. Gu. *ΠΟΙ Μ' ΥΠΕΞΑΓΕΙΣ ΠΟΔΑ*. ποῦ μεταφέρεις τὸν πόδα σου. τὸ ἐντελὲς, ποῦ μοι ὑπεξέρχῃ. ἐδιχοστάτει γὰρ αὐτῇ ἐπικουρεῖν ὁ Ἀγαμέμνων, δια τὸ φίλον εἶναι τὸν Πολυμήστορα· οὐ γὰρ συνεμαχησε τοῖς Τρωσὶ, χαριζόμενος τοῖς Ἕλλησι. [10b]) *ΥΠΕΞΑΓΕΙΣ*, ἀπ' ἐμοῦ, ἀντὶ τοῦ ἐξάγεις. (κρυφίως μεταφέρεις, κινεῖς.) Gu. ἰδοῦσα τὸν Ἀγαμέμνονα ἐπὶ συννοίᾳ γενόμενον καὶ διχοστατοῦντα εἰς βοήθειαν αὐτῆς, ὡς φίλου ὄντος τοῖς Ἕλλησι τοῦ Πολυμήστορος, λέγει· ποῦ ὑπεκφέρεις τὸν πόδα, ἤγουν τὸν νοῦν σου, ἀπὸ μεταφορᾶς τῆς βαδίσεως τοῦ ποδος, διαλογιζομένου τοῦ ἀνδρὸς, ποίαν ἄρα ὁδὸν κρατήσῃ. ἢ οὕτως· ἐν συννοίᾳ τὸν Ἀγαμέμνονα γενόμενον καὶ ἐγερθέντα τῆς καθέδρας αὐτῆς διαλογίζεσθαι αὐ-

10) Haec ἵν' οὕτως ᾖ e Gu. addidi.

10b) Verba τὸ ἐντελὲς — Πολυμήστορα sunt etiam in Flor. 33. qui om. μοι post ποῖ, et addit ὁ ante Ἀγαμ. Ultima οὐ γὰρ — Ἕλλησι habet 10. sed priora sic: οὐκ ἤθελεν γὰρ αὐτῇ ἐπικουρεῖν Ἀγαμέμνων διὰ τὸ φίλον εἶναι τῷ Πολυμήστορι. Totum ἐδιχοστάτει — Ἕλλησι Flor. 59. qui etiam ὁ Ἀγαμ. Idem etiam habet ποῦ μεταφέρεις τὸν πόδα, om. σου, et addit ἤγουν τὸν νοῦν. Longius abit Gu. ἐνταῦθα δείκνυται, ὡς ἀκούσας Ἀγαμέμνων ἀπὸ τῆς Ἑκάβης τῶν περὶ τοῦ βοηθῆσαι αὐτῇ δεήσεων, ἀποχωρεῖ ἀπ' αὐτῆς, διὰ τὸ φίλον κ. τ. λ.

τὸν περιπατοῦντα, οἷα εἰώθασιν οἱ ἐν δισταγμῷ ὄντες ποιεῖν. Fl. 59. τί με ποιεῖς ἐπὶ πολὺ ὁδεύειν; εἶπε δὲ τοῦτο, διότι εἶδεν ἐκεῖνον ὑποχωροῦντα. Fl. 33.

V. 796. *ΠΡΑΞΕΙΝ*, ἀνύσειν. Gu. *ΟΥΔΕΝ*, ὧν ἐβουλόμην, ἀπὸ τούτων, ὧν χρῄζω. Gu.

V. 797 — 801. *ΤΙ ΔΗΤΑ ΘΝΗΤΟΙ*. ῥητορικῆς ἔπαινος. διὰ τί ζητοῦμεν ἃ οὐδέν ἐστι, τὴν δὲ πειθὼ μόνην οὐκ ἀσκοῦμεν, ἰσχυρὰν οὖσαν, μισθοὺς διδόντες. [1])

V. 798. *ΜΟΧΘΟΥΜΕΝ*, μετὰ πόνου μανθάνομεν. *ΜΟΧΘΟΥΜΕΝ*, κοπιῶμεν, (πονοῦμεν), μετὰ μόχθου μανθάνομεν. μοχθῶ καὶ πονῶ περὶ τὸ πρᾶγμα μετὰ προθέσεως κοινὸν, χωρὶς προθέσεως ποιητικόν. ἐπιλαμβάνονται καὶ ἐνταῦθα τοῦ ποιητοῦ, βαρβάρῳ προςώπῳ ταῦτα λέγοντος. Gu. *ΜΑΣΤΕΥΟΜΕΝ*. ζητοῦμεν. Gu. Fl. 10. 33.

V. 799. *ΠΕΙΘΩ*. τὴν δὲ πειθὼ μανθάνειν ἀκριβῶς οὐ σπουδάζομεν, ἧς ἔδει μᾶλλον τῶν ἄλλων τεχνῶν [2]) ἀντιποιεῖσθαι, ἵνα ὑπάρχῃ, φησὶ, πείθειν εἰς ἅ τις βούλοιτο. εἰπὼν δὲ τὸ ποτὲ, οὐκ ἀεὶ αὐτῇ ἀνατίθησι τὴν τοῦ πείθειν δύναμιν. *ΠΕΙΘΩ ΤΗΝ ΤΥΡΑΝΝΟΝ*. τὴν, ὥςπερ βασιλεὺς, ὑπάγουσαν πάντας πρὸς τὸ δοκοῦν ἑαυτῇ λογοις ποικίλοις καὶ πιθανοῖς. *ΠΕΙΘΩ*, τὴν τὸ πείθειν ἐπιτηδεύουσαν τέχνην τῶν λόγων, τὴν μόνην ἐν τοῖς ἀνθρώποις δέσποιναν, ἤγουν τὴν ῥητορικήν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὴν καταπείθησιν, τὴν δύναμιν τοῦ πείθειν, τὴν ῥητορικήν· δι' αὐτῆς γὰρ τὸ πείθειν. Gu. a m. sec.

V. 800. *ΟΥΔΕΝ ΤΙ ΜΑΛΛΟΝ*. ἀντὶ τοῦ οὐδαμῶς, ὄνομα ἀντὶ ἐπιῤῥήματος, ὡς τὸ ταχὺς ἦλθεν, ἀντὶ τοῦ τα-

1) Florr. 6. 9. 17. 21. 56. 59. 76. κοπιῶμεν, διὰ μόχθου μανθάνομεν, ὡς ἐνδέχεται, ζητοῦμεν κ. τ. λ. omissis vv. ἰσχυρὰν οὖσαν. Verba ζητοῦμεν — διδόντες sine ἰσχ. οὖ. habent etiam 10. 33. qui subjiciunt: ὤφειλεν ὁ ἄνθρωπος τὸν βίον αὐτοῦ ὅλον διδόναι καὶ μανθάνειν ἃ μὴ θέλει πράττειν.

2) Vv. τῶν ἄλλων τ. sunt e Florr. 10. 25. 33. In v. ἀντιποιεῖσθαι desinit scholion Cod. 10. sed 25. 33. pergunt, ἵν' ᾖ ποτε πείθειν ἔδει (l. ἃ ἔδει) καὶ τὰ ἑξῆς. οὐκ ἀνατίθησι οὐδὲ τοῖς ῥήτορσι τοῦ πείθειν δύναμιν, ἀλλ' ὅτε δεῖ, καὶ ἐν οἷς, ἵνα ὑπάρχῃ, φησὶ, τὸ πείθειν εἰς ἅ τις βούλοιτο.

χέως. ὡς ὄνομα γὰρ [3]) δύναται ἔχειν ὑποτεταγμένον τὸ τί. ΕΙΣ ΤΕΛΟΣ, μέχρι τέλους. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. εἰς τὸ ἄκρον, τελείως. Gu. a m. sec. ΣΠΟΥΔΑΖΟΜΕΝ, μετὰ σπουδῆς ἐργαζόμεθα καὶ μανθάνομεν. Gu.

V. 801. ΜΙΣΘΟΥΣ, πολλούς. Fl. 59. ΔΙΔΟΝΤΕΣ τοῖς διδάσκουσι. Gu. ΜΑΝΘΑΝΕΙΝ, ὥςτε. Gu. διδάσκεσθαι ταύτην εἰς ἄκρον. Fl. 59. ἀσκεῖν. Fl. 10. ΙΝ' ΙΙι ΠΟΤΕ, ἵν' ὑπάρχῃ τὸ πείθειν εἰς ἅ τις βούλοιτο πράξειν καλῶς. Fl. 53.

V. 802. Α, εἰς ἅτινα. (ὡς τὸ ἦ ῥά μοι πείθοιο, ὅττι κεν εἴπω παρ' Ὁμήρῳ μετὰ αἰτιατικῆς. πείθει χρυσὸς, δάκρυα, κάλλος καὶ λόγος.) Gu. ΒΟΥΛΟΙΤΟ, πείθειν δηλονότι, (θέλοι, ἐλπίσειεν.) Gu. ΤΥΓΧΑΝΕΙΝ, ὧν χρείαν ἔχει, (βούλοιτο). Gu.

V. 803. ΠΩΣ ΟΥΝ ΕΤ' ΑΝ ΤΙΣ. εἰς τί οὖν ἐλπίσει δέ τις πράξειν καλῶς. ΠΩΣ ΟΥΝ ΕΤ'. εἰς τὸ ἑξῆς (ἀπὸ τοῦ νῦν). Gu. ΕΛΠΙΣΑΙ ΠΡ. Κ. ἐλπίσειεν (θαῤῥήσειε) εὐτυχήσειν. Gu. Fl. 59. 76. ἀντὶ τοῦ εὐπραγήσειν ἐμέ. Fl. 59. 76. ἀπὸ τοῦ νῦν τίς ἐλπὶς ἐν ἐμοὶ εὐπραγήσειν, στερηθείσῃ τῶν τέκνων μου· ἐγὼ δὲ πορεύομαι δούλη ἐπὶ τοῖς αἰσχροῖς πράγμασι. Fl. 59. περὶ ἑαυτῆς λέγουσα σχηματίζει τὸν λόγον εἰς τρίτον πρόςωπον, συμπεραίνει δὲ πάλιν διὰ τῶν ἐπαγομένων εἰς πρῶτον. τοῦτο καὶ τοῖς λογογραφοῦσι σύνηθες. Gu. Fl. 25.

V. 805. ΕΠ' ΑΙΣΧΡΟΙΣ, ἀπρεπέσιν, (λυπηροῖς). Gu. ΟΙΧΟΜΑΙ, φθείρομαι, (πορεύομαι). Gu.

V. 806. ΥΠΕΡΘΡΩΣΚΟΝΤΑ. ὑπερτέλλοντα. ΥΠΕΡΘΡΩΣΚΟΝΘ', ἀνερχόμενον καὶ ὑπερπηδῶντα. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀκμὴν δὲ καὶ τὸν καπνὸν τῆς πόλεως καυθείσης βλέπω ὑπερθρώσκοντα καὶ ὑπεράνω αὐτῆς πηδῶντα. Fl. 59.

V. 807—828. ΚΑΙ ΜΗΝ ΙΣΩΣ. σεμνότατον τὸ σχῆμα παρὰ τοῖς ῥήτορσιν. ἴσως, φησὶ, κενὸν ὑπάρχει τὸ τὴν Ἀφροδίτην εἰς μεσιτείαν προτείνειν. ἀλλ' ὅμως λεχθήσεται. ἴσως δὲ λέγει, ἐπεὶ ἔχει τινὰ ἐλπίδα τιμωρήσασθαι

3) γάρ om. Gu.

αὐτόν [4]). ΚΑΙ ΜΗΝ ΙΣΩΣ. καὶ μὴν ἴσως κενὸν καὶ ἄκαιρον τόδε, τὸ ἔμπροσθεν τοῦ λόγου ποιεῖσθαι τὴν συνουσίαν τῆς θυγατρὸς, ἀλλ' ὅμως εἰρήσεται. πρὸς ταῖς σαῖς πλευραῖς εἰς ὕπνον τρέπεται ἡ ἐμὴ μαντικὴ παῖς, ἥντινα ὀνομάζουσιν οἱ Φρύγες Κασάνδραν. ποῦ δῆτα δείξεις, ὦ ἄναξ, τὰς προςφιλεῖς νύκτας, ἢ ποῦ ἕξει ἡ ἐμὴ παῖς, — τὸ ποῦ κατὰ κοινοῦ, [5]) — χάριν τινὰ καὶ ἀνταμοιβὴν, ἕνεκα τῶν ἐν τῇ εὐνῇ φιλτάτων ἀσπασμάτων καὶ φιλημάτων, τίνα χάριν ἕξει ἡ ἐμὴ παῖς ἀπὸ σοῦ, ἀπ' ἐκείνης δ' ἐγώ; ἐκ τῆς νυκτὸς γὰρ καὶ ἐκ τῶν νυκτερινῶν φίλτρων πάνυ μεγίστη γίνεται χάρις τοῖς βροτοῖς. ἄκουε δὴ νῦν· ὁρᾷς τόνδε τὸν θανόντα, ἤγουν τὸν Πολύδωρον· τοῦτον δρῶν καλῶς, ἤτοι εὐεργετῶν, ὄντα γυναικαδελφὸν σέθεν, ἤγουν σοῦ, δράσεις εὖ δηλονότι. ἑνὸς ἐστὶν ἐμοὶ ὁ μῦθος ἐλλιπής. εἴθε γένοιτό μοι λαλιὰ ἐν τοῖς βραχίοσι καὶ ἐν ταῖς κόμαις καὶ ἐν τῇ βάσει τῶν ποδῶν, ἢ ἐν τέχναις [τοῦ ἀγαλματοποιοῦ] Δαιδάλου, ἢ [δυνάμει καὶ θελήματι] τινὸς ἀπὸ τῶν θεῶν, ἵνα πάντα τὰ μέλη μου ἅπτοιντο ὁμοῦ τῶν σῶν γονάτων, κλαίοντα καὶ ἐντελλόμενα παντοίους λόγους, [παρακινοῦντάς σε εἰς βοήθειαν]. [6]) ὦ δέσποτα, ὦ μέγιστον φάος τοῖς Ἕλλησιν, ἀντὶ τοῦ τῶν Ἑλλήνων, πείσθητι, καὶ δὸς ἐμοὶ τῇ πρεσβύτιδι χεῖρα βοηθὸν, εἰ καὶ μηδέν ἐστιν ἡ ἱκετεύουσά σε δηλονότι, ἀλλ' ὅμως δεῖ αὐτὴν παρὰ σοῦ ἐλεηθῆναι. ἴδιον γὰρ ἀνδρὸς ἀγαθοῦ τῇ δικαιοσύνῃ βοηθεῖν, καὶ τοὺς κακοὺς δρᾶν ἀεὶ πανταχοῦ κακῶς, ἤτοι τιμωρεῖσθαι.

V. 807. ΚΑΙ ΜΗΝ, τοῦτο εἰς μεταπτώσεις ὑποθέσεων κεῖται. (προθεραπεία καὶ διόρθωσις.) Gu. ΤΟΥ ΛΟΓΟΥ. γρ. ὁ λόγος. Gu. ΚΕΝΟΝ, ἄκαιρος. (περισσὸν, μάταιον.) Gu. μάταιον, ἀδόκιμον. Fl. 59. μάταιος, ἀδόκιμος. Fl. 6. 9. 21. 56. κενὸν τοῦτο λέγει (Fl. λέγουσα) καί τοι γε μέγα (Fl. μεγάλα) δυνάμενον, συγκρίνουσα οἷς

4) Ultima, ἴσως δὲ λέγει etc. e C. C. C. addidit King. In Gu. ad vs. 781. adscripta sunt.

5) τὸ ποῦ κατὰ κοινοῦ om. King. et Musgr. quippe haec omnia ad paraphrasin referentes.

6) Uncis inclusa e Flor. 59. accesserunt, qui haec tantum habet a vv. εἴθε γένοιτό μοι. Praeterea pro ἐν τοῖς βραχ. — ποδῶν habet εἰς πάντα μου τὰ μέλη, tum ὁμοῦ ἅψοιντο, et προφασιζόμενα pro ἐντελλόμενα.

εἶπεν, ὅτι νόμῳ τοὺς θεοὺς ἡγούμεθα, καὶ τοῖς ἄλλοις. Fl. 25. Gu. a m. pr. ἤγουν ὁ λόγος ὅδε ἄκαιρός ἐστιν. Gu. a m. 2. Fl. 17. 59. 76. κενός. Fl. 59.

V. 808. *ΚΥΠΡΙΝ*, συνουσίαν, (ἀφροδίτην, μίξιν). Gu. μίξιν τῆς Κασάνδρας συνουσίας. Fl. 25. 33. 59. *ΚΥΠΡ. ΠΡΟΒ.* οὐ μαστροπώδεις οἱ λόγοι, ἀλλ' ἀφαιρεθεῖσα τὴν τύχης ὄγκον εἰς πᾶν ὁτιοῦν καταβαίνει, καθυμιλοῦσα τοῖς καιροῖς, καὶ λέγουσα τοιαῦτα (ταῦτα 25. 59. Gu.), δι' ὧν ἔμελλε θηρᾶσθαι βοήθειαν. Fl. 25. 33. 59. 7)

V. 809. *ΚΟΙΜΙΖΕΤΑΙ*, εὐνάζεται. Gu. a m. 2. πᾶς κοιμώμενος καὶ κοιμίζεται, οὐ μὴν πᾶς ὁ κοιμιζόμενος καὶ κοιμᾶται. Gu. a m. pr.

V. 810. *ΦΟΙΒΑΣ*, ἡ μάντις ἀπὸ τοῦ Φοῖβος ὁ Ἀπόλλων. Fl. 10. 25. *ΚΑΣΑΝΔΡΑΝ.* ἡ Κασάνδρα πρώην Ἀλεξάνδρα ἐκαλεῖτο, ὡς καὶ Λυκόφρων φησὶν, ἐκλήθη δὲ Κασάνδρα παρὰ τῶν Τρώων διὰ τὸ κάσιν καὶ ἀδελφὸν ἀνδρεῖον ἔχειν τὸν Ἕκτορα. Gu.

V. 811. *ΠΟΥ* τοπικὸν, ποῦ εὗρες τὸν δεῖνα; καὶ αἰτίαν δηλοῦν (sic), ποῦ ἐστι τόδε δίκαιον, ἀντὶ τοῦ ἐν τίνι πράγματί ἐστι δίκαιον· καὶ ποῦ ἀντὶ τοῦ ἐν τίνι, ὡς ἐνταῦθα. Gu. *ΤΑΣ ΦΙΛΑΣ ΕΥΦΡΟΝΑΣ*, τὴν διὰ τῆς νυκτὸς γινομένην εὐφροσύνην (Fl. 6. 9. 17. 21. 56. 59. 76.), ἢ τὰς ἐνηδόνους νύκτας. Gu. εὐφροσύνη δὲ ἡ νὺξ λέγεται. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὰς νυκτερινὰς προςφιλεῖς συνουσίας. Fl. 59. τὰς εὐφραντικὰς νύκτας διὰ τὸ ἐν αὐταῖς καλῶς φρονεῖν καὶ σκέπτεσθαι. Fl. 10. 21. 25.

V. 812. *ΑΣΠΑΣΜΑΤΩΝ*, φιλημάτων. Gu.

V. 813. *ΧΑΡΙΝ*, ἀντίχαριν, (ἀνταμοιβὴν, ἀντάλλαγμα). Gu. εὐεργεσίαν δώσει. Fl. 17. *ΚΕΙΝΗΣ Δ' ΕΓΩ*, τίνα δὲ χάριν ἕξω καὶ λάβω ἐγὼ ἐκείνης, εἰ μὴ νῦν βοηθήσεις μοι. Gu.

V. 814. *ΣΚΟΤΟΥ*, τῆς νυκτός. Gu.

V. 815. *ΦΙΛΤΡΩΝ.* φίλτρον ἡ ἀγάπη, ὡς ἐνταῦθα. καὶ τὸ εἰς φιλίαν ἑνοῦν, ὡς παρὰ Θεοκρίτῳ· πᾶ δὲ τὰ φίλτρα; (II, 1.) οὕτω λέγεται καὶ λύτρον ἡ ἐλευθερία, καὶ

7) Haec notatio in Gu. ad v. 811. post ὡς ἐνταῦθα adscripta est.

λύτρον 8), ὃ δίδωσί τις ἐλευθερῶν τινά. C. C. C. Gu. *ΜΕΓΙΣΤΗ.* πολλαὶ γὰρ δωρεαὶ γίνονται πρὸς τὸ μέρος τῆς γυναικὸς, ὅτε ὁ ἀνὴρ εἰς συνουσίαν αὐτῆς ἔλθῃ, καὶ εἰς γυναῖκα ἄξει. Fl. 59. *ΧΑΡΙΣ*, ἀπ' ἀλλήλων δηλονότι. Fl. 6. 9. 17. 56. 59. 76. Gu.

V. 816. *ΑΚΟΥΕ ΔΗ ΝΥΝ.* λοιπόν. Fl. 56. *ΤΟΝ ΘΑΝ. ΤΟΝΔ' ΟΡ.* τὸν θανόντα τοῦτον, ὃν βλέπω, δράσας καλῶς, ἤγουν ἐκδικήσας, γυναικαδελφόν σου ὄντα καλῶς ποίησον. Fl. 59.

V. 817. *ΚΗΔΕΣΤΗΝ*, ἀγχίστην. Fl. 59. κηδεστὰς νῦν λέγομεν τοὺς πενθεροὺς, οἱ παλαιοὶ δὲ ἁπλῶς ἅπαντας τοὺς ἐξ ἐπιγαμβρίας συγγενεῖς. Gu. γαμβρόν. Fl. 10. κηδεστὴς μὴ μόνον ὁ πενθερὸς λέγεται, ἀλλὰ καὶ πάντες οἱ ἐκ συμπενθερίας συγγενεῖς, ἤγουν οἱ ἀγχιστεῖς. κηδεσταὶ λέγονται κοινῷ ὀνόματι πάντες οἱ ἐξ ἀγχιστείας. Fl. 59.

V. 818. *ΕΝΟΣ ΜΟΙ.* ὁ λόγος ἐμοῦ ἑνὸς ἔτι ἐνδεής (πράγματος ὑπάρχει). Gu. *ΕΝΔΕΗΣ*, ἐλλειπής. Gu. *ΕΤΙ*, ἀκμήν. Gu. ἑνὸς πράγματος ἀκμὴν ἐστερημένος ὑπάρχει ὁ λόγος μου. Fl. 59.

V. 821. *ΔΑΙΔΑΛΟΥ ΤΕΧΝΑΙΣΙ.* Τὸν Δαίδαλον φασὶ ποιεῖν εἴδωλα, καὶ μετὰ τὸ πληροῦν αὐτὰ, ποιεῖν ταῦτα κινεῖσθαι καὶ φθέγγεσθαι. 9) [περὶ τῶν Δαιδάλου ἔργων] ὅτι δὲ ἐκινεῖτο καὶ προΐει φωνὴν, αὐτός τε Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει,

οὐκ ἔστιν, ὦ γεραιὲ, μὴ δείσῃς τάδε,
τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ,
βλέπει τ' ἀγάλμαθ'· ὧδ' ἀνὴρ κεῖνος σοφός.

καὶ Κρατῖνος ἐν Θράτταις· πανὶ κακὸν δεῦρο μαστάων τινὰ ποτε χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον προσῆν, οὐδαμῶς ξύλινος ἐκεῖνος, ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερον Δαιδάλειος ἦν, ἤ τίς ἔκλεψεν αὐτόν 10); καὶ Πλάτων·

8) In C. C. C. legitur tantum: οὕτω λέγεται καὶ τὸ λύτρον, ὃ δίδ. Paulo ante Gu. πᾶ μοι τὰ φ.

9) Haec e Gu. accesserunt, qui om. περὶ τῶν Δ. ἔργων, et post ὅτι addit δέ. In vss. Euripidis idem γηραιὲ et tertium vs. omittit: in eo nihil nisi ὅδ' in ὧδ' mutavi.

10) Fragmentum Cratini intactum reliqui, quum nec de sensu, priorum certe, nec de metro constaret. Barnes. coni. καὶ Κρατῖ-

οὗτος, τίς εἶ; λέγε ταχὺ, τί σιγᾷς; οὐκ ἐρεῖς;
Ἑρμῆς ἔγωγε Δαιδάλου φωνὴν ἔχων,
ξύλινος βαδίζων αὐτομάτως ἐλήλυθα.

ΔΑΙΔΑΛΟΥ ΤΕΧΝΑΙΣΙ. ἀγαλματοποιὸς ὁ Δαίδαλος,
ποιῶν ἀγάλματα οὕτω κάλλιστα, ὡς ἱστορηθῆναι περὶ τούτων
τοῖς ποιηταῖς, ὅτι φωνὴν ἠφίεσαν καὶ ἐκινοῦντο. οὗτος ὁ Δαί-
δαλος καὶ πτερὰ, ὅτε ἐβούλετο, περιετίθει ἑαυτῷ καὶ ἵπτατο. [1])
ἐπεὶ καὶ τὸν υἱὸν Ἴκαρον, ἐκ κηροῦ πτερὰ πλασάμενος καὶ
περιθεὶς αὐτῷ, ἐποίησεν ἐναέριον κομισθῆναι. διαλυθέντος δὲ
τοῦ κηροῦ, πέπτωκεν εἰς τὸ νῦν καλούμενον ἀπ' αὐτοῦ Ἰκά-
ριον πέλαγος. φασὶ γὰρ ἀμυνόμενον τὸν Ἥλιον Δαίδαλον,
ὡς πεποιηκότα τὴν θυγατέρα αὐτοῦ Πασιφάην, ἐρασθεῖσαν
[τοῦ] ταύρου, μιγῆναι αὐτῷ, ἐπεὶ τότε πετόμενον εἶδε τὸν
αὐτοῦ υἱὸν Ἴκαρον, ἐκ κηροῦ πτεροῖς χρώμενον, σφοδρῶς
ἐμπεσεῖν τοῖς πτεροῖς, καὶ διαλυθῆναι ταῦτα παρασκευάσαι,
καὶ τὸν ἐν τούτοις κουφιζόμενον Ἴκαρον κατενεχθέντα πε-
πνίχθαι. ΔΑΙΔΑΛΟΥ, ὃς καὶ τὰ εἴδωλα ἐποίει καὶ κι-
νεῖσθαι καὶ λαλεῖν. Fl. 10. ὁ Δαίδαλος ἀνὴρ ἦν ἀγαλ-
ματοποιός· ἐποίει δὲ ἀγάλματα ξύλινα, καὶ ἐκινοῦντο καὶ
ἐλάλουν. Fl. 33. πῶς δὲ μέλλει γίνεσθαι τοῦτο. Gu. a m.
sec. τὸν Δαίδαλον λέγουσι μεταμείβειν ἑαυτὸν εἰς ποικίλα
εἴδη καὶ μορφὰς, καὶ ἀγάλματα ποιεῖν βαδίζοντα. ἔστι δὲ
μῦθος, λέγεται δὲ οὕτως διὰ τὸ ποικίλας ὑπὲρ πάντας καὶ
παρηλλαγμένας μορφὰς προσφέρειν τοῖς ἀγάλμασι, καὶ διὰ

νος ἐν Θράτταις Πανὶ etc. λάλον νευρόσπαστον (ἀνθρωπίσκον)
τίνα ποτε χ. ἢ ζυλ. καὶ χρυσίον προσῆν; Οὐδαμῶς ξύλ. ἐκ. ἀλλὰ
χ. ὢν ἀπέδρα. Πότερον Δαιδ. ἦν ἤ τις ἔκλεψεν αὐτόν; quod re-
ceperunt King. et Musgr. Hermanno, quem de hoc fragmento con-
sului, scriptum esse videtur metro Eupolideo, quod explicaverit in
Handb. d. Metrik §. 370. ita tamen, ut in priore parte pro
– ◡ ◡ – | ◡̄ – ◡ –, hi numeri nonnunquam sint:
– ◡ – ◡ | – ◡ ◡ – | quales in Priapeo etiam metro occurrant. Sic vero emendat:
– ◡ ◡ – ◡ πάνυ κακὸν δεῦρο βάστασόν τινα. || B. πότερα χαλκοῦν
ἢ ξύλινον; A. καὶ μὴ χρυσίον προσῇ. || B. οὐδαμῶς ξύλινός γ'
ἐκεῖνος ◡̄ – ◡̄ – ◡ – || ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. A. πότερα Δαι-
δάλειος ἦν, || ἤ τις ἔκλεψεν αὐτόν; – – ◡̄ – ◡̄ – ◡ –. Si Πανὶ
rectum sit, de patera vel simili re sermonem esse suspicatur.

1) Haec ἑαυτῷ καὶ ἵπτατο e Gu. addidi, qui etiam ante οὗτος δὲ ὁ Δ. et paulo post om. τοῦ ante ταύρου.

τὸ διαλελυμένους τοὺς πόδας τῶν ἀγαλμάτων ποιοῦντα, τῶν ἄλλων συνημμένους ποιούντων. Gu. a m. pr.

V. 822. ΩΣ ΠΑΝΘ' ΟΜΑΡΤΗ, ἵνα μου τὰ μέλη πάντα φωνὴν ἀφιέντα ἱκετεύσῃ σε. Fl. 10. 33.

V. 823. ΕΠΙΣΚΗΠΤΟΝΤΑ, μεθ' ἱκεσίας ἐπάγοντα. (ἐπιφέροντα, προβαλλόμενα.) ἐπισκήπτει κεραυνός· καὶ ἐπισκήπτει ἀντὶ τοῦ μεθ' ἱκεσίας λέγει· καὶ ἐπισκήπτει ἀντὶ τοῦ μετὰ θειασμοῦ ὑποτίθησι. Gu.

V. 825. ΧΕΙΡΑ ΤΙΜΩΡΟΝ, βοηθόν. (βοήθειαν.) Gu.

V. 826—828. ΕΙ ΚΑΙ ΜΗΔΕΝ ΕΣΤΙΝ. ἡ ἱκετεύουσά σε, ὡς αἰχμάλωτος καὶ δούλη. ἀλλ' οὖν δι' αὐτὸ τὸ δίκαιον τιμώρησαι τὸν Πολυμήστορα. τοῦτο γάρ ἐστιν ἀνδρὸς ἀγαθοῦ, τὸ τοὺς κακοὺς ἐννόμως τιμωρεῖσθαι. ΕΙ ΚΑΙ ΜΗΔΕΝ ΕΣΤΙΝ, εἰ καὶ μηδὲν ὑπάρχοι ἡ γραῦς, ἡ ἱκετεύουσά σε, ἤγουν ἐγὼ δούλη οὖσα καὶ αἰχμάλωτος· ἀλλ' ὅμως βοήθησον αὐτὸ τὸ δίκαιον. (sic) ἀγαθοῦ γὰρ ἀνδρὸς τὸ ὑπουργεῖν καὶ τὸ ὑπηρετεῖν τῇ δίκῃ, ἤγουν τὸ πράττειν τὰ δίκαια — σωματοποιεῖ τὴν δίκην, ὡς θεός· (sic) — καὶ τὸ πράττειν κακῶς πάντοτε τοὺς κακοὺς καὶ μὴ ἐλεεῖν. Fl. 59. ἡ ἱκετεύουσά σε, ἀντὶ τοῦ, μὴ ὡς αἰχμάλωτον καὶ δούλην παρίδῃς. Fl. 10. 33. 59. ΑΛΛ' ΟΜΩΣ, ἀλλ' ὅμως δεῖ αὐτὴν παρὰ σοῦ ἐλεηθῆναι. (παράσχες διὰ τὸ δίκαιον.) Gu.

V. 829—832. ΔΕΙΝΟΝ ΓΕ ΘΝΗΤΟΙΣ. Ἐπεὶ τὴν Ἑκάβην ὁ Χορὸς εἶδε δεομένην τοῦ Ἀγαμέμνονος βοηθῆσαι αὐτῇ, ἐχθροῦ ὄντος, ὡς τὴν πόλιν ταύτης πορθήσαντος, λέγει δεινοπαθῶν· δεινόν ἐστιν, ὅτι συμπιτνεῖ καὶ συμπίπτει καὶ πάντα τοῖς θνητοῖς, καὶ οὔτε ὁ φίλος ἀεὶ φίλος, οὔτε ὁ ἐχθρὸς ἀεὶ ἐχθρός. ἀλλ' ὁ μὲν φίλος ἔστιν ὅτε ἐχθρὸς γίνεται, ὁ δὲ ἐχθρὸς φίλος. καὶ οἱ νόμοι κελεύοντες τὸν μὲν φίλον ἀεὶ φίλον ἡγεῖσθαι, τὸν δὲ ἐχθρὸν ἀεὶ ἐχθρὸν, λέγουσι κεχωρισμένως τὰς ἀνάγκας τιθέντες διὰ τούτων τοὺς φίλους ἐχθροὺς, καὶ τὸ ἀνάπαλιν [2]). οἷον ἐάν τις ἀνάγκη συμβῇ, ὥσπερ καὶ

2) Verba τιθέντες — ἀνάπαλιν, quae leguntur in Junt. Basil. Barn. MS. Gu. exciderunt in ed. King. et, quae illam nimis fideliter sequitur, Musgr. Eaedem in vitio λήγουσι pro λέγουσι conspirant. Mox ἐναλλάσσοντες pro ἀλλάσσοντες e Gu. dedi. In fine Gu. pro ἀμαθεῖς habet, quantum conjicere potui (nam litterae fero

νῦν, ὁ μὲν φίλος ἐχθρὸς, ὁ δὲ ἐχθρὸς φίλος καθίσταται.
οὕτω τοῦτο νοεῖται. οἱ δὲ ἐναλλασσοντες τὰς λέξεις καὶ
τὰς ἀνάγκας ἀντὶ τοῦ ἀνάγκαι, καὶ τὸ νόμοι ἀντὶ τοῦ νό-
μους, καὶ τ᾽ ἄλλα ὁμοίως λέγοντες, ἀμαθεῖς. Ἄλλως. *ΔΕΙ-*
ΝΟΝ ΓΕ ΘΝΗΤΟιΣ. μεταλλακτέον τὰς πτώσεις. ἔστι
γὰρ, καὶ αἱ ἀνάγκαι τοὺς νόμους διώρισαν. ὁ δὲ νοῦς· δει-
νὸν, ὅτι πάντα συνέρχεται τὰ κακὰ κατὰ ταυτὸν τοῖς ἀν-
θρώποις, καὶ αἱ ἀνάγκαι τὰ νενομισμένα τοῖς ἀνθρώποις
μετήλλαξαν. ἐδέδοκτο γὰρ πολέμιον εἶναι τῇ Ἑκάβῃ τὸν
Ἀγαμέμνονα, ἀλλ᾽ ἡ ἀνάγκη τὸν νενομισμένον τῇ Ἑκάβῃ
μετήλλαξεν. Ἄλλως. ἐναντίως εἶπεν· ἔδει γὰρ, καὶ τοὺς
νόμους ἀνάγκαι διορίζουσιν, αὗται καὶ νόμων ἐπικρατέ-
στεραι, οὐ τὸ ἐναντίον, διότι τὰ ἑκούσια τιμωροῦνται, οὐχὶ
τὰ ἐξ ἀνάγκης δρώμενα, ὡς καὶ νῦν ὑμᾶς ἐξ ἀνάγκης φί-
λον ποιεῖσθαι τὸν πολέμιον. *ΔΕΙΝΟΝ ΓΕ ΘΝ.* θαυμα-
στὸν πρᾶγμα ὑπάρχει, ὡς τὰ πάντα τά τε καλὰ καὶ τὰ
κακὰ συνέρχονται τοῖς βροτοῖς, καὶ τὰς ἀνάγκας, ἤγουν
τὴν εἱμαρμένην αὐτὴν, διέταξαν οἱ νόμοι, — ὅπου γὰρ εἱ-
μαρμένον, ἐκεῖ νόμος οὐκ ἔστι· — φίλους τιθέντες τοὺς
πολεμιωτάτους, καὶ ἀνάπαλιν τοὺς φίλους ἐχθρούς. ὁ γὰρ
Ἀγαμέμνων πρὸ τῆς τοιαύτης δυστυχίας τῆς Ἑκάβης, ἤγουν
τοῦ φόνου τοῦ Πολυδώρου, ἐχθρὸς ἦν αὐτῇ, Ἑκάβῃ, ὡς
αἰχμαλωτίσας αὐτήν· νῦν δὲ, καταλαβὸν ταύτην ἕτερον δεινὸν,
καὶ εἰς βοήθειαν Ἀγαμέμνονα χρῄζουσα, φαίνεται φίλος ταύ-
της ὁ πρώην ἐχθρὸς, ὁ δὲ Πολυμήστωρ, ὁ πρώην φίλος, μετὰ
τὴν τοῦ Πολυδώρου σφαγὴν ἐχθρὸς ἐγένετο τῇ Ἑκάβῃ ὁ
πρώην αὐτῇ φίλος. διὸ καὶ τὰ καλὰ καὶ τὰ κακὰ συνέρ-
χονται τοῖς ἀνθρώποις. Fl. 59. ἀντίπτωσις. καὶ αἱ ἀνάγ-
και τοὺς νόμους διεμέρισαν. διορίζουσι, τάσσουσι, διέταξαν.
Fl. 10. 17. 33. 56. 59. 76. ὤφειλεν εἶναι, αἱ ἀνάγκαι
οὐκ ἀκολούθως τοῖς νόμοις πράττουσιν. Fl. 59. ὁ δὲ Δί-
δυμος· οὐ μᾶλλον ὤφειλεν εἰπεῖν, ὅτι τοὺς νόμους αἱ ἀνάγ-
και διορίζουσιν· καὶ γὰρ ἀνάγκαι καὶ τῶν νόμων ἐπικρατέ-
στεραι, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. καὶ νῦν οὖν τὸ ἐναν-
τίον εἶπεν. Fl. 21. οἱ νόμοι τὰ ἑκούσια τιμωροῦνται, οὐ

evanuerunt) οὐκ εὖ λέγουσι. quod nimis lene visum Arsenio. Sequentia desunt in Gu. In iis verba μεταλλακτέον — ὁ δὲ νοῦς, tum ἐδέδοκτο — μετήλλαξεν, omiserunt King. et Musgr. reliquis in paraphrasin conjectis.

τὰ ἐξ ἀνάγκης δρώμενα, ὡς καὶ νῦν ἐξ ἀνάγκης φίλιον ποιεῖται τον πολέμιον· ἐπικρατέστεραι γὰρ τοῦ νόμου αἱ ἀναγκαι. Fl. 10. οὐκ ἔστι τι, ὅπερ οὐκ εὐμαρῶς ἔρχεται τῇ φύσει τῶν ἀνθρωπων. καὶ ἡ ἀναγκη γὰρ αὕτη, ἣ συνδέονται φίλοι ἢ συγγενεῖς, καταλύεται καὶ τρέπεται τοῖς νόμοις, καὶ ἡγούμεθα τὸν παρανομοῦντα φίλον πολέμιον, τὸν δὲ μὴ παρανομοῦντα καὶ ἀδικούμενον φίλον, εἰ καὶ πολέμιος ἐστι. τοῦτο λέγει ὁ Χορὸς προκαταλαμβάνων τὸν τοῦ Ἀγαμέμνονος λόγον, καὶ ἀποφαινομενος, ὡς λίαν δικαίου ὄντος τοῦ πράγματος βοηθηθῆναι τὴν Ἑκάβην. Gu.

V. 829. *ΔΕΙΝΟΝ*, χαλεπὸν καὶ ἄδικόν ἐστι λίαν τὸ μὴ πάσχειν τοὺς κακοὺς (add. κακῶς) καὶ τοὺς ἀγαθοὺς καλῶς. Fl. 33. μέγα πρᾶγμα ὑπαρχει. Fl. 6. 9. 17. 21. 56. 59. 76. φοβερον, δυσνοητον, θαυμαστόν. Fl. 33. *ΑΠΑΝΤΑ*, κακά. Fl. 10. ἃ βούλονταί τε καὶ οὐ βούλονται, καλὰ, κακά. Gu. *ΣΥΜΠΙΤΝΕΙ*, συμβαίνει, (συμπίπτει. Gu.

V. 830. *ΤΑΣ ΑΝΑΓΚΑΣ*, τὰς ἀλύτους διαθέσεις. (ἐν ταῖς ἀνάγκαις. δια τῶν αναγκῶν. Gu. *ΔΙΩΡΙΣΑΝ*, διετύπωσαν, ἀφορίζουσιν. οἷον αἱ ἀναγκαι ουκ ακολούθως τοις νομοις πραττουσιν· ὅθεν αἱ αναγκαι τῶν νομων ἐπικρατέστεραι εισὶν, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. *ΔΙΩΡΙΣΑΝ*, ἀντὶ τοῦ διέστησαν. διορίζομαι το διαβεβαιοῦμαι, τὸ διαμερίζω, ὡς ἐνταῦθα. (ἐχώρισαν τῶν ἄλλων ὧν διακελεύονται, μετηλλαξαν.) ὁρίζω το προστασσω, καὶ ὁρίζομαι κατὰ φιλοσόφους τὸ ὁρισμον λέγω, οἷον τον ἄνθρωπον ζῶον λογικον, καὶ τα ἑξῆς. ἐξορίζω τὸ εἰς ἐξορίαν πέμπω. διορίζω τὸ διΐστω καὶ διαστέλλω, ὡς ἐνταῦθα· διορίζομαι τὸ προστασσω καὶ διαβεβαιοῦμαι. αφορίζω τὸ μακρὰν πέμπω καὶ το ἐκλέγομαι, καὶ τὸ ἀφορισμοὺς γράφω. Gu.

V. 831. *ΤΟΥΣ ΓΕ ΠΟΛΕΜ.* ἤγουν τοὺς πρὶν ἐχθρούς. Gu. δια τὸν Ἀγαμέμνονα. Fl. 59.

V. 832. *ΕΧΘΡΟΥΣ*, Πολυμήστορα. Fl. 10. *ΠΡΙΝ*, δεδοκημένους. Fl. 10. *ΕΥΜΕΝΕΙΣ*, ἤγουν τοὺς φίλους. Fl. 17. 56. διὰ τὸν Πολυμηστορα. Fl. 59.

V. 833 — 839. *ΕΓΩ ΣΕ.* Ἐγώ σε καὶ τὸν σὸν παῖδα, καὶ τὴν δυστυχίαν σου, καὶ τὴν ἱκεσίαν [3]) χεῖρα ἐλεῶ.

3) King. in paraphr. τὴν παρακλητικὴν χ. quod in Gu. scriptum est supra v. ἱκεσίαν. Idem mox θέλω. vulgo θέλων.

καὶ θέλω, φησὶν, ἕνεκα τοῦ δικαίου καὶ τῶν θεῶν ταύτην σοι δοῦναι τὴν χάριν, τὸ τιμωρήσασθαι δηλαδὴ τὸν ἄδικον ξένον, εἴπως δυνατὸν γένοιτο, ὥςτε καὶ σοὶ καλῶς γενέσθαι, καὶ τοῖς Ἕλλησι μὴ δόξω διὰ Κασάνδραν τιμωρεῖσθαι τὸν Πολυμήστορα.

V. 833. *ΤΥΧΑΣ*, δυςτυχίας. Gu. Fl. 33.

V. 834. *ΔΙ' ΟΙΚΤΟΥ*, ἤγουν θέλω ἐλεῆσαί σε καὶ ἔχω κατ' οἶκτον. Fl. 59. ἤγουν ἐλεῶ. Gu.

V. 835. *ΚΑΙ ΒΟΥΛΟΜΑΙ.* βούλομαι ἕνεκα τῶν θεῶν, καὶ ἕνεκα τοῦ δικαίου, δοῦναί σοι τὸν ἀνόσιον τήνδε τὴν δίκην. *ΚΑΙ ΒΟΥΛΟΜΑΙ.* καὶ θέλω παρασχεῖν σοι τήνδε τὴν χάριν, ἤγουν τοῦ ἐκδικῆσαί σε, ἕνεκα τῶν θεῶν καὶ ἕνεκα τοῦ δικαίου αὐτοῦ εἰς τὸν ἀνόσιον ξένον, ἤγουν εἰς τὸν φόνον, ὃν ἔπραξεν ὁ Πολυμήστωρ, ἵνα φανείην, ὥςτε ἔχειν καλῶς ἔν σοι, ἤγουν βοηθῆσαί σοι, καὶ ἵνα μὴ δόξω ἐν τῷ στρατῷ, ὅτι χάριν τῆς Κασάνδρας ἐπιβουλεύω τῷ Πολυμήστορι τοῦ φονεῦσαι αὐτόν. Fl. 59.

V. 837. *ΕΙ ΠΩΣ.* καὶ θέλω, ὅπως, ἵνα. Fl. 59. φανερὸν μὲν ὂν τὸ πρᾶγμα, τίθεται ἀδιστάκτως τὸ ὅπως ἢ τὸ ἕνεκα, ἐλθὲ, ἵνα ποιήσωμαι τόδε· τὸ δὲ ἔχον δισταγμὸν, εἴτε μέλλον γενήσεσθαι, εἴτε καὶ μὴ, τίθεται εἴπως. Fl. 59. σκοπῶ, διανοοῦμαι, τίνι τρόπῳ. (κατὰ τίνα τρόπον.) Gu. *ΦΑΝΕΙΗ*, τὸ πρᾶγμα. Gu. δειχθείην τὸ πρᾶγμα εἰς τὸ βοηθῆσαί σοι. Fl. 6. 9. 17. 21. 56. 59. 76. εἴπως φανείη σοι τοιαύτη συμμαχία, ὥςτε καὶ σοὶ καλῶς γενέσθαι, καὶ τοῖς Ἕλλησι μὴ δόξαι διὰ Κασσάνδραν τοῦτον τιμωρεῖσθαι. Fl. 10. 21. 33. *ΕΧΕΙΝ*, διακεῖσθαι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 838. *ΜΗ ΔΟΞΑΙΜΙ.* δέον δόξαι εἰπεῖν, πρὸς τὸ σοί τ' ἔχειν — ὁ γὰρ τέ σύνδεσμος τοῦτο ἀπήτει — δόξαιμι εἶπε πρὸς τὸ φανείην. ζητῶν δὲ πανταχοῦ ταύτην εὑρήσεις τὴν σύνταξιν. *ΔΟΞΑΙΜΙ*, νομισθείην. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 839. *ΒΟΥΛΕΥΣΑΙ.* μελετῆσαι. Gu. τὸ ἐπιβουλεύω καὶ συμβουλεύω οἱ Ἀττικοὶ χωρὶς τῶν προθέσεων γράφουσι, βουλεύω λέγοντες μόνον, ὡς καὶ τὴν τροφὴν ἀντὶ τοῦ ἀνατροφήν. Fl. 59.

V. 840. *ΕΣΤΙΝ ΓΑΡ Ηι ΤΑΡΑΓΜΟΣ.* τὸ τὶ ἐλ-

λείπει, ἵν' ᾖ, ἔστι γάρ τι πρᾶγμα 4) [φησὶ,] καθὸ τετάραγμαι. ποῖον τοῦτο; τὸν ἄνδρα τοῦτον φίλον ἡγεῖται στρατός. Ἄλλως. ἔμελλεν εἰπεῖν, ὅτι ἔστι φίλος τοῖς Ἕλλησιν. εἶτα μεταλογισάμενος φησὶν, ὅτι ταραγμὸς ἐμπέπτωκέ μοι, ἀντὶ τοῦ τετάραγμαι, ἐννοήσας, ὅτι φίλος ἐστὶ τῷ στρατεύματι ὁ Πολυμήστωρ. *ΕΣΤΙΝ.* ἔστι γὰρ μερὶς, ἐφ' ᾗ, ὅπου. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *Ηι*, ἔν τινι. Fl. 33. *ΤΑΡΑΓΜΟΣ*, δειλία. Fl. 56. Gu. *ΕΜΠΕΠΤΩΚΕ*, ἐπῆλθε. Fl. 56. ἔπεσεν. Fl. 33. ὑπερβατὸν μέχρι καὶ τοῦ διαβληθήσομαι. Gu.

V. 841. *ΦΙΛΟΝ*, προςφιλῆ. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. τὸ φιλεῖν καὶ ὁ φίλος διαφορεῖται (διφ—) παρὰ τοῖς ποιηταῖς· ἔστι γὰρ καὶ μακρὸν καὶ βραχὺ τὸ φίλος. Fl. 21.

V. 842. *ΤΟΝ ΚΑΤΘΑΝΟΝΤΑ*, τὸν Πολύδωρον. Gu. Florr. *ΕΙ ΔΕ ΣΟΙ ΦΙΛΟΣ.* εἰ δὲ φίλος ὑπάρχει σοι ὁ Πολύδωρος, χωρὶς ὑπάρχει τῷ στρατῷ τοῦτο. μόνη σὺ ἔχεις αὐτὸν φίλον, στρατὸς δὲ οὔ. μᾶλλον τὸν Πολυμήστορα ἔχει τὸ κοινὸν φίλον. Fl. 59. τὸ εἰ ἐνταῦθα ἀντὶ τοῦ πολλάκις. Fl. 17. εἰ δέ σοι φίλος Πολύδωρος, τοῦτο οὐ κοινὸν τῷ στρατῷ, ὡς συμπονῆσαί σοι. Fl. 25.

V. 843. *ΟΔ'*, ὁ υἱός σου. Fl. 10. ὁ κατθανών. Gu. *ΧΩΡΙΣ ΤΟΥΤΟ*, κατ' ἰδίαν σοὶ μόνῃ τοῦτο. (ἰδίως, κεχωρισμένως ὑπάρχει, ἤγουν ἴδιον ὑπάρχει σοι τὸ ἀγαπᾷν τὸν υἱόν σου, καὶ οὐ συντείνει πρὸς τὸν στρατὸν ἡ πρὸς τοῦτόν σοι φιλία.) Gu. χωρὶ ἀντὶ τοῦ ἄνευ, χωρὶς ἀντὶ τοῦ μακράν. Fl. 21. *ΚΟΙΝΟΝ*, δηλονότι εἰ ἔστι φίλος σοι, οὐκ ἔστι τῷ στρατῷ τῷ Ἑλληνικῷ. Fl. 21. εἴποιεν οἱ Ἕλληνες ἐμοί· εἰ δέ σοι φίλος Πολύδωρος, τοῦτο οὐ κοινὸν τῷ στρατῷ. καὶ ἄλλως ἀπὸ τοῦ Ἀγαμέμνονος τῇ Ἑκάβῃ· εἴ σοι φίλος ὡς υἱός, ὁ Πολύδωρος, ἀλλ' οὐχὶ καὶ τῷ στρατῷ, ὡς συμπονῆσαί σοι. καὶ ἄλλως. εἰ δὲ ὅδε καὶ οὗτος ἔστι σοι φίλος. ἤγουν εἰ καὶ ἐγὼ φίλος σου εἰμὶ, ἀλλ' οὐ κοινὸν τοῦτο καὶ τῷ στρατῷ. ὡς εἶναι κἀκείνους φίλους σούς. Gu.

V. 844 sqq. *ΦΡΟΝΤΙΖΕ*, γίνωσκε. (σκόπει.) Florr. Gu. σὺ δὲ, ὦ Ἑκάβη, φρόντιζε, ὡς ἔχεις με ταχὺ θέ-

4) πρᾶγμα addit Gu. qui om. φησί. Supra idem: λείπει τὸ τὶ, ἵν' ᾖ etc.

λοντα βοηθῆσαί σοι, βραδὺν δὲ, εἴπερ χάριν Κασάνδρας διαβληθήσομαι. Fl. 25. πρὸς ταῦτα σκόπει, ὡς ὅτι θέλοντα μὲν καὶ βουλόμενον καὶ ὀρεγόμενον ἔχεις ἐμὲ εἰς τὸ βοηθῆσαί σοι, καὶ ταχὺν αὖθις εἰς τὸ προςαρκέσαι σοι. εἰ δὲ διαβληθήσομαι καὶ κατηγορηθήσομαι ἐν τοῖς Ἀχαιοῖς, ὅτι τὸν υἱόν σου βοηθῶ, ἔχεις με βραδὺν εἰς βοήθειαν. Fl. 59.

V. 8 5. *ΞΥΜΠΟΝΗΣΑΙ*, συγκοπιάσαι. Gu. *ΠΡΟΣΑΡΚΕΣΑΙ*, εἰς τὸ ἐπαρκέσαι ἤγουν εἰς τὸ βοηθῆσαι. Gu. Florr.

V. 846. *ΒΡΑΔΥΝ*, ἀργὸν, ἀκίνητον, τουτέστιν οὐ βοηθοῦντά σοι, ἔχεις. Gu. *ΔΙΑΒΛΗΘΗΣΟΜΑΙ*, προδοθήσομαι, (καταγνωσθήσομαι, εἰ μέλλω κατηγορηθῆναι, χάριν Κασάνδρας βοηθεῖν σοι,. διαβάλλω τὸ ψευδῆ κατηγορῶ, ὅθεν καὶ διαβολεὺς καὶ διάβολος· καὶ διαβάλλω τὸ ἁπλῶς κατηγορῶ, ὡς τὸ διαβέλουσι (sic) τὸν ἅγιον τὸν τῶν Χριστιανῶν πρεσβεύοντα. Gu.

V. 847—850. *ΦΕΥ ΟΥΚ ΕΣΤΙ ΘΝΗΤΩΝ*. ταῦτα φησὶν, ἐπειδὴ ἐν ἐξουσίᾳ ὢν ὁ Ἀγαμέμνων, οὐ δύναται αυτῇ χάριν παρασχεῖν, ὑφορώμενος τοὺς Ἕλληνας. *ΦΕΥ ΟΥΚ ΕΣΤΙΝ*. οὐκ ἔστιν ὅςτις ἀπὸ τῶν θνητῶν ἐστὶν ἐλεύθερος, ἀντὶ τοῦ ὅςτις οὐκ ἔστι δοῦλος· ἢ γὰρ δοῦλος ἐστὶ χρημάτων [κατὰ κοινοῦ], ἤγουν φιλοχρήματος, ἢ δοῦλος, κατα κοινοῦ, τύχης καὶ εὐτυχίας, ἢ τὸ πλῆθος, ἤγουν ὁ δῆμος τῆς πόλεως, ἢ αἱ γραφαὶ τῶν νόμων, ἤτοι αἱ νομικαὶ διατάξεις, κωλύουσιν αὐτὸν μὴ χρῆσθαι τοῖς νόμοις κατὰ γνώμην,, καὶ κατὰ θέλησιν. *ΦΕΥ, ΟΥΚ ΕΣΤΙ*. οὐκ ἐστί τις ἀπὸ τῶν θνητῶν, ὅςτις ὑπάρχει ἀκαταδούλωτος· ἢ χρημάτων γάρ δοῦλός ἐστιν, ἤγουν ὁ ἐπιθυμῶν χρημάτων δουλοῦται καὶ οὐ πράττει εἴ τι βούλεται, ἀλλ᾽ ὅσον περὶ (παρὰ?) τοῦ δεσπότου αὐτοῦ προσταχθῇ· καὶ λέγεται ἐκεῖνος δοῦλος χρημάτων· διὰ γὰρ τὰ χρήματα ἐδουλώθη. ἢ τῆς τύχης ἐστὶ δοῦλος, ὡς καὶ ἡ Ἑκάβη, πρότερον δέσποινα οὖσα, ὕστερον ὑπὸ τῆς τύχης ἐγένετο δούλη. καὶ λέγεται τοῦτο δοῦλος τύχης, ὅςτις κακοπραγεῖ. ἢ ἐστὶ δοῦλος τοῦ πλήθους, ὡς ὁ βασιλεύς. καὶ νῦν ὁ Ἀγαμέμνων βασιλεὺς ὢν ὅμως φοβεῖται τὸ πλῆθος τὸ βοηθῆσαι την Ἑκάβην καὶ φονεῦσαι τὸν Πολυμήστορα· οὐ γὰρ δύναται βασιλεὺς πρᾶξαί τι, μὴ θέλοντος τοῦ κοινοῦ· ὁ γὰρ τυχὼν ἄνθρωπος ἕνα μόνον φοβεῖται. τὸν βασιλέα, ὁ δὲ βασιλεὺς ουχ ἕνα μόνον, ἀλλὰ τὸ πλῆθος. Fl. 59. ἀστοχήσασα ἡ Ἑκάβη τοῦ ζητουμένου καθόλου γνωματευομένη ποιεῖται τὸν λόγον, ὡς παντες οἱ ἄνθρωποι δεδούλωνταί τισι καὶ οὐκ εἰσὶν ἐλευθεροι, ὥςτε πράττειν τὰ κατὰ βούλησιν. Gu.

V. 8i8. *Η ΧΡΗΜΑΤΩΝ ΓΑΡ*. τῆς εὐτυχίας εὐδαίμονος ἀνδρός· τῇ γὰρ εὐτυχίᾳ τῶν μειζόνων δουλεύομεν. οὕτως τινές. ἢ τῆς θείας γοῦν τύχης φησὶ, ἀλλὰ τῆς μερικῆς καὶ ἐν ἀνδράσιν ὁρῶμεν. δοῦλος τύχης ἐστὶν ὁ ἀπὸ τύχης ἀναγκαζόμενος δουλεύειν, οἷον τὰ χαρισμένα (leg. κεχαρ—) πράττεις τοῖς Ἕλλησιν. [5]) Fl. 53. *ΔΟΥΛΟΣ* πᾶς ἐστιν ἐκείνου τοῦ πράγματος, οὗ ἥττων ἐστι, καὶ πράττει τὰ ἀρέσκοντα ἐκείνῳ. Gu. *Η ΤΥΧΗΣ*. τύχη λέγεται κυρίως, ὅταν ἄλλο ἐνεργῇ τις, εἶτα ἄλλο συμβῇ. τύχαι γὰρ [6]) παρ᾽ Ἕλλησι καὶ αἱ ταπειναὶ τάξεις τῶν ἀνθρώπων καὶ ὑποτεταγμέναι, καὶ αἱ ὑψηλαὶ καὶ ἐπικρατοῦσαι. ἀπὸ τῆς τύχης γὰρ ἐνόμιζον ταῦτα γίνεσθαι τοῖς ἀνθρώποις, οὐκ ἀπὸ εὐβουλίας τε καὶ κακοβουλίας. ἐνταῦθα κατὰ τὸ δεύτερον σημαινόμενον λέγεται, ἤγουν ἢ χρημάτων γάρ ἐστι δοῦλος, ἢ τύχης ἐστὶ δοῦλος, τουτέστιν ὑψηλοτέρας τινὸς τάξεως καὶ ἐπικρατούσης. διαφέρει δὲ ἡ τύχη τοῦ αὐτομάτου, τῷ τὴν μὲν τύχην εἶναι τοῦτο, ὅπερ εἴρηται, τὸ δὲ αὐτόματον, ὅταν γένηταί τι [ἄλλο], ἄλλου μηδαμῶς ἐνεργοῦντος. δοῦλος δὲ τύχης ἐστὶν, ὁ ἀναγκαζόμενος δουλεύειν τῇ τῶν κρειττόνων εὐτυχίᾳ.

V. 849. *ΠΛΗΘΟΣ ΠΟΛ*. ὁ δῆμος κωλύει τὸ μὴ πράττειν ὃ βούλεται. Fl. 17. 59. 76. σχῆμα ζεῦγμα. Fl. 53. εἴργουσιν. ζεῦγμα· νόμος γὰρ ἦν μὴ κακοποιεῖν κοινὸν φίλον πόλεως δι᾽ οἰκείαν ἔχθραν. Gu. a m. 2. *Η ΝΟΜΩΝ ΓΡΑΦΑΙ*, νόμοι γεγραμμένοι. Gu. a m. pr. ἢ νόμων γράφει κωλύουσιν αὐτὸν μὴ χρῆσθαι τοῖς κατὰ γνώμην τρόποις· θέλει γάρ τις ἵνα πορνεύσῃ ἢ κλέψῃ, ἀλλ᾽

5) Ultima τὰ κεχαρ. aliena sunt ab hoc loco et ad v. 851. pertinent.

6) γὰρ add. King. Idem τάξεις pro vulg. πράξεις, ταῦτα γίνεσθαι pro πάντα γίν. quae omnia confirmantur cod. Gu. Sic etiam in seqq. cod. τῷ τὴν μὲν τύχην, King. τῷ μὲν τὴν τύχην: tum cod. ὅταν γένηται τι μηδενὸς ἄλλου μηδενὸς ἐνεργοῦντος. King. ὅταν γέν. τι μηδενὸς ἄλλου μηδαμῶς ἐνεργ. Ultima δοῦλος δὲ — εὐτυχίᾳ desunt in Gu.

ἐνθυμηθεὶς ὅσον ὁ νόμος περὶ τούτου διακελεύεται, φοβεῖται καὶ οὐ πράττει ὅσον βούλεται. Fl. 59.

V. 850. *ΕΙΡΓΟΥΣΙ ΧΡΗΣΘΑΙ*, κωλύουσι μὴ χρῆσθαι τοῖς τρόποις τοῖς ἑαυτοῦ (ἑαυτῶν Gu.) δηλονότι κατὰ γνώμην, ἤγουν κατὰ θέλησιν. Gu. Fl. 59. 76. qui addunt: κατὰ τὸ θέλημα αὐτοῦ. τοῦ μὴ δὲ καὶ ὄντος καὶ ἀπόντος σώζεται ὁ λόγος. *ΤΡΟΠΟΙΣ*, τοῖς θελήμασι, βουλεύμασι, τῇ τῆς ψυχῆς προαιρέσει. Gu. a m. 2.

V. 851—858. *ΕΠΕΙ ΔΕ ΤΑΡΒΕΙΣ*. ἐπεὶ δὲ φοβῇ, καὶ τῷ ὄχλῳ πλέον νέμεις, ἀντὶ τοῦ κεχαρισμένα τοῖς Ἕλλησιν [7]), ἐγὼ ποιήσω σε ἀπολελυμένον τοῦδε τοῦ φόβου. συνεπίστασο, ἐὰν βουλεύσω τι κακὸν τῷ ἀποκτείναντι τὸν Πολύδωρον δηλονότι, καὶ μὴ συμπράξῃς. ἐὰν δὲ πάσχοντος τοῦ Πολυμήστορος οἷα πείσεται καὶ ὑπομενεῖ, φανῇ ἐκ τῶν Ἀχαιῶν θόρυβός τις ἢ κακοήθεια [8]), κώλυε, μὴ φαινόμενος δι᾽ ἐμὲ εἴργειν δηλονότι. τὰ δ᾽ ἄλλα, κατὰ τὰ ἄλλα θάῤῥει, ἐγὼ ποιήσω πάντα καλῶς.

V. 851. *ΤΩι Τ. Ο. ΠΛΕΟΝ ΝΕΜΕΙΣ*, τῷ γε πλήθει, ἤγουν τὸ πλῆθος προτιμᾷς. Fl. 17. 59. *ΠΛΕΟΝ*, τῆς σῆς διαθέσεως. Gu. a m. pr. *ΠΛ. ΝΕΜΕΙΣ*, τουτέστι τὰ προςφιλῆ καὶ κεχαρισμένα τοῖς Ἕλλησι πράσσεις, ἀντὶ τοῦ πλέον πίπτεις εἰς τὸ μέρος τῶν Ἑλλήνων ἢ εἰς ἐμέ. Gu. a m. 2. *ΝΕΜΕΙΣ*, δίδως. Fl. 59.

V. 852. *ΕΛΕΥΘΕΡΟΝ*, ἀπολελυμένον. Gu. ἀμέτοχον. Fl. 17.

V. 853. *ΞΥΝΙΣΘΙ*, συνεπίστασο. (συγγίνωσκε.) Gu. συγγίνωσκε μὲν γὰρ τῷ μέλλοντι φονεῦσαι τοῦτον τὸν Πολυμήστορα, ἐὰν βουλεῦσαι (βουλεύσω) τι κακὸν περὶ αὐτοῦ, μηδὲν δὲ συνδράσῃς καὶ οὐ συμπράξεις σὺν ἐμοὶ εἰς τὸν φόνον αὐτοῦ. Fl. 59. *ΒΟΥΛΕΥΣΩ*, ἐργάσωμαι. Gu. a m. 2. ἤγουν ἐὰν φονεύσω αὐτόν. Fl. 59.

V. 854. *ΣΥΝΔΡΑΣΗιΣ ΔΕ ΜΗ*. διχῶς τοῦτο νοητέον, ἢ μὴ συνδράσῃς ἐμοὶ τῷ ἀποκτείναντι, ἤγουν κατὰ

7) Hic excidisse videntur ea, quae ad v. 851. habet Fl. 10. τα κεχαρισμένα ποιεῖς τοῖς Ἕλλησιν.

8 Leg. ἢ καὶ βοήθεια King. ἢ συνδρομή, quod in Gu. supra ἐπικουρία scriptum est.

τοῦ ἀποκτείναντος τόνδε τὸν Πολύδωρον [9]) δηλονότι, ἢ μὴ συνδράσῃς τῷ ἀποκτείναντι τόνδε. Fl. 21. ἢ [10]) τὸ ὑποτακτικὸν ἀπαγορευτικὸν ἀντὶ τοῦ προςτακτικοῦ κατὰ Ἀττικούς, ἤγουν μὴ σύνδρασον. Gu. a m. 2. ἤγουν μὴ βοηθήσῃς. Gu. a m. 2. μηδὲ συμβοηθήσῃς ἐμοί. Fl. 59. τὸ μὴ κεῖται κατὰ περισσοτέραν ἐνέργειαν (ἐνάργειαν Gu.), ὡς λέγομεν, κωλύει τὸν δεῖνα τοῦ μὴ ἱερατεύειν. Fl. 25. Gu. qui addit: καὶ τὸ μὴ μετὰ παρατατικοῦ προςτακτικῶς συντάσσεται, μὴ τύπτε, καὶ μετὰ τοῦ τρίτου προςώπου τῶν ἑνικῶν καὶ τῶν πληθυντικῶν τοῦ ἀορίστου [1]), μὴ ποιησάτω, μὴ ποιησάτωσαν, μετὰ δὲ τοῦ δευτέρου τῶν ἑνικῶν ὑποτακτικῶς μὴ ποιήσῃς, καὶ τοῦ ὑποτακτικοῦ προςταγὴν δηλοῦντος. Gu. a m. pr.


V. 855. *ΘΟΡΥΒΟΣ*, ταραχή. Gu. ἕνεκεν τῆς δίκης, ἣν ἐκείνῳ ποιήσομεν. Fl. 21. *ΕΠΙΚΟΥΡΙΑ*, συνδρομή, βοήθεια. Gu. βοήθεια Πολυμήστορι. Fl. 6. 9. 17. 21. 56. 59. 76. φοβηθεῖσα ἡ Ἑκάβη, μήπως, ὅταν ἔμελλε φονεῦσαι αὐτὸν, ἀποτύχῃ τούτου, καὶ γίνεται θόρυβος, ἢ, ὅταν ἔμελλε φονεύειν αὐτὸν, λαλήσῃ καὶ γένηται ὄχλησις, καὶ ἀκούσαντες οἱ Ἕλληνες ἔλθωσι καὶ οὐκ ἐάσωσι φονεῦσαι αὐτὸν, λέγει· ἐὰν δὲ πολλάκις, φονευομένου τοῦ Πολυμήστορος, φανῇ ἀπὸ τῶν Ἀχαιῶν τις θόρυβος ἢ βοήθεια, οἷα πείσεται, ἤγουν οἷα μέλλει παθεῖν παρ᾽ ἐμοῦ, τοῦτο κώλυσον, μόνον μὴ δοκῶν διὰ τὴν ἐμὴν χάριν ποιῶν (ποιεῖν) τοῦτο, διὰ δὲ τὸ δίκαιον. εἰς τὰ ἄλλα, ἤγουν εἰς τὸν φόνον αὐτοῦ, θάρσει· πάντα ἐγὼ πράξω καλῶς, ἤγουν δύναμαι φονεῦσαι αὐτόν. Fl. 59.

V. 856. *ΠΑΣΧΟΝΤΟΣ*, τινὸς πράγματος γενομένου. Fl. 17.

V. 857. *ΕΙΡΓΕ*, κώλυε τοῦτο. Fl. 17. 59. 76. *ΔΟΚΩΝ*, φαινόμενος (μὴ νομιζόμενος. εἴργειν). Gu.

9) Haec κατὰ τοῦ ἀποκτ. τόνδε ἤγουν τὸν Π. in Gu. suprascripta sunt.

10) Sic liquido exaratum in Cod. In eo hoc scholion in margine interiore scriptum est, id quod sequitur, inter lineas, utrum eadem an alia manu, non possum dignoscere. Fortasse cohaerent ἤγουν μὴ βοηθήσῃς, ἢ τὸ ὑποτ.

1) In Cod. haec sunt compendia καὶ τῶν .

V. 858. *ΤΑ Δ' ΑΛΛΑ.* κατὰ τὰ ἄλλα. (ἤγουν ὅπως φονευθῇ.) Gu. ἤγουν πῶς μέλλω φονεῦσαι αὐτόν. Fl. 6 9. 17. 21. 56. 59. 76. *ΘΑΡΣΕΙ*, ἤγουν μεγάλην ἀφοβίαν ἔχε. Gu. θάῤῥος ἐξ ἐλπίδος ἀφοβία, θάρσος ἐκ μεγάλης ἐλπίδος ἀφοβία, θράσος ἡ ἀπερίσκεπτος (ὁρμὴ add. Flor.). Gu. Fl. 25. ἀπὸ τοῦ θέρω τὸ θερμαίνω ἐτυμολογεῖται τὸ θράσος, ὅπερ μετατιθέμενον γίνεται καὶ θάρσος (θάρσος). καὶ θράσος μὲν ὁ ἀλόγιστος θυμὸς, θάρσος δὲ ὁ ἔλλογος ἐπὶ ψυχῆς. Fl. 59.

V. 859—862. *ΠΩΣ ΟΥΝ.* τί οὖν πράξεις, ὦ 'γραῖα; πότερα μετὰ ξίφους φονεύσεις αὐτὸν μετὰ (leg. ἢ μετὰ) φαρμάκων ἢ μετὰ βοηθείας τινός; τίς χεὶρ καὶ ποία δύναμις ἔσται μετὰ μοῦ (sic. leg. μετὰ σοῦ); πόθεν ἔχεις τοὺς φίλους τοὺς μέλλοντας βοηθῆσαί σοι; Fl. 59.

V. 859. *ΠΩΣ ΟΥΝ; ΤΙ ΔΡ.* κατὰ τίνα τρόπον ποιήσεις καλῶς. [2]) (τὸ πῶς μὲν δηλοῖ τὸν τρόπον, τὸ δὲ τί τὸ πρᾶγμα.) Gu.

V. 860. *ΓΡΑΙΑι*, σὺ ἡ γεραία, ἡ χειρὶ γεραία. Fl. 21. ἐμφαντικὸν ἀδυναμίας. Gu. *ΒΑΡΒΑΡΟΝ.* ἐμφαντικὸν δυνάμεως. Gu.

V. 861. *ΦΑΡΜΑΚΟΙΣΙΝ*, μαγείαις (γοητείαις) ἢ δηλητηρίοις· φάρμακα γὰρ καὶ αἱ μαγεῖαι. Gu.

V. 862. *ΣΥΝΕΣΤΑΙ*, σύμμαχος ἔσται. Gu. *ΧΕΙΡ*, τίς σοι συνυπάρξει δύναμις. *ΧΕΙΡ.* δύναμις (βοήθεια). Gu. *ΠΟΘΕΝ*, ἐκ ποίας μηχανῆς καὶ ἀφορμῆς, αἰτίας. Gu. a m. 2. *ΚΤΗΣΗι*, ἕξεις. Gu.

V. 863. *ΣΤΕΓΑΙ*, αἱ σκηναί. Gu. *ΚΕΚΕΥΘΟΥΣΙ*, κρύπτουσι. (ἔστι δὲ τὸ κε ἀναδίπλωσις ποιητικὴ, ὡς τὸ κεκάδονται.) Gu. κεύθουσι. Fl. 55.

V. 864. *ΤΑΣ ΑΙΧΜΑΛΩΤΟΥΣ*, ἐμφαντικὸν ἀδυναμίας. Gu. *ΕΛΑ. ΑΓΡΑΝ.* ἤγουν ἃς ἤγρευσαν ἀντὶ τοῦ ᾐχμαλώτευσαν οἱ Ἕλληνες. [3]) Gu. *ΤΑΣ ΑΙΧΜ. — ΑΓΡΑΝ.* ἐρωτηματικόν. Gu. a m. 2. Fl. 21.

2) Ex his glossis Gu. in Cod. C. C. C. etiam, nisi fallor, repertis, King. hujus loci paraphrasin coagmentavit.

3) Vitiose King. in paraphr. ἃς ἠγρεύσαντες ᾐχμ.

V. 865. *ΤΟΝ ΕΜΟΝ ΦΟΝΕΑ.* οἰκειοῦται τὸν τοῦ παιδὸς θάνατον. Gu. Fl. 17. 59. 76. *ΤΙΜΩΡΗΣΟΜΑΙ*, κολάσω. *ΤΙΜΩΡΗΣ.* φονεύσω. Fl. 59. τιμωρῶ, τὸ βοηθῶ γράφεται πάντοτε ἐνεργητικῶς, οὐ μὴν δὲ καὶ παθητικῶς· τὸ δὲ τιμωρῶ τὸ κολάζω παθητικῶς γράφεται καὶ ἐνεργητικῶς. Fl. 59.

V. 866. *ΚΑΙ ΠΩΣ*, καὶ πῶς ἔσται ταῖς γυναιξὶ κράτος τῶν ἀρσένων, ἤγουν καὶ πῶς αἱ γυναῖκες κρατήσουσιν ἢ νικήσουσι τοὺς ἄνδρας; Gu. καὶ πῶς ὑπάρξει ταῖς γυναιξὶ κράτος καὶ δύναμις κατὰ τῶν ἀρσένων, ἤγουν αἱ γυναῖκες πῶς μέλλουσι φονεῦσαι ἄνδρα. Fl. 59. *ΚΡΑΤΟΣ*, ἐπικράτεια. *ΚΡΑΤΟΣ*, νίκη, κυρίευσις. Gu. a m. 2.

V. 867. *ΔΕΙΝΟΝ.* χαλεπὸν [4]) τὸ πλῆθος καὶ σὺν δόλῳ δυςκαταγώνιστον. *ΔΕΙΝΟΝ*, χαλεπόν, (ἰσχυρόν). Gu. *ΣΥΝ ΔΟΛΩι*, μετὰ δόλου. Gu. *ΔΥΣΜΑΧΟΝ*, ἀκαταμάχητον. (δυςμάχητον, δυςκαταγώνιστον.) Gu.

V. 869. *ΔΕΙΝΟΝ*, (ναὶ, ἀληθῆ λέγεις) χαλεπόν. Gu. *ΜΕΜΦΟΜΑΙ*, ψέγω. (καταγινώσκω καὶ φαῦλον ἡγοῦμαι· ἀσθενὲς γὰρ καὶ μαλακόν.) Gu. [5])

V. 869. 870. *ΤΙ Δ'; ΟΥ ΓΥΝΑΙΚΕΣ.* τί δέ; οὐ γυναῖκες ἀνεῖλον τὰ τέκνα τοῦ Αἰγύπτου, καὶ τοὺς ἄρσενας ἐξοικισθῆναι ἐποίησαν τῆς Λήμνου, ἀντίστροφον, ἀντὶ τοῦ τοὺς ἄρσενας ἐξῴκισαν ἄρδην τῆς Λήμνου. Ἱστορία. Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ἦσαν, Ἰοῦς δὲ τῆς Ἰνάχου θυγατρὸς ἀπόγονοι [6]). τούτων ὁ μὲν Αἴγυπτος ἔσχε [7]) παῖδας ἄρσενας πεντήκοντα, ὁ δὲ Δαναὸς καὶ αὐτὸς θυγατέρας ν. οὗτος τῷ ἀδελφῷ Αἰγύπτῳ φθονῶν διὰ τὴν τῶν ἀρσένων κτῆσιν, καὶ φοβηθεὶς, μήπως ὑπ' αὐτοῦ τῆς βασιλείας ἐκβληθῇ, ἀνδρωθέντων τῶν υἱῶν αὐτοῦ, ἐδίωξεν αὐτὸν εἰς Αἴγυπτον ἅμα τοῖς παισὶν αὐτοῦ, ὅθεν καὶ ἀπ' αὐτοῦ ἡ χώρα [8]) Αἴγυπτος ἐκλήθη. χρόνου δέ τινος διαγενομένου,

4) King. in paraphr. et hic et ad sq. v. φοβερόν.

5) King. ναὶ φοβερόν ἐστιν· ἀλλὰ θῆλυ γένος, εἰ καὶ πολὺ, οὐδὲν ἰσχύει.

6) Gu. παῖδες.

7) Sic Junt. Basil. Gu. εἶχε King. Musgr.

8) ἡ χώρα. Sic Gu. King. vitiose χωρίς. Junt. Bas. ἀπ' αὐτου Αἰγ. Mox e Gu. dedi διαγενομένου pro διαγινομένου et ὁ Αἰγ.

καὶ τῶν παίδων ἀνδρωθέντων, θαῤῥῶν ὁ Αἴγυπτος τῇ τού-
των δυνάμει, παρεγένετο εἰς τὸ Ἄργος. ὁ δὲ Δαναὸς φο-
βηθεὶς [9]) αὐτὸν, πρόνοιαν ποιούμενος τῆς βασιλείας, κατὰ
τῶν Αἰγύπτου υἱῶν τοιαύτην ἐσκέψατο τὴν ἐπιβουλήν· συν-
έθετο γὰρ τῷ Αἰγύπτῳ συνάψαι πρὸς γάμον τὰς ἑαυτοῦ
θυγατέρας τοῖς υἱοῖς αὐτοῦ. ἑτοίμως δὲ τοῦτο κατεπαγγει-
λάμενος τῷ Αἰγύπτῳ [10]), συνεβούλευσε ταῖς θυγατράσιν ὁ
Δαναὸς, ὥστε ἀνελεῖν νύκτωρ τοὺς ἑαυτῶν ἄνδρας πρὸ
τῆς μίξεως τῆς πρὸς αὐτοὺς [1]), θανατον ἐπαπειλήσας ταῖς
μὴ τοῦτο ποιησάσαις. αἱ μὲν οὖν ἄλλαι τὸ τοῦ πατρὸς τη-
ρήσασαι [2]) πρόσταγμα ἀνεῖλον τοὺς ἄνδρας, μία δὲ τούτων
μόνη ἡ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, ἀπὸ τῆς μίξεως
διάθεσιν ἐσχηκυῖα πρὸς αὐτόν. οὗτος δὲ σωθεὶς [3]), ἐξεδί-
κησε τοὺς ἀδελφούς. ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ Δα-
ναοῦ, ἅμα καὶ αὐτόν, καὶ τῆς τούτου βασιλείας ἐκράτησε
τοῦ Ἄργους ἅμα τῇ Ὑπερμνήστρᾳ. καὶ γίνεται ἐκ τούτου
Ἄβας, ἐξ Ἄβαντος Προῖτος καὶ Ἀκρίσιος, ἐξ Ἀκρισίου
Δανάη, ἐκ Δανάης Περσεύς, ἐκ Περσέως Ἀλκαῖος, Ἠλεκ-
τρύων καὶ Σθένελος, ὧν ὁ μὲν Ἀλκαῖος ἔσχε τὸν Ἀμφι-
τρύωνα παῖδα, ὁ δὲ Ἠλεκτρύων τὴν Ἀλκμήνην, ἐξ Ἀλ-
κμήνης δὲ Ἡρακλῆς καὶ Ἴφικλος, ἐξ οὗ Ἰόλαος. φασὶ δὲ
οἱ ποιηταὶ ταύτας ἐν ᾅδου κολάζεσθαι διὰ τὸν φόνον τῶν
ἰδίων ἀνδρῶν, ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημέ-
νῳ πίθῳ. ὅθεν καὶ παροιμίαν [4]) ἐπὶ τῶν ἀνήνυτα μο-
χθούντων εἰς τετρυπημένον πίθον ἀντλεῖν λέγομεν.

V. 870. *ΚΑΙ ΛΗΜΝΟΝ ΑΡΔΗΝ.* ἐν Λήμνῳ γυ-

9) King. Musgr. addunt ἔτι πλέον φοβ. In τὴν ἐπιβ. articulus est e Gu.

10) Sic Gu. At Junt. Basil. κατεπαγγελλόμενος. King. Musgr. κατεπαγγελλομένου τοῦ Αἰγύπτου.

1) Gu. πρὸ τοῦ μιγῆναι τούτους αὐταῖς, prout edidit King. E Gu. recepi ποιησάσαις pro ποιούσαις.

2) Gu. αἱ μὲν οὖν πᾶσαι τὸ τοῦ π. τηρήσασαι. Hoc recepi pro vulg. ἔχουσαι.

3) Gu. ουτος σωθεὶς τῶν ἀδελφῶν ἀμύντωρ ἐγένετο, καὶ φονεύσας τὸν Δαναὸν σὺν ταῖς θυγατράσι τῆς Ἄργους βασιλείας ἐκράτησεν ἅμα τῇ Ὑπ. Idem sqq. καὶ γίνεται — Ἰόλαος omittit.

4) παροιμίαν Gu. Vulgo παροιμία.

ναῖκες ἐτέλουν ἐτήσιον ἑορτὴν τῇ Ἀφροδίτῃ. ἐπεὶ οὖν
ποτὲ καταφρονήσασαι τῆς θεοῦ, ἀπέλιπον τὸ ἔθος, ὀργι-
σθεῖσα [5]) ἡ Ἀφροδίτη ἐνέβαλεν αὐταῖς δυσωδίαν, ὡς μὴ
δύνασθαι τοὺς αὐτῶν ἄνδρας αὐταῖς πλησιάσαι. αἱ δὲ νο-
μίσασαι ὑπὸ τῶν ἀνδρῶν καταφρονεῖσθαι, τούτους πάντας

5) οργισθεῖσα e Gu. addidi, in quo hoc scholion sequitur alterum, quod scholio vulgato subjeci. Idem mox δυσοδμίαν pro δυσωδίαν et τοὺς αὐτῶν ἄνδρας pro τοὺς ἑαυτῶν ἄ. quod recepi. Paulo ante in Musgr. est καταφρονεῖσθαι pro καταφρονήσασαι, errore operarum: nam in King. vera lectio est. Simile scholion est in Flor. 59. αἱ Λήμνιαι μὴ τιμῶντες (sic) τὴν Ἀφροδίτην, καθὰ καὶ αἱ
ἄλλαι γυναῖκες, ὀργισθεῖσα ἡ θεὰ δέδωκεν αὐταῖς δυσωδίαν εἰς τε
τὴν αἰδῶ καὶ εἰς τὸ στόμα. ἦσαν τοίνυν μισούμεναι παρὰ τῶν
ἀνδρῶν αὐτῶν. ἐκεῖναι δὲ αὐταῖς μὴ συγκοιταζόμεναι μετὰ τῶν
ἀνδρῶν αὐτῶν, ἐμίσησαν αὐτοὺς καὶ ἀπέκτειναν. et in 33. ἔθος ἦν
τοῖς Λημνίοις κατ᾽ ἔτος θύειν τῇ Ἀφροδίτῃ. παριδόντες οὖν τὸ τοι-
οῦτον ἐτήσιον ἔθος, σχεδὸν οὐ μνήμην ἐποίουν αὐτῆς. αὕτη οὖν ὀρ-
γισθεῖσα ἐπέβαλε ταῖς γυναιξὶν αὐτῶν δυσωδίαν, δι᾽ ἣν οἱ ἄνδρες
αὐτὰς ἀπεστρέφοντο. αἱ δὲ ὀργισθεῖσαι ἀνεῖλον τοὺς ἑαυτῶν ὁμευ-
νέτας. μόνη δὲ Ὑψιπύλη ἔσωσε τὸν ἑαυτῆς ἄνδρα Θόαντα. τούτου
οὖν ἀναμιμνήσκουσα τὸν Ἀγαμέμνονα ἡ Ἑκάβη, δηλοῖ, ὅτι οὐκ
ἔστι δυσκατόρθωτον τὸ τοὺς ἄνδρας ὑπὸ γυναικῶν φονεῦσαι. Sqq.
ὁ δὲ Δίδυμος κ. τ. λ. desunt in Gu. sed pro iis est plenius scho-
lion, quod subjeci. Ad scholion vulg. prope accedit aliud in Flor.
33. sed ita, ut in nonnullis cum Gu. conspiret: οἱ Πελασγοὶ ταῖς
Ἀθήναις ἐπιθέμενοι ποτὲ, πολλοὺς τῶν ἐξ Ἀθηνῶν ἁρπάσαντες
ἤγαγον εἰς Λῆμνον, ἐν οἷς ἔτι καὶ γυναῖκας ἥρπασαν, αἷς πολλά-
κις (sic) χρησάμενοι ἐπαιδοποίησαν. αἱ δὲ τοὺς παῖδας τὴν πάτριον
φωνὴν καὶ τὰ ἤθη ἐδίδαξαν· οἳ καὶ βήσαντες (leg. ἡβήσαντες)
συνήρχοντο ἀλλήλοις καὶ φίλοι ἦσαν, καὶ τοὺς ἀδικοῦντας αὐτοὺς
ἠμύναντο. καὶ εἴ τις ἔτυπέ τινα αὐτῶν, ἐβοήθουν ἅπαντες, καὶ
τέλος ἄρχοντας ἰδίους ποιήσαντες ἐπέστησαν· ἐφ᾽ οἷς ἀγανακτήσαν-
τες οἱ πατέρες αὐτούς τε καὶ τὰς μητέρας τὰς Ἀττικὰς, τουτέστι
πάντα, ἀνεῖλον. μετὰ δὲ ταῦτα αἱ Λημναῖαι γυναῖκες τοὺς σὺν
Θόαντι πάντας ἀπέκτειναν κ. τ. λ. Alterutrum in codice suo etiam
invenisse videtur King. nam habet ἐπαιδοποίησαν pro ἔσχον παῖ-
δας, et τὴν πατρῴαν φωνήν. Ego τὴν πάτριον φωνὴν dedi pro
τὴν τῶν πατέρων φ.

ἀπέκτειναν. ὁ δὲ Δίδυμος οὕτω· Πελασγοὶ ἐπιθέμενοι ποτὲ ταῖς Ἀθήναις, πολλοὺς τῶν ἐξ Ἀθηνῶν ἁρπάσαντες, ἤγαγον εἰς Λῆμνον, ἐν οἷς καὶ γυναῖκας Ἀττικάς, αἷς παλλακίσι χρησάμενοι ἔσχον παῖδας· οὓς αἱ μητέρες τῶν τε πατέρων τὴν γλῶτταν καὶ τὰ ἤθη ἐδίδαξαν. οἱ δὲ συνήρχοντο τότε ἀλλήλοις, καὶ εἴ τις τύπτοι ἀπ' αὐτῶν τινά, ἐβοήθουν ἅπαντες. καὶ μετὰ ταῦτα αἱ Λήμνιαι γυναῖκες τοὺς σὺν Θόαντι πάντας ἀπέκτειναν. δι' ἀμφότερα οὖν ταῦτα ἡ παροιμία ἐδόθη, τὰ Λήμνια κακά. ΚΑΙ ΛΗΜΝΟΝ. Οἱ Πελασγοὶ Ἀθήνας εἷλον στρατεύσαντες κατ' αὐτῶν, καὶ γυναῖκας εἰς Λῆμνον ἤγαγον καὶ χρησάμενοι ἐπαιδοποίησαν. αἱ δὲ τὴν πάτριον φωνὴν τοὺς παῖδας καὶ τὰ ἤθη ἐπαίδευσαν· οἳ καὶ διῆγον φίλοι τε ἀλλήλοις ὄντες καὶ ἀμυνόμενοι τοὺς ἀδικοῦντας, προκρίναντες καὶ ἄρχοντα ἐξ αὐτῶν ἕνα. ἐφ' οἷς ἀγανακτήσαντες οἱ πατέρες αὐτούς τε καὶ τὰς μητέρας ἀνεῖλον. ὅθεν φοβηθεῖσαι αἱ περιλειφθεῖσαι Λημνιάδες, μὴ καὶ αὐταὶ τὰ ὅμοια πάθωσιν, ἀνεῖλον πάντας τοὺς ἄνδρας. ἐξ ἀμφοῖν οὖν ἡ παροιμία ἐλέχθη Λήμνια κακά, ἐξ ὧν τε οἱ ἄνδρες μετὰ παίδων τὰς γυναῖκας ἀνεῖλον, καὶ ἐξ ὧν αἱ γυναῖκες τοὺς ἄνδρας. Gu. ΑΡΔΗΝ, παντελῶς, ὁμοῦ. Fl. 9. 17. 21. 56. 59. 76. παντελῶς. ἐπὶ κακοῦ κεῖται τὸ ἄρδην ἀεί ποτε. Gu. ΕΞΩιΚΙΣΑΝ, ἐξοικισθῆναι ἐποίησαν, ἐξῳκισμένους ἐποίησαν. Gu.

V. 871—880. ΑΛΛ' ΩΣ ΓΕΝΕΣΘΑΙ. ἀλλὰ πῶς χρὴ γενέσθαι [6]), τόνδε μὲν τὸν λόγον ἄφες· παράπεμψον δὲ χάριν ἐμοῦ τήνδε τὴν γυναῖκα διὰ τοῦ στρατοῦ ἀκινδύνως. καὶ σύ, ὦ γύναι, πλησιάσασα τῷ φίλῳ τῷ Θρᾳκὶ, λέξον· καλεῖ σε ἡ Ἑκάβη ἡ ποτὲ ἄνασσα τῆς Τροίας, διὰ χρείαν σὴν μᾶλλον ἢ ἐκείνης, καὶ παῖδας, καλεῖ δηλονότι, ὅτι δεῖ γινώσκειν καὶ τὰ τέκνα τοὺς ἀπ' ἐκείνης λόγους. τὸν δὲ τάφον, ἤτοι τὴν ταφὴν τῆς νεοσφαγοῦς Πολυξένης καρτέρησον, ὦ Ἀγάμεμνον, ἵνα οὗτοι οἱ ἀδελφοί, ἡ διπλῆ φροντὶς ἐμοὶ, ἐν μιᾷ φλογὶ [7]) κρυφθῆτον, ἀντὶ τοῦ ἐν τῇ χθονὶ πλησίον ἀλλήλων δηλονότι.

V. 871. ΑΛΛ' ΩΣ ΓΕΝΕΣΘΑΙ, ἀλλ' ὥστε μὲν γενέσθαι τὴν τιμωρίαν τοῦ Πολυμήστορος, ἄφες τὸν περὶ τούτου λόγον. Fl. 59. διχῶς νοητέον τοῦτο· ἀλλ' ὡς χρὴ γε-

6) King. in paraphr. add. ἡ τιμωρία, et ἐμοὶ ante ἄφες.

7) King. in paraphr. dedit διὰ μιᾶς φλογός.

νέσθαι, ἢ πῶς χρὴ γενέσθαι, μέθες τόνδε τὸν λόγον ἐμοί· ἢ ἀλλ' ὡς ἤγουν οὕτως γενέσθαι τοῦτο, ὡς ἐκεῖνο τῶν γυναικῶν. Fl. 21.

V. 872. ΠΕΜΨΟΝ, παράπεμψον, ὁδήγησον. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ΑΣΦΑΛΩΣ, ἀνεμποδίστως. Florr. Gu. a m. pr. ἀφόβως, ἀκινδύνως, ἵνα μή τις τῶν Ἑλλήνων κωλύσῃ αὐτὴν αἰχμάλωτον οὖσαν. Gu. a m. sec. ὡς αἰχμάλωτος καὶ ὡς γυνή, ἀπρεπὲς ἦν διέρχεσθαι μέσον τοῦ στρατοῦ· ἐν γὰρ τῷ στρατῷ καὶ ἀκόλαστοι εἰσὶν ἄνδρες. καὶ φοβηθεῖσα, μή πως κρατήσῃ τις ταύτην, καὶ ἢ φθείρῃ — νέα γὰρ ἦν ἡ ἀποσταλθεῖσα — ἢ ἀλλοτρόπως ἐπηρεάζῃ, λέγει τὸν Ἀγαμέμνονα, ὡς ἐπιδώσῃ αὐτῇ τι σημεῖον βασιλικὸν εἰς τὸ διέρχεσθαι ταύτην μέσον τοῦ στρατοῦ ἀφόβως. Fl. 59.

V. 875. ΚΕΙΝΗΣ ΧΡΕΟΣ. μὴ λάβῃς εἰς τὸ χρέος [8]) ἔξωθεν τὸ διά, ἀλλ' ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ σέ, οὕτω· καλεῖ σε ἡ Ἑκάβη χρέος καὶ χρείαν σοὶ οὐκ ἔλαττον ἢ ἐκείνῃ, ἤγουν εἰ ἀφίξῃ, σαυτῷ οὐκ ἔλαττον, ἢ ἐκείνῃ, ὑπάρξεις χρεία. ὥςπερ γὰρ φαμέν, καλῶ τὸν δεῖνα ἑαυτῷ βοήθειαν οὐχ ἧττον, ἢ ἐμοί, οὕτω καὶ τοῦτο· δέον δὲ εἰπεῖν σοὶ, σὸν εἶπε πρὸς τὸ χρέος. ΚΕΙΝΗΣ ΧΡΕΟΣ, διὰ χρέος καὶ χρείαν οὐκ ἔλασσον σήν, ἀντὶ τοῦ μᾶλλον σὴν παρὸ διὰ χρείαν ἐκείνης. Fl. 59. ἀντὶ τοῦ μᾶλλον, ἵν' ᾖ, διά σου μᾶλλον χρέος ἢ διὰ ἐκείνην. Fl. 33.

V. 878. ΕΠΙΣΧΕΣ, καρτέρησον, (ἀνάμεινον, κράτησον, κώλυσον.) Gu. καρτέρησον, ἀντὶ τοῦ ἀναβαλοῦ τὴν αὐτῆς ταφήν. Fl. 56. 59.

V. 879. ΠΛΗΣΙΟΝ, ἀλλήλων τεθέντες δηλονότι. Gu. ΜΙΑι ΦΛΟΓΙ, καυθέντες. Gu.

V. 880. ΚΡΥΦΘΗΤΟΝ. οἱ Ἀττικοὶ ἐκρύφθην γράφουσιν, οἱ δὲ πεζόγραφοι ἐκρύβην· ἵνα οἱ δύο ἀδελφοὶ καυθῶσιν ἐν μιᾷ φλογὶ καὶ ταφῶσιν ἐν ἑνὶ τάφῳ. ἐν διπλῇ δὲ μερίμνῃ ὑπάρξουσι τῇ μητρὶ, ἤγουν δύο μερίμνας μέλλω ἔχειν, τοῦ τε Πολυδώρου καὶ τῆς Πολυξένης, εἰ καὶ ἑνὶ τάφῳ κρυφθῶσιν. Fl. 59.

V. 881—887. ΕΣΤΩ ΤΑΔΕ, οὕτως, ὡς λέγεις δηλονότι. καὶ γάρ, εἰ μὲν ἦν τῷ στρατῷ καιρὸς πλοῦ, οὐκ

8) εἰς τὸ χρέος e Gu. addidi.

ἂν εἶχόν σοι δοῦναι τὴν δωρεὰν ταύτην. νῦν δὲ — οὐ γὰρ ἀφίησιν ὁ Ποσειδῶν πνοὰς ἐπιτηδείας — ἀνάγκη προςκαρτερεῖν προςδοκῶντας πλοῦν ἥσυχον. εἴθε δὲ γένοιτο κατά τινα τρόπον, πραχθῆναι δηλονότι τὰ κατὰ σέ, εὖ καὶ καλῶς· καὶ ἑνὶ ἑκάστῳ καὶ πόλει καταθύμιον τόδε· [9]) λέγω τὸ τὸν μὲν κακὸν πάσχειν κακόν, τὸν δὲ χρηστὸν εὐτυχεῖν.

V. 881. *ΚΑΙ ΓΑΡ ΕΙ ΜΕΝ ΗΝ.* οὐ καλῶς φησὶ ταῦτα ὁ Ἀγαμέμνων. ἐχρῆν γὰρ αὐτὸν ἅπαξ διδόντα τὴν χάριν, σιωπῆσαι, καὶ μὴ ἐλέγξαι τὴν ἑαυτοῦ γνώμην· ἀλλ' οὐκ ἀνάγκη τοιαύτη ὑπέκειτο βασιλεὺς ὤν.

V. 882. *ΕΙΧΟΝ,* ἠδυνάμην. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 883. *ΟΥ ΓΑΡ — ΘΕΟΣ,* διὰ μέσου. Gu. a m. 2. *ΟΥΡΙΑΣ,* εὐφόρους, ἐπιτηδείους (εὐδιεινούς). Gu. οὔριος ἄνεμος ἀπὸ τῆς οὐρᾶς, ἤγουν ὁ ἀπόπισθεν τοῦ καραβίου· ὅταν γὰρ ἔχῃ τὸν ἄνεμον ἀπὸ τῶν ὀπισθίων μερῶν, τότε ταχέως τρέχει, ὅτε δὲ ἀπὸ τῶν ἔμπροσθεν, οὐ δύναται πλεῦσαι. Fl. 59.

V. 884. *ΟΡΩΝΤΑΣ,* ἐκδεχομένους, προςδεχομένους (βλέποντας). Gu. *ΗΣΥΧΟΝ,* γαληνὸν ἄνεμον. Fl. 10. 21. ἀνενέργητον. Gu. a m. 2.

V. 885. *ΓΕΝΟΙΤΟ.* εἴη δὲ πραχθῆναι τὸ κατὰ σὲ καλῶς, ὅτι καὶ πᾶσι καταθύμιον τοῦτο· ὁ γὰρ φόνον δράσας κοινὸν τοῖς ἀνθρώποις ἀδίκημα ἐποίησε, λυμηνάμενος τῷ κοινῷ νόμῳ, καὶ ἀδικήσας τὸ τῆς φύσεως ὁμοιογενές. [10]) *ΓΕΝΟΙΤΟ.* γένοιτο δὲ σοὶ καλῶς, ὥστε φονεῦσαι τοῦτον. ὅπερ μέλλεις πρᾶξαι τὸ κοινὸν συμφέρον ἔνι τοῖς πᾶσιν καὶ ἰδίᾳ· ἀπὸ γὰρ τῆς τοιαύτης τιμωρίας μέλλουσι σωφρονισθῆναι οἱ φονεῖς καὶ οἱ ξένων πραγμάτων ἐρῶντες, καὶ κατὰ νόμους ἔνι τὸν μὲν κακὸν πάσχειν κακῶς, τὸν δὲ καλὸν εὐτυχεῖν. Fl. 59. *ΚΟΙΝΟΝ,* στεργόμενον παρὰ πάντων, ἀγαθόν. Gu.

9) King. in paraphr. καὶ ἑνὶ γὰρ ἑκάστῳ καὶ πόλει ἀγαθὸν τόδε.

10) Idem scholion est in Flor. 21. 33. cum hac diversitate: παθῆναι 21. pro πραχθῆναι. — λυμαινόμενος. — ὁμογενές. Iidem praemittunt haec: γένοιτο δ' εὖ πως, ὃ σὺ βούλῃ δρᾶσαι τῷ Πολυμήστορι.

V. 886 sq. *ΙΔΙΑι Θ' ΕΚ.* καὶ καθ' ἕκαστον πάντες καὶ ὁμοῦ πάντες τοῦτο ἀποδέχονται, τὸ τὸν κακὸν κολάζεσθαι, τὸν δὲ χρηστὸν εὐεργετεῖσθαι. Gu.

V. 888—903. *ΣΥ ΜΕΝ, Ω ΠΑΤΡΙΣ ΙΛΙΑΣ.* τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικά. ἔστι δὲ τὰ παρόντα πεντὰς ἐπῳδική, ἤτοι στροφὴ καὶ ἀντιστροφή, καὶ πάλιν στροφὴ καὶ ἀντιστροφή, καὶ ἐπῳδός. εἰσὶν οὖν τῆς α στροφῆς τὰ κῶλα θ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ πρῶτον ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τρίτου ἀντὶ τοῦ ἰωνικοῦ, καὶ διϊάμβου. τὸ β τροχαϊκὸν ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον, ἢ ληκύθιον. τὸ γ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ δισπονδείου· εἰ δὲ βούλει, δακτυλικὸν ἑφθημιμερές. τὸ δ προσῳδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς. τὸ ε ἀναπαιστικὸν πενθημιμερές. τὸ ϛ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ [1]) παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, διϊάμβου καὶ συλλαβῆς. τὸ αὐτὸ δύναται καὶ ἰαμβικὸν εἶναι ἑφθημιμερές, τῶν πρώτων ποδῶν ἀναπαίστων. τὸ ζ ἰωνικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ η ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν, ἐξ ἐπιτρίτου δ, διϊάμβου καὶ συλλαβῆς. τὸ θ [2]) δίμετρον ὑπερκατάληκτον καθαρόν, ἐξ ἀντισπάστου, διϊάμβου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει τῆς στροφῆς παράγραφος.

V. 888—903. *ΣΥ ΜΕΝ, Ω ΠΑΤΡΙΣ ΙΛΙΑΣ.* ἡ μὲν θεράπαινα κατὰ τὴν πρόςταξιν τῆς Ἑκάβης ἀπέρχεται πρὸς τὸν Πολυμήστορα, ὁ δὲ χορὸς τῶν αἰχμαλωτίδων γυναικῶν λέγει τὰς συμφορὰς αὐτῶν, ἵνα μὴ ἀργῇ τὸ δρᾶμα, μέχρις οὗ ἔλθῃ ὁ Πολυμήστωρ. λέγεται δὲ οὕτως· σὺ μέν, ὦ πατρὶς Τρωϊκή, οὐδαμῶς κληθήσῃ πόλις τῶν ἀπορθήτων· τοιόνδε νέφος καὶ πλῆθος τῶν Ἑλλήνων περικαλύπτει σε πορθηθεῖσαν [3]) ἐν δορὶ καὶ πολέμῳ. ἀπεκόπης δὲ τὴν στεφάνην καὶ τὸν καλλωπισμὸν τῶν πύργων, κατεχρώσθης δέ, ἤτοι μεμελάνωσαι, ἐλεεινότατα κηλῖδι καπνοῦ αἰθάλου καὶ καυστικοῦ. ὦ τάλαινα, πατρὶς δηλονότι, οὐκέτι ἐνδια-

1) ἐκ παίωνος King. debetur. Vulgo καὶ π.

2) King. add. ἀντισπαστικὸν δίμ.

3) Legebatur πορθεῖσαν.

τρύφω καὶ ἐμπεριπατήσω σοι. κατὰ τὸ μεσονύκτιον ἐφθά-
ρην, ὁπηνίκα ἐκ τῶν δείπνων, ἤτοι μετὰ τὰ δεῖπνα, κέχυ-
ται ἐπὶ τοῖς ὀφθαλμοῖς ὕπνος γλυκύς. ἀπὸ τῶν ὕμνων δὲ
καὶ ἀπὸ τῶν χαροποιῶν θυσιῶν καταπαύσας, ἑαυτὸν δη-
λονότι, ὁ πόσις ἔκειτο ἐν τοῖς θαλάμοις, οὐδαμῶς ὁρῶν τὸν
ναυτικὸν ὅμιλον περιπατοῦντα εἰς τὴν Τροίαν, τὸ δόρυ δὲ,
ἔκειτο κατὰ κοινοῦ, ἐπὶ τῷ πασσάλῳ. τὸ δὲ ἀκόντιον εἰπὼν,
ἀπὸ μέρους ἐδήλωσεν ὅλα τὰ ὅπλα.

V. 888. *ΠΑΤΡΙΣ*. τὸ πατρὶς ἤγουν ἀπὸ τοῦ πα-
τρὸς καλεῖται ἡ πατρίς. πῶς δὲ οὐ καλεῖται καὶ ἀπὸ τῆς
μητρὸς ματρὶς, ὡς πατρίς; καὶ φησὶν ὁ Θεσσαλονίκης (— νι-
κεὺς), ὅτι ἀπὸ μὲν τοῦ πατρὸς ἔλαβε τὸ ὄνομα τῆς πατρί-
δος, οὐκ ἐκλήθη δὲ καὶ ἀρσενικῶς ὁ πάτρος (sic) ἢ ἄλλο
τι· ἀπὸ δὲ τῆς μητρὸς ἔλαβε τὴν κλίσιν, καὶ κλίνεται θη-
λυκῶς ἡ πατρίς. καὶ ἀπὸ μὲν τοῦ πατρὸς ἔλαβε τὸ ὄνομα,
ἀπὸ δὲ τῆς μητρὸς τὴν κλίσιν τῶν θηλυκῶν, καὶ διὰ τοῦτο
σώζει ἐν ταυτῷ καὶ τῶν δύο. Fl. 59.

V. 889. *ΑΠΟΡΘΗΤΩΝ*, μία τῶν μὴ ἁλωθέντων
ἀπὸ τῶν πολεμίων. Fl. 6. 21. 56. ἔλεγον πρὸ τῆς πορθή-
σεως τῆς Ἰλίου εἶναι ταύτην ἀπορθήτων (sic) ὡς θεόδμη-
τος· ὁ γὰρ Ποσειδῶν καὶ ἕτεροι θεοὶ ἔκτισαν ταύτην, καὶ
ἕνεκα τούτου ἐκάλουν αὐτὴν ἀπόρθητον. νῦν δὲ πορθηθεῖσα
λέγει ὁ Χορός· ἀπὸ τοῦ νῦν, ὦ πατρὶς Ἰλιὰς, οὐκέτι καὶ
εἰς τὸ μετὰ ταῦτα κληθήσῃ πόλις τῶν ἀπορθήτων, ἀλλὰ
δηλονότι τῶν πορθηθέντων· μέγα γὰρ νέφος καὶ πλῆθος
τῶν Ἑλλήνων περιέκρυψε, καὶ ἠφάνισέ σε, πορθῆσαν καὶ
σκυλεῦσαν ἐν δορὶ καὶ ἐν κονταρίῳ. Fl. 59. *ΛΕΞΕΙ*, κα-
ταριθμήσῃ. Fl. 10. 21. οὐδαμῶς εἰς τὸ ἑξῆς ῥηθήσῃ (ὀνο-
μασθήσῃ, κληθήσῃ). Gu.

V. 890. *ΝΕΦΟΣ*, πλῆθος (ἀφανισμὸς, σκότος). Gu.
ΚΑΛΥΠΤΕΙ (in marg. a m. 2. γρ. κρύπτει.) περικαλύ-
πτει σε (περιέκρυψεν, ἐνεστὼς ἀντὶ παρῳχημένου). Gu. τὸ
ἀμφὶ πρὸς τὸ καλύπτει (κρύπτει Gu. ὅ ἐστι περικαλύπτει
add. Flor. συναπτέον add. Gu.) Fl. 21. Gu. a m. 2.

V. 891. *ΔΟΡΙ ΔΗ ΔΟΡΙ*. διπλασιάζει ἕνεκεν τῆς
λύπης. Fl. 21. πολέμῳ. Gu. *ΠΕΡΣΑΝ*, πορθῆσαν. Fl.
33. ἐπόρθησαν, (ἀφανίσαν.) Gu.

V. 892. *ΣΤΕΦΑΝΗΝ ΠΥΡΓΩΝ*, ἤγουν ἀφῃρέθης [4])

4) ἀφῃρέθης e Gu. addidi, ex quo στεφάνου pro στεφάνων dedi et δὲ adjeci post ἀποκέκαρσαι.

τοὺς δίκην στεφάνου περιβάλλοντας πύργους. ἢ τὸ στεφά-
ναν γενικὴν τῶν πληθυντικῶν νόει. οὕτω γὰρ οἱ Δωριεῖς
τὰς γενικὰς τῶν πληθυντικῶν ἐκφέρουσιν. ὅπερ οὕτως ἐρεῖς·
ἀποκέκαρσαι δὲ τῶν στεφάνων, τῶν πύργων λέγω. *ΣΤΕ-
ΦΑΝΑΝ*, τὴν στεφάνην τῶν πύργων, ἣν οἱ πύργοι δη-
λονότι ποιοῦσιν. Gu. a m. pr. Fl. 17. 59. 76. ἤγουν τοὺς
προμαχῶνας καὶ προμαχίονας. τὸν κύκλον. Gu. a m. 2.
τὸ κάλλος, τὴν ἐξοχὴν τοῦ τείχους. Fl. 10. 21. στέφανος
λέγεται ὁ χρυσὸς, ὃν φοροῦσιν αἱ γυναῖκες, στεφάνη δὲ θη-
λυκῶς τὰ τῶν πύργων προμαχιόνια, ὥςπερ καὶ κάλαμος
μὲν τὸ καλάμιον, καλάμη δὲ θηλυκῶς ὁ τοῦ σίτου κάλα-
μος. Fl. 59. *ΑΠΟ-ΚΕΚΑΡΣΑΙ*, ἀπεκάρης, (ἀπεκόπης).
Gu. ἀποτέτμησαι. Fl. 33. *Καλλισθένης* ἐν θ τῶν Ἑλ-
ληνικῶν οὕτω γράφει· ἑάλω μὲν ἡ Τροία Θαργηλιῶνος μηνὸς
ὡς μέντοι τῷ ἱστορικῷ (l. μηνὸς, ὡς μέν τινες τῶν ἱστο-
ρικῶν) ν ἱσταμένου, ὡς δὲ ὁ τὴν μικρὰν Ἰλιάδα, ὀγδόῃ
φθίνοντος. διορίζει γὰρ αὐτὸς τὴν ἅλωσιν, φάσκων συμ-
βῆναι τότε τὴν κατάληψιν, ἡνίκα Νὺξ μὲν ἦν μέση, (leg.
ἔην μέσση vel μεσάτη) λαμπρὰ δ' ἐπέστελλε (l. ἐπέτελλε)
σελήνη [5]). μεσονύκτιος δὲ μόνον τῇ ὀγδόῃ φθίνοντος ἀνα-
τείλειεν. ἄλλη δ' οὐ συμπεφώνη (sic) μέν· *Εὐριπίδῃ* ὡς
ὁμολογουμένης τῆς δόξης. *Λυσίμαχος* δέ φησι *Δημοφῶντος*
Ἀθήνησι βασιλεύοντος ἔτους τετάρτου Θαργηλιῶνος ἱστα-
μένου δωδεκάτῃ. Fl. 21.

V. 893. *ΑΙΘΑΛΩι*. οὐ χρὴ γράφειν αἰθάλου κα-
πνοῦ κηλῖδι, ἤτοι καυστικῇ κηλῖδι, ἀλλ' αἰθάλῳ κη-
λῖδι, ἤτοι καυστικῇ κηλῖδι, ἤγουν πυρί, ἢ καπνῷ ἀπὸ
μέρους. περισσὸν οὖν ἦν τῷ καπνῷ. διὸ καὶ ἐξεβλήθη παρ'
ἐμοῦ, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς.
ΑΙΘΑΛΟΥ, καυστικοῦ, (μέλανος ἀπὸ τοῦ πυρὸς ἀνερ-
χομένου καπνοῦ). Gu. τοῦ ἀπὸ αἰθάλης καὶ πυρὸς γενομέ-
νου καπνοῦ. Fl. 10. 21. 33.

V. 894. *ΚΗΛΙΔ'*. ῥύπον (in Gu. supra -ον est -ω
a sec. m) Gu. a m. pr. Fl. 56. μελαντηρίῳ, ἀμαυρώ-
σει. Gu. a m. 2. μίασμα, βάρος. Fl. 21. μελανία τῆς
αἴγλης. Fl. 59. ῥυπαρίαν τοῦ μελαίνοντος καπνοῦ. Fl. 10.
21. 33. *ΚΕΧΡΩΣΑΙ*. κατὰ κέχρωσαι ἀντὶ τοῦ ἐχρώ-

5) Haec eadem e cod. Fulv. Ursini protulit Jos. Scaliger de emend. temp. L. V. p. 378. ed. Genev. 1629. cf. Plut. Camill. 19. Quid verbis ἄλλη δ' οὐ — δόξης faciam, non habeo.

σθης ἢ μεμελάνωσαι. (ἐχρωματίσθης, κατεμολύνθης, ῥερύπωσαι.) Gu. κατεζοφώθης. Fl. 59.

V. 895. *ΕΜΒΑΤΕΥΣΩ*, βαδίσω. (περιπατήσω. ἐμβατεύω, τὸ περιπατῶ καὶ τὸ ἐξετάζω, ὡς τὸ καρδίας ἐμβατεύων). Gu. περὶ τῆς πόλεως ταῦτα φησὶν πρὸς αὐτὴν ἀποκλαιομένη, ὅτι οὐκέτι σ' ἐμβατεύσω ἐλευθέρῳ ποδὶ, καθάπερ καὶ πρῶτον, ἀγαλλομένη καὶ θάλλουσα. Fl. 33.

V. 896. *Οἱ Ἕλληνες*, μὴ δυνάμενοι τὴν Τροίαν ἑλεῖν, ἵππον κατεσκεύασαν ξύλινον, ἀνατιθέμενοι δῆθεν τοῦτον τῷ Ὀλυμπίῳ Διῒ τῷ τὴν Τροίαν φυλάσσοντι. ἐμβαλόντες δὲ τούτῳ πολλούς τε ἄλλους τῶν ἡρώων, καὶ Μενέλαον, ἔστησαν πρὸ τῶν τειχῶν, αὐτοὶ δὲ ὑπεχώρησαν εἰς τὰς ναῦς, καὶ ἀνηνέχθησαν ἐν θαλάσσῃ, δοκοῦντες οἴκαδε ἀναστρέφειν. οἱ τοίνυν Τρῶες, ἐπιχειρήσαντες εἰς τὴν πόλιν τὸν δούρειον ἵππον ἀγαγεῖν, ἐπεὶ οὐχ οἷός τε ἦν εἴσω γενέσθαι [6]) διὰ τὸ μέγεθος, ἕνα τῶν πύργων, ὡς φασὶ τινὲς, κατενεγκόντες, οὕτως ἔνδον τὸν ἵππον εἰσήγαγον. βαθείας δὲ νυκτὸς γενομένης, καὶ τῶν Τρώων ἀμερίμνως κειμένων, ὡς μηδενὸς τῶν Ἑλλήνων φαινομένου ἐν τῷ λιμένι, ἐξελθόντες ἐκ τοῦ ἵππου οἱ Ἕλληνες, ἔχοντες καὶ προδότας τῆς Τροίας, ἀναβάντες ἐπὶ τοῦ τείχους μετὰ πυρσῶν καὶ βοῆς, ἐκάλεσαν τοὺς Ἕλληνας· οἵ τινες ἐπανελθόντες παρεστήσαντο τὴν Τροίαν. *ΜΕΣΟΝΥΚΤΙΟΣ*, ἀντὶ ἐπιῤῥήματος ἤγουν κατὰ τὸ μεσονύκτιον. et marg. ab ead. m. μεσονύκτιος Ἀττικόν· οὕτω λέγεται καὶ ὀλίγοις ἔτεσι καὶ ὀλιγοετὴς, καὶ πολλοῖς ἔτεσι καὶ πολυετὴς ἀπεβίω. Gu. *ΑΠΩΛΛΥΜΑΝ*, ἐφθειρόμην καὶ αἰχμαλωτιζόμην. Fl. 56. ἀπωλλόμην (sic. ἐφθάρην). Gu.

V. 897. *ΗΜΟΣ*, ὁπηνίκα. Gu. *ΕΚ ΔΕΙΠΝΩΝ*, μετὰ τοὺς δείπνους. Gu. Fl. 33.

V. 898. *ΚΙΔΝΑΤΑΙ*, κέχυται, (ἐπέρχεται, διαχέεται, ἐφαπλοῦται). Gu. διασκορπίζεται. Fl. 21. 59. *ΜΟΛΠΑΝ*, μέλψεων. Fl. 17. τῶν εἰς τοὺς θεοὺς ὕμνων. Fl. 59. τραγῳδιῶν. Fl. 21. *ΧΟΡΟΠΟΙΩΝ*, χαρμοσύνων. Gu. a m. 2.

6) Sic Junt. Basil. Male King. Musgr. οὐχ οἷόν τε ἦν γενέσθαι. Gu. οὐχ οἷός τε ἦν ἔνδον γενέσθαι. In fine Gu. οἵ τινες ἀφικόμενοι.

V. 899. *ΘΥΣΙΑΝ*, Δωρικόν· ἃς ἐποιεῖτο τοῖς θεοῖς εἰς ἐλευθερίαν. Gu. ἔθος ἦν μετὰ ἀπαλλαγῆς λοιμοῦ καὶ πολέμου ᾄδειν τοῖς θεοῖς εὐχαριστήρια, καὶ θύειν αὐτοῖς, καὶ ἐν χαρᾷ διάγειν, καὶ ᾄδειν παιᾶνας. τοῦτο δὴ καὶ οἱ Τρῶες ἐποίησαν νομίσαντες, ὅτι οἱ Ἕλληνες ἔφυγον καὶ τοῦ πολέμου ἔπαυσαν. λέγει γοῦν ὁ Χορός· ὁπηνίκα τοῦ πολέμου ἔπαυσαν, καὶ διεσκορπίσθη μετὰ τοὺς δείπνους ὁ ὕπνος ἐν τοῖς ὀφθαλμοῖς. μετὰ γὰρ τοῦ ἀρίστου ἔρχεται καὶ ὁ ὕπνος ἀπὸ τῆς ὑγρότητος τῶν βρωμάτων. καταπαύσας δὲ ὁ ἀνήρ μου ἀπὸ τῶν ὕμνων τῶν θεῶν καὶ τῶν χαροποιῶν θυσιῶν, ὧν τοῖς θεοῖς ἔθυον τοῦ πολέμου ἀπαλλαγέντες, ἔκειτο ἐν τοῖς θαλάμοις. Fl. 59.

V. 900. *ΕΚΕΙΤΟ*. τὸ ἔκειτο πρὸς τὸ ναύταν οὐκέθ' ὁρῶν ὅμιλον συναπτέον· τὸ δὲ ξυστὸν δ' ἐπὶ πασσάλῳ. διὰ μέσου. λάμβανε δὲ εἰς τὸ πασσαλῳ ἢ ἔκειτο ἀπὸ κοινοῦ, ἢ ὑπῆρχεν [7]), καὶ μὴ ὥςπέρ τινες τῶν ἀμαθῶν τὸ ἔθηκεν, αἰτιατικὴν τὸ ξυστὸν λογιζόμενοι. *ΕΝ ΘΑΛΑΜΟΙΣ*, ἐν τοῖς οικοις ἀμέριμνος. Fl. 17. 59. κοίταις. Fl. 21.

V. 901. *ΞΥΣΤΟΝ*, ἀκόντιον (τὸ δόρυ αὐτοῦ. ἀπὸ μέρους ἐδήλωσε τὰ ὅπλα ὅλα). Gu. ἀπὸ ἑνὸς πάντα δηλοῖ. Fl. 21. *ΕΠΙ ΠΑΣΣΑΛΩι*, ἔκειτο. (ἦν, ἢ ἔκειτο ἀπὸ κοινοῦ. ἀπῃώρησεν.) Gu. ἐκρέμασεν. Fl. 21. εἰς Τένεδον γὰρ προςορμισθέντες καὶ ἔμφασιν (ἔμφανσιν) ποιήσαντες τῆς οἴκαδε ἐπανόδου, νυκτὸς ἐπῆλθον τοῖς Τρωσὶν, ἀπὸ χορῶν καὶ εὐωχίας οὖσιν διὰ τὴν καθίδρυσιν τοῦ δουρείου ἵππου. Fl. 10. 33.

V. 903. *ΕΜΒΕΒΑΩΤΑ*. τὸ ἐμβαίνω, εἰ μὲν πρὸς δοτικὴν συντάσσεται, τὸ ἐν ἔχει τὴν δύναμιν, εἰ δὲ πρὸς αἰτιατικὴν, τὸ βαίνω [8]). ὥςπερ κἀνταῦθα τὸ ἐμβεβαῶτα

7) Sic Gu. prout iam distinxit King. In Junt. Basil. Barn. inepte scrib. συναπτέον. Τὸ δὲ ξ. δ' ἐπὶ π. διὰ μέσου.) λάμβανε. Gu. et King. etiam ἔκειτο pro κεῖτο. Ultima καὶ μὴ, ὥςπερ etc. desunt in Gu. quae vero King. addidit τὸ δὲ ἀκόντιον etc. in Gu. ad v. sq. adscripta sunt.

8) βαίνω Gu. pro vulg. βαίνει. Ex eodem addidi καί ante Φιλόστρ. et τοῖς ante Ἡρωϊκοῖς. Ultima ἐμβεβῶτα χρὴ γρ. ibidem desunt.

Τροίαν Ἰλιάδα. φησὶ δὲ καὶ Φιλόστρατος ἐν τοῖς Ἡρωϊκοῖς, ἐμβὰς τὴν ναῦν. ἐμβεβῶτα χρὴ γράφειν, οὐκ ἐμβεβαῶτα· οὐχ οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς, ἀλλ' ἐκείνως. *ΕΜΒΕΒΩΤΑ*, ἤγουν βαδίζοντα (ἀναστρεφόμενον, περιπατοῦντα) βαίνοντα. Fl. 17. περικυκλοῦντα. Fl. 59. ἐπιβαίνοντα. Fl. 6.

V. 904—913. *ΕΓΩ ΔΕ ΠΛΟΚΑΜΟΝ.* τῆς β ταυτησὶ στροφῆς τὰ κῶλα ι, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ β καὶ γ ποδὸς χορείου. τὸ β ὅμοιον καθαρόν, ὃ καλεῖται Ἀνακρεόντειον. τὸ γ ὅμοιον πενθημιμερές. τὸ δ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἢ ἐπιωνικὸν 9) ἐξ ἐπιτρίτου γ, ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ συλλαβῆς. τὸ ε ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως, καὶ ἰαμβικοῦ πενθημιμεροῦς. τὸ ϛ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ζ ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ η ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου β καὶ α, καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ β χοριάμβων καὶ ἀναπαίστου. εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον. τὸ ι ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. ἐπὶ τῷ τέλει τῆς ἀντιστροφῆς παράγραφος. *ΕΓΩ ΔΕ ΠΛΟΚΑΜΟΝ.* ἐγὼ δὲ τὸν πλόκαμον ηὐτρέπιζον κατὰ τάξιν, καὶ ἐκόσμουν ἐν μίτραις καὶ αἰτανίοις 10) ἀναδέτοις, ἤτοι ἐπάνω τῆς κεφαλῆς δεδεμένοις, λεύσσουσα εἰς κυκλοτερεῖς αὐγὰς τῶν χρυσέων κατόπτρων, ἵνα πέσοιμι εἰς τὴν κοίτην. εἰς δὲ τὴν πόλιν ἔμολεν ἦχος. κέλευσμα δὲ, ἤτοι βοὴ τῶν Ἑλλήνων, ἦν κατὰ τὸ ἄστυ τῆς Τροίας τόδε· ὦ Ἕλληνες, πότε δὴ, πότε πορθήσαντες τὴν Τρωϊκὴν ἐξοχὴν, τουτέστι τὴν ἀκρόπολιν, παραγενήσεσθε 10b) εἰς τοὺς οἴκους. τὴν προσφιλῆ δὲ κοίτην λιποῦσα μονοχίτων, καθὰ κόρη Λακεδαιμονία, καθίζουσα πρὸς τὴν σεμνὴν Ἄρτεμιν ἱκέτις οὐκ ἤνυσα ἡ ἀθλία, τουτέστιν οὐκ ἠδυνήθην σωθῆναι. ἄγομαι δὲ ἐπὶ τὸ πέλαγος τὸ θαλάσσιον, ἰδοῦσα τὸν ἐμὸν

9) King. *παιωνικόν.*

10) King. *καὶ ταῖς ταινίαις.* Sed *αἰτανίοις* etiam in Gu. scriptum est supra *μίτραισιν*, et legitur in Flor. 59.

10b) Sic recte Barn. King. Nam Junt. *παραγενήσεσθαι*, Basil. *παραγενήσασθαι.*

ἄνδρα θανόντα, καὶ τὴν πόλιν ἀπὸ μακρόθεν ὁρῶσα, ἀφ' οὗ ἐπίστροφον ἡ ναῦς ἐσάλευσε πόδα.

V. 904. *ΠΛΟΚΑΜΟΝ*, τὰς τρίχας. Fl. 59. τὴν ἐμὴν πλεξίδαν. Fl. 21. *ΑΝΑΔΕΤΟΙΣ.* καὶ σήμερον οὕτως λέγεται ἀναδέτοις. Fl. 59. ἐγὼ δὲ ἐκαλλωπιζόμην τὸν πλόκαμον ἐν αἰτανίοις ἀναδέτοις. εἰώθασι γὰρ αἱ γυναῖκες κατὰ τὴν νύκτα πλέκεσθαι, εἶτα βλέπειν εἰς τὸ κάτοπτρον, εἰ ὀρθίως κεῖται ἡ πλοκή. Fl. 59. *ΑΝΑΔΕΤΟΙΣ ΜΙΤΡΑΙΣΙ.* μετὰ τὸ εὐωχηθῆναι ἐν ταῖς μίτραις ἐκαλλωπιζόμην ἐπὶ τὸ καθεύδειν μετὰ τοῦ ἀνδρὸς, κατὰ τὸ γυναικεῖον ἔθος.

V. 905. *ΜΙΤΡΑΙΣΙΝ*, αἰτανίοις (ὑφάσμασι κεφαλοδεσμίοις, ἐκ μετάξης πλέγμασι). Gu. μίτρα λέγεται τὸ ἀειτάνιον (sic) μιτηρόν τι ὄν, καὶ συγκόπτεται τὸ η. μίτος δὲ λέγεται ἡ μία τοῦ χρυσαφίου, εἴτε τῆς μετάξης ἴτρα. καὶ τὰ νῦν λεγόμενα βιτάρια ἰδιωτικῶς μιτάρια λέγονται, ὡς μετὰ τῶν μίτων πλεκόμενα. Fl. 59. *ΕΡΡΥΘΜΙΖΟΜΑΝ*, ἔταττον, ἐκόσμουν. (ἐκαλλωπιζόμην, ἐκοσμούμην, διεχώριζον.) Gu.

V. 906. *ΧΡΥΣΕΩΝ.* χρύσεα ἔνοπτρα λέγει διὰ τὸν κόσμον. ἔνοπτρον καὶ κάτοπτρον τὸ αὐτό· ἔσοπτρον δὲ τὸ φανάριον. Gu. κυκλοτερῶς ἀντὶ μολίβδου ἢ ξύλου εἶχε χρυσάφιον τὸ ἔνοπτρον. Fl. 59. κακόζηλον δὲ φαίνεται τοῦτο· οὐ γὰρ κατὰ τὴν νύκτα ὁρῶσιν αἱ γυναῖκες τὰ κάτοπτρα, ἀλλὰ κατὰ τὴν ἡμέραν. ὅμως δὲ δεικνύει τὸ φιλήδονον, ὅπερ εἶχον. Fl. 59. διὰ τὸ ἀπίθανον τούτου καιροῦ. Fl. 10. διασυρτικῶς τῶν γυναικῶν τὸ καὶ μέσης νυκτὸς καλλωπίζεσθαι. Fl. 10.

V. 907. *ΛΕΥΣΣΟΥΣ'.* βλέπουσα. Gu. Fl. 56. 59. *ΑΤΕΡΜΟΝΑΣ*, περιφερεῖς· τούτων γὰρ οὐκ ἔστι τέρμα· τὰ γὰρ κυκλοτερῆ τέρματα οὐκ ἔχει. λέγει δὲ λεύσσουσ' ἐς κυκλοτερεῖς αὐγάς, τουτέστι τὰς τέλος μὴ ἐχούσας· τούτων γὰρ οὐκ ἔστι τέρμα. παρὰ τὸ εἰωθὸς δὲ ἔφη μεσονύκτιον ἐνοπτρίζεσθαι. *ΑΤΕΡΜΟΝΑΣ*, κυκλοτερεῖς. (μὴ τέλος, ὡς κυκλοτερεῖς, ἐχούσας, ἀτελειώτους.) Gu. *ΑΥΓΑΣ*, ὄψεις (λαμπηδόνας) ἐπὶ τοῦ βλεπομένου, οὐκ ἐπὶ τοῦ βλέποντος. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

V. 908. *ΕΠΙΔΕΜΝΙΟΣ*, ἀντὶ ἐπιῤῥήματος, (C. C. C.) ἤγουν ἐπὶ τῇ κοίτῃ. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56.

59. 76. ἐπὶ τοῖς στρώμασι. ἤγουν ἐπὶ κοίτην. ἔστι δὲ τοῦτο καὶ τὸ εἰς εὐνὴν ἐκ παραλλήλου. Gu. a m. 2.

V. 909. *ΑΝΑ ΔΕ ΚΕΛΑΔΟΣ.* τὸ δὲ οὐκ ἔστι περιττὸν, ὡς οιονταί τινες. ἀλλ᾽ εἰώθασιν οἱ Ἀττικοὶ ἐν ταῖς ἀποδόσεσι καὶ ἐπαναλήψεσι [1]) τοῦτο τιθέναι. ὃ ζητῶν πανταχοῦ εὑρήσεις. *ΑΝΑ ΔΕ ΠΟΛΙΝ.* ἀνὰ τὴν πόλιν δὲ ἔμολεν, ἤγουν ἐπῆλθε, κέλαδος, φωνὴ, ἦχος, θόρυβος. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. ἐν ὅσῳ δὲ ταῦτα ἐποίουν, κατέλαβεν ἀνὰ τὴν πόλιν κέλαδος καὶ θόρυβος· οἱ γὰρ ἔξω Ἕλληνες ἐλθόντες παρεκελεύοντο τοῖς ἐν τῷ δουρείῳ ἵππῳ Ἕλλησιν ἀνοῖξαι αὐτὰς (leg. αὐτοῖς) τὰς πύλας καὶ εἰςελθεῖν λέγοντες αὐτους, πότε δὴ πορθήσαντες τὴν Ἰλιάδα σκοπιὰν ἐλεύσεσθαι (—σθε) εἰς τοὺς οἴκους. Fl. 59. ὅσα ῥήματα κίνησιν ἔχουσιν ἐμμέσως, μετὰ προθέσεων ποιοῦσι τὴν σύνταξιν· ἔρχεται εἰς τὸν τόπον, καὶ βαδίζει, καὶ κινεῖται, καὶ τὰ ὅμοια. Gu.

V. 910. *ΚΕΛΕΥΣΜΑ*, βοὴ τῶν Ἑλλήνων, φώνημα. Gu. a m. 2. προςφώνημα. Fl. 21. φωνή. 33.

V. 911. *ΠΟΤΕ.* λείπει τὸ, εἰ μὴ νῦν [2]). τοῦτο δὲ, φησὶν, ἔλεγον οἱ Ἕλληνες, παρακελευόμενοι ἀλλήλους· πότε τὴν ἀκρόπολιν πορθήσαντες τῆς Τροίας, παραγενήσεσθε εἰς τὰ οἰκεῖα [3]).

V. 912. *ΣΚΟΠΙΑΝ*, ἤγουν τὴν ἀκρόπολιν. (ἢ τὴν ὑψηλὴν Τροίαν. ἀπὸ μέρους τὸ ὅλον.) σκοπιὰς (sic) λέγεται ὁ ὑψηλὸς τόπος, εἰς ὃν ἱστάμενοι ἀποσκοπεύουσι περί τινων. Gu. *ΙΛΙΑΔΑ ΣΚΟΠΙΑΝ* λέγει ἢ τὴν ἀκρόπολιν, ἢ, ὡς τῷ Ὁμήρῳ δοκεῖ, ἐπὶ ὑψηλοῦ τινος τρόπου (leg. τόπου) ἔκειτο τὸ κάστρον, καθὼς αὐτὸ τοῦτο δηλοῖ. σκοπιὰ δὲ λέγεται ὁ ὑψηλὸς τόπος, ἐν ᾧ ἀνελθών τις σκοπεῖ τὰ κάτω. (ἐν ᾗ ἵσταταί τις ἰδεῖν μακράν. Fl. 17.) Fl. 59.

V. 914. *ΛΕΧΗ*, στρώματα. Gu. τὴν στρωμνήν.

1) Gu. ἀποδώσεσι et om. καὶ ἐπαναλήψεσι.

2) Similiter Gu. voci ἥξετ᾽ v. 913. suprascriptum habet, εἰ μὴ νῦν πορθήσετε.

3) Verius esset εἰς τὰ οἰκία. Paulo ante Junt. Basil. παραγένησθε. Corr. Barn.

Fl. 59. *ΜΟΝΟΠΕΠΛΟΣ.* αἱ Λακεδαιμόνιαι γυναῖκες ἐν τοῖς ἀγῶσι μονοχίτωνες ἦσαν, πόρπας [4]) ἐφ᾽ ἑκατέρου τῶν ὤμων ἔχουσαι, ὅθεν καὶ δωριάζειν τὸ γυμνοῦσθαι Ἀνακρέων φησί.

V. 915. *ΔΩΡΙΣ ΩΣ ΚΟΡΑ.* Δοῦρις ἐν τῷ ιβ τῶν ὥρων [5]) γράφει οὕτως· ὡς ὑπὸ Αἰγινητῶν πειρατευόμενοι Ἀθηναῖοι στρατιὰν κατ᾽ αὐτῶν ἀποστέλλουσιν, οἱ δὲ ἅμα Σπαρτιάταις ἅπαντας ἀπέκτειναν. εἷς δὲ ὑπέστρεψεν ἄγγελος, ὃν περιστᾶσαι τῶν τεθνεώτων αἱ γυναῖκες καὶ τὰς περόνας τῶν ὤμων ἀφελόμεναι ἐξετύφλωσαν, εἶτα ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι, δεινὸν ἡγησάμενοι τὸ πραχθὲν, περιεῖλον τῶν γυναικῶν τὰς περόνας, ἐπείπερ εἰς ὁπλισμὸν αὐταῖς ἐχρήσαντο, καὶ οὐ πρὸς φυλακὴν τῆς ἀμπεχόνης· αὐτοί τε ἐκόμων, αἱ δὲ γυναῖκες ἐκείροντο. καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν οἱ χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον ταῖς Δωρίαις στολαῖς. διὸ καὶ ἡμᾶς τὰς ἀχίτωνας [6]) δωριάζειν ἔφασαν. Ἄλλως. αἱ Λακεδαιμόνιαι κόραι διημερεύουσιν ἄζωστοι καὶ ἀχίτωνες, ἱματίδιον ἔχουσαι πεπορπημένον ἐφ᾽ ἑκατέρου τῶν ὤμων. καὶ Καλλίμαχος, ἔσκεν ὅτ᾽ ἄζωστος χἀτερόπορπος ἔτι. καὶ ἐν ταῖς ἀρχαίαις γραφαῖς οὐκ ὀλίγα ὕτ᾽ ἔσταλται. καὶ δωριάζειν τὸ γυμνὰς φαίνεσθαι τὰς γυναῖκας. Ἀνακρέων, ἐκδῦσα χιτῶνα δωριάζειν. *ΔΩΡΙΣ*, Λακεδαιμονία, (Μονεμβασιώτισσα). Gu. *Αἱ Δωρίδες κόραι* ἐρχόμεναι εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος ἐνθουσιῶσαι μετὰ ἑνὸς μόνου χίτωνος ἤρχοντο. λιποῦσα δὲ καὶ καταλείψασα τὰ φίλια λέχη, ἤγουν τὴν στρωμνὴν αὐτὴν, ἐπεὶ ἀνεπαύετο (καλεῖ ταύτην οὕτως ἢ διὰ τὸ ἡδονικὸν τῆς μίξεως· ἐπάνω γὰρ ταύτης ἐσυνουσιάζετο·) καταλείψασα τὰ φίλια λέχη μονόπεπλος μονοχίτων μετὰ τοῦ ἐπικαμυνοῦ (sic) μόνον ἔφυ-

4) πόρπας Gu. et Junt. ἐπόρπας Basil. ex quo Barn. fecit ἐπιπορπίδας.

5) ὥρων Junt. Basil. ὡρῶν Barn. King. Musgr. ὅρων, de finibus, legebat Valck. ad Herod. V, 87. p. 415, 75. ὥρων ab ὧροι, annales, et nostro et Athenaeo restituit Schweigh. ad Athen. T. IV. p. 645 sqq. Mox Junt. Basil. στρατίαν. Barn. King. Musgr. στρατείαν. sed recte στρατιάν scribit Valck. ad Herod. l. c.

6) Barn. King. Musgr. διὸ γυμνὰς καὶ τὰς ἀχίτ. fortasse vere. Locus Anacr. in Fischeri edit. est p. 404.

γον εἰς τὴν Ἄρτεμιν, ἤγουν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος· ἐν γὰρ καιρῷ σκυλεύσεως οὐ προστρέχομεν ἀλλαχόθι, εἰ μὴ ἐν τοῖς ναοῖς. τὸ αὐτὸ καὶ ἐκεῖναι φοβούμεναι προςέδραμον εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων θεῶν, ὡς ὁ Πρίαμος καὶ οἱ ἕτεροι. ἢ ἄλλως. ὡς κόρη Δωρὶς μονοχίτων προςκαθίσασα εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων θεῶν, ὡς καὶ ὁ Πρίαμος καὶ οἱ ἕτεροι. ἢ ἄλλως. ὡς κόρη Δωρὶς μονοχίτων προςκαθίσασα εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος, οὕτως καὶ ἐγὼ ἔδραμον ἐν τοῖς ναοῖς. οὐκ ἤνυσα δὲ, ἤγουν οὐκ ἐτελείωσά τι, οὐχ εὗρον σωτηρίαν, ἀλλ' ἀπεσπάσθην τῶν ἐκεῖσε, ὡς αἰχμάλωτος. Fl. 5.

V. 916. *ΠΡΟΣΙΖΟΥΣ'*, ἱκέτις καθίζουσα. (προςκαθημένη.) προςκαθίσασα τῇ Ἀρτέμιδι, οὐκ ἤνυσα, φησὶ, τὸ ἐμὸν βούλημα, ὥςτε μὴ ἁρπαγῆναι καὶ αἰχμαλωτισθῆναι. ἄγομαι δὲ θανόντα ἰδοῦσα τὸν ἀκοίταν τὸν ἐμὸν, ἤγουν τὸν ἄνδρα. διαλύεται δὲ τὸ προςίζουσα, οἷον, ἵζουσα πρὸς τὴν Ἄρτεμιν, ἤγουν προςκαθημένη τῇ Ἀρτέμιδι. Gu.

V. 917. *ΟΥΚ ΗΝΥΣ'*, οὐκ ἐτελείωσα, (οὐκ ἐτέλεσά τι τῆς εὐχῆς, οὐκ ἠδυνήθην σωθῆναι). Gu. ὡς καταφυγούσης αὐτῆς εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, καὶ μηδὲν ὠφελησάσης. Fl. 10. οὐκ εὐώδωσα, ουκ ἐτελείωσα. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 918. *ΑΓΟΜΑΙ.* ἄγομαι ἐπὶ τὸ πέλαγος, ἑωρακυῖα τὸν ἄνδρα μου ἀποθανόντα. ἰστέον δὲ, ὅτι τὸ ἐπεὶ νόστιμον πρὸς τὸ ἄγομαι συναπτέον τῇ ἐννοίᾳ. [7]) *ΑΓΟΜΑΙ*, φέρομαι, ὡς αἰχμάλωτος. Gu.

V. 920. *ΑΠΟΣΚΟΠΟΥΣΑ*, μακρόθεν ὁρῶσα, (πόῤῥωθεν βλέπουσα). Gu. καὶ ἄπο καὶ μακρὰν σκοποῦσα, καὶ ἐπιτηροῦσα τὴν πόλιν. Fl. 59. ἐπεὶ καὶ πόῤῥωθεν ἡ Τροία ἑωρᾶτο καιομένη, οἷον ἀπὸ Χεῤῥονήσου. Fl. 21.

V. 921. *ΝΟΣΤΙΜΟΝ*, τὸν τῆς ὑποστροφῆς (ὑποστρεπτικὸν πρὸς τὸν οἶκον). Gu. τὸν τῆς ὑποστροφῆς (hoc etiam Flor. 6. 9. 17. 56. 59. 76.) παλινοστοῦντα, ἐπιστρέφοντα. Fl. 21. ὀπιστόρμητον (ὀπισθόρμ.). Fl. 33. πόδα, τὴν τρόπιν (Flor. τροπὴν) ἢ τὴν κώπην. Gu. Fl. 6.

7) Verba ἰστέον — τῇ ἐννοίᾳ in Gu. scholio ad v. 925 sq. κατάρᾳ διδοῦσα adhaerent: τὴν μετοχὴν ταύτην εἶναι. ἰστέον δέ etc.

V. 922—931. *ΚΑΙ Μ' ΑΠΟ ΓΗΣ.* καὶ ἐμὲ ἀπὸ τῆς γῆς ἐξώρισε τῆς Τρωϊκῆς — ἀπηγόρευσα ἡ ἀθλία τῇ λύπῃ — τῇ Ἑλένῃ τῇ ἀδελφῇ τῶν Διοσκούρων, Κάστορος καὶ Πολυδεύκους, καὶ τῷ Πάριδι καταρωμένη, ἐπεί με τῆς πατρῴας γῆς καὶ τῶν οἴκων ἐξῴκησεν οὐ γάμος, ἀλλὰ ταλαιπωρία δαίμονός τινος κακοποιοῦ, ἥν τινα Ἑλένην μήτε τὸ πέλαγος ἀπαγάγοι πάλιν, ἤγουν εἰς τοὐπίσω, μήτε ἀφίκοιτο εἰς τὸν πρῶτον οἶκον.

V. 922. *ΩΡΙΣΕΝ*, ἀφώρισεν. (ἐχώρισεν, ἐξώρισεν.) Gu. διεχώρισεν. Fl. 33.

V. 923. *ΑΠΕΙΠΟΝ*, ἀπηγόρευσα, ἀπέκαμον ὑπὸ τοῦ ἄλγους (τοῖς κακοῖς ἢ ἀγανακτήσει. θλίψει). Gu. ἀπὸ τοῦ νῦν οὐ δύναμαι λέγειν τι, δαμασθεῖσα τῇ θλίψει. Fl. 59. *ΤΑΝ ΤΟΙΝ Δ.* Τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα ι. τὸ πρῶτον ἐπιωνικὸν [8]) τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τρίτου, ἰωνικοῦ ἀπὸ μείζονος καὶ δακτύλου. τὸ β ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου [τρίτου ἢ] δ, καὶ σπονδείου. εἰ δὲ βούλει, τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ ἀναπαίστου. τὸ δ ἰαμβικὸν πενθημιμερές. τὸ ε τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον, ἐκ σπονδείων καὶ τροχαίων. τὸ ϛ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δ, χοριάμβου καὶ συλλαβῆς. τὸ η ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β καὶ γ ποδὸς χορείου. τὸ θ παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ δύο συλλαβῶν. τὸ ι χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου, ἐπιτρίτου α καὶ τροχαίου. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

V. 924. *ΔΙΟΣΚΟΡΟΙΝ.* ἡ Λήδα συλλαβοῦσα ἐκ τοῦ Τυνδάρεω καὶ ἐκ τοῦ Διὸς, μεταβληθέντος εἰς κύκνον, ἐγέννησεν ᾠὸν, ἀφ' οὗ ἐξῆλθεν ἥ τε Ἑλένη καὶ ὁ Κάστωρ καὶ ὁ Πολυδεύκης. διὰ τοῦτο λέγονται Διόςκοροι οὗτοι, οἱονεὶ κοῦροι τοῦ Διός. κόρη λέγεται θηλυκῶς καὶ κούρη ποιητικῶς, κόρος δὲ ὁ υἱὸς οὐ λέγεται, ἀλλὰ κοῦρος. ἐκ τούτου λέγονται Διόςκουροι. Gu. a m. pr. συνεκδοχικῶς, διδοῦσα ἐν κατάρᾳ. (συνεκδ. καὶ καταρωμένη.) Fl. 59. *ΚΑΣΙΝ*, ἀδελφὴν, (αὐταδελφήν). Gu.

8) Barn. King. Musgr. παιωνικόν pro ἐπιωνικόν. King. et Musgr. paulo post omiserunt τρίτου ἤ.

V. 925. *ΒΟΥΤΑΝ*, βουκόλον, βοτῆρα, ποιητικόν (βοσκόν). Gu. βούτας λέγεται ὁ Ἀλέξανδρος, ἐπεὶ εἰς τὰ ποίμνια τοῦ πατρὸς αὐτοῦ ἦν καὶ ἀνετρέφετο, μέχρις οὗ εἰς τὴν Λακεδαιμονίαν ἦλθε· Ἰδαῖος δὲ διὰ τὴν Ἴδην τὸ ὄρος· πόλις γὰρ τῆς Τροίας ὑπὲρ τὸ ὄρος· αἰνόπαρις δὲ, διότι ἐπὶ κακῷ ἐξέφυγε καὶ παρέδραμε τὸν φόνον, ὃν ἔκριναν οἱ μάντεις θανατῶσαι αὐτόν. Fl. 59.

V. 925. 926. *ΚΑΤΑΡΑι ΔΙΔΟΥΣΑ*. πρὸς τὸ ἀποσκοποῦσα ἐστὶν ἡ μετοχὴ τὸ κατάρᾳ διδοῦσα· τὸ δὲ ἐπεὶ νόστιμον καὶ τὸ τάλαινα ἀπεῖπον ἄλγει, διὰ μέσου, εἰ καὶ φασὶ τινὲς τῶν ψυχρῶν πρὸς τὸ ἀπεῖπον τὴν μετοχὴν ταύτην εἶναι [9]). *ΚΑΤΑΡΑι ΔΙΔ.* οἱ μὴ δυνάμενοι τιμωρῆσαι τοὺς ἑαυτῶν ἐχθροὺς ὑποβάλλουσι κατάρᾳ αὐτούς. τὸ αὐτὸ καὶ ὁ Χορὸς λέγει· ἀπηγόρευσα αὐτῇ πολλῇ θλίψει, διδοῦσα ἐν κατάρᾳ, ἤγουν καταρωμένη, τὴν Ἑλένην, τὴν ἀδελφὴν τῶν Διοσκόρων, τοῦ τε Κάστορος καὶ τοῦ Πολυδεύκους, τὸν Ἰδαῖόν τε βούταν, καὶ βουκόλον, τὸν αἰνόπαριν, ἤγουν τὸν Ἀλέξανδρον, διότι ἀπώλεσεν καὶ ἄπο καὶ μακρὰν ἔθηκεν ἐμὲ ἐκ τῆς πατρικῆς γῆς, καὶ ἐξῴκισεν, καὶ ἀποίκους ἐποίησεν ἡμᾶς, ὁ γάμος τοῦ Ἀλεξάνδρου, ὁ οὐ γάμος, ἀλλ' οἰζὺς καὶ συμφορὰ ἀλάστορός τινος δαίμονος. Fl. 59.

V. 927. *ΑΠΩΛΕΣΕ*. πρωθύστερον. (μετὰ ὀλέθρου ἐξέβαλλε.) Gu.

V. 928. *ΕΞΩιΚΙΣΕ*, ἐξέβαλλεν, ἐξώρισεν. Gu. *ΓΑΜΟΣ, ΟΥ ΓΑΜΟΣ*. γάμος μὲν διὰ τὸ συγκοιτασθῆναι καὶ ἔχειν αὐτήν· οὐ γάμος δὲ, διότι οὐκ ἦν ἔννομος, ἀλλ' ἑτέρου ἦν ἡ γυνή. Fl. 59.

V. 929. *ΑΛΑΣΤΟΡΟΣ*, κακοποιοῦ δαίμονος (κακοῦ, παλαμναίου δαίμονος τινός.) Gu. *ΟΙΖΥΣ*, τιμωρία καὶ ταλαιπωρία. Fl. 10. 21. 33.

V. 930. *ΑΝ ΜΗΤΕ*. ἥν τινα τὴν Ἑλένην μὴ ὑποστρέψῃ ἡ θάλασσα πάλιν, καὶ εἰς τοὐπίσω, ἤγουν μὴ φέρῃ ταύτην εἰς τὴν οἰκίαν αὐτῆς, μηδὲ καταλάβῃ εἰς τὸν πρῶτον (leg. πατρῷον) οἶκον αὐτῆς, ἤγουν μὴ ἴδῃ τοῦτον. Fl.

9) τῶν ψυχρῶν om. Gu. Idem addit, quae in fine scholii ad v. 918. leguntur: ἰστέον δὲ κ. τ. λ.

59. ἥντινα Ἑλένην μήτε πέλαγος ἀπενέγκοι, μήτε οἱ οἶκοι δέξονται αὐτοὺς οἱ Τρωϊκοί. Fl. 10. 33.

V. 931. *ΠΑΤΡΩιΟΝ*, Τυνδάρεω. Fl. 10.

V. 932—946. *Ω ΦΙΛΤΑΤ' Α.* Ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, καὶ σὺ, ὦ Ἑκάβη φιλτάτη, δακρύω εἰσορῶν σε τήν τε σὴν πόλιν καὶ τὴν θυγατέρα σου τὴν θανοῦσαν πρὸ ὀλίγου. φεῦ (θαυμαστικὸν) οὐκ ἔστιν οὐδὲν πιστὸν καὶ βέβαιον, οὔτε εὐδοξία καὶ εὐημερία, οὔτε εὐτυχοῦντα τινὰ μὴ δυστυχήσειν. φύρουσι δὲ καὶ ταράττουσιν αὐτὰ οἱ θεοὶ, εἰς τοὐπίσω καὶ ἔμπροσθεν, ἐντιθέντες σύγχυσιν, ἵνα ἀγνοίᾳ τοῦ μέλλοντος σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τὰ κακὰ κατὰ τί δεῖ θρηνεῖν, ἐμὲ δηλονότι, οὐδαμῶς προκόπτοντα καὶ προερχόμενα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν, ὅ ἐστιν, οὐ κατόπιν ἐόντα τὰ κακά. σὺ δὲ εἰ κατά τι μέμφῃ ἐμοὶ ἕνεκα τῆς ἀποδημίας, ἐπίσχες, σαυτὴν δηλονότι· ἐτύγχανον μὲν ἀποδημῶν ἐν τῷ μέσῳ τῶν τῆς Θρᾴκης ὁρίων, ὅτε ἦλθες ὧδε. ἐπεὶ δὲ ἦλθον, αἴροντί μοι, καὶ κινοῦντι, τὸν πόδα ἔξω τῶν δωμάτων, εἰς ταυτὸν, ἤτοι ὁμοῦ, συμπιτνεῖ καὶ συναντᾷ ἡ δούλη σου αὕτη, ἀπαγγέλλουσα ἀγγελίας, ὧν ἀκούων ἀφικόμην.

V. 932—940. *Ω ΦΙΛΤΑΤ' ΑΝΔΡΩΝ ΠΡΙΑΜΕ.* Ἐλθὼν ὁ Πολυμήστωρ πρὸς τὴν Ἑκάβην, πρὸς μὲν τὸν Πρίαμον, ὡς ἀπόντα, λέγει μόνον, ὦ φίλτατε Πρίαμε, δίχα τοῦ σὺ, πρὸς δὲ τὴν Ἑκάβην, ὡς ζῶσαν, χρῆται τῷ σὺ, καὶ θρηνεῖ αὐτήν τε ὡς δούλην, καὶ τὴν πόλιν αὐτῆς ὡς ἁλοῦσαν, καὶ τὴν νεοσφαγῆ Πολυξένην, εἶτα γνωματευόμενος λέγει· οὐκ ἔστιν οὐδὲν βέβαιον, οὔτε εὐτυχία, οὔτε, ἐὰν [10]) εὐτυχῇ τὶς, ἡ κατ' ἐκεῖνον εὐτυχία ἀεὶ παραμένει, ἀλλὰ τῆς μεταβολῆς τῶν πραγμάτων αἰτίους ἡγεῖται τοὺς θεούς. φύρειν γὰρ καὶ ἑνοῦν αὐτὰ τούτους φησὶ, καὶ τὸν πλούσιον εἰς τὸ ὄπισθεν ἄγειν, πένητα καθιστῶντας — τοῦτο γάρ ἐστι τὸ πάλιν — τὸν δὲ πένητα εἰς τὸ

10) ἐὰν Gu. Vulgo ἄν. Vitiosam scripturam Junt. et Basil. γνωματευόμενος et mox καθιστῶντες jam correxit Barnes. Verba τὸ δὲ, ἀλλὰ ταῦτα etc., nullis aliis interpositis, statim cum ἡμῖν συμφέροντα conjungit Gu. quod recte fieri, vel δέ illud ostendit; intermedia αἱ περίοδοι — κορωνίς prorsus omittit, ego in fine totius scholii posui.

πρόσθεν φέρειν, ἤγουν πρὸς εὐπορίαν καὶ πλοῦτον, ποιοῦντας τῶν πραγμάτων σύγχυσιν, ἵνα, τούτων ἐν ἀδήλῳ καθεστώτων, μὴ προσέχωμεν αὐτοῖς, ὡς μεταβαλλομένοις, ἀλλὰ τοὺς θεοὺς σεβόμενοι, αἰτῶμεν τὰ ἀγαθὰ καὶ ἡμῖν συμφέροντα. Τὸ δὲ ἀλλὰ ταῦτα μὲν ¹) τί δεῖ θρηνεῖν, οὐχ, ὡς οἴονταί τινες, συντακτέον, συνάπτοντες τὸ ταῦτα πρὸς τὸ κακῶν, καὶ οὕτω συντάσσοντες. τὸ ἀληθὲς τῆς συντάξεως οὕτως ἔχει· δυσχεράνας γὰρ ὁ Πολυμήστωρ ἄνωθεν πρὸς τὸ ἀβέβαιον τῶν πραγμάτων, καὶ τούτων ἀναθεὶς τὴν αἰτίαν τοῖς θεοῖς, νῦν φησὶν, ἀλλὰ ταῦτα, ἅπερ ἔφην, τί θρηνεῖν δεῖ, οὐδὲν καὶ οὐδαμῶς προκόπτοντα καὶ προχωροῦντα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν, τουτέστιν οὐχ ὑπερβαίνοντα τὰ κακὰ καὶ μεταβαλλόμενα, ἀλλ᾽ ἀεὶ κακὰ τυγχάνοντα· τὸ γὰρ μεταβάλλεσθαι τινὰ ἀπὸ κακοῦ πρὸς καλὸν, ἔμπροσθεν τοῦ κακοῦ φαμὲν γίνεσθαι. Αἱ περίοδοι δὲ αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ο, ὧν τελευταῖος ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισα γόνον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

V. 932. *ΦΙΛΤΑΤ᾽.* ἀπὸ τοῦ φίλος οὐ γίνεται φιλότερος, ἀλλὰ φίλτερος τὸ συγκριτικὸν, καὶ φίλτατος τὸ ὑπερθετικόν. Gu.

V. 934. *ΑΡΤΙΩΣ.* οἱ Ἀττικοὶ ἄρτι ἀντὶ τοῦ νῦν λέγουσιν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου. ἰστέον δὲ, ὅτι, ὡς τὸ νῦν καὶ ἀκαριαῖον (sic) ἐστὶν, οἷον νῦν φθέγγομαι, καὶ πλατυκὸν, ὡς τὸ νῦν ἄρχει ὁ δεῖνα, τουτέστι τοῖς χρόνοις τούτοις, οὕτως ἐστὶ καὶ τὸ ἄρτι, οἷον ἄρτι φθέγγομαι, τουτέστι ταύτῃ τῇ ὥρᾳ, καὶ ἄρτι ἄρχει ὁ δεῖνα, τουτέστι τούτοις τοῖς χρόνοις. Gu.

V. 935. *ΦΕΥ.* χαριζόμενος ὁ Πολυμήστωρ τῇ Ἑκάβῃ καὶ πεπλασμένως συλλυπούμενος αὐτὴν (f. αὐτῇ) ἰδὼν τήν τε Τροίαν καυθεῖσαν, τὴν Πολυξένην σφαγεῖσαν, τὸν Πρίαμον καὶ τοὺς υἱοὺς αὐτοῦ φονευθέντας, ταύτην δὲ αἰχμάλωτον, ἀποκλαιόμενος λέγει· ἐν τοῖς ἀνθρώποις οὐδέν ἐστι πρᾶγμα πιστὸν καὶ βέβαιον, οὔτε ἡ εὐδοξία καὶ ἡ εὐδαιμονία ὑπάρχει βέβαιος, ἀλλὰ μεταφέρεται, οὔτε πάλιν τὸν καλοπραγοῦντα ἔσται μὴ κακοπραγήσειν· χθὲς γὰρ ἡ Ἑκάβη βασιλὶς ἦν μετὰ τῶν παίδων αὐτῆς, ἡ Τροία εὐτύχει, τὰ ἐκείνων πάντα εὐτυχῶς εἶχον· νῦν δὲ ἡ μὲν βασιλὶς δούλη, ἡ δὲ Τροία κατεστράφη. φύρουσι δὲ καὶ συγχέουσιν οἱ θεοὶ αὐτὰ, τὰ πράγματα τῶν ἀνθρώπων, πάλιν καὶ πρόσω, εἰς τὸ ὀπίσω καὶ εἰς τὸ ἔμπροσθεν, ἤγουν εἰς εὐδαιμονίαν καὶ δυστυχίαν, ἐντιθέντες καὶ τιθέμενοι καὶ ποιοῦντες εἰς τοὺς ἀνθρώπους ταραγμὸν καὶ σύγχυσιν, ὡς ὄντως ἐν ἀγνωσίᾳ σέβωμεν καὶ τιμῶμεν αὐτοὺς, ἤγουν τοὺς θεούς. ἀποβλέπων γὰρ ὁ Πολυμήστωρ τὰς θυσίας καὶ τιμὰς, ἃς ἡ Ἑκάβη πρὸς τοὺς θεοὺς ἐθουσίαζε (sic. leg. ἐθυσίαζε) καὶ ἐδίδου, μηδὲν ὠφελοῦσαν (—λούσας) αὐτὴν, λέγει, ὄντως (leg. ὡς ὄντως) ἐν ἀγνωσίᾳ ὄντες οἱ ἄνθρωποι σέβωμεν αὐτούς· καὶ γὰρ ὄφελος ἡ Ἑκάβη εὗρεν ἀπὸ τῶν εἰς τοὺς θεοὺς θυσιῶν, ὧν ἐποίει. Fl. 59. *ΠΙΣΤΟΝ*, βέβαιον, (μόνιμον). Gu. βέβαιον καὶ ἑδραῖον. Fl. 10. 53. *ΕΥΔΟΞΙΑ*, ἡ δόξα. (εὐτυχία, εὐπραξία.) Gu.

V. 937. *ΦΥΡΟΥΣΙ.* ἀναμιγνύουσιν αὐτὰ οἱ θεοὶ εἰς ὀπίσω καὶ ἔμπροσθεν, ἀντὶ τοῦ οὔτε κατὰ παρελθόντα πράγματα τάξιν φυλάττουσι τοῦ μέλλοντος, οὔτε εἰς τὰ μέλλοντα, ἀλλ᾽ ἄτακτα ἐῶσι τὰ πράγματα, ἵνα σέβωμεν αὐτοὺς, τουτέστιν, οὔτε διηνεκῶς εὐτυχεῖ ἄνθρωπος, ἐάν ποτε τῶν καιρῶν εὐτυχῇ, οὔτε τὰ μέλλοντα αὐτῷ συμβῆναι ἐπίσταται, ἀλλ᾽ ἄτακτα ἐῶσι τὰ πράγματα οἱ θεοὶ, ἵνα σέβωμεν αὐτοὺς τῇ ἀγνωσίᾳ. Fl. 10. 53. *ΦΥΡΟΥΣΙ*, ταράσσουσι. (μιγνύουσι, συγχέουσιν.) φύρω, τὸ συγχέω, φυρῶ δὲ τὸ μιγνύω ἄλευρον ὕδατι· ὅθεν καὶ φύραμα ἡ ζύμη. Gu. *ΠΑΛΙΝ*, ὀπίσω, ἤγουν εἰς τὸ δυστυχὲς, καὶ πρόσω, ἤγουν εἰς τὸ εὐτυχές. (εἰς τοὐπίσω, ἀπὸ εὐδοξίας εἰς ἀδοξίαν. πρόσω, ἀπὸ ἀδοξίας εἰς εὐδοξίαν.) Gu.

V. 938. *ΤΑΡΑΓΜΟΝ*, σύγχυσιν. Gu. m. pr. *ΕΝΤΙΘΕΝΤΕΣ* ποιοῦντες. Gu. m. 2. *ΑΓΝΩΣΙΑι*, ἀγνοίᾳ τοῦ μέλλοντος. (τῇ ἀδηλίᾳ τῶν πραγμάτων τῶν μελλόντων.) Gu.

V. 939. *ΤΑΥΤΑ*, τούτους τοὺς θρήνους. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἅπερ εἶπον. Gu. m. 2. ὁ λόγος ἐναντίος τοῖς ἄνω. εἴρηκε γὰρ, ὅτι φύρονται τὰ

1) *μέν* e Gu. addidi. Ex eodem adjeci *ὡς* post *οὐχ* et totam sententiam *συνάπτοντες — ὡς ἔχει.* tum *οὐδὲν καὶ οὐδ. προκόπτοντα καὶ προχ. τουτέστιν οὐχ ὑπερβαίνοντα* (hoc quidem e scholio his tantum verbis *τουτέστιν — μεταβαλλόμενα* constante, quod ibid. in marg. ad v. 940. adscriptum est, pro vulg. *ὑπερβαίνει.*) *καὶ μεταβαλλόμ. — τὸ γὰρ* (vulgo *δέ*) *μεταβ. τινὰ* (vulgo *τι ἀεί*).

πράγματα οὕτω καὶ οὕτω, καὶ ποτὲ μὲν τοιαῦτα φαίνονται, ποτὲ δὲ τοιαῦτα. ἀλλὰ ἀπαγορεύει παντελῶς τὰ τῆς Ἑκάβης. Gu. m. pr.

V. 940. *ΘΡΗΝΕΙΝ* ἀντὶ τοῦ μετὰ θρήνου λέγειν, ὥσπερ καὶ τὸ ἐξετραγῴδησεν ἀντὶ τοῦ μετὰ τραγῳδίας καὶ θρήνου διηγήσατο τὰ κατ' αὐτόν. ὁμοίως καὶ τὸ ἀπελαύσατο (leg. ἀπεκλαύσ.). γράφεται δὲ οὕτως ἐν τῇ πεζογραφίᾳ. ἀλλὰ ταῦτα μὲν τί ὄφελος μετὰ θρήνου λέγειν ταῦτα οὐδαμῶς ἀπὸ τῶν κακῶν προκόπτοντα εἰς τὸ ἔμπροσθεν. πότε γὰρ ἡ Ἑκάβη ἔμελλε πάλιν ἐπανελθεῖν εἰς τὴν ἀτυχίαν (εὐτυχίαν) αὐτῆς, ἢ πότε ἡ Τροία ἐπανορθωθῆναι ἀπὸ τῶν κακῶν τῶν ἐπελθόντων ἀρτίως τῇ Ἑκάβῃ καὶ τοῖς Τρωσίν; οὐδαμῶς εἰς τὸ μετὰ ταῦτα ἔσεταί τις ἐπανόρθωσις. Fl. 59. *ΠΡΟΚΟΠΤΟΝΤΑ*, ἀνύοντα, ὠφελοῦντα. Gu. m. pr. Fl. 59. προχωροῦντα, προβαίνοντα. Gu. m. 2. διακόπτοντα. Fl. 10. *ΟΥΔΕΝ*, ὠφέλιμον. Fl. 33. οὐδαμῶς. Gu. *ΕΙΣ ΠΡΟΣΘΕΝ Κ.* εἰς τὸ ἔμπροσθεν. τὸ δὲ ἔμπροσθεν τῶν κακῶν τὸ καλόν ἐστι. Gu. m. 2.

V. 941. *ΑΠΟΥΣΙΑΣ*, ἀποδημίας. (Gu.) παρουσία, ἡ ἐπιδημία, ἀπουσία, ἡ ἀποδημία. ἐναντίον ἡ ἀπουσία τῇ παρουσίᾳ. Fl. 59. 6. 9. 17. 21. 56. 76.

V. 942. *ΣΧΕΣ*, παύου. Fl. 10. κράτησον σαυτήν. (ἐπίσχες. ὑπόμεινον.) Gu.

V. 943. *ΑΠΩΝ*. προφασίζεται πλαττόμενος. οὐκ ἐβούλετο γὰρ ὀφθῆναι τῇ Ἑκάβῃ, ἐπεὶ ἀπέκτεινε τὸν Πολύδωρον. Fl. 10. 53.

V. 944. *ΗΔΗ ΠΟΔ'*, ἤγουν οὔπω εἰσελθόντι μοι εἰς τὸν οἶκον. Gu. a m. pr. προϊόντι πρός σε. Fl. 10.

V. 945. *ΕΣ ΤΑΥΤΟΝ*, τῇ αὐτῇ ὥρᾳ. (εἰς τὸ ἕν.) Gu. *ΣΥΜΠΙΤΝΕΙ*, συναντᾷ. Gu. a m. pr. Fl. 35. καταλαμβάνει, συνέρχεται. Gu. a m. 2.

V. 946. *ΜΥΘΟΥΣ*, λόγους (ἀγγελίας). Gu.

V. 947—954. *ΑΙΣΧΥΝΟΜΑΙ ΣΕ ΠΡΟΣΒΛΕΠΕΙΝ*. ὦ Πολυμῆστορ, αἰσχύνομαι βλέπειν πρὸς σὲ κατὰ πρόσωπον, κειμένη ἐν τοιαύταις δυστυχίαις· σοὶ γάρ, ᾧτινι ὤφθην εὐτυχοῦσα, αἰδοῦμαι ὀφθῆναι δηλονότι, ὑπάρχουσα ἐν ταύτῃ τῇ δυστυχίᾳ, ὅπου εἰμὶ νῦν, καὶ οὐκ ἂν δυναίμην βλέπειν πρὸς σὲ ὀφθαλμοῖς ὀρθῶς ἀτενίζουσιν. ἀλλ'

αὐτὸ μὴ νομίσῃς ἔχθραν σου, ὦ Πολυμῆστορ· ἄλλως τε καὶ νόμος αἴτιόν τι, λέγω τὸ μὴ βλέπειν γυναῖκας κατὰ πρόσωπον ἀνδρῶν.

V. 947. *ΑΙΣΧΥΝΟΜΑΙ*. τῇ ἀληθείᾳ οὐ θέλει αὐτὸν ὁρᾶν μισοῦσα, ὡς φονεύσαντα τὸν υἱόν, προφασίζεται δὲ διὰ τὴν δυστυχίαν ἐρυθριᾷν. Fl. 10. 55. οὗτοι οἱ στίχοι λέγονται ἐσχηματισμένοι, οἵτινες τῷ μὲν φαινομένῳ κατ' ἀληθὲς ὁμιλοῦνται, τῷ δὲ νοουμένῳ λέγονται ἐσχηματισμένως. ἡ Ἑκάβη γοῦν τῷ μὲν φαινομένῳ πρὸς τὸν Πολυμήστορα διαλεγομένη ὡς αἰχμάλωτος λέγει· αἰδοῦμαι προσβλέπειν σε, Πολυμῆστορ, κατὰ πρόσωπον, τοιούτοις κειμένη κακοῖς· αἰδὼς γὰρ καὶ ἐντροπὴ ἔχει ἐμὲ ὑπάρχουσαν ἐν τοιαύτῃ δυστυχίᾳ ἢ (leg. τὴν) πρώην οὖσαν βασιλίδα, καὶ αἰδὼς ἔχει ἐμέ, κατὰ κοινὸν βλέπειν, ᾧτινι ὤφθην εὐτυχοῦσα, ἤγουν σοι, καὶ οὐ δύναμαι προσβλέπειν σε ἐν ὀρθοῖς ὀφθαλμοῖς. Fl. 59. τὸ αἰσχύνεσθαι ἐπὶ μεγάλοις αἰτιάμασιν ἐστίν, τὸ αἰδεῖσθαι ἐν μικροῖς. Gu. *ΕΝΑΝΤΙΟΝ*, ἀντιπρόσωπον. (ἔμπροσθεν, ἄντικρυς.) Gu.

V. 949. *ΩΦΘΗΝ*, ἐφάνην, ἐθεάθην. Gu. m. 2. *ΕΥΤΥΧΟΥΣ'*. ἐξεθλίβει (—βη) τὸ α καὶ τὸ ν, ὡς καὶ παρ' Ὁμήρῳ, βούλομ' ἐγὼ λαόν, καὶ ὡς τὸ ἔσθ' ὅδε ἀντὶ τοῦ ἐστὶν ὅδε· πολλὰ γὰρ εὑρίσκονται ἐκθλιβόμενα στοιχεῖα. εἰ δὲ συντάξεις τοῦτο τυγχάνουσα εὐθεῖαν, σολοικοφανές ἐστι, καὶ ἀσυντακτικὸν παντελῶς. Fl. 21. 59. *ΑΙΔΩΣ Μ' ΕΧΕΙ*. ἀγνοοῦντες μικροῦ πάντες [2]) ἐνταῦθα τὴν σύνταξιν, σόλοικον ἡγοῦνται, λέγοντες, ὡς τυγχάνουσαν ἔδει εἰπεῖν πρὸς τὸ αἰδώς μ' ἔχει. τὸ δ' οὕτω συντάσσεται· ἐν τῷδε γὰρ τῷ πότμῳ καὶ τῇ τύχῃ, ἵνα καὶ ὅπου εἰμὶ νῦν τυγχάνουσα, αἰδώς μ' ἔχει ἐκείνου τοῦ ἀνδρός, ᾧτινι ἐφάνην εὐτυχοῦσα. ἢ τὸ τυγχάνουσα πρὸς τὸ αἰδὼς συντακτέον οὕτως· αἰδὼς γὰρ ἔχει μ' ἐκείνου, ὅτῳ ὤφθην εὐτυχοῦσα, τυγχάνουσα ἡ αἰδὼς ἐν τῷδε τῷ πότμῳ, ὅπου εἰμί, τουτέστιν αἰδοῦμαι θεάσασθαί σε. ἡ δὲ αἰδὼς οὐκ ἄλλοθεν ἢ ἐκ τῆς δυστυχίας ἐστίν, [ἐν] ᾗ νῦν πρόσκειμαι. ὃ δὴ καὶ κρεῖττον ἐστὶ τοῦ προτέρου. αἰδοῦμαι καὶ ἔχω αἰδῶ καὶ ἔχει με αἰδὼς ταὐτόν. Gu.

2) Gu. ἀγν. τινὲς ἐντ. Ex eodem paulo post ἵνα καί ante ὅπου, et post εὐτυχοῦσα. ἢ τὸ τυγχάνουσα πρὸς τὸ αἰδ. addidi. In fine ἐν om. Gu. et pro ὃ δέ recte habet ὃ δή.

V. 951. *ΟΡΘΑΙΣ*, οὐκ ἀπεστραμμέναις. Gu. ἀτενέσιν. Fl. 10.

V. 952. *ΑΥΤΟ*, τὸ ῥηθέν. Fl. 10. ἤγουν ὅτι οὐ βλέπω σε εἰς πρόσωπον. (τὸ μὴ δύνασθαι βλέπειν σε.) Gu. *ΔΥΣΝΟΙΑΝ*, κακίαν, (κακόνοιαν, ἔχθραν. ἡ δύςνοια ἡ ἐμὴ, ἢ ἣν ἔχει τις πρὸ ἐμὲ, ἢ ἣν ἔχω ἐγὼ πρὸς ἕτερον. ἐνταῦθα δὲ τὸ πρότερον λέγεται σημαινόμενον). Gu. C. C. C.

V. 953. *ΑΙΤΙΟΝ ΤΙ*, ὑπάρχει κατά τι. Fl. 59. *ΝΟΜΟΣ*, ἡ φύσις. Fl. 10. τὴν ὑποψίαν αὐτοῦ περιελεῖν βουλεται· φυσικῷ νόμῳ αἱ γυναῖκες ἐνατενίζειν ἀνδράσι κωλύονται. [3]) Fl. 33. ἐσχηματισμένως δὲ καὶ πεπλασμένως λέγει τοῦτον, ὡς φονέα τοῦ παιδὸς αὐτῆς· Πολυμῆστορ, αἰσχύνομαι προςβλέπειν σε κατὰ πρόςωπον· τὸν γὰρ φονέα τοῦ παιδὸς αὐτῆς πῶς ἔμελλε βλέπειν ἐν ὀφθαλμοῖς ὀρθοῖς; πεπλασμένως δὲ λέγει, ᾧτινι ὤφθην εὐτυχοῦσα, ἄλλως τε δὲ ὅτι καὶ ὁ νόμος κωλύει τοῦ μὴ ὁρᾶσθαι τοὺς ἄνδρας κατὰ πρόσωπον ὑπὸ τῶν γυναικῶν. Fl. 59. νόμος, ἔθος. (ἢ ὥςπερ νενομισμένον ἐστί.) τὸ χρόνοις βεβαιωθὲν, ἢ στεῤχθὲν τῇ φύσει νόμον καλοῦσιν οἱ παλαιοί. Gu.

V. 955 sq. *ΚΑΙ ΘΑΥΜΑ Γ' ΟΥΔΕΝ*, αἰσχύνεσθαί σε δηλονότι. ἀλλὰ τίς χρεία ἐμοῦ σοι; διὰ τί πρᾶγμα μετεπέμψω ἐκ τῶν δόμων τὸν ἐμὸν πόδα, ἤγουν ἐμέ; *ΑΛΛΑ ΤΙΣ ΧΡΕΙΑ Σ' ΕΜΟΥ.* ἔδει οὕτως εἰπεῖν· ἀλλὰ τίς χρεία σοι ἐμοῦ; νῦν δὲ Ὁμηρικῷ ζήλῳ ἀντὶ τοῦ σοὶ σὲ [4]) εἴρηκε, λαμβάνων τὴν εἰς πρόθεσιν ἔξωθεν, ὡς τὸ χρεὼ βουλῆς ἐμὲ καὶ σέ (Il. κ', 43). ἢ ἐπεὶ ἡ οι δίφθογγος κουφίζεται καὶ συναλείφεται, ἔστω κἀνταῦθα σοί. *ΚΑΙ ΘΑΥΜΑ Γ' ΟΥΔΕΝ.* τὰ τῆς Ἑκάβης συγγνώμη διδοὺς ὁ Πολυμήστωρ τὴν ἔπειξιν ποιεῖται πρὸς τὸ ἴδιον βούλημα. Gu.

V. 956. *ΤΙ ΧΡΗΜ'*, διὰ τί (πρᾶγμα. κατὰ ποίαν αἰτίαν. Μὴ λάβῃς εἰς τὸ τί χρῆμα κατά, ὥς τινες, ἀλλ' ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ πόδα, οὕτω· τί χρῆμα τὸν ἐμὸν πόδα ἐξεπέμψω καὶ ἐξέβαλες τῶν δόμων, ἤγουν ὁ ἐμὸς

3) Verba φυσικῷ — κωλύονται sunt etiam in Gu. a m. sec. In Flor. post νόμῳ interpungitur.

4) σέ. Sic recte Gu. quod jam edidit King. In verbis Homericis ejusdem codicis auctoritate τε delevi, quod erat post ἐμέ. Idem om. vv. καὶ συναλείφεται (vulgo συναλοίφεται).

ποὺς ἐκπεμφθεὶς ἐνταυθοῖ παρὰ σοῦ τί χρῆμα ἐξεπέμφθη, ἀντὶ τοῦ, τίς ὁ νοῦς τῆς τούτου πρὸς σὲ μετακλήσεως). Gu. *ΕΠΕΜΨΩ*, μετεκαλέσω (ἐξέβαλες, ἐκίνησας). Gu. *ΠΟΔΑ* ἀπὸ τοῦ μέρους τὸ ὅλον, συνεκδοχικῶς. Gu.

V. 957 — 959. *ΙΔΙΟΝ ΕΜΑΥΤΗΣ.* ἴδιον δή τι ἐμαυτῆς βούλομαι εἰπεῖν πρὸς σὲ καὶ τοὺς σοὺς παῖδας. τοὺς δὲ ἀκολούθους κέλευσον χάριν ἐμοῦ μακρὰν γενέσθαι τῶνδε τῶν δόμων.

V. 959. *ΚΕΛΕΥΣΟΝ ΤΩΝΔ' ΑΠΟΣΤΗΝΑΙ ΔΟΜΩΝ.* ἀκολουθούντων τῷ Πολυμήστορι τῶν αὐτοῦ ὑπηκόων ἐλθόντι πρὸς τὴν Ἑκάβην, ἰδοῦσα αὕτη, ὡς οὐ δυνηθείη τὸ κατ' αὐτοῦ δρᾶμα τελέσαι, τούτων παρόντων, φησὶ πρὸς τὸν Πολυμήστορα· κέλευσον ἀπελθεῖν τοὺς σοὺς δούλους, ἵνα σοι λάθρα εἴπω ὃ βούλομαι. καὶ ὃς πεισθεὶς, ὑποχωρεῖτε, τοῖς αὐτοῦ δούλοις φησίν· οὐ γὰρ φοβοῦμαι μονωθεὶς ὑμῶν. τουτὶ γὰρ δηλοῖ τὸ, ἐν ἀσφαλεῖ γὰρ ἥδε ἡ ἐρημία.

V. 960 — 964. *ΧΩΡΕΙΤΕ.* ἀποχωρεῖτε· ἐν ἀσφαλεῖ, ἀντὶ τοῦ ἐν οὐδενὶ φόβῳ ἐστὶν, ἥδε ἡ ἐρημία. προσφιλὴς μὲν εἶ σὺ, προσφιλὲς δὲ ἐμοὶ καὶ τόδε τὸ στράτευμα τῶν Ἀχαιῶν. ἀλλὰ πρέπει δηλοῦν, ἤτοι λέγειν σὲ, τί τὸν εὐτυχοῦντα πρέπει βοηθεῖν τοῖς μὴ εὐτυχοῦσι φίλοις, ὅτι ἕτοιμος εἰμὶ ἐγώ.

V. 960. *ΕΝ ΑΣΦΑΛΕΙ ΓΑΡ.* ἀντὶ τοῦ ἀσφαλὴς ἡ μόνωσις. (ἡ στέρησις ἡμῶν, ἡ μόνωσις.) Gu.

V. 962. *ΣΗΜΑΙΝΕΙΝ*, δηλοῦν (προςτάσσειν add. Gu.) τὸ σὸν βούλημα. Gu. a m. 2. Fl. 6. 17. 21. 56. 59. 76. *ΧΡΗ*, πρέπει· ὁ παρὼν ἀντὶ ἐνεστῶτος. Fl. 59.

V. 963. *ΤΙ ΧΡΗ.* ἀλλὰ χρὴ καὶ πρέπει σημαίνειν σὲ τί. τὸ τί ἀπὸ τοῦ ἑτέρου στίχου, καὶ ἔκτοτε στίζον (sic) αὐτὸ εἰς τὸ τί. Fl. 59. εἰ μὲν στίξεις εἰς τὸ σημαίνειν σε χρή, τὸ λοιπὸν ὁ Πολυμήστωρ ὅλον ἐν ἐρωτήσει· καὶ ἕτοιμός εἰμι ἐγὼ βοηθῆσαί σοι. εἰ δὲ στίξεις εἰς τὸ τί, τὸ λοιπὸν ἡ Ἑκάβη ἀπολύτως, ὅτι ἕτοιμός εἰμι βοηθῆσαί σοι. Fl. 25. *ΤΙ ΧΡΗ*, καὶ διὰ τί κέκλημαι ὧδε. Gu. a m. 1. *ΤΟΝ ΕΥ ΠΡΑΣΣΟΝΤΑ.* χρὴ γὰρ τὸν εὐπραγοῦντα, καὶ καλῶς ἔχοντα, ἐπαρκεῖν, καὶ βοηθεῖν, τοῖς φίλοις τοῖς μὴ πράσσουσιν εὖ, τοῖς κακοπραγοῦσιν

ἤτοι τοῖς κακῶς ἔχουσιν, ὡς, καὶ καθὰ, ἕτοιμός εἰμι ἐγὼ ποιεῖν τοῦτο εἰς σέ. οἱ Ἀττικοὶ τὸ εὐπραγῶ σύνθετον ὂν λέγουσιν οὕτω διαλελυμένως, εὖ πράσσω. ὁμοίως καὶ τὸ κακοπραγῶ καὶ τὸ ἀγαθὸν πράσσω, ἤγουν τὸ καλοπραγῶ, εἰς δὲ τὴν σύνταξιν πάλιν συντάσσεται συνῃρημένως. Fl. 59.

V. 964. *ΩΣ*, ὅτι, λίαν. Gu.

V. 965—967. *ΠΡΩΤΟΝ ΜΕΝ ΕΙΠΕ.* διὰ τὸν παῖδα τὸν Πολύδωρον, ὃν ἔχεις ἐν τοῖς δόμοις ἐκ τῆς ἐμῆς χειρὸς, λαβὼν δηλονότι, ἔκ τε τοῦ πατρὸς, εἰ ζῇ. τὰ δὲ ἄλλα ἐρωτήσω σε κατὰ δεύτερον λόγον.

V. 968. *ΜΑΛΙΣΤΑ*, ζῇ· κατὰ τὸ μέρος ἐκείνου; ἤγουν ὅσον δι᾽ ἐκεῖνον [5]), εὐδαιμονεῖς.

V. 969. *Ω ΦΙΛΤΑΤΕ*, ὡς λίαν καλῶς καὶ ἀξίως σου λέγεις. χλευάζουσα αὐτὸν ταῦτα φησί.

V. 970. *ΤΙ ΔΗΤΑ*, τί οὖν θέλεις ἐκ δευτέρου μαθεῖν ἐξ ἐμοῦ;

V. 971. *ΕΙ ΤΗΣ ΤΕΚΟΥΣΗΣ.* τοῦτο θέλω μαθεῖν, εἰ ὁ υἱός μου μέμνηται κατά τι ἐμοῦ τῆς τεκούσης ἐκεῖνον.

V. 972. *ΚΑΙ ΔΕΥΡΟ Γ'.* Ναὶ, μέμνηται δηλονότι, καὶ οἶδε κρυφίως ἐζήτει ἐλθεῖν. *ΚΑΙ ΔΕΥΡΟ Γ'.* ἐμφαντικὸς ὁ καὶ τοῦ μὴ μόνον μεμνῆσθαι, ἀλλὰ καὶ πλέον τι διατίθεσθαι πρὸς αὐτήν. Gu. a m. 1. *ΚΡΥΦΙΟΣ*, ἕνεκεν τῶν Δαναῶν. Fl. 21.

V. 973. *ΧΡΥΣΟΣ.* Ὁ δὲ χρυσὸς ἀνελλιπὴς καὶ ἀκέραιος ἐστὶν, ὃν ἦλθε φέρων ἐκ Τροίας; *ΣΩΣ.* ἀπὸ τοῦ σῶος κατὰ συγκοπὴν γίνεται σῶς. τὸ δὲ σῶς Δωρικῶς σάος, καὶ τροπῇ τοῦ α εἰς ω μέγα, καὶ ἐκβολῇ τοῦ ο σῶς. ἔτι δὲ καὶ σόοι διὰ τοῦ ο μικροῦ, ἀφ᾽ οὗ καὶ λαοσσόος Ἀθηνᾶ. τοῦτο δὲ γίνεται ἀπὸ τοῦ σείω σόος. Fl. 59.

V. 974. *ΣΩΣ*, σῶος ἐστὶν, ἐν τοῖς ἐμοῖς φυλασσόμενος οἴκοις.

V. 975. *ΣΩΣΟΝ ΝΥΝ ΑΥΤΟΝ*, φύλαττε δὴ [6])

5) In Fl. 10. gl. ὅσον τὸ κατ᾽ ἐκεῖνον.

6) δή. Sic Junt. δι᾽ αὐτὸν Basil. e quo King. fecit δ᾽ αὐτόν. Hoc scholion etiam Gu. habet, sed mutilum in fine: χρῶνται δὲ τὸ (sic, ut Basil. τῷ recte Junt.) νυ μόνοι οἱ ποιηταὶ καὶ λογοποιοί. Reliqua desunt, et statim sequitur scholion: νόει δέ.

αὐτὸν, τὸν πλοῦτον, καὶ μὴ ἐπιθύμει τῶν πραγμάτων τοῦ πλησίον. Τὸ νῦν οὐκ ἔστι χρονικὸν ἐνταῦθα, ἀλλὰ συμπερασματικὸν, ἀντὶ τοῦ δὴ λαμβανόμενον, ὥσπερ καὶ τὸ νυ παραπληρωματικόν. χρῶνται δὲ τῷ νυ μόνοι οἱ ποιηταὶ, τῷ δὲ νῦν καὶ ποιηταὶ καὶ λογοποιοί. ἴσθι δὲ, ὅτι τὸ μὲν νῦν τὸ χρονικὸν ἀεὶ μακρόν ἐστι καὶ περισπᾶται· διὸ καὶ τὸ νυνὶ ἐκ τούτου γινόμενον μακρόν ἐστι· τὸ δὲ νῦν ἀντὶ τοῦ δὴ ἀεὶ βραχὺ, καὶ ὀξύνεται μόνον κείμενον, συντεθὲν δὲ ἐγκλίνεται, ὡς κἀνταῦθα. διὸ καὶ τὸ τοίνυν ἐκ τούτου γινόμενον βραχύ ἐστι. *ΝΥΝ.* τὸ νῦν ἀντὶ τοῦ δή παραπληρωματικῶς σύνδεσμός ἐστι, καὶ οἱ ἄλλοι δή, ῥά, νύ. ὅταν οὖν ἔχῃ ἔμπροσθεν αὐτοῦ φωνῆεν, ἐφελκυστικόν ἐστι τοῦ ν, ὅταν δὲ σύμφωνον, ἐκλείπει, ὡς τὸ οὕτω οὕτως, μέχρι μέχρις, καὶ τὰ ἕτερα. Fl. 59. *ΣΩΣΟΝ*, διατήρησον. (σῶον καὶ ὑγιᾶ διαφύλαττε.) Gu. *ΤΩΝ ΠΛΗΣΙΟΝ*, πραγμάτων φίλου. (νόει δὲ τὸ τοῦ πλησίον ἀντὶ τοῦ χρυσοῦ αὐτοῦ, περὶ οὗ ἠρώτησε· πλησίον γὰρ αὐτοῦ ἦν, ἐπειδήπερ ἐν τοῖς οἴκοις αὐτοῦ κατείχετο.) Gu.

V. 976. *ΗΚΙΣΤΑ· ΟΝΑΙΜΗΝ.* οὐδαμῶς ἐρῶ τοῦ πλούτου τοῦ πλησίον· ἀπολαύσαιμι τοῦ ἰδίου, ὦ γύναι. *ΗΚΙΣΤΑ*, οὐδαμῶς. (ἐλάχιστα τοῦ πλησίον ἐρῶ.) Gu. ἤγουν εἰς τὸν πλησίον ἐρῶ (sic), μηδὲ τοῦ παρόντος μοι καὶ ὠφεληθείην, ἀλλὰ καὶ ἐκεῖνον ἀπολέσαι μοι. (ἀπολαύσαιμι?) Fl. 53. ἢ στικτέον εἰς τὸ *ΗΚΙΣΤΑ*, ἵνα λέγῃ· οὐδαμῶς ἀπολαύσαιμι τοῦ παρόντος πλούτου μου, ὦ γύναι. οὐδαμῶς ἀπολαύσαιμι τοῦ παρόντος πλούτου, ὦ γύναι, ἤγουν τοῦ πλούτου τοῦ υἱοῦ σοῦ. Fl. 59. *ΠΑΡΟΝΤΟΣ* ἐμοὶ δηλονότι, ἤγουν ἰδίου. Fl. 10. 59.

V. 977 sqq. *ΟΙΣΘ᾽ ΟΥΝ.* Οἶδας οὖν, ἃ εἰπεῖν σοὶ καὶ τοῖς σοῖς τέκνοις θέλω; — οὐκ οἶδα· τοῦτο δὲ δηλώσεις διὰ τοῦ σοῦ λόγου. — Ἀγαπηθήτω ὁ παῖς μου ὑπὸ σοῦ, ὡς νῦν σὺ ἀγαπᾷ ὑπ᾽ ἐμοῦ. κατὰ μὲν τὸ φαινόμενον λέγει, ἀγαπάσθω ὁ Πολύδωρος ὑπὸ σοῦ οὕτως, καθὰ σὺ νῦν φιλῇ ὑπ᾽ ἐμοῦ· κατὰ δὲ τὸ νοούμενον, ὡς σὺ φιλῇ ἀρτίως παρ᾽ ἐμοῦ, οὕτως ἐφιλεῖτο καὶ ὁ Πολύδωρος παρὰ σοῦ.

V. 980 sq. *ΤΙ ΧΡΗΜΑ.* τί ἐστὶ τὸ πρᾶγμα, ὅπερ ἐστὶ πρέπον εἰδέναι καὶ ἐμὲ καὶ τἀμὰ τέκνα; — θησαυροὶ παλαιοὶ χρυσοῦ κεκρυμμένοι τῶν Πριαμιδῶν· τοῦτο ἐστὶ τὸ πρᾶγμα, θησαυροὶ κεκρυμμένοι τῶν Πριαμιδῶν.

V. 981. *ΚΑΤΩΡΥΧΕΣ*, κεκρυμμένοι ἐν γῇ θησαυ-
ροὶ (κατορωρυγμένοι). Gu. θησαυροί. κατώρυχες οἱ θη-
σαυροί. παρηκολούθησεν ἡ λέξις· ὀρύσσει γάρ τις τὴν γῆν
καὶ εἰσάγει τὸν χρυσόν. Fl. 59.

V. 982. *ΤΑΥΤ' ΕΣΘ'*. Ταῦτα ἐστὶν, ἅτινά με θέ-
λεις δηλῶσαι τῷ παιδί σου; *ΤΑΥΤ' ΕΣΘ' Α.* ἄνω εἰπὼν,
τί χρῆμα ὃ κἀμὲ καὶ τέκνα εἰδέναι χρεών, ἐν-
ταῦθα λέγει, ταῦτά ἐστιν, ἃ βούλει παιδὶ τῷ σῷ δηλῶσαι;
ἐξαπατῶν δῆθεν τὴν Ἑκάβην, ὡς μηδαμῶς τὰ τοῦ παιδὸς
ἐκείνης ἰδιοποιούμενος. Gu. a m. 1. 7)

V. 983. *ΜΑΛΙΣΤΑ.* Ναὶ, διὰ σοῦ θέλω μηνῦσαι
ταῦτα τῷ Πολυδώρῳ· ὑπάρχεις γὰρ εὐσεβὴς ἄνθρωπος.
ΕΥΣΕΒΗΣ. εἰρωνικῶς κατ' ἀντίφρασιν, τουτέστιν ἀσε-
βής. Gu. a m. 2.

V. 984—986. *Κατὰ τί οὖν χρεία ὑπάρχει τῆς ἐλεύ-
σεως τῶν παίδων; — Λυσιτελές ἐστιν, ἐὰν σὺ ἀποθάνῃς,
τούτους γινώσκειν. — Καλῶς εἶπας οὕτως τῇδε τῇ διανοίᾳ,
καὶ σοφωτέρως ἐμοῦ.* ΤΗιΔΕ, οὕτως. (ἢ ἐν τῇδε καὶ ταύτῃ
τῇ διανοίᾳ καὶ γνώμῃ.) Gu. ταύτῃ τῇ μερίδι. Fl. 6. 9. 17.
21. 59. 76. γνώμῃ. Fl. 10.

V. 987. *ΟΙΣΘ' ΟΥΝ*, γινώσκεις, ποῦ ἐστι τῆς Τρωϊ-
κῆς Ἀθηνᾶς ὁ ναός; *ΙΛΙΑΣ.* οὐ μόνον Ἰλιὰς ἡ Τρωϊκὴ,
ἀλλὰ καὶ Ἰλία. Gu. *ΣΤΕΓΑΙ*, οἱ ναοί. ἀπὸ μέρους τὸ
πᾶν· στέγη γὰρ κυρίως ἡ τοῦ οἴκου σκέπη.

V. 988. *ΕΝΤΑΥΘ' Ο ΧΡ.* ἐκεῖ ἐστιν ὁ χρυσός; τί
δὲ σημεῖον τοῦ τόπου, ἐν ᾧ ἐστίν; *ΕΝΤΑΥΘΑ.* προαρ-
πάζει τὸν λόγον ὁ Πολυμήστωρ, ὡς φιλοχρυσότατος, λέγων·
ἐνταῦθα ὑπάρχει ὁ χρυσὸς, ἤγουν ἐκεῖ ἐν τῷ ναῷ τῆς Ἀθη-
νᾶς; τὸ δὲ (leg. τί δὲ) σημεῖόν ἐστιν εἰς τὸ ἐξευρεῖν τοῦ-
τον; Fl. 59. οὐ λέγει ναί, ἀλλ' ἐρωτᾷ, εἰ ἐκεῖ ὁ χρυσός·
τὸ πρόσωπον γὰρ τοῦ Πολυμήστορος ἐναγώνιον παραληφθὲν
ἐν τοῖς ἀμοιβαίοις τούτοις τοιοῦτον φαίνεται πανταχοῦ. Gu.
a m. 1. Fl. 25.

V. 989. *ΜΕΛΑΙΝΑ Π.* μέλαινα πέτρα ὑπάρχει
ὑπερκειμένη τῆς γῆς. *ΜΕΛΑΙΝΑ Π.* τὴν τύφλωσιν αὐ-

7) Hujus scholii prior pars, ἄνω — λέγει, ad v. 980. altera
ἐξαπατῶν etc. ad v. 982. e Flor. 25. enotata est, media desunt.

τοῦ λέγει. Gu. a m. 2. *ΥΠΕΡΤΕΛΛΟΥΣ'*, ἀνεστηκυῖα
(ὑπεράνω κειμένη, ὑπεράνω τῆς στέγης ἀνεστηκυῖα. ὑπερ-
φαινομένη.) Gu.

V. 990. *ΕΤ' ΟΥΝ ΤΙ Β.* ἔτι οὖν ἐπὶ τούτοις θέ-
λεις τι τῶν ἐκεῖ πραγμάτων δηλοποιεῖν μοι;

V. 991. *ΣΩΣΑΙ ΣΕ.* φυλάξαι σε τὰ χρήματα, μεθ'
ὧν ἐξῆλθον τῆς πόλεως, θέλω.

V. 992. *ΠΟΥ ΔΗΤΑ*, εἰσὶ δηλονότι; ἐντὸς τῶν πέ-
πλων ἔχεις; ἢ κρύψασα ἀλλαχοῦ φυλάσσεις; *ΠΟΥ ΔΗΤΑ*,
ποῦ δῆτα φέρεις ταῦτα; ἔσωθεν τῶν πέπλων, ἤγουν τοῦ
κόλπου σου, ἢ κρύψασ' αὐτὰ ἔχεις; Fl. 59. *ΚΡΥΨΑΣ'
ΕΧΕΙΣ*, ἔκρυψας. (ἀλλαχοῦ.) Gu.

V. 993 sq. *ΣΚΥΛΩΝ ΕΝ Ο.* Ἐν τῷ πλήθει τῶν
λαφύρων, ἐν ταῖσδε ταῖς σκηναῖς σώζεται τὰ χρήματα. τὸ
δὲ ταῖσδε ἀναφορικόν ἐστι καὶ δεικτικόν. ἡ μὲν οὖν Ἑκάβη
δεικτικῶς εἶπε ταύταις ταῖς σκηναῖς, ὁ δὲ Πολυμή-
στωρ ἀναφορικῶς νοήσας ἐρωτᾷ· ποῦ δὲ αὗται αἱ κατασκη-
νώσεις τῶν Ἀχαιῶν αἱ ναυτικαί; (εἰς τὸ αἵδε στικτέον·
τὸ δὲ λεῖπον ἰδίᾳ κατ' ἐρώτησιν ἐν ὑποστιγμῇ. ναύλοχοι
δὲ, τὰ ναύσταθμα.) ποῦ δὲ αὗται αἱ στέγαι, αἷς 8) λέγεις
ἔχειν τὸν χρυσόν; ἆρα τὰ ναύσταθμα τῶν Ἑλλήνων, τουτέ-
στιν ἐν ταῖς ναυσὶ λέγεις εἶναι τὸν χρυσόν; πρὸς ὃ ἐπάγει
ἡ Ἑκάβη, ὅτι οὐ τὰς ναῦς εἶπον στέγας. ἰδίᾳ γὰρ καὶ
χωρὶς εἰσὶ δηλονότι αἱ στέγαι τῶν αἰχμαλωτίδων γυναικῶν.
ΣΚΥΛΩΝ, λαφύρων ἤγουν αἰχμαλωτίδων. (τῶν ἐσκυλευ-
μένων γυναικῶν ἐν τῷ πλήθει.) Gu. ἐν ταῖς στέγαις,
ἤγουν ἐν τοῖς καλυβίοις φυλάττονται ἐν τῷ πλήθει τῶν
κρούσων, σώζονται, φυλάττονται. Fl. 59.

V. 994. *ΠΟΥ Δ' ΑΙΔ'*, αἱ στέγαι δηλονότι. (εἰσὶν
αἱ στέγαι τῶν αἰχμαλωτίδων.) Gu. αὗται γὰρ τῶν Ἀχαιῶν

8) αἷς. Sic Flor. 10. 25. 33. in quibus idem scholion legitur,
in his tantum ab edito discrepans: τὸ στέγαις ἀναφορητικόν ἐστι.
33. — ταῖσδε ταῖς σκ. 10. 25. — ἐρωτᾷ, ποῦ (δὲ add. 33.) αὗται
αἱ στέγαι, αἷς (33. καὶ αἷς) λέγεις ἔχειν τὸν χρ.; 10. 25. 33. Me-
dia desunt. — πρὸς ὃ ἤδε ἐπάγει. 10. 25. In 33. τὸν χρυσόν· οὐ
τὰς ναῶ (sic) στέγας εἶπεν. ἴδιαι γάρ. — ἴδιαι γὰρ γυν. αἰχμ. αἱ
(om. 33.) στέγαι. 10. 25. 33.

εἰσὶ σκηναί. ἢ στικτέον εἰς τὸ ποῦ δὲ ναύλοχοι καὶ τὰ ναύσταθμα; ποῦ δὲ, φησὶν, αὗται; αὗται γάρ εἰσι τῶν Ἀχαιῶν σκηναί. Fl. 25. περίφρασις· τὰ ναύσταθμά φησι. ποῦ δέ εἰσιν. αὗται γὰρ τῶν Ἀχαιῶν σκηναὶ οἱ λιμένες ἐξοχικοὶ, ἐν οἷς λοχῶνται καὶ ἵστανται αἱ νῆες αἱ ταῖς ναυσὶ ἱστάμεναι θύραι. Fl. 33.

V. 995. *ΙΔΙΑΙ ΓΥΝ.* οὐκ εἰσὶν ἐν ταῖς σκηναῖς τῶν Ἀχαιῶν τὰ χρήματα, ἀλλὰ εἰς τὰς σκηνὰς τῶν αἰχμαλωτίδων· ἰδίᾳ γὰρ καὶ χωρίς εἰσιν αἱ στέγαι τούτων τῶν γυναικῶν. Fl. 59. κεχωρισμέναι εἰσὶν, ἰδίως εἰσίν. Gu. a m. 2. τὸ ἴδιον στρέφεται πρὸς τὸ κοινὸν, τὸ δὲ οἰκεῖον πρὸς τὸ ἀλλότριον. Gu. a m. 1.

V. 996. *ΤΑΝΔΟΝ ΔΕ*, τὰ ἔνδον δὲ πιστὰ καὶ ἀσφαλῆ, καὶ ἐρημία καὶ στέρησις ἀρσένων. *ΤΑΝΔΟΝ.* ἔνδον ἐπὶ ἠρεμίας, οἷον ἔνδον κάθηται· ἔσω ἐπὶ κινήσεως, οἷον ἔσω ἔρχεται. εὕρηνται καὶ ἀνάπαλιν κείμενα. Gu. a m. pr. *ΠΙΣΤΑ*, πεπληροφορημένα. (ἀσφαλῆ εἰσι, βέβαια.) Gu. *ΚΑΡΣΕΝΩΝ ΕΡ.* τῶν ἀνδρῶν μοναξία. Fl. 59. λεῖψις ἀνδρῶν. Fl. 21. φοβούμενος ὁ Πολυμήστωρ λέγει· τὰ ἔσωθεν τῶν σκηνῶν πιστὰ, ἤγουν οὐκ εἰσί τινες Ἀχαιοί. ἢ οὐκ εἰσί τινες ἐχθροί; ἐτιτρώσκετο γὰρ ὑπὸ τοῦ φόνου. ἢ λέγει, μήπως ἴδωσιν οἱ Ἕλληνες τὰ χρήματα διδοῦσα (sic) ταῦτα ἐμὲ, καὶ σκανδαλισθῶσι περὶ ἐμοῦ τί ὅτι βοηθῶ σοι, καὶ ἔχω σε φίλαν. Fl. 59.

V. 997 — 1001. *Οὐδεὶς τῶν Ἀχαιῶν ἔνδον, ἀλλὰ ἡμεῖς μόναι.* ἀλλὰ βάδιζε εἰς τοὺς οἴκους. καὶ γὰρ οἱ Ἀργεῖοι ποθοῦσι λῦσαι τὸν πόδα, ἀντὶ τοῦ τὴν πορείαν, τῶν νηῶν ἐκ τῆς Τροίας εἰς τὸν οἶκον, ἵνα πράξας πάντα ὧν χρεία ἐστὶν εἰς πρᾶξιν ἐλθεῖν, δηλονότι σὲ, ἐπαναστρέψῃς σὺν τοῖς παισὶν, ὅπου κατῴκισας τὸν ἐμὸν υἱόν.

V. 998 sq. *ΑΛΛ' ΕΡΠ' ΕΣ Ο.* ἀλλ' εἴσελθε ἐντὸς τῆς σκηνῆς· καὶ γὰρ οἱ Ἕλληνες ποθοῦσιν ἀπὸ τοῦ νῦν λῦσαι τὸν πόδα τῶν νηῶν· ἀπὸ μέρους τὸ πᾶν, ἤγουν τὰς νῆας. ποὺς δὲ νηὸς λέγει τὸ κάτωθεν τοῦ καταρτου τριγώνιον. Fl. 59.

V. 999. *ΛΥΣΑΙ*· τὸ λῦσαι ἐπὶ τῶν νηῶν λέγεται κυρίως· ἡ δὲ λέξις χρησιμωτάτη. Fl. 59. *ΠΟΔΑ*, τὰ ἀπόγεια σχοινία. Fl. 10. Gu. a m. 2.

V. 1000. *ΠΡΑΞΑΣ*, πρὸς μὲν τὴν ὑπόληψιν τοῦ Πολυμήστορος ἀντὶ τοῦ ποιήσας νοεῖται, πρὸς δὲ τὴν τῆς Ἑκάβης ἀντὶ τοῦ παθών. πράττω γὰρ [9]) τὸ ποιῶ καὶ τὸ πάσχω. *ΩΣ ΠΡΑΞΑΣ*, ἵνα ποιήσας ὧν σε χρεία ὑπάρχει, πορεύσῃ πάλιν σὺν τοῖς παισὶν, ὅπου τὸν ἐμὸν υἱὸν κατῴκισας, ἤγουν εἰς τὸν Ἅιδην. Fl. 59.

V. 1002 — 1010. *ΟΥΠΩ ΔΕΔΩΚΑΣ.* εἰςελθόντος εἴσω τοῦ Πολυμήστορος, ἐκτὸς ὁ χορὸς ἱστάμενος τοῦτο φησίν· οὔπω δέδωκας. τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μονοστροφικά. μονοστροφικὰ δέ εἰσιν, ὡς Ἡφαιστίων φησὶν (p. 64), ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ιβ. τὸ α ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ ἰάμβου. οὕτω δὲ χρὴ γράφειν τὰ κῶλα, ὡς ὑφ' ἡμῶν διῃρέθη, ἵν' ἔχωμεν γνῶναι, τίνος εἰσὶ μέτρου [10]). τὸ τρίτον ἀντισπαστικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου γ καὶ ἰάμβου. τὸ δ ὅμοιον τῷ β. τὸ ε ὅμοιον τῷ γ, ἐξ ἐπιτρίτου δευτέρου καὶ ἰάμβου. τὸ ς [ὅμοιον] καθαρὸν ἀντισπαστικὸν ἡμιόλιον. τὸ ζ ὅμοιον τῷ β. τὸ η ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου δ καὶ συλλαβῆς. τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α καὶ β ποδὸς χορείου. τὸ ι ἴαμβος τρίμετρος. τὸ ια παιωνικὸν τρίμετρον ἀκατάληκτον [1]), ἐκ παιώνων δ δύο καὶ κρητικοῦ. τὸ ιβ ὅμοιον κατὰ πάντα. ἐπὶ τῷ τέλει παράγραφος μόνη. *ΟΥΠΩ ΔΕΔΩΚΑΣ* δίκην, ἀλλ' ἴσως δώσεις, λέχριος καὶ πλάγιος καθά τις εἰς ἄντλον, ἤτοι πέλαγος μὴ ἔχον λιμένα [2]), στερηθήσῃ τῆς προσφιλοῦς ψυχῆς, ἀμαυρώσας καὶ ἀπολέσας τὴν ζωήν. τὸ γὰρ ὑπέγγυον, ἤτοι τὸ ἠσφαλισμένον, τῇ δίκῃ καὶ τοῖς θεοῖς οὐ συμπιτνεῖ, καὶ οὐ καταπίπτει. ὀλέθριον ὀλέθριον κακὸν, εἰς ὃ μέλλεις ἐμπεσεῖν δηλονότι. ψεύσει καὶ ἀπατήσει ἡ ἐλπὶς τῆσδε τῆς ὁδοῦ, ἥ, ἐλπὶς, ἐπήγαγεν, ἀντὶ τοῦ ἤγαγεν, σὲ πρὸς τὸν ἀί-

9) πράττω γάρ. Sic Gu. Vulgo πρ. καί.

10) μέτρου recte King. pro μέτρα. Idem totam hanc ῥῆσιν, οὕτω δὲ -- μέτρου, ad finem scholii rejecit. In verbis τὸ ς' ὅμοιον καθ. voc. ὅμοιον seclusit.

1) καταληκτόν King.

2) King. inseruit ἐμπεσών, tum dedit στερηθήσῃς. In sqq. scripsi — τῆσδε τῆς ὁδοῦ, ἥ, ἐλπὶς, ἐπήγαγεν. Vulgo ὁδοῦ· ἡ ἐλπίς.

δην τὸν θανάσιμον, τὸν τοὺς τεθνεῶτας δεχόμενον. ἰὼ, φεῦ, ὦ τάλας! ἐν χειρὶ δὲ ἀπολέμῳ καὶ γυναικείᾳ καταλείψεις τὴν ζωήν. *ΟΥΠΩ ΔΕΔΩΚΑΣ.* καὶ τοῦτον ἔνιοι φασὶ τὸν στίχον τὴν Ἑκάβην λέγειν ἠρέμα καθ᾽ ἑαυτὴν, ἵνα μὴ ὑποψίαν αὐτῷ δῷ ὧν μέλλει τυγχάνειν [3]).

V. 1002—1007. *ΟΥΠΩ ΔΕΔΩΚΑΣ.* ἰδὼν ὁ Χορὸς τὸν Πολυμήστορα τὴν Ἑκάβην (sic) ἀκολουθοῦντα ἐντὸς τῆς σκηνῆς λέγει· ἀκμὴν οὐκ ἔδωκας δίκην ὑπὲρ τοῦ φόνου οὗ διεπράξω, ἀλλ᾽ ἴσως καὶ τάχα δώσεις δίκην· καθά τις ἄνθρωπος ἐμπεσὼν εἰς ἄντλον ἀλίμενον καὶ χωρὶς λιμένος, ἤγουν εἰς μακρὰν θάλασσαν, ὥσπερ ἄνθρωπός τις χωρὶς νηὸς ἢ ἀρμένου τινὸς, εἰ μὴ μεθ᾽ ἑνὸς σανιδίου, ἐμπέσῃ εἰς τὴν θάλασσαν καὶ κλυδωνίζεται. ἐμπέσῃ ἤγουν ἀποστερηθῇ, [ἀποθάνῃ,] τῆς φίλης καρδίας, λέχριος καὶ πλάγιος, ἤγουν ἀποθάνῃ, ἀμέρσας καὶ στερηθεὶς τὸν βίοτον, ἤγουν τὴν ζωὴν αὐτοῦ. οὕτως καὶ ὁ Πολυμήστωρ εἰς τὸν χορὸν τῶν γυναικῶν χωρὶς βοηθοῦ τινος ἢ θεράποντος. τὸ γὰρ ὑπέγγυον, ἤγουν τὸ ὑπεσχημένον παρὰ τοῦ Πολυμήστορος, ὡς ἵνα τὸν Πολύδωρον φυλάττῃ, — ἐκεῖνος δὲ διεχειρίσατο τοῦτον — οὐ συμπιτνεῖ καὶ συμπίπτει τῇ δίκῃ καὶ τοῖς θεοῖς, οὐ δίκαιον φαίνεται. ὀλέθριον κακὸν ὑπάρχει, ὅπερ ἐποίησε, ἢ ὅπερ μέλλει παθεῖν. Fl. 59.

V. 1002. *ΟΥΠΩ ΔΕΔΩΚΑΣ.* δίδωσι δίκην ὁ τιμωρούμενος τὸν τιμωροῦντα, ὁ δὲ τιμωρῶν λαμβάνει. τὸ αὐτὸ καὶ ὁ Πολυμήστωρ ἔλαβε δίκην παρὰ τοῦ Πολυδώρου φονεύσας αὐτὸν, νῦν δὲ καὶ χρεωστῶν ταύτην, ἀποτίνει τῇ Ἑκάβῃ αὐτήν. Fl. 59. ἔδωκα δίκην καὶ ἔτισα τὸ αὐτό, ἀντὶ τοῦ ἐκολάσθην· ἔλαβον δίκην ἀντὶ τοῦ ἐκόλασα. Gu. a m. pr. *ΙΣΩΣ*, ὄντως. (τάχα, ταχέως.) *ΔΩΣΕΙΣ ΔΙΚΗΝ* ἀντὶ τοῦ τιμωρηθήσῃ. Gu. Fl. 10.

V. 1003. *ΑΛΙΜΕΝΟΝ ΤΙΣ.* τοῦτο πρὸς τὸ ἄνω συντακτέον τὸ ἀλίμενόν τις τῷ οὔπω δέδωκας, ἀλλ᾽

3) Rectius Fl. 10. 21. τοῦτο ἠρέμα λέγει, ἵνα μὴ ὑποψίαν αὐτῷ δῷ ὧν μέλλει πάσχειν. et 25. ἐπελθόντος τοῦ Πολυμήστορος σὺν τῇ Ἑκάβῃ ἔνδον τοῦ οἴκου λέγει ταῦτα ὁ χορὸς καθ᾽ ἑαυτὸν, ἵνα μὴ ὑποψίαν αὐτῷ διδῷ ὧν μέλλει τυγχάνειν. e quibus priora usque ad καθ᾽ ἑαυτόν sunt etiam in Gu. a m. pr. sed ἀπελθόντος recte pro ἐπελθόντος.]

ἴσως δώσεις δίκην. τιμωρηθήσῃ, φησὶν, ὥς τις εἰς ἄντλον λέχριος καταπέσῃ, ἀπολέσας τὸν βίον τῆς φίλης καρδίας. *ΑΝΤΛΟΝ* δὲ λέγει τὸ πέλαγος, καὶ ἀλίμενον τὸ λιμένα μὴ ἔχον [4]). *ΑΝΤΛΟΝ.* ὑπέραντλον σκάφος τὸ δεξάμενον τοσοῦτον ὕδωρ ἐν τῇ ἀντλίᾳ, ὥςτε καλυφθῆναι ὑπ᾽ αὐτοῦ καὶ ὑποβρύχιον γενέσθαι. ἄντλον τὸ ἐν τῇ ἀντλίᾳ ὕδωρ. λέγεται δὲ καὶ πᾶν ὕδωρ ἁπλῶς ἄντλον, ἅτε ἀντλεῖσθαι δυνάμενον, καθὰ λέγεται ἐνταῦθα τὸ πέλαγος ἄντλον ἐν τούτοις· ἀλίμενόν τις ὡς ἄντλον ἐμπεσὼν λέχριος. Gu.

V. 1004. *ΛΕΧΡΙΩΣ*, πλάγιος. λέγουσιν, ὅτι, εἰ πλάγιος ἄκων πέσοι τις ἐν τῷ ὕδατι, καὶ εἰ εὐφυῶς οἶδε νήχεσθαι, ἀποπνίγεται. Gu. *ΚΑΡΔΙΑΣ.* οἱ παλαιοὶ τὴν καρδίαν ποῖ μὲν ἐπὶ τῆς ψυχῆς ὅλης ἐκλαμβάνουσιν, ὡς ἐνταῦθα, ποῖ δὲ ἐπὶ τοῦ νοὸς, ὡς τὸ ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου γρηγορεῖ· καὶ ἐπὶ μὲν τῆς ψυχῆς ἴσως διὰ τὸ εἶναι δοχεῖον τοῦ ἐμφύτου θερμοῦ, τοῦ συνδετικοῦ τῆς ψυχῆς καὶ τοῦ σώματος, ἐπὶ δὲ τοῦ νοὸς διὰ τὸ τὸ ψυχρὸν τοῦ ἐγκεφάλου, ἔνθα ὁ νοῦς, θάλπειν καὶ παρηγορεῖν τῇ οἰκείᾳ θερμότητι· τῇ εὐκρασίᾳ γὰρ ταύτης ἐκεῖνος ἔχει τὸ εὖ εἶναι. Gu.

V. 1005. *ΑΜΕΡΣΑΣ*, στερηθείς. μέρδω ἐνεστὼς παρὰ ποιηταῖς, τὸ παρὰ τοῖς κοινοῖς μαρμαίρω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμέρδω, ἤμερδον παρατατικὸς, ἀμέρσω μέλλων, ἤμερσα ἀόριστος, ἀμέρσας μετοχή. γίνεται δὲ τὸ μέρδω ἀπὸ τοῦ μερίζω κατὰ συγκοπὴν τοῦ ι καὶ ἐκβολῇ τοῦ σ τοῦ ἐν τῷ ζ. τὸ λευκὸν γὰρ καὶ λαμπρὸν μερίζει καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. *ΑΜΕΡΣΑΣ* γίνεται ἀπὸ τοῦ α καὶ τοῦ μὴ στερητικοῦ μορίου, καὶ τοῦ ὁρῶ τὸ βλέπω, καὶ τοῦ ὄσσος ὁ ὀφθαλμός. Gu. Fl. 25. ἀπολέσας, (ἀμαυρώσας, στερηθείς). Gu. κόψας, ἀπολέσας. Fl. 10. *ΤΟ ΓΑΡ ΥΠΕΓΓΥΟΝ.* Δίδυμος οὕτως, τὸ ἀληθὲς, φησὶν, οὔτε παρὰ τῇ δίκῃ, οὔτε παρὰ τοῖς θεοῖς ἐμπεσὸν ἀφανίζεται. τοῦτο δὲ διὰ τὸν Πολυμήστορα, ὅτι μέλλει τιμωρηθῆναι, πρῶτος ἀρξάμενος τῶν ἀτόπων. Ἄλλως. ὑπέγγυον, δίκαιον. ὧδε ὑποστικτέον. τὸ ἠσφαλισμένον, φησὶ, τῇ δίκῃ καὶ πα-

4) Haec verba: ἄντλον — ἔχον in Junt. et Basil. leguntur in scholio ad v. 1005. post verba καὶ τοὺς θεοὺς ἐχθροὺς ἔχει. King. et Musgr. prorsus neglexerunt.

ρὰ τοῖς θεοῖς οὐ διαπίπτει, ἤγουν ὃ ἂν κυρώσῃ ἡ δίκη, τοῦτο βέβαιον παρὰ τοῖς θεοῖς, ἤγουν ὅ, τι τιμωροῦνται οἱ νόμοι ὡς ἄδικον, τοῦτο καὶ θεοὶ τιμωροῦνται, ἐπειδὴ οἱ νόμοι παρὰ θεῶν, καὶ ταῦτα βούλονται τιμωρεῖν καὶ διεκδικεῖν, ἃ καὶ οἱ θεοί. δικαίως οὖν κολαζόμενος ὁ Πολυμήστωρ, καὶ τοὺς θεοὺς ἐχθροὺς ἔχει. Ἄλλως. *ΤΟ ΓΑΡ ΥΠΕΓΓΥΟΝ.* τοῦτο διπλῶς νοητέον. τὸ γὰρ ὑπέγγυον καὶ φανερὸν τῇ δίκῃ καὶ τοῖς θεοῖς ὀλέθριον κακὸν, ἤγουν ὅπερ ὁμολογουμένως οἱ θεοὶ κακὸν ἡγοῦνται καὶ μισοῦσιν, οὐ συμπιτνεῖ καὶ συμπίπτει, ἤγουν οὐκ εἰς λήθην ἔρχεται, ἀλλὰ κολάζεται ὑπ' αὐτῶν. καὶ πάλιν. τὸ γὰρ ὑπέγγυον καὶ [5]) φανερὸν καὶ ὁμολογούμενον ὀλέθριον κακὸν, οὐ συμπιτνεῖ καὶ συνέρχεται τῇ δίκῃ καὶ τοῖς θεοῖς, ἤγουν οὐκ ἀποδεκτὸν αὐτοῖς ἐστιν· οἱ μὲν γὰρ ἀγαθοὶ καὶ δίκαιοι, τὸ δ' ἄδικον καὶ κακόν. λέγει δὲ τοῦτο διὰ τὸν τοῦ Πολυδώρου φόνον. *ΥΠΕΓΓΥΟΝ*, ἐγγύτατον, τὸ οὐ πρὸ πολλοῦ γεγονός. (ὑπεύθυνον, φανερόν. et in marg. τὸ ὑπέγγυον καὶ ὑπεύθυνον τῇ δίκῃ, ἀντὶ τοῦ ἄξιον εὐθυνθῆναι ὑπὸ τῆς δίκης, καὶ τοῖς θεοῖς οὐ συμπιτνεῖ καὶ συνέρχεται, ἤγουν οὐδὲ τοῖς θεοῖς ἀρέσκει.) Gu. τὸ ἑδραῖον. Fl. 33. βέβαιον. Fl. 10. τὸ γὰρ δίκῃ κατησφαλισμένον οὐδὲ παρὰ τοῖς θεοῖς ἄκυρον μένει, ἀλλὰ μᾶλλον μόνιμον καὶ βέβαιον. Fl. 10.

V. 1006. *ΞΥΜΠΙΤΝΕΙ*, συμφωνεῖ. (συνέρχεται, οὐ κρύπτεται.) Gu. ἀπόλλυται. Fl. 33. πίπτει. Fl. 10.

V. 1007. *ΟΛΕΘΡΙΟΝ*, καὶ πρόξενον ὀλέθρου καὶ ἀπωλείας. Gu. λείπει τὸ εἰς, ἢ τοῦτο πρὸς τὸν Πολυμήστορά φησι, τὸ, ὦ ὀλέθριον κακόν. Fl. 25. ἔπραξας, ὦ Πολυμῆστορ, ἢ ὀλέθριον κακὸν μέλλεις λαβεῖν. Fl. 59.

V. 1008. *ΨΕΥΣΕΙ Σ' ΟΔΟΥ.* ἡ ἐλπὶς ταύτης τῆς ὁδοῦ, ἥτις ἐλπὶς ἤγαγέ σε ἐπὶ ὀλέθριον κακὸν, πρὸς τὸν ἀΐδην τὸν θανάσιμον ἀπατήσει σε [6]). *ΨΕΥΣΕΙ Σ' ΟΔΟΥ.* ἐλπὶς ταύτης τῆς ὁδοῦ ἀπατήσει σε εἰς ὀλέθριον κακόν. Fl. 33. ἀπατήσει σε ἡ ὑπόσχεσις αὕτη τῆς Ἑκάβης ἡ περὶ τοῦ χρυσοῦ, ἥτις ἀπάξει σε εἰς τὸν ᾅδην. Fl. 59. *ΨΕΥΣΕΙ*, ἀπατήσει, (ψευσθῆναι ποιήσει.) ψεύδομαι ἀντὶ τοῦ ψευδῆ λέγω· ψεύδω ἀντὶ τοῦ ἀπατῶ, ὡς ἐνταῦθα. Gu. *ΥΠΗΓΑΓΕ*, ἐφειλκύσατο, ἐνέβαλεν. Gu.

5) καὶ pro ὃν scripsi e Gu. qui tertium tantum scholion τοῦτο διπλῶς —— habet. Ex eodem in fine addidi: λέγει δὲ τοῦτο ——.

6) Verba ἀπατήσει σε desunt in Gu. unde τὸν addidi ante θανάσιμον.

V. 1009. *ΘΑΝΑΣΙΜΟΝ*, θανάτου δεσπότην (θανατηφόρον). Gu.

V. 1010. *ἈΠΟΛΕΜΩι*, γυναικείᾳ. (μὴ εἰδυῖα πόλεμον. δειλῇ, ἀνάνδρῳ.) Gu. ἀσθενεῖ. Fl. 33. ἀντὶ τοῦ ἄνανδρος, τουτέστι παρὰ γυναικῶν φοραθήσῃ (φονευθήσῃ) καὶ οὐ παρ' ἀνδρῶν. Fl. 25.

V. 1011—1031. Σύστημα κατὰ περικοπὴν ἀμοιβαίων στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κα. ἐπὶ τῷ τέλει παράγραφος. [7])

V. 1011. *ΩΜΟΙ ΤΥΦΛΟΥΜΑΙ.* ἔνδον τυφλούμενος βοᾷ, φεῦ μοι, πηροῦμαι τὴν ὄψιν τῶν ὀφθαλμῶν ὁ ἄθλιος ἐγώ. *ΩΜΟΙ ΤΥΦΛ.* κατὰ τὸ σεσιωπημένον ἐκτυφλούμενος ὁ Πολυμήστωρ κραυγάζει, ὕστερον δὲ πάντα ἐμφαίνει τὰ σιωπῇ πραχθέντα ἐντὸς εἰς αὐτόν. Gu. [8]) *ΦΕΓΓΟΣ*, τὴν ὀπτικὴν δύναμιν. Gu.

V. 1012. *ΗΚΟΥΣΑΤ'.* ἠκούσατε τὸν τοῦ Πολυμήστορος κλαυθμὸν, ὦ φίλαι; *ΗΚΟΥΣΑΤ'.* δίσχοροί (an: δίχοροί?) εἰσι νῦν αἱ γυναῖκες αἱ οὖσαι μετὰ τῆς Ἑκάβης καὶ ἄλλαι οὖσαι ἔξω τῶν σκηνῶν. Fl. 21.

V. 1013. *ΩΜΟΙ ΜΑΛ' ΑΥΘΙΣ.* ὤμοι λίαν αὖθις, ὦ τέκνα, ἕνεκα τῆς ἀθλίας σφαγῆς.

V. 1014. *ΦΙΛΑΙ, ΠΕΠΡΑΚΤΑΙ.* ὦ φίλαι, ἐνήργηται νέα κακὰ ἐντὸς τῶν δόμων. *ΠΕΠΡΑΚΤΑΙ*, ἐπράχθη, Ἀττικόν. Fl. 33. *ΚΑΙΝΑ*, παράδοξα ἢ νέα. Gu. Fl. 17. 59. 76.

V. 1015 sq. *ΑΛΛ' ΟΥΤΙ ΜΗ Φ.* ἀλλ' οὐδαμῶς ἀποδράσητε ταχεῖ ποδὶ, ἤγουν φθάσω καὶ καταλήψομαι ὑμᾶς ταχεῖ ποδὶ, καὶ οὐ μὴ διαφύγητε· πλήττων γὰρ καταβαλῶ τὰ θεμέλια τῶν δόμων τούτων. *ΛΑΙΨΗΡΩι ΠΟΔΙ*, διὰ ταχείας πορείας τῶν ποδῶν. Baroc. 74. Gu.

7) Hoc scholion in Junt. Basil. Barn. ad v. 1032. ὤ μοι ἐγώ rejectum est. Corr. King.

8) Haec in Flor. 25. adscripta sunt ad v. 1015 sq. sed ibi legitur: μετὰ τὸ σιωπημένον.

V. 1016. *ΒΑΛΛΩΝ*, κρούων (παίων) χερμάσιν.
βάλλει ἀντὶ τοῦ ἁπλῶς τοξεύει, βάλλει δὲ κατασκοπὸν (κατὰ
σκ.) ἀντὶ τοῦ εὐστόχως. ἰστέον δὲ, ὅτι ἐπὶ παντὸς πεμπομέ-
νου ἀμέσου ἀπὸ χειρὸς, ἢ ἐμμέσως ὀργάνῳ τινὶ τὸ βάλλειν
λέγεται. Gu. Fl. 25. *ΑΝΑΡΡΗΞΩ*, ἀνορύξω. (ἀναμο-
χλεύσω, ἀνατρέψω, ἀνασπάσω. Baroc. 74.) Gu. *ΜΥΧΟΥΣ*,
θεμέλια. Gu. τοὺς θεμηλίους. Baroc. 74.

V. 1017. *ΙΔΟΥ ΒΑΡΕΙΑΣ*. βέλος πᾶν τὸ βαλλό-
μενον. καὶ τοῦτον δέ τινες τὸν στίχον ἀπὸ τοῦ Πολυμή-
στορος φασὶ λέγεσθαι, ὡς βάλλοντος λίθους ἐν τοῖς οἰκή-
μασιν, ἵνα παίῃ τὰς αἰχμαλώτους, τὸ δὲ βουλεσθ᾽ ἐπεις-
πέσωμεν τοῦ ἡμιχορίου. θέλετε ἵνα ἐπέλθωμεν, ἐπεὶ ὁ
καιρὸς καλεῖ, ὥστε παρυπάρχειν τῇ Ἑκάβῃ καὶ ταῖς Τρωϊ-
καῖς γυναιξὶ βοηθούς. *ΒΑΡΕΙΑΣ*. βαρέως ἐμπιπτούσης.
ΙΔΟΥ ΒΑΡΕΙΑΣ. ὡς ἔοικεν, εὑρὼν ὁ Πολυμήστωρ ἔμ-
προσθεν αὐτοῦ ξύλα καὶ πέτρας φέρει ταύτας κατὰ τῶν
γυναικῶν ἀπὸ τῆς ἑαυτοῦ μανίας μὴ δυναμένου δρᾶσαί τι·
λέγει γοῦν ὁ Χορός· ἰδοὺ, ἀπὸ τῆς βαρείας χειρὸς τοῦ Πο-
λυμήστορος ἐξέρχεται βέλος. ὡς ἀπὸ τοῦ βέλους δὲ κατα-
χρηστικῶς λέγει καὶ πέτρας καὶ ξύλα καὶ ἄλλ᾽ ὅτι τὸ προς-
τυχὸν ἐκεῖνον. Fl. 59. *ΟΡΜΑΤΑΙ*, ὁρμᾷ, κινεῖται, ἐξέρ-
χεται. Fl. 21. 59. ὁρμᾷ, πέμπεται. Gu.

V. 1018. *ΒΟΥΛΕΣΘ᾽ ΕΠΕΣΠ*. συμμαχήσωμεν.
(ἐπεισέλθωμεν. ἐπεισπίπτειν τὸ μετὰ σφοδρᾶς ὁρμῆς εἰσέρ-
χεσθαι.) Gu. *ΑΚΜΗ*. ἐπὶ παντὸς πράγματος κατὰ μι-
κρὸν ηὐξημένου καὶ κατὰ μικρὸν λήγοντος τὸ μεσαίτατον,
ὃ τὴν μεγάλην ἰσχὺν ἔχει, ἀκμὴ λέγεται, οἷον, ἐπὶ τῆς ἡλι-
κίας τὸ μέσον, καὶ ἐπὶ τοῦ χειμῶνος τὸ μέσον, καὶ ἐπὶ τοῦ
θέρους, καὶ ἐπὶ τοῦ νοσήματος. Gu. Fl. 25.

V. 1020—1022. *ΑΡΑΣΣΕ*, πλῆττε, μηδαμῶς ἀκριβο-
λογοῦ καὶ ἐλέει, ἐκριζῶν τὰς πύλας· οὐδέποτε γὰρ τὸ φαει-
νὸν φῶς ἐμποιήσεις καὶ ἐνθήσεις τοῖς ὀφθαλμοῖς, οὐδὲ τοὺς
παῖδας θεάσῃ ζῶντας, οὓς ἐφόνευσ᾽ ἐγώ. *ΑΡΑΣΣΕ*, κα-
τάσπα. (κατάβαλλε, πλῆττε.) Gu. κατάβαλλε, σύντριβε.
Fl. 17. 21. 56. 59. 76. κτυποῦ. Fl. 10. *ΦΕΙΔΟΥ*, τοῦ
ἀράσσειν. μὴ ἔλεον λάμβανε. Gu. *ΕΚΒΑΛΛΩΝ*, ἀνα-
σπῶν. Fl. 17. 59. 76. Gu. εἰς γῆν ῥίπτων. Gu. τοῦτο
ἡ Ἑκάβη ἐκτὸς ἑστῶσα τοῦ δόμου φησὶ πρὸς αὐτὸν ἐντὸς
ὄντα. Gu.

V. 1021. *ΟΥ ΓΑΡ ΠΟΤ᾽*. ἰστέον, ὡς οὐκ ἔμελλε
θεάσασθαι τοὺς παῖδας διὰ τῶν ὀφθαλμῶν, ἀλλὰ τῷ νῷ·
νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει. Fl. 25. *ΟΜΜΑ*, φῶς. (τὴν
ἴασιν, τὴν φωτιστικὴν δύναμιν. ὄψιν.) Gu. *ΛΑΜΠΡΟΝ*,
φωτεινόν. Gu. οὐ τὴν φωτιστικὴν δύναμιν, τὴν ὄψιν, ἐν
τοῖς τόποις τῶν ὀφθαλμῶν θήσεις· τὸ λευκὸν γὰρ καὶ λαμ-
πρὸν μερίζει καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. Baroc. 74.

V. 1023 sq. *Η ΓΑΡ ΚΑΘΕΙΛΕΣ*. ἆρα νενίκηκας
τὸν Πολυμήστορα, καὶ κρατεῖς τοῦ φίλου, ὦ δέσποινα,
καὶ πεποίηκας ὁποῖα λέγεις;

V. 1025—1031. *ΟΨΕΙ*. θεάσῃ αὐτὸν ταχέως ὑπάρ-
χοντα ἔμπροσθεν τῶν δωμάτων τυφλὸν, ἐν τυφλῷ καὶ πα-
ραφερομένῳ ποδὶ βαδίζοντα· θεάσῃ καὶ τῶν δύο παίδων
τὰ σώματα, οὓς ἐφόνευσ᾽ ἐγὼ σὺν ταῖς Τρῳάσι γυναιξί·
δέδωκε δέ μοι τιμωρίαν· ὁρμᾷ δ᾽, ὡς ὁρᾷς, οὗτος ἐκ τῶν
οἴκων. ἀλλὰ μακρὰν ἀπελεύσομαι, καὶ μακρὰν στήσομαι
τοῦ δυσμαχωτάτου Θρῃκὸς θυμῷ περιῤῥεομένου.

V. 1025. *ΑΥΤΙΚΑ*, ὅσον οὔπω, μετὰ μικρόν. Gu.
ἅμα. Fl. 10. *ΠΑΡΟΣ*, ἔξω ποιητικόν. (ἐκτός.) Gu.

V. 1026. *ΤΥΦΛΩι ΣΤΕΙΧΟΝΤΑ*, τυφλῷ ποδὶ πο-
ρευόμενον, ἤγουν διὰ ποδὸς, μὴ ὑπὸ βλεπόντων ὀφθαλμῶν
ὁδηγουμένου· ὥσπερ γὰρ οἱ μαινόμενοι ἔνθα καὶ ἔνθα φέ-
ρονται, οὕτω καὶ οἱ τυφλοί. διὰ τοῦτο παραφόρῳ ποδὶ
φησὶν, ἤγουν παραφερομένῳ, καὶ οὐκ ὀρθῶς βαδίζοντι, ἀλ-
λὰ σφαλλομένῳ διὰ τὸ τετυφλῶσθαι αὐτὸν, παρατετραμμένῳ
καὶ ἀτάκτως περιπατοῦντι, ἤγουν μανικῷ. [9]) *ΠΑΡΑΦΟ-
ΡΩι*. παράφορος κυρίως ὁ μαινόμενος ἀπὸ τοῦ παρατε-

9) Hujus scholii verba priora τυφλῷ ποδὶ — ὁδηγουμένου habent etiam Florr. 6. 9. 17. 21. 56. 59. 76. in vitiosa etiam scriptura ὑποβλεπόντων pro ὑπὸ βλ. cum Junt. Basil. consentientes; nam ὑπὸ βλ. jam Barn. dedit. Pro ὁδηγουμένου King. ὁδηγούμενον. Sqq. ὥσπερ γὰρ — τυφλοί in Gu. cum voc. μανικῷ praemissa scholion per se constituunt. Verba παραφερομένῳ — τετυφλῶσθαι αὐτόν sunt in Flor. 33. 10. (nisi quod in hoc ἀλλὰ σφαλλομένῳ omissa sunt) et Gu. qui voce παραφερομένῳ caret. Omnes hi ἀλλὰ σφαλλομένῳ pro eo, quod in Junt. Basil. et Barn. est, ἀλλὰ τετυφλωμένῳ, et sic jam King. Ultima παρατετραμμένῳ — μανικῷ e Gu. adjeci, in quo cum praecc. cohaerent.

τραμμένας ἔχειν τὰς φρένας, καταχρηστικῶς καὶ ὁ τυφλός· οὐ γὰρ κατ' ἰσότητα περιπατεῖ, ἀλλὰ παραφόρως ἔνθεν κἀκεῖθεν. Fl. 59.

V. 1028. *ΑΡΙΣΤΑΙΣ*, ταῖς γενναιοτάταις, ταῖς ἀνδρείαις. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1028 sq. *ΔΙΚΗΝ ΔΕ ΜΟΙ ΔΕΔΩΚΕ*, τετιμώρηται ὑπ' ἐμοῦ. (ἔδωκε δίκην ὁ τιμωρούμενος, λαμβάνει δίκην ὁ τιμωρῶν.) Gu.

V. 1029. *ΧΩΡΕΙ*, ἔρχεται. (ὁρμᾷ, ἐκβαίνει.) Gu.

V. 1030. *ΚΑΠΟΣΤΗΣΟΜΑΙ*, ὑποχωρήσω. Gu.

V. 1031. *ΡΕΟΝΤΙ*, ῥέοντος. (πνέοντι. ἤγουν ὁρμῶντι ταχέως καθ' ἡμῶν καὶ ὀξέως κινουμένῳ δίκην ῥεύματος.) Fl. 25. Gu. ῥέει θυμὸν ὁ δεῖνα κοινόν· καὶ ῥέει ὁ δεῖνα τῷ θυμῷ, Ἀττικόν. (ῥέει ὁ ἀνὴρ τῷ θυμῷ ἀντὶ τοῦ θυμοῦται.) Gu. *ΔΥΣΜΑΧΩΤΑΤΩι*, ἰσχυροτάτῳ. (δυςπολεμήτῳ.) Gu. τῷ δυςκαταπονήτῳ. Fl. 59.

V. 1032—1061. *ΩΜΟΙ ΕΓΩ, ΠΑι ΒΩ, ΠΑι ΣΤΩ.* τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικά, ὡς εἴρηται· καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα, οὔτε ἀνακύκλωσιν. εἰσὶ τὰ παρόντα καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνισους, τὰ κῶλα δὲ πάντα λγ. τὸ α μονόμετρον χοριαμβικόν. τὸ β [ὅμοιον δίμετρον καταληκτικόν· εἰ δὲ βούλει,][10]) δακτυλικὸν ἑφθημιμερὲς ἐκ σπονδείων. τὸ γ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ, ἀντισπάστου καὶ διιάμβου. τὸ δ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α ποδὸς ἐξασυλλάβου. τὸ ε δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐκ σπονδείων. τὸ ϛ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος α, χοριάμβου, καὶ β συλλαβῶν ἀδιαφόρων. καλεῖται δὲ καὶ προσῳδικόν, τὸν παίωνα ἔχον ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. τὸ η [ὅμοιον ἐκ παίωνος τρίτου α, καὶ ἐπιτρίτου ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου καὶ ἰάμβου. εἰ δὲ βούλει,] ἀντισπαστικὸν τρίμετρον, βραχυκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου γ καὶ ἰάμβου.

10) Quae uncis inclusi, delevit King. Sic etiam mox τὸ ή ἀντισπ. deletis ὅμοιον — βούλει.

τὸν θ ὅμοιον ἐκ παίωνος α [1]) καὶ ἐπιτρίτου δ καὶ ἰάμβου· εἰ δὲ βούλει, ἔστω ἰωνικόν· ὁ γὰρ παίων οἰκεῖος μᾶλλον τοῖς ἰωνικοῖς. τὸ ι ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον, ἤτοι πενθημιμερές· εἰ δὲ βούλει, ἀναπαιστικὴ βάσις. τὸ ια χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ ιβ ὅμοιον δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ιγ ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου [2]). τὸ ιδ χοριαμβικόν, ὅμοιον τῷ ια· εἰ δὲ βούλει, καὶ δακτυλικὸν πενθημιμερὲς Ἀρχιλόχειον. τὸ ιε δακτυλικὸν τρίμετρον. τὸ ις προσῳδικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τὸ ιζ χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν· εἰ δὲ βούλει, καὶ δακτυλικὸν δίμετρον, ἀκατάληκτον. τὸ ιη παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος α καὶ σπονδείου. τὸ ιθ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ καὶ δισπονδείου [3])· εἰ δὲ βούλει, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ κ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτων δ δύο, καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ κα χοριαμβικὸν ἡμιόλιον καθαρόν. τὸ κβ δίμετρον ἀντισπαστικὸν καταληκτικὸν Φερεκράτειον, ἐξ ἀντισπάστου καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ κγ ἰαμβικὴ βάσις, ἤτοι μονόμετρον. τὸ κδ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ κε ὅμοιον. τὸ κϛ ἰαμβικὸν ἑφθημιμερές, τοῦ γ ποδὸς χορείου. τὸ κζ ἰωνικὸν ἀπ' ἐλάττονος καὶ κρητικοῦ. τὸ κη δακτυλικὸν ἑφθημιμερὲς ἐκ σπονδείων. τὸ κθ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου β, ἀντισπάστου, καὶ συλλαβῆς. τὸ λ ἰαμβικὸν δίμετρον, ἀκατάληκτον. τὸ λα ἰωνικὸν ἀπ' ἐλάττονος ἡμιόλιον. τὸ λβ ἰαμβικὸν δίμετρον, βραχυκατάληκτον. τὸ λγ ὅμοιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ὁμοίως καὶ ἐπὶ τῷ τέλει.

1) Sic King. Vulgo: ἐκ παίωνος τρίτου ά.

2) Non ausus sum mutare scripturam Junt. et Basil. Sed King. ed. — ὑπερκατάληκτον· ἐκ παίωνος γ' ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς ἀδιαφόρου.

3) δισπονδείου. Ita King. pro σπονδείου. Eodem praeeunte paulo post scripsi ἐξ ἐπιτρίτων δ δύο καὶ ἀναπαίστου pro ἐξ ἐπιτρίτου δ δύο καὶ ἀναπαίστων. tum τὸ κβ — — ἐξ ἀντισπάστου pro ἀντισπάστων.

V. 1032—1046. *ΩΜΟΙ ΕΓΩ.* ἄθλιος εἰμὶ ἐγὼ δη-
λονότι. ποῦ ἔλθω, ποῦ σταθῶ, ποῦ πλησιάσω, ποιούμενος
ἐπὶ χεῖρα κατ᾽ ἴχνος, ἤτοι κατὰ τοὺς πόδας, βάσιν καὶ πο-
ρείαν θηρὸς ὀρεινοῦ; (ὥςπερ τὰ θηρία τέσσαρσι ποσὶ χρῶν-
ται πρὸς βάδισιν, οὕτω καὶ αὐτὸς χερσὶ καὶ ποσὶ χρήσομαι.
δέον δὲ εἰπεῖν καὶ κατ᾽ ἴχνος, ἀσυνδέτως εἶπε.) [4] ποίαν,
ὁδὸν δηλονότι, ἐξαλλάξω καὶ περιπατήσω, ἢ ταύτην, ἢ τήν-
δε, χρῄζων καὶ θέλων καταλαβεῖν τὰς ἀνδροφόνους Ἰλιάδας,
αἳ διώλεσαν ἐμέ. τάλαιναι, τάλαιναι θυγατέρες τῶν Φρυ-
γῶν, ὦ κατάρατοι, εἰς ποῖον μέρος τῶν βαθυτάτων τόπων
καὶ καταδύσεων διὰ φυγῆς, ἐλθοῦσαι δηλονότι, πτώσσουσιν,
ἤτοι συστέλλονται καὶ κρύπτονται ἐμέ, ἀντὶ τοῦ δι᾽ ἐμέ.
εἴθε, ὦ Ἥλιε, θεραπεύσαις τὸ βλέφαρον τῶν ὀμμάτων ἐμοῦ
τὸ αἱματηρὸν, ἐλευθερώσας τυφλὸν φέγγος, ἀντὶ τοῦ τοὺς
τυφλοὺς τούτους ὀφθαλμοὺς, φέγγος ἐνθεὶς αὐτῷ δηλονότι.

V. 1032—1036. *ΩΜΟΙ ΕΓΩ*, ποῦ πορευθῶ, ποῦ
στῶ, ποῦ κέλσω, ἤτοι προςπελάσω; κυρίως δὲ τὸ ναῦν προς-
ορμίσαι τινὶ εὐόρμῳ τόπῳ· ἐξοκεῖλαι δὲ, τὸ ἐκβληθῆναι
τὴν ναῦν ἔξω τοῦ λιμένος. ὑπόκειται δὲ ὁ Πολυμήστωρ τε-
τραποδίζων, διὸ φησὶ τετράποδος βάσιν θηρὸς τι-
θέμενος, ποίαν παρέλθω ὁδόν; ἆρα ταύτην, ἆρα ἐκείνην,
ἆρα τήνδε.

V. 1034. *ΒΑΣΙΝ*, στάσιν, ἔρεισιν, κίνησιν. (πορείαν.
Gu.) Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *ΟΡΕΣΤΕΡΟΥ*,
ἀγρίου, ἐν τῷ ὄρει ὄντος. Fl. 59. οἱ παλαιοὶ πάντα τὰ
ἄγρια θῆρας λέγουσιν. Gu.

V. 1035. *ΚΑΤ᾽ ΙΧΝΟΣ.* ἴχνος ὁ τύπος τοῦ ποδὸς,
καὶ ἀπὸ τούτου ὁ πούς. ἀφ᾽ οὗ πάλιν ἴχνος [καὶ] ἡ πο-
ρεία, ἐπεὶ διὰ τῶν ποδῶν [καὶ] ἡ πορεία γίνεται. λέγεται
τὸ ἴχνος κατὰ μεταφορὰν ἀπὸ τῶν ποδῶν καὶ ἐπ᾽ ἄλλων,
οἷον ἴχνη χειρῶν καὶ ἴχνος ἀνθρώπου, καὶ ἴχνος παλαιᾶς
αἰτίας παρὰ Σοφοκλεῖ (Oed. T. 109.), καὶ ἴχνη ἀγαλμά-
των, καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἀμυδρῶς καὶ ἐν τύπῳ
φαινομένων.

V. 1037. *ΕΞΑΛΛΑΞΩ*, περιπατήσω. (πορευθῶ, ἐξα-
μείψω.) Gu. πορευθήσομαι. Fl. 33.

4) Quae parentheseos signis circumscripsi, in Gu. a m. 2. adscripta sunt ad v. 1034. Ex iis vv. *δέον δὲ — εἶπε* om. King, quippe ad paraphrasin haec omnia referens.

V. 1038. *ΑΝΔΡΟΦΟΝΟΥΣ*, φονικάς. Fl. 10. *ΜΑΡΨΑΙ.* μάρπτω κυρίως ἐπὶ τῶν μετὰ θυμοῦ συλλαμβανόντων. Fl. 59. μὰρ ἡ χεὶρ κατὰ Δωριεῖς· ἐξ οὗ καὶ μάρπω τὸ καταλαμβάνω. Gu.

V. 1040. *ΤΑΛΑΙΝΑΙ.* ἐπὶ κακοῦ νῦν τὸ τάλαιναι, καὶ οὐκ ἐπὶ ἐλέους. Fl. 21.

V. 1141. *ΠΟΙ ΚΑΙ ΜΕ Φ.* εἰς ποῖον μέρος τῶν μυχῶν, ἤτοι τῶν καταδύσεων, διὰ φυγῆς ἐλθοῦσαι, πτώσσουσι δι᾽ ἐμὲ, ἤγουν συστέλλονται. [5]) *ΚΑΙ* περισσός. Fl. 17. 59. 76. Gu. *ΜΕ ΦΥΓΑι ΠΤ.* δι᾽ ἐμέ. (ὡς τὸ τί με φεύγεις τὸν γέροντα.) Gu.

V. 1042. *ΜΥΧΩΝ*, τῶν κρυπτῶν (κρυφίων Gu.) τόπων. Baroc. 74. Gu.

V. 1043. *ΟΜΜΑΤΩΝ.* ὄμμα τῶν βλεφάρων ὤφειλεν εἰπεῖν· ἐνήλλαξε δὲ τὰς πτώσεις. Fl. 59. *ΑΙΜΑΤΟΕΝ*, αἱματηρόν. (τὸ νῦν ἐκ τῆς πληγῆς. ἡμαγμένον.) Gu.

V. 1044. *ΑΚΕΣΑΙΟ, ΑΚΕΣΑΙΟ*, πάνυ ἀνάρμοστον ἦν τῷ τε ῥυθμῷ καὶ τῷ μέτρῳ διὰ τὴν ἀνάρμοστον χασμῳδίαν, διὸ καὶ ἐξεβλήθη παρ᾽ ἐμοῦ τὸ ἕν. εὕρηται δὲ καὶ ἔν τινι τῶν παλαιῶν οὕτως. *ΑΚΕΣΑΙΟ, ΤΥΦΛΟΝ*, ἀντὶ τοῦ τυφλὸν καὶ ἡμαγμένον ὄμμα θεραπεύσειας. τυφλὸν γὰρ φέγγος τὸ ὄμμα φησὶ, ἐπειδὴ φέγγος ἐπὶ σκότου οὐ λέγεται. Fl. 25. ἤγουν σκότος διώξας. τυφλὸν φέγγος τὸ σκότος· κακῶς· φέγγος γὰρ ἐπὶ σκότου (—τους. 33.) οὐ λέγεται. Fl. 10. 33.

V. 1044 sq. *ΗΛΙΕ ΦΕΓΓΟΣ ΑΠΑΛΛΑΞΑΣ.* διὰ τοῦτο πρὸς τὸν Ἥλιον ποιεῖται τὸν λόγον, ὡς φωτὸς παρεκτικόν· μὴ φαίνοντος γὰρ ἡλίου, ἅπαντα σκότος ἐστὶ, τῇ τοῦδε δὲ παρουσίᾳ, φῶς λαμβάνει. Τὸ ἀπαλλάξας φέγγος, ἀντὶ τοῦ φῶς ἐνθεὶς, νοεῖται τῷ τετυφλωμένῳ ὀφθαλμῷ, εἰ καὶ ἀσαφῶς εἴρηται διὰ τὴν τοῦ λέγοντος δεινοπάθειαν καὶ τὸ ἄγαν τεθορυβῆσθαι καὶ συγκεχύσθαι αὐτόν. τούτου χάριν καὶ τὸ ἀπαλλάξας ἀντὶ τοῦ μεταποιήσας νοοῦσιν ἔνιοι, τιθέντες καὶ τὴν εἰς πρόθεσιν εἰς φέγγος. Ἄλλως. φέγγος ἀπαλλάξας, πόῤῥω πέμψας τὸ σκότος. *ΦΕΓ-*

5) Hoc scholion, quod exstat etiam in Gu. a m. pr. omisit King.

ΓΟΣ ἈΠ. ἐνθεὶς φέγγος (εἰς τὸν ὀφθαλμόν). Gu. *ἈΠΑΛΛΑΞΑΣ*, ἐλευθερώσας σκότους. (στερήσας, μεταστρέψας.) Gu. μεταποιήσας. Fl. 33.

V. 1046—1052. *ΚΡΥΠΤΑΝ ΒΑΣΙΝ.* κρυπτὰν πορείαν νοῶ τούτων τῶν γυναικῶν. ποῦ τὸν πόδα ὁρμήσας, σαρκῶν καὶ ὀστέων κορεσθῶ, ποιούμενος εὐωχίαν τῶν ἀγρίων θηρῶν, ἤγουν τῶν γυναικῶν, ὡς θῆρας ταύτας καταθοινώμενος, λαμβάνων καὶ ἀφαιρούμενος ἀντέκτισιν [6]) τῆς ἐμῆς βλάβης καὶ τυφλώσεως.

V. 1046. *Α Α*, ἐπιφώνημα ἐφεκτικόν. (καθ' ἑαυτόν.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ ᾶ ᾶ (Fl. ὁ δὲ ᾶ) κλητικὸν ἐπίῤῥημα, ἢ σχετλιαστικόν· ἴδιον δὲ τοῦτο ψυχῆς τεταραγμένης. Gu. a m. 2. Fl. 25. *ΚΡΥΠΤΑΝ*, λαθραίαν. Fl. 10.

V. 1047. *ΒΑΣΙΝ*, πορείαν, (βάδισιν). Gu. *ΑΙΣΘΑΝΟΜΑΙ*, νοῶ. (κατὰ Ἀττικοὺς αἰτιατικῇ, κατὰ δὲ κοινοὺς γενικῇ.) Gu. τὸ αἰσθάνομαι, τὸ λαμβάνω, ἐπὶ μὲν ἀψύχων αἰτιατικῇ συντάσσεται, ἐπὶ δὲ ἐμψύχων γενικῇ. Fl. 25.

V. 1048. *ΕΠΑιΞΑΣ*, κινήσας, (ὁρμήσας). Gu.

V. 1049. *ΕΜΠΛΗΣΘΩ*, χορτάσω. Fl. 59. κορεσθῶ. Gu.

V. 1050. *ΘΟΙΝΑΝ*, εὐωχίαν. (ἀπὸ τοῦ θοινῶμαι τὸ εὐωχοῦμαι.) Gu. C. C. C. *ΘΟΙΝ. ΑΓΡ. ΘΗΡΩΝ ΤΙΘ.* ποιῶν αὐτὰς θοίνην. Fl. 59. ὡς θὴρ ταῦτα καταθοινώμενος. Fl. 10.

V. 1051. *ΑΡΝΥΜΕΝΟΣ*, ἀποδιδούς. (ἀντιλαμβάνων, καταλλάσσων.) Gu. et in marg. a m. 2. λαμβάνων παρ' αὐτῶν. ἤγουν αὐτὰς τιμωρούμενος ἀνθ' ὧν εἰς ἐμὲ τοιαῦτα ἐτεχνάσαντο. *ΛΩΒΑΝ*, βλάβην. Gu. ὕβριν. Fl. 10.

V. 1052. *ΛΥΜΑΣ*, ἀπωλείας. Fl. 10. βλάβης. Gu. *ἈΝΤΙΠΟΙΝ'*, ἀντέκτισιν. (ἀντίδικα.) Gu.

V. 1053—1056. *ΠΟΙ ΦΕΡΟΜΑΙ.* ποῖ ἀντὶ τοῦ ποῦ, ὅτε μὲν ἐπὶ κινήσεως λαμβάνεται, διὰ τῆς οι διφθόγγου γράφεται· ὅτε δὲ ἐπὶ στάσεως, διὰ τοῦ η. καὶ δῆλον ἀπὸ τοῦ πᾷ στῶ. εὕρηται δὲ καὶ ἐπὶ κινήσεως καὶ διὰ τοῦ η, καὶ δῆλον ἐκ τοῦ πᾷ βῶ, καὶ πᾷ κέλσω. *ΠΟΙ ΦΕΡΟΜΑΙ.*

6) ἀντιδίκησιν King.

ποῦ ἄγομαι, τὰ ἐμὰ τέκνα μεμονωμένα λιπὼν ταῖς Βάκχαις τοῦ Ἅιδου, ὥςτε διασπαράξαι καὶ διαμοιρᾶσαι μεληδὸν, καὶ τοῖς κυσὶ δαῖτα ἐσφαγμένην, φονίαν, ἀνήμερον, καὶ ἐκβολὴν ῥίψειν ὀρεινήν. ὑπενόει γὰρ αὐτὰς ῥίψαι τοῖς κυσὶ μετὰ τὸ σφάξαι τοὺς παῖδας, αὐτὴν φονικὴν καὶ ἀπάνθρωπον εὐωχίαν καὶ ὀρεινὴν ἀποβολήν. [7]) Ἄλλως. ποῖ φέρομαι τὰ ἐμὰ τέκνα μεμονωμένα λιπὼν ταῖς Βάκχαις τοῦ Ἅιδου, ἤγουν ταῖς μαινομέναις ἐπὶ φόνοις καὶ ὑπουργίᾳ τοῦ Ἅιδου, ὥςτε διαμοιρᾶσαι, καὶ τοῖς κυσὶ δαῖτα σφακτὰν, ἤτοι ἐσφαγμένην, φονίαν, ἀνήμερον, καὶ ἐκβολὴν ὀρείαν. ἐπειδήπερ, ἡνίκα διεμερίσαντο αὐτὰ, ἔμελλον ῥίψειν τοῖς κυσὶ βρώματα, διὰ τοῦτο πρῶτον εἶπε διαμοιράσαι, εἶτα ἐπάγει τὸ σφακτὰν κυσί τε φονίαν, δεικνὺς τὸν διαμερισμὸν οὐδὲν ἄλλο ἐσόμενον, ἢ τοῖς κυσὶ ῥίψιν καὶ δαῖτα. τὸ δὲ ἀνήμερον καὶ τὸ ὀρεινὰν λέγει διὰ τὸ τὰ ἐν ὄρει ὄντα ἄγρια θηρία οὕτω διαμερίζειν, ἃ ἂν τῶν ζώων θηράσωσιν.

V. 1054. *ΒΑΚΧΑΙΣ.* Βάκχαι γυναῖκες ἦσαν μετὰ μέθης ἑορτάζουσαι τὴν ἑορτὴν τοῦ Διονύσου· ὅτι δὲ μεθύουσαι ἐκεῖναι ἠτάκτουν καὶ ἐμαίνοντο περὶ τὴν ἑορτὴν, λέγει καὶ ταύτας Βάκχας. ὅτι δὲ οὐκ εἰς γέλωτα τὰ τούτων καὶ ἡδονὴν, λέγει τοῦ Ἅιδου, ταῖς μαινομέναις ἐπὶ φόνοις καὶ ὑπουργίᾳ τοῦ Ἅιδου. Gu. ταῖς μανικαῖς γυναιξί. Fl. 59. αἱ Βάκχαι τοῦ Διονύσου ἐνθουσιῶσαι περιεπάτουν ὡς μαινόμεναι, καὶ τὸν προςτυχόντα ἐκείναις ἐκράτουν καὶ ἐκόλαζον. ἴσως δὲ καὶ ἠλευθεροῦτο. αἱ δὲ αἰχμαλωτίδες γυναῖκες Βάκχαι εἰσὶ τοῦ Ἅιδου θανατοῦντες εὐθύς. Fl. 59. Βάκχαις Ἅιδου εἶπε διὰ τὸ (τὰς) Τρῳάδας, διὰ τὸ εἶναι αὐτὰς φονικὰς καὶ ἀπηνεῖς. ἦσαν γὰρ καὶ ἔτε-

7) Ultima a vv. ὑπενόει γάρ sunt etiam in Flor. 25. sed paulo melius: ὑπεν. γὰρ αὐτὰς ῥ. τοῖς κ. τὰ τέκνα αὐτοῦ μετὰ τὸ σφάξαι αὐτὰ τὴν φονικὴν καὶ ἀπ. εὐωχ. κ. ὀρ. ἀπ. Similiter 10. ὑπενόει δὲ, ὡς μετὰ τὴν σφαγὴν εἰς ὄρος ῥιφθήσονται οἱ παῖδες αὐτοῦ. quibus satis firmatur recepta lectio μετὰ τὸ σφάξαι, pro quo King. μετὰ τοῦ σφάξαι. Sqq. ποῖ φέρομαι — ὀρείαν in Gu. sunt a m. pr. nisi quod ibi vv. ἤγουν ταῖς μαιν. — ὑπουργίᾳ τοῦ Ἅιδου ante haec ποῖ φέρ. scripta sunt. Ibidem in marg. man. sec. scripta sunt, quae sequuntur, ἐπειδήπερ κ. τ. λ. sed pro διεμερίσαντο ibi est διεμοίρησαν, tum ἔμελλον ἂν ῥ. Ex eo εἶπε post πρῶτον et τὸ δὲ ἀν. recepi.

ραι Βάκχαι; ἀλλὰ ᾄδουσαι ἐπὶ καλῷ καὶ ἐπὶ τέρψει τῶν ἀνθρώπων. Καὶ ἄλλως. διὰ τὸ εἶναι αὐτὰς αἰτίας θανάτου πικροῦ τῶν τέκνων αὐτοῦ καὶ ἀπωλείας καὶ εἰςαγωγῆς ᾄδου παρὰ καιρόν. Fl. 33. *ΔΙΑΜΟΙΡΑΣΑΙ*, διασπαράξαι μεληδὸν (Fl. 33.) τεμεῖν. Gu.

V. 1055. *ΣΦΑΚΤΑΝ Κ.* σφαγὴν κυσί. Fl. 25. *ΦΟΝΙΑΝ*, φονικήν. (ἐκ φόνου γεγονυῖαν. φόνευσιν.) Gu.

V. 1056. *ΑΝΗΜΕΡΟΝ*, ἀνελεῆ. Fl. 33. ἀπάνθρωπον. Fl. 10. ἀγρίαν. Gu.

V. 1057—1061. *ΠΑ ΣΤΩ.* ποῖ, φησὶ, πορεύσομαι, ποῦ δὲ κάμψω, ποῦ δὲ στήσομαι, ἐπὶ ταύτην ὁρμήσας τὴν τῶν παίδων μοι κοίτην (λέγει δὲ τὸν τόπον, ἔνθα ἐσφαγμένα τὰ τούτου τέκνα κατέκειτο,) ὀφείλων ταῦτα φυλάξαι πρὸς τὸ μὴ ὑπὸ τῶν Τρωϊάδων ῥιφῆναι κυσὶν, ὡς ναῦς τὸ ἄρμενον συστρέφων καὶ συστέλλων, δηλαδὴ τῶν ὀφθαλμῶν στερηθείς· ὅπερ γάρ ἐστι τῇ νηῒ τὸ ἱστίον, τοῦτο τῷ σώματι ὁ ὀφθαλμός. *ΛΙΝΟΚΡΟΚΟΝ.* καθὰ ναῦς διὰ θαλασσίων σχοινίων λινόκροκον φάρος ἐκτείνων, ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην πορευθεὶς τῶν ἐμῶν τέκνων φύλαξ. ἡ σύνταξις· πᾷ βῶ ἐσσυθεὶς καὶ ὁρμηθεὶς φύλαξ τῶν ἐμῶν τέκνων ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην στέλλων, καὶ κινῶν ἐμαυτὸν, ὅπως καὶ ὥςπερ στέλλει ἡ ναῦς ἐν τοῖς ποντίοις πείσμασι καὶ σχοινίοις τὸ λινόκροκον φάρος, ἤτοι λαῖφος. [8]) τὸ δὲ πᾷ βῶ, πρὸς τὸ ἐσσυθεὶς συναπτέον· τὸ δὲ στέλλων μετὰ ταῦτα λέγει. οἱ δὲ λέγοντες λινόκροκον φάρος τὸν ὀφθαλμὸν, καὶ οὐ τὸ λαῖφος, ἆρ' ἔχει τὶς ἂν εἰπεῖν, ὡς οὐ μάλιστα πάντων οἶδε ἀμαθεῖς;

V. 1057. *ΚΑΜΨΩ*, καθίσω. (νεύσω, κλίνω.) Gu. πλησιάσω. Fl. 33. κλίνω τὸ γόνυ. Fl. 59.

V. 1058. *ΛΙΝΟΚΡΟΚΟΝ*, τὸ ἐκ λίνου (ὑφασμένον, τὴν κρόκην ἔχον δηλονότι καὶ τοὺς στήμονας, ἤγουν τὸ ἄρμενον. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. τὸ ἀπὸ λίνου τὸ ἄρμενον· κρόκη γὰρ τὸ ὑφάδιον).

8) In Gu. priora καθὰ — φύλαξ m. pr. scripta sunt; praecedunt, quae in edito sequuntur, πᾶ βῶ ἐσσ. — λαῖφος, m. sec. scripta: in iis ὅπως καὶ ὥςπερ e cod. recepi. Reliqua desunt, ut omnia, quibus stupor aliorum interpretum notatur, ab Arsenio addita esse videntur.

V. 1059. *ΦΑΡΟΣ*, ὕφασμα, ἤγουν τὸ ἄρμενον. (ἱμάτιον.) Gu. *ΣΤΕΛΛΩΝ*, ἐκτείνων ἐμαυτόν. (κινῶν ἐμαυτόν.) Gu.

V. 1060. *ΦΥΛΑΞ*, ὁ νῦν ὀφείλων φύλαξ εἶναι τῶν τέκνων. Fl. 10.

V. 1061. *ΟΛΕΘΡ. Κ.* τὸν τόπον λέγει, ἔνθα ἐσφαγμένα ἔκειντο τὰ τέκνα αὐτοῦ. Gu. a m. pr. ἔνθα κεῖταί μου τὰ παιδία τεθνηκότα. Fl. 10. *ΟΛΕΘΡΙΟΝ ΚΟΙΤΑΝ.* ὀλέθριαν κοίτην λέγει, οὐχ ὅτι ἦν ὁ τόπος, ἐν ᾧ ἔκειτο τὰ τέκνα αὐτοῦ, ὀλέθριος· ἄψυχος γὰρ ἦν καὶ οὔτε κακὸς οὔτε καλὸς ἦν [9])· ἀλλὰ διότι φονευθέντα τὰ τέκνα ἔκειντο ἐν αὐτῷ, διὰ τοῦτο τὸν τόπον λέγει ὀλέθριον, ἀπὸ τοῦ τῶν τέκνων πάθους τὴν προςηγορίαν αὐτῷ τιθείς.

V. 1062—1064. *Ω ΤΛΗΜΟΝ, ΩΣ ΣΟΙ.* ὦ ἄθλιε, δυςβάστακτά σοι λίαν πέπρακται κακά· καὶ σοὶ τῷ πράξαντι δηλονότι αἰσχρὰ [10]), χαλεπὰ τὰ ἐπιτίμια, ἤγουν τὰς τιμωρίας, ἔδωκεν ὁ θεὸς, ὅςτις ἐστι σοι ἐπαχθὴς καὶ κακωτικός.

V. 1062. *ΔΥΣΦΟΡΑ*, δυςβάστακτα. (δυςφόρητα, βαρέα, δυςυπομόνητα, ἀνυπομόνητα εἰργάσατο ἡ Ἑκάβη.) Gu. *ΕΙΡΓΑΣΤΑΙ*, πεποίηκεν. (ἐπράχθησαν.) Gu.

V. 1065. *ΤΑΠΙΤΙΜΙΑ*, τὰ ἐπὶ τῆς τιμωρίας. Fl. 33. ἐπιτίμιον ἡ τιμωρία, ἐπιτιμία δὲ ἡ τιμή. Fl. 59.

V. 1065—1082. *ΑΙ ΑΙ, ΙΩ ΘΡΗΚΗΣ.* καὶ τὰ τοιαῦτα κῶλα ὅμοια ἐστὶ τοῖς εἰρημένοις, μονοστροφικὰ καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ τὰ κῶλα τῆς ὅλης στροφῆς κβ. τὸ α ἰαμβικὸν μονόμετρον. τὸ β ἰωνικὸν ἀπὸ μείζονος [μονόμετρον] τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου α καὶ ἰωνικοῦ ἀπὸ μείζονος. [1]) τὸ γ προσῳδικὸν τρίμετρον βραχυκατά-

9) Haec e Gu. addidi, in quo hoc scholion m. sec. scriptum est. Idem mox ὀλέθριον καλεῖ pro λέγει ὀλ. et θείς pro τιθείς.

10) Legendum videtur καὶ τῷ πράξαντι, σοὶ δηλονότι, αἰσχρά. quod in Gu. supra verbum δράσαντι a m. sec. scriptum est. In marg. ibidem est a pr. m. καὶ δράσαντι σοὶ δηλονότι αἰσχρά et quae hic sequuntur.

1) μονόμετρον om. King. et pro τρίμετρον dedit δίμετρον. In Junt. et Basil. post ἰωνικοῦ ἀπὸ μείζονος repetita sunt, quae praecesserant: μονόμετρον τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου ά, ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἀμφιβραχέος.

ληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριαμβικοῦ πενταδυλλάβου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ ἰαμβικὸν πενθημιμερές. τὸ ε ὅμοιον. τὸ ς [2]) ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ ποδὸς ἀναπαίστου. τὸ ζ δακτυλικὸν δίμετρον· κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς φασὶν οἱ μετρικοί. τὸ η ἰωνικὸν ἀπ' ἐλάττονος ἡμιόλιον, εἰ δὲ βούλει, παιωνικόν. [3]) τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ ς, τοῦ γ ποδὸς ἀναπαίστου.[4]) τὸ ι ἰαμβικὸν μονόμετρον. τὸ ια ἰαμβικὸν ἐφθημιμερές. τὸ ιβ δίμετρον ἀκατάληκτον. [5]) καλεῖται δὲ ταῦτα, ὡς Ἡφαιστίων (p. 15.) φησὶν, Ἀνακρεόντεια καὶ ἀμφότερα. τὸ ιγ περίοδος· δύο γάρ ἐστι τροχαῖοι, καὶ δύο ἴαμβοι. καὶ καλεῖται τοῦτο τὸ κῶλον περίοδος, εὕρηται δὲ καὶ ἀντεστραμμένον. τὸ ιδ χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ σπονδείου· εἰ δὲ βούλει, δακτυλικὸν ἐφθημιμερὲς, ὃ καλεῖται Ἀλκμανικόν. τὸ ιε τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ις ἀσυνάρτητον ἐκ τροχαϊκῆς καὶ ἀναπαιστικῆς βάσεως. τὸ ιζ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων πρώτων δύο. τὸ ιη τροχαϊκὸν ἐφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον, ἢ ληκύθιον. τὸ ιθ δακτυλικὸν ἐφθημιμερὲς Ἀλκμανικόν. τὸ κ ἰαμβικὸν ἐφθημιμερὲς, τοῦ α ποδὸς ἀναπαίστου. τὸ κα παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ δύο παιώνων πρώτων, τοῦ α πενταδυλλάβου, καὶ τροχαίου. τὸ κβ χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ἐκ χοριάμβου καὶ κρητικοῦ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ τῷ τέλει κορωνίς.

V. 1065—1082. *ΙΩ ΘΡΗΚΗΣ.* ὦ γένος Θρακικὸν ὁπλοφόρον, ὁρμητικὸν εἰς τὸν πόλεμον καὶ ἐνθουσιαστικὸν, δεσποζόμενον καὶ κρατούμενον ὑπὸ τοῦ Ἄρεος. ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀγάμεμνον καὶ Μενέλαε, βοὴν φωνῶ. ἔλθετε, ἔλθετε ἕνεκα τῶν θεῶν. ἀκούει τὶς, ἢ οὐδεὶς κλύων βοηθήσει; τί βραδύνετε; αἱ γυναῖκες ἔφθειράν με αἱ αἰχμαλώτιδες. χαλεπὰ ἐπάθομεν. οἴμοι ἕνεκεν τῆς ἐμῆς βλάβης! εἰς ποῖον μέρος πορευθῶ; εἰς τὸν αἰθέρα ἀναπτάμενος τὸν ὑψηλὸν ἀΐξω, εἰς τὸ ἐν ὕψει κείμενον οἴκημα, ἔνθα ὁ Ὠρίων ἢ ὁ Σείριος ἀφίησιν ἀπὸ τῶν ὀφθαλμῶν λαμπηδόνας πυρὸς φλογέας; ἢ ἀΐξω ὁ τάλας εἰς τὸν πορθμὸν τὸν μελανοχρῶτα τοῦ ᾅδου. [6])

2) Sic recte King. Vulgo τὸ ε ὅμοιον τῷ ς ἰαμβικόν.

3) King. ed. τὸ η παιωνικὸν ἡμιόλιον.

4) τοῦ γ ποδὸς ἀναπαίστου om. King.

5) King. τὸ ιβ ἰαμβικὸν δίμ. ἀκ.

V. 1065. *ΑΙ ΑΙ.* προσφωνεῖ ὁ Πολυμήστωρ τοὺς Θρᾶκας καὶ τοὺς Ἕλληνας εἰς βοήθειαν αὐτοῦ. Fl. 59. Ἀκούσας τοῦ Χοροῦ τῶν ἀνδρῶν οὕτω φθεγγομένου πρὸς αὐτὸν, προσκαλεῖται τοὺς Θρᾶκας ὄντας γενναίους, ὡς αὐτὸς λέγει, λογχοφόρους αὐτοὺς ὀνομάσας Ἄρει τε κατόχους, ὅ ἐστι κατεχομένους ὑπὸ τοῦ πόθου τοῦ Ἄρεος, ὅ ἐστι τοῦ πολέμου. Fl. 33.

V. 1066. *ΛΟΓΧΟΦΟΡΟΝ*, δόρατι μαχόμενον. Fl. 10. 21. δορυφόρον, πολεμικόν. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοὺς ἀνελθόντας αὐτῷ δορυφόρους ἐπικαλεῖται, λογχηφόρους δὲ λέγει τοὺς δόρατα πολεμικὰ καὶ λόγχας φέροντας, ἤγουν τοὺς στρατιώτας. Fl. 25.

V. 1067. *ΚΑΤΟΧΟΝ*, κατεχόμενον. Fl. 53. ἐνθουσιῶν ἐν τῷ Ἄρει. (τῷ πολέμῳ.) Gu.

V. 1069. *ΑΥΤΩ.* μεγάλως φωνῶ πρὸς ὑμᾶς. Fl. 59. φωνῶ. (βοῶ.) Gu.

V. 1070. *ΜΟΛΕΤΕ ΠΡΟΣ ΘΕΩΝ*, παραγίνεσθε διὰ τὴν ἀγάπην τῶν θεῶν. (ἕνεκα. et in marg. ἐνταῦθα ἡ πρὸς κεῖται ἀντὶ τῆς παρὰ ἀντὶ τῆς ἐκ, καὶ ἡ ἐκ ἀντὶ τοῦ ἕνεκα κατὰ μετάληψιν.) Gu.

V. 1071. *ΚΛΥΕΙ ΤΙΣ*, ἀκούει τις, ἢ οὐκ ἀκούει, ἢ ἀκούει μὲν, οὐ δύναται δὲ βοηθῆσαι; Fl. 25. ἀκούει. (ἐπακούει. ἤγουν οὐδεὶς ἀκούει, ὥστε καὶ βοηθῆσαι.) Gu. *ΑΡΚΕΣΕΙ*, ἐπαρκέσει, βοηθήσει. Gu. *ΜΕΛΛΕΤΕ*, βραδύνετε. Gu.

V. 1075. *ΩΜΟΙ*, ἕνεκεν τῆς λωβήσεως καὶ στερήσεως (ἀπωλείας 10.) τῶν ὀφθαλμῶν. Fl. 10. 33.

V. 1076. *ΠΟΙ ΤΡΑΠΩΜΑΙ*, εἰς ποῖον μέρος (ποῦ) τράπωμαι. (ἔλθω) εἰς ποῖον μέρος ἵνα πορευθῶ. (ἐλεύσομαι.) Gu. τραπὸς (an ἀτραπὸς) λέγεται κυρίως τὸ παρὰ τῆς ὁδοῦ ἐκφερόμενον. Fl. 25.

V. 1077. *ΑΙΘΕΡ' ΑΜΠΤ.* ἀπορῶ γὰρ τί ποιήσω. πρὸς ἑαυτὸν ἀναλογίζεται. ἆρα πρὸς τὸν αἰθέρα πετάσας

6) Verba εἰς τὸν αἰθέρα — ᾅδου in Gu. a m. 2. ad vs. 1077. adscripta sunt.

πρὸς τὸ ὑψηλότερον οἴκημα, ἔνθα ὁ Ὠρίων, ὅς ἐστιν εἶδος ἄστρου, ἢ ὁ Σείριος αὐγάζουσιν, ἢ πρὸς ᾅδην μελανοχρῶτα ὁρμήσω, ὅ ἐστι τὸν σκοτασμόν. Fl. 33.

V. 1077. *ΑΙΘΕΡΑ.* ἔθος τοῖς δυςφοροῦσι ταῦτα λέγειν. Fl. 25. Gu. ἔν τισι τὸ *αἰθέρα* περισσὸν καὶ οὐ φέρεται. Fl. 25. 33. *ΑΜΠΤΑΜΕΝΟΣ*, ἀναπετάσας. (ἀναπετασθείς.) Gu.

V. 1079. *ΩΡΙΩΝ.* Ἀποροῦσι τινὲς, πῶς ἐνταῦθα ὁ Πολυμήστωρ Ὠρίωνος καὶ Σειρίου ἐμνήσθη, καὶ μηδενὸς ἄλλου τῶν ἄστρων. καὶ φασὶν, ὅτι Ὠρίωνος μὲν ἐμνήσθη ὡς κυνηγοῦ, ἅτε καὶ αὐτὸς τοῖς τοιούτοις χαίρων ὡς βασιλεὺς, (φασὶ γὰρ οἱ ποιηταὶ περὶ τοῦ Ὠρίωνος, ὡς κυνηγὸς ὢν ὑπὸ σκορπίου δηχθεὶς ἀνῃρέθη, ὅτι Ἀρτέμιδος ἠράσθη) τοῦ δὲ Σειρίου ὡς καυστικοῦ· διακαὴς γὰρ ἦν καὶ αὐτὸς τῷ πάθει, καὶ δυσχεραίνων ἀπαραμύθητα καὶ ἀπολέσθαι ζητῶν. *ΩΡΙΩΝ* ἀπὸ τοῦ οὔρου γίνεται· λέγεται γὰρ, ὅτι οἱ θεοὶ οὐρήσαντες ἐπάνωθεν βοὸς δέρματος, ἐξέφυσεν αὐτὸς, καὶ ὡς ἀπὸ τοῦ οὔρου ἐκλήθη Ὠρίων· διὸ καὶ ψιλοῦται Ὠρίων. λέγεται τὸ παρὰ τοῖς κοινοῖς λεγόμενον ἀροτρόπουν, συγκείμενον ἀπὸ ἄστρων ἑπτά. Σείριος δὲ λέγεται ὁ κύων. *ΣΕΙΡΙΟΣ.* Ἡσίοδος Σείριος ὁ Ἥλιος· νῦν δὲ τὸ ὑπογένειον τοῦ κυνὸς Σείριον λέγει. Fl. 25. Gu. Ἡσίοδος ὁ Σείριος ὁ Ἥλιος· νῦν δὲ τὸ ὑπογένειον τοῦ κυνὸς φασὶν εἶναι ἀστέρα, ἀκολούθως τῷ Ὁμήρῳ. ὅλον δὲ τὸ ἄστρον κύων λέγεται, ὅπερ ἐκ πολλῶν ἀστέρων σύγκειται. οὐδὲν ὑπογένειον τοῦ κυνὸς ἀστὴρ Σείριος λέγεται. Fl. 10. 33.

V. 1081. *ΜΕΛΑΝΟΧΡΩΤΑ*, τὸν ἀόρατον πλοῦν. Fl. 10. σκοτεινὸν, (μελανοσώματον.) Gu.

V. 1081. 1082. *ΠΟΡΘΜΟΝ.* οἱ μὲν φασὶν, ὡς πορθμὸς κυρίως ἡ μέσον δύο γαιῶν θάλασσα, νῦν δὲ καταχρηστικῶς πορθμὸν τὸν τόπον καλεῖ· ἐγὼ δὲ φημὶ διὰ τὴν Ἀχερουσίαν λίμνην τοῦτο λέγεσθαι. καὶ μαρτυρεῖ τὸ προηγούμενον, ὡς οὐδὲν ἄλλο δηλοῖ τὸ ἐς αἴδα πορθμὸν, ἀλλ' ἢ πορθμὸν τὸν ἐς τοῦτον τὸν τόπον τοῦ ᾅδου φέροντα. [7]) *ΠΟΡΘΜΟΝ.* διαφέρει πορθμὸς καὶ ἰσθμός. ἰσθμὸς μὲν γὰρ τόπος χέρσος μέσος δύο θαλασσῶν, πορθμὸς δὲ θάλασσα μέσον ξηρᾶς γῆς. Fl. 33. *ΑΙΞΩ*, ὁρμήσω, πορευθῶ. Fl. 6. 9. 21. 56. 59.

7) Gu. τὴν Ἀχερουσιάδα λ. — τὸ τοῦ προηγούμενον τοῦ ἐς· οὐδὲν γὰρ ἄλλο δηλοῖ κ. τ. λ.

V. 1083 sqq. *ΣΥΓΓΝΩΣΘ' ΟΤΑΝ.* αἱ ἑξῆς αὗται περίοδοι εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρπς, ὧν τελευταῖος *ἔχοντ' ἴδοιμεν τῶνδ' ἀφέμενοι πόνων.* μετὰ δὲ τὸν θ στίχον κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς. *ΣΥΓΓΝΩΣΘ' ΟΤΑΝ.* ὅταν τις, φησὶ, πάθη κακὰ μείζονα ἢ δύναται βαστάσαι, συγγνωστέον ἐστὶν αὐτῷ τὸ ἐξαπαλλάξαι ἑαυτὸν τῆς ζωῆς. Ἄλλως. συγγνωστὸν ἔδει εἰπεῖν. ἐκφέρει δὲ πληθυντικῶς ἀττικῶς. καὶ τοῦτο ζητῶν εὑρήσεις παρὰ πᾶσι καὶ ποιηταῖς καὶ λογοποιοῖς. ἡ δὲ σύνταξις· ὅταν πάθῃ τις κακὰ κρείσσονα ἢ φέρειν καὶ ὑπομένειν αὐτὰ, συγγνωστὰ, καὶ συγγνώμης ἄξιον ἐστὶν, ἀπαλλάξαι ἑαυτὸν τῆς ταλαίνης ζωῆς, τουτέστιν, ὁ κακοῖς συνὼν ἀφορήτοις συγγνωστέος ἐστὶν ἀποθανών. τοῦτο δὲ εἶπεν ὁ χορὸς διὰ τὸν Πολυμήστορα, στερηθέντα τῶν τέκνων καὶ τυφλωθέντα, καὶ τὰ μέγιστα δυςχεραίνοντα [8]) καὶ ἀπολεγόμενον τὸ ζῆν, ἐξ ὧν αὐτὸς ἄνωθεν πρὸ τοῦ χοροῦ ἐδήλωσεν, εἰς αἰθέρα, ἢ εἰς ᾅδην ὁρμῆσαι βουλόμενος. *ΣΥΓΓΝΩΣΘ'.* συγγνωστὸν πρᾶγμα ὑπάρχει, ὅταν τις ἄνθρωπος ἐξαπαλλάξοι καὶ ἐλευθερωθείη τὰ κακὰ πάθη τῆς ταλαίνης ζωῆς τὰ κρείσσονα καὶ τὰ ἐπικρατέστερα ὑπάρχοντα, ἢ καὶ παρὸ φέρειν καὶ ὑπομένειν αὐτὰ, ἤγουν κρεῖττον ἔνι, ἵνα ἀποθάνῃ τις παρὸ ἵνα φέρῃ καὶ ὑπομένῃ τὰ κακὰ πάθη, ἅπερ οὐδὲν δύναται ἐκεῖνος καὶ βαστάζει εὐκόλως. λέγει δὲ τοῦτο διὰ τὸν Πολυμήστορα, ὅτι κρεῖττον ἔνι ἵνα ἀποθάνῃ παντελῶς παρὸ ἵνα βαστάζῃ τὴν τύφλωσιν καὶ τὴν σφαγὴν τῶν τέκνων αὐτοῦ. Fl. 59. συγγνώμης ἐστὶν ἄξιος ἀπαλλαγῆναι τῆς ζωῆς τὸν παθόντα δεινὰ κρείττονα, ὅ ἐστι μείζονα, παρὰ τὴν οἰκείαν δύναμιν. τοῦτο δὲ εἴρηκε διὰ τὴν Ἑκάβην, ἐπεὶ καὶ κρείττων ἦν αὐτὴ (κρεῖττον ἦν αὐτῇ) τῆς ζωῆς ἀπαλλαγῆναι, παρὸ παθεῖν τοιαῦτα δεινὰ καὶ πέρα δεινῶν. Fl. 33. εἰρωνευόμενος ὁ χορὸς ταῦτα φησὶ πρὸς τὸν Πολυμήστορα. Gu.

8) Verba: καὶ τὰ μέγ. δυςχ. e Gu. addidi. King. in paraphrasi haec habet, nescio unde: ὅταν πάθῃ τις μείζονα κακὰ παρὸ δύναται φέρειν καὶ ὑπομένειν, συγγνώμης ἄξιόν ἐστιν ἐλευθερωθῆναι ἐκεῖνον τῆς ταλαιπώρου ταύτης καὶ ἐπωδύνου ζωῆς.

V. 1084. *ΖΟΗΣ*, ὡς πνέω πνοὴ, οὕτω καὶ ζέω ζωὴ χρείᾳ τοῦ μέτρου. Fl. 2. 25.

V. 1085 — 1089. *ΚΡΑΥΓΗΣ ΑΚΟΥΣΑΣ.* τῆς φω- νῆς ἀκούσας παρεγενόμην· οὐ γὰρ ἠρέμα ἤχησεν ἡ θυγά- τηρ τῆς πέτρας ἠχὼ, ποιοῦσα ταραχήν. εἰ δὲ μὴ εἰδείημεν[9]), ὅτι ἐπορθήσαμεν τὴν Τροίαν, ἐφοβήθημεν ἂν οὐ μικρῶς, ἔφοδον νομίζοντες εἶναι τῶν πολεμίων. *ΚΡΑΥΓΗΣ ΑΚ.* Ἀκούσας τῆς Πολυμήστορος κραυγῆς ὁ Ἀγαμέμνων παρα- γίνεται πρὸς τὴν σκηνὴν τῆς Ἑκάβης, ἔνθα ὁ Πολυμήστωρ ἐτυφλώθη, λέγων ταῦτα· ἐγὼ τῆς κραυγῆς ἀκούσας ἦλθον ἐνταῦθα· οὐ γὰρ σιωπῶν ἐφώνησεν. Fl. 33. καὶ ὁ Ἀγα- μέμνων καθ᾽ ὑπόκρισιν ταῦτα φησίν. Gu.

V. 1085. *ΗΣΥΧΩΣ*, ἠρέμα. Gu.

V. 1086. *ΠΕΤΡΑΣ ΟΡ. ΠΑΙΣ.* βοῆς γὰρ [10]) ἐν ὄρει γενομένης, πληττόμεναι αἱ πέτραι ἀντηχοῦσι· διὸ καὶ θυγατέρα πέτρας καλεῖ τὴν ἠχώ. *ΛΕΛΑΚ*᾽, ἤχησεν. (ἐφώ- νησεν.) Gu.

V. 1087. *ΗΧΩ.* ἦχος ὁ κτύπος, ἠχὼ δὲ τὸ ἀπήχημα τὸ γινόμενον μετὰ τὸν ἦχον ἐν θόλοις καὶ σφαιρικοῖς ἄλλοις ἔνδον καὶ ἐν αἰγιαλοῖς, καὶ ἐν ὄρεσι διὰ τὴν αὐτὴν καὶ μίαν αἰτίαν, ἐμποδισμὸν δηλονότι τῆς πρόσω φορᾶς τῆς φωνῆς καὶ ἀναστροφὴν αὐτῆς. Gu. *ΔΙΔΟΥΣΑ*, παρέ- χουσα. (ποιοῦσα, ἐμβάλλουσα.) Gu. *ΘΟΡΥΒΟΝ*, ταρα- γμόν. (ταραχὴν καὶ ἔκπληξιν.) Gu.

V. 1089. *ΦΟΒΟΝ ΠΑΡΕΣΧΕΝ*, ἐθορύβησεν ἄν. Gu. *ΟΥ ΜΕΣΩΣ*, ἤγουν οὐκ ἐπιπολεως (l. ἐπιπολαίως), ἀλλ᾽ εἰς βάθος. (οὐ μετρίως, ἀλλὰ σφόδρα. οὐ συμμέτρως.) Gu. *ΜΕΣΩΣ*, ὀλίγως. Fl. 10.

V. 1090 sq. *Ω ΦΙΛΤΑΤΕ.* ὑποστροφὴ καὶ ἐπεμβολὴ τὸ σχῆμα. ἀκούσας τῆς φωνῆς σου, ὦ Ἀγάμεμνον, ἠσθάν- θην, βλέπεις ἅτινα πανθάνομεν; [1])

V. 1092. *ΕΑ*, ἐκπληκτικὸν, ὦ δύστηνε. ὑποκρίνεται ἀγνοεῖν, ἵνα κατὰ τὸ δίκαιον ὑπὲρ τῆς Ἑκάβης εἴπῃ, μὴ, γνωσθεὶς, ὅτι προωμίλησεν αὐτῇ, δόξῃ αὐτῇ χαρίζεσθαι.

9) Rectius Gu. ᾔδειμεν.

10) γὰρ e Gu. addidi, qui praeterea habet ἐν ὄρεσι.

1) Verba ἀκούσας — πανθάνομεν om. King. et Musgr.

ΕΑ ἔξω τοῦ μέτρου τοῦ στίχου ἐστὶν, ὡς καὶ ἐν ἄλλοις ἐστὶν εὑρεῖν. Fl. 21.

V. 1092 — 1095. *Ω ΔΥΣΤΗΝΕ.* ὦ ἄθλιε Πολυ- μήστωρ, τίς ἔφθειρέ σε; τίς ἐποίησε τὸ ὄμμα τυφλὸν, τὰς κόρας τῶν ὀφθαλμῶν αἱματηρὰς ποιήσας; καὶ τούσδε τοὺς παῖδας τίς ἔκτεινεν; ὄντως μέγαν θυμὸν ἐκέκτητο ἐπὶ σὲ καὶ τοὺς σοὺς παῖδας, ὅστις ἄρα ὑπῆρχεν.

V. 1095. *ΑΙΜΑΞΑΣ*, αἱματώσας, (κεντήσας). Gu. *ΕΚΑΒΗ ΜΕ.* ἡ Ἑκάβη σὺν ταῖς αἰχμαλώτισι γυναιξὶν ἔφθειρεν. οὐκ ἀπώλεσε μικρῶς, ἀλλὰ μεγάλως, καὶ μεῖζον ἀπωλείας. [2])

V. 1097. *ΑΛΛΑ ΜΕΙΖΟΝΩΣ.* τὸ γενέσθαι τυφλὸν τοῦ ἀπολέσθαι μεῖζον λέγει· εἰώθασι γὰρ οἱ ἄνθρωποι μεί- ζονα τὰ παρόντα τῶν μὴ παρόντων κακῶν ἡγεῖσθαι. C. C. C. Gu. ἤγουν ἐπέκεινα ἀπωλείας εἰργάσατό με διὰ τὸ ζῆν με τυφλόν. Gu. a m. sec.

V. 1098 sq. *ΤΙ ΦΗΣ.* τοῦτο πρὸς τὸν Πολυμήστο- ρα· κατ᾽ ἐπίκρισιν δὲ τὸ σχῆμα· εἶτα πρὸς τὴν Ἑκάβην ἀποστρέφεται, καὶ φησί· σὺ τόδε, ὡς λέγει, τὸ ἔργον ἐποίη- σας, σὺ τὴν τόλμαν, ὦ Ἑκάβη, τήνδε ἐτόλμησας τὴν ὑπερβολικήν;

V. 1099. *ΤΟΛΜΑΝ*, φοβερὰν πρᾶξιν. (θάρσος.) Gu. *ΕΤΛΗΣ*, ἐποίησας. (ἐτόλμησας. μετὰ καρτερίας ἔπραξας.) Gu. *ΑΜΗΧΑΝΟΝ*, κακομήχανον ἢ μεγίστην. (ἀνεπιχεί- ρητον.) Gu. τὸ ἄδικον, πρὸς ἣν οὐκ ἔστι ἐκχανεῖν (sic), λύσιν εὑρεῖν. Fl. 10. 53.

V. 1100 — 1102. *ΩΜΟΙ*, φεῦ! τί πρᾶγμα λέγεις; ἆρα πλησίον ἐστί που ἡ Ἑκάβη; δήλωσον καὶ λέξον, ποῦ ἐστιν, ὅπως ἁρπάσας αὐτὴν διὰ τῶν χειρῶν διασπαράξω, καὶ αἱ- ματώσω τὸ σῶμα αὐτῆς.

V. 1101. *ΣΗΜΗΝΟΝ*, ὁδήγησον. (δήλωσον, δεῖξον.) Gu.

V. 1102. *ΔΙΑΣΠΑΣΩΜΑΙ*, διαμερίσωμαι. (διασπα- ράξω, διαμερίσω, διαῤῥήξω.) Gu. *ΚΑΘΑΙΜΑΞΩ*, φο- νεύσω. Fl. 59.

2) King. in paraphrasi ita edidit: ἡ Ἑκ. μετὰ τῶν γυναικῶν τῶν αἰχμαλωτίδων ἔφθειρέ με· οὐ μόνον ἁπλῶς ἔφθειρεν, ἀλλὰ μεῖζον ἀπωλείας.

V. 1103. ΟΥΤΟΣ ΤΙ Π. ὦ οὗτος, τί ποιεῖς; ΟΥΤΟΣ, ὦ φίλε. Fl. 59. Ἀττικὸν τὸ οὗτος, ὦ σὺ δηλονότι. Fl. 10. 21. ΠΑΣΧΕΙΣ, ποιεῖς, (παράφορα λέγεις.) Gu. ΠΡΟΣ ΘΕΩΝ. ἕνεκεν τῶν θεῶν σε παρακαλῶ, ἄφες με ἐπαγαγεῖν αὐτῇ τὴν μαινομένην χεῖρα.

V. 1104. ΜΕΘΕΣ Μ' ΕΦΕΙΝΑΙ. φαίνεται, ὅτι ἐκράτει αὐτὸν χερσίν. Gu. ΜΑΡΓΩΣΑΝ, ἀστατοῦσαν, μαινομένην. Gu.

V. 1105. ΙΣΧΕ, ἔπεχε σεαυτὸν, ἐκρίψας τῆς καρδίας τὴν βαρβαρότητα. ΤΟ ΒΑΡΒΑΡΟΝ. πολλάκις ἀντὶ προσηγορικοῦ ὀνόματος θηλυκοῦ μονογενοῦς τίθεται οὐδέτερον, οἷον τὸ σοφὸν τοῦ δεῖνος ἀντὶ τοῦ ἡ σοφία, τὸ αὐτεξούσιον, ἤγουν ἡ [3]) αὐτεξουσιότης, τὸ βάρβαρον ἀντὶ τοῦ ἡ βαρβαρότης. ΤΟ ΒΑΡΒΑΡΟΝ, τὸ θυμῶδες. (τὴν βαρβαρότητα, τὸ ἄγριον, τὸ θυμικὸν, τὸ θρασὺ καὶ μανικὸν, ὃ ἔχουσι βάρβαροι.) Gu.

V. 1106 sq. ΛΕΓ' ΩΣ ΑΚΟΥΣΑΣ. λέγε μοι, ἵνα ἀκούσας ἀμφοτέρων σοῦ καὶ τῆς Ἑκάβης, κρίνω δικαίως, ἀντὶ τίνος ταῦτα πανθάνεις. [4])

V. 1107. ΚΡΙΝΩ. ὁ Ἀγαμέμνων οὐ κατ' ἀληθῆ φιλίαν τῷ Πολυμήστορι διακείμενος οὐ μόνον οὐκ ἀμύνει αὐτῷ φανεὶς, ἀλλὰ καὶ ἐπιτιμᾷ ὡς δῆθεν ἀτακτοῦντι, καὶ μετὰ τὴν τοιαύτην συμφορὰν ἐξέτασιν καὶ κρίσιν ποιεῖται· ὁ Πολυμήστωρ δὲ ἀγνοῶν ὡς φίλον ἀληθῆ ἐπικαλεῖται τοῦτον. Gu.

V. 1108 — 1132. ΛΕΓΟΙΜ' ΑΝ. εἴποιμ' ἂν, σοὶ δηλονέτι. ὑπῆρχέ τις ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου νέος, Πολύδωρος τοὔνομα, υἱὸς τῆς Ἑκάβης, ὅντινα ὁ πατὴρ ὁ Πρίαμος ἔδωκέ μοι ἀπὸ τῆς Τροίας ἀνατρέφειν ἐν τοῖς ἐμοῖς δόμοις, ὑποψίαν ἔχων τῆς Τρωϊκῆς κρατήσεως. τοῦτον τὸν Πολύδωρον ἐφόνευσα. ἀντὶ τίνος δὲ αἰτίας ἐφόνευσα αὐτὸν, ἄκουσον. (Προκατάστασις τὸ σχῆμα.) ἔδεισα, ἵνα μὴ ὁ παῖς καταλειφθεὶς σὸς ἐχθρὸς, συνάξῃ τὴν Τροίαν καὶ συνοικίσῃ ἐκ δευτέρου, οἱ δὲ Ἀχαιοὶ μαθόντες τινὰ ἀπὸ τῶν υἱῶν

3) King. ἀντὶ τοῦ ἡ αὐτεξ. nescio unde.

4) πανθάνεις. Sic recte Junt. Barn. μανθάνεις Basil. πάσχεις King. Idem post Ἑκάβης addit διακεχωρισμένως.

τοῦ Πριάμου ζῶντα, κινήσειαν [5]) πάλιν ναυτικὸν εἰς τὴν γῆν τῶν Τρώων, καὶ μετὰ ταῦτα ἀφανίζοιεν ταῦτα τὰ χωρία τῆς Θράκης, λείας ἀπελαύνοντες, τοῖς δὲ γείτοσιν ἡμῖν τῶν Τρώων ὑπάρξειε [6]) κακὸν, ἐν ᾧ κακῷ ἀρτίως ἐπάσχομεν. ἡ Ἑκάβη δὲ μαθοῦσα τὸν θάνατον τοῦ παιδὸς, τοιῷδε δόλῳ ἤγαγεν ἐμὲ, ὡς λέξουσα τοὺς θησαυροὺς τοῦ χρυσοῦ τῶν υἱῶν τοῦ Πριάμου κεκρυμμένους ἐν τῇ Τροίᾳ. ἐμὲ δὲ μόνον σὺν τοῖς τέκνοις εἰς τοὺς οἴκους εἰςφέρει, ὅπως μὴ ἄλλος τις ἄνθρωπος γνοίη τάδε. ἐκάθισα δὲ ἐν μέσῳ τῆς κλίνης, κλίνας τὸ γόνυ. πολλαὶ δὲ χεῖρες (ἤγουν γυναῖκες, ἀπὸ μέρους τὸ πᾶν, ὡς τὸ τοίην γὰρ κεφαλὴν (Od. ά, 343.) ἀντὶ τοῦ ἄνδρα) πολλαὶ δὲ κόραι Τρώων παρθένοι ἐκάθηντο, αἱ μὲν ἀπὸ τῆς ἀριστερᾶς, αἱ δὲ ἀπὸ τῆς δεξιᾶς, καθὰ ποιοῦσιν εἰς φίλους, κρατοῦσαι τὸ ὕφασμα (ἀπὸ γὰρ τοῦ ποιοῦντος, τῆς κερκίδος, τὸ ποιούμενον ὠνόμασε) τῆς Μακεδονικῆς χειρὸς ἐπῄνουν, ὑπὸ τὸ φῶς τοῦ ἡλίου θεώμεναι τάδε τὰ ἱμάτια. ἄλλαι δὲ τὸ Θρακικὸν ἀκόντιον θεωροῦσαι, (τοῦτο γὰρ εἶπε κάμακα) μεμονωμένον ἐποίησαν τοῦ διπλοῦ ἐνδύματος, τοῦ ἀκοντίου, καὶ τοῦ ὑφάσματος.

V. 1109. ΕΚΑΒΗΣ ΠΑΙΣ, δηλονότι γεννηθεὶς ἐξ αὐτῆς· ἦσαν γὰρ τῷ Πριάμῳ καὶ ἕτεροι παῖδες ἀπ' ἄλλων γυναικῶν. ἐλέγοντο γοῦν καὶ οὗτοι υἱοὶ τῆς Ἑκάβης. ἵνα γοῦν δόξῃ, ὅτι κατ' ἀλήθειαν ἦν ὁ Πολύδωρος παῖς αὐτῆς, λέγει παῖς τῆς Ἑκάβης· οὐ γὰρ ἠρκέθη μόνον εἰς τὸ νεώτατος ἀπὸ τῶν ἑτέρων υἱῶν τοῦ Πριάμου, ἀλλὰ προςέθηκε τὸ παῖς. Fl. 59.

V. 1111. ΥΠΟΠΤΟΣ, ἐν ὑποψίᾳ ὢν, ἀντὶ τοῦ ὑποπτεύων. Fl. 17. 59. 76. Gu. ἔμφοβος. Fl. 55. καραδοκητής. Fl. 10.

V. 1113. ΩΣ ΕΥ. λίαν καλῶς (τοῦτο ἐποίησα). Gu. ΣΟΦΗι ΠΡΟΜ. καὶ κατὰ σοφὴν ἤγουν συνετὴν προμήθειαν. (προνοίᾳ, προβουλεύσει, προγνώσει, οἰκονομίᾳ.) Gu.

V. 1115. ΤΡΟΙΑΝ, τουτέστι τοὺς Τρῶας. (τὸν λαὸν τῆς Τροίας.) Gu. ΑΘΡΟΙΣΗι, περισυνάξῃ. Gu. ΚΑΤΟΙΚΙΣΗι, κατῳκισμένην ποιήσῃ. Gu.

5) κινήσειαν. King. κινοῖεν, quod in Gu. a m. pr. scriptum est supra αἴροιεν, addito κινήσειαν a m. sec. King. post Τρώων addidit etiam στόλον.

6) ὑπάρξειε. Sic Barn. em. scripturam Junt. et Basil. ὑπάξειε.

V. 1118. *ΤΡΙΒΟΙΕΝ*, καταφανίζουσι, καταθλίβουσι, διαφθείροιεν. Fl. 21. 59.

V. 1119. *ΛΕΗΛΑΤΟΥΝΤΕΣ*, αἰχμαλωτίζοντες. Fl. 53. κουρσεύοντες, πορθοῦντες. Fl. 17. 21. 56. 59. 76. Gu. *ΓΕΙΤΟΣΙΝ Δ᾽ ΕΙΗ.* εἴη δὲ ἡμῖν, τοῖς γείτοσι τῶν Τρώων, κακὸν τοῦτο, τὸ καὶ αὖθις ἐκστρατεῦσαι τοὺς Ἕλ- ληνας, ἐν ᾧπερ κακῷ δηλονότι, ἤγουν τῇ ἐκστρατεύσει ἐκά- μνομεν. Gu.

V. 1120. *ΕΚΑΜΝΟΜΕΝ*, ἐδυςτυχοῦμεν. Fl. 59.

V. 1121. *ΘΑΝΑΣΙΜΟΝ ΜΟΡΟΝ.* μόρος οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη, ὡς ἔχει κἀνταῦθα· οὐ γάρ ἔστι λέγειν θανάσιμον θάνατον. *ΘΑΝΑΣΙΜΟΝ.* τὰ ἐπί- θετα ἢ ἕτερόν τι δηλοῦσι τῶν ὀνομάτων, ἐφ᾽ ὧν λέγονται, ἢ εἰ 7) τὴν αὐτὴν αὐτοῖς ἔχουσι σημασίαν, πρὸς ἀντιδια- στολὴν ἑτέρου σημαινομένου λέγεται. ἢ ἑτέραν τινὰ 8) αἰ- τίαν ἔχει, καθ᾽ ἣν λέγεται, ὡς ἐνταῦθα ὁ θανάσιμος ἐπι- θετικῶς λεγόμενον, οὔτε ἕτερόν τι σημαίνει ἢ ὁ θάνατος ἐσήμαινεν, οὔτε 9) ταυτὸ σημαῖνον αὐτῷ πρὸς ἀντιδιαστο- λὴν ἑτέρου σημαινομένου λέγεται· οὐ γάρ ἐστι ποτὲ θάνα- τος μὴ θάνατον ἐμποιῶν, οὔτε ἄλλην τινὰ αἰτίαν ἔχει, καθ᾽ ἣν λέγεται. ὥςτε ἀρκοῦντος τοῦ θανάτου τῷ λόγῳ, τὸ θα- νάσιμος περιττῶς κεῖται κατὰ ποιητικὴν ἐξουσίαν. 10)

V. 1127. *ΠΟΛΛΑΙ ΔΕ ΧΕΙΡΕΣ.* κόραι λέγω Τρώων, ἤγουν νέαι καὶ παρθένοι, ἐκάθηντο, αἱ μὲν ἐξ ἀριστερῶν 1), αἱ δ᾽ ἔνθεν, ἤγουν ἀπὸ τῆς δεξιᾶς, ὡς δὴ παρὰ φίλῳ, καὶ ἔχουσαι ἤγουν 2) κρατοῦσαι τὴν κερκίδα, ἀντὶ τοῦ ὕφασμα τῆς Μακεδονικῆς χειρὸς, ἐπήνουν βλέπουσαι ὑπὸ τὰς αὐγὰς,

7) ἢ εἰ. Sic Gu. prout corr. King. Vulgo deest εἰ.

8) τινὰ addidi e Gu.

9) οὔτε ταὐτό. Sic Gu. Vulgo οὐ ταὐτό. Paulo ante ἐσήμαι- νεν ex eodem est. Vulgo ἐσήμανεν.

10) Pro κεῖται Gu. λέγεται, et ἄδειαν pro ἐξουσίαν.

1) ἀριστερῶν. Gu. ἀριστερᾶς.

2) Sic Gu. Vulgo ὡς δὲ παρὰ φ. κρατοῦσαι. Idem mox ὕφασμα τῆς Ἠδωνικῆς χερὸς ἀντὶ τοῦ τῆς Μακεδονικῆς, ἐπήνουν λεύσσου- σαι ὑπὸ τὰς αὐγ. Ultima τὸ δὲ χεῖρες κ. τ. λ. ab alia manu ad- scripta sunt.

ἤγουν ὑπὸ τὸ φῶς, τούςδε τοὺς πέπλους. Τὸ δὲ χεῖρες καὶ τὸ κόραι ἐκ παραλλήλου. *ΧΕΙΡΕΣ*, γυναῖκες. Fl. 10. ἀντὶ τοῦ γυναῖκες, ἀπὸ μέρους τὸ πᾶν, ὡς τροικὴν (sic) κεφαλὴν ἀντὶ τοῦ ἄνδρα. Fl. 10. 53.

V. 1129. *ΘΑΚΟΥΝ.* ὁ ἐνεστὼς ἀντὶ παρατατικοῦ, ὡς τὸ ἥκω. ἔθος δὲ τοῦτο τοῖς Ἀττικοῖς λαμβάνειν τὸν ἐνε- στῶτα ἀντὶ παρεληλυθότος. ὡς δὴ θάκουν καὶ ἐκαθέζοντο παρ᾽ ἐμοὶ τῷ φίλῳ αἱ κόραι τῶν Τρώων ἔχουσαι τὴν κερ- κίδα τῆς Ἠδωνῆς χερὸς, ἤγουν τῆς Ἠδωνικῆς καὶ τῆς Μα- κεδονικῆς· μετὰ γὰρ τῶν κερκίδων ὑφαίνουσι τὰ πέπλα. συγκόπτεται τὸ Ἠδωνικῆς καὶ γίνεται Ἠδωνῆς. τοιοῦτον δὲ ἐστὶν ὡς τὸ ῥητορευόμενος ἀντὶ τοῦ ῥητορικῶς. Fl. 59. *ΚΕΡΚΙΣ*, τὸ ὕφασμα ἐνταῦθα, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον· κερκὶς γὰρ κυρίως ὁ ἄτρακτος, ἐν ᾧ ὑφαίνου- σιν. *ΚΕΡΚΙΔΑ*, ἀντὶ τοῦ ὕφασμα. (τὸ ὕφασμα, ἱμάτιον, πέπλον.) Gu. κερκίδα φησὶ τὸ ἱμάτιον τὸ γενόμενον ἀπὸ Θρακικῆς χερός. ἀπὸ δὲ τοῦ ποιοῦντος τὸ ποιούμενον ὠνό- μασεν. καὶ ἄλλως. κερκίδας Θρακικὰς κατέχουσαι· Ἠδω- νοὶ γὰρ οἱ Θρᾳκες. Fl. 21. εἶμα ἢ σιδηροῦν. Fl. 10. κερ- κίδα ἐνταῦθα τὸ ἱμάτιον τὸ γινόμενον ἐκ τῆς Θρακικῆς χειρός. ἀπὸ δὲ τοῦ ποιοῦντος τὸ ποιούμενον ὠνόμασεν. ἄλλοι δὲ τὸ Θρακικὸν ἀκόντιον. Fl. 10. *ΗΔΩΝΗΣ*, ἀντὶ τοῦ Μακεδονικῆς. (Θρακικῆς· μέρος γὰρ ἡ Μακεδονία τῆς Θρᾴκης.) Gu.

V. 1131. *ΚΑΜΑΚΑ*, τὸν κόντον. (ἀκόντιον, σπά- θην.) Gu.

V. 1132. *ΔΙΠΤΥΧΟΥ.* δίπτυχον στόλισμα λέγει, ἢ τὴν σπάθην καὶ τὸν πέπλον, ἢ τὴν σπάθην μόνην, διὰ τὸ εἶναι αὐτὴν δίστομον. *ΔΙΠΤΥΧΟΥ ΣΤΟΛ.* διπλοῦ τοῦ ἐνδύματος, ἤγουν τῶν διπλῶν μου ὀμμάτων. Fl. 59. δι- παλτίας. Fl. 10. τοῦ διπλοῦ ἐνδύματος ἢ τοῦ διστόμου ἀκοντίου. Fl. 21. διπλοῦ, ἤτοι τῆς κερκίδος καὶ τοῦ δόρα- τος. Fl. 33. ἐπὶ μὲν τοῦ δόρατος διστόμου, ἐπὶ δὲ τῆς χλαμύδος διπλῆς. Fl. 10. 21. γράφεται καὶ στοχίσματος, ἵν᾽ ᾖ τῶν λογχῶν. εἰ δὲ στολίσματος, τοῦ ἱματίου λέγει, οὐκέτι δὲ ὅλως γράφεται. τὸ κάμακα Θρηΐκιαν θεώ- μεναι ποιητικῶς ἀνὰ πρὸς τὸ ἤνουν θ᾽ ὑπ᾽ αὐγὰς γυμνόν μ᾽ ἔθηκαν διπτύχου στολῆς, ἵνα λείπῃ ὁ καί ἀντὶ τοῦ καὶ γυμνόν. καὶ ἄλλως. διπτ. στολ. τινὲς τῆς διπαλτίας, ἀλλ᾽ οὐκ ἐᾷ τὸ κάμακα ἑνικόν. καὶ ἄλλως.

στολίσματος καὶ ἀλλαχοῦ οὐκ ἐν κύκλῳ τοῖς Θεσσαλῶν στο- χίσμασιν. (Bacch. 1157. οὐκ ἀγκυλωτοῖς Θεσσ. στοχάσμασιν.) ἐὰν δὲ στοχίσματα, λείπει ὁ καὶ, καὶ ἡ σύνταξις ἤγουν θ' ὑπ' αὐγάς. Fl. 21.

V. 1133—1135. *ΟΣΑΙ ΔΕ.* ὁπόσαι δὲ ἦσαν τοκά- δες, ἤγουν μητέρες, τὰ ἐμὰ παιδία λαβοῦσαι, ὡς εὐειδῆ ὄντα, ἐθαύμαζον ἄλλη τῇ ἄλλῃ ἀνὰ μέρος ἀποδιδοῦσαι, ὅπως ἐμοῦ τοῦ πατρὸς πορρωτάτω γένοιντο καὶ εὐχερέστατα αὐταῖς. *ΟΣΑΙ ΔΕ.* ὅσαι δὲ τῶν γυναικῶν τὰ ἐμὰ τέκνα ὁρῶσαι ἐδόκουν ἐκπλήττεσθαι ἐν χεροῖν ἔπαλλον, ἤγουν ἔτυπτον, ἵνα ἀπογένωνται τοῦ πατρός. Fl. 33.

V. 1133. *ΤΟΚΑΔΕΣ*, τετοκυῖαι. Fl. 10. γεννήτριαι (Fl. 33.) μητέρες. Gu. ἐκπαγλούμεναι, θαυμάζουσαι. (ἐκ- πληττόμεναι.) Gu.

V. 1134. *ΕΠΑΛΛΟΝ*, συνέστρεφον, ἐκίνουν. Gu. ἐκολάκευον. Fl. 59. ἀνεκύκλουν. Fl. 56. *ΩΣ ΠΡΟΣΩ Π.* ἵνα γένοιτο πόῤῥω, μακρὰν ἐμοῦ τοῦ πατρός. Fl. 59. 76. διχῶς τοῦτο, ἢ ὅτι ἐν ταῖς διαδοχαῖς γένοιτο βελτίονες τοῦ πατρὸς ἐμοῦ, ἢ ὅτι ἵνα γένωσι μακρὰν τοῦ πατρὸς τοῦ σφάξαι αὐτούς. Fl. 21. πορρωτάτω ἢ βελτίονα. Fl. 10.

V. 1135. *ΑΜΕΙΒΟΥΣΑΙ*, διαδιδοῦσαι, ἀλλακτικῶς λαμβάνουσαι. Gu. μεταδιδοῦσαι. Fl. 10. ὡς εὐχερέστατα αὐταῖς. φησὶ πρὸς ἀναίρεσιν. Fl. 10. ἀνταλλαττόμεναι. ἐδίδου ἡ μία πρὸς τὴν ἑτέραν. Fl. 59.

V. 1136 sq. *ΚΑιΤ' ΕΚ ΓΑΛΗΝΩΝ.* καὶ εἶτα ἐκ κο- λακευτικῶν καὶ ἡσύχων προσφωνημάτων, πῶς νομίζεις, κεν- τοῦσι τοὺς παῖδας, λαβοῦσαι ξίφη ἐκ τῶν ἱματίων. καλῶς δὲ πρῶτον ἀπέκτειναν παῖδας, ἵνα ὁρῶν ὁ πατὴρ ἀνιῷτο.[3]

V. 1135. *ΠΩΣ ΔΟΚΕΙΣ*, θαυμαστικόν. (λίαν. πῶς ἂν εἴποις.) Gu.

V. 1137. *ΠΟΘΕΝ*, ἀπό τινος μέρους. Gu. Fl. 17. 59. 76.

V. 1138. *ΚΕΝΤΟΥΣΙ*, σφάττουσι. Gu.

3) Ultima καλῶς δὲ — ἀνιῷτο sunt etiam in Fl. 10. nisi quod habet ἵνα θεωρῶν ὁ πατὴρ μᾶλλον ὀδυνῷτο. At 33. πρῶτον κεν- τοῦσι παῖδας, πρῶτον ἀποκτείνουσι τοὺς παῖδας, ἵνα θεῶν ὁ πα- τὴρ ἀνιῷτο.

V. 1138—1158. *ΑΙ ΔΕ ΠΟΛΕΜΙΩΝ.* αὗται δὲ ξυλλαβόμεναι τρόπον, ἤτοι δίκην, ἐχθρῶν, κατεῖχον τὰς ἐμὰς χεῖρας καὶ τοὺς πόδας· τοῖς παισὶ δὲ τοῖς ἐμοῖς βοη- θῆσαι θέλων ἐγὼ, εἰ μὲν τὸ πρόσωπον ἐξανίστων, ἀπὸ τῆς κόμης ἐκεῖναι ἐκράτουν, εἰ δὲ ἐκίνουν τὰς χεῖρας, ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος οὐδὲν ἐτελείουν ὁ ἄθλιος. τὸ ἔσχατον δὲ βλάβος τοῦ βλάβους πλέον ὑπῆρχεν· ἐποίη- σαν χαλεπὰ, περόνας λαβοῦσαι αἱ γυναῖκες κεντοῦσι τὰς ἀθλίας κόρας τῶν ἐμῶν ὀφθαλμῶν, καὶ αἱματηρὰς ποιοῦ- σιν, εἶτα κατὰ τοὺς οἴκους φυγάδες γενόμεναι ἐπορεύθησαν. ἐκπηδήσας δ' ἐγὼ καθάπερ θὴρ ἐδίωκον τὰς φονικὰς κύ- νας, ἐξετάζων καὶ ἐρευνῶν πάντα τὸν τοῖχον, καθὰ κυνη- γὸς, κρούων, τύπτων. τοιαῦτα ἔπαθον σοῦ χάριν σπουδά- ζων καὶ τὸν ἐχθρόν σου φονεύσας, ὦ Ἀγάμεμνον. ἵνα δὲ μὴ εἰς πολὺ ἐκτεταμένους ἐξαπλῶ τοὺς λόγους, ἐάν τις τῶν παλαιῶν ἐβλασφήμησε τὰς γυναῖκας, ἢ ἀρτίως ἐστί τις λέ- γων κακῶς, ἢ ἀπόκειται λέγειν, ταῦτα πάντ' ἐγὼ συνα- θροίσας καὶ συντόμως συλλαβὼν εἴπω· οὔτε γὰρ θάλασσα οὔτε γῆ ἀνατρέφει τοιόνδε γένος. ὁ δὲ διόλου συντυχὼν τῷ γένει τῶν γυναικῶν, ὃ λέγω, γινώσκει καλῶς.

V. 1139. *ΞΥΝΑΡΠΑΣΑΣΑΙ*, ὁμοῦ πᾶσαι ἁρπάσα- σαι. (ἁρπακτικῶς λαβοῦσαι.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1140. *ΚΑΙ ΚΩΛΑ*, ἤγουν τοὺς πόδας, τὴν κε- φαλήν. Fl. 59. *ΑΡΚΕΣΑΙ*, ἐπαρκέσαι, βοηθῆσαι. Gu.

V. 1141. *ΕΞΑΝΙΣΤΑΙΗΝ*, ἀντὶ τοῦ ἀνίστων. (ἐξα- νέστησα, ἀνήγειρα.) Gu.

V. 1143. *ΠΛΗΘΕΙ ΓΥΝΑΙΚΩΝ.* ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος δηλονότι οὐδὲν ἤνυον ὁ ἄθλιος.[4]

V. 1144. *ΤΟ ΛΟΙΣΘΙΟΝ*, τὸ ἔσχατον, τὸ χείριστον. Fl. 59. τὸ ἔσχατον δὲ καὶ ὑστέρως ἐξειργάσαντο δεινῶς πῆμα καὶ βλάβος, ἤγουν τὴν τύφλωσιν μου πλέον τοῦ πή- ματος, ἤγουν τοῦ φόνου τῶν παίδων μου. Fl. 59.

V. 1146. *ΠΟΡΠΑΣ*, περόνας. (βελόνας. πόρπας κυ- ρίως τὰς γλώσσας τῶν κομβοθηλειῶν φασί· νῦν δὲ κατα- χρηστικῶς τὰς βελόνας λέγει.) Gu. περόνας, σουβλία. Fl.

4) Hoc scholion, quod etiam est in Gu., neglexerunt King. et Musgr.

59. μαχαιρίδια ἢ κομβία. πόρπη κυρίως τὰ περονίδια τὰ τοῖς θηλυκοῖς ἐντιθέμενα τοῖς μαντείοις (sic. forsan ἱμαντίοις. *Fur.*). καταχρηστικῶς δὲ πᾶν τὸ διαπεῖρον καὶ διαπερονῶν. Fl. 33.

V. 1148. *ΕΚ ΔΕ ΠΗΔΗΣΑΣ.* ὑπερβατόν. Gu.

V. 1151. *ΤΟΙΑΔΕ ΣΠΕΥΔΩΝ.* τοιάδε πέπονθα, ὦ Ἀγάμεμνον, σπεύδων εἰς τὴν σὴν χάριν, καὶ πολέμιον σὸν κτανών. σπεύδω ἐγὼ, ἐπισπεύδω δὲ ἕτερον. *ΣΠ. ΧΑΡ. ΤΗΝ ΣΗΝ*, ἤγουν σπουδάζων χαρίσασθαί σοι. Gu.

V. 1153 sqq. *ΩΣ ΔΕ ΜΗ.* ἵνα δὲ μὴ μακρολογῶ, ἐάν τις τῶν προτέρων κακῶς εἶπε τὰς γυναῖκας, ὑβρίσας αὐτάς· τίς δὲ (sic) ἢ μέλλει ὑβρίσαι, ταῦτα πάντα μετὰ συντομῆς ἐγὼ λέξω, ὅ ἐστι, τοιοῦτον οὐ τρέφει γένος οὔτε γῆ οὔτε θάλασσα. Fl. 33.

V. 1154. *ΤΩΝ ΠΡΙΝ*, τῶν πρὶν σοφῶν ἀνθρώπων. Gu. *ΕΙΡΗΚΕΝ Κ.* ἔψεξεν ἀντὶ τοῦ ἐκακολόγησε, ὕβρισε. Fl. 59. διαλύουσι δὲ τὸ κακολογῶ, ὡς καὶ τὸ κακοπραγῶ. Fl. 59.

V. 1155. *ΛΕΓΩΝ*, κακῶς ἤγουν ὑβρίζων. Fl. 59.

V. 1156. *ΣΥΝΤΕΜΩΝ*, συντόμως συλλαβών. (ἐν ὀλίγῳ συνάξας.) Gu.

V. 1157. *ΟΥΤΕ ΠΟΝΤΟΣ.* θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὸν τρίτον. Gu.

V. 1158. *Ο Δ' ΑΕΙ ΞΥΝΤ. ΕΠ.* ὁ ξυντυχὼν δὲ ὁ πεῖραν αὐτῶν ἐπίσταται αἰεί. (ὁ ἐν μετουσίᾳ γενόμενος, ἐκεῖνος γινώσκει εἰληφώς.) Gu. ὅστις ἐστὶν ὁ ξυντυχήσας, ἐδεξάμην ὕβρεις τοῦ λόγου. Fl. 33. πῶς ἐστί. ὡς ἐξ ἁμάξης ἐδεξάμην ὕβρεις τοῦ λόγου. Fl. 59. ταύτας. *ΕΠΙΣΤΑΤΑΙ*, γινώσκει τὰ παρ' ἑαυτῶν. Gu.

V. 1159—1162. *ΜΗΔΕΝ ΘΡΑΣΥΝΟΥ.* μηδαμῶς ἐπαίρου, μηδὲ τοῖς σαυτοῦ λόγοις συναγαγὼν καὶ συμμίξας οὕτως ὅλον τὸ γένος μέμψῃ τῶν γυναικῶν· πολλαὶ γὰρ ἀφ' ἡμῶν, αἱ μὲν ὑπάρχουσιν ἐπαινεταὶ καὶ ζηλωταὶ, ἄλλαι δὲ εἰς τὸν κατάλογον τῶν κακῶν ὑπάρχομεν, ἐπίμεμπτοι καὶ ὕβρεως ἄξιαι. μετριοφροσύνη ἐνταῦθα τοῦ χοροῦ· τῷ γὰρ εἰπεῖν π ο λ λ α ὶ μ ὲ ν ἡ μ ῶ ν ε ἰ σ ὶ κ α λ α ὶ, καὶ μὴ συναριθμῆσαι ταῖς καλαῖς ἑαυτὸν, ἐπὶ δὲ τῶν κακῶν τὸ π ε φ ύ κ α μ ε ν, τὸ μέτριον ἐνταῦθα ἔδειξεν. τὸ π ο λ λ α ὶ ἱκανὸν ἦν καὶ μόνον τετελεσμένον ποιῆσαι τὸν λόγον. νῦν δὲ ἐπάγει καὶ τὸ α ἱ μ έ ν. καὶ ποιεῖ τὸν λόγον ὡς ἀπ' ἄλλης ἀρχῆς, ἵνα οἰκειότερον ἀποδοθῇ πρὸς αὐτὸ τὸ α ἱ δ έ [5]). *ΜΗΔΕΝ ΘΡΑΣΥΝΟΥ*, μηδὲν καὶ μηδαμῶς ἐπαίρου κατὰ τῶν γυναικῶν, ὦ Πολυμῆστορ, μηδὲ τοῖς σαυτοῦ κακοῖς, ἤγουν ἕνεκα τῶν σῶν κακῶν ἑνώσας πᾶν, τὸ πᾶν, γένος τὸ θῆλυ ὧδε καὶ οὕτως μέμψῃ καὶ μέμψεσαι. ἀφ' ἡμῶν γὰρ πολλαὶ εἰσὶν ἐπαινεταὶ, ἄλλαι δὲ οὐκ ἐπαινεταί. ὁ δὲ Πολυμήστωρ θυμούμενος κοινῷ λόγῳ πάντας (sic) γυναῖκας οὐκ ἀγαθὰς καλεῖ. καὶ ὅρα τῆς Ἑκάβης τὴν φρόνησιν· οὐκ εἰςῆξεν ἑαυτὴν τῷ ἀριθμῷ τῶν ἐπιφθόνων καὶ ζηλωτῶν γυναικῶν, εἰς δὲ τὸν ἀριθμὸν τῶν κακῶν εἰςῆξεν αὐτήν. Fl. 59.

V. 1159. *ΘΡΑΣΥΝΟΥ*, ἀναισχύντως λέγε, ἐξάγου τῶν καθεστηκότων. Gu.

V. 1160. *ΣΥΝΘΕΙΣ*, ἀντὶ τοῦ παραθεὶς, συγκρίνων. (συμπλέξας, συναγαγὼν, συνάξας.) Gu. συναρμόσας. Fl. 33.

V. 1161. *ΕΠΙΦΘΟΝΟΙ.* ἐπαινεταὶ, ζηλωταί. (τίμιαι, καλαί· τὸ γὰρ καλὸν ἐπίφθονον.) Gu. ἐπαινεταὶ, ζηλωταί· τὸ γὰρ ἐπαινετὸν καὶ ἐπίφθονον. Fl. 59.

V. 1162. *ΕΙΣ ΑΡΙΘΜΟΝ*, εἰς τὸν κατάλογον (τάξιν.) Gu. *ΠΕΦΥΚΑΜΕΝ*, ὑπάρχομεν, ἐσμέν. Fl. 59. λέγουσιν ἐνταῦθα, ὅτι ὁ Εὐριπίδης ὑβρίζει τὰς γυναῖκας, τῷ φαινομένῳ μὲν διὰ τοῦ Πολυμήστορος· καὶ ἐκείνου γὰρ ἡ γυνὴ ἐμοιχεύθη· καὶ εὑρὼν ἀρτίως ἀφορμὴν λέγει. Fl. 59.

V. 1163—1171. *ΑΓΑΜΕΜΝΟΝ.* Ἀγάμεμνον, οὐκ ἔπρεπε ποτὲ τὴν γλῶσσαν, ἤγουν τοὺς λόγους τῶν ἀνθρώπων, ἰσχύειν καὶ δύνασθαι πλέον τῶν πράξεων. ἀλλ' εἴτε ἀγαθὰ ἔπραξεν ὁ ἄνθρωπος, ἀγαθὰ ἔπρεπε λέγειν, εἴτε πάλιν ἔδρασε φαῦλα, ἔδει τοὺς λόγους ὑπάρχειν ἀσθενεῖς, καὶ μὴ δύνασθαι τὰ ἄδικα εὐλογοποιεῖν ποτέ. σοφοὶ μὲν οὖν ὑπάρχουσιν οἱ τάδε ἀκριβῶς μεμαθηκότες ῥήτορες, οἱ δυνάμενοι τὸ δίκαιον σοφίσασθαι ἐν ῥητορικῇ, ἀλλ' οὐ δύνανται μέχρι τέλους ὑπάρχειν σοφοὶ, ὡς τῆς ἀληθείας ἐν ὑστέρῳ φαινομένης. (ὡς καὶ Ἡσίοδος φησὶ, δ ί κ η δ' ὑ π ὲ ρ ὕ β ρ ι ο ς ἴ σ χ ε ι, ε ἰ ς τ έ λ ο ς ἐ ξ ε λ θ ο ῦ σ α.) κακῶς δὲ διεφθάρησαν, καὶ οὔπω οὐδεὶς ἐς τόδε ἐξέφυγε.

5) In Gu. priora: μετριοφροσύνη — ἔδειξεν manu secunda, sequentia manu prima scripta sunt. Ex iis recepi ποιεῖ τὸν λόγον pro ποιεῖται τὸν λ.

V. 1163 sqq. *ΑΓΑΜ.* ὦ Ἀγάμεμνον, οὐκ ἔπρεπέ
ποτε τοῖς ἀνθρώποις ἰσχύειν καὶ δύνασθαι τὴν γλῶσσαν αὐ-
τῶν περισσότερον τῶν πραγμάτων, ἤγουν οὐκ ἔπρεπε τοὺς
ἀνθρώπους λέγειν ἄλλα, καὶ ποιεῖν ἄλλα. καὶ ὁ Πολυμή-
στωρ τῷ φαινομένῳ μὲν, κατεπείγοντος αὐτὸν τοῦ κακοῦ,
λέγει, ὅτι διὰ τὴν τοῦ Ἀγαμέμνονος χάριν ἐφόνευσε τὸν
Πολύδωρον· τὸ δὲ ἀληθὲς διὰ τὸν χρυσόν. Fl. 59.

V. 1166. *ΣΑΘΡΟΥΣ*, ἀσθενεῖς. (ἀδυνάτους.) Gu.

V. 1167. *ΕΥ ΛΕΓΕΙΝ*, καλῶς ῥητορεύειν. (σεμνολο-
γεῖν καὶ εὔλογα δεικνύναι.) Gu. καὶ μὴ δύνασθαί ποτε τὰ
ἄδικα λέγειν εὖ λέγειν καὶ ὡς καλὰ εἰςαγαγεῖν. Fl. 59.

V. 1168. *ΣΟΦΟΙ*, ῥήτορες πανοῦργοι. Gu. πονηροὶ
ῥήτορες. Fl. 59. *ΟΙ ΤΑΔ' ΗΚΡΙΒΩΚΟΤΕΣ*, ἀκριβῶς
μεμαθηκότες. (τεχνασάμενοι, εὑρόντες.) Gu. ἀκριβῶς ποι-
οῦντες, ἤγουν τὸ ψεύδεσθαι. Fl. 21. μετ' ἀκριβείας ἐπι-
στάμενοι πάντα, ἤγουν οἱ λέγοντες ἄλλα καὶ πράττοντες
ἕτερα. Fl. 59. *ΤΑΔΕ*, τὰ ἄδικα δίκαια λέγειν, τὸ ποιεῖν
τὰ κακὰ καλά. Gu.

V. 1169. *ΑΛΛ' ΟΥ ΔΥΝΑΝΤΑΙ.* ἐπεὶ οὐ δύναν-
ται τελέως οἱ ῥήτορες ποιῆσαι τὸ δίκαιον ὁμολογουμένως
ἄδικον. Gu. *ΔΙΑ ΤΕΛΟΥΣ*, κατὰ τὴν ψυχήν. Fl. 10.
ΕΙΝΑΙ ΣΟΦΟΙ, ὑπάρχειν πονηροί. Fl. 59. νικᾷ δηλονότι
ἡ ἀλήθεια. Fl. 21.

V. 1170. *ΚΑΚΩΣ Δ' ΑΠΩΛ.* φωραθέντων ὧν ποι-
οῦσιν. Gu. *ΟΥΤΙΣ ΕΞΗΛ. ΠΩ.* καὶ οὔπω οὐδεὶς ἐξέφυ-
γεν. (τὸ μὴ δοῦναι δίκην. τὴν κατάγνωσιν.) Gu. καὶ οὔπω
οὐδεὶς ἐξέφυγε τοῦτο δηλονότι τὸ μὴ νικηθῆναι παρὰ τῆς
ἀληθείας. Fl. 21.

V. 1171—1184. *ΚΑΙ ΜΟΙ ΤΟ ΜΕΝ ΣΟΝ.* καὶ
τὸ μὲν πρὸς σὲ, ἤτοι ὁ πρὸς σὲ λόγος, οὕτω μοι διάκειται
ἐν προοιμίοις· πρὸς τοῦτον δὲ ἐλεύσομαι, καὶ διὰ λόγων
ἀποκρινοῦμαι. πῶς λέγεις τοὺς Ἕλληνας διπλοῦ πόνου ἀπαλ-
λάσσων καὶ ἐλευθερῶν χάριν τοῦ Ἀγαμέμνονος τὸν ἐμὸν
υἱὸν πεφονευκέναι; ἀλλ', ὦ κακότροπε, ἐν πρωτολογίᾳ μὲν
οὐδέποτε τὸ βάρβαρον γένος γένοιτ' ἂν προσφιλὲς τοῖς Ἕλ-
λησιν, οὐδὲ δυνηθείη ἂν γενέσθαι. τίνα δὲ χάριν σπουδά-
ζων γενέσθαι σοι, πρόθυμος ὑπῆρχες πρὸς τὸ βοηθῆσαι
τούτοις; ἆρα ἐπιγαμβρεύσων καὶ μέλλων συνάπτεσθαι αὐ-
τοῖς εἰς γάμον τινά; ἢ ὑπάρχων τινὸς συγγενὴς, ἢ τίνα

ἀφορμὴν ἔχων; ἢ ἔμελλον, πάλιν πλεύσαντες, ἀφανίσαι τὰ
γεννήματα τῆς σῆς γῆς; τίνα νομίζεις πείσειν τάδε; εἰ θέ-
λεις εἰπεῖν τὴν ἀλήθειαν, ὁ χρυσὸς ἐφόνευσε τὸν ἐμὸν υἱὸν,
καὶ ἡ αἰσχροκέρδεια ἡ σὴ, ἡ τοῦ σοῦ κέρδους ἐπιθυμία.

V. 1171. *ΚΑΙ ΜΟΙ ΤΟ ΜΕΝ ΣΟΝ.* καὶ ταῦτα
μὲν εἶπον ἐν ὀλίγοις λόγοις πρός σε τὸν Ἀγαμέμνονα. πάσ-
σαλος πασσάλῳ λύεται, ἠρεμουμένα ἐπὶ πασσάλῳ τὰ τόξα
σου. Fl. 53. *ΤΟ ΣΟΝ*, ὁ πρὸς σὲ λόγος. Gu. *ΩΔ'*, οὕ-
τως. (ὡς ἔφην.) Gu. φροιμίοις ἔχει, ἐν προοιμίοις διάκει-
ται. (ἤγουν ἐν τῇ ἀρχῇ τῶν λόγων, οὓς μέλλω εἰπεῖν.) Gu.

V. 1172. *ΑΜΕΙΨΟΜΑΙ*, ἀποκρινοῦμαι. (διαδέξομαι,
ἤγουν ἀποκριθήσομαι.) Gu. ἀποκρινοῦμαι κατὰ διαδοχὴν
αὐτὸν ἐν λόγοις. Fl. 59.

V. 1173. *ΑΧ. ΠΟΝΟΝ ΑΠ. Δ.* ἀντιστροφὴ ἀντὶ
τοῦ τοὺς Ἀχαιοὺς πόνου διπλοῦ. Gu. *ΔΙΠΛΟΥΝ* ἀντὶ τοῦ
δευτέρου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1175 sq. *ΑΛΛ', Ω ΚΑΚΙΣΤΕ.* ἀλλ' ὦ κάκιστε,
πονηρότατε, πρῶτον μὲν καὶ κατὰ τὴν ἀρχὴν οὔποτε καὶ
οὐδαμῶς γένοιτο ἂν τὸ βάρβαρον γένος φίλον καὶ προσφι-
λέστατον τοῖς Ἕλλησιν, ἤγουν ὁ Ἀγαμέμνων Ἕλλην, σὺ
βάρβαρος πῶς μέλλετε φιλιωθῆναι; σεμνύνεται δὲ τὸ γένος
τῶν Ἑλλήνων, ὡς προτιμότερον πάντων τῶν βαρβάρων. Fl.
59. *ΠΡΩΤΟΝ*, ἐν πρωτολογίᾳ, ἤγουν κατὰ πρώτην εἰςβο-
λὴν τοῦ λόγου μου τοῦτό σοι λέγω. Gu.

V. 1176. *ΤΟ ΒΑΡΒΑΡΟΝ.* πρῶτον γὰρ ἠδίκησαν
οἱ Φοίνικες τοὺς Ἕλληνας ἁρπάσαντες Ἰνὼ τὴν Ἰνάχου θυ-
γατέρα τοῦ ποταμοῦ, ὡς φησὶν Ἡρόδοτος· Ἕλληνες δὲ τι-
μωρούμενοι τοὺς βαρβάρους τὴν Μήδειαν καὶ τὴν Ἡσιόνην,
καὶ πάλιν βάρβαροι Ἑλλήνων τὴν Ἑλένην. Fl. 10.

V. 1177. *ΤΙΝΑ*, λειπὸν (sic pro λοιπόν vel εἰπόν)
τοίνυν. Fl. 21. καὶ διευποιίαν (l. διὰ ποίαν) χάριν σπου-
δάζων ἦσθα καὶ ὑπῆρχες πρόθυμος φονεῦσαι τὸν υἱόν μου.
Fl. 59. λείπει τὸ χαρίσασθαι αὐτούς. Fl. 10.

V. 1178. *ΠΡΟΘΥΜΟΣ ΗΣΘΑ*, πρὸς τὸ βοηθῆσαι
τούτοις. (τὸν Πολύδωρον κτανεῖν.) Gu. πρὸς τὸ βοηθῆσαι
τού[illegible] [illegible] ἀποκτεῖναι τὸν ἐμὸν υἱόν. Fl. 21. *ΚΗΔΕΥ-
ΣΩΝ*, ἐπιγαμβρεύσων, συγγενῆ ποιήσων. Gu.

V. 1180. *ΒΛΑΣΤΗΜΑΤΑ*, τὰ χωράφια. Gu.

V. 1181. *ΑΥΘΙΣ*, ἐκ δευτέρου. Fl. 59. *ΤΙΝΑ ΔΟΚΕΙΣ*, καὶ ποῖον ἄνθρωπον νομίζεις καὶ καταπείσειν διὰ κατὰ (sic), καὶ διὰ ταῦτα, ἅπερ λέγεις. Fl. 59. *ΤΑΔΕ*, εἰς. Gu.

V. 1182. *Ο ΧΡΥΣΟΣ*. ἤγουν ὀρεγόμενος σὺ ἐπαυρᾶν τὸν χρυσὸν ἐφόνευσας τὸν ἐμὸν παῖδα. Fl. 59. *ΕΙ ΒΟΥΛΟΙΟ*. οἱ Ἀττικοὶ βούλοιο γράφουσι παθητικῶς, οὐ μὴν δὲ βούλοιο ἐνεργητικῶς. καὶ ἐν τοῖς πεζογράφοις ἡ λέξις χρησιμωτάτη. Fl. 59.

V. 1183. *ΚΕΡΔΗ ΤΑ ΣΑ*, καὶ ἡ σὴ τοῦ κέρδους ἐπιθυμία. (αἱ σαὶ πλεονεξίαι.) Gu.

V. 1184—1197. *ΕΠΕΙ*. στοχαστικὸν τοῦτο. εἰ δὲ μὴ, δίδαξον τοῦτο, πῶς, ὅτε τὸ Ἴλιον ευδαιμόνει, καὶ περιεῖχε τὸ τεῖχος τὴν πόλιν, ἐβίου τε ὁ Πρίαμος, καὶ τὸ τοῦ Ἕκτορος ἤκμαζε δόρυ, διὰ τί, ειπερ ἤθελες χάριν ποιῆσαι τῷ Ἀγαμέμνονι, ἔχων καὶ ἀνατρέφων ἐν τοῖς σοῖς οἴκοις τὸν παῖδα, οὐκ ἔκτεινας τότε, ἢ ζῶντα αὐτὸν οὐκ ἔφερες τοῖς Ἕλλησιν, ἀλλ' ὅτε οὐκέτι ὑπήρχομεν ἐν εὐτυχίᾳ ἐν τῷ ζῆν, ἡ δὲ Τροία ἐσημαίνετο ὑπὸ τοῦ καπνοῦ, καὶ ἦν φανερὰ καιομένη ὑπὸ τῶν πολεμίων, ἐφόνευσας τὸν παῖδα τὸν φίλον, ἐπὶ τὴν οἰκίαν ἐλθόντα τὴν σήν. πρὸς δὲ τούτοις ἄκουσον, ἵνα φαῦλος φανῇς. ἔπρεπεν, εἴπερ ὑπῆρχες φίλος τοῖς Ἕλλησι, τὸν χρυσὸν, ὃν λέγεις ἔχειν ἐν τοῖς δόμοις οὐ σὸν, ἀλλὰ τούτου, φέροντα δοῦναι τοῖς πενομένοις Ἀχαιοῖς, καὶ χρόνον πολὺν ἀπὸ τῆς πατρικῆς γῆς ἀποξενιτευθεῖσιν.

V. 1184. *ΕΠΕΙ*, εἰ δὲ μή. (εἰ οὐ τοῦτό ἐστιν.) Gu.

V. 1185. *ΠΕΡΙΞ*, κύκλῳ. Gu. περιεῖχε δὲ ἔτι ὁ πύργος ἀντὶ τοῦ τὸ τεῖχος. (περιετείχιζε, ἐφύλασσε.) Gu.

V. 1186. *ΗΝΘΕΙ*, ἤκμαζεν. (ἐνίκα. τοῦτ' ἔστιν ὃ παρὰ μὲν τοῖς γραμματικοῖς μεταφορὰ, παρὰ δὲ τοῖς ῥήτορσι τροπή.) Gu.

V. 1187—1189. *ΤΙ Δ' ΟΥ ΤΟΤ'*. τί δὲ καὶ διὰ τί οὐκ ἔκτεινας καὶ ἐφόνευσας τότε τρέφων τὸν παῖδα, καὶ ἔχων καὶ κρατῶν ἐν τοῖς δόμοις, εἴπερ καὶ ἐάνπερ ἐβουλήθης καὶ ἔθελες θέσθαι καὶ ποιῆσαι χάριν τῷδε καὶ τοί-

τῳ τῷ Ἀγαμέμνονι, ἢ διὰ τί οὐκ ἦλθες ἄγων καὶ φέρων τὸν Πολύδωρον ζῶντα ἐν τοῖς Ἀργείοις. Fl. 59.

V. 1190. *ΗΝΙΧ' ΗΜ. — ΦΑΕΙ*, οὐκέτι ἐζῶμεν. (ὑπήρχομεν.) Gu. *ΕΝ ΦΑΕΙ*, ἐν εὐτυχίᾳ, ἐν φωτί. Gu. ζωῇ. Fl. 33.

V. 1191. *ΕΣΗΜΗΝΕ*, ἀντὶ τοῦ ἐσημαίνετο. (ἐδείχθη. ἐσημάνθη· φανερὰ γὰρ ἡ Τροία καὶ ἐπίσημος ἐγίνετο καιομένη. et in marg. ἢ ὥςπερ φαμὲν τὸ μετέβαλε καὶ ἀπήλλαξεν, οὕτω καὶ τὸ ἐσήμηνεν ἀντὶ τοῦ ἐσημάνθη. λαμβάνοντες γὰρ ἔξωθεν τὸ ἑαυτὸ τοῦτο συνάγομεν. ἢ οὕτω· εἰποῦσα γὰρ ἡ Ἑκάβη τὸ ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει ἐπήγαγεν ἐφεξῆς τὸ καπνῷ δ' ἐσήμην' ἄστυ πολεμίων ὕπο, τουτέστι τὸ ἡμᾶς μηκέτι εἶναι ἐν φάει ἐσήμηνε καὶ ἔδειξε τὸ ἄστυ ἐν τῷ καπνῷ ὑπὸ τῶν πολεμίων· ὧν γὰρ ἡ πόλις πυρὶ παραδέδοται, τούτων καὶ ἡ εὐτυχία δήλη ἐντεῦθεν ἐστὶν εἰς οὐδὲν χωρήσασα.) Gu.

V. 1192. *ΚΑΤΕΚΤΑΣ*, ἔκτεινας. (ἐφόνευσας.) Gu. *ΜΟΛΟΝΤ'*, ἀναστρεφόμενον. Gu. ἄγοντα. Fl. 33.

V. 1193. *ΩΣ ΦΑΝΗι ΚΑΚΟΣ*, ἵνα καὶ ἀποδειχθῇς ἄπιστος. Fl. 59.

V. 1194. *ΕΙΠΕΡ — ΦΙΛΟΣ*, ἤγουν εἴπερ ἐφίλεις τοὺς Ἀχαιούς. Gu. τὸ φίλος λέγεται καὶ ἐπὶ τοῦ φιλοῦντος, ὡς ἐνταῦθα, καὶ ἐπὶ τοῦ φιλουμένου. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1195. *ΟΝ ΦΗιΣ ΟΥ ΣΟΝ*. οὐκ εἶπεν ὁ Πολυμήστωρ περὶ τοῦ χρυσοῦ· ἐπελάθετο οὖν ὁ ποιητὴς ἑαυτοῦ, καὶ ἔστιν ἀκατασκεύαστα ταῦτα. [6]) *ΟΝ ΦΗιΣ ΟΥ ΣΟΝ*. ἰστέον, ὅτι ἐνταῦθα ἡ Ἑκάβη διαβάλλει τὸν Πολυμήστορα· οὐ γὰρ ἐμνημόνευσεν οὗτος τούτου, ὅτε περὶ τοῦ πῶς ἀπέκτεινε Πολύδωρον ἀπελογεῖτο. εὕρῃς δὲ καὶ ἕτερα τοιαῦτα παρά τε Σοφοκλεῖ καὶ τοῖς ἄλλοις. μὴ λάβῃς δὲ εἰς τὸ τοῦδε χάριν ἔξωθεν, ἀλλ' ὥςπερ φαμὲν τὸ τοὺς εὐεργέτας ἀμείβεσθαι ἀρίστου ἀνδρὸς ἔχομεν, οὕτω κἀνταῦθα νοεῖν δεῖ. εἰ δὲ μὴ τὸ τοῦδε διὰ τὸν Ἀγαμέμνονα νοήσεις, ὡς ἅπαντες λέγουσιν, ἀλλὰ διὰ τὸν Πολύδωρον, οὐκ ἂν δόξῃ ἡ Ἑκάβη διαβάλλουσα· ἐρομένης γὰρ τοῦτον πρόσθεν αὐ-

6) Junt. Bas. ἀκατάσκευα τὰ ταῦτα. Correxit Barnes.

τῆς, χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων, ἀπεκρίνατο οὗτος σῶς, καὶ πάλιν, ὀναίμην τοῦ παρόντος, ὦ γύναι. πρὸς οὖν τούτους τοὺς λόγους φησὶ νῦν αὐτὸ τοῦτο. Gu.

V. 1196. *ΠΕΝΟΜΕΝΟΙΣ*, ἐν πενίᾳ οὖσιν. Gu. *ΑΠΕΞΕΝΩΜΕΝΟΙΣ*, ἠλλοτριωμένοις. Gu. καὶ ἐν ξένοις τόποις διάγουσι. Fl. 59.

V. 1198—1205. *ΣΥ Δ' ΟΥΔΕ ΝΥΝ*. σὺ δ' οὐδὲ ἀρτίως πρόθυμος εἶ ἐκβαλεῖν τὸν χρυσὸν ἀπὸ τῆς σῆς χειρὸς, ἀλλ' ἔτι κρατεῖς ἐν δόμοις. ἀλλ' ὄντως ἀνατρέφων τὸν ἐμὸν παῖδα, ὡς ἔδει σε ἀνατρέφειν, εἶχες ἂν δόξαν καλήν· ἐν γὰρ ταῖς δυστυχίαις οἱ ἀγαθοὶ φίλοι σαφέστατοι ὑπάρχουσι, τὰ καλὰ δὲ πράγματα ἐξ ἑαυτῶν ἔχει τοὺς φίλους. εἰ δὲ ἔνδειαν εἶχες χρημάτων, ὁ δὲ Πολύδωρος ἔζη, πλοῦτος ἄν σοι μέγας ὑπῆρχεν ὁ ἐμὸς παῖς.

V. 1198. *ΟΥΔΕ ΝΥΝ ΠΩ*, οὐδέπω καὶ νῦν. (ἀκμήν.) Gu. Fl. 59. καὶ ἀρτίως. Fl. 59. *ΑΠΑΛΛΑΞΑΙ*, ἐκβαλεῖν. (ἀπαγαγεῖν, ἐξελέσθαι τῆς χειρός.) Gu. ἐκβαλεῖν, ἐλευθερῶσαι τοῦτον τὸν χρυσόν. Fl. 33. 59.

V. 1199. *ΤΟΛΜΑιΣ*, ὑπομένεις, ἀνέχῃ. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. θέλεις. Gu. a m. sec. ὑπέμεινας. Fl. 33. *ΕΧΩΝ*, περιφέρων. Gu. Fl. 33. *ΚΑΡΤΕΡΕΙΣ*, ἰσχυρίζῃ. (φυλάσσεις. ἀπὸ τοῦ κράτος, τοῦτο δὲ ἀπὸ τοῦ κρατῶ τὸ ἐξουσιάζω.) Gu. καρτερεῖς δὲ ἰσχυρίζῃ ἔχων αὐτὸν ἀκμὴν ἐν τοῖς δόμοις. Fl. 59.

V. 1200—1203. *ΚΑΙ ΜΗΝ*. καὶ μὴν τρέφων μὲν τὸν Πολύδωρον, ὡς καὶ καθὰ ἐχρῆν καὶ ἔπρεπε τρέφειν σε τὸν ἐμὸν παῖδα, σώσας τε, εἶχες ἂν καλὸν κλέος, ἤγουν ὑπῆρχες ἂν καλὸς φίλος· ἐν τοῖς κακοῖς γὰρ οἱ ἀγαθοὶ φίλοι εἰσὶ σαφέστατοι, ἤγουν ὅτε περικυκλώσωσί τινα τὰ κακὰ, τότε δεῖται τῆς παρὰ τῶν φίλων βοηθείας, ὅτε δὲ εὐτυχῇ, πάντες φίλοι εἰσὶ τοῦ εὐτυχοῦντος. Fl. 59.

V. 1200. *ΠΑΙΔ'*. τὸ παῖδα πρὸς τὸ ἐμὸν σύναπτε. Gu.

V. 1201. *ΣΩΣΑΣ*, φυλάξας. σώζω τὸ φυλάσσω καὶ τὸ ῥύομαι. Gu. 7) *ΚΑΛΟΝ*, μέγα. Fl. 33.

7) Haec habet etiam King. haud dubie e Barocc.

V. 1202. *ΕΝ ΤΟΙΣ ΚΑΚΟΙΣ*, ἐν ταῖς δυστυχίαις. Gu.

V. 1203. *ΤΑ ΧΡΗΣΤΑ*, αἱ εὐτυχίαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΥΘ' ΕΚΑΣΤΑ*, καθ' αὑτὰ καὶ οἴκοθεν καὶ αὐθορμητικῶς. τὰ γὰρ καλὰ πράγματα αὐτὰ ἐξ αὑτῶν ἔχει τοὺς φίλους. Gu.

V. 1204. *ΕΥΤΥΧΕΙ*, καλῶς εἶχεν ἤγουν ἔζη. Fl. 59. ἔζη, εὐπορίαν εἶχε χρημάτων. Gu.

V. 1206—1213. *ΝΥΝ Δ' ΟΥΤ' ΕΚΕΙΝΟΝ*. ἄρσις καὶ θέσις. νῦν δὲ οὔτε τὸν Πολύδωρον ἔχεις σὸν φίλον, καὶ ἡ ὠφέλεια τοῦ χρυσοῦ ἔφθαρται, οἵ τε σοὶ παῖδες διεφθάρησαν, καὶ σὺ πράττεις ὧδε δυστυχῶς. σοὶ δ' ἐγὼ ἡ Ἑκάβη λέγω, ὦ Ἀγάμεμνον, εἰ τῷδε βοηθήσεις, φανῇ ἄδικος· οὔτε εὐσεβῆ γὰρ ξένον καὶ φίλον, οὔτε πιστὸν, οὐχ ὅσιον καὶ δίκαιον δράσεις εὖ, ἤγουν εὐεργετήσεις οἷστισιν ἔπρεπεν ἡ σὴ εὐποιΐα δηλονότι. 8) αὐτὸν δέ σε φήσομεν χαιρέκακον εἶναι. τοὺς δεσπότας δὲ οὐ λοιδορῶ. ἐπιδιόρθωσις τοῦτο.

V. 1207. *ΟΝΗΣΙΣ*, ὠφέλεια. (σοῦ τυφλωθέντος καὶ μὴ δυναμένου χρῆσθαι τῷ πλούτῳ.) Gu. ἐστερήθης δὲ καὶ τῆς ὠφελείας· ἐπεὶ τί ὠφέλειαν ἔμελλεν εὑρεῖν ἀπὸ τοῦ χρυσοῦ τυφλὸς ὤν; Fl. 59.

V. 1208. *ΠΡΑΣΣΕΙΣ ΩΔΕ*, οὕτως ἔχεις, κακῶς δηλονότι, ἤγουν δυστυχεῖς. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1209. *ΕΙ ΤΩιΔ' ΑΡΚΕΣΕΙΣ*, βοηθήσεις, κακὸς (legeb. κακῶς) φανῇ παρ' ἐμοῦ. *ΕΙ ΤΩιΔ' ΑΡΚ*. τούτῳ τῷ Πολυμήστορι, ἐπαρκέσεις, βοηθήσεις. Fl. 6. 9. 10. 17. 21. 56. 59. 76. Gu.

V. 1210. *ΟΥΤΕ ΓΑΡ*. τὸ ἑξῆς· οὔτε γὰρ εὐσεβῆ, οὔτε ὅσιον, οὔτε δίκαιον εἰς ξένον εὖ δρᾷς. (τὸ δὲ οἷς ἐχρῆν διὰ μέσου.) αὐτὸν δὲ εὐφραίνεσθαι τοῖς κακοῖς σε λέξομεν, τοιοῦτον κακὸν ὑπάρχοντα. ἐὰν δὲ καὶ εἴπω τι δάκνον ὑμᾶς, ἀλλ' οὖν οὐ λοιδορῶ. 9) *ΟΥΤ' ΕΥΣΕΒΗ*

8) οὔτε εὐσεβῆ γὰρ — δηλονότι. Pro his King. εὖ γὰρ δράσεις εἰς ἄνδρα ξένον, οὔτε εὐσεβῆ, οὔτε πιστὸν, οὔτε ὅσιον, οὔτε δίκαιον φανέντα ἡμῖν, οἷς ἐχρῆν πιστὸν φανῆναι.

9) Hoc scholion, sicut proxime superius, omisit King.

ΓΑΡ. οὔτε γὰρ εἰς εὐσεβῆ ἄνδρα, οὔτε εἰς πιστὸν, ἐν οἷς πράγμασιν ἐχρῆν, οὔτε εἰς ὅσιον, οὐδ᾽ εἰς δίκαιον ξένον δράσεις καλῶς. Gu. *ΕΥΣΕΒΗ,* πρὸς τοὺς θεούς. Gu. *ΠΙΣΤΟΝ,* ἀσφαλῆ, ἤγουν οἷς προσῆκεν ἂν ἡ σὴ εὐποιΐα. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐκείνοις, ἤγουν τοῖς φίλοις. Gu. a m. sec. οἷς ἐχρῆν, πρέπει πράττειν τοῖς εὐσεβέσιν ἀνδράσιν. Gu. a m. sec. σε δρᾶσαι καλῶς. Fl. 33.

V. 1212. *ΑΥΤΟΝ ΔΕ Χ.* αὐτὸν δέ σε φήσομεν προσκεῖσθαι τοῖς κακοῖς. Gu. Fl. 6. 9. 21. 56. 59. 76. qui addunt: ἤγουν εἴπομεν εἶναι χαιρέκακον.

V. 1213. *ΤΟΙΟΥΤΟΝ,* ἤγουν βασιλέα. Gu. ἤγουν βοηθοῦντα τοὺς κακούς. Fl. 59. ἐπαρκοῦντα τούτῳ δηλονότι. Fl. 21. 56.

V. 1214 sq. *ΦΕΥ ΦΕΥ.* θαυμαστικόν. τὰ ἀγαθὰ πράγματα λίαν ἐμπαρέχουσιν ἀεὶ τοῖς ἀνθρώποις ἀφορμὰς καὶ ὑποθέσεις χρηστῶν λόγων. *ΦΕΥ ΦΕΥ.* θαυμαστικὸν τὸ φεῦ, οὐ θρηνητικόν· ἀκούσας γὰρ ὁ Χορὸς τὴν Ἑκάβην ὡς ὑπεραπολογησαμένην τῷ Πολυμήστορι δικαίως καὶ εἰς ἀληθὲς, ἐκεῖνον δὲ ὡς κατάδικον χρωματιζόμενον, καὶ τάχα διὰ τὴν τοῦ Ἀγαμέμνονος χάριν φονεῦσαι τὸν Πολύδωρον, λέγει, ὡς καὶ ὅτι τὰ χρηστὰ πράγματα ἤγουν τὰ ἀγαθὰ ἔργα ἐνδίδωσι καὶ παρέχουσιν ἀεὶ καὶ πάντοτε τοῖς βροτοῖς ἀφορμὰς χρηστῶν καὶ ἀγαθῶν λόγων. ἡ γὰρ Ἑκάβη δικαίως τὸν Πολυμήστορα φονεύσασα, ἀπολογεῖται καὶ δικαίως καὶ ὀρθῶς, καὶ φαίνεται τὸ δίκαιον ταύτης· ὁ δὲ Πολυμήστωρ ἀδίκως τὸν υἱὸν φονεύσας αὐτῆς ἀπολογεῖται καὶ ἀδίκως καὶ προσχηματισμένως, καὶ φαίνεται κατάδικος. Fl. 59. σημείωσαι, ὅτι ἐνταῦθα ἐκπληκτικόν ἐστι τὸ φεῦ καὶ οὐκ ἐξ ἀνάγκης θρηνῶδες. κεῖται δὲ φανερῶς ἐπὶ θαύματος. Gu. *ΩΣ ΤΑ ΧΡ.* ὁ ἀγαθὸν πράξας ἢ δι᾽ ἔργου, ἢ διὰ λόγου ἐνδίδωσιν ἀεὶ τοῖς ἀνθρώποις ἀφορμὰς τῶν πρὸς αὐτὸν ἐπαίνων. Gu.

V. 1216—1227. *ΑΧΘΕΙΝΑ ΜΕΝ ΜΟΙ.* ἀχθεινὸν καὶ βαρύ μοι ἐστὶ τὸ κρίνειν καὶ δικάζειν τὰ ξένα κακὰ, ἀλλ᾽ ὅμως ἀνάγκη ἐστὶ κρίνειν· καὶ γὰρ ἀτιμίαν ἐπάγει λαβόντα ἐμὲ εἰς χεῖρας ταύτην τὴν ὑπόθεσιν ἀποδιῶξαι. ὅπως δὲ γνῷς, ἐμοὶ φαίνῃ οὔτε δι᾽ ἐμὴν χάριν, οὔτε χάριν τῶν Ἑλλήνων φονεῦσαι τὸν Πολύδωρον, ἀλλὰ δοκεῖς, ὅτι ἔκτεινας, ἵνα τὸν χρυσὸν κατέχῃς [10]) ἐν τοῖς σοῖς δόμοις. λέγεις δὲ ἑαυτῷ συμφέροντα, ἐν δυστυχίαις ὑπάρχων. ἴσως δὲ παρ᾽ ὑμῖν τοῖς βαρβάροις εὔκολόν ἐστι τὸ κτείνειν ξένους· ἡμῖν δὲ τοῖς Ἕλλησι τὸ ξενοκτονεῖν αἰσχρόν. πῶς οὖν ἐγὼ κρίνας σὲ μὴ ἀδικεῖν, ἐκφύγω τὴν μέμψιν; οὐκ ἂν δυναίμην τοῦτο ποιῆσαι. ἀλλ᾽ ἐπειδὴ τὰ μὴ καλὰ ποιεῖν ἐτόλμησας, ὑπόμενε καὶ τὰ μὴ φιλούμενα ὑπὸ σοῦ.

V. 1216—1218. *ΑΧΘΕΙΝΑ ΜΕΝ.* ἐπιβαρὲς πρᾶγμα ὑπάρχει ἐμοὶ τὸ κρίνειν τὰ ἀλλότρια κακά· ὅμως δὲ ἀνάγκη ὑπάρχει ποιῆσαι τοῦτο· καὶ γὰρ λαβόντα ἐμὲ εἰς τὰς χεῖρας πρᾶγμα, ἤγουν τὴν κρίσιν αὐτὴν τῶν ἀμφοτέρων, τὸ ἀπώσασθαι καὶ ἀποδιῶξαι τόδε καὶ τοῦτο, ἤγουν τὸ μὴ κρίνειν αὐτοὺς, ἐπεὶ ἀνεδεξάμην τοῦτο, αἰσχύνην καὶ ὄνειδος φέρει. Fl. 59.

V. 1216. *ΑΧΘΕΙΝΑ,* ἀχθεινὸν, βαρὺ ὑπάρχει. (φορτικὰ, φορτικόν.) Gu. ἄχθος ποιοῦντα. Fl. 10. τὰ ἀχθεινὰ ἀντὶ τοῦ ἀχθεινὸν, τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ, ὡς καὶ παρ᾽ Ὁμήρῳ τὸ φίλα ἀντὶ τοῦ φίλον, ὡς τὸ αἰεί τοι τὰ κάκ᾽ ἐστὶ φίλον φρεσὶ μαντεύεσθαι (Il. ά, 107. ubi leg. φίλα.) Fl. 59. *ΚΑΚΑ,* ἁμαρτήματα. Gu.

V. 1217. *ΑΙΣΧΥΝΗΝ,* ἀτιμίαν. Gu. ἐντροπήν. Fl. 59. *ΦΕΡΕΙ,* ἐπάγει τὸ πρᾶγμα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1218. *ΠΡΑΓΜ᾽,* ὑπόθεσιν τήνδε. Gu. *ΑΠΩΣΑΣΘΑΙ,* ἀποῤῥίψαι, ἀποπέμψαι. Gu.

V. 1219. *ΕΜΟΙ,* ἀπ᾽ ἐμοῦ. Fl. 59. *ΕΙΔΗιΣ,* γνῷς τὴν ἐξ ἐμοῦ ἀπόφασιν. Gu. γνωρίσῃς. Fl. 33. 59.

V. 1220. *ΟΥΤ᾽ ΟΥΝ.* τὸ οὖν παρέλκον. Fl. 59. ἀργόν. Gu.

V. 1222. *ΠΡΟΣΦΟΡΑ,* συμφέροντα. (ἁρμόδια.) Gu.

V. 1223 sq. *ΤΑΧ᾽ ΟΥΝ.* παρὰ ὑμῖν οὖν τοῖς βαρβάροις εὔκολόν ἐστι φονεύειν τοὺς φίλους ὑμῶν προσδραμόντας ἐπὶ σωτηρίᾳ, ἡμῖν τοῖς Ἕλλησιν αἰσχρὸν καὶ μυσαρὸν πρᾶγμα ὑπάρχει τόδε καὶ τοῦτο. Fl. 59.

V. 1225. *ΠΩΣ ΟΥΝ,* ἐπεὶ ταῦθ᾽ οὕτως ἔχει. Gu.

10) Vulgo φονεύσειν — κατέχεις. Correxit Barnes.

V. 1226. *ΟΥΚ ΑΝ ΔΥΝΑΙΜΗΝ*, κρίνειν μὴ ἀδικεῖν σέ. Gu. *ΤΑ ΜΗ ΚΑΛΑ*, τουτέστι τὰ κακὰ, ἤγουν τὰ ἄδικα καὶ βλαπτικά. Gu. Fl. 59.

V. 1227. *ΕΤΟΛΜΑΣ*, ὑπέμεινες, ἠνείχου. (ἐπεχείρεις.) Gu. *ΤΑ ΜΗ ΦΙΛΑ*. φίλος λέγεται καὶ ἐπὶ τοῦ φιλοῦντος καὶ ἐπὶ τοῦ φιλουμένου. *ΤΑ ΜΗ ΦΙΛΑ*, ἐπὶ πάθους ἐνταῦθα, ἤγουν ὑπόμεινον καὶ τὰ μὴ φιλούμενα ὑπὸ σοῦ. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἤγουν τὰ μὴ προςφιλέστατά σοι· οὐ γὰρ φίλον ἦν ἐκείνῳ ἡ τύφλωσις αὐτοῦ καὶ ὁ τῶν παίδων φόνος. Fl. 59.

V. 1228 sq. *ΟΙΜΟΙ*. Οἴμοι ὑπὸ γυναικὸς, ὡς ἔοικεν, νικώμενος, παρέξω τοῖς ἐλάττοσιν, ἤτοι τοῖς κακοῖς, τιμωρίαν. *ΗΣΣΩΜΕΝΟΣ*. ἡσσώμενος δούλης γυναικὸς, ἢ τῆς Ἑκάβης νοητέον, ἢ τῆς Κασάνδρας. καὶ περὶ μὲν τοῦ πρώτου οὐδὲν δεῖ μηκύνειν, ὡς προφανοῦς. εἰ δὲ πρὸς τὴν Κασάνδραν ἐκφέρομεν, οὕτω συντακτέον· οἴμοι, ὡς ἔοικεν, ἡσσώμενος δούλης γυναικὸς, δώσω δίκην. ἐκείνη γάρ ἐστιν ἡ αἰτία τοῦ συμμαχῆσαι μὲν τῇ Ἑκάβῃ τὸν Ἀγαμέμνονα, ἐμοῦ δὲ καταψηφίσασθαι. ἀγνοήσαντες δέ τινες τὸ λεπτὸν τῆς ἐννοίας, ἐσολοίκισαν φάσκοντες [1]) τὸ ἡσσώμενος πρὸς τὸν Ἀγαμέμνονα, ἀλλ' οὐ πρὸς τὸν Πολυμήστορα λέγεσθαι, ἐκφέροντες οὕτω. ἡσσώμενος, ὦ Ἀγάμεμνον, δούλης γυναικὸς σὺ τῆς Κασάνδρας, ὑφέξω ἐγὼ δίκην [ὅπερ ἐσχάτης ἂν εἴη ἀμαθίας.] κρεῖττον δὲ πρὸς τὴν Ἑκάβην τὸ δ ο ύ λ η ς γ υ ν α ι κ ὸ ς λέγεσθαι.

V. 1228. *ΩΣ ΕΟΙΧ'*. ὁ Πολυμήστωρ λέγει, ὡς φαίνεται, νικώμενος ὑπάρχω ὑπὸ γυναικὸς δούλης· ὁ γὰρ Ἀγαμέμνων εἶχε τὴν τῆς Ἑκάβης θυγατέρα παλλακίδα, ὡς δοκεῖ ὁ Πολυμήστωρ, ὅτι διὰ τὴν Κάσανδραν ἐβοήθησεν ὁ Ἀγαμέμνων τὴν Ἑκάβην. Fl. 59.

V. 1229. *ΥΦΕΞΩ — ΔΙΚΗΝ*, δώσω, ἀποδώσω. δίδωμί σοι δίκην ἀντὶ τοῦ τιμωροῦμαι ὑπὸ σοῦ, λαμβάνω δὲ δίκας ἀπὸ σοῦ ἀντὶ τοῦ τιμωροῦμαι σέ. Gu. *ΤΟΙΣ ΚΑΚΙΟΣΙ*, ἀντὶ τοῦ τοῖς κακοῖς, ἤγουν τοῖς εὐτελέσι, τοῖς αἰχμαλώτοις. Gu. Fl. 6. 9. 17. 21. 56. 76. τοῖς χείροσιν ἐμοῦ. Gu.

1) *φάσκοντες*, quod King. etiam habet, e Gu. addidi, sicut antea *ἡ* ante *αἰτία*. Idem omittit verba *ὅπερ — ἀμαθίας*. In initio scholii legebatur *δούλου γυν*. Correxit Barn. et sic est in Gu.

V. 1230. *ΟΥΚΟΥΝ Δ.* δικαίως ὑφέξεις δίκην, ἐπειδὴ κακὰ ἔπραξας.

V. 1231. *ΟΙΜΟΙ* τῶν τέκνων ἕνεκα καὶ τῶν ὀφθαλμῶν, ὁ τάλας ἐγώ.

V. 1232. *ΑΛΓΕΙΣ*; λυπῇ; τί δὲ οὐ δοκεῖς ἀλγεῖν ἐμὲ τοῦ παιδός μου ἕνεκεν; *ΤΙ ΔΑΙ ΜΕ*. τί δὲ οὐχὶ δοκεῖς ἀλγεῖν καὶ λυπεῖσθαι ἐμὲ ἕνεκα τοῦ παιδὸς τοῦ παρὰ σοῦ φονευθέντος. τὸ δὲ διφθογγογραφούμενον δαί προτιθεμένου τοῦ τί πάντοτε διφθογγίζεται. Fl. 59.

V. 1233. *ΧΑΙΡΕΙΣ*. χαρὰν ἔχεις ἀτιμάζουσά με, ὦ κακότροπε σύ;

V. 1234. *ΟΥ ΓΑΡ ΜΕ Χ.* οὐ γὰρ πρέπει με χαίρειν τιμωροῦσαν καὶ κολάζουσαν σέ;

V. 1235. *ΑΛΛ' ΟΥ ΤΑΧ'*. ἀλλ' οὐ χαιρήσεις, ἡνίκα σε ἡ θάλασσα κρύψῃ.

V. 1236. *ΜΩΝ ΝΑΥΣ*. ἆρα διὰ νηὸς παραπέμψῃ εἰς τοὺς ὅρους τῆς Ἑλλάδος; *ΝΑΥΣΤΟΛΗΣΗι*, πλεύσῃ. Fl. 33.

V. 1237. *ΚΡΥΨΗι*. νοτὶς ποντία καλύψει, καὶ ποντίσει πεσοῦσαν ἐκ τῶν καταρτίων. Λέγουσιν, ὅτι οἱ Ἕλληνες καταρώμενοι πάντοτε καὶ ὑβριζόμενοι ὑπὸ τῆς Ἑκάβης, θυμωθέντες ἔῤῥιψαν ταύτην ἀναβιβάσαντες ἀπὸ τοῦ ἱστοῦ τῆς νεὼς, καὶ λιθοβολήσαντες ἐκείνην ἐποίησαν κολωνὸν, ὕστερον δὲ τοὺς λίθους ἀπὸ ταύτης ἐκβαλόντες εὗρον ἐκείνην σκύλλαν ἔχουσαν ὀφθαλμοὺς ὡς πυρός. [2]) *ΜΕΝ ΟΥΝ*, μᾶλλον μὲν οὖν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΚΑΡΧΗΣΙΩΝ*, τῶν ἱστῶν, ἐκ τῶν ὑψηλοτέρων μερῶν τῆς νηὸς, τῶν καταρτίων. Gu. καρχήσια τὰ ἄκρα τοῦ ἱστοῦ τοῦ κέρατος τῶν πλοίων, τῶν κεραταρίων τροχαλίων τοῦ ἱστοῦ. Fl. 21. καρχήσια τὰ καλλωπίσματα τῆς νηός. Fl. 59.

V. 1238. *ΠΡΟΣ ΤΟΥ ΒΙΑΙΩΝ*. πρὸς τίνος ἀναγκαστικῶν ἐπιτυγχάνουσαν πηδημάτων.

Ibid. *ΠΡΟΣ ΤΟΥ ΒΙΑΙΩΝ*. τοῦτο οὕτω νοητέον. [3])

2) Verba *ἐποίησαν κολωνὸν*, (*ὕστερον*) *δὲ — ἐκείνην* (*σκύλλαν*) *ἔχουσαν — πυρός* e Fl. 59. addidi.

3) *νοητέον*. Sic Gu. Vulgo *νοεῖται*. Idem mox *τυγχάνουσαν*

εἰπόντος γὰρ τοῦ Πολυμήστορος πεσεῖσθαι αὐτὴν ἐκ τῶν ἱστῶν, ἀπυροῦσα αὕτη φησὶ, παρὰ τίνος τυγχάνουσαν ἁλμάτων καὶ πηδημάτων βιαίων καὶ ἀκουσίων κρύψει με. ἅλματα γὰρ βίαια τὰ ἀκούσια φαμὲν, ἅπερ οὐχ ὁ ἁλλόμενος δρᾷ ἑκουσίως, ἀλλ' ὑπό τινος ἑτέρου ἀναγκαζόμενος πράττει.

V. 1239. *ΑΥΤΗ ΠΡΟΣ Ι.* αὐτὴ ἀναβήσῃ ἐν τῷ ἀνωτάτω τοῦ ἱστοῦ, ἤγουν τῇ ἄκρᾳ τῶν τροχαλιῶν.

V. 1240. *ΥΠΟΠΤΕΡΟΙΣ Ν.* διὰ νώτων ἐπτερωμένων, ἢ ποίῳ τρόπῳ;

V. 1241. *ΚΥΩΝ ΓΕΝ.* κύων γενήσῃ, πυρώδεις ὀφθαλμοὺς ἔχουσα, ἤτοι ἠγριωμένους. *ΚΥΩΝ ΓΕΝ.* ὅτι κύων ἐγένετο, καὶ Λυκόφρων φησί. Gu. οὐκ ἄπιστον δὲ περὶ τῆς Ἑκάβης κύων (sic) γενομένης. λέγεται γὰρ, ὅτι εἰς τὴν Ἔφεσον ἐγένετο λοιμικὸν νόσημα, ὥςτε φθείρεσθαι τοὺς ἀνθρώπους. εὑρισκομένου δὲ ἐκεῖσε τοῦ Ἀπολλωνίου μάντεως ὄντος, ἀπῆλθε (leg. —θον) εἰς ἐκεῖνον λύσιν ζητοῦντες τοῦ λοιμοῦ. ὁ δὲ μετ' αὐτῶν ἀπελθὼν εἰς τὸ ἱπποδρόμιον εὗρον (leg. εὗρεν) ἄνδρα γέροντα ἐν τῇ ὁδῷ καθεζόμενον. ἐπιτάττοντος οὖν τοῦ Ἀπολλωνίου λιθάσαι τοῦτον, ἐλίθασαν. πρὸ τούτου δὲ ἐδείκνυον ὀφθαλμοὺς πυροειδεῖς καὶ ὄψεις πολλὰς πυρινούς. ἐπὶ τὴν αὔριον δὲ πάλιν προςάξει τοῦ μάντεως, ἤγειραν τοὺς λίθους ἀπὸ τούτου καὶ εὑρέθη κύων. ἔπαυσε τὸ λοιμικὸν νόσημα. Fl. 59. *ΔΕΡΓΜΑΤΑ*, ὀφθαλμοὺς, βλέμματα. (ὄμματα.) Gu. ὀφθαλμούς· ἐξ οὗ καὶ δράκων, ἐκ τοῦ δέρκω τὸ βλέπω. Fl. 10.

V. 1242. *ΠΩΣ Δ' ΟΙΣΘΑ.* πῶς δὲ γινώσκεις τὴν ἐναλλαγὴν τῆς μορφῆς μου; *ΜΕΤΑΣΤΑΣΙΝ*, μεταλλαγήν. (μεταμόρφωσιν, ἀλλοίωσιν.) Gu.

V. 1243. *Ο ΘΡΗΙΞΙ Μ.* ὁ ἐν τοῖς Θραξὶ μάντις ἔλεξε Διόνυσος ταῦτα. *ΘΡΗΙΞΙ ΜΑΝΤΙΣ.* ἢ ἐν τῇ Θρᾴκῃ Διονύσου μαντεῖον ἦν, ἢ ἀνήρ τις ἦν ἐν Θρᾴκῃ μάντις [4]) Διόνυσος καλούμενος. *ΔΙΟΝΥΣΟΣ.* οἱ μὲν περὶ τὸ Παγγαῖον εἶναι τὸ μαντεῖον φασὶ τοῦ Διονύσου, οἱ δὲ περὶ τὸν Αἷμον, οὗ εἰσὶ καὶ Ὀρφέως ἐν σανίσιν ἀναγραφαί.

pro —σα, et ἁλόμενος pro ἁλώμενος, pro quo ἁλλόμενος jam restituit Barnes.

4) ἦν et μάντις e Gu. adscivi.

περὶ ὧν φησὶν ἐν Ἀλκήστιδι, οὐδέ τι φάρμακον Θρῄσσαις ἐν [5]) σανίσιν, τὰς Ὀρφεία κατέγραψε γῆρυς (V. 982 sq.). ὅτι δὲ Διόνυσος μάντις, καὶ ἐν Βάκχαις φησί· μάντις δ' ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον Καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει (V. 279.).

V. 1244. *ΣΟΙ Δ' ΟΥΚ ΕΧΡΗΣΕΝ.* σοὶ δὲ οὐκ ἐμάντευσεν οὐδὲν τῶν κακῶν ὧν ἔχεις;

V. 1245. *ΟΥ ΓΑΡ ΠΟΤ' ΑΝ.* οὐκ ἔχρησε δηλονότι· οὔποτε γὰρ ἂν σὺ εἷλες ἐμὲ ὧδε σὺν δόλῳ.

V. 1246. *ΘΑΝΟΥΣΑ Δ' Η ΖΩΣ'.* θανοῦσα δὲ ἐκπλήσω τὸν ἐνθάδε βίον, ἤτοι τὸν ἐν τῇ μορφῇ τοῦ κυνὸς, ἢ ζῶσα; τὸ ἐκπλήσω τὸν βίον πρὸς τὸ ζῶσα μόνον λέγε, πρὸς δὲ τὸ θανοῦσα τὸ μεταβληθήσομαι εἰς κύνα. ἐπειδήπερ εἶπεν ὁ Πολυμήστωρ γενήσεσθαι αὐτὴν κύνα, διαπορεῖ, καὶ ἐρωτᾷ αὐτόν· τί λέγεις; θανοῦσα γενήσομαι κύων, ἢ ζῶσα μεταβληθήσομαι εἰς τὴν κυνὸς μορφήν; ὃ καὶ λύει οὗτος λέγων [6]), θαναῦσα. ἔφη γὰρ Πυθαγόρας, καὶ μετ' ἐκεῖνον Πλάτων, ὡς αἱ τῶν ἀθλίως βεβιωκότων ψυχαὶ ἀποθανόντων εἰς ἄλογα ζῶα εἰςέρχονται καὶ λίθους καὶ ξύλα καὶ φυτὰ, ἵνα ἐν τῇ πρὸς ταῦτα διατριβῇ δίκην ὑποσχοῦσαι πρέπουσαν ὧν ἥμαρτον, εἰς τὴν ἀρχαίαν ἐπανέλθοιεν τάξιν. ὅθεν καὶ Πυθαγόρας ποτὲ ἀκούσας ὄνον ὀγκώμενον, ἔφη, ὡς φίλου μου ψυχὴ ἐστὶν αὕτη ἡ ἐν τῷ ὄνῳ, καὶ διὰ τοῦτο ἐπέγνω με. *ΘΑΝΟΥΣΑ Δ', Η Ζ.* θανοῦσα ἢ ζῶσα. μετὰ θάνατον δὲ ἀμειφθήσομαι εἰς κύνα, ἢ ζῶσα ἐν τοιούτῳ εἴδει κυνίῳ τὸν ἐπικεκλωσμένον χρόνον τῆς ζωῆς ἐξανύσω καὶ ἐπιζητήσωμαι (leg. ἐπιζήσομαι). ἔστι μετὰ θάνατον (an: τουτέστι μετὰ θ.?) ἐξαλλαγήσομαι καὶ ἀμειφθήσομαι εἰς κύνειον εἶδος, ἢ ζῶσα, ὥςτε τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς μου κύων οὖσα ἐπιζῆσαι. Fl. 59. θανοῦσα ἐκπλήσω τὸν βίον εἰς τὸ θαλάττιον ὕδωρ καὶ μεταμειφθήσομαι εἰς τὸ κυνικὸν σχῆμα. Fl. 76. ἐνθάδε δὲ θανοῦσα ἐκπλήσω τὸν βίον, ἢ ζῶσα εἰς τέλος τοῦ εἱμαρ-

5) Legebatur οὐδέτι φαρμάθρης σανίσι. Emendavit Barnes. In loco Baccharum deerat τὸ ante μανιῶδες, quod etiam supplevit Barn.

6) λέγων addidi e Gu. qui statim post habet ἔφη καὶ Πυθ.

μένου προκόψω, τουτέστι μετὰ θάνατον ἀμειφθήσομαι εἰς κύνα, ἢ ἐν τῷ κυνείῳ ἐθέλω πληρώσειν τὴν ζωήν μου, ἢ ζῶσα πάλιν θέλω μεταμορφωθῆναι εἰς ἄνθρωπον. ἐνθάδε ἐν τῇ μορφῇ τοῦ κυνὸς ζῶσα ἐκπληρώσω ἢ θανοῦσα, τουτέστιν ἀπαλλαγήσομαι τοῦ κύων εἶναι, ἢ σὺν αὐτῷ ἀποθανοῦμαι δηλονότι σὺν τῇ μορφῇ τοῦ κυνός. Fl. 6.

V. 1247. *ΘΑΝΟΥΣΑ.* τουτέστι μέχρι θανάτου κύων ἔσῃ· ἐπονομασθήσεται δὲ τῷ τάφῳ τὸ σὸν ὄνομα, ἤγουν κύων. *ΘΑΝΟΥΣΑ* γενήσῃ κύων. Gu.

V. 1248. *ΜΟΡΦΗΣ ΕΠ.* ἐπῳδὸν καὶ ἐπώνυμον τῆς ἐμῆς μορφῆς, ἢ τί ἄλλο ἐρεῖς; Ἄλλως. ἐπώνυμον τῆς κυνικῆς μορφῆς, ἢ ἄλλο τι τῆς ἀνθρωπίνης, ἣν ἔχω, λέξεις;

V. 1249. *ΚΥΝΟΣ ΤΑΛ. Σ.* εἰρήσεται καὶ λεχθήσεται δηλονότι σῆμα καὶ μνημεῖον τῆς ταλαίνης κυνὸς, τέκμαρ καὶ σημεῖον τοῖς ναύταις. Ἄλλως. κυνὸς ἀθλίας τοῖς ναύταις τεκμήριον. Περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησὶν, ὅτι κυνὸς καλοῦσι δυςμόρου σῆμα.

V. 1250. *ΟΥΔΕΝ ΜΕΛΕΙ ΜΟΙ*, οὐδαμῶς μοι φροντίς ἐστι, τιμωρηθέντος σοῦ παρ' ἐμοῦ.

V. 1251. *ΚΑΙ ΣΗΝ Γ' ΑΝ.* ἀνάγκη δὲ ὑπάρχει καὶ τὴν σὴν παῖδα Κασάνδραν ἀποθανεῖν.

V. 1252. *ΑΠΕΠΤΥΣ'.* καταφρονῶ τῶν σῶν μαντευμάτων· σοὶ δ' εἴη ταῦτα γενέσθαι, ἅπερ ἐμοὶ μαντεύῃ. *ΑΠΕΠΤΥΣ'.* ἀπέῤῥιψα, καταφρονῶ. στικτέον εἰς τὸ ἀπέπτυσα. Gu. στίξον εἰς τὸ ἀπέπτυσα, ἤγουν ἀπεφρόντισα· εἶτα αὐτῷ σοι δίδωμι τοῦτο ἔχειν. ἤγουν ἀπέπτυσα τῶν παίδων καὶ τοῦ πλούτου καὶ πάντων, ἔπειτα ταῦτα σοὶ δίδωμι ἔχειν, ἤγουν αἱ μαντεῖαι σου ἐν σοί, οὐδὲ φροντίζω τῶν μαντειῶν σου. ἢ τὸ ἀπέπτυσα καταφρονῶ τῆς μαντείας σου. Fl. 59. οὐ πείθομαί σοι. Fl. 10.

V. 1253. *ΚΤΕΝΕΙ ΝΙΝ.* κτενεῖ δὲ αὐτὴν ἡ σύνοικος τοῦδε τοῦ Ἀγαμέμνονος, ἡ πικρὰ Κλυταιμνήστρα. Πικρὰν οἰκουρὸν τὴν Κλυταιμνήστραν φησὶν, ὡς μοιχευομένην τῷ Αἰγίσθῳ, ὃν ἔλιπεν ὁ Ἀγαμέμνων, ὅτε ἀπῄει εἰς Τροίαν, κηδεμόνα τοῦ οἴκου αὐτοῦ, καὶ ἀποκτείνασαν τὸν ἴδιον ἄνδρα Ἀγαμέμνονα ὕστερον, ὡς καὶ Πολυμήστωρ μετ' ὀλίγον αὐτῷ Ἀγαμέμνονι λέγει, ὑπὸ πελέκεως αὐτὸν 7) ἀναιρεθήσεσθαι. φοβουμένη γὰρ αὐτὴ ἡ Κλυταιμνήστρα αὐτὸν, μὴ τὴν πρὸς Αἴγισθον αὐτῆς μοιχείαν καταμαθὼν αὐτὴν μετ' Αἰγίσθου τιμωρήσεται, τοιόνδε βουλεύει· ἱμάτιον κατεσκεύασε μὴ ἔχον διεξόδους μήτε κεφαλῆς, μήτε χειρῶν, ἐν ᾧ περιβαλοῦσα αὐτὸν λελουμένον ἀπέκτεινε, ὡς ἐν τῇ ἀρχῇ τοῦ δευτέρου δράματος ἱστόρηται. 8) διὰ τοῦτο γὰρ καὶ Πολυμήστωρ λέγει πρὸς αὐτὸν, κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει. *ΟΙΚΟΥΡΟΣ.* φύλαξ οἴκου ἤγουν κατοικοῦσα ἐν τῷ οἴκῳ. Gu. *ΠΙΚΡΑ*, βαρεῖα, ἀλγεινή. Gu.

7) αὐτὸν e Gu. addidi.

V. 1254. *ΜΗΠΩ ΜΑΝ.* μήπω μὴν μανείη τοσόνδε ἡ θυγάτηρ τοῦ Τυνδάρεω. *ΜΗΠΩ*, μηδαμῶς. Fl. 59. *ΠΩ* ἀργόν. εἴθε *ΜΑΝΕΙΗ.* Gu. *ΤΟΣΟΝΔΕ*, ὡς ἀποκτεῖναι τὴν ἐμὴν θυγατέρα. 9) Gu.

V. 1255. *ΚΑΥΤΟΝ ΣΕ Τ.* καὶ τοῦτον δὲ τὸν Ἀγαμέμνονα κτενεῖ, ἐξάρασα πέλεκυν ἄνω. Οἱ νεώτεροι μὴ νοήσαντες τὸ Ὁμηρικὸν, δειπνήσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ (Od. δ', 535.) ὅτι ἀνθ' ὧν ἔδει μετὰ τοὺς πόνους ἀπολαύσεως τυχεῖν, τοῦτον ὡς βοῦν ἀπέκτεινεν ἡ Κλυταιμνήστρα, προςέθηκαν, ὅτι καὶ πελέκει ἀνῃρέθη. διὸ σημειωτέον ἐνταῦθα τὸ, καὐτόν τε τοῦτον πέλεκυν ἐξάρασ' ἄνω. 10)

V. 1256. *ΟΥΤΟΣ ΣΥ*, οὗτος σὺ, μαινόμενος ὑπάρχεις καὶ ἐπιθυμεῖς τυχεῖν καὶ ἄλλων κακῶν; *ΟΥΤΟΣ.* τὸ ὦ οὗτος οὐ λέγει ὡς φίλον, ἀλλ' ὡς εἰώθαμεν καλεῖν τοὺς τυχόντας. Fl. 59. *ΚΑΚΩΝ*, ἤγουν κολάσεων. Gu. Fl. 17. 56. 76.

V. 1257. *ΚΤΕΙΝ', ΩΣ.* κτεῖνε, ὅτι καὶ ἐν τῷ Ἄργει φονικὰ λουτρά σε περιμένει· ἐπειδὴ ἐνδύσασα αὐτὸν τὸ μὴ ἔχον πέρας ἱμάτιον ζέμα αὐτῷ κατέχεεν ἡ Κλυταιμνήστρα.

8) Haec verba: *ὡς ἐν — ἱστόρηται* suppeditavit Gu. Idem paulo ante *ἱμάτιον κατασκευάζει ἔχον ἐξόδους*, sed *μὴ* sub linea additum.

9) Haec verba King. scholio edito addidit.

10) Hoc scholion King. superiori ad v. 1253. continuavit, quum in Junt. Basil. Barn. verbis *μήπω μὴν — ἄνω* disjunctum sit. Idem est in Flor. 10. sed omiss. *δειπνήσας — τοὺς πόνους.* habet etiam *προςέθεσαν καὶ τὸ πέλ. ἐξαρ. ἄνω.*

V. 1258. *ΟΥΧ ΕΛΞΕΤ'*. ἐκβάλλετε αὐτὸν, ὦ δοῦλοι, μακρὰν μετὰ βίας.

V. 1259. *ΑΛΓΕΙΣ*, πονεῖς ἀκούων. *ΟΥΚ ΕΦΕΞΕΤΕ*, οὐ καθέξετε τὸ στόμα αὐτοῦ; *ΕΦΕΞΕΤΕ*, ἐγκλείσετε. (κρατήσετε.) Gu. ἐπέχω τὸ κρατῶ, ὡς τὸ ἐπίσχον τὴν γλῶσσαν. Fl. 59.

V. 1260. *ΕΓΚΛΕΙΕΤ'*. ἀσφαλίσατε· καὶ γὰρ ἐῤῥέθη. ταῦτα δὲ φησὶν, ὡς πιεζόντων αὐτοῦ τῶν οἰκετῶν τὸ στόμα. *ΕΓΚΛΕΙΕΤ'*. γράφεται καὶ πιέζετε, ὡς πιεζόντων αὐτοῦ τῶν οἰκετῶν τὸ στόμα. Fl. 10. 21. ἢ ἐλέχθη τοῦτο ὑμῖν παρὰ τοῦ Ἀγαμέμνονος, ἢ ἐλέχθη παρ' ἐμοῦ τοῦτο. Gu.

V. 1260—1268. *ΟΥΧ ΟΣΟΝ Τ.* οὐκ ἐξορίσετε αὐτόν που τῶν ἐρήμων νήσων, ἐπεὶ καὶ λίαν οὕτως ἀναισχυντεῖ; σὺ δ', ὦ τάλαινα Ἑκάβη, πορευθεῖσα θάπτε τοὺς διπλοῦς νεκρούς. καὶ ὑμᾶς δὲ, ὦ Τρωάδες, πρέπον ἐστὶ πελάζειν ταῖς σκηναῖς τῶν δεσποτῶν. καὶ γὰρ ὁρῶ τὰ πνεύματα πρὸς τὸν πλοῦν. εἴθε δὲ ἐς τὴν πατρίδα καλῶς πλεύσαιμεν, καὶ καλῶς τὰ ἐν τοῖς οἴκοις ἔχοντα ἴδοιμεν, ἐλευθερωθέντες τῶν θλίψεων. καλῶς δὲ ἐπεύχεται, ἐπειδὴ ἄτοπα παρὰ τοῦ Πολυμήστορος ἤκουσεν.

V. 1260. *ΟΥΧ ΟΣΟΝ ΤΑΧΟΣ*, ἐστὶ δηλονότι. (λίαν συντόμως, ταχέως.)

V. 1262. *ΘΡΑΣΥΣΤΟΜΕΙ*, θρασυλογεῖ, φλυαρεῖ, ἀναισχυντεῖ, ἀπαιδεύτως λέγει. Fl. 59.

V. 1265. *ΠΝΟΑΣ*. πνοὴ ὁ ἄνεμος καὶ πνοὴ ἡ ζωή. ὅθεν καὶ ἐκπνέει καὶ ἀναπνέει. καὶ πνοὴ ἡ ὀσμὴ, ἥτις καὶ ἀποφορὰ λέγεται, καὶ μετὰ τοῦ ἡδεῖα τίθεται, οἷον πνοὴ ἡδεῖα καὶ πνέει τὸ ῥόδον ἡδύ. πλὴν ἡ πνοὴ, εἰ καὶ σῶμα, ἀλλ' οὖν οὐχ ὁρᾶται καθ' ἑαυτήν· ὁρᾶται δὲ ἑτέροις (ἑτέροις?) σώμασι. Ἄλλως. ἐπεύχεται, ἐπειδὴ ἄτοπα ἤκουσε παρὰ τοῦ Πολυμήστορος. φησὶ γὰρ καὶ πρὸς τὴν Ἑκάβην, σὺ δὲ στείχουσα θάπτε καλῶς τοὺς παῖδας καὶ εὐκατασκευάστως, καὶ πρὸς τὸν χορὸν φησὶν, ἵνα εὐπροσώπως ἀναχωρήσῃ. Fl. 10. 25. [10b])

V. 1266. *ΠΟΜΠΙΜΟΥΣ*, ἐπιτηδείους παραπέμπειν.

10b) Fl. 21. πρὸς τὸν χορὸν ταῦτα. καλῶς καὶ νηπικῶς καὶ εὐκατασκ. πρὸς τὸν χ. ταῦτά φησι, ἵνα εὐπρ. ἀναχ.

Gu. a m. pr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76. ἀγωγούς, εὐφόρους.

V. 1268. *ΕΧΟΝΤΑ*, διακείμενα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΦΕΙΜΕΝΟΙ*, ἀπαλλαγέντες. (ἐλευθερωθέντες. ἀπολελειμμένοι, ἐν ἀφέσει γενόμενοι.) Gu. λυτρωθέντες. Fl. 33.

V. 1269 sqq. *ΙΤΕ ΠΡΟΣ ΛΙΜΕΝΑΣ*. πορεύθητε πρὸς τοὺς λιμένας καὶ πρὸς τὰς κατοικίας, ὦ φίλαι, πεῖραν τῶν δεσποτικῶν ληψόμεναι πόνων· ἰσχυρὰ γάρ ἐστιν ἡ τῆς δουλείας ἀνάγκη. ταῦτα δὲ πρὸς ἑαυτὰς λέγουσιν αἱ ἀπὸ τοῦ χοροῦ. *ΙΤΕ ΠΡΟΣ ΛΙΜ.* σύστημα ἐπῳδικὸν ἐν ἐκθέσει τοῦ δράματος κώλων ἀναπαιστικῶν τριῶν· τὸ α καὶ β δίμετρα ἀκατάληκτα, τὸ δὲ γ δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. Baroc. 74.

V. 1269. *ΙΤΕ*. κανόνισον εἶμι τὸ πορεύομαι, καὶ ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἔντος, καὶ τὸ προστακτικὸν ἴθι, κατὰ συγκοπὴν ἴμεν, τὸ δεύτερον ἴτε. Fl. 25.

V. 1271. *ΣΤΕΡΡΑ*, ἀκαταπόνητος ὑπάρχει τῆς δουλείας δηλονότι, ἡ δουλεία τῶν δεσποτῶν. Fl. 59. ἕλκει ἡμᾶς. Fl. 33.

Τέλος σχολίων τῶν εἰς Ἑκάβην.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟΝ ΟΡΕΣΤΗΝ.

V. 1 sqq. ΟΥΚ ΕΣΤΙΝ ΟΥΔΕΝ ΔΕΙΝΟΝ. Ἡ εἴς-θεσις τοῦ δράματος ἐκ μονοστροφικῆς ἐστὶ περιόδου, οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλη. ὧν τελευταῖος, τόνδ' ἐξεγεῖραι συμφορὰ γενήσεται. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς δυστυχία ὑπερῆρεν ἁπάσας, διὰ τοῦτο αὕτη [ἡ Ἠλέκτρα] 1) γνωματευομένη ταῦτα φησὶ καθ' αὑτήν. δείξει δὲ, ὡς ἐξ ἀρχῆς τὸ γένος αὐτῆς συμφοραῖς ὑπέκειτο. ἵνα δὲ μὴ καθ' ἕκαστον ἀπαριθμῆται τὰ συμβαίνοντα τοῖς ἀνθρώποις κακὰ, περιλαμβάνει διὰ τοῦ γενικοῦ ὀνόματος τοῦ δεινοῦ, διαιρουμένου εἰς πάθη καὶ συμφοράς. καὶ πάθη μέν ἐστι τὰ συμπίπτοντα τοῖς σώμασι νοσήματα, συμφοραὶ δὲ αἱ ἐπερχόμεναι τοῖς ἀνθρώποις θλίψεις. καὶ τὸ ὧδ' εἰπεῖν ἔπος διὰ τοῦτο ἔφη, διότι καθολικῶς ἐξήνεγκεν [ἤγουν εἴρηκεν]. 2) ἐπεὶ δὲ πάθος καὶ συμφορὰν εἴρηκε, προτιμᾷ τὸ θηλυκὸν τοῦ οὐδετέρου, ἀποδιδοὺς τὸ ἧς πρὸς τὸ συμφορά. γίνωσκε δὲ, ὅτι, ἐὰν 3) εὑρεθῶσιν ὀνόματα ἀρσενικὸν καὶ θηλυκὸν, μάλιστα μὲν τὸ ἀρσενικὸν προτιμᾶται τοῦ θηλυκοῦ, συμβαίνει δὲ ἔστιν ὅτε καὶ τὸ ἀνάπαλιν. ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων· κειμένου γὰρ 4) ἀρσενικοῦ καὶ

1) ἡ Ἠλέκτρα om. Gu. αὕτη delevit King.

2) Verba ἤγουν εἴρηκεν desunt in Gu. Omisit etiam King. Ex eodem Gu. mox recepi πάθος pro πάθη.

3) Gu. ὅτι, ὅταν εὑρ.

4) γάρ, quod addidit King, habet etiam Gu. Idem habet paulo ante cum Junt. et Basil. συμβαίνει δέ, pro quo in King. et Musgr. male legitur συμβαίνειν. Post ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων

θηλυκοῦ καὶ οὐδετέρου ὀνόματος, ἀποδίδοται ἡ σύνταξις πρὸς τὸ οὐδέτερον, ὡς εἰς πρᾶγμα.

V. 1. ΟΥΚ ΕΣΤΙΝ ΟΥΔΕΝ ΔΕΙΝΟΝ. τὸ δεινὸν ὄνομά ἐστι γενικὸν, καὶ διαιρεῖται εἰς πάθος καὶ συμφοράν. καὶ πάθος μὲν τὰ νοσήματα, συμφορὰ δὲ αἱ δυστυχίαι καὶ περιπέτειαι. Ἄλλως. Οὐκ ἔστιν οὐδὲν δεινὸν, ὅπερ οὐχ ὑφίσταται τῶν ἀνθρώπων ἡ φύσις. τοῦτο δέ φησι, παρόσον ἔκτοπον καὶ ἀλλόκοτον ὑπέστη τιμωρίαν ὁ Τάνταλος, ἢ διὰ τὰς τοῦ γένους συμφορὰς, ἢ δι' ἑαυτὴν, ὥς γε τλημόνως συνυποφέρει τῷ ἀδελφῷ τὴν τύχην, ἢ διὰ τὸν Ὀρέστην. 5) Ἄλλως. ΩΔ' ΕΙΠΕΙΝ ΕΠΟΣ, ὡς ἐν συντόμῳ εἰπεῖν, οὐκ ἔστι δεινὸν, οὔτε βάρος, (l. πάθος) οὔτε συμφορὰ, ἧς οὐκ ἂν τὸ βάρος ἡ τῶν βροτῶν φύσις ἀπενέγκαιτο. εἰς θηλυκὸν δὲ ἐξ οὐδετέρου τὸν λόγον ἀπέδωκεν, ἐπειδὴ προτιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκόν. 6) ΟΥΚ ΕΣΤΙΝ ΟΥΔΕΝ ΔΕΙΝΟΝ. ὡς ἐπέρχεται δηλονότι εἰπεῖν ἔπος οὕτως, ἤτοι ὡς ἐν συντόμῳ εἰπεῖν οὐκ ἔστιν οὐδὲν χαλεπὸν, οὐδὲ πάθος καὶ κάκωσις, οὐδὲ συμφορὰ ἀπὸ θεῶν πεμφθεῖσα, ἧς οὐκ ἂν βαστάσει βάρος ἡ φύσις ἀνθρώπου. ΕΠΟΣ, λόγον. περισσὸν, Ἀττικῶς. Fl. 6. 9. 17. 21. 54. 56. 59. 76. Gu.

V. 2. ΟΥΔΕ ΠΑΘΟΣ. πάθος ἐπὶ σώματος τὸ τραῦμα, καὶ ἡ πληγὴ, ἣν ξίφει τις ἐπλήγη ἢ τοιούτῳ τινὶ, ὃ ἀπὸ μὲν τοῦ ποιοῦντος λέγεται πρᾶγμα καὶ πρᾶξις, ἀπὸ δὲ τοῦ πάσχοντος πάθος, ὥσπερ τὸ λῆμμα ἀπὸ μὲν τοῦ λαμβάνοντος λέγεται λῆμμα, ἀπὸ δὲ τοῦ διδόντος δῶρον. ἀπὸ τούτου πάθος καὶ ἐπὶ ψυχῆς ἡ ἧττα, ἣν ἡττήθη τις

Gu. addit: ἀλλὰ μὴν καὶ τοῦτο πολλάκις γίνεται. Praeterea in Gu. primo loco leguntur verba ἵνα δὲ μὴ καθ' ἕκαστον — ὡς εἰς πρᾶγμα, deinde ἐπειδὴ δὲ ἡ τοῦ π. — ὑπέκειτο a m. sec. King totum in duo scholia descripsit: ἐπειδὴ — θλίψεις. deinde (post scholion sequens τὸ δεινὸν ὄνομα etc. quod non legitur in Gu.) ὧδ' εἰπεῖν ἔπος διὰ τοῦτο ἔφη — ὡς πρᾶγμα, om. εἰς.

5) Hoc scholion omiserunt King. et Musgr. Ejus priora tantum verba habent Flor. 10. 33. οὐκ ἔστι δεινὸν οὔτε ἀκοῇ οὔτε θέᾳ. ἔστι οὕτω δεινὸν, ὅπερ οὐχ ὑφίσταται τῶν ἀνθρώπων φύσις.

6) Hoc etiam scholion omiserunt King. et Musgr. In eo pro ἀπενέγκαιτο legendum suspicor ὑπενέγκαιτο.

ὑπὸ ἀδικίας, ἢ ἀκολασίας, ἢ τοιούτου τινός. λέγεται πάθος καὶ αὐτὴ ἡ ἀκολασία καὶ ἡ ἀδικία καὶ ἡ δειλία καὶ ὅσα τοιαῦτα προςβάλλει ἡμῖν, ὥςπερ λέγεται βέλος καὶ τὸ πεμπόμενον καὶ τὸ τραῦμα τὸ ἀπὸ τῆς βολῆς τοῦ βέλους. τούτων δὴ [7]) τῶν παθῶν τῶν προςβαλλόντων, ἤγουν τῆς ἀδικίας, τῆς ἀκολασίας, καὶ τῶν τοιούτων, ἐπικρατεῖν ὁ λογισμὸς δύναται, οὐ καταλύων αὐτὰ, ἀλλ' ὑπείκων αὐτοῖς. τὰ δὲ ἕτερα, ἤγουν αἱ πληγαὶ καὶ αἱ ἧτται αἱ ὑπὸ τούτων, ἀφανίζεται [8]) ἰατρευόμενα, ὡς μηδὲ οὐλὴν καὶ ἴχνος τι αὐτῶν καταλείπεσθαι. ἐνταῦθα δὲ πάθος λέγει σώματος ἤγουν [9]) πληγὴν καὶ κάκωσιν. *ΟΥΔΕ ΠΑΘΟΣ.* πάθος λέγεται σωματικὸν νόσημα, οἷον λώβη καὶ ἕτερα, ὅσα ἀπὸ τοῦ σώματος ἀναδίδονται· συμφορὰ δὲ θεήλατος ἡ ἀπὸ θεοῦ πεμπομένη, οἷον λοιμικὸν νόσημα, λιμὸς καὶ ἐπιδρομὴ ὑετοῦ. οὐκ ἔστιν οὐδὲν δεινὸν καὶ χαλεπὸν πρᾶγμα, οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος καὶ ἐκ θεοῦ ἐλθοῦσα, ὅπερ οὐχ ὑφίσταται ἡ τῶν ἀνθρώπων φύσις. Fl. 59. *ΘΕΗΛΑΤΟΣ*, ἀπὸ θεοῦ πεμπομένη. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gu. a m. pr. ἐκ θεοῦ παραγενομένη. Gu. a m. sec. ἀγνοοῦντες δέ· ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ οὐκ ἔστιν οὐδὲν δεινόν. διὰ τοῦτο εἰρηκὼς ἔπος καὶ πάθος πρὸς τὸ θηλυκὸν συνέταξε τὰ ἑξῆς, φάσκων, ἧς οὐκ ἂν ἄραιτ' ἄχθος. φαμὲν, ὅτι τὸ θηλυκὸν προτιμᾶται οὐδετέρου, καὶ διὰ τοῦτο πρὸς αὐτὸν (l. αὐτὸ) ἐποίησε τὴν σύνταξιν. Fl. 33.

V. 3. *ΑΧΘΟΣ.* ἄχθος ἐπὶ σώματος, ἄχος ἐπὶ ψυχῆς. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gu. a m. pr. βάρος. καὶ Ὅμηρος φησί· τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν. (Il. ω, 49.) Gu. a m. sec.

V. 4—14. *Ο ΓΑΡ ΜΑΚΑΡΙΟΣ.* ὁ γὰρ μακάριος Τάνταλος, — καὶ οὐκ ὀνειδίζω τὰς τύχας, — γεννηθεὶς, ὡς λέγουσιν, ἀπὸ τοῦ Διὸς, φοβούμενος τὴν πέτραν τὴν ὑπερκειμένην τῆς κεφαλῆς, κρέμαται ἐν τῷ ἀέρι, καὶ δίδωσι

7) δή. Sic Gu. qui paulo post habet ἤγουν τῆς ἀκολ. τῆς ἀδ.

8) ἀφανίζεται. Sic Gu. Junt. ἀφανήσεται Basil. quod retinuit King.

9) πάθος λ. σ. ἤγουν πληγὴν e Gu. recepi. Junt. Basil. Barn. πάθη λ. σ. τὴν πλ. King. πάθη λ. σ. ἤγουν πλ.

ταύτην τὴν τιμωρίαν, ὡς μὲν λέγουσιν, ὅτι ἄνθρωπος ὢν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε γλῶσσαν ἀκράτητον, νόσον αἰσχίστην καὶ χαλεπωτάτην. οὗτος ὁ Τάνταλος ἐγέννησε Πέλοπα, καὶ ἀπὸ τοῦδε ἔφυ ὁ Ἀτρεὺς, ᾧ Ἀτρεῖ ἡ Μοῖρα ἡ Κλωθὼ ξήνασα καὶ κατασκευάσασα, ἤτοι παρασχοῦσα τὰ στέμματα καὶ τὴν βασιλείαν, ἐπέκλωσε, καὶ εἱμαρμένον ἐποίησε, θέσθαι καὶ ποιῆσαι ἔριν πόλεμόν τε τῷ Θυέστῃ, ὄντι συγγόνῳ καὶ ἀδελφῷ.

V. 4. *Ο ΓΑΡ ΜΑΚΑΡΙΟΣ.* μακάριον αὐτὸν καλῶ, καὶ οὐ δυστυχῆ, ἵνα μὴ ὀνειδίσω αὐτόν. Ἄλλως. Ὁ ποτὲ μακάριος. οὐ γὰρ ὀνειδίζουσα φησὶν, ἀλλὰ βουλομένη παραστῆσαι, ὅτι πάντα τὰ δεινὰ ὑφίστανται οἱ ἄνθρωποι· ὡς Ὅμηρος, τλητὸν γὰρ Μοῖραι θνητὸν (l. θυμὸν) θέσαν ἀνθρώποισι. καλῶς δὲ τὸ ὡς λέγουσι προςέθηκεν· οὐ γὰρ πείθομαι τὸν Δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι. Ἄλλως. ἐπαινεῖταί τις ἐφ' οἷς ποιεῖ καλοῖς, καὶ ψέγεται ἐφ' οἷς ποιεῖ κακοῖς· μακαρίζεται δὲ ἐφ' οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. ἀφ' οὗ μακάριος, ὁ μακαρισμοῦ ἄξιος ἐφ' οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. καὶ μακάριον τέλος, οὗ ὁ τυχὼν μακαρίζεται. καὶ μακάριον ἔργον, ἐφ' ᾧ ὁ ἐργασάμενος μακαρίζεται. ἐνταῦθα δὲ τὸ μακάριος κατ' εὐφημισμὸν λέγεται· οὐ γὰρ καλῶν ἀπέλαυσεν ὁ Τάνταλος, ἵνα διὰ ταῦτα μακαρίζηται, ἀλλὰ κακώσεων μᾶλλον καὶ κολάσεων. *ΜΑΚΑΡΙΟΣ*, εὐδαίμων διὰ τὴν τῶν θεῶν συνήθειαν. Gu. a m. sec. *ΚΟΥΚ ΟΝΕΙΔ.* καὶ οὐ λέγω ἄθλιος καὶ ταλάντατος, εἰς ὀνειδισμὸν προφέρουσα τὰς τύχας· ἀπὸ γὰρ τῶν συμβεβηκότων αὐτῷ ἄθλιος μᾶλλον ἦν καὶ ταλάντατος. Fl. 6. 9. 21. 56. 59. 76. Gu.

V. 5. *ΔΙΟΣ ΠΕΦΥΚΩΣ.* Τμώλου καὶ Πλουτοῦς υἱὸς ὁ Τάνταλος, Ταντάλου δὲ καὶ Εὐρυανάσσης Πέλοψ, Βροτέας, Νιόβη· Πέλοπος δὲ καὶ Ἱπποδαμείας Ἀτρεὺς, Θυέστης, Δίας, Κυνόσουρος, Κορίνθιος, Ἵππαλμος, Ἵππασος, Κλέων, Ἀργεῖος, Ἀλκάθους, Αἴλιος, Πιτθεὺς, Τροίζην, Νικίππη, Λυσιδίκη, καὶ ἔκ τινος Ἀξιόχης νόθος Χρύσιππος. τούτῳ φθονήσαντες οἱ Πελοπίδαι, ὡς προκρινομένῳ παρὰ τῷ πατρὶ, ἀναπείθουσιν ἅμα τῇ μητρὶ τοὺς πρεσβυτάτους Ἀτρέα καὶ Θυέστην ἀνελεῖν τὸν παῖδα. οἱ δὲ ἀποκτείναντες εἰς φρέαρ ἐνέβαλον. ὁ δὲ Πέλοψ ὑπόπτους ἔχων τοὺς παῖδας ἐκβάλλει τῆς πατρίδος ἐπαρασάμενος. τούτων ἄλλοι μὲν ἄλλῃ ᾤκησαν, Ἀτρεὺς δὲ καὶ Θυέστης

ἐν τῇ Τριφυλίᾳ κατῴκησαν ἐν Μακέστῳ. καὶ Ἀτρεὺς μὲν Κλεόλαν τὴν Δίαντος ἀγαγόμενος ἔσχε Πλεισθένη τὸ σῶμα ἀσθενῆ. ὃς Ἐριφύλην γήμας ἔσχεν Ἀγαμέμνονα καὶ Μενέλαον καὶ Ἀναξιβίαν. νέος δὲ τελευτῶν ὁ Πλεισθένης καταλείπει τῷ πατρὶ τοὺς παῖδας. Θυέστης δὲ λαβὼν Λαοδάμην,* Ἀγαυὴν, Κάλαιον. τῶν δὲ Ἡρακλειδῶν κατασχόντων Πελοπόννησον, ἔχρησεν ὁ θεὸς αὐτοὺς μὲν ἀποστῆναι Λακεδαίμονος, τοὺς δὲ Πελοπίδας βασιλεῦσαι. *ΔΙΟΣ ΠΕΦ.* Ζεὺς, Τάνταλος, Πέλοψ, οὗ Ἀτρεὺς καὶ Θυέστης· ἐκ τοῦ Ἀτρέως Ἀγαμέμνων καὶ Μενέλαος· ἐκ τοῦ Θυέστου Ἀγλαὸς, Ὀρχόμενος, Κάλαος· ἐκ τοῦ Ἀγαμέμνονος Ἠλέκτρα, Χρυσόθεμις, Ἰφιγένεια, Ὀρέστης· ἐκ τοῦ Μενελάου μόνη ἡ Ἑρμιόνη. Gu. τὸ *ΩΣ ΛΕΓΟΥΣΙΝ* οὐκ ἐνδοιάζουσα φησὶν, εἰ παῖς ἦν τοῦ Διὸς ὁ Τάνταλος, ἀλλ' ὀνειδίζουσα τῷ δαίμονι, ὅτι τοὺς ἰδίους ἐκγόνους τοσοῦτον ἐν ταῖς δυστυχίαις παρορᾷ. [10]) *ΩΣ ΛΕΓΟΥΣΙ.* ἀπὸ τοῦ τάλας Τάνταλος ὠνόμασται, οἱονεὶ ταλάντατος· ἀθλιώτατα γὰρ πέπονθεν. Fl. 21.

V. 6. *ΚΟΡΥΦΗΣ — ΠΕΤΡΟΝ*, τὸν ὑπεράνω τῆς κορυφῆς δεδοικὼς (Gu. δεδιὼς) πέτρον. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. 1. *ΥΠΕΡΤΕΛΛΟΝΤΑ*, ὑπερκρεμάμενον, ἀναφαινόμενον. Gu. a m. 2. *ΔΕΙΜΑΙΝΩΝ.* ἐκ τούτου παροιμία Ταντάλου φόβον φοβοῦμαι, ἔτι τε πρὸς τὴν ἑτέραν ἱστορίαν Ταντάλου δίψαν διψῶ. Gu. m. 2.

V. 7. *ΑΕΡΙ ΠΟΤ.* Τινὲς μὲν φασὶν, ὧν ἐστι καὶ Εὐριπίδης, ἐν ἀέρι τὸν Τάνταλον κρέμασθαι, κἀνταῦθα τὴν δίκην ὑπέχειν ὧν ἐξήμαρτεν, ἐξειπὼν τοῖς βροτοῖς τὰ τῶν θεῶν ἀπόῤῥητα (τοῦτο γάρ ἐστι τὸ ἀκόλαστον ἔσχε γλῶσσαν) καὶ τῆς ἀμβροσίας μεταδούς. [1]) ἕτεροι δὲ λέγουσιν ἐν ᾅδου τοῦτον κολάζεσθαι, ἱστάμενον μέσον

10) Hoc scholion in Junt, Basil. Barn. in iis, quae ad vs. 4. adscripta sunt, inter ὁ ποτὲ μακάριος — αἰκίζεσθαι et ἐπαινεῖταί τις legitur. Huc transtulit King. una cum eo, quod praecedit, καλῶς τὸ ὡς λέγουσι etc.

1) μεταδούς. Sic dedi e Gu. pro vulg. μεταδιδούς, unde paulo ante γλῶσσαν pro γλῶτταν. Ex eodem paulo post est μ. τοῦ πώγ. καὶ διψῶντα pro διψῶν et αὐτὸν post πατάξων. Pro ἐπιχειρήσῃ — ἀφίσταται idem habet ἐπιχειρήσει — ἀφίστασθαι.

ὕδατος ἄχρι τοῦ πώγωνος καὶ διψῶντα. ἡνίκα δὲ ἐπιχειρήσῃ πιεῖν, ἀθρόον τό τε ὕδωρ ἀφίσταται, καὶ ὁ ἐν τῇ κεφαλῇ πέτρος κάτεισιν, ὡς δῆθεν πατάξων αὐτόν. οὐ μόνον δὲ οὗτος ἐν ᾅδου κολάζεται, ἀλλὰ καὶ Σίσυφος, καὶ Τιτυὸς, καὶ Ἰξίων, καὶ αἱ Δαναοῦ παῖδες. *ΑΕΡΙ ΠΟΤΑΤΑΙ.* ἐπεὶ διὰ γλωσσαλγίας ἥμαρτεν ὁ Τάνταλος, σιωπῇ αὐτὸν ἐκόλασεν ὁ θεός. οὔτε γὰρ ἐν οὐρανῷ αὐτὸν τιμωρεῖται, ἵνα μὴ συνδιαλέγηται τοῖς θεοῖς, ἢ λαλούντων ἀκούῃ, οὔτε ἐπὶ γῆς, ὅπως μὴ ἐξείποι τοῖς ἀνθρώποις, ἅτινα εἶδεν ἐν τῷ οὐρανῷ, οὔτε καθ' ᾅδου, ἵνα μὴ καὶ ἄλλους ὁρῶν κολαζομένους ἁμαρτωλοὺς παραμυθοῖτο, ἀλλ' ἐν ἀέρι μετεώρῳ, ὅπως μηδενὶ φθεγγόμενος μᾶλλον ἀνιῷτο. *ΑΕΡΙ ΠΟΤΑΤΑΙ*, κατὰ τὸν ἀέρα κρέμαται. (ἐξήπλωται, μετεωρίζεται, φέρεται ὥσπερ πτηνός.) Gu. *ΤΙΝΕΙ*, δίδωσι. (ἀνταποδίδωσι.) Gu.

V. 8—10. *ΩΣ ΜΕΝ ΛΕΓΟΥΣΙΝ.* ὅτι ἄνθρωπος ὢν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε γλῶσσαν ἀκράτητον, λέγω νόσον αἰσχίστην καὶ χαλεπωτάτην.

V. 9. *ΚΟΙΝΗΣ ΤΡ.* Κοινῆς τραπέζης ἀξιούμενος, ὤφειλεν εἰπεῖν. ἐπεὶ δὲ ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν τοῖς μεταλαμβάνουσιν αὐτῆς [2]) δίδωσι, διὰ τοῦτο εἶπεν ἀξίωμ' ἔχων ἴσον. *ΙΣΟΝ.* ὅρα ἐνταῦθα, ὅπως χρῆται ὁ ποιητὴς τὸ ἴσον τὸ ι ὡς βραχύ. οὐ γάρ ποτε ἐν τέλει στίχου ποὺς εὑρίσκεται συγκείμενος ἐκ μακροῦ καὶ βραχέος, ἀλλὰ τοὐναντίον. Gu.

V. 10. *ΑΚΟΛΑΣΤΟΝ.* ἐπὶ [3]) ἀκολάστῳ τινὶ λόγῳ φασὶν αὐτὸν κολάζεσθαι. εἰ γὰρ μετέδωκε τῆς ἀμβροσίας κατὰ τὸν Πίνδαρον (Ol. 1, 98 sqq.) τοῖς βροτοῖς, μᾶλλον ἂν φιλανθρωπίας παρὰ τῶν θεῶν ἐθαυμάζετο. αἰσχίστην δὲ νόσον τὴν γλωσσαλγίαν φησὶν, ὅτι πορνεία μὲν καὶ γαστριμαργία καὶ τὰ λοιπὰ πάθη ἔχουσί τι καὶ τερπνὸν, ἡ δὲ γλωσσαλγία καὶ τούτου ἐστέρηται, καὶ ὅτι τὰ μὲν ἄλλα πάθη τὸν χρώμενον βλάπτει, αὕτη δὲ κατὰ τοῦ θείου ὁπλίζεται. *ΑΚΟΛΑΣΤΟΝ.* ἀπαίδευτον. (ἄσεμνον, ὑβριστικὸν, ἄτιμον, ἀνουθέτητον. κολάζω κατὰ Ἀττικοὺς τὸ νουθετῶ.) Gu. ἐξέδωκεν τὰ μυστήρια. Fl. 21. *ΑΙΣΧΙΣΤΗΝ*, κακίστην· οὐδὲν γὰρ ἀθυρογλώσσου φαυλότερον. Gu.

2) μεταλαμβάνουσιν αὐτῆς. Sic Gu. prout edid. King. pro καταλαμβάνουσιν αὐτήν. Idem mox ἔχων pro ἔχειν.

3) Junt. Basil. Barn. ἐπεί. Corr. King.

V. 11. *ΟΥΤΟΣ ΦΥΤΕΥΕΙ.* ἐξ Εὐρυσθεμίστης [4]) τῆς Ξάνθου, ἢ Κλυτίας τῆς Ἀμφιδάμαντος, ὡς ἱστορεῖ Φερεκύδης, ὁ Τάνταλος ἐγέννησε τὸν Πέλοπα. *ΓΕΝΝΑι* ἀντὶ τοῦ ἐγέννησε. [5]) Fl. 59. 76. Gu.

V. 12. *Ωι ΣΤΕΜΜΑΤΑ.* τῆς ἀρχῆς τὸν στέφανον. Αἰσχίνης γὰρ στέμματα τὰ ἔρια φησὶν ἀπὸ τοῦ στέφειν τὰς ἠλακάτας· ἐξ ὧν γίνονται οἱ στέφανοι τῶν βασιλέων. *ΞΗΝΑΣΑ* δὲ, ἀντὶ τοῦ προξενήσασα [6]) καὶ παρασχομένη, ἢ ἀντὶ τοῦ ἐριουργήσασα, κατασκευάσασα. ὁ δὲ νοῦς, ᾗ τῷ Ἀτρεῖ περιποιησαμένη τὴν βασιλείαν θεὰ πόλεμον καὶ ἔριν πρὸς τὸν ἀδελφὸν ἐπέκλωσε. γράφεται δὲ καὶ Ἔρις, ἵνα ᾖ, ἡ θεὰ Ἔρις τὸν πόλεμον ἐπέκλωσε Θυέστῃ καὶ Ἀτρεῖ. οὐ παράλογον δὲ καὶ ἄλλον θεὸν ἐπικλώθειν, ὡς καὶ τὰς Μοίρας. Ὅμηρος γὰρ φησὶ, τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκονδε νέεσθαι. (Od. ά, 17.) τρεῖς δὲ εἰσὶ Μοῖραι, Κλωθὼ, Λάχεσις καὶ Ἄτροπος. τούτων ἡ μὲν Κλωθὼ τὰ ἑνὶ ἑκάστῳ μέλλοντα συμβήσεσθαι κλώθει καὶ κατασκευάζει, ἡ δὲ Λάχεσις λαγχάνει καὶ κληροῖ καὶ ἐπικυροῖ ταῦτα, καὶ οἷον ἐπισφραγίζει, ἡ δὲ Ἄτροπος ἄτρεπτα καὶ ἀμετακίνητα καὶ [7]) ὡς οὐκ ἂν ἄλλως γενησόμενα, τίθησιν. *ΣΤΕΜΜΑΤΑ*, βασιλείαν. (ἀπὸ συμβόλου τὸ κύριον.) Gu. *ΞΗΝΑΣΑ*, κατασκευάσασα. (προξενήσασα, ἐριουργήσασα.) Gu. τὸ δὲ *ΞΗΝΑΣΑ* διὰ τοῦτο προσέθηκε, διότι ἐπέκλωσεν εἶπε· ξαίνουσι γὰρ πρῶτον τὸ ἔριον αἱ βουλόμεναι νῆμα κατασκευάσαι γυναῖκες. Baroc. 74. Gu. *ΕΠΕΚΛΩΣΕΝ*, εἱμαρμένον ἐποίησε. (κατεσκεύασε.) Gu. *ΘΕΑ*, ἡ Μοῖρα, ἡ Κλωθώ. (ἡ τύχη.) Gu.

V. 14. *ΘΕΣΘΑΙ*, ὥςτε ποιῆσαι. (ποιήσασθαι.) Gu. *ΤΙ ΤΑΡΡΗΤΑ.* ἀντὶ τοῦ εἰς μέτρον θεῖναι ἐμὲ παρθένον οὖσαν τὰ ἄῤῥητα, ἤτοι τὰ μὴ πρέποντα λέγεσθαι

4) *Εὐρυσθεμίστης.* Sic Junt. Basil. *Εὐρυσθανάσσης* Barn. *Εὐρυανάσσης* rectius King. apud quem mendose scriptum est *Εὐρυνάσσης*, quod ne ipsum quidem correxit Musgr. Vid. ad v. 5. Tzetz. ad Lycophr. 52.

5) Pro *ἐγέννησε* Fl. 17. *ἐφύτευσε.*

6) Barn. King. Musgr. *προξενίσασα.*

7) *καὶ* e Gu. addidi, in quo tantum sunt verba *τρεῖς εἰσὶ Μ. — τίθησιν*, quae statim sequitur scholion Barocc.

ὡς αἰσχρά. *ΑΝΑΜΕΤΡΗΣΑΣΘΑΙ.* ἀνεμέτρει τὸ χωρίον παρὰ Ἀριστοφάνει ἀντὶ τοῦ διεμέτρει· ἀναμετρήσασθαι δὲ ἐνταῦθα ἀντὶ τοῦ ἀναλαβεῖν καὶ διηγήσασθαι, ἀπὸ μεταφορᾶς τῶν τὰ μετρηθέντα ἐξ ἀρχῆς [8]) ἀναλαμβανόντων καὶ μετρούντων. καθὸ λέγεται καὶ τὸ ἀνακοινωσώμεθα τὸν λόγον παρὰ Πλάτωνι, ἀντὶ τοῦ ἐξ ἀρχῆς ἀναλαβόντες κοινωσώμεθα. τὸ ἑξῆς, ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς μητρὸς ἀνοσιωτάτης, ἡ Χρυσόθεμις καὶ ἡ Ἰφιγένεια καὶ ἐγὼ ἡ Ἠλέκτρα καὶ ἄρσην ὁ Ὀρέστης. *ΑΝΑΜΕΤΡΗΣΑΣΘΑΙ.* διὰ τοῦ ἀναμετρήσασθαι τὸ πλῆθος τῶν κακῶν ἐσήμανεν. ἢ οὖν ὡς πολλὰ, ἢ ὡς ἄτοπα παραπέμπεται, ἢ ὡς παρθένος παραιτεῖται λέγειν, διὰ τὴν μοιχείαν Αἰγίσθου, ἢ τὸν ἄνομον Αἰγίσθου γάμον. οὗτος γὰρ ἦν παῖς Πελοπίας τῆς θυγατρὸς, ἢ Στερόπιδος, δι᾽ ἧς ἐποίησεν αὐτὸν Θυέστης. *ΤΑΡΡΗΤΑ*, τὰ μὴ πρέποντα λέγεσθαι, ὡς αἰσχρά. (ἢ ὡς ἄπειρα.) λέγει δὲ τὰ τῆς μοιχείας τοῦ Θυέστου. (μὴ δυνάμενα ῥηθῆναι διὰ τὸ πλῆθος, ἢ διὰ τὸ εἶναι δύςφημα. ἀναμ. ἐξαριθμῆσαι, καταλέξαι, εἰπεῖν, ἀναλαβεῖν καὶ διηγήσασθαι.) Gu. [9])

V. 15 — 27. *ΕΔΑΙΣΕ Δ᾽ ΟΥΝ ΝΙΝ.* εὐώχησεν αὐτὸν τὸν Θυέστην ὁ Ἀτρεὺς. τὰ τέκνα αὐτοῦ δηλονότι ἀποκτείνας. ἀπὸ τοῦ Ἀτρέως δὲ, — τὰς γὰρ ἐν μέσῳ δυςτυχίας σιγῶ, — ἔφυ ὁ κλεινὸς Ἀγαμέμνων, κλεινὸς μὲν, ὡς ὑπὲρ τῆς Ἑλλάδος εἰς Τροίαν στρατεύσας. εἰ δὴ κλεινὸς, ὡς ἀθλίως ἀποθανὼν καὶ τὴν τῆς γυναικὸς ὑποστὰς μοιχείαν [10]), ὁ Μενέλεώς τε ἀπὸ μητρὸς Κρητικῆς τῆς Ἀερόπης. εἰς γυναῖκα δὲ ἔλαβεν ὁ μὲν Μενέλαος τὴν Ἑλένην, τὴν μισουμένην ὑπὸ τῶν θεῶν, ὁ δὲ Ἀγαμέμνων ὁ ἄναξ τὸ λέχος τῆς Κλυταιμνήστρας (περιφραστικῶς ἀντὶ τοῦ τὴν Κλυταιμνήστραν) τὸ ἐπίσημον καὶ διάδηλον, διὰ τὸν φόνον δηλονότι, εἰς Ἕλληνας· ᾧ Ἀγαμέμνονι παρθένοι μὲν τρεῖς ἐγεννήθημεν ἐκ μιᾶς ἀνοσιωτάτης μητρὸς, Χρυσόθεμις, Ἰφιγένεια, καὶ ἐγὼ ἡ Ἠλέκτρα, ἄρσην τε

8) *ἀρχῆς.* Sic Gu. Vulgo *ἀρχῶν.*

9) Quae uncis inclusa sunt, e Baroc. 74. etiam enotavit King. Reliqua habent etiam Florr. 6. 9. 17. 21. 56. 59. 76.

10) Verba *ὡς ὑπὲρ — στρατεύσας* sub v. *κλεινός*, *ὡς ἀθλ. — μοιχείαν* sub vv. *εἰ δὴ κλεινὸς* in Gu. a m. sec. scripta sunt. Reliqua desunt.

Ὀρέστης· ἥτις Κλυταιμνήστρα περιβαλοῦσα καὶ περικρύψασα τὸν ἄνδρα ἐν ἱματίῳ κυκλοτερεῖ, μὴ ἔχοντι διέξοδον, ἔκτεινεν· ὧν δὲ χάριν ἔκτεινε δηλονότι, οὐ καλόν ἐστι παρθένῳ λέγειν, τουτέστιν ἐμοὶ τῇ παρθένῳ· ἀφίημι τοῦτο ἀσαφὲς καὶ ἄῤῥητον, σκοπεῖσθαι ἐν τῷ δήμῳ.

V. 15. *ΕΔΑΙΣΕ.* μετὰ τὸ ψωμισθῆναι τὰ τέκνα τὸν Θυέστην, ἐχρήσθη ἐν Πυθίᾳ ἐρωτῶν, πῶς τιμωρήσαιτο τὸν ἀδελφὸν, μιγῆναι τῇ θυγατρὶ Πελοπείᾳ καὶ τὸν ἐκ ταύτης γενόμενον δεινὰ κατεργάσασθαι τοὺς Ἀτρείδας Αἴγισθον. Fl. 10. 35. καὶ ἔθρεψεν αὐτὸν, ἐδείπνισε τὰ τέκνα αὐτοῦ καὶ αὐτὸν τὸν Θυέστην, ἔδωκεν αὐτῷ ἑστιᾶσαι τὰ ἑαυτοῦ τέκνα καὶ ἑστίασιν. Fl. 21.

V. 16. *ΤΑΣ ΓΑΡ ΕΝ Μ.* ἤγουν (om. Gu.) τὰ συμβάντα (om. Bar.) πρὸς ἀλλήλους κακὰ, καὶ τὴν τῆς γυναικὸς αὐτοῦ πρὸς Θυέστην μοιχείαν, καὶ ὅτι διὰ τοῦτο κατὰ θαλάσσης ταύτην ἀφῆκεν. Baroc. 74. Gu. ἐν μέσῳ τύχας λέγει τὴν μίξιν τοῦ Θυέστου τὴν μετὰ τῆς αὐτοῦ θυγατρὸς Πελοπείας, ἀφ' ἧς ἔτεκε τὸν Αἴγισθον τὸν μοιχὸν τῆς Κλυταιμνήστρας. Fl. 59. τὴν μοιχείαν Ἀερόπης αἰνίττεται, ἢ τὴν γυναῖκα Πλεισθένους, ὃν ἀνεῖλεν Θυέστης. Fl. 10.

V. 18. *ΚΡΗΣΣΗΣ.* τὸ ἀρσενικὸν Κρής, καὶ κλίνεται Κρητός· τὰ γὰρ εἰς ης ὀξύτονα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα διὰ τοῦ τος, οἷον Κρής Κρητός, βλής βλητός, σής σητός. Fl. 21.

V. 19. *ΘΕΟΙΣ ΣΤΥΓ.* τὴν θεομίσητον. (διὰ τὸ πολλῶν κακῶν αἰτίαν γενέσθαι.) Gu.

V. 21. *ΕΠΙΣΗΜΟΝ* ἐπὶ σωφροσύνῃ. Ὅμηρος· η δὴ (leg. ἡ δ' ἤτοι) τὸ πρὶν ἀναίνετο (leg. μὲν ἀν.) ἔργον ἀεικές· — φρεσὶ γὰρ κέχρητ' ἀγαθαῖσι. (Od. γ', 265 sqq.) ἢ οὖν τὸ πρὸ τοῦ ἐπίσημον, ἢ νῦν διὰ τὴν μοιχείαν φανερόν. Fl. 35. διάδηλον διὰ τὸν φόνον. (ἔνδοξον, περιβόητον διὰ τὴν ἀνυπέρβλητον ὕστερον αὐτῆς κακίαν. ἐπίσημον καὶ ἐπὶ καλῷ καὶ ἐπὶ κακῷ, ἐνταῦθα δὲ ἐπὶ κακῷ.) Gu.

V. 23. *ΧΡΥΣΟΘΕΜΙΣ.* καὶ ὁ Ὅμηρος (Il. ι, 145)· Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα. καὶ οὕτως Ἰφιάνασσαν μὲν τὴν Ἰφιγένειαν καλεῖ, Ἠλέκτραν δὲ τὴν Λαοδίκην διὰ τὸ πολυχρόνιον ἴσως τῆς παρθενίας, οἱονεὶ ἄλεκτρός τις οὖσα, ὡς αὐτὸς καὶ οὕτως φησίν· ὦ παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου. (infra v. 72.) Fl. 10. 35. 59. οὗτος ὁ ποιητὴς γ' λέγει θυγατέρας γεννηθῆναι τῷ Ἀγαμέμνονι· ὁ δὲ Σοφοκλῆς ἐν τῷ β' δράματι τέσσαρας μετὰ τῆς Ἰφιανάσσης. Gu. ἱστοροῦσι τινὲς, ὡς ἡ Ἠλέκτρα πρῶτον μὲν ἐκαλεῖτο Ἰφιάνασσα, διὰ δὲ τὸ παραταθῆναι εἰς μακρὸν τὸν τῆς παρθενίας αὐτῆς καιρὸν καὶ ἄνανδρον μεῖναι μέχρι πολλοῦ, οὕτως ἐκλήθη, ὡς ἔστι συμβαλεῖν τοῦτο ἀπὸ τῆς ἐτυμολογίας τοῦ ὀνόματος· ἀπὸ γὰρ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ λέκτρον ἡ κοίτη. Gu.

V. 24. *ΑΝΟΣΙΩΤΑΤΗΣ,* ἀδικωτάτης, μιαρωτάτης. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 25. *ΑΠΕΙΡΩι,* κυκλοτερεῖ. (ἀδιεξοδεύτῳ, μὴ διεξόδους ἔχοντι κεφαλῆς καὶ χειρῶν.) Gu. ἄπειρον, ὃ οὐκ ἦν διαπερᾶσαι χερσὶν ἢ κεφαλῇ. Fl. 35. *ΠΕΡΙΒΑΛΟΥΣΑ,* περικαλύψασα, ἐνδύσασα, ὡς τὸ περιέβαλε τὸν ἅγιον τοῖς δεσμοῖς. Gu. *ΥΦΑΣΜΑΤΙ,* ἱματίῳ. (χιτῶνι.) Gu. ἡ γὰρ Κλυταιμνήστρα χιτῶνα ὕφανεν οὔτε ταῖς χερσὶν οὔτε τῇ κεφαλῇ ἔνδυσιν (ἔκδ.) ἔχοντα, ὅπως μὴ Ἀγαμέμνων ἀμύνασθαι δύνηται τοὺς φονεύοντας. καλῶς δὲ εἶπεν, ἢ πόσιν· εἰ γὰρ εἶπε τὸν ἐμὸν πατέρα, δι' ἑαυτὴν ἐδόκει κατηγορεῖν τῆς μητρός. Αἰσχύλος δὲ φησὶν ἀμήχανον τεύχημα καὶ δυςέκλυτον.

V. 27. *ΟΥ ΚΑΛΟΝ.* οὐ γὰρ προςήκει παρθένον μοιχείας καὶ μιασμάτων ἀνόμων μεμνῆσθαι. Gu. *ΑΣΑΦΕΣ,* ἄδηλον, (σκοτεινὸν, ἄῤῥητον). Gu.

V. 28—33. *ΦΟΙΒΟΥ Δ' ΑΔΙΚΙΑΝ.* τοῦ δὲ Ἀπόλλωνος κατὰ τί πρέπει κατηγορεῖν ἀδικίαν; πείθει δὲ, ἀντὶ τοῦ ἔπεισε, τὸν Ὀρέστην κτεῖναι τὴν μητέρα, ἥτις ἐγέννησεν αὐτὸν, πρᾶγμα δηλονότι προστάξας, οὐ φέρον πρὸς ἅπαντας εὔκλειαν, καὶ καλὴν φήμην. ὅμως δὲ ἀπέκτεινε πεισθεὶς τῷ θεῷ. καὶ ἐγὼ μετέσχον τοῦ φόνου, καθὰ γυνὴ, τουτέστι συνεβούλευσα, ὁ Πυλάδης τε, μετέσχε τοῦ φόνου δηλονότι, ὃς συνέπραξεν ἡμῖν τάδε.

V. 28 sqq. *ΦΟΙΒΟΥ Δ' ΑΔΙΚΙΑΝ.* ἐν ἤθει ταῦτα· φησὶ μὲν γὰρ οὐ κατηγορήσειν τοῦ θεοῦ, ὅμως γε μὴν ὕστε-

ρον ὑπερπαθήσασα [1]) καταβοᾷ Ἀπόλλωνος, καὶ δι' ὧν ἐδό-
γει μὴ κατ' αὐτοῦ λέγειν, διὰ τούτων ἐλέγχεται αὐτοῦ κατη-
γοροῦσα. τὸ δὲ ἀκόλουθον ἦν· ὁ δὲ Ἀπόλλων, οὐκ ἄδικος μὲν,
ὅμως πείθει Ὀρέστην ἀποκτεῖναι τὴν μητέρα. πρὸς οὐχ ἅπαν-
τας δὲ τὴν εὔκλειαν φέρειν εἴρηκεν, ἐπειδὴ οἱ μὲν ἐπῄνουν
αὐτὸν, οἱ δὲ οὔ. ΦΟΙΒΟΥ Δ' ΑΔ. οὐ γὰρ πρέπει θεοῖς
ἀδικία· ἀγαθῶν γὰρ δοτῆρες εἰσί. τοῦτο δὲ λέγει ὥςπερ δυς-
χεραίνουσα διὰ τὴν τοῦ ἀδελφοῦ μανίαν· δοκεῖ γὰρ τοῦτο
λογιζομένη, ὡς, εἰ δικαίως παρὰ τοῦ Φοίβου ὁ τῆς μητρὸς
φόνος ἐθεσπίσθη Ὀρέστῃ, οὐκ ἔδει τοῦτον μανῆναι θεῷ
ὑπακούσαντα. Gu. [2]) ΤΙ ΔΕΙ, κατὰ τί ἀντὶ τοῦ οὐδέν.
(πρέπει.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ΚΑΤΗΓΟ-
ΡΕΙΝ. κατηγορεῖ τὸ σκυλάκιον τὸ προελθὸν πρῶτον τῆς
μητρὸς τὸν πατέρα ἀντὶ τοῦ δεικνύει ἐν ἑαυτῷ. κατηγορεῖν
καὶ τὸ κατά τινος ἀγορεύειν. καὶ ἔχει τὴν σύνταξιν ἀπὸ
γενικῆς εἰς αἰτιατικὴν, οἷον κατηγορῶ σου φόνον, κατηγο-
ρῶ σου ἀδικίαν. καὶ ἔστι μὲν ἡ τετελεσμένη σύνταξις αὐ-
τοῦ αὕτη. ἔστι δ' ὅτε καὶ μετὰ γενικῆς μόνης λέγεται. τὸ
τοιοῦτο δὲ καὶ ἐν ἄλλοις συμβαίνει πλείστοις, οἷον τὸ προς-
έχω ἐντελῶς μὲν λεγόμενον ἐν τῷ λόγῳ ἔχει καὶ τὸν νοῦν,
οἷον προςέχω τὸν νοῦν τοῖς λεγομένοις· λέγεται δὲ καὶ
προςέχω τοῖς λεγομένοις χωρὶς ἐκείνου. καὶ τὸ φθονῶ ἐν-
τελῶς μὲν ἔχον τῆς συντάξεως ἀπὸ δοτικῆς εἰς γενικὴν συν-
τάσσεται, οἷον φθονῶ σοι τοῦδε. λέγεται δὲ καὶ φθονῶ σοι
μόνον, καὶ ἔτι φθονῶ τῆς σῆς ἀρετῆς. Gu. Fl. 6. 9. 17.
21. 34. 56. 59. 76.

V. 29. ΣΦ'. σφὶν καὶ νὶν καὶ μὶν ἐπὶ ταῖς ἄλλαις πτώσεσιν οὐχ εὑρίσκεται. Fl. 21.

V. 30. ΠΡΟΣ ΟΥΧ — ΦΕΡΟΝ, πρᾶγμα. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. οὐ γὰρ ἅπαντες ἀποδέχονται τοῦτο, ἀλλ' οἱ μὲν, οἱ δ' οὔ. Gu. a m. sec. ΕΥΚΛΕΙΑΝ, καλὴν φήμην. (τιμὴν, δόξαν.) Gu.

V. 31. ΟΥΚ ΑΠΕΙΘΗΣΑΣ, οὐκ ἀπειθὴς γενόμενος, παρακούσας τῷ Ἀπόλλωνι. Fl. 59.

1) ὑπερπαθήσασα, quod ediderunt Barn. King. Musgr., habet etiam Junt. ὑπερπατήσασα Basil.

2) Hoc scholion edidit etiam King. haud dubie e Baroc. 74. sed sine prioribus οὐ γὰρ — εἰσί.

V. 32. ΟΙΑ ΔΗ ΓΥΝΗ. ὥςπερ ἀδύνατος ἡ γυναικεία φύσις μεταλαβεῖν φόνου· οὐ γὰρ κεκοινώνηκε τοῦ φόνου ἡ Ἠλέκτρα, ὡς καὶ Ὀρέστης φησί· σὺ μὲν γὰρ ἐπένευσας, τὰ δ' ἔργασταί μοι. ζητεῖται δὲ, τί δήποτε ἀνωτέρω παρθένον ἑαυτὴν εἰρηκυῖα, ὅπου φησὶν, ὧν δ' ἕκατι, παρθένῳ λέγειν οὐ καλὸν, ἐνταῦθα γυναῖκα ἑαυτὴν λέγει. λεκτέον δὲ, ὡς οἷα δὴ γυνὴ πρὸς τὸ θηλυκὸν γένος σκοπουμένη, ὡς οὐδὲν μὲν ἔπραξεν, ἀλλὰ τοσοῦτον, ὅσον ἂν γυνή τις φράσοιτο. ΟΙΑ ΔΗ ΓΥΝΗ. ὡς γυνὴ, συμβουλεύσασα, παραθαῤῥύνασα, ὑπομνήσασα τοῦ πατρὸς, οὐχὶ αὐτόχειρ γέγονε τῆς μητρὸς, ἀλλὰ λόγοις παρώρμησε κατ' αὐτῆς τὸν ἀδελφόν. τάχα δὲ διὰ τοῦ οἷα δὴ γυνὴ, παρονειδίζει τῇ μητρί· ἐκείνη γὰρ αὐτόχειρ γέγονε τοῦ Ἀγαμέμνονος, οὐ κατὰ γυναῖκα. ΟΙΑ ΔΗ ΓΥΝΗ, ὅσον δὲ δύνανται αἱ γυναῖκες εἰς φόνον πρᾶξαι, ὥςπερ ἀδύνατος ἡ γυναικεία φύσις μεταλαβεῖν φόνου. τοσοῦτον ἔπραξα, ὅσον ἂν γυνή τις ἐργάσηται συμβουλεύσασα, παραθαῤῥύνασα, ὑπομνήσασα τοῦ πατρός· οὐ γὰρ αὐτόχειρ γέγονε κἀκείνῳ εἰς τὸν φόνον τῆς μητρὸς, ἀλλὰ λόγοις παρώρμησε ἱσταμένη ἔξωθεν καὶ περισκοποῦσα. Fl. 59. ἐκοινώνησα καθὰ ἂν μετάσχοι γυνή. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 33. ΠΥΛΑΔΗΣ Θ' ΟΣ. Φώκου παῖδες Κρίσσος καὶ Πανοπεύς. τούτων ὁ Κρίσσος ἔκτισε τὴν νῦν Κίῤῥαν, τότε Κρίσσαν καλουμένην, καὶ παῖς αὐτῷ ἐξ Ἀντιφατείας τῆς Ναυβόλου Στρόφιος ἐγένετο. οὗ Ἀστυδάμεια καὶ Πυλάδης ἐκ Κυδραγόρας τῆς ἀδελφῆς Ἀγαμέμνονος.

V. 34 — 45. ΕΝΤΕΥΘΕΝ. ἤτοι ἐξ ἐκείνου συντακεὶς, καὶ συμμιγεὶς ὁ τλήμων Ὀρέστης νόσῳ ἀγρίᾳ, ἤτοι μανίᾳ, νοσεῖ· ὁ δὲ, ἀντὶ τοῦ ὃς δὴ, πεσὼν ἐν κοίτῃ κεῖται. ὁ φόνος γὰρ τῆς μητρὸς ἐλαύνει καὶ ταράσσει αὐτὸν μανίαισιν, ὑπὸ μανιῶν, τῶν Ἐριννύων δηλονότι. αἰδοῦμαι γὰρ ὀνομάζειν καὶ λέγειν θεὰς Εὐμενίδας, τὰς Ἐριννύας δηλονότι, αἳ ταράσσουσι τόνδε διὰ φόβου. ἕκτον δὲ ἦμαρ τόδε ἐστὶ δηλονότι, ἐξότου σφαγαῖς καὶ διὰ σφαγῆς θανοῦσα ἡ μήτηρ ἐκαθάρθη τὸ δέμας διὰ τοῦ πυρός· δι' ὧν ἡμερῶν οὔτε τροφὴν ἐδέξατο διὰ τοῦ λαιμοῦ, οὐ λουτρὰ ἔδωκε τῷ σώματι, ἤτοι οὐκ ἐνίψατο· κρυφθεὶς δὲ ἔσω τῶν ἱματίων, ὅταν μὲν κουφισθῇ τὸ σῶμα ἀπὸ τῆς νόσου, ἔμφρων γενόμενος δηλονότι, δακρύει, ποτὲ δὲ ἀπὸ τῆς κοίτης πηδᾷ, καθὰ πῶλος ἀπὸ ζυγοῦ δρομαῖος καὶ ταχύς.

V. 34. ΕΝΤΕΥΘΕΝ, μετὰ τὴν ματροκτονίαν. Fl. 59. ἐξ ἐκείνου. (ἐκ τῆς αἰτίας ταύτης. ἐκ τούτου, μετὰ τὸ γενέσθαι τὸν φόνον.) Gu. ΑΓΡΙΑι, ἀγριότητος ποιητικῇ. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀφορήτῳ. μεγάλῃ. Gu. m. sec. ΣΥΝΤΑΚΕΙΣ, συμφθαρείς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. συμπλακείς. Fl. 2. συγκολληθείς. Fl. 10.

V. 35. ΤΛΗΜΩΝ. ὁ δυστυχὴς παρὰ τοῖς Τραγικοῖς, παρὰ δὲ τῷ ποιητῇ ὁ ὑπομονητικός. Fl. 10. Ο ΔΕ, ὅς. Gu.

V. 36. ΔΕ, γάρ. Gu. ΤΡΟΧΗΛΑΤΕΙ, κατεπείγει, μετὰ τοῦ τροχοῦ καὶ ἁρμάτων ἐλαύνει. ΤΡΟΧΗΛΑΤΕΙ, ταράσσει, ἐλαύνει. (κινεῖ δίκην τροχοῦ.) Gu. ἤγουν ποιεῖ κινεῖσθαι ὧδε καὶ ἐκεῖσε δίκην τρόχου. Fl. 21. κατεπείγει· τρόχος γὰρ ὁ δρόμος. Fl. 10.

V. 37. ΟΝΟΜΑΖΕΙΝ. ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς τὰς Ἐριννῦς. οὐκ ὀνομάζουσι δὲ, ἀλλ' εὐφημιζόμενοι θεὰς ἢ Εὐμενίδας καλοῦσιν. ὀνόματα δὲ τῶν Ἐριννύων, Τισιφόνη, Μέγαιρα καὶ Ἀληκτώ. Ἄλλως. ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς Εὐμενίδας, τουτέστιν εὐλαβοῦμαι λέγειν, ὅτι αἱ Εὐμενίδες, ἤγουν αἱ Ἐριννύες ποιοῦσιν αὐτὸν μαίνεσθαι, αἳ τοῦτον ἐξαμιλλῶνται καὶ ἐλαύνουσιν ἐν φόβῳ. ἔστι δὲ τὸ σχῆμα κατὰ παράλειψιν· ὃ γὰρ ηὐλαβεῖτο λέγειν, εἴρηκεν. οἱ δὲ πολλοὶ [3]) οὕτω νοοῦσιν· αἰδοῦμαι τὰς Εὐμενίδας λέγειν θεὰς, ἀντὶ τοῦ εὐλαβοῦμαι λέγειν αὐτὰς εἶναι τοῦ θείου γένους, ὡς κακῶν παρεκτικάς. τὸ δὲ ἐξαμιλλῶνται εἶπεν, ἐπειδὴ οἱ ἀγωνιζόμενοι πρὸς ἀλλήλους ἐν γυμνασίοις ἄνω καὶ κάτω στρέφονται τοῖς ἀγωνίσμασιν.

V. 38. ΕΥΜΕΝΙΔΑΣ. Εὐμ. φησὶν αὐτὰς κατ' ἀντίφρασιν· μᾶλλον γὰρ εἰσὶ δυσμενίδες ἢ εὐμενίδες· τὴν γὰρ τῆς μανίας νόσον αὗται τοῖς ἀνθρώποις προσάγουσιν ἐπεκδικοῦσαι. Fl. 21. ΕΞΑΜΙΛΛΩΝΤΑΙ, ταράσσουσιν, εἰς ἀγῶνα ἐμβάλλουσιν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. δίκην τῶν ἁμιλλωμένων κινεῖσθαι ποιοῦσιν. Gu. a m. 2. συνεχῶς φοβοῦνται. Fl. 10.

3) οἱ δὲ — νοοῦσιν e Gu. addidi, quum in Junt. Basil. Barn. esset εἴρηκεν. Ἄλλως. αἰδ. Eadem verba haud dubie e Baroc. addidit etiam King. Paulo ante παράλειψιν est a Barn. prout habet Gu. Junt. Basil. παράληψιν. In sqq. τὸ δὲ ἐξαμ. εἶπεν e Gu. scripsi pro εἶπε δὲ τὸ ἐξαμ.

V. 39. ΕΞΟΤΟΥ ΣΦΑΓΑΙΣ. καὶ Ὅμηρος· ἤτοι ὃ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν. αὐτῆμαρ δέ οἱ ἦλθε. (Od. γ', 309.)

V. 40. ΚΑΘΗΓΝΙΣΤΑΙ. καθωσίωται, κέκαυται. ἁγνείαν γὰρ ἐκάλεσε τὴν διὰ πυρὸς φθορὰν τοῦ σώματος. ΚΑΘΗΓΝΙΣΤΑΙ. κεκάθαρται· πάντα γὰρ καθαίρει τὸ πῦρ, καὶ ἁγνὰ δοκεῖ εἶναι τὰ καιόμενα, τὰ δὲ ἄκαυστα [4]) μεμιασμένα.

V. 41. ΩΝ ΟΥΤΕ. ἀφ' ὧν, ἢ ἐξ ὧν ἓξ ἡμερῶν οὐκ ἔφαγεν. ἐμφαίνει δὲ, ὡς προσηνέχθη μὲν αὐτοῦ τῷ στόματι ἡ τροφὴ, ἀλλὰ καταπιεῖν οὐκ ἐδυνήθη. ΔΙΑ ΔΕΡΗΣ, τοῦ λαιμοῦ. (φάρυγγος.) Gu. τράχηλος καὶ αὐχὴν τὸ ὄπισθεν, δέρη καὶ δειρὴ τὸ ἔμπροσθεν. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 42. ΟΥ ΛΟΥΤΡ' ΕΔ. οὐκ ἐκαθαρίσθη τῷ προσώπῳ, οὐκ ἐνίψατο, ἢ οὐκ ἐλούσατο· οἱ γὰρ Ἕλληνες συνεχῶς καὶ σχεδὸν καθ' ἡμέραν ἐλούοντο. Fl. 59. ΧΛΑΝΙΔΙΩΝ, τῶν ἁπαλῶν σκεπασμάτων τῶν ἐπὶ τῆς κοίτης, ἱματίων. Gu.

V. 43—45. ΟΤΑΝ ΜΕΝ Σ. ὅταν μὲν κουφισθῇ τῆς μανίας, εἴσω τῶν στρωμάτων κρυβεὶς λυπεῖται, ἐξ οἵων ἄρα εἰς οἷα ἐμπέπτωκε λογιζόμενος, ὅταν δὲ τῇ μανίᾳ κάτοχος ᾖ, ἄνω καὶ κάτω φέρεται ἁλλόμενος (Cod. ἁλλώμενος) καὶ οὐκ ἐν δεμνίοις κεῖται, ἀλλ' ἀποπηδᾷ μὲν δρομαῖος, ὥσπερ πῶλος ἀπαλλαγεὶς τοῦ ζυγοῦ. Gu.

V. 43. ΣΩΜΑ, κατὰ τό. Fl. 59. ΚΟΥΦΙΣΘΗι, ῥαϊσθῇ καὶ ἀπαλλαγῇ. Gu. ἐλαφρωθῇ ἀπὸ τῆς μανίας. Fl. 59.

V. 44. ΕΜΦΡΩΝ γενόμενος. (δέον ἐμφρόνως εἰπεῖν, πρὸς τὸ Ὀρέστης ἔμφρων εἶπεν.) Gu. σῶας ἔχων τὰς φρένας. Fl. 59.

V. 46—70. ΚΥΡΙΑ Δ' ΗΔ'. ἐκυρώθη δὲ τοῖς Ἀργείοις (τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου) μήτε ἐν οἴκοις

4) ἄκαυστα. Sic Fl. 59. pro ἄταφα. In eo utrumque scholion conjunctum est: κάθαρσιν ἁγνείαν ἔλεγον οἱ Ἕλληνες τῶν ἁμαρτιῶν τοῦ σώματος τὴν διὰ πυρὸς καῦσιν καὶ φθορὰν τούτου· πάντα γάρ κ. τ. λ.

μήτε ἐν θυσίαις δέχεσθαι ἡμᾶς τινὰ μητροκτονήσαντας,
μήτε προσαγορεύειν· κυρία δὲ, ἤτοι ὡρισμένη καὶ κεκυρω-
μένη ἥδε ἡ ἡμέρα, ἐν ᾗ ἐξοίσει ἡ πόλις τῶν Ἀργείων τὴν
ἀπόφασιν, εἰ πρέπει θανεῖν ἡμᾶς ἐν πετρώματι λιθοβολη-
σίμῳ, ἢ ξίφος ἀκονήσαντά τινα βαλεῖν ἐπὶ τοῦ αὐχένος
ἡμῶν δηλονότι. ἔχομεν δὲ δή τινα ἐλπίδα, ὥςτε μὴ θανεῖν·
ἥκει γὰρ ἀπὸ τῆς Τροίας ὁ Μενέλαος εἰς τὴν γῆν τὴν ἑαυ-
τοῦ δηλονότι, εἰς τὴν πατρίδα, τὸν λιμένα δὲ τὸν Ναύπλιον,
τὸν ἀπό τινος Ναυπλίου οὕτω λεγόμενον, διανύσας κώπῃ,
ἐνελιμένισε τῷ αἰγιαλῷ, ἐπὶ πολὺν χρόνον ἐκ τῆς Τροίας
πλανηθείς· τὴν δὲ πολλῶν στεναγμῶν αἰτίαν Ἑλένην προ-
έπεμψεν εἰς τὸν οἶκον τὸν ἡμέτερον, ἐπιτηρήσας νύκτα,
ἵνα μή τις ἰδὼν πορευομένην κατὰ τὴν ἡμέραν ὧν οἱ παῖ-
δες ἀπέθανον ἐν τῇ Τροίᾳ, λιθοβολήσῃ αὐτήν· ἔστι δὲ ἔσω
κλαίουσα τὴν ἀδελφὴν καὶ τὴν δυστυχίαν τῶν δωμάτων.
ἔχει δὲ δή τινα παραμυθίαν τῶν θλίψεων· ἣν γὰρ ὁ Με-
νέλαος ἀπὸ τῆς Σπάρτης ἀγαγὼν ἔλιπε κατὰ τοὺς οἴκους,
ὅτε ἔπλει εἰς τὴν Τροίαν, τῇ ἐμῇ τε μητρὶ παρέδωκεν ἀνα-
τρέφειν, τὴν παρθένον λέγω τὴν Ἑρμιόνην, ἐπὶ ταύτῃ χαί-
ρει, καὶ ἐπιλήθεται τῶν δυστυχιῶν. βλέπω δὲ πᾶσαν εἰς-
έλευσιν, πότε ὄψομαι τὸν Μενέλαον ἥκοντα, ὅτι κατὰ τὰ
ἄλλα ἐπ᾽ ἀσθενοῦς ῥώμης ὀχούμεθα καὶ φερόμεθα, ἐὰν
μὴ σωθῶμεν κατά τι παρ᾽ ἐκείνου. ἄπορον χρῆμα ὑπάρχει
δηλονότι ὁ δόμος ὁ δυστυχῶν.

V. 46 sqq. *ΕΔΟΞΕ Δ᾽ ΑΡΓΕΙ.* φανερὸν, ὅτι ἐν
Ἄργει ὑπόκειται ἡ σκηνὴ τοῦ δράματος. Ὅμηρος δὲ ἐν Μυ-
κήναις φησὶ τὰ βασίλεια Ἀγαμέμνονος, Στησίχορος δὲ καὶ
Σιμωνίδης ἐν Λακεδαιμονίᾳ. τὸ δὲ ἑξῆς· ἔδοξε δ᾽ Ἄργει
τῷδε μήθ᾽ ἡμᾶς στέγαις δέχεσθαι. πρὸς δὲ τὸ πῦρ οὐδὲν
ἀνταπέδωκεν· ἔξωθεν οὖν ἀκουστέον τὸ ἐναύειν. καὶ ἔστι
σχῆμα Ἀττικὸν, μὴ πυρὶ ἐναύειν, ἀντὶ τοῦ μήτε πυρὸς
ἐναύειν. οὐ γὰρ τὸ δέχεσθαι πρὸς τὸ πῦρ ληπτέον. *ΕΔΟ-
ΞΕ Δ᾽ ΑΡΓΕΙ*, ἔδοξε δὲ τῷ Ἄργει, ἤγουν τῷ λαῷ, μήτε
δέχεσθαι ἡμᾶς ἐν ταῖς στέγαις καὶ ἐν τοῖς οἴκοις ματρο-
κτονοῦντας καὶ φονεύσαντας τὴν μητέρα, μήτε δέχεσθαι ἐν
πυρὶ ἤγουν ἐν ταῖς θυσίαις, μήτε προςλαλεῖν ἡμᾶς τινά.
Fl. 59.

V. 46. *ΕΔΟΞΕ*, ἐκυρώθη. (ἐκρίθη, ἐτυπώθη. ἀρε-
στὸν ἐφάνη.) Gu.

V. 47. *ΠΡΟΣΦΩΝΕΙΝ*, χαιρετίζειν. (προςλαλεῖν.
ἡμᾶς.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 48. *ΜΗΤΡΟΚΤΟΝΟΥΝΤΑΣ*, ἀντὶ τοῦ μητρο-
κτονήσαντας. (τὴν μητέρα φονεύσαντας, κατ᾽ ἀντιχρονι-
σμόν.) Gu. *ΚΥΡΙΑ Δ᾽ ΗΔ᾽ ΗΜ.* ἐν ταύτῃ ἐστὶ τὸ κῦ-
ρος. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. κυρω-
θεῖσα, ὡρισμένη, τετυπωμένη. Gu. a m. sec. *ΗΜΕΡΑ*,
ἤγουν ἡ σήμερον. Fl. 59.

V. 49. *ΕΝ Ηι ΔΙΟΙΣΕΙ*, ἀντὶ τοῦ ἐξοίσει. (ἐξενέγ-
κει, κομίσει. ἡ διὰ ἀντὶ τῆς ἐξ, ὡς τὸ διεγράψατέ με τῆς
πολιτείας, ἤγουν ἔξω ἐβάλετε.) Gu.

V. 51. *Η ΦΑΣΓΑΝΟΝ.* κέκριται, φησὶν, ἡμᾶς τε-
λευτῆσαι· πότερον δὲ ξίφει, ἢ λίθοις βληθέντας, σήμερον
κρινοῦσι. *ΘΗΞΑΝΤ᾽*, ἀκονήσαντα τινά. (ἡμᾶς.) Gu.

V. 54. *ΝΑΥΠΛΙΕΙΟΝ.* Ναύπλιος Ἀργεῖος ἀνὴρ,
ναυτικῆς ἔμπειρος, λιμένα κατασκευάσας, ἀφ᾽ ἑαυτοῦ ἐκάλεσε
Ναύπλιον. ἦν δὲ υἱὸς Ποσειδῶνος καὶ Ἀμυμώνης. ἢ ὅτι ἐν
λειμῶνι διέτριβεν, ἐκ τούτου ὁμώνυμος αὐτῷ ὁ λιμήν.
ΝΑΥΠΛΙΕΙΟΝ. Ναύπλιος λιμὴν ἐκλήθη ἀπὸ Ναυπλίου,
ἀνδρὸς Ἀργείου, υἱοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, εὑρόν-
τος πρώτου (King. πρῶτον) τὰ ναυτικά. ἔστι δὲ καὶ ἕτε-
ρος ἀνὴρ Ναύπλιος, πατὴρ Παλαμήδους, ὃς ἀμυνόμενος
τοὺς Ἕλληνας διὰ τὸν ἐν Τροίᾳ τοῦ παιδὸς φόνον, ἐπιτη-
ρήσας ὅτε ἀνέστρεφον ἐκεῖθεν, οὓς ἂν αὐτῶν εὗρε χειμαζο-
μένους, τῷ τῆς θαλάσσης βυθῷ παρεδίδου· ἔστι δὲ οὗτος
ὁ λιμὴν ἐν Ἄργει. Baroc. 74. Gu.

Ib. *ΕΚΠΛΗΡΩΝ ΠΛΑΤΗι.* ἤτοι τὴν ὁδὸν διαπε-
περακὼς, ταῖς κώπαις προςορμίζεται τοῖς ἀκταῖς. ὑπὸ δὲ
τῶν πλατῶν τὰς ναῦς σημαίνει. Πλάτη δὲ τὸ πλατὺ τῆς
κώπης, ὃ μεθίεται εἰς τὴν θάλασσαν. *ΕΚΠΛΗΡΩΝ
ΠΛ.* ἀντὶ τοῦ διανύσας κώπῃ. (ἐκτελῶν, διαπερῶν.) Gu.

V. 56. *ΑΛΑΙΣΙ*, πλάναις. Gu. *ΠΛΑΓΧΘΕΙΣ*,
πλανηθείς. Gu. *ΠΟΛΥΣΤΟΝΟΝ*, τὴν πολλῶν στεναγμῶν
αἰτίαν. (ἢ τὴν ἀξίαν.) Gu. Baroc. 74.

V. 57. *ΕΙΣΙΔΩΝ.* περισσὴ ἡ εἰς. Gu. Fl. 6. 9.
17. 21. 56. 59. 76.

V. 58. *ΜΕΘ᾽ ΗΜΕΡΑΝ.* οὐκ ὀρθῶς νῦν ποιοῦσιν αὐτὴν τινὲς τῶν ὑποκριτῶν προειςπορευομένην καὶ τὰ λάφυρα [προειςπορευόμενα] μεθ᾽ ἡμέραν· ῥητῶς γὰρ αὐτὴν νυκτὸς ἀπεστάλθαι φησί. τὰ δὲ κατὰ τὸ δρᾶμα ἡμέρᾳ συντελεῖται. 5) *ΜΕΘ᾽ ΗΜΕΡΑΝ.* Ἀττικῶς· καθ᾽ ἡμέραν καὶ εἰς ἡμέραν κοινῶς. Gu.

V. 59. *ΕΣ ΠΕΤΡΩΝ Ε. Β.* λιθοβολήσῃ. ἡ εὐθεῖα ὁ πέτρος. Gu. Fl. 6. 9. 21. 56. 59. 76.

V. 60. *ΠΡΟΥΠΕΜΨΕΝ*, ἔμπροσθεν ἔπεμψεν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. προαπέστειλεν. Gu. m. sec.

V. 61. *ΣΥΜΦΟΡΑΣ ΤΕ ΔΩΜΑΤΩΝ.* συμφορὰ οὐ μόνον ἡ δυστυχία, ἀλλὰ καὶ ἡ συνέλευσις, ὡς ἔχει καὶ τὸ τοῦ Σοφοκλέους, κἀπὶ συμφορᾷ γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο. (El. 1230. Br.)

V. 62. *ΠΑΡΑΨΥΧΗΝ*, παραμυθίαν. (παρηγορίαν.) Gu.

V. 67. *ΕΙΣΟΔΟΝ*, διέλευσιν, δίοδον, ὁδόν. Gu.

V. 68. *ΤΑ Γ᾽ ΑΛΛΑ.* κατὰ τὰ ἄλλα γὰρ ἐπ᾽ ἀσθενοῦς ῥώμης κρεμώμεθα, ἤγουν οὐδεὶς ἕτερος ἐστιν ὁ βοηθήσων ἡμᾶς, ἐὰν μὴ παρὰ τοῦ Μενελάου σωθῶμεν. Fl. 59.

V. 70. *ΑΠΟΡΟΝ ΧΡ.* ἄπορον χρῆμα ὑπάρχει ὁ δόμος τῶν δυστυχῶν, ἤγουν τοὺς δυστυχοῦντας οὐδεὶς ἔστιν ὁ βοηθῶν αὐτούς. Fl. 59. ἤγουν οἱ δυςτυχοῦντες ἀποροῦσιν, ὅ τι καὶ δράσουσιν. Gu.

V. 71—80. *Ω ΠΑΙ ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ.* ὦ θύγατερ τῆς Κλυταιμνήστρας καὶ τοῦ Ἀγαμέμνονος, παρθένε ἐπὶ μακρὸν δὴ μῆκος χρόνου, πῶς σύ τε, ὦ τάλαινα, ἔφυς δηλονότι κατὰ κοινοῦ, ὁ σός τε κασίγνητος Ὀρέστης, οὗτος ἔφυ καὶ ἐγένετο φονεὺς τῆς μητρός; τοῖς προςφθέγμασι γάρ σου, ἤγουν τῇ πρὸς σὲ ὁμιλίᾳ, οὐ μιαίνομαι,

5) Hoc scholion est etiam in Flor. 33. unde recepi τινὲς ante τῶν ὑποκρ. (Cod. ποιοῦσι τινὲς τῶν ὑποκρ. προεισπ. τὴν Ἑλένην.) μεθ᾽ ἡμέραν — ῥητῶς pro ἀῤῥήτως — συντελεῖται pro ἐκτελ. προειςπορευόμενα in eodem deest.

ἀνατιθεῖσα τὸν φόνον εἰς τὸν Ἀπόλλωνα. καίτοι θρηνῶ τὸν θάνατον τῆς Κλυταιμνήστρας τῆς ἐμῆς ἀδελφῆς, ἣν, ἀφ᾽ οὗ ἔπλευσα πρὸς τὴν Ἴλιον, (ὅπως δὲ καὶ πῶς ἔπλευσα, ἀπὸ μήνιδος θείας,) οὐκ εἶδον, στερηθεῖσα δὲ τῆς ἀδελφῆς, θρηνῶ τὰς τύχας καὶ τὰς δυστυχίας. Ἰστέον δὲ, ὅτι ἡ αὐτὴ Ἠλέκτρα παρ᾽ Ὁμήρῳ Λαοδίκη εἴρηται· 6) ἢ κατὰ τρόπον διωνυμίας Ἠλέκτρα ἐκλήθη, διὰ τὸ κατ᾽ ὄψιν ἠλεκτρῶδες καὶ χρυσοειδὲς, ἢ κατὰ λόγον τινὰ σκώμματος, διὰ τὸ πολὺν χρόνον ἄλεκτρον μεῖναι χόλῳ Κλυταιμνήστρας. ὃ δὴ καὶ Εὐριπίδης νῦν παρίστησιν, ἐν τῷ παρθένε δὴ μῆκος. *Ω ΠΑΙ ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ.* τοῦ προςήκοντος ἤθους ἐξέπεσεν ὁ Εὐριπίδης· νῦν γὰρ πρῶτον ἀλλήλας βλέπουσι, καὶ ἀήθως πάνυ οὔτε ἀσπάζονται ἀλλήλας, ἅμα δὲ δυςωπεῖ τὴν Ἠλέκτραν, καὶ λυπεῖ ὑπομιμνήσκουσα τοῦ τῆς Κλυταιμνήστρας ὀνόματος καὶ προςτάττουσα. ἀκολούθως δὲ καὶ τόδε διατετμημένον. τὸ δὲ ἑξῆς μακρὸν δὴ μῆκος χρόνου παρθένε, Ἠλέκτρα, ἀντὶ τοῦ, ὦ πολυχρόνιε παρθένε, ἤτοι πολλῷ χρόνῳ παρθενευομένη. τοῦτο δὲ καὶ ὑβρίζουσα αὐτὴν φησὶν, ὡς αἰτίαν ἔχουσα καὶ διὰ τοῦτο μὴ γαμουμένη. παρεμφαίνει δὲ διὰ τούτου, ὅτι εὐμοιρίας νομίζει τέλος τὸν γάμον. 7) *Ω ΠΑΙ ΚΛ.* ἐξιοῦσα τῶν δόμων ἡ Ἑλένη κατέχει χοὰς καὶ βόστρυχον τῶν οἰκείων τριχῶν ἀποτετμημένον. Gu. *)

V. 72. *ΜΑΚΡΟΝ ΔΗ Μ.* ἔστιν δηλονότι, ἐξ ὅτου οὐκ οἶδα ὑμᾶς. παρασιώπησις. Fl. 21. ἥτις ἦσθα παρθένος ἐπὶ πολὺν χρόνον· διὰ γὰρ τοῦτο ἐκλήθης πολὺν χρόπον οὖσα παρθένος. Fl. 6.

V. 73. *ΠΩΣ, Ω ΤΑΛ.* ἔχετε δηλονότι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 74. *ΦΟΝΕΥΣ ΕΦΥ.* δέον ἔφυτε εἰπεῖν, ἐπειδὴ

6) Junt. Basil. Barn. εὕρηται. Corr. King.

7) Similia habet Flor. 59. θέλουσα ἵνα λυπήσῃ τὴν Ἠλέκτραν ἡ Ἑλένη ὑπομιμνήσκει αὐτὴν τοῦ τῆς μητρὸς πρότερον ὀνόματος. ἀήθως δὲ πάνυ πρὸς ἀλλήλας βλέπουσι, καὶ οὔτε ἀσπάζονται ἀλλήλας, οὔτε προςφωνοῦσιν. ὀνειδίζουσα αὐτὴν λέγει ὡς μητροφόντας.

*) Repetitum legitur hoc scholion ad vs. 96.

καὶ ἀμφότεροι τὸν φόνον εἰργάσαντο, ἡ μὲν βουλευσαμένη, ὁ δὲ πράξας, ὁ δὲ εἰπὼν σύ τε [8]) κασίγνητός τε σὸς, πρὸς τὸν Ὀρέστην ἀπέδωκε, διὰ μὲν τοῦ συμπαραλαβεῖν ἀμφοτέρους δεικνύων βουλευσαμένους τὸν φόνον, διὰ δὲ τοῦ ἔφυ μόνον τὸν Ὀρέστην εἰργασμένον. ἢ οὕτω δέον εἰπεῖν, πῶς ἔχετε, ὦ τάλαινα σύ τε κασίγνητός τε σὸς, τλήμων Ὀρέστης, ὁ δὲ τὴν ὁρμὴν τῆς προτάσεως, ἤτοι τὸ ἔχετε, ἐάσας, ἐπειδὴ Ὀρέστης ἐφόνευσε τὴν μητέρα, πρὸς τοῦτον τὴν ἀπόδοσιν ἐποιήσατο. ἀγνοοῦντες δέ τινες τὸ ὅδε ἀντὶ τοῦ ὅςτις φασίν. ἔστι δὲ τὸ ὅδε διὰ μέσου δεικτικόν.

V. 75. *ΠΡΟΣΦΘΕΓΜΑΣΙΝ.* προςφωνήμασι· κατὰ γὰρ τὴν πρὸς σὲ ὁμιλίαν οὐ μιαίνομαι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. a m. pr. ὁμιλίαις, προςλαλίαις. Gu. a m. 2. *ΣΕΘΕΝ,* ἀπὸ σοῦ, συνάπτεται δὲ πρὸς τὸ μιαίνομαι. Gu. m. 2.

V. 76. *ΕΙΣ ΦΟΙΒΟΝ.* καὶ τοῦτο πανούργως· ἀναμάρτητον γὰρ τὸ θεῖον ἐμφαίνει ὁ ποιητὴς, ὡς καταψευδομένων αὐτῶν τοῦ Ἀπόλλωνος. *ΕΣ ΦΟΙΒΟΝ ΑΝΑΦ.* εἰς Φοῖβον κρύπτει τὴν μοιχείαν αὐτῆς καὶ εἰς τὸν θεὸν ἀναφέρει τοῦτο. Fl. 59.

V. 77. *ΚΑΙΤΟΙ.* σημείωσαι, ὅτι τὸ καίτοι μετὰ μετοχῆς συντάσσεται, εἰ μὴ κατὰ στιγμὴν ᾖ. Gu.

V. 78 sq. *ΗΝ ΕΠΕΙ ΠΡΟΣ ΙΛΙΟΝ.* ἣν οὐκ εἶδον, ἀφ᾽ οὗ εἰς τὴν Ἴλιον ἔπλευσα· διὰ μέσου γὰρ τὸ ὅπως ἔπλευσα, εἶτα, ὥσπερ αἰτίαν λέγουσα τοῦ πλοῦ, θεομανεῖ πότμῳ φησὶ, ἀντὶ τοῦ ὑπὸ εἱμαρμένης μανεῖσα, ἢ μοίρᾳ θεοῦ μανεῖσα. Ἄλλως. ἣν οὐκ εἶδον, ἀφ᾽ οὗ πρὸς Ἴλιον ἔπλευσα· εἰ δὲ θέλεις γνῶναι, ὅπως ἔπλευσα, γίνωσκε, ὅτι θεομανεῖ πότμῳ. κρύπτει δὲ τὴν μοιχείαν, καὶ ὑπὸ βίας δαίμονός τινος ἦχθαι εἰς Τροίαν φησίν.

V. 79. *ΟΠΩΣ Δ᾽ ΕΠΛΕΥΣΑ.* διὰ μέσου ταῦτα, ἤγουν ὁ τρόπος τοῦ ἐμοῦ ἀπόπλου ὑπὸ δυστυχίας ἦν θεομανής. *ΘΕΟΜΑΝΕΙ ΠΟΤΜΩι* φησὶ ἀντὶ τοῦ ὑπὸ εἱμαρμένης ἐλαθεῖσα. κρύπτει δὲ τὴν μοιχείαν ἄδηλον τινὸς ἀπολειφθῆναι θρήνου τοῦ μὴ εἰδέναι τὴν Κλυταιμνήστραν, ἢ τοῦ γνῶναι τὴν αἰτίαν τῆς μοιχείας ἢ τοῦ φόνου. Fl. 33.

8) σύ τε. Sic Gu. Vulgo σύ γε. Ex eodem in fine addidi τό, ἔστι δὲ τὸ ὅδε.

V. 80. *ΤΥΧΑΣ,* τὰς δυςτυχίας. Gu. ἡ τύχη μέση λέξις ἐστὶ καὶ ἐπὶ δυςτυχίας λαμβανομένη καὶ ἐπὶ εὐτυχίας, ὡς καὶ ἡ ὀσμὴ καὶ ἐπὶ εὐωδίας λαμβάνεται καὶ ἐπὶ δυςωδίας. Fl. 59.

V. 81 — 87. *ΕΛΕΝΗ.* Ὦ Ἑλένη, τί λέγοιμι ἄν σοι, ἄγε, ἥτις σὺ παροῦσα ὁρᾷς τὸν γόνον, ἤτοι τοὺς παῖδας τοῦ Ἀγαμέμνονος ἐν συμφοραῖς; ἐγὼ μὲν ἄϋπνος πάρεδρος θάσσω, ἀντὶ τοῦ παρακάθημαι, ἀθλίῳ νεκρῷ· νεκρὸς γὰρ οὗτος χάριν μικρᾶς ἀναπνοῆς, τουτέστιν ἐγγὺς ἐστὶ νεκροῦ, διότι σμικρὰν ἔχει πνοήν· τὰς τούτου δὲ δυςτυχίας οὐκ ὀνειδίζω· σὺ δὲ εἶ μακαρία, μακάριός τε ὁ σὸς πόσις Μενέλαος, ἥκετε εἰς ἡμᾶς ἀθλίως δυστυχήσαντας.

V. 81. *ΕΛΕΝΗ.* πρὸς πάσας τὰς ὕβρεις ἀντίκειται τὸ Ἑλένη, ὅθεν καὶ χιάζεται [9]) ὁ στίχος. σεσημείωται γὰρ τὸ ὄνομα τῆς Ἑλένης. αἰνίττεται δὲ, ὅτι πονηρῶς κερτομεῖ πυνθανομένη περὶ ὧν παροῦσα ὁρᾷ. Ἄλλως. τὸ Ἑλένη, τί σοι λέγοιμ᾽ ἂν, βαρυνομένου ἦθος δηλοῖ κατὰ τοὺς παλαιούς. ἡ γὰρ τοῦ κυρίου ὀνόματος χρῆσις ποτὲ μὲν βαρύτητός ἐστιν, ὡς ἐνταῦθα, ποτὲ δὲ ἀφελείας, ὡς παρ᾽ Ὁμήρῳ ἐν τῇ ζ ῥαψῳδίᾳ, ὡς ἀπὸ τῆς Ἀνδρομάχης, Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ. (v. 429.) *ΤΙ ΣΟΙ ΛΕΓΟΙΜ᾽ ΑΝ.* τί χρεία διηγήσασθαί σοι, ἅτινα ὁρᾷς; τί δὲ ὁρᾷς; ἐν συμφοραῖς τὸν Ἀγαμέμνονος γόνον. δῆλον δὲ, ὅτι οὐ τὸν Ὀρέστην μόνον λέγει, ἀλλὰ καὶ ἑαυτὴν Ἀγαμέμνονος γόνον· περὶ τῶν δύο γὰρ καὶ ἡ Ἑλένη ἐπύθετο λέγουσα, πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σός. εἰκότως οὖν καὶ αὐτὴ ἐπάγει τὴν ἑαυτῆς ἄϋπνον δυςδαιμονίαν, καὶ τὴν Ὀρέστου νόσον. τὴν ἀπολογίαν [10]) δὲ δι᾽ ἑνὸς ἐδήλωσεν ὀνόματος· καὶ Ὀρέστης γὰρ κρινόμενος ἐπὶ τὴν τοῦ πατρὸς κατέφυγε φιλότητα. *ΑΓΕ,* ἥτις ἢ ἅτινα. Gu. *ΠΑΡΟΥΣ᾽,* ἐπιδημοῦσα ἐνταῦθα. Fl. 59. *ΟΡΑιΣ* ἀντὶ τοῦ ὁράσεις. ἀντιχρονία. Fl. 21.

V. 85. *ΕΓΩ ΜΕΝ ΑΥΠΝΟΣ,* ἐγὼ μὲν μὴ καθεύ-

9) χιάζεται. Flor. 33. σχίζεται ὁ στίχος.

10) ἀπολογίαν. Sic Flor. 33. Vulgo ἀπώλειαν. Significare videtur, uno nomine Agamemnonis Electram factum excusare, cui amor patris causam dederit.

δουσα [μὴ] παρεδρεύω ἕνεκα τοῦ μικρὸν ἐμπνεῖν τοῦτον; εἶτα δυςχεραίνουσα φησὶ τῷ *ἀθλίῳ νεκρῷ*, ἵν' ᾖ νεκρῷ ὄντι ἀθλίῳ καὶ βεβαίωσις τούτου, *νεκρὸς γὰρ οὗτος*. Ἄλλως. ἐγὼ μὲν ἄϋπνος θάσσω καὶ παρεδρεύουσα τῷ ἀθλίῳ νεκρῷ οὕνεκα σμικρᾶς πνοῆς, ὅ ἐστι ὅπως μὴ ἀποψύξας λάθῃ με, φυλάσσω. Fl. 53.

V. 84. *ΟΥΝΕΚΑ*. τὸ οὕνεκα λαμβάνεται καὶ ἀντὶ τοῦ χάριν καὶ ἀντὶ τοῦ διότι. ἔνθα οὖν ἔνι ἀναγκαῖον πεσεῖν τὸ ἕνεκα, γράφεται καὶ τὸ οὕνεκα, οὐ μὴν ἀνάπαλιν, ἔνθα γράφεται τὸ ἕνεκα (leg. οὕνεκα) ἵνα γραφῇ καὶ τὸ ἕνεκα. πῶς γὰρ μέλλει γραφεῖν (sic) εἰς τὸν Ὁμηρικὸν στίχον ἀντὶ τοῦ οὕνεκα τὸ ἕνεκα, τὸν λέγοντα, *οὕνεκα τὸν Χρύσην ἠτίμησεν*; οὐ γὰρ λαμβάνεται καὶ τὸ ἕνεκα διπλῶς ἀντὶ τοῦ διότι καὶ ἀντὶ τοῦ οὕνεκα. Fl. 59. διότι μικρὰν εἶχε πνοὴν, ἐγγύς ἐστι νεκροῦ. Gu.

V. 85. *ΟΥΚ ΟΝΕΙΔΙΖΩ*, σιωπῶ τὰ κακὰ τούτου, ἵνα μὴ δόξω αὐτῷ ὀνειδίζειν τὴν μητροκτονίαν, καὶ διὰ τῆς σιωπῆς τὸ μὲν πλῆθος τῶν κακῶν αὐτοῦ ἐσήμανεν, ἐμφαίνει δὲ, ὅτι σὺ μὲν ὠνείδισας αὐτὸν εἰποῦσα, *μητρὸς ὅδε φονεὺς ἔφυ*, ἐγὼ δὲ οὔ. Fl. 33. 59.

V. 86. *ΣΥ Δ' ΕΙ ΜΑΚΑΡΙΑ*. τινὲς στίζοντες εἰς τὸ *πόσις* τὸ ἑξῆς κομματικῶς ἐκφέρουσιν, ἀπατηθέντες ἐκ τοῦ ὑπαρκτικοῦ ῥήματος τοῦ *σὺ δ' εἶ μακαρία*, κἀνταῦθα ἕτερον προςλαμβάνοντες. φασὶ γὰρ οὕτω· σὺ δ' εἶ, ὦ Ἑλένη, μακαρία, καὶ ὁ σὸς πόσις μακάριός ἐστιν, εἶτα λέγουσι τὸ *ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραχότας* (sic) κομματικῶς. τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλ' εἰποῦσα ἡ Ἠλέκτρα, σὺ δὲ, ὦ Ἑλένη, μακαρία εἶ, ὤφειλεν εἰπεῖν, καὶ ὁ σὸς πόσις μακάριός ἐστι· νῦν δὲ οὐχ οὕτως, ἀλλὰ καινοπρεπῶς ἐξήνεγκε, πρὸς μὲν τὴν Ἑλένην ὑπαρκτικῷ ῥήματι χρησάμενος ἑνικῷ τῷ εἶ, πρὸς δὲ τὸν Μενέλαον ἀντὶ τοῦ ἐστι τὸ ἥκετον εἰποῦσα, συμπεριλαμβάνουσα ἀμφοτέρους, Ἑλένην τε καὶ Μενέλαον. Gu.

V. 87. *ΗΚΕΤΟΝ*. ἀπολύτως ἤλθετε πρὸς ἡμᾶς. τὸ ἐφ' ἡμᾶς ταχύτερον αὐτὸν ἐποίησεν· ἁρπασόμενοι γὰρ ἤλθετε εἰς ἡμᾶς, φησίν. ἔοικε δὲ τὸ ἐπ' αὐταῖς Θήβαις. Fl. 33.

V. 88. *ΠΟΣΟΝ ΧΡΟΝΟΝ*. ἐπὶ πόσον δὲ χρόνον πεπτωκὼς κεῖται ὅδε ἐν τοῖς δεμνίοις;

V. 89. *ΕΞ ΟΥΠΕΡ ΑΙΜΑ*. ἀφ' οὗ καιροῦ διεπράξατο τὸν τῆς μητρὸς φόνον. οὐ πρὸς τὴν πεῦσιν ἀπεκρίνατο· ἡ μὲν γὰρ ἤρετο, ἀπὸ ποίου χρόνου νοσεῖ; ἡ δὲ εἶπεν, ἐξ οὗ τὴν μητέρα ἀνεῖλε. τοῦτο δὲ πάλιν ὁμοίως ἄδηλόν ἐστι τῇ Ἑλένῃ. *ΑΙΜΑ ΓΕΝΕΘΛΙΟΝ*. γενέθλια πληθυντικῶς [πᾶσα] ἡ ἐν γεννήσει τινὸς τελουμένη ἑορτὴ, ὥςπερ γαμήλια ἡ ἐν γάμῳ, καὶ ἐγκαίνια ἡ ἐν ἐγκαινισμῷ. κατὰ ταῦτα λέγεται καὶ Κρόνια ἡ ἑορτὴ τοῦ Κρόνου, καὶ Διάσια ἡ τοῦ Διὸς, καὶ Τιτάνια ἡ τῶν Τιτάνων, καὶ ἕτερα. ἐνταῦθα δὲ γενέθλιον αἷμα λέγει ἀντὶ τοῦ μητρῷον, ἀπὸ τῆς γεννήσεως μετάγων τὸν λόγον ἐπὶ τὴν αἰτίαν τῆς γεννήσεως, ἤγουν [1]) τὴν μητέρα.

V. 90. *Ω ΜΕΛΕΟΣ*, ἄθλιος οὗτος, ὅτι τὴν μητέρα ἀνεῖλε, κἀκείνη, ὅτι ὑπὸ παιδὸς ἀνῃρέθη, μελέα τυγχάνει. τὸ δὲ *ὡς* ἀντὶ τοῦ πῶς, ἢ ὅπως.

V. 91. *ΕΧΕΙ ΤΑΔ'*, διάκειται. (ἃ λέγεις.) Gu. *ΑΠΕΙΡΗΚ'*, ἐξητόνησα. (ἀπείρηκα, ἀπηγόρευσα, ἀπεῖπον, ἤγουν οὐ δύναμαι βαστάζειν ταῦτα.) Gu. *ΚΑΚΟΙΣ*, ἐν ταῖς δυςτυχίαις. Gu. οὕτως ἔχει ὁ Ὀρέστης, ὡς μηδὲν ἰσχύειν ὑπὸ τῶν κακῶν. Fl. 21.

V. 92. *ΠΡΟΣ ΘΕΩΝ*, ἕνεκα τῶν θεῶν, καταπεισθείης ἂν ἐμοὶ κατά τι, ὦ παρθένε; *ΠΙΘΟΙ' ΑΝ*. ὡς τὸ, *ἦ ῥά τι πείθοιο, ὅττι κεν εἴπω;* (Il. ξ', 190.)

V. 93. *ΩΣ ΑΣΧΟΛΟΣ ΓΕ*. λίαν ἄσχολος εἰμὶ, σχολῆς ἐστερημένη, ἀσχολοῦμαι, ἤτοι περισπῶμαι τῇ προςεδρίᾳ τοῦ ἀδελφοῦ. [2]) Προεδρία, ἡ προτίμησις καὶ ἡ πρώτη καθέδρα· προςεδρία δὲ ἡ ἐπίμονος καὶ διηνεκὴς ἀσχολία. Ἄλλως. τοῦτό σοι, φησὶ, πεισθείην, ὃ μὴ ἀπασχολήσει με τῆς προςεδρίας τοῦ ἀδελφοῦ, τουτέστιν εἰ μὲν τὸ κελευόμενον παρὰ σοῦ χωρίζει με τοῦ ἀδελφοῦ, οὐ πείσομαι,

1) ἤγουν pro ἤτοι scripsi e Gu. Idem ab initio πληθυντικῶς addit, quod adjecit etiam King, sed omittit πᾶσα.

2) Gu. ἐστερημένη, τουτέστι λίαν ἀσχολ. et προσεδρείᾳ. Ibidem alia manus huic scholio adscripsit τοῦ Ὀρέστου· αὐτοῦ που γὰρ ἦν καθημένη ἐγγὺς καὶ προςβλέ (προςβλέπουσα) τὸν Ὀρέστην. Sequentia προεδρία κ. τ. λ. ibidem sunt a m. sec. in quibus pro πρώτη καθέδρα legitur πρωτοκαθεδρία, et in fine post ἀσχολία additur δφ' h. e. διφθόγγῳ προσεδρεία.

εἰ δὲ οὐ χωρίζει, πείσομαι. ἢ ὅτι παντελῶς ἀπαρνεῖται τὴν ὑπούργησιν, τουτέστιν οὐ πείθομαί σοι, ὅτι ἄσχολος εἰμὶ τῇ προςεδρίᾳ τοῦ ἀδελφοῦ, ἵν᾽ ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι. ἔνιοι δὲ λείπειν φασὶ τὸ μὴ, ἵν᾽ ᾖ εἰρωνεία, ἵν᾽ ᾖ πείθομαί σοι, ὅτι μὴ ἄσχολος εἰμὶ τῇ τοῦ ἀδελφοῦ προςεδρίᾳ· ἄσχολος γὰρ ἦν. πῶς σοι, φησὶ, πεισθῶ ἀσχολουμένη τῇ νοσοκομίᾳ τοῦ ἀδελφοῦ, ἵν᾽ ᾖ, ὡς σχολὴν ἄγουσα, ἵν᾽ ᾖ ἐρωτηματικόν. *ΩΣ ΑΣΧΟΛΟΣ*, οὐ πεισθήσομαι, παρακαθημένη τἀδελφῷ, κἀνταῦθα οὐκ ἔχουσα ἄδειαν. ἐμμέριμνος εἰμὶ, μὴ ἄδειαν ἔχουσα. Gu. τὸ προςεδρίᾳ Ἰωνικὸν διὰ τὸ μέτρον· τὸ γὰρ δρι δίφθογγον γράφεται. Gu. *ΑΣΧΟΛΟΣ*. σχολὴ λέγεται ἡ ἄδεια καὶ ἡ ἀργία· ἀσχολία δὲ τάχα ἡ οὐκ ἔχουσα σχολὴν καὶ ἄδειαν, ἀλλὰ ἔχουσα ἔργον τι. Fl. 59.

V. 94. *ΒΟΥΛΕΙ*. βούλει ἀπελθεῖν πρὸς τὸν τάφον τῆς ἀδελφῆς μου; ἁπλούστερον αὐτῇ διαλέγεται, ὅτι μᾶλλον δεῖται αὐτῆς. ἐνταῦθα δὲ παραφυλάττεται καὶ μητρὸς εἰπεῖν σῆς, ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτῇ. δεῖ γὰρ εἶναι κολακευτικὸν τὸ δεόμενον.

V. 95. *ΜΗΤΡΟΣ*. Τῆς ἐμῆς μητρὸς κελεύεις; τίνος χάριν; νῦν μητέρα αὐτὴν ἐκάλεσε, δεικνῦσα ὅτι οὐδὲ τὴν πρώτην λοιδορίαν προςήκατο. καὶ τάχα διὰ τοῦ ὀνόματος τῆς ἐχθρᾶς μητρὸς παραιτεῖται τὴν αἴτησιν. ἀλλ᾽ ἡ μὲν κολακεύουσα συγγενικῷ ὀνόματι ἐχρήσατο, ἡ δὲ παραιτουμένη τὴν κολακείαν εἶπε μητρὸς τῆς ἐμῆς.

V. 96. *ΚΟΜΗΣ ΑΠΑΡΧΑΣ*. φέρουσα ἀπαρχὰς τῆς κόμης καὶ χοὰς καὶ θυσίας ἐμάς. [3]) Ἀπαρχὴ ἐλέγετο οὐ μόνον τὸ πρῶτον τῇ τάξει, ἀλλὰ καὶ τὸ πρῶτον τῇ τιμῇ. ὅθεν καὶ ἀπαρχὰς καρπῶν προςῆγον οἱ παλαιοὶ καὶ ὠνόμαζον τὰ κρείττονα ἐκλεγόμενοι. καταχρηστικῶς δὲ καὶ τὰς θυσίας ἐτέλουν ἐπὶ τοῖς τεθνεῶσιν οἱ παλαιοὶ, καὶ ἀπαρχὰς ἐκάλουν. *ΧΟΑΣ*. χοαὶ αἱ χεόμεναι τοῖς νεκροῖς σπονδαί. τάξις ἦν, ὅτε τις γυνὴ ἐλθοῦσα εὗρε συγγενῆ τινα ἴδιον τεθνηκότα, ἀποκόψαι τὰ ἄκρα τῆς κόμης καὶ πέμψαι ὡς θυσίας εἰς τὸ σῆμα τοῦ νεκροῦ. ταύτας οὖν ὁ Εὐριπίδης ἀπαρχὰς ὀνομάζει. Fl. 21.

V. 97. *ΣΟΙ Δ᾽ ΟΥ ΘΕΜΙΤΟΝ*. σοὶ δὲ οὐχὶ θεμιτὸν, ἀντὶ τοῦ οὐ δυνατὸν, ἔρχεσθαι πρὸς τὸν φιλούμενον τάφον.

3) Junt. Basil. ἡμᾶς. Corr. Barnes.

οὐκ ἐν καιρῷ παῤῥησιάζεται ἡ Ἠλέκτρα, καίτοι πρὸ ὀλίγου φάσκουσα ἐλπίδα ἔχειν εἰς τὸν Μενέλαον. εἰ μὲν οὖν ἐν ἐρωτήσει ὁ λόγος, μετριώτερός ἐστιν· ἐὰν δὲ ἑτέρως, ἄντικρυς ἐναγῆ καὶ μὴ ἀξίαν οὖσαν προςπελάζειν τῷ τάφῳ τὴν Ἑλένην ἀποδείκνυσι, διὰ τὰ πεπραγμένα αὐτοῖς τοῖς φίλοις.

V. 98. *ΔΕΙΞΑΙ ΓΑΡ*. οὐ θεμιτὸν δηλονότι· αἰσχύνομαι γὰρ δεῖξαι τὸ σῶμα, ἀντὶ τοῦ ἐμαυτὴν, τοῖς Ἀργείοις. *ΔΕΙΞΑΙ ΓΑΡ*. τὸ γὰρ ἀντὶ τοῦ ἀλλά. Fl. 59. περισσὸν τὸ γάρ. Fl. 53. *ΑΙΣΧΥΝΟΜΑΙ*. πανούργως τὸν φόβον αἰσχύνην (Fl. αἰδῶ) ἐκάλεσεν. Gu. Fl. 59.

V. 99. *ΟΨΕ ΓΕ*. ὀψὲ τοῦ χρόνου, ἀντὶ τοῦ μόλις, τανῦν φρονεῖς εὖ, τότε ἀφεῖσα τοὺς δόμους αἰσχρῶς. *ΤΟΤΕ ΛΙΠΟΥΣ᾽*. μὴ φρονοῦσα τότε καλῶς, ὅτε ὑπῆρχες τοὺς οἴκους λιποῦσα. ὅτε ἠκολούθησας τῷ Πάριδι. Gu. οὐδαμῶς ἀνώμαλον τὸ τῆς Ἠλέκτρας ἦθος. Fl. 21. 59.

V. 100. *ΟΡΘΩΣ ΕΛ*. ἀληθῶς εἶπας· οὐ λέγεις δὲ προςφιλῶς ἐμοί.

V. 101. *ΑΙΔΩΣ ΔΕ*. τίς δὲ δὴ αἰδὼς ἔχει σε εἰς τοὺς Μυκηναίους; ἀντὶ τοῦ, τίνα αἰδῶ ἔχεις εἰς τοὺς Μυκηναίους; τουτέστι, τίς ἐστιν ἡ αἰδὼς, ἣν αἰδῇ τοὺς Μυκηναίους; [4]) *ΑΙΔΩΣ*, ἐντροπή. Fl. 59. *ΕΣ ΜΥΚΗΝΑΙΟΥΣ*, Ἀργείους· ἐν γὰρ τῷ Ἄργει αἱ Μυκῆναι· μέσον τῶν Μυκηναίων φανῆναι, εἰς Μυκηναίους ἐλθεῖν. Gu. m. 2.

V. 102. *ΔΕΔΟΙΚΑ* τοὺς πατέρας τῶν νεκρῶν τῶν πεσοντων ὑπὸ τῇ Τροίᾳ. *ΔΕΔΟΙΚΑ*. μόλις ἐλεγχομένη τὸ ἀληθὲς λέγει. Fl. 59.

V. 103. *ΔΕΙΝΟΝ ΓΑΡ ΑΡΓΕΙ*. δεινὸν γὰρ, ἀντὶ τοῦ χαλεπῶς, ἀναβοᾷ καὶ ἀνακηρύττῃ τῷ Ἄργει, ἀντὶ τοῦ τοῖς Ἀργείοις, διὰ στόμα, ἤτοι διὰ τῶν στομάτων ἁπάντων. τὸ ἀναβοᾷ προςώπον ἐστὶ δευτέρου παθητικῆς διαθέσεως, ἀντὶ τοῦ καταβοᾷ. [5]) ὁ δὲ νοῦς, δεινῶς γὰρ διὰ τοῦ στόματος τῶν Ἀργείων ἀναβοᾷ. *ΔΕΙΝΟΝ ΓΑΡ*. εἰς φα-

4) Ultima τουτέστι — Μυκ. e Gu. Fl. 59. 76. accesserunt.

5) Flor. 21. 59. in quibus simile est scholion, ἀντὶ τοῦ καταβοᾶσαι. rectius, opinor.

βον ἄγει τὴν Ἑλένην ἡ Ἠλέκτρα πλείονα. Fl. 59. *ΑΝΑΒΟΑι*, φημίζῃ καὶ κατὰ γλῶσσαν στρέφῃ. Gu.

V. 104. *ΣΥ ΝΥΝ ΧΑΡΙΝ.* σὺ δὴ λύσασα τὸν φόβον δὸς ἐμοὶ χάριν. *ΤΟΝ ΦΟΒΟΝ ΛΥΣ.* διὰ τὸ τὸν φόβον λῦσαι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 105. *ΟΥΚ ΑΝ ΔΥΝΑΙΜΗΝ* βλέψαι εἰς τὸν τάφον τῆς μητρός. *ΟΥΚ ΑΝ ΔΥΝ.* ἐσχηματισμένον. Gu.

V. 106. *ΑΙΣΧΡΟΝ ΓΕ.* ὅμως ἀπρεπὲς καὶ ἄσχημον τὰς δουλίδας φέρειν τάδε. *ΠΡΟΣΠΟΛΟΥΣ.* πρόςπολος ὁ δοῦλος, πρόπολος (Fl. πρόςπ.) δὲ χωρὶς τοῦ σ ὁ νεωκόρος· ἀμφίπολος δὲ ἡ κατὰ κύκλον περιστροφή. 6) προπαροξύνονται δὲ ταῦτα πάντα, ὡς μετὰ προθέσεως συντιθέμενα· τὸ δὲ δικασπόλος διὰ τὸ μὴ μετὰ προθέσεως συντεθεῖσθαι παροξύνεται. Fl. 21.

V. 107. *ΤΙ Δ' ΟΥΧΙ ΘΥΓΑΤΡΟΣ.* διὰ τί οὐ πέμπεις τὸ δέμας τῆς Ἑρμιόνης, περιφραστικῶς ἀντὶ τοῦ τὴν Ἑρμιόνην.

V. 108. *ΕΙΣ ΟΧΛΟΝ ΕΡΠΕΙΝ.* οὐ καλὸν, ἔστι δηλονότι, ταῖς παρθένοις βαδίζειν εἰς τὸ πλῆθος. εἴποι τις, τί οὖν; ταῖς τελείαις τοῦτο καλόν; ἔστιν οὖν εἰπεῖν, ὅτι ἐν Σπάρτῃ εἰώθασι γυμνάζεσθαι αἱ γυναῖκες καὶ παρθένοι· ὥςτε δέδοται μὲν παρθένοις εἰς ὄχλον ἕρπειν, οὐ μὴν καθόλου, ἀλλ' ἐπὶ ὡρισμένοις πράγμασιν, οἷον κανηφορούσαις, ἢ γυμναζομέναις, οὐ μὴν ἄλλό τι πραγματευομέναις. Ἄλλως. ταῖς νεάνισιν, οὐ γὰρ ταῖς ἀγάμοις. ἄγαμος γὰρ καὶ ἡ Ἠλέκτρα. παρθένος τέ ἐστιν ἥ τε ἀμιγὴς καὶ ἡ ἄρτι ἡβῶσα. ἢ πάλιν κακονόως, οὐ παρθένον δεῖξαι βούλεται τὴν Ἠλέκτραν, ὅτι οὐκ ἐπείσθη αὐτῇ. *ΕΡΠΕΙΝ.* ἕρπειν κυρίως ἐπὶ ὄφεως. Fl. 21.

V. 109. *ΚΑΙ ΜΗΝ* ἀνταποδοίη τὰς ἀνατροφὰς τῇ τεθνηκυίᾳ. *ΤΡΟΦΑΣ.* ἀντὶ τοῦ χάριν ἕνεκα τῆς ἀνατροφῆς ἧς ἀνέθρεψεν αὐτήν. (ὑπ' ἐκείνης γὰρ ἀνετράφη.) Gu. Baroc. 74. ἀνθ' ὧν ἀνετράφη ὑπ' αὐτῆς ἀμοιβὴν διδοῦσα. καὶ μὴν οὐ μέλλει ἀπελθεῖν ἀλλαχόσε, καὶ ἔνι μεμπτὸν εἰς

6) Priora usque ad νεωκόρος sunt etiam in Baroc. 74. et Gu. a m. pr. sed in hoc supra v. δοῦλος manus sec. scripsit: ἀλλὰ καὶ ἡ δούλη. τοιοῦτόν ἐστι καὶ τὸ ἀμφίπολος.

τὰς παρθένους, εἰ μὴ ἵνα δώσει τὰ τροφεῖα τῇ ἀναθρεψάσῃ αὐτήν. Fl. 59.

V. 110—125. *ΟΡΘΩΣ ΕΛ.* Ὀρθῶς ἔλεξας, πείθομαί τε, ὦ κόρη, σοὶ, καὶ πέμψω τὴν θυγατέρα· εὖ γὰρ καὶ καλῶς λέγεις. ὦ τέκνον Ἑρμιόνη, ἔξελθε ἔμπροσθεν τῶν δόμων, καὶ λάβε ἐν ταῖς χερσὶ τάςδε τὰς χοὰς καὶ τὰς ἐμὰς κόμας· ἀπελθοῦσα δὲ εἰς τὸν τάφον τῆς Κλυταιμνήστρας, ἄφες τὰ μελίκρατα τοῦ γάλακτος, ἤτοι τὰ ἀπὸ μέλιτος καὶ γάλακτος κεκραμένα, τὴν ἄχνην τε καὶ τὸν οἰνωπὸν, ἤτοι τὸν λεπτότατον τόνδε οἶνον, καὶ στᾶσα ἐπὶ τοῦ ἄκρου χώματος, ἤτοι ἐπὶ τοῦ ἄκρου τοῦ τάφου, λέξον τάδε· ἡ ἀδελφὴ ἡ Ἑλένη δεξιοῦταί σε ταῖςδε ταῖς χοαῖς, φόβῳ, ὑπὸ τοῦ φόβου, τοῦ προςελθεῖν εἰς τὸ σὸν μνῆμα, φοβουμένη τὸν ὄχλον τῶν Ἀργείων. παρακάλει δὲ αὐτὴν ἔχειν γνώμην εὐμενῆ καὶ πραεῖαν ἐμοί τε καὶ σοὶ καὶ τῷ πόσει τῷ ἐμῷ, τοῖν τε ἀθλίοιν τοῖνδε, ἤγουν τῷ Ὀρέστῃ καὶ τῇ Ἠλέκτρᾳ, οὓς ἀπώλεσεν ὁ θεὸς, ἤτοι ὁ Ἀπόλλων. ἃ δὲ καιρὸς ἁρμόδιος δηλονότι ἐνεργεῖν εἰς τὴν ἐμὴν ἀδελφὴν, δωρήματα τῶν νεκρῶν, ἅπαντα ὑπισχνοῦ. ἄπιθι, ὦ τέκνον μου, σπεῦδε, καὶ δοῦσα χοὰς τῷ τάφῳ, λίαν τάχιστα μέμνησο τῆς εἰς τοὐπίσω ὁδοῦ.

V. 115. *ΟΙΝΩΠΟΝ Τ' ΑΧΝΗΝ.* τὸν λεπτότατον οἶνον ἢ ἄχνην λέγει 7), οἱονεὶ κορυφήν. ὅταν γὰρ ἐπιχέηται ὁ οἶνος τῷ ἐκ μέλιτος καὶ γάλακτος κράματι, ἐπιπολαίως κεῖται. Ἄλλως. ἐμφαντικῶς τὴν τοῦ οἴνου δαψιλῆ ῥύσιν διὰ τῆς ἄχνης ἐσήμανε. τοῦτο δὲ ἐπὶ τῶν κυμάτων εἴρηται, ἀ π ο π τ ύ ε ι δ' ἁ λ ὸ ς ἄ χ ν η ν. (Il. δ', 426.) οἱ δὲ κυρίως τὴν οἰνόχροα τρίχα φασί. λάχνη γὰρ ἡ θρὶξ, ἄχνη δὲ τὸ λεπτὸν μέρος, ὃ κατέχειν τις οὐ δύναται, οἱονεὶ ἀέχη τὶς οὖσα. *ΟΙΝΩΠΟΝ*, τὴν οἰνάνθην. (τὴν λευκὴν τρίχωσιν. τὸ καθαρὸν τοῦ οἴνου καὶ λαμπρόν.) Gu. *Εἰς* τρία διαιρεῖται ὁ οἶνος, εἰς τὸ ἄνθος, εἰς αὐτὸν τὸν οἶνον καὶ εἰς τὸν τρυγίαν. καὶ ἄνθος μὲν τὸ ἐπάνω τοῦ πίθου, ἤγουν τὸ πρῶτον, οἶνος δὲ τὸ μέσον, τρυγίας δὲ ἡ ὕλη ἤγουν τὸ κάτω. ὡςαύτως καὶ τὸ αἷμα εἰς τρία καὶ τὸ γάλα. καὶ τὸ μὲν καθαρώτερον τοῦ αἵματος ἀποτελεῖται εἰς τὸ ἧπαρ εἰς τὸ δεξιὸν μέρος, τὸ δὲ χνοωδέστατον εἰς τὴν χολιδόκον κύστιν,

7) Vulgo τὸν λεπτότατον οἶνον λέγει, ἢ ἄχνην λέγει. Quod dedi, est in Gu. qui etiam post λεπτότατον addit τόνδε. Sed ἢ delendum videtur.

εἰς τὴν σπλῆνα δὲ ὁ τρυγίας. ὡςαύτως καὶ [εἰς] τὸ γάλα·
τὸ μὲν καθαρώτερον καὶ λιπωδέστατον τὸ ἐπάνω, ὅπερ γί-
νεται βούτυρος, τὸ δὲ μέσον ὁ ὀῤῥος, τὸ δὲ κάτωθεν ὡς
τρυγίας, ὅπερ ποιεῖ τὸν τυρόν. Fl. 59.

V. 116. *ΕΠ' ΑΚΡΟΥ ΧΩΜΑΤΟΣ.* ἀντὶ τοῦ εἰ-
πεῖν τὸ ἄκρον τοῦ χώματος τὸ ἄκρον χῶμα λέγουσιν οἱ
Ἀττικοί, ὡς ἐνταῦθα καὶ παρὰ Σοφοκλεῖ· καὶ γλῶτταν
ἄκραν ῥιπτεῖ θερίσας, (Aj. 238 sq.) ἤγουν τὸ ἄκρον
τῆς γλώττης. Gu.

V. 117. *ΤΑΙΣΔΕ ΔΩΡΕΙΤΑΙ ΧΟΑΙΣ.* δωροῦ-
μαι, τὸ παρέχω, ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύν-
ταξιν, ὡς τὸ δωροῦμαί σοι χρήματα· δωροῦμαι δὲ τὸ δε-
ξιοῦμαι καὶ φιλοφρονῶ ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν, ὡς τὸ
δωροῦμαι τὸν φίλον χάρισι λογικαῖς. *ΔΩΡΕΙΤΑΙ.* τὸ δω-
ρεῖσθαι εἰ μὲν σημαίνει τὸ χαρίζεσθαι καὶ διδόναι ἁπλῶς,
συντάσσεται πρὸς μὲν τὸ πρόςωπον δοτικῇ, πρὸς δὲ τὸ
πρᾶγμα αἰτιατικῇ, οἷον δωροῦμαί σοι τόδε· ὅτε δὲ τὸ φι-
λοφρονεῖσθαι καὶ δεξιοῦσθαι, ὡς ἐνταῦθα, ἐναλλὰξ πρὸς
μὲν τὸ πρόςωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ,
οἷον δωροῦμαί σε τῷδε. Gu. τιμᾷ σε. Fl. 59.

V. 119. *ΑΝΩΓΕ,* κέλευε. (παρακάλει, λέγε αὐτήν.
ἀνώγω κυρίως τὸ προστάσσω.) Gu.

V. 121. *ΤΟΙΝ Τ' ΑΘΛΙΟΙΝ ΤΟΙΝΔΕ.* καὶ αὐτῶν
μέμνηται, ἵνα μὴ δόξῃ παντελῶς λιθοκάρδιος εἶναι, ὅμως
μετὰ ἀρᾶς· τὸ γὰρ οὓς ἀπώλεσεν θεὸς δοκεῖ μὲν συν-
αχθομένη λέγειν, πανούργως δὲ ἐμφαίνει, ὅτι καὶ θεοῖς
ἀπεχθόμενοί εἰσιν· οὐ γὰρ ἀπολλύει εἶπεν, ἀλλὰ ἀπώλε-
σεν, ὡς ἐγνωσμένης ἤδη τῆς παρὰ θεῶν δυςμενείας.

V. 122 sq. *Α Δ' ΕΙΣ ΑΔΕΛΦΗΝ.* ἃ δὲ νενόμι-
σται τοῖς νεκροῖς ποιεῖν, ταῦτα κἀμὲ ὑπισχνοῦ εἰς τὴν
ἀδελφὴν ποιεῖν. Ἄλλως. ἅπανθ' [ὑπισχνοῦ] τὰ νεκρῶν
δωρήματα, ἃ εὐκαίρως εἰς ἀδελφὴν ἐκπονεῖν ἐμὴν ὑπισχνοῦ.
Ἄλλως. ἃ δὲ δωρήματα τῶν κάτω, τουτέστι προςήκοντα
τοῖς κάτω, καιρός ἐστι δηλονότι ἁρμόδιος ἐνεργεῖν ἐμὲ εἰς
τὴν ἐμὴν ἀδελφὴν, ἅπαντα ὑπισχνοῦ. *Α Δ' ΕΙΣ ΑΔ.* ἃ
δὲ δωρήματα τῶν νερτέρων καιρὸς ὑπάρχει ἐκπονεῖν εἰς τὴν
ἐμὴν ἀδελφὴν, ἅπαντα ὑπισχνοῦ. διὰ δὲ τοῦ ἐκπονεῖν ἐδή-
λωσεν, ὅτι μεγαλοπρεπῆ τινα, πέπλους, ἔμελλε κατασκευά-
σαι· ἦθος γὰρ εἶχεν τοῦτο ἐπὶ τοῖς τάφοις πέπλους ἐκτί-

θεσθαι. ὡς καὶ ἡ τοῦ Ὀδυσσέως Πηνελόπη τὸν ἱστὸν, ὃν
ὕφαινε θέλουσα τοὺς μνηστῆρας ἐκφυγεῖν, ἐπὶ τὸν τοῦ
Ὀδυσσέως ἔμελλε θεῖναι αὐτόν. (leg. τάφον) Fl. 59.

V. 123. *ΝΕΡΤΕΡΩΝ,* τῶν κάτω, ἤγουν τῶν νεκρῶν.
Gu. a m. pr. *ΝΕΡΤ. ΔΩΡ.* ἃ δωροῦνται οἱ ζῶντες τοῖς
νεκροῖς. Gu. a m. 2.

V. 126—135. *Ω ΦΥΣΙΣ.* Ὦ φύσις καὶ κάλλος, λίαν
εἶ μέγα κακὸν ἐν τοῖς ἀνθρώποις, καὶ σωτηριῶδες τοῖς κα-
λῶς κεκτημένοις καὶ ἔχουσιν. ἐθεάσασθε, πῶς κατὰ τὰς
ἄκρας ἀπέκοψε τὰς τρίχας, σώζουσα καὶ φυλάττουσα τὸ
κάλλος· ἔστι δὲ ἡ πάλαι γυνὴ, ἤτοι κακὴ, τουτέστιν οὐ με-
τεβλήθη. εἴθε σε μισήσειαν οἱ θεοὶ, ὅτι ἀπώλεσας ἐμὲ καὶ
τόνδε, ἤγουν τὸν Ὀρέστην, καὶ πᾶσαν τὴν Ἑλλάδα. φεῦ,
τάλαινα εἰμὶ ἐγώ! αὗται παραγίνονται αἱ προςφιλεῖς θρη-
νήτριαι τοῖς ἐμοῖς θρηνήμασιν· ἴσως μετακινήσουσι τοῦ
ὕπνου τόνδε ἠρεμοῦντα, τὸ ἐμὸν δὲ ὄμμα ἐκτακῆναι ποιή-
σουσι διὰ δακρύων, ὅταν ὁρῶ τὸν ἀδελφὸν μαινόμενον. *Ω
ΦΥΣΙΣ, ΕΝ ΑΝΘΡΩΠΟΙΣΙΝ.* ἰδοῦσα ἡ Ἠλέκτρα τὴν
Ἑλένην τεμοῦσαν μὲν ἄκρας τὰς τρίχας, σώζουσαν δὲ τὸ
πρόσθεν κάλλος, ἀποτείνεται πρὸς τὴν φύσιν, καὶ λέγει
ταύτην εἶναι σωτήριόν τε τοῖς κεκτημένοις καλῶς αὐτὴν, καὶ
βλαπτικὸν τοῖς μὴ οὕτως. καὶ ἡ Ἑλένη φυσικῶς οὖσα κα-
κὴ, εἰ καὶ ἔδοξε ποσῶς τὴν ἀδελφὴν θρηνεῖν, καὶ διὰ τοῦτο
ἀποκεκοφέναι τὰς τρίχας, ἀλλὰ πανούργως τοῦτο πεποίη-
κεν [8]), ἐξ ὧν ἄκρας αὐτὰς ἔτεμε τοῦτο πιστωσαμένη. εἰ
γὰρ κατὰ ἀλήθειαν ἐθρήνει, πάντα τὸν πλόκαμον ἔδει τε-
μεῖν. καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ λέγοντες φύσιν τὸ κάλ-
λος, οὔ μοι δοκοῦσι λέγειν εὐλόγως. τὸ δὲ ἔστιν ἡ πά-
λαι γυνὴ ἢ κατὰ μορφὴν νοητέον, ἤγουν ἡ αὐτή ἐστι
καὶ νῦν, ἥτις καὶ πρὸ τοῦ τὰς τρίχας ἀποκόψαι, καὶ οὐδ'
ὁτιοῦν ἠλάττωται τὸ κάλλος αὐτῆς, ἢ κατὰ προαίρεσιν, ὅτι
ἡ αὐτή ἐστι καὶ νῦν, ἥτις καὶ πρώην, καὶ οὐδὲν ὑπὸ τῶν
κακῶν σεσωφρόνισται. [9]) *Ω ΦΥΣΙΣ.* Παρυπογράφεται

8) πεποίηκεν. Sic Gu. Vulgo πεποιηκέναι λέγει.

9) Haec omnia a τὸ δὲ ἔστιν ἡ π. γ. King. et Musgr. dis-
juncta infra posuerunt. In iis e Gu. scripsi ἤγουν ἡ αὐτή ἐστι καὶ
νῦν pro ἡ αὐτή, tum ὅτι ἡ αὐτή ἐστι pro ὅτι αὐτή ἐστι, denique
πρώην, καὶ οὐδὲν ὑπὸ τῶν κακῶν σεσ. pro πρώην ἤτοι οὐ σεσ.

τήν τε ἀναχώρησιν τῆς Ἑλένης καὶ τὴν Ἑρμιόνην ἀπερχο- μένην ἐν τῷ τάφῳ καὶ λέγει Ὦ φύσις. ἡ φύσις διχῶς λαμ- βάνεται καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ φαύλου· ἔχει τις φύσιν κα- λὴν, ὅστις ἐστὶν ἀγαθὸς, ἵμερος, πρᾶος, δίκαιος· ἔχει ἕτερος φύσιν κακὴν, ὁ κλέπτης, ὁ μοιχὸς, ὁ πόρνος, ὁ ἄδικος. τοῦτο ἡ Ἠλέκτρα λέγει ἐνταῦθα· ὦ φύσις, ὡς καὶ λίαν μέγα κακὸν ὑπάρχεις ἐν τοῖς ἀνθρώποις, τοῖς γε κακῶς τὴν φύσιν χρωμένοις ἀνθρώποις μέγα κακὸν ὑπάρχεις, σωτήριόν τε πρᾶγμα ὑπάρχεις τοῖς κεκτημένοις καλῶς αὐτήν. Fl. 59. πολλοὶ γὰρ τὸ κάλλος ἐπὶ σωτηρίαν ἑαυτῶν καὶ τῆς πατρί- δος ἐχρήσαντο, ὧν ἐστιν εἷς ὁ Γανυμήδης παρὰ θεῷ ἀξιω- θεὶς καὶ ἵππῳ ἀθανάτῳ κοσμήσας τὴν θρεψαμένην. καὶ Ἀμυμώνη δὲ διὰ τὸ ἴδιον κάλλος τὸ ἄνυδρον Ἄργος πο- λύυδρον ἐποίησε διὰ τῆς ἐπιμίξεως τοῦ Ποσειδῶνος. Fl. 21.

V. 128. *ΕΙΔΕΤΕ ΠΑΡ᾽ ΑΚΡΑΣ.* ἀντὶ τοῦ ἴδοι τὶς ἂν, ὡς τὸ φαίης ζάκοτόν τιν᾽ ἔμεναι, καὶ τὸ ἔνθ᾽ οὐκ ἂν βρίζοντα ἴδοις. ἔνιοι δὲ φασὶ ταῖς δμωσὶ ταῦτα λέγειν, οἱ δὲ πρὸς τὸ θέατρον, ὃ καὶ ἄμεινον. ἐφελκυστικὸς γάρ ἐστιν ἀεὶ μᾶλλον τῶν θεατῶν ὁ ποιητὴς, οὐ φροντίζων τῶν ἀκριβολογούντων. *ΩΣ ΑΠΕΘΡΙΣΕΝ.* ὡς ἐν τῇ σμικρότητι τῆς ἀφαιρέσεως μηδὲν ἀπολείπειν τοῦ ὑγιοῦς, μηδὲ τῷ κάλλει λυμήνασθαι. *ΕΙΔΕΤΕ.* ἐθεά- σασθε, πῶς κατὰ τὰς ἄκρας ἀπέκοψε τὰς τρίχας, φυλάσ- σουσα τὸ κάλλος. οὐ κατ᾽ ἐρώτησιν δὲ, ἀλλ᾽ ἀποφαινομένη ταῦτα λέγει. Gu. a m. pr.[10]) τὸ παρά τοῦ παρ᾽ ἄκρας καὶ τὸ ἀπό τοῦ ἀπέθριξε ταὐτόν ἐστι· τὸ γὰρ ἄκρας αἰτια- τική ἐστιν, ἢ γενικὴν νοητέον, ἵν᾽ ᾖ ἀπὸ τοῦ ἄκρου αὐτὰς ἔτεμε. Gu. a m. sec.

V. 129. *Η ΠΑΛΑΙ.* ἤτοι πονηρὰ, ἤγουν τὰ αὐτὰ φρονοῦσ᾽ ἃ καὶ πρότερον. τοῦτο γὰρ εἶναι εὔμορφος ἐπιμε- λεῖται. ἐλέγχει δὲ αὐτὴν, ὅτι οὐδὲ τοῖς ἁμαρτήμασι σεσω- φρόνισται, ἀλλ᾽ ἐν τοῖς ἤθεσι μεμένηκεν. ἤγουν ἢ κατὰ τὴν αὐτὴν μορφὴν, ἢ κατὰ τὸν αὐτὸν τρόπον.

V. 130. *ΘΕΟΙ ΣΕ ΜΙΣ.* λάθρα τοῦτο εἶπεν. Gu.

V. 131. *ΠΑΣΑΝ Θ᾽ ΕΛΛΑΔΑ.* τὸ κατὰ μέρος εἰποῦσα, ἐπήνεγκε τὸ καθόλου, ὡς καὶ Ὅμηρος, ἦ κεν

10) Ultima οὐ κατ᾽ ἐρ. sunt etiam in Florr. 6. 9. 17. 11. 56. 59. 76.

γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες ἄλλοι τε Τρῶες.

V. 131—135. *Ω ΤΑΛΑΙΝ᾽ ΕΓΩ.* Ἰδοῦσα ἡ Ἠ- λέκτρα τὸν χορὸν τῶν Ἀργείων γυναικῶν ἐλθόντα ἐπισκέ- ψασθαι τὸν Ὀρέστην, καὶ φοβηθεῖσα, μήπως ἐγεροῦσιν αὐτὸν ἀπὸ τοῦ ὕπνου, διακόψασα τὸν λόγον, ὃν περὶ τῆς Ἑλένης ἔλεγε, μετὰ λύπης λέγει, ὢ τάλαιν᾽ ἐγώ! αἱ φίλαι ξυνῳδοὶ ἤγουν αἱ συνθρηνοῦσαι μετ᾽ ἐμοῦ αὖ καὶ πάλιν πάρεισι καὶ προσέρχονται, ὡς φαίνεται, ὅτι καὶ πρῶτον ἐκεῖ ὑπῆρχον. ἴσως ἠρεμοῦντα τὸν Ὀρέστην μεταστήσουσι καὶ διεγείρουσιν ἀπὸ τοῦ ὕπνου ἀπό τε τῆς ὁμιλίας καὶ τοῦ κτύπου τῶν ποδῶν αὐτῶν· ἐπεὶ γὰρ πλῆθος ἦν, θόρυβον ἔμελλε ποιῆσαι εἰσερχόμενον· καὶ εἰ ἐγεροῦσιν αὐτὸν, ἐκτήξουσι τὸ ἐμὸν ὄμμα ἐν τοῖς δακρύοις. ἐπεὶ γὰρ ἔβλεπεν αὐτὸν δαιμονιζόμενον καὶ πάσχοντα, κλαίειν ἔμελλεν ὡς ἀδελφή. Fl. 59.

V. 132—139. *ΑΙΔ᾽ ΑΥ ΠΑΡΕΙΣΙ.* κατὰ τὸ σιω- πώμενον ἔρχονται αἱ γυναῖκες ἰδεῖν τὸν Ὀρέστην, πῶς ἔχει. καὶ ἰδοῦσα αὐτὰς φησὶν, ὦ φίλταται γυναῖκες, δι᾽ ἡσύχου ποδὸς καὶ πορείας ἔρχεσθε, καὶ μὴ κτυπεῖτε, μήδ᾽ ἔστω κτύ- πος. ἡ σὴ μὲν γὰρ φιλία πραεῖα καὶ εὐμενὴς, ἀλλ᾽ ἐν τῷ ἐξεγεῖραι τοῦτον γενήσεται συμφορά.

V. 140—161. *ΣΙΓΑ ΣΙΓΑ.* τὰ τοιαῦτα εἴδη κα- λεῖται ἀλλοιόστροφα· εἰσὶ δὲ καὶ κατὰ σχέσιν. τῆς παρούσης οὖν στροφῆς τὰ κῶλα ιγ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ἐφεξῆς γὰρ κεῖται ἡνωμένη, καὶ οὐκ ἐκ διαστήματος. τὸ α ἀσυνάρτητον ἐκ τροχαϊκοῦ ἰθυφαλλικοῦ καὶ ἰαμβικῆς βά- σεως, ἐχούσης τὸν α πόδα ἀνάπαιστον. τὸ β ἰαμβικὸν [1]) τρίμετρον ἀκατάληκτον. τὸ γ καὶ δ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ καὶ ἰάμβου. τὸ ε ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ ϛ ὅμοιον δίμετρον ὑπερκατάληκτον [2]) ἐξ ἐπιτρίτου α καὶ παίωνος γ καὶ συλλαβῆς. ἐν τῷ τῆς ἀντιστροφῆς κώλῳ ἀντίσπαστον ἔχει καὶ ἰωνικὸν ἀπ᾽ ἐλάτ- τονος. [τὸ ϛ διίαμβον.] τὸ ζ ἰωνικὸν ἀπὸ μείζονος τρίμε- τρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ, διιάμβου καὶ μολοττοῦ, ἢ

1) ἰαμβικόν. Vulgo ἴαμβον.

2) Haec verba τὸ ϛ' ὅμ. δίμ. ὑπερκ. e Barocc. 74. addidit King. omissis verbis τὸ ϛ' διίαμβον.

κρητικοῦ. τὸ δέ γε τῆς ἀντιστροφῆς κῶλον πεντασύλλαβον ἔχει διΐαμβον [3]). τὸ η ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ καὶ ἰωνικοῦ καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. τὸ ι ὅμοιον, δίμετρον ἀκατάληκτον ἐκ χορείων. τὸ ια ὅμοιον, δίμετρον ἀκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιβ ὅμοιον, δίμετρον βραχυκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιγ ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος δ, διϊάμβου καὶ κρητικοῦ, ἢ δακτύλου. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος.

V. 140. *ΣΙΓΑ ΣΙΓΑ.* ἠρέμα καὶ μετὰ ἡσυχίας. πρόςφορος δὲ τῷ πάθει καὶ ἡ τοῦ ῥυθμοῦ ἀγωγὴ δοχμιάζουσα. λεπτὸν δὲ ἴχνος ἀρβύλης, ἀντὶ τοῦ κούφως καὶ ἐλαφρῶς τιθεῖτε τὸν πόδα μετὰ τῆς ἀρβύλης. εἰ δὲ γράφεται λευκὸν ἴχνος, ἀπὸ μέρους τὸ ὅλον, ὡς τὸ ἀργυρόπεζα Θέτις. ἴχνος δὲ λέγει τὸν πόδα, καὶ ἀρβύλη ἐστὶν εἶδος ὑποδήματος γυναικείου κοίλου καὶ βαθέος. Ἄλλως. εἰ μὲν λευκὸν, συνάπτεται [4]) τῷ σῖγα σῖγα, καὶ λέγεται κατὰ ἀντίπτωσιν οὕτω. μετὰ σιγῆς, μετὰ σιγῆς τιθεῖτε τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους, ἤγουν τοῦ λευκοῦ ποδός. εἰ δὲ λεπτὸν, στίζεται μετὰ τὸ σῖγα σῖγα, καὶ ἔχει τὸ πᾶν οὕτω· μετὰ σιγῆς, μετὰ σιγῆς ἔρχεσθε δηλονότι, εἶτα λεπτὸν τιθεῖτε, ἀντὶ τοῦ ἥσυχον, τὸ ἴχνος, ἀντὶ τοῦ τὴν βάσιν τῆς ἀρβύλης. ἐστὶ δὲ ἀρβύλη εἶδος γυναικείου ὑποδήματος. Ἄλλως. Μετὰ σιγῆς τιθεῖτε τὸ λευκὸν ἴχνος τῆς ἀρβύλης, ἀντιστρόφως, ἀντὶ τοῦ τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους, ἤτοι τοῦ λευκοῦ ποδός. εἰ δὲ λευκὸν γράφεται, σύναπτε οὕτως· μετὰ σιγῆς ἔρχεσθε δηλονότι, τιθεῖτε τὸ ἴχνος τῆς ἀρβύλης ἐλαφρὸν, μὴ κτυπεῖτε, μηδ᾽ ἔστω κτύπος. *ΑΡΒΥΛΗ*, εἶδος ὑποδήμαιτος γυναικείου ἀπὸ τοῦ ἁρμόζειν καὶ βύειν τοὺς πόδας. Gu.

V. 141. *ΤΙΘΕΙΤΕ.* ποιητικῶς, ἀντὶ τοῦ τιθῶμεν. εἰςελήλυθε δὲ ἦχος κατὰ ὑπόθεσιν ἔνδον.

V. 142 — 145. *ΑΠΟΠΡΟ ΒΑΤΕ.* τὸ ὁλόκληρον τού-

3) ἔχει διΐαμβον. Haec quoque addidit King, nescio an ex eodem libro.

4) συνάπτεται pro σύναπτε Gu. in quo hoc unum schol. legitur a m. pr. Idem bis σῖγα, σῖγα habet pro σίγα σίγα, tum μετὰ σιγῆς bis; in fine omittit γυναικείου.

του τινὲς φασὶν ἀπόπροθι. καὶ τὸ παρὰ τῷ Ὁμήρῳ οὕτως ἐκδέχονται, τυτθὸν ἀποπρὸ νομῆς. (Il. ή, 334. ubi leg. τ. ἀποπρὸ νεῶν.) τὸ δὲ ἰδοὺ πείθομαι εἰκὸς ὀξύτερον εἰρηκέναι τοῦ χοροῦ. [5]) διὸ καὶ Ἠλέκτρα περιδεὴς γενομένη, φησὶν, ἆ ἆ. φυσικῶς δὲ τοῦτο πρῶτον εἶπεν, ἐπειδὴ αὕτη ὑπὸ τῆς φύσεως πρῶτον φωνὴ εὕρηται. ἀμέλει γοῦν, ἐπειδάν τι θεάσηταί τις παράδοξον, οὐδὲν ἕτερον ἀναβοᾷ, ἢ τὸ ἆ ἆ, τῆς φύσεως ἀγούσης πρὸς τοῦτο. εἶτα φησὶ πρὸς τὸν χορὸν, τοιαύτην πέμπε φωνὴν, οἷος ἐστὶν ἦχος σύριγγος καλάμων λεπτῶν ἐν τοῖς ἕλεσιν ἀποτελούμενος. οὐ γὰρ τὸ ὄργανον σύριγγα φησί· τοῦτο γὰρ πολύφωνον. *ΑΠΟΠΡΟ.* μακρὰν τῆς κοίτης πορεύθητε ἐκεῖσε. ἀποπρό, ἤτοι ἄγαν μακράν. *ΑΠΟΠΡΟ.* ἰδοῦσα ταύτας ἡ Ἠλέκτρα ἐρχομένας πρὸς τὴν στρωμνὴν τοῦ Ὀρέστου λέγει πρὸς αὐτάς· ἄπο καὶ μακρὰν πρόβατε καὶ ἐξέλθετε ἐκεῖσε καὶ ἀπεκεῖ, ἤγουν ἀπὸ τῆς στρωμνῆς μακρὰν καθίσατε. Fl. 59. ἄπωθεν τῆς κοίτης ἐπιτείνατε εἰς τὸ ἔμπροσθεν τὴν πορείαν, ἄπωθεν κατ᾽ ἐπίτασιν τῆς εἰς τὸ ἔμπροσθεν πορείας. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *ΜΟΙ*, χάριν ἐμοῦ.

V. 143. *ΙΔΟΥ*, ἢ θέασαι, ἢ νῦν. Gu.

V. 144. *Α Α.* ἐπίῤῥημα ἐφεκτικόν. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 76. φώνει μοι, ὦ φίλα, καθὰ πνοὴ ἀπὸ λευκοῦ δόνακος. *ΣΥΡΙΓΓΟΣ ΟΠΩΣ ΠΝΟΑ.* ἀθορύβως, φησὶ, φώνει μοι, ὡς πνοὴ συρίγξεως δόνακος. οὐ γὰρ φησὶ σύριγγος τοῦ αὐλοῦ· οὗτος γὰρ καὶ Ἐνδυμίωνα ἐγείρει. διαθέσεως ἐμφαντικὸν τὸ μοι, ὡς τὸ Πάτροκλέ μοι δειλῇ.

V. 145. *ΔΟΝΑΚΟΣ.* δόναξ κάλαμος λεπτὸς ἐν τοῖς ἕλεσι φυόμενος. τινὲς δὲ φασὶ τὸ ἰδιωτικῶς λεγόμενον ῥαγάζιον, οὐ καλῶς λέγοντες· οὐ γὰρ ἀπὸ τούτου σύριγξ γίνεται.

V. 146. *ΙΔ᾽ ΑΤΡΕΜΑΙΑΝ.* ἰδοὺ, φέρω βοὴν ἀτρεμαίαν καὶ ἀθόρυβον καὶ λίαν ὑπόροφον καὶ λεπτὴν, ἤγουν ἥσυχον. *ΙΔ᾽ ΑΤΡΕΜΑΙΑΝ.* μικρὸν σὺ, φησὶ, κελεύεις μοι φωνεῖν, ὡς ψιθυρίζει τῇ τοῦ ἀνέμου κινήσει κάλαμος· ἐγὼ δὲ καὶ ἔλαττον αὐτοῦ φέρω μοι βοὴν, ὡς ὑπὸ ὀρόφου

5) τὸν χορὸν King. sed iung. τὸ δὲ ἰδοὺ πείθομαι τοῦ χ.

γινομένην. ὁ δὲ ὄροφος κάλαμός ἐστιν ἀσθενής τε καὶ πα-
πυρώδης, οὗ μέμνηται καὶ Ὅμηρος, λαχνήεντ᾽ ὄροφον
λειμωνόθεν ἀμήσαντες. (Il. ω, 451.) ἐκ τούτων δὲ
γίνονται καὶ αἱ γλωσσίδες τῶν αὐλῶν. ὡς ἀσθενὴς δὲ,
ἀσθενῆ ποιεῖται τὴν ἀπήχησιν τῷ μὴ ἀνθίστασθαι τῇ βοῇ
τοῦ πνεύματος. ΩΣ ΥΠΟΡΟΦΟΝ ΦΕΡΩ ΒΟΑΝ. τινὲς
φασὶ βοὴν ὑπόροφον τὴν μὴ δυναμένην ἐκτὸς τοῦ οἴκου
ἀκούεσθαι, ἄλλοι δὲ τὴν ὑπὸ ὀρόφου καλάμου γινομένην·
ὄροφον γὰρ λέγουσι [6]) λεπτόν τινα κάλαμον παπυρώδη, ᾧ
χρῶνται εἰς ὀροφὰς οἱ ἄνθρωποι, πιστούμενοι τοῦτο ἐκ τοῦ
ἄνωθεν τῆς Ἠλέκτρας λόγου· εἰπούσης γὰρ ἐκείνης πρὸς
τὸν χορὸν, ὦ φίλη, φώνει ὥςπερ πνοὴ καὶ ἀπήχησις σύριγ-
γος λεπτοῦ δόνακος, ἀποκρινόμενος ὁ χορός φησὶ, θέασαι
ὅτι φέρω βοὴν ἥσυχον, ὑπόροφον, τουτέστι τὴν γινομένην
ὑπὸ ὀρόφου. καὶ Ὅμηρος, λαχνήεντ᾽ ὄροφον λειμω-
νόθεν ἀμήσαντες. ἐκ τούτου τοῦ ὀρόφου ποιοῦσιν οἱ
παῖδες αὐλοὺς λεπτὸν ἠχοῦντας, καὶ μὴ δυνάμενον ἐξακούε-
σθαι διὰ τὴν ἀσθένειαν. ΥΠΟΡΟΦΟΝ. ὄροφος λεπτὸς
κάλαμος εἰς ὀροφὰς ἐπιτήδειος. ὑπόροφον οὖν, τὴν μὴ διϊ-
κνουμένην ἔξω τοῦ ὀρόφου, ὅ ἐστι βραχεῖαν.

V. 147—150. ΝΑΙ ΟΥΤΩΣ. ναὶ οὕτω, φώνει
δηλονότι, κάταγε κάταγε, ἤγουν ταπείνου τὴν σὴν φω-
νὴν, πρόςελθε ἡσύχως, ἡσύχως ἐλθέ. ἀπόκριναι δὲ, δι᾽ ἣν
αἰτίαν ἤλθετε καὶ χρείαν. χρόνια γὰρ, ἀντὶ τοῦ χρονίως,
ἤτοι βραδέως, πεσὼν ὅδε ὁ Ὀρέστης εὐνάζεται καὶ
ἀναπαύεται.

V. 148—150. ΚΑΤΑΓΕ. κάταγε τῇ ἐπαναλήψει
μεμίμηται τὴν ἠρεμαίαν προϊέμενον φωνήν· ἅτε γὰρ οὐκ
ἐξακουομένης, δεύτερον ταῖς αὐταῖς λέξεσι κέχρηται. Τὸ
κάταγε ἐναντίον ἐστὶ τῇ ἀνατάσει τῆς βοῆς. σημαίνει

6) Duo scholia sunt in Gu. juxta se posita ab eadem manu: alterum longius cum edito conspirat, sed pro ἄλλοι δὲ τὴν ὑπὸ ὀρ. κ. τ. λ. tantum habet: ἄλλοι δὲ ὄροφον λέγουσι λεπτόν τινα κάλ. alterum brevius habet tantum verba: μὴ δυν. ἐκτὸς τοῦ οἴκου ἀκούεσθαι ἢ καὶ τὴν ὑπὸ ὀρόφου καὶ λεπτοῦ καλάμου γινομένην, ᾧ χρῶνται εἰς ὀροφὰς ἄνθρωποι. E priori τὴν ante γινομένην ὑπὸ ὀρόφου recepi. Tum legit: μέμνηται δὲ καὶ Ὅμηρος τοῦ ὀρόφου λέγων· λαχν. In fine διὰ τὴν ἀσθ. est in Cod. Vulgo δι᾽ ἀσθένειαν.

δὲ τὸ κάταγε τὸ πρόςελθε, ἀφ᾽ οὗ καὶ καταγωγοὶ οἱ λιμένες. χρόνια δὲ ἀπὸ πολλοῦ χρόνου. τοῦτο δὲ ἀναφορὰν ἔχει πρὸς τὸ πρόςιθι ἀτρέμας. ὁ δὲ νοῦς· χρόνιος, ὅ ἐστι διὰ χρόνου, ἐκοιμήθη.

V. 148. ΚΑΤΑΓΕ. ἀπὸ μεταφορᾶς τῶν καταγομένων νεῶν εἰς τοὺς λιμένας. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gu. a m. pr. κάτελθε καὶ σεαυτὴν φέρε. Gu. a m. sec.

V. 149. ΛΟΓΟΝ ΑΠΟΔΟΣ, ἀντὶ τοῦ ἀπόκριναι. (ἀπολογίαν.) Gu.

V. 150. ΧΡΟΝΙΑ, χρονίως, βραδέως. (μόλις. καὶ διὰ τοῦτο οὐ βούλομαι ὑμᾶς ὄχλον αὐτῷ παρασχούσας ἐξαναστῆσαι.) Gu.

V. 151. ΠΩΣ ΕΧΕΙ. πῶς διάκειται ὁ Ὀρέστης; μετάδος ἡμῖν λόγου, ὦ φίλη.

V. 152. ΤΙΝΑ ΤΥΧΗΝ καὶ δυςτυχίαν αὐτοῦ εἴπω, τίνα δὲ συμφοράν; ἔτι μὲν ἀναπνεῖ, βραχὺ δὲ καὶ ὀλίγον ἀναστένει. ΠΟΙΑΝ ΤΥΧΑΝ. ἴαμβος χρὴ εἶναι οὗτος ὁ στίχος, ὡς καὶ ὁ τῆς στροφῆς. διὸ οὕτως ἐγράφη παρ᾽ ἡμῶν, ποίαν τύχαν, ποίαν δὲ συμφοράν. καὶ ἔστι τὸ ποι τὸ δεύτερον κοινὴ συλλαβὴ, διὸ καὶ τὸ παρ᾽ ἡμῶν ἐπινοηθὲν ἐπὶ ταῖς κοιναῖς συλλαβαῖς ἐπετέθη σημεῖον, ὡς καὶ ἐν τοῖς ἄλλοις τοῖς τοιούτοις.

V. 154. ΤΙ ΦΗΣ, Ω ΤΑΛΑΣ, ὁ Ὀρέστης δηλονότι. οἰκειούμενος τὰς συμφορὰς ὁ χορὸς καὶ συναχθόμενος γεγωνότερον ἀνέκραγε τὸ ὦ τάλας. διὸ φησὶν, ὀλεῖς, εἰ βλέφαρα κινήσεις. δεῖ δὲ νοεῖν στεναγμόν τινα γεγενῆσθαι μετὰ τὸ ὦ τάλας ὑπὸ τοῦ χοροῦ, ἵνα εὔλογον ᾖ τὸ παρὰ τῆς Ἠλέκτρας εἰρημένον, σὺ γάρ νιν, ὦ τάλαινα, θωΰξασ᾽ ἔβαλες ἐξ ὕπνου. ΤΙ ΦΗΣ, πρὸς τὴν Ἠλέκτραν, Ω ΤΑΛΑΣ, [ἢ] πρὸς τὸν Ὀρέστην.

V. 155 sq. ΟΛΕΙΣ. ἀπολεῖς ἐμὲ, εἰ κινήσεις τὰ βλέφαρα ἐκείνου, φέροντος ἡδονὴν ὕπνου γλυκυτάτην. ΟΛΕΙΣ, ἀπολεῖς ἐμὲ (ἢ αὐτόν). Gu. ΕΙ ΒΛΕΦΑΡΑ ΚΙΝ. ἤγουν ἐὰν διϋπνίσῃς αὐτὸν, ἐὰν ἐξεγείρῃς τοῦ ὕπνου. Fl. 55. 59.

V. 156. ΦΕΡΟΜΕΝΩι ΧΑΡΑΝ. ἀντὶ τοῦ φερόμενον ἐν χαρᾷ. Fl. 21. ἀντὶ τοῦ φέροντος. (καρπουμένῳ.) Gu.

V. 157 sq. ΜΕΛΕΟΣ. ὦ ἄθλιος. ἕνεκα τῶν πράξεων τῶν θεοστυγεστάτων. ὦ τάλας, φεῦ ἕνεκα τῶν μόχθων!

V. 159 — 161. *Α Α.* ἄδικος ὢν ὁ Λοξίας ἄδι-
κα τότε εἶπεν, ὅτε ἐπὶ τῷ τρίποδι τῆς Θέμιδος ἔκρινε τὸν
φόνον τὸν μισητὸν καὶ μὴ ἄξιον ὄντα γενέσθαι. Ἄλ-
λως. *Α Α ΑΔΙΚΟΣ.* τοῦτ᾽ ἐστὶ τὸ ἀλλαχοῦ εἰρημέ-
νον, πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτή-
μεθα. ἐπειδὴ γὰρ ἔδοξεν ἀτυχῶς τῷ Ὀρέστῃ πεπτωκέναι
τῆς μητρὸς ὁ φόνος, ἄδικος ὁ Λοξίας νενόμισται, ἢ τὸ
ἄδικα ἐδίκασεν ἐμφαίνει, ὅτι δικαίως ἐμαντεύσατο τὸν
φόνον τῆς μητρός, ἀδικεῖ δὲ τῷ δράσαντι μὴ ἐπικουρῶν.
τὸ δὲ ἑξῆς οὕτως. ὁ ἄδικος Λοξίας ἄδικα τότε ἐδίκησεν,
ὅτε ἐπὶ τρίποδος Θέμιδος τὸν φόνον ἔλακεν ἐμῆς μητρὸς
(καὶ Ἀριστοφάνης, ἔλακεν ἐκ τῶν στεμμάτων τρα-
γικῇ λέξει χρησάμενος) ὅτε τὸν ἀπόφονον τῆς ἐμῆς μητρὸς
ἐπὶ τρίποδι Θέμιδος ὁ Λοξίας ἀπέλακεν, ἀντὶ τοῦ ἀπεφθέγ-
ξατο. τὸ ἀπόφονον Ἀπόλλωνι, οὐκ Ὀρέστῃ ἐγκαλοῦσα
φησίν. ἔνιοι δὲ ἀπόφονον ἐδέξαντο τὸν ἄτοπον φόνον, τὴν
δὲ ἀπὸ πρὸς τὸ ἔλακεν, ἀπέλακεν, ἀντὶ τοῦ ἀπεφθέγ-
ξατο. *ΑΔΙΚΟΣ.* οἱ λαμβάνοντες εἰς τὸ ἄδικος ἔξωθεν
τὸ ὑπάρχει, καὶ στίζοντες ἐνταῦθα, ἀμαθεῖς. [7]) τὸ δ᾽ οὔ-
τως ἔχει· δέον γὰρ εἰπεῖν, ἀδίκως ἔλακε τότε ὁ Λοξίας
ἄδικα, ὁ δὲ ἄδικος εἶπε πρὸς τὸ Λοξίας. ἀπατῶνται δὲ ἐκ
τοῦ ἄδικα, οὐκ εἰδότες, ὅτι τὸ ἄδικος καὶ τὸ ἄδικα ταυτο-
δυναμοῦσιν, ὥστε εἰ καὶ ἓν τούτων ἀπῆν, ἄρτιος ἂν ἦν
ὁ λόγος. ἄδικος ὢν ὁ Λοξίας ἄδικα ἄρα τότε εἶπεν, ὅτε
ἐπὶ τρίποδι τῆς Θέμιδος ἐδίκασεν, ἤγουν ἔκρινε, τὸν ἀπό-
φονον φόνον τῆς ἐμῆς μητρὸς, ἤγουν τὸν μισητὸν καὶ μὴ
ἄξιον γενέσθαι. Τὸ δὲ ἔλακεν οὐ παρακείμενος ἐστὶν ὡς
οἴονταί τινες, ἀλλ᾽ ἀόριστος β, διὸ καὶ βραχὺ ἔχει τὸ α.
λέλακα γάρ ἐστιν ὁ παρακείμενος, ὡς καὶ Ἡσίοδος τὸ λέ-
ληκας. (Ἔργ. 207.)

V. 159. 160. *ΑΠΟΦΟΝΟΝ.* κακόφονον, ὡς αἴτιον
ἡμῖν συμφορῶν, τὸν μισητὸν καὶ μὴ ἄξιον ὄντα γενέσθαι,
ἄτοπον. Gu. a m. sec. ὡς λέγομεν γάμος ἄγαμος, ὅταν
τις οὐκ ἀγάγηται γυναῖκα ξένην, ἀλλὰ συγγένειαν ἔχουσαν
μετ᾽ αὐτοῦ, οὕτω καὶ φόνος ἀπόφονος, ἤγουν μισητός· οὐ
γὰρ ἦν ὁ φόνος εἰς ἕτερον ἀλλότριον, ἀλλὰ εἰς τὴν αὐτοῦ

7) Gu. οὐ καλῶς ποιοῦσι. Ex eodem sumsi paulo post ὁ δὲ ante ἄδικος, et ἂν post ἄρτιος. Quae post ἄρτιος ἂν ἦν ὁ λ. sequuntur, ibidem desunt. μὴ ante ἄξιον γενέσθαι add. King.

μητέρα. καὶ ἄλλο δέ· ὅτι ὁ φόνος τῆς μητρὸς αὐτοῦ ἐπὶ κακῷ ἐγένετο αὐτῷ· παράφρων γὰρ ἐγένετο ὁ Ὀρέστης καὶ εἰς ψῆφον ἦσαν θανάτου, καὶ κατὰ τοῦτο ἀπόφονος, ἤγουν μισητὸς κακὸς φόνος. Fl. 59.

V. 160. *ΕΠΙ ΤΡΙΠΟΔΙ ΘΕΜΙΔΟΣ.* οὕτω νοητέον, ἢ ἐν τῷ τρίποδι τῆς Θέμιδος, τουτέστι τῆς δικαιοσύνης, ἐν ᾧ καθημένη ἡ Πυθία καὶ ὑπὸ τοῦ Ἀπόλλωνος κατεχομένη τὰ δίκαια πᾶσιν ἐθέσπιζεν, ἢ, ὡς φασί τινες, ὅτι ὁ τρίπους πρότερον ἦν τῆς Γῆς, εἶτα τῆς Θέμιδος, (ἡ δὲ Θέμις θεὰ παρ᾽ Ἕλλησιν ἔφορος δικαιοσύνης,) εἶτα τοῦ Ἀπόλλωνος ἐγένετο, παρὰ Θέμιδος λαβόντος.

V. 161. *ΛΟΞΙΑΣ.* Λοξίας ὁ Ἀπόλλων καλεῖται, ὅτι λοξὰ καὶ διπλῶς νοούμενα ἐμαντεύετο. καὶ γὰρ τῷ Κροίσῳ, ὅτε στρατεύσειν κατὰ Κύρου ἔμελλεν, ἐρωτήσαντι, εἰ τοῦ ἐχθροῦ περιέσται, εἶπε· Κροῖσος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει. [8]) τοῦτο δὲ ἦν παντάπασιν ἄγνωστον, εἴτε τὴν οἰκείαν, εἴτε τὴν Κύρου. ὅθεν ἀπατηθεὶς ὁ Κροῖσος, καὶ μεγάλην ἀρχὴν τὴν τοῦ ἀντιδίκου ὑπολαβὼν, ἐλθὼν καταλέλυκε τὴν οἰκείαν τοσοῦτον, ὡς ὑπὸ τοῦ ἐχθροῦ ἑαλωκέναι, καὶ εἰς πῦρ ἐμβληθῆναι. ὃν εἰ μὴ Ζεὺς οἰκτείρας ἀφῆκεν ὕδωρ ἐπὶ τὴν φλόγα, τάχ᾽ ἂν ἀπολώλει, ἔργον πυρὸς γενόμενος. ἦν δὲ ὁ Κροῖσος Λυδῶν βασιλεύς.

V. 162 — 169. *ΟΡΑιΣ ΕΝ ΠΕΠΛΟΙΣΙ ΚΙΝΕΙ ΔΕΜΑΣ.* σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν τῷ πρὸς [9]) τὰς στροφὰς, ὁμοιομερὲς δὲ τῷ μετὰ τὴν ἑξῆς κειμένην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, θρόει τίς κακῶν. ἔστι δὲ κώλων ὀκτώ. τὸ α ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου β καὶ ἰάμβου. τὸ β ἰαμβικὸν ἑφθημιμερές. τὸ γ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, Φερεκράτειον, ἐξ ἀντισπάστου [ἐπιτρίτου β καὶ ἰάμβου]. [10]) τὸ δ ἰαμβικὸν ἑφθημιμερές. [τὸ δ ἰαμβικὸν]

8) Gu. Κροῖσος βασιλεὺς Ἅλυν ποταμὸν διαβὰς, deinde τοῦτο δὲ εἶπε παντ. ἄγν. — ἀδίκου pro ἀντιδίκου — τὴν οἰκείαν τοσοῦτον, ὡς καὶ ὑπὸ τοῦ ἐχθροῦ ἑαλωκὼς εἰς πῦρ ἐμβεβλῆσθαι, unde τοσοῦτον assumsi.

9) τῷ πρός. Sic corr. King. vulg. τῷ μετὰ τὴν πρός.

10) King. edidit Φερεκράτειον, [ἐξ ἀντισπάστου καὶ κρητικοῦ· ἐνταῦθα δὲ τὸ κρητικὸν ἔχει τετρασύλλαβον.] Verba ἐπιτρίτου β'

ὅμοιον τῷ β. τὸ ε τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ ἐκ χορείων, ὅμοιον τῷ α. τὸ ζ παιωνικὸν δίμετρον ἀκατάληκτον [1]), ἐκ παίωνος δ καὶ κρητικοῦ. τὸ η τροχαϊκὸν ἰθυφαλλικόν. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἡμιόλιον· ἐπὶ τῷ τέλει παράγραφος.

V. 162. *ΟΡΑιΣ;* κινεῖ τὸ δέμας ἐν τοῖς πέπλοις.

V. 163 sq. *ΣΥ ΓΑΡ ΝΙΝ.* σὺ γὰρ ἀγρίως φωνήσασα ἐξέβαλες τοῦ ὕπνου αὐτόν. τὸ γὰρ ὦ τάλαινα γεγωνότερον εἶπεν ὁ χορός. τινὲς δὲ φασὶν, ὅτι φωνῇ θρηνώδει ἐχρήσατο ὁ χορὸς γραφῆναι μὴ δυναμένῃ, ἰύγμῳ, ἰύγμοῦ τραχυτέρᾳ, ὅπερ εἰώθασι ποιεῖν αἱ γυναῖκες ἐπὶ τοῖς ὑπερβάλλουσι κακοῖς· ἃ γὰρ μὴ δύναται γράφεσθαι, ταῦτα δι' ἑτέρων προςώπων δηλοῦται· οἷόν τι καὶ παρὰ τῷ Κωμικῷ, οἰκέτου στενάξαντος, ἕτερος φησὶν, ἀκούεις, ὡς στένει.

V. 164. *ΘΩΥΞΑΣ'*, ἀγρίως (μεγάλως) βοήσασα. Gu. *ΕΒΑΛΕΣ*, ἤγουν ἐξύπνισας αὐτὸν, εἰποῦσα τὸ ὦ τάλας. Fl. 59.

V. 165. *ΕΥΔΕΙΝ ΜΕΝ ΟΥΝ ΝΙΝ ΕΔΟΞΑ*, ἀντὶ τοῦ δοκῶ. καθησυχάσουσα δὲ τὴν Ἠλέκτραν, φησὶν, ὅτι καθεύδειν αὐτὸν νομίζω. διὸ ἐπιφέρει τὸ ὑπνώσσει ὁριστικόν. λέγει νῦν, ὡς ἀμφίβολον εἰποῦσαν οὐκ ἔπεισε· [2]) μὴ ταράσσου, φησὶν ὁ χορὸς, ὑπνώσσει γάρ. τὰ γὰρ δύο σσ ἐνεστῶτος ῥῆμα ποιοῦσι τὸ ὑπνώσσω.

V. 166 sqq. *ΟΥΚ ΑΦ' ΗΜΩΝ.* οὐκ ἀφ' ἡμῶν, ἀποστήσῃ δηλονότι, οὐκ ἀπὸ τῶν οικων πάλιν ἀναστρέψεις τὸν σὸν πόδα, μεθεμένα καὶ ἀφεῖσα τοῦ κτύπου;

V. 166. *ΟΥΚ ΑΦ' ΗΜΩΝ*, μακράν. Fl. 59.

V. 167. *ΠΑΛΙΝ*, εἰς τοὐπίσω. Gu. a m. sec. *ΑΝΑ.* σύναπτε τὸ ἀνὰ πρὸς τὸ ἑλίξεις. Gu. a m. sec. *ΠΑΛΙΝ — ΕΛΙΞΕΙΣ*, ἀναστρέψεις τὸν σὸν πόδα. ἐκ παραλλήλου τὸ

καὶ ἰάμβου haud dubie e superioribus repetita sunt. Statim post legebatur: τὸ γ' ἑφθημιμερές. τὸ δ' ἰαμβικὸν ὅμοιον τῷ β'. Corr. King.

1) King. καταληκτικόν.

2) Verba λέγει νῦν — ἔπεισε delevit King. Nec ego, quid illa sibi velint, assequor.

πάλιν καὶ τὸ ἀνά. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 168. *ΜΕΘΕΜΕΝΑ*, ἀποστᾶσα. (ἀπολειφθεῖσα.) Gu. ἀφεῖσα, ἀποστᾶσα τοῦ κτύπου οὗ ποιεῖς. Fl. 59.

V. 169. *ΛΕΓΕΙΣ ΕΥ*, ἀληθῶς καὶ καλῶς λέγεις. ταῦτα δὲ φησὶ σκοπήσασα ἀπὸ τοῦ κοιμωμένου.

V. 170—179. *ΠΟΤΝΙΑ ΠΟΤΝΙΑ ΝΥΞ.* ἡ δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ ιγ. τὸ α τροχαϊκὸν πενθημιμερὲς ἐκ δύο χορείων· εἰ δὲ βούλει, ἰαμβικόν. τὸ β καὶ γ παιωνικὰ ἡμιόλια, ἐκ παιώνων δ καὶ ἰάμβων. τὸ δ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ χορείων· εἰ δὲ βούλει, ὅμοιον τῷ α, καὶ τῆς ἐκεῖ μακρᾶς διαλελυμένης ἐν τούτῳ. τὸ ε ὅμοιον τῷ β. τὸ ϛ παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων πρώτων δύο, τοῦ β [3]) πενταβραχέος, καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ ζ καὶ τὸ η ὅμοια [τῷ β καὶ γ] [4]). τὸ θ παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β καὶ πρώτου. τὸ ι ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον ἐκ β ἀναπαίστων καὶ ἰάμβου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος γ καὶ διϊάμβου. τὸ ια δακτυλικὸν ἑφθημιμερές. τὸ ιβ τροχαϊκὸν, ἢ ἰαμβικὸν ἐκ τριῶν χορείων καὶ συλλαβῆς. τὸ ιγ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον ἀκατάληκτον, ἐκ παίωνος α ἀντὶ ἰωνικοῦ, διτροχαίου [5]) καὶ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον, ἢ ἰωνικοῦ. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω καὶ ἔξω νενευκυῖα, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσα ἔχειν ἀνταπόδοσιν. *ΠΟΤΝΙΑ ΠΟΤΝΙΑ.* ὦ νὺξ σεβασμία, ἡ τοὺς ὕπνους παρεχομένη τοῖς πολυπόνοις ἀνθρώποις. (δίδωσι δὲ τοὺς ὕπνους ἡ νὺξ ἐξαιρέτως διὰ τὸ ὑγρὰ εἶναι τῇ ἀποστάσει τοῦ ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα. [6])) ἐλθὲ ἀπὸ τοῦ ἐρέβους, μόλε ταχεῖα ἐπὶ τὸν δόμον τὸν Ἀγα-

3) Vulgo τοῦ ά πενταβρ. sed haud dubie — νόνιον ἐπι paeonem πεντάβραχυν vocat.

4) τῷ β' addidit King.

5) Vulgo καὶ παίωνος ά ἀντὶ ἰων. δ' τροχαίου. Corr. King. qui etiam paulo post pro διπλῆς dedit διπλῆ, Barnesium secutus.

6) Quae hic in Junt. Basil. Barn. leguntur, omisit King; recte, modo infra posuisset ad v. 171. ubi in Junt. Basil. repetuntur et emendatius: nam hic legebatur ἡ γῆ pro ἡ νὺξ et ἐγρὰν pro ὑγρά.

μεμνόνειον· ὑπὸ γὰρ ὀδυνῶν καὶ συμφορᾶς φθειρόμεθα. Ὁ κατὰ φύσιν ὕπνος ἐξ ὑγρότητος γίνεται. ὑγρὰ δὲ ἡ νὺξ, ἀφισταμένου τοῦ ἡλίου τοῦ ξηραίνοντος καὶ θερμαίνοντος τὸν ἀέρα. ὁ τοίνυν Ὀρέστης ἐξηραμένος ὑπὸ νόσου τε καὶ ἀσιτίας, ὑγρανθεὶς τῷ νυκτερινῷ διαστήματι, μᾶλλον κοιμηθήσεται. ἄλλως τε καὶ τῶν αἰσθήσεων ἠρεμουσῶν ἐν σκότῳ, ἕπεται ὕπνος ἡσυχίᾳ αἰσθήσεων καὶ κινήσεων. ἔδει δὲ ἐκ χάους εἰπεῖν, ὡς Ἡσίοδος (Theog. 123.)· ἐκ χάεος ἔρεβός τε μέλαινά τε νὺξ ἐγένοντο. Ἄλλως. τοῦτο τὸ μέλος ἐπὶ ταῖς λεγομέναις νήταις ᾄδεται, καὶ ἔστιν ὀξύτατον· ἀπίθανον οὖν τὴν Ἠλέκτραν ὀξείᾳ φωνῇ κεχρῆσθαι, καὶ ταῦτα ἐπιπλήσσουσαν τῷ χορῷ. ἀλλὰ κέχρηται μὲν τῷ ὀξεῖ ἀναγκαίως, λεπτότερον δὲ ὡς ἔνι μάλιστα.

V. 171. *ΥΠΝΟΔΟΤΕΙΡΑ*. ἡ τοὺς ὕπνους δωρουμένη τοῖς πολυπόνοις βροτοῖς. δίδωσι δὲ τοὺς ὕπνους ἡ νὺξ ἐξαιρέτως, διὰ τὸ ὑγρὰ εἶναι τῇ ἀποστάσει τοῦ ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα.

V. 172. *ΕΡΕΒΟΘΕΝ*. ἐρεβόθεν ἐλθεῖν τὴν νύκτα καλεῖ, τουτέστιν ἀπὸ χάους· κατερχομένου γὰρ τοῦ ἡλίου εἰς τὸ ὑπὸ γῆς [7]) ἡμισφαίριον, σκότος ἐπάνω τῆς γῆς γίνεται, ὥςπερ ἐκ τῶν κάτωθεν ἀνιέναι δοκοῦν, οὐχ ὡς ὂν ἐν τοῖς κάτω καὶ ἀνερχόμενον, ἀλλὰ τῇ ἀπουσίᾳ τοῦ φωτὸς τοῦτο ὑφίσταται, οὐκ ἔχον αὐτὸ καθ᾽ ἑαυτὸ οἰκείαν ὑπόστασιν. ἐλθεῖν δὲ λέγει τὴν νύκτα, οὐχ ἵνα γένηται νὺξ, — πῶς γὰρ οἷόν τε ἡμέρας οὔσης; — ἀλλ᾽ ἐπειδὴ ἐν νυκτὶ ὑπνώττουσιν ἄνθρωποι, διὰ τοῦτο τοῦτο φησίν· ἄλλως τε καὶ οἱ κοιμώμενοι ὥςπερ νύκτα ἔχουσι διὰ τὸ μὴ ὁρᾶν. *ΚΑΤΑΠΤΕΡΟΣ*, ταχεῖα ἀντὶ τοῦ ταχέως. Gu.

V. 175. *ΔΙΟΙΧΟΜΕΘΑ*, ἐφθάρμεθα. Gu.

V. 176. *ΚΤΥΠΟΝ ΗΓΑΓΕΤ᾽* ἀντὶ τοῦ ἐποιήσατε. *ΟΥΧΙ*. οὐμενοῦν χρὴ γράφειν ἐνταῦθα, ἢ οὐδαμῶς· ἁρμόζει γὰρ ἀμφότερα τῷ μέτρῳ. τὸ δὲ οὐχὶ ἐλλιπές ἐστιν.

V. 176. 177. *ΣΙΓΑ, ΣΙΓΑ*. μετὰ σιγῆς, διαλέγου μοι δηλονότι, φυλασσομένη, καὶ ἐκφεύγουσα τὸν εἰς ὕψος τοῦ στόματος κέλαδον· παρέξεις, ὦ φίλη, ἡδονὴν ὕπνου

7) γῆς. Sic Gu. Vulgo γῆν. In fine vulgo ἐπειδὴ νυκτί et διὰ τοῦτο φησίν. Quod dedi, est in eodem codice.

ἥσυχον, εἰ τοῦτο ποιήσεις. Ἄλλως. οὐ σιωπήσεις, φησὶν, ἀπὸ τοῦ στόματος φυλαττομένη τὸ ἀνακελαδεῖν, καὶ τὴν ἀπὸ τῆς κοίτης ὕπνου χάριν ἥσυχον αὐτῷ παρέξεις; ἢ τὸν κέλαδον ἄποθεν τοῦ λέχους ποιουμένη; οἷον οὐ σιγήσεις, καὶ μετὰ ἡσυχίας αὐτὸν ἐάσεις κοιμηθῆναι; *ΦΥΛΑΣΣΟΜΕΝΑ*, ἤγουν ἀφεῖσα μεγάλην βοὴν πλησίον τῆς αὐτοῦ κοίτης, καὶ πόῤῥω γενομένη, ὀνήσεις αὐτὸν ὡς ὑπνώσσοντα.

V. 178. *ΑΝΑΚΕΛΑΔΟΝ*, τὴν εἰς ὕψος φωνήν. (μέγαν ἦχον.) Gu.

V. 180 — 187. *ΘΡΟΕΙ, ΤΙΣ ΚΑΚΩΝ*. τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ τῆς προειρημένης στροφῆς συστήματι, οὗ ἡ ἀρχὴ, ὁρᾷς ἐν πέπλοις. καὶ τοῦτο γὰρ κῶλον ὅμοιόν ἐστι τῷ η. ἐπὶ τῷ τέλει παράγραφος.

V. 180. *ΘΡΟΕΙ, ΤΙΣ ΚΑΚΩΝ*. λέγε, ποῖον τέλος αὐτὸν ἐκδέχεται; ἆρα δύναται ῥαῖσαι, ἢ οὔ; εἰπὲ, ποῖον ἔσται τὸ τέλος, ποῖον πέρας αὐτὸν μένει;

V. 181. *ΤΙ Δ᾽ ΑΛΛΟ*, εἶπας. Gu.

V. 182 sq. *ΟΥΔΕ ΓΑΡ ΠΟΘΟΝ ΕΧΕΙ ΒΟΡΑΣ*. ἴσχει πόθον χρὴ γράφειν, οὐ πόθον ἔχει· οὕτω γὰρ ἔχει πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον οἰκείως. καὶ τὸ ἄρα δὲ ἐνταῦθα, εἰ καὶ συμπερασματικόν ἐστιν, ἀλλ᾽ οὖν ἀντὶ μακροῦ λαμβάνεται παρὰ τοῖς ποιηταῖς, ὡς καὶ τὸ ἀπορηματικὸν ἐνίοτε ἀντὶ βραχέος. διὸ τοῦτο μὲν περισπᾶται ἀντιστρόφως, ἐκεῖνο δὲ ὀξύνεται.

V. 182. *ΠΟΘΟΝ*, ὄρεξιν. Fl. 59. *ΒΟΡΑΣ*, τροφῆς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 183. *ΠΡΟΔΗΛΟΣ*, προφανής. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. *ΑΡ᾽*, εἰ ταῦθ᾽ οὕτως ἔχει. Gu. *Ο ΠΟΤΜΟΣ*, ἡ τύχη τοῦ θανάτου δηλονότι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 184. *ΕΞΕΘΥΣΕΝ*. ἀπώλεσεν ἡμᾶς ὁ Ἀπόλλων, πατροφόνου μητρὸς αἷμα δοὺς, οἷον ἐνδοὺς ἡμῖν, κελεύσας τὸν τῆς μητρὸς φόνον ἐργάσασθαι. τὸ δὲ ἑξῆς· μέλεον ἀποδοὺς αἷμα, φόνον πατροφόνου μητρός. [8]) Ἄλλως. ἡ ἐξ πρὸς τὸ

8) Verba: πατροφόνου — τὸ δὲ ἑξῆς om. King. reliqua in paraphrasi posuit.

πατροφόνου, τουτέστι δοὺς ἡμῖν τὸ αἷμα καὶ τὸν φόνον τῆς
πατροφόνου μητρὸς, οἷον ἐγχειρίσας ἡμῖν, καὶ κελεύσας ἀπὸ
τοῦ φόνου καὶ τοῦ αἵματος τῆς μητρὸς τιμωρῆσαι τῷ πα-
τρί. δύναται δὲ καὶ ἀποδούς. *ΕΞΕΘΥΣ*, ἐφόνευσεν. (ἀπώ-
λεσεν.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 185. *ΑΠΟΦΟΝΟΝ*, οὐκ ἄξιον ὄντα γενέσθαι.
ἀπὸ φυγῆς ἄξιον φόνον. Gu. Fl. 6. 9. 21. 56. 59. *ΔΟΥΣ*
ἀντὶ τοῦ συγχωρήσας καὶ κελεύσας τὸν τῆς μητρὸς φόνον
ἐργάσασθαι, τὸν φόνον τῆς μητρὸς τὸν μέλεον, τὸν ἀπό-
φονον καὶ τὸν μισητὸν, τὸν ἐπὶ κακῷ γεγονότα. Fl. 59.

V. 186. *ΠΑΤΡΟΦΟΝΟΥ*, τῆς τὸν ἐμὸν πατέρα φο-
νευσάσης. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 187. *ΔΙΚΑι*. ὠφείλετο μὲν γὰρ αὐτὴ ἀναιρεθῆναι,
οὐ μέντοι παρὰ τοῦ παιδός. δίκαιον μὲν αὐτὴν ἀναιρεθῆ-
ναι, ἀνελοῦσαν τὸν ἄνδρα, οὐ μέντοι πρέπον ἦν ὑπὸ τοῦ
παιδὸς εὐθύνας δοῦναι τοῦ φόνου. *Δίκα* ἐνταῦθα γράφε,
μὴ δίκαια. οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. *ΔΙ-
ΚΑΙΑ*, τὰ κατὰ τὸν φόνον. (δικαίως δοὺς τὸν φόνον, τὸ
αἷμα.) Gu. *ΚΑΛΩΣ*, εὐπρεπῶς, *Δ' ΟΥ*, διότι ὑπὸ τοῦ
υἱοῦ. (οὐδὲ γὰρ ὑπὸ παιδὸς ἔδει θανεῖν αὐτήν.) Gu.

V. 188—197. *ΕΚΑΝΕΣ ΕΘΑΝΕΣ*. ἡ ἀντιστροφὴ
αὕτη τῆς β στροφῆς, ἧς ἡ ἀρχὴ πότνια πότνια νύξ.
καὶ αὕτη κώλων ἐστὶν ὁμοίων ἐκείνῃ καὶ ἰσομέτρων ιγ, ἐν
μέντοι τῷ ϛ κώλῳ πεντασυλλάβους ἔχει τοὺς δύο παίωνας·
ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ τελευταίου κώ-
λου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μὲν ἔξω νενευκυῖαι,
δηλοῦσαι, ὅτι τέλος ἔσχε τὰ ἀποδιδόμενα, ἤτοι τὰ ἀνταποδι-
δόμενα, ἐν τῷ ιβ κώλῳ.

V. 188. *ΕΚΑΝΕΣ*, ἐφόνευσας· ὅθεν τὸ κανοῦν λέγε-
ται, εἰς ὃ φέρεται ἡ ἱερουργικὴ μάχαιρα. *ΕΘΑΝΕΣ*, φο-
νευθεῖσα ἀνῃρέθης, τουτέστιν ὁ κατὰ σοῦ πραχθεὶς φόνος
δίκαια ἐγένετο, καὶ οὐκ ἀδικία· σὺ γὰρ πρώτη ἐφόνευσας
τὸν πατέρα, καὶ ἀνῃρέθης. *ΕΚΑΝΕΣ*, ἐφόνευσας. (τὸν
πατέρα.) Gu. *ΕΘΑΝΕΣ* ἀντὶ τοῦ ἐθανάτωσας. Gu. a m.
pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐθανατώθης ὑπὸ τῶν
τέκνων. Gu. a m. sec.

V. 189. *ΑΠΟ Δ' ΩΛΕΣΑΣ*. ὁ δὲ ἀντὶ τοῦ γάρ,
ἔθανες· ἀπώλεσας γὰρ τὸν πατέρα ζῶσα, καὶ θανοῦσα τὰ

τέκνα διὰ τοῦ αἵματος. *ΑΦ' ΑΙΜΑΤΟΣ*, ἀπὸ αἰτίας τοῦ φόνου τοῦ σοῦ. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 190. *ΤΕΚΝΑ ΤΕ ΤΑΔΕ*. δεικτικῶς φησὶν ἑαυτὴν καὶ Ὀρέστην. *ΕΘΑΝΕΣ — ΑΙΜΑΤΟΣ*. εἰποῦσα ἡ Ἠλέκτρα πρὸς τὴν μητέρα τὸ ἐφόνευσας τὸν οἰκεῖον ἄνδρα. ἐφονεύθης ὑπὸ τῶν τέκνων, πάλιν φησὶν, ὅμοιον μὲν τῇ προτέρᾳ ἐννοίᾳ, ἔχει δέ τι [9]) καὶ πλέον· τὸ γὰρ ἀπωλέσας πατέρα καὶ πρόσθεν εἰρήκει, τὸ δὲ καὶ τὰ τέκνα τάδ' ἀπώλεσας νῦν φησί. πῶς δὲ ἀπώλεσας καὶ τὰ τέκνα; ἀπὸ τοῦ αἵματος καὶ τοῦ φόνου σέθεν καὶ σοῦ· ὁ γὰρ σὸς παῖς Ὀρέστης ἀποκτείνας σε δίκην ἔδωκε τῆς μητροκτονίας μανεὶς, ἧς καὶ αὐτὴ μετέχειν φησὶν, ἐν στοναχαῖς καὶ γόοις διάγουσα· ἀνθ' ὧν ὁρᾷ τὸν ἀδελφὸν μεμηνότα, καὶ μηκέτ' ὄντα καθ' ἑαυτόν.

V. 191. *ΙΣΟΝΕΚΥΕΣ*, ἀντὶ τοῦ διὰ τὸν σὸν φόνον ἡμεῖς ἀπολώλαμεν. *ΙΣΟΝΕΚΥΕΣ*, ἴσοι νεκροῖς ἐσμὲν, ἀντὶ τοῦ ὅμοιοι νεκροῖς, τουτέστι νεκροῖς ἐοίκαμεν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 192. *ΟΙΧΕΤΑΙ*, ἐφθάρη, ἔφθαρται. Gu.

V. 193. *ΒΙΟΥ ΤΟ ΠΛ. Μ.* ἀντὶ τοῦ καὶ τὸ πλέον μέρος τοῦ ἐμοῦ βίου, ἤγουν τῆς ἐμῆς ζωῆς ἔφθαρται. Gu.

V. 194. *ΣΤΟΝΑΧΑΙΣΙ ΤΕ Κ. Γ.* λάμβανε τὸ ἐν στοναχαῖσί τε καὶ γόοις ἢ πρὸς τὸ οἴχεται, ἢ πρὸς τὸ ἕλκω. Gu.

V. 196. *ΑΓΑΜΟΣ ΕΠΙ Δ' ΑΤ.* ἀντὶ τοῦ ἄτεκνος, ἐπὶ τούτῳ δὲ ἄτεκνος. (δέον ἀγάμως καὶ ἀτέκνως εἰπεῖν, ὁ δὲ πρὸς τὸ ἥτις εὐθεῖαν ἐξήνεγκεν.) Gu. *ΑΤΕΚΝΟΣ*. τὸ ἄτεκνος περισσόν· ἡ γὰρ ἄγαμος καὶ ἄτεκνος. ἀναστρεπτέον οὖν τὴν σύνταξιν, ἄτεκνος, ἐπειδὴ ἄγαμος· δυνατὸν γὰρ τὴν γήμασαν εἶναι ἄτεκνον. *ΑΤΕ* ἀντὶ τοῦ καθὰ ὀφείλει νοεῖσθαι, ἵν' ᾖ βραχὺ τὸ α. οὕτω γὰρ ἔχει πρὸς τὸ τῆς στροφῆς κῶλον ὀρθῶς· τὸ γὰρ ἀντὶ τοῦ ἥτις οὐκ ἔχει καλῶς.

V. 196 sq. *ΑΤΕ ΒΙΟΤΟΝ Α ΜΕΛΕΟΣ*. ἅτε καὶ

9) τι e Gu. addidi, ut paulo post *σέθεν καὶ* ante σοῦ, et τῆς ante *μητροκτονίας*. Idem Codex in fine habet *καὶ μηκέτ' εἶναι καθεκτόν*.

ἥτις [10]) ἡ μελέα εἰς τὸν ἀεὶ χρόνον ἕλκω τὸν βίοτον, ἤγουν τὴν ζωὴν, τουτέστιν ἀκούσιον ζωὴν ἔχω· διὰ γὰρ τοῦ ἕλκω τὸ ἀκούσιον παριστᾷ. ὥςπερ φαμὲν, ἕλκουσιν οἱ βόες τὴν ἅμαξαν καὶ τὸ ἄροτρον· οὐ γὰρ ἑκουσίᾳ γνώμῃ ταῦτα σύρουσιν, ἀλλ' ὑπ' ἀνάγκης. τοῦτο δὲ φησὶν ἡ Ἠλέκτρα, τὸν θάνατον αἱρετώτερον ἡγουμένη τῆς ζωῆς.

V. 198 sqq. ΟΡΑι ΠΑΡΟΥΣΑ. αἱ ἑξῆς αὗται ἀμοιβαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρκη, ὧν τελευταῖος κάματος βροτοῖσιν ἀπορία τε γίνεται. μετὰ μέντοι τὸν ξζ στίχον καὶ τὸν ξθ κῶλα δύο μονόμετρα βραχυκατάληκτα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. ΟΡΑ ΠΑΡΟΥΣΑ. ὦ παρθένε Ἠλέκτρα, παραγενομένη πλησίον σκόπει, ἵνα μὴ ἀποθανὼν ὅδε ὁ ἀδελφὸς λανθάνει σέ· οὐ γὰρ ἀρέσκει ἐμοὶ τῷ λίαν παρειμένῳ, ἤτοι κατὰ τὸ λίαν παρειμένον καὶ ἐκλελυμένον, τῷ ἀκινήτῳ, τῷ πάνυ ἐκλελυμένῳ τῶν σῶν μανιῶν. νῦν οὐ τραγῳδεῖ, ἀλλ' ἐν τῇ μανίᾳ.

V. 201 — 206. Ω ΦΙΛΟΝ ΥΠΝΟΥ ΘΕΛΓΗΤΡΟΝ, ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις, βοηθὸν κατὰ τῆς νόσου, λίαν προςῆλθες ἐμοὶ ἡδὺ, καὶ εὐφραντικὸν, ἐν προςήκοντι καιρῷ. ὦ λήθη τῶν κακῶν σεβασμία, λίαν ὑπάρχεις σοφὴ καὶ τοῖς δυστυχοῦσι θεὸς, ἀξία εὐχῆς. ἀπὸ ποίου τόπου, πότε, [1]) ἦλθον ὧδε; πῶς δὲ καὶ κατὰ τίνα τρόπον ἀφικόμην; ἐπιλανθάνομαι γὰρ στερηθεὶς τῶν πρὶν φρενῶν, τῶν ἐν τῇ μανίᾳ δηλονότι.

V. 201. ΥΠΝΟΥ ΘΕΛΓΗΤΡΟΝ. τὸ βαθύτατον τοῦ ὕπνου, τὸ μάλιστα θέλγειν δυνάμενον τοὺς ἀσθενοῦντας· ὁ γὰρ ἐλαφρὸς φαντασίαις ἀναμέμικται. φυσικῶς δὲ τὸν ὕπνον οἶδεν ἐπίκουρον τῶν κακῶν. ΕΠΙΚΟΥΡΟΝ. τοῖς γὰρ νοσοῦσιν οὐδὲν ἄλλο, πλὴν ὕπνος ἐστὶ τῆς νόσου φάρμακον. ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις, βοηθὲ τῆς νόσου.

V. 203. Ω ΠΟΤΝΙΑ ΛΗΘΗ. οἱ γὰρ [2]) δυςτυχοῦντες εὔχονται τῶν κακῶν, οἷς σύνεισιν, ἀπηλλάχθαι καὶ εἰς λήθην ἐλθεῖν. διὰ τοῦτο καὶ ὁ Ὀρέστης ἐν τῷ καθεστηκότι γενόμενος καὶ τῆς μανίας ἀπαλλαγεὶς ἐπ' ὀλίγον τὴν τῶν κακῶν λήθην πότνιαν καλεῖ καὶ εὐκταίαν τοῖς δυςτυχοῦσι θεόν. Ἄλλως. Πότνιαν εἶπε τὴν λήθην τῶν κακῶν, ἐπεὶ πάντας τιμῶμεν τοὺς παραμυθουμένους. Ἄλλως. ἔοικε τὴν Λητὼ [3]) καλεῖν οὗτος· ὑπνοῦντες γὰρ νυκτὸς πάντων ἐπιλανθανόμεθα. τὸ δὲ πότνια λέγει, ὅτι οἱ σεβόμενοι προςπίπτουσι τοῖς θεοῖς. ποτνιᾶσθαι δὲ ἐστὶ τὸ προςπίπτειν καὶ παρακαλεῖν μετὰ δακρύων. Τὸ δὲ ὡς εἶ σοφὴ, ἀντὶ τοῦ λίαν σοφῶς ἐπενοήθης ὑπὸ τῆς φύσεως. τὸ δὲ τῶν κακῶν οἰκείως προςέθηκεν, ἐπεὶ καλὴ τῶν κακῶν ἐστὶν ἡ λήθη. Ω ΠΟΤΝΙΑ ΛΗΘΗ. λήθη ἤγουν τῶν κακῶν ὁ ὕπνος ὑπάρχει· ὅσας γὰρ ἂν λύπας ἔχῃ ἄνθρωπος, ὑπνώσει (leg. ὑπνώσας) λανθάνεται αὐτῶν. οὕτω καὶ ὁ Ὀρέστης ὑπνώσας ἐπελάθετο τῶν κακῶν ὧν εἶχεν, ἤγουν τῆς μανίας καὶ τοῦ φόνου τῆς μητρός. ὡς ἔοικε δὲ, κατεκλίθη ἐν οἵῳ τρόπῳ ἔφθασε δαιμονιζόμενος, εἶτα ἐλθὼν ἐν φρονήσει καὶ ἐξυπνίσας λέγει· ἀπὸ ποίου τόπου καὶ πότε ἦλθον ἐνταῦθα· ἀμνημονῶ γὰρ ἀπολειφθεὶς τῶν πρὶν φρενῶν, ἤγουν στερηθεὶς τῶν μανιωδῶν καὶ ἐφθαρμένων φρενῶν, καὶ εἰς νοῦν ἐλθὼν ἀρτίως τῶν ὑγιῶν φρενῶν ἐγνώρισα ποῦ εἰμί. ἢ ἄλλως· ἀπολειφθεὶς τῶν πρότερον σώων φρενῶν καὶ μαινόμενος γεγονὼς ἀμνημονῶ ποῦ ἦλθον καὶ ποῦ εἰμί. Fl. 59. ΚΑΚΩΝ, τῶν ἀλγεινῶν, τῶν δυςτυχιῶν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 205. ΠΟΤ', (ἄρα ἢ) περισσόν. Gu. περισσόν. Fl. 6. 9. 17. 21. 56. 59. 76. ΗΛΘΟΝ, ἐμπερίβολος. Fl. 33.

V. 206. ΑΜΝΗΜΟΝΩ, ἐπιλανθάνομαι, τί πέπρακταί μοι ἐν τῇ νόσῳ τῆς μανίας. Gu. ΑΠΟΛΕΙΦΘΕΙΣ ΦΡΕΝΩΝ. ἀπολειφθεὶς ἐν τῇ μανίᾳ, οὐχὶ νῦν ἀπολειφθεὶς τῶν φρενῶν ἀμνημονῶ, ἀλλ' ἐν τῇ νόσῳ· τὸ γὰρ ὄργανον, δι' ὧν ἀναφέρομεν τὰ πραττόμενα, συννοσεῖ τῷ σώματι. ἀμνημονῶ, τί πέπρακταί μοι ἐν τῇ νόσῳ, τῶν προτέρων φρενῶν ἀπολειφθεὶς καὶ μανείς.

V. 207 sq. Ω ΦΙΛΤΑΘ' ΩΣ Μ' ΗΥΦΡΑΝΑΣ. ὦ φίλτατε, λίαν εὔφρανας ἐμὲ κοιμηθείς. βούλει ἵνα θίγω καὶ ἅψωμαί σου, καὶ ἵνα ἀναβαστάσω σου τὸ σῶμα;

10) Junt. Bas. etc. ἅτε. Gu. ἥτις. Utrumque conjunxi, interponendo καί.

1) πότε edidit King. quod confirmatur scholio Flor. ad v. 203.

2) γὰρ addidi e Gu. sicut paulo post καὶ ὁ ante Ὀρέστης, et θεόν post δυςτυχοῦσι.

3) Λητώ. King. dedit τὴν λήθην.

V. 208. *ΒΟΥΛΕΙ ΘΙΓΩ ΣΟΥ.* διότι μὲν ἤρξατο θίγειν, θίγω ἐνεστῶτα εἶπε, καὶ οὐ θίξω· διότι δὲ ἔμελλε κουφιεῖν, κουφίσω ἐπὶ μέλλοντος, καὶ οὐ κουφίζω 4) εἶπε. διὰ τοῦτο καὶ τὸ βούλει ποσῶς μὲν πρὸς τὸ θίγω νοεῖται, τὸ δὲ ὅλον πρὸς τὸ ἀνακουφίσω. ἢ καὶ τὸ θίγω ὑποτακτικὸν νόει. *ΒΟΥΛΕΙ ΘΙΓΩ* ὅμοιόν ἐστι τῷ τί σοι θέλεις δῆτ᾽ εἰκάθω, ὅ φησι Σοφοκλῆς. (Oed. T. 651.) Gu.

V. 209 sq. *ΛΑΒΟΥ ΛΑΒΟΥ ΔΗΤΑ.* ἤτοι ἅψαι, ἀποσπόγγισον δὲ ἐκ τοῦ ἀθλίου σώματος καὶ ἐκ τῶν ἐμῶν ὀμμάτων τὸν πεπηγότα ῥύπον.

V. 210. *ΠΕΛΑΝΟΝ.* κυρίως πέλανος τὸ λεπτὸν πέμμα, ᾧ χρῶνται πρὸς τὰς θυσίας. ἔνιοι δὲ φασὶ, καὶ πᾶν ἐξ ὑγροῦ πεπηγμένον παρὰ τὸ παλύναι. 5) πέλανον ἐνταῦθα τὸν πεπηγότα ῥύπον ὑπὸ τοῦ ἀφροῦ· ἔνιοι παρὰ τὴν παιπάλην· ἐκ γὰρ ταύτης ὡς ἐπὶ τὸ πλεῖστον γίνεται· ἢ παρὰ τὸ παλύναι, ὅ ἐστι λευκᾶναι· Ὅμηρος, ἐπάλυνεν ἀρούρας· (Il. κ', 7.) οἱ δὲ ἀπὸ τοῦ πελάζειν, καὶ ἱκετεύειν τοὺς θεοὺς δι᾽ αὐτῶν. *ΠΕΛΑΝΟΣ* σημαίνει δύο, τὸν πλασίελον, ὡς ἐνταῦθα, καὶ εἶδος θύματος, ἤτοι τὸν πλακοῦντα, ὡς Αἰσχύλος ἐν τρίτῳ φησίν. Gu. πέλανος προσηγορικὸν ὄνομα, ὁ ἀφρός· κατὰ παντὸς γὰρ ἀφροῦ λέγεται ἡ λέξις ἀπὸ τοῦ πελάζειν ἄνω, ὡς κουφοτέρως· τὰ γὰρ κοῦφα τὰ ἄνω ζητοῦσι, ὡς τὸ ἀσκὸς ἀποσπόγγισον τὸν ἀφρώδη πέλανον· οἱ γὰρ δαιμονιζόμενοι καὶ ἐκ τῶν στομάτων αὐτῶν ἀφροὺς πέμπουσι, καὶ ἐκ τῶν ὀμμάτων δακρυα, καὶ ἐκ τῶν ὀφθαλμῶν λήμας· πλεονάζει γὰρ τὸ ὑγρὸν, καὶ μὴ ἔχον ἔξοδον ἐξέρχεται ἀπὸ τοῦ στόματος καὶ ἀπὸ τῶν ὀφθαλμῶν· ἀπὸ γὰρ τῆς πλημμελείας τοῦ στομάχου πλεονάσαν τὸ ὑγρὸν, γίνονται αἱ ἀναθυμήσεις, καὶ μὴ ἔχον ἔξοδον τὸ πνεῦμα ἀνέρχεται τὰ ἄνω μέρη ζητοῦν ἔξοδον, καὶ μὴ εὑρίσκον ἀθροιζόμενον ἐκεῖσε σκοτίζει τὸν ἐγκέφαλον, καὶ τὰ μέλη σπαράσσει ζητοῦν ἔξοδον, καὶ οὕτω σκοτισθέντος τοῦ ἐγκεφάλου γίνεται παράφρων ὁ ἄνθρωπος,

4) καὶ οὐ κουφίζω e Gu. addidi.

5) In Gu. in quo tantum pars prior scholii usque ad ὑπὸ τοῦ ἀφροῦ legitur, hic addita sunt verba, quae in editis paulo post exstant, ὅ ἐστι λευκᾶναι. Ἄλλως, quod King hic posuit, in Cod. non apparet.

ἕως οὗ ἐκφορηθῇ τὸ πνεῦμα· οὕτω γὰρ εἰσέρχεται τὸ πνεῦμα καὶ ἐν τῇ γῇ καὶ σείει αὐτὴν, μὴ ἔχον τοῦ ἐξελθεῖν. Fl. 59.

V. 211 sq. *ΙΔΟΥ ΤΟ ΔΟΥΛΕΥΜ᾽ ΗΔΥ.* ἰδοὺ ποιῶ δηλονότι ὃ λέγεις, 6) τὸ ὑπούργημα τὸ εὔφραντον, καὶ οὐκ ἀπαρνοῦμαι τὸ θεραπεύειν τὰ μέλη τὰ ἀδελφικὰ ἐν χειρὶ ἀδελφικῇ. *ΟΥΚ ΑΝΑΙΝΟΜΑΙ.* ἀπαρέσκομαι, ἀπαρνοῦμαι. 7) συναινῶ, τὸ συμφωνῶ, καὶ ἐπινεύω, ᾧ ἐναντίον τὸ ἀναίνομαι· παραινῶ τὸ συμβουλεύω· καὶ ἐπαινῶ τὸ εὖ λέγω.

V. 213 sq. *ΥΠΟΒΑΛΕ.* ὑπόθου τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρὰ, καὶ τὴν κόμην τὴν αὐχμώδη καὶ κατάξηρον ἔξελε τοῦ προσώπου· ἀμυδρὰ γὰρ βλέπω τοῖς ὀφθαλμοῖς. *ΑΥΧΜΩΔΗ.* ἐπομβρία, ὅταν ἐπάλληλοι ὄμβροι ὦσιν, ᾧ ἐναντίον ἡ ἀνομβρία. αὐχμὸς δὲ, ἡ ἀπὸ τῆς ἀνομβρίας ξηρότης· ἀφ᾽ οὗ αὐχμηρὸς καὶ αὐχμώδης, ἁπλῶς ὁ ξηρότητος μετέχων.

V. 214. *ΑΦΕΛΕ ΠΡΟΣΩΠΟΥ.* τουτέστιν ἀποδιάστησον τὴν ἔμπροσθεν οὖσαν τῶν ὀφθαλμῶν μου κόνιν· ἀσθενῆ γὰρ λεύσσω ταῖς κόραις, 8) διὰ τὸ ἐπικεῖσθαί μοι τὰς τρίχας. γράφεται καὶ, λεπτὰ γὰρ λεύσσω νόσῳ, ἵν᾽ ᾖ, ἡ νόσος με ποιεῖ λεπτὸν λεύσσειν.

V. 215 sq. *Ω ΒΟΣΤΡΥΧΩΝ.* ὦ κάρα ἄθλιον πινῶδες τῶν βοστρύχων, ἀντιστρόφως ἀντὶ τοῦ, ὦ βόστρυχοι κάρας ἀθλίας πινώδους καὶ ῥυπαρᾶς, λίαν ἠγριωμένοι ἐστὲ (πρὸς τὸ βόστρυχοι) διὰ τῆς μακρᾶς ἀλουσίας. *ΠΙΝΩΔΕΣ ΑΘΛΙΟΝ.* ἀντὶ τοῦ αὐχμηρὸν καὶ ῥυπῶδες. πῖνος γὰρ ὁ ῥύπος· πίνῳ δέ οἱ αὐαλέος χρὼς ἐσκλήκει. κατὰ ἀναστροφὴν δὲ εἶπεν· οὐ γάρ ἐστι τῶν βοστρύχων τὸ κάρα, ἀλλ᾽ οἱ βόστρυχοι τῆς κεφαλῆς. ἢ ὅτι οὐδὲν ἄλλο ἐπιλείπεται τῇ κεφαλῇ, ἢ μόνον οἱ βόστρυχοι, ἵν᾽ ᾖ, ὦ τῶν βοστρύχων ἄθλιον κάρα. παρακαθίσασα δὲ ἔξωθεν καὶ εἰς πλευρὰν δεξαμένη τὸν Ὀρέστην, ταῦτα φησίν.

6) Haec etiam habet Gu. a m. pr. quibus adscripsit secunda, ὃ συμβουλεύεις μοι, ἢ τὸ ὑπούργημα.

7) Haec addidit King. haud scio an e Baroc. 74.

8) Junt. Bas. τὰς κόρας. Corr. Barn.

V. 217 sq. *ΚΑΙΝΟΝ Μ' ΕΣ ΕΥΝΗΝ.* θὲς ἐμὲ
πάλιν εἰς τὴν εὐνήν· ὅταν ἀφήσῃ ἐμὲ ἡ νόσος τῆς μανίας,
ἄναλκις καὶ ἀσθενὴς εἰμὶ κατὰ τὸ δέμας. *ΟΤΑΝ Μ'*
ΑΝΗι ΝΟΣΟΣ. ἢ ἡ διὰ τῆς μανίας νόσος, ἢ ἐπιθετικῶς
μανίας (leg. μανιὰς) νόσος. *ΟΤΑΝ Μ' ΑΝΗι.* περὶ γὰρ
τῶν καιρῶν (an: τὸν καιρὸν?) τῆς μανίας εὐτονοῦσιν οἱ
μαινόμενοι, ἐκτεινομένων τῶν νεύρων καὶ πνεύματος πλη-
ρουμένων· χαλωμένης δὲ τῆς μανίας, καὶ τοῦ πνεύματος
ἐπιλείποντος, παρίενται. ἐν ᾗ [ἐν] ἀνέσει διαγενόμενος Ὀρέ-
στης λέλυται.

V. 218. *ΑΝΑΡΘΡΟΣ.* ἀδύναμος, μὴ δυνάμενος κε-
χρῆσθαι τοῖς ἄρθροις. *ΚΑΣΘΕΝΩ ΜΕΛΗ.* ἤγουν οὐ δύ-
ναμαι χρῆσθαι ταῖς χερσὶ καὶ τοῖς ποσὶ πρὸς ὑπουργίαν,
καταβαλούσης τῆς νόσου.

V. 219 sq. *ΙΔΟΥ ΦΙΛΟΝ ΤΙ.* ἰδοὺ κλίνω σε, προσ-
φιλές ἐστι τῷ νοσοῦντι ἡ κοίτη, λυπηρὸν ὂν τὸ κεῖσθαι,
ὅμως δὲ ἀναγκαῖον.

V. 220. *ΑΝΙΑΡΟΝ,* (καίπερ) ἀλγεινόν. (ἐφ' ὅσον
γὰρ νοσῶν ἐν τῇ κλίνῃ κεῖται, φόβον ἑαυτῷ καὶ τοῖς ὁρῶσι
παρέχει.) Gu. *ΤΟ ΚΤΗΜΑ,* τὸ δέμνιον δηλονότι. Fl. 21.

V. 221. *ΑΥΘΙΣ.* πάλιν στῆσόν με εἰς ὀρθὸν, καὶ
στρέφε τὸ δέμας. *ΑΝΑΚΥΚΛΕΙ.* ἀνακίνει, ἀνόρθου, ἐξέ-
γειρε· συμβαίνει γὰρ τὸν κείμενον κυκλοτερῆ τὴν ἀνάπαυ-
σιν ἔχειν.

V. 222. *ΔΥΣΑΡΕΣΤΟΝ ΟΙ ΝΟΣ.* οἱ γὰρ νοσοῦν-
τες οὐκ ἀρέσκονται τοῖς παροῦσιν, ἀεὶ δὲ πρὸς τὸ μέλλον
ὁρῶσι. δυςάρεστον πρᾶγμα οἱ νοσοῦντες ὑπὸ τῆς ἀπορίας.
ΔΥΣΑΡΕΣΤΟΝ, δυςκόλως ἀρεσκόμενον. Fl. 33. *ΑΠΟ-*
ΡΙΑΣ, καὶ ἀσθενείας. Fl. 59. ἣν αὐτοῖς ἡ νόσος ἐμβάλ-
λει. Gu. Fl. 59.

V. 223 sq. *Η ΚΑΠΙ ΓΑΙΑΣ.* ἆρα θέλεις θεῖναι
τοὺς πόδας ἐπάνω τῆς γῆς, θεὶς ἴχνος χρόνιον, ἤτοι βρα-
δεῖαν βάσιν; ἡ μεταβολὴ πάντων εὐφραντὸν πρᾶγμα ὑπάρ-
χει δηλονότι.

V. 224. *ΜΕΤΑΒΟΛΗ ΠΑΝΤΩΝ.* συνυπακουστέον
τὸ κακῶν. κεκωμῴδηται δὲ ὁ στίχος· τὸ γὰρ ἐξ ὑγείας εἰς
νόσον μεταβαλεῖν οὐκ ἔστιν ἡδύ. φήσει μὲν γάρ τις, ὡς
ἐκ μὲν κόπου γλυκύτατον ἡ ἀνάπαυσις, ἐκ δὲ πλουσίου

πτωχὸν γενέσθαι, μεταβολὴ μὲν, ἡδὺ δ' οὔ, ὥςτε οὐχὶ πάντων ἡ μεταβολὴ γλυκύ. [9]) Ἄλλως. τὸ μεταβάλλεσθαι εἴτε ἀπὸ χείρονος πρὸς τὸ βέλτιον, εἴτε ἀπὸ [τοῦ] βελτίονος πρὸς τὸ χεῖρον, ἡδύτατόν ἐστιν αὐτῷ τῷ μεταβαλλομένῳ· οὐδὲ γὰρ ἂν μετεβάλλετο, εἰ μὴ ἥδετο τῇ μεταβολῇ, ὥςτε οἱ λέγοντες τὸν Εὐριπίδην οὐκ ὀρθῶς εἰρηκέναι τοῦτο, οὐκ ὀρθῶς οἴονται. *ΜΕΤΑΒΟΛΗ,* ἡ μεταβολὴ τῶν ἴσων. Gu. Fl. 6. 9. 17. 21. 55. 59. 76. *ΠΑΝΤΩΝ,* πραγμάτων. Fl. 59. *ΜΑΛΙΣΤΑ.* ἤτοι ναί· ἔχει γὰρ τόδε, τὸ ἀνορθωθῆναι δηλονότι, ὑπόληψιν, ἤτοι ἐλπίδα ὑγείας. καλὸν δὲ τὸ δοκεῖν, κἂν μακρὰν ᾖ τῆς ἀληθείας. *ΤΟ Δ' ΥΓΙΕΙΑΣ.* τὸ ἀναστῆναι. ὁπόταν γὰρ εὐθυμῇ ψυχὴ τῇ τῆς ἐλπίδος ὑπολήψει, συνδιασώζεται τὸ σῶμα. καὶ Σιμωνίδης· τὸ δοκεῖν καὶ τὰ μάλα θεῖα βιᾶται.

V. 226. *ΤΟ ΔΟΚΕΙΝ.* καλὸν δὲ τὸ διεγείρεσθαι τὴν ψυχὴν τῇ δόξῃ τῆς ὑγείας ἢ τοιούτου τινὸς, καὶ μὴ καταπίπτειν (μεταπίπτων Florr.) ἐν ταῖς νόσοις ἢ ἑτέροις τοιούτοις, κἂν μακρὰν ᾖ τῆς ἀληθείας ἡ δόξα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 227 sq. *ΑΚΟΥΕ ΔΗ ΝΥΝ,* ὦ ἀδελφὲ, ἐν ὅσῳ ἀφιᾶσί σε αἱ Ἐριννύες φρονεῖν καλῶς.

V. 229 sq. *ΛΕΞΕΙΣ* τι νέον; καὶ εἰ μὲν εὖ καὶ καλῶς, (ἐπὶ καλῷ ἡμῶν. Gu. Florr.) εὐχαριστίαν ἕξεις· εἰ δὲ εἰς βλάβην τινὰ ἀφορῶν δηλονότι, ἀρκούντως ἔχω (διάκειμαι. Gu.) ἕνεκα τοῦ δυςτυχεῖν.

V. 231 sq. *ΜΕΝΕΛΑΟΣ ΗΚΕΙ.* Ὁ Μενέλαος (ἄρτι add. Gu.) παραγέγονεν, ὁ ἀδελφὸς τοῦ σοῦ πατρός· ἐν Ναυπλίῳ δὲ, λιμένι δηλονότι, καθωρμίσθησαν τὰ σέλματα, ἤγουν αἱ καθέδραι, περιφραστικῶς ἀντὶ τοῦ αἱ νῆες. *ΣΟΥ ΚΑΣΙΓΝΗΤΟΣ ΠΑΤΡΟΣ.* διὰ τούτου ψυχαγωγεῖ τὸν ἀδελφὸν, ὑπομιμνήσκουσα τοῦ πατρικοῦ ἀδελφοῦ, καὶ ἐλπίδας ἀγαθὰς ὑποτίθεται διὰ τοῦ θείου. προςπαθέστερον δὲ

9) Locum Comici, quem Anaxandriden esse suspicatur, ope MS. Augustani ap. Valckeu. diatrib. p. 229. sic emendat Porson. ad h. l. ὁ πρῶτος εἰπὼν, μεταβολὴ πάντων γλυκὺ, Οὐχ ὑγίαινε, δέσποτ'· ἐκ μὲν γὰρ κόπου Γλυκεῖ' ἀνάπαυσις, ἐκ δ' ἀλουσίας ὕδωρ, Καὶ τἄλλα δὴ τοιαῦτ'· ἐὰν δ' ἐκ πλουσίου Πτωχὸς γένηται, μεταβολὴ μὲν, ἡδὺ δ' οὔ. Ὥςτ' οὐχὶ πάντων ἡ μεταβολὴ δὴ γλυκύ.

ποιεῖ τὸ δρᾶμα καὶ τὸ πόῤῥωθεν διαβάλλεσθαι τὸν Μενέ-
λαον, καθὸ ἐλπισθεὶς βοηθῆσαι οὐκ ἐβοήθησεν. ΩΡΜΙ-
ΣΤΑΙ, ἢ ἀντὶ τοῦ ἐλλιμένισται, ἢ ἀντὶ τοῦ ἐνελιμένισαν.
ὅπερ εἰ εἴποις, αἰτιατικὴν νοήσεις τὰ σέλματα. (ἀπὸ μέρους
τὸ πᾶν· μέρος γὰρ τῶν νηῶν τὰ σέλματα add. Gu.)

V. 233 sq. *ΠΩΣ ΕΙΠΑΣ; ΗΚΕΙ ΦΩΣ*, ἤτοι σω-
τηρία, ἐπὶ ταῖς ἐμαῖς καὶ σαῖς δυςτυχίαις, ἀνὴρ συγγενὴς,
καὶ χάριτας ἔχων, ἃς ὁ πατὴρ ἐχαρίσατο αὐτῷ; (ἤγουν
ἔργα εὐχαριστίας ἄξια add. Gu. Florr.)

V. 235 sq. *ΗΚΕΙ*. δέχου τὴν πίστωσιν (τήνδε add.
K. Gu.) τῶν ἐμῶν λόγων, ἐπαγόμενος Ἑλένην ἐκ τῶν Τρωϊ-
κῶν τειχέων. *ΗΚΕΙ — ΤΟ ΠΙΣΤΟΝ*. ἀντὶ τοῦ πίστευε
τοῖς ἐμοῖς λόγοις, πίστιν δέχου ταύτην βεβαίαν καὶ ἀσφα-
λῆ μαρτυρίαν, τῷ καὶ τὴν Ἑλένην αὐτῷ συνεπιδημῆσαι·
ὅπου γὰρ Ἑλένη, πάντως που καὶ Μενέλαος.

V. 236. *ΕΛΕΝΗΝ ΑΓΟΜΕΝΟΣ*. ἄγεταί τις γυναῖ-
κα, ἀντὶ τοῦ λαμβάνει· ἐπάγεται δὲ δοῦλον ἢ ἕτερόν τι,
ἀντὶ τοῦ μεθ' ἑαυτοῦ ἄγει. καὶ ἐπάγεται τόδε ἐν παθητικῇ
σημασίᾳ, ἀντὶ τοῦ μεθ' ἕτερον, ἢ μεθ' ἕτερα ἄγεται.

V. 237 sq. *ΕΙ ΜΟΝΟΣ ΕΣΩΘΗ*, μᾶλλον ἂν ἦν
ζηλωτὸς καὶ μακαριστός· εἰ δὲ ἐπάγεται τὴν σύνευνον, ἥκει
ἔχων μέγα κακόν.

V. 239 sq. *ΕΠΙΣΗΜΟΝ*. ὁ Τυνδάρεως ἔτεκε γένος
θυγατέρων διάδηλον καὶ ἐξάκουστον εἰς τὸν ψόγον. *ΕΠΙ-
ΣΗΜΟΝ*. Στησίχορος φησὶν, ὡς θύων τοῖς θεοῖς Τυνδά-
ρεως Ἀφροδίτης ἐπελάθετο· ἡ δὲ θεὸς ὀργισθεῖσα διγά-
μους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέ-
ρας ἐποίησεν. ἔχει δὲ ἡ χρῆσις οὕτως· Οὕνεκα Τυνδάρεως
ῥέζων ἅπασι θεοῖς, μιᾶς λάθετο ἠπιοδώρου Κύπριδος.
Κεῖνα δὲ Τυνδάρεω κούραις χολωσαμένη διγάμους τε καὶ
τριγάμους τίθησι καὶ λιπεσήνορας. καὶ Ἡσίοδος· τῇσι δὲ
φιλομμειδὴς Ἀφροδίτη ἠγάσθη προσιδοῦσα, κακὴν δέ σφ'
ἔμβαλε φήμην. καὶ Ὅμηρος· ὡς δὲ Κλυταιμνήστρη λεί-
πουσ' 10) Ἀγαμέμνονα δῖον Αἰγίσθῳ παρέλεκτο, καὶ εἵλετο

10) Legebatur *Κλυταιμνήστρα λιποῦσ'*. Correxit Barn. qui monet, hos versus non reperiri in Homeri carminibus, sed videri ad Od. λ', 438. pertinere. In Hesiodi fragm. Basil. *σφὴν ἔβαλε*, Junt. *σφιν ἔβαλε*.

χείρον' ἀκοίτην, ὡς δ' Ἑλένη ἤσχυνε λέχος ξανθοῦ Με-
νελάου.

V. 241 sq. *ΣΥ ΝΥΝ ΔΙΑΦΕΡΕ*. τουτέστιν, ἐπεί-
περ ἐκείνας ὡς φαύλας κακίζεις, σκόπει, μὴ καὶ αὐτὴ πε-
ριπέσῃς τοῖς ἴσοις, ἀλλ' ἀποχὴν τῶν κακῶν ἔχε, καὶ μὴ
μόνον τὰ ἄριστα λέγε, ἀλλὰ καὶ κατὰ νοῦν ἀεὶ [1]) ἔχουσα
πράττε.

V. 241. *ΔΙΑΦΕΡΕ*, διάφορος ἔσο. Gu. a m. pr.
Fl. 6. 9. 17. 21. 56. 59. 76. διαφορὰν λάμβανε καὶ ἀπο-
χὴν, ἔξω γενοῦ. Gu. a m. sec. ἀπέχου. Fl. 18. *ΤΩΝ
ΚΑΚΩΝ*, γυναικῶν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.
ΕΞΕΣΤΙ ΓΑΡ, ἐκδεδομένον ἐστί. Gu. Fl. 6. 9. 17. 21.
56. 59. 76. αὐτεξούσιων ἡ ἀρετή. καὶ ὁ Ὅμηρος· ἐπεὶ
μάθον ἔμμεναι ἐσθλοῦ. (l. ἐσθλός.) Fl. 10. 21. ἀντὶ τοῦ
δυνατόν ἐστί σοι. Fl. 18.

V. 243 sq. *ΟΙΜΟΙ ΚΑΣΙΓΝΗΤΕ*. ὤμοι, ὦ ἀδελ-
φὲ, ταράσσεται τὸ σὸν ὄμμα, ταχέως μετεβλήθης εἰς λύσ-
σαν καὶ μανίαν, ἄρτι σώας ἔχων τὰς φρένας. *ΟΜΜΑ
ΣΟΝ ΤΑΡΑΣΣΕΤΑΙ*. φυσικῶς· καθόλου γὰρ τῶν τῆς
ψυχῆς παθῶν εἰκόνες οἱ ὀφθαλμοί. αἰφνίδιοι γὰρ τῶν λυσ-
σωδῶν νοσημάτων αἱ μεταβολαὶ γίνονται. *ΟΜΜΑ ΣΟΝ
ΤΑΡ*. ὃ δεῖγμα τοῦ μεταπεσεῖν σε αὖθις εἰς μανίαν. Gu.

V. 244. *ΜΕΤΕΘΟΥ*. ἔστι καὶ τὸ ἐναντίον, μετέθετό
τις λύσσαν ἀντὶ τοῦ ἀπέθετο. Gu.

V. 245 — 247. *Ω ΜΗΤΕΡ*. ὦ μῆτερ, ἱκετεύω σε, μὴ
ἐπίφερέ μοι τὰς ὕφαιμον ὁρώσας ἀγρίας κόρας, ἤτοι τὰς
Ἐριννύας. αὗται γὰρ, αὗται κινοῦνται καὶ ὁρμῶσι πλη-
σίον ἐμοῦ. αἱματωποὺς δὲ τὰς Ἐριννῦς λέγει, ὡς τοὺς
μαινομένους ὕφαιμον ποιούσας βλέπειν καὶ ταραχῶδες· τὰ
συμβαίνοντα γὰρ τοῖς πάσχουσι τοῖς προεστῶσι θεοῖς τοῦ
πάθους ἀνατιθέασιν οἱ ποιηταί· οἷόν τι καὶ Ὅμηρος φησὶ,
χωλαί τε ῥυσσαί τε παραβλῶπές τ' ὀφθαλμὼ (Il.
ι, 499.), ἐκ τῶν ἀποβαινόντων παθῶν εἰδωλοποιήσας αὐ-
τάς. οὕτω καὶ τὸν Πλοῦτον τυφλὸν λέγουσιν, ὅτι ἀκρίτως [2])

1) ἀεὶ e Gu. addidi.

2) King. MS. *ἀκρίτως*. Itaque ne Basileensem quidem consuluit, in qua idem legitur, ut in Junt. At Barn. dederat *ἀκρίτους*.

ποιεῖ πλουσίους, καὶ τὸν Καιρὸν ὀπισθοφάλακρον, ὅτι τοῦ παρῳχημένου λαβέσθαι ἀδύνατον. δρακοντώδεις δὲ λέγει, ὡς ἐχούσας δράκοντος, ἤτοι ὄφεως, ὀδόντας. *Ω ΜΗΤΕΡ.* δοκεῖ τὸ εἰδωλον Ὀρέστῃ παριστάμενον. Fl. 33. *ΜΗ ἘΠΙ-ΣΕΙΕ*, ἀπείλει. Gu. a m. pr. Fl. 21. μὴ ἐπίφερε. Gu. a m. 2. ἐπίβαλε. Fl. 18. ἐπιπέμψειε. Fl. 10.

V. 247. *ΑΥΤΑΙ ΓΑΡ.* ἐκ τοῦ ἀφανοῦς εἶπε τὰς Ἐριννύας διώκειν αὐτὸν, ἵνα τὴν δόξαν τοῦ μεμηνότος ἡμῖν παραστήσῃ, ὡς εἴγε παρήγαγεν αὐτὰς εἰς μέσον, ἐσωφρόνει ἂν ὁ Ὀρέστης. ταῦτα δὲ οἱ νεώτεροι· Ὅμηρος γὰρ οὐδὲν τοιοῦτον εἶπε περὶ Ὀρέστου.

V. 248 sq. *ΜΕΝ' Ω ΤΑΛΑΙΠΩΡΕ.* μένε ἀτρέμας, καὶ ἡσύχως ἔχε ἐν τοῖς δεμνίοις· οὐδὲν γὰρ ὁρᾷς ἀφ' ὧν δοκεῖς σαφῶς εἰδέναι.

V. 249. *ΣΑΦΑ* ποιητικῶς ἀντὶ τοῦ σαφῶς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. m. pr. *ΕΙΔΕΝΑΙ.* βλέπειν εἰπεῖν ἔμελλεν· ὅτι δὲ, ὃ βλέπει τις, γινώσκει, οὕτως ἐξήνεγκεν. Gu. m. sec.

V. 250 sq. *Ω ΦΟΙΒ' ΑΠΟΚΤΕΝΟΥΣΙ.* ὦ Ἄπολλον, φονεύσουσί με αἱ ἄγριαι καὶ ἀναιδεῖς γοργώπιδες, αἱ καταπληκτικαὶ τοῖς ὀφθαλμοῖς, αἱ ἱέρειαι καὶ φονεύτριαι τῶν νεκρῶν, αἱ φοβεραὶ θεαί.

V. 250. *ΑΙ ΚΥΝΩΠΙΔΕΣ*, αἱ ἄγριαι. (ἀναιδεῖς.) Gu.

V. 251. *ΓΟΡΓΩΠΕΣ*, γοργώπιδες. (καταπληκτικαὶ τοῖς ὀφθαλμοῖς, καταπληκτικὰ ἔχουσαι ὄμματα.) Gu. *ΕΝΕ-ΡΩΝ*, νεκρῶν τῶν ἀδίκως θνησκόντων. Gu. *ΕΝΕΡΩΝ ΙΕΡΕΙΑΙ.* παρόσον ἐξυπηρετοῦνται αὐτοῖς· [3]) ἀποστέλλουσι γὰρ αὐτοῖς τὰς ψυχάς. Τὸ *ΙΕΡΕΙΑΙ* ἱερίαι χρὴ γράφειν ἰωνικῶς, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. τὰ γὰρ διὰ τοῦ εια προπαροξύτονα ἰωνικῶς οἱ ποιηταὶ προπαροξύτονα ποιοῦντες διὰ τοῦ ια γράφουσι, τὸ αὐθάδεια αὐθαδία λέγοντες, καὶ τὸ εὐσέβεια εὐσεβία, καὶ τὰ τοιαῦτα, ὃ καὶ ἐξειά-

In sqq. παρῳχημένου, quod etiam King. pro οἰχομένου dedit e MS., est e Gu. in quo legitur etiam ἀμήχανον pro ἀδύνατον, sicut in MS. Kingii. Mox Gu. τὰς ἐχούσας δρ.

3) Flor. 10. ὑπηρετοῦσιν αὐτῷ.

ζων εὑρήσεις. *ΙΕΡΕΙΑΙ*, φονεύτριαι. (ὑπουργαὶ, ὡς θανατοῦσαι.) Gu.

V. 252. *ΜΕΘΗΣΩ*, ἀφήσω. Gu. *ΕΜΠΛΕΞΑΣΑ*, ἐμβαλοῦσα. Fl. 33.

V. 253. *ΣΧΗΣΩ*, ἐφέξω, κωλύσω. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. κρατήσω. Fl. 33.

V. 254 sq. *ΜΕΘΕΣ, ΜΙ' ΟΥΣΑ.* ἔασον, ἄφες, μία οὖσα τῶν ἐμῶν Ἐριννύων, καὶ μανιῶν, μέσον με κατέχεις, ἵνα βάλῃς εἰς τὸν Τάρταρον. Μία οὖσα τῶν κατ' ἐμοῦ Ἐριννύων, ἀπόστηθι. ἐριννύων δὲ, τῶν μανιῶν, ἵν' ᾖ, ἄνες με τῆς μανίας ἀναχωρήσασά μου. *ΟΧΜΑΖΕΙΣ* δὲ, ἀντὶ τοῦ συνέχεις καὶ ἐπαίρεις. ἴδιον δὲ τῶν μαινομένων τὸ τοὺς κηδομένους ἀποσείεσθαι καὶ δοκεῖν βλάπτεσθαι μᾶλλον παρ' αὐτῶν. Ὀχμάζω γίνεται ἀπὸ τοῦ ἔχω, ἕξω, ἔχμα, οὐ μόνον ἡ ἐξοχὴ, ἀλλὰ καὶ ἡ συνοχή. ἀπὸ δὲ τοῦ ἔχμα γίνεται ἐχμάζειν, τὸ κωλύειν καὶ ἐπέχειν, καὶ ἐχμάσαι, τὸ κατασχεῖν καὶ ἑλεῖν, ὃ παρὰ τῷ Εὐριπίδῃ ἐνταῦθα διὰ τοῦ ο κεῖται, μέσον μ' ὀχμάζεις.

V. 256. *ΕΠΙΚΟΥΡΙΑΝ*, βοήθειαν. Gu. a m. sec.

V. 257. *ΤΟ ΘΕΙΟΝ*, τοὺς θεούς. (τὰς Ἐριννύας.) Gu. *ΔΥΣΜΕΝΕΣ*, ἐχθρόν. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 258. *ΔΟΣ ΤΟΞΑ.* δός μοι τὰ τόξα τὰ ἐκ κεράτων σκευαζόμενα, τὰ δῶρα τοῦ Ἀπόλλωνος, δι' ὧν εἶπεν ὁ Ἀπόλλων τιμωρήσασθαι ἐμὲ τὰς Ἐριννύας, εἰ εἰς φόβον ἄγοιεν ἐμὲ ἐν λυσσήμασι καὶ μανίαις, ἐκ παραλλήλου. Στησίχορος (an: Στησιχόρῳ?) δὲ ἑπόμενος τόξα φησὶν αὐτὸν εἰληφέναι παρὰ Ἀπόλλωνος. ἔδει οὖν τὸν ὑποκριτὴν τόξα λαβόντα τοξεύειν. *ΔΩΡΑ ΛΟΞΙΟΥ* λέγει, ἢ ὑπὸ τῆς μανίας δοκῶν χαρισθῆναι αὐτῷ ταῦτα παρὰ Ἀπόλλωνος, ἢ διότι τοξικός ἐστιν ὁ θεὸς, καὶ τὰ παρ' ἀνθρώποις τόξα, ὡσπερεὶ δῶρα [4]) ἐκείνου. *ΚΕΡΟΥΛΚΑ*, τὰ ἐκ κεράτων κατεσκευασμένα καὶ ἑλκυόμενα. Gu. m. pr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76. τὰ διὰ τῶν κεράτων ἕλκοντα τὴν νευρὰν (ἢ τὸ βέλος addit Fl.). Gu. m. pr. Fl. 21.

4) Vulgo τὰ παρ' αὐτοῦ τόξα, ὡσπερεὶ τόξα ἐκείνου. Quod dedi, est in Gu. in quo, quod primo scriptum fuerat, (ὡσπερεὶ) τόξα, ab eadem manu correctum est δῶρα.

V. 259. *ΕΞΑΜΥΝΑΣΘΑΙ*, ἀποσοβήσασθαι. Fl. 53. τιμωρήσασθαι. (μαχέσασθαι.) Gu.

V. 260. *ΜΑΝΙΑΣΙ.* πάντες τὸ μανιάσι πρὸς τὸ λυσσήμασι συνάπτοντες οὕτω φασὶ, μανικοῖς [5]) λυσσήμασιν, ἀγνοοῦντες ὅτι τὸ μανιάσι θηλυκόν ἐστιν, τὸ δὲ λυσσήμασιν οὐδέτερον. σὺ δὲ τούτους ἐάσας, κεχωρισμένως λέγε ἀσυνδέτως οὕτως· εἴ με ἐκφοβοῖεν μανιάσι καὶ μανίαις, ἐν λυσσήμασι καὶ ἐν μανίαις, ἵν᾽ ὦσιν ἀμφότερα τὸ αὐτό. Ἄλλως. μανιάσι λυσσήμασι, ταῖς μανιώδεσι λύσσαις. σχῆμα δέ ἐστι περίφρασις ταῖς (an: τό?) μανιάσι λυσσήμασιν, ὡς τὸ φοίνικι λίνῳ, ἀρσενικὸν μετὰ τοῦ οὐδετέρου. ἀπὸ δὲ τοῦ ἡ μανιὰς τὸ μανιάσι· μανιώδεσι λυσσήμασιν, ἢ μανίαις καὶ λυσσήμασιν.

V. 261. *ΒΕΒΛΗΣΕΤΑΙ ΤΙΣ*, τοξευθήσεταί τις ἀπὸ τῶν θεῶν διὰ χειρὸς ἀνθρωπίνης;

V. 262. *ΕΙ ΜΗ ᾿ΞΑΜΕΙΨΕΙ.* ναὶ τοξευθήσεται, εἰ μὴ ἀποστήσεταί τις τῶν Ἐριννύων τοῦ ἐμοῦ προσώπου, μακρὰν τῶν ἐμῶν ὀμμάτων. οὐκ ἀκούετε, ὦ Ἐριννύες δηλονότι, οὐχ ὁρᾶτε πτερωτὰς γλυφίδας, λέγω δὲ τὰ βέλη, ἐξερχομένας ἐκ τῶν μακρὰν βαλλόντων τόξων. *ΠΤΕΡΩΤ. ΓΛΥΦ.* τοὺς ἐπτερωμένους ὀϊστούς. Gu.

V. 265 sq. *Α Α.* ἐπίῤῥημα ἐφεκτικόν. τί δῆτα μέλλετε καὶ βραδύνετε; στιγμὴν ἔχει τὸ μέλλετε· τὸ δὲ ἑξῆς, εἰς τὰ ἄκρα τοῦ αἰθέρος πέτεσθε, καὶ μέμφεσθε τὰ λόγια τοῦ Ἀπόλλωνος. ἀκρίζω δὲ τὸ ἄκρον κόπτω. *ΕΞΑΚΡΙΖΕΤ᾽*, εἰς τὸν ἄκρον αἰθέρα τρέχετε. Gu. m. pr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. ἤγουν τῶν ἄκρων τοῦ ἀέρος ἐπιλαμβάνεσθε. Gu. m. 2.

V. 266. *ΑΙΤΙΑΣΘΕ*, αἴτια ἡγεῖσθε. Gu. *ΘΕΣΦΑΤΑ.* κελεύσματα· καὶ γὰρ ἄνωθεν εἶπεν, ὅταν ἀπῄτει τὴν Ἠλέκτραν τὰ τόξα, ὡς Ἀπόλλων αὐτῷ ἐπέταξε μάχεσθαι Ἐριννύσι τοῖς τόξοις.

V. 267. *ΕΑ ΤΙ ΧΡΗΜ᾽ ΑΛΥΩ.* ἐπὶ ἐκπλήξεως τὸ ἔα. διὰ τί χρῆμα ἐν ἀμηχανίᾳ εἰμὶ, πνεῦμα ἀναπέμπων ἐκ τῶν πνευμόνων. τὸ ἀλύειν δὲ ποτὲ μὲν οἱ ποιηταὶ ἀντὶ τοῦ δάκνεσθαι καὶ ἀπορεῖσθαι λαμβάνουσιν, ὡς ἐνταῦθα, καὶ παρὰ τῷ ποιητῇ, ἡ δ᾽ ἀλύουσ᾽ ἀπεβήσετο (Il. ε, 352.), ποτὲ δὲ ἀντὶ τοῦ γαυριᾷν καὶ χαίρειν, ὡς τὸ, ἢ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην (Od. σ, 333.). Ἄλλως. τί τὸ πρᾶγμα, καὶ τίς ἡ νόσος αὕτη, καθ᾽ ἣν ἠπόρημαι καὶ ἀδημονῶ, παρὰ τὴν ἄλην. ἣ δ᾽ ἀλύουσ᾽ ἀπεβήσετο.

V. 268 sq. *ΠΟΙ ΠΟΙ.* τὸ ποῖ τοπικόν. ποῦ, ποῦ ἐπηδήσαμεν καὶ ἐκινήθημεν ἀπὸ τῆς κοίτης· ἐκ κυμάτων γὰρ, ἤτοι ἐκ τῆς τοῦ κλύδωνος μανίας καὶ ταραχῆς, βλέπω πάλιν γαληνὰ καὶ ἥσυχα.

V. 268. *ΗΛΑΜΕΣΘΑ.* ἐπηδήσαμεν. (ἐκινήθημεν. ἐπλανήθημεν, ἠλαυνόμεθα.) Gu.

V. 269. *ΓΑΛΗΝ᾽ ΟΡΩ.* κεκωμῴδηται ὁ στίχος διὰ Ἡγέλοχον τὸν ὑποκριτήν· οὐ γὰρ φθάσαντα διελεῖν τὴν συναλοιφὴν, ἐπιλείψαντος τοῦ πνεύματος, τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῶον, ἀλλ᾽ οὐχὶ τὰ γαληνά. πολλοὶ μὲν οὖν αὐτὸ διέπαιξαν τῶν Κωμικῶν, Ἀριστοφάνης καὶ Στράττις ἐν ἀνθρωποῤῥαίστῃ· καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν· Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον Διέκναισ᾽ Ὀρέστῃ, Ἡγέλοχον τὸν Κινυάρου Μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν. καὶ ἐν ἄλλοις παίζων φησί· ποῖ ποῖ γαλῆν ὁρῶ, ποῖ ποῖ πρὸς θεῶν, γαλῆν γαληνά. καὶ Σαννυρίων ἐν Δανάῃ· τίς ἂν γενόμενος εἰς ὀπὴν ἐνδύσομαι; Φέρ᾽ εἰ γενοίμην γαλῆ. — Ἀλλ᾽ Ἡγέλοχός με μηνύσειεν ὁ τραγικός· Ἀνακράγοιτ᾽ ἂν οὗτος εἰς ἐχθροὺς μέγα, Ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. [6])

5) *μανικοῖς.* Sic Gu. prout ed. King. Vulgo *μανιάσι.* Gu. etiam paulo infra *ἀσυνδέτως λέγε κεχωρισμένα*, quod fortasse verius. Ex eodem sumsi *καὶ* inter *μανιάσι* et *μανίαις.*

6) Aristophanis locus est Ran. 305 sq. Strattidis fabula laudatur etiam ab Athenaeo III. p. 127. D. ubi Schweigh. ex nostro loco pro *ἀνθρωπορέστῃ* dedit *ἀνθρωποῤῥαίστης.* In ejus fr. versu tertio scribendum videtur *Ὀρέστης* et *Κινύρου.* Bergl. ad Arist. l. c. citat *Ὀρέστην* et om. *τὸν* ante *Κινυάρου.* Alterum Strattidis locum sic pleniorem exhibet Schol. ad Aristoph. l. c. — *ποῖ ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν; Γαλήν᾽, ἐγὼ δ᾽ ᾤμην σε γαλῆν λέγειν ὁρῶ.* quae recepit King. Ibidem locus Sannyrionis etiam affertur:

V. 270—275. *ΣΥΓΓΟΝΕ, ΤΙ ΚΛΑΙΕΙΣ.* ὦ ἀδελφὴ, διατί κλαίεις, θεῖσα τὴν κεφαλὴν ἔσω τῶν πέπλων; αἰδοῦμαί σε μεταδιδούς σοι τῶν ἐμῶν πόνων, ὄχλησιν παρέχων σοὶ τῇ παρθένῳ διὰ τῶν ἐμῶν νόσων. μὴ χάριν τῶν ἐμῶν κακῶν ἐν σεαυτῇ φθείρου· σὺ μὲν γὰρ συνήνεσας, καὶ συνεβούλευσας ἐπὶ τάδε, εἴργασται δ' ὑπ' ἐμοῦ ὁ τῆς μητρὸς φόνος.

V. 271. *ΑΙΣΧΥΝΟΜΑΙ* καὶ ἐντρέπομαι. Flor. 59. *ΜΕΤΑΔΙΔΟΥΣ*, μετέχειν διδούς. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gu.

V. 273. *ΣΥΝΤΗΚΟΥ*, ἐν σεαυτῇ φθείρου, διαῤῥέου. 7) (πάσχε, δαμάζου.) Gu.

V. 274. *ΕΠΕΝΕΥΣΑΣ*, συνήνεσας. (κατένευσας, συνεβούλευσας.) Gu. καὶ συνείργησας. Fl. 59. *ΤΑΔΕ*, τὸ κτεῖναι τὴν μητέρα. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. m. pr. ἃ ἔπραξα. Gu. m. sec. *ΣΥ ΜΕΝ.* ἐγὼ μὲν εἰργασάμην, σὺ δὲ ἐπένευσας. θέλει δὲ εἰπεῖν, ὅτι οὐ μετεχεις τοῦ φόνου, ἐπεὶ οὐδὲ ἔπραξας· διὸ οὐδὲ ὀφείλεις ἄχθεσθαι.

V. 275—277. *ΛΟΞΙΑι ΔΕ.* τῷ Ἀπόλλωνι δὲ μέμφομαι, ὅςτις διεγείρας καὶ παρακινήσας ἐμὲ εἰς ἔργον ἀνοσιώτατον, διὰ μὲν τῶν λόγων εὔφρανε, διὰ δὲ τῶν ἔργων οὐδαμῶς.

V. 275 sq. *ΛΟΞΙΑι ΔΕ.* τῷ Λοξίᾳ μέμφομαι, ὅτι πείσας με κτανεῖν τὴν μητέρα οὐ βοηθεῖ. τοῦτο γὰρ σημαίνει τὸ ἐπάρας, ἀναπτερώσας καὶ πείσας (gl. Gu. καταπείσας. gl. Fl. 59. ἀναπείσας) εἰς ἔργον ἀνοσιώτατον. εἶπε γὰρ, ὡς δεῖ ἐκδικητὴν τοῦ πατρῴου φόνου γενέσθαί με.

V. 277. *ΟΥ.* βοηθεῖ, ὡς τοῦ θεοῦ ὑποσχομένου βοηθήσειν. Fl. 10. οὐκ ηὔφρανε δηλονότι. Gu.

V. 278—283. *ΟΙΜΑΙ ΔΕ.* οἶμαι δὲ τὸν ἐμὸν πατέρα, εἰ ἐξιστόρουν καὶ ἠρώτων κατὰ πρόςωπον, εἰ πρέπει κτεῖναι τὴν μητέρα, πολλὰς λιτὰς διὰ τῆς ἐκτάσεως τῶν χειρῶν ποιῆσαι αὐτὸν, τοῦδε τοῦ γενείου δηλονότι ἀψάμενον, μήποτε ὦσαι ξίφος εἰς σφαγὴν τῆς τεκούσης, ἐπειδὴ οὔτε ἐκεῖνος ἔμελλεν ἀναβιῶναι, καὶ πάλιν ζῆσαι, ἐγὼ δὲ ὁ τλήμων ἔμελλον (κατὰ κοινοῦ) τοιάδε κακὰ ἐκπληρώσειν καὶ ὑπομενεῖν.

τίς ἂν γ. (pro quo hic legebatur τί ἄν.) εἰς ὑπ. γενήσομαι; tum ἀνακράγοιτ' ἂν οὗτος εἰσιδών.

7) διαῤῥέου etiam Fl. 6. 9. 17. 56. 59. 76.

V. 279. Τὸ *ΝΙΝ* εἰς τὸ ἐκτεῖναι σύναπτε εἰς τὴν σύνταξιν, πρὸς δὲ τὸ ἱστόρουν τὸν πατέρα. (leg. τὸ πατ.) Gu.

V. 284—290. *ΚΑΙ ΝΥΝ.* περιφραστικῶς, ὦ ἀδελφὴ, ἀνακάλυπτε σαυτὴν δηλονότι, ἤγουν ἀνακαλύπτου, ἄπελθέ τε καὶ ἀπόστηθι ἐκ τῶν δακρύων, ἤτοι μὴ δάκρυε, καὶ εἰ λίαν διακείμεθα ἀθλίως. ὅταν δὲ ἴδῃς τἀμὰ, ἤτοι ἐμὲ λειποθυμήσαντα (gl. Fl. 59. καὶ ὀλιγοψυχήσαντα), τουτέστι μανέντα, σὺ τὸ δεινὸν ἐμοῦ, καὶ τὸ διαφθαρὲν τῶν φρενῶν, ἤτοι τὴν διαφθορὰν ἔπεχε καὶ κώλυε, παραμυθοῦ τε. ὅταν δὲ στένῃς σὺ, πρέπει παρόντας ἡμᾶς νουθετεῖν σε τὰ προςφιλῆ· αἱ ἐπικουρίαι δὲ αὗται καλαὶ εἰσὶ τοῖς φίλοις.

V. 284. *ΑΝΑΚΑΛΥΠΤΕ.* τὴν ὄψιν δηλονότι, τὸ σκέπας· τοῦτο γὰρ ἐπὶ τὸ μὴ λυπεῖν τὸν ἀδελφὸν τοῖς δακρύοις ἐποίει, ἑαυτὴν καλύπτουσα. ἔκλαιε γὰρ κρᾶτα θεῖσ' ἔσω πέπλων. *ΑΝΑΚΑΛΥΠΤΕ.* ἀπὸ τούτου καὶ ἀνακαλυπτήρια, τὰ διδόμενα δῶρα τοῖς νεονύμφοις, ὅταν πρῶτον ἀνακαλύπτωνται τοῖς ἀνδράσι καὶ τοῖς συγγενέσιν ὁρώμεναι.

V. 285. *ΑΠΕΛΘΕ.* παῦσαι τῶν δακρύων. Fl. 10. εἰς τὸ μὴ κλαίειν μετάβηθι. Gu.

V. 288. *ΙΣΧΑΙΝΕ.* λέπτυνε· παρὰ τὸ ἰσχνῶ ἰσχναίω παράγωγον, ὅθεν καὶ ἰσχάς. *ΙΣΧΑΙΝΕ.* ἀντὶ τοῦ ἔπεχε, πράϋνε, κούφιζε.

V. 289. *ΝΟΥΘΕΤΕΙΝ*, παραμυθεῖσθαι. (παραινεῖν.) Gu. *ΦΙΛΑ* ἀντὶ τοῦ φίλως ἢ ὦ φίλη. Fl. 21.

V. 290. *ΑΙΔΕ*, αὗται αἱ παρ' ἀλλήλων πρὸς ἀλλήλους ἐγκαίρως γινόμεναι. Gu. Baroc. 74.

V. 291—296. *ΑΛΛ' Ω ΤΑΛΑΙΝΑ*, παρευθεῖσα ἔσω τῶν δωμάτων, ἐκταθεῖσα δὸς ὕπνῳ τὸ ἄϋπνον βλέφαρον, (ἀντιστρόφως, ἀντὶ τοῦ ἐκταθεῖσα δὸς ὕπνον τῷ ἀΰπνῳ βλεφάρῳ,) καὶ τροφὴν λάβε, λουτρά τε βάλλε ἐπὶ τῷ σώματι, τουτέστι νίψαι· εἰ γὰρ ἀφήσεις ἐμὲ, ἢ ἐν τῇ προς-

εδρείᾳ καὶ τῇ προσμονῇ κτήσῃ τινὰ νόσον, ἐφθάρμεθα· σὲ
γὰρ μόνην ἔχω βοηθὸν, τῶν ἄλλων, ὡς ὁρᾷς, ὧν μεμονω-
μένος καὶ ἐστερημένος.

V. 292. *ΥΠΝΩι*, πρωθύστερον. Fl. 6. 9. 56. 59. 76.
ΒΛΕΦΑΡΟΝ, ὄμμα. Gu. *ΕΚΤΑΘΕΙΣΑ*, πρὸς τὴν κλί-
νην ἀνακλιθεῖσα. Gu.

V. 293. *ΒΑΛΕΥ* (sic) Αἰολικὸν βαλοῦ. Gu.

V. 294. *ΠΡΟΛΕΙΨΕΙΣ*, ἀφήσῃς, ἤγουν ἐὰν ἀπο-
θάνῃς. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. κατα-
λείπεις με ἀπολιγωρήσασα τῆς νοσοκομίας ἐν τῷ προσεδρεύ-
ειν μοι. Fl. 10.

V. 297—305. *ΟΥΚ ΕΣΤΙ.* οὐκ ἔστι δυνατὸν δηλονότι
τοῦτο· σὺν σοὶ θελήσω καὶ θανεῖν καὶ ζῆν· διάκειται γὰρ
ὁμοίως καὶ ζῆν με καὶ ἀποθανεῖν δηλονότι· ἐὰν γὰρ ἀπο-
θάνῃς σὺ, γυνὴ, οὖσα δηλονότι, τί δράσω; πῶς μόνη βιώ-
σω, ἀνάδελφος, ἀπάτωρ, ἄφιλος; εἰ δὲ ἀρέσκει σοι, πρέ-
πει δρᾶν τάδε, ἃ εἶπας δηλονότι. ἀλλὰ κλῖνον τὸ δέμας
εἰς τὴν κοίτην, καὶ μὴ τὸ ταρβοῦν καὶ ἐκφοβοῦν, ἤτοι τὸ
φοβεῖσθαι ποιοῦν σε ἐκ τῶν δεμνίων καὶ τῆς κοίτης, ἄγαν
ἀποδέχου, ἤτοι πίστευε ἀληθῶς εἶναι, μένε δὲ ἐπὶ τοῦ στρω-
τοῦ λέχους, ἤτοι ἐπὶ τοῦ σοῦ στρώματος. κἂν μὴ νοσῇς
γὰρ, ἀλλὰ ὑπολαμβάνῃς νοσεῖν, κάματος καὶ κακοπάθεια
ἀπορία τε, ἤτοι ἀπελπισμὸς τῆς ὑγείας, σοι δηλονότι, ὡς
καὶ τοῖς ἄλλοις βροτοῖς. ἔστι δὲ κακόσχημον εἰς ὑπερβο-
λήν· ἄλλως γὰρ ἤρξατο, καὶ ἄλλως ἀπέδωκεν.*)

V. 297. *ΟΥΚ ΕΣΤΙ.* οὐχ ὑπάρχει τοῦτο παρ᾽ ἐμοὶ,
(ἐμοῦ Gu.) ἤγουν οὐκ ἀποδέχομαι σὲ μόνον ἐᾶσαι ἐνταῦθα
κεῖσθαι, αὐτὴ δὲ τροφαῖς καὶ ὕπνῳ προσέχειν. *ΟΥΚ ΕΣΤΙ*,
ἀντὶ τοῦ οὐ προλείψει σε. Fl. 10. *ΑΙΡΗΣΟΜΑΙ*, βου-
λήσομαι. Gu. Fl. 21. προκρίνω. Gu.

V. 298. *ΕΧΕΙ ΓΑΡ ΤΑΥΤΟΝ.* ἤγουν ὁμοίως ἔχου-
σιν ἐμοὶ ἀμφότερα· ὁ γὰρ σὸς θάνατος καὶ ἐμός (ἐμοὶ θά-
νατός. Gu.) ἐστι, καὶ ἡ σὴ ζωὴ ἐμὴ ζωή. ἥκιστα γάρ μοι
τὸ ζῆν ἥδιστον, σοῦ θανόντος, μᾶλλον δὲ καὶ νέκρωσις νο-
μισθήσεται, διὰ τὸ ἔρημον ἀπολειφθῆναί με βοηθείας. Ἄλ-
λως. Τὸ ζῆν με καὶ ἀποθανεῖν με ταυτόν ἐστιν, ἐὰν σὺ
τελευτήσῃς. ἢ τὸ ἔχει, ἀντὶ τοῦ σχήσει. ὁ δὲ λόγος, ἐὰν

*) Ultima: ἔστι δὲ — ἀπέδωκεν omis. King.

σὺ ἀποθάνῃς, ταυτόν μοι πάθος γενήσεται, ὅ ἐστι, κἀγὼ
τεθνήξομαί σοι. *ΕΧΕΙ ΓΑΡ Τ.* ἕξει ἐμὲ πάθος ὃ καὶ σὲ,
ἤτοι κἀγὼ συντεθνήξω. Fl. 10.

V. 301. *ΔΡΑιΝ ΧΡΗ ΤΑΔΕ.* κατὰ συνεκδοχὴν καὶ
πρὸς τὸ δοκεῖ καὶ πρὸς τὸ χρή. (ληπτέον add. Gu.)

V. 303. *ΑΠΟΔΕΧΟΥ*, τουτέστι μὴ ἔχε τὴν ὑποψίαν
κατὰ νοῦν ἀεὶ τῆς μανίας· τοῦτο γάρ ἐστι τὸ ἄγαν ἀπο-
δέχου. ταρβοῦν δὲ ἐκ δεμνίων λέγει, οὐχ ὅτι τὰ
δέμνια ἐποίει αὐτὸν μαίνεσθαι, ἀλλ᾽ ὅτι κείμενος ἐκεῖ φό-
βον ἐξ Ἐριννύων ἐδέχετο, κατεχόμενος τῇ μανίᾳ.

V. 304. *ΚΑΝ ΜΗ ΝΟΣΗιΣ.* Καλλίστρατος τὴν ἐκ-
τὸς τοῦ σ γραφὴν διδάσκει, κἂν μὴ νοσῇ γὰρ, ἀλλὰ
δοξάζῃ νοσεῖν, ἵν᾽ ᾖ ἀπὸ τοῦ Ὀρέστου εἰς τὸ κοινὸν
καταβεβηκὼς ὁ λόγος. Ἄλλως. Τοῦτο καθολικῶς ἔδει ἐξε-
νεγκεῖν οὕτω· κἂν μὴ νοσῇ τις, ἀλλὰ δοξάζῃ νοσεῖν, κά-
ματος αὐτῷ καὶ ἀπορία γίνεται. νῦν δὲ τὸ μὲν ἥμισυ τοῦ
γνωμικοῦ πρὸς τὸν Ὀρέστην ἐπέφερε, τὸ δὲ ἥμισυ καθόλου
εἶπεν. ἔστι δὲ τοῦτο κακόσχημον, (καινόσχημον Gu.) εἰ
καὶ ληρῶν (om. Gu.) ὁ Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ δι-
δάσκει γραφήν. καὶ μὴν καὶ ἑτέρως (ἑτέρα Gu.) καινότης
ἔστιν ἐνταῦθα· ἡ γὰρ πρότασις ἑνικῶς ἐκφέρεται, ἡ δὲ
ἀπόδοσις πληθυντικῶς, δηλοῦντος τοῦ ποιητοῦ, ὅτι εἰς πάν-
τας τοὺς ἀνθρώπους γίνεται τοῦτο. *ΔΟΞΑΖΗιΣ*, φαίνεσαι
νῦν. ἐκ τούτου γὰρ τοῦ δοξάζειν ἡμᾶς τοὺς ἀσθενεῖς ἀπηλ-
λαγμένους τῆς νόσου ἀμελεῖται, καὶ οὕτως γίνεται κάματος.
Fl. 21. ἕπεται γὰρ ἐκ τῆς νόσου τοῖς ἀνθρώποις ἄρτι λη-
γούσης ἡ ταλαιπωρία. Fl. 18.

V. 305. *ΚΑΜΑΤΟΣ*, σοὶ τῷ Ὀρέστῃ ἀσθενεῖ. Fl.
33. *ΑΠΟΡΙΑ*, ἀσθένεια. Fl. 59. ἀδυναμία. Fl. 18.
ἀπόγνωσις. Gu.

V. 306. *ΑΙ ΑΙ.* τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται
κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ ᾆσμα μιᾶς στροφῆς, εἰσὶ δὲ
τὰ κῶλα τῆς στροφῆς ις, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.
τὸ α ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον, ἤτοι κώλου
τμῆμα. τὸ β παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παιώνων
δ δύο. [8]) τὸ γ ὅμοιον ἡμιόλιον ἐκ παίωνος δ καὶ ἰάμβου. τὸ δ

8) Junt. Basil. Barn. ἐκ παιώνων δὲ β'. e quo feci ἐκ παιώνων δ δύο. King. ἐκ π. δ' καὶ β'.

ἀντισπαστικὸν δίμετρον [9]) ἀκατάληκτον ἐξ ἀντισπάστου, παίωνος α καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ ε καὶ τὸ ς μὲν πάντα ὅμοια. [10]) τὸ ζ χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου, ἐπιτρίτου α καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον πεντασύλλαβον ἔχει τὸν ἐπίτριτον. τὸ ὄγδοον ἀσυνάρτητον ἐκ παιωνικῶν ἡμιολίων δύο συγκείμενον. ἕκαστον δὲ ἐκ παίωνος ἐστὶ τετάρτου καὶ ἰάμβου. τὸ θ καὶ ι κατὰ πάντα ὅμοια. τὸ ια ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α, παίωνος α καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἀκατάληκτον. τὸ ιβ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ μολόσσου. τὸ δὲ ιγ [1]) τῆς ἀντιστροφῆς κῶλον ἐπίτριτον ἔχει γ ἀντὶ χοριάμβου. τὸ ιδ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τῶν β πρώτων ποδῶν χορείων. τὸ ιε παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων τετάρτων δύο, τοῦ δευτέρου ἐνταῦθα μὲν πεντασυλλάβου, ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ ἑξασυλλάβου, καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ ις ἰωνικὸν ἀπ᾽ ἐλάττονος τρίμετρον καταληκτικὸν ἐκ παίωνος δ ἀντὶ ἰωνικοῦ, διϊάμβου καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς.

V. 306—321. *ΑΙ ΑΙ.* ὦ θεαὶ δρομικαὶ καὶ ταχεῖαι καὶ σεβάσμιαι, αἵτινες ἐλάχετε ἐν δάκρυσι καὶ ἐν γόοις χορὸν κακοβάκχευτον, ἤτοι λυπηρὸν, εἰς ὃν [2]) οὐκ ἔστι δηλονότι βακχεύσασθαι καὶ χαρῆναι, μέλαιναι Εὐμενίδες (κατ᾽ εὐφημισμόν· δυςμενίδες γάρ εἰσι κατὰ τὸν ὀρθὸν καὶ ἀληθῆ λόγον,) αἵτινες κινεῖσθε ἀνὰ τὸν ἐπὶ πολὺ τεταμένον ἀέρα, λαμβάνουσαι δίκην, παρακαλῶ, ἐάσατε τὸν υἱὸν τοῦ Ἀγα-

9) δίμετρον. King. τρίμετρον.

10) King. τὸ ἑ καὶ τὸ γ' κατὰ πάντα ὅμοια. τὸ ς' ὅμοιον τῷ δ'. Recte.

1) Lacunam, quae hic est, King. obliteravit delendo ιγ. Fortasse sic ea explenda sit: τὸ δὲ τῆς ἀντ. — χοριάμβου. τὸ ιγ ἐξ ἐπιτρίτου γ' καὶ ά, καὶ συλλαβῆς.

2) εἰς ὃν e Gu. addidi, in quo haec explicatio, ut pleraeque aliae huius paraphraseos, pro glossa scripta est. Sic mox κατ᾽ εὐφημισμὸν etc. in quibus ordinem vulgatum κατὰ τὸν ὀρθὸν λόγον καὶ ἀληθῆ ex eodem libro mutavi.

μέμνονος, ὥςτε λήθην λαβεῖν τῆς σφοδρᾶς μανίας τῆς ὁρμητικῆς. φεῦ ἕνεκα τῆς κακοπαθείας καὶ τῶν δυςτυχιῶν, οἵων κακῶν, ὦ τάλας, ἐπιθυμήσας ἔῤῥεις καὶ φθείρῃ τὴν ἀπόφασιν τοῦ τρίποδος, ἤτοι τὴν κακὴν μαντείαν, ἣν ὁ Φοῖβος εἶπε κατὰ τὴν γῆν, ὅπου λέγονται εἶναι δηλονότι οἱ μεσόμφαλοι μυχοὶ τῆς γῆς, ἤτοι αἱ καταδύσεις καὶ οἰκήσεις.

V. 307. *ΠΤΕΡΟΦΟΡΟΙ.* πανταχοῦ περιτρέχουσαι, καὶ τιμωρούμεναι τοὺς ἀνθρώπους, ἢ περιτρέχειν ποιοῦσαι τοὺς μεμηνότας. [3])

V. 308. *ΠΟΤΝΙΑΔΕΣ.* μανιοποιοί. Πότνιαι γὰρ χωρίον ἐστὶ Βοιωτίας, ἔνθα φαγοῦσαι βοτανῶν [4]) αἱ Γλαύκου ἵπποι καὶ μανεῖσαι διεσπάσαντο τὸν ἴδιον δεσπότην Γλαῦκον ἐν τῷ ἐπιταφίῳ Πελίου. Ἄλλως. Πότνιαι γοῦν πόλις Βοιωτίας, ὅθεν ὁ Γλαῦκος ἐμμανὴς γέγονε καὶ ἥλατο εἰς τὴν θάλασσαν. *ΠΟΤΝΙΑΔΕΣ*, κακομανιοποιοί. Fl. 21. μανοποιαί. Πότνια γὰρ χώρα ἐστὶ Βοιωτίας, ἔνθα μανεῖσαι αἱ Γλαύκου ἵπποι τὸν ἴδιον δεσπότην Γλαῦκον διεσπάραξαν. Ἄλλως. Ποτνιάδας φησὶ τὰς Ἐριννύας ἀφ᾽ ἱστορίας τοιαύτης. Πότνιά ἐστι τόπος ἐν τῇ Βοιωτίᾳ· ἐφύοντο γοῦν ἐκεῖ βοτάναι μανίαν ἐμποιητικαὶ, εἰς ὃν, ὡς λόγος ἐρεῖ, παραγενόμενος καὶ Γλαῦκος μετὰ τῶν ἵππων αὐτοῦ * * * τῶν βοτανῶν καὶ ἐμμανεῖσαι διέφθειραν τὸν Γλαῦκον. Ἐπειδὴ καὶ Ἐριννύες αἴτιαι μανιῶν εἰσὶ, διὰ τοῦτο ταύτας φησὶ Ποτνιάδας. [5]) Fl. 6. σεβάσμιαι κατ᾽ εὐφημισμὸν, μανοποιοί. Gu.

V. 309. *ΑΒΑΚΧΕΥΤΟΝ.* ἤτοι κακοβάκχευτον, οὐ πρέποντα Διονύσῳ, ἀλλ᾽ ἐν θρήνοις καὶ γόοις ἐξεταζόμενον, ἢ παρόσον ἄοινα καὶ νηφάλια ταῖς θεαῖς ταύταις τὰ ἱερὰ τελεῖται, ἢ τὸν μεγάλως ἐκβακχεύοντα. *ΑΒΑΚΧ.* καὶ δυςβάκχευτον, οὐ βακχεύουσαι, ὡς ὁ Βάκχος, ἀλλὰ κακῶς. Fl. 21. *ΘΙΑΣΟΝ.* κλῆρον. Fl. 21.

V. 311. *ΜΕΛΑΝΟΧΡΩΤΕΣ.* μέλαιναι· χθόνιαι γὰρ

3) Gu., in quo dubites, ad δρομάδες an ad πτεροφόροι haec explicatio pertineat, αἱ παντ. τρέχουσαι, ἢ αἱ πανταχοῦ τρέχειν ποιοῦσαι τοὺς μαινομένους.

4) Junt. Basil. βοτάνον. Barn. King. Musgr. βοτάνιον.

5) Ultima ἐπειδὴ etc. e MS. C. C. C. enotaverat King.

εἰσιν, ἢ αἱ μελαίνουσαι τοὺς νοσοῦντας, ὡς καὶ πρὸς τὸν Μενέλαον ὁ Ὀρέστης φησὶν, ἔδοξ᾽ ἰδεῖν τρεῖς νυκτὶ προςφερεῖς κόρας. ΜΕΛΑΓΧΡΩΤΕΣ, αἱ μέλανα χρῶτα ἔχουσαι. Fl. 21. μελανσώματοι. Fl. 9. τοῦτο λέγει διὰ τὸ τοὺς μαινομένους μέλανας τὸ χρῶμα ποιεῖν. Gu. ΕΥΜΕΝΙΔΕΣ. Ἐριννύες θεαὶ τρεῖς παρ᾽ Ἕλλησιν, ἔφοροι καὶ τιμωρούμεναι τοὺς φονεῖς. καλοῦνται δὲ Ἀληκτὼ, Μέγαιρα καὶ Τισιφόνη.

V. 312. ΤΑΝΑΟΝ ΑΙΘΕΡΑ. ἀνὰ τὸν αἰθέρα πάλλεσθε πτερωταὶ οὖσαι. Ὅμηρος, ἠεροφοῖτις Ἐριννύς. ταναὸν δὲ αἰθέρα, τὸν λεπτομερῆ· τὰ γὰρ τεινόμενα τῶν σωμάτων λεπτύνεται. τὸ δὲ ἀμπάλλεσθε, ὡς ἀνακινοῦσαις αὐτὸν τὸν ἀέρα ἐμφαντικῶς, τουτέστιν ἀναπάλλεσθε τοῖς πτεροῖς, κατὰ τὸν Ὁμηρικὸν Ποσειδῶνα, τὸν σείοντα τοῖς ποσὶ τὴν γῆν καὶ τῇ πορείᾳ τὸ ὄρος. τὸ δὲ

V. 313. ΤΙΝΥΜΕΝΑΙ ΔΙΚΑΝ, ἀντὶ τοῦ τιμωρίαν λαμβάνουσαι ὑπὲρ αἵματος καὶ φόνου. Ἄλλως. πῶς δὲ ἐνταῦθα λέγει, Τινύμεναι φόνον; οὐ γὰρ ἀνταποδιδοῦσι φόνον αὗται, ἀλλὰ μᾶλλον ἐκδικοῦσι τοὺς φόνους. λέγομεν οὖν, ὅτι ἐξ ὧν [ποιεῖσθαι, ἢ] ποιοῦσι τοὺς φονεῖς μαίνεσθαι, παραπλήσιον ποιοῦσιν, ὥςπερ ἂν εἰ καὶ ἐφόνευον. ἢ τὸ τινύμεναι φόνον, ἀντὶ τοῦ τιμωρούμεναι νοητέον τοὺς φονεῖς· τίω γὰρ οὐ μόνον τὸ ἀνταποδίδωμι, ἀλλὰ καὶ τὸ τιμῶ καὶ τὸ τιμωρῶ· ἵν᾽ ᾖ τὸ μὲν αἵματος τινύμεναι δίκαν ἀντὶ τοῦ ἀποδιδοῦσαι, τὸ δὲ τινύμεναι φόνον ἀντὶ τοῦ ἐκδικοῦσαι τὸν φόνον, καὶ τιμωρούμεναι τοὺς φονεῖς. ἢ εἰ τὸ φόνων μεγαλογραφεῖται, λάβοις ἂν ἀπὸ κοινοῦ τὸ δίκαν, καὶ τὸ τινύμεναι, ὡς καὶ τὸ πρῶτον, ἐρεῖς. Τινύμεναι διὰ τὸ μέτρον ἓν ν ὀφείλεις γράφειν. οὕτω γὰρ ἔχει πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς οἰκείως. ΤΙΝΥΜΕΝΑΙ Δ. αἵματος, ἤγουν λαμβάνουσαι δίκην φόνου, τουτέστι κολάζουσαι διὰ φόνον. (φόνου Florr.) ΤΙΝΥΜ. ΦΟΝ. ἤγουν φονεύουσαι. Fl. 6. 9. 21. 56. 57. 76. Gu. m. pr.

V. 316. ΦΟΙΤΑΛΕΟΥ, ὁρμητικῆς. (τῆς ποιούσης τοὺς μαινομένους ὁρμᾷν.) Gu. φοιτᾷν, ὅ ἐστι περιϊέναι. Fl. 21.

V. 317. ΜΟΧΘΩΝ, πόνων λέγω τῶν τῆς μητρὸς φόνου ἔργων. Gu.

V. 318—320. ΟΙΩΝ Ω ΤΑΛΑΣ. ὡς πρὸς αὐτὸν

ἀπέτεινε τὸν λόγον· οἵων πραγμάτων σὺ, ὦ [6]) τάλας, ἐπιθυμήσας (λέγει δὲ τοῦ φόνου τοῦ κατὰ τῆς μητρὸς) οἴχῃ καὶ διέφθαρσαι, ἀπὸ τοῦ τρίποδος δεξάμενος τὴν μαντείαν, ἣν ὁ Φοῖβος ἔλακεν.

V. 318. ΟΙΩΝ, δι᾽ οἵων, κακῶν δηλονότι, ἔῤῥεις ἑαυτὸν κτεῖναι, φθείρεις ἑαυτόν. Fl. 21. ΟΡΕΧΘΕΙΣ, ἀγαπήσας. Fl. 33.

V. 320. ΔΕΞΑΜΕΝΟΣ, ὁ οἰκῶν. Fl. 18. σύ. Gu. ΑΝΑ ΔΑΠΕΔΟΝ, κατὰ τὴν γῆν. (ἔδαφος. ἤγουν τὸ Ἀπόλλωνος οἴκημα τὸ καλούμενον Δελφούς.) Gu.

V. 321. ΜΕΣΟΜΦΑΛΑ. ὀμφαλὸς λέγεται ἡ Πυθὼ, παρὰ τὸ τὰς ὀμφὰς τὰς ἀπὸ θεοῦ χρηστηριαζομένας λέγειν, ἢ παρὰ τὸ εἶναι ἐν μέσῳ τῆς οἰκουμένης. λέγεται γὰρ τὸν Δία μαθεῖν βουλόμενον τὸ μέσον [7]) τῆς γῆς, δύο ἀετοὺς ἰσοταχεῖς ἀφεῖναι, τὸν μὲν ἀπὸ δύσεως, τὸν δὲ ἀπὸ ἀνατολῆς, καὶ ἐκεῖ αὐτοὺς συναντῆσαι, ὅθεν ὀμφαλὸς ἐκλήθη. ἀνακεῖσθαί τε χρυσοῦς ἀετοὺς φασὶ τῶν μυθευομένων ἀετῶν ὑπομνήματα. ΛΕΓΟΝΤΑΙ, καλοῦνται, ᾄδονται. Gu. ΜΥΧΟΙ ΓΑΣ. καταδύσεις, οἰκήσεις. (κοιλότητες.) Gu. καταδύσεις, θεμέλιοι. Fl. 6. 9. 17. 21. 56. 59. 76. περισσὸν ἦν τὸ γᾶς, ἤγουν μυχοὶ γῆς· διὸ καὶ ἐξεβλήθη παρ᾽ ἐμοῦ· ἀρκεῖ γὰρ τὸ δάπεδον. Baroc. 74.

V. 322—329. ΙΩ ΖΕΥ. Φεῦ ὦ Ζεῦ. τίς ὁ ἀγὼν οὗτος ὁ φονικὸς ἔρχεται παρακινῶν σε τὸν ἄθλιον, ᾧτινι, ἤγουν σοὶ, δάκρυα δάκρυσι συμβάλλει καὶ συνάπτει τις τῶν ἐχθρῶν, κινῶν εἰς τοὺς δόμους τῶν φόνων τῆς σῆς μητρός. κατολοφύρομαι, λίαν θρηνῶ, σε δηλονότι.

6) ὦ τάλας. Sic Junt. sicut paulo post ἐπιθυμήσας. Basil. ὁ τάλας — ἐπεθύμησας. Prius jam dederat Barnes. utrumque King. e coniectura.

7) τὸ μέσον, ut res flagitabat, recepi e Gu. pro τὸ τέλος. In eo cod. priora ὀμφαλὸς — οἰκουμένης desunt, sequentia autem sic leguntur: βουλόμενος ὁ Ζεὺς τὸ μέσον τῆς γῆς μαθεῖν, δύο αἰετοὺς ἰσοπετεῖς εἰληφὼς ἀφῆκε τὸν μὲν ἐξ ἀνατολῆς, τὸν δὲ ἐκ δυσμῶν. συνηντήθησαν οὖν εἰς Δελφοὺς, ἔνθα τὸ τοῦ Ἀπόλλωνός ἐστι μαντεῖον· ὅθεν καὶ εἰς τούτους κατασκευάσαντες χρυσοῦς ἀετοὺς δύο ἀνέθεσαν ἐκεῖ εἰς ὑπόμνημα τῶν πρόσθεν ἀετῶν.

V. 323 — 328. *ΤΙΣ ΕΛΕΟΣ.* εἰς τὸ τίς ἔλεος στιγμὴν δεδωκότες λείπειν τῷ λόγῳ φήσομεν τὸ γενήσεται, καὶ τὸ [ἄλλο] τίς, ἀντὶ τοῦ οὐδεὶς, ἵν' ᾖ οὕτως, τίς ἔλεος γενήσεται τῷ Ὀρέστῃ, ἀντὶ τοῦ οὐδεὶς ἐλεήσει σε, Ὀρέστα. Ἄλλως. Τίς ἄρα, φησὶ, τοῦτον ἐλεήσει; τίς δὲ ὁ κίνδυνος οὗτος καὶ ἡ μανιώδης νόσος ἐπέρχεται ἐπὶ σὲ τὸν μέλεον, ταχύνων σε καὶ ἐξεγείρων, τουτέστιν ἄρα (l. ἆρα) δαίμων τις ἐπιπέμπει τούτῳ τὰς Ἐριννύας. ἢ καὶ ἄλλως· τίς ἐλεήσει αὐτὸν, ἔξωθεν ἀκούσομεν τὸ οὐδείς. διατί; οὗτος γὰρ αὐτῷ ὁ κίνδυνος, ὁ ἐκ τῶν Ἐριννύων ἔρχεται φόνιος, μεθ' ὁρμῆς φερόμενος ἐπὶ σὲ τὸν μέλεον. τίς ἔλεός ἐστι τούτῳ τῷ Ὀρέστῃ, ᾧ δάκρυα δάκρυσι συμβάλλεταί τις ἀλάστωρ, πορεύων εἰς δόμους, ἀντὶ τοῦ ἕλκων αὐτὸν τῇ μανίᾳ, καὶ ἀναβακχεύων κατὰ τὸν οἶκον, ὅςτις ἀλάστωρ ἐγείρει τὸ αἷμα τῆς μητρός. Ἄλλως. Τίς ἔλεος ἐστὶ τούτῳ τῷ Ὀρέστῃ, ᾧ δάκρυα ἐπιβάλλει τις τῶν ἀλαστόρων δαιμόνων, τὸ αἷμα τῆς μητρὸς πορεύεσθαι καὶ διατρέχειν αὐτὸν κατὰ τὸν οἶκον ποιοῦν. τινὲς δὲ ἤκουσαν τὸ ἀλαστόρων δόμον, [8]) ἀντὶ τοῦ εἰς ᾅδου, κατὰ τὸν οἶκον τῶν ἀλαστόρων. καὶ τίς δὲ ἡ νόσος πορεύεσθαι αὐτὸν ποιοῦσα εἰς ᾅδου; ἡ δὲ παρακοπὴ, οἵων μόχθων ἐπιθυμήσας, ὦ τάλας, διέφθαρσαι, δεξάμενος ἀπὸ τοῦ τρίποδος τὴν μαντείαν, ἣν ὁ Ἀπόλλων εἶπε κατὰ τοὺς Δελφοὺς, ἔνθα γῆς ὀμφαλὸς λέγεται. τίς ἐλεήσει αὐτὸν, ὦ Ζεῦ; τοιοῦτος γὰρ αὐτῷ ἀγὼν ἐκ τῶν Ἐριννύων ἐπέρχεται διὰ τὸν τῆς μητρὸς φόνον, μεθ' ὁρμῆς φερόμενος. μετέβαλλε δ' ἀπὸ τοῦ περὶ αὐτοῦ λόγου εἰς τὸν πρὸς αὐτόν. *ΤΙΣ ΟΔ' ΑΓΩΝ.* τίς ὅδε ὁ κίνδυνος ἔρχεται φόνιος, παροξύνων σὲ τὸν μέλεον, ὃς δάκρυα δάκρυσι συνάπτει, τίς, λέγω, τῶν ἐχθρῶν, πορεύων εἰς τὸν δόμον τὸ αἷμα, ἤγουν τὸν φόνον τῆς σῆς μητρὸς, ὃ σὲ ἀναβακχεύει. [9])

8) δόμον. Sic recte Junt. δόμων Basil. quod retinuerunt Barn. King. et Musgr.

9) Hoc scholion in Junt. Basil. adscriptum est ad v. ὅ σ' ἀναβακχ. quare King. illud post scholion Συμβάλλει — ὁλκάδας posuit. Idem est in Gu. sed pro ὃς δάκρυα ibi est: ᾧτινι ἤγουν σοὶ δάκρυα δ. συνάπτει τις ἀπὸ τῶν ἐ. πορ. εἰς τοὺς δόμους etc.

V. 322. *ΙΩ ΖΕΥ.* ὢ ἐπὶ ἀποτροπῇ (ἐπιαποτροπή uno verbo et sine ὢ Florr.) Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦτο κατ' ἰδίαν ἀναπεφώνητον. (l. —πεφώνηται.) Fl. 10.

V. 323. *ΤΙΣ ΕΛΕΟΣ,* ἔσται σοὶ τῷ Ὀρέστῃ. Gu. m. sec. ἀντὶ τοῦ, πόθεν ἂν γίνοιτο ἔλεος. Gu. m. pr. *ΑΓΩΝ,* κίνδυνος, νόσος, ἡ καταλαμβάνουσά σε μανία. Gu. m. 2.

V. 324. *ΦΟΝΙΟΣ,* φονικὸς, δαιμονιώδης. Gu.

V. 325. *ΘΟΑΖΩΝ,* παροξύνων. (κινῶν, ἐκμαίνων.) Gu. Ὧι, σοι. (ἢ τῷ ἀγῶνι.) Gu. *Ω ΔΑΚΡΥΑ ΔΑΚΡΥΣΙ.* συνάγει καὶ συμμίσγει ἐπάλληλα δάκρυα. Ὅμηρος· συμβάλλει τοι (συμβάλλετον Il. δ', 453.) ὄμβριμον ὕδωρ, ἤγουν συνάπτει, ἵν' ᾖ μεταφορὰ ἀπὸ τῶν συμβαλλόντων τοῖς σχοινίοις ἕτερα, καὶ ἐπιμηκέστερα ποιούντων, οἷον ἐπὶ τοῖς δάκρυσι συνάπτει δάκρυα. Ἀριστοφάνης· ὥσπερ σχοινία συμβάλλοντες εἰς τὰς ὁλκάδας. [10]) *Ὧι ΔΑΚΡΥΑ.* ὃ γράφε, ἀντὶ τοῦ ὅςτις, καὶ δόμον, μὴ δόμους, λέγων οὕτως, ὃς καὶ ὅςτις ἀγὼν, δηλονότι ὁ φόνιος, συμβάλλει καὶ συνάπτει τοῖς δάκρυσι δάκρυα. ἐπεὶ δὲ οὐκ ἐποίει ταῦτα ὁ ἀγὼν, ἀλλά τις τῶν θεῶν, ἐπήγαγε, τίς, λέγω, τῶν ἀλαστόρων, καὶ τῶν ἐχθρῶν, πορεύων καὶ ἐπιφέρων εἰς τὸν δόμον τὸ αἷμα τῆς σῆς μητὸς, ὅπερ σὲ ποιεῖ μαίνεσθαι. οἱ δὲ γράφοντες τὸ ω μέγα διὰ τὸ συμβάλλει, ἀγνοοῦσι τὰ μέτρα.

V. 328. *Ο Σ' ΑΝΑΒΑΚΧΕΥΕΙ.* ὅπερ τῆς μητρὸς ἀναβακχεύει σε, καὶ μαίνεσθαι ποιεῖ. ἢ ὅςτις ἀλαστόρων ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου, μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον. Ἄλλως. *Ο Σ' ΑΝΑΒΑΚΧΕΥΕΙ.* διχῶς στίζουσιν. ἀποδίδοται πρὸς μὲν τὴν πρώτην στιγμὴν, τίς οὗτος φόνιος ἔρχεται ἀγὼν, ᾧ ἀγῶνι δάκρυα δάκρυσι συμβάλλει τις τῶν ἀλαστόρων, ποιῶν πορεύεσθαι τὸ αἷμα τῆς μητρὸς κατὰ τοὺς οἴκους, καὶ μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον, ἢ ὅ σε τὸ αἷμα ἀναβακχεύει, καὶ μαίνεσθαι ποιεῖ· πρὸς δὲ τὴν δευτέραν στιγμὴν, ὅτι τοσοῦτον ἔρχεται φόνιος ἀγὼν, δάκρυα δάκρυσι συμμίσγει τις τῶν ἀλαστόρων, ὃς σε ἀναβακχεύει πορεύων καὶ περιέλκων ματέρος αἷμα

10) Locus Aristoph. est Pac. 37. ὥσπερ οἱ τὰ σχοινία Τὰ παχέα συμβάλλοντες εἰς τὰς ὁλκάδας. prout edidit King.

σᾶς, ὅλως ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου κατὰ τοὺς οἴ-
κους σου, καὶ οὐκ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον.

V. 330 — 334. *Ο ΜΕΓΑΣ ΟΛΒΟΣ* οὐ μόνιμος
καὶ διηνεκὴς ἐν τοῖς βροτοῖς· ἀνατινάξας δὲ δαίμων τις
αὐτὸν δηλονότι, καθὰ λαῖφος καὶ ἄρμενον νηὸς ταχείας,
κατέκλυσεν, ἤτοι βυθισθῆναι ἐποίησεν ὡς ἐν κύμασι πόντου
ὀλεθρίοις, καὶ χαλεποῖς. τὸ δὲ δεινῶν πόνων διὰ μέσου,
ἀντὶ τοῦ φεῦ, ἕνεκα τῶν δεινῶν πόνων. Ἄλλως. οὐ μόνι-
μος ὁ μέγας ὄλβος· κατέκλυσε γὰρ αὐτὸν δαίμων τις, ὡςεὶ
λαῖφος ἀκάτου θοᾶς τινάξας κατέκλυσε τοῖς ὀλεθρίοις καὶ
λάβροις κύμασι τοῦ πόντου. τὸ δὲ δεινῶν πόνων ἐν μέσῳ
ἀναπεφώνηται. ἢ οὕτως· ὡς δὲ πόντου λάβροις ὀλεθρίοις ἐν
κύμασι δαίμων τις ἀκάτου θοᾶς κατέκλυσεν, οὕτω καὶ τὸν
μέγαν ὄλβον κατέκλυσε τινάξας ὑπὸ δεινῶν πόνων. Ἄλλως.
Ἀνατινάξας δέ τις δαίμων τὸν ὄλβον κατέκλυσεν αὐτὸν καὶ
κατεπόντισεν, ὡς ἀκάτου θοᾶς λαῖφος πόντου λάβροις καὶ
ὀλεθρίοις κύμασιν. ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸς ἐν
θαλάσσῃ, τοσοῦτον καὶ κατὰ τὸν βίον τῶν ἀνθρώπων ἡ
τύχη. ἢ οὕτως· κλύζεσθαι παρεσκεύασέ τις θεὸς τὸν ὄλ-
βον ἄστατον ὄντα ὑπὸ τῶν δεινῶν πόνων, τουτέστιν ἔργων.
Ὅμηρος· αὐτὰρ ἐπεὶ παύσαντο πόνου. ὡς γὰρ
κλύζεται ναῦς ἐν θαλάσσῃ, οὕτω καὶ ἡ τῶν ἀνθρώπων τύ-
χη ὑπὸ ἀστάτων ἔργων. τὸ γὰρ τῆς τύχης ῥεῦμα μεταπί-
πτει ταχύ. Ἄλλως. Ἀνατινάξας δέ τις δαίμων, ἤ τις δαι-
μόνων αὐτὸν δηλονότι τὸν ὄλβον, ὥςπερ λαῖφος ἀκάτου
θοῆς κατέκλυσεν ὥςπερ ἐν κύμασι πόντου λάβροις ὀλεθρίοις.
τὸ δὲ δεινῶν πόνων διὰ μέσου, (ἀντὶ τοῦ Gu.) φεῦ ἕνεκα
τῶν δεινῶν πόνων. Ἄλλως. Τὸ λάβροις ὀλεθρίοις
ἐν κύμασι πρὸς τὸ δεινῶν πόνων σύναπτε, καὶ μὴ
λάμβανε ὑπὸ ἔξωθεν, μηδὲ ὡς πόντου μετὰ τόνου τὸ
ὣς ἔκφερε, ὥς τινες φασὶν, οὕτω δὲ, ὁ μέγας ὄλβος, καὶ
ἡ μεγάλη εὐδαιμονία, οὐ μόνιμος καὶ διηνεκής ἐστιν ἐν
τοῖς βροτοῖς· ἀνατινάξας δὲ καὶ ταράξας αὐτόν τις [1]) δαί-
μων, ὥςπερ λαῖφος ἀκάτου, καὶ νηὸς, θοᾶς καὶ ταχείας,
κατέκλυσε καὶ ἠφάνισεν ἐν κύμασι λάβροις, καὶ σφοδροῖς,
ὀλεθρίοις δεινῶν πόνων, καὶ δυςτυχιῶν, ὥςπερ πόντου κύ-

1) καὶ ταράξας e Cod. Gu. recepi, e quo etiam ordinem vulga-
tum vv. τις αὐτόν immutavi; ex eodem est paulo post ὥςπερ ante
αῖφος et ultima ἢ οὕτω — ἀνατρέψας τοῦτον.

μασι δηλονότι. ἰστέον δὲ, ὅτι, ἐπειδὴ λαῖφος εἶπε, διὰ
τοῦτο καὶ κατέκλυσεν εἶπε καὶ κύμασι, δεικνὺς ὅτι ἡ
τοῦ ὄλβου ἀνατροπὴ ἀνατροπῇ λαίφους ἔοικε, καὶ αἱ τῶν
δεινῶν πόνων ἀπελεύσεις κύμασι θαλάσσης ὀλεθρίοις. τὸ δὲ
θεογόνων γάμων λέγει, ἐπειδὴ καὶ ὁ Τάνταλος υἱὸς ἦν
Διός. ἢ οὕτω· κατέκλυσε δὲ αὐτόν τις δαίμων, ὥςπερ ἐν
λάβροις ὀλεθρίοις κύμασι δεινῶν πόνων, ὥςπερ κατακλύζει
λαῖφος ἀκάτου θοᾶς ἐς λάβροις ὀλεθρίοις κύμασι πόντου,
ἀνατινάξας καὶ ἀνατρέψας τοῦτον. *)

V. 330. *ΟΥ ΜΟΝΙΜΟΣ*, οὐκ ἐν μονῇ ἐστὶν, ἤγουν
οὐ μένει. Gu. m. pr. Fl. 17. 59. 76. στάσιμος. Gu. m. 2.

V. 335—337. *ΤΙΝΑ ΓΑΡ ΕΤΙ.* ἀλγῶ, φησὶν, ἐπὶ
τοῖς ἰδίοις κακοῖς, καὶ συναποφέρομαι τὴν ψυχήν· τίς γὰρ
ἕτερος οἶκος σέβεσθαι παρ᾽ ἡμῶν ἄξιος, ἢ οὗτος, ὃς ἐκ
θεῶν ἔχει τὴν καταβολήν; ἀρχηγὸς γὰρ τῆς γονῆς ὁ Ζεὺς,
ὃς ἐφύτευσε Τάνταλον, Πλουτοῖ συνελθών.

V. 335. *ΤΙΝΑ ΓΑΡ.* πρὸς τὸ κατολοφύρομαι
ἀποδίδοται. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 336. *Η ΤΟΝ* καταγόμενον. Gu. Fl. 6. 9. 17.
21. 34. 56. 59. 76.

V. 338—345. *ΚΑΙ ΜΗΝ ΒΑΣΙΛΕΥΣ.* τοῦτο οὐκ
ἔστιν ἐπῳδὸς, ὡς ἄν τις ἴσως οἰηθείη διὰ τὸ κεῖσθαι μετὰ
τὴν στροφὴν καὶ ἀντιστροφὴν, ἀλλὰ καλεῖται σύστημα ἐπι-
φθεγματικὸν, ὡς προςφθεγγόμενον τὸν Μενέλαον προςιόντα.
αἱ μὲν γὰρ ἐπῳδοὶ οὐκ εἰσὶ μονοειδοῦς μέτρου, ἀλλὰ διά-
φοροι· τοῦτο δὲ μονοειδοῦς· κώλων γὰρ ἔστιν ἀναπαιστι-
κῶν η, ὧν τὸ γ καὶ τὸ ϛ μονόμετρα, ἤτοι ἀναπαιστικὴ
βάσις, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ η καταληκτι-
κὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ
τέλει παράγραφος.

V. 338—341. *ΚΑΙ ΜΗΝ ΒΑΣΙΛΕΥΣ.* ἐν τοῖς τέ-
λεσιν εἰώθασιν οἱ ἀπὸ τοῦ χοροῦ μεταλλάττειν. τὸ δὲ ἑξῆς·
καὶ μὴν ὁ βασιλεὺς ὅδε δὴ στείχει Μενέλαος ἄναξ, τῶν
Ταντᾰλιδῶν ἐξ αἵματος ὢν, πολλῇ δ᾽ ἁβροσύνῃ δῆλος ὁρᾶ-
σθαι τῶν Ταντᾰλιδῶν ἐξ αἵματος ὢν, [2]) ὅ ἐστι, διὰ τοῦ
σχήματος ἐμφαίνει τὴν εὐγένειαν.

*) Ultima: ἢ οὕτω — τοῦτον e Gu. addidi.

2) Haec καὶ μὴν — ὢν omiserunt King. et Musgr.

V. 339. *ΑΒΡΟΣΥΝΗι*, διὰ τῆς πολλῆς δὲ ἁβροσύνης, ἤγουν τρυφερότητος. Gu. m. 1. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. βασιλικῷ μεγέθει. τρυφῇ ἱματίων καὶ τῶν περὶ αὐτὸν ἀκολούθων. Gu. m. 2. τῇ τρυφῇ τοῦ βαδίσματος, ἤγουν τῆς ὄψεως. Fl. 21. πλουσιότητι. Fl. 33.

V. 340. *ΔΗΛΟΣ ΟΡΑΣΘΑΙ*, ὁρᾶται δῆλος ἐν πολλῇ ἁβροσίᾳ. Fl. 21.

V. 342. *Ω ΧΙΛΙΟΝΑΥΝ*. ἀπὸ τούτων αὐτὸν ἐγκωμιάζει, ἀφ' ὧν ἐμεγαλύνετο. τῷ δὲ ἀπηρτισμένῳ ἐχρήσατο ἀριθμῷ· τοσαῦται γὰρ ἦσαν αἱ νῆες τῶν Ἑλλήνων, χίλιαι πρὸς ταῖς ϱνε. *ΧΙΛΙΟΝΑΥΝ*. δι' ὧν δοκεῖ αὐτὸν ἐπαινεῖν, διὰ τούτων λυπεῖ, ἀναμιμνήσκουσα τῶν ἀπολλυμένων ἐν Τροίᾳ. [3]) τὸ δὲ θεόθεν πράξας ἅπερ εὔχου προςέθηκεν, ἐπειδὴ τὸν πόλεμον κατορθώσας ἔλαβε τὴν Ἑλένην. σὺ μὲν, φησὶν, εὐτυχῶς ἀπηλλάχθης, ὁ δὲ Ὀρέστης δυςτυχεῖ. οὐ μετέχεις, φησὶ, τῆς δυςτυχίας τῶν Ταυταλιδῶν. *ΟΡΜΗΣΑΣ*, παρορμήσας, κινήσας. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐλλιμενίσας. Gu. m. 2.

V. 343. *ΕΙΣ ΓΗΝ ΑΣΙΑΝ*, ἤγουν Ἀσιανὴν, τὴν Τροίαν. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 344. *ΟΜΙΛΕΙΣ*, συνδιάγεις. Gu. Fl. iidem.

V. 345. *ΘΕΟΘΕΝ*, ἀπὸ τοῦ θεοῦ, *ΠΡΑΞΑΣ*, τελέσας, *ΑΠΕΡ ΕΥΧΟΥ*, δι' εὐχῆς ἐποιοῦ. Gu. Florr. iidem.

V. 346—369. *Ω ΔΩΜΑ*. Ὦ δῶμα, τῇ μὲν, ταύτῃ τῇ μερίδι δηλονότι, ἡδέως βλέπω σε, ἐλθὼν ἀπὸ τῆς Τροίας, τῇ δὲ, ἤγουν ταύτῃ τῇ ἑτέρᾳ μερίδι δηλονότι, ἰδὼν καταστένω· κύκλῳ γὰρ περιληφθεῖσαν ὑπὸ ἀθλίων κακῶν οὔπω ποτὲ εἶδον ἄλλην οἰκίαν μᾶλλον, σοῦ δηλονότι. τὰς τύχας γὰρ, ἤγουν τὰ συμβεβηκότα τῷ Ἀγαμέμνονι, ἔμαθον, ὁποίῳ θανάτῳ ὤλετο παρὰ τῆς γυναικὸς, προςίσχων καὶ πλησιάζων τῷ Μαλέᾳ τὴν πρῶραν· ἐκ γὰρ τῶν κυμάτων τῆς θαλάσσης ὁ μάντις τοῖς ναυτίλοις, ἀντὶ τοῦ τῶν ναυτίλων, ὁ προφήτης τοῦ Νηρέως, ὁ Γλαῦκος, ὁ ἀψευδὴς θεὸς, ἐξήγγειλεν ἐμοὶ, ὅς μοι παρασταθεὶς ἐμφανῶς εἶπε τάδε· ὦ Μενέλαε, κεῖται θανὼν ὁ σὸς ἀδελφὸς, ἐμπεσὼν λουτροῖς πανυστάτοις τῆς ἀλόχου, ἤγουν ἃ ἡ ἄλοχος ἔλουσεν αὐτόν· ἐπλήρωσε δὲ δακρύων πολλῶν ἐμὲ, καὶ τοὺς ἐμοὺς ναύτας. ἐπεὶ δὲ ἔψαυσα τῆς Ναυπλίας χθονὸς, ἤδη δάμαρτος, τῆς ἐμῆς δηλονότι, ἐξορμιζομένης ἐνθάδε, νομίζων τὸν Ὀρέστην, τὸν παῖδα τοῦ Ἀγαμέμνονος, καὶ τὴν μητέρα περιβαλεῖν χερσὶ φίλαις, ὡς εὐτυχοῦσιν, ἤκουσα τινὸς ἁλιέως τὸν ἀνόσιον φόνον τῆς Τυνδάρεω θυγατρός. καὶ νῦν εἴπατε, ὦ νεάνιδες, ὅπου ἐστὶν ὁ τοῦ Ἀγαμέμνονος παῖς Ὀρέστης, ὃς ὑπέμεινε τὰ δεινὰ κακά· βρέφος γὰρ τότε ἦν ἐν ταῖν χεροῖν τῆς Κλυταιμνήστρας, ὅτε κατελίμπανον τὴν οἰκίαν ἀπιὼν εἰς Τροίαν, ὥςτε οὐκέτι ἂν γνωρίσαιμι αὐτὸν ἰδών.

3) Haec cum praecedentibus jungit Gu. δι' ὧν δ. — ἀπολλυμένων εἰς Τροίαν. ἐχρήσατο δὲ τῷ ἀπηρτ. ἀριθμῷ· αἱ νῆες γὰρ τῶν Ἑλλ. χίλιαι πρὸς ταῖς ϱ' πῶς (ϱ̄ πζ) ἦσαν. E scholio ad v. 346. haec tantum exstant in Gu. οὐ πρὸς Σπ. ἀνήχθη, ἀλλὰ πρότερον εἰς Ἄργος, ἐξελάσων Ὀρ.

V. 346 sqq. *Ω ΔΩΜΑ ΤΗι ΜΕΝ*. αἱ ἑξῆς αὗται περίοδοι τριμέτρων ἀκαταλήκτων εἰσὶν, ὧν τελευταῖος κρείσσων γαλήνης ναυτίλοισιν εἰςορᾶν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

V. 346. *Ω ΔΩΜΑ*. ἀπὸ πρώτης παρόδου σημειοῦται τὸ κακόηθες τῆς γνώμης Μενελάου· καὶ γὰρ οὐδὲ εἰς Σπάρτην ἀνήχθη, ἀλλὰ πρότερος εἰς Ἄργος ὡς ἐξελάσων Ὀρέστην, ὡς καὶ ἐν τοῖς ἑξῆς δῆλός ἐστι, καίτοι τῶν πάλαι πολεμίων φειδόμενος. ἐν γὰρ τῇ ζ' ῥαψῳδίᾳ κωμῳδεῖται παρὰ τῷ ποιητῇ, συγχωρῶν ζῆν τὸν Ἄδραστον δόσιν χρημάτων ἐπαγγελλόμενον.

V. 347. *ΚΑΤΑΣΤΕΝΩ*, στενάζω. Gu. θλίβομαι. Fl. 21.

V. 348. *ΕΙΛΙΧΘΕΙΣΑΝ*, περιληφθεῖσαν. (κυκλωθεῖσαν, συσχεθεῖσαν.) Gu.

V. 352—354. *ΝΗΡΕΩΣ ΠΡΟΦΗΤΗΣ*. οὗτος Ἀνθηδόνιος ἦν ἁλιεὺς, ἑωρακὼς δὲ ἰχθὺν παρὰ τὴν ψάμμον βοτάνης γευσάμενον καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτὸς γέγονεν ἀθάνατος, [ἀλλ' οὐκ ἀγήραος· ἐφ' ᾧ κατεπόντισεν ἑαυτὸν] μαντεύεται δὲ, ὡς καὶ παρ' Ὁμήρῳ Πρωτεὺς, καὶ παρὰ Πινδάρῳ Τρίτων τοῖς Ἀργοναύταις. τὴν δὲ βοτάνην, ἧς ἐγεύσατο, φασί τινες ἀείζωον εἶναι. [4]) Μαλέας δὲ ἀκρω-

4) Verba τὴν δὲ βοτ. — εἶναι e Gu. addidi. In eo desunt

τήριον ἐστὶ περὶ Λακεδαιμονίαν, λεγόμενον παρά τισιν ἰδιωτικῶς ὄνου καταμάγουλον. [5])

V. 355. *ΕΜΦΑΝΩΣ ΚΑΤΑΣΤΑΘΕΙΣ.* τουτέστιν οὐκ ἐντὸς θαλάσσης ὢν, καὶ ἀφανῶς μοι τοῦτο εἰπὼν, [6]) ἀλλ' ἐμφανῶς, καὶ ἐνώπιον στὰς καὶ διηγησάμενος. *ΕΜΦΑΝΩΣ ΠΑΡ.* ὅς μοι πλησίον σταθεὶς τάδε εἶπεν ἐμφανῶς. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76. φανερῶς (Fl. 56.) καὶ οὐ διά τινος φαντάσματος. Gu. m. sec. προδήλως. Fl. 21.

V. 357. *ΛΟΥΤΡΟΙΣΙΝ ΑΛ.* ἃ ἡ ἄλοχος ἔλουσεν αὐτόν. (τουτέστιν ἐν λουτροῖς ὑπὸ τῆς ἰδίας γυναικὸς ἀνῃρέθη.) Gu. *ΠΕΡΙΠΕΣΩΝ.* περισσὴ ἡ περί, καὶ ἔστιν ὁ νοῦς, τοῖς πανυστάτοις λουτροῖς τῆς ἀλόχου πεσὼν, ὅ ἐστιν ἀπολωλώς· ἢ περιπεσὼν ἀντὶ τοῦ συντυχὼν τοῖς λουταῖς τῆς ἀλόχου· λουσαμένῳ γὰρ Ἀγαμέμνονι τὸν χιτῶνα προσήνεγκεν, ὡς ἐν Ἑκάβῃ φησὶ, κτεῖν', ὡς ἐν Ἄργει φόνια.

V. 359. *ΝΑΥΠΛΙΑΣ.* Ναύπλιος λιμήν· ἀπὸ τούτου καὶ Ναυπλία χθών. (ἀπὸ Ναυπλίου τοῦ πατρὸς Παλαμήδους add. Florr.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 361. *ΔΟΚΩΝ ΟΡΕΣΤΗΝ.* ὕπουλα πάντα τὰ ῥήματα Μενελάου, ἀφ' ὧν ὁ ποιητὴς τὸ ἄστατον τῆς Λακεδαιμονίων γνώμης κωμῳδεῖ, ὡς καὶ ἐν Ἀνδρομάχῃ (v. 446.) ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτοὶ, Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. πρὸ γὰρ Διοκλέους, ἐφ' οὗ τὸν Ὀρέστην ἐδίδαξε, Λακεδαιμονίων πρεσβευσαμένων περὶ εἰρήνης, ἀπιστήσαντες Ἀθηναῖοι, οὐ προσήκαντο ἐπὶ ἄρχοντος Θεοπόμπου, ὃς ἦν πρὸ Διοκλέους, ὡς ἱστορεῖ Φιλόχορος.

V. 362. *ΠΕΡΙΒΑΛΕΙΝ.* περιβάλλω τινὰ, ἀντὶ τοῦ περιπτύσσομαι· καὶ περιβάλλει ὁ θεὸς τὸν οὐρανὸν ἐν νεφέλαις, ἀντὶ τοῦ ἐνδύει· καὶ παρὰ Φιλοστράτῳ, περιβάλλων τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους, ἀντὶ τοῦ κύκλῳ τιθείς. *ΠΕΡΙΒΑΛΕΙΝ.* περιπτύξασθαι. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76. περιπλακῆναι. Gu. m. sec. Fl. 33.

paulo ante vv. ἀλλ' οὐκ ἀγ. — ἑαυτόν, quae uncis inclusi. ἦν ante ἁλιεύς et καί ante παρ' Ὁμ. ex eodem adjeci.

5) Gu. κατωμάγουλον. Idem addit, quae partim vel evanuerunt vel erasa sunt, ὁ αὐτὸς δὲ λέγεται καὶ ξ. . . Ab initio habet ἀκρωτ. ἔστιν ὁ Μαλέας περὶ Λ.

6) εἰπών. Sic Gu. εἰπεῖν Junt. Basil. εἶπεν Barn. King. Musgr.

V. 363. *ΩΣ ΕΥΤΥΧΟΥΝΤΑΣ.* εἰώθασιν οἱ ἄνθρωποι τὰς τῶν ἐχθρῶν ἀτυχίας εὐτελεῖς λογίζεσθαι, βουλόμενοι μέχρι θανάτου τὴν ἀτυχίαν αὐτῶν προκόπτειν. καὶ ὁ Μενέλαος τοίνυν ἐφεδρεύων τῇ τοῦ Ὀρέστου ἀρχῇ, μόνον τὸ ζῆν αὐτὸν εὐτυχίαν ὁρίζεται. ἀλλὰ τὰ κατὰ τὸν Ἀγαμέμνονα ἠπιστάμην, καὶ τὸν ἐκείνου θάνατον ἐδάκρυσα, ἐλπίζων δὲ περιπτύσσεσθαι τὸν Ὀρέστην καὶ τὴν μητέρα, ὡς σωζομένους, παρ' ἐλπίδας ἤκουσα τὸν Κλυταιμνήστρας θάνατον· τὸ γὰρ εὐτυχοῦντας ἀντὶ τοῦ σώους καὶ ὑγιεῖς. [7]) *ΑΛΙΤΥΠΩΝ*, ἁλιέων, οἳ ταῖς κώπαις τύπτουσι τὴν θάλασσαν. Laud. 89. Gu. m. 1.

V. 363. *ΑΝΟΣΙΟΝ ΦΟΝΟΝ* λέγει τὸν τῆς Κλυταιμνήστρας, ὅτι ὑπὸ τοῦ ταύτης υἱοῦ Ὀρέστου ἐπράχθη. δέον δὲ εἰπεῖν εὐσεβῆ φόνον, κακοήθως ἀνόσιον καὶ ἀσεβῆ φόνον καλεῖ τὴν τιμωρίαν Κλυταιμνήστρας. [8]) ἔδει γὰρ αὐτὴν οὐχ ἅπαξ, ἀλλὰ καὶ μυριάκις ἀπολωλέναι, αὐτόχειρα, ἤτοι φονέα τοῦ οἰκείου ἀνδρὸς γενομένην, ἀλλ' οὖν ὑπ' ἄλλου του, καὶ οὐχ ὑπὸ Ὀρέστου τοῦτο γεγενῆσθαι.

V. 366. *ΤΑ ΔΕΙΝΑ*, φοβερὰ, τὸν τῆς μητρὸς φόνον. Gu. *ΕΤΛΗ*, ἐτόλμησεν. (ἐκαρτέρησεν.) Gu. εἴργασται. δῆλός ἐστι πονηρὸς Μενέλαος, δέον εἰπεῖν, ὃς ἤμυνε τῷ πατρί. Fl. 10.

V. 369. *ΩΣΤ' ΟΥΚ ΑΝ ΑΥΤΟΝ ΓΝΩΡ. ΑΝ.* ὅτι ἐν ἑνὶ ῥήματι δύο λέγεται ἄν, ὡς ἐνταῦθα, τὸ μὲν ἓν ἐστὶ δυνητικὸς σύνδεσμος, τὸ δὲ ἕτερον παραπληρωματικὸς ἀντὶ τοῦ δή. Baroc. 74. Gu. m. 1.

V. 370—374. *ΟΔ' ΕΙΜ' ΟΡΕΣΤΗΣ.* ὦ Μενέλαε, ὅδε, ἤγουν ἐγώ, εἰμὶ ὁ Ὀρέστης, ὃν ἱστορεῖς, ἤτοι

7) εὐτυχοῦντας, σώους καὶ ὑγιεῖς habet etiam Fl. 21. sed addit: ἐν τούτῳ γὰρ μόνῳ ἐνόμιζον αὐτοὺς εὐτυχεῖν.

8) Verba δέον δέ — Κλυταιμν. om. Gu. qui sqq. sic scripta exhibet: ἔδει μὲν γὰρ — — γενομένην. ἔδει δὲ ὑπ' ἄλλου τοῦ κ. τ. λ. Fl. 10. annotat: δέον εἰπεῖν εὐσεβῆ. nihil amplius.

περὶ οὗ ἐρωτᾷς. ἐγὼ ἑκὼν δηλώσω σοι τὰ ἐμὰ κακά. πρω- τόλεια δὲ, ἤτοι πρώτως καὶ κατὰ πρῶτον λόγον, θιγγάνω καὶ ἅπτομαι τῶν σῶν γονάτων ἱκέτης, ἀντὶ τοῦ ἱκετικῶς, ἀπὸ στόματος ἀφύλλου καὶ ξηροῦ ἐξάπτων, καὶ ἀνατιθεὶς λιτάς· σῶσόν με· παραγέγονας δὲ αὐτὸς εἰς καιρὸν, ἤτοι εἰς αὐτὴν τὴν ἀκμὴν τῶν κακῶν.

V. 370. *ΙΣΤΟΡΕΙΣ*, ζητεῖς. (ἐρευνᾷς, ὁρᾷς, λέγεις.) Gu. ὁρᾷς οὐ γνωρίζων. Fl. 21.

V. 371. *ΤΑΜΑ ΚΑΚΑ*, ἤγουν ἐμαυτὸν οὕτω κακῶς ἔχοντα. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. 9)

V. 372. *ΠΡΩΤΟΛΕΙΑ*, σύνθετον ἀντὶ ἁπλοῦ, πρω- τόλεια ἀντὶ τοῦ πρῶτα πάντων. Fl. 21. πρὸ πάντων σὲ λιτανεύω. Fl. 10. *ΠΡΩΤΟΛΕΙΑ*. κυρίως αἱ πρῶται τῆς νί- λείας ἀπαρχαὶ, ἃς ἀνέφερον τοῖς θεοῖς, ὡς αἰτίοις τῆς νί- κης. δέον δὲ εἰπεῖν ἱκετικῶς, ἱκέτης εἶπε πρὸς τὸ θιγ- γάνω. *ΠΡΩΤΟΛΕΙΑ*. κυρίως ἡ τῆς λείας ἀπαρχή· νῦν δὲ πρωτόλεια φησὶ τῆς ἱκεσίας τὴν ἀπαρχήν. καταχρηστι- κῶς δὲ πρωτόλεια φησὶ πάντα τὰ πρῶτα.

V. 373. *ΑΦΥΛΛΟΥ ΣΤΟΜΑΤΟΣ*. εἰώθασιν οἱ πα- λαιοὶ, ὅτε ἱκέτευον τοὺς ὑπερέχοντας, 10) φέρειν ἐν χερσὶ στέφανον ἐκ φύλλων, ἢ δάφνης, ἢ ἐλαίας. ὁ δὲ νοῦς τοι- οῦτος· πρὶν διηγήσομαι τὰ ἐμὰ κακὰ, ἅπτομαι τῶν σῶν γονάτων, ἐξάπτων καὶ φέρων παρακλήσεις ἐξ ἀφύλλου στόματος. τουτέστι μόνον διὰ λόγων δέομαι, καὶ οὐ προ- τείνω κλάδον, ὡς ἔθος. ἢ τὸ ἀφύλλου στόματος νοητέον ἀντὶ τοῦ καταξήρου ὑπὸ τῆς νόσου· περιαιρεθέντων γὰρ τῶν φύλλων ἐκ τῶν δένδρων, ξηρὰ τυγχάνει τὰ δένδρα. διατί δὲ ἐκ δάφνης ἢ ἐξ ἐλαίας προέτεινον φύλλα, καὶ οὐκ ἐξ ἄλ- λου φυτοῦ; φαμὲν, ὡς ἐπεὶ ταῦτα τὰ φυτὰ ἀειθαλῆ τυγ- χάνει καὶ ἱερά· ἡ μὲν γὰρ δάφνη τῷ Ἀπόλλωνι ὡς μαν-

9) In Gu. est καλῶς, sed λ in litura scriptum est atramento, reliqua, i. e. totum scholion, rubrica.

10) Gu. τοὺς ὑπάρχοντας. Idem omittit νοητέον, quod paulo post addunt Junt. Basil. Barn. post ἀφ. στόματος. Ex eodem or- dinem verborum immutavi in seqq. quum vulgo legeretur ἢ τὸ ἀφ. στόμ. ἀντὶ τοῦ καταξήρου νοητέον ὑπὸ τῆς ν.

τικῷ ἀνετίθετο, 1) ἡ δὲ ἐλαία τῇ Ἀθηνᾷ, ὡς καταδειξάσῃ πρώτῃ αὐτὴν ἐν Ἀθήναις. διὰ τοῦτο ἐξιλεοῦντο τούτοις μόνοις, καὶ οὐκ ἄλλοις τισὶ φυτοῖς. *ΑΦΥΛΛΟΥ ΣΤΟ- ΜΑΤΟΣ*. ὅτι τὴν φυλλάδα ἱκετεύοντες προὔτεινον, ὡς παρ' Ὁμήρῳ ὁ Χρύσης στέμματ' ἔχων ἐν χερσὶν ἑκη- βόλου Ἀπόλλωνος· ἢ κέκληται φυλλὰς, ἐπεὶ ἐκ φύλλου ἤτοι ἐλαίας, ἢ δάφνης, ἢ, ὥς τινες, τὸ ἐκ τούτων ἄνθος τῶν γονάτων ἐξάπτουσι τῶν ἱκετευομένων. ἐπεὶ οὖν ἔθος ἐστὶ τοῖς ἱκετεύουσι φυλλάδα προτείνειν, τούτῳ δὲ νῦν οὐ πάρε- στι, διὰ τοῦτο φησὶ τὴν ἐκ στόματος καὶ λόγων μόνων ἱκεσίαν ποιεῖσθαι. τὸ δὲ ἐξάπτων ἔφη παρόσον, οὓς ἱκέ- τευον, τούτοις παρετίθεσαν τὰς ἱκετηρίας. Ἀχαῖος Ἀζᾶσι· νῦν οὖν ἡμεῖς ἱκέται θαλλούς Τε θεῶν [γέρας] τίθεμεν πρὸ ποδῶν τῶν σῶν, Λῆξαι τῆς ἀστεροποῦ Ζηνὸς Θυσίας. τινὲς δὲ ἀφύλλου στόματος ἤκουσαν τοῦ κατεξηραμμένου διὰ τὴν νόσον, [ἀντὶ τοῦ ἄνευ ἱκετηρίας], ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἅτινα, μὴ ἔχοντα φύλλα, ὡς ἐπὶ τὸ πολὺ ξηρὰ εὑρίσκεται.

V. 375. *Ω ΘΕΟΙ*, τί βλέπω; τίνα τῶν νεκρῶν βλέ- πω; *Ω ΘΕΟΙ*. ἰδὼν ὁ Μενέλαος Ὀρέστην ταῦτα σχετλιά- ζων φησί. Fl. 21.

V. 376. *ΕΥ Γ' ΕΙΠΑΣ*, καλῶς ἔφης, ὅτι νεκρός εἰμι δηλονότι· οὐ γὰρ ζῶ ὑπὸ τῶν κακῶν, ὁρῶ δὲ φῶς. *ΕΥ Γ' ΕΙΠΑΣ*, ὅτι τίνα νερτέρων δέδορκας. Fl. 21. *ΟΥ ΓΑΡ ΖΩ*. οὐκ ἄλλο κέκτημαι τῶν ζώντων, εἰ μὴ μόνον τὸ ὁρᾶν τὸ φάος. Fl. 21.

V. 377. *ΩΣ ΗΓΡΙΩΣΑΙ*. λίαν ἠγριωμένος εἶ, ὦ τάλας, κατὰ τὸν πλόκαμον τὸν αὐχμηρὸν καὶ κατάξηρον. Τὸ *ΑΥΧΜΗΡΟΝ* ἑρμηνεία ἐστὶ τοῦ ἠγρίωσαι. Gu.

V. 378. *ΟΥΧ Η ΠΡΟΣΟΨΙΣ*. οὐχ ἡ θεωρία μα- στίζει ἐμὲ, ἀλλὰ τὰ ἔργα. τὸ οὐχ ἡ πρόσοψις οὐ πρὸς τὸν λόγον τοῦ μέσου τὸ ἠγρίωσαι ἐστὶν, ἀλλὰ πρὸς τὸ τίνα δέδορκα νερτέρων; *ΑΙΚΙΖΕΤΑΙ*, μαστίζει. (ἀφανίζει, λυπεῖ εἰς μνήμην ἰόντα.) Gu. φθείρει. Fl. 21.

1) ἀνετίθετο Gu. Vulgo ἀνατίθεται. In hoc cod. post hoc scholion statim sequitur: πρωτόλεια δὲ κυρίως, ut in Junt. Basil. Barn. quod, Kingium secutus, supra posui.

V. 379. *ΔΕΙΝΟΝ ΔΕ* καὶ ἄγριον βλέπεις ταῖς ξηραῖς καὶ ἀγρίαις κόραις τῶν ὀμμάτων. *ΔΕΙΝΟΝ*, χαλεπὸν, φοβερόν. Gu. *ΞΗΡΑΙΣ Κ.* τῶν γὰρ ἀΰπνων οἱ ὀφθαλμοὶ ξηροί. Gu.

V. 380. *ΤΟ ΣΩΜΑ ΦΡΟΥΔΟΝ* ἐστὶ δηλονότι, ἀντὶ τοῦ ἠφάνισται, [2]) τὸ δὲ ὄνομα, ἤτοι τὸ καλεῖσθαί με μητροκτόνον, οὐ λέλοιπέ με, ἀντὶ τοῦ οὐκ ἀφῆκεν ἐμέ. *ΤΟ ΣΩΜΑ ΦΡΟΥΔΟΝ.* ἐπεὶ ὁ Μενέλαος εἶπε πρὸς τὸν Ὀρέστην, ὅτι δεινὸν λεύσσεις ὀμμάτων ξηραῖς κόραις, ἀποκρινόμενος ὁ Ὀρέστης φησί· τί λέγεις; ἅπαν μου τὸ σῶμα ἀπολώλε, καὶ σὺ περὶ τῶν ὀμμάτων μόνον λόγον ποιεῖς;

V. 381. *Ω ΠΑΡΑΛΟΓΟΝ ΜΟΙ.* ὦ ἀμορφία σὴ, ἡ φανεῖσα ἐμοὶ παραλόγως καὶ παρ᾽ ἐλπίδα.

V. 382. *ΟΔ᾽ ΕΙΜΙ* φονεὺς τῆς ταλαιπώρου μητρός. *ΤΑΛΑΙΠΩΡΟΥ.* ἢ ὅτι μετανοεῖ ἀνελὼν αὐτὴν, ταλαίπωρον ἔφη, προςαγόμενος αὐτὴν εἰς ἔλεον, διὰ τὸ καθομολογεῖν τὴν ἀνοσίαν ἑαυτοῦ πρᾶξιν· οὐ γὰρ πρὸ πράξεως καὶ μετὰ τὴν πρᾶξιν οἱ αὐτοὶ τυγχάνομεν· ἢ ὑπομιμνήσκων αὐτὸν, ὅτι ἔκδικος τοῦ πατρὸς ὑπάρχει, ταλαίπωρος παρὰ τὴν πώρην, ὃ δηλοῖ τὸ πένθος. Ἀντίμαχος, Πώρη τοι ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος, ἀντὶ τοῦ πένθος λέγει.

V. 383. *ΗΚΟΥΣΑ.* ἀκήκοα· φείδου δὲ λέγειν, ἀντὶ τοῦ λέγε, τὰ κακὰ ὀλιγάκις. *ΦΕΙΔΟΥ Δ᾽ ΟΛΙΓΑΚΙΣ.* λείπει τὸ ὥςτε. ἤκουσα, ὥςτε φείδου λέγειν τὰ κακά, οἷον παραιτοῦ τὰ κακὰ πολλάκις λέγειν. ὀλιγάκις δὲ, ἀντὶ τοῦ οὐδ᾽ ὅλως, ὡς τὸ ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. (Il. ε΄, 800.) διὸ λέγειν ἀναγκάζεται ὁ Ὀρέστης, πλουσίως καὶ πολυτελῶς ἔχω τὰ κακά. *ΦΕΙΔΟΥ.* ἤγουν ἡ φειδὼ μὴ ἄλλη τις ἔστω σοι, ἢ τὸ λέγειν τὰ κακὰ ὀλιγάκις. *ΛΕΓΕΙΝ*, θέλε λέγειν, ἀντὶ τοῦ λέγε. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

V. 384. *ΦΕΙΔΟΜΕΘ᾽·* ἡ τύχη δὲ εἰς ἐμὲ πλούσιος, ἕνεκεν τῶν κακῶν. *ΦΕΙΔΟΜΕΘΑ*, συστελλόμεθα. Fl. 21.

2) ὑπερβολικῶς addit Gu. quod solum habent Florr. Verba: τὸ δὲ ὄν. — ἐμέ non habet Gu.

φείδομαι τὸ ἐλεῶ, τὸ ἀκριβολογοῦμαι καὶ τὸ ὑποστέλλομαι, ὡς ἐνταῦθα. Fl. 21.

V. 385. *ΤΙ ΧΡΗΜΑ.* τί ἐστὶ τὸ χρῆμα, ὃ πάσχεις; τίς νόσος ἀπόλλυσί σε;

V. 386. *Η ΣΥΝΕΣΙΣ*, ἀντὶ τοῦ ἡ συνείδησις, ὅτι σύνοιδα ἐμαυτῷ δηλονότι πεποιηκὼς δεινά. ἐγκαλοῦσι τινές· πῶς γὰρ, φησὶν, αἰτιᾶται τὴν σύνεσιν, τὸ πᾶν αἴτιον τῶν Ἐριννύων ἐχουσῶν· ἀγνοοῦσι δὲ, ὅτι ὑπὸ δισσῶν φησὶν ἀπόλλυσθαι, περὶ μὲν τὸν καιρὸν τῆς ὑγείας ὑπὸ τῆς συνειδήσεως, ἐν δὲ τῇ λύσσῃ ὑπὸ τῶν Ἐριννύων. ὃ καὶ ἐπάγει, μανίαι τε μητρὸς αἵματος, τῆς μητρὸς ἣν ὑφίσταμαι τιμωρίαν, ταύτην διδοὺς ὑπὸ τοῦ τῆς μητρὸς φόνου. Σύνοιδα δεινὰ εἰργασμένος, καὶ σύνοιδα ἐμαυτῷ δεινὰ εἰργασμένῳ. [3])

V. 387. *ΠΩΣ ΦΗΣ.* πῶς λέγεις; σοφὸν, ἤτοι συνετὸν καὶ φρόνιμον τὸ σαφὲς καὶ εὔγνωστον, οὐ τὸ μὴ σαφὲς καὶ τὸ ἄγνωστον. τοῦτο ἔμφασιν ἔχει, ὅτι μόνον τὸ σύνεσις ἤκουσε Μενέλαος, καὶ οὐ τὸ ὅτι σύνοιδα· τοῦτο γὰρ σαφέστατον ἐστὶ, τὸ δὲ σύνεσις μόνον ἔχει τὴν ἀσάφειαν. [4]) *ΣΟΦΟΝ ΤΟΙ.* διὰ τὸ μὴ πρὸς ἔπος ποιήσασθαι τὴν ἀπόκρισιν, τούτου ἕνεκα λέγει αὐτὸν ἀσαφῶς εἰρηκέναι, ἐπεὶ αὐτὸς μὲν τὴν ἰδέαν ἐπύθετο τῆς νόσου, ὁ δὲ τὸ συνειδὸς ἔφη· τοῦτο δὲ οὐ πάντως νόσος. τούτου χάριν φησὶν ἀσαφῶς εἰρηκέναι. τίς οὖν ἡ ἀπὸ τῆς συνειδήσεως νόσος; ἡ λύπη, ὡς ἑξῆς λέγει, ὅτι σύνοιδα δεινὰ εἰργασμένος. μετὰ γὰρ τὴν μανίαν ἡ ἔννοια τῶν κακῶν αὐτὸν ἐδάμαζεν.

V. 388. *ΛΥΠΗ* μάλιστά ἐστιν ἡ διαφθείρουσά με.

V. 389. *ΔΕΙΝΗ ΓΑΡ.* ἰσχυρὰ γὰρ καὶ χαλεπὴ ἡ θεὸς, ἤτοι ἡ λύπη, ἀλλ᾽ ὅμως ἰάσιμος, ἤτοι δυναμένη θε-

3) King. haec ita ordinavit: ὅτι σύνοιδα δ. εἰργ.] εγκαλοῦσι — φόνου. tum τοῦτο ἔμφ. ἔχ. — ἀσάφειαν, post μετὰ γὰρ τὴν μ. (ad v. 387. fin.) — ἐδάμαζεν. σύνοιδα — εἰργασμένῳ. 397. Σοφόν τοι] διὰ τὸ μὴ — εἰρηκέναι. Ἄλλως. ἐπεὶ αὐτός — ὡς ἑξῆς λέγει. Ego ordinem Junt. Basil. servavi, nisi quod vv. σύνοιδα — εἰργασμένῳ versui 386. adscripsi, ad quem referuntur in Gu.

4) Hoc scholion in edit. ad vv. ἡ σύνεσις vs. 386. refertur, in Gu. rectius ad vv. σοφόν τοι. Ex eo τὸ ante σύνεσις recepi.

ῥαπευθῆναι. *ΘΕΟΣ.* θεὸν καλεῖ τὴν λύπην· πάντα γὰρ τὰ πράγματα παρὰ τοῖς παλαιοῖς εἶχον θεούς. Fl. 21.

V. 390. *ΜΑΝΙΑΙ ΤΕ.* καὶ αἱ μανίαι, διαφθείρουσιν ἐμὲ δηλονότι, καὶ αἱ τιμωρίαι καὶ ἐκδικήσεις τοῦ φόνου [5]) τῆς μητρός.

V. 391. *ΗΡΞΩ.* ἤρξω δὲ πότε τῆς λύσσης, ἤτοι τῆς μανίας; τίς ἡμέρα ἦν τότε; *ΗΡΞΩ ΔΕ ΛΥΣΣΗΣ.* καὶ τοῦτο πονηρῶς· θέλων γὰρ ἐξελέγξαι τὸν ἀνεψιὸν ὡς θεομισῆ, φησὶν, ἤρξω δὲ λύσσης πότε. θέλει δὲ μαθεῖν, εἰ χρόνιόν ἐστι τὸ νόσημα καὶ δυσίατον. [6]) ὁ δὲ φησὶν, ἐν ᾗ ἡμέρᾳ τὸ τῆς μητρὸς μνῆμα ἐξώγκουν.

V. 392. *ΕΝ Ηι ΤΑΛΑΙΝΑΝ.* ἐν ᾗ, ἡμέρᾳ δηλονότι, ἐξώγκουν τὴν τάλαιναν μητέρα τάφῳ, ἀντιστρόφως, ἀντὶ τοῦ ἐν ᾗ ἐξώγκουν τὸν τάφον τῆς ταλαίνης μητρός. *ΕΞΩΓΚΟΥΝ,* κατεχώννυον, ἐκάλυπτον. (ἐτίμων add. Gu.) εἰκότως εἶπε τὸ ἐξώγκουν· οἱ γὰρ τῶν παλαιῶν τάφοι συναγωγὴ χωμάτων ἦσαν εἰς ὕψος διήκουσα, βουνῷ ἐοικυῖα. ὅθεν καὶ μέχρι τοῦ νῦν τύμβον ταύτην κατονομάζουσιν. *ΕΞΩΓΚΟΥΝ,* τῷ χώματι ὑπέβαλον. Fl. 10.

V. 393 sq. *ΠΟΤΕΡΑ ΚΑΤ' ΟΙΚΟΥΣ.* ἆρα κατὰ τοὺς οἴκους ἤρξω, τῆς λύσσης δηλονότι, ἢ παρακαθήμενος τῇ πυρᾷ; ἀπὸ κοινοῦ τὸ ἤρξω· τουτέστιν ἐν ποίᾳ ἡμέρᾳ ἤρξω, καὶ ἐν ποίῳ τόπῳ; κακοήθως δὲ καὶ τοῦτο. ὁ δὲ φιλαλήθως λέγει, κατὰ τὴν νύκτα πέπονθα τηρῶν τὴν ἀναίρεσιν καὶ τὴν ἀνάληψιν τῶν ὀστέων, τουτέστιν ἵνα μή τις ἀφέληται ταῦτα. *ΠΥΡΑι,* τῷ τάφῳ. (τῇ τοῦ σώματος αὐτῆς καύσει.) Gu.

V. 394. *ΦΥΛ. ΟΣΤ. ΑΝΑΙΡ.* ἤγουν πότε τὸ σῶμα ἀναλωθὲν ἡμεῖς τὰ ὀστᾶ λάβωμεν· ἢ ἀναίρεσιν ἀντὶ τοῦ φθορὰν, ἤγουν σκοπῶν, μὴ τὰ ὀστᾶ φθαρῇ τῷ πυρί. Gu. *ΑΝΑΙΡΕΣΙΝ,* ἤγουν ἀνακομιδὴν, ἀνάληψιν, συλλογήν. Gu.

V. 395. *ΠΑΡΗΝ ΤΙΣ ΑΛΛΟΣ·* ὅς ἀνώρθου τὸ σὸν σῶμα, σφαλλόμενον δηλονότι ὑπὸ τῆς μανίας; *ΩΡΘΟΥΕΝ,*

5) τοῦ φόνου e Gu. addidi.

6) Brevius Flor. 10. κακοήθως καὶ τοῦτο ἐξετάζει, ἵνα εἴσεται, εἰ χρόνιον ἐστὶ καὶ ἰάσιμον τὸ νόσημα.

ἐπεμελεῖτο. Fl. 33. ἐνοσοκόμει. Fl. 10. ἐκυβέρνα. Gu.

V. 396. *ΠΥΛΑΔΗΣ,* ναὶ Πυλάδης, ὁ συνδρῶν, ἐμοὶ δηλονότι, τὸ αἷμα καὶ τὸν φόνον τῆς μητρὸς, ἐκ παραλλήλου.

V. 397. *ΦΑΝΤΑΣΜΑΤΩΝ.* ὑπὸ ποίων δὲ φασμάτων νοσεῖς τάδε; (ἤγουν τίς φαντασία ποιεῖ σε νοσεῖν ταῦτα ἃ νοσεῖς; Fl. 21.)

V. 398. *ΕΔΟΞ'.* ἐνόμισα ἰδεῖν τρεῖς κόρας ὁμοίας νυκτί. (ἤγουν μελαίνας add. Gu. Florr.)

V. 399. *ΟΙΔ', ΑΣ ΕΛ.* Οἶδα, ἃς ἔλεξας, οὐ βούλομαι δὲ ὀνομάσαι καὶ εἰπεῖν.

V. 400. *ΣΕΜΝΑΙ ΓΑΡ.* ἀποτρέπου λέγειν ἀπαίδευτα, ἤγουν τοῦ μέμφεσθαι αὐτὰς ἀφίστασο· σεμναὶ γὰρ καὶ σεβάσμιαι εἰσί. *ΑΠΑΙΔΕΥΤΑ.* ἀπαίδευτος ἐστὶν ὁ ἐνταῦθα γράφων ἀπαίδευτα, καὶ τῶν μέτρων παντάπασιν ἀμαθής. σὺ δ' εἰ βούλει μὴ ἀπαίδευτος εἶναι, ἀπαίδευτον ἑνικῶς γράφε· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. Ἄλλως. *ΑΠΑΙΔΕΥΤΑ.* ἀντὶ τοῦ ἀπαιδεύτως φυλάττου ὀνομάζειν αὐτάς. πῶς δὲ ἀπαιδεύτως, καλῶν αὐτὰς Ἐριννύας; Ἄλλως. *ΑΠΑΙΔΕΥΤΑ* κατὰ ἀντίφρασιν ἀντὶ τοῦ ἀπαιδεύτως. ἢ οὕτως· ἀπαιδεύτως δὲ ποιεῖς, ὀνομάζειν ταύτας Ἐριννύας παραιτούμενος.

V. 401. *ΑΥΤΑΙ Σ' ΕΚΒΑΚΧΕΥΟΥΣΙΝ.* ἤτοι ἐκμαίνουσι καὶ ταράττουσι σὲ τῷ συγγενεῖ φόνῳ, ἤτοι διὰ τὸν φόνον τῆς μητρός. κακοήθως (κακόηθες) δὲ, τῷ ὀνόματι χρήσασθαι τῆς μανίας· κακόηθες δὲ καὶ τὸ ὑπομιμνήσκειν αὐτὸν τοῦ φόνου τῆς μητρός. ἤρκει γὰρ εἰπεῖν, αὗται σ' ἐκβακχεύουσιν. ὁμοίως δὲ καὶ τὸ εἰπεῖν οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους, γυμνὸν γίνεται τὸ κακόηθες Μενελάου· κατέκρινε γὰρ αὐτοῦ χωρὶς κρίσεως.

V. 402. *ΟΙΜΟΙ.* οἴμοι ἕνεκα τῶν διωγμῶν, ὑφ' ὧν ἐλαύνομαι ὁ τάλας.

V. 403. *ΟΥ ΔΕΙΝΟΝ.* ἤτοι θαυμαστὸν, πάσχειν χαλεπὰ τοὺς πεποιηκότας δεινά.

V. 404. *ΑΛΛ' ΕΣΤΙΝ ΗΜΙΝ ΑΝΑΦΟΡΑ,* καὶ μετάθεσις τῆς ξυμφορᾶς καὶ τοῦ συμβεβηκότος. Ἄλλως. τὸ ἑξῆς οὕτως· ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς, ὁ Φοῖβος, κελεύσας τὸν τῆς μητρὸς διαπράξασθαι φόνον. ὁ δὲ

Μενέλαος, διακόψας τὸν λόγον φησὶ, μὴ εἴπης τὸν τοῦ πατρὸς δηλονότι· ὑπελάμβανε γὰρ τοῦτο βούλεσθαι προτείνειν αὐτόν. 7) Ἄλλως. ὁ μὲν οὖν Ὀρέστης διὰ τὸν Ἀπόλλωνα εἶπεν, ὡς κελεύσαντα τὸν φόνον, τὸ ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς, τουτέστιν εἰς Ἀπόλλωνα ἀναφέρομεν τὴν αἰτίαν τῶν παρόντων. ὁ δὲ Μενέλαος οἰόμενος αὐτὸν λέγειν τὸν τοῦ πατρὸς θάνατον, ἐκκλείων (ἐκλύων Gu.) αὐτὸν τῆς ἀπολογίας φησί· μὴ τὸν θάνατον τοῦ πατρὸς λέγε, ὡς δι' ἐκεῖνον τὴν μητέρα ἀποκτείνας εἰς τὰ παρόντα ἐμπέπτωκας.

V. 404—410. *ΑΛΛ' ΕΣΤΙΝ ΗΜΙΝ.* ἐπεὶ εἶπεν ὁ Μενέλαος, οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους, καὶ κατέκρινεν αὐτοῦ χωρὶς κρίσεως, ὁ Ὀρέστης φησίν· ἀλλ' ἔστιν ἡμῖν τοῦ συμβάντος πράγματος ἀναφορὰ, οἷον δυνάμεθα τῆς συμβάσης τύχης τὴν αἰτίαν ἀναγαγεῖν εἴς τινα, ὥστε μὴ εἶναι ἡμᾶς αἰτίους δεινῶν πράξεων. εἶτα ὁ Μενέλαος· Μὴ θάνατον εἴπης τοῦ πατρός. τοῦτο γὰρ οὐ σοφόν. εἰ γὰρ καὶ διὰ τὸν πατέρα ἀνεῖλες τὴν μητέρα, δεινὰ πέπραγας· σὺ γὰρ οὐκ ὤφειλες θάνατον ἐπαγαγεῖν τῇ μητρὶ, ἀλλ' ἡ δημοσία κρίσις. εἶτα ὁ Ὀρέστης λέγων, ὅτι Ἀπόλλων ἔκρινε, καὶ διὰ τοῦτο οὐ δεινὰ διεπραξάμην, εἴγε θεὸς ὁ κρίνας καὶ κελεύσας, εἶτα Μενέλαος· ἀμαθὴς ὢν τοῦτο τὸ δεινὸν ἔκρινεν. εἶτα Ὀρέστης· εἴτε ἀμαθεῖς, εἴτε σοφοί εἰσιν οἱ θεοὶ, οὐκ οἶδα. τοῦτο δὲ οἶδα, ὅτι δουλεύομεν καὶ πειθόμεθα αὐτοῖς, ὁποῖοι ἂν εἰσίν. εἶτα ὁ Μενέλαος· εἰ αὐτός σοι ἐκέλευσε, πῶς οὐκ ἐλεεῖ νοσοῦντα καὶ μαινόμενον; εἶτα Ὀρέστης· ἴσως ἐλεήσει· ἀεὶ γὰρ βραδύνει τὸ θεῖον.

V. 405. *ΜΗ ΘΑΝΑΤΟΝ.* ὅρα ἵνα μὴ εἴπης τὸν θάνατον, τοῦ πατρὸς δηλονότι. τοῦτο γὰρ οὐ φρόνιμον. ὁ μὲν τὸν Ἀπόλλωνα ᾐνίξατο αἴτιον τῆς μανίας· ὁ δὲ ᾤετο τὸν τοῦ πατρὸς λέγειν θάνατον. ἐκκλείων οὖν αὐτὸν ἀπολογίας φησὶ, μὴ λέγε τὸν θάνατον τοῦ πατρὸς, μηδὲ αὐτὸς ἁμαρτήσας εἰς τὸν πατέρα ἀνάφερε τὴν ἁμαρτίαν. εὔηθες γὰρ τὸ αὐτόν τινα ἁμαρτάνοντα ἄλλοις παρατιθέναι τὴν ἁμαρτίαν.

V. 406. *ΦΟΙΒΟΣ ΚΕΛΕΥΣΑΣ.* ὁ Ἀπόλλων κελεύσας ἐκπρᾶξαι, ἀντὶ τοῦ διαπράξασθαι, τὸν φόνον τῆς

7) αὐτὸν addunt Gu. Florr. 6. 9. 17. 21. 56. 59. 76.

μητρός. *ΦΟΙΒΟΣ.* οὐ τοῦτο βούλομαι εἰπεῖν δηλονότι, ἀλλ' ὁ Φοῖβος. Fl. 21.

V. 407. *ΑΜΑΘΕΣΤΕΡΟΣ ΩΝ.* εἰ τοῦτο ἐκέλευσε, φησὶν, ἀμαθής ἐστιν· ἵνα ἐκ τοῦ ἐναντίου δηλώσῃ, ὅτι οὐκ ἐκέλευσεν ὁ θεός· οὐ γάρ ἐστιν ὁ θεὸς ἀμαθής. Ἄλλως. Μετὰ συλλογισμοῦ τοῦτο ἔδειξεν, ὅτι οὐκ ἀμαθὴς ὁ θεὸς, δῆλον ὅτι οὐδὲ προσέταξε τοῦτο ποιεῖν. Ἄλλως. Θέλει ἐνταῦθα δεῖξαι ὁ Μενέλαος τῷ Ὀρέστῃ, ὅτι οὐχ ὁ Ἀπόλλων προσέταξεν αὐτῷ τὸν τῆς μητρὸς φόνον, ἀλλ', οἴκοθεν ἐργασάμενος τοῦτον, ἐπειδὴ 8) δυστυχεῖ, προβάλλεται τὸν Ἀπόλλωνα. ἐδήλωσε δὲ τοῦτο διὰ τοῦ εἰπεῖν ἀμαθέστερος ὤν. πρὸς ὃ Ὀρέστης ἀπαντᾷ λέγων, ὑποτασσόμεθα τοῖς θεοῖς, ὅ τι περ ἄρα εἰσὶν, εἴτε ἀμαθεῖς, εἴτε μή.

V. 408. *ΔΟΥΛΕΥΟΜΕΝ.* δουλεύομεν θεοῖς ἀνθρώπων ἔχουσι 9) τὴν μορφὴν, ἢ ὁποίας ὦσι δυνάμεως ἢ κρίσεως, δουλεύομεν αὐτοῖς. τοῦτο δὲ πρὸς τὸ ἀμαθέστερός γ' ὤν.

V. 409 sqq. *ΚΑιΤ' ΟΥΚ ΑΜΥΝΕΙ.* καὶ εἶτα οὐ βοηθεῖ ὁ Ἀπόλλων τοῖς σοῖς κακοῖς. πανοῦργος πᾶσα ἡ ἐρώτησις· ὁ μὲν γάρ φησιν, ὁ Ἀπόλλων μοι ἐκέλευσεν ἀνελεῖν τὴν μητέρα, ὁ δὲ ἀντεπάγει, καὶ πῶς ὁ κελεύσας ἀνελεῖν τὴν μητέρα οὐκ ἐλεεῖ σε μαινόμενον; τοῦ δὲ εἰπόντος, ὅτι μελλητικόν ἐστι τὸ θεῖον, πάλιν ὁ Μενέλαος φησὶ, πῶς οὖν αἱ Ἐριννύες ταχέως μετῆλθον; οὐκ εἰσὶ καὶ αὗται θεαί; ἐλέγχει δὲ αὐτὸν ὡς καταψευδόμενον. *ΑΜΥΝΕΙ*, ἐκδικεῖ. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. συνεργεῖ. Fl. 53.

V. 410. *ΜΕΛΛΕΙ* βοηθῆσαι, ἢ μέλλει ἀντὶ τοῦ βραδύνει· τὸ θεῖον γάρ ἐστι φύσει τοιοῦτον, ἤγουν βραδὺ, τουτέστι μακρόθυμον. *ΜΕΛΛΕΙ.* καὶ πρὸς βοήθειαν, καὶ πρὸς κόλασιν· πρὸς μὲν τὴν βοήθειαν, ἵνα δοκίμιον λήψηται τῆς προαιρέσεως τῶν τῆς βοηθείας αὐτοῦ ἀπολαύσειν μελλόντων· πρὸς δὲ κόλασιν, ἵνα τῷ χρόνῳ ἐπανάξῃ αὐτοὺς πρὸς ἃ δεῖ.

V. 411. *ΠΟΣΟΝ.* ἐπὶ πόσον δὲ χρόνον οἴχονται, καὶ

8) ἐπειδή. Sic Gu. Vulgo ἐπεὶ δὲ δ.

9) ἔχουσι Barn. King. Musgr. ἐχόντων Junt. Bas.

ἐφθαρμέναι εἰσὶν, αἱ πνοαὶ, ἤτοι αἱ ζωτικαὶ δυνάμεις καὶ ἐνέργειαι, τῆς μητρός; ΠΟΣΟΝ ΧΡΟΝΟΝ. ἐχρῆν εἰπεῖν πόσῳ χρόνῳ. τὸ μητρὸς κακοήθως καὶ δυςωπητικῶς· καὶ διὰ τοῦ εἰπεῖν δὲ, ὡς ταχὺ μετῆλθόν σε, ἐλέγχει αὐτὸν ὡς ἀθέως πεπραχότα τὸν φόνον, ὅπου γε αἱ μὲν Ἐριννύες εὐθέως τῇ μητρὶ συνεμάχησαν, ὁ δὲ Ἀπόλλων ἀναβάλλεται τὴν συμμαχίαν. ἡ ἀνθυποφορά ἐστι τοῦ εἰρημένου ὑπὸ Ὀρέστου· τὸ θεῖον ἐστὶ τοιοῦτον φύσει.

V. 412. *ΕΚΤΟΝ ΤΟΔ᾽ ΗΜΑΡ*. ἤτοι ἓξ ἡμέραι εἰσὶν, ἐξ οὗ ἐφθάρησαν δηλονότι, ἔτι ἡ πυρὰ τοῦ τάφου θερμὴ, ἤτοι ὁ τόπος, ἐν ᾧ ἐκάη τὸ σῶμα.

V. 413. *ΩΣ ΤΑΧΥ*. λίαν ταχέως ἐτιμωρήσαντό σε αἱ θεαὶ, διὰ τὸν φόνον τῆς μητρός. *ΜΕΤΗΛΘΟΝ*. τὸ μετῆλθον εἰ μὲν ἀντὶ τοῦ ἐτιμωρήσαντο εἴποις, εὐθεῖαν τὸ αἷμα νοήσεις, οὕτω λίαν ταχὺ ἐτιμωρήσαντό σε αἱ θεαὶ καὶ τὸ αἷμα καὶ ὁ φόνος τῆς μητρός· εἰ δὲ ἀντὶ τοῦ ἀπήτησαν, αἰτιατικὴν οὕτω, λίαν ταχέως [10]) ἀπήτησάν σε αἱ θεαὶ τὸ αἷμα καὶ τὸν φόνον τῆς μητρός. *ΩΣ ΤΑΧΥ*. λίαν ταχέως, ἤγουν τάχιστα ἐτιμωρήσαντό σε διὰ τὸν φόνον τῆς μητρός. *ΑΙΜΑ ΜΑΤ*. ἀντὶ τοῦ ἕνεκεν τοῦ αἵματος. Fl. 21.

V. 414. *ΟΥ ΣΟΦΟΣ*. ἀντὶ τοῦ σοφιστὴς, ἤτοι ἀπατεών, ἀληθὴς δὲ καὶ φανερὸς κακὸς, ἔφυς κατὰ κοινοῦ, εἰς τοὺς φίλους. Ἄλλως. Οὐ σοφὸς εἶ, διαῤῥήδην μοι ὀνειδίζων τῆς μητρὸς τὸ αἷμα, ἀληθὴς δέ· ἀληθῆ γὰρ λέγει διὰ τὸν φόνον τῆς μητρὸς ἀμύνασθαι αὐτὸν τὰς Ἐριννύας. Ἄλλως. Ὀνειδίζοντος Μενελάου, Ὀρέστης φησὶ πρὸς αὐτόν· ἐπεὶ διαῤῥήδην ἡμᾶς ὀνειδίζεις, οὐ σοφὸς εἶ, ἀληθὴς δὲ κακός· ἀληθὴς μὲν, ὡς οὐδὲν ὧν κατ᾽ ἐμοῦ λέγεις, ψευδῶς λέγων, [1]) κακὸς δὲ, ὡς ἐναργῶς ὀνειδίζων. ἐχρῆν γάρ σε χρωματίζοντα τοὺς λόγους ἐκφέρειν πρὸς παραμυθίαν, ἀλλ᾽ οὐ πρὸς λύπην. *ΟΥ ΣΟΦΟΣ*, εἶ δηλονότι, ἤγουν ἐπιτήδειος. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

10) ταχέως e Gu. accessit.

1) Gu. ἀληθὴς μὲν, ὡς οὐδὲν κατ᾽ ἐμοῦ λέγων ψευδῶς· ἀληθεύεις γὰρ διὰ τὸν φόνον λέγων ἀμύνεσθαι τὰς Ἐριννύας ἐμέ. Idem in fine post λύπην addit: εἴπερ σοφὸς ἦσθα κακός (fors. καὶ οὐ κακός).

πανοῦργος, ὡς σχηματίζεσθαι μὲν φιλίαν, τὰ τῶν ἐχθρῶν δὲ φρονεῖν. Gu. m. sec. Fl. 6.

V. 415. *ΠΑΤΡΟΣ*. τοῦ πατρὸς δὲ ἡ τιμωρία καὶ ἡ ἐκδίκησις κατὰ τί ὠφελεῖ σε; ἐν ἐρωτήσει ὁ λόγος, ὠφελεῖ τί σε ἡ εἰς τὸν πατέρα γινομένη ἐκδίκησις; ἢ οὕτως, οὐ προέστη σοι ὁ πατὴρ, ὥςτε ἀποσοβῆσαι τὰς Ἐριννύας; Ἄλλως. Τῆς ἀναιρέσεως τοῦ πατρὸς τιμωρίαν σοῦ λαμβάνοντος τὸ φονεῦσαι τὴν μητέρα, τίς δύναται συνάρασθαί σοι πρὸς τὸ μηδὲν παθεῖν, ὡς φονέα. *ΠΑΤΡΟΣ ΔΕ*. οἱ Ἀττικοὶ προπαροξυτονοῦσι μόνον τοῦτο, τιμωρία. τὸ δέ τις ἄμεινον βαρύνειν δή τίς. Fl. 21.

V. 416. *ΟΥΠΩ*. οὔπω, ὠφέλησε δηλονότι· τὸ μέλλον δὲ λέγω ἴσον ἀπραξίᾳ καὶ ἀποτυχίᾳ. *ΤΟ ΜΕΛΛΟΝ*. μέλλει δὲ ὠφελήσειν δηλονότι. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ βραδυσμόν. Fl. 10. τὸ βραδύνειν. Gu. m. sec. *ΑΠΡΑΞΙΑι*, ἀργίᾳ. Gu. m. pr. Fl. 6. 9. 17. 34. 56. 59. 76. ἀργὸν τὸ δῶρον, ματαία ἡ χάρις. Fl. 59.

V. 417. *ΤΑ ΠΡΟΣ ΠΟΛΙΝ* δὲ πῶς διάκεισαι δράσας τάδε; ἤγουν πῶς διάκεινται οἱ πολῖται πρὸς (περὶ Gu.) σὲ, τὸν τῆς μητρὸς ἐργασάμενον φόνον. *ΤΑ ΠΡΟΣ ΠΟΛΙΝ*. πονήρως πάλιν ἐρωτᾷ, ἵνα, εἰ μὲν εὐμενεῖς ἔχει τοὺς πολίτας, ἀφέξεται τῆς ἐπιχειρήσεως, εἰ δὲ ἐχθαίροντας, [2]) ἐπιθέμενος κρατήσῃ.

V. 418. *ΜΙΣΟΥΜΕΘ᾽*. Οὕτω μισούμεθα, ὥςτε μὴ προςαγορεύειν ἡμᾶς τινά.

V. 419. *ΟΥΔ᾽ ΗΓΝΙΣΑΙ*. οὐδὲ ἐκαθάρθης κατὰ τοὺς νόμους τὸ σὸν αἷμα, ἀντὶ τοῦ τὸ αἷμα καὶ τὸν φόνον τῶν σῶν χειρῶν; νόμος γὰρ ἦν ἀποκαθαίρεσθαι τὸν ἐμφύλιον δράσαντα φόνον. ὁ δὲ νοῦς. οὐκ ἐκαθάρθης ἀπὸ τοῦ ὑπὸ σοῦ πεπραγμένου φόνου; ἢ σὸν αἷμα ἀντὶ τοῦ συγγενικοῦ. *ΟΥΔ᾽ ΗΓΝΙΣΑΙ*. οὐκ ἐκαθάρθης εἰς τὸν φόνον, ὃν ἐποίησας, καθώς ἐστι νόμος καθαίρεσθαι τοὺς φονεῖς τὰς χεῖρας τὰς ἐργασαμένας τὸν φόνον. Gu.

V. 420. *ΕΚΚΛΕΙΟΜΑΙ*. οὐδαμῶς ἥγνισμαι· ἐκκλείομαι γὰρ τῶν δωμάτων, ἤτοι ἔξω κλείομαι, οὐκ ἐῶμαι εἰς-

2) Barn. King. Musgr. ἀφέξηται et ἐχθραίνοντας pro ἐχθραίροντας quod erat in Junt. et Basil.

ἐλθεῖν ὅπη μόλω, καὶ ἔλθω, ἐπὶ τὸ ἁγνισθῆναι δηλονότι. ΕΚΚΛΕΙΟΜΑΙ. ἐκβάλλεται ὁ ἔνδον ὤν, ἐκκλείεται δὲ ὁ μὴ εἰσελθεῖν συγχωρούμενος.

V. 421. ΤΙΝΕΣ ΠΟΛΙΤΩΝ. τίνες πολῖται ἁμιλλῶνται, ἤτοι ἐκβαλεῖν σε τῆς γῆς σπουδάζουσιν. ΕΞΑΜΙΛΛΩΝΤΑΙ, διώκουσιν, ἐκβαλεῖν τῆς γῆς σπεύδουσιν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀντὶ τοῦ φιλονεικοῦσιν ἐκβάλλειν σε ἐκ τῆς γῆς σπουδάζοντες. Fl. 21. ἐξελαύνουσι. Gu. m. 2. ἐκβάλλουσι. Fl. 34. ἀποπέμπουσι. Fl. 35.

V. 422. ΟΙΑΞ. ὁ Οἴαξ ἀναφέρων καὶ ἀνατιθεὶς τῷ πατρὶ τῷ ἐμῷ δηλονότι, τὸ μῖσος τῆς Τροίας, τὸ ἐπὶ Τροίᾳ μῖσος τοῦ πατρὸς ἀναφέρων εἰς ἐμέ. ΟΙΑΞ. [3]) Ναυπλίου καὶ Κλυμένης τῆς Ἀτρέως ἐγένοντο Οἴαξ καὶ Παλαμήδης. ὁ δὲ Παλαμήδης ἀπελθὼν εἰς Τροίαν τὰ μέγιστα ὤνησε τὸν Ἑλληνικὸν στρατόν· λιμωττόντων γὰρ ἐν Αὐλίδι, καὶ περὶ τὴν διανομὴν τοῦ σίτου δυσχεραινόντων τε καὶ στασιαζόντων, πρῶτον μὲν τὰ Φοινίκια διδάξας ἦγεν αὐτοῖς, ἴσην τε καὶ ἀνεπίληπτον τὴν διανομὴν ἐν τούτοις ἐπραγματεύσατο. ἔπειτα καὶ περὶ κύβους ἔτρεψεν αὐτῶν ὀλιγωρίαν· καὶ μέτρα ἐξεῦρε, καὶ ψῆφον, ὥστε μέγα σχεῖν ὄνομα παρὰ τοῖς Ἕλλησι. τούτῳ δὲ φθονήσαντες οἱ περὶ τὸν Ἀγαμέμνονα καὶ Ὀδυσσέα καὶ Διομήδη, τοιόνδε τι σκαιωροῦσι κατ' αὐτοῦ· λαβόντες γὰρ Φρύγα αἰχμάλωτον, χρυσίον κομίζοντα Σαρπηδόνι, ἠνάγκασαν γράψαι Φρυγίοις γράμμασι περὶ προδοσίας, ὡς παρὰ Πριάμου πρὸς Παλαμήδην. καὶ τοῦτον μὲν φονεύουσι, θεράποντα δὲ Παλαμήδους πείθουσι χρήμασιν, ἅμα τοῖς Τρωϊκοῖς χρήμασι καὶ τὸ γραφὲν πινάκιον ὑπὸ τὴν κλίνην θέσθαι Παλαμήδους. αὐτοὶ δὲ παρελθόντες, προδοσίαν κατήγγελον τοῦ ἥρωος, καὶ φωραθῆναι τὴν σκηνὴν ἐκέλευον. εὑρεθέντος δὲ τοῦ πινακίου καὶ τῶν χρημάτων ὑπὸ τὴν κλίνην, λίθοις φονεύεται ὁ Παλαμήδης. Ναύπλιος δὲ ἀκούσας, ἦλθεν εἰς Ἴλιον, δικάσαι τὸν φόνον τοῦ παιδός. τῶν δὲ Ἑλλήνων κατολιγωρούντων αὐτοῦ πρὸς τὸ κεχαρισμένον τοῖς βασιλεῦσιν, ἀποπλεύσας εἰς τὴν πατρίδα, καὶ πυθόμενος ἀποπλεῖν τοὺς Ἕλληνας, ἧκεν εἰς Εὔβοιαν. καὶ χειμῶνα φυλάξας, φρυκτωρίας ἧψε περὶ τὰς ἀκτὰς τῆς Εὐβοίας. οἱ δὲ εὐεπίβατον νομίσαντες τὸν τόπον, προσορμίζονταί τε καὶ ἐν ταῖς πέτραις ἀπόλλυνται πάμπολλοι. Παλαμήδους θάνατον οἱ μὲν πρὸς Γεραιστῷ, οἱ δὲ ἐν Τενέδῳ, οἱ δὲ ἐν Κολωνοῖς τῆς Τρωάδος ὑποτίθενται. φασὶ δὲ αὐτὸν εὑρεῖν φρυκτωρίας καὶ μέτρα καὶ σταθμοὺς καὶ πεττείας καὶ γράμματα καὶ φυλακὰς καὶ δίσκους καὶ ἀστραγάλους. Ἄλλως. Οἴαξ ἀδελφὸς ἦν Παλαμήδους, ὃς καὶ εἰς τὴν Τροίαν μετὰ τῶν Ἑλλήνων ἐστράτευσε, καὶ θαυμασθεὶς ὡς οὐδεὶς τῶν πώποτε γενομένων ἐπὶ σοφίᾳ, [4]) φθονηθεὶς ὑπὸ Ὀδυσσέως καὶ Διομήδους καὶ Ἀγαμέμνονος ἀνῃρέθη λίθοις, ἀνθ' ὧν ὁ ἀδελφὸς αὐτοῦ Οἴαξ ἀμυνόμενος Ἀγαμέμνονα, — τοῦτο γάρ ἐστι τὸ τῆς Τροίας μῖσος ἀναφέρων πατρί, — συναγωνίζεται τὸν κατὰ τοῦ Ὀρέστου θάνατον. διὸ καὶ Ὀρέστης ἐρωτηθεὶς ὑπὸ Μενελάου, τίς ἐστιν ὁ διώκων αὐτόν, Οἴαξ φησίν. οὗτος ὁ Παλαμήδης λέγεται εὑρηκέναι ιζ γράμματα μήπω τότε ὄντα, ἀλλὰ Φοινίκων γράμμασιν ἐχρῶντο οἱ ἄνθρωποι,

3) In Gu. hoc scholion post sequens adscriptum est, sed aliis verbis: ἡ τοῦ Παλαμήδους ἱστορία πλατυκώτερον καὶ ἀκριβέστερον οὕτως ἔχει· Ναυπλίου — Παλαμήδης· ὃς ἀπ. εἰς Τρ. μέγ. ὤν. τὸν Ἑ. λαόν· λιμώττοντας γὰρ παρεμυθήσατο, γράμματ' ἐξευρὼν καὶ κύβους καὶ ἄλλά τα (sic. an: καὶ τὰ ἄλλα) παίγνια, ἐν οἷς σφᾶς αὐτοὺς τρέποντες διέφερον τὴν ἔνδειαν, ὥστε διὰ ταῦτα τὸν Παλαμήδην μέγα σχεῖν ὄνομα. φθονήσαντες δὲ τούτῳ οἱ περὶ Ὀδ. καὶ Διομ. καὶ Ἀγ. τοιόνδε σκ. κατ' αὐτοῦ· λαβόντες — φονεύουσι, θερ. δὲ Παλ. πείθουσι τά τε χρήματα καὶ τὴν συσκευασθεῖσαν ταύτην γραφὴν ὑπὸ τὴν κλ. θ. Π. αὐτοὶ δὲ παρ. εἰς τὸ στρατόπεδον προδ. κατ. τοῦ ἥρ. καὶ φωρ. ταῦτα κατὰ τὴν σκηνὴν διετείνοντο. εὑρεθέντων δὲ τῶν χρημάτων καὶ τῆς γραφῆς ὑπὸ τὴν κλ. λιθ. φον. Π. ὃς ὅτε ἔθνησκεν ἔφη· χαῖρ' ἀλήθεια κυδρή· προέθανες γὰρ ἐμοῦ. Ναύπλιος — βασιλεῦσιν, ἀπῆλθεν ἄπρακτος. καὶ πρότερον μὲν περιπλέων τὰ Ἑλληνικὰ χωρία παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας ἑτέροις ἁρμόσασθαι, ὡς ἐκείνων ἀπολωλότων· ἔπειτα δὲ τὴν τῶν Ἑλλήνων ἀκούσας ἐπάνοδον, ἧψε φρυκτωρίας περὶ τὰ κοῖλα τῆς Εὐβοίας, ἃ Καφηρεὺς καὶ Ξυλόφαγος καλεῖται, ὅπου προσπελάσαντες ἐν τῷ δοκεῖν λιμένα εἶναι διεφθάρησαν.

4) ἐπὶ σοφίᾳ Gu. Vulgo ἐν σοφίᾳ. Idem codex ab initio habet ὃς εἰς Τρ. μετὰ τῶν Ἑλλ. στρατεύσας — ὡς οὐδείς πω τῶν πώποτε γ.

ἄλλοι δὲ ἄλλοις. [5]) εὗρε δὲ καὶ πεττοὺς πρὸς παραμυθίαν τῶν Ἑλλήνων, καὶ φρυκτωρίας καὶ σταθμοὺς καὶ ψήφους καὶ ἀστρολογίας. (ἀστραγάλους?)

V. 423. *ΣΥΝΗΚΑ.* ἔγνων· ὁ φόνος σε κολάζει τοῦ Παλαμήδους. *ΤΙΜΩΡΕΙ.* κολάζει, δι' ἐκεῖνον γάρ σοι [6]) μάχεται Οἴαξ. τιμωρῶ δὲ οὐ μόνον τὸ βοηθῶ, ἀλλὰ καὶ τὸ κολάζω, ὥςπερ καὶ τὸ τιμωροῦμαι κατὰ ἀμφοτέρας εὔρους τὰς χρήσεις.

V. 424. *ΟΥΚ ΟΥΝ ΜΕΤΗΝ ΜΟΙ.* οὐ μετουσία ἦν μοι τοῦ φόνου, ἤγουν οὐ μετεῖχον, οὐκ ἐκοινώνουν· [7]) διὰ τριῶν δέ τινων ἀπόλλυμαι καὶ ἔφθαρμαι. *ΔΙΑ ΤΡΙΩΝ.* πρῶτον τῶν πολιτῶν, δεύτερον τοῦ Οἴακος. διὸ ἐπάγει, τίς δ' ἄλλος, ἵνα πληρώσῃ τοὺς τρεῖς. τινὲς φασὶ τριῶν, τῶν Ἐριννύων· — προεῖπε γὰρ ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προςφερεῖς κόρας.— τινὲς δὲ φασὶ τῆς συνέσεως, τῆς λύπης, καὶ τῆς μανίας. ἐν δὲ τοῖς Καλλιστράτου γέγραπται· ἐπιζητήσειεν ἄν τις, πῶς διὰ τριῶν εἰρήκει, εἰ μὴ διὰ τὸ τὸν Ἀγαμέμνονα καὶ Ὀδυσσέα καὶ Διομήδη φάναι μετασχεῖν τοῦ φόνου Παλαμήδους. *ΔΙΑ ΤΡΙΩΝ,* ἀντὶ τοῦ διὰ πολλῶν· ἄλλως γὰρ νοεῖσθαι οὐ δύναται. Fl. 21.

V. 425. *ΤΙΣ Δ' ΑΛΛΟΣ.* τίς δὲ ἄλλος, ἀπόλλυσι δηλονότι; ἆρα τις ἀπὸ τῶν φίλων τοῦ Αἰγίσθου;

V. 426. *ΟΥΤΟΙ Μ'.* οὗτοι ὑβρίζουσιν ἐμέ, ὧν ἀκούει νῦν ἡ πόλις, οἱ ἀπὸ τοῦ Αἰγίσθου δηλονότι. *ΥΒΡΙΖΟΥΣ',* ἀμιλλῶνται. Fl. 21. *ΚΛΥΕΙ,* ἐπακούει. (ὀνομάζεται ἢ ἀκούει.) Gu.

V. 427. *ΑΓΑΜΕΜΝΟΝΟΣ ΔΕ.* τὴν Ἀγαμέμνονος δὲ βασιλείαν ἀφίησί σε ἡ πόλις κατέχειν; φιλοπραγμόνως δὲ ὁ Μενέλαος παραγυμνοῖ τὸ ἦθος, φροντίζων περὶ τῆς βασιλείας.

V. 428. *ΠΩΣ ΟΙΤΙΝΕΣ.* κατὰ τίνα τρόπον ἐάσου-

5) Gu. ἄλλοι δὲ ἄλλα, fortasse rectius, ut suppleas εὑρηκέναι αὐτὸν φασίν. Ultima καὶ φρυκτωρίας — e Gu. addidi.

6) σοι. Sic Gu. prout jam edidit Barn.

7) ἤγουν — ἐκοινώνουν e Gu. et Florr. 6. 9. 17. 21. 56. 59. 76. addidi.

σιν ἔχειν τὰ σκῆπτρα, οἵτινες οὐκέτι ἐῶσιν ἡμᾶς ζῆν. *ΕΤΙ,* εἰς τὸ μέλλον. Fl. 21.

V. 429. *ΤΙ ΔΡΩΝΤΕΣ.* εἰπέ μοι σαφῶς, ὃ ἔχεις εἰπεῖν. τί δρῶντες οὐκ ἐῶσί σε ζῆν; οὐ γάρ ἐστιν αἰτιῶδες νῦν τὸ ὅτι, ἀλλ' ἀντὶ τοῦ τί Ἀττικῶς. Ἀττικῶς ὁ λόγος, εἰπέ μοι σαφές, ὅ τι δρῶντες οὐκ ἐῶσί σε ζῆν· τὸ ὅ τι γὰρ ἀντὶ τοῦ τί Ἀττικόν. ἐὰν γράφηται ἢ τί, ὁ στίχος οὕτως· τί δρῶντες, ἢ τί καὶ σαφὲς εἰπεῖν ἔχεις; Ἄλλως. Τί δρῶντες οὐκ ἐῶσιν ἡμᾶς ζῆν, ὅ τι καὶ σαφὲς εἰπεῖν ἐμοὶ ἔχεις, εἰπὲ δηλονότι.

V. 430. *ΨΗΦΟΣ.* ἤτοι κρίσις καὶ ἀπόφασις ἐξενεχθήσεται καθ' ἡμῶν κατὰ ταύτην τὴν ἡμέραν. τὸ *ΟΙΣΕΤΑΙ* ἐνεργητικὴν ἔχον σημασίαν, καὶ ἀντὶ τοῦ κομίσει λαμβανόμενον, ἐνταῦθα παθητικὴν ἔχει καὶ ἀντὶ τοῦ ἐξενεχθήσεται λαμβάνεται. Fl. 21.

V. 431. *ΦΕΥΓΕΙΝ* τήνδε τὴν πόλιν, ἤτοι ἐξορισθῆναι, ἢ θανεῖν, ἢ μὴ θανεῖν, ἀλλ' ἑτέρως κολασθῆναι δηλονότι;

V. 432. *ΘΑΝΕΙΝ* ὑπὸ τῶν πολιτῶν ἐν πετρώματι λευσίμῳ καὶ λιθοβολιστικῷ. (λιθοβολησίμῳ. Gu. Florr. octo.)

V. 433. *ΚΑιΤ' ΟΥΧΙ.* Εἶτα οὐ φεύγεις, ὑπερβαλὼν καὶ ἐκφυγὼν τοὺς ὅρους τῆς γῆς; *ΓΗΣ,* τῆς σῆς δηλονότι, ἤγουν τῆς πατρίδος σου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΥΠΕΡΒΑΛΩΝ,* ὑπερβὰς (Gu.), παρελθών. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 434. *ΚΥΚΛΩι ΓΑΡ.* οὐ δύναμαι φυγεῖν δηλονότι· κύκλῳ γὰρ εἰλισσόμεθα παγχάλκοις ὅπλοις, ἀντὶ τοῦ ἀνδράσιν ὡπλισμένοις. *ΕΛΙΣΣΟΜΕΘΑ.* τουτέστι φυλασσόμεθα ὑπὸ ἀνδρῶν ὡπλισμένων, ἵνα εἰ βουληθείημεν φυγεῖν, μὴ σχῶμεν ἄδειαν.

V. 435. *ΙΔΙΑι ΠΡΟΣ ΕΧΘΡΩΝ.* κατ' ἰδίαν καὶ χωρὶς παρὰ τῶν ἐχθρῶν, ἤγουν τῶν ἀπὸ τοῦ Αἰγίσθου, ἢ παρὰ τῆς Ἀργείας δυνάμεως.

V. 436. *ΠΑΝΤΩΝ ΠΡΟΣ Α.* Παρὰ πάντων τῶν πολιτῶν, ἵνα θάνω· βραχὺς καὶ σύντομος λόγος.

V. 437. *Ω ΜΕΛΕΟΣ.* ὦ ἄθλιος, ἦλθες πρὸς τὸ ἔσχατον τῆς συμφορᾶς.

V. 438. *ΕΣ Σ' ΕΛΠΙΣ.* ἡ ἐμὴ ἐλπὶς εἰς σὲ ἔχει τὴν καταφυγὴν ἕνεκα τῶν κακῶν. ἀλλ' ἐλθὼν εὐτυχὴς, μετάδος τοῖς σοῖς φίλοις, τουτέστιν ἡμῖν τοῖς δυστυχοῦσι, τῆς σῆς εὐπραξίας, καὶ μὴ ἀπολαβὼν ἔχε μόνος τὸ ἀγαθὸν, ἀλλ' ἐν τῷ μέρει ἀντιλάζου, καὶ ἀντιλαμβάνου, τῶν πόνων, ἐκτίνων καὶ ἀποδιδοὺς τὰς πατρῴας χάριτας, ἤτοι ἃς ὁ πατὴρ ἐποίησεν εἰς σὲ, εἰς οὓς δεῖ καὶ πρέπει, τουτέστιν εἰς ἡμᾶς. ὄνομα γὰρ μόνον δηλονότι, ἔργον δὲ οὐκ ἔχουσιν οἱ φίλοι, οἱ μὴ ὄντες φίλοι ἐν ταῖς συμφοραῖς. *ΚΑΤΑΦΥΓΑΣ*, ἐλευθερίαν. Fl. 35.

V. 439. *ΠΡΑΣΣΟΥΣΙΝ*, διακειμένοις. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. δείκνυσι διὰ τούτων ὁ ποιητὴς, ὅτι δεῖ πω νοεῖσθαι τοὺς εὐτυχοῦντας τῶν δυστυχούντων αὐτῶν συγγενῶν. Fl. 6.

V. 440. *ΜΕΤΑΔΟΣ*, μετασχεῖν δός. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 441. *ΤΟ ΧΡΗΣΤΟΝ*, τὴν εὐπραξίαν (εὐπραγίαν. 34. Gu.) Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gu. a pr. m. τὴν εὐδαιμονίαν. Gu. a m. 2.

V. 442. *ΑΝΤΙΛΑΖΟΥ.* τὸ ἀντιλαμβάνεσθαι λέγεται, ὅταν τι διώκῃ καὶ ἅπτηταί τινος δεόμενον ἢ καὶ καθ' ἕτερόν τινα τρόπον, τὸ δὲ ἀναδέχηται καὶ οὐκ ἀποστρέφηται. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 444. *ΟΝΟΜΑ.* οὐ γὰρ τὸ ὄνομα τὴν ἐνέργειαν παριστᾷ, ἀλλ' ἡ ἐνέργεια τὸ ὄνομα· τοῦτο δὲ καὶ ἐπὶ πατρὸς καὶ ἀδελφοῦ καὶ μητρὸς καὶ παντὸς συγγενοῦς. Fl. 6. *ΦΙΛΟΙ*, καὶ συγγενεῖς. Fl. 10.

V. 446 — 448. *ΚΑΙ ΜΗΝ.* Καὶ μὴν ὁ ἀπὸ τῆς Σπάρτης Τυνδάρεως μετὰ σπουδῆς ἔρχεται δεῦρο μελανείμων ἐν πεδὶ γεροντικῷ, τὴν κόμην ἀφῃρημένος ἐν κουρᾷ πενθίμῳ ἕνεκα τῆς θυγατρός.

V. 447. *Ο ΣΠΑΡΤΙΑΤΗΣ.* Οἰβάλου τοῦ Περιήρους παῖδες οὗτοι, Τυνδάρεως, Ἴκαρος, Ἄρνη, [καὶ Νῆθος], [8]

8) καὶ Νῆθος [illegible] MS. C. C. C. ap. King. quem alibi non memoratum inveni. [illegible] est Οἰβάλου hic et infra pro Βάλου. Pro Ἴκαρος ibidem est Ἰκάριος, quod recepit King. sed Ἴκαρος etiam vocatur ab Eustathio ad Il. β'. p. 295, 10. et in Schol. Ven.

καὶ ἐκ Νικοστράτης Ἱπποκόων. οὗτοι μετὰ θάνατον Οἰβάλου ἐστασίασαν περὶ τῆς ἀρχῆς. Ἴκαρος δὲ συνθέμενος μετὰ Ἱπποκόωντος ἐξελαύνει τὸν Τυνδάρεων τῆς Σπάρτης. ὁ δὲ οἰκεῖ ἐν τοῖς ἐσχάτοις τῆς Αἰτωλίας, [9] καὶ γαμεῖ Λήδαν τὴν Θεστίου τοῦ Αἰτωλοῦ, ἐξ ἧς ἔσχε Κάστορα καὶ Πολυδεύκην καὶ Τιμάνδραν καὶ Κλυταιμνήστραν καὶ Ἑλένην. ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τῷ φόνῳ τοῦ Οἰωνοῦ [10] φονεύσας Ἱπποκόωντα ἅμα τοῖς παισὶ, καὶ καταγαγὼν τὸν Τυνδάρεων ἀπὸ Φρίξης καὶ Πέλλης, ἐγχειρίζει αὐτῷ τὴν ἀρχὴν τῆς Σπάρτης. ἐγάμει γὰρ Ἡρακλῆς Δηϊάνειραν τὴν Λήδας ἀδελφήν.

V. 449 — 459. *ΑΠΩΛΟΜΗΝ, ΜΕΝΕΛΑΕ.* ὁ Τυνδάρεως ὅδε ἔρχεται πρὸς ἡμᾶς, οὗ ἐλθεῖν εἰς ὄψιν αἰδοῦμαι διὰ τὰ ἡμαρτημένα ἐμοί· καὶ γὰρ ἀνέθρεψεν ἐμὲ μικρὸν ὄντα, πολλὰ δὲ φιλήματα ἐξεπλήρωσε, τουτέστιν ἔδωκε, προφέρων (l. περιφέρων) καὶ βαστάζων ἐμὲ, ἅμα τε

p. 77. v. 88. Pro Ἄρνη, ut habent etiam Eustath. et Schol. Ven. l. c., Apollod. III, 10, 3. Ἀρήνη. Mox MS. C. C. C. ἀποθανόντος δὲ τοῦ Οἰβάλλου, ἐστασίασαν περὶ τῆς ἀρχῆς οἱ παῖδες. Ἰκάριος δὲ συνθέμενος εἰς τὸν Ἱπποκόωντα, ἐξελ.

9) MS. C. C. C. ὁ δὲ οἰκεῖ ἐν Λακεδαίμονι, ὅπου ἔφυγε, male, siquidem pulsus Tyndareus et Icarius φεύγουσι πρὸς Θέστιον, Apoll. III, 10, 5. τὸν τῶν Πλευρωνίων ἄρχοντα. Strabo X. p. 708. In sqq. Cod. recte ἐξ ἧς pro ἐξῆς. idem om. καὶ Τιμάνδραν, quam inter liberos Tyndarei memorat etiam Apoll. III, 10, 6.

10) ἐπὶ τῷ φόνῳ τοῦ υἱωνοῦ om. MS. C. C. C. tum pro καταγαγὼν habet ἀπαγαγὼν, et omissis verbis ἀπὸ Φρίξης καὶ Πέλλης, ἐγχειρίσεν αὐτῷ. Pro υἱωνοῦ Meurs. Misc. Lac. IV, 8. 16. coni. Οἰωνοῦ, quod recepit Barn. recte. vid. Heyne ad Apoll. II, 7, 3. Φρίξα ap. Steph. Byz. est urbs Peloponnesi τῆς Ὀλυμπίας ἀπέχουσα στάδια λ. Φερεκύδης δὲ Ἀρκαδίας αὐτὴν γράφει. Pro Πέλλης fortasse verius est Πελλάνης. Paus. III, 1. p. 204. Hippocoon Τυνδάρεων ἠνάγκασεν ἀποχωρῆσαι ὑείσαντα, ὡς μὲν Λακεδαιμόνιοι φασὶν, ἐς Πελλάναν. quae fortasse eadem urbs est ac τὰ Πελάνα Laconicae ap. Strab. VIII. p. 593. Πελλήνης coni. Meursius l. c. quod recepit Barn. Pro τὴν Λήδας ἀδελφὴν rectius Barn. ἀδελφιδῆν.

τῇ Λήδᾳ, τιμῶντες ἐμὲ οὐδὲν ἔλαττον τοῖς Διοσκόροις, τῷ Κάστορι καὶ τῷ Πολυδεύκει, οἷς, τῷ Τυνδάρεῳ καὶ τῇ Λήδᾳ, ὦ τάλαινα ψυχὴ ἐμὴ, οὐ καλὰς ἀντιδόσεις ἀπέδωκα· τίνα σκότον λάβω ἐν τῷ προςώπῳ, ποῖον νέφος θῶμαι ἔμπροσθεν, φεύγων τὰς κόρας τῶν ὀμμάτων τοῦ γέροντος.

V. 453. *ΦΙΛΗΜΑΤ' ΕΞΕΠΛΗΣΕ*. ἀντὶ τοῦ πολλῶν φιλημάτων ἐξεπλήρωσεν, ὡς τὸ διά τ' ἔντεα καὶ μέλαν αἷμα. (Il. κ', 298.) Ἄλλως. ἀντὶ τοῦ τὴν ἐπιθυμίαν τῶν φιλημάτων εἰς ἐμὲ ἐτέλεσεν τὸν Ἀγαμέμνονος παῖδα. [1]) ὡς περὶ ἑτέρου δέ φησιν, ἀντὶ τοῦ εἰπεῖν περιφέρων ἐμὲ, εἶπε τὸν Ἀγαμέμνονος, ἀντὶ τοῦ ἐμὲ παῖδα ὄντα. τιμῶντε δὲ οὐχ ἧττον ἢ τοὺς Διοσκούρους, ἀντὶ τοῦ οὐκ ἔλαττον τῶν Διοσκούρων. *ΤΙΜΩΝΤΕ Μ' ΟΥΔΕΝ*. ἅμα τῇ Λήδᾳ τιμῶντές με οὐδὲν ἔλαττον, ἢ τοὺς Διοσκούρους, τὸν Κάστορα καὶ τὸν Πολυδεύκην. Ζεὺς κύκνος γενόμενος καὶ συγγενόμενος Λήδᾳ τῇ Τυνδάρεω γυναικὶ, ἐποίησεν αὐτὴν δύο ὠὰ τεκεῖν, τὸ μὲν μονολέκυθον, τὸ δὲ διλέκυθον. καὶ ἐκ μὲν τοῦ ἕνα ἔχοντος λέκυθον γενέσθαι φασὶ τὴν Ἑλένην, ἐκ δὲ τοῦ δύο ἔχοντος Κάστορα καὶ Πολυδεύκην, οἳ παρ' ἡμέραν ἔζων· τὸ δὲ αἴτιον τῆς τοιαύτης ζωῆς ἦν τοῦτο· ὅσον μὲν γὰρ ἐν τῷ διλεκύθῳ ὠῷ ἦν ἀπὸ τῆς Τυνδάρεω σπορᾶς, Κάστωρ ἐγένετο, καὶ διὰ τοῦτο ἦν θνητὸς, ἅτε θνητοῦ υἱὸς τοῦ Τυνδάρεω, ὅσον δὲ ἀπὸ τῆς τοῦ Διὸς σπορᾶς, Πολυδεύκης ἐγένετο, καὶ διὰ τοῦτο ἦν ἀθάνατος. μέλλοντος οὖν Κάστορος τελευτᾷν, ἐδεήθη Πολυδεύκης Διὸς, ἵνα Κάστορα κοινωνὸν τῆς αὐτοῦ λάβῃ ἀθανασίας, καὶ αὐτὸς συμμετάσχῃ τῆς ἐκείνου θνητότητος. διὰ ταῦτα οὖν παρ' ἡμέραν ἔζων ἀμφότεροι, οὓς καὶ ἀλληγοροῦσιν εἰς ἡμέραν καὶ νύκτα.

V. 457 sq. *ΤΙΝΑ ΣΚΟΤΟΝ ΛΑΒΩ*. ποίαν ἄϊδος κυνέην, καὶ ποῖον νέφος προβάλωμαι, ἵνα μὴ ὁρῶμαι ὑπὸ τοῦ γέροντος. *ΦΕΥΓΩΝ*, θεαθῆναι ὑπ' αὐτοῦ. Fl. 6.

V. 460—463. *ΠΟΥ ΠΟΥ* ἴδω τὸν Μενέλαον, τὸν ἄνδρα τῆς ἐμῆς θυγατρός· ἐπὶ γὰρ τῷ τάφῳ τῆς Κλυταιμνήστρας τὰς ἐπὶ τοῖς νεκροῖς τελουμένας θυσίας ποιῶν ἤκουσα, ὅτι ἦλθεν εἰς τὴν Ναυπλίαν γῆν δηλονότι, διὰ πολλῶν ἐτῶν σεσωσμένος.

1) Haec Ἄλλως — παῖδα, neglexit King.

V. 463. *ΠΟΛΥΕΤΗΣ*, πολυχρόνιος ἤγουν μετὰ πολλὰ ἔτη, διὰ πολλοῦ χρόνου. Gu.

V. 464 sq. *ΑΓΕΤΕ ΜΕ*· θέλω γὰρ στὰς πρὸς τὴν δεξιὰν αὐτοῦ, χεῖρα δηλονότι, ἀσπάσασθαι, ἰδὼν φίλον, βραδέως καὶ μετὰ πολὺν χρόνον ἐλθόντα. *ΑΓΕΤΕ ΜΕ*. ὦ θεράποντες. Fl. 6. Gu. *ΠΡΟΣ ΓΑΡ ΔΕΞΙΑΝ*. οὐκ ἐπιζητεῖ τὴν Ἑλένην, δυςαρεστῶν τοῖς πεπραγμένοις αὐτῇ. εὐοικονομήτως δὲ ἐποίησε τὸν Τυνδάρεων ἀπὸ τῆς πάτρης διὰ τὰς χοὰς τῆς θυγατρὸς ἐληλυθέναι, ἵνα εὐκαίρως τῷ Μενελάῳ καὶ τῷ Ὀρέστῃ διαλεχθῇ. *ΔΕΞΙΑΝ*. τιμιώτερος γὰρ ἦν ὁ Τυνδάρεως. Fl. 21.

V. 466. *Ω ΠΡΕΣΒΥ*, κάρα ὁμότιμον (ὁμόκοιτον Gu.) τοῦ Διὸς, ἤτοι ὁ ἔχων ἅμα τῷ Διῒ τὴν κοίτην, χαῖρε.

V. 467. *ΧΑΙΡΕ* καὶ σὺ, Μενέλαε, ἐπιγάμβρευμα ἐμόν.

V. 468. *ΕΑ ΤΟ ΜΕΛΛΟΝ*. λίαν ἐστὶ κακὸν τὸ μὴ εἰδέναι τὸ μέλλον. περὶ ἑαυτοῦ [2]) τοῦτο λέγει ὁ Τυνδάρεως· μὴ εἰδὼς γὰρ, ὅτι μετὰ τοῦ Μενελάου εὑρήσει τὸν Ὀρέστην, ἦλθεν. *ΕΑ ΤΟ ΜΕΛΛΟΝ*. ἔοικε, φησὶ, τῷ ὄντι κακὸν εἶναι τὸ μὴ εἰδέναι τὸ μέλλον· εἰ γὰρ ᾔδειν παρόντα Ὀρέστην, ἥκιστα ἂν ἐληλύθειν. *ΕΑ*, ἐπὶ ἐκπλήξεως. Gu. Florr.

V. 469 sq. *Ο ΜΗΤΡΟΦΟΝΤΗΣ*. ὁ τῆς μητρὸς φονεὺς δράκων ὅδε ὁ ὑπ' ἐμοῦ μεμισημένος, στίλβει καὶ ἀποπέμπει ἔμπροσθεν τῶν δωμάτων ἀστραπὰς νοσώδεις καὶ μανιώδεις.

V. 469. *ΔΡΑΚΩΝ*. εἶδος ἀντὶ γένους ἔλαβεν· γένος μὲν γὰρ ὁ ὄφις, εἶδος δὲ ὁ δράκων καὶ ἔχις καὶ τὰ λοιπὰ τῶν ὄφεων. νῦν δὲ δράκων ἀντὶ ἔχις. οὗτοι γὰρ οὐκ ἐξ ὠῶν γεννῶνται, ἀλλὰ ζωοτοκοῦνται, καὶ τικτόμενοι διαῤῥηγνύουσι τὰς τῶν μητέρων γαστέρας, ὥς φησὶ Νίκανδρος, γαστέρων (leg. γαστέρ') ἀναβρώσαντες ἀμήτορες ἐξεγένοντο. (Ther. 134.) διὸ ἔχιν αὐτὸν ὡς μητροκτόνον φησίν. Ἄλλως. ἄγριος ὡς ὁ δράκων, ὅτι ὠμῶς ἔπραξεν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ ὡς δράκων. *ΔΡΑΚΩΝ*. δράκοντα εἶπε τὸν Ὀρέστην, ὡς μητροκτόνον, ἐπεὶ καὶ αἱ ἔχιδναι κτείνουσι τὰς ἑαυτῶν μητέρας, τιτρώσκουσαι τὰς γαστέρας αὐτῶν, ὅτε εἰς φῶς προελθεῖν μέλλουσι. Gu.

2) περὶ ἑαυτοῦ om. King. quo deleto, sensus omnis perit.

V. 470. *ΣΤΙΛΒΕΙ.* Στίλβω τὸ λαμπηδόνα πέμπω. στιλβῶ δὲ τὸ ξίφος μεταβατικῶς αἰτιατικῇ. [3]) *ΣΤΙΛΒΕΙ,* ἀποπάλλει (πέμπει ἐκ τῶν ὀμμάτων). Gu.

V. 471. *ΜΕΝΕΛΑΕ, ΠΡΟΣΦΘΕΓΓΗι* αὐτὸν, τὴν ἀνοσίαν κεφαλήν· ἔθος γὰρ ἦν μὴ διαλέγεσθαι τοῖς ἐναγέσι. γράφεται δὲ καὶ ἀκάθαρτον κάρα. εἶπε δὲ τοῦτο, ὅτι οὐκ ἦν καθαρός.

V. 472. *ΤΙ ΓΑΡ,* οὐ προσφθέγγομαι [4]) δηλονότι; φίλου μοι πατρὸς ὑπάρχει υἱός. δέον εἰπεῖν, ὅτι τοῦ ἀδελφοῦ μου υἱός ἐστὶ, φησὶ τοῦ πατρός μοι ἔκγονός ἐστιν; ἔκγονος γὰρ τοῦ Ἀτρέως Ὀρέστης. *ΦΙΛΟΥ ΜΟΙ.* ὅ ἐστι συγγενοῦς μοι υἱός. πάλιν δὲ τὸ κακόηθες τοῦ ἀνδρὸς δείκνυται, ὅτι τὸν ἀδελφὸν φίλον εἶπε.

V. 473. *ΚΕΙΝΟΥ ΓΑΡ.* ἐξ ἐκείνου οὗτος ὑπάρχει (υἱὸς add. Gu.), τοιοῦτος (ἤγουν φονεὺς add. Gu.) γεγονώς.

V. 474. *ΠΕΦΥΚΕ.* ναὶ ὑπάρχει. εἰ δὲ δυστυχεῖ, ἄξιον τιμᾶν αὐτόν.

V. 475 — 477. *ΒΕΒΑΡΒΑΡΩΣΑΙ,* ἐβαρβαρώθης πολυετὴς ὑπάρχων ἐν τοῖς βαρβάροις. Ἄλλως. ἤθη [5]) καὶ νόμους βαρβαρικοὺς μεμάθηκας, πολὺν χρόνον ὢν ἐν βαρβάροις, καὶ τῆς τάξεως ἐπελάθου τῶν Ἑλλήνων. πρὸς ὃ ἀπαντᾷ, Ἑλληνικόν τι τὸν ὁμόθεν τιμᾶν ἀεὶ, ἤτοι Ἑλληνικὸν ὑπάρχει, τὸν ἀπὸ τοῦ ὁμοίου γένους τιμᾶν διόλου. [6]) πρὸς ὃ πάλιν ὁ Τυνδάρεως, Ἑλληνικόν τι δηλονότι, καὶ τὸ μὴ θέλειν εἶναι ἰσχυρότερον τῶν νόμων, ὅπερ δηλονότι ποιεῖς σὺ, τιμῶν τοῦτον, ὃν οἱ νόμοι ἀπόβλητον ἔχουσιν.

V. 475. *ΧΡΟΝΙΟΣ ΩΝ.* οὐ μόνον χρόνιος φαμὲν ἦλθον ἀντὶ τοῦ μετὰ χρόνον πολὺν, ἀλλὰ καὶ χρόνιος ἦν ἐν τῷδε τῷ τόπῳ ἀντὶ τοῦ (ἐπὶ Flor.) χρόνον πολύν. Gu. a m. sec. Fl. 21.

3) Fl. 21. στιλβείω δὲ στιλβῶ τὸ ξίφος, ἀντὶ τοῦ στίλβον ποιῶ.

4) Fl. 6. διὰ τί οὐ προσφθέγξομαι.

5) Totum hoc post ἄλλως scriptum est in Gu. a m. pr. in margine. Ex eo ἤθη scripsi pro ἔθη, quomodo etiam habet glossa interlinearis: τὰ βαρβάρων ἤθη μεμάθηκας.

6) ἤτοι — διόλου om. Gu.

V. 476. *ΤΟΝ ΟΜΟΘΕΝ,* τὸν ἀπὸ μιᾶς ῥίζης, ἤγουν τὸν κατὰ γένος προσήκοντα. Gu. m. pr. Fl. 9. 17. 21. 56. 76. ἤγουν τὸν ἐκ ταὐτοῦ γένους ἤτοι τὸν συγγενῆ. Gu. m. sec.

V. 477. *ΠΡΟΤΕΡΟΝ,* τιμιώτερον. Fl. 33. ὑπέρτερον, προτιμότερον, ἰσχυρότερον. ἀλλ' ἔστι καὶ τοῦτο Ἑλληνικὸν τὸ μὴ εἶναι τινὰ ὑπέρτερον τῶν νόμων. Gu.

V. 478. *ΠΑΝ ΤΟΥΞ ΑΝΑΓΚΗΣ.* εἰπόντος τοῦ Μενελάου πρὸς τὸν τοῦ Τυνδάρεω λόγον τὸ βεβαρβάρωσαι χρόνιος ὢν ἐν βαρβάροις, ὡς ἄρα ἑλληνικὸν [ὂν] [7]) τὸ τιμᾶν τοὺς συγγενεῖς, φησὶν ὁ Τυνδάρεως, ναὶ, ὃ λέγεις Ἑλληνικόν ἐστι. ἀλλ' ἔστι καὶ τοῦτο Ἑλληνικὸν τὸ μὴ εἶναι τινὰ ὑπέρτερον τῶν νόμων. σὺ οὖν, ὦ Μενέλαε, παρανομεῖς φονέα προσφθεγγόμενος· ἀπαγορεύουσι γὰρ οἱ νόμοι τὴν μετ' αὐτῶν συνοίκησίν τε καὶ συνουσίαν. [8]) πρὸς ὃ ἀπαντᾷ ὁ Μενέλαος, ὅτι πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δοῦλον ἐν τοῖς σοφοῖς ἐστὶ, τουτέστιν, ὅτι πάντες καὶ παλαιοὶ καὶ νέοι ποιηταὶ, φιλόσοφοι, συγγραφεῖς, ῥήτορες, τρανῶς ἄνω καὶ κάτω τοῖς λόγοις διακηρύττονται, ὡς ἄρα πάντες [ἐξ] [9]) ἀνάγκης εἰσὶ δοῦλοι, καὶ πάντων αὕτη κρατεῖ, καὶ οὐκ ἀνθρώπων μόνων, ἀλλὰ καὶ μέχρι θεῶν ἐξάγει τὸ κράτος. ἀνάγκᾳ γὰρ οὐδὲ [οἱ] θεοὶ, φασὶ, μάχονται. ἐγὼ γοῦν, εἰ καὶ παρανομεῖν σοι δοκῶ μητροκτόνῳ συνὼν καὶ φθεγγόμενος, ἀλλ' ἐκ τῆς φύσεως ἀναγκαζόμενος τοῦτο ποιῶ. ὥστε τὴν τοιαύτην ἀνάγκην ᾧ προεβάλου νόμῳ παρεξετάσας, μείζω ταύτην εὑρήσεις δυναμένην τοῦ νόμου. Οἱ δὲ λέγοντες τὸ δοῦλον ἀντὶ τοῦ δουλοποιὸν ἀμαθεῖς ταμάλιστα. [10]) ἢ πρὸς τὸ ἐξ ἀνάγκης ὑποστικτέον οὕτω· πᾶν τὸ ἐξ ἀνάγκης ὑπάρχον ἐν τοῖς σοφοῖς ἐστὶ δοῦλον, τουτέστι πάντα τὰ ἐξ ἀνάγκης δουλείαν οἱ σοφοὶ κρίνουσιν. Ἄλλως. οἷον [1]) ἡ συγγε-

7) ὂν om. Gu. in quo hoc scholion est a m. sec.

8) Gu. tantum τὴν μετ' αὐτῶν συνουσίαν.

9) ἐξ omittit item Gu. sicut paulo post οἱ ante θεοί. (Sic etiam versum laudat Stob. Ecl. phys. VIII. p. 127. ed. H. Grot.) Idem ἐγὼ γοῦν pro eo, quod vulgo legitur, ἔγωγ' οὖν.

10) Gu. οὐ καλῶς λέγουσιν.

1) οἷον, quod King. e MS. C. C. C. addidit, est etiam in Gu.,

νικὴ φιλία καὶ στοργὴ, ἢ ἕτερόν τι τοιοῦτον, ἐπεὶ ἐξ ἀνάγκης φυσικῆς ἐστὶ, δούλη ἐστὶ, καὶ διὰ τοῦτο οὐκ ἀμβλύνεται, οὐδὲ ἄλλως γενέσθαι δύναται, ὃ τὰ ἐλευθέρως καὶ χωρὶς ἀνάγκης γινόμενα δύναται. Ἄλλως. ΠΑΝ ΤΟΥΞ ΑΝΑΓΚΗΣ, ἡ τῆς φύσεως ἀνάγκη, ὅ ἐστιν ἡ συγγένεια, πάντα δουλοῖ, κατά τε τὴν κρίσιν τῶν νόμων καὶ τῶν σοφῶν. δοῦλον οὖν ἀντὶ τοῦ δουλοποιόν. οὐχ οἷόν τε γὰρ παραιτήσασθαι τὴν συγγένειαν, καὶ τιμῶμεν τὴν ἀνάγκην ταύτην. τὸ ἐξ ἀνάγκης γενόμενον συγχωρεῖται ἐν τοῖς σοφοῖς.[2]) *Ἄλλως. πᾶν τὸ ἐξ ἀνάγκης δοῦλον ἐστὶ καὶ ὑπήκοον, ἤγουν πάντα τὰ* (leg. *ἃ*) *κατὰ ἀνάγκην ποιοῦμεν καὶ κατὰ τὴν σοφῶν κρίσιν [πάντα τὰ ὑπ᾽ ἀνάγκης] δουλοῖ*[3]) *καὶ ὑπηκόους ποιεῖ τοὺς ἀνθρώπους. καθὸ ἐπὶ τοῦ Ὀρέστου εἶπεν, εἰ δὲ δυςτυχεῖ, τιμητέος. ἔστι γὰρ ὁ λόγος, ὅτι τιμᾷν τὸν Ὀρέστην ἀναγκαῖον διὰ τὴν συγγένειαν. τοῦτο δὲ ἐν ὑποκρίσει λέγει, οὐ σπουδῇ. ὁ δὲ Ἀριστοφάνης φησὶ, πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δουλοῖ, οἷον ταπεινοῖ κατὰ τὴν τῶν σοφῶν κρίσιν. δύναται καὶ οὕτως, πᾶν τὸ ἀναγκαῖον δοῦλον ἐστὶν, ἤτοι πᾶν ὃ κατὰ ἀνάγκην ποιοῦμεν.*

V. 479. *ΚΕΚΤΗΣΟ, ὑπολάμβανε.* Fl. 21. *ΤΟΥΤ᾽. τὸ ὑπείκειν* (Florr. *ὑπεῖκον*) *τῇ ἀνάγκῃ.* Gu. Fl. 9. 21. 56. 59. 76. *τὸ ὑπεῖκον τοῖς σοφοῖς.* Fl. 17. 34.

V. 480. *ΟΡΓΗ ΓΑΡ ΑΜΑ. πρὸς τὸ* (leg. *τῷ*) *εἶναί σε γέροντα, καὶ ὀργίλος εἶ. διὰ τοῦτο φησὶ, παραιτῇ τὰ αὐτὰ τοῖς σοφοῖς φρονεῖν, ἐπεὶ συνελθοῦσά σου τῷ γήρᾳ ὀργὴ ἀπαίδευτόν σε ποιεῖ. καὶ Σοφοκλῆς· Ὀργὴ γέροντος, ὥςτε μαλθακὴ νοτὶς, Ἐν χειρὶ θήγει, ἐν τάχει δ᾽ ἀμβλύνεται.*[4]) *Ἄλλως. ἡ ὀργὴ καὶ τὸ γῆρας ἅμα γεγονότα οὐ σοφόν σε ποιεῖ· αὐτὸ γὰρ καθ᾽ αὑτὸ τὸ γῆρας μελαγχολικώτερόν ἐστι τῆς νεότητος· εἰ δὲ συμβῇ τοὺς γεροντας ὀργισθῆναι, διπλάσιον γίνεται τὸ κακόν. τὸ γῆράς σου οὖν, φησὶν, ἅμα τῇ ὀργῇ γεγονὸς οὐ σκοπεῖ τὸ δέον. ΟΡΓΗ ΓΑΡ. εἰκότως οὐ κτήσῃ.* Gu. *ΑΜΑ, συνελθόντα.* Gu. *ΣΟΦΟΝ, φρόνιμον* (*σε ποιεῖ. ἀλλ᾽ ἀνόητον, καὶ τὸν τοῦ προςήκοντος λόγον οὐ ποιούμενον· σοφοῦ γὰρ ἀνδρὸς τὸ τιμᾷν τοὺς προςήκοντας.*). Gu.

V. 481. *ΠΡΟΣ ΤΟΝΔ᾽ ΑΓΩΝ. ἡ περὶ τὸν Ὀρέστην μητροκτονία οὐ δεῖται ἀγῶνος σοφίας· προὖπτος γὰρ ἡ κρίσις· ὥςτε μάτην ἡμᾶς οὐ σοφοὺς ἀπεκάλεσας. οὐ σοφισμάτων γὰρ προςδεῖται ἡ κρίσις, τουτέστιν, οὐ καλὸν ἡμᾶς περὶ σοφίας ἀγωνίζεσθαι· περὶ γὰρ μητροκτονίας ἐστὶν ὁ λόγος. Ἄλλως. ἐπειδὴ εἶπεν ὁ Μενέλαος, καὶ τὸ γῆρας οὐ σοφὸν, φησὶν ὁ Τυνδάρεως, ὅτι τίς χρεία ἐστὶ σοφίας, ὅπου γε προφανὲς τοῦ Ὀρέστου τὸ πλημμέλημα. ΠΡΟΣ ΤΟΝΔΕ, τὸν Μενέλαον.* (*ἢ τὸν Ὀρέστην. ἤγουν τί δεῖ πρὸς τοῦτον φονέα ὄντα ἀγωνίζεσθαι καὶ σπουδάζειν.*) Gu.

V. 483. *ΤΟΥΤΟΥ, τοῦ Ὀρέστου.* Gu. Fl. *ΑΣΥΝΕΤΩΤΕΡΟΣ, ἀνοητότερος.* Gu. Fl. 9. 17. 21. 56. 59. 76. *μωρότερος.* Fl. 33.

V. 484. *ΕΣΚΕΨΑΤΟ, ἐνόησε.* Gu. Fl. 9. 17. 21. 56. 59. 76.

V. 485. *ΟΥΔ᾽ ΗΛΘΕΝ ΕΠΙ ΤΟΝ ΚΟΙΝΟΝ. ὡς ἐπὶ ὁδοῦ, οὐκ ἐβάδισε κατὰ τὸν Ἑλληνικὸν νόμον· ὁ γὰρ νόμος οὐκ ἐπιτρέπει αὐτόχειρα τινὰ γίνεσθαι. ΚΟΙΝΟΝ ΝΟΜΟΝ. οὐκ ἦλθεν ἐπὶ τὸν κοινὸν νόμον τῶν Ἑλλήνων, ἤγουν ἐφ᾽ ᾧ πάντες οἱ Ἕλληνες ὁμογνωμονοῦσι. ΚΟΙΝΟΝ. κοινὸς γὰρ νόμος Ἑλληνικὸς τὸ τὸν φονέα τῆς χώρας ἐκβάλλειν πρὸς ἑτέραν, ἄχρις ἂν ἐκεῖ κάθαρσιν ἔλαβε καὶ ἀπεπλύνθη τὸν φόνον.* Gu.

qui in fine etiam habet *ὃ τὰ — γιγνόμενα δύναται*, quod King. ex eodem cod. enotavit. Ceterum hoc scholion in Gu. a m. pr. scriptum est.

2) Ultima *καὶ τιμῶμεν κ. τ. λ.* e cod. C. C. C. addidit King. qui fortasse totum ex illo codice expressit: habet quidem *ἀνάγκη ἐστιν* pro *ἀν. ὅ ἐστιν — δηλοῖ κατά τε τὴν κρίσιν καὶ τῶν νόμων τῶν σοφῶν.*

3) Barn. editio culpa operarum *δηλοῖ*, quod retinens King. cum Musgr. addit: f. *δουλοῖ.* at sic jam Junt. Basil.

4) Recte Valck. ad Hipp. 240. em. *μαλθ. κοπίς*, quod recepit Brunck. fr. Soph. p. 694. LXXXIV. In altero versu Brunck. *θήγετ᾽*, i. e. *θήγεται*, quod nunc vix quisquam verum putaverit. Leg. *θήγει, σὺν τάχει δ᾽ ἀμβλ. θήγει* pro *θήγεται*, de quo usu vid. Brunck. ad Soph. O. C. 74. ad Eur. Or. 296. Bacch. 1041. Erfurdt. ad Soph. O. T. 153.

V. 486—491. *ΕΠΕΙ ΓΑΡ*, ἀφ᾽ οὗ, ἐξέπνευσε τὴν ζωὴν ὁ Ἀγαμέμνων, κάκιστον ἔργον παθὼν δηλονότι, — οὐ γὰρ ἐπαινέσω ποτὲ, — ἔπρεπεν αὐτὸν τὸν Ὀρέστην ἐπιθεῖναι δικαίαν τιμωρίαν τοῦ αἵματος. πρέπουσαν δὲ καὶ ὁσίαν δίκην φησὶ τὸ φυγαδεῦσαι μόνον. διώκοντα δὲ, ἀντὶ τοῦ κατηγοροῦντα. καὶ οὕτως ἂν, φησὶ, τοῦ κακοῦ τὸ σῶφρον ἐπελέξατο διώκων, καὶ τὴν πρέπουσαν τιμωρίαν ἀπήτησεν ἂν ἐκβαλὼν τὴν μητέρα, καὶ νόμῳ πειθαρχῶν ἐφαίνετο.

V. 487. *ΥΠΕΡ ΚΑΡΑ*, ὑπεράνω τοῦ κάρα. Gu.

V. 489. *ΑΙΜΑΤΟΣ*, ἕνεκα τοῦ φόνου. Gu. m. pr. Fl. 9. 17. 21. 56. 59. 76. τοῦ φόνου τοῦ πατρικοῦ. Gu. m. 2.

V. 490. *ΟΣΙΑΝ*, ἔννομον. Gu. δικαίαν. Fl. 56. πρέπουσαν. Fl. 21. *ΔΙΩΚΟΝΤ᾽*, ἐξορίζοντα. Gu. m. pr. Fl. 9. 17. 21. 54. 56. 59. 76. κατηγοροῦντα. Gu. m. 2. *ΕΚΒΑΛΕΙΝ*, ἀπώσασθαι. Gu. Fl. 9. 17. 21. 56. 59. 76.

V. 491. *ΤΟ ΣΩΦΡΟΝ Τ᾽ ΑΝ ΕΛΑΒΕ*. καὶ σωφρόνως καὶ ἐγκρατῶς ἔμελλε τὰ τῆς συμφορᾶς τιμωρεῖσθαι. ἢ σῶφρον εἶπε τὸ μέτριον, συμφορὰν δὲ τὴν τιμωρίαν, ἣν ἐλάμβανε ζημιώσας αὐτήν· μετριωτέρα γὰρ αὕτη ἡ τιμωρία τοῦ θανάτου. *ΤΟ ΣΩΦΡΟΝ*. εἰ φυγῇ μόνον ἦν ζημιώσας τὴν μητέρα, οὕτως ἂν ἔδοξε σωφρόνως κεχρῆσθαι τῇ τιμωρίᾳ, τῇ κατὰ τῆς συμφορᾶς τοῦ πατρὸς, ἢ τῆς μητρός. *ΤΟ ΣΩΦΡΟΝ*, τὸ μέτριον. Gu. m. pr. Fl. 9. 17. 21. 34. 56. 59. 76. τὸ φρόνιμον. Gu. m. 2. *ΤΗΣ ΣΥΜΦΟΡΑΣ*, τοῦ συμβεβηκότος. Gu. m. pr. Fl. 9. 17. 21. 56. 59. 76. τῆς μανίας, τιμωρίας. Gu. m. 2.

V. 492. *ΚΑΙ ΤΟΥ ΝΟΜΟΥ Τ᾽ ΑΝ*. ὡς νόμοις πειθαρχῶν. *ΕΙΧΕΤ᾽*, ἥπτετο. Gu. m. pr. Fl. 9. 17. 21. 34. 56. 59. 76. ἤγουν κατὰ τοὺς νόμους ἂν ἔπραττεν. Gu. m. 2. *ΕΥΣΕΒΗΣ*. ἀσέβεια γὰρ τὸ μητροκτονεῖν, ὥσπερ εὐσέβεια τὸ ταύτην αἰδεῖσθαι. Gu.

V. 493—496. *ΝΥΝ Δ᾽ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ*. νῦν δὲ εἰς τὴν αὐτὴν τύχην ἦλθε τῇ τύχῃ τῆς μητρός· κακὴν γὰρ νομίζων δικαίως αὐτὴν, αὐτὸς χείρων ἐγένετο φονεύσας τὴν μητέρα. ἐρωτήσω δὲ τοσοῦτόν σε, ὦ Μενέλαε — καθ᾽

ὑπόθεσιν δὲ ὁ λόγος, καὶ ὡς ἐν παραδείγματι ταῦτα φησὶ, τὸν τυχόντα τιθεὶς εἰς παράδειγμα. 5)

V. 493. *ΝΥΝ Δ᾽ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ*. εἰς τὴν αὐτὴν ἁμαρτίαν· καὶ γὰρ παρανόμως ἐφόνευσε. πλέον δὲ τοῦτο κακόν· οὐ γὰρ ἴσον ἐστὶ τὸ γυναῖκα φονεῦσαι ἄνδρα, καὶ υἱὸν μητέρα· ὁ μὲν γὰρ φύσει ἐστὶν υἱὸς, ὁ δὲ ἀνὴρ συγγενής. 6)

V. 497—500. *ΕΙ ΤΟΝΔΕ*. τοῦτον. ὡρισμένον ἔλαβεν ἀντὶ ἀορίστου τοῦ τινά. εἰ τοῦτον φονεύσειεν ὁμόκοιτος γυνὴ, καὶ ὁ τούτου παῖς πάλιν ἀνταποκτενεῖ τὴν μητέρα, κἄπειτα ὁ ἐξ ἐκείνου γεννηθεὶς διὰ φόνον τὸν φόνον λύσει καὶ ἐλευθερώσει, ποῦ τῶν κακῶν προχωρήσει τὸ τέλος;

V. 498. *ΜΗΤΕΡ᾽ ΑΝΤΑΠΟΚΤΕΝΕΙ*. τοῦτο διὰ τὸ λεγόμενον περὶ τῶν ἐχιδνῶν, ὅτι μετὰ τὴν συνουσίαν φονεύει τὸν ἄῤῥενα ἡ ἔχιδνα, οἱ δὲ γεννώμενοι, ὥσπερ τιμωρούμενοι τὸν τοῦ πατρὸς φόνον, διατρήσαντες τὴν κοιλίαν τῆς μητρὸς, καὶ φονεύσαντες αὐτὴν γεννῶνται, ὡς φησὶ Νίκανδρος. ὅμοιόν ἐστι καὶ τὸ κατὰ Ὀρέστην καὶ Κλυταιμνήστραν.

V. 501—504. *ΚΑΛΩΣ ΕΘΕΝΤΟ*. καλῶς ἐνομοθέτησαν ταῦτα οἱ ἔκπαλαι νομοθέται· οὐ συνεχώρουν ἐλθεῖν εἰς ὄψιν καὶ θέαν, οὐδ᾽ εἰς ἀπάντησιν τὸν ἀποκτείναντα τινὰ, φυγαῖσι δ᾽ ὡσίουν, ἀντὶ τοῦ ἐκάθαιρον, ὁσίους καὶ καθαροὺς ἐποίουν· τὸ γὰρ μὴ ἀνταποκτείνειν ὅσιον ἐνόμιζον. οἱ γράφοντες ἀνταποκτείνειν, ἀγνοοῦσι τὰ μέτρα. διὸ ἀποκτείνειν γράφων οὕτω λέγε· ὡσίουν δὲ καὶ ἐκάθαιρον ἐκεῖνον ἐν φυγαῖς, οὐκ ἐν τῷ ἀποκτείνειν δέ. τὸ μὴ ἀντὶ τοῦ οὔ.

V. 503. *ΑΙΜ᾽ ΕΧΩΝ ΚΥΡΕΙ*, ἔγκλημα φόνου ὑπάρχει ἔχων ἤγουν ἔχει. Gu. m. pr. Fl. 9. 17. 21. 54. 56. 59. 76.

5) Gu. ultima tantum habet, eaque scripta super v. 496. *καθ᾽ ὑπόθεσιν ταῦτα λέγει, τὸν τυχόντα προτιθεὶς εἰς παράδειγμα.* Sic etiam Florr. 9. 17. 21. 56. 59. 76.

6) Verba *εἰς τὴν αὐτὴν ἁμ. κ. τ. λ.* quae in Junt. Basil. Barn. cum verbis *ὡς νόμοις πειθ.* una serie continuantur, recte King. pro scholio ad v. 493. retulit.

V. 504. *ΦΥΓΑΙΣΙ*, ἀντὶ τοῦ φυγῇ ἤγουν ἐξορίᾳ. Gu. *ΩΣΙΟΥΝ*, ἐκάθαιρον. (ἐδικαίουν, ἐτίμων.) Gu. ἄξιον ἔκρινον. Fl. 33. *ΑΝΤΑΠΟΚΤΕΙΝΕΙΝ*, (ἐν τῷ) οὐχὶ δὲ τὸ ἀνταποκτείνειν. (οὐχ ὡσίουν.) Gu.

V. 505. *ΑΙΕΙ ΓΑΡ ΕΙΣ.* διόλου γὰρ ὁ ὕστερος ἀπέκειτο ἐνέξεσθαι, ἤγουν ἔνοχος ἔσεσθαι τοῦ φονευθῆναι.

V. 506. *ΤΟ ΛΟΙΣΘΙΟΝ.* τὸ ἔσχατον, τὸ ἀφ' ἑτέρου εἰς ἕτερον μεταβαῖνον. Ὅμηρος, λοῖσθος ἀνὴρ ὤριστος. (Il. ψ', 536.) εἷς δέ φησιν ὁ πρὸς τῷ τέλει ἔμελλεν εἶναι μεμιασμένος ὕστερος, ὁ μηκέτι ἔχων μεθ' ἑαυτὸν ἄλλον, οἷον εἷς [7]) ἕνα φονέα κατὰ διαδοχήν. καὶ οὐδεὶς ἐστι μίσους αἴτιος, ἐν ᾧ φονεύεσθαι μέλλει, εἰ μὴ εἷς. ἐκεῖνος μέντοι ὁ μὴ φονευθησόμενος, μεμιασμένος δὲ, ὁ πρὸς τῷ τέλει. *ΤΟ ΛΟΙΣΘΙΟΝ*, τὸ ἔσχατον μίασμα λαμβάνων διὰ τῶν χειρῶν, ἤγουν ἔσχατος φονεύων. Gu. Fl. 9. 17. 21. 56. 59. 76.

V. 507—514. Ἐγὼ δὲ μισῶ τὰς ἀνοσίους καὶ ἀδίκους γυναῖκας, μισῶ δὲ πρώτην τὴν ἐμὴν θυγατέρα, ἣ τὸν ἑαυτῆς ἐφόνευσεν ἄνδρα· καὶ τὴν Ἑλένην, τὴν σὴν γυναῖκα, οὐδέποτ' ἐπαινέσω, οὐδὲ προςλαλήσαιμι· οὐδὲ σὲ ἐπαινῶ ἐλθόντα εἰς Τροίαν κακῆς γυναικὸς χάριν. βοηθήσω δ', ὅσον δύναμαι, τῷ νόμῳ, τὴν θηριωδίαν καὶ μιαιφονίαν ταύτην καταπαύων, ἣ γῆν τε καὶ πόλεις διόλου διαφθείρει.

V. 510. *ΟΥΔΕ ΣΕ ΖΗΛΩ.* ζηλῶ τὸ μακαρίζω· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐπαινῶ. ἐπεὶ γὰρ πλησιάζουσιν ἀλλήλοις τρόπον τινὰ τὸ ἐπαινεῖν καὶ τὸ μακαρίζειν, οὐκ ὀκνεῖ λαμβάνειν τὸ ἕτερον ἀντὶ τοῦ ἑτέρου.

V. 512. *ΑΜΥΝΩ Δ' ΟΣΟΝ.* ἐπειδὴ γὰρ νόμος ἦν μὴ δι' ἑτέρου φόνου τοὺς φονεῖς κολάζειν, ἀλλὰ φυγῇ, οὗτος δὲ παραβὰς τὸν νόμον ἀπέκτεινε τὴν μητέρα τὸν ἴδιον ἄνδρα φονεύσασαν, ἀμυνῶ καὶ βοηθήσω αὐτὸς τῷ παραβαθέντι [8]) ὑπ' αὐτοῦ νόμῳ. ἐξ ὧν γὰρ θέλω τοῦτον τιμωρηθῆναι, παύω τοὺς ἄλλους τῶν ἴσων. οὐ χρὴ δὲ γρά-

7) Junt. Basil. εἰς et paulo ante in loco Homeri *ὤριστο*. Corr. Barnes.

8) *παραβαθέντι*. Sic jam ediderat Barn. pro *παραβάντι*, et sic Gu. in quo hoc scholion est a m. sec. sed desinit in vv. *τῶν ἴσων*.

φειν ἀμύνω ἐπὶ ἐνεστῶτος, (μακρὰ γάρ ἐστιν ἐπὶ τοῦ ἐνεστῶτος τὰ διὰ τοῦ υνω ῥήματα,) ἀλλ' ἀμυνῶ ἐπὶ μέλλοντος· οὕτω γὰρ ἁρμόζεται τῷ μέτρῳ. ὁ γὰρ μέλλων τῆς ε συζυγίας τῶν βαρυτόνων τὰ ἀμετάβολα, φησὶ, τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τοῦ τόνου.

V. 515—518. *ΕΠΕΙ.* εἰ δὲ μὴ, τίνα ψυχὴν εἶχες, ὦ τάλας, τότε, ὁπότε ἡ μήτηρ ἐξέβαλε τὸν μαστὸν παρακαλοῦσά σε; ἐγὼ μὲν οὐ θεασάμενος τὰ ἐκεῖ γενόμενα κακὰ διὰ δακρύων δαμάζω τὸν γεροντικὸν ὀφθαλμὸν ὁ ἄθλιος.

V. 515. *ΕΠΕΙ ΤΙΝ' ΕΙΧΕΣ.* ἀποστροφὴ τὸ σχῆμα. πρὸς τὸν Ὀρέστην ἰδίως ἀπέστρεψε τὸν λόγον, καὶ διαλέγεται πρὸς αὐτὸν ὁ περὶ τούτου ἐγκαλῶν τὸν Μενέλαον.

V. 519 sqq. *ΕΝ ΟΥΝ ΛΟΓΟΙΣΙ.* ἀντὶ τοῦ ἓν ἔχω προσθεῖναι κεφάλαιον τοῖς ἐμοῖς λόγοις. ὁμοῤῥοθεῖ δὲ, ἀντὶ τοῦ ἀκολουθεῖ καὶ συμφωνεῖ. θέλει δὲ εἰπεῖν, ὅτι τοῖς ἐμοῖς λόγοις ἐκεῖνο ἔχω προςθεῖναι τὸ κεφάλαιον, τὸ ὑπὸ θεῶν μισεῖσθαι πλανώμενον καὶ μαινόμενον.

V. 519. *ΛΟΓΟΙΣΙ ΤΟΙΣ ΕΜΟΙΣ*, οἷς νῦν κατὰ σοῦ χρῶμαι. Gu. *ΟΜΟΡΡΟΘΕΙ*, ὁμολογεῖ. (συνειςέρχεται. συνᾴδει καὶ ἀποφαίνει τούτους εὐλόγους.) Gu. ὁμολογεῖ, συνᾴδει, δηλονότι ὅτι ἐγώ φημί σε ἀδίκως πρᾶξαι. Fl. 21. 34. ἐπέρχεται, ὁμοφωνεῖ. Fl. 33.

V. 520. *ΜΗΤΡΟΣ ΔΙΚΑΣ*, τὰς ὑπὲρ τῆς μητρός. Gu. Fl. 9. 17. 21. 56. 59. 76.

V. 521. *ΑΛΑΙΝΩΝ*, πλανώμενος.

V. 521 sq. *ΤΙ ΜΑΡΤΥΡΩΝ.* τουτέστιν οὐ δεῖ με ζητεῖν μάρτυρας τοῦ μισεῖσθαί σε παρὰ τῶν θεῶν, ὡς ἀνόσια δεδρακότα· βλέπω γάρ σε μαινόμενον, ὅπερ παρὰ τῶν θεῶν ἐπιόν σοι δείκνυσι πᾶσιν, ὡς, εἰ μὴ κακὸν εἰργάσω, οὐκ ἂν εἰς τοιαύτην δυςτυχίαν ἐνέπεσες.

V. 523—526. *ΩΣ ΟΥΝ ΑΝ ΕΙΔΗΙΣ.* ἵνα δὲ μάθῃς, ὦ Μενέλαε, μὴ θέλε πράσσειν ἐναντία τοῖς θεοῖς, χρήζων ὠφελεῖν τὸν Ὀρέστην. ἀλλ' ἄφες αὐτὸν διὰ πετρῶν ὑπὸ τῶν πολιτῶν φονευθῆναι, ἤ, εἰ μὴ ποιήσεις τοῦτο, ὅπερ σοι λέγω δηλονότι, μὴ διέρχου διὰ τῆς τῶν Λακεδαιμονίων γῆς.

V. 526. *ΣΠΑΡΤΙΑΤΙΔΟΣ.* Σπάρτη ἡ προηγουμένη πόλις τῆς Λακεδαιμονίας. ὁ ἀπὸ ταύτης Σπαρτιάτης, καὶ ἐπὶ θηλυκοῦ ἡ Σπαρτιᾶτις διὰ τοῦ ι. ὃ κλίνεται τῆς Σπαρ-

τιάτιδος. σπάρτον δὲ τὸ σχοινίον, ὡς παρ' Ὁμήρῳ, σπάρτα λέλυνται. (Il. β', 135.) καὶ ἡ σπάρτος ἐπὶ θηλυκοῦ. ἀφ' οὗ τὸ κόσμει σπάρτον ἂν ἔλαχες, καὶ τὴν λίθον ποτὶ τὰν σπάρτον ἄγε. 9) ΣΠ. ΧΘΟΝΟΣ, ἣν αὐτός σε κηδεύσας εἰς προῖκα ἔδωκα. Gu.

V. 527—530. ΘΥΓΑΤΗΡ Δ' ΕΜΗ. ἡ δὲ ἐμὴ θυγάτηρ ἀποθανοῦσα ἔπαθε δικαίως. ἀλλ' οὐ παρὰ τούτου πρέπον ἦν τὴν Κλυταιμνήστραν ἀποθανεῖν. ἐγὼ δὲ κατὰ τὰ ἄλλα μακαριστὸς ὑπάρχω ἀνὴρ, χωρὶς εἰς τὰς θυγατέρας· κατὰ τοῦτο δὲ οὐκ εὐτυχῶ.

V. 527. ΕΠΡΑΞΕΝ ΕΝΔΙΚΑ. ἔπαθε μὲν δίκαια, καθὸ ἀπέθανε, καὶ δικαίαν τιμωρίαν δέδωκε· καθὸ δὲ ὑπὸ τούτου ἀπέθανεν, ἠδίκηται.

V. 529. ΜΑΚΑΡΙΟΣ, εὐγενὴς, πλούσιος, τίμιος πᾶσι καὶ πρὸς ἔσχατον γήρως ἰών. Gu. Fl. 6. ΠΕΦΥΚΑ, γέγονα. Gu. Florr.

V. 531 sq. ΖΗΛΩΤΟΣ ΟΣΤΙΣ. μακαριστὸς ὁποῖος εὐτύχησεν εἰς τέκνα, καὶ μὴ μεγάλας καὶ φανερὰς καὶ ὁμολογουμένας βλάβας ἔλαβε.

V. 532. ΕΠΙΣΗΜΟΥΣ, διαδήλους. (φοβερὰς, μεγάλας.) Gu. ΕΚΤΗΣΑΤΟ, ἀπὸ τούτων. Gu.

V. 533—536. Ω ΓΕΡΟΝ, ἐγὼ φοβοῦμαι λέγειν πρὸς σὲ, ὅπου μέλλω σε καὶ τὴν σὴν φρένα καὶ διάνοιαν λυπήσειν. ἐγὼ μὲν φονεύσας τὴν μητέρα ἀνόσιος ὑπάρχω, τιμωρῶν δὲ τῷ πατρὶ ὅσιος εἰμὶ, καθ' ἕτερον ὄνομα τοῦ ἀνοσίου (ἐπεὶ ἐναντίον τοῦ ἀνοσίου τὸ ὅσιον). ἀνόσιος μὲν εἰμὶ τὴν μητέρα κτανὼν, τετύχηκα δὲ τοῦ ὁσίου ὀνόματος καθ' ἕτερον μέρος, τὸν πατέρα ἐκδικήσας. Ἄλλως. ἐγὼ μὲν κτανὼν τὴν μητέρα, ἀνόσιος εἰμὶ, τιμωρῶν δὲ τῷ πατρὶ, πάλιν ὅσιος εἰμὶ, ἕτερον ὄνομα τοῦ ἀνοσίου.

V. 534. ΟΠΟΥ, ἀντὶ τοῦ ὁπότε, τοπικὸν ἀντὶ χρονικοῦ. Gu. m. pr. Fl. 6. 9. 21. 56. 59. 76. ἐπειδὴ, ἢ ἐν ᾧ. Gu. m. sec.

V. 536. ΤΙΜΩΡΩΝ, βοηθῶν. Gu. Fl. 6. 9. 17. 21. 59. 76. ἐκδικῶν, βοηθῶν. Fl. 56.

9) διὰ τοῦ ι post Σπαρτιᾶτις addunt MS. C. C. C. ap. King. et Gu. Iidem bis σπάρτον, κόσμει ἂν ἔλαχες σπάρτον. ἄγε in fine om. Gu.

V. 537—543. ΑΠΕΛΘΕΤΩ ΔΗ ΤΟΙΣ ΛΟΓΟΙΣΙ. ἀντὶ τοῦ σὺ ἀναχώρει, καὶ τὰς ἀληθείας ἐρῶ, καὶ δεόντως ἀπολογήσομαι. ἀπίτω μακρὰν τοῖς ἐμοῖς λόγοις τὸ σὸν γῆρας, ὅ με κωλύει τοῦ λέγειν, καὶ τότε κατὰ τάξιν ἐλεύσομαι· νῦν δὲ φοβοῦμαι τὸ σὸν γῆρας. τί με ποιῆσαι ἔπρεπε; δύο γὰρ τινὰ πράγμασιν ἀντίθες δυσίν· ὁ μὲν πατὴρ ἔσπειρέ με, ἡ σὴ δὲ παῖς ἐγέννησεν, ὡς ἄρουρα τὸ σπέρμα παρ' ἄλλου λαβοῦσα· τέκνον δὲ χωρὶς πατρὸς οὔποτ' ἂν εἴη.

V. 538. ΕΚΠΛΗΣΣΕΙ, ἐξίστησι. (μετὰ φόβου.) Gu. ἐξίστησι, ἐκβάλλει μετὰ φόβου. Fl. 6. 9. 10. 17. 21. 34. 56. 59. 76. ΛΟΓΟΥ, λογισμοῦ. Gu.

V. 539. ΚΑΘ' ΟΔΟΝ ΕΙΜΙ, κατὰ τάξιν (τοῦ λόγου) πορεύσομαι. (ἤγουν διηγήσομαι.) Gu. ἤγουν κατὰ μέρος λέξω. Fl. 21. τῷ λόγῳ προβαίνω. Fl. 10. ΤΡΙΧΑ, τὴν πολιάν. Gu. Fl. 33.

V. 540. ΔΥΟ ΓΑΡ ΑΝΤΙΘΕΣ ΔΥΟΙΝ, παράθες. Gu. Fl. 6. 9. 17. 34. 56. 59. 76. τῷ πατρὶ τὸ σπέρμα, τῇ μητρὶ τὴν ἄρουραν. Fl. 10. 21. ἤγουν τὸν πατέρα καὶ τὸ σπέρμα, καὶ τὴν μητέρα καὶ τὴν γένναν. Fl. 6.

V. 541. ΕΦΥΤΕΥΣΕΝ, ἐγέννησεν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ΤΙΚΤΕΙ, ἀντὶ τοῦ ἔτεκε. Gu. Florr. iidem.

V. 542. ΑΡΟΥΡΑ, ἡ ἠροτριασμένη γῆ. χέρσος δὲ ἡ ἀνήροτος καὶ ἀνέργαστος. Gu. Fl. 6. 9. 17. 34. 56. 59. 76.

V. 543. ΑΝΕΥ ΔΕ ΠΑΤΡΟΣ. λέγεταί τις αὐτοῦ εἰπόντος τοῦτο εἰρηκέναι· ἄνευ δὲ μητρὸς, ὦ κάθαρμ' Εὐριπίδη. 10) ΑΝΕΥ ΔΕ ΠΑΤΡΟΣ. τιθεὶς τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀντιθεὶς αὐτοῖς τῷ μὲν τὴν σπορὰν, τῇ δὲ τὸν τόκον, δείκνυσι τὸν πατέρα μείζονα τῆς μητρὸς

10) MS. C. C. C. ap. King. ἄνευ δὲ μητρὸς πῶς, κάθαρμ' Εὐρ. Eustath. ad Od. δ', p. 1498, 57. οὐκ εἴωθε σχηματίζειν πατρωνυμίαν ὁ ποιητὴς ἐκ μητέρων, ἀλλ' ἐκ πατέρων — — — ὅπερ Εὐριπίδης ἐκλαλῆσαι θελήσας καὶ τὴν Ὁμηρικὴν σκιαγραφίαν ἐκφανέστερον χρῶσαι, ἐν οἷς φησιν· ἄνευ δὲ πατρὸς τέκνον οὐκ ἂν γένοιτ' ἂν, περιεσυρίχθη θεατρικῶς, ἀκούσας τὸ ᾀδόμενον τὸ ἄνευ δὲ μητρὸς, ὦ κάθαρμ' Εὐριπίδη;

διὰ τὸ πρωταίτιον εἶναι τῆς εἰς φῶς αὐτῷ προαγωγῆς. δέον
δὲ τῆς ὑποστάσης γονὰς εἰπεῖν, τροφὰς εἶπεν. [1])

V. 546—548. *Η ΣΗ ΔΕ ΘΥΓΑΤΗΡ*, — αἰσχύ-
νομαι γὰρ μητέρα λέγειν ἐμὴν — ἰδίοις γάμοις, ἤγουν λα-
θραίοις, καὶ οὐ νενομισμένοις ἦλθεν εἰς ἀνδρὸς κοίτην.

V. 547. *ΙΔΙΟΙΣΙΝ*, κρυφίοις. (κεκρυμμένοις, λα-
θραίοις, ἑταιρικοῖς.) Gu. *ΣΩΦΡΟΣΙΝ*, νενομισμένοις.
Gu. m. sec.

V. 548. *ΕΙΣ ΑΝΔΡΟΣ ΗιΕΙ ΛΕΚΤΡΑ.* τὸ ἀν-
δρὸς διπλῶς νοητέον, ἢ τοῦ Αἰγίσθου, ἢ τοῦ Ἀγαμέμνο-
νος. καὶ ἐπὶ μὲν τοῦ Αἰγίσθου οὕτως· ἡ σὴ θυγάτηρ, ὦ
Τυνδάρεως, εἰς ἀνδρὸς ἤει λέκτρα ἐν λαθραίοις γάμοις,
τουτέστι συνῆν λαθραίως τῷ Αἰγίσθῳ μοιχευομένη· ἐπὶ δὲ
τοῦ Ἀγαμέμνονος οὕτως· ἡ σὴ θυγάτηρ ἐν ἰδίοις ὑμεναί-
οις, καὶ οὐχὶ σώφροσι, τουτέστι λαθραίως μοιχευομένη Αἰ-
γίσθῳ, εἰς λέκτρα τοῦ Ἀγαμέμνονος ἧκεν, ὅτε ἐπανῆκεν ἐκ
Τροίας. [2])

V. 551 sq. *ΕΜΑΥΤΟΝ ΗΝ ΛΕΓΩ.* ἐὰν ἐκείνην,
φησὶ, λέγω κακῶς, ἐμαυτὸν ἐρῶ κακῶς· λέξω δ᾽ ὅμως.

V. 551. *ΕΠΙ Δ᾽ ΕΘΥΣΑ.* ἀπρεπῶς τὸ ἔθυσα. τάχα
δὲ δείξει, ὅτι εὐσεβῶς διέπραξε φονεύσας αὐτὴν, καὶ ἔφη
τὸ ἔθυσα. τὸν Αἴγισθον μὲν ἔκτεινα, ἐπὶ τούτῳ δὲ καὶ τὴν
μητέρα ἔθυσα. *ΕΠΙ Δ᾽ ΕΘΥΣΑ.* οὐ καλῶς λέγει· (λέ-
γεις Gu.) πρῶτον γὰρ ἐκείνην ἔκτεινεν, εἶτα καὶ τὸν Αἴγι-
σθον, ἐξ ἀγρῶν ἐπανελθόντα, καθά φησι Σοφοκλῆς. Gu.
Baroc. 74. *ΕΠΙ.* αὕτη ἡ ἐπὶ λύπην σημαίνει, οἷον ἔπρα-
ξα ἓν αἰσχρὸν, καὶ οὐκ ἤρκει τοῦτο, ἀλλ᾽ ἐπὶ τοῦτο (leg.
τούτῳ) ἔπραξα καὶ ἄλλον (ἄλλο, an φόνον excidit?). Fl.
21. *ΕΘΥΣΑ*, ἐφόνευσα. Fl. 6. 9. 17. 21. 34. 56. 59.
76. Gu.

V. 552. *ΤΙΜΩΡΩΝ*, βοηθῶν. Fl. 6. 9. 17. 21. 56.
59. 76. Gu.

V. 553. *ΕΦ᾽ ΟΙΣ Δ᾽ ΑΠΕΙΛΕΙΣ.* τὸ σχῆμα κατὰ
ἀντίστασιν. *ΕΦ᾽ ΟΙΣ*, δι᾽ ἅ. Gu. Fl. 6. 9. 17. 21. 56.

1) Sic Gu. Vulgo δέον δὲ τῆς ὑποστ. τροφὰς εἰπεῖν, γονὰς εἶ-
πεν. E Gu. dedi etiam μείζ. τῆς μ. pro μείζ. μητρός.

2) Gu. addit, καὶ οὐκ ᾔδεῖτο.

59. 76. *ΠΕΤΡΩΘΗΝΑΙ*, λίθοις βληθῆναι. Gu. m. pr.
Florr. iidem. λιθασθῆναι. Gu. m. sec.

V. 555. *ΕΣ ΤΟΔ᾽ ΗΞ. ΘΡΑΣΟΥΣ*, εἰς τὴν θρα-
σύτητα ταύτην. (ἤγουν τὸ ἀποκτείνειν τοὺς ἀλόχους add.
Florr.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 556. *ΑΝΔΡΑΣ ΦΟΝ.* λέγω εἰς τὸ φονεύειν τοὺς
ἄνδρας. Gu. Florr. iidem. *ΚΑΤΑΦΥΓΑΣ Π.* ἵνα μὴ
ὑπ᾽ αὐτῶν φονευθεῖεν. Gu. m. sec. Fl. 6. ἐὰν μὴ ἀπο-
κτείνουσιν αὐτάς. Fl. 21.

V. 557. *ΕΛΕΟΝ*, ὡς σὺ φὴς, ὅτι χρὴ ποιεῖν. Fl. 21.
ΘΗΡΩΜΕΝΑΙ, λαμβάνουσαι. Gu. m. pr. Fl. 6. 9. 17.
21. 33. 56. 59. 76. ἀγρεύουσαι, ἕλκουσαι. Gu. m. sec.

V. 558. *ΠΑΡ᾽ ΟΥΔΕΝ ΑΥΤΑΙΣ ΗΝ.* ἐν ἰδίᾳ
προφάσει, καὶ πάρεργον ἦν αὐταῖς φονεύειν τοὺς ἰδίους ἄν-
δρας, εἴπερ ἔμελλεν αὐταῖς, φησὶν, εἰς ἔγκλημα μόνου πε-
ριΐστασθαι τῆς τιμωρίας. ἀκωλύτως οὖν ἐχώρουν κατὰ τῶν
ἀνδρῶν. *ΠΑΡ᾽ ΟΥΔΕΝ*, κατ᾽ οὐδὲν, ἐν οὐδενὸς μοίρᾳ.
Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐν ὀλίγῃ προφάσει.
Fl. 10. ἤγουν οὐ μέγα νομίζοιεν ἂν ἀποκτείνειν τοὺς πό-
σεις. Fl. 21. *ΗΝ ΑΝ*, ἀντὶ τοῦ εἴη ἄν. Gu. Florr.
iidem. *ΟΛΛΥΝΑΙ*, φθείρειν. ibid. *ΠΟΣΕΙΣ*, τοὺς ἄν-
δρας. ibid.

V. 559. *ΕΠΙΚΛΗΜΑ.* ἀφορμὴν, αἰτίαν, προβαλλο-
μέναις καὶ προφασιζομέναις ὅ τι τύχοι, καὶ ὅ τι δήποτε.
καὶ αὕτη γὰρ προὐφασίζετο τὰ κατὰ τὴν Ἰφιγένειαν, ὅτι
διὰ τοῦτο ἀνεῖλεν αὐτὸν, ὅτι ἐν Αὐλίδι ἐσφαγίασεν Ἰφιγέ-
νειαν. *ΕΠΙΚΛΗΜ᾽*, ἔγκλημα. (κατηγόρημα, κατηγορίαν
αὐτῶν.) Gu. *Ο ΤΙ ΤΥΧΟΙ*, διὰ τὴν τυχοῦσαν αἰτίαν. Gu.

V. 560. *ΔΕΙΝΑ*, χαλεπά. Gu. Fl. 6. 9. 17. 21.
34. 56. 59. 76. *ΚΟΜΠΕΙΣ*, μεγαλοῤῥημονεῖς. *ΚΟΜ-
ΠΕΙΣ*, μετὰ τύφου προφέρεις. Gu. m. sec. Fl. 6. με-
γαλαυχεῖς. Fl. 21. λέγεις. Gu. m. sec. *ΤΟΝΔΕ ΤΟΝ
ΝΟΜΟΝ*, τὸ μὴ τοὺς ἄνδρας φονεύειν διὰ τινὰ πρόφα-
σιν. Gu. m. sec. Fl. 6. *ΝΟΜΟΝ*, τάξιν. Gu. m. pr.
Fl. 6. 9. 17. 21. 56. 59. 76. συνήθειαν. Gu. m. sec.

V. 561. *ΜΙΣΩΝ ΔΕ*, ἐνδίκως δὲ μισῶν τὴν μητέρα
ἀπώλεσα. Gu. Fl. iidem.

V. 562. *ΜΕΘ' ΟΠΛΩΝ*, μετὰ τοῦ στρατοῦ. (μετὰ στρατείας. ὁπλίτην.) Gu.

V. 563. *ΠΑΣΗΣ ΥΠΕΡ ΓΗΣ Ε.* ἡ γὰρ ἁρπαγὴ τῆς Ἑλένης πάσης τῆς Ἑλλάδος ἦν ἀτιμία. Gu. *ΣΤΡΑΤΗΛΑΤΗΝ*, στρατοπεδεύοντα. Gu.

V. 564. *ΠΡΟΥΔΩΚΕ*, κατέλιπεν. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. *ΕΣΩΣΕΝ*, ἐφύλαξεν. Gu. Florr. iidem. *ΑΚΗΡΑΤΟΝ*, ἄφθαρτον. *ΑΚΗΡ.* ἀμίαντον. Gu. m. pr. Florr. iidem.

V. 565—567. *ΕΠΕΙ Δ' ΑΜΑΡΤΟΥΣΑ.* ἐπεὶ δὲ ᾔσθετο μοιχευθεῖσα, οὐχ ἑαυτὴν ἐτιμωρήσατο, δέον τοῦτο ποιεῖν, ἀλλ' ἵνα μὴ δίκας ἀπαιτηθῇ τῆς μοιχείας, προτέρα ἐφόνευσε.

V. 565. *ΕΠΕΙ Δ' ΑΜ.* ἀφ' οὗ ἁμαρτίαν ποιήσασα (διὰ τῆς μοιχείας add. Gu. m. sec.) ἐνόησε. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΔΙΚΗΝ*, τιμωρίαν. Gu. Florr. iidem.

V. 566. *ΩΣ ΜΗ ΔΙΚΗΝ Δ. Π.* ἤγουν ἵνα μὴ ὑπὸ τοῦ ἀνδρὸς κολασθείη. (κολασθῇ Gu.) Gu. Florr. iidem.

V. 567. *ΕΖΗΜΙΩΣΕ.* ἁρμοδίως καὶ οἰκείως ἡ λέξις ἐνταῦθα κεῖται· εἰ γὰρ ἡ ζημία ζωῆς ἐστὶ μείωσις καὶ ἐλάττωσις, εἰκότως ζημιοῦν τινὰ λέγεται ὁ θανάτῳ τὴν ζωὴν αὐτοῦ ἀφελόμενος. *ΕΖΗΜΙΩΣΕ*, ἠδίκησε. Gu. Fl. iidem. πρωθύστερον. Fl. 6.

V. 568—573. *ΠΡΟΣ ΘΕΩΝ* ἄκουσον δηλονότι. — ἐν οὐ καλῷ μὲν καιρῷ ἐμνήσθην τῶν θεῶν ἕνεκα φόνου κρινόμενος·— εἰ μετὰ σιωπῆς ἐπῄνουν τὰ τῆς μητρὸς, τί ἄν με ἔδρασεν ὁ ἀποθανὼν πατὴρ ἐμός; οὐκ ἄν με μισῶν ἀνετάραττε διὰ τῶν Ἐριννύων; ἢ τῇ μητρὶ παρυπάρχουσι σύμμαχοι αἱ Ἐριννύες, τῷ πατρὶ δὲ τῷ πλέον ἠδικημένῳ οὐ παρυπάρχουσι;

V. 570. *ΣΙΓΩΝ ΕΠΗΙΝΟΥΝ*, διὰ τὸ σιγᾷν ἐπῄνουν. Gu. Florr. iidem. πᾶς γὰρ ὁ ἀκούων τι κακὸν αὐτοῦ καὶ σιγᾷ δοκεῖ ἐπαινεῖν τοῦτο. Fl. 21.

V. 571. *ΑΝΕΧΟΡΕΥ'*, ἐτάρασσεν. (ἀνεβάκχευε καὶ ἀνέτρεπεν, ἀνεκίνει, παρηνώχλει.) Gu. παρεδίδου εἰς μανίαν. Fl. 21.

V. 574—593. *ΣΥ ΤΟΙ ΦΥΤΕΥΣΑΣ.* Ὁμηρικὸν

τοῦτο· σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην. (Il. ε, 875.) ὦ γέρον, σὺ γεννήσας θυγατέρα κακὴν, τὴν Κλυταιμνήστραν, ἔφθειρας ἐμέ· διὰ γὰρ τὴν ἐκείνης θρασύτητα πατρὸς ἐγὼ στερηθεὶς μητρὸς ἐγενόμην φονεύς. βλέπεις τὴν Ὀδυσσέως γυναῖκα Πηνελόπην. οὐ κατέκτανε Τηλέμαχος ὁ υἱὸς αὐτῆς· οὐ γὰρ ἐπεγάμβρευεν ἀνδρὶ ἄνδρα· μένει δ' ἐν οἴκοις ἀμίαντον καὶ σῶφρον τὸ εὐναστήριον. ὁρᾷς τὸν Ἀπόλλωνα, ὃς τὰς μεσομφάλους καθέδρας οἰκῶν τοῖς ἀνθρώποις σαφῆ μαντείαν δίδωσι, ᾧτινι Ἀπόλλωνι πειθόμεθα κατὰ πάνθ', ὅσα ἂν λέγῃ ἐκεῖνος· τούτῳ πειθόμενος ἐγὼ τὴν μητέρ' ἐφόνευσα. ἐκεῖνον τὸν Ἀπόλλωνα νομίσατε ἄδικον, καὶ φονεύσατε. ὁ Ἀπόλλων ἔσφαλεν, οὐκ ἐγώ. τί δεῖ με πράττειν; ἢ οὐκ ἔντιμος καὶ ἄξιος ὁ Ἀπόλλων λῦσαί μοι τὸ μίασμα εἰς ἐκεῖνον ἀναφέροντι. ποῦ τις λοιπὸν τράποιτ' ἂν, εἰ μὴ ὁ κελεύσας θεὸς ῥύσηταί 3) με, ὥςτε μὴ ἀποθανεῖν. ἀλλ' ὅτι μὲν οὐ καλῶς εἴργασται ταῦτα, μὴ λέγε. λέγε δ' ὡς οὐκ εὐτυχῶς ἡμῖν τοῖς δεδρακόσι. Ὅσοις δὲ τῶν ἀνθρώπων οἱ γάμοι συμπίπτουσιν, ἀντὶ τοῦ ἀπαντῶσι καλῶς, ὁ βίος ὑπάρχει μακαριστός· οἷςτισι δὲ μὴ διάκεινται καλῶς, καὶ κατὰ τὰ ἔνδον καὶ τὰ ἐκτὸς ἀτυχεῖς ὑπάρχουσιν.

V. 575. *ΦΥΤΕΥΣΑΣ*, γεννήσας. Gu. σπείρας. Fl. 53. *ΚΑΚΗΝ*, κακότροπον. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 578. *ΕΠΕΓΑΜΕΙ*, οὐ γὰρ ἐπὶ τῷ πόσει πόσιν ἕτερον εἰς γάμον ἑαυτῆς ἦγεν. Gu. m. pr. Florr. iidem. καὶ εἰς γάμον ἐλάμβανεν. Fl. 59. ἤγουν οὐκ ἔλαβεν εἰς γάμους πόσιν ἐπὶ ἑτέρῳ πόσει· καὶ γὰρ ἔζη ὁ ἀνὴρ αὐτῆς. Fl. 21. ἐμίγνυτο ἀπ' ἀνδρὸς εἰς ἄνδρα. Fl. 35.

V. 579. *ΜΕΝΕΙ*, καὶ ἀπόντι τῷ Ὀδυσσεῖ. Gu. Fl. 6. *ΥΓΙΕΣ*, ἀδιάφθορον. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀμίαντον, ἄφθαρτον. Gu. m. sec. *ΕΥΝΑΣΤΗΡΙΟΝ*, θάλαμος. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 580. *ΕΔΡΑΣ*, καθέδρας, κατασκηνώσεις. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

V. 581. *ΣΤΟΜΑ ΣΑΦΕΣ.* ἀντὶ τοῦ χρησμοὺς ἀλη-

3) Junt. ῥύσηταί με. Basil. ῥύσῃ τέ με. Correxit Barnes.

θεστάτους. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΝΕΜΕΙ*, δίδωσιν. (παρέχει.) Gu. Florr. iidem.

V. 583. *ΤΟΥΤΩι ΠΙΘΟΜΕΝΟΣ.* διὰ τοῦ ι ἐνταῦθα τὸ πιθόμενος. ὅτι δὲ καὶ [4]) οὕτω γράφεται παρὰ τοῖς ποιηταῖς, δῆλον καὶ ἀπὸ τούτων·

„Ἡ λίθος ἔστ' ἀμέθυστος· ἐγὼ δ' ὁ πότης Διόνυσος.
„Ἢ πιθέτω νήφειν, ἢ μαθέτω μεθύειν.“

V. 585. *ΧΡΗΝ*, πρέπον ἦν. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

V. 586. *Η ΟΥΚ ΑΞΙΟΧΡΕΩΣ.* ἢ ὁ θεὸς, εἰς ὃν ἀναφέρω τὴν αἰτίαν τοῦ μίσους, οὐκ ἔστιν ἱκανὸς καὶ ἀξιόπιστος τοῦ λῦσαι τὴν αἰτίαν τοῦ μιάσματος. MS. C. C. C. *ΑΞΙΟΧΡΕΩΣ*, ἔντιμος. (ἀξιόπιστος, ἱκανὸς, ἄξιος, δυνατός.) Gu.

V. 587, *ΦΥΓΟΙ*, ἀντὶ τοῦ καταφύγοι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. διὰ τούτου ἐκφοβεῖ αὐτόν. Fl. 21.

V. 588. *Ο ΚΕΛΕΥΣΑΣ*, ὁ προστάξας (τοῦτο ποιῆσαι ἤγουν φονεῦσαι). Gu.

V. 589 sq. *ΑΛΛ' ΩΣ ΜΕΝ ΟΥΚ ΕΥ.* ἀλλ' ὅτι μὲν οὐ καλῶς πεποίηται (πέπρακται) ταῦτα, μὴ λέγε· καλῶς μὲν γὰρ δηλονότι πέπρακται· οὐκ εὐδαιμόνως δὲ ἤγουν εὐτυχῶς ἡμῖν τοῖς δράσασιν. (*ΟΥΚ ΕΥ* εἴργασται· ὑπὸ γὰρ ἄλλων ἔδει πεπρᾶχθαι.) Gu.

V. 591. *ΕΥ ΚΑΘΕΣΤΑΣΙΝ*, καλῶς διάκεινται, καλῶς ἔχουσιν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 592. *ΜΑΚΑΡΙΟΣ ΑΙΩΝ.* τούτοις δηλονότι μακάριος ὁ αἰὼν, ἤτοι [5]) ὁ βίος, ἀντὶ τοῦ οὗτοι ἀπολαύουσι βίου, δι' ὃν μακαρίζονται. ὡς γὰρ μακάριον τέλος λέγεται, οὗ ὁ τυχὼν μακαρίζεται, οὕτω καὶ μακάριος βίος, οὗ ὁ ἀπολαύων μακαρίζεται. τὸ γὰρ ἀπολαῦον ἀγαθοῦ τινος

4) καὶ ante οὕτω e Gu. addidi; idem jam habet King. In Gu. et Florr. 6. 9. 17. 21. 56. 59. 76. pro ἀμέθυστος est ἀμέθυσος.

5) ἤτοι. Gu. ἤγουν.

εἰκότως ἂν μακαρίζοιτο διὰ τὴν ἀπόλαυσιν. μακαρίζεται γάρ τις ἐφ' οἷς ἔχει [6]) καλοῖς, ἤγουν ἐφ' οἷς ἀπολαύει. τὸ δὲ παρέχον τὴν ἀπόλαυσιν, ἤγουν ἐκεῖνο οὗ ἀπολαύει τις, οὐκ ἔχει λόγον μακαρίζεσθαι. ὥςτε ὅτε [7]) τοιοῦτό τι λέγεται μακάριον, οὐ δι' ἑαυτὸ οὕτω λέγεται, ἀλλὰ διὰ τὸ ἀπολαῦον αὐτοῦ. *ΟΙΣ ΔΕ ΜΗ ΠΙΠΤΟΥΣΙΝ ΕΥ*, ἀντὶ τοῦ ἀπαντῶσιν. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων. καὶ Σοφοκλῆς· ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. (ap. Brunck. fr. inc. LXXXIV. p. 695.)

V. 593. *ΤΑ Τ' ΕΝΔΟΝ*, οὗτοι κατὰ τὰ ἔνδον καὶ κατὰ τὰ ἐκτὸς εἰσὶ δυςτυχεῖς. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. ὁ γὰρ γυναῖκα μοιχευομένην ἔχων, οὐ μόνον αὐτὸς διὰ τὴν μοιχείαν λυπεῖται, καὶ τὴν γυναῖκα ἐπιβουλεύουσαν ἀεὶ ἔχει καὶ μαχομένην, ἀλλὰ καὶ τοῖς ἁπάντων μυκτηρίζεται στόμασιν. Gu. m. sec. Baroc. 74. *ΘΥΡΑΖΕ*, ἔξω τῶν θυρῶν ἤγουν τῆς οἰκίας. Gu. m. sec.

V. 594 sqq. *ΑΙΕΙ ΓΥΝΑΙΚΕΣ.* ἀεὶ τὸ γυναικῶν γένος συμφοραῖς καὶ δυςτυχίαις ὑποκείμενον ἐμπόδιον γίνεται τῶν ἀνδρῶν εἰς δυςτυχίαν, τουτέστι τοὺς ἰδίους ἄνδρας ταῖς σφετέραις αὐτῶν κακίαις εὐτυχίας ἀφιστῶσαι πρὸς δυςτυχίαν ἐπάγουσιν· ὃ καὶ Κλυταιμνήστρα πεποίηκεν. Ἄλλως. ἀεὶ, φησὶν, αἱ γυναῖκες ταῖς ἰδίαις δυςτυχίαις ἐμποδίζουσι ταῖς εὐτυχίαις τῶν ἀνδρῶν. Ἄλλως. ἀεὶ αἱ γυναῖκες ἐμποδίζουσι ταῖς ἀγαθαῖς συντυχίαις, καὶ πρὸς τὸ δυςτυχεῖν ἄγουσι τοὺς ἄνδρας. Ἄλλως. συμφορὰς νῦν τὰς συντυχίας καλεῖ. πεφύκασι, φησὶ, αἱ γυναῖκες ἐμποδίζειν τοῖς ἀνδράσι, καὶ ἐν ταῖς πρὸς τούτους συντυχίαις καὶ κοινωνίαις ἄγειν αὐτοὺς πρὸς τὸ δυςτυχέστερον. καὶ οὕτως· πεφύκασιν ἐμποδίζειν αἱ γυναῖκες ταῖς παρ' ἑαυτῶν συμφοραῖς τοῖς ἀνδράσιν ἐν τοῖς καλοῖς, καὶ πρὸς τὸ δυςτυχέστερον αὐτοὺς ἄγειν. *ΑΙΕΙ ΓΥΝΑΙΚΕΣ.* συμφορά ἐστιν ἀκούσιον σύμπτωμα. οὐ συμφωνεῖ δὲ ἐνταῦθα τῇ ἀγανακτήσει τοῦ χοροῦ τὸ τὰς γυναῖκας τοῖς ἰδίοις συμπτώμασι τοῖς ἀκουσίοις ἐμποδὼν καθίστασθαι τοῖς ἀνδράσιν· τοῦτο γὰρ σχεδὸν τὰς γυναῖκας ἔξω αἰτίας ποιεῖ. ἄλλως τε οὐδὲ ἡ Κλυταιμνήστρα ἀκουσίῳ ἑαυτῆς συμπτώματι ἐμποδὼν τῷ

6) ἐφ' οἷς ἔχει. Sic Gu. Vulgo ἐφ' οἷς ἂν ἔχοι.

7) ὅτε. Sic Gu. prout jam edidit King. Ante erat ὅ, τι.

ἀνδρὶ ἐγένετο, καὶ τὸ αἰεὶ δὲ οὐ καταλλήλως ἔχει πρὸς τὸ ἔφυσαν, δοκεῖ δὲ τὸ πᾶν οὕτως ἔχειν· αἱ γυναῖκες ἐγεννήθησαν ἐμποδὼν ἀεὶ εἶναι τοῖς ἀνδράσι δηλονότι· τοῦτο γὰρ συνυπακούεται ἀπὸ τοῦ ἐπαγομένου ἐπὶ ταῖς συμφοραῖσι τῶν ἀνδρῶν, ὥςπερ εἰ εἶπεν ἐπὶ τῷ κακῷ τῶν ἀνδρῶν, τουτέστι χάριν τῶν συμφορῶν τῶν ἀνδρῶν, ἐφ᾽ ἃς αὐτοὺς δηλονότι αὗται ἐμβαλοῦσιν αὐτῶν, οὐχ ὥςτε αὐτοῖς μετρίως ἐπιθέσθαι αὐτὰς, ἀλλὰ πρὸς τὸ δυςκολώτατον. Gu. m. pr. Fl. 6. 9. 34. 59. 76.

V. 594. *ΣΥΜΦΟΡΑΙΣ*, ταῖς αὐτῶν δυςτυχίαις. συμφορὰ λέγεται πολλῶν πραγμάτων συνδρομὴ, φορὰ δὲ ἡ κίνησις. Gu. m. sec.

V. 595. *ΕΦΥΣΑΝ*, φυσικῶς εἰσὶ διὰ τὴν χαυνότητα, ἐγεννήθησαν. Gu. *ΔΥΣΤΥΧΕΣΤΑΤΟΝ*, δυςκολώτατον. Gu. Fl. 25.

V. 596. *ΘΡΑΣΥΝΕΙ*, ἀναιδὴς φαίνῃ. Gu. *ΥΠΟΣΤΕΛΛΕΙ*, ὑποπίπτεις, ὑποκλίνεις, ὑποτάσσῃ, ταπεινῇ, μετριάζῃ. Gu. 8) *ΛΟΓΩι*, ὁμιλίᾳ, κατὰ τὸν λόγον. Gu.

V. 597. *ΑΜΕΙΒΕΙ*, ἀνταποκρίνῃ, ἀποκρίνῃ. Gu. *ΑΛΓΗΣΑΙ*, λυπηθῆναι. Gu.

V. 598. *ΑΝΑΨΕΙΣ*, ἐγείρεις, παρακινήσεις, παρορμήσεις, ἀναπτερώσεις. Gu. 9) *ΕΞΕΛΘΕΙΝ*. περισσὴ ἡ ἐξ. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

V. 599. *ΚΑΛΟΝ ΠΑΡΕΡΓΟΝ*. ποιήσομαι αὐτὸ, τὸ φονεῦσαί σε δηλονότι, καλὸν 10) πάρεργον τῶν πόνων, ἤγουν ἔργον ἔξω τοῦ σκοποῦ τῶν πόνων, ὧν 1) οὕνεκ᾽ ἦλθον, λέγω κοσμήσων τὸν τάφον τῆς θυγατρός. *ΚΑΛΟΝ ΠΑΡΕΡΓΟΝ*. ἀντὶ τοῦ σπουδαῖον, τῶν ἐμῶν πόνων καλὸν ἡγήσομαι πάρεργον. πόνων δὲ λέγει τῶν κατὰ τὸν τάφον θυσιῶν. ὡς ἐν παρέργῳ δὲ τὸν κατὰ Ὀρέστου λόγον ποιεῖται. καὶ τὸ πάρεργον ὡς ἔργον, φησὶ, θήσομαι. Ἄλλως. ἐγὼ μὲν, φησὶν, ἦλθον τὰ πρὸς τὴν θυσίαν ἐκπονῆσαι τῇ θυγατρί· νῦν δὲ ὑπὸ σοῦ παροξυνθεὶς, διὰ σπουδῆς καὶ τοῦτο θήσομαι τὸ ἔργον, τὸ σὲ φονευθῆναι. καὶ παραγενόμενος εἰς τὴν ἐκκλησίαν ἤδη παροξυνῶ πάντας κατὰ σοῦ, καὶ μὴ βουλομένους. πάρεργον δὲ εἶπεν, ἐπεὶ οὐ τοῦτο ἦν αὐτῷ τὸ προκείμενον.

8) ὑποκλίνῃ: ὑποπίπτῃς habet etiam Fl. 34. μετριάζεις, ταπεινῇ 6. 9. 17. 25. 56. 59. 76.

9) ἀνακινήσεις habet Fl. 6. ἢ ἀνάξεις ἤγουν παρορμήσεις 21. ἀναπτερώσεις 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

10) σε post φονεῦσαι e Gu. addidi, praeeunte Kingio. Tum pro καὶ οἱ πάρ. dedi καλὸν π. ex eodem cod. qui legit: θήσομαι δὲ ἤγουν ποιήσω αὐτὸ, τουτέστι τὸ φονεῦσαί σε, καλὸν πάρεργον τῶν πόνων.

1) ὧν e conjectura addidi, sensu, ut videbatur, postulante.

V. 600. *ΚΟΣΜΗΣΩΝ*. διὰ τῶν θυσιῶν καὶ τῶν ἀναθημάτων. θυσιάσων. Gu.

V. 601. *ΕΚΚΛΗΤΟΝ*, ἤγουν εἰς τὴν συνάθροισιν τῶν Ἀργείων. (συνηθροισμένον, τὸν ἐκκλησιάζοντα. τὸν συνεδριάζοντα ἐν τῇ ἐκκλησίᾳ.) Gu.

V. 602. *ΑΝΑΣΕΙΣΩ*, παρακινήσω. (ἐφορμήσω, ἐπάξω.) Gu. Fl. 6. 9. 17. 21. 25. 56: 59. 76.

V. 603—606. *ΣΟΙ ΣΗι Τ᾽ ΑΔΕΛΦΗι*, κατὰ σοῦ καὶ τῆς σῆς ἀδελφῆς, ὥςτε δοῦναι ὑμᾶς δίκην διὰ λίθων. μᾶλλον γὰρ σοῦ ἐκείνη, ἤγουν ἡ ἀδελφή σου, ἐστὶν ἀξία θανεῖν, ἣ κατὰ τῆς τεκούσης σε ἄγριον καὶ χαλεπὸν ἐποίησε, 2) ἀεὶ πέμπουσα μύθους εἰς τὸ οὖς, ἤγουν ψιθύρους λόγους πέμπουσα ἐπὶ τὸ δυσμενέστερον, ἤγουν ἐχθρωδέστερον, βλέποντας δηλονότι.

V. 607. *ΤΑΓΑΜΕΜΝΟΝΟΣ*, ἃ ὁ Ἀγαμέμνων δῆθεν ἔπεμψεν. (ἃ δι᾽ ἐκεῖνον ἑώρα.) Gu. ἃ περὶ τοῦ Ἀγαμέμνονος ἐφαντάζετο. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 608. *ΚΑΙ ΤΟΥΘ᾽ Ο*, τὴν μοιχείαν λέγει. ἀπὸ κοινοῦ δὲ ἀπαγγέλλουσα, ἵν᾽ ᾖ καὶ τὸ Αἰγίσθου λέχος ἀπαγγέλλουσα. *Ο ΜΙΣΗΣΕΙΑΝ*. ἐπεὶ περὶ τεθνεώτων εἶπε, διὰ τοῦτο εἶπεν, οἱ νέρτεροι θεοὶ μισήσειαν. *ΜΙΣΗΣΕΙΑΝ*, εἴθε. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 609. *ΚΑΙ ΓΑΡ ΕΝΘΑΔ᾽ ΗΝ*. καὶ γὰρ ἐνταῦθα τοῦ ἔργου πικρὸν ἦν τὸ πραττόμενον ὑπὸ ταύτης, του-

2) Verba ἣ κατὰ — ἐποίησε e MS. C. C. C. addidit King. e quibus vv. κατὰ τῆς τεκούσης in Gu. sunt a pr. m. ἄγριον καὶ χαλ. ἐπ. a sec. m. pro glossa supra scripta. King. omisit etiam vv. ἐπὶ τὸ δυςμενέστερον, ἤγουν, et δηλονότι. ἀεὶ — δηλονότι leguntur etiam in Gu. et Florr. 6. 9. 17. 21. 56. 59. 76.

τέστι, κατ' αὐτὸ γὰρ τοῦτο μάλιστα πικρότατον ἦν αὐτῇ συνεχῶς τὸ λέχος, καὶ τὴν μοιχείαν ὀνομάζουσα, κἀκ τούτων παροξύνουσα τὸν ἀδελφόν. ἢ οὕτως. καὶ γὰρ κατ' αὐτὸ τοῦτο πικρὸν ἦν τὸ πρᾶγμα, ὅτι μοιχεία ἦν. ἢ τὸ ἐνθάδε, ἀντὶ τοῦ κατὰ τὸν ἐν τῷ ζῆν βίον. οἷον αὕτη σε ἠγρίωσεν [3]) ὀνομάζουσα τὸ ἐκείνης λέχος, καὶ τὴν μοιχείαν Αἰγίσθου, ἵν' εἴη καὶ τοὺς χθονίους μισεῖσθαι θεοὺς, καὶ τὰς τῶν κατοιχομένων ψυχάς. καὶ γὰρ τοῖς ζῶσι πικρὸν ἡ μοιχεία. ΕΝΘΑΔ', ἤγουν ἐν τοῖς ἄνω (εἰς τοσοῦτον). Gu. [4]) ΚΑΙ ΓΑΡ. καὶ γὰρ πικρότατον ἦν μέχρις ὅτου ἐμίσγετο ὁ Αἴγισθος τῇ Κλυταιμνήστρᾳ καὶ ἦν αἰτία τῇ Ἠλέκτρᾳ κατηγορεῖν. Fl. 21. ΠΙΚΡΟΝ ἀντὶ τοῦ ἀλγεινόν. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. αἰσχρὸν γὰρ ἦν ἐν τοῖς ἀνθρώποις μοιχὸν εἶναι τὴν τοῦ ἄνακτος ἄλοχον. Fl. 21.

V. 610. ΕΩΣ ΥΦΗΨΕ. ἐπεὶ μεταφορᾷ χρώμενος εἶπεν ἀνῆψε δῶμα, οἷον ἀπώλεσεν, ἐπήνεγκεν ἀνηφαίστῳ πυρὶ, δηλονότι ἄνευ πυρὸς διέφθειρε τὸν οἶκον. ΑΝΗΦΑΙΣΤΩι. τῷ ὕλην μὴ ἔχοντι. πυρὶ εἰπὼν, ἐπάγει [τῷ] ἀνηφαίστῳ, ἵνα δηλονότι δηλώσῃ, ὅτι οὐ τοῦτο λέγει τὸ πῦρ, τὸ τὰ ξύλα καὶ τὴν ὕλην ἀναλίσκον, ἀλλ' ἕτερον μέν τι, ὁμοίως δὲ τούτῳ ἀναλωτικὸν [5]) καὶ φθαρτικόν. Ἄλλως. Ἐπεὶ τὸ ὑφῆψεν εἶπεν ἀντὶ τοῦ ἀπώλεσεν, εἰκότως καὶ τὸ δίχα πυρὸς προσέθηκεν. ΥΦΗΨΕ, ἔκαυσεν, ἠφάνισεν. Gu. ΑΝΗΦΑΙΣΤΩι ΠΥΡΙ, τουτέστιν ἐν συμφορᾷ. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦτο γὰρ ἀνέτρεχε τὸν οἶκον τῶν ἐνοικούντων ἀθλίως φονευθέντων. Gu. m. sec. τὸ λέχος τοῦ Αἰγίσθου καλεῖ ἀνήφαιστον πῦρ, ὡς τῇ δυνάμει ἴσον κατεργασάμενον· ἀναλωτικώτερον γὰρ τῶν ἄλλων τὸ πῦρ. Fl. 59.

V. 611. ΠΡΟΣ, πρὸς τῷ λέγειν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 612. ΤΟΥΜΟΝ ΕΧΘΟΣ, τὴν ἐμὴν ἔχθραν. (ὃ

3) ἠγρίωσεν ex em. Barn. Vulgo ἐζώγρησεν.

4) Florr. 6. 9. 17. 21. 25. 56. 59. 76. ἢ ἐπὶ τοσοῦτον.

5) ἀναλωτικόν. Sic Gu. prout edidit Barn. Flor. 59. etiam ἀναλωτικὸν γὰρ τὸ πῦρ. Supra in cod. τῷ deest ante ἀνηφαίστῳ. Debebat saltem esse τό.

πρὸς αὐτοὺς ἔχω.) Gu. ΕΝΑΡΙΘΜΗι δὲ ἀντὶ τοῦ φροντίζῃ καὶ ἐν φροντίδι ἔχεις. οἷον εἰ ἐφορᾷς τὸ παρ' ἐμοῦ μῖσος, καὶ τὴν ἐμὴν συγγένειαν καὶ φιλίαν, ὅρα μὴ θελήσῃς ἀμύνειν καὶ βοηθεῖν τῷδε, εἰς φόνον ἐναντίον ἤτοι μισητὸν τοῖς θεοῖς. ἔα δὲ καταφονευθῆναι ὑπὸ τῶν πολιτῶν, διὰ τῶν πετρῶν. εἰ δὲ μὴ, μὴ ἐπίβαινε τῆς Σπαρτιάτιδος γῆς. ΕΝΑΡΙΘΜΗι, ἐν ἀριθμῷ τάττεις, ἀξιοῖς λόγου. Gu. Fl. 6. 9. 17. 56. 59. 76. ΚΗΔΟΣ, ἡ συγγένεια, ἡ λύπη καὶ ἡ φροντίς. Gu. κῆδος ἡ συγγένεια καὶ ἡ λύπη. σημαίνει δὲ καὶ ἄλλα, ὅτε γράφεται διὰ τοῦ η. Fl. 21.

V. 613. ΑΜΥΝΕΙΝ. μὴ λάβῃς εἰς τὸ ἀμύνειν θέλε, ὥς τινες, ἀλλ' ἔστι πρὸς τὸ σοὶ δ' ἐγὼ τάδε λέγω. ΦΟΝΟΝ, κατὰ τὸν φόνον τὸν ἐναντίον τοῖς θεοῖς· οἱ γὰρ θεοὶ μισοῦσι αὐτὸν τοιαῦτα ποιήσαντα. Fl. 6. 21. ΦΟΝΟΝ, εἰς. Gu. m. pr. ΕΝΑΝΤΙΟΝ, ἐξεναντίας. Gu.

V. 614. ΚΑΤΑΦΟΝΕΥΘΗΝΑΙ. περισσὴ ἡ κατά. Gu. Fl. 6. 9. 17. 56. 59. 76. ΠΕΤΡΟΙΣ, διὰ πέτρων. ἡ εὐθεῖα ὁ πέτρος Ἀττικῶς. Gu. Florr. iidem.

V. 615. Η, εἰ δὲ μή. Gu. Η ΜΗ ΕΠΙΒΑΙΝΕ. Λακεδαίμονος πρῶτος ἦρξε Λέλεξ, ἀφ' οὗ καὶ Λέλεγες ὠνομάζοντο. ἔσχε δὲ παῖδας ἐκ Περιδίας, Μύλην, Πολύκλωνα, Βωμολόχον, Θεράπνην. τούτων ὁ Μύλης ἐκ Τηλεδίκης ἴσχει Εὐρώταν καὶ Κηπεδίαν. Εὐρώτας δὲ ἄρξας μετὰ τὸν κατακλυσμὸν, λιμναζόμενον ἐργασάμενος καὶ ποταμὸν ποιήσας Εὐρώταν ὠνόμασεν. οὗτος ἐκ Κλήτης ἴσχει θυγατέρα Σπάρτην· ἣν ἀγαγόμενος Λακεδαίμων ὁ ταύτης ἄρξας, τοὺς μὲν Λέλεγας Λακεδαιμονίους, τὸ δὲ ὄρος Ταΰγετον καὶ τὴν πόλιν, ἣν ἔκτισε, Σπάρτην ὠνόμασε. [6])

V. 616. ΙΣΘΙ, γίγνωσκε, δηλονότι ὅτι πάντα γενήσεται. Fl. 21. ΔΥΣΣΕΒΕΙΣ, τοὺς δυςσεβῶς λέγοντας.

6) Ad hanc genealogiam cf. Paus. III, 1. a quo duo tantum Lelegis filii commemorantur Μύλης καὶ νεώτερος Πολυκάων. Quod deinde in scholio est λιμναζόμενον ἐργασάμενος — ὠνόμασεν, ita Paus. extulit: οὗτος τὸ ὕδωρ τὸ λιμνάζον ἐν τῷ πεδίῳ διώρυχι κατήγαγεν ἐπὶ θάλασσαν. ἀποῤῥυέντος δὲ (ἦν γὰρ δὴ τὸ λοιπὸν ποταμοῦ ῥεῦμα) ὠνόμασεν Εὐρώταν. Noster locus haud dubie corruptus est. Excidisse etiam videtur nomen Taygetes, quae Lacedaemonis mater fuit.

Gu. m. pr. Fl. 6. 9. 17. 56. 59. 76. τὸν Ὀρέστην καὶ τὴν ἀδελφήν. Gu. m. sec.

V. 617. *ΕΛΗι*, προκρίνῃ. Fl. 17. (— κρίνεις. Gu. Fl. 6. 9. 21. 56. 76. — κρίνῃς. Fl. 59.) *ΠΑΡΩΣΑΣ*, παρωσάμενος. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. παρωσάμην ἀντὶ τοῦ παρέδραμον, ἀπωσάμενος. Gu. m. pr. in marg. Florr. iidem et 34. ἀποπέμψας εἰς οὐδὲν λογισάμενος. Gu. m. sec. *ΕΥΣΕΒΕΣΤΕΡΟΥΣ* τοὺς εὐσεβῶς λέγοντας. τὸ συγκριτικὸν ἀντὶ ἁπλοῦ. Gu. m. pr. MS. C. C. C.

V. 618. *ΠΡΟΣΠΟΛΟΙ*, δοῦλοι. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

V. 619. 620. *ΣΤΕΙΧ᾽ ΩΣ ΑΘΟΡΥΒΩΣ*. πορεύου, ὅπως ὁ μέλλων, ὁ προσελθών μοι λόγος, τοῦ σοῦ γήρως ὑπείκοντος, ἀθορύβως πρὸς τὸν Μενέλαον γένηται. *ΣΤΕΙΧΕ*. ἀπέρχου, ἵνα ὁ ἐπελθὼν ἡμῖν λόγος ἀφίκηται πρὸς τόνδε, τὸν Μενέλαον δηλονότι, ἀνενοχλήτως, ἀποφυγὼν τὸ σὸν γῆρας, ἤτοι τὴν σὴν ὀργὴν καὶ ἀγανάκτησιν.

V. 620. *ΓΗΡΑΣ — ΤΟ ΣΟΝ*, ὃ αὐτὸς μὲν αἰδοῦμαι, τὸ δὲ (αὐτὸς δὲ Fl.) πρὸς τοὺς ἐμοὺς λόγους δυσχερῶς (χαλεπῶς Fl.) ἔχει, καὶ οὐκ ἀκούειν ἐθέλει. Gu. m. sec. Fl. 6.

V. 621. 622. *ΜΕΝΕΛΑΕ, ΠΟΙ ΣΟΝ*. ποῖ κυκλοῖς, ἤγουν στρέφεις, τὸν σὸν πόδα 7) ἐπὶ συννοίᾳ, ὢν δηλονότι, ἤγουν ἐν φροντίδι καὶ σκέψει τῇ μετὰ σεαυτοῦ, διττὰς ὁδοὺς ἐρχόμενος διττῆς φροντίδος, τουτέστι διπλοῦν λογισμὸν φροντίδος ἔχων. *ΜΕΝΕΛΑΕ, ΠΟΙ*. ὡς τῷ ποδὶ τὸ ἔδαφος περιγράφοντος αὐτοῦ καὶ διστακτικῶς ἔχοντος καὶ ἀναλογιζομένου, εἰ δέοι ταῦτα ποιεῖν, ὅπερ ποιοῦσιν οἱ ἀμηχανοῦντες ἐν πράγμασι.

V. 622. *ΔΙΠΛΗΣ — ΟΔΟΥΣ*, βοηθῆσαι ἢ μή. Gu. *ΔΙΠΤΥΧΟΥΣ* ἤγουν διπλᾶς· οἱ γὰρ ἀμφιβάλλοντες ἀμφιρρεπεῖς εἰσὶ, ζητοῦντες ὅπῃ ἂν τράπωνται. Gu.

V. 623. *ΣΥΝΝΟΟΥΜΕΝΟΣ*, συλλογιζόμενος. Gu.

7) τὸν σὸν πόδα e Gu. recepi, qui antea κυκλεῖς. In eo vv. διττὰς ὁδοὺς ἐρχ. κ. τ. λ. disjuncta ab his, aliud scholion constituunt, in quo deest in fine ἔχων.

m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. σκεπτόμενος. Gu. m. sec.

V. 624. *ΑΜΗΧΑΝΩ*. ποῦ τῆς τύχης τράπωμαι, τουτέστιν ἀπορῶ, τίνι μᾶλλον βοηθήσω, σοὶ ἢ Τυνδάρεῳ. ὁ μὲν γὰρ οὐκ ἐᾷ με σοὶ προσθέσθαι 8) δεινὰ ἐπαπειλούμενος, σὺ δὲ ἀδελφιδοῦς ὢν ἐμοὶ ἀναγκαίως δίκαιος εἴης τῆς παρ᾽ ἐμοῦ τυχεῖν βοηθείας. Ἄλλως. Ἀμηχανῶ εἰς ὁποίαν τύχην τράπωμαι. τύχην ἐνταῦθα προσδοκωμένην λέγει, τουτέστιν ἀμηχανῶ ποτέραν μερίδα τῶν προσδοκωμένων συμβήσεσθαι προτιμήσω. Ἄλλως. Ποῦ τῆς τύχης τράπωμαι, πότερον σοὶ συνέλθω, ἢ Τυνδάρεῳ· τοῦτο γὰρ δηλῶσαι ἠβούλετο.

V. 625. 626. *ΜΗ ΝΥΝ ΠΕΡΑΙΝΕ*. μὴ τὸ δοκοῦν σοι εἰς πέρας ἄγε, πρὶν ἀκούσῃς τοὺς ἐμοὺς λόγους· ἐπεὶ γὰρ ἐν δοιασμῷ ἦν ἀμηχανῶν διὰ τὴν τύχην, ὅποι τράπηται, παραινεῖ αὐτῷ μήπω τῇ δοκήσει πέρας ἐπιθεῖναι, πρὶν ἀκοῦσαι τοὺς αὐτοῦ λόγους, καὶ οὕτω βουλεύσεσθαι.

V. 625. *ΠΕΡΑΙΝΕ*, πλήρου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΤΗΝ ΔΟΚΗΣΙΝ*, τὴν δόξαν. Gu. m. pr. Fl. 6. 9. 17. 25. 34. 56. 59. 76. τὸ σοὶ δόξαν, βούλημα. Gu. m. sec. τὴν δόξαν, τὴν βούλησιν τὴν σήν. Fl. 21.

V. 627. *ΕΣΤΙ Δ᾽ ΟΥ ΣΙΓΗ*, οἷον ἔστι καιρὸς ὅπου ἡ σιγὴ κρείσσων τοῦ λόγου, καὶ ἔστιν ὅπου ὁ λόγος τῆς σιγῆς κρείσσων. *ΕΣΤΙ Δ᾽ ΟΥ*, ἔστι γὰρ τόπος ὅπου. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. καιρὸς ἢ πρᾶγμά τι. Gu. m. sec.

V. 629 sq. *ΤΑ ΜΑΚΡΑ*. ἐναντιοῦται τῇ Μενελάου βραχυλογίᾳ, τὴν μακρολογίαν προκρίνων· οἱ γὰρ Λάκωνες βραχυλόγοι· καὶ Ὅμηρος, παῦρα μὲν, ἀλλὰ μάλα λιγέως. (Il. γ', 214.) ὁ δὲ νοῦς, ἡ μακρὰ διήγησις καὶ τὸ διὰ πλειόνων ποιεῖσθαι τὴν ἀφήγησιν σαφέστερον παρίστησι τὸ πρᾶγμα τῶν συντόμων λόγων. ἀνάσχου οὖν τῆς ἐμῆς μακρολογίας, ἐπεὶ σαφεστέρα ἐστί. τὸ δὲ ἐπίπροσθεν,

8) προσθέσθαι. Sic emend. vulgatum προθέσθαι. Gu. (in quo haec sunt a m. sec. sqq. post ἄλλως a m. pr.) προσέσθαι. Idem τίνι μᾶλλον βοηθήσαιμι. In sqq. λέγει, ut edid. King. pro λέγειν, praebet Gu. qui etiam transponit τύχην ἐνταῦθα λέγει προσδοκωμένην.

ἀντὶ τοῦ προτιμότερά ἐστι τὰ μακρὰ διηγήματα τῶν συν- τόμων λόγων. ἔνιοι δὲ ἀθετοῦσι τοῦτον καὶ τὸν ἑξῆς στί- χον· οὐκ ἔχουσι γὰρ τὸν Εὐριπίδειον χαρακτῆρα. καὶ πε- ποίηται ὁ νοῦς διὰ τὸν Μενέλαον· οἱ γὰρ Λάκωνες βραχύ- λογοι. *ΤΑ ΜΑΚΡΑ*, τὰ ἐπὶ πολὺ ἐκτεταμένα. *ΤΩΝ ΣΜΙΚΡΩΝ* ἀντὶ τοῦ τῶν βραχέων, ἤγουν τῶν ἐπ' ὀλίγον ἐκτεταμένων. (ἐκτεινομένων. Gu. MS. C. C. C.) *ΕΠΙ- ΠΡΟΣΘΕΝ ΕΣΤΙ.* προτιμότερα. (κρείττονα add. Gu. m. sec.)[9]) *ΣΑΦΗ*, εὔγνωστα. Gu. m. sec. *ΣΑΦΗ ΜΑΛ- ΛΟΝ*, ἀντὶ τοῦ σαφέστερα εἰς τὸ *ΚΑΤΕΙΝ*. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὰ μὲν γὰρ κατὰ λεπτὸν διασαφοῦσι τὴν ὑπόθεσιν, τὰ δ' ὡς οἷόν τε αὐτὴν εἰς ὀλίγον συνάγουσι καὶ διὰ τοῦτο ἀσάφειαν ἔχουσιν. *ΤΑ ΜΑΚΡΑ*. Λακεδαιμόνιος ὁ Μενέλαος, Λακεδαιμόνιοι δὲ οὐχ ἥκιστα τῇ συντομίᾳ χαίρουσι. προςθεραπεύει (l. προθερ.) τοίνυν τὸν ἀκροατὴν, ἵνα ἀναμείνῃ τὸ μὴ ἐκ τῶν λόγων ἀλύπως, ὅτι βραχυλογίαν ἄρκουσιν (sic) οἱ Λάκωνες. ἀνέχου οὖν, φησὶ, τῆς ἐμῆς μακρολογίας, ἐπεὶ τὰ μακρὰ καὶ σαφέστε- ρα. Fl. 21. τὰ μεγάλα πράγματα πρόδηλα μᾶλλον καὶ σα- φῆ ἀκοῦσαι εἰσὶ διὰ μακρῶν λόγων ἢ διὰ μακρῶν καὶ ἐκ- τεταμένων λόγων. 18 Abbat. Flor.

V. 632. *Α Δ' ΕΛΑΒΕΣ ΑΠΟ ΔΟΣ.* τούτου ῥηθέν- τος αἴρουσιν οἱ ὑποκριταὶ τὴν χεῖρα, ὡς τοῦ Μενελάου ἀγωνιῶντος, μή ποτε λέγει, ὅτι παρακαταθήκην ἀργυρίου παρὰ τοῦ πατρὸς πεπίστευται. εὐήθης δέ ἐστιν ὁ τοιαύτης ὑποψίας ἀντιλαμβανόμενος Μενελάου. εἰ γὰρ μήτε τὸν λέ- γοντα ᾔδει, μήτε οὗ ἐστι χρεία, ἴσως ἂν εἶχέ τι πιθανὸν τὸ γινόμενον· ἐπεὶ δὲ ἐπίσταται, περιττὸν καὶ ἄπορον τὸ γιγνόμενον.

V. 633. *ΟΥ ΧΡΗΜΑΤ' ΕΙΠΟΝ.* οὐ λέγω, φησὶ, χρήματα, χρυσὸν καὶ ἄργυρον, ἀλλὰ τῷ ὄντι χρήματα εἶ- πον τὴν ἐμαυτοῦ ψυχὴν, ἥτις ἐστί μοι χρῆμα τιμιώτατον. ἣν ἐὰν σώσῃς, καλὴν ἀμοιβὴν μοι δίδως. *ΟΥ ΧΡΗΜΑΤ' ΕΙΠΟΝ*, (ἀποδοῦναι ἐμοὶ) λέγω. Gu. Fl. 6. *ΧΡΗΜΑ- ΤΑ*, λέγω. Gu.

V. 634. *ΣΩΣΗΙΣ*, φυλάξῃς. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΠΕΡ ΜΟΙ ΦΙΛΤΑΤ' ΕΣΤΙ.* Ἀττικὸν. ἀντὶ τοῦ ὅπερ φίλτατόν ἐστιν ἐμοὶ τῶν ἐμῶν. (δέον εἰπεῖν ἥπερ πρὸς τὸ ψυχὴν, ἅπερ εἶπε πρὸς τὰ (l. τὸ) χρή- ματα.[10]) οὐδὲν γὰρ ἀνθρώποις τιμιώτερον ψυχῆς.) Gu.

9) Secutus sum in his disponendis cod. Gu.

V. 635 sqq. *ΑΔΙΚΩ; ΛΑΒΕΙΝ.* εἰ καὶ ἄδικον ἐποίησα φονεύσας τὴν μητέρα, ἀλλὰ σὺ ἐν τοιούτῳ μοι κα- κῷ ὄντι παραστῆναι μοι ὀφείλεις, καὶ ὅση δύναμις, ὑπὲρ ἐμοῦ ἀγωνίσασθαι· ἐν τούτῳ γὰρ μάλιστα δειχθήσῃ γνήσιος φίλος, ἐπὶ ὁμολογουμένοις κακοῖς μοι συνερχόμενος. εἰ γὰρ τὰ δίκαιά μου παντελῶς ἔῤῥωτο, τῆς παρ' ἑτέρων ἐπικου- ρίας οὐκ ἐδεόμην. ἐν ἤθει δὲ ἀναγνωστέον, ἀδικῶ; καὶ δεῖ στίζειν. εἶτα ἀπὸ ἄλλης ἀρχῆς, λαβεῖν χρή μ' ἀν- τὶ τοῦδε τοῦ κακοῦ, οἷον ἀντὶ τῆς περιεχούσης με δυστυχίας ἄδικόν τι αἰτῶ. καὶ γὰρ Ἀγαμέμνων ἄναξ ἀδίκως, καὶ τὰ ἑξῆς. Τὸ δὲ ἀντὶ τοῦδε τοῦ κακοῦ, ἀντὶ τῆς περὶ τοῦ πατρὸς βοηθείας. καὶ οὐδὲ εἶπε καθ' ὑπόθεσιν ἀδικῶ, κατὰ συλλογισμὸν φησιν. ἀλλὰ λέγει, ὅτι ἀδικῶ εἰς ἄδικον ἐπικουρίαν σε περιβαλών. οὐκοῦν καὶ σὺ ἀδίκησον περὶ ἐμοῦ, ὡς καὶ ὁ πατήρ μου διὰ σὲ ἠδίκησε τοὺς βαρβάρους. δεῖ γάρ με ἀντὶ τῆς ἀδικίας ἐκείνης ἄδι- κόν τι λαβεῖν παρὰ σοῦ, ὅ ἐστιν, εἰ κρίνεις κακὸν εἶναι τὴν ἐμὴν ἐπικουρίαν, δικαίως ἂν καὶ τὴν ἐπικουρίαν τοῦ ἐμοῦ πατρὸς κακὸν ὀνομάσειας. ἀλλ' οὐκ ἠδίκησεν ὁ πατὴρ ἐν καιρῷ σοι βοηθήσας. οὐκοῦν οὐδὲ σὺ ἀδικήσεις.

V. 635. *ΑΔΙΚΩ.* ἄδικον ζητῶ. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀδίκως αἰτῶ, μητροκτόνος γενό- μενος. Gu. m. sec. *ΑΝΤΙ ΤΟΥΔΕ ΤΟΥ ΚΑΚΟΥ.* ἀντὶ τοῦ ὑπὲρ τοῦδε τοῦ κακοῦ, ἤγουν ἕνεκα τῆςδε τῆς δυστυ- χίας. (ἀδικίας, τῆς μητροκτονίας.) add. Gu.)[1])

V. 636. *ΑΔΙΚΟΝ ΤΙ*, (τὸ βοηθῆσαί μοι κινδυνεύοντι. Gu.) ἄδικον δὲ εἶπεν, ἐπειδὴ οἱ τοῖς ἀδικοῦσι βοηθοῦντες ἄδικόν τι ποιοῦσιν.

10) In hoc etiam cod. Gu. secutus sum. In editis inverso or- dine legitur: δέον εἰπ. πρὸς τὴν ψ. tum Ἀττικὸν etc.

1) In editis est ἀντὶ τοῦδε τοῦ κακοῦ, ἤγουν ἕνεκα ταύτης τῆ δυστ. βοήθησόν μοι κινδυνεύοντι. ἄδικον δὲ εἶπεν κ. τ. λ. Priora ἀντὶ τοῦ — δυστυχίας, ἤγουν ἀδικίας sunt etiam in Flor. 6. 9. 17. 21. 56. 59. 76. postrema ἄδικον — ποιοῦσι in Fl. 6.

V. 637. *ΕΛΛΑΔ'*, τοὺς τὴν Ἑλλάδα οἰκοῦντας. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 638. *ΕΞΑΜΑΡΤΩΝ*, ἀδικηθείς. Gu. m. sec. *ΑΜΑΡΤΙΑΝ*, ἁρπαγήν. Gu. m. sec.

V. 639. *ΑΔΙΚΙΑΝ.* καθὸ ἠδικήθης παρὰ Ἀλεξάνδρου. *ΑΔΙΚΙΑΝ*, ἣν αὐτὴ ἠδίκησεν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὴν τοῦ Ἀλεξάνδρου. Gu. m. sec. *ΙΩΜΕΝΟΣ*, ἰασόμενος. (θεραπεύων.) Gu.

V. 640. *ΑΝΘ' ΕΝΟΣ*, οὗπερ δέδωκέ σοι ὁ πατήρ. Fl. 6. οὗ ἔλαβες. Fl. 33.

V. 641. *ΑΠΕΔΟΤΟ Δ' ΩΣ ΧΡΗ.* ἀντὶ τοῦ ἔκδοτον τὸ σῶμα τοῖς πολεμίοις παρέσχεν, ὡς πρέπει τοῖς γνησίοις φίλοις, καὶ κατετρώθη ὅσον ἐφ' ἑαυτὸν διὰ τὴν σὴν γυναῖκα, οἷα χρὴ τοῖς φίλοις τοὺς φίλους ἐκπονεῖν· τοῦτο γὰρ ἀπὸ κοινοῦ ληπτέον. Ἄλλως. ἀπέδωκε τὸ σῶμα ἕνεκα σοῦ, ἐκπονῶν παρὰ τὸν πόλεμον ἀληθῶς, ὡς χρὴ τοὺς φίλους ἐκπονεῖν δηλονότι ἕνεκα τῶν φίλων. *ΑΠΕΔΟΤΟ*, ἀντὶ τοῦ ἐπώλεσεν (ἐπώλησεν) ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ἀπέδοτο ἀντὶ τοῦ ἀπέδωκε, ὅτε μὴ περιττὴ ἡ πρόθεσις. Fl. 6.

V. 642. *ΕΚΠΟΝΩΝ*, κακοπαθῶν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 643. *ΞΥΝΑΟΡΟΝ*, σύζυγον. Gu. m. pr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. γυναῖκα. Gu. m. 2. Fl. 34.

V. 644—650. *ΑΠΟΤΙΣΟΝ ΟΥΝ ΜΟΙ.* ὁ πᾶς λόγος. ἀπόδος μοι τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρὸς, καὶ μόνην ἡμέραν ὑπὲρ ἐμοῦ πόνησον, μηδὲ τὴν θυγατέρα φονεύσῃς, ἐπειδὴ δεῖ σε, ὥςπερ πλεονεκτεῖς μου τῆς εὐδαιμονίας, πλεονεκτεῖν καὶ ἐν τῇ ἀμοιβῇ τῆς εὐεργεσίας.

V. 646. *ΣΩΤΗΡΙΟΣ*, ἀντὶ τοῦ σωτήρ. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. *ΜΗ ΔΕΚ' ΕΚΠ.* οὐ δέκα ἔτη ἀνύσας. (πληρώσας, ὥςπερ ἐμὸς πατήρ.) Gu. Florr. iidem.

V. 647. *Α Δ' ΑΥΛΙΣ.* τὴν σφαγὴν τῆς ἐμῆς ἀδελφῆς, ἣν ἔλαβεν ἡ Αὐλὶς, ἐῶ σ' ἔχειν ταύτην. *Α Δ' ΑΥΛΙΣ.* ἐν Αὐλίδι, πόλει τῆς Βοιωτίας, θηρεύων Ἀγαμέ-

μνων ἔβαλε [2]) τόξοις ἔλαφον καιρίαν πληγήν. καυχησάμενος δὲ ἐπὶ τῇ ἐπιτυχίᾳ, καὶ εἰπὼν, ὡς οὐδ' ἂν αὐτὴ ἡ Ἄρτεμις οὕτως ἔβαλεν, ἐπειράθη τῆς θεοῦ ὀργιζομένης καὶ κατεχούσης τοὺς ἀνέμους, ὡς μὴ δύνασθαι αὐτοὺς εἰς Ἴλιον στέλλεσθαι. πέμψας οὖν Ἀγαμέμνων εἰς Δελφοὺς, καὶ μαθὼν παρὰ τοῦ χρησμοῦ, ὡς, εἰ βούλοιτο ἐξιλεώσασθαι Ἄρτεμιν, θυσάτω αὐτῇ τὴν αὐτοῦ θυγατέρα, μεταπέμπεται οἴκοθεν τὴν θυγατέρα [3]) Ἰφιγένειαν, τὴν καὶ Ἰφιάνασσαν καλουμένην, πλασάμενος πρὸς τὴν γυναῖκα Κλυταιμνήστραν, ὡς Ἀχιλλεῖ ταύτην συνάψειεν. ἐπεὶ δὲ θύειν αὐτὴν ἤρχετο, ἁρπάσασα αὐτὴν ἡ θεὸς, καὶ ἀντ' αὐτῆς ἔλαφον εἰς θυσίαν δοῦσα, ἀπάγει τὴν κόρην ἐν τοῖς Ὑπερβορέοις πρὸς τὸν ἐκεῖσε αὐτῆς νεών· ἥτις ἀμυνομένη τοὺς Ἕλληνας, [4]) διότι θῦσαι αὐτὴν ἠβουλήθησαν, ὁπότε θεά-

2) *ἔβαλε* recte Gu. *ἔβαλλε* Junt. Basil. Barn. *ἔλαβε* King. nescio errore operarum, an e MS. C. C. C. e quo totum scholion dedit. Idem mox *ἐν τῇ ἐπιτυχίᾳ*, quod habet etiam Gu.

3) Verba *μεταπέμπεται — θυγατέρα*, quae deerant in Junt. Basil. Barn., King. e MS. C. C. C., ego e Gu. addidi, omisso *οὖν*, quod MS. C. C. C. post *μεταπέμπ.* habebat. Paulo ante *αὐτῇ* post *θυσάτω*, additum a Kingio, habet etiam Gu. idem ante *ἐξιλάσκεσθαι* pro *ἐξιλεώσασθαι*.

4) *ἥτις ἀμ. τοὺς Ἑλλ.* e MS. C. C. C. et Gu. accesserunt. In fine scholii *κεκλοφότος* omittit MS. C. C. C. Simile scholion est in Flor. 59. *Ἱστορία. Αὐλὶς, τόπος ἐν Βοιωτίᾳ, ἔνθα ὁ Ἀγαμέμνων ἀπόπλους ἐγένετο, ὅτε κατὰ τῆς Τροίας ἐστράτευσεν. ἐν αὐτῇ οὖν τῇ ῥηθείσῃ Αὐλίδι τῆς Βοιωτίας τοξεύων ὁ Ἀγαμέμνων ἐλάφους ἐκαυχήσατο, ὡς οὐδὲ ἡ Ἄρτεμις οὕτως· τοξικὴ γὰρ ἡ θεὸς καὶ τοξικῆς ἔφορος. καθὸ καὶ ἡ θεὸς ὀργισθεῖσα τῆς αὐτῶν ὁδοῦ ἄγνοιαν ἐποιήσατο· διὸ καὶ ἐν πολλῇ φροντίδι ὁ Ἀγαμέμνων ἦν. φωνήσας οὖν τοὺς μάντεις, ἠρώτα τούτους, πόθεν ἡ ἄγνοια. οἱ δὲ ἐκ τῆς καυχήσεως ἀπεφήναντο τὴν ὀργὴν τῆς θεοῦ, καὶ οὐκ ἄλλως λυθῆναι ταύτην, εἰ μὴ τὴν ἑαυτοῦ θυγατέρα Ἰφιγένειαν θύσει. ὁ δὲ λαβὼν αὐτὴν θύειν ὥρμησεν. ἡ δὲ θεὸς ἐλεήσασα αὐτὴν μὲν ἥρπασεν, ἀντ' αὐτῆς δὲ παρέσχεν ἔλαφον, αὐτὴν δὲ περὶ τοὺς ἐν Ταύρῳ Σκύθας ἀπήγαγεν, ἔνθα αὐτὴ τοπλέον ἐτιμᾶτο, οἳ καὶ ἱέρειαν κατέστησαν, ἵνα ξενοκτονεῖν διδαχθῇ καὶ ἀνθρώπους θύειν ἐκεῖσε. μέμνηται δὲ καὶ ταύτης τῆς ἱστορίας ὁ θεῖος Γρηγόριος*

σαιτό τινα αὐτῶν ἐκεῖσε ἰόντα, ἀπέκτεινεν. ὕστερον δὲ ὑπὸ Ὀρέστου κεκλοφότος ἐπανῆκεν εἰς Ἄργος. Ἄλλως. Αὐλὶς πόλις Βοιωτίας. ἐνταῦθα ἐπεσχέθησαν οἱ στρατευσάμενοι εἰς Ἴλιον Ἕλληνες, οὐ πνέοντος οὐρίου ἀνέμου διὰ τὰς καυχήσεις Ἀγαμέμνονος τοξεύσαντος τὴν ἔλαφον, καὶ εἰπόντος μηδ᾽ ἂν τὴν Ἄρτεμιν οὕτω βαλεῖν. νῦν δὲ περὶ Ἰφιγενείας λέγει, ἣν ἔχρησεν ὁ θεὸς, ἀπλοίας ἐπεχούσης τοὺς Ἕλληνας, Ἀρτέμιδι θῦσαι. *ΣΦΑΓΙΑ*, τὰ σφαζόμενα καὶ ἡ σφαγὴ, ὡς ἐνταῦθα.

V. 648 sqq. *ΕΡΜΙΟΝΗΝ*. οὐκ αἰτῶ σε, φησὶ, τὴν σὴν θυγατέρα τὴν Ἑρμιόνην ἀντ᾽ ἐμοῦ δοῦναι πρὸς σφαγὴν, ὥςπερ ὁ ἐμὸς πατὴρ τὴν Ἰφιγένειαν, ἵνα σὺ τὴν γαμετὴν ἀπολάβῃς. ἀλλὰ σὺ μὲν ἔχε τοῦτο πλέον, καὶ κέρδαινε παρὰ τοῦ δαίμονος, ἐπεὶ σοὶ μὲν εὐτυχίας, ἐμοὶ δὲ δυςτυχίας καιρός. ἐγὼ δέ σοι χάριν ἕξω σώσαντί με μόνον, κἂν μὴ τὸν αὐτὸν τρόπον σώζῃς ἡμᾶς, ἀντ᾽ ἐμοῦ δοὺς τὴν Ἑρμιόνην. ἢ συναπτέον τοῦτο πρὸς τὸ ἀπότισόν μοι, καὶ ἔστιν ὁ λόγος οὗτος· ἀπόδος τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρὸς, καὶ μίαν ἡμέραν μόνον ὑπὲρ ἐμοῦ πόνησον· προςήκει γάρ σε, ἐμοῦ δυςτυχοῦντος τανῦν, μηχανᾶσθαί τι πρὸς τὸ ἐμὲ σῶσαι, ἐμὲ δὲ χάριν σοι ὁμολογεῖν· ἵνα τὸ μεταξὺ κατ᾽ ἐπένθεσιν γένηται.

V. 650. *ΠΛΕΟΝ ΦΕΡΕΣΘΑΙ*. τουτέστι πλέον ἢ ἐγὼ δύνασαι. [5]) ὁ γὰρ εὖ πράσσων τοῦ μὴ πράσσοντος πλέον δύναται λογίσασθαι τὰ πρὸς σωτηρίαν. *ΦΕΡΕΣΘΑΙ*, φέρειν, ἔχειν. Gu. m. pr. Fl. 6. 9. 17. 34. 56. 59. 76. χάριν σοι, φησὶν, ὁμολογήσω σωζόμενος μόνον παρὰ σοῦ, κἂν μὴ τῷ ὁμοίῳ τρόπῳ σώζῃς ἐμέ. Fl. 21.

ἐν τῷ ἐπιταφίῳ ὀνειδίζων τὴν θεὸν, καὶ φησὶν οὕτως· τί γὰρ ὄφελος τῆς ἀντιδόσεως, εἰ σώζει παρθένον, ἵνα ξενοκτονεῖν διδαχθῇ ἀπανθρωπίαν μαθοῦσα φιλανθρωπίας ἀντίδοσιν; Et cod. 21. περὶ Ἰφιγενείας λέγει, ἣν κατέκτεινεν ὁ αὐτῆς πατὴρ, ἤγουν Ἀγαμέμνων, ὅτε εἰς Τροίαν ἔπλει κωλυόμενος ἐν τῇ Αὐλίδι νήσῳ παρὰ τοῦ Φοίβου ἐκεῖθεν ἐξελθεῖν, εἰ μὴ σφάξεις τὴν Ἰφιγένειαν. τοῦτο δ᾽ ἐγένετο διὰ τὸ τοξεῦσαι αὐτόν τινα ἔλαφον καὶ καυχήσασθαι, μηδὲ τὴν Ἄρτεμιν οὕτως βάλλειν.

5) In Just. Basil. Barn. haec cum superiori scholio cohaerent: γένηται, τουτέστι πλέον. Disjunxit King.

εἰς σωτηρίαν· οἱ γὰρ εὐδαιμονοῦντες πλέον δύνανται δουλεύεσθαι. Fl. 10.

V. 651. *ΨΥΧΗΝ Δ᾽ ΕΜΗΝ ΔΟΣ*, ἤγουν διὰ τὸν πατέρα μου σῶσον τὴν ἐμὴν ζωήν. Gu. ὑπὲρ ἐκείνου πάσχοντας ἡμᾶς σῶσον. Fl. 6. ἤγουν ὠφέλειαν τοῦ ταλαιπώρου ἕνεκεν τῶν τοσούτων κακῶν πατρός. Fl. 21.

V. 653. *ΟΙΚΟΝ*, τὸ γένος. Fl. 21. *ΟΡΦΑΝΟΝ*, ἔρημον. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. οὐ γὰρ Ἀγαμέμνονος ἔτ᾽ ἂν καλοῖτο, ἀλλὰ τοῦ λαχόντος. Gu. m. 2.

V. 654. *ΕΡΕΙΣ ΑΔΥΝΑΤΟΝ*; λύσις τοῦ ἀντιπίπτοντος. ἀλλ᾽ εἴποις, φησὶν, ὅτι ἀδύνατον βοηθῆσαι, εἶτα ἔξωθεν προςληπτέον, καθὸ μέγα ἐστὶ καὶ ἀσύγγνωστον τὸ ἁμάρτημα, ὅπερ ἀπεσιώπησεν Ὀρέστης. ἀλλὰ κατὰ τοῦτο, φησὶ, καθὸ ἀδύνατον εἶναι δοκεῖ, βοήθησον· ὁ γὰρ γνήσιος φίλος ἐν τοῖς μεγίστοις κακοῖς δείκνυται. Ἄλλως. ἀλλὰ λέγεις, φησὶν, ὅτι ἀδύνατόν ἐστι τὸ βοηθῆσαί μοι· ἐγὼ δέ σοι ἀντείποιμι ἂν, ὡς μάλιστά μοι διὰ τοῦτο συμβάλλεσθαι ὀφείλεις, εἰδὼς ὅτι ἐν τοῖς ἀδυνάτοις δεῖ τῶν φίλων. *ΕΡΕΙΣ ΑΔΥΝΑΤΟΝ* βοηθῆσαί μοι διὰ τὴν τοῦ ἁμαρτήματος ὑπερβολήν. ἀλλὰ διὰ τὸ ἀδύνατον εἶναι, διὰ τοῦτο ἀξιῶ· εἰ γὰρ ἦν δυνατὸν, οὐκ ἂν ἠξίωσά σε· ὁ γὰρ γνήσιος φίλος ἐν τοῖς μεγίστοις κακοῖς δείκνυται. Gu. *ΑΥΤΟ ΤΟΥΤΟ*. λείπει ἡ κατά, ἵν᾽ ᾖ κατ᾽ αὐτὸ τοῦτο, ὅ ἐστι τὸ ἀδύνατον. *ΑΥΤΟ ΤΟΥΤΟ*. ἔστω δηλονότι. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

V. 655. *ΕΝ ΤΟΙΣ ΚΑΚΟΙΣ*, ἤγουν ἐν ταῖς δυςτυχίαις. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΩΦΕΛΕΙΝ*, ἤγουν βοηθεῖν. Gu. Fl. 6. 9. 17. 21. 33. 34. 56. 59. 76.

V. 656. *Ο ΔΑΙΜΩΝ*, ἡ τύχη. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΤΙ ΧΡΗ ΦΙΛΩΝ*, κατὰ τί ἐστι χρεία τῶν φίλων; ἀντὶ τοῦ κατ᾽ οὐδέν (κατ᾽ e Gu. addidi) ἐστι χρεία φίλων.

V. 658 sq. *ΦΙΛΕΙΝ ΔΑΜΑΡΤΑ*. ἀγαπᾷν τὴν γυναῖκα ὑπὸ πάντων τῶν Ἑλλήνων νομίζῃ. καὶ οὐ λέγω τοῦτο ἀπατῶν σε τῇ κολακείᾳ, ἤγουν κολακεύων σε, οὐ κολακείᾳ, ἀλλ᾽ ἀληθείᾳ λέγω. λείπει δὲ τὸ πρὸς ταύτης σε ὁρκῶ. τὸ δὲ ὦ

μέλεος, ἠρέμα πρὸς ἑαυτὸν λέγει [6]) ὦ ἄθλιος, εἰς οἷον κακὸν δηλονότι ἥκω.

V. 660 sq. *ΤΑΥΤΗΣ ΙΚΝΟΥΜΑΙ.* ἀντὶ τοῦ πρὸς ταύτης ὁρκῶ βοηθῆσαί μοι. ἢ δέομαί σου πρὸς ταύτης, ὅπως ἄν μοι βοηθήσειας εἰς τιμὴν αὐτῆς. τὸ δὲ ἑξῆς ἠρέμα καθ' ἑαυτὸν λέγει, οἰκτείρων αὐτὸν, ὅτι μέχρι τοσούτου προῆλθεν αὐτῷ τὰ τῆς δυστυχίας, ὡς διὰ τοῦ μεμνῆσθαι τῆς Ἑλένης προσδοκᾷν βοηθείας τυχεῖν. ἀνάξιον γὰρ ἑαυτοῦ ἡγεῖται τὸ καὶ μόνον μεμνῆσθαι τοιαύτης γυναικὸς, μήτιγε καὶ δοκεῖν σώζεσθαι δι' αὐτῆς. δυστυχὴς οὖν, φησὶν, ἐγὼ εἰς τοιοῦτο τῶν κακῶν ἐλθών· διὰ γὰρ γυναικὸς τῆς πᾶσιν Ἕλλησι κακῆς σωθήσεσθαι προσδοκῶ.

V. 661. *ΕΙΣ ΟΙΟΝ ΗΚΩ*, κακόν. (εἰς οἷον κακὸν ἥκω τὸ εἰς ἱκεσίαν προβάλλεσθαι τὴν Ἑλένην. et ab al. m. ὡς δεῖσθαι καὶ μὴ εἰσακούεσθαι.) Gu. *ΤΙ ΔΕ ΤΑΛΑΙΠΩΡΕΙΝ ΜΕ ΔΕΙ.* ἀλλὰ τί, φησὶ, μωραίνω τὸ περὶ ταύτης, σωθήσεσθαι παραιτούμενος· ἀνάγκη γάρ ἐστι καὶ πρὸς τοῦτο καταβαίνειν οἰκτρότητος, καὶ πάντα ὑπομένειν, κἂν αἰσχύνην μοι φέρῃ. οὐ γὰρ ἐγὼ μόνος, ἀλλὰ καὶ πᾶς ὁ οἶκος ὁ ἐμὸς κινδυνεύει. Ἔστι δὲ καὶ ἑτέρα ἐκδοχὴ τοῦτο (l. τούτου), συναπτομένου τοῦ ταύτης ἱκνοῦμαι πρὸς τὸ ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε, εἶτε ὡς τοῦ Μενελάου ἀπεστραμμένου τὴν ἱκεσίαν αὐτὸς δυσφορῶν λέγει, δυστυχὴς ἐγὼ, εἰς ἄπορον ἥκω κακῶν καὶ οὐκ ἔχω οὐδεμίαν καταφυγήν. ὃ πάλιν διαλαβὼν, θαρσύνει ἑαυτὸν καὶ φησὶ, τί δεδοίκαμεν τὸν θάνατον; καρτερεῖν δεῖ καὶ φέρειν ἀναγκαίως τὰ παρὰ τοῦ δαίμονος. τί δὲ, φησὶ, παραιτοῦμαι τὴν αἰσχύνην; πάσῃ μηχανῇποριστέον τὴν σωτηρίαν. οὐχ ὑπὲρ μικρῶν γάρ μοι ὁ κίνδυνος, ἀλλ' ὑπὲρ παντὸς τοῦ οἴκου ἐστίν. Ἄλλως. τί δὲ δεῖ ταλαιπωρεῖν καὶ κάμνειν ἐμὲ περὶ τὴν δέησιν· οὐ γὰρ ὑπὲρ ἐμοῦ μόνου καὶ τῆς ἐμῆς ἀδελφῆς ποιοῦμαι τὴν δέησιν, ἀλλὰ ὑπὲρ παντὸς τοῦ οἴκου καὶ τοῦ γένους ἡμῶν. ἀποθανόντος γὰρ ἐμοῦ, ἡ ἐκ προγόνων πᾶσα εὐδαιμονία οἰχήσεται, ὡς οὐ διάδοχον σχοῦσα· [7]) ὥστε τῆς ζημίας καὶ εἰς σέ πως τεινούσης, ἐπεὶ τοῦ αὐτοῦ γένους τυγχάνεις, οὐχ ἧττον ἐμοῦ δεῖ σὲ σπουδάζειν, ὅπως σωθείην. ἡ αὐτη ἡ κατασκευὴ πρὸς τὸ ἱκνοῦμαι ἐστὶ, τὰ δ' ἄλλα διὰ μέσου. *ΤΙ ΔΕ*, ποιήσω δηλονότι. *ΤΑΛΑΙΠΩΡΕΙΝ*, ταλαίπωρα ὑπομένειν. Gu. m. pr. MS. C. C. C. παραιτούμενον τὸ σώζεσθαι ὑπ' ἐκείνης. Gu. m. 2.

V. 663. *ΤΟΝ ΚΑΤΑ ΧΘΟΝΟΣ.* δόκει ἀκούειν τάδε τὸν κατὰ χθονὸς θανόντα, ἤγουν νόμιζε, ὅτι πάρεστιν ἐκεῖνος, καὶ ἀκούει τάδε, λέγω τὴν ψυχὴν ἐκείνου ποτωμένην ἐπάνω σου. συνυπακούεται δὲ ἐνταῦθα ὑπαρκτικοῦ ῥήματος μετοχὴ, ἣ καὶ ἐκφωνουμένη κακοσύνθετον ποιεῖ τὸν λόγον καὶ ἄχρηστον. ὅτι δὲ λόγον ἔχει αὕτη συνυπακούεσθαι, δῆλον οὕτως· κατὰ χθονὸς ἐστὶν ὁ δεῖνα λέγεται, καὶ τὸν κατὰ χθονὸς ὄντα ἐξ ἀνάγκης μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ οὕτως, ἐπειδὴ καὶ κατὰ χθονὸς ἐστὶν ὁ δεῖνα θανὼν λέγεται. [8]) δύναται καὶ καταλλήλως ἔχειν τοῦτο, καὶ μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ λέγεσθαι μετασχηματιζόμενον. ἐπεὶ δὲ συμβαίνει ἐνταῦθα καὶ ἑτέραν εἶναι μετοχὴν κατὰ τὴν αὐτὴν πτῶσιν, καὶ διὰ τοῦτο κακόφραστον εἶναι τὸν λόγον καὶ κακοσύνθετον, οὐδέποτε ἐκφωνεῖται ἡ τοῦ ὑπαρκτικοῦ ῥήματος μετοχὴ, ἀλλ' ἀεὶ συνυπακούεται κατὰ τὴν συνήθειαν τῶν ὑπαρκτικῶν.

V. 666. *ΤΑΥΤ' ΕΙΣ ΤΕ ΔΑΚΡΥΑ.* ἀντὶ τοῦ μετὰ δακρύων καὶ γόων αἰτῶ τὴν σωτηρίαν. Ἄλλως. κατὰ ἀπόθεσιν ταῦτα ἐπάγεται, ἤγουν ταῦτα εἴρηκα, εἴς τε τὰ δάκρυα ἡμῶν καὶ τοὺς γόους καὶ τὰς συμφορὰς, ἤγουν μετὰ δακρύων καὶ γόων εἶπον. ἢ οὕτως, εἶπον ταῦτα εἰς δάκρυα καὶ γόους καὶ συμφορὰς, ἤγουν ἵνα μὴ τύχω τούτων. τεύξομαι δὲ, εἰ πετρωθῆναί με ἐάσεις. [9])

6) Flor. 6. addit: ἀναγκασθεὶς προβάλλειν γυναῖκα, ἧς καὶ μόνον τῇ μνήμῃ σχεδὸν ἀπηνθάνετο. (sic.)

7) ὡς οὐ διάδ. σχ. e Gu. addidi, e quo etiam est initio δεῖ ante ταλαιπωρεῖν, μόνου pro μόνον. Paulo post idem: ὑπὲρ τοῦ οἴκου παντὸς, τουτέστι τοῦ γένους παντὸς ἡμῶν. In fine Junt. Basil. Barn. ἡ αὐτὴ ἡ κατ. King. ἡ αὐτὴ ἡ κατ. Gu. ἡ αὕτη ἡ κ. quod recepi.

8) Sic King. et Gu. Vulgo: ἐστιν ὁ δεῖνα λέγεται καὶ θανών. Ceterum haec συνυπακούεται (δὲ deest) ἐντ. in Gu. a m. pr. in marg. scripta sunt, praecedentia eadem manu inter lineas.

9) ἐάσεις e Gu. recepi pro ἐάσῃς. In hoc autem cod. verba

V. 667. *ΚΑιΠΠιΤΗΚΑ.* ὡς χρέος ᾔτησα.

V. 668. *ΘΗΡΩΝ.* ἀντὶ τοῦ θηρώμενος, ἤγουν λαβεῖν ζητῶν. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 669. *ΚΑΓΩ Σ' ΙΚΝΟΥΜΑΙ.* καὶ ἐγώ σε παρακαλῶ καίπερ ὑπάρχουσα γυνὴ, βοηθεῖν τοῖς δεομένοις· δυνατὸς γὰρ ὑπάρχεις ὠφελεῖν. τὸ δὲ ὠφελῶ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται, ὡς καὶ Αἰσχύλος, ὡς τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ. (Pers. 839.)

V. 671. *ΚΑΤΑΙΔΟΥΜΑΙ,* διὰ τιμῆς ἔχω. Fl. 33. ἀντὶ τοῦ αἰδοῦμαι. Gu. *ΣΟΝ ΚΑΡΑ,* ἤγουν σέ.

V. 672. *ΞΥΜΠΟΝΗΣΑΙ,* σοὶ δηλονότι. Gu. *ΣΟΙΣ ΚΑΚΟΙΣΙ,* ἐπὶ ταῖς σαῖς δυςτυχίαις. Gu.

V. 673. *ΚΑΙ ΧΡΗ ΓΑΡ ΟΥΤΩ.* τοῦτο μερικῶς, ἢ καθόλου νοητέον, ὅτι πρέπει ἢ ἐμὲ, ἢ πάντα ἄνδρα συνεκκομίζειν καὶ συνεκφέρειν, ἣν ἰσχὺν διδῷ ὁ θεὸς, τὰ τῶν ὁμαιμόνων κακὰ, θνήσκοντα, εἰ δεήσειεν, ὑπὲρ ἐκείνων, καὶ κτείνοντα τοὺς ἐναντίους. εἰ μὴ γὰρ ἐξ ἀλλήλων οἱ συγγενεῖς βοηθοῖντο, [10]) τίς ἂν ἄλλην ἔξωθεν ἐλπίσοι βοήθειαν; τὸ δὲ θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους σαφήνεια ἐστὶ τοῦ οὕτω. *ΘΝΗΣΚΟΝΤΑ,* καὶ ὡς τεθνηξόμενον, καὶ ὡς κτενοῦντα τοὺς ἐναντίους, ἤγουν εἰ καὶ θάνατος πρόκειται, καὶ εἰ νίκη τῶν ἐναντίων.

κατὰ ἀπόθεσιν — συμφορᾶς inter lineas manu pr. scripta sunt, reliqua in marg. m. sec.

10) εἰ μὴ γὰρ — βοηθοῖντο e Gu. recepi pro εἰ μὲν γὰρ — βοηθεῖεν (King. βοηθοῖεν). Idem mox τίς ἂν ἄλλως ἐξ. ἐλπίσῃ β. Verba: τὸ δὲ θν. — οὕτω om. King. In Junt. Basil. Barn. haec ita continuantur: σαφήνειά ἐστι τοῦ οὕτω (comma ponit Junt.) θνήσκοντα. In Gu. priora τοῦτο μερικῶς — οὕτω manus secunda scripsit in marg. reliqua καὶ ὡς τεθν., in quibus κτενοῦντα pro κτανοῦντα, manus prima inter versus. King. e glossis MSS. hanc paraphrasin concinnavit: Ὀρέστ', ἐγὼ αἰδοῦμαί σε καὶ συμπονῆσαί σοι ἐπὶ ταῖς δυστυχίαις θέλω. καὶ χρὴ γὰρ οὕτω συνδιαφέρειν ἐμὲ τὰ τοῦ ἀδελφοῦ κακὰ, ἣν διδῷ ὁ θεὸς δύναμιν, καὶ φόβον ἔχοντα τεθνήξεσθαι καὶ ἐλπίδα ἔχοντα ἀποκτείνειν τοὺς ἐναντίους· τὸ δὲ δύνασθαι τοῦτο ποιεῖν παρὰ θεῶν θέλω τυχεῖν.

V. 674. *ΣΥΝΕΚΚΟΜΙΖΕΙΝ.* συμπονεῖν δεῖ τοῖς συγγενέσι, κἂν κίνδυνος παρῇ, καὶ μάλιστα εἰ τὸ θεῖον παρέχει δύναμιν. τὸ δὲ ἑξῆς ἀναστρεπτέον· ἔστι γὰρ κτείνοντα τοὺς ἐναντίους, καὶ θνήσκοντα. *ΣΥΝΕΚΚΟΜΙΖΕΙΝ,* συνδιαφέρειν, ὁμοῦ ὑπομένειν. (συνεκφέρειν καὶ ἀποτρέπειν, βαστάζειν, συμπονεῖν.) Gu. τὸν ἀδελφὸν συνελαφρύνειν, ἐπικουφίζειν, μαστίζειν. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 676. *ΤΟ Δ' ΑΥ ΔΥΝΑΣΘΑΙ.* τοὐναντίον Αἴας φησί· καὶ πρὸς δαίμονά περ εἴ πως ἐρυσαίμεθα νεκρόν. (Il. ρ', 104.)

V. 677. *ΗΚΩ ΓΑΡ ΑΝΔΡΩΝ.* οὐκ ἐπαγόμεθα συμμάχους, ἀλλ' ἔρημος τῆς παρὰ τούτων δυνάμεως ὢν, ὡς τῶν συμμάχων αὐτοῦ κατὰ τὴν πλάνην ἀλωμένων, [1]) πλὴν ὀλίγων. ἢ οὕτως· ἦλθον ἔρημος συμμάχων, καὶ προσέτι πλάνην ὑφέστηκα πολλήν. *ΗΚΩ ΓΑΡ.* ἦλθον ἔχων τὸ δόρυ κενὸν συμμάχων ἀνδρῶν, ἤγουν κενὸς ὑπάρχων πολεμικῶν ἀνδρῶν, καὶ προσταλαιπωρήσας τῇ πλάνῃ. τὸ δὲ ἐνταῦθα ἐλπίδος προσήκομεν, ἀντὶ τοῦ προσοικειούμεθα καὶ ἐγγὺς ἐσμὲν ἐλπίδος. σκόπει οὖν, πῶς οὔτε διὰ κολακείας πεῖσαι ὑπέσχετο, ἀλλὰ καὶ τοῦτο ἐν ἀμφιβολίᾳ ἀφῆκε. τὸ *ΣΜΙΚΡΑι ΣΥΝ ΑΛΚΗι* ἢ πρὸς τὸ ἥκω συνάπτεται τῇ ἐννοίᾳ, ἢ πρὸς τὸ ἀλώμενος. MS. C. C. C. Gu. *ΑΛΚΗι,* βοηθείᾳ. Gu. m. pr. *ΛΕΛΕΙΜΜΕΝΩΝ,* τῶν ὑπολελειμμένων. (ἐναπολειφθέντων.) Gu.

V. 680. *ΜΑΧΗι ΜΕΝ.* ἐν μάχῃ μὲν οὐκ ἂν περιγενοίμεθα τοῦ Πελασγικοῦ Ἄργους, ἤγουν οὐχ ὑπερισχύσαιμεν. [2]) *ΥΠΕΡΒΑΛΟΙΜΕΘΑ,* ὑπερφέροιμεν καὶ κρείττονες αὐτοῦ γενοίμεθα διὰ τὸ μὴ ἔχειν δύναμιν, ὡς ἔφην. Gu. m. sec.

V. 680 sq. *ΕΙ ΔΕ ΜΑΛΘΑΚΟΙΣ.* οὕτω λέγε· [3]) ἐνταῦθα δὲ, ἤγουν εἰς τοῦτο τῆς ἐλπίδος προσήκο-

1) Junt. Basil. ἀλωμένων. Barn. King. Musgr. ἀνηλωμένων, fortasse recte.

2) ὑπερισχύσαιμεν e Gu. scripsi pro ὑπερισχύσομεν.

3) οὕτω λέγε. Sic Gu. Vulgo οὕτω τοῦτο λέγει. Paulo post Junt. Basil. ει δυνάμεθα, quod jam correxit Barn. adstipulante Gu.

μεν, καὶ προσερχόμεθα, εἰ δυναίμεθα ὑπερβαλέσθαι ἐν λόγοις μαλθακοῖς.

V. 681. *ΜΑΛΘΑΚΟΙΣ*, ταπεινοῖς, κολακευτικοῖς. Gu. πραέσι. Fl. 21.

V. 682. *ΔΥΝΑΙΜΕΘ'*, ὑπερβαλέσθαι καὶ νικῆσαι. Gu. λείπει πεῖσαι. Fl. 21. *ΠΡΟΣΗΚΟΜΕΝ*, περισσὴ ἡ πρός, (προσερχόμεθα, ἐγγὺς ἐσμέν). Gu. περισσὴ ἡ πρός ἀντὶ τοῦ ἥκομεν, ἤλθομεν. Fl. 6. 9. 17. 56. 59. 76. προσοικειούμεθα, ὡς τάχα πείσομεν αὐτούς. Fl. 10.

V. 683 sq. *ΣΜΙΚΡΟΙΣΙ — ΠΟΝΟΙΣΙ*. σμικρᾷ δυνάμει ὤφειλεν εἰπεῖν· ὁ δὲ λέγει σμικροῖς πόνοις, τὴν ἐνέργειαν τιθεὶς ἀντὶ τῆς δυνάμεως. [4]) *ΣΜΙΚΡΟΙΣΙ ΜΕΝ*. τῇ δ' ὀλίγων μάχῃ τοὺς πολλοὺς καταγωνίσασθαι ἀδύνατον, ὅθεν εἰς πόλεμον μὲν ἐλθεῖν παραιτητέον αὐτοῖς· εἰ δὲ λόγοις ὑπελθεῖν δεῖ καὶ γοητεύσασθαι αὐτοὺς σοφίᾳ λόγων, ἐνταῦθα δυνησόμεθα. ἀνόητον δὲ καὶ ἀμαθὲς καὶ τὸ μόνον προσδοκῆσαι τοὺς ὀλίγους τῶν πολλῶν περιγενέσθαι. *ΕΛΟΙ*, λάβοι (Fl. 17. 59. 76.), κατορθώσοι. Gu. χειρώσεται. Fl. 10.

V. 684. *ΑΜΑΘΕΣ*, ἀπαίδευτον. (ἀνόητον, μῶρον.) Gu. *ΚΑΙ ΤΟ ΒΟΥΛΕΣΘΑΙ*, μὴ μόνον τὸ ἐπιχειρεῖν. Gu. Fl. 6. οὐ μόνον ποιεῖν, ἀλλὰ καὶ βούλεσθαι, ὅτι καὶ ἀδύνατον. Fl. 10. ἐνθυμεῖσθαι. Fl. 21.

V. 685 sq. *ΟΤΑΝ ΓΑΡ ΗΒΑι ΔΗΜΟΣ*. ὅταν γὰρ δῆμος εἰς ὀργὴν πεσὼν ἀκμάζῃ, ὅμοιον τὸ ζητεῖν [5]) καταοβέσαι αὐτὸν, ὥςπερ ζητεῖν κατασβέσαι πῦρ λάβρον καὶ σφοδρόν.

V. 685. *ΗΒΑι*, ἀκμάζῃ. (φλεγμαίνῃ, ἐκμαίνηται.) Gu.

V. 686. *ΟΜΟΙΟΣ*. λείπει τὸ πειρᾶσθαι νικῆσαι αὐτὸν, τὸν ὄχλον, ἀλλ' ὅμως ὑπανοεῖται. Fl. 21. *ΩΣΤΕ*

4) In Junt. Basil. Barn. hoc scholion adscriptum est ad v. 679. σμικρᾷ σὺν ἀλκῇ. Huc retulit King. ductus MS. C. C. C. quocum consentit Gu. Idem primus ἐνέργειαν, prout etiam in Gu. legitur, dedit pro ἐνέργειαν.

5) τὸ ζητεῖν e Gu. addidi, qui praeterea paulo post habet ὥςτε pro ὥςπερ.

ΠΥΡ. οὔτε γὰρ τοῦτο κατασβέσαι ῥᾴδιον, οὔτε ἐκεῖνον τῆς ὀργῆς πεπαυκέναι. Baroc. 74. Gu. [6])

V. 687 sq. *ΕΙ Δ' ΗΣΥΧΩΣ*. εἰ δέ τις ἡσύχως καθ' αὑτὸν ἐνδιδοὺς ὑποτάσσοιτο τῷ δήμῳ θυμουμένῳ, εὐλαβούμενος καὶ φοβούμενος τὸν καιρὸν, (ἀπὸ μεταφορᾶς τῶν πνευμάτων,) ἴσως ἂν καταπαύσειε τῆς ὀργῆς δηλονότι.

V. 687. *ΕΝΤΕΙΝΟΝΤΙ*, σφοδρυνομένῳ μὲν τῷ δήμῳ. (ἀκμάζοντι τῇ ὀργῇ.) Gu. Baroc. 74. μεγαλαυχοῦντι τῷ ὄχλῳ. Fl. 21. τὸ ἐντείνοντι καὶ τὸ χαλῶντι ἐκ μεταφορᾶς τῆς νηὸς εἴρηται. Gu. m. sec.

V. 688. *ΧΑΛΩΝ*, ἀπὸ μεταφορᾶς τῶν ἱστίων, ἐνδιδούς. Gu. m. pr. Baroc. 74. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. συγκαταβαίνων, ὑποκλίνων. Gu. m. sec. ὑπενδιδούς. Fl. 33. *ΥΠΕΙΚΟΙ*, ὑποτάσσεται, ἐνδίδωσι. Gu. m. sec. *ΕΥΛΑΒΟΥΜΕΝΟΣ*, φοβούμενος. (αἰδούμενος καὶ θεραπεύων.) Gu. φοβούμενος, ὑποκλίνων ἑαυτὸν, ἤτοι ταπεινούμενος, ἀποστελλόμενος, (leg. ὑποστ —) θεραπεύων. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

V. 689. *ΕΚΠΝΕΥΣΕΙ'*, λήξειε τῆς ὀργῆς. Gu. m. pr. Florr. iidem. ῥαίσειε τῆς ὀργῆς, παυθῇ τοῦ θυμοῦ. Gu. m. sec.

V. 689 sq. *ΟΤΑΝ Δ' ΑΝΗι*. ὅταν δ' ἀναπνεύσῃ, ἐπιτύχοις ἂν εὐκόλως τοῦ λαοῦ, καθόσον βούλει. *ΑΝΗι ΠΝΟΑΣ*. ἀπὸ μεταφορᾶς τῶν πνευμάτων. (ἀφήσῃ, καταλείψῃ.) Gu. ἀφῇ. Fl. 6. 9. 17. 25. 56. 59. 76. τελειώσῃ ὀργάς. Fl. 21.

V. 691 sq. *ΕΝΕΣΤΙ Δ' ΟΙΚΤΟΣ*. ὁ δὲ ἀντὶ τοῦ γὰρ, ἵν' ᾖ, ἔστι γὰρ τῷ δήμῳ ἐλεεῖν καὶ θυμοῦσθαι, [καὶ ἅπας δὲ φίλος τοιοῦτος.] ἐὰν τοίνυν θυμουμένῳ τῷ δήμῳ εἴκεις, [7]) πεπαύσεται τῆς ὀργῆς καὶ λοιπὸν ἐπιτήδειός ἐστιν εἰς τὸ συνδραμεῖν ταῖς ἱκεσίαις. ὡς γὰρ ἐμπέφυκεν αὐτῷ τὸ μεγάλως ὀργίζεσθαι, οὕτω καὶ τὸ ἐλεεῖν· τουτέστιν οὐ γὰρ πρὸς τὸ ὀργίζεσθαι μόνον ἔχει, ἀλλὰ καὶ πρὸς τὸ ἐλεεῖν, καὶ τῷ δυναμένῳ τοῦτο αὐτὸ καραδοκεῖν, καὶ ἐπι-

6) Baroc. ap. King. ὥςπερ οὔτε τοῦτο et πεπεικέναι.

7) εἴκεις. Junt. Basil. ἥκεις. Corr. Barn. Quae praecedunt, καὶ ἅπας δὲ φίλος τοιοῦτος, omisit King.

τηρεῖν, πότε μὲν μεγάλως θυμοῦται, πότε δὲ ἀνῆκε τῆς ὀργῆς, κτῆμά ἐστι τοῦτο τιμιώτατον, τὸ εἰδέναι δηλονότι ἑκάστου καιρόν. ἢ οὖν αὐτὸς ὁ δῆμος κτῆμα ἐστὶ τιμιώτατον, τὸ εἰδέναι προςενεχθῆναι καθ᾽ ὃν τρόπον αὐτῷ. ἢ ὁ καιρὸς μέγα κτῆμα τῷ καραδοκοῦντι τὸν δῆμον, καὶ γινώσκοντι, πότε μὲν θυμοῦται, πότε δὲ ἐλεεῖ.

V. 692. *ΚΑΡΑΔΟΚΟΥΝΤΙ.* καιροφυλακτοῦντι, προςδεχομένῳ τὸν καιρόν. *ΚΑΡΑΔΟΚΟΥΝΤΙ*, καιροφυλακτοῦντι. (ἐκδεχομένῳ καὶ σκοποῦντι τὸν καιρὸν τοῦ οἴκτου καὶ τοῦ θυμοῦ. ἀναμένοντι.) Gu. Baroc. 74. [8]) καιροφυλακτήματι, ἤγουν μετὰ περιφανείας προςδεχομένῳ. Fl. 21. ἐλπίζοντι. Fl. 10.

V. 694. *ΤΟ ΛΙΑΝ ΧΡΗΣΘΑΙ ΚΑΛΩΣ.* ἀντὶ τοῦ μετρίως χρῆσθαι, τῷ καλῶς λίαν χρῆσθαι, ἵν᾽ ᾖ τὸ καλῶς ἠπίως, ἤγουν σφόδρα ἐνδείξασθαι (add. τὴν πραότητα) τῶν πρὸς σὲ πράξεων. *ΤΩι ΛΙΑΝ*, ἤγουν μετριάζειν καὶ μὴ τῇ ὑπερβολῇ χρῆσθαι. (τὸ τῷ λίαν καὶ μέγα καὶ μικρὸν γράφε, μικρὸν μὲν οὕτω· πειράσομαι πεῖσαι καὶ τὸν Τυνδάρεω καὶ τὴν πόλιν τοῦτο τὸ λίαν χρῆσθαι σοὶ καλῶς· μέγα δὲ οὕτω· πειράσομαι πεῖσαι καὶ τὸν Τυνδάρεω καὶ τὴν πόλιν τίνι (sic) τῷ λίαν χρῆσθαι σοὶ καλῶς. οὐ γὰρ μόνον πείθω τὸν δεῖνα τάδε φαμὲν, ἀλλὰ καὶ πείθω τούτοις· ἡ γὰρ κατάπεισις, ἣν ἐκεῖνον πείθω, τοῖς πράγμασι γίνεται, εἰς ἃ αὐτὸν καταπείθω. εἰ δέ τις εἴποι, ὡς εἰ τὸ λίαν μικρὸν γράφεται, ουκ ἀπαντᾷ πρὸς τὸ μέτρον, φαμὲν ὅτι οὐ μόνον τὰ δύο ἀμετάβολα ἐκτείνουσι παρὰ (π . v. Bast comm. palaeogr. p. 829 sq.) τοῖς ποιηταῖς, ἀλλὰ καὶ ἓν ἔσθ᾽ ὅτε.) Gu. μετρίως, τῷ σφόδρα ἐνδείξασθαι τὴν πραότητα. Fl. 10.

V. 695—697. *ΚΑΙ ΝΑΥΣ ΓΑΡ.* καὶ ναῦς γὰρ βιαίως τοῦ ποδὸς ἐκταθέντος ὑπέκυψεν, ὥςτε ὕδωρ ἐκδέξασθαι, πάλιν δὲ ἀνωρθώθη, ἐὰν χαλᾷ καὶ ἐνδιδῷ τὸν πόδα. τὰς ἄγαν γὰρ προθυμίας, ἀντὶ τοῦ τὰς ὑπερβολικὰς ὁρμὰς καὶ ὑπὲρ τὸ δέον, μισεῖ ὁ θεός.

V. 695. *ΠΡΟΣ ΒΙΑΝ ΠΟΔΙ.* εἰς κατασκευὴν τοῦ πρὸς ἐκείνους λόγου ταῦτα ἐπάγει. ποδὶ δὲ, ἤγουν διὰ τοῦ

8) ἀναμένοντι non est in Barocc.

ποδός. λέγεται δὲ οὕτω τὸ σχοινίον τὸ κατέχον κάτωθεν τὸ ἱστίον. [9])

V. 696. *ΕΒΑΨΕΝ.* ἤγουν ὕφαλος [10]) γέγονεν· ἐλθὸν γὰρ πνεῦμα σφοδρὸν καὶ πρὸς τὴν τοῦ ποδὸς τάσιν ἐμπεπτωκὸς ἀνατρέπει. *ΕΒΑΨΕΝ*, ἑαυτὴν δηλονότι, ἤγουν ἐβαπτίσθη. Gu. m. pr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76.

V. 697. *ΤΑΣ ΑΓΑΝ ΠΡΟΘΥΜΙΑΣ*, τὰς ὑπερβολικὰς ὁρμάς. (τὰς ὑπὲρ τὸ δέον ἀλαζονείας.) Gu. τὰς ὑπὲρ το δέον ὑπεροψίας ἤτοι ὑπερηφανείας. Fl. 10. 21. τὴν πολὺν (l. πολλὴν) θρασύτητα. MS. C. C. C.

V. 698. *ΑΛΛΩΣ*, μάτην. Gu.

V. 699. *ΣΩΖΕΙΝ*, ῥύεσθαι. *ΣΟΦΙΑι, ΟΥ ΒΙΑι*, ἐπιτηδειότητι καὶ οὐ δυναστείᾳ τῶν ἐπικρατεστέρων. *ΣΟΦΙΑι*, μεταχειρίσει διὰ λόγων (Fl. 6.), φρονήσει. Gu. *ΤΩΝ ΚΡΕΙΣΣΟΝΩΝ*, τουτέστι τοῦ δήμου· κρείττων γάρ ἐστι νῦν, ὡς ἔφην, ἐμοῦ. Gu.

V. 700. *ΑΛΚΗι*, ἰσχύι. (δυνάμει.) Gu. *ΔΟΞΑΖΕΙΣ*, ὑπονοεῖς. Gu. ὑπολαμβάνεις. Fl. 33.

V. 701 sq. *ΟΥ ΓΑΡ ΡΑΔΙΟΝ.* ἀντὶ τοῦ οὐ ῥάδιον περιγενέσθαι τῶν σῶν κακῶν, καὶ ἀπαλεῖψαι παροῦσάν σοι συμφοράν. *ΛΟΓΧΗι ΜΙΑι.* οὐχ ὅτι μίαν λόγχην εἶχεν, εἴρηκε τὸ λόγχῃ μιᾷ, ἀλλὰ δεικνὺς ἐντεῦθεν τὸ τῆς αὐτοῦ δυνάμεως ὀλίγον. εἰκότως δὲ ἐπέφερε τὸ τρόπαια πρὸς τὸ λόγχῃ· ἐκ γὰρ δοράτων τὰ τρόπαια γίνεται.

V. 703 sq. *ΟΥ ΓΑΡ ΠΟΤ᾽ ΑΡΓΟΥΣ.* ἤγουν οὐδέποτε τοῖς Ἀργείοις ταπεινῶς ὑποπεπτώκαμεν, ἀλλὰ μεγαλοπρεπῶς καὶ γενναίως αὐτοῖς ἐχρώμεθα, προςτάττοντες μετ᾽ ἐξουσίας, ὅσα ἂν ἐβουλόμεθα. *ΟΥ ΓΑΡ ΡΑΔΙΟΝ.* εἰ γὰρ ἦν τοῦτο ῥάδιον, οὔποτε διὰ τοῦ Ἄργους τὴν γῆν, ἤγουν διὰ τὸ Ἄργος προςεφέρομεν ἑαυτοὺς εἰς τὸ μαλθακόν· νῦν δὲ ἀναγκαίως ἔχει τοῖς σοφοῖς δούλους εἶναι τῆς τύχης. τὸ δὲ Ἄργους γράφεται καὶ Ἄργου, ἵν᾽ ᾖ Ἄργου γαῖαν. Ἀρι-

9) τὸ κατέχον κάτ. τὸ ἱστ. Sic Gu. prout edidit King. Antea erat τὸ κάτωθεν τοῦ ἱστίου.

10) ὕφαλος Gu. quod jam Barn. dedit. Junt. Basil. ἔφαλος. In Gu. hoc scholion est a m. sec.

στοφάνης δὲ μετὰ τοῦ σ. οὐ πρὸς ἡμῶν φησὶν, οὐδὲ τῆς
ἡμετέρας ἀξίας ὑποδραμεῖν καὶ διακολακεῦσαι τὸν τῶν
Ἀργείων ὄχλον. ἀνάγκη δ' ἡμᾶς δουλεῦσαι τῇ κρατούσῃ
τύχῃ. τοῦτο γὰρ σοφῶν καὶ φρονίμων ἀνδρῶν ἐστι. τὸ δὲ
ἑξῆς· νῦν δ' ἀναγκαίως ἔχει τοῖς σοφοῖς δούλους εἶναι τῆς
τύχης. *ΟΥ ΓΑΡ ΠΟΤ' ΑΡΓΟΥΣ.* οὐ τῆς ἡμῶν ἀξίας ἐστὶ
τὸ ὑποδραμεῖν τοὺς Ἀργείους, ἀνάγκη δ' ὅμως δουλεύειν τῇ
κρατούσῃ τύχῃ· τοῦτο σοφῶν ἐστὶν ἀνδρῶν. Fl. 10. *ΑΡ-
ΓΟΥΣ ΓΑΙΑΝ*, διὰ τὸ Ἄργος. Gu. *ΤΟ ΜΑΛΘΑΚΟΝ*,
τὸ κολακικόν. Gu.

V. 704. *ΠΡΟΣΗΓΟΜΕΣΘΑ*, προςεφέρομεν αὐτούς.
(προςήχθημεν, ἐφέρομεν.) Gu. *ΝΥΝ Δ' ΑΝΑΓΚΑΙΩΣ.*
εἰ γὰρ ὁ δῆμος νῦν εὐτυχὴς, ἡμεῖς δὲ ἀτυχεῖς, ὡς εἰρήκα-
μεν, οὐ δεῖ πρὸς αὐτὸν ἰσχύος, ἀλλὰ σοφίας καὶ μεταχειρί-
σεως· σοφοῦ γὰρ ἀνδρὸς πρὸς τὰς τῆς τύχης μεταβολὰς
τοῖς πράγμασι χρῆσθαι.

V. 706 sq. *Ω ΠΛΗΝ ΓΥΝΑΙΚΟΣ.* λείπει ἡ εἰς.
τὸ δὲ ἑξῆς ὦ εἰς τἄλλα οὐδὲν, πλὴν εἰς τοῦτο σπουδάζων,
εἰς τὸ ἕνεκεν τῆς σῆς γυναικὸς στρατεύεσθαι. Ἄλλως. Τοῦ-
το οὕτω φασὶ τινὲς, ὦ Μενέλαε κάκιστε βοηθεῖν τοῖς φί-
λοις, χωρὶς τοῦ στρατεύειν εἵνεκα γυναικός· εἰς τοῦτο γὰρ
κάλλιστος· τὰ δ' ἄλλα τυγχάνεις οὐδέν. οὓς αὐτὸς ἐάσας
ὡς ἀμαθεῖς, [1]) οὕτω λέγε· ὦ Μενέλαε, οὐδὲν τὰ ἄλλα χω-
ρὶς τοῦ στρατεύειν εἵνεκα τῆς γυναικὸς, ὦ κάκιστε τιμω-
ρεῖν καὶ βοηθεῖν τοῖς φίλοις. ἢ τὸ πλὴν ἀντὶ τοῦ εἰ μή.
Ω ΠΛΗΝ ΓΥΝ. ὦ κατὰ τὰ ἄλλα οὐδὲν ὢν, πλὴν τοῦ
στρατηλατεῖν ἕνεκα γυναικός. Gu.

V. 707. *ΚΑΚΙΣΤΕ*, κακοτροπώτατε. Gu.

V. 708. *ΤΑ Δ' ΑΓΑΜ.* ἃ εἰς σὲ πεποιήκει. ἀρι-
στεύματα. Gu.

V. 709. *ΦΡΟΥΔ'*, ἀφανῆ (ἐστιν). Gu. *ΑΦΙΛΟΣ
ΗΣΘ' ΑΡ.* μάτην ἄρα, φησὶν, ὦ πάτερ, ἐταλαιπώρεις ἐν
τῷ πολέμῳ, οὐδενὸς σώφρονα φρονοῦντος, ὑπὲρ ὧν ἠτύ-
χεις· τὸ γὰρ πράσσων κακῶς, ἀντὶ τοῦ ἀδίκως, του-
τέστιν, οὐ φίλοις ἄρα, οὐδ' εὐγνώμοσιν ἐχαρίζου ἀνδράσιν,
οἱονεὶ κατ' αὐτὸ τοῦτο ἡμᾶς ἠδίκεις, ἡμᾶς μὲν ἐρήμους κα-
ταλιπὼν, ἀναισθήτοις δὲ καὶ ἀγνώμοσι χαριζόμενος. ἢ οὕ-

1) ὡς ἀμαθεῖς om. Gu.

τως, οὐχ ὑπὲρ φίλων ἄρα ἐπολέμεις τοῖς βαρβάροις, ἀλλ' ἡμάρτανες κακοῖς χαριζόμενος, ἢ δυςτυχῶν τανῦν, ὦ πάτερ, οὐδένα κέκτησαι φίλον. *ΑΦΙΛΟΣ.* ἐπειδὴ νῦν δυςτυχῶν οὐκ ἔχεις τὸν βοηθήσοντα, (ἡ γὰρ ἐμὴ δυςτυχία εἰς σὲ ἀναφέρεται,) ἄφιλος ἦσθα τότε, ὅτε μετὰ τῶν ζώντων διῆγες· εἰ γὰρ εἶχες τότε φίλους, νῦν ἂν ἐβοήθουν τοῖς ἐκ σοῦ γεγονόσι. τὸ δὲ πράσσων κακῶς, ἢ ἐπὶ τοῦ παρόντος καιροῦ, ὡς ἔφαμεν, νόει, ἢ διότι ὑπὲρ Μενελάου τότε ἐκινδύνευεν ἐν πολέμῳ. *ΑΦΙΛΟΣ*, ἤγουν ἐστερημένος φίλων τῶν μελλόντων δηλονότι προστήσεσθαι.

V. 710. *ΠΡΟΔΕΔΟΜΑΙ*, ἐγκαταλέλειμμαι. (ὑπὸ τῶν οἰκειοτάτων καὶ οὓς οὐκ ἄν ποτ' ηὔχουν ἐμὲ παριδεῖν.) Gu.

V. 711. *ΟΠΗ ΤΡΑΠΟΜΕΝΟΣ*, ἀντὶ τοῦ ποῖ τραπόμενος φύγω τὸν θάνατον, ὃν ἐπάγουσιν ἐμοὶ οἱ Ἀργεῖοι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 713. *ΑΛΛ' ΕΙΣΟΡΩ ΓΑΡ.* ἀλλ' ἐάσω ταῦτα. (πρὸς τὸ ὄψιν — v. 715. — στίξον, ἵν' ᾖ τὸ γάρ ἀργὸν, ἢ πρὸς τὸ πιστός σύναψον τὸ ἀλλά, ἵν' ᾖ τὸ εἰςορῶ γάρ μέχρι τοῦ ὄψιν διὰ μέσου.) Gu. ἀλλ' ἐάσω ταῦτα· κατὰ δὲ τὸ σιωπώμενον οἶδεν τὸν Πυλάδην ἐρχόμενον. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

V. 715. *ΗΔΕΙΑΝ ΟΨΙΝ.* (ἀποθετικῶς. Florr.) ὄψις ἐνταῦθα ἐπὶ τοῦ βλεπομένου. Gu. Fl. 17. 21. 25. 34. 59. 76. *ΠΙΣΤΟΣ ΕΝ ΚΑΚΟΙΣ.* πιστὸς ἀνὴρ κρείσσων εἰς τὸ ὁρᾷν αὐτόν τινα ἐν ταῖς δυςτυχίαις τῆς γαλήνης τῶν ναυτίλων. τὸ [2]) ναυτίλοις πρὸς τὸ γαλήνης ἐστὶν, οὐ πρὸς τὸ κρείσσων. ὥςπερ δὲ φαμὲν, φίλος φίλου, καὶ φίλος φίλῳ, οὕτω καὶ γαλήνη ναυτίλων, καὶ γαλήνη ναυτίλοις. Ἄλλως. Ὁ βέβαιος φίλος κρείσσων ἐστὶ τῆς ὁρωμένης ἐκ ζάλης τοῖς ναυτίλοις γαλήνης.

V. 717. *ΘΑΣΣΟΝ.* ἀφικόμην διὰ τοῦ ἄστεος θᾶττον

2) τὸ Sic Gu. ut jam edidit King. pro τοῖς. In Gu. haec τὸ ναυτ. — γαλ. ναυτ. scripsit man. sec. superiora πιστὸς — ναυτίλων m. pr. E sequ. scholio βέβαιος pro glossa cum altera ἀσφαλὴς supra v. πιστὸς scriptum est in Flor. 6. 9. 17. 21. 56. 59. 76. et in Gu. a m. pr. Verba τῆς ὁρωμένης ἐκ ζ. τοῖς ναυτίλοις γαλ. in Gu. a m. sec. Ex eo ναυτίλοις pro ναυτικοῖς recepi.

προβαίνων, ἤγουν ἐπιτείνων τὴν εἰς τοὔμπροσθεν πορείαν, ἢ ἐχρῆν με προβαίνειν δηλονότι. [3]) ἁρμοδίως ἐνταῦθα τῷ τροχαϊκῷ ἐχρήσατο μέτρῳ πρὸς σπουδὴν τοῦ ὑποκριτοῦ· εἰσὶ γὰρ οἱ ἐντεῦθεν στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ οη, ὧν τελευταῖος μ υ ρ ί ω ν κ ρ ε ί σ σ ω ν ὁ μ α ι μ ω ν ἀ ν δ ρ ὶ κ ε κ τ ῆ σ θ α ι φ ί λ ο ς. ἐπὶ τῷ τέλει κορωνίς. ΘΑΣΣΟΝ. τὴν αἰτίαν τοῦ θ ᾶ σ σ ο ν ἱ κ ό μ η ν ἐπιφέρων αὐτίκα λέγει, σ ύ λ λ ο γ ο ν π ό λ ε ω ς ἀ κ ο ύ σ α ς, τ ό ν δ' ἰ δ ὼ ν α ὐ τ ὸ ς σ α φ ῶ ς. λέγει δὲ, ὅτι ἐρχόμενος διὰ τῆς πόλεως ἤκουσα παρά τινων, ὡς ἐκκλησίαν Ἀργεῖοι ἐποίησαν ἐπὶ σὲ καὶ Ἤλεκτραν, ἵνα κτείνωσιν. εἶδον δὲ καὶ αὐτὸς ἐν τῇ ἐκκλησίᾳ τινὰς στείχοντας, ὅθεν σπεύσας ἀφικόμην, ἵνα μάθω, τοῦ χάριν ταῦτα ἐστὶ, καὶ ὅσον δύναμαι εἰςενέγκω σοι. [4]) Ἄλλως. Θᾶσσον, ἢ ὡς ἐχρῆν με, παρεγενόμην διὰ τῆς πόλεως, τὸν ἐπὶ σὲ καὶ τὴν σὴν ἀδελφὴν σύλλογον τῆς πόλεως καὶ ἀκούσας καὶ τοῖς ὀφθαλμοῖς ἰδὼν, ὡς τῆς φήμης διαδραμούσης ἄχρι Φωκίδος. οὐ μόνον οὖν, φησὶν, ἤκουσα σύλλογον ἐπὶ σὲ γεγενῆσθαι, ἀλλὰ καὶ παριὼν εἶδον.

V. 720. *ΤΙ ΤΑΔ' ΕΣΤΙ*; πῶς διάκεισαι; τί ποιεῖς, ὦ φίλτατέ μοι φίλων καὶ ἡλίκων καὶ τῆς συγγενείας; κατὰ πάντα γὰρ τάδε ὑπάρχεις μοι. *ΠΡΑΣΣΕΙΣ*, πάσχεις. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 722. *ΟΙΧΟΜΕΣΘ'*, ἀπολώλαμεν, ὡς ἐν βραχεῖ σοι λόγῳ τὰς ἐμὰς δυςτυχίας δηλώσω.

V. 723. *ΣΥΓΚΑΤΑΣΚΑΠΤΟΙΣ*, συγκαταχωννύεις, συναναιρεῖς, συνδιαφθείρεις καὶ ἡμᾶς. τὸ κατασκάπτειν κυρίως ἐπὶ πόλεως, ἐνταῦθα δὲ καταχρηστικῶς εἴρηται. *ΣΥΓΚΑΤΑΣΚΑΠΤΟΙΣ*, συγκαταβάλλοις. Gu. m. pr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. διαφθείροις, συναναιροῖς. Gu. m. sec.

V. 724. *ΜΕΝΕΛΕΩΣ*, ὁ Μενέλαος κάκιστος ἐφάνη εἰς ἐμὲ καὶ τὴν ἐμὴν ἀδελφήν.

3) δηλονότι e Gu. addidi, in quo priora ista usque ad ἁρμοδίως sunt a m. pr.

4) Hoc scholion in Gu. est a m. sec. cum hac varietate: ἐπιφέρει αὐτίκα λέγων. — αὐτὸς σαφῶς, quod recepi pro αὐτίκα σ. — λέγει δὲ, ὅτι, ubi vulgo deest δέ. — ὅθεν σπεύσας ἀφίγμην — καὶ ὅσον δύναμαι, quod recepi pro ὅσῳ.

V. 725. *ΕΙΚΟΤΩΣ*, πρεπόντως. Fl. 17. 56. ἔχει. Gu.

V. 726. *ΩΣΠΕΡ ΟΥΚ ΕΛΘΩΝ*, οὕτως ἐμοὶ προςηνέχθη, ὡς μὴ παραγενόμενος. *ΤΑΥΤΟΝ*, ὅμοιον. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ ἴσον, ὥςπερ ἂν εἰ μὴ ἦλθε. Fl. 6.

V. 728. *ΧΡΟΝΙΟΣ*, ἀντὶ τοῦ μετὰ χρόνον πολύν· ὅμως κἂν βραδὺ παρεγένετο, ἀλλὰ τάχιστα τοῖς φίλοις ἐφωράθη κακός. *ΧΡΟΝΙΟΣ*, βραδέως ἦλθεν. Gu. Fl. 6. 9. 17. 56. 59. 76. *ΕΦΩΡΑΘΗ*, ἐφάνη. Gu. m. pr. Florr. iidem et 34. κατελήφθη. Gu. m. sec.

V. 729. *ΚΑΙ ΔΑΜΑΡΤΑ*. καὶ τὴν γυναῖκα τὴν κακοτροπωτάτην διὰ νεὼς ἦλθεν ἄγων.

V. 730. *ΟΥΚ ΕΚΕΙΝΟΣ*, ἤγαγεν ἐκείνην. Gu. m. pr. Fl. 6. 9. 17. 56. 59. 76. τοῦτο λέγει διὰ τὸ ὑπείκειν αὐτὸν πάντα τῇ γυναικὶ καὶ πρὸς τὸ ἐκείνης φέρεσθαι βούλημα. (καὶ πρὸς τὸ δοκοῦν ἐκείνῃ φερ. Fl.) Gu. Fl. 6. διαβάλλει ὡς γυναικοκράτητον. Gu. *ΟΥΚ ΕΚΕΙΝΟΣ*. διαβάλλει ὡς γυναικοκρατούμενον αὐτόν, καὶ ὡς οὐκ ἂν ἐληλύθει, εἰ μὴ παραγέγονεν ἡ Ἑλένη. κωμῳδεῖται δὲ ὁ στίχος διὰ τὴν ταυτότητα. [5])

V. 731. *ΠΟΥ 'ΣΤΙΝ Η*. τῷ ὑποτακτικῷ συνυπάγει τὸν λόγον. ὀφείλων γὰρ εἰπεῖν, ποῦ ἐστὶν ἡ γυνὴ, ἣ πλείστους ὤλεσεν Ἀχαιῶν; ὁ δὲ φησὶ, ποῦ ἐστὶν ἥτις γυνὴ πλείστους Ἀχαιῶν ὤλεσεν;

V. 734. *ΜΗ Μ' ΙΑΕΙΝ*, μὴ ἀνέξεσθαι. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

V. 736. *ΕΥΛΑΒΕΙΤΟ*. ἐδειλία, ὅπερ λέγουσιν οἱ κακοὶ φίλοι μὴ θέλοντες τοῖς φίλοις βοηθεῖν, λέγοντες εὐλαβούμεθα, ἤτοι δειλιῶμεν καὶ φοβούμεθα. γνησίου γὰρ φίλου τὸ ὑπὲρ δύναμιν τολμᾷν, ὅπερ εὐλαβεῖσθαι αὐτὸς ἔλεγεν.

V. 737. *ΣΚΗΨΙΝ ΕΙΣ ΠΟΙΑΝ*. εἰς ποίαν πρόφασιν προχωρῶν; τοῦτο μαθὼν πάντ' ἔχω.

V. 738. *ΤΑΣ ΑΡΙΣΤΑΣ*, κατ' εἰρωνείαν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

5) Flor. 10. haec sola verba habet: κωμῳδεῖται ὁ στίχος διὰ τὴν πρᾳότητα.

V. 739. *ΙΣΩΣ ΣΟΙ.* ἴσως ἦλθε θυμούμενος κατὰ σοῦ ἕνεκα τῆς θυγατρός. Gu. m. pr. *ΘΥΜΟΥΜΕΝΟΣ*, ὀργιζόμενος. Gu. m. sec.

V. 740. *ΑΙΣΘΑΝΗι*, νοεῖς. τὴν τούτου συγγένειαν προέκρινε μᾶλλον, ἢ τὴν τοῦ ἐμοῦ πατρός. *ΑΙΣΘΑΝΗι*, νοεῖς. (καλῶς ἐνόησας.) Gu.

V. 741. *ΚΟΥΚ ΕΤΟΛΜΗΣΕΝ*, καὶ οὐχ ὑπέμεινεν ἀντιλαμβάνεσθαι τῶν σῶν πόνων παραγενόμενος. *ΕΤΟΛΜΗΣΕΝ*, ἐκαρτέρησεν. Fl. 21.

V. 742. *ΟΥ ΓΑΡ.* οὐδαμῶς· οὐ γὰρ πολεμιστὴς ὑπάρχει, γενναῖος δ' ἐν γυναιξί. *ΑΙΧΜΗΤΗΣ*, πολεμιστής. (ἀνδρεῖος.) Gu.

V. 743. *ΕΝ ΚΑΚΟΙΣ.* ἐν κινδύνοις, ὡς ἔοικεν, ὑπάρχεις μεγίστοις, καὶ ἀναγκαῖόν ἐστί σοι ἀποθανεῖν. *ΑΡ' ΕΙ*, εἰ ταῦθ' οὕτως ἔχει. Gu. *ΑΝΑΓΚΑΙΟΝ*, ἀπαραίτητον, ἐπεὶ οὐκ ἔχεις τὸν βοηθήσοντα. Gu.

V. 744. *ΨΗΦΟΝ.* χρεία ἐστὶ θέσθαι τοὺς πολίτας ψῆφον περὶ ἡμῶν ἐπὶ τῷ φόνῳ, τουτέστι διὰ τὸν φόνον, ὃν δηλονότι [6]) εἰργασάμεθα.

V. 745. *Η ΚΡΙΝΕΙ.* τί πρᾶγμα ἡ ψῆφος κρινεῖ; εἰπὲ, ὅτι δέδοικα. *ΔΙΑ ΦΟΒΟΥ ΕΡΧ.* ἤγουν φοβοῦμαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 746. *Η ΘΑΝΕΙΝ.* κρινεῖ ἢ θανεῖν ἡμᾶς, ἢ ζῆν. ὁ λόγος δ' οὐ μακρός ἐστι περὶ μακρῶν πραγμάτων.

V. 747. *ΦΕΥΓΕ ΝΥΝ.* τὸ νῦν ἀργὸν, ἢ ἀντὶ τοῦ γοῦν. [7]) φεῦγε λοιπὸν σὺν τῇ ἀδελφῇ σου τοὺς οἴκους καταλιπών.

V. 748. *ΟΥΧ ΟΡΑιΣ.* οὐ βλέπεις; πανταχόθεν φυλασσόμεθα φρουροῖς.

V. 749. *ΕΙΔΟΝ ΑΣΤΕΩΣ.* εἶδον τὰς ῥύμας τῆς πόλεως δι' ὅπλων φυλαττομένας, ἀντὶ τοῦ ὑπ' ἀνδρῶν ὡπλι-

6) δηλονότι e Gu. addidi. ἀμφ' ἡμῶν in Fl. 33. explicatur καθ' ἡμῶν.

7) Gu. Fl. 59. ἀργὸν τὸ νῦν ἀντὶ τοῦ λοιπόν. quo spectat paraphrasis, quae sequitur.

σμένων ὠχυρωμένας. *ΑΓΥΙΑΣ*, ῥύμας. (ῥυμίδας, ὁδούς.) Gu. *ΤΕΥΧΕΣΙΝ ΠΕΦΡ.* ἀντὶ τοῦ ὡπλισμένοις (Fl. 59. 76. —μένας) ἀνδράσιν ὠχυρωμένας. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἠσφαλισμένας. Gu. m. sec.

V. 750. *ΩΣΠΕΡΕΙ*, καθὰ πόλις κυκλοῦται παρὰ τῶν ἐχθρῶν, κατὰ τὸ σῶμα κυκλούμεθα. *ΠΥΡΓΗΡΟΥΜΕΘΑ*, (οὕτω περι)κυκλούμεθα. (πολιορκούμεθα, φυλασσόμεθα.)

V. 751. *ΚΑΜΕ ΝΥΝ ΕΡΟΥ*, ἐρώτησον νῦν καὶ ἐμὲ, τί πανθάνω· καὶ γὰρ ἐγὼ αὐτὸς φθείρομαι.

V. 752. *ΠΡΟΣ ΤΙΝΟΣ*, παρὰ τίνος; τοῦτο, τὸ οἴχεσθαί σε δηλονότι, προςυπάρχει τοῖς ἐμοῖς κακὸν κακοῖς.

V. 753. *ΣΤΡΟΦΙΟΣ*, ὁ ἐμὸς πατὴρ, ἐξώρισέ με τῶν οἴκων θυμωθείς. Στρόφιος Ἀναξιβίαν τὴν Ἀγαμέμνονος ἀδελφὴν ἔγημεν, ἐξ ἧς ἔφυσε τὸν Πυλάδην, ὅθεν Ὀρέστης καὶ Πυλάδης ἀνεψιοί. *ΣΤΡΟΦΙΟΣ ΗΛΑΣΕ Μ'.* ὁ Στρόφιος ὁ ἐμὸς πατὴρ ὀργισθεὶς ἤλασέ με ἀπὸ τῶν οἴκων, φυγάδα ποιήσας δηλονότι, ἤγουν [8]) ἐξόριστον. λέγεται δὲ ἀντιστρόφως, ἀντὶ τοῦ ἀπελάσας τῶν οἴκων, ἐξόριστον ἐποίησεν.

V. 754. *ΙΔΙΟΝ.* ἤγουν πρὸς αὐτὸν ἰδίως ἀποβλέπον ἔγκλημα, ἤγουν ἁμάρτημα ἐπιφέρων σοι, τουτέστι κατηγορῶν σου, ἢ κοινὸν [9]) τοῖς πολίταις. Ἄλλως. Πότερον ἰδίᾳ κατὰ τὴν οἰκίαν ἡμαρτηκότι [10]) σοι ἐγκαλῶν, ἢ ἐν δημοσίῳ τινὶ πράγματι ἴδιον ἐπιφέρων σοι ἔγκλημα.

V. 755. *ΟΤΙ ΣΥΝΗΡΑΜΗΝ.* ὅτι συνέπραξά σοι λέγων τὸν τῆς μητρός σου ἄδικον φόνον. *ΣΥΝΗΡΑΜΗΝ*, συνέπραξα. (συνεψηφισάμην, ἐβοήθησα.) Gu.

V. 756. *Ω ΤΑΛΑΣ*, ὦ τάλας ἐγὼ, δοκοῦσιν αἱ ἐμαὶ δυστυχίαι καὶ σὲ λυπήσειν.

8) ἤγουν e Gu. addidi, in quo haec ποιήσας δηλ. ἤγουν ἐξ. bis leguntur a m. pr. in marg. et a m. sec. inter versus.

9) κοινόν. Sic Gu. pro κρίσιν, sicut paulo ante ἀποβλέπον pro ἀποβλέπων.

10) ἡμαρτηκότι. Sic Flor. 21. pro ὄντι. In sqq. pro ἴδιον legendum suspicor κοινόν.

V. 757. *ΟΥΧΙ ΜΕΝΕΛΕΩ*, οὐ χρώμεθα τοῖς Με-
νελάου ἤθεσιν· ἄξιον φέρειν ταῦτα.

V. 758. *ΟΥ ΦΟΒΗι*, ἵνα μή σε οἱ Ἀργεῖοι, ὥςπερ
καὶ ἐμὲ, ἀποκτεῖναι θελήσωσιν.

V. 759. *ΟΥ ΠΡΟΣΗΚΟΜΕΝ*. οὐχ ἁρμάζομεν κο-
λάζεσθαι ὑπὸ τούτων, ὑπὸ τῆς γῆς δὲ τῶν Φωκέων. Ἄλλως.
οὐχ ὑποτασσόμεθα τούτοις εἰς τὸ τιμωρῆσαι ἡμᾶς, οὐχ ὑπο-
κείμεθα, ἀλλὰ τοῖς Φωκεῦσιν. [1]) Ἄλλως. Ἰδίως εἶπεν· τὰ
γὰρ ἐπιτίμια τοῖς ἀδικοῦσιν ἡ ἀδικουμένη πόλις εἴωθεν ἐπι-
τιθέναι. Ἄλλως. Θαρσύνων αὐτὸν φησὶν, ὅτι οὐ προςήκομεν
εἰς τὰ κολάζεσθαι τοῖς Ἀργείοις.

V. 760. *ΔΕΙΝΟΝ ΟΙ ΠΟΛΛΟΙ*. χαλεπὸν τὸ πλῆθος,
ὅταν πανούργους ἄρχοντας ἔχῃ. εἰς Κλεοφῶντα ταῦτα αἰ-
νίττεται πρὸ ἐτῶν δύο ἐμποδίσαντα ταῖς σπονδαῖς. Ἄλλως.
Ἴσως αἰνίττεται πρὸς τὰς καθ᾽ αὐτὸν δημαγωγίας, μήποτε
δὲ εἰς Κλεοφῶντα· πρὸ ἐτῶν γὰρ δύο τῆς διδασκαλίας τοῦ
Ὀρέστου αὐτός ἐστιν ὁ κωλύσας σπονδὰς γενέσθαι Ἀθη-
ναίοις πρὸς Λακεδαιμονίους, ὡς Φιλόχορος ἱστορεῖ. ὁ δὲ
νοῦς· δυνήσονταί σε, φησὶ, φονεῦσαι ὑπερβάντες τὸν νόμον·
δεινὸν γὰρ οἱ πολλοὶ, καὶ τὰ ἑξῆς.

V. 761. *ΑΛΛ᾽ ΟΤΑΝ ΧΡΗΣΤΟΥΣ*. ναὶ δηλονότι·
ἀλλ᾽ ὅταν προστάτας λάβῃ χρηστοὺς, ἀεὶ χρηστὰ βουλεύεται.
Ἄλλως. ἀλλ᾽ ὅταν, φησὶ, χρηστοὺς καὶ κολακευτικοὺς λά-
βωσι τοὺς δεομένους, χρηστοὶ γίνονται.

V. 762. *ΕΙΕΝ*. ταῦτα μὲν οὕτως, κοινῶς δ᾽ ὀφείλο-
μεν σκοπεῖν καὶ λέγειν τὰ δόξαντα. *ΕΙΣ ΚΟΙΝΟΝ ΛΕ-
ΓΕΙΝ ΧΡΗ*, ἤγουν βουλεύεσθαι χρή. (κοινολογεῖσθαι πρέ-
πει. χρὴ λέγειν ἡμᾶς εἰς κοινὴν ὠφέλειαν.) Gu. εἰς κοι-
νὴν βουλήν. Fl. 33.

V. 763. *ΕΛΘΩΝ*, ἀπελθών. Gu. Fl. 6. 9. 17. 56.
59. 76. *ΩΣ ΕΔΡΑΣΑΣ ΕΝΔ*. τοῦτο, φησὶν, ἐρεῖς,
ὅτι ἔνδικα ἔπραξας τὴν μητέρα ἀποκτείνας.

V. 764. *ΠΑΤΡΙ ΤΙΜΩΡΩΝ ΕΜ*. ἔνδικα γὰρ ἔπρα-
ξα, φησὶ, τὸν ἐμαυτοῦ πατέρα διεκδικῶν. *ΠΑΤΡΙ ΤΙΜ*.
ναί. (δίκαια) βοηθῶν. Gu. *ΜΗ ΛΑΒΩΣΙ*. ὅρα ἵνα μή

1) Quae hic in editis sequuntur: ὁ δὲ νοῦς· δυνήσονταί σε φον.
omisi, quia mox ad vs. 760. recurrunt.

σε ἡδέως λάβωσι. ἐπιθυμοῦσι γὰρ τοῦ σοῦ φόνου, ὥςτε,
ἣν ἴδοιεν ἀφιγμένον ἐκεῖ σε καὶ λέγειν ἐπιχειροῦντα, ὡς δι-
καίως τὸν φόνον εἴργασαι, ταχέως κατὰ σοῦ ψῆφον θανά-
του ἐξενέγκοιεν. ταῦτο δὲ λέγει ὁ Πυλάδης πρὸς τὸν τοῦ
Ὀρέστου λόγον τὸν [2]) πατρὶ τιμωρῶν ἐμαυτοῦ. εἰ
γὰρ καὶ πρώην αὐτὸς ὑπετίθει αὐτῷ μὴ ἄλλο λέγειν τοῖς
πολίταις, ἢ ὡς ἔδρασεν ἔνδικα, ἀλλὰ νῦν ὥςπερ ὑποστέλλε-
ται, εἰδὼς τοὺς πολίτας πρὸς τὸν Τυνδάρεων μᾶλλον νεύον-
τας. *ΜΗ ΛΑΒΩΣΙ*, σκόπει, πρόςεχε μὴ κατασχεθῇς.
Gu. ἄσμενοι ἀντὶ τοῦ ἀσμένως ἤγουν ἡδέως. Gu. m. pr.
Fl. 6. 9. 17. 21. 56. 59. 76. χαίροντες. Gu. m. sec.
Fl. 10.

V. 765. *ΑΛΛ᾽ ΥΠΟΠΤΗΞΑΣ*, ἀλλ᾽ ὑποσταλεὶς σὺν
σιωπῇ ἀποθάνω; *ΥΠΟΙΚΤΗΞΑΣ*, δειλιάσας. Fl. 33. καὶ
ὑποσταλεὶς καὶ οὐκ εἰπὼν, ὡς ὑπὲρ τοῦ πατρὸς τοῦτ᾽ ἔδρα-
σα. ἀλλ᾽ ἐν φόβῳ καὶ σιωπῇ θάνω; Gu. *ΔΕΙΝΟΝ ΤΟΔΕ*,
χαλεπὸν τοῦτο. *ΔΕΙΝΟΝ*, χαλεπόν. (τὸ μετὰ σιωπῆς τε-
θνάναι.) Gu.

V. 766. *ΠΩΣ ΑΝ ΟΥΝ ΔΡΩιΗΝ*, πῶς οὖν ἂν
ποιήσαιμι; *ΠΩΣ ΑΝ ΟΥΝ*, εἴπερ τὸ μὲν σιωπᾶν δειλὸν
(sic), τὸ δὲ λέγειν ἐπικίνδυνον. Gu. *ΕΧΕΙΣ ΤΙΝ᾽*, ἔχεις
τινὰ, ἣν μένῃς, ἐλπίδα σωτηρίας;

V. 767. *ΜΟΛΟΝΤΙ*. ἐλθόντι δὲ, φησὶν, εἰς τὴν ἐκ-
κλησίαν, ἔνεστιν ἐλπὶς εὑρεῖν ἀπαλλαγὴν τῶν δεινῶν. μαθὼν
οὖν τοῦτο, συναινεῖ καὶ αὐτὸς παραγενέσθαι τὸν Ὀρέστην
εἰς τὴν ἐκκλησίαν, διεγνωκὼς ἅπαξ οὐκ οὖσαν αὐτῷ σωτη-
ρίας ἀφορμὴν ἄλλοθεν. *ΜΟΛΟΝΤΑ*, ἀπελθόντα (εἰς τὴν
ἐκκλησίαν.) Gu. ἀπελθόντα, ἐν τοῖς Ἀργείοις. MS. C.C.C.
ΣΩΘΗΝΑΙ Κ. εὑρεῖν ἀπαλλαγὴν τῶν κ. Gu. m. sec.
ΚΑΚΩΝ, ἀπὸ τῶν κινδύνων. Gu. m. pr. Fl. 6. 9. 17.
21. 56. 59. 76.

V. 768. *ΕΙ ΤΥΧΟΙ*, ἀντὶ τοῦ εἰ συμβαίη, οἷον ἀμ-
φίβολον ἐστὶ τοῦτο. *ΟΥΚΟΥΝ*. τὸ ἀπελθεῖν λοιπὸν κρεῖτ-
τον ἢ μένειν.

V. 769. *ΑΛΛΑ ΛΙΠΤ᾽ ΕΛΘΩ*. καὶ δῆτα ἀπέλθω
τὰ συμβουλευτικὰ μετὰ ὑποτακτικῶν (— τικοῦ Florr.) λέ-

2) τὸν. Sic Gu. τῷ Iunt. Basil. Barn. Omisit King. Paulo
nte Gu. ἐνέγκοιεν pro ἐξεν.

γονται. Gu. Fl. 6. 9. 17. 56. 59. 76. *ΩΔΕ*, εν τῷ ἀπελθεῖν ἐκεῖσε. Gu. Fl. iidem et 21. *ΘΑΝΩΝ ΓΟΥΝ ΩΔΕ.* κἂν ἀποθάνῃς, φησὶν, ἐν τῇ ἐκκλησίᾳ, ἀφόβως τεθνήξῃ, ὡς καὶ πρὸς τὸν θάνατον ἀφόβως ὁρμήσας, καὶ ὑπὲρ τοῦ δικαίου παῤῥησιασάμενος. [3])

V. 770. *ΚΑΙ ΤΟ ΠΡΑΓΜΑ Γ' ΕΝΔΙΚΟΝ ΜΟΙ.* ἀλλὰ καὶ τὸ πρᾶγμά μου, φησὶ, δικαίως ἔῤῥωταί μοι καὶ κατησφάλισται· πατροκτόνον γὰρ ἀνεῖλον, ὅθεν καὶ ἐλεηθήσεσθαι προσδοκῶ. ἢ τοῦτο ἀκόλουθόν ἐστιν εἰς τὸ ἀλλὰ δῆτ' ἔλθω· ἔλθω, φησὶ, καὶ τὸ πρᾶγμα ἔνδικόν μοι. ἔπραξα γὰρ τὸν φόνον τὸν μητρῷον, διὰ τὸν θάνατον ἀσχάλλων τὸν πατρῷον. ἔξω δὲ προσυπακουστέον, προσεδόκων καὶ ἐλέους τεύξεσθαι διὰ τὸν θάνατον. *ΚΑΙ ΤΟ ΠΡΑΓΜΑ*, ὃ μέλλω προβάλλεσθαι, λέγω τὸν τοῦ πατρὸς (δηλονότι add. Fl.) φόνον. Gu. m. sec. Fl. 6. *ΕΝΔΙΚΟΝ*, ἔντιμον, ἤγουν δικαιώσει με, καὶ διὰ τοῦτο ἔννομον (ἔντιμον Gu.) ἔσται μοι. Gu. m. pr. Fl. 6. 9. 21. 56. 59. 76. *ΤΩι ΔΟΚΕΙΝ*, τῇ δόξῃ. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ νομίζεσθαι καλῶς λέγειν. Fl. 6. φαίνεσθαι κἀκείνοις ἔνδικον, τοῖς πᾶσι τοῦτο καλόν. Gu. *ΤΟ ΔΟΚΕΙΝ ΕΥΧΟΥ ΜΟΝΟΝ.* εὔχου, φησὶ, πάντας οὕτω δοξάζειν, ὅτι δίκαιόν ἐστι τὸ πρᾶγμα. ἐπεὶ πολλοῖς ἐδόκει ἄδικον εἶναι. καὶ Σιμωνίδης τὸ δοκεῖν καὶ τὴν ἀλήθειαν βιάζεται. ὁ δὲ Ὀρέστης καλῶς λέγει,

V. 771. *ΦΕΥΓΩ ΤΟ ΔΕΙΛΟΝ* διὰ τὸ ἐκεῖ παραγενέσθαι, τουτέστι φεύγω τὸ εἶναι δειλὸς, οὐ παρέχω δειλίας ὑπόνοιαν, ὡς μὴ ἔνδικα πράξας, καὶ διὰ τοῦτο τὸ κριτήριον ἀποφεύγων. *ΦΕΥΓΩ ΤΟ ΔΕΙΛΟΝ.* τὴν δειλίαν ἀντὶ τοῦ τὴν ὑποψίαν τῆς δειλίας. [4]) *ΤΗιΔΕ*, τοῦτον τὸν τρόπον. τὸ τῇδε ἀντὶ τοῦ οὕτως, εἰ ἐκεῖ ἀπέλθω. [5]) ἢ

3) Gu. ἐὰν ἀποθ. κατὰ τὴν ἐκκλ. κάλλιον ἔσῃ, ὡς καὶ πρὸς θάν. ὁρμ. καὶ ὑπὲρ τοῦ δικ. παῤῥ. unde ὑπέρ recepi pro μετά.

4) E Gu. addidi τὴν δειλίαν et correxi ὑποψίαν pro ὑπεροψίαν, ut jam conjecit King.

5) ἀπέλθω. Sic Gu. (pro ἀπελθὼν Junt. Basil.), in quo verba οὕτως, εἰ ἐκεῖ ἀπ. pro glossa scripta sunt supra τῇδε. Seqq. ibidem sunt in marg. etiam a m. sec. In Junt. Basil. Barn. vv. τοῦτον τὸν τρόπον κ. τ. λ. praecedentibus continuantur. King. τοῦτον τὸν τρ. ad superius scholion retulit et scripsit τῇδε.) ἀντὶ τοῦ οὕτως.

τὸ τῇδε, ἀντὶ τοῦ ἐνταῦθα, ἤγουν φεύγω τὸ ἐνταῦθα δειλὸν, ἤγουν τὸ μένειν ἐνταῦθα. τοῦτο γὰρ δειλόν. *ΜΑΛΛΟΝ Η ΜΕΝΩΝ*, φεύξῃ. κρεῖσσον γὰρ θανεῖν ἐκεῖσε ἢ ὧδε· τοῦτο γὰρ δειλία. Gu.

V. 772. *ΚΑΙ ΤΙΣ ΑΝ ΓΕ Μ' ΟΙΚΤΙΣΕΙΕ*, ἀντὶ τοῦ οἰκτίσαιτο. [6]) τὸ ἑξῆς, καὶ τίς ἄν γέ μ' οἰκτίσαιτο θάνατον ἀσχάλλων πατρῷον, ἤγουν τοῦ ἐμοῦ πατρός. τὸ μέγα γὰρ ηὐγένειά σου διὰ μέσου κεῖται. *ΜΕΓΑ ΓΑΡ ΗΥΓΕΝΕΙΑ ΣΟΥ.* ἤγουν διὰ τὸ εὐγενὲς ἐλεηθήσῃ, οἷον πάνυ σοι συμβάλλεται πρὸς τὸν ἔλεον ἡ εὐγένεια.

V. 773. *ΘΑΝΑΤΟΝ ΑΣΧΑΛΛΩΝ ΠΑΤΡΩιΟΝ.* ἔπραξα, φησὶ, τὸν θάνατον τῆς μητρὸς, ἀσχάλλων διὰ τὸν θάνατον τοῦ πατρός. [7]) *ΑΣΧΑΛΛΩΝ*, ἀγανακτῶν. (λυπούμενος. τὸ θάνατον ἀσχάλλων πατρῷον πρὸς τὸ τίς ἄν γέ μ' οἰκτίσειε συνάπτεται, ἔτεμε δὲ ὁ Πυλάδης τὸν λόγον διὰ τοῦ μέγα γὰρ ηὐγένειά σου.) Gu. *ΠΑΝΤΑ.* πάντα ταῦτα προφανῆ εἰσι. *ΕΝ ΟΜΜΑΣΙΝ*, ἐν τῷ φανερῷ, ἤγουν προφανῆ εἰσίν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. πρὸ τῶν ὀμμάτων εἰσὶ καὶ ἴσασιν αὐτὰ οἱ Ἕλληνες. Fl. 10. ἤγουν ἡ σὴ εὐγένεια καὶ ὁ τοῦ πατρὸς φόνος φανερὰ εἰσὶ τοῖς Ἀργείοις τῶν δικαστῶν. Gu. m. sec.

V. 774. *ΙΤΕΟΝ*, ἄξιον ἀπελθεῖν, ὅτι δειλόν ἐστι τὸ ἀδόξως ἀποθανεῖν. *ΑΝΑΝΔΡΟΝ*, ἀνάνδρων ἀνθρώπων, ἤγουν δειλῶν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦτο δὲ ἔσται, εἰ ἐνταῦθα μένω. Gu. m. sec. *ΑΙΝΩ ΤΑΔΕ*, συναινῶ ταῦτα.

V. 775. *Η ΛΕΓΩΜΕΝ*, ἆρα βούλει, ἵνα εἴπωμεν τῇ ἀδελφῇ μου ταῦτα; *ΜΗ ΠΡΟΣ ΘΕΩΝ.* μὴ λέξωμεν πρὸς θεῶν.

V. 776. *ΔΑΚΡΥΑ ΓΟΥΝ.* εὖ λέγεις· εἰ εἴποιμεν

6) Haec e Gu. addidi, in quo est etiam οἰκτίσαιτο, ut in Florr. 6. 9. 17. 21. 56. 59. 76. e quibus ultima τὸ μέγα κ. τ. λ. addidi.

7) In Junt. Basil. Barn. his subjungebatur: καὶ τίς ἄν με οἰκτίσειε διὰ τὸν τοῦ πατρὸς ἀσχάλλων θάνατον.

γὰρ, εἰς δάκρυα τραπῆναι μέλλομεν. Gu. ΓΟΥΝ. τὸ γοῦν
ἐνταῦθα ἔμφασιν τοῦ γὰρ ἔχει, ὅπερ καὶ ἐν ποιήσει καὶ λογο-
γραφίᾳ εὑρήσεις. ΓΕΝΟΙΤ᾽ ΑΝ, αὐτῇ μαθούσῃ. Gu.
ΟΥΚΟΥΝ ΟΥΤΟΣ. οὐκοῦν, φησὶ, παραιτητέον εἰπεῖν τῇ
ἀδελφῇ, ἐπεὶ δακρύσει. καὶ τοῦτο αὐτὸ κακὸς οἰωνὸς ἔσται,
τὸ δακρύειν [8]) δηλονότι. Ἄλλως. δέαν οὕτως εἰπεῖν, οὐκοῦν
τοῦτο, ὃ φὴς, ὡς εἰ γνώσεται ἡμᾶς ἀπερχομένους κλαύσε-
ται, μέγας οἰωνός ἐστιν, ἤγουν μέγα καὶ χαλεπὸν τεκμή-
ριον ἐστὶ πρὸς τὸν προκείμενον ἡμῖν ἀγῶνα· καὶ γὰρ, ἡνί-
κα τι μέλλουσι πράττειν οἱ ἄνθρωποι, ἣν ἐκ προοιμίων δα-
κρύοις καὶ [9]) λύπαις ἐντύχωσι, τεκμαίρονται ἐντεῦθεν,
ὡς οὐ καλῶς οὐδ᾽ ἀκινδύνως τουτὶ διανύσουσι. δέον οὕτως
εἰπεῖν, ὁ δὲ εἴρηκεν, οὐκοῦν οὗτος οἰωνὸς μέγας, πρὸς
τὸ οἰωνὸν τὸ οὗτος ποιήσας, ὥσπερ ἐστὶ καὶ τὸ ξύλινον
μόρον ἐξευρόντες, Ἣν παγίδα καλέουσι, καὶ
ἕτερα μυρία τοιαῦτα παρὰ ποιηταῖς καὶ λογογράφοις εὑρή-
σεις. [10]) ΟΥΤΟΣ ΟΙΩΝΟΣ Μ. (ἡ δακρυῤῥοια) σημεῖον
κακοῦ μέγα. Gu. Fl. 21. qui addit τὰ δάκρυα δηλονότι.

V. 777. ΔΗΛΑΔΗ ἀντὶ τοῦ δῆλον δὴ, ὡς τὸ πότε-
ρα ἀντὶ τοῦ πότερον. (Gu. τὸ πότερον ἀ. τ. πότερα.) Gu.
m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. δηλαδὴ, ἐπίῤῥημα
βεβαιώσεως. Florr. iidem. ὁμολογουμένως. Gu. m. sec.
ΤΩι ΧΡΟΝΩι. τῇ ὑπερθέσει τῶν θρηνημάτων αὐτῆς κερ-
δανεῖς, ὅ ἐστι, κἂν τὸ μὴ ἀπὸ τοῦ νῦν θρηνεῖσθαι κερδα-
νεῖς. Ἄλλως. κερδανεῖς, φησὶ, τὸ μὴ δακρῦσαι αὐτὴν, καὶ
γενέσθαι κακὸν οἰωνὸν ἐν τῷ μεταξὺ τῆς κρίσεως χρόνῳ,
τουτέστιν ἕως ἂν ἡ κρίσις ἐξενεχθῇ. Ἄλλως. τοῦτο λέγει,
ὡς, εἰ μὴ νῦν μαθοῦσα δακρύσει, ἀλλ᾽ ὕστερον, κέρδος
ἕξεις τὸν χρόνον, ἐπειδὴ τὸ μὲν πρὸ τοῦ ἀγῶνος δακρῦσαι

8) δακρύειν e conj. scripsi pro δάκρυον.

9) ἐκ προοιμίων δακρύοις καὶ e Gu. scripsi. Vulgo ἐν προοι-
μίοις λύπαις ἐντ. sine δακρύοις καί.

10) Vulgo μυρία ἐστὶ τοιαῦτα παρὰ τοῖς ποιηταῖς καὶ τοῖς λο-
γογράφοις. Quod dedi, est in Gu. King. edidit ξύλ. δόλον ἐξευ-
ρόντες, ἣν π. κ. ut vulgo editur Batrachom. 115. sed et ibi Oxon.
A. B. Vind. 241. Lips. Vratisl. Schol. Soph. Antig. 100. μόρον
habent, et hic Junt. Basil. Guelph.

τεκμήριον, ὡς ἔφαμεν, χαλεπὸν, ἢν δ᾽ ὕστερον τοῦτο ποιή-
σῃ, [1]) οὐδὲν ἡμῖν τούτου μελήσει. ΤΩι ΧΡΟΝΩι, διὰ
τοῦ χρόνου, ἤγουν συντόμως πορευθῆναι. Fl. 6. διὰ τοῦ
χρόνου. (τοῦ μὴ νῦν αὐτὴν γνῶναί τι.) Gu.

V. 778. ΠΡΟΣΑΝΤΕΣ, ἐμπόδιον, ἐναντίον. ΠΡΟΣ-
ΑΝΤΕΣ, ἐμπόδιον. (δύσκολον.) Gu. ἔστιν ἄντα ἐπίῤῥημα
δηλοῦν τὸ ἐξεναντίας, ἀφ᾽ οὗ τὸ πρόσαντες γράφεται καὶ τὸ
ἄναντες καὶ τὸ κάταντες. Fl. 21. ΤΙ ΤΟΔΕ, τί ἐστι τόδε
ὃ πάλιν λέγεις νέον; ΤΙ ΤΟΔΕ, τί ἐστι τὸ καινὸν τόδε,
ὃ λέγεις. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 779. ΜΗ ΘΕΑΙ. δέδοικα, μή πως με αὖθις αἱ
θεαὶ τῇ μανίᾳ κατάσχωσι. ΑΛΛΑ ΚΗΔ. ἀλλ᾽ ἐγὼ ἐπι-
μελήσομαί σου. ΚΗΔΕΥΣΩ, κυβερνήσω, δουλεύσω. Gu.

V. 780. ΔΥΣΧΕΡΕΣ. βαρὺ ἅπτεσθαι ἀσθενοῦντος
ἀνδρός. ΟΥΚ ΕΜΟΙ ΓΕ ΣΟΥ. ἀλλ᾽ ἐμοὶ οὐχ ὑπάρχει
δυσχερὲς τὸ ψαύειν σου.

V. 781. ΕΥΛΑΒΟΥ, φοβοῦ μανίας μεταλαβεῖν τῆς
ἐμῆς. ΕΥΛΑΒΟΥ, φοβοῦ, (ὑποστέλλου). Gu. ὑποστέλ-
λου ἤτοι πως φυλάσσου. Fl. 21. ΤΟ Δ᾽ ΟΥΝ ΙΤΩ, τὸ
μανῆναί με ἐλθέτω. ΤΟΔ᾽ ΟΥΝ, τὸ μετασχεῖν τῆς σῆς
λύσσης ἐμέ. Gu. γενέσθω τοῦτο μετασχεῖν με τῆς σῆς
ἀῤῥωστίας. Fl. 21.

V. 782. ΟΥΚ ΑΡ᾽ ΟΚΝΗΣΕΙΣ, οὐ φαβῇ σύ. Ο-
ΚΝΗΣΕΙΣ, φοβηθήσῃ, δειλιάσεις. Fl. 6. 9. 17. 21. 53.
56. 59. 76. ΟΚΝΟΣ ΓΑΡ. οὐδαμῶς φοβήσομαι· φόβος
γὰρ τοῖς φίλοις ὑπάρχει μέγα κακόν.

V. 783. ΕΡΠΕ ΝΥΝ. βάδιζε νῦν, πηδάλιον τῆς πο-
ρείας μου. ΕΡΠΕ, συνχειραγώγει μοι. Fl. 10. ΟΙΑΞ,
αὐχένιον, ὁδηγέ. Fl. 33. ἰθυντήρ. Fl. 10. πηδάλιον, κυ-
βέρνησις τῆς πορείας. (ὁδηγός.) Gu. ΦΙΛΑ Γ᾽ ΕΧΩΝ.
βαδίζω, προσφιλεῖς ἔχων, ἀντὶ τοῦ ποιούμενος, ἐπιμελείας
καὶ κυβερνήσεις. Gu. [2]) ΚΗΔΕΥΜΑΤΑ, ὑπηρετήματα.
Fl. 21. ἐπιγαμβρίαν. Fl. 33.

1) ποιήσῃ. Sic recte Gu. in quo hoc scholion cum superiore
ad v. 776. cohaeret: — λογογράφοις εὑρήσεις. τὸ δὲ τῷ χρ. δὲ κ.
τοῦτο λέγει. Vulgo ποιήσει.

2) In editis erat: βαδίζω, κυβερνήσεις, ἐπιμελείας καὶ κηδεύ-
σεις ὑπὲρ σοῦ ποιούμενος.

V. 784. *ΚΑΙ ΜΕ ΠΡΟΣ Τ.* καί με πρὸς τὸν τά-
φον ἄγε τοῦ πατρός. *ΠΟΡΕΥΣΟΝ*, ἄξον. (ὄδευσον, ἄγαγε.)
Gu. ἔσω γὰρ ἦν τῆς πόλεως. Fl. 10. *ΩΣ ΤΙ ΔΗ*, τί
τοῦτο εἴρηκας, ἢ ἵνα τί ἐκεῖσε θέλεις ἀπελθεῖν; *ΤΟΔΕ*,
τὸ ἐκεῖ πορευθῆναι ὑπάρξῃ. Gu.

V. 785. *ΩΣ ΝΙΝ ΙΚΕΤ.* ἵν' αὐτὸν παρακαλέσω
σῶσαί με. *ΤΟ ΓΕ ΔΙΚΑΙΟΝ.* τὸ δρᾶν οὕτω δίκαιον ἐστί.
ΤΟΓΕ ΔΙΚ. οὕτως ἀπελθεῖν πρὸς ἐκεῖνον καὶ ἱκετεῦσαι.
Gu. τὸ τὸν πατέρα σου σῶσαί σε. Fl. 21. [3])

V. 786. *ΜΗΤΕΡΟΣ ΔΕ*, τὸν μητρὸς δὲ μηδὲ θεά-
σαιμι (l. — αίμην) τάφον. *ΠΟΛΕΜΙΑ ΓΑΡ ΗΝ.* ἐπει-
δὴ ἐχθρὰ ὑπῆρχεν.

V. 787 — 791. *ΑΛΛ' ΕΠΕΙΓ'.* ἀλλ' ἐπείγου, ἵνα
μή σε πρότερον ἡ καταδίκη προλάβῃ, περιβαλὼν τοῖς ἐμοῖς
πλευροῖς τὰ σὰ πλευρὰ, τὰ ὑπὸ τῆς νόσου ἀσθενῆ καὶ δυς-
κίνητα, ὅτι ἐγὼ διὰ μέσης τῆς πόλεως οὐδαμῶς τοῦ πλή-
θους ἐπιστρεφόμενος, βαστάσω σε μηδὲν ἐντραπείς. (Ἄλλως.
οὐ φροντίσας τοῦ ὄχλου, ὀχήσω καὶ βαστάσω σε διὰ μέσης
τῆς πόλεως.) ποῦ γὰρ ὑπάρχων δείξω σοι πιστὸν φίλον
ἐμαυτὸν, εἰ μὴ βοηθήσω σοι, τανῦν ἐν δειναῖς συμφοραῖς
ὄντι καὶ χαλεπαῖς;

V. 787. *ΕΠΕΙΓΕ* ἤγουν ἐπίσπευδε σαυτὸν δηλονότι,
τουτέστιν ἐπείγου. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59.
76. σπούδαζε, ἔλαυνε. Gu. m. 2. *ΠΡΟΣΘΕΝ ΕΛΗι*
ἀντὶ τοῦ προλάβῃ. Gu.

V. 7 8. *ΝΩΧΕΛΗ*, δυςκίνητα. (ἀσθενῆ καὶ βρα-
δεῖαν.) Gu. νωχελῆ, δυςκίνητα, μὴ δυνάμενα ἐκ τῆς νό-
σου κέλλειν (Fl. σκέλει) καὶ τρέχειν (om. Fl.), ὅθεν καὶ
σκέλος. Gu. m. 2. Fl. 10.

V. 789. *ΔΙ' ΑΣΤΕΟΣ*, διὰ μέσης τῆς πόλεως. Gu.
Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΣΜΙΚΡΑ* ἀντὶ τοῦ οὐδα-
μῶς. Gu. *ΦΡΟΝΤ. ΟΧΛΟΥ*, μή με μέμψηται βαστά-
ζοντά σε. Gu.

V. 790. *ΟΧΗΣΩ*, βαστάσω. (πορεύσω.) Gu. ἐπιφορ-
τισθῶ. Gu. 53.
V. 791. *ΕΠΑΡΚΕΣΩ*, ὠφελήσω. Fl. 10. 21. τὸ

3) Fl. 10. tantum habet σεαυτὸν σῶσαι.

ἐπαρκῶ εἰ μὲν συντάσσεται δοτικῇ, τὸ ἀρκῶ ἔχει τὴν δύ-
ναμιν, εἰ δὲ αἰτιατικῇ, τὸ ἐπὶ, ὡς κἀνταῦθα. Gu.

V. 792 sqq. *ΤΟΥΤ' ΕΚΕΙΝΟ.* ἦν ἄρα, φησὶ, κα-
λῶς τοῦτο δεδογμένον καὶ ᾀδόμενον, τὸ μὴ μόνον τοὺς συγ-
γενεῖς φίλους νομίζειν, ἀλλὰ καὶ εἴ τις βέβαιος τὴν διάθε-
σιν· ὅτι ὅςτις τρόπῳ καὶ διαθέσει συγκάμνει φιλόξενος ὢν,
πολλῶν συγγενῶν ἀμείνων ἐστὶν ὁ τοιοῦτος.

V. 792. *ΤΟΥΤ' ΕΚΕΙΝΟ* ὑπάρχει τὸ ᾀδόμενον (ἔκ-
παλαι). [4]) Gu. τὸ Ἡσιόδειον. Fl. 21. *ΤΟ ΣΥΓΓΕΝΕΣ*,
ἔχετε δηλονότι. οὐ γὰρ δύναται τὸ κτᾶσθαι ἀπὸ κοινοῦ καὶ
ἐπὶ τῶν συγγενῶν λαμβάνεσθαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59.
76. τουτέστιν, αὕτη ἐστὶν ἡ δύναμις ἐκείνου τοῦ ᾀδομέ-
νου λόγου τοῦ κτᾶσθ' ἑταίρους καὶ τὸ ἑξῆς· ἰδοὺ γὰρ,
ἐγὼ μὲν γὰρ ὑπὸ τῶν συγγενῶν παρορῶμαι, ὑπὸ φίλου δὲ
βοηθοῦμαι καὶ περιέπομαι. κτᾶσθ' ἑταίρους. ἐπὶ τῶν
ἔξωθεν προςγιγνομένων καὶ ὑπὸ ἐξουσίαν μὲν ὄντων τινὶ, ἢ
ὥςπερ ὑπὸ ἐξουσίαν διὰ τὴν συμφωνίαν καὶ ὁμογνωμοσύνην,
οὐχ ὥςτε δὲ καὶ ἅπτεσθαι ἐξ ἀνάγκης αὐτοῦ καὶ ἐγγυτάτω εἶ-
ναι λέγεται τὸ κτῆμα καὶ τὸ κτᾶσθαι. συγγενεῖς δὲ, καθὸ λέγε-
ται ἐνταῦθα τὸ συγγενὲς, ὥςπερ τινὰ μέλη εἰσί· φύσει γὰρ
προςήκουσι καὶ οὐκ ἔξωθεν προςγίνονται. εἰ δὴ τοῦτο, οὐ
δύναται τὸ κτᾶσθαι πρὸς τὸ συγγενὲς τείνειν, ἀλλ' ἕτερον
αὐτῷ δηλονότι δεῖ ῥῆμα συνυπακούειν ἀνάλογον. εἴη δ' ἂν
τὸ ἔχειν ἀνάλογον· τοῦτο γὰρ λέγεται μὲν καὶ ἐπὶ τῆς ση-
μασίας τοῦ κτᾶσθαι καὶ ἐφ' ἑτέρων, λέγεται δὲ καὶ ἐπὶ με-
ρῶν, οἷον χειρὸς καὶ ποδός· λεγόμεθα γὰρ ἔχειν χεῖρα καὶ
πόδα. κατὰ τοῦτο δὴ τὸ σημαινόμενον λέγοιτο ἂν τις καὶ
συγγενεῖς ἔχειν κατὰ λόγον. Gu. m. sec.

V. 793. *ΩΣ ΑΝΗΡ.* τὸ ὡς ἀντὶ τοῦ ὅτι. τὸ δὲ
τρόποισι συντακῇ ἀντὶ τοῦ συμφωνήσῃ, συμβιβασθῇ,
δυςαποσπάστως συγκολληθῇ καὶ ἑνωθῇ κατὰ τὰ μέταλλα τὰ
ὑπὸ πυρὸς ὁμοῦ τηκόμενα. Gu. m. sec. *ΣΥΝΤΑΚΗι*,
συμβιβασθῇ. (συναρμοσθῇ, συνουσιωθῇ, συναναπλησθῇ.)
Gu. *ΘΥΡΑΙΟΣ*, ἀλλότριος. (ξένος καὶ οὐ συγγενής.) Gu.

V. 794. *ΜΥΡΙΩΝ ΚΡΕΙΣΣΩΝ.* μυρίων ἀδελφῶν
κρείσσων ὁ φίλος ἐστὶν ἀνθρώπῳ [5]) εἰς τὸ κεκτῆσθαι αὐτὸν,

4) Fl. 10. τὸ ἔκπαλαι δεδομένον τό. Corr. ᾀδόμενον.

5) ἀνθρώπῳ. Sic Gu. pro ἀνθρώπων, quod etiam sine codicis auctoritate corrigendum erat.

ὅμοιον τῷ ἡδὺς ὁ ποταμὸς πιεῖν. *ΟΜΑΙΜΩΝ.* λέγε-
ται καὶ ὁμαίμων τοῦ ὁμαίμονος, καὶ ὁ ὅμαιμος τοῦ ὁμαί-
μου, ἀφ᾽ οὗ ἐνταῦθα τὸ ὁμαιμόνων ἐπὶ γενικῆς τῶν πλη-
θυντικῶν. (τῶν πολλῶν Fl.) Gu. m. pr. Fl. 6. 9. 56.
59. 76.

V. 795—831. *Ο ΜΕΓΑΣ ΟΛΒΟΣ.* τὰ τοιαῦτα εἴδη
τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔστι δὲ τὰ πα-
ρόντα τριὰς ἐπῳδικὴ, καὶ εἰσὶ τῆς στροφῆς τὰ κῶλα ιβ,
καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α χοριαμβικὸν δίμε-
τρον ἀκατάληκτον, ἐκ διτροχαίου πεντασυλλάβου καὶ χο-
ριάμβου· εἰ δὲ βούλει, ἰωνικὸν, ἢ παιωνικὸν δίμετρον
ὑπερκατάληκτον, ἐκ παιώνων δύο α καὶ β καὶ συλλαβῆς.[6])
τὸ β καὶ τὸ γ ὅμοια κατὰ πάντα. τὸ δὲ δ ἰωνικὸν τρίμε-
τρον ἀκατάληκτον ἐκ παίωνος δ, ἰωνικοῦ ἀπὸ μείζονος καὶ
ἐπιτρίτου β. τὸ ε ἐπιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον,
καλούμενον Εὐπολίδειον, ἑκατέρωθεν ἔχον ἰαμβικὰς συζυγίας,
μέσον δὲ τὸν χορίαμβον, καὶ ἔστι τῶν πολυσχηματίστων.
τὸ ϛ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον ἐκ
παίωνος δ, ἰωνικοῦ καὶ τροχαίου. ἔχει δὲ ἐνταῦθα τὸν ἰω-
νικὸν πεντασύλλαβον. τὸ ζ ἀναπαιστικὸν πενθημιμερές. [ἐν-
ταῦθα δὲ καὶ δάκτυλον ἔχει τὸν α πόδα.] τὸ η ὅμοιον
ἑφθημιμερές. [7]) εἰ δὲ ἐν τοῖς κώλοις ἀναρμόστως οἱ πόδες
κεῖνται, οὐ θαῦμα· τοῦ αὐτοῦ γὰρ μέτρου εἰσὶν ἀμφότεροι,
ὅ τε δάκτυλος καὶ ὁ ἀνάπαιστος. τὸ θ προσῳδιακὸν δίμε-
τρον καταληκτικὸν (l. ἀκατάληκτον), ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάτ-
τονος καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον. ἐνταῦθα δὲ πεν-
τασύλλαβον ἔχει τὸν ἰωνικόν. τὸ ι ἰωνικὸν ἀπ᾽ ἐλάττονος
τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου γ ἀντὶ ἰωνικοῦ,
καὶ σπονδείου. τὸ ια ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β ποδὸς
ἀναπαίστου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον
ἀκατάληκτον, ἐκ παίωνος β καὶ ἐπιτρίτου β. τὸ ιβ ἰαμβι-

6) ἐκ παιώνων δύο α καὶ β καὶ συλλαβῆς. Ita e Baroc. 74. edidit King. Ante erat ἐκ παιώνων δ, ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἐπιτρίτου δευτέρου. Paulo ante διτροχαίου pro διτρόχου est etiam ex emend. Kingii.

7) King. haec transposuit: —πενθημιμερές. εἰ δὲ ἐν τοῖς κώλοις — καὶ ὁ ἀνάπαιστος. τὸ η ὅμοιον ἑφθημιμερές. ἐνταῦθα δὲ καὶ δάκτυλον ἔχει τὸν α πόδα. Mihi ultima spuria esse videntur: scripsisset, puto, metricus: ἔχει δὲ καὶ ἐνταῦθα δάκτ. τὸν α π.

κὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ τῆς ἀντιστροφῆς παράγραφος.

V. 795—806. *Ο ΜΕΓΑΣ ΟΛΒΟΣ.* τὸ ἑξῆς, ὁ μέγας ὄλβος καὶ ἡ ἀρετὴ τῶν Ἀτρειδῶν ἡ μεγαλοφρονήσασα καὶ ἐν Ἑλλάδι καὶ ἐν Τροίᾳ εἰς τὸ ἐναντίον τῆς εὐδαιμονίας ἀνῆλθεν, ὅ ἐστιν εἰς δυςτυχίαν ἀρχαίαν, τὴν τοῖς Ἀτρείδαις συμπεσοῦσαν ἐπὶ τῷ χρυσομάλλῳ ἀρνῷ.[8]) δύναται καὶ μεγαλοφρονοῦσι τοῖς Ἀτρείδαις. Ἄλλως. διὰ τὴν παλαιὰν καὶ πάλαι γεγενημένην συμφοράν. λέγει δὲ τὴν μοιχείαν τῆς γυναικὸς Ἀτρέως καὶ τὴν βορὰν τῶν τέκνων τοῦ Θυέστου, ὡς καὶ ἐν τοῖς ἑξῆς ἐπάγει. ἢ οὕτως, προϋπαρξάσης ἑτέρας κατὰ τὸν ἀνέκαθεν χρόνον συμφορᾶς τῶν τέκνων αὐτοῦ, εἶτα εὐτυχίας τῆς κατὰ τὸ Ἴλιον, καὶ πάλιν δυςτυχίας τῆς νῦν τραγῳδουμένης, ἥτις αὐτοῖς προὐξένισε συμφορὰς ἀτόπους, τῶν μὲν οἰκτροτάτων παίδων βορὰν, τῶν δὲ σφαγὴν ἀνοσίαν τέκνων ἀδελφοῦ. ἑξῆς δὲ χρόα τέμνων πυριγενεῖ παλάμᾳ. ἐπὶ τῶν τοκέων δὲ ἔλαβε παρὰ τὸ τεκεῖν ἴσως. Ἄλλως. ὁ μέγας ὄλβος καὶ ἡ περίπυστος κατὰ πᾶσαν τὴν Ἑλλάδα καὶ ἐν Ἰλίῳ τῶν Ἀτρειδῶν εὐδαιμονία καὶ ἀρετὴ εἰς τοὐπίσω πάλιν ἀνέδραμεν, ἐξ εὐτυχίας εἰς δυςτυχίαν μεταβληθεῖσα, καὶ ὥςπερ εἰπεῖν, ἀπόῤῥοιαν ἔχουσα, ἐκ τῆς παλαιᾶς ἐκείνης τῆς κατ᾽ οἶκον συμφορᾶς· ἐκείνη γὰρ ἡ ἔρις αὐτοῖς ἡ περὶ τοῦ χρυσομάλλου ἀρνοῦ εἰργάσατο ἐλεεινὰ βρώματα, καὶ σφαγὰς ἀνοσίους συγγενῶν τέκνων τοῦ Θυέστου. ἐξ ἐκείνου δὲ συγγενεῖς καὶ ἀλλεπάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν τῶν Ἀτρειδῶν οἶκον.

V. 795. *Ο ΜΕΓΑΣ ΟΛΒΟΣ,* ὁ πολὺς πλοῦτος. Gu. m. pr. Fl. 6. 9. 21. 56. 59. 76. ἡ εὐδαιμονία, ἡ λαμπρότης τῶν ἔργων. Gu. m. sec. *Α Τ᾽ ΑΡΕΤΑ,* καὶ ἡ ἀνδρεία· ἀπὸ τοῦ καθόλου τὸ μέρος. Gu. m. pr. Fl. 6. 9. 34. 56. 59. 76. εὐτυχία. Fl. 21.

V. 796. *ΜΕΓΑ ΦΡΟΝΟΥΣ᾽,* ἡ ἔνδοξος. Gu. m. pr. Fl. 6. 9. 21. 25. 34. 56. 59. 76. ἐπηρμένως καὶ ὑψηλῶς. Fl. 33.

8) Junt. Basil. ἀρνῷ. Barn. King. ἀρνείῳ (imo ἀρνειῷ). Sic etiam in fine scholii ἀρνοῦ Junt. Bas. ἀρνειοῦ Barn. King. Forma tamen ὁ ἀρνός occurrit in schol. Flor. 33. ad v. 800. et in edito ad v. 988.

V. 797. *ΠΑΡΑ ΣΙΜΟΥΝΤΙΟΙΣ ΟΧ.* καὶ παρὰ
τοῖς ῥεύμασι τοῦ ποταμοῦ τοῦ παρακειμένου τῷ Ἰλίῳ, τοῦ
Σιμόεντος, τουτέστι παρὰ τῇ Τροίᾳ. Gu. Fl. 6. 9. 21. 56.
59. 76.

V. 798. *ΠΑΛΙΝ ΑΝΗΛΘΕ.* τὸ ἀ ν ῆ λ θ ε δηλοῖ τὴν
εἰς τοὐπίσω κίνησιν τῆς εὐτυχίας· τὸ δὲ π ά λ ι ν δευτέρας
σχέσεως ἐστι δηλωτικόν· οἱ Ἀτρεῖδαι γὰρ εὐτυχήσαντες
πρὸς καιρὸν πάλιν δεδυστυχήκασιν διὰ τὴν παλαιὰν συμφο-
ρὰν τῶν δόμων. MS. C.C.C. *ΠΑΛΙΝ*, εἰς τοὐπίσω. (ἢ
εἰς ἀτυχίαν.) Gu. *ΑΝΗΛΘ'*, ἀνεπόδισεν. (εἰς τὸ πρότερον
ἀνέδραμεν, ἀνετράπη. [9])) Gu. *ΑΤΡΕΙΔΑΙΣ.* (τοῦτο
πρὸς τὸ ὄ λ β ο ς καὶ τὸ ἅ τ' ἀ ρ ε τ ὰ συντάσσεται.) τὸ ἑξῆς·
ὁ μέγας ὄλβος καὶ ἡ ἀρετὴ τῶν Ἀτρειδῶν. Gu.

V. 800. *ΟΠΟΤΕ ΧΡ.* ὁπότε ἦλθε τοῖς Ταντάλιδαις,
ἤγουν τοῖς ἀπογόνοις τοῦ Ταντάλου, ἡ ἔρις τῆς χρυσῆς ἀρ-
νὸς, ἤγουν ὑπὲρ τῆς χρυσῆς ἀρνός. ἔρις γάρ τινος λέγεται
καὶ ἣν ἐρίζει αὐτὸς πρός τινα, καὶ ἣν ἐρίζει τις πρὸς αὐ-
τὸν, καὶ ἣν ἐρίζουσιν ἕτεροι περὶ αὐτοῦ. *ΧΡΥΣΕΑΣ
ΕΡΙΣ ΑΡΝΟΣ.* Πέλοπος Ἀτρεὺς καὶ Θυέστης ἦσαν υἱοί.
Ἀτρεὺς δὲ τὸν ἀμφιμήτριον ἀδελφὸν αὐτῶν [10]) Χρύσιππον
ἀγαπώμενον ἀμέτρως ὑπὸ τοῦ πατρὸς αὐτῶν φθονήσας εἰς
φρέαρ ἀποπνίγει. ὃ μαθὼν Πέλοψ ἐξώρισεν αὐτόν. ὕστερον
δὲ μετὰ θάνατον Πέλοπος ἐπανῆλθε, καὶ ἑκάτερος αὐτῶν
τῆς βασιλείας ἀντεποιεῖτο, Ἀτρεὺς μὲν, ὡς πρῶτος ὢν κα-
τὰ νόμους, Θυέστης δὲ, τοῖς νόμοις ἐναντιούμενος. συνέθεν-
το οὖν, εἴ τις αὐτῶν δείξει τι τέρας, κύριος ἔσεσθαι τῆς
ἀρχῆς. ἐν τοῖς ποιμνίοις δὲ τοῦ Ἀτρέως εὕρηται χρυσοῦν
ἀρνίον μήνιδι Ἑρμοῦ, ὅτι τὸν τούτου υἱὸν Μυρτίλον εἰς
Γεραιστὸν ἀκρωτήριον Εὐβοίας κατεθαλάττωσε Πέλοψ. [1])

9) εἰς τοὐπίσω ἀνεπόδ. est etiam in Fl. 6. 9. 21. 56. 59. 76.
ἀνετράπη in Flor. 53.

10) MS. C.C.C. τὸν ἐπὶ μητρὶ ἀδ. teste Kingio. Gu. cum edi-
tis consentit et addit αὐτῶν, quod recepi. Idem paulo post ὑπὸ
τοῦ πατρὸς αὐτῶν φθ. pro αὐτόν.

1) μήνιδι Ἑρμ. — Πέλοψ e MS. C.C.C. et Gu. addidi. Paulo
ante uterque codex συνέθεντο οὖν, ὡς, εἴ τις. tum δείξῃ Junt. Ba-
sil. Barn. δείξοι King. δείξει Gu. In seqq. τῷ ἀνδραδέλφῳ exhi-
bent C.C.C. et Gu. Vulgo τῷ ἀδελφῷ.

καὶ μέλλοντος Ἀτρέως δεῖξαι τὸ τέρας τοῖς δικασταῖς, καὶ
λαβεῖν τὴν ἀρχὴν, Ἀερόπη ἡ τούτου γυνὴ μοιχευομένη
Θυέστῃ τῷ ἀνδραδέλφῳ, κλέψασα τοῦτο παρέδωκεν αὐτῷ.
Θυέστης δὲ λαβὼν τοῦτο, καὶ δείξας τοῖς δικασταῖς, τῆς
ἀρχῆς ἐκράτησε. μὴ ἀνασχόμενος οὖν Ἀτρεὺς τὴν συμφορὰν
καὶ [2]) δυσχεραίνων, ὅτι ἀδίκως ἐστέρηται τῆς ἀρχῆς, ὁμοῦ
τε τὴν γυναῖκα Ἀερόπην τιμωρεῖται κατ' ἄμφω, καὶ ὅτι ἐμοι-
χεύετο Θυέστῃ, καὶ ὅτι κέκλοφε τὸ ἀρνίον καὶ δέδωκεν αὐτῷ,
ῥίψας αὐτὴν εἰς τὴν θάλασσαν, ὡς φησὶ Σοφοκλῆς, καὶ τοὺς
τρεῖς υἱοὺς τοῦ Θυέστου, Ἀγλαὸν, Ὀρχόμενον καὶ Κάλεον
ἀποκτείνας παρέθηκεν εἰς τράπεζαν τῷ πατρὶ, καὶ αὐτὸν ὕστε-
ρον ἀπέκτεινεν. δι' ἃ ὁ ἥλιος μὴ στέρξας τὸ παράνομον,
μίαν ἡμέραν ἐκ δυσμῶν πρὸς ἕω διφρεύει. σὺν αὐτῷ δὲ καὶ
αἱ Πλειάδες τὴν ἐναντίαν ἐβάδισαν. *ΑΡΝΟΣ.* ἡ Ἀερόπη
γυνὴ ἦν τοῦ Ἀτρέως, μήτηρ δὲ τοῦ Ἀγαμέμνονος καὶ Με-
νελάου. γεννᾶται δὲ ἐν τῷ ποιμνίῳ αὐτοῦ χρυσοῦς ἀρνὸς,
καὶ περὶ βασιλείας μετὰ Θυέστου τοῦ ἀδελφοῦ αὐτοῦ ὁ
Ἀτρεὺς ἀμφισβητῶν, καὶ δι' ἔργων ἔχων δείξειν λέγειν,
τίνι προσήκει τὸ βασιλεύειν, — καὶ γὰρ ἤλπιζεν εἰς τὸν χρυ-
σοῦν ἄρνα· — ἡ Ἀερόπη μοιχευθεῖσα παρὰ τοῦ Θυέστου τοῦ
ἀνδραδέλφου αὐτῆς κλέπτει τὸν ἄρνα, καὶ τῷ Θυέστῃ δί-
δωσι τοῦτον. διὸ καὶ διαλαμβάνεται παρὰ τοῦ Χοροῦ, καὶ
κακίζει τὸ γινόμενον. Καὶ ἄλλως. Ὅμηρος φησί· Ἀ τ ρ ε ὺ ς
δ ὲ θ ν ή σ κ ω ν ἔ λ ι π ε π ο λ ύ α ρ ν ι Θ υ έ σ τ ῃ. Ἱστορία. Ἀ-
τρεὺς ὁ Πέλοπος βασιλεύων τοῦ Πελοποννήσου ηὔξατο ποτὲ,
ὅτι, ἐὰν κάλλιστον ἀρνίον γεννηθῇ ἐν τῷ ποιμνίῳ, τῇ Ἀρ-
τέμιδι θυσιᾶσαι τοῦτο. εὐθὺς δὲ ἐγεννήθη ἐν τῷ ποιμνίῳ
χρυσοῦς ἀρνὸς, καὶ διὰ τὸ ἐπέραστον ἠμέλησε τῆς εὐχῆς.
ὁ δὲ Ζεὺς τὸν Ἑρμῆν πέμπει πρὸς τὸν Ἀτρέα, ὅπως ποιή-
σῃ τὴν ὑπόσχεσιν καὶ τὴν βασιλείαν Θυέστου κληρονομήσῃ.
καὶ ποιήσας οὕτω τὴν βασιλείαν Θυέστου τοῦ ἀδελφοῦ ἐκλη-
ρονόμησε. βασιλεύσας δὲ ἔτεκε τὸν Ἀγαμέμνονα καὶ Με-
νέλαον. μέλλων δέ ποτε τελευτᾶν Ἀτρεὺς τὴν βασιλείαν
Θυέστῃ καταλιμπάνει, ὅπως ἀνδρωθέντι Ἀγαμέμνονι ἐπι-
δώσει αὐτῷ τὴν βασιλείαν. ἔχοντες γὰρ, ὥς φασί τινες,

2) τὴν συμφορὰν add. C. C. C. et Gu. hic etiam habet καὶ
δυσχ. pro ἀλλὰ δυσχ. Mox iidem τὴν γυναῖκα addunt ante Ἀερό-
πην. — εἰς θάλατταν Gu. — καὶ Κάλεον κτείνας ἀνέθηκε τῷ π.
Gu. In fine uterque codex post τὴν ἐναντίαν addit ὁδόν.

οἱ Ἀτρεῖδαι τὸ χρυσοῦν ἐκεῖνο δέρος τοῦ χρυσομάλλου ἀρ-
νίου, ὡς πατρικόν τι καὶ ἐξαίρετον σημεῖον ἐπιφέροντες,
καὶ διὰ τὸ ψευσθῆναι εἰς τὴν θεὸν καὶ οὐ τελεῖν τὴν θυ-
σίαν, ἀνέφερον πολλὰς συμφορὰς καὶ χαλεπὰς καὶ οἱ υἱοὶ
καὶ οἱ ἔκγονοι εἴδοισαν (sic). Fl. 55.

V. 802. *ΘΟΙΝΑΜΑΤΑ*, εὐωχήματα (εὐωχίαι). Gu.
Fl. 6. 9. 17. 21. 33. 34. 56. 59. 76.

V. 803. *ΣΦΑΓΙΑ*, σφαγαί. σφάγια τὰ σφαζόμενα
καὶ αἱ σφαγαί. Gu. Fl. 6. 9. 21. 56. 59. 76. *ΓΕΝ-*
ΝΑΙΩΝ ΤΕΚΕΩΝ, τῶν εὐγενῶν τέκνων τοῦ Θυέστου.

V. 804. *ΟΘΕΝ*, ἀφ᾽ οὗ. (ἀπ᾽ ἐκείνου τοῦ καιροῦ. τὸ
ὅθεν ἢ ἀπ᾽ ἐκείνου τοῦ καιροῦ ὡς ἐντὸς, ἢ ἀπὸ ταύτης
τῆς αἰτίας, τῆς βρώσεως τῶν τέκνων.) Gu. *ΦΟΝΩι ΦΟ-*
ΝΟΣ ΕΞΑΜ. φόνος φόνον διαδεχόμενος. ἐξ ἐκείνου δὲ
φόνοι συνεχεῖς καὶ ἀλλεπάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν
τῶν Ἀτρειδῶν οἶκον. *ΦΟΝΩι*, ἐπὶ φόνῳ φόνος δι᾽ αἵ-
ματος κατὰ διαδοχὴν ἐρχόμενος, φόνος φόνον διαδεχόμε-
νος. Gu. Fl. 6. 9. 21. 53. 56. 59. 76.

V. 805. *ΔΙ᾽ ΑΙΜΑΤΟΣ*, συγγενείας, φόνου. Gu.
ΟΥ ΠΡΟΛΕΙΠΕΙ, οὐ παύει. Gu. Fl. 6. *ΟΥ ΠΡΟΛΕΙ-*
ΠΕΙ. τὰ θατέρῳ συμβάντα κατ᾽ ἀμφοτέρων ἐξήνεγκεν· τί
γὰρ δεινὸν ὁ Μενέλαος ἐπανελθὼν πέπονθεν, εἰ μὴ τὰ ἐν
Ἰλίῳ δι᾽ αὐτὸν γινόμενα λέγει; καὶ σύλληψις οὖν ὁ τρόπος·
τὸ γὰρ ἑτέρῳ συμβὰν κατ᾽ ἀμφοτέρων ἔταξεν.

V. 807—821. *ΤΟ ΚΑΛΟΝ ΟΥ Κ.* καὶ τὸ νομιζό-
μενον καλὸν οὐ καλόν ἐστι. λέγει δὲ τὸ ἀπηνεῖ χειρὶ δια-
τεμεῖν τὸν χρόα τῶν γονέων, καὶ ᾑμαγμένον ἀνατεῖναι τὸ
ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς. τὸ γὰρ ἀδικεῖν πατέρα ἀσε-
βῶν ἐστι καὶ ἀνοήτων τέκνων καὶ πονηρῶν ἀνθρώπων· τὸ
δέ γε τῆς συμφορᾶς τῆς κατὰ τοῦτον ἐλεεινότερον· μέλλου-
σα γὰρ τελευτᾷν ἡ Τυνδάρεω Κλυταιμνήστρα φόβῳ τοῦ θα-
νάτου ἀνεβόησεν ἡ δυστυχὴς, Ὀρέστα, τολμᾷς μὲν τὸν κα-
τὰ τῆς μητρὸς φόνον. ὅρα δὲ καὶ σκόπει, μὴ τῆς εἰς τὸν
πατέρα τιμωρίας ἀνταλλάξῃ δύσκλειαν ἀθάνατον· οὔτε γὰρ
νόσος, οὔτέ τις ἑτέρα συμφορὰ γένοιτ᾽ ἂν ἐν ἀνθρώποις
μείζων μητροκτονίας. *ΤΟ ΚΑΛΟΝ.* τὸ καλῶς δοκοῦν γε-
γενῆσθαι οὐ καλῶς ἀπέβη τῷ Ὀρέστῃ. τὸ δέ ἐστι τὸ ἀπη-
νεῖ χειρὶ διατεμεῖν τὸν χρόα τῶν γονέων, καὶ ᾑμαγμένον
ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς. Τόδ᾽ αὐτὸ δὲ

μετὰ λόγου καὶ πιθανότητος ἐπιχειρεῖν τι καὶ πράττειν κα-
κὸν οὐχ ἁπλῆ ἐστιν ἀσέβεια. ἵν᾽ ᾖ καθόλου τοῦτο καὶ ἐπὶ
Ἀτρέως καὶ Θυέστου καὶ ἐπὶ Κλυταιμνήστρας καὶ ἐπ᾽ Αἰ-
γίσθου, καὶ οὐ μόνον ἐπὶ τούτων, ἀλλὰ καὶ καθολικὴ ἐστι
γνώμη. τὸ δὲ κακοφρονούντων ἀνδρῶν παράνοια τοι-
οῦτον ἐστὶ, τῶν κακὰ διαλογιζομένων ἀνδρῶν ἀντὶ τοῦ
ἀλόγιστόν ἐστιν. ἢ τοιαύτη ἡ σύνταξις· οὐδὲ τοῦτο φησὶ
καλὸν, τὸ τὸ ξίφος ᾑμαγμένον δεῖξαι ταῖς τοῦ ἡλίου αὐγαῖς.
εἰώθασι γὰρ οἱ ἀνελόντες τινὰ δικαίως, ὡς οἴονται, τῷ
ἡλίῳ τὸ ξίφος δεικνύναι, σύμβολον τοῦ δικαίως πεφονευκέ-
ναι. 3) *ΤΟ ΚΑΛΟΝ ΟΥ ΚΑΛΟΝ*, ὡς γέγονε. (τὸ δο-
κοῦν τῷ Ὀρέστῃ.) Gu. 4)

V. 808. *ΠΥΡΙΓΕΝΕΙ*, ἀπηνεῖ καὶ θρασείᾳ καὶ ἀνημέ-
ρῳ, ὡς ἂν ἐκ πυρὸς γεγενημένῃ· ἢ τὸ ξίφει, ἐπεὶ ὑπὸ πυρὸς
παλαμᾶται. *ΠΥΡΙΓΕΝΕΙ*, δραστηρίᾳ. (θρασείᾳ, φονικῇ,
ἀπηνεῖ, ἀνημέρῳ.) Gu. ληστρικῇ, θερμικῇ. Fl. 33. *ΤΕ-*
ΜΝΕΙΝ, λέγω τὸ διατεμεῖν. *ΠΑΛΑΜΑι*, χειρί. Gu. Fll.

V. 809. *ΧΡΟΑ*, σῶμα. (τὴν ὄψιν, τὴν κεφαλήν.) Gu.
ΜΕΛΑΝΔΕΤΟΝ 5) *ΔΕ* διὰ τὸ μέλαιναν λαβὴν ἔχειν,
τουτέστι μελάγκωπον, ἢ μέλαν ὑπὸ τοῦ φόνου γενόμενον.
πολλὰ δέ εἰσι τὰ τοιαῦτα σύνθετα, οἷον κελαινεφὲς αἷμα·
οὐ γὰρ ἔγκειται τὸ νέφος. οὕτω καὶ ἐνταῦθα τὸ δεδέσθαι
οὐκ ἔγκειται. *ΜΕΛΑΝΔΕΥΤΟΝ*, μέλανι αἵματι ὑγρῷ
(l. ὑγρὸν, ut Florr.) ἤγουν ᾑμαγμένον. 6) (βεβαμμένον ἐξ
αἵματος, ἢ τὸ σιδηροῦν· μέλας γὰρ ὁ σίδηρος.) Gu. *ΜΕ-*

3) Gu. a m. pr. Fl. 6. 9. 21. 25. 34. 56. 59. 76. οἱ φόνον ἐρ-
γασάμενοι καὶ δικαίως οἰόμενοι τοῦτο ποιῆσαι, τῷ ἡλίῳ τὸ ξίφος
ἐδείκνυον ᾑμαγμένον. Gu. a m. sec. ἔθος τοῖς οἰομένοις δικαίως
φονεῦσαι τινὰ, τῷ ἡλίῳ τὸ ξίφος δεικνύναι, σύμβολον τοῦ δικαίως
πεφονευκέναι τοῦτο ποιούμενοι. quod statim sequuntur illa *μελάν-
δετον δέ*. vid. ad v. 809.

4) E Flor. 59. enotatum est: *δοκοῦν τῷ Ὀρέστῃ, ἢ ὡς γέγο-
νεν.* In Gu. sequuntur ea, quae in editis leguntur: *τὸ καλῶς δο-
κοῦν — Ὀρέστῃ.*

5) In Junt. Basil. legebatur *μελάντερον*.

6) Idem scholion est in Florr. 6. 9. 21. 56. 59. 76. qui tamen
μελάνδετον, non *μελάνδευτον* habent.

ΛΑΝΔΕΤΟΝ δὲ λέγει φόνῳ, τὸ μελανθὲν καὶ βαφὲν ὑπὸ τοῦ αἵματος. πολλὰ δέ εἰσι τὰ τοιαῦτα σύνθετα, οἷον κελαινεφὲς αἷμα, καὶ ἕτερα μυρία. ἡ μελάνδετον τὸ σιδηροῦν· φησὶ γὰρ Αἰσχύλος (S. ad Th. 43.) ἐς μελάνδετον σάκος, ἤτοι τὸ διὰ σιδήρου δεδεμένον. Gu. m. sec. Baroc. 74.

V. 811. ΤΟ Δ' ΑΥ ΚΑΚΟΥΡΓΕΙΝ. ἀλλὰ καὶ τὸ δεινὰ πράττειν ἀσέβειά ἐστι. τοῦτο δὲ φησὶν, ἐπειδὴ ἡ Κλυταιμνήστρα ἐφόνευσε τὸν Ἀγαμέμνονα. 7) ΤΟ Δ' ΑΥ ΚΑΚ. ἤγουν τὸ κλέπτειν πρᾶξιν κακὴν, τουτέστι τὸ μετὰ λογισμῶν δῆθεν εὐλόγων ποιεῖν τι κακὸν ἀσέβεια καὶ παράνοια. καὶ τοῦτο χάριν τοῦ Ὀρέστου εἴρηται, καὶ ὡ τῆς Κλυταιμνήστρας. MS. C. C. C. τὸ κακότροπα (κακὰ) ἐργάζεσθαι (ὥσπερ ἡ Κλυταιμνήστρα). Gu. Fl. 6. 9. 21. 56. 59. 76. ΑΣΕΒΕΙΑ ΜΕΓ. ἀσέβεια ποικίλη γράφε. μὴ μεγάλη, ἵν' οἰκείως ἔχῃ τὸ κῶλον πρὸς τὸ τῆς στροφῆς. Baroc. 74. καὶ γὰρ οὐκ ἠλέησε τὴν μητέρα οἰκτρῶς παρακαλοῦσαν. Fl. 10.

V. 812. ΚΑΚΟΦΡΟΝΩΝ Τ' ΑΝΔΡ. αὕτη ἡ κατασκευὴ πρὸς τὸ οὐ καλόν, διὰ μέσου ῥηθέντος τοῦ τὸ δ' αὖ κακουργεῖν καὶ τὸ ἑξῆς. 8) Gu. κακῶς διανοουμένων. Gu. κακῶς διατεχνουμένων. Fl. 10. τοῦ Αἰγίσθου. Gu. Fl. 6. ΠΑΡΑΝΟΙΑ, ἀγνωσία. Gu. m. pr. Fl. 6. 9. 21. 25. 34. 56. 59. 76. μωρία. Gu. m. sec.

V. 813. ΑΜΦΙ ΦΟΒΩι, διὰ τὸν φόβον τοῦ θανάτου.

V. 814. ΙΑΧΗΣΕ, ἐβόησεν.

V. 815. ΟΥ ΤΟΛΜΑιΣ, οὐ ποιεῖς. Gu. Fl. 6. 9. 21. 25. 56. 59. 76.

V. 816. 817. ΜΗ ΠΑΤΡΩιΑΝ ΤΙΜΩΝ Χ. ὅρα

7) In editis haec etiam leguntur: τὸ μὲν κακουργεῖν ἀσεβῶν ἐστι καὶ πονηρῶν ἀνθρ. — ἐλεεινότερον, quae supra jam adscripta sunt ad v. 807—821.

8) Idem sch. e Baroc. 74. edidit King. sed annexum scholio ad v. 811. et truncatum: desunt enim omnia post ῥηθέντος. Pertinere vero hoc scholion ad v. 812. non ausim contendere: in Gu. inter vs. 811. et 812. a m. sec. scriptum est, praefixa stellula*, quam in apice litterae κ verbi κακοφρόνων mihi visus sum agnoscere.

ἵνα (μὴ χαριζόμενος τῷ πατρί). Gu. ΤΙΜΩΝ Χ. τίνων χάριν γράφειν δεῖ, καὶ μὴ τιμῶν· τοῦτο μὲν γὰρ μακρὸν ἔχει τὸ ι, ἐκεῖνο δὲ βραχύ. καὶ μὴ ἐςαιεί, ἀλλ' εἰςαιεί· οὕτω γὰρ ἔχει τὰ κῶλα οἰκείως πρὸς τὰ τῆς στροφῆς. Baroc. 74. ΕΞΑΝΑΨΗι, ἐγείρῃς. (λάβῃς, ἀπενέγκῃ.) Gu. ΔΥΣΚΛΕΙΑΝ, κακὴν φήμην. ΕΣΑΕΙ, διόλου.

V. 819—831. ΤΙΣ ΝΟΣΟΣ, Η ΤΙΝΑ ΔΑΚΡΥΑ. τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα ἐστὶ ιγ. τὸ α ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἐκ δύο δακτύλων καὶ δύο ἀναπαίστων, τοῦ β διαλελυμένου καὶ γεγονότος προκελευσματικοῦ, ἤτοι τετραβράχεος. τὸ β ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον. εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον. τὸ γ ἀσυνάρτητον ἐκ δακτυλικοῦ διμέτρου καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τετάρτου, διϊάμβου καὶ βακχείου. τὸ δ τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ γ ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β καὶ ἀναπαίστου. καὶ ἔστιν ἐφθημιμερές. τὸ ε ὅμοιον ἰωνικὸν ἐξ ἐπιτρίτου α καὶ ἀναπαίστου. τὸ ς παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παιώνων πρώτων δύο καὶ συλλαβῆς. τὸ ζ (ἀναπαιστικὸν add. K.) ἐφθημιμερές. τὸ η ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ α ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος ἐφθημιμερὲς ἐκ παίωνος γ ἀντὶ ἰωνικοῦ καὶ μολοσσοῦ. τὸ θ χοριαμβικὸν δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. τὸ ι ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου β πεντασυλλάβου καὶ χοριάμβου. τὸ ια προσῳδιακὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου, ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. τὸ ιβ τροχαϊκὸν ἐφθημιμερές, τῶν πρώτων δύο ποδῶν χορείων. τὸ ιγ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διϊάμβου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος· ταῦτα γάρ ἐστι σημεῖα τοῦ τέλους τῆς ἐπῳδοῦ.

V. 819. ΤΙΣ ΕΛΕΟΣ. δέον τίς δυςτυχία εἰπεῖν, ἔλεος εἶπεν ἀπὸ τοῦ συμβαίνοντος· τοῖς γὰρ δυςτυχοῦσιν ἔλεος παρὰ πάντων ἀνθρώπων γίνεται. τὸ αὐτὸ δὲ νοητέον καὶ πρὸς τὸ τίνα δάκρυα. βούλεται δὲ ἐντεῦθεν εἰπεῖν, ὅτι πάντων, ὅσα παρὰ ἀνθρώποις δεινὰ, τὸ ἀποκτεῖναι μητέρα δεινότερον.

V. 820. ΜΕΙΖΩΝ ΚΑΤΑ ΓΑΝ. οὐδεὶς δηλονότι. ἐπεὶ οὔτε νόσος, οὔτε συμφορὰ μείζων ἐστὶ τῆς μητροκτονίας.

V. 820. *Η ΜΑΤΡΟΚΤΟΝΟΝ*, ἢ μητρὸς αἷμα (φόνον) διὰ τῆς χειρὸς ποιῆσαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τινὲς μέχρι τοῦ θέσθαι λέγουσιν εἶναι τὸν στίχον, καὶ ἕτερον τὸ οἷον ἔργον τελέσας· οἱ δὲ μέχρι τοῦ τελέσας στίχον ἵνα λέγουσιν. Fl. 59.

V. 822—826. *ΟΙΟΝ ΕΡΓΟΝ ΤΕΛΕΣΑΣ*. οἷον ὁ δυςτυχὴς Ὀρέστης καταπραξάμενος τὸ τῆς μητροκτονίας ἄγρευμα γεγένηται ταῖς Ἐριννύσι, συλληφθεὶς ὑπ' αὐτῶν διὰ τὸν τῆς μητρὸς φόνον. δινεύων δὲ βλεφάροις ἀντὶ τοῦ περιδινούμενος τοὺς ὀφθαλμούς (τοιοῦτοι γὰρ οἱ μανιώδεις) καὶ πανταχοῦ περιστρέφων αὐτοὺς, ὅ ἐστι τεταραγμένους ἔχων τοὺς ὀφθαλμούς. τὸ δὲ ἑξῆς, Εὐμενίσι δρομάσι, δρομάσι δὲ ταῖς εὐκινήτοις. *ΟΙΟΝ ΕΡΓΟΝ ΤΕΛΕΣΑΣ* ὁ παῖς τοῦ Ἀγαμέμνονος τετάρακται ὑπὸ μανιῶν, Εὐμενίδων ἄγρευμα διὰ τὸν φόνον γενόμενος, εὐκινήτοις ὀφθαλμοῖς περισκοπούμενος. Gu. [9])

V. 822. *ΤΕΛΕΣΑΣ*, διαπραξάμενος.

V. 823. *ΒΕΒΑΚΧΕΥΤΑΙ*, τετάρακται. [10]) (ἠγρίωται, ἐξεμάνη, ἐταράχθη.) Gu.

V. 824. *ΦΟΝΩι*, διὰ τὸν φόνον. Gu.

V. 825. *ΔΡΟΜΑΣΙ*, εὐκινήτοις (ταχείαις [1])). Gu. *ΔΙΝΕΥΩΝ*, περισκοπούμενος. (περιδινούμενος. συστρέφων ἑαυτόν. et in marg. εἰώθασι γὰρ οἱ μαινόμενοι συστρέφειν τοὺς ὀφθαλμούς· ταραττομένων δὲ τούτων, ἀνάγκη καὶ τούτους στρέφεσθαι.) Gu. δινούμενος τοὺς ὀφθαλμοὺς, ὡς οἱ μαινόμενοι. Fl. 10. *ΒΛΕΦΑΡΟΙΣ*, ὄμμασι. Gu.

V. 827. *Ω ΜΕΛΕΟΣ*. ὡς ἄρα ἦσθα τὴν φύσιν ὠμὸς, ἡνίκα ἡ μὲν ὠδινήσασα προὔτεινέ σοι τὸν μαστὸν ὑπὸ τῶν χρυσοΰφων ἱματίων, γαλακτοτροφίας ὑπομιμνήσκουσα, καὶ τὸν ἔλεον διὰ τούτου θηρωμένη· σὺ δὲ πρὸς τοῦτο ἀπιδὼν, οὐκ ἠλέησας τὴν τεκοῦσαν, ἀλλὰ γέγονας τῆς μητρὸς ἀνόσιος φονεὺς, τῷ σῷ πατρὶ ὑπὲρ ὧν πέπονθεν ἐκδίκησιν δι' ἀσεβείας διδούς. *ΜΕΛΕΟΣ*, ἄθλιος. Gu. Florr.

9) Idem scholion habet King.

10) τετάρακται est etiam in editis.

1) ταχείαις et περισκοπούμενος est etiam in editis.

V. 828. *ΥΠΕΡΤΕΛΛΟΝΤΑ*, προκύπτοντα. (ἀναφαινόμενον, ἀνατεινόμενον.) Gu. [2])

V. 829. *ΧΡΥΣΕΟΠΗΝΗΤΩΝ*, τῶν ἐκ χρυσοῦ καὶ μετάξης ὑφανθέντων (κατεσκευασμένων ἱματίων). Gu. [3]) ἐκ χρυσοῦ ὑφανθέντων. ἴσως παρὰ τὸ πηνίον. Fl. 10.

V. 830. *ΣΦΑΓΙΟΝ*, θῦμα. Gu. *ΕΘΕΤΟ*, ἐποίησε. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 831. *ΑΜΟΙΒΑΝ*, εἰς (ἀντέκτισιν). Gu. εἰς ἐκδίκησιν.

V. 832 sqq. *ΓΥΝΑΙΚΕΣ Η ΠΟΥ* καὶ ἑξῆς. αὗται αἱ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ριγ, ὧν τελευταῖος, ὡς εἰς στεναγμοὺς καὶ γόους δραμουμένη. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

V. 832. 833. *ΓΥΝΑΙΚΕΣ*. ὦ γυναῖκες, ἆρα ἐξῆλθεν τῶν δόμων ὁ ἄθλιος Ὀρέστης τῇ ἐκ θεοῦ ἐρχομένῃ τύχῃ δαμασθείς. *ΓΥΝΑΙΚΕΣ ΗΠΟΥ*. οἶδεν, ὅτι ἐξῆλθεν, ἐπεὶ οὐχ ὁρᾷ αὐτόν· ζητεῖ δὲ, εἰ μανεὶς ἐξῆλθεν (τῶν δωμάτων ὁ τλήμων Ὀρέστης add. Bar.). Gu. Baroc. 74.

V. 833. *ΘΕΟΜΑΝΕΙ*, τῇ ἐκ θεοῦ ἐρχομένῃ. (ἐκ θείας ὀργῆς γενομένῃ.) Gu. *ΔΑΜΕΙΣ*, κατασχεθεὶς, δαμασθείς. Gu.

V. 834—836. *ΗΚΙΣΤΑ*. οὐδαμῶς μαινόμενος, σωφρονῶν δὲ ἀπῆλθε πρὸς τὸν [4]) τῶν Ἀργείων λαὸν, δώσων ἀγῶνα τὸν προκείμενον περὶ τῆς ζωῆς, ἐν ᾧ ἀγῶνι ἀπόκειται ἢ ζῆν ἢ θανεῖν ὑμᾶς.

V. 834. *ΑΡΓΕΙΟΝ* ἑνικῶς γράφε πρὸς τὸ λεών· Ἀργεῖος γὰρ λαός ἐστιν ὁ ἀπὸ Ἄργους, ὡς Ἀθηναῖος ὁ ἐξ Ἀθηνῶν, καὶ Θηβαῖος ὁ ἐκ Θηβῶν. οἱ δὲ μετὰ τὸ (τοῦ) ων γράφοντες ἀγνοοῦσι τὰ μέτρα. Baroc. 74.

2) In editis est ὑπερκύπτοντα, ὑπεραναт.

3) In editis deest ὑφανθέντων, in Florr. 6. 9. 17. 21. 25. 51. 56. 59. 76. κατεσκευασμένων.

4) τὸν e Gu. addidi, in quo haec est glossa verbi Ἀργεῖον, τὸν τῶν Ἀργείων.

V. 835. *ΤΟΝ ΠΡΟΚΕΙΜΕΝΟΝ*, τὸν ἐνιστάμενον. Gu.

V. 837. *ΟΙΜΟΙ*, φεῦ, τί πρᾶγμα πεποίηκε; τίς δὲ κατέπεισεν αὐτόν;

V. 838 sq. *ΠΥΛΑΔΗΣ*, ὁ Πυλάδης· φαίνεται δὲ ὅδε ὁ ἄγγελος οὐ μακρὰν ὤν, εἰπεῖν τὰ ἀπὸ τῶν Ἀργείων περὶ τοῦ ἀδελφοῦ σου.

V. 839. *ΤΑ ΚΕΙΘΕΝ*, τὰ ἀπ' ἐκεῖ, τὰ ἀπὸ τῶν Ἀργείων. βαρεῖαν χρὴ τιθέναι εἰς τὸ τὰ, ἵνα ᾖ βραχὺ τὸ α, καὶ ἀπόστροφον δηλοῦσαν, ὡς ἔκθλιψις γέγονε τοῦ ε· ἐν ἄλλοις γὰρ γίνεται κρᾶσις καὶ ἔστι τὸ τα μακρὸν, οἷον τἀμά, ἐνταῦθα δὲ οὔ. Baroc. 74.

V. 840—842. *Ω ΤΛΗΜΟΝ*. ὦ ἀθλία θύγατερ τοῦ Ἀγαμέμνονος, σεβασμία [5]) Ἠλέκτρα, ἄκουσον λόγους δυςτυχεῖς, οὓς σοι φέρων ἐλήλυθα.

V. 841. *ΠΑΙ ΠΟΤΝΙΑ*. πότνιαν αὐτὴν καλεῖ, ἢ διὰ τὸ εἶναι αὐτὴν παρθένον τοσοῦτον χρόνον, ἢ διὰ τὸ βασιλέως εἶναι θυγατέρα, καὶ βασιλέως οὐ τοῦ τυχόντος· δύστηνον δὲ καὶ τλήμονα τῶν παρουσῶν εἵνεκα συμφορῶν.

V. 842. *ΟΥΣ ΣΟΙ ΔΥΣΤΥΧΕΙΣ ΗΚΩ ΦΕΡΩΝ*. Ὅμοιον [6]) τῷ ποῦ 'στιν, ἣ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία. ὀφείλων γὰρ εἰπεῖν, ἄκουσον λόγους δυςτυχεῖς, οὓς ἥκω φέρων σοι, ὁ δὲ συνυπάγει τῷ ὑποτακτικῷ ἄρθρῳ τὸν λόγον, καὶ φησὶν, ἄκουσον οὓς δυςτυχεῖς λόγους ἥκω φέρων σοι.

V. 843 sq. *ΑΙ ΑΙ*. ἀπολώλαμεν· ἀπὸ τοῦ λόγου δῆλος εἶ (φανερὸς εἶ διὰ τοῦ λόγου. gl. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.) κακάγγελος ὤν.

V. 845 sq. *ΨΗΦΩι ΠΕΛ*. Ἐκυρώθη τῇ ψήφῳ τῶν Ἀργείων τὸν σὸν ἀδελφὸν ἀποθανεῖν καὶ σὲ, ὦ τάλαινα, κατὰ τήνδε τὴν ἡμέραν.

V. 845. *ΨΗΦΩι*, τῇ κρίσει, τῇ ἐκκλησίᾳ. Gu. *ΠΕΛΑΣΓΩΝ*, τῶν Ἀργείων. Πελασγὸς γὰρ βασιλεὺς παλαιὸς Ἀργείων. Fl. 10. 35.

5) Junt. Basil. σεβασμένα. Correxit Barn. et sic Gu.

6) Vulgo ὅμοιος. sed ὅμοιον Gu. In fine Junt. Bas. ἄκουσον λόγους, δυστ. λόγ. ἥκω φ. σοι. Correxit Barn. et sic Gu.

V. 847—853. *ΟΙΜΟΙ· ΠΡΟΣΗΛΘΕΝ ΕΛΠΙΣ*, ἣν ἐκ μακροῦ φοβουμένη διὰ τὸ μέλλον ἐφθειρόμην καὶ διεῤῥεόμην ὑπὸ τῶν γόων. τίς δὲ ἀγὼν, καὶ τίνες λόγοι ἐν τοῖς Ἀργείοις κατεδίκασαν ἡμᾶς ἀποθανεῖν; εἰπὲ, ὦ πρεσβύτερε, πότερα διὰ λιθοβολούσης χειρὸς, ἢ διὰ ξίφους τὴν ψυχὴν ἀποβαλεῖν ἀπόκειταί μοι, κοινὰς συμφορὰς ταῖς τοῦ ἀδελφοῦ κεκτημένη.

V. 847. *ΠΡΟΣΗΛΘΕΝ*, εἰς πέρας ἐξέβη. Gu. *ΕΛΠΙΣ, ΗΝ*, ὁ φόβος, καθ' ὄν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 850. *ΚΑΠΕΚΥΡΩΣΑΝ*, ἐβεβαίωσαν. (ἀπεφήναντο, ἐψήφισαν.) Gu.

V. 852. *ΑΠΟΡΡΗΞΑΙ*, ἀποβαλεῖν. (βιαίως ἀφεῖναι.) Gu.

V. 853. *ΚΟΙΝΑΣ ΑΔΕΛΦΩι*. ἢ ἴσον θάνατον τῷ ἀδελφῷ θνήσκουσαν, ἢ τὴν αὐτὴν δυςτυχίαν τῷ ἀδελφῷ ἔχουσαν, ὡς [7]) ἐκείνου μὲν τὸν φόνον ποιήσαντος, ἐμοῦ δὲ συμβουλευσάσης. καὶ διὰ τοῦτο, ἐπειδὴ ὁμοίως ἀμφότεροι δυςτυχοῦμεν, καὶ τὸν αὐτὸν ὑπόσχοιμεν ἂν θάνατον.

V. 854—944. *ΕΤΥΓΧΑΝΟΝ ΜΕΝ ΑΓΡΟΘΕΝ ΠΥΛΩΝ ΕΣΩ*. ἐτύγχανον μὲν βαίνων, ἀντὶ τοῦ ἔβαινον, ἀγρόθεν, ἀπὸ τῶν ἀγρῶν, ἔσω τῶν πυλῶν τῆς πόλεως δηλονότι, χρήζων μαθεῖν καὶ τὰ περὶ σοῦ καὶ τὰ περὶ τοῦ Ὀρέστου· εἶχον γάρ ποτε ἀγάπην τῷ σῷ πατρὶ, καὶ ἔτρεφέ με ὁ σὸς δόμος, πένητα μὲν, ἀναγκαῖον δὲ τοῖς φίλοις εἰς τὸ χρῆσθαι ἐμοὶ δηλονότι. ὁρῶ δὲ ὄχλον στείχοντα, ἤτοι πλῆθος λαοῦ βαδίζον, καὶ καθίζοντα κατὰ τὸ ἀκρωτήριον (v. 860.), ὅπου φασὶ καταρχὰς τὸν Δαναὸν διδόντα δίκας τῷ Αἰγύπτῳ ἀθροῖσαι τὸν λαὸν εἰς κοινὰς ἕδρας, ἤτοι εἰς συνέδριον. ἰδὼν δὲ τὴν συναγωγὴν τοῦ λαοῦ, ἠρώτησά τινα τῶν πολιτῶν, τί καινὸν καὶ νέον γέγονε τῷ Ἄργει δηλονότι; ἆρα ἄγγελμά τι παρὰ τῶν πολεμίων ἐλθὸν διήγειρε τὴν πόλιν τῶν Δαναϊδῶν; ὁ δὲ εἶπεν, οὐχ ὁρᾷς ἐκεῖνον τὸν Ὀρέστην πλησίον τοῦ ἀθροίσματος ἐρχόμενον, μέλλοντα

7) ὡς. Sic Gu. pro ἢ Junt. Basil. Barn. Omisit King. In fine mendosum ὑπέσχοιμεν Junt. Bas. correxit Barn. Sed Gu. ὑπόσχωμεν ἄν. An ὑποσχομένων ἄν?

δραμεῖσθαι ἀγῶνα τὸν θανάσιμον, ἤτοι τὸν θάνατον ἐπά-
γοντα. ὁρῶ δὲ φάσμα ἀνέλπιστον, ὃ μήποτε ὤφελον ἰδεῖν,
λέγω τὸν Πυλάδην καὶ τὸν σὸν σύγγονον στείχοντε, ἤγουν
στείχοντας καὶ βαδίζοντας ὁμοῦ, τὸν μὲν, ἤγουν τὸν Ὀρέ-
στην, κατηφῆ καὶ σκυθρωπὸν καὶ παραλελυμένον ὑπὸ τῆς
νόσου, (v. 870.) τὸν δὲ Πυλάδην ἐπὶ τῷ φίλῳ λυπούμενον,
ἴσα καὶ ὁμοίως ἀδελφῷ, κυβερνῶντα τὸ νόσημα παιδαγωγίᾳ
καὶ χειραγωγίᾳ. ἐπεὶ δὲ ἐγένετο ὁ ὄχλος τῶν Ἀργείων πλή-
ρης, κῆρυξ ἀναστὰς εἶπε· Τίς θέλει λέγειν, πότερον, ἀντὶ
τοῦ ἆρα, πρέπον ἐστὶν ἀποθανεῖν τὸν Ὀρέστην μητροκτο-
νήσαντα, ἢ μὴ χρεὼν καὶ πρέπον ἐστί; καὶ ἐπὶ τούτῳ,
ἤτοι μετὰ τοῦτον ἀνίσταται, ἀντὶ τοῦ ἀνέστη, ὁ Ταλθύ-
βιος, ὃς συνεπόρθει τῷ σῷ πατρὶ, ἤγουν σὺν τῷ σῷ πατρὶ,
τοὺς Φρύγας. ἔλεξε δὲ διχόμυθα, τουτέστι διπλῆν ἔννοιαν
ἔχοντα, ἤτοι δίγνωμα καὶ ἀμφιῤῥεπῆ, ὢν ἀεὶ ὑπὸ τοῖς δυ-
ναμένοις, ὑποκάτω τῶν δυναμένων, ἤτοι τοῖς κρατοῦσι χα-
ριζόμενος, τὸν μὲν σὸν πατέρα ἐκπαγλούμενος καὶ θαυμά-
ζων, τὸν σὸν δὲ σύγγονον οὐκ ἐπαινῶν, (v. 880.) λόγους
κακοὺς ἑλίσσων, ἀντὶ τοῦ συνείρων καὶ συμπλέκων καλοῖς,
ὅτι καθισταίη, ἀντὶ τοῦ καθίστησιν καὶ τίθησιν, εἰς τοὺς
τεκόντας νόμους οὐ καλούς· τὸ δὲ ὄμμα ἀεὶ ἐδίδου χαρο-
πὸν τοῖς φίλοις τοῦ Αἰγίσθου. τὸ γὰρ γένος τῶν κηρύκων
τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ πηδῶσι καὶ ὁρμῶσιν ἀεὶ οἱ κή-
ρυκες. οὗτος δὲ φίλος αὐτοῖς, τοῖς κήρυξιν, ὃς ἂν ἰσχύῃ
καὶ ὑπάρχῃ ἐν ἀρχαῖς πόλεως, ἤτοι ἀρχὴν πόλεως ἔχῃ. με-
τὰ τοῦτον ἐδημηγόρει ὁ Διομήδης ὁ ἄναξ. οὗτος κτανεῖν
μὲν οὐδὲ σὲ, οὐδὲ τὸν σύγγονόν σου εἴα καὶ παρεχώρει,
φυγῇ δὲ καὶ ἐξορίᾳ ζημιοῦντας τοὺς Ἀργείους, ὑμᾶς δη-
λονότι, εὐσεβεῖν, ἤτοι καθαροὺς εἶναι. ἐθορυβήθησαν δὲ
οἱ μὲν λέγοντες, ὅτι καλῶς λέγει, (v. 890.) οἱ δὲ οὐκ ἐπῄ-
νουν, τὰ ὑπ᾽ ἐκείνου λεχθέντα δηλονότι. καὶ μετὰ τοῦτον ἀνέ-
στη ἀνὴρ ἀκρατόστομος, ἰσχύων θράσει καὶ ἀναισχυντίᾳ, Ἀρ-
γεῖος, οὐκ Ἀργεῖος, ἤτοι κατ᾽ ἀνάγκην ὢν Ἀργεῖος, πίσυνός
τε καὶ θαῤῥῶν θορύβῳ καὶ ταραχῇ καὶ παῤῥησίᾳ ἀμαθεῖ καὶ
ἀπαιδεύτῳ, πιθανὸς καὶ ἐπιτήδειος περιβαλεῖν αὐτοὺς κακῷ
τινί. — ὅταν γὰρ (sic Junt.) ἡδὺς, ὢν δηλονότι, τοῖς λόγοις
καὶ κατὰ τοὺς λόγους, φησὶ (an: φρονῶν) κακῶς, πείθει
τὸ πλῆθος, κακὸν μέγα ὑπάρχει τῇ πόλει· ὅσοι μετὰ γνώ-
σεως βουλεύουσιν, ἀντὶ τοῦ συμβουλεύουσιν, ἀεὶ χρηστὰ καὶ
ἀγαθὰ, κἂν μὴ παραυτίκα, αὖθις ἤτοι εἰς τὸ μέλλον εἰσὶ
χρήσιμοι τῇ πόλει. πρέπει δὲ τὸν προστάτην (v. 900.) ἰδόν-

τα, τουτέστιν ἐγνωκότα, ὧδε καὶ οὕτως σκοπεῖν καὶ ἐρευ-
νᾷν· ὅμοιον γὰρ γίνεται τὸ πρᾶγμα τῷ λέγοντι τοὺς λόγους,
ἤτοι τῷ δημηγοροῦντι, καὶ τῷ τιμωμένῳ αὐτοὺς, τουτέστι
τῷ ἄρχοντι. — ὃς εἶπεν ἀποκτεῖναι τὸν Ὀρέστην καὶ σὲ,
τοὺς Ἀργείους δηλονότι, βάλλοντας πέτροις, ἤτοι λιθοβο-
λοῦντας. ὑπέτεινε δὲ καὶ ὑπέβαλεν ὁ Τυνδάρεως τῷ κα-
τακτείνοντι σφὼ, τουτέστι τῷ συμβουλεύοντι φονευθῆναι
ὑμᾶς, λέγειν λόγους τοιούσδε. Ἄλλος δὲ ἀναστὰς ἔλεγεν
ἐναντία τῷδε, κατὰ τὴν ὄψιν μὲν οὐκ εὐειδὴς, ἀνὴρ δὲ γεν-
ναῖος καὶ εὐγενὴς τῇ ψυχῇ, ὀλιγάκις μολύνων τὸν κύκλον
τῆς ἀγορᾶς, ἀντιστρόφως, ἀντὶ τοῦ ὀλιγάκις χραινόμενος
καὶ μολυνόμενος ὑπὸ τοῦ ἄστεος καὶ τοῦ κύκλου τῆς ἀγο-
ρᾶς, αὐτουργὸς καὶ γεωργὸς, οἵπερ καὶ μόνοι σώζουσι τὴν
γῆν, ἀντὶ τοῦ τοὺς ἀνθρώπους, συνετὸς δὲ καὶ φρόνιμος,
θέλων χωρεῖν ὁμόσε τοῖς λόγοις, τουτέστι παῤῥησιάζεσθαι
διὰ τῶν οἰκείων λόγων, πρὸς τοὺς τὰ ἄδικα λέγοντας, (v.
910.) ἀκέραιος καὶ ἀνεπίληπτος, ἐπιτηδεύσας βίον ἄμεμ-
πτον· ὃς εἶπε στεφανοῦν καὶ τιμᾷν τὸν παῖδα τοῦ Ἀγα-
μέμνονος, ὃς ἠθέλησε τιμωρεῖν καὶ βοηθεῖν τῷ πατρὶ,
κτανὼν γυναῖκα κακὴν καὶ ἄθεον, ἣ ἐκεῖνα τὰ πράγματα
ἀπεστέρει τοὺς ἄνδρας, μήτε ὁπλίζεσθαι τινὰ κατὰ τὰς χέ-
ρας, τουτέστι μήτε μετὰ ὅπλων κινεῖν τὴν χεῖρα, μήτε
στρατεύειν ἀφέντα τὰ δώματα, εἰ οἱ λελειμμένοι καὶ ἐνα-
πολειφθέντες τῶν ἀνδρῶν φθείρουσι τὰ ἔνδον οἰκουρήματα,
ἤτοι τὰς ἔνδον οἰκουροὺς γυναῖκας, λωβώμενοι καὶ ὑβρί-
ζοντες τὰς εὐνάς. καὶ τοῖς χρηστοῖς ἐφαίνετο λέγειν εὖ καὶ
καλῶς, καὶ οὐδεὶς εἶπεν εἰς τὸ ἑξῆς. ἐπὶ τούτῳ δὲ ἦλθεν
ὁ σὸς σύγγονος, (v. 920.) ἔλεξε δὲ, ὦ ἄνδρες οἱ κεκτημένοι
τὴν γῆν τοῦ Ἰνάχου, πάλαι, ἤτοι ἄνωθεν, Πελασγοὶ, δεύ-
τερον δὲ Δαναΐδαι. ἀντὶ τοῦ ὕστερον, ὑμῖν ἀμύνων καὶ
βοηθῶν οὐδὲν ἔλαττον ἢ τῷ πατρὶ, ἔκτεινα τὴν μητέρα· εἰ
γὰρ ὁ φόνος τῶν ἀρσένων ἔσται ὅσιος, ἤτοι ἐνδεδομένος ταῖς
γυναιξὶν, οὐκ ἔτι ἂν φθάνοιτε καὶ καταλαμβάνοιτε θνήσκοντες,
ἢ χρεὼν καὶ ἀναγκαῖον δουλεύειν ταῖς γυναιξί. τὸ ἐναντίον
δὲ δράσετε, ἢ καὶ παρὸ χρεὼν καὶ πρέπον δρᾶσαι· νῦν μὲν
γὰρ προδοῦσα, ἤτοι ἔκδοτα ποιήσασα, τὰ λέκτρα τοῦ ἐμοῦ
πατρὸς τέθνηκεν. εἰ δὲ δὴ κτενεῖτε ἐμὲ, ὁ νόμος ἀνεῖται, καὶ
ἀπολέλυται, καὶ οὐκ ἂν φθάνοι τις θνήσκων, (v. 930.) ὅτι
τῆς τόλμης, τῶν γυναικῶν δηλονότι, οὐ γενήσεται σπάνις καὶ
ἔνδεια. ἀλλ᾽ οὐκ ἔπειθε τὸν ὅμιλον, δοκῶν εὖ καὶ καλῶς
λέγειν. νικᾷ δὲ ἐκεῖνος ὁ κακὸς λέγων ἐν τῷ πλήθει, ὃς

ἠγόρευε κτανεῖν τὸν σύγγονον καὶ σέ. μόλις δὲ ἔπεισεν ὁ τλήμων Ὀρέστης, μὴ κτανεῖν πετρουμένους, ἤτοι λίθοις βαλλομένους. ὑπέσχετο δὲ ἐν σφαγῇ αὐτόχειρι, ἤτοι αὐτοεργῷ καὶ διὰ τῶν οἰκείων χειρῶν, λείψειν τὸν βίον σὺν σοὶ ἐν τῇδε τῇ ἡμέρᾳ. ἄγει δὲ αὐτὸν ἀπὸ τῶν ἐκκλήτων ἐνταῦθα, ἤτοι ἀπὸ τῆς ἐκκλησίας, ὁ Πυλάδης δακρύων. συνακολουθοῦσι δὲ καὶ οἱ φίλοι κλαίοντες, οἰκτείροντες. ἔρχεται δέ σοι (v. 940.) πικρὸν θέαμα καὶ πρόσοψις ἐλεεινή. ἀλλ' ἑτοίμαζε ξίφη, ἢ σχοινίου ἀγχόνης ἐπὶ τῷ τραχήλῳ, ὅτι ἀπόκειται λιπεῖν σε τὸ φῶς. ἡ εὐγένεια δὲ οὐδὲν ἐπωφέλησεν, ἀντὶ τοῦ ὠφέλησεν, οὐδὲ ὁ Φοῖβος, ὁ Πύθιος, ἤτοι ὁ Ἀπόλλων ὁ καθίζων τρίποδα, ἤτοι ὁ ἐπὶ τρίποδος καθίζων, ἀλλὰ ἀπώλεσεν.

V. 854—858. *ΕΤΥΓΧΑΝΟΝ* μὲν βαίνων ἐξ ἀγροῦ ἐντὸς τῶν πυλῶν, χρῄζων ἀκοῦσαι τὰ περὶ σοῦ καὶ τὰ περὶ Ὀρέστου· ἀεί ποτε γὰρ εὐνοϊκῶς διεκείμην πρὸς τὸν πατέρα σου, καὶ μ' ἔτρεφεν ὁ σὸς οἶκος πένητα μέν, εὐγενῆ δὲ πρὸς τὸ χρῆσθαι τοῖς φίλοις. ἢ γενναῖον ὑπάρχοντα τοῖς φίλοις εἰς τὸ χρῆσθαι αὐτοὺς ἐμοί, ὅμοιον τῷ ἡδὺς ὁ ποταμὸς πιεῖν. 8)

V. 859—861. *ΚΑΙ ΘΑΣΣΟΝΤ' ΑΚΡΑΝ.* τόπος οὕτω καλούμενος· λέγει δὲ τὴν πρῶνα· ἐνταῦθα φασὶ τοὺς Ἀργείους ἐκκλησιάζειν. λέγουσι δὲ καὶ τὸν Δαναὸν ἐνταῦθα δεδωκέναι δίκας τῷ Αἰγύπτῳ ὑπὲρ ὧν εἰργάσαντο φόνων αἱ θυγατέρες αὐτοῦ. Ἄλλως. Δαναὸς ἐγένετο Ἄργους βασιλεύς. οὗτος τὰς θυγατέρας ἑαυτοῦ πεντήκοντα οὔσας ἐκδίδωσιν εἰς γάμον τοῖς υἱοῖς Αἰγύπτου πεντήκοντα καὶ αὐτοῖς οὖσιν. οὗτος ἀπῆλθεν εἰς τὸ μαντεῖον, χρησόμενος, εἰ ἄρα καλῶς ἔγημαν αἱ θυγατέρες. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ, ἐκ τούτων κινδυνεύσειν. ὁ δὲ ἔπεισε τὰς θυγατέρας ἀνελεῖν τοὺς υἱοὺς Αἰγύπτου. μόνη δὲ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, καὶ οὗτος ἐβασίλευσεν Ἄργους. Ἄλλως. Ὅπου φασὶ πρῶτον τὸν Δαναὸν μετὰ θάνατον τῶν υἱῶν Αἰγύπτου δοῦναι δίκας. αὐτὸς γὰρ ὁ Αἴγυπτος ἧκεν εἰς Ἄργος τι-

8) Ultima γενναῖον δὲ ὑπάρχ. sunt etiam in Gu. sine interpretatione praecedente. Reliqua omnia ibidem pro glossis supra adscripta sunt, nisi quod v. πυλῶν suprascriptum est τῆς πόλεως, et v. πυθέσθαι μαθεῖν, ut in Fl. 6. 9. 17. 21. 56. 59. 76.

μωρήσων τῷ φόνῳ. Δαναὸς δὲ μαθών, ἐξῆγεν εἰς ὅπλα τοὺς Ἀργείους. ἀλλὰ Λυγκεὺς πείθει λόγοις λῦσαι τὴν ἔχθραν. καὶ καθιστῶσι δικαστὰς αὐτοῖς Αἰγυπτίων καὶ Ἀργείων τοὺς ἀρίστους. ὁ δὲ τόπος, ἔνθα ἡ δίκη συνήχθη, περὶ τὴν μεγίστην ἄκραν, ἔνθα καὶ Ἴναχος ἁλίσας τὸν λαόν, συνεβούλευσεν οἰκίζειν τὸ πεδίον. ἐξ ἐκείνου Ἁλιαίας καλεῖται ἡ νῦν Ἡλιαία λεγομένη. 9) Ἄλλως. Ἡ πολλὴ δόξα κατέχει μὴ ἐλθεῖν τὸν Αἴγυπτον εἰς Ἄργος, καθάπερ ἄλλοι τε φασὶ, καὶ Ἑκαταῖος γράφων οὕτως· ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος, λέγεται δέ τις ἐν Ἄργει πρών, ὅπου δικάζουσιν Ἀργεῖοι. ἱστορεῖ δὲ περὶ τοῦ χωρίου Δεινίας, γράφων οὕτως· ταχέως δὲ κυριεύσαντα τὸν Μελάχαριν καὶ τὴν Κλεομήτραν βάλλοντες λίθοις ἀπέκτειναν. καὶ τὸν τάφον αὐτοῦ δεικνύουσιν ἔτι καὶ νῦν ὑπεράνω τοῦ καλουμένου πρῶνος, χῶμα παντελῶς, οὗ συμβαίνει τοὺς Ἀργείους δικάζειν. τάχα δ' ἂν τούτου καὶ ἐν Βελλεροφόντῃ μνημονεύει (l. —εύοι) εἰπών· καὶ ξεστὸν ὄχθον 10) Δαναϊδῶν ἑδρασμάτων. *ΑΚΡΑΝ*, τὸ ἀκρωτήριον. (τῆς πόλεως. εἰς τὴν ἀκρόπολιν, ἔνθα ἦν καὶ τὸ λεγόμενον Ἡλιαία δικαστήριον.) Gu.

V. 861. *ΑΘΡΟΙΣΑΙ*, συναγαγεῖν. Fl. 6.

V. 862. *ΑΘΡΟΙΣΜΑ*, τὴν συναγωγήν. Gu.

V. 864. *ΑΓΓΕΛΜΑ*, μήνυμα. Gu. *ΑΝΕΠΤΕΡΩΚΕ*, διήγειρε. 1) (ἀνήγειρε, ἐθορύβησε.) Gu. ἀνέσεισεν. Fl. 33. *ΔΑΝΑΙΔΩΝ*, τῶν ἀπὸ τοῦ Δαναοῦ καταγομένων. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

9) Haec sic exponit Gu. *ΔΙΚΑΣ*, ἐν κρίσει ἀπολογίας τοῦ φόνου τῶν υἱέων. μετὰ θάνατον τῶν υἱέων ἧκεν εἰς Ἄργος Αἴγυπτος τιμωρησόμενος Δαναόν. καὶ ὃς μαθὼν ἐξῆλθε μετὰ τῶν Ἀργείων εἰς μάχην. ἀλλὰ Λυγγεὺς ὁ υἱὸς Αἰγύπτου ὁ μόνος ἀποφυγὼν τὸν θάνατον πείθει λόγοις τόν τε πατέρα Αἴγυπτον καὶ Δαναὸν θεῖον καταλῦσαι τὴν μάχην καὶ εἰς κρίσιν ἐλθεῖν. καθιστῶσιν οὖν δικαστὰς αὐτοῖς Αἰγυπτίων καὶ Ἀργείων ἀρίστους. γέγονε δὲ ἡ δίκη παρὰ τὴν ἀκρόπολιν, ἔνθα καὶ πρῶτον Ἴναχος κατελθὼν ἐξ ὄρους μετά τινων ἀνδρῶν ᾤκισε τὸ πεδίον. ὁ δὲ τόπος ἐξ ἐκείνου Ἡλιαία καλεῖται, ἐν ᾧ Ἀργεῖοι ἐποίουν τὰς δίκας. Ἁλιαία Cod. Aug. ap. Valck. ad Phoen. p. 609. Vulgo Ἁλιδιάς.

10) Junt. Basil. ὄχλον.

1) διήγειρεν est etiam in editis.

V. 865. *ΠΕΛΑΣ*, πλησίον. (τοῦ ἀθροίσματος.) Gu.

V. 866. *ΘΑΝΑΣΙΜΟΝ*, θάνατον ἐπάγοντα. Gu.

V. 867. *ΑΕΛΠΤΟΝ*, ἀνέλπιστον. *ΦΑΣΜ'*, ὄψιν. (θέαμα, θέαν.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 869. *ΚΑΤΗΦΗ*, σκυθρωπόν. *ΠΑΡΕΙΜΕΝΟΝ*, παραλελυμένον καὶ ἔκλυτον ὑπὸ τῆς νόσου.

V. 870. *ΤΟΝ Δ' ΩΣΤ' ΑΔ.* τὸν δὲ [2]) ἐπὶ τῷ φίλῳ λυπούμενον ἴσα ἀδελφῷ. *ΙΣΑ ΦΙΛΩι.* τὸ ἴσα οὐκ ἔστι πρὸς τὸ φίλῳ, ἀλλ' ἔστι τὸ φίλῳ πρὸς τὸ λυπούμενον οὕτω· τὸν δὲ λυπούμενον τῷ φίλῳ ὥςτε καὶ ὥςπερ ἀδελφὸν ἴσα καὶ ὁμοίως. ἔστιν οὖν τὸ ἴσα καὶ τὸ ὥςτε ταυτοδύναμα, τὸ μὲν ὥςτε πρὸς τὸ ἀδελφὸν ὄν, τὸ δὲ ἴσα ἀσύντακτον διὰ μέσου κείμενον. Baroc. 74. Gu.

V. 871. *ΚΗΔΕΥΟΝΤΑ*, θεραπεύοντα, ἐπιμελούμενον. *ΚΗΔΕΥΟΝΤΑ*, ἐπιμελούμενον. (κυβερνῶντα, φροντίδος ἀξιοῦντα. δουλεύοντα.) Gu. κηδεύω τὸ τῆς προςηκούσης τοῖς νεκροῖς ἐπιμελείας καὶ κηδεμονίας ἀξιῶ, καὶ ἀπὸ τούτου τὸ κυβερνῶ. Fl. 21. *ΠΑΙΔΑΓΩΓΙΑι*, χειραγωγίᾳ, κυβερνήσει. [3]) (θεραπείᾳ.) Gu.

V. 872. *ΠΛΗΡΗΣ*, πεπληρωμένος, πολύς. Fl. 6. ἀκέραιος. Gu. *ΑΡΓ. ΟΧΛΟΣ*, ἡ πληθὺς τῶν Ἀργείων. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 873. *ΧΡΗιΖΕΙ*, θέλει. Gu.

V. 875. *ΜΗΤΡΟΚΤΟΝΟΥΝΤΑ*, μητροκτονήσαντα. Gu. *ΚΑΠΙ ΤΩιΔΕ*, μετὰ τοῦτον. (ἢ μετ' ἐκείνου. τῷ λόγῳ.) Gu.

V. 876. *ΣΥΝΕΠΟΡΘΕΙ*, συγκατέστρεφε. Fl. 6.

V. 877. *ΥΠΟ ΤΟΙΣ ΔΥΝΑΜΕΝΟΙΣ*, ὑπὸ τοῖς ἄρχουσιν. *ΤΟΙΣ ΔΥΝΑΜ.* τουτέστι τοῖς δυνατοῖς χαριζόμενος καὶ πρὸς ἐκείνους νεύων τῇ γνώμῃ. Baroc. 74. Gu. (qui addit τοῖς κρατοῦσι.) ὑποκάτω ὢν τῶν δυναμένων, τουτέστι πρὸς τὸ θέλημα ἐκείνων. Fl. 6.

2) Junt. Basil. addit Ὀρέστην, pro quo Barn. King. scripserunt Πυλάδην. Neutrum est in Gu. sed supra φίλῳ scriptum τῷ Ὀρέστῃ, qui fons fortasse erroris. Pro ἴσα ἀδελφῷ Gu. ἴσα ὥςτε ἀδελφόν.

3) χειραγωγίᾳ est etiam in editis, κυβερνήσει in Flor. 6. 9. 17. 21. 25. 31. 56. 59. 76.

V. 878. *ΔΙΧΟΜΥΘΑ*, ἀντὶ τοῦ διχόγνωμα, τοῖς κρατοῦσιν ἄλλοτε ἄλλα προςχαριζόμενος. τὸ δὲ διχόμυθα ἐξηγεῖται διὰ τοῦ καλοῖς κακοὺς λόγους ἑλίσσων. *ΔΙΧΟΜΥΘΑ*, δίγνωμα, ἀμφιῤῥεπῆ, διπλοῦς λόγους. Gu. *ΕΚΠΑΓΛΟΥΜΕΝΟΣ*, θαυμάζων. Gu.

V. 879. *ΚΑΛΟΙΣ ΚΑΚΟΥΣ Λ. ΕΛ.* ἑφερμηνευτικὸν τοῦτο τοῦ διχόμυθα. καλοῖς περὶ τοῦ πατρός, [4]) κακοῖς δὲ περὶ τοῦ Ὀρέστου. Fl. 6.

V. 880. *ΕΛΙΣΣΩΝ*, συνείρων. (περιπλέκων, συνάπτων.) Gu. συστρέφων. Fl. 33. *ΚΑΘΙΣΤΑΙΗ δὲ ΝΟΜΟΥΣ*, ἀντὶ τοῦ κυροῖ, λέγων, ὅτι Ὀρέστης οὐ καλὸν νόμον εἰςήνεγκεν εἰς τοὺς τεκόντας. *ΝΟΜΟΥΣ*, τὸ τὰς μητέρας ἀποκτείνειν, ἐάν τι φαῦλον ποιήσωσιν. Baroc. 74. Gu.

V. 882. *ΦΑΙΔΡΩΠΟΝ*, χαροπόν. [5]) (χαρίεν καὶ βοηθὸν, ἱλαρόν.) Gu. *ΕΔΙΔΟΥ*, ἔστρεφε.

V. 883. *ΕΠΙ ΤΟΝ ΕΥΤΥΧΗ.* καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει, ὅτι ἀεί ποτε σπέρμα κηρύκων λάλον.

V. 884. *ΠΗΔΩΣΙ*, μεταβαίνουσιν. (ὀξέως add. Fl. 6.) *ΠΗΔ.* ταχέως ὁρμῶσιν. Gu. *ΟΔΕ*, ὁ εὐτυχής. Gu.

V. 885. *ΕΝ Τ' ΑΡΧΑΙΣΙΝ Ηι.* καὶ ὅςτις ἐν ἀρχαῖς ᾖ πόλεως, ἤγουν ἀρχὴν πόλεως ἄρχῃ, ἢ ὃς ἂν δύνηται καὶ ἄρχῃ τῆς πόλεως.

V. 886. *ΕΠΙ ΤΩιΔΕ*, μετὰ τοῦτον. (μετ' ἐκεῖνον.) Gu. *ΔΙΟΜΗΔΗΣ*, ὁμώνυμος τῷ ἐν τῇ Τροίᾳ. Gu.

V. 887. *ΟΥΤΟΣ ΚΤΑΝΕΙΝ*, οὗτος ὁ Διομήδης οὐκ εἴα κτανεῖν οὔτε σὲ οὔτε τὸν σὸν ἀδελφόν.

V. 888. *ΦΥΓΗι ΔΕ ΖΗΜΙΟΥΝΤΑΣ.* ἔλεγε δὲ ἐξορίᾳ (κολάζοντας ὑμᾶς add. Gu. m. 2.)· οὐ γὰρ δύναται

4) τοῖς ὑπὲρ τοῦ πατρὸς supra καλοῖς scriptum habet Gu.

5) χαροπόν (Junt. Bas. χαῤῥοπ.) est etiam in editis. Cod. χαρωπόν.

τὸ *ΕΙΑ* ἀπὸ κοινοῦ καὶ ἐνταῦθα λέγεσθαι. *ΕΥΣΕΒΕΙΝ*, καθαροὺς εἶναι. (τὸ γὰρ Ὀρέστην καὶ Ἠλέκτραν λευσίμους γενέσθαι ἀσέβεια ἦν.) Gu.

V. 889. *ΕΠΕΡΡΟΘΗΣΑΝ*, ἐθορύβησαν, (Gu. ἐθορυβήθησαν et add.) μετὰ ταραχῆς ἤχησαν.

V. 891. *ΑΘΥΡΟΓΛΩΣΣΟΣ*, ἀκρατόστομος, ὁ Κλεοφῶν. *ΑΝΗΡ ΑΘΥΡΟΓΛΩΣΣΟΣ*. ταῦτα φασὶν ἐπὶ Κλέωνι τῷ δημαγωγῷ λέγεσθαι, σφαλλόμενοι· πρὸ γὰρ τῆς τοῦ Ὀρέστου διδασκαλίας πολλοῖς χρόνοις Κλέων ἐτελεύτα. τάχα οὖν εἰς Κλεοφῶντα τείνει· ἐπεὶ καὶ ἔναγχος οὗτος τὰς πρὸς Λακεδαιμονίους συνθήκας οὐ προςήκατο. καὶ τὸ λέγειν δὲ Ἀργεῖος οὐκ Ἀργεῖος ἠναγκασμένος εἰς τοῦτο βλέπει. θέλει δὲ εἰπεῖν Ἀθηναῖον οὐκ Ἀθηναῖον ὄντα αὐτὸν, ἀλλὰ νόθον πολίτην, παρόσον Θρᾷξ ἦν ἐκ Δελφῶν [6]) ὁ Κλεοφῶν. Ἀριστοφάνης Βατράχοις (v. 690.), φιλοτιμότεραι Κλεοφῶντος, ἐφ᾽ οὗ δὴ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται Θρῃκία χελιδὼν, ἐπὶ βάρβαρον ἑζομένη πέταλον. *ΑΘΥΡΟΓΛΩΣΣΟΣ*. ἀκρατόστομος (λάλος, πολυλόγος). Κλεοφῶν· οὗτοι γὰρ διὰ τὸ πάνθ᾽ ὃ νοήσειαν ἐκφέρειν τῇ γλώττῃ, θύραν οὐ δοκοῦσιν ἐν τοῖς στόμασιν ἔχειν. Gu. [7]) *ΘΡΑΣΕΙ*, τῇ ἀναισχυντίᾳ. Gu.

V. 892. *ΑΡΓΕΙΟΣ ΟΥΚ ΑΡΓΕΙΟΣ*, Ἀργεῖος μὲν ὡς ἐν Ἄργει γεννηθεὶς καὶ τραφεὶς, οὐκ Ἀργεῖος δὲ, ὡς τῶν πατέρων αὐτῷ ἐκ Θρᾴκης ὄντων. Baroc. 74. Gu. [8]) *ΟΥΚ ΑΡΓΕΙΟΣ*, οὐ γνήσιος. οὗτος ὁ Κλέων ἦν· τῷ Ἄργει γὰρ καταλεγόμενος Θρᾷξ ἦν τὸ ἀνέκαθεν. Fl. 6. *ΗΝΑΓΚΑΣΜΕΝΟΣ*, κατ᾽ ἀνάγκην ἦν Ἀργεῖος (βεβιασμένος, νόθος πολίτης.) Gu.

V. 893 sq. *ΘΟΡΥΒΩι ΤΕ ΠΙΣΥΝΟΣ*, τεθαῤῥηκὼς, πείθειν δυνάμενος εἰς τὸ περιβαλεῖν κακῷ τινὶ τοὺς ἀκούοντας, ὥςτε αὐτοὺς ποιῆσαί τι κακόν. *ΠΙΣΥΝΟΣ*, λεηλατῶν, πιστεύων. Fl. 6. 21.

6) Palmerius Exercit. em. *Λεοντέλτου*.

7) Idem e Baroc. 74. adscripsit King. in quo desunt vv. λάλος, Κλεοφῶν, et pro οὗτοι legitur οἱ γὰρ πολυλόγοι, pro τοῖς στόμασιν vero τῷ στόματι.

8) In Gu. his adhaerent ea, quae in editis leguntur: καὶ Ἀριστοφάνης· φιλοτιμότεραι κ. τ. λ.

V. 894. *ΠΙΘΑΝΟΣ*, ἐπιτήδειος. τὸ *ΕΤΙ* περισσόν. *ΕΤΙ*, σὺν τούτῳ. Gu. *ΑΥΤΟΥΣ*, τὸν Ὀρέστην καὶ τὸν Πυλάδην. *ΑΥΤΟΥΣ*, τοὺς πολίτας. Gu.

V. 895. *ΗΔΥΣ* ὑπάρχων (ὢν) κατὰ τοὺς λόγους. Gu. *ΚΑΚΩΣ*, κακοτρόπως. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 896. *ΠΕΙΘΗι — ΜΕΓΑ*. ἡ γὰρ τῶν λόγων αὐτοῦ ἡδονὴ εἰς πικρίαν καταντᾷ· ἓν γὰρ μόνον θηρᾶται, ὅπως κολακεύσῃ τὸ πλῆθος καὶ ἀποδεκτὸς αὐτῷ γίνηται, τοῦ δὲ λυσιτελοῦντος αὐτῷ οὐ φροντίζει. Gu.

V. 897. *ΣΥΝ ΝΩι*, μετὰ γνώσεως. (γνώσει.) Gu. *ΒΟΥΛΕΥΟΥΣΙ*, συμβουλεύουσι. Gu. *ΚΑΝ ΜΗ ΠΑΡΑΥΤΙΚΑ*. λείπει τὸ ἀλλ᾽ οὖν· κἂν μὴ παραυτίκα, ἀλλ᾽ οὖν μετὰ ταῦτα εἰσὶ χρήσιμοι τῇ πόλει. *ΚΑΝ ΜΗ ΠΑΡΑΥΤΙΚ᾽*, εἰσὶ χρήσιμοι. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διὰ τὸ μὴ λέγειν ἡδέως τῷ πλήθει. Gu. *ΑΥΘΙΣ*, ὕστερον. Fl. 6. εἰς τὸ μέλλον, εἰς τὸ μετὰ ταῦτα. Gu. *ΧΡΗΣΙΜΟΙ*, ἐπιτήδειοι εἰς χρείαν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. καὶ γὰρ οἱ τῶν ἰατρῶν παῖδες τοῖς μὲν νοσοῦσι βαρεῖς τὸ καταρχὰς φαίνονται, ἀλλ᾽ ὕστερον πολλοῦ τινος ἄξιοι, δι᾽ ὧν πρόσθεν ἐλύπησαν τὴν ὑγείαν παρέχοντες. Gu. m. sec.

V. 899—901. *ΘΕΑΣΘΑΙ Δ᾽ ΩΔΕ*. ὁ δὲ τοῦ δήμου προϊστάμενος ὀφείλει τοιούτους ἐπιλέξασθαι δημηγόρους, τοὺς καὶ χρησιμεύειν μέλλοντας· ὁμοίως γὰρ τὸ πρᾶγμα γίνεται τῷ τε δημηγόρῳ καὶ τῷ τοῦ δήμου προϊσταμένῳ. Δεῖ, φησὶ, τὸν ἀγαθὸν πολίτην εἰς τὸ τῆς πόλεως συμφέρον ἀφορᾷν ἀεί· καθὼς γὰρ ἂν συμβουλεύσειαν, οὕτως εἰώθασιν ἀποβαίνειν τὰ πράγματα. Ἄλλως. Τὸν προεστῶτα τῆς πόλεως, τουτέστι τὸν δημαγωγὸν, οὕτως ἀφορῶντα πρὸς τὸν λέγοντα δεῖ κρίνειν· ὁμοίως γὰρ, φησὶν, ἀποβαίνει τὸ πρᾶγμα καὶ τῷ λέγοντι καὶ τῷ ἀκούοντι· ὥςπερ γὰρ, ἐὰν ᾖ ὁ συμβουλεύων κακὸς, ἀσύμφορόν ἐστι τῇ πόλει, οὕτως καὶ, ὅταν ἀκούων κακῶς ἀκούῃ, πάλιν οὐ σύμφορος. τῷ τοὺς λόγους δὲ λέγοντι, τουτέστι τῷ προϊσταμένῳ καὶ τὰ πρωτεῖα φέροντι τῆς πόλεως, καὶ τιμωμένῳ. [9]) *ΘΕΑΣΘΑΙ*.

9) King. sic dedit: — σύμφορος. Τιμωμένῳ] τουτέστι τῷ προϊσταμένῳ — πόλεως, καὶ τιμωμένῳ. fortasse recte.

ἐνταῦθα δὲ, ἤγουν ἐν τοῖς τοιούτοις, χρὴ τὸν προστάτην τῆς πόλεως ἰδόντα, τουτέστιν ἐγνωκότα, θεᾶσθαι, ἀντὶ τοῦ σκέπτεσθαι, ἀκριβῶς σκοπεῖν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ θεᾶσθαι δ' ὧδε τοῦτο λέγει, ἀντὶ τοῦ σκοπεῖν οὕτω, ποῖός τις καθ' ἡδονὴν λέγει, καὶ ποῖος οὐ, καὶ τῷ μὲν πείθεσθαι, τὸν δὲ καθ' ἡδονὴν λέγοντα μισεῖν, ὡς κακῶν ἐςύστερον αἴτιον. οἱ δὲ λέγοντες τὸ θεᾶσθαι καὶ τὸ ἰδόντα ἐκ παραλλήλου, ὥςπερ τὸ ἐτύγχανεν ὤν, οὐ καλῶς λέγουσιν. ἔχει γὰρ οὕτω· χρὴ δὲ τὸν προστάτην καὶ ἰδόντα καὶ γνόντα καὶ ἀκούσαντα τούτους θεᾶσθαι καὶ σκοπεῖν ὧδε, ὡς ἔφαμεν. Gu. m. sec.

V. 899. *ΘΕΑΣΘΑΙ*, σκέπτεσθαι, ἀκριβῶς σκοπεῖν, ἐρευνᾷν. Gu. *ΩΔΕ*, ἐνταῦθα, ἤγουν ἐν τοῖς τοιούτοις. οὕτως. Gu. *ΤΟΝ ΠΡΟΣΤΑΤΗΝ*, τῆς πόλεως, τὸν δικαστὴν τῶν λόγων, τὸν ἄρχοντα. Gu.

V. 900. *ΙΔΟΝΤΑ*, ἐγνωκότα, γνόντα καὶ ἀκούσαντα τούτους. Gu. *ΟΜΟΙΟΝ ΓΑΡ*. τὴν αὐτὴν κακίαν ἔχει ὅ τε τὰ μὴ καλὰ δημηγορῶν καὶ ὁ κυρῶν αὐτὰ, ἢ τὸν αὐτὸν ἐπαινῶν ὁ τὰ καλὰ δημηγορῶν καὶ ὁ κυρῶν αὐτά. Fl. 6. *ΤΟ ΧΡΗΜΑ*, τὸ πρᾶγμα. (τὸ συμβησόμενον.) ὅτι ἡ ἀτιμία τοῦ δημηγόρου ἀνέρχεται εἰς αὐτόν. Gu.

V. 901. *ΤΩι ΤΟΥΣ ΛΟΓ. ΛΕΓ.* τῷ δημηγόρῳ. Gu. *ΤΙΜΩΜΕΝΩι*, τῷ τιμ. αὐτούς. (ἀποδεχομένῳ αὐτοὺς, ἢ τῷ ἄρχοντι, τῷ βασιλεῖ.) Gu.

V. 903. 904. *ΥΠΟ Δ' ΕΤΕΙΝΕ*. ὑπέβαλλε δὲ αὐτῷ ὁ Τυνδάρεως τοιούτους λόγους λέγειν, ὑμᾶς φονευθῆναι, ἤγουν οὕτως ὑποβάλλων ὁ Τυνδάρεως τοῖς καθ' ὑμῶν ποιουμένοις τὸν λόγον, ὑπέτεινε καὶ εἰς ταυτὸ ἦν τῷ ὑμᾶς λέγοντι φονεύεσθαι. τὸ σφὼ δὲ, ἀντὶ τοῦ τῷ λέγοντι τοὺς δύο φονευθῆναι. τὸ δὲ κατακτείναντι, ὅσον ἐπὶ τοῖς λόγοις οἷς ἔλεγε. *ΥΠΟ Δ' ΕΤΕΙΝΕ*. ὑπέβαλε δὲ ὁ Τυνδάρεως λόγους τοιούτους λέγειν τῷ σφὼ κατακτείνοντι, ἤγουν τῷ ἀνθρώπῳ ἐκείνῳ τῷ κτείνοντι ὑμᾶς, τουτέστι τῷ συμβουλεύοντι φονευθῆναι ὑμᾶς. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. [10])

V. 906—909. *ΟΥΚ ΕΥΩΠΟΣ*. οὐκ εὐειδὴς, οὐκ εὔμορφος. *ΑΝΔΡΕΙΟΣ Δ' ΑΝΗΡ*. γενναῖος, ἀνδρεῖος τῇ

10) Idem a vv. ἤγουν τῷ ἀνθρ. iterum est in Gu. a m. sec.

ψυχῇ. ἀνδρεία γὰρ ἐπὶ ψυχῆς, ῥώμη δὲ ἐπὶ σώματος. τὸ δὲ ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον, ἀντὶ τοῦ ἐκκλησίαις οὐ περιερχόμενος, οὐδὲ πλησιάζων. αὐτουργὸς δέ ἐστιν ὁ τὴν ἰδίαν ἐργαζόμενος γῆν. σώζουσι δὲ γῆν οἱ αὐτουργοῦντες· γνησίως γὰρ τοὺς ἀγροὺς ἐργάζονται. καὶ τὸ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων, ἀντὶ τοῦ οὐ διχόμυθα λέγων, ὡς ὁ προῤῥηθείς. τοῦτο γὰρ ἐναντίον ἐστὶ τῷ διχόμυθα, συνδραμεῖν θέλων τοῖς λόγοις καὶ ταῖς ὑμετέραις βουλεύσεσι, τουτέστι σώζειν ὑμᾶς ἐσπουδακώς.

V. 906. *ΑΝΔΡΕΙΟΣ*, γενναῖος. (εὐγενὴς τῇ ψυχῇ, φρόνιμος. [1])) Gu.

V. 907. *ΚΑΓΟΡΑΣ ΧΡΑΙΝΩΝ Κ.* διατρίβων. (διερχόμενος.) οἱ γὰρ περὶ (om. C. C. C.) τὴν ἀγορὰν πορευόμενοι μεμολυσμένοι ἦσαν. Gu. MS. C. C. C.

V. 908. *ΑΥΤΟΥΡΓΟΣ*, οἰκείαις χερσὶν ἐργαζόμενος. Gu. m. pr. MS. C.C.C. χειροτέχνης, ἢ γεωργὸς δι' ἑαυτὸν ἐργαζόμενος. Gu. m. sec.

V. 909. *ΞΥΝΕΤΟΣ*, φρόνιμος. (καὶ ἔμπειρος.) Gu. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. *ΟΜΟΣΕ ΤΟΙΣ ΛΟΓΟΙΣ*, ὀρθὰ κατὰ τοὺς λόγους. Gu. m. pr. Florr. iidem. τοῖς αὐτοῦ ἢ τοῖς τῶν ἄλλων, εἰ κακοὶ εἰσίν. et in marg. τοῖς λόγοις ἢ τοῖς τῶν ἄλλων, οὕτω· θέλων χωρεῖν ὁμόσε τοῖς τῶν ἄλλων λόγοις, ἤγουν ἐλέγχειν αὐτοὺς, ἐὰν ὦσιν ἄδικοι· ἢ τοῖς ἑαυτοῦ, οὕτω· θέλων χωρεῖν ἐν τοῖς οἰκείοις λόγοις ὁμόσε τοῖς ἄλλοις, ἤγουν παῤῥησιάζεσθαι διὰ τῶν οἰκείων λόγων πρὸς τοὺς τὰ ἄδικα λέγοντας. Gu. m. sec.

V. 910. *ΑΚΕΡΑΙΟΣ*, ἁπλοῦς. [2]) (ἀνελλιπὴς, ἄκακος.) Gu. *ΑΝΕΠΙΛΗΠΤΟΝ*, ἀναμάρτητον, ἀδιάφθορον, ἀβλαβῆ, οὐκ ἄξιον τοῦ ἐπιπλήττεσθαι, ἀνεπιτίμητον, ὃν οὐδεὶς διὰ τὸ σῶφρον ὕβρισεν. *ΑΝΕΠΙΛ.* γράφεται ἀνεπίπληκτον, ἤγουν ἀνεπιτίμητον, οὐκ ἄξιον ἐπιπλήξεως καὶ ὕβρεως. Gu. [3]) *ΗΣΚΗΚΩΣ*, γυμνασάμενος. Gu. m. pr.

1) φρόνιμος habet etiam Fl. 33.

2) ἁπλοῦς est etiam in editis. Sequentis Sch. vv. ἀνεπιτίμ. sqq. sunt in Gu. a m. 2. ἄμεμπτον a m. pr.

3) Idem est in C. C. C. sed sine ἐπιτίμητον, et reliquis sic scri-

Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. μετελθών. Gu.
m. 2.

V. 912. *ΣΤΕΦΑΝΟΥΝ*, τιμᾶν. Gu.

V. 913. *ΑΘΕΟΝ*, ἀσεβῆ. Fl. 6.

V. 914 sq. *ΜΗΘ᾽ ΟΠΛΙΖΕΣΘΑΙ ΧΕΡΑ.* ἥτις,
φησὶν, ἡ Κλυταιμνήστρα τὸ ὅσον ἐφ᾽ ᾧ δέδρακε κατὰ τοῦ
ἀνδρὸς, ἀνῄρει, καὶ ἀνέτραπεν ἔθη καλὰ καὶ ζηλωτὰ, λέγω
δὲ τὸ ὁπλίζεσθαι καὶ ἐπ᾽ ἀλλοδαπῆς ἰέναι. νῦν δὲ ἀνῃρη-
μένης αὐτῆς, πεφρίκασιν αἱ γυναῖκες τὰς κατὰ τῶν ἀνδρῶν
ἐπιβουλάς. τότε δὲ οὐκ ἂν ἐτόλμησε τῶν ἀνδρῶν οὐδεὶς
ἔξω τῶν οἴκων ἐπὶ πόλεμον ὁρμᾶν, ὑφορώμενος τοὺς εἰω-
θότας νοθεύειν. *ΜΗΘ᾽ ΟΠΛΙΖΕΣΘΑΙ.* καθὰ λέγεται τὸ
ἀρνοῦμαι τὸ μὴ λαβεῖν, ἀντὶ τοῦ ἀρνούμενος λέγω — εἰ
γὰρ μὴ ἦν ἀντὶ τούτου, ἐδήλου ἂν ὁ λόγος τὸ ὁμολογῶ
λαβεῖν, ὅπερ ἡ συνήθεια οὐ βούλεται — οὕτω κἀνταῦθα
τὸ ἀφῄρει μὴ ὁπλίζεσθαι ἀντὶ τοῦ ἀφαιροῦσα καθίστα.
ἐπεὶ γὰρ τὸ μὴ ἀφαίρεσιν δηλοῖ καὶ ἄρνησιν καὶ τὰ τοι-
αῦτα, ἔστιν ὅτε μέλλοντες οἱ τοὺς λόγους συντιθέντες μετὰ
τοῦτο λόγον ἐπάγειν προλαμβάνοντες τὸ ἀρνοῦμαι τιθέασιν,
ἢ τὸ ἀφῄρει ἤ τι τοιοῦτον, ὥσπερ προαναφωνοῦντες τὴν
αὐτοῦ δύναμιν. Gu. μήτε μετὰ ὅπλων κινεῖν τὴν χεῖρα
τινὰ ἐκλιπόντα τὰ δώματα, μήτε στρατεύειν ἐκλιπόντα τὰ
δώματα. Gu. Fl. 6. 21. 56. 59. 76.

V. 914. *ΧΕΡΑ*, ἄνδρα, ἀπὸ μέρους τὸ πᾶν. Gu.
Fl. 6.

V. 915. *ΕΚΛΙΠΟΝΤΑ ΔΩΜ.* κατ᾽ ἀλλοδαπῆς, διὰ
τὸ μὴ ἐκ γυναικὸς ἀναιρεῖσθαι. Fl. 10.

V. 916. *ΕΙ ΤΑΝΔΟΝ ΟΙΚΟΥΡΗΜΑΤΑ.* οἱ ἐν
τῇ πόλει καταλειφθέντες, οἱ μὴ ἐξελθόντες εἰς πόλεμον,
τὰς οἰκουρούσας γυναῖκας διαφθείροιεν βλάπτοντες [τὰς λε-
λωβημένας. 4)] *ΤΑΝΔΟΝ*, τῶν οἴκων. Gu. *ΟΙΚΟΥ-
ΡΗΜΑΤΑ*, τὰς ἔνδον οἰκουρὰς γυναῖκας. (τὰς γυναῖκας,

ptis: οὐκ ἄξιον ἐπιτιμᾶσθαι παρ᾽ οὐδενός. E Fl. 33. enotata est gl.
ad v. τὸν Ἀγαμέμνονος, βίαιον ἀπὸ τοῦ ἐναντίου, quae quo per-
tineat, non video.

4) τὰς λελωβημένας spurium videtur, ortum e gl. λωβώμενοι,
βλάπτοντες. Paulo ante διαφθείροιεν scripsi pro διαφθείρειεν.

οἴκου φυλάγματα.) Gu. *ΟΙ ΛΕΛΕΙΜΜΕΝΟΙ*, οἱ ἐναπο-
λειφθέντες τῶν πραγμάτων ἐπιμεληταί. τοῦτο δὲ λέγει διὰ
τὸν Αἴγισθον. Gu. Fl. 6.

V. 917. *ΑΝΔΡΩΝ*, τῶν ἐν τοῖς πολέμοις ἐκστρατευόν-
των. Gu. *ΕΥΝΙΔΑΣ*, τὰς εὐνάς. (κοίτας.) Gu. *ΛΩ-
ΒΩΜΕΝΟΙ*, ὑβρίζοντες. (βλάπτοντες.) Gu.

V. 920. *ΕΛΕΞΕ Δ᾽ Ω ΓΗΝ.* Ἴναχος αὐτόχθων,
πρῶτος βασιλεὺς Ἄργους, δεύτερος Πελασγὸς, τρίτος Δαναὸς
ὁ Βήλου. μετὰ τὸν κατακλυσμὸν ἐν ὄρεσιν οἰκούντων τῶν
Ἀργείων, πρῶτος αὐτοὺς συνῴκισεν Ἴναχος, καὶ λιμναζό-
μενον τὸ περὶ τὸν Ἴναχον πεδίον αὐτὸς ἐκαθάρισεν, καὶ
ἐπὶ γῆς τινὸς ποιησάμενος τὸν ποταμὸν ἀφ᾽ ἑαυτοῦ Ἴναχον
ἐκάλεσεν, καὶ τὸ Ἄργος Ἰνάχιον. Ἰνάχου δὲ καὶ Μελίας
Φορωνεὺς καὶ Πηγεὺς ἐγένετο. Φορωνέως δὲ καὶ Πειθοῦς
ἐγένετο Αἰγιαλεὺς, Ἀπία. ἀπὸ δὲ Εὐρώπης Νιόβη, Νιόβης
δὲ Ἄργος. Ἄργου δὲ Κρίασος, Ἔκβασος 5), Πείρασος,
Ἐπίδαυρος, Τίρυνς. Κριάσῳ δὲ ἀπὸ Μελανθοῦς ἐγένετο
Φόρβας καὶ Κλεόβοια· Φόρβαντι δὲ ἐκ τῆς Εὐβοίας ἐγένε-
το Τριόπας· Τριόπᾳ δὲ ἐκ Σωΐδος ἐγένοντο δίδυμοι μὲν,
Πελασγὸς καὶ Ἴασος, νεώτεροι δὲ Ἀγήνωρ καὶ Ξάνθος. ὁ
δὲ Πελασγὸς πρῶτος ἀγροῦ κατασκευὴν ἐξεῦρε, πάλαι τῶν
ἀνθρώπων τοῖς δράγμασι σιτουμένων, καὶ Πελασγικὸν τὸ
Ἄργος ὠνόμασεν. Ἰάσου δὲ καὶ Λευκάνης Ἰὼ ἐγένετο,
Ἐπάφου δὲ Λιβύη καὶ Τηλέγονος, Λιβύης Βῆλος καὶ Ἀγή-
νωρ· Βήλου δὲ Αἴγυπτος καὶ Δαναός. *ΓΗΝ ΙΝΑΧΟΥ.*
Ἴναχος ποταμὸς Ἄργους· ἀπὸ τούτου δὲ καὶ τὸ Ἄργος Ἰνά-
χιον. εἴληφε δὲ τοὔνομα τοῦτο ὁ ποταμὸς ἀπὸ Ἰνάχου τινὸς
πρώτου συνοικήσαντος (l. συνοικίσ.) Ἄργος. λέγεται γὰρ μετὰ
τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Δευκαλίωνος, ὄντων ἀνθρώπων
ἐν ὄρεσι, παραλαβὼν οὗτος ἄνδρας τινὰς καὶ εἰς τὸ νῦν
καλούμενον Ἄργος ἐλθὼν κατοικῆσαι, εὑρὼν ἅπαντα τὸν
τόπον τοῦτον πλήρη ὕδατος καὶ καθάρας. ἐποίησε δὲ καὶ
τινα πηγὴν ἐνταῦθα ἀναδοθῆναι, ἀφ᾽ ἧς ὁ ποταμὸς ἐγεγό-
νει ἐπώνυμος τοῦ οἰκιστοῦ. Πελασγοὺς δὲ τοὺς Ἀργείους
καλοῦσι ἀπὸ Πελασγοῦ τινος, μετὰ τὸν Ἴναχον πρώτου βα-
σιλεύσαντος. ὕστερον δὲ καὶ Ἀργεῖοι ἐκλήθησαν ἀπὸ Ἄρ-
γου. Gu.

V. 922. *ΠΑΛΑΙ.* τινὲς εἰς τὸ πάλαι στίζουσι.

5) Heyne ad Apollod. II, 1, 2. em. Ἴασος.

V. 924. ΑΜΥΝΩΝ. βοηθῶν. ΟΣΙΟΣ, θεμιτός. (δίκαιος καὶ ἀνεύθυνος· ὃ γένοιτ᾽ ἄν, εἰ ἐμοῦ καταψηφιεῖσθε.) Gu. ΟΥ ΦΘΑΝΟΙΤΕ ΑΝ. οὐκ ἀρκεσθήσεσθε πρὸς τὸν γυναικῶν φόνον, οὐ φθάνοιτε ἀποθνήσκοντες τῷ ἰδίῳ μόρῳ. φθάνω τὸ προλαμβάνω καὶ τὸ καταλαμβάνω, καθὸ λέγεται, οὐκ ἂν φθάνοις εἰς τὸ [6]) δικαστήριον ἰὼν καὶ διδοὺς δίκην, ἤγουν οὐκ ἂν ἀρκοίης, οὐκ ἂν καταλαμβάνοις, τουτέστι τοσοῦτόν σε ἕλξουσι συντόμως, ὡς μὴ δύνασθαί σε καταλαμβάνειν τοὺς ἕλκοντας, ἀφ᾽ οὗ κατὰ μεταφορὰν ἐνταῦθα τὸ οὐκέτ᾽ ἂν φθάνοιτε θνήσκοντες, τουτέστιν οὐκ ἂν ἀρκοίητε πρὸς τὴν τοῦ θανάτου συντομίαν. οὕτως ὑμᾶς ἕλξει δηλονότι μετὰ ταχυτῆτος. ΟΥ ΦΘΑΝΟΙΤ᾽ ΕΤ᾽ ΑΝ. τουτέστιν οὐ προλάβητε ἀλλήλους τῷ θανάτῳ, ὁ μὲν πρόσθεν, ὁ δ᾽ ἔπειτα θνήσκων, ἀλλ᾽ ὁμοῦ πάντες οἰχήσεσθε. ἐδήλωσε δὲ ἐνταῦθα τὴν ὑπερβολὴν τοῦ κακοῦ, ὃ γένοιτ᾽ ἄν, εἰ γυναιξὶν ὁ τῶν ἀνδρῶν φόνος ἀνεύθυνος ἔσται. Gu.

V. 926. ΤΟΥΝΑΝΤΙΟΝ ΔΕ, ἐναντία δὲ διακείσεσθε, ἢ διακεῖσθαι πρέπον. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. δέον γὰρ τὴν κακίαν καθάπαξ ἀποτεμεῖν, ὑμεῖς ταύτην τῇ κατ᾽ ἐμοῦ ψήφῳ αὐξήσετε. Gu. m. sec.

V. 927. ΠΡΟΔΟΥΣΑ, ἀπολύσασα, ἔκδοτα ποιήσασα. Gu. ΛΕΚΤΡ᾽ ΕΜΟΥ Π. ἀντὶ τοῦ τὸν πατέρα. Fl. 6.

V. 929. Ο ΝΟΜΟΣ ΑΝΕΙΤΑΙ. ἐνδέδεται· ὑμεῖς γὰρ φονευθήσεσθε, οὐ φονεύσετε, καὶ ὑποτάξεσθε, οὐχ ὑποτάξοιτε. Ο ΝΟΜΟΣ, ὁ κελεύων ὑπείκειν (Gu. ὑπέχειν) ἀνδράσι τὰς γυναῖκας. MS. C.C.C. Gu. ΑΝΕΙΤΑΙ, ἀπολέλυται. (καταλειφθήσεται, καταλιμπάνεται. [7])) ἢ ἀνεῖται ἀντὶ τοῦ δοθήσεται οὕτω, ἀνεῖται καὶ δοθήσεται νόμος ταῖς γυναιξὶ τοὺς ἰδίους ἄνδρας φονεύειν. MS. C.C.C. Gu.

6) εἰς et paulo post τουτέστι τοσοῦτόν σε ἕλξουσι συντ. — τουτέστιν οὐκ ἂν ἀρκοίητε sunt in Gu. qui hoc scholion habet a vv. φθάνω τὸ προλαμβάνω. Sic jam edidit King. In seqq. ἕλξει, sc. ὁ θάνατος, ex eodem cod. recepi.

7) καταλιμπάνεται non legitur in C.C.C. ut nec οὕτω, ἀνεῖται καὶ δοθήσεται, si recte enotavit King. In Gu. ἀπολέλ. καταλειφθ. καταλιμπ. inter versus scripta sunt, reliqua continua serie in margine.

V. 930. ΟΥ ΣΠΑΝΙΣ ΓΕΝΗΣΕΤΑΙ. οὐ λήξει, οὐδὲ παύσεται, οὐδὲ πέρας ἕξει ὁ θάνατος ἡμῶν. ἐξαπλοῦται γὰρ καὶ πλατύνεται ὁ νόμος κατὰ τῶν ἀνδρῶν οὗτος. τοῦτο γὰρ σημαίνει τὸ ἀνεῖται. ΤΗΣ ΓΕ ΤΟΛΜΗΣ, τῆς θρασύτητος ταύτης τοῦ φονεύειν τὰς γυναῖκας τοὺς ἄνδρας. Gu. ΣΠΑΝΙΣ, ἔνδεια. (ἀποχή. οὐκ ἔτι πέρας ἡμῶν ἕξει ὁ θάνατος.) Gu. στέρησις. Fl. 10. οὐκ ἐπιλείψουσι αἱ τοιαῦτα ἐργασόμεναι. Fl. 6.

V. 931. ΟΜΙΛΟΝ, καὶ τὴν συνάθροισιν. Fl. 59. τὴν ἐκκλησίαν. Fl. 6. στρατόν. Fl. 33. ΕΥ, εὔλογα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 932. Ο ΚΑΚΟΣ, ὁ ἀθυρόγλωσσος. Gu. Fl. 6. ΕΝ ΠΛΗΘΕΙ, χαριζόμενος. Gu.

V. 934. ΠΕΤΡΟΥΜΕΝΟΥΣ, λίθοις βαλλομένους. (λιθοβολουμένους add. Gu. m. 2.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 935. ΑΥΤΟΧΕΙΡΙ ΔΕ ΣΦ. αὐτουργῷ, αὐτοχειρίᾳ. (διὰ τῶν οἰκείων χειρῶν add. Gu. m. 2.) Gu. Florr. iidem.

V. 937. ΠΟΡΕΥΕΙ, κομίζει. (φέρει, ἄγει ἐνταῦθα add. Gu. m. 2.) Gu. Florr. iidem. ΕΚΚΛΗΤΩΝ ΑΠΟ, ἀπὸ τῆς ἐκκλησίας. (τῶν ἐκκλησιαζόντων.) Gu.

V. 938. ΣΥΝ Δ᾽ ΟΜΑΡΤΟΥΣΙΝ, συνακολουθοῦσι. Gu.

V. 939. ΟΙΚΤΕΙΡΟΝΤΕΣ, ἐλεοῦντες. Gu. Fl. 6. 9. 17. 21. 59. 76.

V. 940. ΠΙΚΡΟΝ, ἀλγεινόν. Gu. Fl. 17. 21. 56. 59. 76. ΠΡΟΣΟΨΙΣ, ὅραμα. Fl. 6. ΑΘΛΙΑ, ἐλεεινή. Gu.

V. 941. ΕΥΤΡΕΠΙΖΕ, ἑτοίμαζε. Gu. ΒΡΟΧΟΝ, σχοινίον ἐπ᾽ ἀγχόνῃ (— νης Florr.). Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ΔΕΡΗι, τῷ λαιμῷ. (τραχήλῳ add. Gu. m. 2.) Gu. Florr. iidem.

V. 944. ΚΑΘΙΖΩΝ, ὁ ἱστὰς, ὁ καθήμενος. Gu.

V. 945 — 947. Ω ΔΥΣΤΑΛΑΙΝΑ ΠΑΡΘΕΝ᾽, ΩΣ ΞΥΝΗΡΕΦΕΣ. ὦ παρθένε παναθλία, λίαν ὑπάρχεις ἄλαλος, βαλοῦσα τὸ σὸν πρόσωπον σκυθρωπὸν εἰς τὴν γῆν, ὡς μέλλουσα δραμεῖσθαι εἰς στεναγμοὺς καὶ γόους.

V. 945. *ΞΥΝΗΡΕΦΕΣ.* στυγνὸν, καὶ ὥςπερ ἐσκεπασμένον [8]) τοῖς κακοῖς. ἐν ἐνίοις δὲ οὐ φέρονται οἱ τρεῖς στίχοι οὗτοι. πῶς γὰρ οὐκ ἔμελλε στενάζειν, οὕτω δυστυχῶς ἔχουσα;

V. 946. *ΑΦΘΟΓΓΟΣ.* ἄφωνος. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 948—969. *ΚΑΤΑΡΧΟΜΑΙ ΣΤΕΝΑΓΜΩΝ.* τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα ια, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α ἴαμβος τρίμετρος ἀκατάληκτος καθαρός. τὸ β ὅμοιον, ἐπιμεμιγμένον χορείοις. τὸ γ τροχαϊκὸν ἰθυφαλλικόν. [9]) τὸ δ ὅμοιον τῷ β. τὸ ε ἀσυνάρτητον ἐκ β τροχαϊκῶν πενθημιμερῶν. τὸ ς ἴαμβος τρίμετρος. τὸ ζ ὅμοιον, ἐπιμεμιγμένον καὶ ἕτερος παύς. (l. καὶ ἑτέροις ποσί. ut K.) τὸ η τροχαϊκὸν δίμετραν ἀκατάληκτον. τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, τοῦ β ἀναπαίστου. τὸ ι τροχαϊκὸν ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον, ἢ ληκύθειον. τὸ ια ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος.

V. 948—963. *ΚΑΤΑΡΧΟΜΑΙ.* ὦ Πελασγία, γῆ δηλονότι, ἀρχὴν ποιοῦμαι στεναγμῶν, τιθεῖσα καὶ ποιοῦσα διὰ τῶν παρειῶν, ἤτοι διὰ τοῦ αὐτὰς σπαράσσειν, τὸν λευκὸν ὄνυχα αἱματηρὸν, τιθεῖσα, κατὰ κοινοῦ, ἄτην καὶ βλάβην, κτύπον τὲ κρατὸς καὶ κεφαλῆς· ὃν κτύπον δηλονότι ἐκληρώσατο ὑποκάτω τῆς γῆς ἡ Περσεφόνη, ἡ καλὴ παῖς, ἡ θεὰ τῶν νεκρῶν. θρηνείτω δὲ ἡ Κυκλωπεία γῆ, ἤτοι τὸ Ἄργος, τιθεῖσα ἐπὶ τῇ κεφαλῇ σίδηρον, κουρᾶς ποιητικὸν, διὰ τὰ πήματα τῶν οἴκων τῶν Ἀτρειδῶν. ἐλεεινότης ἥδε ἔρχεται ὑπὲρ τῶν μελλόντων τεθνήξεσθαι παίδων, ὄντων τῶν ποτὲ στρατηλατῶν, ἤτοι τοῦ Ἀγαμέμνονος. ἔφθαρται καὶ πᾶσα ἡ γέννα τῶν τέκνων τοῦ Πέλοπος, καὶ ὁ οἶκος ὁ ὢν ποτὲ ζηλωτὸς, καὶ θαυμαστὸς, ἐπὶ μακαρίοις, πράγμασι δηλονότι, ἢ ἀνδράσιν, οἴχεται δηλονότι. νέμεσις

8) ἐσκεπασμένον pro ἐστεγασμένον recepi e Fl. 10. Etiam 33. habet κατεσκεπασμένον, Gu. συγκεκαλυμμένον (ut Fl. 6.), ἐσκεπασμένον.

9) King. em. ἰαμβικὸν ἑφθημιμερές ob lectionem τὰν αἱμ. ἄτ.

εἷλεν αὐτὸν ἀπὸ τῶν θεῶν, καὶ ἡ ἐν τοῖς πολίταις ἐχθρὰ καὶ δυςμενὴς ψῆφος, καὶ κρίσις ἡ φονική.

V. 948. *ΚΑΤΑΡΧΟΜΑΙ.* ἄρχομαι τὸ ἀρχὴν ποιοῦμαι καὶ τὸ ἀρχὴν λαμβάνω. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 949. *ΛΕΥΚΟΝ ΟΝΥΧΑ.* ἀδολεσχία. Gu.

V. 950. *ΑΙΜΑΤΗΡΟΝ ΑΤΑΝ.* ἀντὶ τοῦ καταξέουσα ἑαυτῆς τὰς παρειὰς τοῖς ὄνυξι, ὅπερ ἐστὶ δι' αἵματος βλάβη. τὸ τιθεῖσα δὲ κατὰ κοινοῦ καὶ ἐπὶ τῆς κεφαλῆς, καὶ ἐπὶ τῶν παρηΐδων. *ΑΤΑΝ.* δέον εἰπεῖν καὶ ἄταν, ἀσυνδέτως ἐξήνεγκεν. τὸ δὲ τιθεῖσα ἀπὸ κοινοῦ. Gu. Fl. 6.

V. 951. 952. *ΚΤΥΠΟΝ ΤΕ ΚΡ.* τιθεῖσα καὶ κτύπον τε (om. Fl.) κεφαλῆς, ὃν ἐκληρώσατο κατὰ χθονὸς ἡ Περσέφασσα ἡ καλλίπαις, ἡ θεὰ τῶν καταχθονίων. Gu. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. *ΟΝ ΕΛΑΧΕ,* ἐπειδὴ τὸ θρηνεῖν καὶ σπαράττειν τὸ πρόςωπον καὶ τύπτειν τὴν κεφαλὴν ἐπὶ τοῖς νεκροῖς ποιεῖν εἰώθαμεν ἄνθρωποι. μυθεύονται δὲ τὴν Περσεφόνην ᾅδου βασιλεύειν σὺν Πλούτωνι· διὰ τοῦτο τὸ ὃν ἔλαχε λέγει. Gu.

V. 952. *ΝΕΡΤΕΡΩΝ ΠΕΡΣΕΦΑΣΣΑ.* Περσέφασσα καλεῖται ἡ κόρη. ἀπὸ δὲ ταύτης καὶ τὴν μητέρα βούλεται δηλοῦν. πῶς γὰρ ἡ παῖς καλλίπαις; ἡ γὰρ Περσέφασσα θυγάτηρ ταύτης. γράφεται δὲ τὸ καὶ καλλίπαις καὶ καλὴ παῖς, αὕτη οὖσα ἡ κόρη. οὕτω βέλτιον· αὕτη γὰρ ἐκληρώθη τὸν θρῆνον· τοῖς γὰρ θρηνοῦσιν ἐγγίνεται ἡ τὸν Ἴακχον [10]) γεννήσασα ἡ καλὴ παῖς. Ἰστέον, ὅτι τῆς κόρης, ἤγουν τῆς Περσεφόνης, ἁρπασθείσης ὑπὸ Πλούτωνος, ἡ μήτηρ αὐτῆς ἡ Δηὼ νῆστις περιήρχετο, ζητοῦσα αὐτήν. καὶ δὴ περιερχομένη καὶ ζητοῦσα αὐτὴν ὑπεδέχθη ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόοντος ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας. ἥτις Μετάνειρα παρέθηκεν αὐτῇ τράπεζαν, καὶ ἐκέρασεν αὐτῇ οἶνον. ἡ δὲ θεὸς οὐκ ἐδέξατο, λέγουσα μὴ θεμιτὸν

10) Junt. Basil. Ἴαχνον. Barn. Ἴακχνον. voluit Ἴακχον, quod conjecit King. De diversa scriptura nominis Ἱπποθόοντος (sic Junt. Basil.) et Ἱπποθόωντος (sic Barn. King.) vid. Creuzer Symbol. u. Mythol. IV. p. 377. not. 51.

εἶναι πιεῖν αὐτῇ οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρὸς, ἀλφί-
των δὲ κυκεῶνα ἐκέλευσεν αὐτῇ κατασκευάσαι, ὃν δεξαμένη
ἔπιεν. Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας, ἀθυμοῦσαν
τὴν θεὰν ὁρῶσα, γελοιώδεις λόγους καὶ σκώμματά τινα ἔλε-
γε πρὸς τὸ γελάσαι τὴν θεόν. ἦσαν δὲ τὰ ῥήματα, ἅπερ
αὐτὴ πρῶτον εἶπεν, ἰαμβικῷ μέτρῳ ῥυθμηθέντα. Ἰάμβη
δὲ θυγάτηρ Ἠχοῦς καὶ τοῦ Πανὸς, Θρᾶσσα τὸ γένος.
ΚΑΛΛΙΠΑΙΣ, ὁ καλοὺς παῖδας ἔχων, καὶ ἡ καλλίπαις
ἐπὶ θηλυκοῦ. καλλίπαις καὶ ἡ καλὴ παῖς, ὡς ἐνταῦθα.
Gu. m. pr. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. ἡ ἔχουσα
καλὸν παῖδα τὸν Ἴναχον (leg. Ἴακχον)[1]), ἢ ἡ οὖσα καλὴ
παῖς τῆς Δήμητρος. Gu. m. 2.

V. 953. *ΙΑΧΕΙΤΩ ΔΕ ΓΑ ΚΥΚΛΩΠΙΑ.* θρηνεί-
τω τὰ πήματα τῶν Ἀτρειδῶν οἴκων ἡ ἀπὸ τοῦ Κύκλωπος
γῆ, ἤτοι αἱ Μυκῆναι, ἢ τὸ Ἄργος. *ΚΥΚΛΩΠΙΑ.* Κύ-
κλωπες Θρακικὸν ἔθνος ἀπὸ Κύκλωπος βασιλέως οὕτως ὠνο-
μασμένοι. οὗτοι πολέμῳ ἐξαναστάντες τῆς ἰδίας γῆς, ἄλλοι
ἄλλῃ ᾠκίσθησαν, οἱ πλείονες δὲ αὐτῶν ἐν τῇ Κουρῆτιδι.
ἦσαν δὲ ἄριστοι τεχνῖται πρὸς οἰκοδομίαν.[2]) Ἄβαντος δὲ
τοῦ βασιλέως τῶν Ἀργείων υἱοὶ ἦσαν ἐξ Ἀγλαΐας Προῖτος
καὶ Ἀκρίσιος. οὗτοι μετὰ θάνατον τοῦ πατρὸς ἐστασίασαν
πρὸς ἀλλήλους περὶ τῆς τυραννίδος. φασὶ δὲ, ὅτι ἐν τῷ
πολέμῳ τούτῳ πρῶτοι ξυλίναις ἀσπίσιν ἐχρήσαντο Ἀργεῖοι,
καὶ νικήσαντος Ἀκρισίου συνέβησαν, ὥςτε, πλωτῆς γενο-
μένης τῆς θαλάσσης, ἀπαλλάττεσθαι τὸν Προῖτον. χειμά-

1) Similiter Flor. 10. ad v. *Περσέφασσα*, ἡ κόρη ἡ τὸν Ἴναχον
γεννήσασα.

2) ὠνομασμένοι — γῆς post ἰδίας — ἄλλῃ pro ἄλλους (Barn.
King. ἀλλόσ') — οἱ ante πλείονες — πρὸς οἰκοδομίαν e Gu. recepi.
In seqq. idem codex Ἄβαντι οὖν τῷ βασιλεῖ Ἄργους ἐξ Ἀγλαΐας
ἦσαν υἱοὶ δύο, Πρ. καὶ Ἀκρ. οἳ μετὰ θ. τοῦ π. ἐστασίασαν πρὸς
ἀλλήλους περὶ τῆς ἀρχῆς, unde πρὸς ἀλλήλους addidi. Idem mox
φασί pro φησί. Post ἐχρήσαντο Ἀργεῖοι pergit: μηκυνομένου δὲ
τοῦ πολέμου, καὶ νῦν μὲν Ἀκρισίου, νῦν δὲ Προίτου πλέον ἔχον-
τος, συνθῆκαι πρὸς ἀμφοτέρους ἐγένοντο, Ἀκρίσιον μὲν ἄρχειν
Ἄργους, Προῖτον δὲ Τίρυνθος. κἀπειδὴ ὑποψία ἦν πρὸς ἀλλή-
λους, ὡς ἀτειχίστων οὐσῶν ὧν ἦρχον πόλεων, ἄμφω μετακαλεσά-
μενοι Κύκλωπας ἐκ τῆς Κουρήτιδος, τειχίζουσι δι' ἐκείνων τὰς
πόλεις, καὶ διὰ τοῦτο Κυκλωπία γῆ ὠνομάσθη τὸ Ἄργος.

ζοντι δὲ αὐτῷ ἐκεῖσε, φίλοι γίνονται Ἀργεῖοι, καὶ συμμα-
χία αὐτῷ ἐκ Λυκίας ἔρχεται καὶ τῆς Κουρήτιδος. ὡς δὲ
λοιπὸν ἔαρ ἐγένετο, δεδιότες Ἀργεῖοι τὴν ἐπείςακτον συμ-
μαχίαν τοῦ Προίτου, συντίθενται, ὥςτε Ἀκρίσιον μὲν ἄρ-
χειν Ἄργους, Προῖτον δὲ Τίρυνθος. κἀπειδὴ ὕποπτα ἦν
τὰ τοῦ βασιλέως, τειχίζουσι τὰς πόλεις, τῶν ἐκ τῆς Κουρή-
τιδος Κυκλώπων τειχισάντων αὐτάς. λέγει δὲ τὰς Μυκήνας.
πλησίον δὲ αὗται τοῦ Ἄργους. Κύκλωπες δὲ οἱ ἐγχειρογά-
στορες περιετείχισαν τὰς Μυκήνας, οὓς ἡ ἱστορία φησὶ τὸν
κεραυνὸν τῷ Διῒ κατασκευάσαι. *ΓΑ ΚΥΚΛΩΠΙΑ*, τὸ Ἄρ-
γος (ἡ τῶν Μυκηναίων add. Gu. m. sec.) ἀπὸ Κυκλώπων
ἔθνους Θρακικοῦ, ὃ ἐπὶ συμμαχίαν κληθὲν ἐπὶ Προίτου
αὐτόθι τὴν οἴκησιν ἐποιήσατο. Gu. MS. C.C.C.

V. 954. *ΣΙΔΑΡΟΝ— ΚΟΥΡΙΜΟΝ.* [θρηνείτω δὲ ἡ
γῆ ἡ Κυκλωπία, ἤγουν τὸ Ἄργος, τὰ πήματα τῶν οἴκων
τῶν Ἀτρειδῶν. Gu.] σίδηρον κουρεύσιμον ἐπὶ κάρα τιθεῖσα,
τουτέστι ξυρῷ[3]) κειραμένη τὴν κεφαλήν. MS. C.C.C. Gu.
ΚΟΥΡΙΜΟΝ, κουρευτικόν. *ΚΟΥΡΙΜΟΝ*, κουρεύσιμον,
κοπτικόν. Gu. ψαλίδιον. Fl. 21. 33.

V. 955—958. *ΤΩΝ ΑΤΡΕΙΔΩΝ ΠΗΜΑΤ' ΟΙΚ.*
διὰ τὰ πήματα τῶν Ἀτρειδῶν ἐλεεινοὶ, φησὶ, καὶ οἰκτροὶ
τὴν τύχην ἡμεῖς μέλλοντες θανεῖσθαι, παῖδες τῶν ἐν Ἑλ-
λάδι ποτὲ διαπρεψάντων κατὰ τὴν βασιλείαν. *ΤΩΝ ΑΤΡ.
ΠΗΜΑΤ' ΟΙΚ.* τὸ Ἀτρειδῶν πρὸς τὸ στρατηλατῶν
Ἑλλάδος ποτ' ὄντων σύναπτε, τὸ δὲ ἔλεος ἔλεος
ὅδ' ἔρχεται τῶν θανουμένων ὕπερ διὰ μέσου λάμ-
βανε. ἢ σύναπτε τὸ θανουμένων πρὸς τὸ στρατη-
λατῶν, οὐχ ὅτι Ὀρέστης καὶ Ἠλέκτρα, οἱ μέλλοντες ἀπο-
θανεῖσθαι, στρατηλάται ἦσαν τῆς Ἑλλάδος, ἀλλ' ὅτι ἡ τοῦ
πατρὸς αὐτῶν τιμὴ αὐτῶν ἐστι. κρεῖττον δέ ἐστι τὸ πρῶτον.
Gu. μὴ λάβῃς εἰς τὸ πήματα ἔξωθεν διά, ἀλλ' ἔστι
πρὸς τὸ ἰαχείτω. Gu.

V. 956—958. *ΕΛΕΟΣ*, ὑπὲρ ἡμῶν ἔλεος ἥξει τῶν
θανουμένων. *ΕΛΕΟΣ*, ἐλεεινότης ἥδε (Gu. ἤδη) ἔρχεται
ἕνεκα τῶν μελλόντων τεθνήξεσθαι παίδων ὄντων τῶν (τῶν
om. Gu. fort. τῶν ὄντων) ποτὲ στρατηλατῶν τῆς Ἑλλά-
δος. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἤγουν ἡ

3) Sic Gu. ξηρῷ C.C.C. quod em. King.

ἐπιοῦσα ἡμῖν αὖθις συμφορὰ τοῦ θανάτου ἔλεον ἐγείρει
παρ᾽ ἁπάντων. Gu. m. 2.

V. 959. *ΒΕΒΑΚΕ*, παρῴχετο. *ΒΕΒΑΚΕ*, ἀπῆλ-
θεν, ἐῤῥύη. (ἐφθάρη add. Gu. m. sec.) Gu. Fl. 6. 9.
17. 21. 56. 59. 76. *ΟΙΧΕΤΑΙ*, παρῆλθε. *ΟΙΧΕΤΑΙ*,
ἔφθαρται. Gu. Fl. 17.

V. 960. *ΜΑΚΑΡΙΟΙΣ*, οἴκοις. ἢ μακαρίοις ἀντὶ
τοῦ καλλίστοις πράγμασι καὶ δεχομένοις παρὰ πάντων μα-
καρισμόν. Gu. ἀνδράσι. Fl. 59.

V. 961. *ΖΗΛΩΤΟΣ ΠΟΤ᾽ ΟΙΚΟΣ*. καὶ ὁ οἶκος ὁ ὢν
ποτὲ ζηλωτὸς ἐπὶ μακαρίοις, νέμεσις αὐτὸν εἷλε θεία καὶ ἡ
ἐν τοῖς πολίταις δυσμενὴς φονία ψῆφος. ἀφ᾽ ἑτέρας δὲ πτώ-
σεως ἀρξάμενος, ὥςπερ ἐκ μεταμελείας, ἐφ᾽ ἑτέραν πτῶσιν
ἀποδίδωσι τὴν σύνταξιν. συνήθης δὲ οὗτος ὁ σχηματισμὸς
καὶ τῷ πεζῷ λόγῳ, ὡς παρὰ Φιλοστράτῳ· φαρέτραι μὲν
οὖν χρυσόπαστοι καὶ χρυσαῖ, καὶ τὰ ἐν αὐταῖς βέλη, γυμνὴ
τούτων ἡ ἀγέλη [4]) πᾶσα. οὕτω χρὴ γράφειν καὶ τὰ πα-
ρόντα κῶλα, ἵν᾽ εἴη πρὸς τὰ μέτρα ὀρθά. οὕτω δὲ χρὴ,
καὶ ὁ οἶκος ὁ πάλαι διὰ εὐδαιμονίας ζηλωτὸς ὢν βέβηκε
καὶ οἴχεται. καὶ τὸν ἄλλον στίχον πολύστονά τε δὴ καὶ
πολύπονα, ἵν᾽ εἴη ἴαμβος, ὡς ὁ τῆς στροφῆς· ἐλλιπὴς
γὰρ ἦν. διὸ καὶ διωρθώθη παρ᾽ ἡμῶν, ναὶ οἶμαι, ὡς κα-
λῶς. *ΖΗΛΩΤΟΣ*. ἐπίφθονος. *ΖΗΛΩΤΟΣ*, μακαριστός.
(ἐπίφθονος, θαυμαστός add. Gu. m. 2.) Gu. Fl. 6. 9.
17. 21. 56. 59. 76. ὁ διὰ τὰ εὐτυχήματα ζηλούμενος οἶ-
κος. Fl. 10.

V. 963 sq. *ΦΘΟΝΟΣ ΝΙΝ ΕΙΛΕ*, ὀργὴ αὐτὸν κα-
τέλαβε, καὶ ἡ ἐχθρὰ φονικὴ καταδίκη τῶν πολιτῶν. *ΦΘΟ-
ΝΟΣ*, νέμεσις. (ὀργὴ, μῖσος.) Gu. *ΝΙΝ*, αὐτὸν, τὸν οἶ-
κον, ἢ τὴν γένναν. Gu. *ΕΙΛΕ*, κατέβαλε, (e corr. fuerat
κατέλαβε) καθεῖλε. Gu.

4) Quae hic post ἀγέλη sequuntur, desunt in Gu. E prioribus King. a verbis ἀφ᾽ ἑτέρας πτ. (sic omisso δέ) novi scholii initium fecit, ad verba πανδάκρυτ᾽ ἐφαμ. ἔθνη pertinentis: male. Aperte enim constructionem, οἶκος ζηλωτὸς ὢν, φθόνος νιν εἷλε explicant. Melior explicatio sequitur post οὕτω δὲ χρή, ut diversorum auctorum scholia hic confusa esse suspicer. King. omisit οὕτω δὲ χρή et ὡς ante καλῶς.

V. 964—969. *ΙΩ ΙΩ*. ὦ πλήθη τῶν ἀνθρώπων πολυστένακτα, βλέπετε, πῶς ἡ τύχη ἔρχεται παρὰ προςδοκίαν. ἕτερα δὲ πήματα ἑτέροις πήμασιν ἀμείβεται, καὶ κατὰ διαδοχὴν ἔρχεται ἐν τῷ μακρῷ χρόνῳ· πᾶσα δὲ ἡ ζωὴ τῶν ἀνθρώπων ἀστάθμητος καὶ ἄτακτος.

V. 964 sq. *ΙΩ ΠΑΝΔΑΚΡΥΤ᾽*, ὦ πολύπονα τῶν ἀνθρώπων ἔθνη καὶ ὑπὸ πάντων ἄξια θρηνεῖσθαι. *ΠΑΝΔΑΚΡΥΤΑ*, πάγκλαυστα διὰ τὰς συμφορὰς, αἷς ἀεὶ περιπίπτει. Gu.

V. 965. *ΠΟΛΥΠΟΝΑ*, πολυπαθῆ καὶ πολυσύμφορα. Gu.

V. 967. *ΕΤΕΡΑ Δ᾽ ΕΤ. ΑΜ.* ἄλλα ἐπ᾽ ἄλλοις κατὰ διαδοχὴν ἐπέρχεται κακὰ τοῖς ἀνθρώποις. *ΕΤΕΡΑ Δ᾽ ΕΤ.* ἐφ᾽ ἑτέροις πήμασι. Gu. *ΑΜΕΙΒΕΤΑΙ*, κατὰ διαδοχὴν ἔρχεται. (ἐκ διαδοχῆς ἀπαντᾷ, ἢ ἀλλεπάλληλα ἔρχεται.) Gu.

V. 968. *ΕΝ ΧΡΟΝΩι ΜΑΚΡΩι*, διηνεκῶς. Fl. 21.

V. 969. *ΒΡΟΤΩΝ Δ᾽ Ο ΠΑΣ*, ὁ βίος δὲ τῶν ἀνθρώπων ἀβέβαιος, ἄνισος, ἄστατος· ἄλλοι γὰρ ἄλλας ἔχουσι τύχας.

V. 970—1004. *ΜΟΛΟΙΜΙ ΤΑΝ ΟΥΡΑΝΟΥ*. μετὰ τὴν κατὰ σχέσιν στροφὴν ἑτέραν τίθησιν ἀπολελυμένην στροφήν· εἰσὶ γὰρ τὰ παρόντα εἴδη [5]) μονόστροφα καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους, καὶ μετρικὰ ἄτακτα. τὰ κῶλα πάντα λζ. τὸ α περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ β ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ γ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ δ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος δ, ἰωνικοῦ ἀπὸ μείζονος κατὰ συνίζησιν καὶ ἰάμβου. τὸ ε ἰαμβικὸν [6]) δίμετρον ὑπερκατάληκτον. τὸ ϛ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α, παίωνος δ ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς. τὸ ζ ὅμοιον τῷ β. τὸ η ὅμοιον ἐκ χορείων δι᾽ ὅλου. τὸ θ ἰαμβικὴ βάσις. τὸ ι τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ια ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως καὶ

5) εἰσὶ — εἴδη e Baroc. 74. addidit King.

6) ἰαμβικόν. Vulgo ἰωνικόν. Emendavit King, qui etiam e Baroc. 74. addidit τὸ ϛ ἰωνικὸν — ὑπερκατάληκτον.

ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου. εἰ δὲ βούλει, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ σπονδείου, διϊάμβου, καὶ σπονδείου αὖθις. τὸ ιβ ὅμοιον τῷ β. τὸ ιγ ὅμοιον ἑφθημιμερὲς, τοῦ β ποδὸς χορείου. τὸ ιδ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, διϊάμβου καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ ιε ὅμοιον τῷ ιγ, καθαρὸν ἰαμβικόν. τὸ ις ἀσυνάρτητον ἐκ δύο τροχαϊκῶν ἑφθημιμερῶν· εἰ δὲ βούλει, ἐξ ἰθυφαλλικῶν καὶ ἰαμβικῆς βάσεως. τὸ ιζ τροχαϊκὸν πενθημιμερές. τὸ ιη ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β. εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ α ποδὸς δακτύλου. τὸ ιθ ὅμοιον τῷ β. τὸ κ ὅμοιον τῷ γ. τὸ κα ἴαμβος τρίμετρος. τὸ κβ ὅμοιον τῷ ιε 7). τὸ κγ ὅμοιον κατὰ πάντα τῷ η. τὸ κδ [ὅμοιον] ἀναπαιστικὸν πενθημιμερές. τὸ κε τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, ὃ καλεῖται Στησιχόρειον, ἔχον τὸ Πινδαρικὸν ἔθος, ἴαμβον δηλονότι τὸν τελευταῖον πόδα. τὸ κς ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ α ποδὸς χορείου. τὸ κζ ὅμοιον καθαρὸν, ἰαμβικόν. τὸ κη ὅμοιον τῷ κδ. τὸ κθ 8) δακτυλικὸν τετράμετρον· κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς εἴρηται. τὸ λ ὅμοιον. τὸ λα ἀναπαιστικὴ βάσις. εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον. 9) τὸ λβ ὅμοιον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. τὸ λγ ἀναπαιστικὴ βάσις. τὸ λα, εἰ καὶ ἀναπαιστικὴ βάσις ἐγράφη, ἀλλ᾽ οὐκ ἔστιν· ἔστι γὰρ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ὡςαύτως καὶ τὸ λγ δακτυλικὸν τρίμετρον. τὸ λδ ὅμοιον, δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς ἔχοντος συνίζησιν τῶν δύο βραχέων εἰς βραχὺ, ἵνα ἀνάπαιστος γένηται. τὸ λε ὅμοιον καθαρόν. τὸ λς ὅμοιον τῷ γ Εὐριπίδειον. τὸ λζ ὅμοιον κατὰ πάντα τῷ ιε, οἵου βούλει μέτρου. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

V. 970 — 1004. *ΜΟΛΟΙΜΙ.* ἀπέλθοιμι εἰς πέτραν τὴν τεταμένην ἐν αἰωρήμασι, ἤτοι τὴν αἰωρουμένην καὶ κρεμαμένην, μέσον τοῦ οὐρανοῦ καὶ τῆς χθονὸς, λέγω τὴν βῶ-

7) τῷ ιε. Sic King. Vulgo τῷ ε.

8) τῷ κδ. τὸ κθ. Sic King. Vulgo τῷ κθ. δακτυλ.

9) King. em. ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον.

λον τὴν ἁλύσεσι χρυσείαις, ἤτοι δι᾽ 10) ἁλύσεων χρυσῶν, φερομένην ἐν συστροφαῖς ἐκ τοῦ οὐρανοῦ, ὅπως θρηνητικῶς διηγήσομαι τῷ γέροντι τῷ Ταντάλῳ, ὃς ἔτεκε τοὺς ἀρχηγοὺς τῶν δόμων ἐμοῦ, ἤτοι τὸν Πέλοπα καὶ τοὺς ἐξ αὐτοῦ, οἳ κατεῖδον συμφορὰς, ὅτε κατὰ τὸν ταχύτατον δρόμον τῶν ἵππων, τὸν γινόμενον τῇ διὰ τεσσάρων ἵππων κινήσει, ὁ Πέλοψ ἀπὸ τοῦ δίφρου ἐποίησε τὸν φόνον τοῦ Μυρτίλου, κατὰ τοῦ πελάγους ῥίψας, τὸν Μυρτίλον δηλονότι, ἁρματεύσας ἤγουν δραμὼν πρὸς τοῖς αἰγιαλοῖς τῶν θαλασσίων σάλων τοῦ Γεραιστοῦ, τοῖς λευκοῖς διὰ τῶν κυμάτων. ἀφ᾽ ἧς αἰτίας ἦλθε τοῖς ἐμοῖς δόμοις ἀρὰ πολλῶν στεναγμῶν αἰτία, ὁπότε ἐγένετο ἐν τοῖς ποιμνίοις Ἀτρέως τοῦ ἱπποτρόφου τὸ τέρας τὸ ὀλέθριον τοῦ υἱοῦ τῆς Μαίας ἤγουν Ἑρμοῦ, ἤγουν ὃ ἐποίησεν ὁ Ἑρμῆς, λέγω τὸ λόχευμα τὸ χρυσόμαλλον τοῦ ἀρνὸς, ἀντὶ τοῦ ὁ τόκος τοῦ ἀρνὸς τοῦ χρυσομάλλου. 1) ὅθεν καὶ ἀφ᾽ ἧς αἰτίας ἡ ἔρις καὶ τὸ ταχινὸν ἅρμα τοῦ ἡλίου μετεποίησε, προςαρμόσασα, ἀντὶ τοῦ μεθαρμόσασα καὶ μεταλλάξασα, τὴν ὁδὸν, ἤγουν τὴν πορείαν, τοῦ οὐρανοῦ, τὴν πρὸς ἑσπέραν, ἤγουν τὴν πρὸς τὸ ἑσπέριον μέρος, εἰς μονόπωλον ἠῶ, ἤτοι εἰς ἡμέραν ἑνὸς δρόμου ἵππων, τουτέστιν εἰς ἡμέραν μίαν, καὶ τὸν δρόμον τῆς ἑπταπόρου Πλειάδος, ἤτοι τῆς ἑπτὰ πορείας ποιούσης (ἑπτὰ γὰρ ἀστέρες ἐστὶν ἡ Πλειὰς καὶ ὁ εἷς ἀμυδρὸς) μεταβάλλει, ἀντὶ τοῦ μετέβαλεν, ὁ Ζεὺς εἰς ὁδὸν ἄλλην, ἤγουν ἐκ δύσεως πρὸς ἀνατολήν. καὶ ἀπὸ τῶνδε, ἤτοι μετὰ ταῦτα, ἀμείβει, ἀντὶ τοῦ διαδόχους ἐπήγαγεν, ὁ Ζεὺς δηλονότι, θανάτους θανάτων, καὶ τὰ ἐπώνυμα δεῖπνα τοῦ Θυέστου, ἐπήγαγε δηλονότι, (οὐ γὰρ ἁρμόζει ἐνταῦθα τὸ κατὰ δια-

10) δι᾽, quod King. addidit, est in Gu.

1) Junt. Bas. τοῦ υἱοῦ τῆς Μαίας Ἑρμοῦ, λέγω τὸ λόχευμα, καὶ ὁ τόκος (v. schol. Gu. v. 988.) τὸ χρυσόμαλλον ἀρνόν. ὅθεν. Quod dedi est in Gu. quamvis nec ipsum vitii expers. Barn. jam emendaverat τὸ χρυσόμαλλον τῆς ἀρνός. Ex eodem cod. dedi supra τὸν γινόμενον pro τεινόμενον — διὰ τεσσάρων ἵππ. pro διὰ τῶν ἵππων — κατὰ τοῦ πελάγους pro κατὰ τὸ πέλαγος. Pergit codex: δικὼν αὐτὸν εἰς τὸ κῦμα τοῦ πόντου, ἁρματεύσας ἤγουν δραμὼν πρὸς ταῖς ἠϊόσι τῶν ποντίων σάλων ταῖς τοῦ Γεραιστοῦ ταῖς λευκοκύμοσιν, unde ἁρμ. ἤγουν δρ. recepi.

δοχὴν ἐπήγαγε,) [2]) καὶ τὰ λέκτρα τῆς Ἀερόπης τῆς Κρήσσης τῆς δολίας ἐν δολίοις γάμοις. τὰ πανύστατα δὲ, κακὰ δηλονότι, ἦλθεν εἰς ἐμὲ καὶ εἰς τὸν ἐμὸν πατέρα σὺν πολυπόνοις ἀνάγκαις τῶν δωμάτων.

V. 970—991. *ΜΟΛΟΙΜΙ ΤΑΝ ΟΥΡ.* μόλοιμι καὶ ἀνέλθοιμι εἰς τὴν πέτραν τὴν μέσον τοῦ οὐρανοῦ καὶ τῆς χθονὸς τεταμένην ἐν αἰωρήμασι καὶ ἐν κρεμάσμασιν ἐν ἁλύσεσι χρυσέαισι φερομένην καὶ κινουμένην ἐν δίναισι καὶ συστροφαῖς, βῶλον καὶ λίθον ἐξ Ὀλύμπου, ἵνα ἀνὰ τῷ γέροντι πατρὶ Ταντάλῳ βοήσω ἐν θρήνοις ἤτοι κλαήσω, ὃς ἔτεκε τοὺς γεννήτορος ἐμέθεν καὶ ἐμοῦ, ἤτοι τὸν Πέλοπα καὶ τοὺς ἐξ αὐτοῦ, οἵτινες τὸ δίωγμα καὶ τῶν δρόμων (leg. τὸν δρόμον) τῶν πώλων καὶ τῶν ἵππων τοῦ Οἰνομάου ἢ τοῦ Πέλοπος τὸ πτηνὸν καὶ τὸ ταχὺ ἐν τεθριπποβάμονι στόλῳ καὶ πορείᾳ κατεῖδον καὶ ἐθεάσαντο ἄτας καὶ συμφορὰς τῶν οἰκείων δόμων, ἤγουν ὅτε ἡ πρὸς Οἰνόμαον διφρεία Πέλοπος μεγάλων συμφορῶν γεγένηται, ὅτε ὁ Πέλοψ ἐν τοῖς πελάγεσι διεδίφρευσε καὶ ἐκ δίφρου ἔῤῥιψε τὸν φόνον τοῦ Μυρτίλου δικὼν καὶ ῥίψας εἰς τὸ οἶδμα καὶ τὸ κῦμα τοῦ πόντου πρὸς ταῖς Γεραιστίαις πέτραις ταῖς λευκοκύμοσι καὶ ταῖς διὰ τῶν κυμάτων λευκαῖς γινομέναις, ἁρματεύσας καὶ ἐκ τοῦ ἅρματος ῥίψας ἐν ταῖς ἠϊόσι καὶ αἰγιαλοῖς τῶν ποντίων σάλων. ὅθεν ἤγουν ἀπὸ τῆς ῥίψεως ταύτης τὸ λόχευμα καὶ τὸ γέννημα τοῦ τόκου καὶ τοῦ υἱοῦ τῆς Μαιάδος, ἤτοι ὁ Μυρτίλος ὁ Ἑρμοῦ παῖς, ἦλθεν ἀρὰ πολύστονος τοῖς ἐμοῖς δόμοις, ὁπότε τὸ χρυσόμαλλον ὀλοὸν καὶ ὀλέθριον τέρας τῆς ἀρνὸς ἐγένετο ἐν τοῖς ποιμνίοις τοῦ Ἀτρέως τοῦ ἱπποβότα, τουτέστιν ὁπότε ἡ χρυσόμαλλος ὕϊς ἐδόθη τῷ Ἀτρεῖ τέρας, ὡς ἄξιός ἐστι τῆς ἀρχῆς ἐγκρατὴς γεγενῆσθαι. Gu.

V. 970—976. *ΜΟΛΟΙΜΙ.* τὸ ἑξῆς· μόλοιμι πρὸς τὴν πέτραν καὶ τὴν βῶλον, τὴν τεταμένην ἐξ Ὀλύμπου χθονὸς μέσον καὶ [3]) οὐρανοῦ ἁλύσεσι χρυσαῖς, καὶ φερομένην δίναισι καὶ αἰωρήμασιν. ὁ δὲ λόγος, εἴθε παραγενοίμην εἰς τὴν μεταξὺ γῆς καὶ οὐρανοῦ τεταμένην πέτραν, ἥτις αἰωρεῖται καὶ φέρεται μυρίαις στρεφομένη χρυσαῖς ἁλύσεσιν ἐξ οὐρανοῦ, ἵνα πρὸς τὸν Τάνταλον ἐλθοῦσα, ἀπωδυράμην [4]) τὰ συμβάντα. Ἀναξαγόρου μαθητὴς γενόμενος ὁ Εὐριπίδης μύδρον λέγει τὸν ἥλιον. οὕτω γὰρ δοξάζει. μύδρον δὲ καλοῦσι τὸν πεπυρακτωμένον σίδηρον. πέτρον δὲ καὶ βῶλον κατὰ ταυτὸ εἴρηκεν. ἀλλ' ἡ μὲν ἱστορία λέγει, τὸν Τάνταλον ἀνατεταμέναις χερσὶ φέρειν τὸν οὐρανόν· νῦν δὲ ὁ Εὐριπίδης ἰδίως τὸν ἥλιον ἐπηρτῆσθαι λέγει αὐτῷ, διάπυρον ὄντα μύδρον, ὑφ' οὗ καὶ δειματοῦσθαι αὐτὸν ἀεὶ, Ἀναξαγόρᾳ πειθόμενος μύδρον αὐτὸν εἶναι λέγοντι. τινὲς δὲ κυρίως ἀκούουσι βῶλον χρυσῆν ἐπῃωρῆσθαι τῇ κεφαλῇ τοῦ Ταντάλου. ὑφιστᾷ δὲ ὁ Εὐριπίδης τὴν Ἠλέκτραν εὐχομένην, ὅπως τῷ Ταντάλῳ ἀποδύρηται τὰ συμβάντα τοῖς ἀπογόνοις αὐτοῦ. ὅμοιον τοῦτο τὸ ἐν Πειρίθῳ, σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ Ῥόμβῳ πάντων φύσιν ἐμπλέξανθ'. οὐδὲ γὰρ διαφέρει ὑπὸ τῆς φύσεως εἰπὼν πάντα διαπεπλέχθαι, καὶ ὑπὸ ἁλύσεως ἐξηρτῆσθαι τοῦ λίθου. Ἄλλως. διὰ τούτων παραδηλοῦται, ὅτι ὁ Τάνταλος αὐτόθι ἐστὶ μεταξὺ γῆς καὶ οὐρανοῦ, αἴσθησιν ἔχων πάντων τῶν πεπραγμένων. εἰ δ' ἄρα τινὲς διαποροῦσι, πῶς ἐξ ἁλύσεως περιηρτημένος περιΐησιν ὁ ἥλιος, γινωσκέτωσαν ὅτι τὰ φυσικὰ τοῖς μυθικοῖς καταμίγνυσιν ὁ Εὐριπίδης.

V. 970. *ΜΟΛΟΙΜΙ.* εἴθε παραγενοίμην. [5])

V. 972. *ΑΙΩΡΗΜΑΣΙ,* κρεμάθραις καὶ κρεμάσμασι. Gu. βαστάγμασι. Fl. 21.

V. 973. *ΑΛΥΣΕΣΙ ΧΡ.* τὸ ἁλύσεσι χρυσέαις ἑρμηνεία ἐστὶ τοῦ αἰωρήμασι. Gu. *ΦΕΡΟΜΕΝΑΝ,* κινουμένην, ἀγομένην. Gu. βασταζομένην. Fl. 21.

V. 974. *ΔΙΝΑΙΣΙ,* ἐν στροφαῖς. (συστροφαῖς add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τορνευτόν. Fl.

2) οὐ γὰρ — ἐπήγαγε e Gu. addidi. unde etiam paulo ante ἐπήγαγε pro ἐποίησε scripsi. Sic vero codex Gu. cum Flor. 6. 9. 17. 21. 56. 59. 76.: ἅρμα τοῦ ἡλίου μετέβαλε, μεθαρμ. τὴν πορείαν τοῦ οὐρ. τὴν πρὸς τὸ ἑσπέρ. μέρος εἰς ἡμέραν μίαν, καὶ τὸν δρ. τῆς ἑπταπ. Πλ. ὁ Ζεὺς μετέβαλεν εἰς ὁδὸν ἄλλην. καὶ ἀπὸ τῶνδε. In seqq. pro ἐν δολίοις γάμοις habet δολίων γάμων.

3) καὶ addidit King, sed uncis inclusum.

4) Barnes. King. ἀποδυραίμην. Sic rectius interpretatus esset auctor scholii; an ita interpretatus sit, dubito.

5) Vitium ed. Basil. παραγενόμην non emendavit Barn. King. totum omisit.

53. τὸ *βῶλον* καὶ τὸ *πέτραν* οὐκ ἔστιν ἐκ παραλλήλου, ἀλλ᾽, ἐπειδὴ πέτραν εἶπεν, ἡ δὲ πέτρα ἐκ γῆς, αὕτη δὲ ἡ ἐπὶ Ταντάλου κρεμαμένη ἐξ οὐρανοῦ ἦν, διὰ τοῦτο εἴρηκε *βῶλον ἐξ Ὀλύμπου*. Gu.

V. 975. *ΕΝ ΘΡΗΝΟΙΣΙΝ*, τουτέστι μετὰ θρήνου. Fl. 21. θρηνητικῶς διηγήσομαι, μεγάλως βοήσω, ἤτοι κλαύσω. Gu.

V. 978. *ΟΙ ΚΑΤΕΙΔΟΝ ΑΤΑΣ.* οἵτινες, φησὶν, οἱ ἐμοὶ προπάτορες (λέγει δὲ Ἀτρέα καὶ Θυέστην καὶ Ἀγαμέμνονα) αὐτόπται καὶ θεαταὶ γεγόνασι πολλῶν κακῶν, ἐξ οὗ ὁ Πέλοψ κατὰ τὸ αὐτοῦ πτηνὸν, ὅ ἐστι ταχύτατον, ἅρμα [ἔχων, τὰ] [6]) Μυρτίλον ἐξεδίφρευσε, τουτέστιν ἀπὸ τοῦ δίφρου ἔῤῥιψεν εἰς τὴν θάλασσαν. τὴν δὲ ἱστορίαν ταύτην ἤδη προεθέμεθα, ὅτι Πέλοψ ὁ Ταντάλου, συνεργήσαντος τοῦ Μυρτίλου, καὶ τὴν παρὰ θάλασσαν ἐλαύνων, ἀπωθήσατο αὐτὸν κατ᾽ ἐκεῖνον τὸν τόπον τῆς θαλάσσης, ἔνθα Γεραιστός ἐστιν ἀκρωτήριον τῆς Εὐβοίας. ὅθεν τὸ πέλαγος ἐκεῖνο τῆς Εὐβοίας τὴν ἐπωνυμίαν εἴληφεν.

V. 979. *ΤΟ ΠΤΑΝΟΝ.* μὴ λάβῃς εἰς τὸ *πτανὸν* ἔξωθεν τὸ *διὰ*, ἀλλ᾽ ὥςπερ ἔφαμεν ἐν τῇ παραφράσει, οὕτω σύνταξε (sic). ἢ πρὸς τὸ βοήσω, οὕτω· ἀνὰ τῷ γέροντι πατρὶ Ταντάλῳ βοήσω ἐν θρήνοις, ἤτοι μετὰ θρήνων διηγήσομαι τὸ πτανὸν δίωγμα, καὶ τὰ ἑξῆς, ἵν᾽ ᾖ τὸ *ὃς ἔτεκε* μέχρι τοῦ *ἄτας* διὰ μέσου. Gu.

V. 981. *ΠΕΛΟΨ ΟΤΕ.* προτακτέον τοῦ λόγου τὸ ὁπότε, τουτέστι· καὶ κατεῖδον οἱ ἐμοὶ προπάτορες ἄτας ἐν δόμοις, ἐξ οὗ Πέλοψ ἐξεδίφρευσεν εἰς θάλασσαν τὸν Μυρτίλον. (ἔνθεν καὶ Μυρτῷον ἀπὸ Μυρτίλου τὸ πρὸς Εὔβοιαν κέκληται.) μηνίσαντος γὰρ Ἑρμοῦ τὸν τούτου πατέρα ὑποβαλεῖν τοῖς ποιμνίοις χρυσόμαλλον ἄρνα, ἣ πολλῶν αἰτία κακῶν αὐτοῖς γέγονε. τὰ δὲ λοιπὰ τῆς ἱστορίας ἑξῆς ἐπάγει. ἀνεῖλε δὲ τὸν Μυρτίλον προςδοκήσας καὶ αὐτὸς ὁμοίως ὑπ᾽ αὐτοῦ προδοθήσεσθαι, ἵνα μὴ ἐξείποι, ὅτι αὐτὸς ἐνίκησε, καὶ οὐ Πέλοψ. οἱ δὲ, ὅτι μετὰ τὴν νίκην ὡς φίλον

6) ἔχων τά. Quid his verbis faciam, non habeo. Barn. King. τὰ Μυρτίλου. Gu. verbis τὸ πτ. μὲν δίωγμ. π. suprascriptum habet κατὰ τὸν ταχύτατον δρόμον τῶν ἵππων.

συλλαβόμενος τὸν Μυρτίλον, ἐξεδίφρευσε, ζηλοτυπήσας εἰς Ἱπποδάμειαν. *ΠΕΛΟΨ ΟΤΕ.* Οἰνόμαος προέθηκε τῆς Ἱπποδαμείας, τῆς αὐτοῦ θυγατρὸς, γάμον τῷ κατὰ τὴν ἱππικὴν αὐτῷ (leg. αὐτὸν) νικῆσαι δυνησομένῳ. ἰδοῦσα δὲ τὸν Πέλοπα ἡ Ἱπποδάμεια ἠγάπησε, καὶ μελλόντων ἀγωνίζεσθαι Πέλοπος καὶ Οἰνομάου, ὁ Μυρτίλος, ὃς ἦν ἡνίοχος τοῦ Οἰνομάου, ἐξ ὑποθήκης Ἱπποδαμείας ἐξέβαλεν ἀπὸ τῶν τροχῶν τοῦ τεθρίππου τοὺς σιδηρέους δεσμοὺς, καὶ οὕτως ἡττήθη ὁ Οἰνόμαος. εἶτα συναπῆρε μετὰ τοῦ Πέλοπος ἡ Ἱπποδάμεια, καὶ ὁ Μυρτίλος οὗτος διαβληθεὶς παρὰ τῆς Ἱπποδαμείας, ὡς ἐρῶν αὐτῆς, ἢ δεδιότος τοῦ Πέλοπος, μὴ καὶ αὐτὸν τὰ ὅμοια δράσῃ τῷ πενθερῷ, ἢ μὴ ἐξείπῃ, ὡς αὐτὸς αὐτῷ αἴτιος τῆς νίκης ἐγένετο, συνελαύνων Πέλοπι παρὰ αἰγιαλοῖς ἐῤῥίφη ὑπ᾽ αὐτοῦ πρὸς τὴν θάλασσαν πλησίον Γεραιστοῦ, ἀκρωτηρίου Εὐβοίας, καὶ ἀποπνιγόμενος ηὔξατο Ἑρμῇ τῷ αὐτοῦ πατρὶ ἔριν ἐμβαλεῖν τῷ γένει Πέλοπος· ἥτις ἐγένετο ὕστερον Ἀτρεῖ καὶ Θυέστῃ περὶ τῆς ἀρχῆς. ἡ δὲ ἱστορία πᾶσα δεδήλωται πρόσθεν ἐν τῷ Χορῷ τῷ *ὁ μέγας ὄλβος*. Gu. *ΔΙΕΔΙΦΡΕΥΣΕ* ἀντὶ τοῦ ἐξεδίφρευσεν, ἐξέῤῥιψε τὸν Μυρτίλον ἐπὶ τὸ ἀπολέσθαι. τὸ *ΔΙΕΔΙΦΡΕΥΣΕΝ ΕΝ ΠΕΛΑΓΕΣΙ*, καὶ τὸ *δικὼν εἰς οἶδμα*, καὶ τὸ *ἠόσιν ἁρματεύσας* ταυτὸ σημαίνουσι. διαδιφρεύω δὲ κυρίως τὸ δίφρον ἐλαύνω. Gu.

V. 983. *ΔΙΚΩΝ*, ἐμβαλὼν εἰς τὸν πόντον, ὅτε ἐφόνευσεν.

V. 984. *ΛΕΥΚΟΚΥΜΟΣΙ*, τοῖς λευκοῖς κύμασιν, ἐπειδὴ προςρηγνύμενα (προςρηγνυμένης τῆς θαλάσσης Gu.) τῷ ἀκρωτηρίῳ ἀφρώδη γίνεται (γίνονται Gu.). *ΛΕΥΚΟΚΥΜ.* αἷς προςκρουόμενα τὰ κύματα ἀφρὸν ἐμποιεῖ, ὃς ἐξ ἀνάγκης ἐστὶ λευκός. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ταῖς λευκαῖς διὰ τῶν κυμάτων. Gu. m. 2. τὰ κύματα γὰρ προςπεπηγμένα τῷ ἄκρῳ ἀφρίζει. Fl. 10. *ΓΕΡΑΙΣΤΙΑΙΣ.* Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας.

V. 985. *ΑΡΜΑΤΕΥΣΑΣ*, ἐκ τοῦ ἅρματος βαλών. ὅμοιον δὲ τῷ διεδίφρευσε. *ΗΙΟΝΑΣ* δὲ λέγει τὴν ἐπιφάνειαν τοῦ κύματος, ἢ τοὺς αἰγιαλούς. *ΑΡΜΑΤΕΥΣΑΣ*, δραμών. Gu. m. pr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. ἐκ τοῦ (Fl. ἀπὸ) ἅρματος ῥίψας. Gu. m. 2. Fl. 21.

V. 986—991. *ΟΘΕΝ ΔΟΜ.* ὅθεν, τουτέστι διὰ τὸ φονευθῆναι τὸν Μυρτίλον, συμφορὰ κατέλαβε τοὺς οἴκους,

τὴν ἀρχὴν λαβοῦσα, ἐξ οὗ ἐγένετο τέρας ἐν τοῖς ποιμνίοις τοῦ ἱπποτρόφου Ἀτρέως τὸ ὀλέθριον. λέγω δὲ τὸν ἄρνα τὸν χρυσόμαλλον, ἣν (l. ὃν vel τὴν ἄρνα τὴν χρ.) ὁ Μαιάδος τόκος Ἑρμῆς ὑπέβαλεν.

V. 988—991. *ΛΟΧΕΥΜΑ.* ὅτε ἐγένετο ποιμνίοις τέρας ὀλοὸν Ἀτρέως ἱπποβότα, λόχευμα ἀρνὸς χρυσομάλλου Μαιάδος τόκου.

V. 988. *ΛΟΧΕΥΜΑ ΠΟΙΜΝΙΟΙΣΙ.* τὸ ἑξῆς, λόχευμα χρυσόμαλλον ἀρνὸς, περιφραστικῶς ὁ ἀρνός. *ΛΟΧΕΥΜΑ.* ἀκολουθεῖν δοκεῖ τῷ τὴν Ἀλκμαιωνίδα πεποιηκότι εἰς τὰ περὶ τὴν ἄρνα, ὡς καὶ Διονύσιος ὁ κυκλογράφος φησί. Φερεκύδης δὲ οὐ καθ' Ἑρμοῦ μῆνιν φησὶ τὴν ἄρνα ὑποβληθῆναι. ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας τὸν ποιμένα προςαγαγόντα τὸ ποίμνιον τῷ Ἀτρεῖ ἀνταποκαλεῖ. *ΛΟΧΕΥΜΑ*, τόκος. (τὸ γέννημα, ἤγουν ὁ Μυρτίλος.) Gu.

V. 989. *ΤΟ ΧΡΥΣΟΜΑΛΛΟΝ.* Ἑρμοῦ, φησὶ, τὰ ποίμνια, καθότι ἐπιδέδοται τὰ ποίμνια αὐτῷ. Ἑρμοῦ δὲ καὶ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης ἐγένετο Μυρτίλος. οἱ δὲ ἐκ Κλυμένης αὐτὸν καὶ Διὸς φασὶ γεγενῆσθαι. Ἄλλως. Ὁπότε τὸν ἀρνειὸν ὑπέβαλε τοῦτον Ἑρμῆς ὀργιζόμενος Ἀτρεῖ, ἐπειδὴ ὁ πρόγονος αὐτοῦ Πέλοψ τὸν Μυρτίλον υἱὸν αὐτοῦ εἰς τὸ ἐξ αὐτοῦ κληθὲν Μυρτῷον πέλαγος ἔῤῥιψε, συναγωνισάμενον αὐτῷ καὶ ποιήσαντα ἀπὸ κηροῦ τοὺς τροχοὺς, ἤτοι τοὺς σφῆνας τῶν τροχῶν. ὁ δὲ Ἀτρεὺς βουλόμενος δεῖξαι, ὅτι αὐτοῦ ἐστὶν ἡ βασιλεία, ἔφη δεῖξαι, ὅτι χρυσόμαλλος ἀρνειὸς αὐτῷ ἐτέχθη. τούτου δὲ ὑπονοθεύσας τὴν γυναῖκα Θυέστης ἔκλεψε τὸν ἀρνειόν. μὴ δυνηθεὶς οὖν κατὰ τὴν ὑπόσχεσιν δεῖξαι ὁ Ἀτρεὺς ἔμελλεν ἀφαιρεῖσθαι τὴν βασιλείαν, ἐκείνου τὸ ὑπ' αὐτοῦ ὑποσχεθὲν δεικνύντος, εἰ μὴ, ὡς ἂν φιλόσοφος, ἀπέδειξεν αὐτοὺς ἀσεβοῦντας, εἰ Θυέστην βασιλέα ἕλωνται, τεκμήριον δὲ τῆς βασιλείας τὸν ἥλιον καὶ τὰς Πλειάδας ἐκ δύσεως (add. πορευομένας) εὑρίσκοντα. καὶ οὕτως ἐβασίλευσε, καὶ τὸν ἀδελφὸν σφόδρα ἐτιμωρήσατο. τινὲς δὲ φασὶ, τὸν Δία πρὸς χάριν Ἀτρέως ποιῆσαι τὸν ἥλιον καὶ τὰς Πλειάδας ἀνατεῖλαι ἐκ δύσεως, μεταστρέψαντα τὴν τάξιν ἐν μιᾷ ἡμέρᾳ. Καὶ τοῦτο προεκτιθέμεθα οὕτως. Φιλονεικίας οὔσης αὐτοῖς περὶ τῆς βασιλείας, παρελθὼν ὁ Ἀτρεὺς, ἐπηγγέλλετο δεῖξαι πρὸς τὸ βεβαιωθῆναι αὐτοῦ τὴν βασιλείαν χρυσόμαλλον ἐν τοῖς ποιμνίοις αὐτοῦ ἄρνα· ἣν ὁ Θυέστης λάθρα παρὰ τῆς Ἀερό-

πης αἰτήσας ἔλαβεν. ὅθεν Ἀτρεὺς ὡς ἀπατήσας τοὺς Ἕλληνας ἐξεβλήθη τῆς ἀρχῆς, Θυέστης δὲ ἐκράτησεν. ἀλλ' ὕστερον πάλιν ὁ Ἀτρεὺς, φιλονεικίᾳ τῇ πρὸς τοῦτον, προςελθὼν ἐπηγγέλλετο δεῖξαι τὸν ἥλιον ἐκ δυσμῶν εἰς ἀνατολὰς τὴν πορείαν ποιούμενον, καὶ τὴν Πλειάδα ὁμοίως εἰς ἀνατολὴν ὁρῶσαν. τοῦτο οὖν οὐ λέγει, ὅτι μετὰ τὸ φανῆναι τὸν ἄρνα ἡ Ἔρις τοῦ Ἀτρέως πεποίηκεν ἐπιδειχθῆναι Ἕλλησι τὸν ἥλιον τὴν ἐναντίαν πορευόμενον καὶ τὴν Πλειάδα, μηκέτι πρὸς δύσιν, ἀλλὰ πρὸς ἀνατολάς. Πιθανῶς δὲ ὁ Εὐριπίδης τὸν μῦθον προςήρμοσεν· ὁ γὰρ φυσικὸς λόγος τὸν ἥλιον ἀποδείκνυσι τὴν ἐναντίαν πορείαν ἰόντα τῷ οὐρανῷ· φησὶ γὰρ, ὅτι πρότερον ἐκ καρκίνου εἰς διδύμους ἐποιεῖτο τὴν πορείαν, ὥςτε τὸν σωματοειδῆ ἥλιον ἀπεστραφέναι πρὸς τὴν δύσιν τὸ πρόςωπον. νῦν δὲ διὰ τὴν τοῦ Ἀτρέως καὶ Θυέστου ἀδικίαν ἀποστραφέντα πρὸς ἀνατολὴν φέρεσθαι, ἔχοντα φαινόμενον ἡμῖν τὸν νῶτον. διόπερ τὴν μὲν δύσιν αὐτῷ γενέσθαι ἀνατολὴν, τὴν δὲ ἀνατολὴν δύσιν. πιθανῶς δὲ τὸ κατὰ τὰς Πλειάδας εἴληπται· τὰ μὲν γὰρ ἄλλα ζώδια πρώτην φαίνει τὴν κεφαλὴν κατὰ ἀνατολὰς, ὁ δὲ ταῦρος τὸ στῆθος προφαίνει, καθ' ὃ εἰσιν αἱ Πλειάδες, ὥςτε ἀνεστραμμένην καὶ ταύτην τὴν ἀνατολὴν γίνεσθαι. Ἔρις δὲ ἀντὶ τοῦ διὰ τὴν ἔριν Ἀτρέως τὴν πρὸς Θυέστην. *ΤΟ ΧΡΥΣΟΜΑΛΛΟΝ.* δέον χρυσομάλλου εἰπεῖν πρὸς τὸ ἀρνὸς, χρυσόμαλλον εἶπε πρὸς τὸ τέρας. Gu.

V. 991. *ΙΠΠΟΒΟΤΑ.* ἵππους τρέφοντος, καὶ ἵπποις ἐπιβαίνοντος.

V. 992—1004. *ΟΘΕΝ ΕΡΙΣ.* ὅ θ ε ν, ἤγουν ἀπὸ τῆς ἀρνὸς ἔ ρ ι ς καὶ φιλονεικία ὑπῆρξεν Ἀτρεῖ καὶ Θυέστῃ. τότε ἐ ς μ ο ν ό π ω λ ο ν ἀ ῶ, ἤγουν ἐς μίαν ἡμέραν μετέβαλεν ὁ Ζεὺς τὴν πρὸς ἕσπερον κέλευθον τοῦ οὐρανοῦ, προςαρμόσας τὸ π τ ε ρ ω τ ὸ ν καὶ ταχὺ ἅρμα τοῦ ἡλίου εἰς ὁδὸν ἄλλην, τουτέστι τὸν ἥλιον καὶ τὰς ἑπτὰ Πλειάδας, ἐξ ἀνατολῶν ἐς δύσιν ἀνατέλλοντας, ἐκ δύσεως εἰς ἀνατολὴν ἀνατεταλκέναι πεποίηκε, δεικνὺς τὴν τῶν γινομένων παρανομίαν τῇ τούτων μετατροπῇ. καὶ ἐκ τῶνδε ἀ μ ε ί β ε ι καὶ ἐκ διαδοχῆς ἐπιφέρει καὶ τὰ ἐπώνυμα δεῖπνα τοῦ Θυέστου καὶ τὰ λέκτρα τῆς Κρήσσης Ἀερόπης τῆς δολίας ἐν δολίοις γάμοις, ἀμείβει θανάτους θανάτων, τουτέστιν ἀπὸ τούτων τῶν πραγμάτων καὶ ἀπ' ἐκείνου τοῦ καιροῦ συμφοραὶ καὶ θάνατοι οὐ λείπουσιν· ὧν αἴτια τό τε φαγεῖν τὸν Θυέστην τοὺς αὐ-

τοῦ παῖδας παρὰ Ἀτρέως σφαγέντας καὶ προτεθέντας εἰς δεῖπνον, καὶ τὴν τοῦ Ἀτρέως γυναῖκα Ἀερόπην τῷ Θυέστῃ μοιχεύεσθαι. εἰ μὴ γὰρ ἐκεῖνα συνέβη, οὐδὲ ταῦτ᾽ ἐγεγόνει. τὰ πανύστατα δὲ τῶν οἴκων ἦλθεν εἰς ἐμὲ καὶ εἰς τὸν ἐμὸν πατέρα σὺν πολυπόνοις ἀνάγκαις, τουτέστι τὰ ὕστερον δυςτυχήματα ὁ ἐμὸς πατὴρ καὶ ἐγὼ δεδυςτυχήκαμεν. Gu.

V. 994. *ΜΕΘΑΡΜΟΣΑΣΑ*, μεταστρέψασα. *ΠΡΟΣΑΡΜΟΣΑΣ'*, ἐναλλάξας, μεταβιβάσας. Gu.

V. 995. *ΜΟΝΟΠΩΛΟΝ ΕΣ ΑΩ.* Εὐριπίδης μὲν ἐν ἵπποις ἐποχεῖσθαι φησὶ τὴν Ἡμέραν, καὶ τοῦτο δὲ εἶναι τὸν Πήγασον, ἄλλοι δὲ ἐπὶ δίφρου. ἠὼς δέ ἐστιν ἡ πρὸ τῆς ἀνατολῆς ἡλίου λάμπουσα. ἔνιοι δὲ μονόπωλον οὐχὶ τὴν ἕνα πῶλον ἔχουσαν φασὶν, ἀλλ᾽ ἐν μιᾷ ἡμέρᾳ καὶ μόνῃ, ἵν᾽ ᾖ ὁ Ἀτρεὺς τοῦτο ἐσχηκὼς κατὰ χάριν Διὸς, διὰ ἡμέρας μιᾶς τότε τὸν ἥλιον ἐκ δύσεως ἀνατεῖλαι καὶ τὰς Πλειάδας. *ΜΟΝΟΠΩΛΟΝ.* διὰ μιᾶς ἡμέρας. *ΜΟΝΟΠΩΛΟΝ ΕΣ ΑΩ*, εἰς ἡμέραν ἑνὸς δρόμου ἵππων, τουτέστιν εἰς ἡμέραν μίαν. (ἑνὶ πώλῳ τῷ Πηγάσῳ ἐποχουμένην. ἰστέον, ὅτι ὁ Πήγασος πτερωτὸς ἦν κατὰ Λυκόφρονα· Ἠὼς μὲν — κραιπνοῖς ὑπερποτᾶτο Πηγάσου πτεροῖς. (v. 17.) et in marg. ἢ μονόπωλον ἀντὶ τοῦ μίαν ἐκληπτέον, ἵν᾽ ᾖ τὸ μονόπωλον ἀντὶ τοῦ μονόκυκλον. ἢ μονόπωλον λέγει τὴν ἑνὶ πώλῳ ὀχουμένην τῷ Πηγάσῳ. ἐκ δὲ τοῦ εἰπεῖν ἡμέραν μίαν ἐδήλωσεν. ἰστέον δὲ, ὅτι καὶ παρά τισιν ἐποχεῖσθαι δίφρῳ αὐτὴν λέγεται.) Gu.

V. 996. *ΕΠΤΑΠΟΡΟΥ.* ἐξ ἑπτὰ γὰρ ἀστέρων ἡ Πληϊάς. *ΔΡΟΜΗΜΑ*, δρόμον. (τὴν πορείαν.) Gu.

V. 997. *ΜΕΤΑΒΑΛΛΕΙ.* ἀντὶ τοῦ μετέβαλλεν.

V. 998 sqq. *ΤΩΝΔΕ Τ' ΑΜΕΙΒΕΙ.* ἀπὸ δὲ τούτων, ὅ ἐστιν ἑξῆς δὲ τούτων, ἀπὸ τοῦ Ἀτρέως καὶ τοῦ Θυέστου, κατὰ διαδοχὴν θανάτους ἐπαλλήλους ἐπήγαγεν ὁ Μαιάδος τόκος, καὶ τὰ δεῖπνα τῶν τέκνων τοῦ Θυέστου. ἐπώνυμα δὲ εἶπεν αὐτὰ, παρετυμολογῶν τὸν Θυέστην παρὰ τὴν θύσιν τῶν τέκνων αὐτοῦ. Ἄλλως. Ἀμοιβὰς κατὰ διαδοχὴν θανάτων ἐπήγαγε τῷ γένει ὁ Ζεὺς ἀντὶ τοῦ τῆς χάριτος, ἧς παρέσχετο. ἢ μᾶλλον ὁ Ἑρμῆς. [7]) ἢ οὕτως. ἀντὶ τοῦ φόνου τοῦ Μυρτίλου διαδοχαὶ φόνων ἐγένοντο.

7) Flor. 10. ἀπὸ τούτων ἢ ἑξῆς τούτων κατὰ διαδοχὴν θανάτους ἐπαλλήλους ἐπήγαγε τῷ γένει ὁ Ζεὺς χάριν Ἑρμοῦ. Forsan τοῦ ante τῆς χάριτος delendum, ut sit ἀντὶ τῆς χάριτος, ἧς παρέσχετο (Ζεὺς) ἢ μᾶλλον ὁ Ἑρμῆς.

V. 1000. *ΛΕΚΤΡΑ ΤΕ ΚΡΗΣΣΑΣ.* ἀνέστρεψε τὴν τάξιν τῆς ἱστορίας.

V. 1002—1004. *ΤΑ ΠΑΝΥΣΤΑΤΑ*, τὰ ἔσχατα δὲ κακὰ εἰς ἐμὲ καὶ τὸν ἐμὸν πατέρα ἦλθεν ἐν ταῖς πολυπόνοις ἀνάγκαις τῶν δόμων. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1002. *ΤΑ ΠΑΝΥΣΤΑΤΑ.* λείπει κακά. *ΤΑ ΠΑΝΥΣΤ.* ὕστερα δυςτυχήματα, ἔσχατα κακά. Gu.

V. 1004. *ΠΟΛΥΠΟΝΟΙΣ.* λείπει ἡ σύν, σὺν πολυστόνοις [8]) ἀνάγκαις. *ΠΟΛΥΠΟΝΟΙΣ*, καὶ πολλὴν λύπην ἐχούσαις. Fl. 59. *ΑΝΑΓΚΑΙΣ*, καὶ βίαις καὶ εὐναστείαις (sic) τῶν κακῶν. Fl. 59.

V. 1005—1010. *ΚΑΙ ΜΗΝ ΟΔΕ ΣΟΣ ΣΥΓΓΟΝΟΣ ΕΡΠΕΙ.* Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιστικῶν ἕξ. ὧν τὸ δ μονόμετρον, τὰ δὲ λοιπὰ δ δίμετρα ἀκατάληκτα, τὸ δὲ ς καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1005—1010. *ΚΑΙ ΜΗΝ.* Καὶ μὴν ὁ σὸς ἀδελφὸς οὗτος ἔρχεται κατακριθεὶς τῇ ψήφῳ τοῦ θανάτου, τουτέστι καταδικασθεὶς ἀποθανεῖν, ὁ πιστότατός τε πάντων Πυλάδης, ἔρχεται δηλονότι, λέγω ὁ ἰσάδελφος ἀνὴρ, κυβερνῶν τὸ νενοσηκὸς σῶμα τοῦ Ὀρέστου, παράσειρος καὶ συνεζευγμένος ἐν ποδὶ κηδοσύνῳ, ἤτοι ἐν πορείᾳ κηδεμονικῇ.

V. 1005. *ΕΡΠΕΙ*, ἀντὶ τοῦ ἔρχεται. (μετά τινος κακοπαθείας βαδίζει.) Gu.

V. 1006. *ΚΑΤΑΚΥΡΩΘΕΙΣ.* κατακριθείς. [9])

V. 1009. *ΙΘΥΝΩΝ.* κυβερνῶν τὸ νοσερὸν σῶμα τοῦ Ὀρέστου πορείᾳ κηδεμονικῇ, ἤγουν κατὰ πορείαν κηδεμονικὴν παρασυνεζευγμένος.[10]) *ΚΩΛΟΝ*, τὸν πόδα, ἀπὸ μέ-

8) Sic Junt. Bas. rell.

9) Hoc scholion omisit King.

10) παρασυνεζευγμένος. Sic Gu. in quo hae glossae sunt a m. pr.

ρους τὸ πᾶν, ἤγουν τὸ σῶμα. Gu. Fl. 6. τὰ τῶν ποδῶν ἄρθρα. Fl. 33.

V. 1010. *ΠΟΔΙ ΚΗΔΟΣΥΝΩι ΠΑΡΑΣΕΙΡΟΣ.* τῇ κηδεμοσύνῃ συνεζευμένος, καὶ τὸ νοσερὸν κῶλον τοῦ Ὀρέστου ἰθύνων. κῶλα δὲ κυρίως λέγει τὰς ἁρμονίας τῶν μελῶν. *ΚΗΔΟΣΥΝΩι*, φροντιστικῷ, συγγενικῷ. Gu. *ΠΑΡΑΣΕΙΡΟΣ*, συνδεδεμένος, μετ' αὐτοῦ πορευόμενος. παράσειρος κυρίως ὁ ὀπίσω τοῦ ἅρματος ἑπόμενος ἵππος. Gu. [1])

V. 1011. *ΟΙ ΕΓΩ.* καὶ αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκη, ὧν τελευταῖος (v. 1238.), ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται. μετὰ δὲ τὸν λδ καὶ τὸν ρλζ τμῆμα κώλου τὸ φεῦ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

V. 1011—1014. *ΟΙ 'ΓΩ.* Φεῦ! ἀθλία εἰμὶ ἐγώ· ὁρῶσα γάρ σε, ὦ ἀδελφέ, πρὸ τοῦ τύμβου, ἤτοι ἔμπροσθεν τοῦ τύμβου, ἢ πρὸ τοῦ τύμβου, ἀντὶ τοῦ πρὸ τοῦ τυχεῖν σε τάφου, καὶ πρότερον τῆς νερτέρου πυρᾶς, ἤτοι τῆς πρὸς τοὺς νερτέρους πεμπούσης πυρκαϊᾶς, ἀναστένω. Οἴ ἐγὼ λίαν πάλιν! λίαν ἐξέπεσον τῶν φρενῶν, ἰδοῦσα τοῖς ὄμμασι σὲ θέαν τελευταίαν. *ΠΡΟ ΤΥΜΒΟΥ*, τουτέστι πρὸ τοῦ τυχεῖν σε τάφου βλέπουσά σε οὕτως ἀθλίως ἔχοντα καὶ μέλλοντα θανεῖσθαι στένω. ἢ τὸ πρὸ τύμβου ἀντὶ τοῦ ἔμπροσθεν καὶ ἐγγὺς τοῦ τύμβου. Gu.

V. 1011. 1012. *ΟΙ ΕΓΩ.* πλησιάζοντα καὶ ἐγγὺς ὄντα τοῦ τάφου καὶ τοῦ θανάτου ὁρῶσα, στενάζω. ἢ οὕτως, πρὶν ἐν τῷ τάφῳ καὶ ἐν τῇ πυρᾷ σε θεάσομαι, θρηνῶ.

V. 1013. *ΟΙ 'ΓΩ ΜΑΛ' ΑΥΘΙΣ.* οἴ μοι καὶ πάλιν τῇ ἀθλίᾳ.

V. 1014. *ΠΑΝΥΣΤΑΤΗΝ ΠΡΟΣΟΨΙΝ.* ἐσχάτην θέαν. (οὐ γὰρ ᾤετο αὐτὸν αὖθις θεάσασθαι add. Gu. m. 2.) λέγεται δὲ ἐνταῦθα ἐπὶ τῆς ἐνεργείας τῆς ὄψεως.

V. 1015—1017. *ΟΥ ΣΙΓ' ΑΦΕΙΣΑ.* οὐ μετὰ σιγῆς καταλείψασα τοὺς γυναικείους λόγους, ὑπομενεῖς τὰ κυρωθέντα; ἐλεεινὰ μὲν ταῦτα, ἀλλ' ὅμως ἀνάγκη ἐστὶν ἡμᾶς ὑπομένειν τὰς παρούσας δυστυχίας.

1) Ultima, παράσ. κυρίως —, dedit etiam King. haud dubie e cod.

V. 1016. *ΤΑ ΚΡΑΝΘΕΝΤΑ*, τὰ κυρωθέντα. (τὰ ψηφισθέντα, τὰ τελειωθέντα.) Gu

V. 1017. *ΤΑΣ ΠΑΡΕΣΤΩΣΑΣ*, τὰς ἐνισταμένας ἡμῖν. Gu.

V. 1018. 1019. *ΚΑΙ ΠΩΣ.* καὶ πῶς σιωπήσω, ἐπεὶ οὐκέτι μέτεστιν ἡμῖν τοῖς ἀθλίοις βλέπειν τόδε τὸ φῶς τοῦ ἡλίου, ἐπεὶ τὸ φῶς τοῦ ἡλίου ὁρᾶν οὐ μέτεστιν ἡμῖν τοῖς ταλαιπώροις.

V. 1020. 1021. *ΣΥ ΜΗ Μ' ΑΠΟΚΤΕΙΝΕ.* αὐτάρκης ὁ ὑπὸ τῆς ἑλληνικῆς χειρὸς θάνατος. *ΣΥ ΜΗ Μ' ΑΠ.* διὰ τῶν λόγων σου. Gu. *ΑΛΙΣ*, ἀρκούντως. Gu. Fl. 6. 9. 17. 56. 59. 76. *ΥΠ' ΑΡΓΕΙΑΣ ΧΕΡΟΣ*, ὑπὸ τῆς τῶν Ἀργείων δυναστείας. Gu. Florr. iidem.

V. 1021. *ΤΑ ΠΑΡΟΝΤΑ*, τὰς παρούσας λύπας. (ἤγουν τὸ κλάειν καὶ θορυβεῖν add. Gu.) Gu. Florr. iidem.

V. 1022. 1023. *Ω ΜΕΛΕΟΣ.* ὦ τλήμων Ὀρέστα ἕνεκα τῆς σῆς ἡλικίας τῆς δυστυχοῦς, καὶ χάριν τοῦ ἀώρου καὶ ἀκαίρου θανάτου.

V. 1022. *ΚΑΙ ΠΟΤΜΟΥ*, καὶ τῆς δυστυχίας. (καὶ τῆς τύχης, ἤγουν τοῦ συμβάματος add. Gu.) Gu. Fl. 6. 9. 17. 56. 59. 76.

V. 1023. *ΑΩΡΟΥ*, τῆς ἔξω τοῦ ἁρμοδίου καιροῦ. Gu. Fl. 6. 9. 17. 25. 56. 59. 76. *ΖΗΝ ΕΧΡΗΝ ΣΕ.* τότε ἐχρῆν σε ζῆν, ὅτε οὐδαμῶς εἶ. ὃ νομίζει ἐξ ἀνάγκης γενήσεσθαι, τοῦτ' ἤδη καὶ μήπω γενόμενον, ὡς ἤδη γεγονὸς ἀποφαίνεται. Ἄλλως. Νῦν σε, φησίν, ἐχρῆν ζῆν, ὅτε οὐκέτι σε ζῆν συγχωροῦσιν οἱ Ἕλληνες.

V. 1024. *ΠΕΡΙΒΑΛΗιΣ*, ἐμβάλῃς. Gu. Fl. 6. περιάψῃς. Fl. 33. *ΑΝΑΝΔΡΙΑΝ*, δειλίαν. Gu. Fl. 6. 9. 17. 33. 56. 59. 76.

V. 1025. *ΕΙΣ ΔΑΚΡΥΑ.* θηλύνουσι γὰρ ταῦτα. Gu. *ΠΟΡΘΜΕΥΟΥΣΑ*, τουτέστι διὰ τὴν ὑπόμνησιν τῶν κακῶν εἰσάγουσά με εἰς δάκρυα. *ΠΟΡΘΜΕΥΟΥΣΑ*, μετακομίζουσα. (φέρουσα, διαβιβάζουσα add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. παράγουσα. Fl. 33.

V. 1026. *ΚΑΚΑ,* τὴν ἀπώλειαν. Gu. Fl. 6. 17. 59. 76.

V. 1027. *ΠΑΣΙΝ ΓΑΡ ΟΙΚΤΡΟΝ.* οὐκ ἐκράτησε τοῦ διανοήματος· θέλει γὰρ εἰπεῖν, ὅτι πᾶς ἀποθνήσκων οἰκτίζεται τὴν αὐτοῦ ψυχήν. (τὴν ἰδίαν ζωήν. Gu.) *ΟΙΚΤΡΟΝ,* ἐλεούμενον πρᾶγμα (ἐλέους ἄξιον add. Gu. m. 2.) ἡ φιλουμένη ζωή. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1028 sq. *ΚΥΡΙΟΝ.* κεκυρωμένον. *ΔΕΙ Δ' Η ΒΡΟΧΟΥΣ.* χρεὼν δ' ἐστὶν ἢ σχοινία καὶ ἀγχόνην (σχ. ἐπ' ἀγχόνῃ Gu. Fl. 6. 17. 59. 76.) ἀνάπτειν καὶ κρεμᾷν μετέωρον, ἢ ξίφος ἀκονᾷν χερὶ, ἤγουν διὰ χειρός. *ΘΗΓΕΙΝ* (supra scriptum est ι a m. 2.) ψαύειν, λαμβάνειν. Gu. θήγειν, ἀκονᾷν διὰ τοῦ η, ψαύειν δὲ διὰ τοῦ ι. Fl. 6.

V. 1030. 1031. *ΣΥ ΝΥΝ Μ' ΑΔΕΛΦΕ.* σύ μου, φησὶν, αὐτόχειρ γενοῦ, ἵνα μή τίς με τῶν Ἀργείων ἀνελὼν ὕβριν ταύτην προστρίψειε καὶ ἐπιτωθάσει [2]) τὸν Ἀγαμέμνονος γόνον· ἢ οὕτως, ἵνα μή τις ἐνυβρίσῃ σε τὸν Ἀγαμέμνονος γόνον. γράφεται καὶ δόμον· οὕτω γὰρ καὶ Καλλίστρατος φησὶν Ἀριστοφάνη γράφειν. Ἄλλως. Μὴ ἐνυβρίσῃς σὺ τὸν Ἀγαμέμνονος γόνον.

V. 1031. *ΥΒΡΙΣΜΑ ΘΕΜ.* ὑβρίσας. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀτιμήσας. Fl. 6. *ΥΒΡΙΣΜΑ,* ἀτιμίαν. Gu. m. 2. *ΘΕΜΕΝΟΣ,* ποιούμενος. Fl. 6. *ΓΟΝΟΝ,* σπέρμα. Gn. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὴν γένναν, ἤγουν ἐμέ. Gu. m. 2.

V. 1032. 1033. *ΑΛΙΣ ΤΟ ΜΗΤΡΟΣ.* ἀρκούντως ἔχει ὁ φόνος τῆς μητρὸς, ὃν ἐφονεύθη δηλονότι ὑπ' ἐμοῦ. ἀλλὰ αὐτοχειρὶ θνῆσκε, ἢ ὅτῳ τρόπῳ βούλει.

V. 1032. *ΑΛΙΣ ΤΟ ΜΗΤΡΟΣ ΑΙΜ' ΕΧΩ.* τὸ ἔχω μετὰ ἐπιῤῥήματος συγκείμενον, εἰ μὲν γενικῇ συντάσσεται, τὸ ἐπίῤῥημα ἔχει τὴν δύναμιν, οἷον οὕτως ἔχω γνώμης, καὶ καλῶς ἔχω τῶν πραγμάτων· εἰ δὲ αἰτιατικῇ, τὸ

2) Barn. King. ἐπιτωθάσειε. Equidem scriptum fuisse suspicor προστρίψῃ καὶ ἐπιτωθάσῃ. Iidem mox ἐνυβρίσῃ με.

ἔχω, οἷον ἅλις τὸ μητρὸς αἷμ' ἔχω, καὶ εἰ μὲν οὕτως εἶχον, ὦ ἄνδρες Ῥόδιοι, τὸ σῶμα. Gu.

V. 1033. *ΑΥΤΟΧΕΙΡΙ.* αὐτοχείρως εἰπεῖν ἔμελλε, πρὸς δὲ τὸ τρόπῳ ἐξήνεγκεν, ὥςπερ εἶπε καὶ τὸ κρεμαστούς (v. 1029.)· κρεμαστῶς γὰρ κἀκεῖ ὤφειλεν εἰπεῖν. Gu.

V. 1034. *ΕΣΤΑΙ ΤΑΔΕ.* γενήσεται ταῦτα. οὐκ ἐπὶ πολὺν χρόνον τῆς σῆς σφαγῆς ἀπολειφθήσομαι. Ἄλλως. Οὐκ ἀπολειφθήσομαι τοῦ σοῦ θανάτου, ὡς μετὰ σὲ τεθνηκέναι, ἀλλ' ἅμα σοὶ τοῦ παρόντος οἰχήσομαι χρόνου. (βίου Gu.) *ΟΥΔΕΝ ΣΟΥ ΞΙΦΟΥΣ ΔΕΛ.* οὐδαμῶς τοῦ σοῦ ξίφους δεήσομαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. οὐκ ἀποστήσομαι τοῦ σοῦ ξίφους, ἀλλ' αὐτόθεν ἐμαυτὴν κἀγὼ διαχειρίσομαι. Fl. 10. 33.

V. 1035. *ΑΜΦΙΘΕΙΝΑΙ,* περιθεῖναι. (περιβαλεῖν add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. περιπλακῆναι. Fl. 33.

V. 1036. *ΤΕΡΠΟΥ,* τέρπου τέρψιν ματαίας ὠφελείας, εἰ τὸ περιβαλεῖν χέρα τοῖς πέλας βεβηκόσι θανάτου ὑπάρχει τέρψεως ποιητικὸν (παρεκτικόν. Gu. Fl. 6. 9. 21. 56. 59. 76.) *ΕΙ ΤΕΡΠΝΟΝ ΤΟΔΕ,* εἰ ὅλως ἔστι τέρψις τοῖς πέλας θανάτου βεβῶσι.

V. 1037. *ΒΕΒΩΣΙΝ,* ἐλθοῦσιν, ἑστῶσιν. Gu.

V. 1038. 59. *Ω ΦΙΛΤΑΤ',* ὦ ὁ ἔχων ὄνομα τῆς σῆς ἀδελφῆς, ἤγουν τὸ τοῦ ἀδελφοῦ, ποθεινὸν, ἐμοὶ δηλονότι, καὶ ἥδιστον, καὶ ψυχὴν μίαν, ἤγουν τὴν αὐτὴν αὐτῇ δηλονότι, τουτέστι τῇ ψυχῇ αὐτῆς. (Flor. addit: ἀδελφῆς δ' ὄνομα ἔχειν ἔφη τὸν Ὀρέστην, ἤγουν αὐτὸ τὸ εἶναι ἀδελφὸν αὐτῆς· ἡ γὰρ τῆς ἀδελφότητος κλῆσις πρὸς ἀλλήλους ἀντιστρέφει.) MS. C.C.C. Gu. Fl. 21.

V. 1039. τὸ *ΤΗΣ ΣΗΣ ΑΔΕΛΦΗΣ* πρὸς τὸ ποθεινόν ἐστιν, οὐ πρὸς τὸ ὄνομα· οὐ γὰρ μόνον ποθεινός εἰμι τούτῳ λέγομεν, ἀλλὰ καὶ ποθεινός εἰμι τούτου, οὕτω· ὦ Ὀρέστα, ὁ ἔχων ὄνομα ποθεινὸν τῆς σῆς ἀδελφῆς, ἤγουν ὁ ποθούμενος ὑπ' αὐτῆς. ἐρεῖ δὲ καὶ προϊὼν ὁμοίαν, ὦ παρθέν' ὄνομα ὁμιλίας ἐμῆς. ἢ τὸ ὄνομα πρὸς τὴν Ἠλέκτραν νοητέον. Gu.

V. 1040—1044. *ΕΚ ΤΟΙ ΜΕ ΤΗΞΕΙΣ.* ἐκτήξεις

με ὑπὸ τῶν σῶν δακρύων· καὶ αὐτὸς περιβαλεῖν σε βούλομαι. διὰ τί γὰρ ἀποτουνῦν αἰδοῦμαι τάλας; ὦ στέρνα ἀδελφῆς, ὦ σὺ ἣν προσφιλῶς προςπτύσσομαι ἐγὼ, τάδε τὰ προσφθέγματα πάρεισι τοῖς ταλαιπώροις ἀντὶ παίδων καὶ λέχους γαμικοῦ. [3]) MS. C.C.C.

V. 1040. *ΕΚ ΤΟΙ ΜΕ ΤΗΞΕΙΣ*, ἐκτήξεις (ἐξ ὧν λέγεις, δαμάσεις καὶ καταβαλεῖς εἰς δειλίαν.) Gu. Fl. 6. *ΑΜΕΙΨΑΣΘΑΙ*, ἀντιδεξιώσασθαι, οἷον καὶ αὐτὸν ἀντιπεριβαλεῖν σε θέλω. Gu. [4])

V. 1041. *ΦΙΛΟΤΗΤΙ Χ.*, ἁφῇ φιλικῇ χειρῶν. Fl. 6. 9. 17. 21. 34. 56. 76. *ΤΙ ΓΑΡ ΕΤ' ΑΙΔ.* οὐ γὰρ ἔστιν αἰδεῖσθαι τοῖς εἰς θάνατον ἐρχομένοις. MS. C. C. C. Gu.

V. 1042. *ΠΡΟΣΠΤΥΓΜΑ*, περίπλεγμα, φίλημα. Gu. φίλημα, περιπλοκή. Fl. 6.

V. 1043. *ΓΑΜΗΛΙΟΥ*, γαμικοῦ.

V. 1044. *ΑΜΦΙ* ἀντὶ τοῦ ἐπί. καὶ χωρὶς δὲ αὐτῆς ὁ λόγος σώζεται. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1045. *ΤΑΥΤΟΝ*, τὸ αὐτὸ, ἤγουν ἕν. Gu. Florr. iidem et 25. *ΕΙ ΘΕΜΙΣ*, εἰ δυνατόν. Gu.

V. 1046. *ΚΕΔΡΟΥ ΤΕΧΝΑΣΜΑΤΑ*, τὰ ἐκ κέδρου κατασκευάσματα· ἐκ γὰρ κεδρίνου ξύλου εἰώθασι τὰς νεκρῶν θήκας κατασκευάζειν. [5]) λέγει δὲ ἡ Ἠλέκτρα, πῶς ἂν ἡμᾶς τὸ αὐτὸ ξίφος φονεύσῃ, καὶ ἀμφοτέρους ἓν μνῆμα δέξαιτο; καὶ τὸ μὲν ἄμφω φονευθῆναι ὑφ' ἑνὸς ξίφους δυνατόν· σφαγέντος γὰρ πρῶτον τοῦ Ὀρέστου, ἔλαβεν ἂν Ἠλέκτρα τὸ ξίφος καὶ ἑαυτὴν διεχρήσατο· τὸ δὲ

3) Ultima τάδε τὰ προσφθ. sunt etiam in Gu. a. m. pr. σὺ ἣν προσφ. ab eadem m. scripta supra vv. φίλον προςπτ. ἐ.

4) ἀντιδεξιώσασθαι est etiam in Fl. 6. In 10. est gl. παραλαβεῖν vitiose pro περιβαλεῖν, quod ipsum est fragmentum ejus, quod in Junt. Basil. ad τί γὰρ αἰδ. adscriptum est: ἤγουν καὶ αὐτὸς περιβαλεῖν σε βούλομαι.

5) Haec sunt in editis praeter τῶν νεκρῶν. In Gu. desunt priora τὰ ἐκ κ. κ. et γάρ post ἐκ. King. e Baroc. enotavit tantum λέγει ἡ Ἠλ. κ. τ. λ. omisso δέ. In Gu. haec omnia cohaerent; ex eodem recepi σφαγέντος — διεχρήσατο, quae in Baroc. desunt.

μετασχεῖν ἑνὸς τάφου, ἄπορον ἦν τοῦτο· ζῶντος γὰρ ἐδεῖτο τὸ ἔργον. ὅτι δὲ τοῦτο οὕτως ἔχει, ἐδήλωσεν Ὀρέστης, πρὸς ἓν μόνον ἀποκρινάμενος τὸ περὶ τοῦ τάφου· ὁρᾷς δὲ δὴ φίλων ὡς ἐσπανίσμεθ', ὥςτε κοινωνεῖν τάφου. Baroc. 74. Gu.

V. 1047 sq. *ΗΔΙΣΤ' ΑΝ.* εὐφραντικώτατα εἴη ἂν ταῦτα, εἰ οὕτω γένοιτο. ὁρᾷς δὲ δὴ νῦν, ὅτι ἐστερήμεθα φίλων, ὥςτε κοινωνεῖν ἡμᾶς, ἀλλήλοις δηλονότι, τοῦ τάφου.

V. 1048. *ΕΣΠΑΝΙΣΜΕΘ'*, ἐστερήμεθα.

V. 1049. 1050. *ΟΥΔ' ΕΙΦ' ΥΠΕΡ ΣΟΥ*, οὐδὲ ὑπὲρ σοῦ εἶπε, μὴ θανεῖν σε σπουδάζων Μενέλαος ὁ κακότροπος, ὁ τὸν ἐμὸν πατέρα ἐγκαταλιπών; Baroc. 74. [6]) *Ο ΠΡΟΔΟΤΗΣ.* προδότην καλεῖ Ἠλέκτρα Μενέλαον τοῦ πατρὸς αὐτῆς, ὡς αἴτιον Ἀγαμέμνονι τῶν συμβάντων αὐτῷ κακῶν· εἰ μὴ γὰρ δι' ἐκεῖνον εἰς Τροίαν ἀπέπλει, οὐκ ἂν οἴκοι (τὰ add. Baroc.) τοιαῦτα ἐγεγόνει κακὰ, καὶ αὐτὸς ἐπανελθὼν ἀθλίως πεφόνευται. ἢ προδότην λέγει, ὡς προδεδωκότα τὴν ἐξ Ἀγαμέμνονος γενομένην αὐτῷ (χάριν add. Gu.), ἐπειδὴ τοῖς αὐτοῦ παισὶ κινδυνεύουσιν οὐκ ἐβοήθησεν. Baroc. 74. Gu.

V. 1051 — 1054. *ΟΥΔ' ΟΜΜ' ΕΔΕΙΞΕΝ.* ἤγουν οὐδὲ διάθεσιν καὶ γνώμην ἔδειξεν, ὅπερ ἐστὶν ὀλίγον πρὸς τὸ διεγερθῆναι καὶ ἀντιτάξασθαι τοῖς ἐχθροῖς, ἀλλ' ἐπὶ τοῖς σκήπτροις ἔχων τὴν ἐλπίδα, ἤγουν ἐπὶ τῇ βασιλείᾳ, (τοῦ Ἄργους δηλονότι add. Gu.) ἣν ἤλπιζε κατέχειν ἀποθανόντος τοῦ Ὀρέστου, ηὐλαβεῖτο σώζειν τοὺς φίλους. ἀλλ' ἄγε, σκεψώμεθα, ὅπως, ἀντὶ τοῦ πῶς, δράσαντες γενναῖα καὶ ἀξιώτατα τοῦ Ἀγαμέμνονος ἀποθανούμεθα. (ἤγουν ἀποθανούμεθα add. Gu.)

V. 1051. *ΟΥΔ' ΟΜΜ' ΕΔΕΙΞΕΝ*, οὐδὲ ἐν τῇ ἐκκλησίᾳ ἐφάνη. Gu. *ΕΠΙ ΣΚΗΠΤΡΟΙΣ*, ἐπὶ τῇ (ἡμετέρᾳ add. Gu.) βασιλείᾳ.

V. 1052. *ΜΗ ΣΩΖΕΙΝ ΦΙΛΟΥΣ.* τὸ μὴ περιττεύει.

6) In Gu., credo etiam in Baroc., hae glossae sunt supra adscriptae: οὐδὲ εἶπε πρὸς τοὺς Ἀργείους m. 2. (hoc est etiam in Flor. 6.) — σπουδάζων m. pr. (hoc etiam in editis) ὁ κακότροπος m. pr. (hoc etiam in editis) ὁ τὸν ἐμ. π. ἐγκ. m. 1.

ὅτι ηὐλαβεῖτο καὶ παρῃτεῖτο ἀντειπεῖν μὴ σώζειν τοὺς φίλους· οἱ γὰρ γνήσιοι φίλοι καὶ πρὸς τὸ πλῆθος οὐ παραιτοῦνται κινδυνεύειν. ἢ τὸ πλῆθος ηὐλαβεῖτο πρὸς τὸ μὴ σώζειν τοὺς φίλους, ἢ εἰπεῖν εὐλαβεῖτο. τοῦ μὴ καὶ παρόντος καὶ ἀπόντος ὁ λόγος ὁμοίως σώζεται. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1055. *ΚΑΓΩ ΜΕΝ ΕΥΓ.* ἤγουν τοῖς πολίταις ἀποδείξω τὴν εὐγένειαν. *ΕΥΓΕΝΕΙΑΝ*, μεγαλοψυχίαν. Fl. 6. τὸ εὐτόλμως ἀποθανεῖν. Fl. 33.

V. 1057. *ΟΜΟΙΑ ΠΡΑΣΣΕΙΝ*, ποιεῖν. (τουτέστιν αὐτόχειρα σφαγῆναι.) Gu. *ΤΟΛΜΗΜΑΣΙΝ*, βουλεύμασιν. Gu. ἔργοις. Fl. 6.

V. 1058. *ΒΡΑΒΕΥΣ*, ἐπιστάτης. κυρίως ὁ ἀγωνοθέτης λέγεται βραβεύς. (οἰκονόμος ἐκ τοῦ διδόναι ἡμῖν ξίφη.) Gu. 7)

V. 1059. *ΚΑΤΘΑΝΟΝΤΩΝ*, ἡμῶν δηλονότι. Gu. Fll. *ΕΥ ΠΕΡΙΣΤΕΙΛΟΝ*, κατὰ κόσμον τάξον (in Gu. fuit τάξιν, sed ι eraso duo puncta supra notata manserunt) καλῶς. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. οἰκονόμησον, κόσμησον. Gu. m. 2. παραγγέλλει ἀποθανόντων περιστεῖλαι καὶ κηδεῦσαι τὸ ἑαυτῶν σῶμα σεμνῶς. Fl. 33. *ΔΕΜΑΣ*, τὰ σώματα. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1060. *ΘΑΨΟΝ ΤΕ.* οὗτος ὁ στίχος ἐν ἀντιγράφοις οὐχ εὑρίσκεται. Gu. m. 2. *ΚΟΙΝΗι*, ὁμοῦ. Fl. 6.

V. 1062. *ΕΠΙΣΧΕΣ*, καρτέρησον. *ΕΠΙΣΧΕΣ.* ἐπίσχες· οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει. 8) Gu. *ΜΟΜΦΗΝ ΕΧΩ*, ἀντὶ τοῦ μέμφομαί σοι, εἰ ζῆν μ' ἐθέλειν, σοῦ ἀποθανόντος, ἤλπισας.

V. 1063. *ΗΛΠΙΣΑΣ*, ὑπέλαβες. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1064. *ΤΙ ΓΑΡ*, τί γὰρ ἁρμόζει ἀποθανεῖν σε μετ' ἐμοῦ;

7) κυρ. ὁ ἀγων. est etiam in editis. οἰκον. ἐπιστ. κυρ. ὁ ἀγων. λέγ. βραβεὺς in Baroc. 74. ἐπιστ. οἰκον. ἐκ τοῦ διδ. ἡ. ξ. in MS. C. C. C. Praeterea διοικητὴς addit Baroc.

8) Versus est Eurip. Phoen. 452.

V. 1065. *ΗΡΟΥ.* ἠρώτησάς με, εἰ προσήκει με ἀποθανεῖν μετὰ σοῦ. κἀγώ σε ἀντερωτήσω· τί δὲ προσήκει με ζῆν τῆς σῆς φιλίας καὶ ἑταιρείας χωρίς;

V. 1066. *ΟΥΚ ΕΚΤΑΝΕΣ*, οὐκ ἐφόνευσας τὴν σὴν μητέρα, καθάπερ ἐγώ.

V. 1067. *ΣΥΝ ΣΟΙ ΓΕ* ἐφόνευσα τὴν μητέρα σου, καὶ τὰ αὐτὰ σοὶ πρέπει πάσχειν με. MS. C. C. C. Gu. Fl. 6. *ΤΑΥΤΑ*, ἃ μέλλεις παθεῖν. Gu. m. 2. Fl. 6. *ΣΥΝ ΣΟΙ ΓΕ.* οὐ πρὸς τὸ ῥηθὲν ἀπεκρίνατο Πυλάδης ὑπὸ Ὀρέστου· θέλει γὰρ λέγειν, ὅτι συνησέβησά σοι. ἰδίως δὲ ταῦτα ὁ Εὐριπίδης, τοῦ Πυλάδου ἔμπροσθεν εἰρηκότος, ὅτι ἐκβέβληται ὑπὸ τοῦ πατρὸς, εἰ μὴ ἄρα αἰνίττεται, ὡς μετὰ θάνατον τοῦ πατρὸς δυνήσεται κατελθεῖν. 9)

V. 1068 sqq. *ΑΠΟΔΟΣ.* σεαυτὸν ἄπαγε πρὸς τὸν πατέρα σου σῶον, σοὶ σαυτὸν σῶζε τῷ πατρί· οὐ γὰρ οὕτως ἔχεις τύχης, ὡς ἐγώ· σοὶ γὰρ ἔξεστιν εἰς τὴν πατρίδα ἐπανελθεῖν.

V. 1071 — 1074. *ΤΗΣ Δ' ΕΣΦΑΛΗΣ.* τῆσδε τῆς Ἠλέκτρας ἀπέτυχες, ἥν σοι ἠγγυησάμην τὴν σὴν φιλίαν τιμῶν. σὺ δὲ ἄλλο γύναιον λαβὼν, τεκνοποίησον· ἐμοὶ γὰρ πρὸς σὲ συγγένεια οὐκέτι γενήσεται.

V. 1071. *ΔΥΣΠΟΤΜΟΥ*, δυστυχοῦς. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΣΦΑΛΗΣ*, ἠστόχησας (ἀπέτυχες add. Gu. m. 2. Fl. 6.) Gu. Florr. iidem et 25.

V. 1072. *ΚΑΤΗΓΓΥΗΣ'*, ἐμνήστευσα. (ὑπεσχόμην add. Gu. m. 2.) Gu. Florr. iidem et 34.

V. 1073. *ΑΛΛΟ ΛΕΚΤΡΟΝ*, ἀντὶ τοῦ ἄλλην γυναῖκα. Gu. Florr. iidem.

V. 1074. *ΚΗΔΟΣ*, ἤγουν ἡ διὰ τοῦ γάμου συγγένεια ἡμῶν. Gu. Florr. iidem. τὸ διὰ τοῦ γάμου· μὴ γαμηθείσης γὰρ αὐτῆς οὐκ ἔμελλε κῆδος εἶναι. Fl. 33.

V. 1075 — 1077. *ΑΛΛ' Ω ΠΟΘΕΙΝΟΝ.* ὦ ποθει-

9) Pro εἰ μὴ ἄρα etc. Flor. 33. in quo idem scholion est: εἰ μὴ ἐκεῖνος (l. ἐκεῖνο) ἐνθυμούμενος λέγει, ὅτι, Στροφίου μεταλλάξαντος, ἔξεστιν αὐτοῦ (leg. αὐτῷ) κατελθεῖν.

νὴ ὁμιλία ἐμὴ, [10]) τουτέστι σὺ, ᾧ ποθεινῶς ὡμίλουν ἐγώ. σύνηθες δὲ τοῦτο, τὸ τιθέναι ἀντὶ τῶν προςώπων τὰ πράγματα, ὧν ἐστιν αἴτια τὰ πρόςωπα, οἷον ὦ ἀνάπαυσις ἐμὴ, καὶ ὦ ἄλγος ἐμὸν, ἀντὶ τοῦ σὺ, ἐφ' ᾧ ἀναπαύομαι ἐγὼ, καὶ σὺ, ὃς ἄλγος ἐμοὶ προξενεῖς. *ΑΛΛ' Ω ΠΟΘ.* ἀλλ' ὦ ποθεινὴ ὁμιλία ἐμὴ, χαῖρε· οὐ γὰρ ἡμῖν ἐστὶ τὸ χαίρειν, σοὶ δὲ ἐστὶ, ζῶντι δηλονότι· οἱ γὰρ μέλλοντες τεθνήξεσθαι εὐφροσυνῶν στερούμεθα. MS. C.C.C.

V. 1075. *Ω ΠΟΘΕΙΝΟΝ ΟΝΟΜ'*, ἤγουν ᾧ ὁμιλεῖν καὶ συνεῖναι ποθῶ, ἤγουν Πυλάδη. Gu. m. 2. *ΟΝΟΜ' ΟΜΙΛΙΑΣ.* ὅτι ὁμιλίας τῆς φιλίας φησί. σημειωτέον δὲ πρὸς τὸ ἐν Φοινίσσαις ὁμιλίας χθονός.

V. 1076. *ΕΣΤΙ ΤΟΥΤΟ*, τὸ χαίρειν.

V. 1077. *ΟΙ ΓΑΡ ΘΑΝΟΝΤΕΣ.* δέον οὕτως εἰπεῖν, οἱ γὰρ θανόντες χαρμάτων τητῶνται, τητώμεθα εἶπεν, ἐπειδὴ καὶ αὐτὸς μετὰ τῶν θανόντων ὅσον οὔπω ἔσεσθαι ἔμελλεν. *ΤΗΤΩΜΕΘΑ.* στερούμεθα.

V. 1078. *Η ΠΟΛΥ.* ὄντως μακρὰν ἀπέχεις τοῦ ἐμοῦ σκοποῦ. *Η ΠΟΛΥ.* ὄντως ἐνδεὴς εἶ τῶν ἐμῶν βουλευμάτων, τουτέστιν ἀγνοεῖς τὰ ἐμὰ βουλεύματα. [1]) (ἀπελείφθης, ἀπέστης, ἤγουν οὐ συνῆκας τὰ ἐμὰ βουλεύματα.) Gu.

V. 1079—1081. *ΜΗΘ' ΑΙΜΑ ΜΟΥ.* ὅ ἐστιν, ἀποθανὼν μὴ ἐνωθείην στοιχείοις, ἐξ ὧν εἰμὶ, ἀλλὰ πλανῴμην εἰκῇ, ὑπ' οὐδενὸς τῶν στοιχείων λαμβανόμενος. Ἄλλως. μήτε τὸ σῶμά μου, φησὶν, ἀποθανόντος ἡ γῆ παραδέξαιτο, μήτε εἰς αἰθέρα ἡ ἐμὴ ψυχὴ χωρήσοι, εἴ σε προδοίην τανῦν, τουτέστι μὴ ἐνωθείην τοῖς στοιχείοις τελευτήσας· οἱ γὰρ ἀποθνήσκοντες κατ' αὐτοὺς εἰς τὰ στοιχεῖα ἀναλύονται, ἐξ ὧν εἰσί. Ἄλλως. εἴθε μὴ προςδέξαιτό με τὰ στοιχεῖα ἀποθανόντα, ὡς βδελυρὸν δηλονότι καὶ ἀποτρόπαιον, εἴ σε ἐγὼ ποτὲ ἐγκαταλιπὼν, ἐλευθερώσας τὸ ἐμὸν, μέρος δηλονότι, ἤγουν ἐμαυτὸν ἄφετον ποιήσας, ἀπολίποιμί σε.

V. 1082—1085. *ΚΑΙ ΞΥΓΚΑΤΕΚΤΑΝΟΝ.* καὶ

10) ἐμή. Sic Gu. Vulgo ἐμοί. Ex eodem cod. recepi τὸ ante τιθέναι, quod King. etiam habet, τῶν ante προςώπων, — αἴτια pro αἰτία, — ἐφ' ᾧ ἀναπ. pro ἐφ' οὗ.

1) Haec e MS. C.C.C. enotavit King.

γὰρ συνεφόνευσά σοι τὴν μητέρα, καὶ οὐκ ἀπαρνήσομαι, καὶ πάντα συνεβούλευσα, ὧν ἕνεκα σὺ δίδως τιμωρίας. πρέπον οὖν ἐμοὶ σὺν σοὶ θανεῖν καὶ τῇδε· ἐμὴν γὰρ αὐτὴν κρίνω γυναῖκα, ἧςτινος τὴν κοίτην ἐπῄνεσα.

V. 1085. *ΕΠΗΙΝΕΣΑ.* συνεπῄνεσα. [2]) (ἀπεδεξάμην, ἠγάπησα.) Baroc. 74. Gu. συγκατέθην. Fl. 6. 33.

V. 1086—1089. *ΤΙ ΓΑΡ ΕΡΩ ΚΑΛΟΝ ΠΟΤΕ.* τί γὰρ ἔχω, φησὶν, ἀπολογήσασθαι εἰς τὴν πατρίδα ἐπανελθὼν, εἰ προδοίην σε δυςτυχοῦντα, τότε φίλος ὢν, ὅτε εὐτύχεις.

V. 1086. *ΤΙ ΓΑΡ ΕΡΩ.* ἤγουν τίνα εὐπρόςωπον ἀπολογίαν δώσω. Gu. m. pr. Fl. 6. 9. 17. 21. 34. 59. 76. ἡ κατασκευὴ τὸ τί γὰρ ἐρῶ πρὸς τὸ ἀπολίποιμί σε. [3]) Gu. m. 2.

V. 1087. *ΓΗΝ ΔΕΛΦΙΔ' ΕΛΘΩΝ.* Ὕαμος ὁ Λυκώρου [4]) μετὰ τὸν κατακλυσμὸν βασιλεύων τῶν περὶ τὸν Παρνασσὸν, Ὕαν πόλιν ἔκτισε. καὶ γήμας Μελάνθειαν τὴν Δευκαλίωνος, ἐποίησε Μελανίδα· ἐκ δὲ Μελανίδος Δελφός. ὃς τὴν ἀρχὴν τοῦ μητροπάτορος παραλαβὼν ἔγημε Κασταλίαν, ἀφ' ἧς ἡ κρήνη τοὔνομα ἔχει. καὶ ἔσχε Κастάλιον καὶ Φημῖνον, ὃν [5]) φασὶ πρῶτον ἑξαμέτρῳ χρῆσαι. πόλιν δὲ κτίσας Δελφὸς Δελφίδα ὠνόμασε. μετὰ δὲ θάνατον αὐτοῦ ἦρξε Καστάλιος, οὗ υἱὸς Λάφριος, οὗ Νούτιος· ἐξ οὗ Δελφοὶ πολεμοῦντες πρὸς τοὺς ὁμόρους ἀναρχίαν εἵλοντο, καὶ τὸν Ἀκρίσιον μετεπέμψαντο ἐξ Ἄργους, ὃς αὐτοῖς τὸν πόλεμον καλῶς διέθετο, καὶ κατὰ ζῆλον τοῦ Ἀμφικτυονικοῦ συνεδρίου, ὃ κατεστήσατο Ἀμφικτύων ὁ Δευκαλίωνος

2) E Baroc. enotatum est συνῄνευσα.

3) Idem scholion dedit King, nulla cod. mentione facta.

4) Ὕαμος ὁ Λυκώρου. Sic Barnes. e Paus. X, 6. p. 811. Junt. Bas. ὕασπος (Fl. 33. ὕασσος) ὁ λυκόρας (sic Fl. 33.). Paulo post Ὑάμπολιν scribendum videtur.

5) Barnes. Φημονόην, ἥν. recte. Fl. 33. Σφημῖνον ὄν. Paulo post in Junt. Basil. ut in Flor. legebatur μετεπέμψαντο ἐξ ἀγροῦ, et ὃ deerat ante κατεστήσατο. Utrumque emendavit Barn. Fl. 33. pro Μελάνθειαν habet Λευκάνθειαν, tum ὁ Σισύφου ἐλθὼν ἐκ τῆς Ἰονίας αὐτ. καὶ πολ. εὑρ. πολίτας.

ἐν Θερμοπύλαις τῆς Θεσσαλίας, ἕτερον ἐν Δελφοῖς κατεστήσατο. καὶ τὸ ἐν Θερμοπύλαις ἀναλαβὼν τὰς συνόδους ἀντὶ μιᾶς δύο πεποίηκε, καὶ νόμους ἔθετο, καθ' οὓς ἔμελλον ἕκαστα διοικεῖν, ἀτέλειάν τε προεῖπεν ἐφ' ἑκατέραις ταῖς συνόδοις, καὶ τὴν πρόνοιαν τοῦ ἱεροῦ καὶ τῶν Δελφῶν τῷ συνεδρίῳ ἐπέτρεψε. μετὰ δέ τινας χρόνους, Ὄρνυτος ὁ Σισύφου ἐλθὼν ἐκ τῆς Ἀονίας αὐτόσε, καὶ πολεμοῦντας εὑρὼν Ὑαμπολίτας πρὸς Ὀπουντίους Λοκροὺς περὶ Δαφνοῦντος, συμμαχήσας τε ἐνίκησεν, καὶ ἦρξεν αὐτῶν. ἐγένοντο δ' αὐτῷ παῖδες Φῶκος καὶ Θόας. ἀλλ' ὁ μὲν Θόας ἅμα τῷ πατρὶ εἰς Κόρινθον ἀπήλασε, Φῶκος δὲ δεξάμενος τὴν ἀρχὴν τοῦ πατρὸς Φωκέας αὐτοὺς ὠνόμασεν. *ΑΚΡΟΠΤΟΛΙΝ*, μητρόπολιν. (ἐν γὰρ τῷ ἄκρῳ τῆς Φωκίδος κεῖται.) Gu.

V. 1090. *ΟΥΚ ΕΣΤΙΝ.* οὐχ οὕτω ποιήσω. *ΑΛΛΑ ΤΑΥΤΑ ΜΕΝ*, ἃ ἐστὶ δηλονότι ὑμῖν διὰ φροντίδος, τουτέστιν ὁ θάνατος, κἀμοὶ διὰ φροντίδος ἐστίν.

V. 1091. *ΕΠΕΙ ΔΕ ΚΑΤΘΑΝΟΥΜΕΘΑ.* ἐπεὶ δὲ ἅπαξ ἐκρίθη ἀποθανεῖν ἡμᾶς, πρὸς ἀλλήλους σκεψώμεθα, ὡς ἂν τῷ Μενελάῳ κακὸν προστριψώμεθα, ἵνα μὴ μόνοι δυστυχῶμεν ἡμεῖς. *ΕΙΣ ΚΟΙΝΟΥΣ ΛΟΓΟΥΣ ΕΛΘ.* ἤγουν δεῦρο κοινῶς βουλευσώμεθα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1093. *Ω ΦΙΛΤΑΤ'*, εἴθε γὰρ τοῦτο ἰδὼν ἀποθάνοιμι. *ΓΑΡ* ἀργόν. ἔστι δὲ διὰ κάλλος λόγου. Gu.

V. 1094. *ΠΙΘΟΥ ΝΥΝ*, πείσθητι δὴ, καὶ τὴν σφαγὴν ἀναβαλοῦ. *ΑΝΑΜΕΙΝΟΝ*, καρτέρησον. (εἰς ἀναμονὴν θές.) Gu. *ΑΝΑΜ. ΦΑΣΓ. ΤΟΜ.* μήπω σφάξῃς σεαυτόν. Gu.

V. 1095. *ΜΕΝΩ*, προςκαρτερήσω, εἰ τὸν ἐχθρὸν κολάσω.

V. 1096. *ΣΙΓΑ ΝΥΝ*, σίγα δὴ, ὅτι γυναιξὶν οὐδὲν θαῤῥῶ. MS. C.C.C. *ΒΡΑΧΥ*, ὀλίγον ἀντὶ τοῦ οὐδέν. (οὐδαμῶς.) Gu. Fl. 6. 9. 17. 21. *ΣΙΓΑ ΝΥΝ.* ὑφορᾶται τὰς τοῦ χοροῦ· ἐνόμιζε γὰρ αὐτὰς ἐχθρὰς εἶναι. τὸ δὲ ὡς ἀντὶ τοῦ γάρ, ἢ ἀντὶ τοῦ ὅτι.

V. 1097. *ΜΗΔΕΝ ΤΡΕΣΗιΣ*, μηδαμῶς φοβηθῇς, ὅτι πάρεισιν ἡμῖν φίλαι. MS. C.C.C. ὡς, ὅτι. (ἀντὶ τοῦ γὰρ τὸ ὡς.) Gu.

V. 1098. *ΛΥΠΗΝ*, διά. Gu. εἰς. Fl. 9. 17. 59. 76. εἰς ἐσομένην. Fl. 6. ὥςτε λυπεῖν αὐτόν. Fl. 10. 21. *ΠΩΣ ΟΥΝ ΕΤΟΙΜΟΝ.* τὸ ἑξῆς· εἰ γὰρ, φησὶ, τοῦτο εὔκολον καὶ ἕτοιμον τὸ φονεῦσαι τὴν Ἑλένην, καλῶς ἂν ἡμῖν ἔσται. ἀλλὰ τὸ ἐπ' ἐμοὶ ἕτοιμόν ἐστι· τὸ γὰρ ἕτοιμον καλόν ἐστι. ὁ δὲ λόγος τοιοῦτος ἐστί· τὸ γὰρ ἑτοίμως καὶ εὐχερῶς τὴν Ἑλένην κατεργάσασθαι, καλόν ἐστιν, εἰ ὅλως δυνατὸν τοῦτο πρᾶξαι. ἕτοιμος γὰρ εἰς τοῦτο εἰμὶ, εἴγε μὴ καταληφθήσομαι. ἀλλὰ τίνι τρόπῳ, φησὶν, ἀνέλωμεν; ἕτοιμος γὰρ εἰμὶ πρὸς τὸ σφάξαι, εἰ ἔστιν εὐμαρὲς τὸ κτεῖναι, τουτέστιν, εἰ μὴ καταληφθήσομαι. *ΤΟ ΓΑΡ*, τὸ ἐξ ἐμοῦ. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΣΤΑΙ*, γενήσεται, ἀποβῇ. Fl. 59. *ΚΑΛΩΣ*, καὶ ὠφελίμως. Fl. 59. εὐκόλως, εὔκολον τοῦτο, εἰ μὴ καταλειφθῶμεν. Fl. 6. εἰ μὴ φωραθῶμεν. Gu.

V. 1101. *ΑΠΟΣΦΡΑΓΙΖΕΤΑΙ.* σφραγίδας ἐπιτίθησιν, ὡς δὴ πάντα κληρονομήσασα τὰ ἐμά. τὰ μὲν, φησὶ, σφραγίζει τῶν ἡμετέρων, τὰ δὲ ἀποσφραγίζει. γράφεται καὶ ἀπασφαλίζεται. 6) *ΑΠΟΣΦΡΑΓΙΖΕΤΑΙ*, διὰ σφραγίδων ἀσφαλίζεται, ὡς ἤδη κληρονομήσουσα (Fl. —σασα) αὐτά. Gu. m. pr. Fl. 6. 9. 17. 34. 56. 59. 76. ἰδιοποιεῖται, (om. Baroc.) σφραγίδας ἐπιτίθησι πᾶσι (τοῖς add. Baroc.) κιβωτίοις καὶ τοῖς ἄλλοις. Baroc. 74. Gu.

V. 1102. *ΑΛΛ' ΟΥΚΕΘ'*, ἀπασφαλισθήσεται δηλονότι. *ΑΛΛ' ΟΥΚΕΘ'*, ἀποσφραγίσεται. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1103. *ΚΑΙ ΠΩΣ*, τίνα τρόπον φονεύσομεν αὐτὴν, ἀπορῶ δηλονότι· ἔχει γὰρ βαρβάρους ἀκολούθους. (δούλους a m. 2. add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΟΠΑΟΝΑΣ*, ἤγουν ἀκολούθους καὶ δούλους.

V. 1104. *ΤΙΝΑΣ*, ἐπὶ εὐτελισμοῦ. Gu. Florr. iidem. *ΤΡΕΣΑΙΜΙ*, δειλιάσαιμι. *ΤΡΕΣΑΙΜΙ*, φοβηθείην. Gu. Florr. iidem.

V. 1105. *ΟΙΟΥΣ ΕΝΟΠΤΡΩΝ*, οἵους εἰκὸς εἶναι

6) King. edidit: — τῶν ἡμετέρων, τὰ δὲ ἀποσφαλίζεται. Scribendum saltem erat ἀπασφαλίζεται. Ab initio Junt. Basil. κληρονομήσας. Corr. Barn.

ἐπιτηδείους [7]) εἰς τὴν τῶν ἐνόπτρων καὶ μύρων ὑπηρεσίαν. *ΟΙΟΥΣ ΕΝΟΠΤΡ.* τοιούτους ἔχει οἵους εἶναι δηλονότι ἐπιστάτας ἤγουν ἐπιτρόπους, τῶν ἐνόπτρων, ἀντὶ τοῦ (τῶν add. Florr.) καὶ τῶν μύρων. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΠΙΣΤΑΤΑΣ*, ἐνόχους, οἰκονόμους, ἐπιτρόπους. Gu.

V. 1106. *ΤΡΥΦΑΣ.* τρυφὰς λέγει, οὓς ἐκ Τροίας εὐνούχους καὶ θεράποντας ἤγαγεν. *ΤΡΥΦΑΣ*, βλακείας. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. σπατάλας. Fl. 33.

V. 1107. *ΩΣΘ' ΕΛΛΑΣ*, ὥςτε ἡ Ἑλλὰς, ὅσον εἰς αὐτὴν, μικρὸν ὑπάρχει κατοικητήριον. *ΣΜΙΚΡΟΝ*, τοσούτους ἧκεν ἐκεῖθεν ἄγουσα. Gu. Fl. 6. πρὸς τὴν ταύτης αὐθάδειαν ὡς βραχὺ ταύτης ἡ Ἑλλάς ἐστι. Fl. 33. οὕτω, φησὶν, ὑπερβαλλόντως ἐτρύφα ἐν τῇ βαρβάρων χώρᾳ, ὡς μηδὲν ἡγεῖσθαι τὴν Ἑλλάδα πρὸς τρυφήν. τρυφηλότερον γὰρ τὸν βίον οἱ βάρβαροι διάγουσι, μείζων τε ἡ Ἀσία τῆς Εὐρώπης. [8])

V. 1108. *ΟΥΔΕΝ ΤΟ ΔΟΥΛΟΝ*, ἀσθενεῖς, φησὶν, οἱ δοῦλοι πρὸς τοὺς ἐλευθέρους μάχεσθαι διὰ τὸ μὴ τολμᾶν.

V. 1109. *ΚΑΙ ΜΗΝ*, ὄντως τόδε πράξας ἐκ δευτέρου θανεῖν οὐχ ὑποχωρῶ. *ΤΟΔΕ*, τὸ φονεῦσαι τὴν Ἑλένην. Gu. *ΟΥ ΧΑΖΟΜΑΙ*, ἢ ὑποχωρῶ, ἢ ἄζομαι ἀντὶ τοῦ εὐλαβοῦμαι. (οὐ φεύγω, ἀφίσταμαι add. Gu. m. 2.) Gu. Baroc. 74.

V. 1110. *ΑΛΛ' ΟΥΔ' ΕΓΩ ΜΗΝ*, ἀλλ' οὐδ' ἐγὼ οὐχ ὑποχωρήσω θανεῖν δὶς, σοί γε βοηθῶν. *ΤΙΜΩΡΟΥΜΕΝΟΙ* ἀντὶ τοῦ τιμωρῶν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1111. *ΤΟ ΠΡΑΓΜΑ*, τὸ περὶ τοῦ φόνου τῆς Ἑλένης πρᾶγμα δήλωσον, καὶ εἰπὲ, ποίῳ τρόπῳ ταύτην μέλλομεν ἀναιρεῖν. *ΤΟ ΠΡΑΓΜΑ*, τὸν τρόπον τοῦ φόνου. (τὴν ἐκείνης σφαγὴν, ὅπως ἔσται add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1112. *ΕΙΣΙΜΕΝ*, εἰςέλθωμεν εἰς τοὺς οἴκους, ὡς

7) Gu. προθύμους sine οἵους εἰκὸς εἶναι.

8) In editis hoc scholion cum schol. ad v. 1103. cohaeret, quasi hoc eodem pertineat. τρυφηλότερον est a Barn. pro τρυφηλότεροι.

ἀποθανούμενοι. *ΕΙΣΙΜΕΝ.* ἀντὶ ὑποτακτικοῦ ὁριστικόν. τὸ θέμα δὲ εἶμι τὸ πορεύομαι διὰ διφθόγγου γραφόμενον. τῶν πληθυντικῶν τὸ ἀόριστον (τὸ α πρόςωπον) ἴμεν διὰ τοῦ ι. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλονται. Fl. 21.

V. 1113. *ΕΧΩ*, νοῶ ὅσον λέγεις, τὰ λοιπὰ δὲ οὐ νοῶ. *ΕΧΩ* ἀντὶ τοῦ νοῶ πᾶν τοῦτο ὃ εἶπας. Gu. Fl. 6. *ΤΑΠΙΛΟΙΠΑ*, τὰ ἐπίλοιπα, ἤγουν τὰ ἔμπροσθεν. (ἤγουν τί μετὰ τὸ εἰςιέναι γενήσεται.) Gu. Fl. 6. οἶδα μέχρι τούτου δι' ἃ πάσχομεν. Fl. 10.

V. 1114. *ΓΟΟΥΣ*, θρήνους πρὸς αὐτὴν ἐπιθήσομεν, δι' ἃ ἡμεῖς πανθάνομεν, ἤγουν ποιήσομεν (Gu. ποιήσωμεν) τὰ ἡμέτερα δυςτυχήματα πρὸς αὐτὴν θρῆνον. *ΓΟΟΥΣ ΘΗΣΟΜΕΘΑ* ἀντὶ τοῦ θρηνήσωμεν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *Α ΠΑΣΧΟΜΕΝ*, διὰ τὰ ἡμέτερα δυςτυχήματα. Fl. 6. διά. Gu.

V. 1115. *ΩΣΤ' ΕΝΔΑΚΡ.* οὕτω, φησὶ, περιπαθῶς δακρύσομεν, ὥςτε αὐτὴν εἰς οἶκτον κινῆσαι, ἐπὶ τῷ ἡμετέρῳ θανάτῳ λάθρα χαίρουσαν. *ΩΣΤ' ΕΝΔΑΚΡ.* (αὐτὴν) ἔξωθεν δηλονότι. Gu. *ΚΕΧΑΡΜΕΝΗΝ*, διὰ τὴν τῆς κληρονομίας ἐλπίδα. Gu. Fl. 6. ἤτοι εἴσω πληροῦ χάραν. (an: πλήρη χαρᾶς?) Fl. 10.

V. 1116. *ΚΑΙ ΝΩιΝ ΠΑΡΕΣΤΑΙ.* καὶ γὰρ ἡμεῖς οἰκτιζόμεθα μὲν, χαίρομεν δὲ ὡς μέλλοντες αὐτὴν φονεύειν. τὸ οὖν τότε ἢ ὅτε εἰςερχόμεθα, ἢ ὅτε φονεύομεν αὐτήν. Ἄλλως. καὶ ἡμῖν τοῖς δυσὶ τοῦτο, φησὶν, ἔσται, τὸ δεῖν μὲν δακρύειν, χαίρειν δὲ τῇ διανοίᾳ. καὶ ἡμῖν γενήσεται, ἅπερ ἐκείνη τότε, ἡνίκα εἰςελθόντες πρὸς αὐτὴν ἱκετεύομεν· ὡς γὰρ ἐκείνη, ἡμῶν ὀδυρομένων, προςποιήσεται μὲν δακρύειν, χαιρήσεται δὲ κατὰ ψυχὴν, οὕτω καὶ ἡμεῖς, αὐτῆς ἱκετευούσης, προςποιησόμεθα λυπεῖσθαι, ἔνδον χαίροντες ἐπὶ τῷ μέλλειν αὐτὴν ἀναιρεῖν. Ἄλλως. καὶ ἡμῖν τότε ταῦτα παρέσται, ἅπερ ἐκείνῃ, ἤγουν τὸ ἔξωθεν δακρύειν, ἔνδοθεν [9]) δὲ χαρὰν ἔχειν τῇ ἐλπίδι τῆς διαχειρίσεως

9) ἔνδοθεν. Sic Gu. in quo haec, quae post Ἄλλως. καὶ ἡμῖν sequuntur, scripta sunt manu prima. Vulgo ἔκποθεν, Barn. ἔκτοθεν. In Junt. et Basil. etiam χαρὰν (Bas. χαρᾶν) ἔχει, quod correxit Barn. E Gu. etiam paulo ante scripsi ἐκείνῃ pro κείνῃ et post διαχειρίσεως pro διαχειρήσεως. Supra erat ἐπὶ τὸ μέλλειν αὐτὴν ἀν.

αὐτῆς. *ΚΑΙ ΝΩιΝ ΠΑΡ.* καὶ ἡμεῖς τὸ μὲν φαινόμενον πρὸς αὐτὴν δακρύσομεν, ὅτε πρὸς αὐτὴν ἐλεεινολογούμεθα, ἔνδον δὲ χαρὰν ἕξομεν διὰ τὸν αὐτῆς θάνατον. Gu. [10])

V. 1117. *ΑΓΩΝΑ*, τοῦ αὐτῆς θανάτου. Gu. Fl. 6. τοῦ φόνου δηλονότι. Fl. 59. *ΑΓΩΝΙΟΥΜΕΘΑ*, δραμούμεθα. Gu.

V. 1118. *ΚΡΥΠΤΑ* ἤγουν κεκρυμμένα. Gu.

V. 1119. *ΠΡΟΣΘΕΝ Δ' ΟΠΑΔΩΝ.* καὶ πῶς, φησὶν, ἀναιρήσομεν αὐτὴν ἔμπροσθεν τῶν δούλων; *ΠΡΟΣΘΕΝ*, ἐνώπιον. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. πρὸ τοῦ θανεῖν ἐκείνην. Gu. m. 2. *ΤΙΣ ΟΛΕΘΡΟΣ.* ὥσπερ τὸ ταχὺς λέγεται ἐνίοτε ἀντὶ τοῦ ταχέως, οὕτως ἐνταῦθα τὸ τίς ἀντὶ τοῦ κατὰ τίνα τρόπον, ἐπιῤῥηματικῶς.

V. 1120. *ΕΚΚΛΗιΣΟΜΕΝ*, ἀπασφαλίσομεν αὐτοὺς ἄλλον εἰς ἄλλην στέγην. *ΕΚΚΛΗιΣΟΜΕΝ*, ἐξαγαγόντες αὐτοὺς τῆς στέγης ἄλλον ἄλλοσε κλείσομεν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1121. *ΚΑΙ ΤΟΝ ΓΕ ΜΗ ΣΙΓ.* καὶ τὸν μὴ σιγῶντα, ἀλλ' ἐμφαίνοντα τὴν βουλὴν, ἀποκτείνειν πρέπει.

V. 1122. *ΕΙΤ' ΑΥΤΟ ΔΗΛΟΙ*, εἶτα αὐτὸ τὸ ἔργον καὶ τὸ πρᾶγμα δηλοῖ, ὅπου χρεὼν καὶ ἀναγκαῖον τείνειν, ἤτοι ἀφορᾷν καὶ πορεύεσθαι. φανεροῖ τὸ ἔργον, ὅπου ἀφορᾷν πρέπον. *ΔΗΛΟΙ*, ἂν, δηλώσει. Gu.

V. 1123. *ΕΛΕΝΗΝ ΦΟΝ.* εἰς τὸ φονεύειν τὴν Ἑλένην· μανθάνω καὶ νοῶ τὸ σύμβολον καὶ τὸ σημεῖον, Ἑλένην ἀποκτείνειν· καταλαμβάνω τὸ συμφώνημα. νῦν, φησὶν, ἔγνων, πῶς δεῖ φονεύειν τὴν Ἑλένην. *ΤΟ ΣΥΜΒΟΛΟΝ*, τὸ σημεῖον, τὸν σκοπὸν, ὃν (ὅπερ Gu.) συμβολικῶς (καὶ συνεσκιασμένως add. Gu.) εἶπας. (Baroc. μὲν λέγεις.) Baroc. 74. Gu.

V. 1124—1141. *ΕΓΝΩΣ;* ἤτοι ἐγνώρισας, ὃ λέγω. ἄκουσον δὲ καὶ, πῶς καλῶς βουλεύομαι. εἰ μὲν γὰρ εἰς γυναῖκα σώφρονα μεθίεμεν καὶ ἐκινοῦμεν τὸ ξίφος, ἦν ἂν ὁ φόνος δυςκλεὴς καὶ ἄδοξος· νῦν δὲ δώσει δίκην, ἡ Ἑλένη δηλονότι, ἀντὶ τοῦ τιμωρηθήσεται, ὑπὲρ πάντων τῶν ἐν τῇ Ἑλλάδι ἀνθρώπων, ὧν τοὺς πατέρας ἀπέκτεινεν,

10) In Flor. 6. sunt tantum verba ὅτε πρὸς αὐτὴν ἐλεεῖν.

καὶ τέκνα καὶ γυναῖκας ἐστερημένας ἀνδρῶν ἐποίησεν. εὐχὴ δὲ ἔσται, πῦρ τε καὶ θυσίας ποιήσουσι τοῖς θεοῖς, σοί τε καὶ ἐμοὶ εὐχόμενοι πολλὰ καὶ ἀγαθὰ, ὥςτε τυχεῖν αὐτῶν δηλονότι, ὅτι ἐποιήσαμεν φόνον κακῆς γυναικὸς, τῆς Ἑλένης δηλονότι. μητροφόντης δὲ οὐκ ὀνομάζῃ ταύτην κτανὼν, ἀλλὰ ἀπολιπὼν τοῦτο τὸ καλεῖσθαι μητροφόντης, πεσῇ ἐπὶ τὸ κρεῖττον, λεγόμενος φονεὺς τῆς πολυκτόνου Ἑλένης, ἤτοι τῆς αἰτίας φόνου πολλοῖς γενομένης. οὐ πρέπει τὸν Μενέλαον μὲν εὐτυχεῖν, τὸν δὲ σὸν πατέρα καὶ ἐμὲ καὶ τὴν ἀδελφὴν θανεῖν τὴν μητέρα τε· — ἐῶ τοῦτο, οὐ γὰρ λέγειν εὐπρεπὲς, — ἔχειν τε τοὺς σοὺς δόμους, λαβόντα τὴν ἑαυτοῦ γυναῖκα, διὰ τὴν ἀνδρείαν τοῦ Ἀγαμέμνονος. εἴθε γὰρ μηκέτι ζῴην, εἰ μὴ κατ' ἐκείνης λήψομαι μέλαν φάσγανον, ἤτοι θανάτου ποιητικόν.

V. 1124. *ΒΟΥΛΕΥΟΜΑΙ*, συμβουλεύομαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1126. *ΜΕΘΕΙΜΕΝ*, ἐνεβάλομεν. *ΜΕΘΕΙΜΕΝ*, μεθίεμεν, ἐκινοῦμεν. (ἐνεβαλλόμεθα.) Gu. ἐμβαλεῖν ἐπεχειροῦμεν. Fl. 6. μεθίημι, τὸ α τῶν πληθυντικῶν μεθίεμεν, καὶ κατὰ μετάθεσιν τῶν γραμμάτων καὶ κρᾶσιν μεθεῖμεν. Fl. 21. *ΔΥΣΚΛΕΗΣ*, ἄτιμος. (ἄδοξος add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76.

V. 1127. *ΥΠΕΡ ΑΠΑΣΗΣ ΕΛΛΑΔΟΣ*, ὑπὲρ ἁπάντων Ἑλλήνων δώσει τιμωρίαν.

V. 1128. *ΩΝ ΠΑΤΕΡΑΣ.* πρὸς τὸ σημαινόμενον ἀποδέδοται. Baroc. 74. Gu. *ΑΠΕΚΤΕΙΝ'*, αἰτία ἐγένετο φονευθῆναι αὐτούς. Gu. Fl. 6. 9. 21. 56. 59. 76. *ΩΝ Δ' ΑΠΩΛΕΣΕ ΤΕΚΝΑ.* καθολικῶς εἰπὼν τὸ ὧν πατέρας ἀπέκτεινεν, ἐπάγει, ὧν δ' ἀπώλεσε τέκνα, ὥςπερ ἐπανορθῶν τὸν λόγον, ἀντὶ τοῦ εἰσὶ (δὲ add. Baroc.) ὧν καὶ τέκνα ἀπώλεσεν. Baroc. 74. Gu. [1])

V. 1129. *ΝΥΜΦΑΣ*, καὶ τὰς νέας ἐποίησε συνευνετῶν ἐστερημένας. *ΝΥΜΦΑΣ* ἀντὶ τοῦ γυναῖκας. Gu.

V. 1130. *ΟΛΟΛΥΓΜΟΣ ΕΣΤΑΙ*, ἀντὶ τοῦ χαρὰ γενήσεται καὶ εὐχή. Ὅμηρος (Il. ζ', 301.)· αἱ δ' ὀλο-

1) In Baroc. hoc praecedit, sequitur superius τὸ ὧν πατ. πρὸς τὸ σημ. et ἀποδίδοται pro ἀποδέδ.

λυγῆ πᾶσαι. *ΠΥΡ Τ' ΑΝΑΨΟΥΣΙΝ* ἀντὶ τοῦ καὶ θεοῖς θυσίαν ποιήσουσι. *ΟΛΟΛΥΓΜΟΣ — ΘΕΟΙΣ*, ὕμνος μετὰ θρήνου· θρηνήσουσι [2]) μὲν γὰρ εἰς μνήμην τῶν οἰκείων ἰόντες, ὑμνήσουσι δὲ τοῖς θεοῖς, ἰδόντες Ἑλένην ἀπολωλυῖαν. τὸ δὲ ἀνάψουσι πῦρ ἀντὶ τοῦ θυσιάσουσι· διὰ πυρὸς γὰρ τὰ θύματα γίνεται. Baroc. 74. Gu.

V. 1131. *ΚΕΔΝ' ΑΡΩΜΕΝΟΙ.* κεδνὰ κυρίως τὰ [3]) συνετά· νῦν δὲ τὰ ἀγαθά. εὐχόμενοι ἡμᾶς τυχεῖν πολλῶν ἀγαθῶν, διότι ἐποιήσαμεν φόνον κακῆς γυναικός.

V. 1132. *ΑΙΜ' ΕΠΡΑΞΑΜΕΝ*, φόνον διετελειώσαμεν. (εἰργασάμεθα, ἐξεχέαμεν add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76.

V. 1133 — 1135. *Ο ΜΗΤΡΟΦΟΝΤΗΣ.* τὸ τοῦ μητροφόντου ὄνομα φυγὼν, εἰς τὸ βέλτιον ὄνομα ἔρχῃ, Ἑλένης φονεὺς λεγόμενος τῆς πολυκτόνου. [4])

V. 1134. *ΠΕΣΗι*, Δωρικόν. Gu. Fl. 6.

V. 1136. *ΠΟΤ'*, ἄρα. Gu. Fl. 6.

V. 1138. *ΜΗΤΕΡΑ Τ' ΕΩ.* τὴν μητέρα ἀφίημι· οὐ γὰρ ἀκόλουθον ὑπομιμνήσκειν σε τοῦ φόνου τῆς μητρός. *ΜΗΤΕΡΑ Τ' ΕΩ.* μητέρα τε εἰπὼν, μεταμελόμενος καὶ ἐπιδιορθῶν ἑαυτὸν ἐπάγει, ἐῶ τοῦτο· οὐ γὰρ εὐπρεπὲς ἤγουν εὐπρόςωπον λέγειν, τουτέστιν ὥςτε λέγειν αὐτὸ ἐμέ. (ἤγουν οὐ δεῖ ἀναμιμνήσκεσθαι ἐμὲ περὶ ταύτης add. Florr.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΩ*, παραλείπω· ἐνδίκως γὰρ ἀπόλωλε. Gu. m. 2. Fl. 6.

V. 1139 sq. *ΔΙ' ΑΓΑΜΕΜΝΟΝΟΣ ΔΟΡΥ*, διὰ τὴν συμμαχίαν τοῦ Ἀγαμέμνονος ἀπολαβόντα τὴν Ἑλένην, οὐ δεῖ αὐτὸν πρὸς τούτοις ἔχειν τοὺς σοὺς δόμους.

V. 1140 sq. *ΜΗ ΓΑΡ ΟΥΝ ΖΩιΗΝ ΕΤΙ.* εἴθε μηκέτι ζῴην, εἰ μὴ ἑλκύσω κατ' ἐκείνης τὸ ξίφος. *ΣΠΑΣΩ*, σπάσομαι, ἤγουν λήψομαι, ἑλκύσω. (λάβω add. Gu.

2) Barn. θρηνοῦσι. In codem, ut in Gu., continuari haec suspicor: τὸ δὲ ἀν. π. quamvis King. novi scholii initium fecerit πῦρ τ' ἀνάψ. ἀντὶ τοῦ θ. εὐχὴ, ὕμνος μετὰ θρήνου est etiam in Fl. 6.

3) κυρίως τὰ e Gu. addidi.

4) Fl. 10. ἔρχῃ, ἵνα ἀντὶ μητροφόντου Ἑλ. φονεὺς ἔσῃ.

m. 2.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΜΕΛΑΝ*, θανάτου πρόξενον. Gu.

V. 1142 — 1145. *ΗΝ Δ' ΟΥΝ.* ἢν δὲ μὴ ἐγκρατεῖς γενώμεθα τοῦ φόνου τῆς Ἑλένης, καύσαντες τοὺς δόμους τούςδε ἀποθανούμεθα· ἑνὸς γὰρ τοῖν δυοῖν οὐκ ἀποτυχόντες λάβοιμεν δόξαν. Ἄλλως. θατέρου εὐστοχήσαντες, ἢ φονεύσαντες αὐτὴν, ἢ καύσαντες τὸν οἶκον, δόξαν ἕξομεν.

V. 1145. τὸ *ΚΑΛΩΣ ΘΑΝΟΝΤΕΣ* καὶ τὸ ἢ καλῶς σεσωσμένοι ἑρμηνεία ἐστὶ τοῦ ἑνός· ἢ τὸ ἑνὸς νόει ἀντὶ τοῦ ἢ τοῦ φονεῦσαι τὴν Ἑλένην, ἢ τοῦ πρῆσαι τοὺς οἴκους. Baroc. 74. Gu. *ΚΑΛΩΣ*, γενναίως. Gu. Fl. 6.

V. 1146 sq. *ΠΑΣΑΙΣ ΓΥΝΑΙΞΙ.* ἀξία στυγεῖσθαι ὑπὸ πασῶν γυναικῶν ἡ τοῦ Τυνδάρεω παῖς, ἥτις κατήσχυνε τὸ γένος ἑαυτῆς, ἤτοι τοὺς συγγενεῖς, ἢ τὸ ἑαυτῆς γένος, τουτέστι τὰς γυναῖκας.

V. 1148. 1149. *ΦΕΥ*, θαυμαστικόν. οὐκ ἔστιν οὐδὲν κάλλιον ἀληθοῦς φίλου, οὐ πλοῦτος, οὐ βασιλεία.

V. 1149. 1150. *ΑΛΟΓΙΣΤΟΝ ΔΕ ΤΙ.* ἀσύνετον δὲ ἐστὶν τὸ ἀνταλλάττειν τὸ πλῆθος ἀντὶ [5]) τοῦ εὐγενοῦς φίλου. ἕνα, φησὶν, ἄνδρα συνετὸν προκρίνειεν ἄν τις ἀλογίστου πλήθους τῶν πολλῶν. Ἄλλως. ἀσύνετον δέ τι [6]) καὶ μωρόν ἐστι τὸ ἀνταλλάττεσθαι ἀντὶ τοῦ γενναίου φίλου πλῆθος, ἤγουν τὸ προτιμᾷν τὸ πλῆθος ἀντὶ τοῦ γενναίου φίλου· οὐ γὰρ τὸ πλῆθος θέλει δηλοῦν ἀλόγιστον, ἀλλ' ὅτι ἀντάλλαγμα γινόμενον τὸ πλῆθος γενναίου φίλου, τουτέστιν ἀντὶ τοῦ γενναίου φίλου λαμβανόμενον, ὡς πλείονος τινὸς ἄξιον, ἀλογίστως λαμβάνεται. καὶ ἔστιν ὅμοιον τῷ ταχὺς παρεγένου, ἀντὶ τοῦ ταχέως, καὶ τοῖς ὁμοίοις. *ΑΛΟΓΙΣΤΟΝ*, ἀσύνετον καὶ μωρὸν, μάταιον, οὐδενὸς λόγου ἄξιον, ἀπὸ τοῦ ἀλογίζω. ἀλόγιστον γὰρ τὸ ἄλογον καὶ μωρόν· ἀλόγητον δὲ τὸ καταφρονητὸν, ἀπὸ τοῦ ἀλογῶ ἀλογήσω.

5) ἀντὶ scripsi e cod. Fl. 33., qui post φίλου addit etiam καὶ προκρίνειν. Vulgo αὐτό. Sequentia ἕνα — τῶν πολλῶν non leguntur in cod.

6) δέ τι addidi e Gu. in quo totum scholion legitur a pr. m. Ex eodem paulo post dedi θέλει pro θέλων — ἀλογίστως pro ἀλόγιστον et in fine addidi καὶ τοῖς ὁμοίοις.

V. 1151. *ΤΑ Τ' ΕΙΣ ΑΙΓ.* τὰ γινόμενα δηλονότι. Gu. *ΕΞΕΥΡΕΣ*, ἐμηχανήσω. (ἐνόησας add. Gu. m. 2.)

V. 1152. *ΚΑΙ ΠΛΗΣΙΟΝ.* καὶ ἐπὶ τῶν κινδύνων παρυπῆρχες πλησίον ἐμοῦ.

V. 1153. *ΝΥΝ Δ' ΑΥ ΔΙΔΩΣ.* καὶ ἀρτίως συμβουλεύεις μοι ἐκδίκησιν τῶν πολεμίων. *ΔΙΔΩΣ ΠΟΛ. ΤΙΜΩΡ.* ὑποβάλλεις πῶς δεῖ (Fl. δὴ) τοὺς ἐχθροὺς τιμωρήσασθαι. Gu. Fl. 6. *ΤΙΜΩΡΙΑΝ* ἀντὶ τοῦ ὁδὸν τιμωρίας. (κόλασιν add. Gu. m. 2.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1154. *ΚΟΥΚ ΕΚΠΟΔΩΝ ΕΙ*, καὶ οὐ μακρὰν ὑπάρχεις. *ΕΚΠΟΔΩΝ ΕΙ*, μακρὰν ἠλλοτρίωσαι. Fl. 6.

V. 1154—1164. *ΠΑΥΣΟΜΑΙ Σ' ΑΙΝΩΝ.* Ἐπαινῶν σε παύσομαι, ἐπειδὴ βάρος ἐστὶ κἀν τῷδε, ἤτοι ἐν τῷ λίαν ἐπαινεῖσθαι. ἐγὼ δὲ ὁμολογουμένως ἀποθνήσκων, δράσας τι τοὺς ἐμοὺς ἐχθροὺς χρήζω θανεῖν, ὅπως ἀντανέλωμεν καὶ ἀφανίσωμεν, οἵτινες προὔδωκαν ἐμὲ, καὶ ὅπως θρηνῶσιν, οἵτινες καὶ ἐμὲ ἐποίησαν ἄθλιον. Ἀγαμέμνονος παῖς ὑπάρχω, ὅςτις ἀρχηγὸς ἐγένετο τῶν Ἑλλήνων ἄξιος κριθεὶς, οὐ τυραννικῶς, ἀλλ' ὅμως ἰσχὺν καὶ ἐπικουρίαν ἔλαβεν ὑπὸ θεοῦ· ὃν πατέρα οὐ καταισχυνῶ, δι' ὧν ἂν ἀνδρείως [7]) ἀποθανοῦμαι.

V. 1155. *ΒΑΡΟΣ.* τοῖς γὰρ τοιούτοις φίλοις βάρος, ὥς φησιν ὁ ποιητὴς, καὶ τὸ ἐπαινεῖσθαι. Fl. 6.

V. 1156. *ΠΑΝΤΩΣ*, ἐκ παντός. (ἀληθῶς add. Gu. a m. 2.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΚΠΝΕΩΝ ΨΥΧΗΝ ΕΜ.* ἤγουν ἀποθνήσκων. (ἤγουν πρὸς θάνατον ἐρχόμενος, ἀποπνέων.) Gu.

V. 1158. *ΠΡΟΥΔΟΣΑΝ*, καὶ εἰς θάνατον παρέδωκαν. κατέλιπον. Gu.

V. 1161. *ΑΛΛ' ΟΜΩΣ.* περισσὸν τὸ ὅμως. (τὸ ὅμως εἶπεν, ἐπειδὴ ὁ μὲν ἀπὸ κοινῆς γνώμης γεγονὼς βασιλεὺς οὐχ ἃ βούλεται προςτάττει, ἀλλ' ἃ οἱ ποιήσαντες θέ-

7) ἂν ἀνδρείως. Imo ἀνάνδρως. Fl. 10. ad καταισχυνῶ v. 1162. adscriptum habet: ἀνάνδρως ἀποθανούμενος μηδὲν γενναῖον δράσας τοῦ φονεύειν καὶ μὴ φονεύεσθαι.

λουσιν, ὁ δὲ τύραννος ἃ γνοίη, καὶ τοῖς ἄλλοις ἀνάγκη ποιεῖν. Ἀγαμέμνονι οὖν, ὥςπερ θεῷ, πάντες ἐπείθοντο, εἰ καὶ παρὰ πάντων ἄρχων ἐκρίθη.) Baroc. 74. Gu.

V. 1162. *ΚΑΤΑΙΣΧΥΝΩ*, ἀτιμάσω. Gu. Fl. 6.

V. 1163. *ΠΑΡΑΣΧΩΝ*, δοὺς, ὑπομείνας. Fl. 33.

V. 1164. *ΤΙΣΟΜΑΙ*, τιμωρήσομαι.

V. 1165. *ΕΝΟΣ ΓΑΡ.* τοῦ μὴ φονευθῆναι. *ΕΝΟΣ ΓΑΡ*, ἢ τοῦ φονεῦσαι τὴν Ἑλένην, ἢ τοῦ πρῆσαι τοὺς οἴκους. Gu. ἤγουν εἰ ἐγκρατεῖς γενοίμεθα ἑνὸς, ἢ τοῦ φονεῦσαι, ἢ θανεῖν ἐλευθέρως, ἢ πρῆσαι τοὺς οἴκους. Fl. 6.

V. 1166. *ΑΕΛΠΤΟΣ*, ἀντὶ τοῦ ἀνελπίστως. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΠΑΡΑΠΕΣΟΙ*, ἐπέλθοι ἡμῖν. Gu. Fl. iidem.

V. 1167. *ΚΤΑΝΟΥΣΙ, ΜΗ ΘΑΝΟΥΣΙ.* τοῦτο κατ' ἰδίαν λέγει. λείπει δὲ τὸ γενέσθαι, κτανοῦσιν ἡμῖν ἑτέρους, οὐχ ὑφ' ἑτέρων ἀναιρεθεῖσι· τουτέστιν εὐτυχήσομεν, εἰ κἂν ἕνα τῶν ἐχθρῶν ἀνέλωμεν, καὶ μὴ παρ' ἐκείνων ἡμεῖς ἀναιρεθείημεν. *ΕΥΧΟΜΑΙ ΤΑΔΕ.* ἡμῖν γενέσθαι δηλονότι.

V. 1168. *Ο ΒΟΥΛΟΜΑΙ ΓΑΡ.* ὃ γὰρ νομίζω τερπνὸν, τοῦτο καὶ μόνον ὀνομάζων ἀδαπάνως εὐφραίνομαι. Ἄλλως. ἐξ ὧν οὐδὲν βλαπτόμεθα, οὐδὲν κωλύει εὐφραίνειν ἑαυτοὺς λόγῳ. τὸ ἡδὺ, φησὶ, καὶ εὐκτὸν ἡμῖν πρᾶγμα, τὸ τινὰ τούτων λαβεῖν ὑποχείριον, οὐ βούλομαι διὰ στόματος μόνον προφέρειν, τουτέστι μέχρι λόγων ματαίων στῆναι, καὶ ἀζημίως τέρψαι τὴν ἐμαυτοῦ ψυχὴν, τουτέστι μὴ μετὰ τοῦ ζημιῶσαι τινὰ τῶν ἐχθρῶν καὶ τιμωρήσασθαι. *Ο ΒΟΥΛΟΜΑΙ.* ὅπερ γὰρ βούλομαι καὶ θέλω, ἡδὺ καὶ εὔφραντον καὶ γλυκύ ἐστι, ὥςτε τέρψαι τὴν σὴν φρένα ἀδαπάνως, καὶ πλουσίως καὶ ἀφθόνως διὰ τοῦ στόματος τοῖς πτηνοῖς καὶ ταχέσι μύθοις καὶ λόγοις. Fl. 59.

V. 1169. *ΠΤΗΝΟΙΣΙ Μ.* πτηνοὺς ἐνταῦθα λέγει τοὺς λόγους διὰ τὸ δίκην πτηνῶν ἀπέρχεσθαι τῇ προφορᾷ. MS. C. C. C. εὐτυχεστάτοις (ἐν ταχυτάτοις) λόγοις. Fl. 21. ταχυτάτοις. Gu. *ΑΔΑΠΑΝΩΣ*, πλουσίως, ἀφθόνως. MS. C. C. C. Gu. *ΑΔΑΠ. ΤΕΡΨΑΙ ΦΡΕΝΑ.* εἰ γάρ τις, ὃ κατὰ νοῦν ἔχει, διὰ γλώττης προφέρει (φέρει C. C. C.), ὥςπερ ἡδονήν τινα δέχεται· ἀδαπάνως δὲ εἶπε, ἐπειδὴ χωρὶς δαπάνης ἔσται ἡ τέρψις. MS. C. C. C. Gu.

V. 1170 sq. *ΕΓΩ ΚΑΣΙΓΝΗΤΕ*, τοῦτο αὐτὸ, φησὶ, τὸ τινὰ λαβεῖν ὑποχείριον τούτων, σωτηρίαν ἡμῖν τοῖς τρισὶ φέρειν νομίζω, ἤτοι καὶ τὸ, ἀναιρεθείσης τῆς Ἑλένης, ἐνεδρεῦσαι καὶ τὴν Ἑρμιόνην. ταῦτα δὲ ἑξῆς ἐπάγει. *ΕΓΩ ΚΑΣΙΓΝΗΤ'*. ἐγὼ, ὦ κασίγνητε καὶ ὦ ἀδελφὲ, δοκῶ καὶ λογίζομαι καὶ σοὶ καὶ τῷδε καὶ τούτῳ τῷ Πυλάδῃ, καὶ ἐκ τρίτου ἐν (del.) ἐμοὶ ἔχειν καὶ εἶναι αὐτὸ τοῦτο, ὅπερ εἴρηκας, σωτηρίαν καὶ ἀσφάλειαν. ἢ οὕτως. δοκῶ καὶ λογίζομαι παρέχειν καὶ διδόναι ἡμῖν αὐτὸ τοῦτο, ὅπερ λέγεις, καὶ σοὶ καὶ τῷδε τῷ Πυλάδῃ καὶ ἐμοὶ ἐκ τρίτου σωτηρίαν καὶ ἀσφάλειαν. Fl. 59. τὸ *ΑΥΤΟ ΤΟΥΤΟ* εἰ μὲν ἐκ παραλλήλου ἐρεῖς, διὰ τὸν ὅνπερ ἡ Ἠλέκτρα εἰπεῖν μέλλει λόγον (μέλλει λόγον λέγειν Bar.) νοήσεις. ἄλλοι δέ φασι τὸ αὐτὸ διὰ τὸν λόγον, ὃν ὁ Ὀρέστης καὶ Πυλάδης ἐβουλεύσαντο, — λέγω δὴ (Bar. δὲ) Ἑλένην κτενεῖν, ἢ πρήσειν τοὺς οἴκους, — τὸ δὲ τοῦτο, ὃ μέλλει λέγειν ἡ Ἠλέκτρα, ἐκλαμβάνουσιν ἀσυνδέτως. (Bar. ἀσύνδετον.) Baroc. 74. Gu.

V. 1172 sq. *ΑΛΛΑ ΠΟΥ ΤΟΔΕ*. εἰπὲ, φησὶ, πόθεν σχήσομεν τὴν σωτηρίαν· οἶδα γάρ σε συνετὴν τυγχάνουσαν ἀπ' ἀρχῆς. ἀλλὰ λέγε, φησὶν, ἣν ἔχεις ἡμῖν σωτηρίαν, πῶς πράξεις.

V. 1172. *ΠΡΟΝΟΙΑΝ*, τὸ σωθῆναι ἡμᾶς. (προμήθειαν add. Gu.) Gu. Fl. 6. *ΑΛΛΑ ΠΟΥ ΤΟΔΕ*, ἤγουν λέγε (om. Fl.), ἐν ποίᾳ μηχανῇ ἔσται αὕτη (om. Fl.) ἡ σωτηρία, ἣν λέγεις (om. Fl.). Gu. Fl. 6.

V. 1173. *ΤΟ ΣΥΝΕΤΟΝ*. εἰπὲ δηλονότι τὴν φρόνησιν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ φρόνιμον (om. Fl.) καὶ συμβουλευτικὸν (βουλ. Gu.) καὶ ἐν ἀπόροις εὐμήχανον (μηχανικόν Fl.). Gu. Fl. 6.

V. 1174. *ΑΚΟΥΕ*, Ὀρέστα. *ΚΑΙ ΣΥ*, ὦ Πυλάδη. Gu. *ΔΕΥΡΟ*, ὧδε. Gu. *ΤΟΝ ΝΟΥΝ ΕΧΕ*, τετραμμένον. Gu. [8])

V. 1175. *ΛΕΓ' ΩΣ ΤΟ ΜΕΛΛΕΙΝ*. τὰ ἀγαθὰ καὶ ἐν τῷ προςδοκᾶσθαι μόνον ἔχει τινὰ τέρψιν. *ΤΟ ΜΕΛΛΕΙΝ*, ἤγουν τὸ προςδοκᾷν. (ἐλπίζειν add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΗΔΟΝΗΝ*, εὐφροσύνην. Fl. 6.

8) E talibus gl. King. paraphrasin hujus loci concinnavit.

V. 1176. *ΕΙΔΟΤ' ΗΡΟΜΗΝ*, σὲ τὸν γινώσκοντα ἠρώτησα.

V. 1177. *ΟΙΔ' ΗΝ*, οἶδα τὴν Ἑρμιόνην, ἣν ἀνέθρειψεν ἡ μήτηρ ἡ ἐμή. Gu. [9])

V. 1178. *ΒΕΒΗΚΕ*, ἀπῆλθεν. Gu. King. paraphr.

V. 1179. *ΤΙ ΧΡΗΜΑ ΔΡ.* τί πρᾶγμα μέλλουσα ποιήσειν. (ἀπῆλθε.) Gu. King. par. *ΥΠΟΤΙΘΗΣ*, ὑποβάλλεις. *ΥΠΟΤΙΘΗΣ*, ὑπόνοιαν ἐλπίδος τινὸς εἰςάγεις. Gu. King. par.

V. 1180. *ΧΟΑΣ*. χοαὶ λέγονται ἐπὶ τῶν νεκρῶν. *ΚΑΤΑΣΠΕΙΣΟΥΣΑ*, θύσουσα. Gu. King. par. τὸ χοὰς κατασπείσουσα οὐ πρὸς τὸ τίνα ἐλπίδα ὑποβάλλεις ἀπεκρίθη, ἀλλὰ πρὸς τὸ τί δράσουσα. Gu. *ΥΠΕΡ ΜΗΤΡΟΣ ΤΑΦΟΥ*, ἐπάνω τοῦ τάφου τῆς μητρὸς, ἡμῶν δηλονότι. Gu. King. par. *ΜΗΤΡΟΣ*, τῆς Κλυταιμνήστρας, ἤγουν ἀπῆλθεν εἰς τὸν τάφον τῆς Κλυταιμνήστρας, ὅπως αὐτῇ σπείσῃ εὐμένειαν πρὸς Ἑλένην καὶ Μενέλαον ἔχειν. Gu. ἢ γράφεται ὑπὲρ μητρὸς τάφον, τουτέστιν ὑπὲρ μητρὸς αὐτῆς τῆς Ἑλένης τάφῳ τῆς Κλυταιμνήστρας. Fl. 6.

V. 1181. *ΚΑΙ ΔΗ ΤΙ ΜΟΙ*. τίνος χάριν τοῦτο εἴρηκας; τί τοῦτο εἶπας; ὅμοιον τῷ ὑποτίθης τίνα ἐλπίδα. τίνα γὰρ, φησὶν, ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις, ἐκ τοῦ λέγειν, ὅτι ἐπορεύθη ἡ Ἑρμιόνη πρὸς τὸν τῆς Κλυταιμνήστρας τάφον. *ΚΑΙ ΔΗ ΤΙ ΜΟΙ*, καὶ δὴ κατὰ τί μοι τοῦτο εἶπας εἰς σωτηρίαν. Gu. King. paraphr.

V. 1182. *ΞΥΛΛΑΒΕΘ' ΟΜΗΡΟΝ*, ἐνέχυρον τῆς σωτηρίας ἡμῖν. *ΣΤΕΙΧΗι ΠΑΛΙΝ*, εἰς (om. Gu.) τοὐπίσω, ἤγουν ὅταν (om. Fl.) ἐπαναστρέψῃ. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. [10])

V. 1183. *ΤΙΝΟΣ*, ἕνεκα. Gu. King. *ΦΑΡΜΑΚΟΝ*, εἰς βοήθειαν (θεραπείαν add. Gu.) Gu. King. paraphr. *ΤΡΙΣΣΟΙΣ ΦΙΛΟΙΣ*, τριῶν φίλων. Gu. King. par. [1]) τὸ

9) Habet etiam King in paraphr. e MS. C. C. C. ut videtur.

10) ὅταν ἐπαν. habet King. in par. post scholion editum.

1) Post haec King. add. MS. C. C. C. ut omnia, quae e Gu.

τρισσοῖς φίλοις οὐ πρὸς τὸ εἶπας συντακτέον· δύο γὰρ εἰσὶ (Bar. ἦσαν) πρὸς οὓς τοῦτο ἔλεγεν, Ὀρέστης τε καὶ Πυλάδης· ἀλλὰ πρὸς τὸ φάρμακον, ἵν᾽ ᾖ οὕτως· τίνος φάρμακον τοῖς τρισσοῖς φίλοις, ἐμοί τε καὶ σοὶ καὶ Πυλάδῃ τῷδε, τὸ τὴν Ἑρμιόνην συλλαβεῖν εἴρηκας; Baroc. 74. Gu.

V. 1184. *ΔΡΑι*, ἀπειλῇ δρᾶν. Gu. Fl. 6. 17. 56. 59. 76.

V. 1185. *ΠΑΝ ΓΑΡ ΕΝ ΦΙΛΟΝ.* ὡς εἰ ἔλεγεν, ἓν σῶμα καὶ μία ψυχὴ ἐσμέν. πᾶν γὰρ τὸ καθ᾽ ἡμᾶς ἕν, φησὶ, καὶ ταυτόν ἐστιν. Ἄλλως. τοῦτο φησὶν, ὡς εἴ τινα ἐξ ἡμῶν κακώσει, ἐν τοῖς τρισὶν ἡ βλάβη περιΐσταται. κοινὰ γὰρ τὰ τῶν φίλων. ἕν, φησὶ, καὶ ταυτόν ἐστι πᾶν τὸ καθ᾽ ἡμᾶς, καὶ ὡς εἰπεῖν, ἓν σῶμα καὶ μία ψυχή. *ΠΑΝ ΓΑΡ ΕΝ Φ.* πάντες ἡμεῖς (τοῦτο γὰρ δηλοῦται διὰ τοῦ τόδε) ἓν φίλτρον ἐσμὲν, ἤγουν ὡς εἷς καταλεγόμεθα. Fl. 6. *ΤΟΔΕ*, τὸ ἀποθανεῖν τὴν Ἑλένην. Gu.

V. 1187. *ΣΠΑΣΑΝΤ᾽ ΕΧΕΙΝ*, ἀπογυμνώσαντα ἔχειν πρὸς αὐτῇ τῇ δέρῃ τῆς παρθένου. *ΣΠΑΣΑΝΤΑ*, ἑλκύσαντα. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. λαβόντα (ἐπιφέρειν add. Fl.). Gu. m. 2. Fl. 53.

V. 1188. *ΣΩΖΗι*, ὑπισχνῆται σώζειν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΧΡΗιΖΩΝ*, θέλων. Gu. Florr. iidem. *ΚΟΡΗΝ*, τὴν θυγατέρα. Gu. Florr. iidem.

V. 1189. *ΕΛΕΝΗΣ ΠΤΩΜΑ*, ἀντὶ τοῦ τὸ σῶμα.

V. 1190. *ΜΕΘΕΣ ΠΕΠΑΣΘΑΙ.* ἀντὶ τοῦ ἀπολαύειν, τουτέστι συγχώρει τῷ πατρὶ τὴν Ἑρμιόνην πρὸς ἀπόλαυσιν καὶ ὄνησιν κτήσασθαι, ὅθεν καὶ τὸ πολυπάμμονος. ἐτυμολογεῖται δὲ πατὴρ παρὰ τὸ πεπᾶσθαι. καὶ ἀλλαχοῦ, πολλῶν καλεῖσθαι βούλομαι πατὴρ δόμων, ἀντὶ τοῦ δεσπότης. *ΜΕΘΕΣ ΠΕΠΑΣΘΑΙ*, ἤγουν ἄφες τῷ πατρὶ κεκτῆσθαι τῆς παρθένου τὸ δέμας, ἀντὶ τοῦ τὴν παρθένον περιφραστικῶς. MS. C.C.C. Gu.

V. 1191. *ΗΝ Δ᾽ ΟΞΥΘΥΜΟΥ.* ἐὰν δὲ ἐν τῇ ὀργῇ πολὺς ἔλθῃ καὶ παρίδῃ σε ἀπολλύμενον — τοῦτο γὰρ σημαίνει τὸ κτείνῃ σε — τότε καὶ σὺ τὴν παρθένον ἀπόκτεινον. τοῦ *ΟΞΥΘΥΜΟΥ ΦΡΟΝΗΜΑΤΟΣ* ἤγουν τοῦ φρονήματος. (ἤγουν τοῦ θυμοῦ.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

enotata in Kingii etiam paraphr. legi monui, ex eo codice sumta esse intelligatur.

V. 1192. *ΚΤΕΙΝΗι*, ἀπειλῇ κτείνειν. (ἤγουν τὸν σὸν θάνατον σπεύδῃ add. Gu.) Gu. Florr. iidem. *ΣΦΑΖΕ*, ἐπιχείρει σφάζειν. Gu. Florr. iidem.

V. 1193. *ΠΟΛΥΣ ΠΑΡΗι*, σφοδρὸς ἔλθῃ. (τῇ ὀργῇ) Gu. Florr. iidem.

V. 1194. *ΧΡΟΝΩι ΜΑΛΑΞΕΙΝ*, τῇ παρατάσει τοῦ χρόνου μαλαχθήσεσθαι τὴν καρδίαν. Gu. m. pr. Florr. iidem. *ΜΑΛΑΞΕΙΝ*, καταπραῦναι. Gu. m. 2. *ΣΠΛΑΓΧΝΟΝ*, ἡ πρὸς τὴν θυγατέρα φυσικὴ προσπάθεια. Gu. m. 2.

V. 1196. *ΕΠΑΛΞΙΝ*, βοήθειαν. *ΕΠΑΛΞΙΝ*, ὀχύρωμα, ἀσφάλειαν. Gu. *ΕΙΡΗΤΑΙ ΛΟΓΟΣ*, πεπλήρωται. *ΕΙΡ. ΛΟΓΟΣ*, ὃν εἰπεῖν ἐβουλόμην. Gu. Fl. 6.

V. 1197. 1198. *Ω ΤΑΣ ΦΡΕΝΑΣ.* ἁρμόζουσα μὲν ἀνδράσι διὰ τὰς φρένας, γυναιξὶ δὲ ὁμοία τὸ σῶμα, ἀντὶ τοῦ εὐπρεπὴς οὖσα, καὶ γυναικὸς φύσιν ἔχουσα, ὃ καὶ βέλτιον. *Ω ΤΑΣ ΦΡΕΝΑΣ*, ὦ ἀνδρεία κατὰ τὴν καρδίαν, καὶ ὡραία κατὰ τὸ εἶδος. MS. C.C.C. *ΑΡΣΕΝΑΣ*, ἀντὶ τοῦ ἀῤῥενικάς. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1198. *ΠΡΕΠΟΝ*, ἤγουν σῶφρον καὶ ἁρμοζόμενον γυναιξί. τὰς μὲν γὰρ ἀρετὰς καὶ ὁ Πλάτων κοινὰς εἶναι φησὶ, πλεονεκτεῖν δὲ ἴσως τοὺς ἄνδρας. *ΠΡΕΠΟΝ*, διαπρέπον. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διαλάμπον. Gu. m. 2. Fl. 6.

V. 1199. *ΩΣ*, λίαν, ὄντως. Gu. *ΕΦΥΣ*, ὑπῆρξας, (Fl. 17. add. ἐγεννήθης.) ὑπάρχεις. (Fl. 6.) Gu.

V. 1200. *ΑΜΑΡΤΗΣΗι*, ἀποτεύξῃ. Gu. m. 1. Fl. 6. 17. 56. 59. 76. ἀποτύχῃς. Gu. m. 2. Fl. 21. ἀστοχήσῃ. Fl. 6.

V. 1201. *Ηι ΖΩΝ*, ᾗ τινι συζῶν. τὸ γὰρ ζῶν ἀντὶ τοῦ συζῶν καὶ συνοικῶν. *ΜΑΚΑΡΙΟΝ ΛΕΧΟΣ*, βίον μετὰ γυναικὸς, δι᾽ ὃν ἔσῃ μακαριζόμενος. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1202. *ΕΙ ΓΑΡ ΓΕΝΟΙΤΟ*, εἴθε γὰρ γένοιτο. *ΕΙ ΓΑΡ ΓΕΝ.* συζῆν αὐτῇ. Gu. m. 2. Fl. 6.

V. 1203. *ΥΜΕΝΑΙΟΙΣΙΝ ΑΞΙΟΥΜΕΝΗ*, ἐπιθαλαμίοις ᾄσμασιν τιμωμένη. Gu. MS. C.C.C. τὸ δὲ *ΑΞΙΟΥΜΕΝΗ* οἷον κοσμουμένη, τιμωμένη. ἀνοίκεια δὲ ταῦτα τοῦ προκειμένου ἀγῶνος. [2])

V. 1204. *ΤΙΝΟΣ ΧΡΟΝΟΥ*, ἐν ποίῳ χρόνῳ. *ΤΙΝΟΣ ΧΡ.* διὰ πόσου χρόνου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. κατά τινα (sic) χρόνον. Fl. 33.

V. 1205. 1206. *ΩΣ ΤΑΛΛΑ Γ' ΕΙΠΑΣ.* ὡς τἄλλα γε εἶπας κάλλιστα, εἰ τοῦτ' εὐτυχήσω, φησὶν, ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις, ἐκ τοῦ λέγειν μὲν τὸ λαβεῖν τὴν Ἑρμιόνην, δόξεις τἄλλα καλῶς εἰρηκέναι· ἐὰν γὰρ τούτου μόνου ἐπιτύχωμεν, πάντα τἄλλα καλῶς εἴρηκας. *ΩΣ ΤΑΛΛΑ Γ' ΕΙΠΑΣ.* εἰπὲ δηλονότι, ἐπεὶ τὰ ἄλλα γε εἶπας κάλλιστα, εἴπερ εὐτυχήσομεν, ἑλόντες σκύμνον ἀνοσίου πατρός. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΤΑΛΛΑ*, τὸ θεῖναι τὸ ξίφος ἐν τῇ δέρῃ αὐτῆς. Gu.

V. 1206. *ΣΚΥΜΝΟΝ.* σκύμνος κυρίως τὸ τῶν λεόντων τέκνον, νῦν δὲ ἐπὶ ἀνθρώπου. *ΣΚΥΜΝΟΝ*, τὸ γέννημα. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. εἶπε δὲ αὐτὴν οὕτως, ὡς παῖδα βασιλέως. Gu. m. 2.

V. 1210. *ΜΗΚΟΣ*, ἤγουν ἡ παράτασις. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΥΤΟ ΣΥΝΤΡΕΧΕΙ*, εἰς αὐτὸ φθάνει, ἀντὶ τοῦ φθάνει λοιπὸν ὁ χρόνος καὶ ἐγγύς ἐστι. *ΑΥΤΟ ΣΥΝΤΡΕΧΕΙ*, ἤγουν τῷ [3]) πλησίον αὐτὴν εἶναι τῶν οἴκων. τοῦ χρόνου τὸ μῆκος εἰς τοῦτο συντρέχει, ἤγουν εἰς τὸ εἶναι ἐκείνην ἐγγὺς τῶν δωμάτων. MS. C. C. C. *ΑΥΤΟ* (suprascr. ῷ m. 2.) εἰς. Gu. m. pr. (in marg. ἴ) τὸ τὸ (leg. ο) μικρὸν καὶ ὑποστικτέον εἰς τὸ αὐτό, οὕτω· τὸ γὰρ μῆκος αὐτοῦ τοῦ χρόνου συντρέχει καὶ συνέρχεται εἰς τὸ πλησίον αὐτὴν εἶναι. Gu. καὶ γὰρ ὁ χρόνος πολὺς διελθὼν, ἀφ' οὗ αὕτη πρὸς τὸν τῆς μητρὸς ἐπορεύθη τάφον, συντρέχει καὶ οἷον συμβάλλεται πρὸς τὸ αὐτὴν ἐλθεῖν νῦν. Fl. 33.

2) Hoc in Junt. Bas. cum scholio ad v. 1201. ἢ ζῶν cohaeret.

3) Suspicor in cod. αὐτῷ scriptum fuisse ut in Gu. αὐτό (suprascr. ῷ).

V. 1209—1214. *ΚΑΛΩΣ.* τοῦτο μὲν δὴ τοιοῦτον· σὺ δὲ μένουσα ἔμπροσθεν τῶν δόμων προςδέχου τὴν ἔλευσιν καὶ παρουσίαν τῆς παρθένου, καὶ γέγωνε εἰς δόμους, τουτέστιν ἢ διὰ λόγου σημήνασα βόησον μέγα, ὥςτε ἔνδον ἡμᾶς ὄντας ἀκοῦσαι, ἢ τὰς θύρας κρούσασα. *ΚΑΛΩΣ* ἔχει τὸ πρᾶγμα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1210. *ΜΕΝΟΥΣΑ*, περιμένουσα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΠΟΔΑ* ἀντὶ τοῦ τὴν ἐπέλευσιν. Gu. m. pr. Florr. iidem. τὴν ἄφιξιν τῆς παρθένου. Gu. m. 2.

V. 1211. *ΦΥΛΑΣΣΕ*, ἐπιτήρει. Gu. Florr. iidem. *ΤΕΛΕΥΤΗΘΗι*, πληρωθῇ. (τελεσθῇ add. Gu. m. 2. Fl. 6.) Gu. Florr. iidem.

V. 1212. *ΞΥΜΜΑΧΟΣ*, βοηθὸς τοῦ Μενελάου. MS. C. C. C. Gu. *ΚΑΣΙΓΝΗΤΟΣ ΠΑΤΡΟΣ*, ἢ (om. Gu.) ὁ ἀδελφὸς τοῦ πατρὸς ἡμῶν, ἤγουν ὁ Μενέλαος. MS. C.C.C. Gu.

V. 1213. *ΦΘΗι*, προφθάσῃ. Gu. Fl. iidem. *ΓΕΓΩΝΕ*, βόησον. Gu. Florr.

V. 1214. *ΛΟΓΟΥΣ ΠΕΜΨ.* λαλήσασα. Fl. 6.

V. 1215. 1216. *ΗΜΕΙΣ Δ' ΕΣΩ*, ἀντὶ τοῦ, ἡμεῖς δὲ ἔσω πορευθῶμεν ὡπλισμένοι τὰς χεῖρας τῷ φασγάνῳ. *ΕΠΙ ΤΟΝ ΕΣΧΑΤΟΝ ΑΓΩΝ'*, ἤγουν τὸν περὶ ψυχῆς. (τὸν τελευταῖον, ἐν ᾧ θανεῖν ἢ ζῆν πρόκειται ἡμῖν.) Gu. MS. C.C.C.

V. 1218. *Ω ΔΩΜΑ ΝΑΙΩΝ*, ἤγουν ὁ ἐν ᾅδῃ ὤν. (ἀποστροφὴ πρὸς Ἀγαμέμνονα add. Flor.) Gu. Fl. 6. *ΟΡΦΝΑΙΑΣ*, σκοτεινῆς. *ΟΡΦΝΑΙΑΣ*, σκοτεινῆς, ὀρφανῆς τοῦ φωτὸς δηλονότι. Fl. 21. σκοτεινῆς ὄρφνης τινὸς διὰ τὸ ἔρημον εἶναι φωτός. Fl. 33.

V. 1219. *ΚΑΛΕΙ*, ἐπικαλεῖται. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΠΙΚΟΥΡΟΝ*, βοηθόν. *ΜΟΛΕΙΝ*, ἐλθεῖν.

V. 1220. *ΤΟΙΣ ΔΕΟΜΕΝΟΙΣΙ*, ἡμῖν τοῖς χρήζουσι. Gu. Florr. iidem.

V. 1221. *ΠΡΟΔΕΔΟΜΑΙ*, ἐγκαταλέλειμμαι. Gu. Florr. iidem.

V. 1222. *ΕΛΩΝ*, κατασχών. Gu. Florr. iidem.

V. 1223. *ΤΟΥΔΕ ΣΥΛΛΗΠΤΩΡ*, τοῦδε τοῦ ἔργου βοηθὸς γενοῦ. *ΣΥΛΛΗΠΤΩΡ*, τοῦ ἔργου συνεργός. Gu. Florr. iidem et 25. 34.

V. 1224. *ΙΚΟΥ*, ἐλθέ.

V. 1225. *ΟΙ ΣΕΘΕΝ ΘΝ.* ἀπέδωκε τοῦτο πρὸς τὸ παίδων. Gu.

V. 1226. *Ω ΣΥΓΓΕΝΕΙΑ ΠΑΤΡΟΣ.* παρόσον ὁ Στρόφιος Ἀναξιβίαν ἔγημε τὴν Ἀγαμέμνονος ἀδελφὴν, ἐξ ἧς ἐγένετο Πυλάδης, ὡς φησὶ Κράτης. ἢ ἐπεὶ ὁ Στροφίου πατὴρ Κρίσος Ἀτρέως θυγατέρα ἐγάμει τὴν Κυδραγόραν. αἷμα δὲ οἱ παῖδες, γένος οἱ ἀδελφοὶ, συγγένεια οἱ γαμβροί. [4]) *Ω ΣΥΓΓΕΝΕΙΑ* τοῦ ἐμοῦ πατρός· προςῆκε γὰρ κατὰ τὸ γένος τῷ Ἀγαμέμνονι ὁ Στρόφιος, ὁ πατὴρ τοῦ Πυλάδου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. qui praemittunt: ὦ συγγενεῖς τοῦ ἐμοῦ πατρός.

V. 1228. *ΕΚΤΕΙΝΑ ΜΗΤΕΡΑ.* τὸ ἑξῆς, ἔκτεινα μητέρα, σοὶ, πάτερ, ἀρήγων. *ΕΚΤΕΙΝΑ Μ.* ὁ λόγος πρὸς Ἀγαμέμνονα. Gu. Fl. 6. *ΗΨΑΜΗΝ*, συνήνεσα. Gu.

V. 1229. *ΚΑΓΩ Δ' ΕΠΕΚΕΛΕΥΣΑ*, καὶ ἐγὼ συνεργὸς ἦν τοῦδε φόνου, καὶ ἠλευθέρωσα τῆς δουλείας (leg. δειλίας.) *ΕΠΕΓΚΕΛΕΥΣΑ*, τῇ μητρί. Gu. (qui habet ἐπεβούλευσα.) Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΚΑΠΕΛΥΣΑ*, ἠλευθέρωσα ὑμᾶς. Gu. *ΟΚΝΟΥ*, φόβου. (δειλίας, ἣν εἴχετε μὴ κτεῖναι τὴν μητέρα.) Gu.

V. 1230. *ΟΥΔ' ΕΓΩ ΠΡΟΥΔΩΚΑ ΣΕ*, ἀλλ' ὑπὲρ σοῦ τούτους ἐκίνησα. Gu.

V. 1231. *ΟΥΚΟΥΝ ΟΝΕΙΔΗ.* οὐκοῦν ῥῦσαι ἡμᾶς,

4) Gu. haec habet: κατά τινας γὰρ ἡ μήτηρ Στροφίου Κυδραγόρα ἀδελφὴ ἦν Ἀγαμέμνονος. ἔνιοι δὲ φασὶν, Ἀναξιβίαν τὴν Ἀγαμέμνονος ἀδελφὴν Στρόφιος ἔγημεν ὁ Πυλάδου πατήρ. ἢ συγγένειαν λέγει, ἐπεὶ ὁ Στροφίου πατὴρ Κροῖσος Ἀτρέως θυγατέρα ἔγημε τὴν Κυδραγόραν. Florr. 6. 9. 17. 21. 56. 59. 76. verbis supra adscriptis subiiciunt: ὁ Στρόφιος Ἀναξιβίαν ἔγημε τὴν τοῦ Ἀγαμέμνονος ἀδελφὴν, ἐξ ἧς ὁ Πυλάδης. Fl. 10. autem habet: κατά τινας γὰρ ἡ μήτηρ αὐτοῦ Κυδραγόρα ἀδελφὴ ἦν Ἀγαμέμνονος, ὡς φησὶ Κράτης.

ὡς μέλλων κλύειν τάδε ἐπὶ ὀνείδεσιν, ἐὰν μὴ σωθῶμεν, ὅτι ἐπικουρήσασιν οὐκ ἐβοήθησας. Ἄλλως. Ὀνείδη τῶν εὐεργεσιῶν τὰς ὑπομνήσεις, ὡς καὶ ὁ ποιητὴς, ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον. (Il. ά, 211.) *ΟΝΕΙΔΗ.* ἀκούων οὖν τάδε τὰ ὀνείδη, ἃ σοι παῖδες προφέρουσι, λέγοντες, ὡς διὰ σὲ πάσχουσι, βοήθησον αὐτοῖς. ἢ ὀνείδη λέγει, ἃ ἀκούουσιν αὐτοὶ παρὰ τῶν ἄλλων, μητροκτόνοι καλούμενοι. Gu.

V. 1232. *ΔΑΚΡΥΟΙΣ ΚΑΤΑΣΠΕΝΔΩ ΣΕ*, ἤγουν σπονδάς σοι διὰ δακρύων ποιῶ· οὐ γὰρ ἔχω ἄλλο τι. *ΚΑΤΑΣΠΕΝΔΩ ΣΕ*, λίαν ἱκετεύω σε. Gu. Fl. 6. καταβρέχω, καταχέω. Fl. 17. *ΕΓΩ Δ' ΟΙΚΤΟΙΣΙ*, ἐγὼ δὲ εὐχαῖς καὶ θρήνοις. *ΟΙΚΤΟΙΣΙ*, οἰκτρότητι. (ὀδυρμοῖς add. Gu. m. 2.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1233. *ΕΞΟΡΜΩΜΕΘΑ*, ἐξέλθωμεν.

V. 1234. *ΑΚΟΝΤΙΖΟΥΣΙ*, εἰ κατὰ γῆς ἔρχονται αἱ εὐχαὶ, ἐςακούσει. *ΑΡΑΙ*, αἱ εὐχαί. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1235. *ΠΡΟΓΟΝΕ*, τοῦ Ὀρέστου. Gu. Fl. 6. ἢ πρόγονον ἑαυτοῦ τὸν Δία λέγει, ἐπεὶ ἡ τούτου μήτηρ Ἀναξιβία ἐκ Διὸς κατήγετο, ἢ ὅτι ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε. Gu. *ΔΙΚΗΣ ΣΕΒΑΣ*, ὦ Δίκη. ἐπικαλεῖται δὲ αὐτὴν, ὡς δικαίως πράξας. (Gu. πράξοντες.) Gu. Fl. 6.

V. 1237. *ΔΙΚΗ ΜΙΑ*, τιμωρία. *ΕΙΣ ΑΓΩΝ, ΔΙΚΗ ΜΙΑ*, τουτέστιν ἓν ἀγώνισμα καὶ ἓν δίκαιον ποιούμεθα, ἢ ὁμοῦ ζῆν, ἢ ὁμοῦ θανεῖν· οὐ γὰρ ἀποθανόντος τινὸς ἐξ ἡμῶν οὐκ ἐθελήσει ὁ ἕτερος κοινωνῆσαι αὐτῷ τοῦ θανάτου, ἀλλ' ἢ πάντες ζησόμεθα, ἢ τεθνηξόμεθα πάντες. Gu.

V. 1238. *ΟΦΕΙΛΕΤΑΙ*, ἀπόκειται, χρέος ἔγκειται.

V. 1240 — 1242. *ΜΥΚΗΝΙΔΕΣ Ω ΦΙΛΑΙ.* Τὰ ἑξῆς ταῦτα εἴδη καλεῖται καὶ, ὡς εἴρηται, ἀλλοιόστροφα· εἰσὶ δὲ κατὰ σχέσιν. τῆς παρούσης οὖν στροφῆς τὰ κῶλα εἰσὶ ε. τὸ α ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐκ παίωνος β ἀντὶ ἰωνικοῦ καὶ κρητικοῦ. τὸ β ὅμοιον τρίμετρον ἀκατάληκτον ἐκ παίωνος β, ἰωνικοῦ πεντασυλλάβου καὶ ἐπιτρίτου α. τὸ γ ὅμοιον τρίμετρον βραχυκατάληκτον

ἐκ παίωνος δ ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, διϊάμβου καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ δ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ δύο παιώνων δ. τὸ ε ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ διϊάμβου. ἐπὶ τῷ τέλει παράγραφος. [καὶ β] διπλαῖ διὰ τὴν ἀνταπόδοσιν, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Baroc. 74.

V. 1241. 1242. *ΜΥΚΗΝΙΔΕΣ.* ὦ φίλαι Μυκηνίδες, αἱ κατὰ μοῖραν πρώτην οὖσαι κατὰ τὸ ἔδος τῶν Ἀργείων τὸ Πελασγικόν, τίνα λέγεις λόγον, πότνια; παραμένει γὰρ ἔτι σοὶ τὸ καλεῖσθαι πότνιαν ἐν Δαναΐδῶν πόλει. MS. C. C. C.

V. 1239. *ΜΥΚΗΝΙΔΕΣ Ω ΦΙΛΑΙ.* πρὸς τὰς ἀπὸ τοῦ χοροῦ διαλέγεται. Μυκηνίδας δὲ αὐτὰς καλεῖ καὶ Ἀργείας, ἐπεὶ ὀλίγον ἀλλήλων ἀφεστήκασιν αἱ πόλεις. Ἄλλως. Ἰνάχῳ ἐκ Μελίας ἐγένετο Φορωνεὺς καὶ Φηγεύς. τούτων ὁ Φορωνεὺς ἄρξας τὸ νῦν Ἄργος Φορωνικὸν ἄστυ ἐκάλεσε. ἴσχει δὲ παῖδας ἐκ Πειθοῦς Αἰγιαλέα, Ἄπιν, Εὐρώπαν, Νιόβην. Φηγεὺς πόλιν κτίζει Φηγὰς, καὶ παῖδας ἴσχει Σπάρτωνα καὶ Μέσσωνα. Σπάρτωνος δὲ παῖς Μυκηνεὺς, ὃς Μυκήνας ἔκτισε. Φορωνέως δὲ ἀπολωλότος καὶ τῶν παίδων τῶν Νιόβης διασκεδασθέντων, Ἄργος ὁ Νιόβης βασιλεύσας ὅλην τὴν ἐντὸς τοῦ Ἰσθμοῦ Ἀργείαν, καὶ τὸ Φορωνικὸν ἄστυ Ἄργος ἐκάλεσε. *ΤΑ ΠΡΩΤΑ.* λείπει τὸ φέρουσαι, τουτέστιν αἳ τὰ πρῶτα φέρεσθε κατὰ τὸ Ἄργος. Πελασγὸν δὲ ἀπὸ Πελασγοῦ τοῦ αὐτόθι βασιλεύσαντος.

V. 1241. *ΠΑΡΑΜΕΝΕΙ ΓΑΡ.* τὸ πότνιαν καλεῖσθαι.

V. 1243 sq. *ΣΤΗΘ' ΑΙ ΜΕΝ ΥΜΩΝ.* σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν β. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1241. 1242. *ΤΙΝΑ ΘΡΟΕΙΣ ΛΟΓΟΝ, ΣΥ ΠΟΤΝΙΑ.* οὕτω χρὴ γράφειν τόδε τὸ κῶλον· οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς· εἰ δὲ ἄλλως γράψει (—ψεις), οὐχ ἁρμόσει τῷ μέτρῳ. Baroc. 74.

V. 1243 sq. *ΣΤΗΘ' ΑΙ ΜΕΝ ΥΜΩΝ.* στῆτε εἰς φρουρὰν τῶν δόμων, αἱ μὲν ἀφ' ὑμῶν εἰς τόνδε τὸν ἁμαξήρη τρίβον, ἤγουν δι' οὗ ἕλκονται αἱ ἅμαξαι, τετραμμέναι δηλονότι, αἱ δὲ ἐνθάδε εἰς τὸν ἄλλον οἶμον, ἤγουν εἰς τὴν ἄλλην ὁδόν. MS. C.C.C. Gu. *ΤΟΝΔ' ΑΜΑΞΗΡΗ,*

κατὰ τὴν λεωφόρον ὁδὸν τὴν δημοσίαν, αἱ δὲ εἰς ἄλλην ὁδὸν, εἰς τὸ τηρῆσαι τὸν οἶκον. *ΑΜΑΞΗΡΗ,* τὸν κατημαξευμένον, τὸν συνήθη. Gu. Fl. 6. *ΤΡΙΒΟΝ.* ὁ τρίβος καὶ ὁ οἶμος Ἀττικῶς (Ἰονικῶς Florr.). Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1244. *ΕΣ ΦΡΟΥΡΑΝ,* εἰς τὸ φρουρεῖν καὶ τηρεῖν τὸν οἶκον. Fl. 21. ἀσφάλειαν. Fl. 6. φύλαξιν. Fl. 17.

V. 1245—1249. *ΤΙ ΔΕ ΜΟΙ ΤΟΔΕ ΧΡΕΟΣ.* ἡ β αὕτη στροφὴ κώλων ἐστὶ ε. τὸ α ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τῶν δύο πρώτων ποδῶν χορείων. τὸ β παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ καὶ ἰάμβου. τὸ γ ἰωνικὸν ἀκατάληκτον τρίμετρον ἐκ παιώνων β [ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος [5]] καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β καὶ γ ποδὸς ἀναπαίστου· εἰ δὲ βούλει, προσῳδιακὸν τρίμετρον [6] ὑπερκατάληκτον, ἐκ παίωνος β, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου καὶ συλλαβῆς. τὸ ε ὅμοιον ἀντεστραμμένον πρῶτον ἔχον τὸν χορίαμβον· εἰ δὲ βούλει, δακτυλικὸν ἑφθημιμερές. εἶτα παράγραφος καὶ β διπλαῖ.

V. 1245. 1246. *ΤΙ ΔΕ ΜΟΙ ΤΟΔΕ ΧΡΕΟΣ.* ἤγουν τίνα χρείαν καλεῖς ἐμὲ σαυτῇ, τουτέστι τί χρησιμεύσω σοι καλουμένη. *ΤΙ ΔΕ ΜΕ.* εἰς τί μοι τοῦτο τὸ πρᾶγμα προστάσσεις, τὸ φρουρεῖν δηλαδὴ τὴν ὁδόν. *ΤΙ ΔΕ ΜΕ (ΜΟΙ).* εἰ μὲν δοτικὴ, οὕτως· εἰς τί δὲ, ἤγουν εἰς ποῖον σκοπὸν, ἀπύεις ἐμοὶ, ἀντὶ τοῦ κελεύεις, τόδε τὸ χρέος. εἰ δὲ αἰτιατικὴ, οὕτως· εἰς τί τόδε τὸ χρέος, ἤγουν εἰς τίνα τήνδε τὴν χρείαν καλεῖς ἐμὲ, τουτέστι, τίς ἐστιν αὕτη ἡ χρεία, εἰς ἣν καλεῖς ἐμέ; Gu. Fl. 6. 17. 21. 56. 59. 76.

V. 1247—1249. *ΦΟΒΟΣ ΕΧΕΙ ΜΕ.* φοβοῦμαι, μή τις ἐπὶ δώμασι σταθεὶς, ἀντὶ τοῦ ἐπιστὰς τοῖς δώμασιν, ἐπὶ φόνιον αἷμα ἕτερα πήματα ἐφ' οἷς σύνεσμεν ἐργάσηται καθ' ἡμᾶς (ἡμῶν). MS. C. C. C. [7]

5) Verba ἀντὶ ἰωνικοῦ ἀπὸ μ. seclusit King.

6) King. δίμετρον.

7) In Gu. hae sunt singulae glossae: ἀντὶ τοῦ φοβοῦμαι a m. pr. — ἐπὶ δώμ. — δώμασιν a m. pr. —ἕτερα a m. 2. ἐπὶ a m. pr. οἷς σύνεσμεν a m. 2. ἐργάσηται a m. pr. καθ' ἡμῶν m. 2. Itaque in sqq. singulas glossas adscripsi, ut in Gu. leguntur.

V. 1250. 1251. *ΧΩΡΕΙΤ' ΕΠ.* σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τριῶν. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1250. *ΕΠΕΙΓΩΜΕΣΘΑ*, σπεύδωμεν. Gu. MS. C. C. C.

V. 1251. *ΕΚΦΥΛΑΞΩ* ἀντὶ τοῦ φυλάξω. Gu. MS. C. C. C. *ΠΡΟΣ ΗΛΙΟΥ ΒΟΛΑΣ*, πρὸς ἀνατολήν. *ΠΡΟΣ ΗΛΙΟΥ Β.* ἤγουν τὸν πρὸς ἀνατολὰς φέροντα δηλονότι. Gu. MS. C. C. C.

V. 1252. *ΠΡΟΣ ΕΣΠΕΡΑΝ*, πρὸς τὴν δύσιν. *ΟΣ ΠΡΟΣ ΕΣΠΕΡΑΝ ΦΕΡΕΙ.* ἤτοι ἡνιοχεῖ τὸ δυτικὸν, ὅτι τῆς ἑσπέρας ἐστὶν, ἢ ὅτι τότε εἰς ἑαυτοὺς περῶμεν, ἢ ὅτι τῆς ἠοῦς πέρας ἐστὶν, ἢ ἐσωφέρα τὶς οὖσα ἀπὸ τοῦ πάντας εἰςφέρειν, ἤτοι εἴσω φέρειν. καὶ ἡ Σαπφὼ δὲ οὕτω τὸν ἑσπέριον ἀστέρα εἶπε, τρόπον τινὰ ἐτυμολογοῦσα τὸ ὄνομα, ἕσπερε πάντα φέρων ὅσα φαινόλις [8]) ἐσκέδασ' αὔως.

V. 1253—1255. *ΔΟΧΜΙΑ ΝΥΝ ΚΟΡΑΣ.* ἡ γ αὕτη στροφὴ κώλων ἐστὶν ε. τὸ α καὶ β παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ καὶ ἰάμβου. τὸ γ ἰαμβικὸν καθαρὸν ἑφθημιμερές. τὸ δ ἀναπαιστικὴ βάσις· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον. τὸ ε ὅμοιον τῷ α. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλαῖ, ἡ μὲν [9]) ἐν ἀρχῇ τοῦ κώλου ἐκτὸς νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος ἐντὸς [10]) νενευκ.

V. 1253. *ΔΟΧΜΙΑ.* οἷον περίφερέ σου καὶ πλαγίαζε τὸ ὄμμα, καὶ φύλασσε, καὶ τὰ πλάγια τῶν οἴκων ἐπιτήρει. *ΔΟΧΜΙΑ*, πλαγίως. Gu. Fl. 6. 9. 17. 21. 25. 54. 56. 59. 76. *ΔΙΑΦΕΡΕ*, παράφερε. (κίνει add. Gu.) Gu. Florr. iidem.

V. 1254. *ΕΚΕΙΘΕΝ ΕΝΘΑΔ'*, ἀπ' ἐκείνου τοῦ μέρους εἰς τοῦτο. ἐπὶ κινήσεως ἐνταῦθα τὸ ἐνθάδε. Gu. *ΣΚΟΠΙΑΝ*, ἀντὶ τοῦ φυλακήν. (ἐπιτήρησιν.) Gu.

V. 1255. *ΕΧΟΜΕΝ*, οὕτω διακείμεθα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΘΡΟΕΙΣ*, λέγεις. Gu. Florr. iidem.

8) φαινόλις. Sic Barn. correxit vulgatum φαινόλης.

9) ἡ μὲν add. Barn.

10) ἐντός. Sic Barn. King. Vulgo ἐκτός.

V. 1256. *ΕΛΙΣΣΕΤΕ ΝΥΝ.* ἡ ἀντιστροφὴ αὕτη τῆς α ἐστὶ στροφῆς [1]), Μυκηνίδες ὦ φίλαι. κώλων γάρ ἐστι καὶ αὕτη ε ἰσομέτρων ἐκείνοις. τὸ μέντοι α κῶλον τετρασύλλαβον ἔχει τὸν κρητικόν. τὸ δὲ β οὐ καλῶς εἶχε· διὸ καὶ ἀντιγέγραπται παρ' ἐμοῦ, καὶ ἔχει νῦν ὀρθῶς. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1256. 1257. *ΕΛΙΣΣΕΤΕ ΝΥΝ.* τὸ ἑξῆς· ἑλίσσετε οὖν βλέφαρον διὰ βοστρύχων, καὶ κόραισι δίδοτε πάντα, ὅ ἐστι πάντα τόπον τῇ θέᾳ δίδοτε καὶ σκοπεῖτε. τὸ *ΔΙΑ ΒΟΣΤΡΥΧΩΝ* λέγει ἀντὶ τοῦ διὰ τοῦ κινεῖν τὴν κεφαλὴν ὧδε κἀκεῖσε. καὶ ἔστιν ἀπὸ μέρους τὸ πᾶν· μέρος γὰρ τῆς κεφαλῆς οἱ βόστρυχοι. ἢ τὸ διὰ βοστρύχων λέγει, [2]) ἐπειδὴ καθειμένον εἶχον τὸν πλόκαμον μέχρι τῶν παρειῶν, ἢ ὡς πενθοῦσαι τὸν Ὀρέστην, ἢ ὡς παρθένοι, ἐξ οὗ συνέβαινε τὰ πλάγια μὴ ὁρᾷν. δηλοῖ δὲ ἡ διά τὸ μέσον κατὰ τοῦτον τὸν λόγον. *ΚΟΡΑΙΣΙ.* κόρας φησὶ τὸ ἐπὶ ταῖς κόραις βλέφαρον· κόρον γὰρ τὸ μέλαν. ἑλίσσετε καὶ κινεῖτε, καὶ διὰ τῶν βοστρύχων αὐτὸ δίδοτε πανταχόσε, ἀντὶ τοῦ τὰς κόρας καὶ τὰς ὄψεις ἀποτείνετε πανταχοῦ, ἵν' ᾖ τὸ πάντῃ ἀντὶ τοῦ πανταχοῦ, ἢ πάντα τόπον δίδοτε ταῖς ὄψεσι.

V. 1256. *ΕΛΙΣΣΕΤΕ*, συστρέφετε ἁπανταχόσε τοὺς ὀφθαλμούς. Gu. *ΒΛΕΦΑΡΟΝ*, τοὺς ὀφθαλμοὺς δηλονότι, ἤγουν περισκοπεῖσθε. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΒΛ. ΚΟΡΑΙΣΙ ΔΙΔΟΤΕ.* τὸ βλέφαρον ἐνδίδοτε ταῖς κόραις, τουτέστι τοῖς ὀφθαλμοῖς πάντη ἤγουν πρὸς πᾶν (G. προπᾶν) μέρος διὰ τῶν βοστρύχων. Gu. Fl. 6. 17. 56. 59. 76.

V. 1258 sq. *Ο ΔΕ ΤΙΣ.* φαντασθὲν τὸ ἡμιχόριον ἐρχόμενον τινὰ, τοῦτο πρὸς τὴν Ἠλέκτραν φησίν. ἀγρότης δὲ εἶπεν, ἐπειδὴ ᾤετο μή τινα ἂν τῶν ἐν τῇ πόλει λαμπρῶν ἀφῖχθαι, ἀλλ' ἐξ ἀγροῦ τινὰ, ποιμένα λέγω, ἢ συβώτην διά τινα χρείαν. τὸ δὲ τὶς ἀόριστόν ἐστιν, οἷον

1) King. add. ἧς ἡ ἀρχὴ, Μυκ. κ. τ. λ.

2) Haec verba, τὸ διὰ βοστρύχων λέγει — ἢ τὸ διὰ βοστρύχων λέγει, ut et ultima: δηλοῖ δέ — τὸν λόγον e Gu. dedi, ex quo est etiam εἶχον pro ἔχουσι et τῶν ante παρειῶν. Idem vitiose καθήμενον pro καθειμένον.

ἀγρότης τις ἄρα ἀνὴρ ὅδε, ὃν λέγεις δηλονότι; πολεῖ ἀμφὶ τὸ σὸν μέλαθρον, ἤγουν ἔρχεται ἐπὶ τὸ σὸν μέλαθρον. [3])

V. 1260. 1261. *ΑΠΩΛΟΜΕΣΘ' ΑΡΑ.* κατὰ ἀποκοπὴν ἴαμβοι δύο τρίμετροι. ἐπὶ τῷ τέλει παράγραφος. Baroc. 74.

V. 1260. 1261. *ΑΠΩΛΟΜΕΣΘ' ΑΡ',* ὦ φίλαι, αὐτίκα, εἰ [4]) τοὺς κεκρυμμένους ξιφήρεις θῆρας, ἤγουν τὸν Ὀρέστην καὶ τὸν Πυλάδην δείξει καὶ μηνύσει τοῖς ἐχθροῖς.

V. 1261. *ΕΧΘΡΟΙΣ,* τῷ Μενελάῳ καὶ τοῖς ἄλλοις. Gu.

V. 1262 sqq. *ΑΦΟΒΟΣ ΕΧΕ.* ἡ ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, τί δέ με τόδε χρέος. κώλων γάρ ἐστι καὶ αὕτη ἰσομέτρων ἐκείνῃ ε. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1262. *ΑΦΟΒΟΣ ΕΧΕ.* μὴ φοβοῦ, ἄφοβος ἔσο. *ΚΕΝΟΣ,* ἐν ἐρημίᾳ ἀνθρώπων. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

V. 1263. *ΣΤΙΒΟΣ.* ἀρσενικῶς εἶπεν ὁ στίβος. κενὸς ἐστὶν ὁ στίβος, ὃν οὐ δοκεῖς εἶναι κενὸν δηλονότι.

V. 1264. *ΤΟ ΣΟΝ ΒΕΒΑΙΟΝ.* πρὸς τὸ ἄλλο ἡμιχόριον λέγει Ἠλέκτρα· πῶς δὲ τὸ κατὰ σέ; ἆρ' ἔτι βέβαιον μένει; *ΤΟ ΣΟΝ,* μέρος. (ἤγουν ἡ σὴ φυλακὴ βεβαία ἐστίν;) Gu. [5]) *ΕΤΙ,* ἀντὶ τοῦ παρὰ τοῖς κοινοῖς ἀκμήν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

3) Hunc locum e Gu. dedi. Vulgo *ἀόριστόν ἐστιν, οἷον ἀγρότης τις. ὁ δὲ ὃν λέγει δηλ. πολεῖται, ἤγουν ἔρχεται* etc. Codex etiam *ἤγουν ἀγρ.* omittit *ἔρχεται* et habet *ἀντὶ τοῦ ἐπὶ τὸ σὸν μ.* Idem fuisse videtur in MS. C.C.C. ex quo King. in paraphr. post ea, quae e textu et scholio edito dedit, adiecit *πολεῖ ἀμφὶ τὸ σὸν μέλαθρον ἀντὶ τοῦ ἐπὶ τὸ σὸν μ.* Ceterum in Gu. haec verba a superioribus seiuncta sunt, et, nisi fallor, alia manu scripta.

4) *εἰ.* Sic Junt. *εἰς* Basil. et Gu. Hic etiam in fine *φανεῖ τοῖς ἐχθροῖς, ἤγουν δείξει, μηνύσει.*

5) *μέρος* habent etiam Florr. omnes. Pro reliquis Fl. 6. *ἡ φυλ. ἡ ὑπὸ σὲ βεβαία μένει, ἤγουν ὑπάρχει.*

V. 1265 sq. *ΕΙ ΤΑΔ' ΕΡΗΜΑ,* εἰ τὰ πρὸς τὴν αὐλὴν μέρη εἰσὶ μεμονωμένα.

V. 1267—1269. *ΚΑΛΩΣ ΤΑ Γ' ΕΝΘΕΝΔ'.* κατὰ περικοπὴν ἴαμβοι τρίμετροι τρεῖς. ἐπὶ τῷ τέλει παράγραφος. Baroc. 74.

V. 1267. *ΚΑΛΩΣ ΤΑ Γ' ΕΝΘΕΝΔ'.* καλῶς ἔχει δηλονότι τὰ ἀπὸ τούτου τοῦ μέρους. Gu. MS. C. C. C. *ΤΑΠΙΣΩ* (sic Gu.). τοπικῶς λέγεται τὸ ὀπίσω ἀντὶ τοῦ εἰς τὴν ἄλλην ὁδόν. Gu. MS. C. C. C.

V. 1268. *ΩΣ,* ὅτι. Gu. *ΠΕΛΑΖΕΤΑΙ,* ἀντὶ τοῦ πελάζει. (πλησιάζει add. Gu.) Gu. MS. C. C. C.

V. 1269. *ΕΣ ΤΑΥΤΟΝ,* ἐμοί. Gu. Florr. συμφωνεῖς μοι. Gu. m. sec. MS. C.C.C. *ΤΗιΔ' ΟΧΛΟΣ,* ταύτῃ τῇ μερίδι θόρυβος, ἀντὶ τοῦ πρᾶγμα ποιοῦν θόρυβον. Gu. MS. C.C.C. *ΤΗιΔΕ,* ἐνταῦθα, ὅπου ἐγὼ εἰμί. Gu. m. 2.

V. 1270—1272. *ΦΕΡΕ ΝΥΝ ΕΝ ΠΥΛΑΙΣ.* ἡ ἀντιστροφὴ αὕτη τῆς τρίτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, δόχμια νῦν κόρας. καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ ε, ἐν μέντοι τῷ ε κώλῳ ἀντὶ ἰάμβου ἔχει σπονδεῖον· ἀδιάφοροι γάρ εἰσιν αἱ καταλήξεις τῶν κώλων καὶ ὁ παρατέλευτος πούς· ἔνθα γὰρ ἰαμβικὴ κεῖται συζυγία, ἐναλλάττουσι τοὺς χρόνους, καὶ ἀντὶ διϊάμβου ἐπιτιθέασιν ἐπίτριτον, ὃς κεῖται [6]) ἐκ σπονδείου καὶ ἰάμβου, ἢ ἐξ ἰάμβου καὶ σπονδείου. ἔστι δὲ ὅτε σύγκειται καὶ δισπόνδειον. ἐπὶ τῷ τέλει τῆς παρούσης ἀντιστροφῆς παράγραφος.

V. 1270. *ΦΕΡΕ ΝΥΝ.* τὴν ἀκοὴν, ἤτοι τὸ οὖς τὸ ἐμὸν πρὸς ταῖς πύλαις παραθῶ, ὥςτε ἀκοῦσαι. *ΑΚΟΑΝ,* ἄκουσμα, βοήν. Gu. ἤγουν ἀκουστικὸν λόγον. Fl. 59.

V. 1271. 1272. *ΤΙ ΜΕΛΛΕΘ' ΟΙ ΚΑΤ' ΟΙΚΟΝ.* διὰ τί ἀναβάλλεσθε πρὸ τοῦ ἐπιστῆναι τινὰ σφάγια φοινίσσειν, τουτέστι τὴν Ἑλένην φονεύειν. *ΤΙ ΜΕΛΛΕΘ' ΟΙ ΚΑΤ' ΟΙΚΟΝ.* τί βραδύνετε οἱ κατὰ τὸν οἶκον ὄντες, ἐν ἡσυχίᾳ, ἤγουν ἐν ἀταραξίᾳ [7]), ἐν ὅσῳ οὐδεὶς

6) *κεῖται.* Scribendum videtur *σύγκειται* et versu sq. *κεῖται καὶ δισπόνδειον* pro *σύγκειται.*

7) E C.C.C. edid. King. *ὡς ἡσυχία ἤγουν ἀταραξία ἐστίν.* In

ὀχλεῖ, ὥςτε *σφάγια φοινίσσειν*, ὥςτε τὴν σφαγὴν ποιεῖν, ὤφειλεν· ἐπεὶ δὲ τὸ ἀπὸ τῆς σφαγῆς αἷμα φοινίσσει, φησὶ σφάγια φοινίσσειν, ἀντὶ τοῦ αἷμα χεῖν διὰ σφαγῆς. MS. C. C. C. Gu. πρὸς τοὺς περὶ τὸν Ὀρέστην φησί. Gu.

V. 1272. *ΣΦΑΓΙΑ*, τὰ θύματα, ἤγουν τὴν Ἑλένην. Gu. *ΦΟΙΝΙΣΣΕΙΝ*, βάπτειν ἐν τῷ αἵματι. Gu. ὤφειλεν εἰπεῖν ἐκτελέσαι. Fl. 33.

V. 1274. *ΑΡ' ΕΙΣ ΤΟ ΚΑΛΛΟΣ.* ἆρα εἰς τὸ τῆς Ἑλένης κάλλος βλέψαντες οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν; οἷόν τι καὶ Στησίχορος ὑπογράφει, περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων. φησὶ γὰρ ἅμα τῷ τὴν 8) ὄψιν αὐτῆς ἰδεῖν αὐτοὺς ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν. Ἄλλως. Ἐὰν ᾖ *ἐκκεκώφηται* ἄνευ τοῦ ν, ἔστιν ὁ λόγος· ἆρα μὴ καὶ τὰ ξίφη τῆς Ἑλένης ἀγασθέντα τὸ κάλλος ἀνεπαίσθητα καὶ ἀνενέργητα γεγόνασιν. ἐὰν δὲ ᾖ *ἐκκεκώφηνται* μετὰ τοῦ ν, ἐπὶ τῶν περὶ Ὀρέστην ἀκουστέον· ἆρα μὴ διὰ τὸ κάλλος τῆς Ἑλένης ἀνεπαίσθητοι ἔμειναν, καὶ εἴασαν τὰ ξίφη. ἐκκεκώφηνται, ὡς παρακέκληνται. Ἀριστοφάνης δὲ γράφει *ἐκκεκώφωνται* (— φωται) ξίφη. ὁ δὲ λόγος, ἆρα μὴ καὶ τὰ ξίφη νενίκηται τῷ κάλλει καὶ διαμεμάλακται. ἐὰν δὲ ᾖ *ἐκκεκώφωνται*, ἐπὶ τῶν περὶ Ὀρέστην ἐκδεκτέον, ὅτι ἐκκεκώφωνται αὐτοὶ πρὸς τὸ κάλλος καὶ εἴασαν τὰ ξίφη. *ΕΣ ΤΟ ΚΑΛΛΟΣ*, ἀφορῶντα δηλονότι. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. *ΕΚΚΕΚΩΦΗΤΑΙ*, ἀνενέργητα ἔμειναν. Gu. m. pr. Florr. iidem. ἠμβλύνθη, ἐξησθένησε. Gu. m. 2. Fl. 6.

V. 1275 sq. *ΤΑΧΑ ΤΙΣ ΑΡΓΕΙΩΝ.* τὰ ἑξῆς ταῦτα εἴδη καλεῖται κυρίως ἀνομοιόστροφα, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν. ἔστι γοῦν τῆς παρούσης στροφῆς τὰ κῶλα δ. τὸ α παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ καὶ σπονδείου. τὸ β ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ σπονδείου. τὸ γ καὶ δ ὅμοια τῷ πρώτῳ. ἐπὶ τῷ τέλει παράγραφος.

Gu. ἐν ἀταρ. — ὀχλεῖ, tum *αἷμα* — *σφαγῆς* inter lineas etiam scripta sunt m. sec.

8) *ἅμα τῷ.* Vulgo *ἅμα τό.* Paulo ante *αὐτὴν* dedit Barn. pro *αὐτῶν*, quod habent Junt. Basil. Supra pro *βλέψαντες* Flor. 10. habet *ἐμβλέψαντες*.

V. 1276. *ΠΟΔΙ ΒΟΗΔΡΟΜΩι.* τῷ βοηθῷ, τῷ μετὰ βοῆς βοηθοῦντι, ἢ τῷ ἐν τῇ βοῇ θέοντι, ἤγουν ἐν τῇ μάχῃ. ἴσως, φησὶ, τὶς ἀπὸ τῶν Ἀργείων μεθ' ὅπλων ὁρμήσας πρὸς, τὰ μέλαθρα βοηθὸς παραγενήσεται. *ΠΟΔΙ*, πορείᾳ. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. *ΒΟΗΔΡΟΜΩι*, βοηθῷ. (ταχυτάτῳ add. Gu. m. 2.) Gu. Florr. iidem. *ΠΡΟΣΜΙΞΕΙ*, προςελεύσεται. Gu. m. pr. Florr. iidem. προςμίξει καὶ προςέλθει. τοῦτο δὲ εἶπεν, ἢ διότι πρὸς τὸν φόνον οὗτοι βραδύνουσιν, ἢ διότι τὸν χορὸν εἶδεν ἀμελῶς πρὸς τὴν φυλακὴν ἔχοντα. Gu. m. 2.

V. 1277 sq. *ΣΚΕΨΑΣΘΕ ΝΥΝ.* κατὰ περικοπὴν στίχοι δύο ἰαμβικοί. ἐπὶ τῷ τέλει παράγραφος. Baroc. 74.

V. 1277 sq. *ΣΚΕΨΑΣΘΕ* βέλτιον, καὶ ἀκριβῶς σκοπήσατε· οὐ γὰρ χρεία νῦν τοῦ καθέζεσθαι. βέλτιον δ' ἀκριβῶς σκοπῆσαι ἐκ διαδοχῆς πάντα περιβλεπομένην. 9)

V. 1277. *ΟΥΧ ΕΔΡΑΣ ΑΓΩΝ*, οὐκ ἀναπαύσεως καιρός. Gu. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76.

V. 1278. *ΕΝΘΑΔ'*, εἰς τοῦτο τὸ μέρος, ἐπὶ κινήσεως. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. MS. C. C. C. *ΕΛΙΣΣΕΤΕ*, τοὺς ὀφθαλμοὺς δηλονότι, ἤγουν περισκοπεῖσθε. (συστρέφετε ἑαυτάς add. Gu.) Gu. Florr. iidem, MS. C. C. C.

V. 1279 sq. *ΑΜΕΙΒΩ ΚΕΛΕΥΘΟΝ.* ἡ στροφὴ αὕτη κώλων ἐστὶ β. τὸ α ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἀντισπάστου καὶ τροχαίου. τὸ β ἰαμβικὸν καθαρὸν πενθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1279 sq. *ΑΜΕΙΒΩ ΚΕΛ.* διαβιβάζω τὸν ὀφθαλμὸν, ἀκριβῶς πάντα περιβλεπομένη. *ΑΜΕΙΒΩ ΚΕΛ.* διέρχομαι τοῖς ὄμμασιν. Gu. Fl. 6. 9. 17. 21. 25. 54. 56. 59. 76.

V. 1281—1283. *ΙΩ ΠΕΛΑΣΓΟΝ.* κατὰ περικοπὴν στίχοι ἰαμβικοὶ γ. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1281. *ΙΩ ΠΕΛΑΣΓΟΝ ΑΡΓΟΣ.* ἰὼ, Ἀργεῖοι, ὄλλυμαι κακῶς. *ΟΛΛΥΜΑΙ*, φθείρομαι. Gu.

9) Ultima, *βέλτιον δ'* — *περιβλεπομένην*, e Flor. 33. addidi.

V. 1282. *ΧΕΙΡ' ΕΧΟΥΣΙΝ ΕΝ Φ.* ἤγουν ἤδη τοῦ φόνου ἀπάρχονται. Gu. [10])

V. 1283. *ΕΛΕΝΗΣ ΤΟ ΚΩΚ.* Ἑλένης ὁ θρῆνος, ὡς ἔστι τεκμήρασθαι. *ΚΩΚΥΜΑ,* ἡ μετὰ θρήνου βοή. Gu. bis. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

V. 1284 sq. *Ω ΔΙΟΣ.* ἡ στροφὴ αὕτη κώλων ἐστὶ β. τὸ α δακτυλικὸν τετράμετρον. τὸ β ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1284. *ΑΕΝΑΟΝ.* διηνεκές. (ἀδιάλειπτον add. Gu.)

V. 1285. *ΕΛΘ' ΕΠΙΚΟΥΡΟΝ.* ἐλθὲ ἐξ ἅπαντος τρόπου ἐπίκουρον τοῖς ἐμοῖς φίλοις. Gu. MS. C. C. C. *ΠΑΝΤΩΣ,* ἀληθῶς. Gu. m. 2. MS. C. C. C. ἐξαπάντως. MS. C. C. C.

V. 1286. *ΠΑΡΩΝ,* ἐν τῇ πόλει ὤν. *ΠΑΡΩΝ,* ἐν Ἄργει. Gu. Fl. 6.

V. 1287—1295. *ΚΑΙΝΕΤΕ.* σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων η. τὸ α δακτυλικὸν τετράμετρον καθαρόν. τὸ β καὶ γ καὶ τὸ δ καὶ ε ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· ἔχει δὲ τὸ γ τὸν β πόδα προκελευσματικόν, ἤτοι τετράβραχυν, τὸ δὲ ε τὸν β πόδα χορεῖον. τὸ ς ἰαμβικὸν ἑφθημιμερὲς ἐκ χορείων. τὸ ζ ὅμοιον. τὸ η τροχαϊκὸν δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

V. 1287 sqq. *ΚΑΙΝΕΤΕ.* τὸ ἑξῆς, καίνετε (φονεύετε Gu.) τὴν λειποπάτορα, ἤγουν τὴν λειπόγαμον, (λιποπ. λιπόγ. Gu.) ἤγουν τὴν καταλιποῦσαν τὸν ἑαυτῆς γάμον.

V. 1287. *ΚΑΙΝΕΤΕ,* ἀποκτείνετε, ἀπὸ τοῦ καίνω, τὸ φονεύω. *ΚΑΙΝΕΤΕ,* σφάζετε, κεντεῖτε. (καινὴς γὰρ ἡ μάχαιρα add. Fl.) Gu. Fl. 6.

V. 1288. *ΔΙΠΤΥΧΑ,* διπλᾶ διὰ τὴν ὀξύτητα. Gu. m. sec. ἀντὶ τοῦ δύο. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΔΙΣΤΟΜΑ,* ἀντὶ τοῦ δύο στόματα ἑκάτερον ἔχοντα. Gu. m. pr. Florr. iidem.

10) φθείρομαι et ἤδη — ἀπάρχονται dedit etiam King. in paraphr. haud dubie e MS. C. C. C. quamvis nihil monuit.

V. 1289. *ΙΕΜΕΝΟΙ,* ἀντὶ τοῦ ἱέντες. ἁπλούστερον δὲ ὡς γυναῖκες εἶπον· οὐδεὶς γὰρ ξίφος ἀφίησι, καὶ βάλλει. ἢ τὸ ἱέμενοι ἀντὶ τοῦ προθυμούμενοι.

V. 1290. *ΛΙΠΟΠΑΤΟΡΑ, ΛΙΠΟΓ.* τὴν καταλιποῦσαν τὸν πατέρα καὶ τὸν Μενέλαον. *ΛΙΠΟΠΑΤΟΡΑ,* τὴν καταλιποῦσαν τὸν ἑαυτῆς πατέρα. Gu. *ΛΙΠΟΓΑΜΟΝ,* τὴν καταλιποῦσαν τὸν ἑαυτῆς ἄνδρα. Gu.

V. 1291. *ΕΚΑΝΕΝ,* αἰτία ἐγένετο φονευθῆναι αὐτούς. (ἐφόνευσεν.) Gu.

V. 1292. *ΔΟΡΙ,* ἐν τῷ πολέμῳ. Gu. *ΠΑΡΑ ΠΟΤΑΜΟΝ,* τὸν Ξάνθον. *ΠΟΤΑΜΟΝ,* τὸν Σιμόεντα. Gu. τὸ ποταμὸν καὶ τὸ Σκαμάνδρου δίνας ταὐτόν ἐστιν. Baroc. 74. Gu.

V. 1293—1295. *ΟΘΙ ΔΑΚΡΥΑ.* ὅπου συνέπεσε δάκρυα περὶ τὰς συστροφὰς τοῦ Σκαμάνδρου.

V. 1294. *ΣΥΝΕΠΕΣΕ,* συνῆλθον. Gu. συνεμίγησαν. Fl. 33. *ΣΙΔΑΡΕΟΙΣΙ ΒΕΛΕΣΙΝ,* διὰ σιδηρῶν βελῶν. Gu. [1])

V. 1296 sqq. *ΣΙΓΑΤΕ.* αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μη, ὧν τελευταῖος, τὰς μὲν γὰρ οἶδα συμφοράς, τὰς δ' οὐ σαφῶς. μετὰ δὲ τὸν μβ κῶλα τρία. τὸ α ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον ἀκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας καὶ παιώνων β ἀντὶ ἰωνικοῦ. τὸ β ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν. τὸ γ ἰωνικὸν ἐξ ἰωνικοῦ ἀπὸ ἐλάττονος, διϊάμβου καὶ δακτύλου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς.

V. 1296. *ΤΙΝΟΣ,* ἀνθρώπου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1297. *ΕΙΣΠΕΣΟΝΤΟΣ,* εἰσελθόντος. Fl. 6. ἐκείνου. Gu.

V. 1298. *ΕΙΣ ΜΕΣΟΝ ΦΟΝΟΝ,* εἰς τὸ μέσον τοῦ φόνου, ἢ εἴσω τοῦ φόνου, περιφραστικῶς. *ΦΟΝΟΝ,* τῆς μητρὸς αὐτῆς. Gu.

V. 1300. *ΣΤΕΙΧΕΙ ΓΑΡ ΕΙΣΠΕΣΟΥΣΑ.* στείχουσα γὰρ πίπτει εἰς βρόχους δικτύων. Gu. Fl. 6. 9. 17.

1) Gu. fere omnia in paraphr. habet etiam King.

21. 56. 59. 76. *ΔΙΚΤΥΩΝ ΒΡΟΧΟΥΣ*, εἰς τὰ δίκτυα, περιφραστικῶς. *ΔΙΚΤΥΩΝ ΒΡ.* εἰς σύλληψιν ἄφυκτον. Gu. *ΒΡΟΧΟΥΣ*, πνιγμονάς. Fl. 33.

V. 1301. *ΗΝ ΑΛΩι*, ἐὰν κρατηθῇ. (ἀγρευθῇ add. Gu. Fl. 25. 34. 76.)

V. 1302. *ΠΑΛΙΝ ΚΑΤΑΣΤΗΤΕ*, ἐγκατάστητε, ἐν καταστάσει γίνεσθε, καὶ μὴ θορυβεῖτε. ἀναδράμετε, φησὶν, εἰς τὴν προτέραν κατάστασιν τῆς ὄψεως, καὶ τὸ μὲν ὄμμα κατεστυγνωκὸς ἔχετε, τὸ δὲ πρόςωπον ἀνύποπτον τῶν πεπραγμένων χάριν, τουτέστι προςποιεῖσθε καὶ νῦν κατηφεῖς εἶναι, καὶ λυπεῖσθαι διὰ τὸν Ὀρέστην, ἵνα μὴ περιχαρεῖς ὑμᾶς ὁρῶσα συνῇ τὸν κατὰ τῆς μητρὸς αὐτῆς Ἑλένης πραττόμενον φόνον. *ΠΑΛΙΝ ΚΑΤΑΣΤΗΤΕ*, ὥςπερ πρότερον, πρὸ τοῦ ἐλθεῖν αὐτὴν δηλονότι, ἐν ἡσύχῳ μὲν ὄμματι, ἤγουν ἀταράχῳ, ὡς ἀνελπίστως ἔχουσαι δηλονότι καὶ ἠπορημέναι, καὶ ἐν χροιᾷ ἀδήλῳ, ἤγουν ἀνυπόπτῳ ἕνεκα τῶν πεπραγμένων. MS. C.C.C. Gu. m. pr.

V. 1303. *ΑΔΗΛΩι*, ζοφώδει καὶ ἀφανεῖ χαρᾶς. Gu. m. 2.

V. 1305. *ΟΥΚ ΕΙΔΥΙΑ ΤΑΞΕΙΡΓ.* οὐ γινώσκουσα τὰ γεγενημένα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1307. *ΣΤΕΨΑΣΑ*, κοσμήσασα. (διὰ τοῦ τῆς μητρὸς πλοκάμου τιμήσασα.) Gu. [2]) *ΣΠΕΙΣΑΣΑ*, θυσιάσασα τοῖς κάτω θυσίας. *ΧΟΑΣ*, ἃς ἔθος τοῖς νεκροῖς πέμπεσθαι. Gu.

V. 1308. *ΗΚΩ ΛΑΒΟΥΣΑ.* ἦλθον, φησὶν, ἐξευμενισαμένη τὸν τάφον τῆς Κλυταιμνήστρας. παρὰ δὲ τὸ πρᾶον καὶ εὐμενὲς συντέθειται τὸ ὄνομα, ἀντὶ τοῦ πραϋμενῆς. *ΠΡΕΥΜΕΝΕΙΑΝ.* πραότητα, εὐμένειαν. *ΠΡΕΥΜΕΝΕΙΑΝ*, συμπάθειαν, ἱλασμὸν πατρὶ καὶ μητρί. Gu.

V. 1309. 1310. *ΗΝΤΙΝ' ΕΝ ΔΟΜ. — ΒΟΗΝ*, διὰ τὴν βοὴν, ἥντινα ἤκουσα ἐν τοῖς δόμοις. (δέον εἰπεῖν

2) κοσμήσασα est etiam in editis. Cetera sunt etiam in Baroc. 74. ita, ut, quae ad χοάς adscripsi, cum iis una serie cohaereant, ἃ ἔθος — τέμνεσθαι (sic).

πρὸς τὸ φόβος βοὴ ἥντινα κλύω, ἐπειδὴ τὸ ἥντινα προὔθηκε, πρὸς τοῦτο καὶ βοὴν ἐπήγαγεν.) [3]) Gu.

V. 1310. *ΤΗΛΟΥΡΟΣ ΟΥΣΑ.* πόῤῥω οὖσα, ἤτοι τῆλε τῶν ὁρίων τῆς οἰκίας. ἐν γὰρ τῷ τάφῳ τῆς Κλυταιμνήστρας ἦν. ὁ δὲ λόγος, ἀλλὰ περίφοβος γέγονα διὰ τὴν γενομένην βοὴν ἐν τοῖς οἴκοις, ἣν ἤκουσα πόῤῥω οὖσα. *ΚΑΤΩ ΒΟΗΝ.* λείπει διά.

V. 1311. *ΤΙ Δ' ΑΞΙ' ΗΜΙΝ.* τί δ' ἄλλο ἥρμοζεν ἡμῖν; τὰ πράγματα ἡμῖν ἄξια τυγχάνει στεναγμάτων. Ἄλλως. Πεπόνθαμεν ἄξια στεναγμάτων. ἢ οὕτως. πῶς, φησὶν, οὐκ ἀξίως στενάζομεν, θανεῖν κατακριθέντες; *ΤΙ ΔΕ* καινὸν, εἰ ἤκουσας. Gu. Fl. 6. ἔστι ὃ λέγεις. Fl. 33.

V. 1312. *ΕΥΦΗΜΟΣ ΙΣΘΙ.* εὐφήμει· τί δὲ καινὸν λέγεις;

V. 1313. *ΘΑΝΕΙΝ.* ἐκυρώθη, ἐψήφισται τῷ Ἄργει θανεῖν Ὀρέστην καί με. MS. C.C.C. [4])

V. 1314. *ΜΗ ΔΗΤ' ΕΜΟΥΣ.* εἴθε μὴ γένοιτο θανεῖν ὑμᾶς συγγενεῖς ὑπάρχοντας.

V. 1315. *ΑΡΑΡ'*, ἥρμοσται. *ΑΡΑΡ'*, ἥρμοζε, προςῆκεν. (ἡρμόσθη, κεκύρωται, ἐκυρώθη add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 75. *ΑΝΑΓΚΗΣ — ΚΑΘΕΣΤΑΜΕΝ*, εἰς τὸν ζυγὸν δὲ τῆς δουλείας ὑπάρχομεν. *ΑΝΑΓΚΗΣ — ΚΑΘΕΣΤΑΜΕΝ*, ἤγουν ἀναγκαῖον καὶ ἀπαραίτητόν ἐστι τοῦτο. Gu. Fl. 6. *ΚΑΘΕΣΤΑΜΕΝ*, ἐστάθημεν. ἢ ἀπὸ τοῦ καθεστήκαμεν κατὰ συγκοπὴν ἀντὶ τοῦ ὑπάρχομεν. Gu.

V. 1316. *Η ΤΟΥΔ' ΕΚΑΤΙ.* ἆρα χάριν τούτου ἐστὶν ἡ βοὴ κατὰ τοὺς οἴκους;

V. 1317. *ΙΚΕΤΗΣ.* παρακλήτωρ. *ΙΚΕΤΗΣ*, ἀντὶ τοῦ ἱκετικῶς. Gu. Fl. 6. 9. 21. 56. 59. 76.

V. 1318. *ΟΥΔΕΝ ΟΙΔΑ ΜΑΛΛΟΝ*, οὐδὲν πλέον (ἢ πρότερον) οἶδα. Gu. Florr. iidem.

3) Quae uncis inclusi, quippe secunda m. scripta, sunt etiam in editis.

4) ἐκυρώθη et τῷ Ἄργει sunt etiam in Gu.

V. 1319. *ΤΛΗΜΩΝ ΟΡ.* βοᾷ (προσπεσὼν βοᾷ ὑπὲρ αὐτοῦ) μὴ θανεῖν αὐτὸς, καὶ ὑπὲρ ἐμοῦ, ἵνα μὴ θάνω. Baroc. 74. Gu. [5])

V. 1320. *ΕΠ' ΑΞΙΟΙΣΙΝ ΑΡ'.* ἀξίως ὅτι καὶ ὁ οἶκος θρηνεῖ δι' ἡμᾶς. ἐὰν μὲν οὖν εὐφημεῖ γράφεται, ἀντὶ τοῦ δυσφημεῖ νοητέον, ἵν' ᾖ κατὰ ἀντίφρασιν εἰρημένον, συνδέσμου ὄντος τοῦ ἄν· ἐὰν δὲ ὑφ' ἓν, ἀνευφημεῖ, ἀντὶ τοῦ κατευφημεῖ καὶ ἀναθρηνεῖ ὁ δόμος, καὶ σημαίνει τὸ ἐνηχεῖ. τὸ *ΑΡΑ* ἐπὶ τοῖς τραγικοῖς συλλογιστικὸν ὂν καὶ προπαροξύνεται καὶ προπερισπᾶται κατὰ τὴν τοῦ μέτρου χρείαν. Fl. 21.

V. 1321—1328. *ΠΕΡΙ ΤΟΥ ΓΑΡ.* περὶ τίνος γὰρ ἄλλου φθέγξαιτό τις, ἢ θρηνήσειεν, ἢ ὅτι ἡμεῖς ἀπολλύμεθα. Ἄλλως. Διὰ ποῖον γὰρ ἄλλο ἔμελλέ τις βοᾷν ἐν τοῖς οἴκοις; ἀλλ' ἄπελθε, καὶ μετάλαβε τῆς παρακλήσεως τοῖς φίλοις, προσπεσοῦσα τῇ μητρὶ τῇ μεγάλως μακαρίᾳ, ὥστε τὸν Μενέλαον μὴ ἀνέξεσθαι ἰδεῖν ἡμᾶς ἀποθανόντας. ἀλλ', ὦ Ἑρμιόνη ἡ ἀνατραφεῖσα διὰ τῶν χειρῶν τῆς μητρός μου, ἐλέησον ἡμᾶς καὶ ἐλάφρυνον ἀπὸ τῶν κακῶν. ἄγε ἐλθὲ εἰς ἀγῶνα, ἐγὼ δὲ ὁδηγήσω· σὺ γὰρ ἔχεις μόνη τὸ στήριγμα τῆς ἡμῶν σωτηρίας.

V. 1321. *ΠΕΡΙ ΤΟΥ ΓΑΡ ΑΛΛΟΥ,* ἢ περὶ τοῦ σωθῆναι. Gu.

V. 1322. *ΜΕΤΑΣΧΕΣ,* συμμετάσχες. Gu. m. pr. Fl. 17. 59. 76. μέτοχος γενοῦ, κοινώνησον. Fl. 6.

V. 1323. *ΤΗι ΜΕΓ' ΟΛΒΙΑι,* τῇ μεγάλως μακαρίᾳ, εὐδαίμονι, εἰρωνικῶς. Gu.

V. 1327. *ΙΘ' ΕΙΣ ΑΓΩΝΑ ΔΕΥΡ'.* ἐσχηματισμένον· τὸ γὰρ φαινόμενόν ἐστιν εἰς ἀγῶνα λόγων παρακλητικῶν, τὸ δὲ νοούμενον εἰς ἀγῶνα θανάτου. Gu.

V. 1328. *ΣΩΤΗΡΙΑ ΓΑΡ.* ἀντὶ τοῦ, ἐν σοὶ ἐστὶν ἡ σωτηρία ἡμῶν. *ΤΕΡΜΑ,* τέλος. Gu. Fl. 6. 17.

V. 1329 sq. *ΙΔΟΥ ΔΙΩΚΩ.* ἰδοὺ, ἐλαύνω τὴν πορείαν εἰς δόμους. σεσωσμένοι ἐστὲ, ὅσον ἐπὶ τῇ ἐμῇ γνώμῃ. *ΔΙΩΚΩ,* ἐλαύνω, (ἐμβάλλω, εἰςάγω, κινῶ.). Gu.

5) Baroc. ὑπὲρ ἑαυτοῦ βοᾷ μὴ θ. αὐτὸν etc.

V. 1330. *ΟΣΟΝ ΓΕ ΤΟΥΠ' ΕΜ'.* ὅσον τὸ κατὰ τὴν ἐμὴν δύναμιν. Gu.

V. 1330 sq. *Ω ΚΑΤΑ ΣΤΕΓΑΣ.* ὦ ὑμεῖς οἱ κατὰ τοὺς οἴκους ξιφηφόροι, οὐ συλλήψεσθε τὴν Ἑρμιόνην; *ΞΙΦΗΡΕΙΣ.* οἱ ξίφη βαστάζοντες. Fl. 6. *ΑΓΡΑΝ,* θήραμα. Fl. 6.

V. 1332. *ΟΙ 'ΓΩ.* οἴμοι! τίνες εἰσὶν οὗτοι, οὓς εἰςορῶ;

V. 1332 sq. *ΣΙΓΑιΝ ΠΡΕΠΟΝ·* ἡμῖν γὰρ ἦλθες, οὐχὶ σεαυτῇ σωτηρία.

V. 1334. *ΕΧΕΣΘΕ* αὐτῆς. Gu.

V. 1336 sq. *ΟΥΝΕΚ' ΑΝΔΡΑΣ.* τὸ ἑξῆς· ὅτι ἄνδρας ἀνδρείους, καὶ οὐ δειλοὺς Φρύγας εὑρὼν, ἔπαθεν ἅπερ χρὴ παθεῖν τοὺς κακούς.

V. 1340. *ΟΠΩΣ Ο ΠΡΑΧΘΕΙΣ ΦΟΝΟΣ,* ὁ τῆς Ἑλένης· ἤγουν (σκοπεῖτε, φησὶ, Baroc.) μὴ κλαίουσα ἡ Ἑρμιόνη διὰ τὴν μητέρα ἀκουσθήσεται τοῖς Ἀργείοις, οἱ δὲ θροηθέντες εἰς τάχος (ταχὺ Bar.) ἐνταῦθα ἔλθοιεν. Baroc. 74. Gu. [6])

V. 1342. *ΒΟΗΔΡΟΜΗΣΑΙ,* ὥςτε ἐπὶ βοηθείᾳ δραμεῖν πρὸς τοὺς οἴκους τοὺς βασιλικούς.

V. 1343 sq. *ΠΡΙΝ ΕΤΥΜΩΣ.* πρὶν ἀληθῶς ἴδω τὸ σῶμα τῆς Ἑλένης πεφονευμένον, ἤτοι ἡμαγμένον, ἐν τοῖς οἴκοις κείμενον, ἢ ἀκούσομεν τοῦτον (l. τοῦτο) παρά τινος τῶν δούλων. *ΠΡΙΝ ΕΤΥΜΩΣ.* ἐπειδὴ μόνη αὐτὴ ἔμελλεν εἰςελθεῖν ἐντὸς καὶ ἰδεῖν τὸν τῆς Ἑλένης φόνον, διὰ τοῦτο τὸ ἴδω (ἴδοιμι Bar.) ἑνικῶς ἐξέφερεν· εἰ δέ τις ἐξιὼν εἶπεν, οὐ μόνη, ἀλλὰ μετὰ τοῦ χοροῦ ἤκουσεν ἄν, καὶ διὰ τοῦτο πληθυντικῶς ἐνταῦθα (om. Bar.) τὸ πυθώμεθα εἶπεν. Gu. Baroc. 74.

V. 1346. *ΤΑΣ ΜΕΝ ΓΑΡ ΟΙΔΑ.* ὡς ἀπὸ τῆς βοῆς ἐν συμφοραῖς οὖσαν τὴν Ἑλένην ἐγίνωσκον, ἀγνοῶ δὲ εἰ πέρας ἔσχεν ὁ φόνος αὐτῆς.

6) King. hoc scholion ad v. 1334. ἔχεσθ', ἔχεσθε retulit: in Gu. recte versui 1340. adscriptum est. E glossis Gu. *ΟΠΩΣ,* ὁρᾶτε m. pr. — ὁ τῆς Ἑλένης — *ΔΕΙΝΟΝ,* μέγαν. King. paraphrasin huius loci concinnavit, addito MS. C.C.C.

V. 1347—1354. *ΔΙΑ ΔΙΚΑΣ ΕΒΑ.* σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, κώλων καὶ στίχων θ'. τὸ α παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ [7]) καὶ ἰάμβου. τὸ β ὅμοιον δίμετρον ὑπερκατάληκτον, ἐκ παιώνων β δύο καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερές, τοῦ β ποδὸς χορείου, τοῦ δὲ γ δακτύλου. τὸ γ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ τριῶν χορείων καὶ πυῤῥιχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ε τροχαϊκὸν πενθημιμερές· εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ καὶ συλλαβῆς. τὸ ζ, η, θ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει παράγραφος.

V. 1347 sq. *ΔΙΑ ΔΙΚΑΣ ΕΒΑ.* δικαίως ἡ νέμεσις τὴν Ἑλένην ἐτιμωρήσατο. ἢ οὕτως, ἡ νέμεσις τῆς δίκης τῶν θεῶν ἔμολεν, ὅ ἐστι δίκην ἀπαιτεῖται παρ' αὐτῶν· ἐνεμέσησαν γὰρ αὐτῇ οἱ θεοί.

V. 1347. *ΕΒΑ,* ἐπορεύθη. (ἦλθε add. Gu.) Gu. Florr.

V. 1348. *ΝΕΜΕΣΙΣ,* ἡ δίκη (τιμωρία, ὀργή add. Gu.) Gu. Florr.

V. 1350. *ΟΛΟΜΕΝΟΝ,* τὸν ἄξιον ἀπωλείας. (ἀπολεσθησόμενον, ὀλέθριον.) Gu.

V. 1351. *ΑΓΑΓΕ,* διότι ἥρπασε τὴν Ἑλένην. Fl. 6. *ΕΛΛΑΔΑ,* τοὺς τῆς Ἑλλάδος ἀνθρώπους. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1352 sq. *ΑΛΛΑ ΚΤΥΠΕΙ ΓΑΡ.* ἀλλὰ σιγήσατε· κτυπεῖ γὰρ, ἤγουν ἠχεῖ, τὰ κλεῖθρα τῶν βασιλείων δόμων. Gu. *ΑΛΛΑ ΚΤΥΠΕΙ ΓΑΡ.* ἐξιών τις ψοφεῖ· τοῦτο γὰρ ἔθος ταῖς θύραις. τούτους δὲ τοὺς τρεῖς στίχους οὐκ ἄν τις συγχωρήσειεν Εὐριπίδου εἶναι, ἀλλὰ μᾶλλον τῶν ὑποκριτῶν, οἵτινες, ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καθαλλόμενοι, παρανοίξαντες ἐκπορεύονται τὸ τοῦ Φρυγὸς ἔχοντες σχῆμα καὶ πρόσωπον, ὅμως διὰ θυρῶν εὐλόγως ἐξιόντες φαίνονται. ἐξ ὧν δὲ αὐτοὶ

7) παίωνος. Junt. Basil. παίωνος ά. Correxit King. Idem δύο addidit post ἐκ παιώνων β' et versus finem scripsit ἐξ ἐπιτρίτου δ' pro ἐξ ἐπ. α.

λέγουσιν, ἀντιμαρτυροῦσι τῇ διὰ τῶν θυρῶν ἐξόδῳ. φανερὸν δὲ ἐκ τῶν ἑξῆς, ὅτι ὑπερπεπήδηκεν.

V. 1354. *ΟΥ ΠΕΥΣΟΜΕΣΘΑ.* ἀφ' οὗ ἀκούσομεν, πῶς τἀν δόμοις διάκειται.

V. 1355—1364. *ΑΡΓΕΙΟΝ ΞΙΦΟΣ.* τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικὰ καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ καὶ ἀνομοιόστροφα· οὐ γὰρ ἔχει σχέσιν πρὸς τὸ ἑξῆς. τὰ δὲ κῶλα τῆς παρούσης στροφῆς εἰσὶν ια. τὸ α ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δ, παίωνος β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ διτροχαίου. τὸ β τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ δ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ε δακτυλικὸν τρίμετρον ἐκ σπονδείων. τὸ ϛ τροχαϊκὸν [ἑφθημιμερὲς] ἰθυφαλλικόν. τὸ ζ ὅμοιον ἑφθημιμερές. τὸ η ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, τοῦ δὲ τελευταίου ἀδιαφόρου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ καὶ β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. τὸ θ ἰαμβικὸν ἑφθημιμερές, τοῦ γ ποδὸς χορείου. τὸ ι (τροχαϊκὸν ἑφθημιμερές. τὸ ια [8a])) παιωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ δακτύλου. ἐπὶ τῷ τέλει παράγραφος, ἐν εἰςθέσει στίχος ἴαμβος τρίμετρος.

V. 1355. *ΑΡΓΕΙΟΝ ΞΙΦΟΣ.* ἐντεῦθεν, φασὶν, ἐξέστη τοῦ ἰδίου ἔθους ὁ Εὐριπίδης, ἀνοικεῖα ἑαυτῷ λέγων. *ΑΡΓΕΙΟΝ ΞΙΦΟΣ.* οὗτος ὁ Φρὺξ εὐνοῦχος ὢν ἄλλου μὲν οἰκήματος ὑπερπηδήσας τὰ στέγη, ἐν ἄλλῳ δὲ ἐλθὼν, καὶ ἠσφαλισμένας εὑρὼν τὰς τούτου πύλας, τὰ τούτων κλεῖθρα συντρίψας ἐξῆλθεν. Gu. m. sec. Ἀργεῖον ξίφος πέφευγα ἐκ θανάτου φυγὼν δηλονότι. MS. C. C. C. Gu. m. pr. διὰ τοῦ εἰπεῖν Ἀργεῖον ξίφος καὶ βαρβάροις ἐν εὐμαρίσι τοῦτο λέγει, ὅτι ἐγὼ ὁ βάρβαρος πέφευγα τοὺς Ἕλληνας. Gu. MS. C.C.C. Fl. 6.

V. 1356. *ΒΑΡΒΑΡΟΙΣ ΕΝ ΕΥΜ.* ἐν ὑποδήμασι βαρβαρικοῖς· (εὐμαρὶς γὰρ εἶδος ὑποδήματος βαρβαρικοῦ add. Florr. Gu.) MS. C.C.C. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. εὐμαρὶς εἶδος ὑποδήματος σανδαλώδους· πεποίηται δὲ (om. Gu.) ἀπὸ τοῦ εὐμαρῶς ὑποδεδέσθαι. [8b])

8a) Haec addidit King.

8b) ὑποδεδέσθαι Gu. Vulgo ὑποδεῖσθαι.

V. 1357 sq. *ΚΕΔΡΩΤΑ.* τὰ ἐκ κέδρου ξύλα. παστάδων δὲ τῶν κοιτώνων. τεράμνια (leg. —αμνα) δὲ τὰς ὑψηλὰς οἰκίας, ἀντὶ τοῦ ὑπὲρ τεράμνων. ταῦτα οὕτος φησὶν, ὡς ὑπερπεπηδηκὼς τῶν ἔξω τινὸς οἴκων. παστάδων γὰρ τῶν θαλάμων. Αἰσχίνης δὲ τὴν ὑπὲρ ἀντὶ τῆς πρὸ φησὶν, ἵν' ᾖ ἀντὶ τοῦ πρὸ τεράμνων. τριγλύφους δὲ, ἐπεὶ παρὰ Δωριεῦσι γλυφή τις ἦν, ἣ ἐκαλεῖτο τρίγλυφος, ἢ ὡς τῶν Δωριέων καταδειξάντων τὰς γλυφὰς τῶν ὀρόφων.

V. 1357. *ΚΕΔΡΩΤΑ ΠΑΣΤ.* ὑπὲρ τὰς ὑψηλὰς στέγας τῶν παστάδων τὰς ἐκ κέδρου κατεσκευασμένας. MS. C.C.C. Gu. *ΤΕΡΕΜΝΑ,* στεγάσματα. τέρεμνον κυρίως τὸ ἄκρον. Gu.

V. 1358. *ΔΩΡΙΚΑΣ ΤΕ ΤΡ.* καὶ ὑπὲρ τὰς Δωρικὰς τριγλύφας. 9) κατασκευαί τινες ἦσαν τρίγλυφαι ἐκ ξύλων ποικίλως γεγλυμμέναι. Gu. m. pr. Baroc. 74. τὸ Δωρικὰς τριγλύφους καὶ τὸ κεδρωτὰ ταυτόν ἐστι. Gu. m. sec. Baroc. 74. τὰς κατὰ πολὺ γεγλυμμένας ἤτοι ποικίλας στέγας· τοιαῦται γὰρ αἱ τῶν Δωριέων. Gu. m. sec.

V. 1359. *ΦΡΟΥΔΑ ΓΑ,* διχῶς ἄν τις τοῦτο ἐκδέξαιτο· καθ' ἕνα μὲν τρόπον, ὅτι ἡ γῆ τῶν Ἀργείων ἀφανής ἐστι τοῖς βαρβάροις δραπετεύουσι, καθὸ ἀπείρατοι (leg. —τοις) τῶν τόπων. ἐπεὶ ὑπερβαίνει τὰ βασίλεια, καὶ (add. μὴ) διὰ τοῦ ἐδάφους τὴν πορείαν ποιεῖται, διὰ τὸ ὕψος ἀφανῆ φησὶν εἶναι τὴν γῆν αὐτῶν. τὸ δὲ βαρβάροις δεσμοῖς (l. δρασμοῖς) πρὸς τὸ ἐχόμενον ληπτέον, οἷον βάρβαρος ὢν οὐκ οἶδα ποῦ φύγω· καὶ γὰρ οὐκ εἰμὶ τῶν τόπων ἐθάς. ἢ οὕτως· ἐπεὶ μὴ διὰ γῆς ποιεῖται τὴν πορείαν, ἀλλ' ὑπερβὰς ἥλατο, ἀφανῆ φησὶν εἶναι ἑαυτῷ τὴν γῆν. ἢ τὸ φροῦδα γᾶ ἐπὶ τοῦ Ἰλίου φησίν· ἐρωτώμενος γὰρ τὸ ἐμοὶ φησὶν Ἴλιον Ἴλιον ὤμοι μοι, τουτέστιν ἐμοῦ τοῦ βαρβάρου φεύγοντος πάνυ ἀφέστηκεν ἡ πατρίς. 10) *ΦΡΟΥΔΑ,* διὰ μέσου. Gu. MS. C.C.C.

9) Haec non sunt e Baroc. sed e MS. C.C.C. in paraphr. a Kingio enotata.

10) Ex his in Gu. primo loco sunt ultima: φροῦδα (sic) γῆ τῆς Ἰλίου, τουτέστιν — πατρίς, tum βαρβάροις δρ. ἄδηλός ἐστιν ἡ γῆ τῶν Ἀργείων, οἷον βάρβαρος ὢν — ἐθάς. tum inter versus: ἢ τὸ βαρβάροισι δρασμοῖς συναπτέον τῷ πᾶ φύγω, ἵν' ᾖ βάρβαρος ὢν καὶ θέλων φεύγειν, ποῖ φύγω, ὦ ξέναι;

V. 1360. *ΒΑΡΒΑΡΟΙΣΙ ΔΡΑΣΜΟΙΣ.* βάρβαρος ὢν καὶ φυγεῖν θέλων, ποῦ, φησὶ, φύγω, ὦ ξέναι; τὸ δὲ αἶ αἶ ἐπιστένων λέγει. 1) *ΒΑΡΒΑΡΟΙΣΙ ΔΡΑΣΜΟΙΣ,* βαρβαρικαῖς φυγαῖς. Gu. MS. C.C.C.

V. 1361. *ΠΟΛΙΟΝ,* καθαρόν. (λευκόν.) Gu. MS. C. C. C.

V. 1362. *ΑΜΠΤΑΜΕΝΟΣ,* ἀνα (i. e. ἀναπτάμ.) φύγω πετάσας, πετασθείς. Gu. MS. C.C.C.

V. 1362—1364. *ΩΚΕΑΝΟΣ — ΧΘΟΝΑ,* καθ' ὃν ὁ Ὠκεανὸς ὁ ταυρόκρανος ἑλίσσων ἀντὶ τοῦ περιφερόμενος, ἀγκάλαις κυκλοῖ χθόνα, ἤγουν περιλαμβάνει. Gu. MS. C.C.C.

V. 1363. *ΤΑΥΡΟΚΡΑΝΟΣ.* τοῦτο ἔξωθεν ὁ ποιητὴς πρὸς ἀναπλήρωσιν τοῦ ἰάμβου προσέθηκεν· οὐ γὰρ ἁρμόττει τῷ Φρυγὶ ἀμαθεῖ ὄντι τοῦτο λέγειν. ἀναστρεπτέον δὲ τὴν λέξιν, τουτέστιν ἐν ὠκεανῷ, ὃς ταυρόκρανος ὢν, ἑλίσσων κυκλοῖ χθόνα. καὶ οὗτος δὲ ποταμὸν ὑπείληφε τὸν Ὠκεανόν. καὶ Ὅμηρος· οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο. (Il. ὑ, 7.) ὅτι δὲ κύκλῳ περιῤῥεῖ τὴν οἰκουμένην, ἐσήμανε τὸ ἀψοῤῥόου Ὠκεανοῖο. (Il. σ', 400.) ἐπιεικῶς δὲ τοὺς ποταμοὺς ταυροκράνους ἐζωγράφουν τε καὶ ἔλεγον, ἴσως ὅτι παραπλήσια τῷ μυκήματι τῶν ταύρων ἡ ἀπήχησις τοῦ ὕδατος ποιεῖ ἐν τοῖς σφοδρῶς ῥέουσι ποταμοῖς, ἢ διὰ τὸ βίαιον τῶν ὑδάτων, ἅπερ τὴν γῆν διαῤῥήσσουσι, παρεμπίπτοντα ὡς τοῖς κέρασιν οἱ ταῦροι. ὡς γάρ φησὶν ἐν ἄλλοις, ταῦροι δ' ὑβρισταὶ εἰς κέρας θυμούμενοι. (Bacch. 699.) ἐν γὰρ αὐτοῖς ἔχουσι τὴν ἰσχύν. *ΤΑΥΡΟΚΡΑΝΟΝ.* Οἱ ποταμοὶ, φασὶ, ταυρόκρανοι διετυποῦντο, ἢ ὅτι μυκηθμῷ εἰσὶ παραπλήσιοι παρὰ τὰς ἐκβολὰς — καὶ Ὅμηρος· τοὺς δ' ἔκβαλλε θύραζε μεμυκὼς ἠΰτε ταῦρος (Il. φ', 237.) — ἢ ὅτι σχίζουσι τὴν γῆν, ὡς οἱ βόες, ἢ διὰ τὸ τὰς νομὰς παρὰ (Baroc. περὶ) τοὺς ποταμοὺς εἶναι, ἢ διὰ τὸ καμπὰς ποιεῖν ὡς κεράτων. Gu. m. pr. Baroc. 74. ταυροκράνους φασὶ τοὺς ποταμοὺς ποιηταὶ, ἢ διότι ὁ τῶν ὑδάτων (ἦχος add. Gu.) ἔοικε μυκήμασι ταύρου, ἢ διότι καὶ τὸ ὕδωρ τὰς ἄνω πηγὰς ἐοικυίας ἔχει κεφαλῇ ταύρου·

1) Hoc scholion deest in Barn. King. Musgr. In Junt. Basil. scholio ad v. 1366. adhaeret, et legitur βαρβάροισι δρόμοις.

ὥςπερ γὰρ αὕτη κέρασιν ἐσχημάτισται, οὕτω κἀκεῖναι· δοκοῦσι γὰρ ὥςπερ κέρατα, εἴτις αὐτοὺς ὁρῴη, οἱ ἐκ τῶν τῆς γῆς στενῶν πόρων ἐκρέοντες κρουνοὶ καὶ εἰς ἓν συνιόντες. Baroc. 74. Gu. m. sec.

V. 1366 — 1377. *ΙΛΙΟΝ ΙΛΙΟΝ.* καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώλων ιε. τὸ α ἀναπαιστικὸν ἑφθημιμερές. τὸ β τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου. τὸ γ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ καὶ χορείου, ἢ ἀναπαιστικοῦ διὰ τὴν ἀδιάφορον. τὸ δ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ε ὅμοιον τῷ β, τροχαϊκὸν καθαρόν. τὸ ς ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ. εἰ δὲ βούλει, τροχαϊκὸν ὅμοιον τῷ δ, ἰάμβου ἀρχομένου. τὸ ζ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν ἐκ παίωνος δ, ἰωνικοῦ καὶ ἀμφιβραχέος, ἢ βακχείου διὰ τὴν ἀδιάφορον. τὸ η ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ θ ἰαμβικὸν ἑφθημιμερές, τοῦ γ ποδὸς χορείου. εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου γ, καὶ παίωνος δ. τὸ ι παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ καὶ σπονδείου. τὸ ια τροχαϊκὸν ὅμοιον τῷ ε. τὸ ιβ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιγ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων δ δύο. τὸ ιδ δακτυλικὸν τετράμετρον καθαρόν. τὸ ιε ὅμοιον ἑφθημιμερές, ὃ καλεῖται λογαοιδικὸν, διὰ τὸ ἔχειν ἐπὶ τῷ τέλει τροχαϊκὴν συζυγίαν. [2]) ἐπὶ τῷ τέλει παράγραφος, ἐν εἰςθέσει δὲ στίχοι ἴαμβοι τρίμετροι β, εἶτα παράγραφος.

V. 1366. *ΙΛΙΟΝ ΙΛΙΟΝ.* τὸ Ἴλιον λέγει, καὶ τοῦτο εἰπὼν ἐπιστένει. φανερὸν δὲ ἐκ τοῦ καὶ πάλιν ἐρωτηθέντα ἀπὸ τοῦ χοροῦ, τί δ' ἐστὶν Ἑλένης πρόςπολε, εἰπεῖν, Ἴλιον Ἴλιον, ὤμοι μοι. *ΙΛΙΟΝ ΙΛΙΟΝ.* ἐρωτηθεὶς ὁ Φρὺξ ὑπὸ τοῦ χοροῦ πάλιν, εἶπεν Ἴλιον Ἴλιον, ὤμοι μοι. τό τε Ἴλιον καὶ τὴν καλλίβωλον Ἴδην τῇ ἐμαυτοῦ βαρβάρῳ φωνῇ στένω. ὁ δὲ λόγος, στένω τὰ εἰρημένα ἀπολόμενα διὰ τὸ τῆς Ἑλένης κάλλος, καὶ τὸ ἁρμάτειον μέλος, τὸ ἐπὶ τοῖς κακοῖς ᾀσθέν. τινὲς δὲ τοῦτο παρεπίγραφον εἶναι φασὶν εἰς τὰ κωμικὰ δράματα. *ΙΛΙΟΝ ΙΛΙΟΝ.* ἐρωτήσαντος τοῦ χοροῦ τὸν Φρύγα τὰ περὶ τῆς Ἑλένης, ὁ δὲ οὐ περὶ αὐτῆς ἀπεκρίθη, ἀλλ', ὥςπερ ἐμμανὴς ὢν τῷ φόβῳ, εἰς μνήμην ἔρχεται τῆς Τροίας ἁλώσεως καὶ τῆς τοῦ Γα-

2) διὰ τὸ ἔχειν ἐπὶ τῷ τέλει κατακλεῖδα King.

νυμήδους ἁρπαγῆς. ἔστι (Baroc. ὅτι) δὲ τὸ ὀλλύμενον (Bar. ὀλόμενον) πρὸς τὸ ἄστυ, τὸ δὲ Ἴδης ὄρος καὶ τὸ ὤμοι μοι διὰ μέσου. σύναπτε οὖν (οὖν om. Bar.) τὸ ὀλλύμενον (Bar. ὀλλούμενον) πρὸς τὸ διὰ τὸ τῆς ὀρνιθόγονον ὄμμα. Baroc. 74. Gu. ἡ δὲ σύνταξις τὸ Ἴλιον, Ἴλιον οὕτως ἔχει· (om. Bar.) ὦ Ἴλιον Φρύγιον ἄστυ καλλίβωλον καὶ εὔγειον, στένω καὶ στενάζω σε ἐν βαρβάρῳ βοᾷ μέλος ἁρμάτειον καὶ λεπτὸν, ὡς ὀλλύμενον καὶ ἀπολεσθὲν διὰ τὸ ὀρνιθόγονον κυκνόπτερον ὄμμα τῆς Ἑλένης, τὸν σκύμνον (Bar. σκύμνου) καὶ τὸ γέννημα τῆς καλλοσύνης καὶ εὐμόρφου Λήδας, τὴν Ἐριννὺν καὶ τὴν φθορὰν τῶν ξεστῶν Περγάμων Ἀπολλωνίων, ἤγουν τῶν ὑπ' Ἀπόλλωνος κτισθέντων τειχῶν τῆς Τροίας. τὸ δὲ ὡς τοῦ ὀλόμενον (ὥς σ' ὀλλούμενον Bar.) εἰ μὲν ἀντὶ τοῦ λίαν ἐρεῖς, πρὸς τὸ στένω συνάψεις, (συνάψεις om. Bar.) εἰ δὲ ἀντὶ τοῦ καθὰ, πρὸς τὸ ὀλλύμενον. Gu. Baroc. 74.

V. 1367. *ΚΑΛΛΙΒΩΛΟΝ*, εὔγειον, εὔκαρπον. Gu.

V. 1368. *ΙΕΡΟΝ*, μέγα ἢ θεῖον. Gu. Fl. 6. διὰ τὸ τιμᾶσθαι ἐν αὐτῷ Δία καὶ Ἥραν. Gu.

V. 1369. *ΑΡΜΑΤΕΙΟΝ ΜΕΛΟΣ.* τὸ ἁρμάτειον μέλος ὁ Δίδυμος φησὶν ὠνομάσθαι, ὅτι αἱ ἀρχαῖαι παρθένοι εἰς τοὺς θαλάμους διὰ τῶν ἁρμάτων ἤγοντο. ὅθεν ἔτι καὶ νῦν πάροχοι λέγονται ἀπὸ τοῦ τοῖς ὄχεσι παρεδεῖσθαι,*) ὡς ἐπιθαλάμιον ἐν τοῖς θαλάμοις. ὅθεν τοίνυν ὁ βάρβαρος, ἐπειδὴ συνέβη ὁ τῆς Ἑλένης γάμος, ὃν Πάρις συνετέλεσεν ἐπὶ κακῷ τοῖς Τρωσὶ γενέσθαι, καὶ τὸν αὐτοῖς ὑμέναιον ᾀσθέντα κατὰ ἀνάμνησιν ἀναστενάζει, τὸν ἐπὶ κακῷ τοῖς Τρωσὶν ὑμέναιον ἐπιτελεσθέντα. ἔνιοι δὲ ἁρμάτειον τὸν θρῆνον φασὶ, τὸν ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον. Ἀπολλόδωρος δὲ ὁ Κυρηναῖος ἐπιγράφει, λέγων εἶναι ἁρμόδιον ὦ Ἴλιον. εἰ δὲ ἦν παρεπιγραφὴ, ἅπαξ ἂν ἐπεγράφετο τὸ Ἴλιον ἀπώλεσεν. ἔνιοι δὲ τὸν Φρύγα τὸν ἐκπεπηδηκότα εὐνοῦχον φασί. τοὺς δὲ εὐνούχους ἐπιεικῶς ὀξυφώνους ὑπάρχειν. τὸ οὖν ὀξύτονον ἁρμάτειον αὐτὸν φάναι διὰ τὸ τὸν ὑπαξόνιον τῶν ἁρμάτων ἦχον ἀνατεταμένον τε καὶ ὀξὺν εἶναι. ὅτι δὲ εὐνοῦχος ἦν, φησὶν, (v. 1521.) οὔτε γὰρ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσι σύγ' εἶ, καὶ πάλιν, (v. 1525.) ὀξὺ γὰρ βοῆς ὑπακοῦσαν Ἄργος ἐξεγείρεται. εἰσὶ δὲ καὶ ἄλλαι αἰτίαι, ἃς ἐκτίθεται ὁ ὑπομνη-

*) Heath. em. παροχεῖσθαι.

ματισάμενος. ὁ λόγος οὗτος· τὸ Ἴλιον καὶ τὴν Ἴδην, ἔτι δὲ καὶ τὸν Ἕκτορα, καὶ τὸ ἐπὶ τῷ ἑλκυσμῷ τούτου μέλος θρηνῶ βαρβάρῳ βοᾷ. *ΩΣ Σ' — ΑΡΜΑΤΕΙΟΝ*, λίαν σε στένω, ἤγουν θρηνῶ φθαρὲν ἁρμάτειον μέλος βαρβάρῳ βοῇ, ἤγουν θρηνῶ σε θρῆνον ἁρμάτειον βαρβάρῳ βοῇ (om. Bar.) ἁρμάτειον δὲ θρῆνον λέγουσιν εἶναι, ὃν ἐποίησαν ἐπὶ τῷ Ἕκτορι ἑλκομένῳ διὰ τοῦ ἅρματος. Baroc. 74. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΡΜΑΤΕΙΟΝ Μ.* ἀντὶ τοῦ λεπτὸν, ὀξύφωνον, παρ' ὅσον καὶ ὁ ἄξων τοῦ ἅρματος τοιαύτην ἀποπέμπει φωνὴν τρύζων. οὗτος οὖν ὁ εὐνοῦχος τοιαύτην εἶχε φωνήν. Baroc. 74. Gu. [3])

V. 1371 sq. *ΔΙΑ ΤΟ ΤΗΣ ΟΡΝΙΘΟΓΟΝΟΥ*. στένω, φησὶ, τὸ Ἴλιον ἀπολόμενον διὰ τὴν δυςώνυμον Ἑλένην, δι' ἣν καὶ ὁ Ἕκτωρ ἀνῃρέθη. εὕρηται δὲ ἑξῆς τοῦ ῥητοῦ διὰ τῆς ὄρνιθος τὸ κυκνόπτερον ὄμμα καλλοσύνας Λήδας. ὄμμα δὲ λέγει τῆς Ἑλένης [4]) ἀπὸ τοῦ εὐπρεπεστάτου μάλιστα μέρους αὐτὴν ὀνομάσας. ὀρνιθόγονον δὲ αὐτὴν εἶπεν, ὅτι μεταβληθεὶς ὁ Ζεὺς εἰς κύκνον ἐγέννησεν αὐτὴν τῇ Λήδᾳ συνελθών. τὸ δὲ ὀρνιθόγονον καὶ κυκνόπτερον τὸ αὐτὸ σημαίνει. τινὲς δὲ τὸ ὀρνιθόγονον ἐπὶ τῆς Λήδας ἐξεδέξαντο. φασὶ γὰρ αὐτὴν εἰς Νέμεσιν μεταβληθεῖσαν οὕτω συνελθεῖν τῷ κύκνῳ. καλλοσύνας δὲ ἀντὶ τοῦ περικαλλεστάτης. ὁ δὲ λόγος, στένω τὸ Ἴλιον τὸ ἀπολόμενον διὰ τὸ τῆς δυςωνύμου Ἑλένης κάλλος, ἣν ἐγέννησε κύκνος τῇ περικαλλεστάτῃ Λήδᾳ συνελθών. σκύμνῳ δὲ ἀπείκασεν αὐτὴν, τὸ ὀλέθριον αὐτῆς αἰνιττόμενος· ἐπὶ γὰρ ὀλέθρῳ τῆς Ἰλίου ὥςπερ τι θηρίον ἐγεννήθη. σκύμνοι δὲ κυρίως τὰ τῶν λεόντων γεννήματα. *ΔΙΑ ΤΟ ΤΑΣ ΟΡΝΙΘΟΓΟΝΟΝ*. διὰ τὸ τῆς δυςελένης τοῦ (τῆς Bar.) σκύμνου, ἤγουν τοῦ γεννήματος, τῆς καλλοσύνης τῆς Λήδας ὀρνιθόγονον ὄμμα κυκνόπτερον, ἤγουν διὰ τὸ κάλλος τῆς δυςελένης τοῦ γεννήματος τῆς καλλοσύνης, ἤγουν τῆς εὐμορφίας, τῆς Λήδας, τὸ ἐξ ὄρνιθος κυκνοπτέρου γεγενημένον, τουτέστι διὰ τὴν δυςελένην τὴν ἐξ ὄρνιθος κυκνοπτέ-

3) Priora habet etiam Flor. 6. sed pro τοιαύτην ἀποπ. φ. τρ. dat οὕτω λεπτὸν ἠχεῖ θρήνημα.

4) τῆς Ἑλένης addidi e Gu. in quo non totum scholion, sed haec eius verba: ὄμμα λέγει — ὀνομάσας, tum ultima, σκύμνον λέγει καὶ οὐ παῖδα, τὸ ὀλέθριον — ἐγεννήθη.

ρου, τοῦ Διὸς, γεγενημένην, τὴν σκύμνον τοῦ κάλλους τῆς Λήδας, λέγω τὴν ἐριννὺν ἤγουν τὴν κατάραν τῶν ξεστῶν (Gu. ξυστῶν) Περγάμων, ἤγουν τῶν εὐξέστων ὑψηλῶν οἰκημάτων τῶν Ἀπολλωνίων, τουτέστι τῶν τῆς Ἰλίου, ἥτις ὑπὸ τοῦ Ἀπόλλωνος ἐτειχίσθη. Gu. m. pr. Baroc. 74.

V. 1371. *ΟΡΝΙΘΟΓΟΝΟΝ*; τὸ ἐξ ὄρνιθος τὴν γονὴν ἐσχηκός. (om. Gu.) τὸ ὀρνιθόγονον κυκνόπτερον ὄμμα πρὸς τὸ Ἑλένης (σύναπτε add. Gu.), τὸ δὲ σκύμνον πρὸς τὸ Λήδας. κυκνόπτερον δὲ λέγει, παρόσον ὁ Ζεὺς κύκνος γενόμενος ἔσπειρε ταύτην. Gu. m. sec. Baroc. 74.

V. 1372. *ΚΑΛΛΟΣΥΝΑΣ*, ὡραιοτάτου, εὐμόρφου, τῆς εὐμορφίας. Gu.

V. 1373. *ΞΕΣΤΩΝ*, τετορευμένων, εὐξέστων. Gu. κεκαλλωπισμένων, τετορευμένων. Fl. 6. *ΑΠΟΛΛΩΝΙΩΝ*. Ἀπολλώνιον φασὶ τὸ Πέργαμον, καὶ τῆς Ἰλίου τὴν ἀκρόπολιν, ἐπεὶ Ἀπόλλωνος ἐστὶν ἱερὸν ἐκεῖσε. ὡς Ὅμηρος· Περγάμῳ ἐν ἱερῷ, ὅθι οἱ νηός γ' ἐτέτυκτο. ἢ ἐπεὶ ὁ Ἀπόλλων τὰ τείχη ᾠκοδόμησεν. ἢ Ἀπολλωνίων τῶν ἀπολωλότων, ὡς ἐν τῷ Φαέθοντι φησίν· ὦ καλλιφεγγὲς Ἴλιον, ὥς μ' ἀπώλεσας, Καὶ τοῦδ' Ἀπόλλων οὕτως εἰ κλήζῃ βροτοῖς. [5]) τῶν *ΑΠΟΛΛΩΝΙΩΝ*, ἤγουν τῶν ὑπ' Ἀπόλλωνος καὶ Ποσειδῶνος οἰκοδομηθέντων, ὅτε ἐθήτευσαν Λαομέδοντι. τοιγαροῦν καὶ ὅτε ἔμελλεν ὑπ' Ἀχαιῶν πορθηθῆναι καὶ ἀφανισθῆναι, εἶδεν Αἰνείας τούτους τοὺς θεοὺς, ὡς ἱστορεῖ Βεργίλιος (Βιργίλος Gu.), τοὺς λίθους, οὓς ἔθηκαν, καταβαλόντας. Baroc. 74. Gu. *ΠΕΡΓΑΜΩΝ*. Πέργαμον τὴν ἀκρόπολιν τῆς Τροίας ἔλεγον, ὥςπερ καὶ τὴν τῶν Θηβῶν Καδμείαν. φασὶ δὲ καὶ τὰ ὑψηλὰ τείχη πέργαμα. ἐπὰν οὖν τὸ περγάμων ἀντὶ ἀκροπόλεων νοήσῃς, γίνωσκε, ὅτι τὸ ἑνικὸν πληθυντικῶς ἐξηνέχθη. Gu.

V. 1374—1377. *ΟΤΤΟΤΟΙ*. ἐπιφώνημα ἐστὶ θρηνητικόν. καὶ ἰάλεμος ὁ θρῆνος. Δαρδανία δὲ πόλις

5) Ex Macrob. Saturn. I, 17. edid. Barn. ὦ καλλιφ. Ἥλι', ὥς μ' ἀπώλ. ὅθεν σ' Ἀπόλλων' ἐμφανῶς κλήσει βροτός. rectius Porson ad Or. 584. ἐκ τοῦδ' Ἀπόλλων ἐμφανῶς κλήζει βροτοῖς. In Junt. Basil. inter εἰ et κλήζῃ lacunae indicium est.

πλησίον τῆς Τροίας ἀπὸ Δαρδάνου βασιλεύσαντος ἐκεῖσε, ἔνθα ἱπποστάσιον φασὶν εἶναι τῶν Γανυμήδους ἵππων, ὃς ἦν ξυνευνέτης τοῦ Διός. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικὰ, δῶχ᾽ υἷος ποινὴν Γανυμήδεος. (Il. ε, 266.) θρηνεῖ δὲ τὸν Δάρδανον καὶ αὐτὸν ἀπολόμενον ἐν τῷ πολέμῳ. τὸ ἑξῆς· ὦ Δαρδανία τοῦ εὐνέτου τοῦ Διὸς Γανυμήδους ἱππόφορβε, δυςτυχεστάτη ἕνεκεν τῶν ἰαλέμων, ὅ ἐστι θρήνων. ἢ ὁ λόγος οὕτως· ἰαλέμων ἰαλέμων, καὶ δυςτυχεστάτη σὺ, ἱππικωτάτη Δαρδανία, ἥτις ὑπῆρχες τοῦ Γανυμήδους, καὶ τὰ ἑξῆς. ἢ τοίνυν ἱππικὴν τὴν Δαρδανίαν φησὶ, ἢ τοῦ ἱπποσύνου Γανυμήδους, τουτέστιν ἱππικοῦ. τὴν αὐτὴν δὲ φησὶ Τροίαν καὶ Δαρδανίαν.

V. 1375. *ΙΑΛΕΜΩΝ*. τῶν θρήνων, ἀπὸ Ἰαλέμου τῆς Καλλιόπης καὶ Ἀπόλλωνος. τινὲς δὲ τοῦτον τὸν αὐτὸν τῷ Λίνῳ φασὶν, ὃν καὶ ἐπὶ θρήνῳ λέγουσι. *ΙΑΛΕΜΩΝ*, εἶδος θρήνου ὁ ἰάλεμος. Gu. MS. C.C.C.[6])

V. 1376. *ΔΑΡΔΑΝΙΑ*. τὸ ὦ Δαρδανία ἢ ἀντὶ τοῦ ὦ Τροία νοητέον, ἢ πρὸς τὸ ἱπποσύνα (σύναπτε add. Bar.) οὕτω· ὦ ἱπποσύνη (—να Bar.) τοῦ Γανυμήδεος τοῦ Δαρδανίδου. (Δαρδανία Bar. qui addit: ἤγουν ὦ ἱππολασία τοῦ Γανυμήδεος τοῦ Δαρδανίου) κρεῖττον δέ ἐστι τὸ πρῶτον. Baroc. 74. Gu.

V. 1376. 1377. *ΓΑΝΥΜΗΔΕΟΣ ΙΠΠΟΣΥΝΑ*, ἱππασία τοῦ Γανυμήδους, τοῦ εὐνέτου τοῦ Διὸς, ἤγουν ἐφ᾽ ᾗ ἱππάζεται ὁ Γανυμήδης ὁ εὐνέτης τοῦ Διός. Gu. MS. C.C.C. *ΙΠΠΟΣΥΝΑ*, διφρηλασία, ἱπποστάσιον. Gu. *ΙΠΠΟΣΥΝΑ ΔΙΟΣ ΕΥΝΕΤΑ*. τινὲς οὐχ ἵππους, ἀλλὰ χρυσῆν ἄμπελον φασὶ δεδόσθαι ὑπὲρ Γανυμήδους, καθάπερ ἐν κύκλῳ λέγει· Ἄμπελον, ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα Χρυσείην φύλλοισιν ἀγανοῖσι κομόωσαν Βότρυσι, τοὺς Ἥφαιστος ἐπασκήσας πατρὶ δῶκεν· Αὐτὰρ ὃ Λαομέδοντι πόρε Γανυμήδεος ἄρτι (leg. ἀντί).

V. 1378. 1379. *ΣΑΦΩΣ ΛΕΓΕ*, κατὰ περικοπὴν ἴαμβοι δύο, εἶτα παράγραφος. Baroc. 74. *ΣΑΦΩΣ*, φανερῶς εἰπὲ ἡμῖν ἕκαστα τὰ ἐν τοῖς οἴκοις γινόμενα· τὰ γὰρ πρότερον οὐκ εὐγνώστως ἐνόησα. *ΑΥΘ᾽ ΕΚΑΣΤΑ*, αὐτὰ ἕκαστα. (γεγυμνωμένα. τὰ συμβάντα.) Gu.

6) Quae ap. King. in paraphr. praecedunt, sunt etiam in Gu. φεῦ ἕνεκα τῶν ἰαλ.

V. 1380—1406. *ΑΙΛΙΝΟΝ ΑΙΛΙΝΟΝ*. καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώλων λβ. τὸ α ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. εἰ δὲ βούλει, ἀσυνάρτητον ἐκ δακτυλικῆς καὶ ἀναπαιστικῆς βάσεως. τὸ β τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ ἰαμβικὸν πενθημιμερὲς, τοῦ α ποδὸς χορείου. τὸ δ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἔχον συνίζησιν κατὰ τὸν α πόδα. τὸ ε ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου, τοῦ δ ἀναπαίστου. τὸ ς τροχαϊκὸν τρίμετρον ὑπερκατάληκτον. τὸ ζ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ η ἰαμβικὸν τρίμετρον ἀκατάληκτον, ἔχον κατὰ τὸν ε πόδα συνίζησιν. τὸ θ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ ι ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ δ ποδὸς χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ια ὅμοιον καθαρόν. τὸ ιβ ὅμοιον. τὸ ιγ ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως, ἢ δακτυλικῆς (δύο γὰρ εἰσὶ σπονδεῖοι) καὶ ἰαμβικοῦ πενθημιμεροῦς. τὸ ιδ ἰαμβικὴ βάσις, ἤτοι μονόμετρον. τὸ ιε τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ ις ὅμοιον δίμετρον ὑπερκατάληκτον. τὸ ιζ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη ὅμοιον, δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. τὸ ιθ ὅμοιον τρίμετρον καταληκτικὸν, τοῦ β (leg. τοῦ δ) ποδὸς χορείου· ἴαμβος γάρ ἐστι τρίμετρος ἐλλιπὴς μιᾷ συλλαβῇ. τὸ κ ὅμοιον τῷ ις. τὸ κα ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ τριῶν χορείων καὶ ἰάμβου. τὸ κβ ὅμοιον ἐκ δύο χορείων καὶ ἀναπαίστου καὶ ἰάμβου, ἢ πυῤῥιχίου διὰ τὴν ἀδιάφορον. τὸ κγ ὅμοιον ἐκ δ χορείων. τὸ κδ δακτυλικὸν δίμετρον. εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ κε ὅμοιον τῷ ιε. (leg. τῷ ιη.) τὸ κς ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν. τὸ κζ, τὸ κη, τὸ κθ, τὸ λ, τὸ λα, καὶ τὸ λβ ὅμοια εἰσὶ κατὰ πάντα. καὶ εἰσὶν ἰωνικὰ ἡμιόλια, ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, καὶ ἰάμβου, πλὴν τὸ μὲν κζ κῶλον ἀντὶ ἰάμβου ἔχει πυῤῥίχιον διὰ τὴν ἀδιάφορον, τὸ δὲ λα χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐν εἰςθέσει στίχος ἴαμβος τρίμετρος.

V. 1380—1383. *ΑΙΛΙΝΟΝ ΑΙΛΙΝΟΝ*. ὁ λόγος οὕτως· εἰώθασιν οἱ βάρβαροι τὸν αἴλινον ἐν ἀρχῇ θρήνου λέγειν, οἰκείως τῇ ἑαυτῶν βαρβάρῳ φωνῇ, ὅτε τις βασιλείας ἀνῃρημένος τύχῃ. κἀγὼ οὖν ἀπολλυμένην τὴν Ἑλένην στενάζω. τὸν λίνον τινὲς ἐτίθεσαν ἐπὶ τοῦ ὕμνου καὶ τοῦ

θρήνου, νῦν μέντοι ἐπὶ συμφοραῖς αὐτὸν καὶ θρήνοις τάττει. *ΑΙΛΙΝΟΝ.* τὸ ἀρχὰν θανάτου καὶ τὸ ὅταν αἷμα βασιλέων χυθῇ κατὰ γᾶν ταυτόν ἐστι. τὸ δὲ πᾶν οὕτω· τὴν ἀρχὴν τοῦ θανάτου, ὅταν χυθῇ κατὰ γῆν τοῦ ᾅδου ἐν ξίφεσι σιδηρέοις αἷμα βασιλέων, λέγουσιν οἱ βάρβαροι αἴλινον αἴλινον ἐν Ἀσιάδι φωνῇ. Baroc. 74. Gu. [7])

V. 1380. *ΑΡΧΑΝ,* κατά. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐπειδὴ περὶ τοῦ τῆς Ἑλένης θανάτου μέλλει εἰπεῖν, τοῦτό φησι. Gu. m. 2. Fl. 6.

V. 1381. *ΑΙ ΑΙ* διὰ μέσου. Gu.

V. 1382. *ΑΣΙΑΔΙ ΦΩΝΑι,* ἀντὶ τοῦ βαρβάρῳ· ἡ γὰρ Ἀσία τῆς βαρβάρων χώρας [8]), ἡ δὲ Εὐρώπη τῶν Ἑλλήνων. *ΑΣΙΑΔΙ,* Τρωϊκῇ. Fl. 6.

V. 1383. 1384. *ΞΙΦΕΣΙ ΣΙΔΑΡ. ΑΙΔΑ,* τοῖς θάνατον ἐργαζομένοις. *ΑΙΔΑ.* τὸ δὲ ᾅδου ἢ πρὸς τὸ γῆν σύναπτε, ὡς ἔφαμεν, ἢ πρὸς τὸ ξίφεσιν· τὰ γὰρ (τὸν add. Bar.) θάνατον ἐργαζόμενα ξίφη ᾅδου ξίφη φαμέν. Baroc. 74. Gu. ἀδολεσχεία τὸ σιδαρέοις ξίφεσι. Fl. 6.

V. 1385. *ΗΛΘΟΝ.* ἐντεῦθεν ἄρχεται διηγεῖσθαι. Fl. 6.

V. 1386. *ΛΕΟΝΤΕΣ.* λέοντας αὐτοὺς λέγει διὰ τὸ πρὸς ἀγριότητα τραπῆναι. Gu. Fl. 6. *ΔΥΟ ΔΙΔΥΜΩ.* ταὐτὸν δύναται τὸ δύω καὶ τὸ διδύμω. λέγει δὲ ταῦτα ἐφεξῆς ἀγωνιῶν, ὡς καὶ τὸ αἴλινον αἴλινον καὶ τὰ ἕτερα. Gu. Baroc. 74.

V. 1386—1388. *ΔΥΟ ΔΙΔΥΜΩ.* τουτέστιν Ὀρέστης καὶ Πυλάδης. τοῦ μὲν πατὴρ ὁ βασιλεὺς Ἀγαμέμνων ἐπωνομάζετο, ὁ δὲ Στροφίου ἦν παῖς. κακόβουλος [9]) δὲ ὁ κακὰ κατὰ τῆς Ἑλένης βουλευσάμενος.

V. 1388. *ΚΑΚΟΜΗΤΑΣ,* κακότροπος τὰς βουλάς. Gu. Fl. 6. 9. 17. 21. 25. 54. 56. 59. 76.

7) In Gu. haec duo sunt scholia: τὸ ἀρχὰν θ. — ταυτόν ἐστι in margine interiore scriptum, τὴν ἀρχ. τοῦ θ. — φωνῇ in exteriore, quorum cohaeret illud ad v. 1384. τὸ δὲ πᾶν οὕτω deest.

8) King. coni. τῶν βαρβάρων χώρα. male. Quod editur, habet etiam Gu.

9) Legendum videtur: κακομήτας δὲ, κακόβουλος.

V. 1389. *ΣΙΓΑι ΔΟΛΙΟΣ,* ἐν ἡσύχῳ ἤθει δόλους κατασκευάζων. Baroc. 74. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΣΙΓΑι ΔΟΛ.* τουτέστι τῇ σιγῇ ἔμπειρος τῶν πόνων.

V. 1390. *ΠΙΣΤΟΣ,* ἀσφαλής. Gu. Florr. iidem. *ΘΡΑΣΥΣ,* ὁρμητικώτατος (Bar. —ικός). Baroc. 74. Gu. m. pr. Florr. iidem. τολμηρὸς εἰς βοήθειαν. Baroc. 74. Gu. m. 2. Flor. 6. (qui addit δύναμιν).

V. 1391. *ΞΥΝΕΤΟΣ ΠΟΛ.* ἔμπειρος πολέμου. *ΞΥΝΕΤΟΣ,* φρόνιμος. Fl. 17. ἐπιστήμων. Gu. Fl. 6.

V. 1392 sq. *ΕΡΡΟΙ ΤΑΣ ΗΣΥΧΟΥ.* φθειρέσθω, φησὶν, οὗτος ἐπὶ κακουργίᾳ ἔμπειρος ὢν, προνοούμενος τῆς ἡσυχίας ἐπὶ κακῷ. [10]) Ἄλλως. Διαφθαρείη ὑπὸ τῆς ἡσύχου προνοίας. ἥσυχον δὲ αὐτὴν φησὶ, τὴν ἀπροσδοκήτως πάντα ἀμυνομένην, πρόνοιαν δὲ τὴν εἱμαρμένην. τινὲς δὲ οὕτως· οἰμωζέτω κακοῦργος ὢν μετὰ ἡσύχου προνοίας. *ΕΡΡΟΙ,* φθειρέσθω κακοῦργος ὢν τῆς προνοίας τῆς ἡσύχου, ἤγουν κακουργῶν τὴν ἡσυχίαν. Gu. King. paraphr. *ΠΡΟΝΟΙΑΣ,* ἕνεκα τῆς κατὰ νοῦν φροντίδος καὶ μηχανῆς. Baroc. 74. Gu.

V. 1394—1398. *ΟΙ ΔΕ ΠΡΟΣ.* ὁ σύνδεσμος ὁ δὲ ἀντὶ τοῦ δὴ, ἵν' ᾖ, οἳ δή. οὗτοι δὲ, φησὶν, ἔνδον εἰσελθόντες εἰς τοὺς θαλάμους, ἧς ἔγημε γυναικὸς τοξότης Πάρις, τοὺς ὀφθαλμοὺς δακρύων πεπληρωμένοι καὶ τῷ σχήματι ταπεινοὶ, ἕζοντο παρ' ἑκάτερον μέρος τῆς Ἑλένης, ὁ μὲν ἐκ δεξιῶν, ὁ δὲ ἐξ εὐωνύμων, πεφραγμένοι ξίφεσιν.

V. 1394. *ΟΙ ΔΕ* ἀντὶ τοῦ οἵτινες (οἳ δή add. Gu. m. 2.) Gu. Fl. 17.

V. 1394. 1395. *ΕΣΩ ΜΟΛΟΝΤΕΣ,* ἔσω μολόντες πρὸς τοὺς θρόνους τῆς γυναικὸς, ἣν ἔγημεν ὁ τοξότης Πάρις. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1396. *ΠΕΦΥΡΜΕΝΟΙ* ἀντὶ πεφυρμένον τουτέστι μεμιγμένον ἔχοντες τὸ ὄμμα τοῖς δακρύοις. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τεταραγμένοι. Fl. 25. 34. μεμολυσμένοι. Fl. 33. *ΤΑΠΕΙΝΟΙ,* μετὰ ταπεινώσεως, ἐπιῤῥηματικῶς. Gu. m. pr. Florr. iidem. ἥσυχοι. Gu. m. 2.

V. 1398. *ΑΛΛΟΣ,* λέγω. Gu. Florr. iidem. *ΠΕ-*

10) Gu. φθειρέσθω, οὕτω προνοούμενος τῆς ἡσυχίας ἐπὶ κακῷ.

ΦΡΑΓΜΕΝΟΙ, ὡπλισμένοι. (ἠσφαλισμένοι add. Gu. m. 2.) Gu. Florr. iidem et 25. 33. 34.

V. 1400. *ΑΜΦΩ*, ὁμοῦ ἀμφότεροι. MS. C. C. C. Gu.

V. 1401 sq. *ΑΝΑ ΔΕ ΔΡΟΜΑΔΕΣ*. τὸ ἑξῆς· ἀνέθορον δὲ πάντες, καὶ οἱ θεράποντες ἀνεπήδησαν παραχρῆμα καὶ προέθεον, καθάπερ δρομάδες ἵπποι φοβηθέντες. *ΔΡΟΜΑΔΕΣ* ἀντὶ τοῦ δρομαίως. Gu. Fl. 6. 9. 17. 56. 59. 76. *ΑΜΦΙΠΟΛΟΙ* ἀντὶ τοῦ πρόσπολοι. (Gu. add. m. 2. δοῦλοι, θεράποντες οἱ ἀμφ᾽ ἐκείνην ἀναστρεφόμενοι. ἀμφίπολος οὐ μόνον ἡ δούλη, ἀλλὰ καὶ ὁ δοῦλος.) Gu. Fl. 6. 9. 17. 25. 34. 56. 59. 76.

V. 1403. *ΠΡΟΣΕΙΠΕ Δ᾽ ΑΛΛΟΣ ΑΛΛΟΝ*, εἶπε δὲ ἄλλος πρὸς ἄλλον. Gu. m. pr. MS. C.C.C. *ΠΕΣΩΝ ΕΝ ΦΟΒΩι*, φοβηθείς. Gu. m. 2.

V. 1404. *ΜΗ*, ὅρα ἵνα. Gu. m. pr. MS. C.C.C.

V. 1404 sq. *ΚΑιΔΟΚΕΙ ΤΟΙΣ ΜΕΝ ΟΥ*. οἱ μέν, φησὶ, τῶν οἰκετῶν οὐκ ᾤοντο δόλον εἶναι, οἱ δὲ ἐπεπιστεύκεισαν τὴν Ἑλένην μέλλειν ὑπὸ τοῦ Ὀρέστου δολοφονεῖσθαι, ὥςπερ ἐν ἄρκυσι ζωγρηθεῖσαν· ἄρκυς γὰρ τὸ λίνον.

V. 1405 sq. *ΤΟΙΣ Δ᾽*, ἐδόκει. τοῖς δὲ ἐδόκει Ὀρέστης ἐν ἀσφαλεστάτῃ δικτύων μηχανῇ καὶ περιβλήματι λίνου ἐμπλέκειν καὶ ἐμβάλλειν τὴν Ἑλένην, [οἷον] εἰς ἀρκυστάτην μηχανὴν, καὶ ὡς περίβλημα λίνων, οἷον εἰς δολοφονίαν· ἄρκυς γὰρ τὸ δίκτυον. *ΑΡΚΥΣΤΑΤΑΝ*, ἀπὸ τοῦ ἄρκυς τὸ δίκτυον. (ἄφυκτον, ἀσφαλεστάτην, δικτυοειδῆ.) Gu. *ΜΗΧΑΝΑΝ*, δολοφονίαν. Gu.

V. 1406. *ΜΗΤΡΟΦΟΝΤΑΣ ΔΡΑΚΩΝ*, ἤγουν ὁ Ὀρέστης ὁ τὴν μητέρα φονεύσας. (διὰ τὸ φονικόν.) Gu.

V. 1407. *ΣΥ Δ᾽ ΗΣΘΑ*. σὺ δὲ παρῆς τοῖς γινομένοις, ἢ ἤκουσας παρ᾽ ἑτέρου πάλαι. Ἄλλως. σὺ ποῦ ὑπῆρχες; ἢ ἐκ μακροῦ φεύγεις ἐν φόβῳ γενόμενος δηλονότι, ἃ δὲ λέγεις δηλονότι, παρὰ ἄλλου ἤκουσας; *ΣΥ Δ᾽ ΗΣΘΑ*. δυοῖν ὄντων τοῦ παρεῖναι αὐτὸν ἐκεῖ καὶ ὁρᾷν, καὶ τοῦ πρότερον ἐξελθεῖν καὶ ἀπεῖναι, ὅτε ταῦτα ἐγίνετο (ἐγένετο Gu.), ἐρωτᾷ ὁ χορὸς, ποῦ ἦσθα, πρὸς ἀμφότερα ἀποβλέπων, εἶτα ὀφείλων εἰπεῖν διαιρῶν, ἐκεῖ ἦσθα, ἢ πάλαι φεύγεις φόβῳ; ὁ δὲ τῷ ἑνὶ σκέλει χρησάμενος τῷ ἢ πάλαι φεύγεις ἀρκεῖται· ἀπὸ γὰρ τοῦ ἑτέρου δυνατόν ἐστι συνυπακούεσθαι καὶ τὸ ἕτερον. Baroc. 74. Gu. m. pr.

V. 1408—1432. *ΦΡΥΓΙΟΙΣ ΕΤΥΧΟΝ*. καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώλων λα. τὸ α ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β καὶ τὸ γ καὶ τὸ δ ὅμοια δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ. τὸ ε τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ϛ προςῳδιακὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος α, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου. τὸ ζ ὅμοιον τῷ ε ἰθυφαλλικόν. τὸ η προςῳδιακὸν, ἐναντίον τῷ προῤῥηθέντι, ἐκ χοριάμβου καὶ παίωνος δ, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος. εὕρηται γὰρ καὶ παρὰ Πινδάρῳ τὸ προςῳδιακὸν καὶ ἀπ᾽ ἐλάττονος συγκείμενον, καὶ οὐ μόνον ἀπὸ μείζονος. τὸ θ ὅμοιον τῷ β. εἰ δὲ βούλει, προςῳδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς. τὸ ι ὅμοιον τῷ ϛ ἐκ παίωνος β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου. εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἐξ ἰάμβου ἀρχόμενον. τὸ ια ἀναπαιστικὴ βάσις. τὸ ιβ παιωνικὸν δίμετρον ὑπερκατάληκτον, (l. καταληκτικόν) ἐκ παίωνος δ καὶ χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς ἐκ τροχαίου καὶ δύο βραχέων ἀντὶ μιᾶς μακρᾶς. τὸ ιγ δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον, ἢ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιδ ἰωνικὸν ἡμιόλιον ἐκ παίωνος β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ σπονδείου. εἴη ἂν καὶ ἰαμβικὸν πενθημιμερὲς, τοῦ β ποδὸς ἀναπαίστου. τὸ ιε ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ τριῶν χορείων. τὸ ιϛ ὅμοιον. τὸ ιζ, ιη, ιθ ἐξ ἐπιτρίτου α καὶ ἰάμβου. [1]) τὸ κ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον (King. καταληκτικόν) ἐξ ἀντισπάστου καὶ κρητικοῦ. τὸ κα ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν. τὸ κβ τροχαϊκὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ κγ ὅμοιον δίμετρον καταληκτικὸν Εὐριπίδειον, τοῦ α ποδὸς χορείου. τὸ κδ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. οὕτω γάρ μοι δοκεῖ ταῦτα βέλτιον εἶναι γρά-

1) King. ita edidit: τὸ ιε ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιϛ ὅμοιον, [βραχυκατάληκτον, ἐξ ἀντισπάστου καὶ σπονδείου.] τὸ ιζ [ὅμοιον. τὸ ιη ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων καὶ ἰάμβου. τὸ ιθ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον] ἐξ ἐπιτρίτου α καὶ ἰάμβου.

φειν. τὸ γὰρ κακὸς Φωκεὺς μόνον ἀδιάγνωστόν ἐστι,
τίνος ἂν εἴη μέτρου, εἰ καὶ δοκεῖ ἀντισπαστικόν. τὸ κε
ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ κς ἰαμβικὸν τρίμετρον
βραχυκατάληκτον, συνίζησιν ἔχον ἐν τῷ α ποδί. εἰ δὲ βού-
λει, ἔστω ὁ β ἀνάπαιστος. τὸ κζ τροχαϊκὸν δίμετρον ὑπερ-
κατάληκτον. τὸ κη καὶ τὸ κθ τροχαϊκὰ καὶ ἰθυφαλλικά.
τὸ λ τροχαϊκὸν πενθημιμερές. τὸ λα ἰαμβικὸν, ὅμοιον τῷ
κς. ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐν εἰςθέσει ἴαμβος
τρίμετρος.

V. 1408—1418. *ΦΡΥΓΙΟΙΣ ΕΤΥΧΟΝ.* ἔτυχον ἐν
συνηθείᾳ Φρυγῶν, ἐν συνηθείᾳ [2]) βαρβαρικῇ κινῶν εὐ-
παγεῖ κύκλῳ πτερίνῳ, ἤγουν ῥιπιδίῳ, αὔραν ἐπὶ
(C.C.C. περὶ) τὸν βόστρυχον τῆς Ἑλένης πρὸ τῆς παρηΐ-
δος ἀντὶ τοῦ τῆς παρειᾶς. ἡ δὲ, ἤγουν ἡ Ἑλένη, ἐνετύ-
λιττε διὰ τῶν δακτύλων λίνον τῇ ἠλακάτῃ, τὰ νήματα δὲ
ὥρμα πρὸς τὸ πέδον, θέλουσα κατασκευάσαι ἀναθήματα
ἐπὶ (τὸν add. C.C.C.) τύμβον τῷ λίνῳ τῷ ὄντι ἀπὸ τῶν
σκύλων τῶν Φρυγίων, λέγω φάρεα, ἤγουν ἐνδύματα, πορ-
φυρᾶ κατασκευάσαι δῶρα τῇ Κλυταιμνήστρᾳ. MS. C.C.C.
Gu. m. pr.

V. 1408—1412. *ΦΡΥΓΙΟΙΣ ΕΤ.* ἔτυχον (ἐν add.
Bar.) Φρυγίοις καὶ Τρωϊκοῖς νόμοις αἴσσων, καὶ πέμ-
πων, αὔραν, καὶ πνοὴν πρὸ παρηΐδος (καὶ ἔμπροσθεν τῆς
παρειᾶς add. Bar.) τῆς Ἑλένης παρὰ τὸν βόστρυχον καὶ
τὰς ἐν μετώπῳ αὐτῆς τρίχας, τουτέστιν ἐξ ὅτουπερ εἰς
Τροίαν ἦν αὕτη, ἐτάχθην ἔμπροσθεν αὐτῆς ἵστασθαι (καὶ
πρὸς τὸ θάλπος αὔραν αὐτῇ μηχανᾶσθαι add. Gu.) καὶ
τὰ λυποῦντα ἐλαύνειν, μυίας φημὶ καὶ κώνωπας. Baroc.
74. Gu. m. sec.

V. 1409. *ΠΑΡΑ ΒΟΣΤΡΥΧΟΝ.* τὸ παρὰ βό-
στρυχον καὶ τὸ πρὸ παρηΐδος ταυτόν ἐστιν. Baroc.
74. Gu.

V. 1409—1411. *ΠΑΡΑ ΒΟΣΤΡΥΧΟΝ.* παρὰ τὸν
βόστρυχον, φησὶ, τῆς Ἑλένης πλησίον τῆς παρηΐδος αὐτῆς
αὔραν ἔπεμπον τῇ ῥιπίδι. πτερίνῳ δὲ εἶπε, παρόσον αὗ-
ται ἐκ πτερῶν ὑπάρχουσι συντεθειμέναι. εὐπηγεῖ δὲ κύ-
κλῳ, ἤτοι καλῶς πεπηγμένῳ καὶ συντεθειμένῳ. κυκλοτερὴς

2) King. bis συνήθει.

γὰρ ἡ ἐκ τῶν πτερῶν ῥιπίς. ἡ δὲ πρὸ ἀντὶ τῆς κατὰ, ὅ
ἐστι κατὰ τοῦ προςώπου αὐτῆς πνοὴν ἐκπέμπων. τὸ γὰρ
ἑξῆς, αὔραν αἴσσων, ἀντὶ τοῦ πνοὴν ἐκπέμπων.

V. 1410. *ΕΥΠΑΓΕΙ*, εὐκατασκευάστῳ, εὐπλόκῳ. Gu.

V. 1412. *ΒΑΡΒΑΡΟΙΣ ΝΟΜ.* τοῦτο καὶ τὸ Φρυ-
γίοις νόμοις ταὐτόν ἐστι. Gu.

V. 1413—1418. *Α ΔΕ ΛΙΝΟΝ.* ἡ δὲ ἐν τοῖς δα-
κτύλοις ἕλισσε λίνον ἐν ἠλακάτῃ, τὰ νήματα δὲ ἵετο ἐν τῷ
πέδῳ, χρήζουσα ἐν λίνῳ ἐπὶ τὸν τύμβον τῆς ἀδελφῆς στο-
λίσαι φάρεα καὶ πέπλους, πορφύρεα, δῶρα τῇ Κλυ-
ταιμνήστρᾳ, ἀγάλματα καὶ λαμπρότητας καὶ τρυφὰς τῶν
Φρυγίων σκύλων. Baroc. 74. Gu. m. sec.

V. 1413. *ΛΙΝΟΝ.* λίνον ἐνταῦθα καταχρηστικῶς τὴν
μετάξαν λέγει. ὅτι δὲ τοῦτό ἐστι, δῆλον ἔκ τε τῶν Φρυγίων
σκύλων καὶ τοῦ βούλεσθαι τῇ ἀδελφῇ πέπλον ὑφᾶναι πρὸς
(τὸν add. Bar.) τάφον δῶρον· οὔτε γὰρ ἦν εἰκὸς ἐκ λίνου
καὶ μὴ ἐκ μετάξης τῇ ἀδελφῇ δῶρον (Bar. δῶρα) κατα-
σκευάσαι, οὔτε φαῦλα σκῦλα καὶ οὐδενὸς ἄξια ἐκ Τρώων
λαβεῖν, ἀλλὰ λίνον ἐνταῦθα καταχρηστικῶς καὶ οὐ κυρίως
τὴν μέταξαν λέγει. (Bar. λέγειν.) ἐγχωρεῖ δὲ λέγειν καὶ νῆ-
μα λεπτὸν καὶ ἀερῶδες εἶναι τὸν λίνον καὶ οὐ μέταξαν,
καὶ οὐδὲν ἐμποδὼν ἵσταται τὸ σκύλων Φρυγίων, οὐδὲ τὸ
πέπλον ἐκ τοιούτου θέλειν ὑφαίνειν τῇ ἀδελφῇ. εἰκὸς γὰρ
ἦν καὶ σκῦλον τοιοῦτο (τι νῆμα add. Gu.) λαβεῖν, (καὶ
πέπλους ἐκ τοιούτου ὑφαίνειν add. Gu.) Baroc. 74. Gu.

V. 1415—1418. *ΝΗΜΑΤΑ.* Τὰ δὲ νήματα ἵετο,
ἀντὶ τοῦ κατέπεμπε καὶ κατηπειγμένως ἐχαλᾶτο, ἐν τῷ πέ-
δῳ διὰ τὸν τύμβον. ἀπὸ δὲ τοῦ τύμβου τὸ σῶμα τῆς Κλυ-
ταιμνήστρας δηλοῖ. ἀγάλματα δὲ ἀντὶ τοῦ ἀγάλμασι·
καλλώπισμα γάρ ἐστιν ἡ κηδεία τοῦ νεκροῦ σώματος. ὁ δὲ
λόγος, τὰ δὲ νήματα καὶ τὰ λῖνα τὰ ἐκ Φρυγίας εἰργάζε-
το διὰ τῆς Κλυταιμνήστρας τὸ σῶμα, ἵνα τοῦτο συστείλῃ
καὶ κηδεύσῃ αὖθις λαμπροῖς ἱματίοις καὶ φάρεσι πορφυ-
ρέοις.

V. 1415. *ΝΗΜΑΤΑ Θ' Ι. Π.* τοῦτο διὰ μέσου. Gu.
ΙΕΤΟ, ὥρμα. (ἐπέμπετο.) Gu.

V. 1416. *ΣΚΥΛΩΝ ΦΡΥΓΙΩΝ.* ἀντὶ τοῦ τὰ ἀπὸ
τῆς λαφυραγωγίας τῶν βαρβάρων νήματα καὶ λῖνα, ἤτοι
ἀπὸ τῶν Φρυγίων σκύλων βουλομένης συῤῥάψαι ἐνδύματα

πορφυρᾶ, ὅπως ἐπὶ τοῦ τάφου ἀναθῇ τῆς Κλυταιμνήστρας. ΣΚΥΛΩΝ ΦΡ. τῷ λίνῳ τῷ ὄντι δηλονότι ἀπὸ τῶν σκύλων τῶν Φρυγίων. Gu. m. pr. μὴ λάβῃς εἰς τὸ σκύλων ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἀγάλματα. Gu. m. 2. Baroc. 74.

V. 1419 — 1423. ΠΡΟΣΕΙΠΕΝ Δ' Ο. πρὸς τὴν Λάκαιναν δὲ κόρην, ἤγουν τὴν Ἑλένην, εἶπεν ὁ Ὀρέστης· ὦ παῖ τοῦ Διὸς, ἀποστᾶσα τῆς καθέδρας θὲς τὸν πόδα ἐπὶ τῷ πέδῳ δεῦρο ἐπὶ τὴν ἕδραν τῆς πάλαι κατασκευασθείσης οἰκίας τοῦ Πέλοπος τοῦ προπάτορος, ἵν' εἰδῇς τοὺς ἐμοὺς λόγους. [3]) MS. C.C.C. Gu.

V. 1420. ΘΕΣ ΙΧΝΟΣ. ἀντὶ τοῦ ἀνάστηθι. ἀπαγαγεῖν δὲ αὐτὴν ἐβούλετο ἀπὸ τοῦ τόπου, οὗ ἐκάθητο, εἰς ἕτερον τόπον, ἐκκλῖναι βουλόμενος τοὺς παρεστῶτας ἱκέτας. τοῦτο οὖν φησὶν, ἀποστᾶσα τοῦ κλισμοῦ ἐλθὲ ἐπὶ τὴν Πέλοπος καθέδραν, ἤτοι ἔνθα εἰώθει διατρίβειν ὁ Πέλοψ.

V. 1424. ΑΓΕΙ Δ', ἀντὶ τοῦ ἦγεν, τουτέστιν ἐπειρᾶτο ἄγειν· ἡ δὲ ἐπηκολούθει. MS. C.C.C. Gu.

V. 1425. ΠΡΟΜΑΝΤΙΣ, οὖσα δηλονότι. Gu. ΩΝ ΕΜΕΛΛΕΝ, πείσεσθαι. Gu.

V. 1426 sqq. Ο ΔΕ ΞΥΝΕΡΓΟΣ. τὸ σὺν κατὰ κοινοῦ, τουτέστιν ὁ δὲ συνεργὸς συμπράσσων τῷ Ὀρέστῃ, ὁ πονηρὸς ἀνὴρ Φωκεὺς, τοιαῦτα εἶπεν· οὐκ ἐκποδῶν, καὶ τὰ λοιπά. Ο ΔΕ ΞΥΝΕΡΓΟΣ, ὁ δὲ συνεργὸς ὁ κακότροπος Φωκεὺς, ἤγουν ὁ Πυλάδης, ἄλλα ἰὼν ἔπραττεν. Gu. MS. C.C.C.

V. 1428. ΟΥΚ ΕΚΠΟΔΩΝ ΙΤΕ, τουτέστιν οὐ μακρὰν ἀπέρχεσθε, ἀλλ' αἰεὶ ἀπαιδεύτως ἔχετε· τοῦτο γὰρ τὸ κακοί. ἔλεγε δὲ αὐτοῖς τοῦτο, ὡς δῆθεν Ὀρέστου μυστήριον λέξοντος τῇ Ἑλένῃ, ἵνα, ἐκποδὼν ἀπελθόντων, μόνην (Bar. μόνον) συλλάβωσιν αὐτὴν, ὡς μηδενὸς αὐτοῖς ἀνταίροντος. Baroc. 74. Gu. m. sec. [4]) ἴω τὸ πορεύομαι. ὁ β ἀόριστος ἶον, ἶες, ἶε, καὶ τὸ προστακτικὸν ἴε, καὶ κατὰ μεταπλασμὸν τοῦ ε εἰς θι καὶ τροπὴν, ἴθι ἴτω, ἴτον ἴτον, ἴτε ἴτωσαν· μεταπλασμὸς δέ ἐστι μετάθεσις καὶ σχηματισμὸς λήξεως καὶ λέξεως εἰς συγγενὲς τελικὸν τοῦ αὐτοῦ εἴτε ὀνόματος εἴτε ῥήματος· ὀνόματος μὲν, οἷον τῷ κλάδῳ τῷ κλαδί, τῷ δένδρῳ τῷ δένδρεϊ, τὼ ὄσσω τὼ ὄσσε· ῥήματος δὲ, οἷον ἴε ἴθι, ἔθι ἔσο, κλύε κλῦθι, πῖε πῖθι, ποιοίμην ποιοίην, καὶ ἕτερα. Gu. m. sec. ΚΑΚΟΙ ΦΡΥΓΕΣ, λέγων μετὰ ἐπιπλήξεως κακοὶ Φρύγες, ὡς ματαίως δῆθεν ἐν δειλίᾳ γενομένων τῶν περὶ τὴν Ἑλένην Φρυγῶν, τοῦτο φησί. Gu. m. pr. Baroc. 74. [5]) ΚΑΚΟΙ, ἤγουν δειλοί. (ἀπαίδευτοι ἐστέ.) Gu.

V. 1429. ΕΚΚΛΗΙΣΕ (sic) ἐκ τῆς στέγης δὲ ἄλλον ἄλλοσε ἀγαγὼν ἔκλεισεν. Gu. m. pr. MS. C.C.C. ΕΚΛΗΙΣΕ, ἠσφάλισεν. Gu. m. 2.

V. 1430. ΣΤΑΘΜΟΙΣΙΝ, τῷ (Cod. τὸ) κοινῶς σταύλῳ. MS. C.C.C. Gu. m. pr. σταθμοὶ λέγονται καὶ αἱ παραστάδες. Gu. m. 2. Fl. 6.

V. 1431. ΕΝ ΕΔΡΑΙΣΙ, ἤτοι ἐν οἴκοις (Gu. C.C.C. τῷ οἴκῳ) τοῦ ἀποπάτου. ΤΟΥΣ Δ' ΕΚΕΙΣ' ΕΚΕΙΘΕΝ, ἀπ' ἐκείνου τοῦ μέρους εἰς ἐκεῖνο. MS. C.C.C. Gu. m. pr. ΑΛΛΟΝ ΑΛΛΟΣΕ, ἄλλον ἀπ' ἄλλου μέρους εἰς ἄλλο. MS. C.C.C. Gu. m. pr.

V. 1432. ΑΠΟΠΡΟ, πόῤῥωθεν. τὸ δὲ διαρμόσας ἀντὶ τοῦ προσαρμόσας καὶ συγκλείσας. ἀπὸ τοῦ διαρμόσας δὲ τὴν ἀδιάλειπτον παραμονὴν τῶν οἰκετῶν ἐσήμανεν, ἣν εἶχον μετὰ τῆς δεσποίνης. ΔΙΑΡΜΟΣΑΣ, χωρίσας. (κλείσας, ἀσφαλίσας, διαστήσας ἢ διαχωρίσας.) Gu. ΑΠΟΠΡΟ ΔΕΣΠΟΙΝΑΣ, ἄπωθεν κατ' ἐπίτασιν τῆς εἰς τὸ ἔμπροσθεν πορείας. Gu. a m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. γρ. ἄπο πρὸ, δηλούσης τῆς πρὸ τὸ ἐκτός. Gu. m. sec.

V. 1433. ΤΙ ΤΟΥΠΙ ΤΩιΔΕ. (μετὰ ταῦτα.) τί τῆς συμφορᾶς, ἀντὶ τοῦ ποία συμφορὰ κατὰ τὸ μετὰ τοῦτο ἐγένετο. Gu. MS. C.C.C.

3) C.C.C. τοὺς λόγους ἐμούς.

4) Dedi locum, ut in Gu. legitur. Apud King. ante hoc scholion leguntur ista ὡς ματαίως — φησί, quae in Gu. sunt manu prima scripta.

5) Apud King. priora, λέγων (pro quo coniicit λέγω) μετα ἐπιπλ. in paraphr. e MS. C.C.C. una cum scholio, ὁ δὲ συνεργὸς — ἔπραττεν, enotata sunt. λέγων μετὰ ἐπιπλήξεως, ἤγουν μακρὰν ἄπιτε sunt etiam in Flor. 6. 9. 17. 21. 56. 59. 76. sed in Gu. ea quae dedi, in margine, ἤγουν μ. ἀπ. inter versus scripta sunt.

V. 1454—1458. *ΙΔΑΙΑ ΜΑΤΕΡ.* καὶ ἡ παροῦσα στροφὴ μονόστροφός ἐστιν, κώλων δὲ κϛ. τὸ α δακτυλικὸν (ἢ) ἀναπαιστικὸν ἑφθημιμερὲς, ἐπεὶ ἐκ σπονδείων ἐστί. τὸ β ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ δ ἀναπαιστικὸν, ὅμοιον τῷ δευτέρῳ. τὸ ε τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν. τὸ ϛ τροχαϊκὸν δίμετρον (leg. τρίμετρον) καταληκτικὸν, συνίζησιν ἔχον ἐν τῷ γ ποσί. τὸ ζ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ η τροχαϊκὸν πενθημιμερές. τὸ θ ἀντισπαστικὸν τρίμετρον κατάληκτον, ἐκ διϊάμβου, ἀντισπάστου καὶ κρητικοῦ. τὸ αὐτὸ εἴη ἂν καὶ ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ ι τροχαϊκὸν ἑφθημιμερὲς καθαρόν. τὸ ια ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιβ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον, Στησιχόρειον καλούμενον, ἔχον τὸ Πινδαρικὸν ἔθος, ἴαμβον δηλονότι τὸν τελευταῖον πόδα. εἰ δὲ μή ἐστιν ἀκατάληκτον, — τοιοῦτον γάρ ἐστι τὸ Στησιχόρειον, — οὐδὲν θαυμαστόν. τὸ ιγ ὅμοιον τῷ ζ, ἰαμβικόν. τὸ ιδ τροχαϊκὸν ὅμοιον τῷ ι. τὸ ιε ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου. τὸ ιϛ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τοῦ β ποδὸς χορείου. εἰ δὲ τὸ ἴ α χ ε ν ἐκτεταμένον βούλει εἶναι, ὡς ηὐξημένης τῆς ἀρχούσης τοῦ παρατατικοῦ, εἴη ἂν τὸ κῶλον τροχαϊκὸν δίμετρον ὑπερκατάλητον, τοῦ β καὶ τοῦ γ ποδὸς δακτύλου. εἴη δὲ καὶ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν, ἐκ διτροχαίου, παίωνος β καὶ μολοσσοῦ. τὸ ιζ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον· εἰ δὲ βούλει, ἀσυνάρτητον ἐκ τροχαϊκοῦ ἰθυφαλλικοῦ καὶ ἀναπαιστικῆς βάσεως, ἢ δακτυλικῆς. τὸ ιη ἀσυνάρτητον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικῆς βάσεως. τὸ ιθ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ β ποδὸς χορείου, τοῦ δὲ δ ἀναπαίστου· εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος β, ἀντισπάστου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. τὸ κ τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ β ποδὸς καὶ τοῦ γ χορείου. τὸ κα τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ κβ ἰαμβικὸν πενθημιμερές. τὸ κγ ἰαμβικὸν ὅμοιον τῷ ζ. τὸ κδ ἰαμβικὸν τρίμετρον. τὸ κε δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον. τὸ κϛ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐν εἰσθέσει ἴαμβος. Totum hoc de metro e MS. Baroc. 74. K.

V. 1434. *ΙΔΑΙΑ ΜΗΤΕΡ.* Ἴδη ὄρος ἐστὶ Τροίας, ἔνθα τιμᾶται ἡ Ῥέα. ἴσως οὖν ὡς ἐγχωρίαν θεὸν ἐπικαλεῖται αὐτὴν ὁ εὐνοῦχος. ὀ β ρ ί μ α ν δὲ αὐτὴν φησὶν, ἐπεὶ λέουσιν ὀχεῖται, ἢ ὅτι ἐνίσταται τοῖς αὐτῇ συντυγχάνουσι.[6]) μέλλων δὲ διηγεῖσθαι ὁ Φρὺξ, ἅπερ ἐθεάσατο ἔνδον, τὴν Ῥέαν ἐπικαλεῖται ὡς ἀλεξίκακον. Ἰ δ α ί α ν δὲ ἀντὶ τοῦ ὀρεινήν· ἐν γὰρ τοῖς ὄρεσι διατρίβειν φασὶ τὴν θεόν. ὀ β ρ ί μ α ν δὲ τὴν ἰσχυρὰν καὶ φοβεράν. ὁ δὲ λόγος· φεῦ φεῦ, τῶν ἀλόγων κακῶν, ὦ μῆτερ Ῥέα, ἅπερ τεθέαμαι ἔνδον κατὰ τοὺς οἴκους. καλεῖται δὲ καὶ ἀνταία· τοῖς Φρυξὶ γὰρ ὑπαντῶσα φοβερά ἐστιν. *ΜΑΤΕΡ*, τῶν θεῶν Ῥέα. Gu. m. 2. *ΟΒΡΙΜΑ*, ἤγουν ἰσχυρά. ἱστοροῦσι γὰρ αὐτὴν ἐποχουμένην λέουσιν· ὅθεν καὶ πρὸς αὐτὴν ποιεῖται τὸν λόγον, ὡς φοβερὰ ἰδών. καὶ οὗτος μὲν, ὡς Φρὺξ, τὴν παρὰ Φρυξὶ τιμωμένην θεὰν ἐπιβοᾶται· οἱ δὲ ἄλλοι πάντες (Bar. οἱ δὲ ἄλλον Ἕλληνες) Ἡρακλῆν τὸν (— κλέα τοῦ Bar.) *Διὸς*, λέγοντες ἐπὶ τοῖς παραπίπτουσι δυςκόλοις ἀεὶ, ὦ Ἡράκλεις· ἔνιοι δὲ καὶ τὸν Ἀπόλλωνα, καὶ μαρτυρεῖ τὸ Ἄπολλον ἀποτρόπαιε. Bar. 74. Gu. m. 2.

V. 1436. *ΦΟΝΙΩΝ ΠΑΘΕΩΝ*, ἕνεκα τῶν φονικῶν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΝΟΜΩΝ*, παρανόμων. Gu.

V. 1437. *ΕΔΡΑΚΟΝ*, εἶδον. (ἐθεασάμην.) Gu.

V. 1439. *ΑΜΦΙ ΠΟΡΦΥΡΕΩΝ.* τὸ ἀμφὶ πορφυρέων ἢ ἓν μέρος λόγου (ἑνὸς μέρους λ. Gu.) νόει· ἀμφιπόρφυρα γὰρ ἱμάτια φαμὲν τὰ ὁλοπόρφυρα, ὥςπερ καὶ ἀμφίχρυσα τὰ ὁλόχρυσα· ἢ τὸ ἀ μ φ ὶ πρὸς τὸ σπάσαντες νοητέον, ἵν' ᾖ ἀμφισπάσαντες ἀντὶ τοῦ περιλαβόντες· ἢ τὸ ἀ μ φ ὶ ἔμφασιν ἔχει διὰ τὴν Ἑλένην, οὕτως· ἀμφὶ τὴν Ἑλένην δηλονότι σπάσαντες καὶ λαβόντες ξίφος ὑπὸ σκότου τῶν πορφυρέων πέπλων, ἤγουν ἃ ὑποκάτω τῶν ἱματίων εἶχον, ἐν ταῖς χερσὶν ἄλλος ἄλλοσε δίνασεν. (ἢ τὸ ἀ μ φ ὶ πρὸς τὸ ἐ ν χ ε ρ σ ὶ ν, ἵν' ᾖ τὸ ἀ μ φ ὶ καὶ τὸ ἐν ἐκ παραλλήλου. add. Gu.) Baroc. 74. Gu. m. 2. *ΑΜΦΙ*, ἀπό. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΥΠΟ ΣΚΟΤΟΥ*, ὑπὸ ἀφανίας. Gu. m. pr. Florr. iidem. σκοτιασμοῦ. Fl. 35.

6) Hic aliud scholion incipit, cum superiore a compilatore coniunctum vocula δέ.

V. 1440. *ΣΠΑΣΑΝΤΕΣ*, σπασάμενοι. (περιλαβόντες add. Gu.) Gu. Florr. iidem.

V. 1442. *ΔΙΝΑΣΕΝ*, ἔστρεψεν. Gu. m. pr. Florr. iidem. συνέστρεφεν. Gu. m. sec. Fl. 33. *ΠΑΡΩΝ ΤΥΧΟΙ.* ἔτυχε παρὼν ἀντὶ τοῦ παρείη. (παρῇ Fl. 33.) Gu. m. pr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76.

V. 1443. *ΟΡΕΣΤΕΡΟΙ*, ὀρεινοί. Gu. m. pr. MS. C.C.C. 7) ἐν τῷ ὄρει ἀναστρεφόμενοι, ἄγριοι. Gu. m. sec.

V. 1444. *ΑΝΤΙΟΙ ΣΤΑΘ.* ἐναντίον, ἔμπροσθεν στάντες. Gu. MS. C. C. C.

V. 1445. *ΕΝΝΕΠ. ΚΑΤΘ.* εἶπον, ἀποθανῇ. Gu. MS. C. C. C.

V. 1446. *ΚΑΚΟΣ Σ' ΑΠΟΚΤ.* ὁ σὸς ἀνὴρ ὁ κακότροπος ἀποκτείνει σε. Gu. MS. C. C. C.

V. 1447 sq. *ΤΟΥ ΚΑΣΙΓΝ.* τοῦ ἀδελφοῦ αὐτοῦ τὸν υἱὸν ἐγκαταλιπὼν ἐν τοῖς Ἀργείοις, ὥστε θανεῖν. Gu. MS. C. C. C.

V. 1449. *ΙΑΧΕΝ*, ἐβόησεν. (Gu. add. m. 2. ἀνεβόησε μεγάλως) λέγουσα (C.C.C. λέγων) *Ω ΜΟΙ ΜΟΙ.* Gu. MS. C. C. C.

V. 1450 sq. *ΛΕΥΚΟΝ Δ' ΕΜΒ.* τὰς λευκὰς δὲ χεῖρας ἐμβαλοῦσα τοῖς στέρνοις, ἤγουν συναγαγοῦσα ἐπὶ τοῖς στέρνοις, ὡς σύνηθες ταῖς γυναιξὶν, ἔπαισε τὴν κεφαλὴν ἀθλίαν πληγήν. Gu. MS. C. C. C.

V. 1451. *ΚΤΥΠΗΣΕ*, μετὰ τῶν στηθῶν καὶ τὴν κεφαλὴν ἐκτύπησε.

V. 1452—1458. *ΦΥΓΑι ΔΕ ΠΟΔΙ.* φυγῇ δ' ἔφερε τὸ ἴχνος τοῦ ποδὸς τὸ χρυσεοσάνδαλον· ὁ Ὀρέστης δὲ προφθάσας τὸν δρόμον αὐτῆς, τῇ ἀριστερᾷ χειρὶ ἀναστρέψας τὴν δέρην ἔμελλεν εισω τοῦ λαιμοῦ παίειν 8) τὸ μέλαν ξίφος. Gu. MS. C.C.C.

V. 1452. *ΦΥΓΑι ΔΕ ΠΟΔΙ.* ἡ Ἑλένη, φησὶ, ἰδια-

7) Quae e Gu. et MS. C.C.C. enotavi, apud King. in paraphrasi cum verbis Euripidis intermixta leguntur.

8) King. e C.C.C. παιεῖν. an ποιεῖν?

ναστᾶσα τὴν πορείαν φυγῇ πορίζεται. 9) *ΠΟΔΙ*, τοῦ ποδός. Gu. m. 2. *ΧΡΥΣΕΟΣΑΝΔΑΛΟΝ*, τὸ χρυσοῦν σανδάλιον φοροῦν. Gu. m. 2.

V. 1454. *ΔΙΚΩΝ* ἀντὶ τοῦ ἐκτείνας καὶ βαλών· ὁ δὲ Ὀρέστης, φησὶ, παραχρῆμα προβὰς τὸν πόδα, ἐξέτεινε τὴν χεῖρα καὶ λαβόμενος τῆς κώπης (leg. κόμης) ἔμελλεν αὐτὴν κτεῖναι τῷ ξίφει. *ΔΙΚΩΝ*, ἐμβαλών. Gu.

V. 1455. *ΜΥΚΗΝΙΔ' ΑΡΒΥΛΗΝ*, τὸν πόδα φησίν· ἀπὸ γὰρ τοῦ ὑποδήματος τὸν πόδα δηλοῖ. *ΑΡΒΥΛΗΝ*, τὸν πόδα ἤγουν τὸν δρόμον (αὐτῆς. τὸ γυναικεῖον ὑπόδημα ἢ τὸν πόδα αὐτῆς, ἀπὸ μέρους τὸ πᾶν.) προβὰς, προφθάσας. Gu. Baroc. 74. 10)

V. 1456. *ΩΜΟΙΣ ΑΡΙΣΤΕΡ.* ἐν τῇ ἀριστερᾷ χειρί. *ΑΝΑΚΛΑΣΑΣ*, ἀναστρέψας (ἀνακλίνας, ἀνανεύσας.) Gu.

V. 1457. *ΠΑΙΕΙΝ*, ἐμβάλλειν. Gu. Fl. 6. 33.

V. 1457. 1458. *ΛΑΙΜΩΝ ΕΣΩ.* ὥςπερ ἐστὶ τὸ Ἴλιον εἴσω ἀντὶ τοῦ εἰς τὸ Ἴλιον, οὕτω καὶ τὸ λαιμὸν (sic) εἴσω ἀντὶ τοῦ εἰς τὸν λαιμόν. et in marg. τοῦ εἴσω ἀντὶ τῆς εἰς προθέσεως λαμβανομένου, ὡς καὶ τὸ ἀνάπαλιν εὕρηται· ὁ γὰρ ποιητὴς οὗτος τὴν εἰς πρόθεσιν ἐν τῷ τρίτῳ δράματι ἀντὶ τοῦ εἴσω λαμβάνων φησὶ τόνδ' εἰςεδέξω τειχέων. (Phoen. 451.) Gu. m. sec. *ΜΕΛΑΝ ΞΙΦΟΣ*, τὸ μελανθησόμενον. *ΜΕΛΑΝ*, ἢ ὡς σιδηροῦν, ἢ ὡς παρεκτικὸν σκότους. Gu.

V. 1459. *ΠΟΥ ΔΗΤ'.* κατὰ περικοπὴν ἴαμβος. Baroc. 74. *ΠΟΥ ΔΗΤ'* ἦσαν ὥστε *ΑΜΥΝΕΙΝ*, βοηθεῖν αὐτῇ. Gu.

V. 1460—1495. *ΙΑΚΧΑι.* καὶ ἡ παροῦσα στροφὴ μονόστροφός ἐστιν, ὡς καὶ αἱ προῤῥηθεῖσαι, κώλων δὲ λη. τὸ α ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ α ποδὸς ἀναπαίστου. τὸ β ἴαμβος τρίμετρος ἀκατάληκτος καθαρός. τὸ γ ὅμοιον. τὸ δ ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε

9) Hoc scholion vulgo ei, quod ad v. 1455. adscripsi, annexum est.

10) Confusa et mutila haec sunt in Bar. certe ut King. edidit: τὸ γυν. ὑπόδ. ἤγουν τὸν πόδα καὶ τὸν δρ. προφθάσας, ἀπὸ μέρους.

ὅμοιον τῷ δευτέρῳ καὶ τρίτῳ. τὸ ς ἀσυνάρτητον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικοῦ ὁμοίου. τὸ ζ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ η παιωνικὸν τρίμετρον ἀκατάληκτον (leg. καταληκτον. et vide τὸ κγ.) ἐκ παιώνων πρώτων δύο καὶ βακχείου. τὸ θ ἰαμβικὸν ὅμοιον τῷ β, τοῦ πέμπτου ποδὸς χορείου. τὸ ι τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον καθαρόν. τὸ ια ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς χορείου. τὸ ιβ ὅμοιον δίμετρον ὑπερκατάληκτον, τοῦ δευτέρου ποδὸς δακτύλου. τὸ ιγ δακτυλικὸν τετράμετρον, τοῦ τρίτου ποδὸς προκελευσματικοῦ τετραβραχέος. τὸ ιδ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τοῦ τρίτου ποδὸς προκελευσματικοῦ. τὸ ιε ὅμοιον καθαρὸν ἀναπαιστικόν. τὸ ις ἀναπαιστικὴ βάσις. τὸ ιζ ἰαμβικὸν ὅμοιον τῷ δ. τὸ ιη ἴαμβος ὅμοιος τῷ β. τὸ ιθ τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ πρώτου ποδὸς χορείου. τὸ κ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου. εἴη δὲ καὶ τροχαϊκὸν πένθημιμερὲς, δακτύλου ἀρχομένου. τὸ κα ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, διϊάμβου καὶ τροχαίου. τὸ κβ τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς χορείου. τὸ κγ ἀντισπαστικὸν τρίμετρον καταληκτον ἐξ ἐπιτρίτου α, διϊάμβου καὶ βακχείου. τὸ κδ ἴαμβος ὅμοιος τῷ β, τοῦ τετάρτου ποδὸς ἀναπαίστου. τὸ κε ἰαμβικὸν ὅμοιον τῷ δ. τὸ κς ὅμοιον ἑφθημιμερές. τὸ κζ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τοῦ τρίτου καὶ τετάρτου ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτον ἐξ ἰωνικοῦ, παίωνος α καὶ χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ κη ἰαμβικὸν ὅμοιον τῷ κς. τὸ κθ δακτυλικὸν τετράμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον· τέσσαρες γὰρ εἰσὶ σπονδεῖοι. τὸ λ, τὸ λα καὶ τὸ λβ τροχαϊκὰ πενθημιμερῆ. τὸ λγ ἰαμβικὸν, ὅμοιαν τῷ κς. τὸ λδ ἴαμβος ὅμοιος τῷ β, τὸν πρῶτον πόδα ἔχων ἀνάπαιστον. τὸ λε ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ τεσσάρων χορείων. τὸ λς καὶ λζ ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. τὸ λη τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον, τοῦ πρώτου (καὶ δευτέρου) ποδὸς χορείου. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι, ὡς τέλος ἔχει τὰ ἀνομοιόστροφα, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι. ἐν εἰςθέσει δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων γ. ἐπὶ τῷ τέλει παράγραφος. Totum hoc de metro e MS. Baroc. 74. K.

V. 1460. *ΙΑΧΑι ΔΟΜΩΝ.* ἰαχῆς, φησὶ, καὶ θορύβου γενομένου κατὰ τὴν οἰκίαν, τὰς θύρας τῶν σταθμῶν, ἔνθα ἦμεν συγκεκλεισμένοι, τοῖς μοχλοῖς ἐκσπάσαντες ἐξήλθομεν βοηθήσοντες. [1]) *ΙΑΧΑι ΔΟΜΩΝ.* σὺν κραυγῇ τὰς θύρας καὶ τὰς παραστάδας τῶν δόμων, ἔνθα ἐμίμνομεν, μοχλοῖς ἀνασπάσαντες, βοηθήσοντες ἐτρέχομεν, ἄλλος ἀπ᾽ [2]) ἄλλου μέρους τοῦ οἴκου. Gu. MS. C. C. C. *ΙΑΧΑι*, ἐν τῇ βοῇ τῆς Ἑλένης. et ab al. m. τῇ ἡμῶν μετὰ θρήνου. Gu.

V. 1463. *ΑΓΚΥΛΑΣ.* τὰ ἀκόντια, ἀπὸ τοῦ ἐπηγκυλίσθαι, [3]) ἢ διότι ἀπὸ τῆς κατὰ τὸ μέσον ἀγκύλης λαμβανόμενοι ῥίπτουσιν.

V. 1464. *ΠΡΟΚΩΠΟΝ.* μεγάλην κώπην καὶ ἐκτεταμένην ἔχον. Ξ. *ΠΡΟΚΩΠΟΝ*, ἤγουν σπάθην, ἥτις ἔχει τὴν κώπην προβεβλημένην. Baroc. 74. Gu. m. pr. σπάθην τὴν ἔμπροσθεν κώπην καὶ λαβὴν ἔχουσαν. MS. C. C. C. Gu. m. sec.

V. 1465. *ΕΝΑΝΤΑ*, ἐξεναντίας ἡμῶν. MS. C. C. C. Gu.

V. 1466. *ΑΛΙΑΣΤΟΣ.* ἄτρεπτος καὶ ἄφευκτος ἐν ταῖς μάχαις, ἢ ἀκατάπαυστος, ὃν οὐκ ἔστι [4]) λιάσαι καὶ εἰς φυγὴν τρέψαι. *ΑΛΙΑΣΤΟΣ*, ἄφυκτος. (ἀνέμπληκτος, φοβερὸς, θαρσαλέος.) Gu. ἀθορύβητος, ἄφοβος. Fl. 21. ἀνδρεῖος, φοβερός. Fl. 2.

V. 1467. *ΤΡΙΚΟΡΥΘΟΣ*, ὁ μεγάλην [5]) ἔχων περικεφαλαίαν. ὅμοιον δέ ἐστι τῷ τρίπτυχος αὐλῶπις. ἢ ὅτι

1) βοηθήσοντες. Sic Barn. quum in Junt. Basil. esset καθήσοντες.

2) Gu. ἐπ᾽, sed ubi eadem, βοηθήσοντες — οἴκου, inter lineas scripta sunt, habet ἀπό.

3) Gu. ἀπὸ τοῦ ἐπαγκαλίζεσθαι, et mox κατὰ τὸ μέσον pro κατὰ μέσον. King. μετὰ μ. vitio fortasse operarum.

4) ὃν οὐκ ἔστι. Sic Gu. pro ἢ οὐκ ἔχει Junt. Basil. quod Barn. mutavit in ἢ οὐκ ἔχων. Pro εἰς φυγὴν τρέψαι idem codex ἐκφυγεῖν καὶ τρέψαι, e quibus illud propius ad aliorum grammaticorum explicationem accedit, ut Etym. M. p. 63, 22. ὃν οὐκ ἄν τις ἐκκλίνοι. cf. Hesych. Apollon.

5) Gu. addit ἢ τριόλοφον.

ἔνιοι τῶν ἡρώων τριλόφοις ἐχρῶντο. *ΤΡΙΚΟΡΥΘΟΣ*, ὁ τριλόφῳ περικεφαλαίᾳ χρώμενος. (γέγραπται τρικόρυφος add. C. C. C.) MS. C. C. C. Gu.

V. 1468. *ΟΝ*, Αἴαντα. MS. C. C. C. Gu. *ΠΡΙΑΜΙΣΙΝ*, ταῖς τοῦ Πριάμου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1469. *ΑΚΜΑΣ*, τὰς ὀξύτητας. Gu. Florr. iidem. *ΦΑΣΓ. — ΞΥΝΗΨΑΜΕΝ*, ἤγουν εἰς πόλεμον ἡμεῖς τε κἀκεῖνοι κατέστημεν. Gu. MS. C. C. C.

V. 1470 sqq. *ΤΟΤΕ ΔΗ ΤΟΤΕ.* ἐν τῷ πρὸς Ὀρέστην πολέμῳ ἐφάνημεν διαπρεπόντως δειλοὶ οἱ Φρύγες, ἢ τότε ἐν τῷ Τρωϊκῷ πολέμῳ. Ἄλλως. Διαπρεπεῖς ἐγένοντο, ἀντὶ τοῦ ἔκδηλοι τὴν δειλίαν καὶ ἐξεληλεγμένοι, φησίν, ἐν τῇ πρὸς Ὀρέστην καὶ πρὸς τὸν Πυλάδην συμβολῇ ἐφάνησαν οἱ Φρύγες, πολὺ τῶν Ἑλλήνων ἀσθενέστεροι, καὶ ὅσον ἦμεν ἐλάττους ἐν τῇ μάχῃ τῇ πρὸς τοὺς Ἕλληνας κατὰ τὴν Ἴλιον. φησὶ γὰρ αὐτὰ κατὰ ἀναφορὰν (add. πρὸς) τὰ ἐν Ἰλίῳ, λόγου παρεκβάσει χρησάμενος· οὐ γὰρ εἰκὸς ἦν οὕτω πολλοὺς εἶναι τοὺς ἐν τοῖς βασιλείοις τεθνηκότας, ὡς καταλέγειν πτώματα μυρίων νεκρῶν. ἔστιν οὖν ὁ πᾶς λόγος τοιοῦτος· κατὰ τὴν συμβολὴν τὴν πρὸς τὸν Ὀρέστην καιάδηλοι γεγόνασιν ἀσθενεῖς ὄντες οἱ Φρύγες.

V. 1471. *ΕΓΕΝΟΝΤΟ ΦΡ.* ἐμοὶ δηλονότι. Gu. Fl. 6. 9. 17. 56. 59. 76. *ΑΡΕΟΣ ΑΛΚΑΝ*, κατὰ τὴν ἀλκὴν τοῦ πολέμου. Gu. m. pr. μὴ λάβῃς εἰς τὸ ἀλκὰν ἔξωθεν κατὰ, ἀλλ' ὥσπερ φαμὲν, δυνατός εἰμι τοῦτο, καὶ σοφός εἰμι τὰ θεῖα, οὕτω καὶ ἐλάττων εἰμὶ τοῦτο. Baroc. 74. Gu. m. 2.

V. 1472. *ΗΣΣΟΝΕΣ ΕΛΛΑΔΟΣ.* εἰκότως ὑπὸ τῶν Ἑλλήνων τότε ἐν Ἰλίῳ, ἢ τῶν περὶ τὸν Ὀρέστην ἡττήθησαν, ἡνίκα ὁ μὲν ἦν φυγὰς, ὁ δὲ νεκρὸς ἔκειτο, ἄλλος δὲ τραυματίας ἦν, ὁ δὲ ἱκέτης, τὸν ἔλεον θηρώμενος, καὶ τέλος ὡς ὑποσκότιοι γενόμενοι τῷ πλήθει τῶν βαλλομένων βελῶν, εἰς φυγὴν ἐτρεπόμεθα. καὶ οἱ μὲν ἔπιπτον τιτρωσκόμενοι, οἱ δὲ πίπτειν ἔμελλον, οἱ δὲ ἦσαν νεκροί. καὶ μέχρι μὲν τούτου ἡ παρέκβασις. τὸ δὲ ἑξῆς, τὰ γενόμενα τὰ κατὰ τὴν οἰκίαν ἐστὶν, ἅπερ κατὰ ἐπανάληψιν ἐπάγει. ἔστι δὲ τὸ ἑξῆς τοῦ λόγου· φασγάνων τε ἀκμὰς συνήψαμεν, καὶ ἡττήθημεν κατὰ κράτος, ὥσπερ καὶ ἐν τῷ κατὰ Ἴλιον

πολέμῳ ἦν, καὶ ταῦτα συμβέβηκεν ἅπερ κατέλεξεν. ὡς δὲ ἡττήθημεν, ἦλθεν ἡ Ἑρμιόνη. δύναται δὲ καὶ ἐπὶ οἰκίας ταῦτα γινόμενα νοεῖσθαι. ἴδιον δὲ τῆς τραγῳδίας τὸ τὰ μικρὰ τῶν πραγμάτων ἐξαίρειν καὶ φοβερὰ ποιεῖν, ὥσπερ νῦν ὁ Εὐριπίδης. ταῦτα δὲ ὡς περὶ τῶν ἐν Ἰλίῳ λέγει τεθορυβημένος καὶ οὐ δεόντως ἀπαγγέλλων. οἱ δὲ μὴ νοήσαντες πολλοὺς ᾠήθησαν ἐν τοῖς βασιλείοις ὑπὸ τῶν περὶ τὸν Ὀρέστην τεθνάναι. Κἂν μὲν οὖν περὶ τῶν ἐν Ἰλίῳ λέγοιτο, ἔστι τὸ ὑπὸ σκότον ἀντὶ τοῦ καλυφθέντες τῷ πλήθει τῶν βελῶν ἐφεύγομεν· ἐὰν δὲ ἐν τῇ οἰκίᾳ, εἰς τοὺς σκοτεινοὺς τόπους τῆς οἰκίας ἐφεύγομεν. *ΕΛΛΑΔΟΣ*, Ἑλληνικῆς αἰχμῆς. Gu. Fl. 6. 9. 17. 56. 59. 76. *ΑΙΧΜΑΣ.* κυρίως ὁ σίδηρος τῶν δοράτων, καταχρηστικῶς ὁ πόλεμος. MS. C. C. C.

V. 1474. *ΛΙΣΣΟΜΕΝΟΣ*, ὁ δὲ παρακαλῶν παράκλησιν ἕνεκα τοῦ θανάτου ὤφειλεν· λέγει δὲ λισσόμενος προβολὴν, ἐπεὶ οἱ παρακαλοῦντες προβάλλουσιν ἑαυτοὺς παρακαλοῦντες καὶ προπίπτουσι (C. C. C. προςπίπτ.). MS. C. C. C. Gu. m. pr. ἐπικαλούμενος, ἱκετεύων ταχέως ἐπελθεῖν τὸν θάνατον διὰ τὴν προςοῦσαν ἐκ τραυμάτων δυςχέρειαν. Gu. m. sec.

V. 1475. *ΠΡΟΒΟΛΑΝ* κάλλιον γράφειν, ἢ προβολήν· οὕτω γὰρ ἔχει καὶ πρὸς τὸ μέτρον ὀρθῶς, καὶ ἔν τισι τῶν παλαιῶν βιβλίων οὕτως εὕρηται. Baroc. 74.

V. 1476. *ΥΠΟ ΣΚΟΤΟΝ Δ' ΕΦ.* ἤγουν ἵνα ὑπὸ τὸ σκότος γενώμεθα, τουτέστιν εἰς τὰ σκοτεινὰ μέρη τῶν οἴκων. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1477. *ΕΜΕΛΛΟΝ*, πίπτειν. (πεσεῖν a 2. m. add. Gu.) Florr. iidem. Gu. *ΕΚΕΙΝΤΟ*, πεσόντες (πάλαι τεθνηκότες add. Gu. a m. 2.) Florr. iidem. Gu.

V. 1478. *ΕΜΟΛΕ*, ἐπῆλθε. Fl. 33.

V. 1479. *ΕΠΙ ΦΟΝΩι ΧΑΜΑΙΠΕΤΕΙ.* θορύβου, φησὶ, γενομένου, ἦλθεν ἡ Ἑρμιόνη χαμαὶ οὔσῃ τῇ Ἑλένῃ καὶ μελλούσῃ πίπτειν μετὰ τὸ φονευθῆναι. *ΧΑΜΑΙΠΕΤΕΙ.* ἢ τεθορυβημένος ὢν οἴεται αὐτὴν πεπτωκέναι, ἢ χαμαιπετεῖ, τῷ μέλλοντι πεσεῖσθαι. Ἄλλως. Οὐ τῷ πεσόντι ἐπὶ γῆς· οὐδὲ γὰρ ἐφόνευσαν αὐτὴν, ἀμέλει μετὰ μικρὸν φησὶν, ὅτι διωκομένη ἀφανὴς ἐξ αὐτῶν ἐγένετο. *ΧΑΜΑΙΠΕΤΕΙ*, τῷ χαμαὶ κειμένῳ τῆς μητρὸς, ἥτις ἡ τλήμων ἔτε-

κεν αὐτόν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *τῷ χαμαὶ ταύτην πεπτωκέναι ποιήσαντι.* Gu. m. sec. Fl. 6.

V. 1481. *ΑΘΥΡΣΟΙ Δ' ΟΙΑ.* ἢ κακόθυρσοι, ἢ θύρσων δεόμενοι μόνον πρὸς τὸ εἶναι Βάκχαι, ἢ ἀθύρσους αὐτοὺς εἶπεν, ἐπεὶ αἱ Βάκχαι μετὰ θύρσων βακχεύουσι. *ΑΘΥΡΣΟΙ Δ' ΟΙΑ.* δραμόντες δὲ, καθὰ Βάκχαι ἄθυρσοι, ἤγουν χωρὶς θύρσων, συνήρπασαν αὐτὴν, ὡς σκύμνον ὀρείαν. MS. C.C.C. Gu. m. pr. μυθεύονται τὰς Βάκχας ἐν ὄρεσι μετὰ Διονύσου χωρούσας παίειν μὲν τὰς πέτρας ἐν νάρθηξι, καὶ μέλι καὶ γάλα ἐνταῦθα λαμβάνειν καὶ τὰ θηρία χειροῦσθαι. Baroc. 74. Gu. m. 2. κλάδους κισσοῦ αἱ Βάκχαι καὶ αὐτὸς ὁ Διόνυσος ἔφερον ἐν ταῖς χερσὶν, ὅτι, ὅτε ἡ μήτηρ αὐτοῦ Σεμέλη ἐκεραυνώθη, τοῦτον πρὸς βίαν ἀποκυήσασα, κισσὸς περιέλιξεν αὐτὸν εἰς φυλακὴν δῆθεν, ὡς καὶ ἐν τῷ τρίτῳ δράματι οὗτός φησιν ἐν τῷ χορῷ τῷ Κάδμος ἔμολε. Gu. m. sec. σημείωσαι καὶ τὸ θύρσος πῶς ἐκλήθη νάρθηξ. θύρσος μὲν γὰρ τῷ φυτῷ τῷ ἁπαλῷ ὄνομα, παρόσον αὐτῷ ἐχρῶντο οἱ γεωργοὶ ἐν ταῖς αἱμασιαῖς τῶν λειμώνων καὶ τῶν κήπων καὶ τῶν εἱλοπέδων καὶ ἀμπελώνων. ὕστερον δὲ ἐκλήθησαν νάρθηκες, ὅτι ἐχρήσαντο αὐτοῖς οἱ τῶν παίδων ἀλεῖπται καὶ παιδοδιδάσκαλοι πρὸς τὸ πλήττειν τοὺς νέους. νάρθηξ γοῦν ἐτυμολογεῖται ἀπὸ τοῦ νεαροὺς θήγειν, ἤτοι τοὺς νεαροὺς παῖδας ἀκονᾷν καὶ ὁρμᾷν πρὸς τὰ μαθήματα. Fl. 33.

V. 1483. *ΠΑΛΙΝ ΔΕ ΤΑΝ ΔΙΟΣ,* συλλαβόμενοι δὲ τὴν Ἑρμιόνην, οὐδὲν ἧττον πάλιν ἐπεδίωκον Ἑλένην. *ΤΑΝ ΔΙΟΣ ΚΟΡΑΝ,* ἤγουν τὴν Ἑλένην. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu.

V. 1484. *ΕΤΕΙΝΟΝ,* εἷλκον. Florr. iidem. Gu.

V. 1486. *ΔΙΑΠΡΟ,* διόλου. Gu. Florr. iidem.

V. 1487. *Ω ΖΕΥ.* τὸ μὲν Ζεῦ λέγει, διότι πατὴρ αὐτῆς ἦν, τὸ δὲ γῆ, διότι ἐν γῇ οὖσα ἀπῆλθε· τὸ φῶς, διότι ὁρωμένη παραχρῆμα ἠφάνισται· τὸ (δὲ add. Bar.) νὺξ, διότι ἐν ὅσῳ ἐδύνατο (Bar. ἐβλέπετο) ὥςπερ νυκτὶ καλυφθεῖσα ἄφαντος γέγονεν. Bar. 74. Gu.

V. 1488. *ΦΑΡΜΑΚΟΙΣΙ.* τοῦτο δοκεῖ ἀπὸ ἱστορίας εἶναι, παρόσον παρὰ τῆς Θῶνος γυναικὸς δοκεῖ πλεῖστα φάρμακα εἰληφέναι ἡ Ἑλένη. ὡς Ὅμηρος· - - - Τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις, Αἰγυπτίη, - - -

πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. (Od. δ', 428—430.) *ΦΑΡΜΑΚΟΙΣΙΝ.* φάρμακα τὰ διὰ βοτανῶν καὶ τινῶν ἄλλων (ὑλῶν add. Fl. γινόμενα Gu.) κακουργήματα, μαγεῖαι δὲ τὰ δι' ἐπῳδῶν. Fl. 21. Gu.

V. 1490. *ΤΑ Δ' ΥΣΤΕΡΟΝ,* τὰ μέλλοντα γενέσθαι, πραχθέντα. Gu. *ΟΥΚΕΤ',* οὐδαμῶς. Baroc. 74. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1491. *ΔΡΑΠΕΤΗΝ ΓΑΡ.* ἤγουν λαθὼν γὰρ ἐκ τῶν δόμων ἔξω ἔφυγον. Baroc. 74. Gu. bis. *ΔΡΑΠΕΤΗΝ,* φυγάδα. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΕΞΕΚΛΕΠΤΟΝ,* ἀπέδρων.

V. 1493. *ΑΝΑΣΧΟΜΕΝΟΣ,* ἀνασχὼν, ὑπομείνας. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1494. *ΑΝΟΝΗΤΟΝ,* ἀνονητότερον. *ΑΝΟΝΗΤΟΝ,* ἀνονήτως, ἀνωφελές (—λως C.C.C.) MS. C.C.C. Gu. m. pr. μάταιον καὶ ἀνωφελῆ· (ἢ ἀνόητον add. B.) παρόσον οἱ ἀνόητοι οὔτε σφᾶς αὐτοὺς, οὔτ' ἄλλους ὠφελεῖν δύνανται. Baroc. 74. Gu. m. 2. δέον ἀνοήτως εἰπεῖν, ὁ δὲ ἀνόητον πρὸς τὸ γάμον ἐξήνεγκεν. Gu. m. 2.

V. 1495. *ΤΟΝ ΕΛΕΝΑΣ ΓΑΜΟΝ,* ἀντὶ τοῦ τὴν γυναῖκα αὐτοῦ τὴν Ἑλένην. Baroc. 74. Gu.

V. 1496. *ΑΜΕΙΒΕΙ,* διαδέχεται. *ΚΑΙΝΟΝ,* παράδοξον, νεώτερον. Gu. *ΚΑΙΝΩΝ,* παραδόξων, νεωτέρων. τὰ δὲ ἦν ὁ τῆς Ἑλένης ἀφανισμός. Gu. Baroc. 74.

V. 1498. *ΕΠΤΟΗΜΕΝΩι,* σπουδαίῳ. *ΕΠΤΟΗΜΕΝΩι ΠΟΔΙ,* τεθορυβημένῃ πορείᾳ. MS. C.C.C. Gu. m. pr. τεταραγμένῳ, συντόμῳ, ἐμφόβῳ. Gu. m. 2.

V. 1499 sqq. *ΠΟΥ 'ΣΤΙΝ ΟΥΤΟΣ.* ἡ ἀμοιβαία αὕτη περιστροφὴ, ἤτοι περίοδος, στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν λα, ὧν τελευταῖος παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται. (v. 1529.) εἰκότως δὲ τῷ τροχαϊκῷ κέχρηται μέτρῳ πρὸς τὸν τοῦ Ὀρέστου δρόμον. ἐπὶ τῷ τέλει κορωνίς. Baroc. 74.

V. 1500. *ΝΟΜΟΙΣΙ.* νόμος γὰρ οὗτος βαρβαρικὸς, ἐπειδάν τις αὐτοὺς κτείνειν ἀπειλεῖ (leg. —λῇ. Gu. κτείνῃ) προςπίπτειν |καὶ δεῖσθαι. MS. C. C. C. Gu. m. 2. κατὰ συνήθειαν βαρβαρικήν. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1501. *ΤΑΔ' ΕΣΤΙΝ*, (καὶ ταῦτα, ἅπερ ποιεῖς, ἤγουν add. Florr.) τὸ προςκυνεῖν, ἔνθα ἂν δηλονότι ἀπηλλάγης προςκυνῶν. MS. C.C.C. Gu. bis. Florr. iidem.

V. 1502. *ΤΟΙΣ ΣΩΦΡΟΣΙΝ*, τοῖς φρονίμοις. Gu. Florr. iidem.

V. 1503. *ΟΥΤΙ ΠΟΥ.* οὐ διὰ τοῦτο, φησὶν, ἐβόησας, ὥςτε τὸν Μενέλαον ἐλθόντα βοηθεῖν; Ἄλλως. Οὐκ ἄρα, φησὶ, μεγάλα φωνεῖς τὸν Μενέλεων, ὥςτε βοηδρομεῖν;

V. 1504. *ΣΟΙ ΜΕΝ.* λείπει τὸ βούλομαι, ἢ ἕτοιμός εἰμι. σοὶ μὲν ἐγὼ βοηθεῖν ἕτοιμος· τιμιώτερος γὰρ ὑπάρχεις. *ΑΞΙΩΤΕΡΟΣ*, καὶ δικαιότερος. Fl. 59.

V. 1505. *ΕΝΔΙΚΩΣ.* δικαίως ἄρα ἡ Τυνδαρὶς διεφθάρη; *ΕΝΔΙΚΩΣ.* ἀνάξια τῆς τραγῳδίας καὶ τῆς τοῦ Ὀρέστου συμφορᾶς τὰ λεγόμενα. Fl. 33. *ΤΥΝΔΑΡΕΙΟΣ* ἀντὶ τοῦ ἡ τοῦ Τυνδάρεω παῖς, ὅμοιον τῷ Λητῴα κόρη. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1506. *ΕΝΔΙΚΩΤΑΤΑ.* δικαιότατα, εἴπερ ἐκέκτητο τρεῖς λαιμοὺς, ὥςτε ἀποθανεῖν.

V. 1507. *ΔΕΙΛΙΑι.* ὑπὸ τῆς δειλίας χαριτογλωττίζεις, ἕτερα κατὰ ψυχὴν ἔχων καὶ φρονῶν. [6])

V. 1508. *ΟΥ ΓΑΡ.* οὐ γὰρ δίκαια ἔπαθεν, ἥτις τὴν Ἑλλάδα σὺν αὐτοῖς Φρυξὶν ἔβλαψεν; *ΟΥ ΓΑΡ.* οὐ πρὸς χάριν, ἀλλ' ἀληθῶς λέγω, ὅτι ἀξία ἐστὶν ἀποθανεῖν, ἥτις τὴν Ἑλλάδα πᾶσαν καὶ τὴν Φρυγίαν ἠφάνισεν. *ΟΥ ΓΑΡ.* οὐ γὰρ ἐνδίκως ἀπώλετο, ἥτις διελυμήνατο τοὺς (Gu. τὰ) ἀπὸ τῆς Ἑλλάδος σὺν αὐτοῖς τοῖς Φρυξίν; Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΔΙΕΛΥΜΗΝΑΤΟ*, ἔφθειρε. Fl. 6.

V. 1509. *ΟΜΟΣΟΝ.* ὄμοσον, φησὶν, ὅτι οὐ πρὸς χάριν ἐμὴν ταῦτα λέγεις, οὐδὲ ὑποκρινόμενος, ἀλλὰ τῇ ἀληθείᾳ οὕτω φρονεῖς. λείπει δὲ ἡ εἰς, εἰς ἐμὴν χάριν. *ΟΜΟΣΟΝ*, ὅτι ἐνδικώτατα διώλετο, ἢ ὅτι, ὅσα σου ἡ γλῶσσα λέγει, ταῦτα καὶ ἡ ψυχή σου. Gu.

V. 1510. *ΤΗΝ ΕΜΗΝ Ψ.* τὴν ἐμὴν ζωὴν κατώμοσα, ἣν ἐπικαλῶ,[7]) εἰς ὅρκον λαμβάνω. *ΗΝ ΑΝ ΕΥΟΡΚΟΙΜ' ΕΓΩ.* ἣν ἂν ἐγὼ καλῶς, ἤγουν ἔξω κακοτροπίας, εἰς ὅρκον προβαλοίμην. (ἀληθῶς ὀμνύοιμι, τουτέστι δι' ὧν ζῆν ἠρετησαίμην — Gu. ἠρετησάμην — διὰ τούτων ὥςπερ δι' ὅρκου ἔδειξα, ὡς ἀληθῆ ταῦτα φημί. οἱ δὲ τὸ κατώμοσα ἀντὶ τοῦ ὀμνύω λέγοντες οὐ καλῶς λέγουσιν. (Bar. λέγοντες μάταιοι.) Gu. Bar. 74.

6) Flor. 33. νῦν, φησὶν, ἔοικας ὑπὸ δειλίας τὰ ἔνδον ὑποκρίνεσθαι τοῖς λόγοις, ἕτερα κ. τ. λ. Florr. 6. 9. 17. 21. 56. 59. 76. Gu. διὰ δειλίαν χαρίζῃ τῇ γλώττῃ, ἤγουν χαριτογλωττίζεις.

V. 1511. *ΩΔΕ ΚΑΝ ΤΡΟΙΑι.* καὶ ἐν Τροίᾳ, φησὶν, ὁ σίδηρος οὕτως ἦν φοβερὸς τοῖς Τρωσὶν, ὡς σὺ νῦν ὁρῶν τὸ ξίφος φῂς θάνατον ἐνοπτρίζεσθαι;

V. 1512. *ΑΠΕΧΕ ΦΑΣΓΑΝΟΝ.* μακρὰν ἔχε τὸ ξίφος· πλησίον γὰρ ὂν φοβερὸν φόνον ἀντιλάμπει. *ΑΠΕΧΕ ΦΑΣΓ.* μακρὰν ἔχε (πόῤῥω ἐμοῦ). ἀπέχω ἐγὼ καὶ ἀπέχω ἕτερον, ὡς ἐνταῦθα. Baroc. 74. Gu. *ΑΝΤΑΥΓΕΙ*, ἀποστίλβει. (ὑποφαίνει ἐμοί add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1513. *ΜΗ ΠΕΤΡΟΣ.* ἵνα μὴ ἀπολιθωθῇς, φοβῇ, ὥςπερ τὴν Γοργόνα θεασάμενος.

V. 1514. *ΜΗ ΜΕΝ ΟΥΝ.* μᾶλλον μὲν οὖν δέδοικα, ἵνα μὴ γένωμαι νεκρός. *ΓΟΡΓΟΥΣ.* λέγεται καὶ ἡ Γοργὼν τῆς Γοργόνος, καὶ ἡ Γοργὼ τῆς Γοργόος καὶ Γοργοῦς. MS. C.C.C. Gu.

V. 1515. *ΟΣ Σ' ΑΠΑΛΛ. ΚΑΚΩΝ.* ἐλευθερώσει (τῶν ἐκ add. B.) τῆς δουλείας (κακῶν add. B.). Baroc. 74. Gu.

V. 1518. *ΑΦΕΙΣΑΙ.* ἐπὶ τοῦ παρόντος, φησὶν, ἀφίημί σε, ὕστερον δὲ βουλεύσομαι περὶ σοῦ. ἔστι δὲ πρὸ τέλους ὁ τόνος· προπερισπᾶται γὰρ παρακείμενος ὤν. ὁ δὲ Θεόδωρος ἀπὸ τοῦ ἕω φησὶν αὐτό· εἰ γὰρ ἦν ἀπὸ τοῦ ἵημι, προπαρωξύνετο, φησὶν, ὡς τρισύλλαβος. οἱ δὲ ἀπὸ τοῦ ἵημι, ἥσω, ἧκα, ἕμαι καὶ εἶμαι, κατὰ πλεονασμὸν τοῦ ι, ὡς τέθειμαι, καὶ εἶσαι, καὶ ἐξ αὐτοῦ ἀφεῖσαι. φυλάττεται γὰρ ὁ τόνος τῶν ὁριστικῶν, ἐπὰν μετὰ προθέσεως συντεθῇ, καὶ μὴ ἀποβάλωσι τὴν μακράν. *ΑΦΕΙΣΑΙ*, ἠλευθέρωσαι. (ἀπολέλυσαι τούτου add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

7) King. ἣν ἂν ἐγὼ καλῶς ἐπικαλῶ.

V. 1519. *ΜΕΤΑΒΟΥΛΕΥΣΟΜΕΣΘΑ*, μεταμελησόμεθα. Fl. 59. τὸ μεταβουλευσόμεσθα λέγει, ἢ ἂν ὁ Φρὺξ φανῇ κακὸς, ἢ ἀστειευόμενος. Gu.

V. 1520. *ΜΩΡΟΣ ΕΙ.* τινὲς οὕτω στίζουσι, καὶ τὸ ἄλλο ἀπόλυτον· τινὲς δὲ οὕτως· εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην, πάνυ ἀνόητος εἶ, ἵν᾽ ᾖ κατ᾽ ἔλλειψιν.

V. 1521. *ΟΥΤΕ ΓΑΡ ΓΥΝΗ ΠΕΦΥΚΑΣ.* τοῦτο δὲ δύναται μὲν ἐπὶ εὐνούχου λαμβάνεσθαι, δύναται δὲ καὶ ὅτι γυνίδες εἰσὶν οἱ Φρύγες. *ΟΥΤ᾽ ΕΝ ΑΝΔΡΑΣΙ.* εὐνοῦχος γὰρ ἦν.

V. 1522. *ΤΟΥ ΔΕ ΜΗ ΣΤΗΣΑΙ.* ἕνεκα δὲ τοῦ μὴ ἐγεῖραί σε κραυγὴν ἐξῆλθον τῶν δόμων. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1523 sqq. *ΟΞΥ ΓΑΡ*, ἀντὶ τοῦ ὀξέως ἐξεγείρονται οἱ Ἀργεῖοι, ἐπὰν βοῆς ἀκούσωσιν. ἐκεῖνο, φησὶν, ἐφοβούμην καὶ ὑφωρώμην, μὴ ἄρα σὺ κραυγάσας ἐξαναστήσῃς τὴν πόλιν καθ᾽ ἡμῶν. περὶ γὰρ τοῦ Μενελάου οὐδεὶς λόγος· ἑνὸς γὰρ αὐτοῦ ὄντος, δυνησόμεθα περιγενέσθαι, ὥςτε ἡκέτω ὁ τῷ κάλλει μόνον ἐπερειδόμενος· εἰ δὲ τοὺς Ἀργείους πάντας ἐπαγόμενος ἔλθῃ, ἀμυνόμενος ἡμᾶς διὰ τὸν τῆς Ἑλένης φόνον, καὶ μὴ ἐθελήσῃ σώζειν ἡμᾶς, ἐπαναιρήσομαι τῇ Ἑλένῃ τὴν Ἑρμιόνην.

V. 1523. *ΟΞΥ ΓΑΡ.* δέον ὀξέως εἰπεῖν, ὀξὺ εἶπε [8]) πρὸς τὸ Ἄργος, σύναπτε δὲ πρὸς τὸ ἐγείρεται. Baroc. 74. Gu. m. 2. *ΑΡΓΟΣ ΕΞΕΓΕΙΡΕΤΑΙ*, ἀντὶ τοῦ οἱ Ἀργεῖοι ἐξεγερθήσονται. MS. C.C.C. Gu. m. pr.

V. 1524. *ΜΕΝΕΛΕΩΝ.* οὐ φόβος δὲ (ἡμῖν add. Bar.) λαβεῖν τὸν Μενέλαον τοὺς Ἀργείους δηλονότι εἴσω (τοῦ add. B.) ξίφους, ἤγουν πολέμου (τοῦ add. B.) καθ᾽ ἡμῶν, τουτέστιν (τὸ δὲ ἐστὶν B.) εἰς πόλεμον καθ᾽ ἡμῶν. Bar. 74. Gu. m. pr. οἷον ὑποδέξασθαι τὴν πρὸς Μενέλεων μάχην, εἰς πόλεμον αὐτῷ καταστῆναι. Gu. m. 2.

V. 1525. *ΓΑΥΡΟΥΜΕΝΟΣ*, σοβαρευόμενος. (ἐπαιρόμενος, σοβῶν.) Gu. Bar. 74. ἀλαζονευόμενος. Fl. 33.

8) ὀξὺ εἶπε e Gu. addidi, in quo mox est σύναπται, quod pro σύναπτε esse, indicat accentus.

V. 1526. *ΕΙ ΓΑΡ ΑΡΓΕΙΟΥΣ.* εἰ γὰρ Ἀργείους λαβὼν ἄξει ἐπὶ τοῖςδε τοῖς δώμασιν, ἤγουν κατὰ τούτων τῶν δωμάτων. Gu.

V. 1527. *ΤΟΝ ΕΛΕΝΗΣ ΦΟΝ.* τιμωρούμενος διὰ τὸν τῆς Ἑλένης φόνον. ἕλκειν καὶ ἄλλους διώκειν κυρίως ἐπὶ τὸ κατηγορεῖν. [9]) κεῖται δὲ νῦν ἐπὶ τοῦ ἐπεξιέναι. ὁ δὲ λόγος· ἐπεξιὼν διὰ τὸν Ἑλένης φόβον. (leg. φόνον.) *ΔΙΩΚΩΝ*, ζητῶν, ἀπαιτῶν. (ἐγκαλῶν ἐμοί. διώκειν κυρίως τὸ εἰς δικαστήριον ἕλκειν.) Gu.

V. 1529. *ΔΑΜΑΡΤΑ*, γυναῖκα. (πῶς λέγει τὴν δάμαρτα; οὐ γὰρ τέθνηκεν. ἢ δῆλον, ὅτι τὸ γενέσθαι ἄφαντον ταύτην ὅμοιον ἦν, ὥςπερ ἂν εἰ καὶ νεκρὰ ἐγεγόνει.) Gu.

V. 1530—1532. *ΙΩ ΙΩ ΤΥΧΑ.* τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀνομοιόστροφα κυρίως, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν. εἰσὶν οὖν τῆς παρούσης στροφῆς κῶλα δ. τὸ α ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ πρώτου ποδὸς χορείου. τοῦ δὲ τρίτου δακτύλου. τὸ γ τροχαϊκὸν ὅμοιον πενθημιμερὲς, τοῦ δευτέρου ποδὸς δακτύλου. εἰ δὲ βούλει, ἔστω καὶ τὰ δύο ἰωνικὰ, τὸ ἓν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος τετάρτου (ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος) καὶ δευτέρου καὶ συλλαβῆς, τὸ δὲ ἄλλο ἐκ διτροχαίου καὶ δύο συλλαβῶν. τὸ δ τροχαϊκὸν ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. Bar. 74.

V. 1530—1532. *ΤΥΧΑ*, δυςτυχία. MS. C.C.C. Gu. *ΕΤΕΡΟΝ ΕΙΣ ΑΓ.* εἰς ἕτερον κίνδυνον πίπτει ὁ δόμος φοβερὸν περὶ τοὺς Ἀτρείδας. MS. C.C.C. Gu. m. pr. ἤγουν δυςτυχήσας πολλάκις οὗτος ὁ δόμος διὰ τοὺς συμβάντας ἐν αὐτῷ φόνους, εἰς ἕτερον πάλιν ἀγῶνα καὶ κίνδυνον χωρεῖ, εἰς τὸ κινδυνεύσειν λέγω (Gu. λέγει) Ὀρέστην καὶ Ἠλέκτραν δι᾽ ἃ εἰργάζοντο (Gu. ἐργάζονται) δυςχερῆ· ἀμυνεῖται γὰρ ὁ Μενέλαος μετὰ τῶν Ἀργείων διά τε τὴν γυναῖκα καὶ τὴν θυγατέρα. Baroc. 74. Gu. m. 2.

V. 1530. *ΙΩ ΙΩ ΤΥΧΑ.* οὕτω βέλτιον γράφειν τὸ α τοῦ χοροῦ κῶλον διὰ τὴν χασμῳδίαν· εὕρηται γὰρ ἔν τισι τῶν βιβλίων οὐ μόνον ἰὼ ἰὼ τύχα, ἀλλὰ καὶ ἰὼ ἰὼ τύχα, τύχα. δι᾽ ὃ καὶ οὕτως ἐγράφη παρ᾽ ἡμῶν διὰ τὴν χασμῳδίαν. Baroc. 74. *ΕΤΕΡΟΝ ΕΙΣ ΑΓΩΝ᾽.* ὁ περὶ

9) An: διώκειν κυρίως ἕλκειν ἄλλους ἐπὶ τὸ κατηγορεῖν?

τοὺς Ἀτρείδας, ἀντὶ τοῦ ὁ τῶν Ἀτρειδῶν οἶκος εἰς ἕτερον ἀγῶνα μεταπίπτει. μετεωρίζεται δὲ τὴν γνώμην ὁ χορός· δέδοικε γὰρ, μὴ ὕστερον ἐγκληθῇ κρύψας. [10])

V. 1533. 1534. *ΤΙ ΔΡΩΜΕΝ.* κατὰ περικοπὴν ἴαμβοι δύο. Bar. 74.

V. 1535 sq. *ΙΔΕ ΠΡΟ ΔΩΜΑΤΩΝ.* ἡ β αὕτη στροφὴ κώλων ἐστὶ δ. τὸ α καὶ β ἰαμβικὰ δίμετρα βραχυκατάληκτα· εἰ δὲ βούλει, παιωνικὰ ἡμιόλια, διὰ τὸ κοινὴν ἔχειν ἐν τῷ πρώτῳ ποδὶ συλλαβὴν, τὸ μὲν α ἐκ παίωνος τετάρτου καὶ ἰάμβου, τὸ δὲ β ἐκ τοιούτου παίωνος καὶ σπονδείου. τὸ γ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου, ὃ καλεῖται Φερεκράτειον. τὸ δ ἰαμβικὴ βάσις ἤτοι μονόμετρον· εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον. ἐπὶ τέλει παράγραφος. Baroc. 74.

V. 1535. *ΙΔΕ ΠΡΟΚΗΡΥΣΣΕΙ.* ἰδοὺ, φησὶν, ἀναπηδῶν ὁ καπνὸς ἀπαγγέλλει τῇ πόλει τὰ ἐνταῦθα πραττόμενα. *ΠΡΟΚΗΡΥΣΣΕΙ*, προδήλως βοᾷ. (προμηνύει add. Gu. m. 2.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1536. *ΘΟΑΖΩΝ*, τρέχων, ἕρπων. Baroc. 74. τρέχων. (ὥςπερ βοῶν.) Gu. ἰδοὺ, φησὶν, ὁ ἀναπηδῶν καπνός. Gu. m. 2.

V. 1537. 1538. *ΑΠΤΟΥΣΙ ΠΕΥΚΑΣ.* κατὰ περικοπὴν ἴαμβοι δύο, εἶτα παράγραφος. Bar. 74.

V. 1537. *ΠΕΥΚΑΣ*, δᾷδας. Baroc. 74. Gu. *ΠΥΡΩΣΟΝΤΕΣ*, ἐμπυρίσοντες. (καύσοντες, πυρπολήσοντες.) Gu. [1])

V. 1538. *ΑΦΙΣΤΑΝΤΑΙ*, χωρίζονται. Baroc. 74. *ΦΟΝΟΥ*, τοῦ τῆς Ἑρμιόνης. Baroc. 74. Gu. Fl. 6. γράφεται πόνου. Fl. 6. in marg.

V. 1539—1543. *ΤΕΛΟΣ ΕΧΕΙ ΔΑΙΜ.* ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ ζ. τὸ α τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου. τὸ β ὅμοιον πενθημιμερὲς, τοῦ πρώτου ποδὸς χορείου. τὸ γ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀναπαίστων καὶ ἰάμβων· εἰ δὲ βούλει, προςῳδιακὸν τρίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, χοριάμβου, παίωνος τρίτου αὖθις καὶ συλλαβῆς. τὸ δ περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ ε καὶ τὸ ς παιωνικὰ ἡμιόλια ἐκ παίωνος τετάρτου καὶ ἰάμβου· εἰ δὲ βούλει, τροχαϊκὰ πενθημιμερῆ, τοῦ α ποδὸς χορείου. τὸ ζ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἔξω νενευκυῖαι. Baroc. 74.

10) Ultima *μετεωρίζεται* etc. ad v. 1533. spectant, ad quem adscripta sunt etiam in Flor. 35. qui legit *μερίζεται δὲ τῇ γνώμῃ ὁ χ.*

1) In Baroc. *καύσοντες, ἐμπυρίσοντες τοὺς οἴκους.*

V. 1539. 1540. *ΤΕΛΟΣ ΕΧΕΙ.* ὁ θεὸς ἐπάγει τοῖς ἀνθρώποις, ὅποι θέλει, τὸ τέλος. Ἄλλως. τῶν ἀνθρωπίνων πραγμάτων τὸ τέλος ἐκ θεῶν ἐστίν. Ἄλλως. ὃ βούλεται ὁ θεὸς τοῖς ἀνθρώποις τέλος ἐπιτίθησι. *ΤΕΛΟΣ ΕΧΕΙ.* ἤγουν οὓς ἂν ἐθέλῃ ἡ τύχη, τελείως ἀφανίζει. τοῦτο δὲ εἶπε δι' Ἀγαμέμνονα καὶ τοὺς αὐτοῦ, ὅτι μεγάλως δυςτυχήσαντες (νῦν add. Gu.) κινδυνεύουσι (—σουσι Gu.) τελείως ἀπολέσθαι. τί γὰρ οὐκ ἂν δράσῃ Μενέλαος ταῦτα πυθόμενος; δέον δὲ οὕτως εἰπεῖν, δύναμις δέ τις δι' ἀλαστόρων μεγάλως ἔπαισε τὰ μέλαθρα, μεγάλη εἶπε πρὸς τὸ δύναμις. Baroc. 74. Gu. m. 2. [2]) *ΕΧΕΙ*, παρέχει. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐπιφέρει. Fl. 33.

V. 1540. *ΟΠΑ*, ὅπου. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1541. *ΔΥΝΑΜΙΣ*, τῶν θεῶν. (ἡ ὀργή.) Gu.

V. 1541—1543. *ΔΙ' ΑΛΑΣΤΟΡΩΝ*, διὰ δαιμόνων κακοποιῶν ἦλθε τάδε τὰ οἰκήματα διὰ φόνων διὰ τὸ πτῶμα τοῦ Μυρτίλου τοῦ ἐκ τοῦ δίφρου. Baroc. 74. Gu. m. pr. *ΔΙ' ΑΛΑΣΤΟΡΩΝ*, ὑπὸ τῶν φθινερῶν δαιμόνων, φθαρτικῶν θεῶν. MS. C.C.C. [3])

V. 1542. *ΕΠΑΙΣΕ.* ἐὰν μὲν διὰ τοῦ ε τὸ ἔπεσεν, οἱονεὶ ἐπλησίασέ τις τοῖς οἴκοις φονικὸς δαίμων, δι' αἱμάτων τιμωρίαν ποιούμενος τοῦ πτώματος τοῦ Μυρτίλου· ἐὰν δὲ διὰ τῆς αι διφθόγγου, ἀντὶ τοῦ ἔκρουσεν, ἐὰν ἔλθῃ ὁ Μενέλαος. [4])

2) King. his statim subiicit scholion ad v. 1541. *διὰ δαιμόνων κακοπ.* quod recte seiunctum est in Gu.

3) In Gu. tantum est *φθαρτ. δαιμ.*

4) Ultima *ἐὰν ἔλθῃ ὁ Μεν.* omisit King. nec ego, quid ea sibi velint, assequor.

V. 1542. *ΕΠΑΙΣ'*, κατέβαλεν, ἠφάνισεν. Gu. Fl. 6. *ΕΠΑΙΣΕ*, καὶ ἦλθε καὶ διέβησαν. Gu.

V. 1544. *ΑΛΛΑ ΜΗΝ* κ. τ. λ. σύστημα κατὰ περικοπὴν ἐν ἐκθέσει τῶν ἀνομοιοστρόφων εἰδῶν στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ε. ἐχρήσατο δὲ κἀνταῦθα τῷ τροχαϊκῷ μέτρῳ διὰ τὸν ταχὺν δρόμον τοῦ Μενελάου, καὶ διὰ τὸ μετὰ σπουδῆς δραμεῖν τὴν Ἠλέκτραν καὶ βοῆσαι τοῖς ἐν τῷ οἴκῳ οὖσι καὶ τὸν φόνον ἐργαζομένοις. ἐπὶ τῷ τέλει παράγραφος. Baroc. 74.

V. 1545. *ΟΞΥΠΟΥΝ*. ταχύπουν, ἀντὶ τοῦ ταχέως 5) ἀκούσαντα παρά τινος τὴν παροῦσαν δυστυχίαν ἐν τοῖς οἴκοις.

V. 1546. *ΟΥΚΕΤ' ΑΝ ΦΘΑΝΟΙΤΕ*, οὐκ ἂν προλαβόντες συναρμόσητε διὰ τῶν μοχλῶν τὰ κλεῖθρα, ὦ κατὰ στέγας Ἀτρεῖδαι; MS. C.C.C. Gu. m. pr. *ΚΛΕΙΘΡΑ ΣΥΜΠΕΡΑΙΝΟΝΤΕΣ* ἀντὶ τοῦ συμπερῶντες, συνδέοντες, συγκλείοντες, πέρας ἐπιθέντες ταῖς θύραις, τουτέστι τοῖς μοχλοῖς. *ΣΥΜΠΕΡΑΙΝΟΝΤΕΣ*, συνάπτοντες. Gu. m. 2. Fl. 6.

V. 1547. *Ω ΚΑΤΑ ΣΤ.* τὸ Ἀτρεῖδαι ἢ διὰ μόνον τὸν Ὀρέστην λέγει, ἢ καὶ δι' ἀμφοτέρους· φασὶ γὰρ, ὡς ἡ τοῦ Πυλάδου μήτηρ Κυδραγόρα ἀδελφὴ ἦν Ἀγαμέμνονος. διὸ καὶ πρόσθεν φησίν· ὦ συγγένεια πατρός. Baroc. 74. Gu. m. 2. τρόπος ἡ σύλληψις. Fl. 33. *ΔΕΙΝΟΝ ΕΥΤΥΧΩΝ*. δεινὸν, φησὶ, καὶ χαλεπὸν ἀνὴρ εὐτυχῶν, ὅταν ἔχῃ ἔχθραν πρὸς εὐτυχοῦντα· ἀνὴρ γὰρ εὐτυχὴς πρὸς δυσδαίμονα μαχόμενος ἐπικρατέστερός ἐστι. καὶ Ὅμηρος, μὴ δ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι. (Il. ή, 111.)

V. 1549. *ΗΚΩ ΚΛΥΩΝ*. αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρκη, ὧν τελευταῖος, Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν (v. 1676.). ἐχρήσατο δὲ ἐνταῦθα ἰαμβικῷ διὰ τὸ λῆξαι Μενέλαον τοῦ δρόμου καὶ ἱστάμενον ποιεῖσθαι τοὺς λόγους. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς. Baroc. 74.

V. 1549—1554. *ΗΚΩ ΚΛΥΩΝ*. ἦλθον ἀκούσας τὰ χαλεπὰ καὶ τολμηρὰ καὶ αὐθαδῶς εἰργασμένα. Ἄλλως.

5) Excidit ἐρχόμενον. Certe ταχέως ἐρχόμενον glossa est in Gu. Florr. 6. 9. 17. 21. 56. 59. 76.

δραστήρια, τὰ χαλεπὰ καὶ δράματος ἄξια. τόδε (l. τὸ) γὰρ δρᾶσαι ὡς ἐπιπολὺ ἐπὶ χαλεποῦ τάσσουσι. κατὰ τὸ σιωπώμενον δὲ εἰκὸς ἀπηγγέλθαι τῷ Μενελάῳ τὰ κατὰ τὸν οἶκον γινόμενα. βάξιν δὲ ἀντὶ τοῦ φήμην. ἐνόμισε δὲ τινὰ πεπλακέναι ταῦτα· τοῦτο γὰρ δηλοῖ τὸ ἥν φόβῳ σφαλεὶς ἀντὶ τοῦ ἥντινά τις διὰ τὸν φόβον μὴ ἀκριβῶς νοήσας ἤγγειλεν. ἐνόμιζε γὰρ, ὡς εἴρηται, τινὰ πλάσεσθαι. (l. πλάσασθαι.)

V. 1549. *ΔΡΑΣΤΗΡΙΑ*. δραστήριος ὁ βίαιος καὶ δυνάστης. MS. C.C.C.

V. 1550. *ΟΥ ΓΑΡ ΑΝΔΡ'*, ἀλλὰ μιαιφόνους θῆρας. Baroc. 74. Gu. m. 2.

V. 1551. *ΞΥΝΑΟΡΟΝ*, σύζυγον. ὅμοιον τῷ εἰπέ μοι τὸν Πολύδωρον, εἰ ζῇ. Gu. m. pr. King.

V. 1553. *ΚΕΝΗΝ*, ματαίαν. (ψευδῆ· οὐ γὰρ πιστεύεται. add. Gu.) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΒΑΞΙΝ*, ἀγγελίαν. (βοὴν add. Gu.) Gu. Fl. 6. *ΦΟΒΩι ΣΦΑΛΕΙΣ*, ὑπὸ φόβου ἀπατηθείς. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦ καθεστηκότος παρατραπείς. (ἀπατηθείς add. Bar.) Baroc. 74. Gu. m. 2.

V. 1554. *ΑΛΛΑ ΤΟΥ ΜΗΤΡΟΚΤΟΝΟΥ*. οἴεται, ὅτι Ὀρέστης ἔσπειρε φήμην, ὡς ἄρα Ἑλένη ἡρπάγη μέλλουσα τελευτᾷν ὑπ' αὐτοῦ. Ἄλλως. τοῦ Ὀρέστου, φησὶ, φονεύσαντος ἢ κρύψαντος, ἵνα μὴ ταράξῃ, 6) ὑπέθετο αὐτὴν ἡρπάχθαι.

V. 1555. *ΤΕΧΝΑΣΜΑΤ'*. εἰπὼν τεχνάσματα ἐπάγει ὡς ταυτὸν, καὶ πολὺς γέλως, ἤγουν τοῦ μητροκτόνου ἐστὶ ταῦτα τὰ τεχνάσματα, ταυτὸν δέ ἐστιν εἰπεῖν, καὶ πολὺς γέλως. MS. C.C.C. Gu. m. pr. *ΤΕΧΝΑΣΜΑΤΑ*, μηχαναί. (ὑποβολαὶ, πανουργίαι.) Gu. *ΤΑΥΤΑ*, τὰ γεγονότα. (ὅτι ἄφαντος ἡ Ἑλένη γέγονεν.) Gu.

V. 1557. *ΩΘΕΙΝ*, ἀνοίγειν. Baroc. 74. Gu. ἀποπέμπειν. Fl. 33. *ΩΣ ΑΝ ΑΛΛΑ ΠΑΙΔ' ΕΜΗΝ*, εἰ καὶ μὴ τὴν Ἑλένην, ἀλλὰ κἂν τὴν παῖδα ῥύσωμαι. *ΠΑΙΔ'*

6) Sic Flor. 33. Vulgo: τοῦ Ὀρ. φήσαντος ἢ φονεύσαντος, ἵνα μὴ ταρ. etc.

ΕΜΗΝ, ἐπειδὴ οὐκ ἐσώσαμεν τὴν γυναῖκα. Baroc. 74. Gu. m. sec.

V. 1558. *ΡΥΣΩΜΕΘ'*, ἤγουν ἐλευθερώσωμεν. Fl. 17. σώσωμεν. Fl. 6. *ΜΙΑΙΦΟΝΩΝ*, φονικῶν, αἱμοχαρῶν. MS. C. C. C. λῃστῶν. Gu.

V. 1560. *Ηι ΔΕΙ*, ᾗτινι Ἑλένῃ δεῖ συναναιρεθῆναι τοὺς φονέας αὐτῆς ὑπ' ἐμοῦ. [7]) *Ηι ΔΕΙ*. γέγραπται ἢ δεῖ, ἀντὶ τοῦ εἰ δὲ μή. MS. C.C.C.

V. 1561. *ΤΟΥΣ ΔΙΟΛΕΣΑΝΤΑΣ*, φονεύσαντας. Fl. 6. διαφθείραντας. Fl. 17.

V. 1562. *ΟΥΤΟΣ ΣΥ*. ταῦτα ἄνωθεν Ὀρέστης ἐκ τοῦ δώματος φησί.

V. 1563. *ΠΕΠΥΡΓΩΣΑΙ*, ἐπῆρσαι, πέφραξαι, ὑψώθης. *ΠΕΠΥΡΓΩΣΑΙ*, ἐπηρμένος εἶ καὶ μετέωρος (ὡς πύργος Gu. m. 2. ὥςπερ ὁ πύργος Bar. Gu. m. pr. inter versus.) διὰ τοῦ θράσους. Baroc. 74. Gu. m. pr. πέφραξαι, καθώπλισαι, ἢ δίκην πύργου σεσόβησαι. Gu. m. 2. δίκην πύργου ὕψωσαι τῷ θράσει. Fl. 6.

V. 1564. *Η*, εἰ δὲ μή. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΤΩιΔΕ ΘΡΙΓΚΩι*. θριγκοὶ καλοῦνται οἱ ἐπικείμενοι λίθοι ταῖς ἐξοχαῖς τῶν οἴκων. [8]) τὰ αὐτὰ δὲ καὶ γεῖσσα. *ΘΡΙΓΚΩι*, τῷ τοῦ περιβόλου τμήματι. [9]) Baroc. 74. Gu. λίθῳ. Fl. 33.

V. 1565. *ΡΗΞΑΣ*, ἀνασπάσας, τεμών. Gu. *ΓΕΙΣΣΑ* λέγονται νῦν καὶ αἱ στεφάναι [10]) τῶν οἴκων. *ΓΕΙΣΣΑ*, ἄκρα, στεφανώματα. Gu. m. 2. γεῖσσα κυρίως τὰ θεμέλια. ὅτι οὖν ἄκρα κἀκεῖνα εἰσὶ, καταχρηστικῶς ἐνταῦθα τὸ γεῖσσα εἴληπται. Gu. m. 2. in marg. καὶ γεῖσσαι τὸ αὐτὸ, ἤγουν τὸ προέχον τοῦ ὑπερθύρου. Fl. 59. καὶ θεμέλια. κυρίως δὲ τὸ κοινῶς στηθαῖον. Fl. 59. *ΠΟΝΟΝ*, τὸ ἔργον. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

7) In Junt. Basil. haec adduntur, ταῦτα ἄνωθεν, ex initio sequ. scholii repetita.

8) Gu. οἱ ἐπικ. — οἴκων οὕτω λέγονται.

9) κτήματι e Bar. enotavit King.

10) αἱ στεφάναι recte Barn. pro αἱ φάναι.

V. 1566. *ΑΡΑΡΕ*, ἥρμοσται. Gu. m. pr. Fl. 59. *ΒΟΗΔΡΟΜΟΥ — ΕΙΡΞΕΙ*, τῆς εἰς μάχην σπουδῆς ἀποπαύσει καὶ ἀποκωλύσει σε τοῦ μὴ ἔσω τῶν οἰκοδομημάτων εἰςελθεῖν. *ΣΗΣ ΒΟΗΔΡΟΜΟΥ ΣΠ*. ἕνεκα τῆς σῆς ἐπὶ βοηθείᾳ σπουδῆς. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

V. 1567. *Α Σ' ΕΙΡΞΕΙ*. λείπει ὁ καί, ἅ σ' εἴρξει τῆς σπουδῆς καὶ τοῦ περᾷν ἔσω τῶν οἴκων.

V. 1568. *ΕΑ*. κάτωθεν ἀναβλέψας ὁ Μενέλαος ὁρᾷ πῦρ ἀναπτόμενον καὶ ξίφος ἐπικείμενον τῷ τῆς Ἑρμιόνης αὐχένι. [1]) *ΕΑ* ἐπὶ ἐκπλήξεως. Baroc. 74. Gu. *ΤΙ ΧΡΗΜΑ*, τί ἐστι τὸ πρᾶγμα. Gu. *ΣΕΛΑΣ*, λαμπηδόνα, αὔγασμα. Gu.

V. 1569. *ΤΟΥΣΔΕ*, Πυλάδην καὶ Ὀρέστην. Baroc. 74. Gu. m. 2. *ΠΥΡΓΗΡΟΥΜΕΝΟΥΣ*, ἐνόπλους, κατὰ τοὺς ὀχυροὺς καὶ ἐν κύκλῳ στρεφομένους πύργους. Baroc. 74. Gu. m. pr. [2]) περικαθημένους. Gu. m. 2. Bar. 74.

V. 1570. *ΕΠΙΦΡΟΥΡΟΝ*, ἤγουν πλησίον, ἐκ μεταφορᾶς τῶν φυλαττόντων. Gu. m. pr. ἐπικείμενον, ἤγουν (Gu. ἢ) ἐπὶ τούτῳ φρουρούμενον καὶ φυλαττόμενον καὶ κατεχόμενον, ἐφ' ᾧ ταύτην ἐκκόψαι. Baroc. 74. Gu. m. 2. ἐπικείμενον καὶ φυλάσσον τὸν λαιμὸν τῆς ἐμῆς θυγατρός. Fl. 6. 9. 17. 21. 25. 34. [3]) ἐπίφρουρον δὲ ἤτοι ἐπικείμενον, παρόσον οἱ φρουροῦντες ἐπίκεινται τοῖς φρουρουμένοις. Fl. 33.

V. 1572. *ΑΝΑΓΚΗ Δ'*. σὺ γὰρ ἰσχυρότερος (ἰσχυρὸς Gu.) τανῦν αὐτόθι καθήμενος. Baroc. 74. Gu. m. 2.

V. 1575. *ΕΙ ΓΑΡ*, εἴθε. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἄν ποτε. Fl. 33. *ΚΛΕΦΘΕΙΣ*, ἀφαιρεθείς. *ΚΛΕΦΘΕΙΣ*, ἀπατηθεὶς, ἀφαιρεθεὶς ταύτην. Gu. m. 2.

V. 1576. *ΚΑΘ' ΥΒΡΕΙ*, καθ' ὕβριν, δι' ὕβριν. *ΛΕΓΕΙΣ ΤΑΔΕ*, ὅτι ἐκλάπης (Heath ἔκλαπες) αὐτήν. Baroc. 74. Gu. m. 2. γέλωτος. Fl. 33.

1) Flor. 33. ἀναπτόμενον ἐκ τῆς οἰκίας καὶ τὸν Ὀρέστην ἐπαρτῶντα τὸ ξίφος τῷ τῆς Ἑρμ. αὐχ.

2) In Baroc. ante ἐνόπλους legitur στρεφομένους, e sqq. temere repetitum.

3) Ex his in MS. C. C. C. sunt tantum haec: ἐπικείμενον καὶ φυλ.

V. 1577. *ΛΥΠΡΑΝ.* λυπηρὰν ἄρνησιν ἀρνοῦμαι. εἴθε γὰρ ὤφελον φονεῦσαι αὐτήν. Ἄλλως. λυποῦμαι ἀρνούμενος, τουτέστιν ἀρνοῦμαι ἄρνησιν λυπηράν. τὸ δ' ἑξῆς, εἰ γὰρ ὤφελον τὴν τῆς Ἑλλάδος μιάστορα εἰς ᾄδου βαλεῖν. *ΕΙ ΓΑΡ*, εἴθε γὰρ ὤφελον. οὗ μήπω ἀποδοθέντος, ἐπάγει ὁ Μενέλαος πρὸς αὐτὸ (αὐτῷ Bar.) τί χρῆμα δρᾶσαι; πρὸς ὃ (ᾧ Bar.) πάλιν ὁ Ὀρέστης· τὴν μιάστορα τῆς Ἑλλάδος, ἤγουν τὴν Ἑλένην τὴν διὰ τὸν παρ' ἑαυτῇ μιασμὸν καὶ τὴν Ἑλλάδα μιάνασαν (μιαίνουσαν Bar.) εἰς ᾄδου βαλεῖν. Baroc. 74. Gu. m. pr.

V. 1578. *ΤΙ ΧΡΗΜΑ*, ποῖον, φησὶ, πρᾶγμα ὤφελες δεδρακέναι· φοβεῖς γὰρ καὶ ἕλκεις εἰς φόβον τοῦτο εἰπών. *ΠΑΡΑΚΑΛΕΙΣ*, ἕλκεις ἡμᾶς. (ἄγεις.) Gu. παρακινεῖς. Fl. Fl. 33.

V. 1579. *ΤΗΝ ΕΛΛ. ΜΙΑΣΤΟΡΑ*, τὴν καταισχύνασαν τοὺς Ἕλληνας. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1580. *ΟΠΩΣ ΧΩΣΩ ΤΑΦΩι*, ἤγουν ἐνταφιάσας χῶμα ἐπ' αὐτῷ ποιήσω. Gu. Florr. iidem. [4])

V. 1583. *Ο ΠΑΤΡΟΣ ΑΜΥΝΤΩΡ*, ὁ ἐκδικητὴς τοῦ πατρὸς, ὁ Ἀγαμέμνονος βοηθός. λείπει τὸ ἐγώ εἰμι. τοῦτο δέ φησιν, ὅτι τῇ ἀνελούσῃ ἐσπούδασε βοηθῆσαι, καὶ οὐχὶ τῷ Ὀρέστῃ. *ΟΝ*, ἤγουν ἐμέ. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΠΡΟΥΔΩΚΑΣ*, ἐγκατέλιπες ὥστε θανεῖν. Gu. Florr. iidem et 25. 34.

V. 1584. *ΤΟ ΠΑΡΟΝ ΑΙΜΑ*, ὁ παρακείμενος φόνος τῆς μητρὸς τῆς σῆς δηλονότι. δηλοῦται δὲ ἀπὸ τοῦ ἐπαγομένου. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ μητέρος ἢ διὰ τὴν Κλυταιμνήστραν νόει, ἢ διὰ τὴν Ἑλένην τὴν μητέρα τῆς Ἑρμιόνης. Gu. m. 2. [5])

V. 1585. *ΟΥΚ ΑΝ ΚΑΜΟΙΜΙ ΤΑΣ ΚΑΚΑΣ ΚΤΕΙΝΩΝ ΑΕΙ.* οὐ γὰρ καὶ τὴν Ἑρμιόνην λέγει κακήν. Baroc. 74. MS. C. C. C. Gu. m. pr. Florr. iidem. *ΚΑΜΟΙΜΙ*, παύσαιμι, ναρκήσαιμι. Gu. m. 2. ἀποναρκήσω. Fl. 33. *ΤΑΣ ΚΑΚΑΣ*, γυναῖκας ἢ μητέρας. Gu. m. 2. ὁποία ἦν ἡ σὴ γυνή. Fl. 6.

4) Idem sch. edidit King, fort. e Baroc. sed legit ἐπ' αὐτήν.

5) Utrumque scholion habet King. sed inverso ordine, et tamquam una manu scriptum. Etiam λέγει habet pro νόει.

V. 1586. *Η ΚΑΙ ΣΥ.* ἆρα (ὄντως add. Bar.) καὶ σὺ, (Πυλάδη add. Gu.) κοινωνεῖν (αὐτῷ δηλονότι add. Gu.) τοῦδε τοῦ φόνου, (ἤγουν add. Gu.) τοῦ πρὸς τὴν Ἑλένην καὶ τὴν Ἑρμιόνην. Baroc. 74. Gu. m. pr.

V. 1588. *ΑΛΛ' ΟΥΤΙ*, οὐδαμῶς. Gu. Florr. omnes. *ΧΑΙΡΩΝ*, λέξεις. Gu. m. pr. Florr. omnes. ποιήσεις τοῦτο. Gu. m. sec.

V. 1589. *ΑΝΑΨΟΜΕΝ*, κατακαύσομεν. Fl. 6.

V. 1590. *ΠΟΡΘΗΣΕΙΣ*, καύσεις, ἀφανίσεις, καταβαλεῖς. Gu. m. 2. [6])

V. 1591. *ΩΣ ΜΗ Γ' ΕΧΗιΣ.* πορθήσω, φησὶ, τὸν οἶκον, ἵνα μὴ σὺ τοῦτον ἔχῃς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπισφάξω ταύτην τῷ πυρὶ, τουτέστι τῷ πυρὶ πρήσω τὸν οἶκον μετὰ τὸ ἀποκτεῖναι τὴν Ἑρμιόνην. *ΩΣ ΜΗ Γ' ΕΧΗιΣ.* ναὶ πορθήσω, ἵνα, ὥσπερ ἐγὼ οὐκ ἔχω, μήτε σὺ ἔχῃς. MS. C. C. C. Gu. m. pr. *ΕΠΙΣΦΑΞΑΣ*, μετὰ τὸ πρῆσαι τὸν οἶκον σφάξας αὐτήν. MS. C.C.C. Gu. m. 2. [7])

V. 1592. *ΤΩΝΔΕ*, ὧν εἰς Ἑλένην καὶ αὐτὴν ποιήσεις. Gu. Fl. 6.

V. 1593. *ΕΣΤΑΙ ΤΑΔ'*, ὅτι κτενῶ ταύτην. Gu. m. 2. Baroc. 74. *Α Α*, ἐφεκτικὸν ἐπίῤῥημα. Gu. m. 1. Baroc. 74.

V. 1594. *ΝΥΝ*, δή. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΝΕΧΟΥ*, ὑπόμενε. Gu. m. pr. Florr. iidem. *ΕΝΔΙΚΩΣ ΠΡΑΣΣΩΝ*, δικαίως πάσχων. Gu. m. pr. Florr. iidem. δικαίως δυστυχῶν. Fl. 21.

V. 1597. *ΕΥ Γ' ΟΥΝ ΘΙΓΟΙΣ.* [ὡς] ἐν ἤθει, ἐπεὶ οἱ βασιλεῖς ἔθυον. ἐὰν οὖν, φησὶ, βασιλεύσῃς οὕτως, καὶ οὐκ ἐναγῶς ἅψῃ τῶν χερνίβων, πῶς ἔχεις, φησὶ, θυσίαν τελεῖν; ἆρα γὰρ οὐκ ἀσεβὲς ἐναγῆ σε ὄντα χερνίβων ἅπτεσθαι καὶ θύειν τοῖς θεοῖς; [8]) *ΕΥ Γ' ΟΥΝ ΘΙΓΟΙΣ.* κατ'

6) ἀφαν. etiam Fl. 33. καταβ. 6.

7) King. haec duo una serie continuavit.

8) Flor. 33. ab initio ὡς om. tum legit: — βασιλεύσῃς ὅσιος καὶ οὐκ ἐναγὴς ἅψῃ (Junt. Bas. Barn. King. ἅψῃς) τῶν χ. πῶς ἔχ. (φησὶ om.) θ. ποιεῖν; καὶ πῶς φησὶν οὐκ εὐσεβὲς ἐναγὲς ἐόντα χ. ἅ. ἢ θ. θεοῖς.

εἰρωνείαν. ἐν ταῖς θυσίαις παρελάμβανον (Gu. —λαμβά-
νοντο) τὰ χέρνιβα. ἀπὸ τούτων δὲ θέλει δηλοῦν τὰς θυ-
σίας. Baroc. 74. Gu. m. pr. *ΤΙ ΔΗ ΓΑΡ ΟΥ.* διὰ
τί, φησὶν, οὐ δικαίως θίγοιμι τῶν θυσιῶν;

V. 1598. *ΚΑΙ ΣΦΑΓΙΑ ΠΡΟ ΔΟΡΟΣ.* εὖ γὰρ καὶ
σφάγια πρὸ τοῦ πολέμου καταβάλοις; πάλιν δὲ τοῦτο ἠθι-
κῶς. πρὸ δορὸς δὲ, ἐπεὶ εἰώθασιν οἱ βασιλεῖς, εἰς πό-
λεμον μέλλοντες ἐξιέναι, θύειν τοῖς θεοῖς. *ΚΑΙ ΣΦ. ΠΡΟ
ΔΟΡΟΣ.* τὸ πρὸ δορὸς καὶ πρὸς τὸ θίγοις ἂν χερ-
νίβων καὶ πρὸς τὸ καταβάλοις σφάγια ῥητέον. τοῦ-
το δὲ λέγει ὁ Μενέλαος πρὸς τὸν Ὀρέστην εἰρωνευόμενος,
δεικνὺς, ὡς οἱ μὲν ἄλλοι βασιλεῖς, ὁπηνίκ' ἂν πολεμεῖν
δέῃ, πρῶτον θύουσι τοῖς θεοῖς, σὺ δὲ ἄρξας τῆσδε τῆς
γῆς, ἡνίκα χρεία τούτου παρέσται, πῶς ἅψῃ θυμάτων
ἀκάθαρτος ὤν; Gu. m. sec. Baroc. 74. [9]) *ΣΥ Δ' ΑΝ
ΚΑΛΩΣ,* σὺ δ' ἁγνῶς ποιήσεις τὰς θυσίας μιαρὸς ὤν. [10])

V. 1599. *ΑΓΝΟΣ ΓΑΡ ΕΙΜΙ ΧΕΙΡΑΣ,* τοῦ φό-
νου τῆς μητρὸς δηλονότι. *ΑΛΛ' ΟΥ ΤΑΣ ΦΡΕΝΑΣ,*
ἀλλ' οὐ τῷ λογισμῷ διὰ, τὸ μὴ βεβοηθηκέναι τῷ πατρί.

V. 1600. *ΠΡΟΣΕΙΠΟΙ,* προςαγορεῦσαι (sic), χαι-
ρετίσαι. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1601 sqq. *ΕΥΔΑΙΜΩΝ ΕΦΥ.* ἤγουν μακάριος,
ὅτι δηλονότι καλῆς ἔτυχε μητρὸς καὶ τιμᾷ αὐτήν. ὁ δὲ Με-
νέλαος πρὸς τὸ μακάριος μόνον ἀπαντᾷ καὶ φησὶν, οὔκ-
ουν σύγε, μακάριος δηλονότι. εἶτα ὁ Ὀρέστης ὡς παρ'
ἑαυτὸν ἑρμηνεύων ἐπάγει, οὐ γὰρ ἁνδάνουσιν αἱ
κακαί· (ἤγουν add. Gu.) ναὶ, οὐκ εἰμὶ εὐδαίμων, φημὶ
κἀγώ· κακῆς γὰρ ἔτυχον μητρὸς, ἣν οὐκ ἀνασχόμενος οὐκ
ἐτίμησα. Baroc. 74. Gu.

V. 1602. *ΟΥΚΟΥΝ ΣΥ ΓΕ,* εὐδαίμων εἶ δηλονότι.
ΟΥ ΓΑΡ ΑΝΔΑΝΟΥΣΙΝ, αὕτη γὰρ ἥμαρτε, φησί· διὸ

9) Bar. ab initio utrumque πρὸς omittit; tum legit ῥητέον, ὅτι ὁ Μεν. λέγει ταῦτα πρὸς τὸν Ὀρ. — ὁπηνίκα ἂν π. δέοι. — ἡνίκα τούτου χρεία ᾖ.

10) Praetuli scripturam cod. Gu. pro vulg. σὺ δ' ἂν θύσεις ἁγν. ὡς μὴ μιαρὸς ὤν. in quibus ὡς ex ultima syllaba v. praec. μὴ e prima sequ. ortum videtur.

κἀγὼ οὐκ εὐδαιμονῶ. *ΟΥ ΓΑΡ Μ' ΑΝΔΑΝΟΥΣΙΝ.* τὸ
οὐ γάρ μ' ἁνδάνουσι ἢ μοι νόει, ἢ με· τὸ γὰρ ἁνδά-
νουσι καὶ πρὸς δοτικὴν καὶ αἰτιατικὴν εὕρηται, ὡς καὶ τὸ
ἀρέσκω. Bar. 74.

V. 1603. *ΑΠΑΙΡΕ,* ἆρον ἀπὸ τῆς ἐμῆς θυγατρὸς
τὸ ξίφος. *ΑΠΑΙΡΕ,* ἀπόστησον. Gu. m. 2. *ΨΕΥΔΗΣ
ΕΦΥΣ,* ἐψεύσω τῆς ἐλπίδος. *ΨΕΥΔΗΣ ΕΦΥΣ,* ἤγουν
ἠπατημένος. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἠπατη-
μένος ὑπῆρξας εἰς τοῦτο. Baroc. 74.

V. 1604. *ΑΛΛΑ ΚΤΕΝΕΙΣ,* ἀλλὰ φονεύσεις μου
τὸ θυγάτριον; *ΟΥ ΨΕΥΔΗΣ ΕΤ' ΕΙ,* οὐκέτι ψευδὴς
ὑπάρχεις.

V. 1606. *ΠΕΙΘΩ ΤΙΝΑ,* αὐτοὺς, ἢ ποίαν κατὰ
πεῖσιν. Gu. m. 2. *ΤΙΝΑ,* πράγματα. Gu. m. pr. Fl.
6. 9. 17. 21. 56. 59. 76. *ΑΙΤΟΥ,* αἴτει, ἀξίου. Fl. 6.
ζήτει. Fl. 33.

V. 1607. *Η ΠΑΙΔΑ ΜΟΥ ΦΟΝ.* εἰ μὴ τοῦτο ποι-
ήσω δηλονότι. *ΩΔ' ΕΧΕΙ ΤΑΔΕ,* ἐὰν μὴ πείσῃς, οὕ-
τω κέκριται. *ΩΔ' ΕΧΕΙ,* οὕτως. (ὡς λέγεις, ὅτι φονεύ-
σομεν.) Gu. Baroc. 74.

V. 1609. *ΣΟΙ ΣΦΑΓΙΟΝ ΕΚΟΜ.* (τὸ ἑξῆς add.
Florr.) σοὶ σφάγιον ἐκόμισα ἐκ Φρυγῶν, πόνους πονήσας
μυρίους, ἤγουν σοὶ ἐκόμισα αὐτὴν ἐκ Φρυγῶν, πόνους πο-
νήσας μυρίους, σφάγιον γενήσεσθαι δηλονότι, τουτέστι σοὶ
ἤγαγον αὐτὴν εἰς τὸ σφαγιάσαι. Gu. m. pr. Fl. 6. 9. 17.
21. 56. 59. 76. [1])

V. 1610. *ΠΟΝΗΣΑΣ,* κοπιάσας. Fl. 17. *ΠΛΗΝ
Γ' ΕΙΣ ΕΜΕ,* οὐκ ἐπόνησας [2]) δηλονότι, (οὐκ ἐποίησας).
Gu. οὐδ' ἕνα πόνον. Fl. 33.

V. 1611. *ΠΕΠΟΝΘΑ ΔΕΙΝΑ,* χαλεπά. Gu. m.
pr. Fl. 6. 9. 21. 56. 59. 76. ἐπὶ (τε add. B.) τῇ γυ-
ναικὶ, ἣν ἐφόνευσας, καὶ τῇ θυγατρὶ, ἣν μέλλεις φονεῦσαι.
Gu. m. 2. Bar. 74. *ΤΟΤΕ ΓΑΡ ΗΣΘ',* ὅτε σε ἠξίουν
βοηθῆσαί μοι.

V. 1612. *ΕΧΕΙΣ ΜΕ.* ἐνίκησάς με, περιγέγονάς μου,

1) Priora σοὶ ἐκόμισα αὐτὴν — γενήσεσθαι e MS. C. C. C. etiam enotavit King. et in paraphr. posuit.

2) οὐκ ἐπόνησας est etiam in editis.

ὡς ἐπὶ τῆς συνηθείας λέγομεν. τοῦτο δὲ λέγει, ὅτι ἐχειρώσατο τὴν Ἑρμιόνην. *ΣΑΥΤΟΝ ΣΥ Γ'*, σὺ σαυτὸν κατηγωνίσω, κακὸς γενόμενος πρός με.

V. 1613. *ΕΙ*, ἄγε. Gu. MS. C.C.C.

V. 1614. *ΣΥ Τ', Ω ΦΙΛΩΝ*, καὶ σὺ, ὦ Πυλάδη, ἀληθέστατέ μοι τῶν φίλων τῶν ἐμῶν, πυρπόλει τὰ γεῖσσα τῶν τειχῶν τῶνδε. Gu. MS. C.C.C.

V. 1615. *ΚΑΤΑΙΘΕ*, κατάκαιε. Fl. 33.

V. 1616. *Ω ΓΑΙΑ ΔΑΝΑΩΝ*, ὦ Δαναοί. Gu. m. 2. *ΚΤΙΤΑΙ*, ἀντὶ τοῦ οἰκήτορες. τοιοῦτόν ἐστι καὶ τὸ συὸς ὀρικτίτου παρὰ τῷ Πινδάρῳ ἀντὶ τοῦ ὀρειοίκου, καὶ τὸ ἐΰκτιτον ἄστυ Ὅμηρος, ἀντὶ τοῦ εὐκατοίκητον πόλιν. [3])

V. 1617. *ΟΥ ΒΟΗΔΡΟΜΗΣΕΤΕ*, οὐκ ἔλθετε (Barn. K. ἐλεύσετε) ἐν βοηθείᾳ. *ΟΥΚΟΥΝ ΕΝΟΠΛΩι ΠΟΔΙ.* οὔκουν ἐνόπλῳ δρόμῳ βοηθήσετε, ἤγουν μεθ' ὅπλων δραμόντες βοηθήσετε; ἔνοπλος γὰρ δρόμος οὐχ ὡπλισμένος — ἀσύνετον γὰρ τοῦτο· — ἀλλ' ὃν ὡπλισμένοι τινὲς τρέχουσιν. [4]) MS. C.C.C. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΒΟΗΔΡΟΜΗΣΕΤΕ*, ταχέως ἐλεύσεσθε. Gu. m. 2. Fl. 6.

V. 1618. *ΟΔΕ ΒΙΑΖΕΤΑΙ ΠΟΛΙΝ.* οὐδενὸς αὐτῷ συγχωροῦντος ζῆν, διὰ τὸ τὴν μητέρα ἀποκτεῖναι, οὗτος βιάζεται ἀδίκως ἅπασαν τὴν πόλιν, ὥςτε τυχεῖν τοῦ ζῆν. *ΒΙΑΖΕΤΑΙ*, ἀναγκάζει. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1619. *ΖΗιΝ*, ὥςτε ζῆν. *ΑΙΜΑ*, φόνον. Gu. Fl. iidem. *ΜΥΣΑΡΟΝ*, βδελυκτόν. Gu. m. pr. Flor. iidem et 25. 34. ἀνόσιον. Gu. m. 2.

V. 1620. *ΠΑΥΣΑΙ.* παῦσαι ὀργιζόμενος, ὦ Μενέλαε, σύ τε, Ὀρέστα, ἵνα ἀκούσῃς οὓς ἥκω κομίζων λόγους. *ΤΕΘΗΛΗΜΑ*, φρόνημα. Gu. m. pr. Florr. omnes. *ΤΕΘΗΓΜΕΝΟΝ*, θρασύ. (ἐπηρμένον, ἠγριωμένον, et ab al. m. ἠκονωμένον.) Gu. [5])

V. 1621. *ΦΟΙΒΟΣ Σ'.* ἐγὼ οὗτος ὁ Φοῖβος, ὁ παῖς

3) Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. κατὰ τοῦτο καὶ εὐκτιμένη πόλις παρ' Ὁμήρῳ, ἡ καλῶς ἔχουσα δηλονότι ἕνεκα τῆς οἰκήσεως.

4) τρέχουσιν deest in C.C.C. Addit King.: f. τελέουσιν.

5) Tria priora habet etiam Baroc. 74. ἠκονημένον Fl. 33.

τῆς Λητοῦς, καλῶ σε ἐγγὺς ὢν, καὶ σὺ, ὦ Ὀρέστα, παῦσαι. Gu. m. pr. MS. C.C.C. *ΞΙΦΗΡΗΣ*, μετὰ ξίφους. Gu. m. pr. MS. C.C.C. τὸ ξίφος φέρων. Fl. 33. *ΕΦΕΔΡΕΥΕΙΣ*, προςεδρεύεις. Gu. m. pr. MS. C.C.C. παρακάθησαι. Gu. m. 2. Fl. 6. 33.

V. 1623. *ΗΚΩ* καὶ ἦλθον. Fl. 17.

V. 1625. *ΗΜΑΡΤΕΣ*, ἀπέτυχες. Gu. Florr. omnes. *ΟΡΓΗΝ*, ὀργὴν ποιούμενος τῷ Μενέλεῳ, ἤγουν ὀργιζόμενος τῷ Μενελάῳ. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1626. *ΕΝ ΑΙΘΕΡΟΣ ΠΤΥΧΑΙΣ*, ἐν τῇ τοῦ ἀέρος κοιλότητι. Gu. m. pr. Florr. omnes. ἐν γὰρ τῷ μέσῳ τοῦ οὐρανοῦ κατηστερῶσθαι [6]) φησὶν (Bar. φασὶν) αὐτὴν διὰ τοῦτο καὶ τῶν ἄλλων ἀστέρων (ἄστρων B.) ἐν τῇ συστροφῇ τοῦ οὐρανοῦ ποτὲ μὲν φαινομένων, ποτὲ δ' οὔ, τὸ τῆς Ἑλένης ἄστρον, ἣν ἰδιωτικῶς φασὶ Τραμουντάναν, ἅτε ἐν μέσῳ τῆς σφαίρας ὂν, ἀεὶ πᾶσιν ὁρᾶται. τοῦτο δὲ καὶ ναῦται ὁρῶντες ἴσασιν ἃ δεῖ. Baroc. 74. Gu. m. 2.

V. 1628 sq. *ΕΓΩ ΝΙΝ ΕΞΕΣΩΣΑ.* ἔσωσα ἤγουν ἐῤῥυσάμην καὶ ἀπὸ τοῦ φασγάνου τοῦ σοῦ ἥρπασα κελευσθεὶς ὑπὸ τοῦ πατρὸς τοῦ Διός. Gu. m. pr. Bar. 74.

V. 1630. *ΟΥΣΑΝ*, θυγατέρα. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΑΦΘΙΤΟΝ*, ἀφθάρτως. (ἀθάνατον, ἄφθαρτον.) Gu.

V. 1632. *ΣΥΝΘΑΚΟΣ*, συγκάθεδρος. (σύνθρονος.) Gu. Bar. 74. *ΝΑΥΤΙΛΟΙΣ ΣΩΤΗΡΙΟΣ.* ὅτι ἡ Ἑλένη τοῖς χειμαζομένοις κατὰ θάλατταν ἐπήκοός ἐστι, κατὰ Εὐριπίδην σεσημείωται· ὁ μέντοι Σωσίβιος ἔμπαλιν οἴεται οὐκ εὐμενῶς αὐτὴν ἐπιφαίνεσθαι. [7])

6) In Gu. litterae ῶ suprascripta est ί, sicut Bar. legit κατηστερίσθαι. Baroc. ab initio etiam habet ἐν ταῖς κοιλότησι τοῦ οὐρανοῦ et om. γάρ.

7) Flor. 33. addit: Πολέμων δὲ καὶ ἐν τῷδε τῷ πρὸς Ἀλεξανδρίδην τὴν μὲν τῶν δυοῖν ἀστέρων ἐπιφάνειαν τῶν Διοςκούρων ἀνομολογεῖσθαι, τὴν δὲ τῶν λεγομένων ζοβείρων

V. 1634. *ΕΠΕΙ ΘΕΟΙ.* ἐπεὶ οἱ θεοὶ, ἅπερ ἤθελον, δι' αὐτῆς ἐπλήρωσαν, καὶ οὐκέτι ἦν χρεία ἐᾷν αὐτὴν σοί· οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκαν. Gu. m. pr. Bar. 74. *ΤΩι ΤΗΣΔΕ ΚΑΛΛΙΣΤΕΥΜΑΤΙ*, τῇ ὡραιότητι ταύτης. *ΚΑΛΛΙΣΤΕΥΜΑΤΙ.* λέγω τῷ καλλιστεύματι αὐτῆς, ἤγουν τῷ κάλλει, τουτέστι διὰ τοῦ κάλλους αὐτῆς, συνήγαγον εἰς ἓν Ἕλληνας καὶ Φρύγας, καὶ θανάτους ἐποίησαν, ἵνα κουφίσωσιν ἀπὸ τῆς χθονὸς τὴν ἀλαζονείαν τοῦ ἀφθόνου πληρώματος τῶν ἀνθρώπων. Gu. m. pr. Bar. 74. [8]) *ΚΑΛΛΙΣΤΕΥΜΑΤΙ*, ὥρᾳ. καλλίστευμα οὐ μόνον τὸ κάλλος, ἀλλὰ καὶ τὸ καλλιστεῖον. Gu. m. 2. MS. C.C.C. *)

V. 1635. *ΕΙΣ ΕΝ*, εἰς τὸ μάχεσθαι δηλονότι ἀλλήλοις. Fl. 21. *ΣΥΝΗΓΑΓΟΝ*, ἤγουν συνέφερον. Fl. 17.

V. 1636. *ΘΑΝΑΤΟΥΣ Τ' ΕΘ.* ἐν ἀμφοτέροις. Gu. m. 2. Fl. 6. *ΩΣ ΑΠΑΝΤΛΟΙΕΝ.* ἱστορεῖται, ὅτι ἡ γῆ βαρυνομένη τῷ πλήθει τῶν ἀνθρώπων, ἠξίωσε τὸν Δία ἐλαφρῦναι αὐτῆς τὸ βάρος. τὸν δὲ Δία εἰς χάριν αὐτῆς συγκροτῆσαι τόν τε Θηβαϊκὸν πόλεμον καὶ τὸν Ἰλιακὸν, ἵνα πολλῶν ἀναιρεθέντων κουφισμὸς γένηται. ἑτέραν οὖν, φησὶν, ἄγε νύμφην, ἐπεὶ οἱ θεοὶ ταύτην εἰλήφασιν, ἣν αὐτοὶ τότε κατέπεμψαν, ἵνα διὰ τὸ ταύτης κάλλος συγκροτησάντων πόλεμον Ἑλλήνων καὶ Φρυγῶν, καὶ τῶν πολλῶν ἀναιρεθέντων, ἐλαφρότερον γένοιτο τῇ γῇ τὸ τῶν ἀνθρώπων βάρος. [9]) *ΑΠΑΝΤΛΟΙΕΝ*, ἐκβάλοιεν, κενώσειαν. Gu. m. 2.

V. 1637. *ΥΒΡΙΣΜΑ*, τὴν ἀλαζονείαν. (ἁμαρτίας,

8) King. utrumque scholion Barocc. in unum coniunxit; in Gu. perspicua nota separata sunt.

*) Perverse C.C.C. καλλ. οὐ μόνον τὸ ὥρα, κάλλος etc.

9) Gu. et Baroc. 74. sic: ἐπειδὴ ζῆν νιν ἄφθιτον χρεὼν εἶπε, ἐπάγει τὴν αἰτίαν τούτου, λέγων αὐτὴν αἰτίαν γενέσθαι τοῦ τῆς ἐν γῇ ἁμαρτίας κουφισμοῦ. ἔχει δὲ οὕτως· φασὶ τὴν γῆν βαρυνομένην τῷ τῶν ἀνθρώπων πλήθει, καὶ τὰ μιάσματα τούτων οὐ φέρουσαν, ἀξιῶσαι τὸν Δία κουφίσαι αὐτῆς (Bar. αὐτῇ) τὸ βάρος· καὶ τὸν, δεξάμενον τὴν αἴτησιν, συγκρ. τόν τε Θ. πόλ. καὶ τὸν Τρωϊκὸν, ἵνα τῶν πολεμούντων ἀναιρεθέντων κουφισμὸς γένηται. ἐνταῦθα δὲ ὁ Εὐριπίδης (μόνου add. B.) τοῦ Τρωϊκοῦ μέμνηται, καὶ διὰ τούτου (τοῦτο Bar.) φησὶ γενέσθαι τὸν τῆς γῆς κουφισμόν.

μιάσματα, ἀδικίας.) Gu. *ΑΦΘΟΝΟΥ*, πολλοῦ, ἀναριθμήτου. Gu. m. 2. *ΠΛΗΡΩΜΑΤΟΣ.* πλήθους. Ib.

V. 1638. *ΩΔ' ΕΧΕΙ*, οὕτω διάκειται. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1639. *ΥΠΕΡΒΑΛΟΝΤΑ*, διαβάντα. Gu. m. pr. Fl. 6. 9. 17. 56. 76. ὑπερδραμόντα. Gu. m. 2. Fl. 6. διαβαίνοντα. Fl. 59.

V. 1640. *ΠΑΡΡΑΣΙΟΝ.* οἱ μὲν πόλιν, οἱ δὲ χώραν εἶναι φασὶν, ἀπὸ Παῤῥασίου τοῦ Πελασγοῦ ὀνομασθεῖσαν, [10]) ὃς συνῴκισε τοὺς Ἀρκάδας, καὶ Πελασγοὺς αὐτοὺς ἐπωνόμασεν. ἰδίως Εὐριπίδης ἐνιαυτίσαι τὸν Ὀρέστην φησὶν ἐκεῖ, ἤτοι ποιήσαντα κύκλον ἐνιαυτοῦ. ὁ δὲ Ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως αὐτὸν δηχθέντα ἐκεῖ τελευτῆσαι. ὁ δὲ Φερεκύδης, ὅτι καὶ ἔπειτα τὸν Ὀρέστην αἱ Ἐριννύες διώκουσιν, ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, καὶ ἵζει ἱκέτις πρὸς τῷ βωμῷ, αἱ δὲ Ἐριννύες ἔρχονται ἐπ' αὐτὸν θέλουσαι ἀποκτεῖναι, καὶ ἐρύκει αὐτὰς ἡ Ἄρτεμις· ἐξ οὗ καὶ ἡ πόλις αὕτη Ὀρέστειον καλεῖται ἀπὸ Ὀρέστου. Ἄλλως. Ἀσκληπιάδης ἐν Ἀρκαδίᾳ φησὶ τὸν Ὀρέστην ὑπὸ ὄφεως ἀναιρεθῆναι ἑβδομήκοντα ἐτῶν. [1]) *ΕΝΙΑΥΤΟΥ ΚΥΚΛΟΝ*, ἐφ' ἕνα χρόνον. (κύκλον. Fl.) Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1642. *ΑΖΑΣΙΝ.* Πελασγὸς αὐτόχθων ὁ Ἀργεῖος ὁ τοῦ Ἀρέστορος τοῦ Ἰάσου, ἐλθὼν εἰς Ἀρκαδίαν θηριώδεις ὄντας τοὺς Ἀρκάδας εἰς τὸ ἡμερώτερον μετέβαλε, καὶ πόλιν ἔκτισεν, ἣν Παῤῥασίαν ὠνόμασεν. γυναῖκα δὲ ἀγαγόμενος ἐπιχωρίαν Κυλλήνην, [2]) ἀφ' ἧς τὸ ὄρος οὕτω καλεῖται, υἱὸν ἔσχε Λυκάονα, ὃς τὸ τοῦ Λυκαίου Διὸς ἱερὸν ἱδρύσατο ἐν Παῤῥασίᾳ, καὶ παῖδα ἐσχηκὼς ἐξ Ὀρθωνίας Νύκτιμον, τὴν ἀρχὴν αὐτῷ [3]) καταλείπει. ἐφ' οὗ ὁ κα-

10) Gu. et MS. C.C.C. nihil habent, nisi: πόλις ἢ χώρα Ἀρκαδίας ἀπὸ Παῤῥασίου τοῦ Πελασγοῦ ὀνομασθεῖσα.

1) Haec, Ἀσκληπ.—ἐτῶν, in Gu. annotationem per se efficiunt.

2) Κυλλήνην addit Flor. 33., quod addi iam iussit Heyne ad Apoll. III, 8, 1. pag. 660. (ed. 1783.)

3) αὐτῷ Barn. pro αὐτοῦ. Paulo post Fl. 33. ἀφ' οὗ, Παρθιῶνα pro Παρθῖνα, et Ὀρχιλόχης pro Ἀρχιλ.

ταϰλυσμὸς ἐγένετο. μετὰ δὲ ταῦτα βασιλεύει Δωριεὺς υἱὸς
Εἰϰαδίου ϰαὶ Κορωνείας. οὗτος ἐξ Ἀργίας ἔσχε Παρθῖνα.
οὗτος ἐξ Ἀρχιλόχης Κητέα ϰαὶ Πάρον. Κητεὺς δὲ ἐϰ Στίλ-
βης ἔσχε Καλλιστώ. ταύτην φασὶν ἐϰ Διὸς Ἀρϰάδα πεποιη-
ϰέναι· ὃς ἄρξας τῆς χώρας Ἀρϰαδίαν ὠνόμασε. γήμας δὲ
Λεάνειραν, ἔσχεν Ἔλατον, Ἀφείδαντα, [4]) Ἀζᾶνα. τούτων
ἀρξάντων τῆς χώρας, ὁ Ἀζὰν ἀπ᾽ αὐτοῦ τὴν ἰδίαν μοῖραν
Ἀζανίαν ὠνόμασεν. Ἀρϰάδες οὖν πάντες ϰοινῇ ἐϰαλοῦντο,
μέρος δὲ τούτων Ἀζᾶνες. Ἄλλως. τῷ μεριϰῷ τὸ ὅλον
ἐπήγαγεν. Ἀζὰν γὰρ μέρος ἐστὶ τῆς Ἀρϰαδίας. ϰαὶ Ὀρέ-
στειον δὲ πόλις Ἀρϰαδίας, ὀνομασθὲν ἀπὸ Ὀρέστου οἰϰήσαν-
τος ἐϰεῖσε. ΑΖΑΣΙΝ. Ἄζα (ἡ add. C. C. C.). πόλις Ἀρ-
ϰαδίας, ἧς οἱ πολῖται Ἀζάδες (Ἀξάδες C. C. C.) MS.
C. C. C. Gu. m. 2. Ἄζα μέρος Ἀρϰαδίας, ἐξ οὗ
ὅλον δηλοῖ. Gu. m. 2.

V. 1643. ΕΝΘΕΝΔΕ Τ᾽ ΕΛΘΩΝ. περὶ τῆς Ὀρέ-
στου ϰρίσεως ἐν Ἀρείῳ πάγῳ ἱστορεῖ ϰαὶ Ἑλλάνιϰος, ταῦ-
τα γράφων· τοῖς ἐϰ Λαϰεδαίμονος ἐλθοῦσι ϰαὶ τῷ Ὀρέστῃ
οἱ Ἀθηναῖοι ἔφασαν. τέλος δὲ ἀμφοτέρων ἐπαινούντων,
οἱ Ἀθηναῖοι τὴν δίϰην ἔστασαν ἐννέα γενεαῖς. ὕστερον δὲ
Ἄρης ϰαὶ Ποσειδῶν περὶ Ἁλιῤῥοθίου δίϰην, εἶτα Κέφα-
λος ὁ Δηϊονέως, ὅςτις Πρόϰριν τὴν Ἐρεχθέως ἔχων γυ-
ναῖϰα ϰαὶ ἀποϰτείνας, ἐξ Ἀρείου πάγου δίϰην ὡς διϰα-
σθεὶς ἔφυγεν ἓξ γενεαῖς ὕστερον. μετὰ δὲ τὴν Δαιδάλου
δίϰην, ἀδελφιδοῦν τὸν Τάλων [5]) ἀποϰτείναντος δολόεντι
θανάτῳ, ϰαὶ φυγόντος δίϰην, τρισὶ γενεαῖς ὕστερον αὕτη ἡ
Τυνδαρὶς Κλυταιμνήστρα Ἀγαμέμνονα ἀποϰτείνασα, ϰαὶ
ὑπὸ Ὀρέστου ἀποϰτανθεῖσα, συγϰροτηθῆναι δίϰην τῷ Ὀρέ-
στῃ ὑπὸ Εὐμενίδων παρεσϰεύασεν, ὃς μετὰ τὴν ϰρίσιν ἐπα-
νελθὼν, Ἄργους ἐβασίλευσε. ϰαὶ ἐδίϰασεν δὲ Ἀθηνᾶ ϰαὶ
Ἄρης.

4) Vulgo Ἐλάτην, Ἀρείσαντα. Pro hoc Ἀφείδαντα recte habet Fl. 53. vid. Paus. VIII, 4. Apoll. III, 9, 1. Idem Ἔλαστον pro Ἐλάτην, unde Ἔλατον rescripsi e Paus. et Apoll. Pro Ἀζανίαν King. Ἀξανίαν, addito: „f. Ἀζανίαν.“ at hoc ipsum legitur in Junt. Basil. Barn. Ἀζαδίαν Fl. 53.

5) τὸν Τάλων. Sic Meursius de Areop. c. 10. Thes. Graev. T. V. p. 2115. D. pro Τάνταλον. Bar. King. ἀδελφιδοῦν Τάλων.

V. 1644. ΔΙΚΗΝ ΥΠΟΣΧΕΣ. οὐ μόνον τὸ δίϰην δίδωμι ἀντὶ τοῦ τιμωροῦμαι φαμὲν, ἀλλὰ ϰαὶ ἀντὶ τοῦ ἐν ϰρίσει ϰαθίσταμαι ϰαὶ ἀπολογίαν ὑπέχω, ὥςπερ ϰἀνταῦθα. μαρτυρεῖ δὲ ϰαὶ Θουϰυδίδης λέγων· (I, 28.) δίϰας ἤθελον δοῦναι (Bar. διδόναι) ἐν Πελοποννήσῳ παρὰ πόλεσιν, αἷς ἂν (Gu. δὲ) ἀμφότεροι ξυμβῶσιν. Bar. 74. Gu. m. 2. ΥΠΟΣΧΕΣ, δός. γέγραπται ὑφέξεις, δώσεις. MS. C.C.C. [6]) ΑΙΜΑΤΟΣ ΜΗΤΡΟΚΤΟΝΟΥ, ἕνεϰα τοῦ φόνου τῆς μητρός. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἤγουν ϰρίσις σοι πρὸς τὰς θεὰς ἔσται (Gu. γένοιτο) ϰαὶ ἀπολογία (Gu. ἀπολογῆσαι) περὶ τοῦ φόνου. Gu. m. 2. Fl. 6.

V. 1645. 1646. ΘΕΟΙ ΔΕ ΣΟΙ. οἱ θεοὶ δὲ, (οἱ add. Flor.) τοῦ διϰαίου βραβεῖς δίϰην ἐξοίσουσί (ἕξουσι Bar.) σοι ἐν τῷ Ἀρείῳ πάγῳ (εὐσεβεστάτην. add. Gu. Fl.) Bar. 74. Gu. m. 1. Fl. 6. 9. 17. 21. 56. 59. 76. μετὰ τὸ πληρῶσαι χρόνον ἕνα εἰς τὸ Παῤῥάσιον ἀπῆλθεν εἰς Ἀθήνας Ὀρέστης ϰαὶ ἀγωνίζεται πρὸς Ἐριννύας ὑπὲρ τοῦ φόνου (τὸν add. Gu. pro τοῦ) τῆς μητρός· ἴσων δὲ γενομένων τῶν ψήφων οἰϰτείρασα ἡ Ἀθηνᾶ τοῦτον, παρ᾽ ἑαυτῆς ἐνέθηϰε μίαν ψῆφον, ἥτις ἐποίησεν αὐτὸν νιϰῆσαι. φασὶ δὲ, ὅτι ϰαὶ ἱερὸν (οὗτος add. Bar.) ἐν Ἀρείῳ πάγῳ τῶν θεῶν ἱδρύσατο, ἐξιλευόμενος αὐτὰς μετὰ τὴν νίϰην εὐμενεῖς αὐτὰς τοῦ λοιποῦ ϰαθίστασθαι. Bar. 74. Gu. m. 2. [7]) ΔΙΚΗΣ ΒΡΑΒΕΙΣ, τῆς ϰρίσεως διοιϰηταί. ΔΙΚΗΣ, διϰαιοσύνης, ἤγουν ϰρίσεως. Gu. m. 2. ΒΡΑΒΕΙΣ, παροχεῖς. (θεοὺς γὰρ ϰριτὰς εἶχεν. add. Gu.) Gu. m. 2. Fl. 33.

V. 1646. ΠΑΓΟΙΣΙΝ ΕΝ ΑΡΕΙΟΙΣΙΝ. Ἄρειος πάγος ἐϰλήθη διὰ τὸ δοῦναι (τὸν add. Gu.) Ἄρεα ἐϰεῖ τῷ Ποσειδῶνι δίϰην, ἀποϰτείναντα τὸν υἱὸν αὐτοῦ Ἁλιῤῥόθιον, φθείραντα τὴν θυγατέρα αὐτοῦ Ἀλϰίππην. ἐπεϰράτησε δὲ ἐξ ἐϰείνου διϰαστήριον εἶναι φόνων ὁ τόπος. ὄρος δὲ ἦν· διὸ ϰαὶ πάγος ϰαλεῖται. Bar. 74. Gu. m. 2.

V. 1647. ΔΙΟΙΣΟΥΣ᾽, ἐξάξουσιν. ΔΙΟΙΣΟΥΣ᾽ ἀντὶ τοῦ ἐξάξουσιν. (ἐϰϰομίσουσιν.) Gu. ΕΝΘΑ ΝΙΚΗΣΑΙ, ἐν

6) Gu. δός a m. pr. δώσεις, ὑφέξεις a m. 2. sine γέγραπται.

7) In Gu. hoc scholion ad v. 1640. adscriptum est.

τῇ ἀποφάσει τῆς κρίσεως τῶν θεῶν. Gu. m. 2. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΧΡΗ*, ἀπόκειται.

V. 1648. *ΕΦ' ΗΣ Δ' ΕΧΕΙΣ*, τὴν Ἑρμιόνην δὲ, ἧς ἐπὶ τῇ δέρῃ ἔχεις, ὦ Ὀρέστα, τὸ φάσγανον, πέπρωταί σε γῆμαι, ἤγουν εἰς γυναῖκα λαβεῖν. [8]) Baroc. 74. Gu. m. pr. Florr. omnes. τὸ ἐφ' ᾗ καὶ τὸ δέρῃ καθ' ὅλον καὶ μέρος. Bar. 74. Gu. m. 2.

V. 1649 sqq. *ΟΣ Δ' ΟΙΕΤΑΙ ΝΕΟΠΤΟΛΕΜΟΣ.* οὐκ ἐγάμησεν αὐτὴν κατὰ τοῦτο, ὅτι τέκνα οὐκ ἔσχεν ἀπ' αὐτοῦ. καὶ ὁ μὲν Εὐριπίδης διὰ τοῦτο ἀνῃρῆσθαι φησὶ τὸν Νεοπτόλεμον ὑπὸ τῶν Δελφῶν, ὅτι παρεγένετο εἰς Δελφοὺς, δίκας ἀπαιτήσων τὸν θεὸν ὑπὲρ τῆς τελευτῆς τοῦ πατρὸς αὐτοῦ. Φερεκύδης δὲ φησὶ, περὶ παίδων χρησμὸν αἰτοῦντα τὸν Νεοπτόλεμον ἀναιρεθῆναι. ἐπεὶ Νεοπτόλεμος Ἑρμιόνην γαμεῖ τὴν Μενελάου, καὶ ἔρχεται εἰς Δελφοὺς περὶ παίδων χρησόμενος· οὐ γὰρ αὐτῷ ἐγένοντο ἐξ Ἑρμιόνης. καὶ ὁρᾷ κατὰ τὸ χρηστήριον κρέα διαρπάζοντας τοὺς Δελφοὺς, ἀφαιρεῖται τὰ κρέα αὐτοὺς, ἑαυτὸν δὲ κτείνει μαχαίρᾳ. ὁ δὲ τούτων ἱερεὺς κατορύσσει [9]) αὐτὸν ὑπὸ τὸν οὐδὸν τοῦ νεώ. ταῦτα γενεαλογεῖ καὶ Σοφοκλῆς. *ΠΕΠΡΩΤΑΙ*, μεμοιραμένον ἐστί. Gu. m. 2.

V. 1652. *ΔΙΚΑΣ ΑΧ.* ἐξαιτοῦντι ἐμὲ ἀντὶ τοῦ ἀπαιτοῦντι δίκας ὑπὲρ τοῦ Ἀχιλλέως τοῦ πατρὸς αὐτοῦ. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1653. *ΗιΝΕΣΑΣ*, ἀπεδέξω, συνεβιβάσθης. Baroc. 74. [10])

V. 1654. *Ο Δ' ΕΠΙΩΝ ΝΙΝ.* τὸ νιν ἀντὶ τοῦ αὐτοὺς ἐπὶ πληθυντικοῦ τάττειν εἴωθεν· ἢ ἐπὶ μόνου Πυλάδου κεῖται. *Ο Δ' ΕΠΙΩΝ*, ὁ ἐπελθὼν, ὁ μέλλων. Gu. m. 2. ὁ δὲ ἐπερχόμενος βίος εὐτυχῶς αὐτὸν δέξεται. Fl.

8) Baroc. habet πέπρ. σοι εἰς γυν. λαβεῖν.

9) Recte P. Leopardus Emend. XX. 9. monente Barn. em. αὐτὸν δὲ κτείνει Μαχαιρεὺς, ὁ τούτων ἱερεὺς, καὶ κατορύσσει etc. Vid. Strab. p. 645. A. Eustath. p. 1479. et Pausan. X. 24. p. 858. Pro καὶ ὁρᾷ forsan legendum καὶ ὁρῶν, ut coniecit etiam Sturz ad Pherec. fr. p. 227.

10) συνεβιβ. est etiam in Gu. m. pr.

6. 9. 17. 21. 25. 34. 56. 59. 76. *ΜΕΝΕΙ*, ἤγουν προσκαρτερεῖ. Fl. 17.

V. 1657. *ΦΕΡΝΑΣ*, προῖκας. *ΦΕΡΝΑΣ* τὴν Σπάρτην λέγει, ἥτις εἰς προῖκα ἐδόθη αὐτῷ. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. φερνὴ (καὶ προὶξ add. Gu.) τὰ ἀπὸ τῆς γυναικὸς πράγματα, ἕδνα δὲ τὰ παρὰ τοῦ ἀνδρὸς τῇ γυναικὶ διδόμενα. Gu. m. 2. Fl. 21.

V. 1657. 1658. *ΗΤΙΣ — ΔΙΗΝΥΣΕΝ*, ἥτις ἀεὶ μυρίοις πόνοις διδοῦσά σε διήνυσε μέχρι τοῦ δεῦρο. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ΔΕΥΡ' ΑΕΙ ΔΙΗΝ.* ὧδε διόλου ἔφερε. *ΔΙΗΝΥΣΕ*, ἐκόμισε, κατέστησε. σύναπτε δὲ τὸ ἀεὶ πρὸς τὸ διδοῦσα. Gu. m. 2. παρήγαγε. Fl. 33.

V. 1659. *ΤΑ ΠΡΟΣ ΠΟΛΙΝ.* τὰ ἀφορῶντα δὲ πρὸς τὴν πόλιν ἐγὼ ποιήσω χάριν αὐτοῦ καλῶς. [1]) Gu. m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1660. *ΕΞΗΝΑΓΚΑΣΑ*, παρεκίνησα. Gu. m. 2.

V. 1661. *Ω ΛΟΞΙΑ.* ὦ Ἀπόλλων μαντευτικὲ, ἕνεκα τῶν σῶν μαντευμάτων. *ΜΑΝΤΕΙΕ*, μαντικέ. Gu. m. pr. Florr. omnes. *ΣΩΝ ΘΕΣΠ.* βαβαί. Gu. m. 2. *ΘΕΣΠΙΣΜΑΤΩΝ*, μαντευμάτων ὧν μοι περὶ τοῦ τῆς μητρὸς φόνου ἐθέσπισας. Gu. m. pr. Fl. 6.

V. 1662. *ΟΥ ΨΕΥΔΟΜΑΝΤΙΣ*, οὐ ψευδῶς ἐνομίζου αὐτὸς διδόναι τοὺς χρησμοὺς, ἀλλ' ἀληθῶς. Gu. m. 2. Fl. 6. 9. 17. 21. 56. 59. 76.

V. 1663. 1664. *ΚΑΙΤΟΙ Μ' ΕΣΗιΕΙ.* περιδεὴς, φησὶν, ἦν ἐγὼ, μὴ ἄρα δαίμων τις τῶν ἀλαστόρων, καὶ οὐχὶ σὺ (add. ἧς vel εἴης) ὁ προστάξας με μητροκτονεῖν. νῦν δὲ, φησὶν, αὐταῖς ὄψεσι θεωρῶν ἔχω τὸ πιστόν. *ΚΑΙΤΟΙ Μ' ΕΣΗιΕΙ.* τὸ εἰςῄει με δεῖμα λέγει διὰ τὸν πρόσθεν χρόνον, καθ' ὃν Ὀρέστης παρ' αὐτοῦ τὰς [2]) κατὰ τῆς μητρὸς μαντείας ἐδέχετο· ὥςτε, εἰ τοῦτο εἴποις, τὸ δόξαιμι ἀντὶ τοῦ ἔδοξα νοήσεις. φασὶ γὰρ, ὡς, ἡνίκα (ὁ add. B.) Ὀρέστης ὑπ' Ἐριννύων βεβάκχευται, λογισμὸν ἔλαβεν (ἔβαλεν Gu.), ὡς οὐκ Ἀπόλλων εἴη ὁ προς-

1) In editis est tantum χάριν τοῦδε ποιήσω καλῶς.

2) Sic liquido Gu. quod coniecit King, quum in Bar. esset τά.

τάξας τὸν φόνον, ἀλλ' ἀλάστωρ τις· εἰ γὰρ ἦν Ἀπόλλων,
οὐκ ἂν μανῆναι αὐτὸν εἴασεν. Bar. 74. Gu. m. 2.

V. 1665. *ΑΛΛ' ΕΥ ΤΕΛΕΙΤΑΙ*. τὸ ἀλλ' εὖ τελεῖ-
ται διπλῶς νοητέον, ἢ τοῦτο, ὃ νῦν προστάττεις, [3]) ἢ ὁ
φόβος, ὃν εἶχον περὶ σοῦ, δοξάζων ἀλάστορα, καὶ οὐκ αὐ-
τὸν σὲ, καλῶς τελεῖται, ἤγουν οὐχ ὡς ᾠόμην ἐκβαίνει, ἀλλ'
ὡς ἔχει τἀληθές. Bar. 74. Gu. m. 2. *ΤΕΛΕΙΤΑΙ*, τε-
λεσθήσεται καὶ γενήσεται τὸ σὸν πρόσταγμα. Fl. 59. τε-
λεσθήσεται ἡ φωνὴ ἐκείνη. Gu. m. 2.

V. 1667. *ΚΑΙ ΛΕΚΤΡ' ΕΠΗΙΝΕΣ'*, τὴν μετ' αὐ-
τῆς συνοίκησιν ἐπαινῶ. Gu. m. pr. Fl. 6. 9. 17. 21. 56.
59. 76.

V. 1668. *Ω ΖΗΝΟΣ*. ὦ Ἑλένη, παῖ τοῦ Διὸς, χαῖ-
ρε. Gu. m. pr. Fl. 6. 9. 56. 59. 76. *ΖΗΛΩ*, μακαρί-
ζω. MS. C.C.C. Gu. m. pr. εὐδαιμονίζω. Gu. m. 2.

V. 1669. *ΟΛΒΙΟΝ*, μακάριον. (εὐδαίμονα.) Gu.
ΔΟΜΟΝ, οἶκον, ἤγουν τὸν οὐρανόν. Gu. m. 2.

V. 1670. *ΚΑΤΕΓΓΥΩ*, ἀντὶ τοῦ κατεγγυήσω, ὅ ἐστιν
ἐπαγγέλλομαι δώσειν πρὸς γάμον· οὐ νῦν γὰρ δίδωσιν, ἀλλ'
ὕστερον, Ὀρέστου ἐν Ἀρκαδίᾳ διάγοντος μετὰ τὴν Νεο-
πτολέμου τελευτήν. *ΚΑΤΕΓΓΥΩ*, πρὸς γάμον ὑπισχνοῦ-
μαι, μνηστεύω. Bar. 74. [4])

V. 1671. *ΛΕΓΟΝΤΟΣ*, προστάσσοντος. Gu. m. pr.
Fl. 6. 9. 21. 56. 59. 76. *ΕΥΓΕΝΗΣ Δ' ΑΠ' ΕΥΓ.*
συνυπακούεται ὑπαρκτικοῦ ῥήματος μετοχὴ, εἰ καὶ οὐ δύνα-
ται (Bar. οὐ δύναται γὰρ) ἐνταῦθα ἐκφωνεῖσθαι, ὡς εἴρη-
ται καὶ ἐν ἄλλοις, διὰ τὸ κακοσύνθετον γίνεσθαι τὸν λόγον·
δύο γὰρ ἐφεξῆς μετοχαὶ οὐκ ἐῶσι τὸν λόγον εὐσύνθετον
(Gu. ἀσύνθ.) δοκεῖν. εἰ ἐκφωνηθείη δὲ ἐνταῦθα ἡ τοῦ
ὑπαρκτικοῦ μετοχὴ, δειχθήσεται αὐτόθεν ὃ λέγω· οἷον εὐ-
γενὴς δὲ ὢν ἀπ' εὐγενοῦς γήμας. ἐξ ἀνάγκης δὲ συνυπα-
κούεται, καὶ ἔχει (f. συνυπ. τὸ καὶ, καὶ ἔχ.) ὁ λόγος οὔ-

3) Sic recte hic quoque Gu. pro προστάττειν Bar. Mox Gu. δοξάζειν. Bar. οὐχ ὡς ἐφάμην συμβαίνει, ἀλλ' ὡς ἀληθές.

4) Gu. μνηστ. a m. pr. ὑπ. πρ. γ. m. 2. tum in marg. ὅ ἐστιν — γάμον, quod in edito scholio legebatur.

τως· εὐγενὴς δὲ ὢν (σὺ add. Gu. m. 2.) γυναῖκα γήμας
ἀπ' εὐγενοῦς γένους δηλονότι. Baroc. 74. Gu. m. 1. [5])

V. 1672. *ΟΝΑΙΟ*, ἀπολαύσαιο, ὠφεληθείης. *ΟΝΑΙΟ*,
ὠφελείας ἀπολαύσαις. (εἴθε ὠφεληθείης.) Gu. Florr. omnes.

V. 1673. *ΟΙ*, ὅπου. *ΟΙ ΠΡΟΣΤΑΣΣΟΜΕΝ*, Με-
νέλαος (μὲν add. Gu.) εἰς Σπάρτην, Ὀρέστης (δὲ add.
Gu.) εἰς τὸ Παῤῥάσιον (δάπεδον add. Gu.). Baroc. 74.
Gu. m. 2.

V. 1674. *ΝΕΙΚΟΥΣ*, τῆς φιλονεικίας. *ΝΕΙΚΟΥΣ*,
ἔριδος. Gu. m. 2. Fl. 6. ἤγουν παύσασθε τῆς φιλονει-
κίας. Fl. 17.

V. 1675. *ΚΑΓΩ ΤΟΙΟΥΤΟΣ*, οὕτω διάκειμαι. Gu.
m. pr. Fl. 6. 9. 17. 21. 56. 59. 76. καταπειθής. Gu.
m. 2. *ΣΠΕΝΔΟΜΑΙ*. φιλιοῦμαι ταῖς συμφοραῖς σου,
Μενέλαε, καὶ τοῖς σοῖς, ὦ Ἄπολλον, προστάγμασι. Ἄλ-
λως. σπένδομαι, φησὶ, φιλίαν πρὸς σὲ, ὦ Μενέλαε, ἐπὶ
συμφοραῖς, τουτέστι μετὰ τὰς συμφορὰς καὶ τὰς ἀτυχίας,
καὶ τοῖς σοῖς, ὦ Ἄπολλον, πείθομαι κελεύσμασι. Τὸ
ΣΠΕΝΔΟΜΑΙ ΣΥΜΦ. ΣΑΙΣ τοῦτο λέγει, ἀντὶ τοῦ φι-
λίως καὶ ἀποδέκτως τὸ συμβὰν δέχομαι· ἢ οὕτω, σπένδο-
μαι καὶ φιλιοῦμαί σοι, ὦ Μενέλαε, ἐν σαῖς (Bar. ταῖς)
συμφοραῖς καὶ συνελεύσεσιν, ἤγουν συνεῖναί σοι θέλω καὶ
συνομιλεῖν (Bar. —ομιλῶ)· ἢ οὕτω, σπένδομαι καὶ φιλιοῦ-
μαι, ὦ Μενέλαε, ταῖς σαῖς συμφοραῖς, ἤγουν ταῖς κατὰ
σοῦ αἰτίαις, τουτέστι, πρώην μισῶν σε κακὸν εἰς ἐμὲ φα-
νέντα, νῦν παύω τὸ μῖσος. Bar. 74. Gu. m. 2. ἢ σπέν-
δομαι σοὶ ἐν ταῖς συμφοραῖς καὶ συνελεύσεσι τοῦ Ἀπόλλω-
νος· ἢ σπένδομαι σοὶ ἐν συμφοραῖς καὶ συνελεύσεσιν, ἤγουν
φιλίαν ποιῶ πρὸς σὲ καὶ συνέρχομαι· ἢ σπένδομαι καὶ
ἵλεως γίνομαι ταῖς συμφοραῖς καὶ δυστυχίαις ταῖς σαῖς. Gu.
m. 2. *ΣΠΕΝΔΟΜΑΙ*, διαλλάττομαι. Gu. m. pr. Florr.
omnes. *ΣΥΜΦΟΡΑΙΣ*, ἐπὶ (συμβάμασι, συνελεύσεσιν ἢ
ταῖς κατὰ σοῦ αἰτίαις.) Gu. ἤγουν ἐπὶ ταῖς ἐμαῖς δυστυ-
χίαις. Fl. 59.

V. 1676. *ΣΟΙΣ*, ἐπί. Gu. m. pr. Fl. 6. 9. 17.

5) Ex his ultima tantum habet Flor. 21. ἔστι δὲ εἰπεῖν, ὡς εἰ ἐκφωνηθείη ἐνταῦθα ἡ τοῦ ὑπ. μετ. ἐξ ἀν. προστεθήσεται καὶ σύνδεσμος, καὶ ῥηθήσεται οὕτως· εὐγ. δὲ ὢν καὶ ἀπ' εὐγ. γημ. ὄναιο.

21. 56. 59. 76. *πείθομαι.* Gu. m. 2. *ΘΕΣΠΙΣΜΑΣΙΝ, ἐντάλμασι.* Fl. 6.

V. 1677 sqq. *ΙΤΕ ΝΥΝ ΚΑΘ' ΟΔΟΝ. ὁ ἐπίλογος οὗτος τοῦ δράματος ἐκ δύο συστημάτων σύγκειται. καὶ εἰσὶ τοῦ μὲν πρώτου συστήματος τὰ κῶλα ἀναπαιστικὰ θ, ὧν τὰ μὲν η δίμετρα ἀκατάληκτα, τὸ δὲ θ καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς παροιμιακὸν, τοῦ δευτέρου δὲ συστήματος τὰ κῶλα γ· τὸ α ὅμοιον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον,* [6] *τὸ δὲ β ἀναπαιστικὴ βάσις, τὸ δὲ τρίτον ὅμοιον ἑφθημιμερές. ἐπὶ τῷ τέλει τοῦ πρώτου παράγραφος, τοῦ δὲ δευτέραυ κορωνὶς, ἡ περατοῦσα τὸ δρᾶμα. ΙΤΕ ΝΥΝ. ἄπιτε καθ' ὁδὸν, ἣν προσέταξα δηλονότι, τιμῶντες τὴν Εἰρήνην τὴν καλλίστην ἀπὸ τῶν θεῶν. ἐγὼ δὲ πλησιάσω τὴν Ἑλένην τοῖς οἰκήμασι τοῦ Διὸς, διελθὼν τὸν πόλον τῶν λαμπρῶν ἄστρων, ὅπου συγκάθεδρος οὖσα τῇ Ἥρᾳ καὶ τῇ Ἥβῃ τῇ γυναικὶ τοῦ Ἡρακλέους ἔσται θεὸς ἔντιμος ἀεὶ τοῖς ἀνθρώποις διὰ θυσιῶν σὺν τοῖς Τυνδαρίδαις τοῖς υἱοῖς τοῦ Διὸς μεδέουσα θαλάσσης ναύταις, ἀντὶ τοῦ τῆς τῶν ναυτῶν θαλάσσης μεδέουσα καὶ ἄρχουσα.*

V. 1678. *ΘΕΩΝ ΕΙΡΗΝΗΝ ΤΙΜΩΝΤΕΣ. τοῦτο φησὶν, ἐπεὶ ἐπὶ τὰ Πελοποννησιακὰ ἐνόσει ἡ Ἑλλάς· πρεσβευσαμένων δὲ τῶν Ἀθηναίων οὐ προσήκαντο τὰς σπονδάς.* [7]

V. 1679. *ΠΕΛΑΣΩ,* προσπελάσω. Fl. 17.

V. 1680. *ΕΞΑΝΥΣΑΣ, διαβάς. ΕΞΑΝΥΣΑΣ, διαπεράσας. (διελθὼν, καταλαβὼν, διαβιβάσας.)* Gu.

V. 1681. 1682. *ΗΡΑΚΛΕΟΥΣ ΗΒΗι. Ἥβη ὠνομάζετο ἡ Ἡρακλέος γυνή. λείπει δὲ τὸ οὖσα, πάρεδρος οὖσα, ἤγουν συγκάθεδρος. ΗΡΑΚΛ. ΗΒΗι. ὁ Ἡρακλῆς* (*ὑπὸ Φιλοκτήτου* add. Bar.) *καυθεὶς ἀνῆλθεν εἰς Ὄλυμπον, ἐν ᾧ τὴν Ἥβην ἔγημε θυγατέρα* (*τῆς* add. Gu.) *Ἥρας. αὕτη δὲ θεὰ* [8] *παρὰ τοῖς Ἕλλησιν ἀλληγορουμένη εἰς τὴν ἰσχύν.* Baroc. 74. Gu. m. 2.

6) Verba: *τοῦ δευτ. δέ — ἀκατάλ.* e Baroc. 74. addidit King.

7) Rectius Flor. 33. *τοῦτο φησὶ διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἐνεστηκέναι τὰ Πελοποννησιακά· πρεσβευομένοις γὰρ Λακεδαιμονίοις περὶ εἰρήνης οὐκ ἐπείσθησαν Ἀθηναῖοι.* Vid. schol. ad v. 361. 760. 891.

8) *αὕτη δὲ τὸ θεὰ* ed. King.

V. 1685 sqq. *ΕΝΤΙΜΟΣ, τιμωμένη θυσίαις σὺν Κάστορι καὶ Πολυδεύκει, τοῖς Διὸς παισὶ, βασιλεύουσα τοῖς ναύταις ἐπὶ τῆς θαλάσσης. ΕΝΤΙΜΟΣ, ἤγουν ἣν ἀεὶ ναῦται θυσίαις τιμήσουσι σὺν Πολυδεύκει καὶ Κάστορι, ὡς ἔφορον πλοῦ. ἢ πρὸς τὸ ἀεὶ ὑποστικτέον, ἵνα λέγῃς οὕτω· θεὸς ἔντιμος ἀνθρώποις ἐν σπονδαῖς.* Gu. m. 2. *ἔσται ἀεὶ θεὸς ὑπ' ἀνθρώπων ἔντιμος σπονδαῖς, ἤγουν ὑπ' ἀνθρώπων τιμωμένη διὰ σπονδῶν, ἤτοι θυσιῶν.* Fl. 6. 9. 59. 76. Gu. m. pr.

V. 1686 sqq. *Ω ΜΕΓΑ. ὁ χορὸς βοηθὸς ὢν τοῦ Ὀρέστου τὰ κατ' αὐτὸν ἰδὼν ὅπως ἀπέβη, ταῦτα φησίν. ἢ τοῦτο διὰ τοῦ χοροῦ, ὡς ἐκ προσώπου τοῦ ποιητοῦ ἐστιν, ὡς νικήσαντος ἐπὶ δράματι. ὦ Νίκη μεγάλως σεμνὴ, εἴθε συνέχοις τὴν ἐμὴν ζωὴν, καὶ μὴ παύσαιο στεφανοῦσα ἐμὲ δηλονότι. Ω ΜΕΓΑ. ὦ μεγάλως σεβασμία Νίκη, εἴθε τὴν ἐμὴν ζωὴν κατέχοις, καὶ μὴ παύσαις στεφανοῦσα καὶ τιμῶσά με. τοῦτο παρὰ τοῦ χοροῦ ἐστὶ λεγόμενον ἀπὸ προσώπου τοῦ ποιητοῦ. Τοῦτο τὸ δρᾶμα ἐκ τραγῳδικοῦ κωμικόν· ἐκ γὰρ συμφορῶν εἰς εὐθυμίαν κατήντησεν.* [9] *Ω ΜΕΓΑ. ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον, ἢ εἰς πάθος* [10] *καταλήγει, ἡ δὲ κωμῳδία γέλωσι καὶ εὐφροσύναις ἐνύφανται. ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον· διαλλαγαὶ γὰρ πρὸς Μενέλαον καὶ Ὀρέστην. ἀλλὰ καὶ ἐν Ἀλκήστιδι ἐκ συμφορῶν εἰς εὐφροσύνην* (*καὶ ἀναβίωσιν. καὶ ὁμοίως* add. Gu.) *καὶ ἐν Τυροῖ Σοφοκλέους ἀναγνωρισμὸς* (*ἀναγνώρισμα*) *κατὰ τὸ τέλος γίνεται, καὶ ἁπλῶς εἰπεῖν, πολλὰ τοιαῦτα ἐν τῇ τραγῳδίᾳ εὑρίσκεται. Πρὸς διάφορα ἀντίγραφα παραγέγραπται ἐκ τοῦ Διονύσου* (marg. *γρ. Διονυσίου*) *ὑπομνήματος ὁλοσχερῶς καὶ τῶν μικτῶν.* MS. C.C.C. Gu. m. 2. Fl. 6.

9) In Gu. a m. 2., sed diversis locis, sunt prima, *ὁ χορὸς — δράματι*, et extrema, *τοῦτο — κατήντησεν.*

10) Sic Gu. Fl. 6. pro *πάθα*, pro quo King. coni. *πάθη*. Ultima a vv. *πρὸς διάφορα* etc. in Gu. a praecedentibus seiuncta sunt, et, quod in initiis novorum scholiorum fieri solet, litera *π* minio picta.

Τέλος σχολίων τῶν εἰς Ὀρέστην.